Τυφωθεὶς, ἐπαρθεὶς, ὑπερηφανεύσας. Τυφωεύς, Ἡσίοδος αὐτὸν γῆς γενεαλογεῖ. Στησίχορος δὲ, ἥραν μόνην κατὰ μνησικακίαν διὸς τεκοῦσαν αὐτόν. οἱ δὲ τυφωία φασὶ σημαίνειν, τὴν τῶν χθονίων πνευμάτων τὴν ἀναδίδοσιν τὴν ἐκ τῆς γῆς. Τυφῶν, δαίμων ἑκατοντακέφαλος πολεμηθεὶς καὶ κεραυνωθεὶς τῷ διὶ, ὡς φησὶν μυθικῶς Ἀπολλόδωρος. Πίνδαρος μὲν, λέγων ἑκατοντακέφαλος τυφῶνος ὀμβρίμου. Αἰσχύλος δὲ πάλιν περὶ αὐτοῦ φησί, δεινοῖσι γαμφηλαῖσι συρίζων φόνον, ἐξ ὀμμάτων δ' ἤστραπτε γοργωπὸν σέλας. ἀλληγορικῶς δὲ καὶ στοιχειωδῶς τυφὼν ἐστὶν, ὁ τῦφος, καὶ ἡ κενοδοξία, ἑκατὸν κεφαλὰς ἔχουσα, τουτέστι πολλοὺς τρόπους ἐπαιρομένους. ἀφανίζονται δὲ καὶ πίπτουσι καὶ καταβάλλονται τῷ διὶ, ἤγουν τῷ σώφρονι λογισμῷ. ἢ τυφὼν ἐστὶ στοιχειωδῶς, ἡ μετὰ τὸν τοῦ χάους καὶ τοῦ ἔρεβος διάλυσις, καὶ κίνησις τῶν πνευμάτων καὶ ἐκπύρωσις. ὅτις ὑπερχύθη καὶ ἐπαύθη ὑπὸ διὸς, ἤγουν τοῦ εὐκραοῦς ἀέρος καὶ οὐρανοῦ. μετὰ γὰρ τὸ συμπαγῆναι καὶ συστῆναι τὸν οὐρανὸν εὔρυθμον, ἐπεχύθησαν τὰ τυφωνικὰ καὶ πυρώδη πνεύματα. ἐπὶ δὲ τοῖς κοίλοις καὶ κενωρίοις τόποις. ἐξαιρέτως δὲ ἐν τῷ σικελικῷ, ἡμέρα μὲν καπνὸς φαίνεται. κατὰ δὲ τὸν καιρὸν τὸν νυκτὸς, πῦρ τοὺς τοῦ ὄρους πέτρας φέρειν καὶ κύλιον εἰς τὴν θάλασσαν. οἱ μὲν ὅτι ἐν τῇ σικελίᾳ ὁ ζεὺς τὸν τυφῶνα κατετάφρωσεν. οἱ δὲ ἐν λακεδαίμονι, ἄλλοι δὲ ἐν κιλικίᾳ, καὶ ἕτεροι ἐν βοιωτίᾳ λέγουσι τοῦτον τεταφρωθῆναι. Ἀρτέμων δὲ ὁ ἰσομαχὸς φησὶν, ὥσπερ ἐγὼ, ὅτι πᾶν ὄρος πυρὸς ἔχον ἀναδόσιν, καθάπερ ὑπὸ τυφῶνι καίεται. εἰς ὃ παρ' αὐτῶν οἱ λόγοι συντρέχουσι τοῦ μυθικοῦ, ἐν διαφόροις τόποις λεγόντων τεταφθῆναι τὸν τυφῶνα. ὁ μὲν Πίνδαρος τῷ τυφῶνί φησιν ἐπικεῖσθαι τὴν αἴτνην. ὁ δὲ Καλλίμαχος τὸν ἐγκέλαδον. ἔνιοι δὲ ἐν πιθηκούσαις φασὶ τὸν τυφῶνα, ἄλλοι ἐν φρυγίᾳ, οἱ δὲ ἐν σικελίᾳ, οἱ δὲ ἐν αἰγύπτῳ, ὡς καὶ Ἡρόδοτος. οἱ δὲ ἐν τῷ ὄρει τὸ κατὰ βοιωτίαν. Τυφῶν, παρὰ τὸ τύφω τὸ καίω. τυφὼν γάρ ἐστιν ἡ τοῦ ἀνέμου σφοδρὰ πνοή. ὡς καὶ εὐροκλύδων καλεῖται. ἢ παρὰ τὸ τύφος, τυφῶν, οὐχ ἡ φλὸξ ἐκ τοῦ ἀέρος, ἀλλ' ἡ ἐκ τοῦ ἀναθυμιάσεως συστροφὴ πρὸ τοῦ ἐκπυρωθῆναι. ὡς Πλάτων ἐν φαίδωνι. καὶ τυφῶνες, πυρώδεις δαίμονες. Τυφὼς ἐκβαίνει, οἷον ἀθρόως ἐκβαίνειν μέλλει. τοὺς δὲ καταιγιδώδεις ἀνέμους, τυφῶς καλοῦσι. τοῦτο ἐστὶ μεῖζον μέλανα ἄνω σφαγιάζειν, ὅπως λήξῃ τὸ πνεῦμα. εἰς τὸν Αἰσχύλον δὲ τοῦτο. Τυφῶς, γῆς μὲν ἐστιν υἱός. ἔχουσι δὲ τοῦτον, ὡς μὴ ἀνθρώποις μόνοις δεινὸν φοβερὸν, ἀλλὰ καὶ τοῖς θεοῖς. καὶ εἰς ἀλόγων ἰδέας μετέβαλον τὰς ἰδίας, διὰ τὸ ἐκείνου σέβον. ὁ τυφῶς, ὁ κατὰ θάλασσαν ἐφ' οὗ τὰ πλοῖα φθείρεται. εἰσὶ δὲ τρία, τυφῶν, πρηστὴρ, κεραυνός. καὶ τυφωνία, πίσσα ἐστὶν ἐφθὴ ἐν τῷ κακκάβῳ. καίεται

τύκῳ, ἐδιμάξω. Τύλαι, αἱ ἐν ταῖς χερσὶ φλυκταίναι ὡς περὶ τὰ ἴχνη καὶ ἐν τοῖς ὤμοις. Τύλαρος, μάνδαλος.

Τύλιφος, βασιλεὺς ἦν Μυσίας, ὃν πλανηθέντων ὅτε εἰς Τροίαν ἀπήρχετο τῶν Ἑλλήνων καὶ διαπορθούντων τὴν αὐτῶν γῆν ἀντὶ τῆς Τροίας, Ἀχιλλεὺς ἔτρωσε. καὶ πάλιν αὐτὸς οὐ θεραπευόμενος, τοῦ Πυθίου ὁ τρώσας ἰάσεται ἀνειπόντος, παραγενόμενος εἰς Θετταλίαν, τῷ χρησμῷ πεισθεὶς, θεραπείας ἠξίωσε. διασχίζοντα δὲ αὐτὸν ὕστερον, εἰσάγει Εὐριπίδης ἐν δράμασι, πήραν ἔχοντα καὶ προσαιτοῦντα.

Τύλη, τῆς καμήλου ἀπὸ τῆς ῥάχεως, τὸ ἄκρον δέρμα.

Τυλιδὸς, διφθερίον. Τυλίσσω, καὶ ἀνατυλίσσω.

Τύλος, ἀρσενικῶς ἔλεγον τὸν ὦμον τὸν τετυλωμένον, καὶ ἐπυλωμένον, καὶ τετριμμένον, ἐκ τῆς τριβῆς. ὅπερ πολλάκις ἐπὶ τῶν ὤμων γίνεται τοῖς ἀχθοφόροις, ἐκ τοῦ βαστάζειν τι συνεχῶς. καὶ Τηλεκλείδης, τραχήλου τύλον εἶπε, καὶ τὸν τύλον, ἀπὸ τῆς ἀχθοφορίας γεγενημένον. ἄλλως, τὴν ἀπὸ τῆς ἀχθοφορίας ἐν τῷ τραχήλῳ γινομένην τοῦ τραχήλου σκληρότητα. ἐκ μεταφορᾶς τῶν ἀχθοφόρων ζώων. ἢ τύλον τὸ αἰδοῖον. οἱ δὲ, ξύλον. Τύλος, νενευρωμένη σάρξ. Τύλωμα, τύμμα. Τυλωτὸς, ἐὰν ὕβρεις εἴπῃ, τὸν κέφαλον λέγει. Τυμβάδες γυναῖκες, τυμβάδας ἔλεγον τὰς φαρμακίδας, ἀπὸ τοῦ περὶ τοὺς τύμβους διατρίβειν, καὶ τοὺς νεκροὺς ἀνερωτᾶν.

Τύμβος, ὁ τάφος, παρὰ τὸ τύφεσθαι ἐκεῖ τὸ νεκρὸν σῶμα, τουτέστι καίεσθαι. καὶ τυμβοχοεῖ, θάπτει χωστῷ τάφῳ.

Τυμβογέροντα, πέμπτη ἡλικία γερόντων. ὡς καὶ Θεόφραστος, παραλαμβάνει καὶ τῇ διαίτῃ παρηλλαγμένοι. Τυμβοχοῆσαι εἶπεν Ὅμηρος, τὸν τύμβον ἀναχωματίζειν. τινὲς δὲ βαρύνουσι, τυμβοχόη λέγοντες, καὶ ῥῆμα τὸ τυμβοχοῆσαι.

Τυμβεῦσαι χοὰς πατρὶ, ἀντὶ τοῦ τῷ τύμβῳ ἐπεξάξαι τοῦ πατρός. Τυμβεῦσαι τάφῳ, οὐκ ἔχει πλεονασμὸν, ἀλλὰ διὰ πολλῶν πρὸς ἐπίθεσιν τυμβεύματα. καὶ θαλάσσῃ γὰρ τυμβεύεσθαί τις λέγεται βυθισθεὶς ἐκεῖ. καὶ εἰς θηρίων δὲ γαστέρας οἱ καταφαγόντες αὐτόν. οὕτω δὲ καὶ γῦπες τυμβεύουσι κατὰ γαστέρων, ὅσα καὶ ἄλλων ταφῶν ἢ ὑπ᾽ αὐτῶν διασπωμένους, καὶ οὕτω καταπινομένους. διὸ καὶ τάφους ἐμψύχους ἐτόλμησαν τούτους εἰπεῖν αὐτούς. Τυμβωρύχος, λωποδύτης νεκρῶν. Τύμμα, πληγή. Τυπτόμενοι δίκην αἵματος, ἤγουν λαμβάνοντες δίκην αἵματος. τουτέστι, κολαζόμενοι διὰ φόνον. τυπτόμενοι φόνον, ἤγουν φονεύοντες. Τύμπανα, ξύλα ἐφ᾽ οἷς ἐτυμπάνιζον. ἐχρῶντο γὰρ ταύτῃ τῇ τιμωρίᾳ. ἢ βάκλα παρὰ τὸ τύπτειν, ἤγουν ξύλα οἷς τύπτονται ἐν τοῖς δικαστηρίοις οἱ τιμωρούμενοι. Τύμπανον, ἐκ δερμάτων ἀπὸ γεγενημένον καὶ κρουστὸν, ὃ κατέχουσιν αἱ βάκχαι. Τύμπανον ἐστὶ νόσος, ὑπέρθεσις ἐκ ... σώματος, συμφυσῶσα ... Τυμπανίζεται, πλήσσεται, ἐκδέρεται, ἰσχυρῶς τύπτεται.

Τυμφαῖοι, οἱ Ἠπειρῶται, ἔθνος, καὶ αἴθικες ὁμοίως. ὧν ὁ Ὅμηρος μέμνηται λέγων, Αἰθίκεσσι πέλασσεν. Τυνδάρεος. οἱ καὶ παρὰ τοῖς ὕστερον, ἐκτείνουσι τῶν λόγων ἀττικῶς, ἀλλὰ παρὰ τῷ ποιητῇ κοινῶς κλίνεται. ὡς δηλοῖ τὸ, Τυνδαρέου κούρη. οὕτω καὶ ἐν Ἰλιάδι, πλεονάσει φησὶν ἄνακτος. ἐν παλαιᾷ ἐν ἰκταλὲς τὰ λεγόμενα φησὶν οἱ ἀττικοί. Τύνη, ἀντὶ τοῦ σὺ δωρικὸν, πλεοναζούσης τῆς νη συλλαβῆς. ὡς ἐπὶ τοῦ ἐγὼ ἐγώνη, κατὰ τοὺς παλαιούς. ἡ τύνη ἀντὶ τοῦ σὺ δωρικῶς, ἔγνωσται παρ᾽ Ὁμήρῳ, καὶ παρ᾽ Ἡσιόδῳ. ὁμοίως τὸ ἀντὶ τοῦ σὺ δωρικόν, πεζογράφοις ἄχρηστον. Τυννὸς, μικρὸς, τυτθός. Τυννουτοὶ κληδίω, ἐστὶ παρὰ τῷ Λακεδαιμονίῳ, τοσοῦτοι δακτύλους καὶ τὴν παλαιμὴν κυλαίνας, φησὶν ὁ Ἀριστοκλῆς, ἀντὶ τοῦ μικρῷ. Τυντλάζειν, εἰς πηλὸν ἐμβαίνειν. ἢ ἐπιρραίνειν πηλῷ. τύντλος δὲ ὁ πηλώδης τόπος, ἢ πηλὸς, καὶ τάραχος. ἢ τυντλάζειν, τὸ αὐτὸ λέγειν. Τύξιν, τεῦξιν, παρασκευήν. Τυπάδι, σφύρα. Τυπάζειν, κόπτειν. Τύπαι, ἑορτή τις. Τύπαις, πληγαῖς. Τυπίας, οὕτω καλεῖται τοῦ χαλκοῦ τις τροχός. Τυπῶ, πλάττω, γλύφω. Τύπος, παρὰ τὸ τύπτω γίνεται. ὥσπερ εἰς τὸ βελτίστον τυπτόμενος ὁ μόλιβδος, τύπον ποιεῖ, καὶ ... ἀποτελεῖ. τύπος δέ ἐστι, προσδοκωμένη δήλωσις, διὰ μιμήσεως δηλοῦσα τὸ μέλλον ὑποφαίνειν. Τυπὶς, ψοφοῖ, ἀψυχὶς, κροτεῖ, πλήσσει. Τυπεὶς, πλήξας. Τυπτέσθων, καὶ ἀφαιρείσθων, κατὰ συγκοπὴν λέγεται. ἀπὸ τοῦ τυπτέσθωσαν, ἀφαιρείσθωσαν, καὶ ἔστι τῆς ἀκολουθίας ταύτης. Τύπτω, ἱμάσσω, μαστίζω, ξαίνω, παίω, πατάσσω, αἰκίζομαι, ἀλοιῶ, θείνω, δέρω, ταυτὸ σημαίνει. Τύπτομαί σοι, ἀντὶ τοῦ ὑπὸ σοῦ. πάντα τὰ μεταβατικὰ ῥήματα, τὰ παθητικὴν σημασίαν ἔχοντα, δοτικῇ προστιθέμενον ἔχει τὸ πρόσωπον τὴν ἐνέργειαν ποιοῦν, κειμένης τῆς δοτικῆς ἀντὶ τῆς γενικῆς, μετὰ τῆς ὑπὸ προθέσεως. οἷον τύπτομαί σοι, ἀντὶ τοῦ ὑπὸ σοῦ. γέγραπται τῷ δεῖνι λόγος, ἀντὶ τοῦ ὑπὸ τοῦ δεῖνος. Τύπτω σοι τὸν δεῖνα, παρ᾽ οἷς τὰ μεταβατικὰ καὶ ἀμετάβατα ῥήματα, ὅταν ἔξωθεν ἐμφαίνῃ πρόσωπον, οὗ ἕνεκα πρὸς χάριν ἐνέργεια τοῦ ῥήματος γίνεται, δοτικῇ τὸ πρόσωπον ἐκεῖνο ἐκφέρεται. οἷον τύπτω σοι τὸν δεῖνα, τουτέστι σοῦ χάριν. ἀρδεύω σοι τὸν κῆπον. ἅπτω σοι τὸ πῦρ, ἀμετάβατα. ὡς ὅταν λέγωμεν, οἷον ἥλιος ἡμῖν ἀνέτειλε, καὶ ἄνεμοι ἡμῖν πνέουσι, τουτέστι χάριν ἡμῶν.

Τυπτήσει, κάλλιον ἢ τύψει, καὶ παίσει. Ἀριστοφάνης, οὐ γάρ με τυπτήσεις. Τύπτοισα, ἀντὶ τοῦ τύπτουσα, δωρικῶς.

Τυπάνισμα, χορεία τις. Τύραννος λέξις, ἐπὶ Ὁμήρου ἀγνοεῖται. ἡ καὶ ὕστερον εὑρεθεῖσα ἐπ᾽ ἀγαθοῦ ἐλέγετο. τοῖς γὰρ ἐννόμοις βασιλεῦσι κλῆσις ἦν καὶ αὕτη. ὡς δηλοῖ παρὰ Σοφοκλεῖ Οἰδίπους τύραννος, ἡ μέντοι μεταγενεστέρα χρῆσις διαιρεῖ τοῖς ἀγαθοῖς μὲν βασιλεύσιν, ἐκλεγομένη τὸ τρίτον τῆς παλαιᾶς λέξεως τὸ βασιλεύς, καθὰ καὶ μάλιστα τὸ ἄναξ. τό γε τυραννεῖν, ἀποτάξασα τοῖς μὴ κατὰ νόμον ἄρχουσιν, ἐπέρριψε. σημείωσαι παρ᾽ Ὁμήρῳ οὖν, ὅτι οὐκ ἠξίωσεν ἄνακτα τὸν ἔχθον εἰπεῖν, ἀλλ᾽ ἁπλῶς βασιλέα, ὅ ἐστιν ἄρχοντα. ὁ δὲ ἄναξ, ἐπεὶ ἡ λέξις ἀπὸ τοῦ ἀνακῶς ἔχειν τὸ ὑπὸ ... γινομένῳ. ὅ ἐστιν, ἐπιμελῶς. Τύραννός ἐστιν, ἄρχων πόλεως κατὰ τὴν ἑαυτοῦ διάνοιαν. Τύραννος, ὁ βιαίως κατασχών. βασιλεὺς δὲ, ὁ ἐννόμως καὶ δικαίως κρατῶν. τυραννεῖν, καὶ τυραννεύειν λέγομεν. Τυρβάσαι, κυρίως τὸ τὸν πηλὸν ταράξαι. τυρβάσαι, ἀντὶ τοῦ ταράξαι. Τύρβη, ὀχλήσεις, ὁ θόρυβος, ἢ τάραξις. Τυρβαῖος, ἐπίθετον τοῦ Ἀπόλλωνος. Τυρβασία, ἔλκει τὴν αἶγα. Τυρεύω, τὸ μηχανῶμαι ἢ πλάττω. Τυρώ, τόκος τις κλαιομένων.

Τυριάδοι, αὐλοὶ καλάμινοι. Τύρις, ὁ πρόσινος χιτών, ὁ ποταμὸς ἐκδιδοὺς εἰς τὸν Βορυσθένη. Τύρις, ὁ περίβολος τοῦ τείχους. Τυρόεντα, πλακοῦντα. Τυροκνῆστις, μαχαίριον, καὶ χῦμα ἀπίλακον. καὶ ἡ πόλις ἀπὸ γυναικός, οὕτω δ᾽ ὠνόμασαν, εἰ τυροὺς πρώτης συμπηξάσης τὸ γάλα.

Τυρός. παρὰ τὸ τηρεῖν κατὰ ... γάλα γὰρ τυρούμενον ἐστὶν ὁ τυρὸς, ἢ τυρεύω, τὸ κατασκευάζω. καὶ τυρεύεται, καὶ τυροῦται, ἀντὶ τοῦ συνίσταται, καὶ συμπήγνυται. καὶ τυρωθέντα, παχυνθέντα. Τυροκομεῖον, τάλαρος, ἐν ᾧ ὁ τυρὸς τῆς ἐπιμελείας τυγχάνει. Τυρρηνικὰ σανδάλια, καττύματα ... οὕτω καλεῖται. Τυρρηνοὶ δεσμοί, οἱ λῃστρικοὶ καὶ χαλεποί.

Τυρσηνικὸν πέλαγος, μεταξὺ Σικελίας καὶ ... οὐ καλῶς εἴρηται. Τύρσις παρὰ Λυκόφρονι, τὸ τεῖχος. ἐπεὶ Τυρσηνοὶ πρῶτοι τειχοποιίαν εὗρον. Ἄλλως. Τύρσεις, πόλεις παρὰ Πινδάρῳ, κυρίως δὲ τεῖχος. λέγονται γὰρ πρῶτοι Τυρσηνοὶ τὴν τῶν τειχῶν κατασκευὴν εὑρηκέναι. Τυτθὸν, τὸ μικρόν. ἐκ μεταφορᾶς φασι τοῦ ὑποτιτθίου, ὅ ἐστιν ὑπομάστιον βρέφους. ἢ παρὰ τὸ συνεχὲς τοῦ τ εἶτα ... ἐκ τοῦ τυτθὸς γίνεται καὶ τυτθὸς, ὁ μικρὸς ... κατὰ συγγένειαν τοῦ θ καὶ τοῦ δ, ὡς δηλοῖ ἐν ἄλλοις μυρίοις καὶ τὸ προμηθεὺς καὶ ἐπιμηθεύς, γινόμενα ἐκ τοῦ μῆδος. καὶ τὸ μόλις, μόγις. Τύφος, τὸ ἐν ἰτέᾳ εἰκοσιλήμμα. Τυρὼ ἡ Σαλμωνέως γενομένη δύο παῖδας ἐκ Ποσειδῶνος, παρὰ τοῖς Ἐνιπέως τοῦ ποταμοῦ ῥείθροις κατέλιπε. τὸν μὲν οὖν ἕνα αἰπόλων ἀφαιρεθέντων αἰτίας τῶν ... πελίον ἔχοντα θολὸν ἔτρεφε. τὸν δὲ ἕτερον ἵππος κατὰ τὸ μέτωπον ἐλάκτισεν. ἐπελθόντες οὖν οἱ ἱπποφορβοί, ἀνελόμενοι τὰ παιδία, ἔτρεφον. καὶ ὠνόμασαν τὸν μὲν ἐκεῖ ἐκ συνωφρύος αἵματος ἐπελιώθη, Πελίαν. τὸν δὲ ἕτερον, ἐπεὶ αἶγα κατέλιπε, Νηλέα. Τυρωθέντα, παχυνθέντα, ἀπαγέντα.

Τύχας, ἐπιτυχεῖν. Τυφάνη, ὄργανον ᾧ χρῶνται εἰς τὸ ἀλοᾶν τὸν σῖτον. Τυφλὸν ὀστοῦν, ὅμοιον τῷ κοτύλῳ ...

Τρωὰς, ἡ μὲν τρωική, σημαίνει τὰς τρωϊκὰς ἢ γυναῖκας, ἢ ἵππους. ἡ δὲ δμωαί, τὰς δούλας. καὶ οὐκ ὤφειλεν ἔχειν τὸ ι, ὅτι ἐστὶ φῶς τρωὸς, ὡς δμῶς δμωὸς, χωρὶς τοῦ ι. Τρωΐα, ἀρχεδίκη. Τρωγάλια, τὰ τραγήματα. λακωνικά. Τρωγάλιον, δέρμα, τὰς μελιτοκαίδας. Τρώγη, ὀπώρα, τὰ ἐν τοῖς ὀπωρίοις. Τρώγλη, παρὰ τὸ τρώγω γίνεται τρώγλη, τὸ διαβεβρωμένον καὶ τετρυπημένον μέρος τοῦ τείχους. Τρώγλη, τρώγλη, ζεύγλη. τὰ τῆς [illegible], ἐπιπλοκὴν ἔχοντα τοῦ γ, τῇ [illegible] λέγει. Ἀθηναῖος λέγει. Λυδοὶ δὲ ἀκολούθως τῷ Ὁμηρικῷ, καὶ ὅτι ἡ τρίγλη, φιλογόνοις γονεῦσιν ἐπώνυμος οὖσα, οἱονεὶ τριγονή ἐστι, τρὶς τίκτουσα τοῦ ἔτους. [illegible] δέ φασι τεκοῦσα ἄγονός ἐστι, γίνεται αὐτῇ σκωλήκια ἃ κατὰ τὴν γαστέρα, ἃ τὸν γόνον κατεσθίει. ἔτι δὲ ἐκ τῆς τρίγλης γίνονται βίβλα, φοινικοῦ [illegible] τοῦ [illegible], πικρὸν γίνεται καὶ ἐκ τοῦ [illegible], καὶ ἐκ τοῦ οἶζον λίτρον. καὶ τοῦ φίλτης κύμινον, φίλτης παρὰ Πινδάρῳ.

Τρωγλοδύται, οἱ εἰς τὰς τρώγλας εἰσδύοντες. Τρώγω, ἐσθίω, ἔδω, βιβρώσκω, γαστρίζομαι, δαίνυμαι, δαῖτα χεῦμαι, δαίω, σιτοῦμαι, τένθω, ἐλλαπινάζω. [illegible], δειπνῶ, θοινοῦμαι, ταῦτα ἐν δηλοῦσι. Τρώγω, τὸ ἐσθίω. ἀφ' οὗ τρώξιμον ποιητικῶς, τὸ δυνάμενον βρωθῆναι. καὶ τρώκται, παρὰ Φιλοστράτῳ, οἱ πολλὰ ἐσθίοντες, ἤγουν οἱ κοινῶς φάγοι. τρώγω παράγωγόν ἐστιν ἀπὸ τοῦ τρῶ, ὃ βλάπτω, σημαίνει τὸ κατατρώγεσθαι τὰ βαλλόμενα, καὶ μὴ ἐᾶν ὑγιῆ, ἃ ἵνα ἂν τρώγῃ τις.

Τρώγω, ὀνοματοποιΐα ἐστὶ ἐπὶ ἀλόγων τραχύτητα ἔχον, καὶ ἐπιφέρεται πολλῶν πρὸς τὸ ἐσθίειν. ὅπερ ἐστὶ λεπτικὸν μᾶλλον λέγεται. δῆλον ὡς ἐκ τοῦ τρώγειν, οὗ δεύτερος ἀόριστος τὸ ἔτραγον, καὶ τράγος γίνεται. ἴδιον τοῦ βορῶ [illegible]. τὸ τράγος ὡς εἴπερ, φάγος. παράγωγα τοῦ τρώγειν, καὶ τοῦ τραγεῖν, καὶ τὰ τρωγάλια, καὶ τὸ τράγημα. καὶ ἐξ αὐτοῦ ῥῆμα, τὸ τραγηματίζω. Τρῶσαι, ἀντὶ τοῦ βλάψαι. γίνεται δὲ ἐκ τοῦ τρῶ τοῦ συγκοπέντος ἐκ τοῦ τείρω. ἐκ τούτου δὲ παρὰ τοῖς ὕστερον καὶ τὸ τιτρώσκω, ὁμοίως τῷ γινώσκω παρῆκται, καὶ τὸ τρῶμα. καὶ ἡ τρῶμα ἐπὶ βλάβης, ἰωνικῶς. Τρώσητε, ἀντὶ τοῦ βλάψητε, παρ' Ὁμήρῳ. ἐξ οὗ καὶ τρῶμα, ἡ τρῶσις ἰωνικῶς.

Τρῶες, οἱ τὴν Ἴλιον οἰκοῦντες. καὶ οἱ τὴν Τρωάδα χώραν. Τρώσαι, τραυματίσαι. Τρωθῇ, βλαβῇ, [illegible], παρὰ τῷ Ἱπποκράτει. Τρωθεὶς, πληγείς. Τρωΐζειν, τετρυΐζειν, σιωπᾶν. Τρωΐλον, τὸ παιδὸς τὸ ἰαλβείας καὶ πριάμου. φασὶν ὅτι ἐρασθεὶς ὁ Ἀχιλλεὺς ἐν λόγοις, ἔργῳ δὲ ἀπόλλωνος ἐδίωκεν αὐτόν. προσφυγόντα δὲ τῷ θυμβραίῳ ἀπόλλωνος ναῷ, Ἀχιλλεὺς ἐβιάζετο αὐτὸν ἐφέλκειν. ὡς δ' οὐκ ἔπαθε, προσελθὼν ἀπέκτεινε τῷ βωμῷ. ὅν φασι καὶ τιμωρῶν ὁ Ἀπόλλων, αὐτόθι τὸν Ἀχιλλέα ἀναιρεθῆναι. καὶ οἱ μὲν λεγουσι περὶ τοῦ Τρωΐλου. ἐγὼ δὲ τοῦτον τὸν Τρωΐλον, καὶ βασιλεῖ ἔχοντα τὴν [illegible], καὶ μελαγχολίαν ἐπίσταμαι. οὐκ οἶδα δὲ εἰ ὁ θετταλὸς Ἀχιλλεὺς οὕτως ἐρωτικὸς ὤν, ὡς βαθυπώγωνα ἐρᾶν. νέος μὲν οὐχ ὁ Τρωΐλος καὶ ὡραῖος, μελαγχρὴς δὲ καὶ δασυγένειος, καὶ Ἀχιλλέως ἐρωτικὸς ἀνάξιος. μετὰ δὲ τὴν ἑταίρησιν μόνος ἐφείλετο ὑπὸ τῆς [illegible], συμβάλλει τῷ Ἀχιλλεῖ, καὶ ἀναιρεῖται ὑπ' αὐτοῦ. καὶ ἐγένετο ἐν τῇ τρίᾳ καὶ αὐτὸν πένθος πολὺ, οἷον ἐφ' Ἕκτορος. Τρωϊκοὶ ἵπποι, οὐχ ἁπλῶς τρωϊκοί. οὐ γὰρ ἔχουσι τὸ ἐξαίρετον οἱ τοῦ Τρώος ἵπποι, ἀλλ' οἱ τοῦ Τρωὸς, οἱ καὶ ἀθάνατοι ἐλέγοντο. Τρώκτη, ἢ γαστὴρ, παρὰ Ὁμήρῳ, ἐν τῷ τῆς ὀδυσσείας ο. Τρώματι, ἀπωθεῖται, ἀπατεῶν, ἐκ τοῦ σῶς καὶ φαίνειν. τρώκτης, ὁ ἐπὶ βλάβῃ τινὸς ἅμα ἐγκαταμίσγων. σφόδρα γὰρ ἅμα σύσσαρος, καὶ γελοῖος. ἐκ τοῦ τρώκτης γίνεται καὶ ἀπατεῶνας, καὶ κακουργῆσαι. καὶ Ὅμηρος, οὕτω τοὺς φοίνικας φησί. Τρωκτοῖσιν, ὁμοίως ἐσθιομένοις, παρὰ τῷ Ἱπποκράτει. Τρῶμα φασὶν, οὐ τὴν ἀπλῶς, ἀλλ' ἐν πολέμῳ βλάβην. ἀφ' οὗ καὶ ἐπίτρωμα σύνθετον ἐν τοῖς τοῦ Ἀθηναίου, ὁ δοκεῖ ἐρωτισμένον ἵνα δηλοῦν τραυματικόν, ἐν τῷ, ἵνα μὴ κατακερματισμοὺς λέγω καὶ τὰ ἐνθυμήματα, ἃ προφέρεται παλαιοῖς ὁ ἰατρός. καὶ τοὺς γαργαλισμούς, ἢ τὰ τραύματα. δῆλον δ' ὅτι ὥσπερ γνῶ γνῶμα, δῶ δῶμα, οὕτω καὶ τρῶ τρῶμα. Τρῶμα, καὶ τρῶμα, ἐπὶ βλάβης ἰωνικῶς. ὁμοίως τῷ βρῶμα βρῶμα. Τρωπᾶσθαι, εἰς τοὐπίσω ἀναστρέφεσθαι, ἀπὸ τοῦ τρέπεσθαι. Τρωπᾶσθαι, τὸ τρο-πᾶσθαι φωνὴν παρὰ τοῖς ἀηδόσιν. τὸ φωνεῖν δὲ ἐκείνης τὴν ἀρχήν, ὡς τὸ τρωπᾶν, ἢ τρέχειν. Τρωπῶ, τρίχας τὴν φωνήν. Τρῶς, γεννᾷ Ἴλον, Ἀσσάρακον, καὶ Γανυμήδην. καὶ Γανυμήδην μὲν μυθικῶς ἥρπαξεν ὁ Ζεύς. Ἶλος δὲ γεννᾷ Λαομέδοντα. Λαομέδων δὲ, Πρίαμον. Πρίαμος, Ἕκτορα, καὶ Κασσάνδραν, Κρέουσαν, καὶ τοὺς λοιπούς. Ἀσσάρακος δὲ πάλιν, γεννᾷ Κάπυν. Κάπυς, Ἀγχίσην. Ἀγχίσης, Αἰνείαν. Τρώσαι, πλήξασαι, βλάψασαι. Τρωὸς αἰτιατικῇ χρῶνται ἀντὶ γενικῆς. εἶον, κατὰ ἵππον τὴν Ἀλέξανδρον, ἀντὶ τοῦ Ἀλεξάνδρου. ὡς Ὅμηρος γυναικεῖα κατὰ μαζὸν, ἀντὶ τοῦ γυναικείας. καὶ σίδας δὲ ἐν οἴχας αὖλος ἄρης ὥστε μεταλλῶν, ἀντὶ τοῦ τῶν Τρώων. καὶ Ἰλλιακὸν τραγὸν, ἀντὶ τοῦ Ἰλλιακῶν. καὶ ἀδελφὸν αἷμα, ἀντὶ τοῦ ἀδελφοῦ. ταῦτα δὲ ἐστὶν ἀντὶ κτητικῶν φασίν. οἷον γυναικεῖον μαζὸν, καὶ Τρωϊκὰς εἶχας, καὶ Ἰλλιακὸν τραγὸν, καὶ ἀδελφικὸν αἷμα. Τρώων ἱππικόν, ἀττικῶς ἔχει. τὸ μὲν κοινὸν, τρώων ἱππικόν. Τρῶες, καὶ Δαρδάνιοι, φασὶν οἱ παλαιοί, ὡς δύο διηρέθη τῶν τρώων ἀρχῶν, ἀπὸ Ἀσσαράκου καὶ Ἴλου ἐκλήθησαν. ὕστερον δὲ ἐκλήθησαν τὸ μὲν ἓν μέρος, ἀπὸ τοῦ Δαρδάνου. τὸ δέ, ἐκ Τρωός. ὅτι δὲ οἱ Δαρδάνιοι καὶ Δαρδάνιοι ἐκ παρανομασίας λέγονται, κατὰ τὴν κίνησιν τοῦ αἰπολὸς αἰπόλιος, ὀρθὸς ὄρθιος, καὶ τὸ ὅμοιον. τρώεσσι καὶ γυναικέσσιν αἰολικῶς, ἀντὶ τοῦ τρωσί, καὶ γυναιξὶ κοινῶς. Τρώσασθαι, ἐπιτρῶσαι παρὰ τῷ Ἱπποκράτει. Τρωὸς, παιδός.

Τρώχων, ἀντὶ τοῦ τρέχων, ἀπὸ τοῦ τρωχῶ. οὐ ἡ γραφὴ ὁμοία τῷ τρωφῶ, ἢ τρωχῶ, καὶ τοῖς ὁμοίοις.

ΤΟΥ Τ ΜΕΤΑ ΤΟΥ Υ, ΚΑΙ Ω.

Τυ, ἀντὶ τοῦ σὺ λέγουσι δωριεῖς. ὅς τὸ τὺ δὲ ἀττικοῦ, ἀντὶ τοῦ σὺ ἀποκομμένου. καὶ ἀντὶ τοῦ σὺ λέγουσιν αἰολεῖς καὶ δωριεῖς. Τυβηνεὶς, καπηλεύσας. Τύρβη, θόρυβος, τάραχος, εἰκία. καὶ τύργοι, σφόδροι ὑψηλοί, [illegible].

Τυγχάνω, ἀντὶ τοῦ ὑπάρχω. μετὰ τοῦ ὢν τίθεται ἐν παραλλήλῳ. οἷον φίλος τυγχάνω ὤν, καὶ ἐχθρὸς μοι τυγχάνει ὤν, ἀττικῶς. εὑρίσκεται δὲ, καὶ χωρὶς τοῦ ὢν, ὡς παρὰ ἄλλοις τε πολλοῖς, καὶ παρὰ Λιβανίῳ ἐν ἐπιστολῇ. ὥσπερ οὖν οἱ ἄνθρωποι ἐντυγχάνοντες, ἐξ ἧς ἂν σου ὄντος. γίνεται ἐπὶ τοῦ κυρῶ παρὰ ποιηταῖς, ὥσπερ ἔφαμεν. Τυγχάνω κατηγορούμενος ἀττικῶς, ἀντὶ τοῦ κατηγοροῦμαι. ἢ τυγχάνω σπουδαζόμενος, ἀντὶ τοῦ σπουδάζω. σπανίως τὰ τυγχάνειν παρέχειν, ἢ διαλεγόμενος. Τυγχάνω. ῥήματα βλῶθρα τὰ εἰς ανω, ἅγει τοῦ παρατατικοῦ κλίνονται.

Τύδαι, ἐνταῦθα, αἰολεῖς. Τυδεῖ, παρὰ τὸ τυτθόν. μικρὸς γὰρ ὢν τῇ ἡλικίᾳ. Τυδεῦ, οὐκ ἀπὸ τοῦ τυδέα συνῄρηται, ἀλλ' ἀπαιτεῖται ἐκ τοῦ τυδέως, καθάπερ ὁρίσαι τοῖς τεχνικοῖς. οὕτω δὲ καὶ τὸ ὀδυσσεῦ, ὀδυσσεῦ ἐστὶν εἰπεῖν, καὶ ἕτερα ὅμοια.

Τύγγα, ὀξυβάφιον. Τυΐ, ὧδε, κρητικῶς. Τυκάνη, ἀπὸ τοῦ τύκω τυκάνη παράγωγον, ἢ ἀλοῶσι τῇ ἀναλχεσαι. ἢ κατὰ μεταφοράν, οἱ κοινοὶ δικέλλαν φασί. Τύκος, ἐργαλεῖον ἐστὶ, ᾧ τὰ λίθους περιτέμνουσι, ἢ ξέουσι. Τυκτῆσι βόεσιν, ὃ ἐστι τετυγμέναις βύρσαις, οὐ μὴν ζῶσι βουσίν, ἀλλ' ἁπλῶς βοείαις, αἳ τρώγονται. ἰστέον δὲ, ὅτι ἐν ζώσιμ λέγει βοῦν τὴν ἀσπίδα, οὕτω ἢ βοῦν ἑπταβόειον ἐπάγουσι, καὶ ἑπτάβοιον, ὅ ἐστι ταυρείαν, τεχνητήν. ἀπὸ δὲ τοῦ τεύχω, καὶ ἡ τέχνη παράγεται. ὥσπερ καὶ τυκτὸν, τὸ αὐτὸ ἐστι κατὰ τὸ τεχνικόν. ἡ ἡ τέχνη δὲ ὁμοίως. ὥσπερ δὴ καὶ ὡς πύλας ποιεῖται, καὶ τράπεζα ξεστὴ κατὰ συνεκδοχὴν τοῦ οὐ, οὕτω καὶ νῦν, τυκταὶ βόες, αἱ ἐκ τεχνῆς. τὰς δὲ βεβυρσωμένας τυκτὰς βόας, καὶ βύρσας, ταυτὸν ἐστι βοῦν ὁλοκαλῆν εἰπεῖν, καὶ βοῦν αὐτὴν, πρὸς διαστολὴν τῆς ζώσης βοός.

Τυκτὸν δάπεδον, ὃ τὸ ἐπιτυκτὸν καθ' ὁμοιότητα τοῦ προτάγματος εἰργασμένον, ὃ δὲ μὴ φύσει ὑπάρχει, ἀλλὰ κατασκευάζεται εἰς τοιουτοτρόπον. Τυκτὸν δάπεδον, δῆλον ὡς οὐκ ἀναγκαῖον τοῦτο ἐν ἄλλοις εἰπεῖν ἢ τυκτὸν δάπεδον, τετυκμένον. φύσει γὰρ οὐδὲν ἂν ἐποίει ἂν, ἀλλ' ἐξ ἐπιτεχνήσεως τυκτὸν ὤν. Τυκτὸν κακόν, ὡς ἐφ' ἡμᾶς αὐτῶν τετυχημένον, καὶ μὴ φύσει ὑμῖν ἐγγενόμενον, καθὰ τὸ ἐσθίειν, τὸ πίνειν, τὸ ὑπνοῦν, καὶ τὰ ἄλλα. ἡ γὰρ φύσις, ὅμως μὲν ἐντεῦθεν ζῷον ἀνθρώπων, εἰ καὶ αὐτὸς ἑαυτὸν εἰς μάχιμον μετατεύχει. καὶ κακοτεχνὸς γίνεται δίαιτος.

γονται, ἄγουσιν οἱ ποταμοί, αἱ θαλάσσιαι λίθοι. Τροχαῖος, ἐκ μακρᾶς καὶ βραχείας στίχος, οἷον δοῦλος, ὦμος. τροχαῖος καλεῖται, ἀπὸ μεταφορᾶς τῶν ἐξ ὕψους εἰς ταπεινὸν ἐκκυλιομένων λίθων, οἳ καὶ στίχον ἂν βαδίζοντα πλασάμενοι. ὃ δεῖ ὡς περιτρέχοντας τοὺς βωμούς, κιόνων μέτρον ᾄδειν. Τροχαντῆρες, πρὸς τὰ ποδάλια. καλεῖται τὸ πρῶτον τοῦ μηροῦ. Τροχαντὴρ, τοῦ μηροῦ κεφαλῆς ἡ ἔξω ἔκφυσις. Τροχάσαι, τρέχειν, δραμεῖν, προλαβεῖν. Τροχιματί, ἐλαύνει. Τροχιαί, αἱ τῶν τροχῶν χαράξεις.

Τροχίλος, ὄρνεόν ἐστι. λέγεται δὲ παρὰ τὸ τρέχω. Τροχιᾶς, τρεῖας, ἄγγελος, ἀκόλουθος. Τροχιθίζω, ἀπὸ τοῦ τροχοῦ, ὅπερ ἐστὶν ὄργανον βασανιστικόν, διατεῖνον τὰ σώματα τῶν βασανιζομένων. Τρόχμαλος, ὁ ἐκ λίθων στρογγύλων, αἱμασιά, ἡ περιοικοδομημένη τοῖς χωρίοις. τρόχμαλα γὰρ κυρίως λέγονται, οἱ μικροὶ λίθοι. οἱ καὶ χάλικες παρὰ Λυκόφρονι. Τροχόεν, τροχοειδές, στρογγύλον. Τροχοί, δρόμοι, παρὰ τῷ Ἱπποκράτει. Τροχὸς στέατος, παρ' Ὁμήρῳ ἐν ὀδυσσείας φ̄, ὥσπερ καὶ τυροῦ ἀπεβέσθησαν, ἤγουν κύκλον εἶπεν. ἐπίκυκλον γὰρ ὁ κύκλος καὶ ἀβαθές, οὗ δίουτος δὲ ὁ τροχός. ὅθεν καὶ εἰκότως ὥσπερ ἐπὶ τυροῦ, καὶ ἐπὶ κηροῦ δὲ τοῦ κατὰ τὰς σφραγῖδας, οὕτω καὶ ἐπὶ στέατος. ἀρχαῖον δὲ ἔθος τροχοειδῶς καὶ τὰ στέατα στρογγύλλεσθαι. ἴσως δὲ τῷ στέατι καὶ πιμελῇ συγχωνεύεται, ὧν διαφοραί. ὅτι στέαρ μὲν τὸ τῶν κερασφόρων, ὃ καὶ θρύπτεται ψυχθέν. πιμελὴ δὲ ἐπὶ τῶν μὴ ἐχόντων κέρατα. Τροχὸς ἦν, ἐν ᾧ δεσμούμενοι οἱ οἰκέται ἐκολάζοντο. Ἀριστοφάνης, ἐπὶ τοῦ τροχοῦ γὰρ δεῖ σε ἐκστρεβλούμενον εἰπεῖν, ἃ πεπανούργηκας. Τροχοποιεῖν, τροχοὺς ἁμαξῶν ποιεῖν, ὃ ἄλλοι λέγουσι. Τροχός, παρὰ τὸ τρέχω τροχός, ὡς παρὰ τὸ δραμεῖν δρόμος. ἐπὶ μὲν τῶν ἁρμάτων, ἐκ δίφρου πεσὼν ἐξεκυλίσθη. ἐπὶ δὲ τοῦ κεραμικοῦ ἐργαλείου, ἰδιαίτερος. τρόχος δὲ βαρυτόνως, ἐπὶ τοῦ δρόμου. ὁ τροχὸς παροξυτόνως, κατὰ τὸ παθητικόν, ὁ τροχόμενος. Τροχῶσαι, τροχεῦσαι. Τρόχων, δρόμων, καὶ τὰ ὅμοια. Τρύβλιον, εἶδος ὀξυβάφου. ἢ ποτήριον μακάριον. Τρύγα, οἶνον ἀδιήθητον ἀπὸ ληνοῦ. Τρυγαβόλια, εἰς ἀπόρους ξηροὺς ἀπετίθεντο. Τρυγαῖος, ὄνομα κύριον, ὃ ὁ μὲν Ἡρωδιανὸς προπερισπᾶ. οἱ δὲ λοιποί, ὡς Τίμαιος προπαροξύνουσι. καὶ παρὰ τὴν τρύγα πεποίηται, ἁρμόζον τοῖς γεωργοῖς. Τρυγᾶν, ἐπὶ ἀνθῶν λέγεται, καὶ ἐπὶ κάλλους, καὶ ἐπὶ παντὸς οὗ ἕνεκα ἀπολαύει τις. καὶ τρυγᾶ. Τρυγῆ, ξηραίνει. Τρυγήρατος, φαισμα λευκός. Τρυγηφοὺς, τρυγώδεις, ὄξος. Τρύγη, ὁ δαψιλὴς καρπός. τὰ πεπανθέντα καὶ κατατετριμμένα ἀπὸ τοῦ τρύχω. καὶ τρύγοιπος, ὁ ὑλιστήρ, παρὰ τὸ ἐκπηδᾶν τὴν τρύγα. Τρυγητήρ, ὁ τρυγῶν, ὡς ἐκτήρ. Τρύγητος, ὁ καιρός. τρυγητός, ὁ τρύγος. Τρύγη, ὁ πυρός, καὶ κριθή, καὶ πᾶς ἄλλος καρπός. καὶ ποιὰ βοτάνη. Τρυγῆλαι, τρύγη. Τρύγαλλος, εἴκασμα μεταλλικὸν κατασκευαζόμενον. Τρύγμα, δίκλωμα.

Τρυγοδαίμονες παρὰ τῷ Ἀριστοφάνει, οἱ ποιηταί. ἐπειδὴ τὴν τρύγα χριόμενοι, ἵνα μὴ γνώριμοι γίνωνται, οὕτω τὰ αὐτῶν ᾖδον ποιήματα κατὰ τὰς ὁδοὺς ἁμάξης ἐπικαθήμενοι. διὸ καὶ παροιμία, ὡς ἐξ ἁμάξης λαλεῖ, ἤγουν ἀναισχύντως ὑβρίζει. τοῦτο δὲ ἐποίουν, οἱ κωμικοὶ ποιηταί. ἄλλως, οἱ κωμικοὶ παρὰ τὸ κακοδαίμονες. ἐπεὶ πολλοὶ τῇ αἰσχροποιίᾳ ἐχρῶντο. κακοδαίμονας δέ, παρ' ὅσον ἀφίεσαν τῶν θείων, περὶ τὸ ποιεῖν τρίβονται. τρύγοιπος, ὁ ὑλιστὴρ ὁ σακκίος. Τρυγῳδεῖν, κωμῳδεῖν. Τρυγών, ἰχθὺς θαλάσσιος. ἔχει τὸ κέντρον δηλητήριον, καὶ ὄρνις, καὶ ὁ τῶν γυναικῶν μίξει, καὶ σύντροφος. Τρυγῶσι, τὰς τρυγώσας. Τρύειν, κατατρίβειν, καταπονεῖν. Τρύζειν, τὸ πολυφωνεῖν, ἢ φλυαρεῖν. ἐξ οὗ καὶ τρυγὼν, ὡς ἡ παροιμία ἐπὶ σκώμματι τοῦ πολυλογοῦντος παραλαμβάνεται. λαλίστερος τρυγόνων τοῖς εἰσόντας καλοῦνται. Τρύζω, ψιθυρίζω, γογγύζω. ἀσήμως λαλεῖ. καὶ ἐπὶ τρυγόνων λέγεται. Τρύζειν μὲν ἐπὶ τρυγόνων, αἳ ἐκ τοῦ ῥήματος γίνονται. τρίζειν δὲ ἐπὶ νυκτερίδων, ὧν καὶ ἴδιον δοκεῖ ὁ ποιητὴς λέγειν, τὸ ἀλλήλαις συνέχεσθαι, ὃ καὶ ἴδιον ὁρμαθοῦ. ὁμοίως δὲ τρίζειν ἐπὶ χιόνος. ὅθεν καὶ χιὼν περιγυδία. Τρύζουσιν, ἐτρύω, τετόριν, ὠλόλυξε. Θεόκριτος, ἁ δ' ὀλολυγὼν τηλόθεν ἐν πυκινῇσι βάτων τρύζεσκεν ἀκάνθαις. ἤγουν ἡ ἀηδὼν ἢ ἄρ ἦσαν ὀλοφυρομένη. Τρύζοντα, καταπονοῦντα, ἐνοχλοῦντα. Τρυηλίς, ζῶον, ῥίσις.

Τρυμαλιαί, τρύπαι. Τρυμαλιτίς, ἀφροδίτη. Τρύμη, παρὰ τῷ Ἀριστοφάνει, ὁ περιτετριμμένος ἐν τοῖς πράγμασιν, ὃν ἡμεῖς τρύπανον καλοῦμεν. τρύμη καὶ τρύμην τὴν ὀπὴν φασι. θέλει οὖν εἰπεῖν λεπτολόγος, καὶ πανοῦργος, ὡς τρύπανον. τρύμη οὖν, τρύπανον, ὡς πάντων περιγινόμενον, καὶ τρίψ, καὶ ταλαίπωρος, ἢ τριμάλια. Τρύνας, ἐφίππιος σήμων. Τρύξ, ὁ νέος οἶνος, παρὰ τὴν τρύγην. καὶ γλεῦκος ἀδιήθητον. Τρύξοντα, θέμα μὲν τὸ τρύχω. αὐτὸ δὲ παράγεται ἐκ τοῦ τρύω. τοῦτο δὲ ἐκ τοῦ τρῶ, τοῦ συγκοπέντος ἐκ τοῦ τερῶ, ὃ δηλοῖ τὸ τρυπᾶν. Τρυπᾶν, τρίβειν. Τρύπανον, ὀργανεῖον τεκτονικόν. Τρύπημα, τρῆμα. Τρυπῶ, ἐκ τοῦ τρυπῶμι τρυπῶσι γίνεται αἰολικῶς. διὸ καὶ προσγεγραμμένον ἔχει τὸ ῑ. ἐκτρυπῆσαι κατὰ Παυσανίαν, τὸ μετὰ βίας ἐξελθεῖν. Αἴλιος δὲ Διονύσιος εἰστρυπᾶν φησι τὸ παρεισελθεῖν, καὶ λάθρα μετὰ βίας ἐξελθεῖν. Τρυσίβιον γαστρός, κεκολασμένης, καὶ καταπονούσης. Τρύσιππον, ὃ τοῖς τετριμμένοις καὶ ἀχρείοις ἵπποις ἐπιβάλλεται. ὁ κατὰ Αἴλιον Διονύσιον, τρυσίππιον τετραγωνοειδῶς, ἔγκαυμα ἵππου γεγηρακότος, ἐπὶ τῆς γνάθου ὅμοιον τροχῷ. τὸ κῆρυ οὖν τὸ εἴτε τρύσιππον, εἴτε τρυσίππιον, θερμεία, ἢ σημεῖον γηραιοῦ ἵππου, διὰ ἐγκαύσεως. Τρύσαι, τρύχει, ξηραίνει. Τρύσις, νόσος, πόνος. Τρυσμός, γογγυσμός. Τρυσόν, νοσῶδες, λεπτόν, ἀσθενές. Τρυτάνη, ἡ ζυγὸν λεγομένη, ἧς ἑκατέρωθεν τὰ τάλαντα, αἱ, καὶ πλάστιγγες. κυρίως δὲ τρυτάνη, ἡ ἀνάγει τὸ ῥάβδον τοῦ ζυγοῦ, αὖθις εἰς τοὐπίσω. Τρυφάλεια μὲν πρὸς διακολῶν ἀφάλου, ἡ ἔχουσα τρεῖς φάλους, ἵνα ἢ τρύφαλος, καὶ τροπῇ τοῦ ῑ εἰς ῡ, τρύφαλος. ἀνάπαλιν πρὸς τὸ δίφρος, δίφρος ἄφαλος ἐν χρῷ κεῖται, οὐ μὴν καὶ τρύφαλος. τρυφάλεια, ἐπίθετον περικεφαλαίας οὔσης, ἀντὶ κυρίως ἐκείνης λαμβάνεται. Τρύφακτος, ... Τρυφαλίδες, ἢ τρυφαλλίδες, τὰ τμήματα τοῦ ἁπαλοῦ τυροῦ. Τρυφερός, νέος, ἁπαλός, ὁ ψιλός. Τρυφή, γαστριμαργία, πολυφαγία, οἰνοφλυγία. Τρυφή, παρὰ τὸ θρύπτω τὸ διακλῶ θρυφὴ καὶ τρυφή, ἡ διακλῶσα καὶ ἀφανίζουσα ἡμῶν τὸ σῶμα. καὶ τρυφᾶν, ἀντὶ τοῦ διακλᾶσθαι. Τρυφὴ ἐστι φιλάδονος λιχνεία, ἢ πλεονασμὸς περίεργος, πρὸς ἡδυπάθειαν ἀεὶ μένων. Τρυφηλοῖς, ἐπιθυμητοῖς. Τρύφος, καλάσιρις, ἔνδυμα γυναικεῖον. Τρύφος, ἐπὶ ἄρτου λέγεται, δύναται δὲ καὶ ἐπὶ ἄλλων. ὡς δηλοῖ τὸ τρίχθα καὶ τετραχθὰ διατρυφὲν ἔκπεσε χειρός. τὸ γὰρ διατρυφὲν, τρύφος ... τρύφος, τὸ κλάσμα. τρύφος γίνεται, ἀπὸ τοῦ θρύπτω. τρυφὴ δέ, ἀπὸ τοῦ θρύπτομαι. Τρυφῶ ἀμεταβάτως, τὸ ἐν τρυφῇ διάγω, καὶ τρυφῶ τοῖς λόγοις. Τρυφῶ, ἐπὶ τοῖς λόγοις, καὶ ἐντρυφῶ τῇ σῇ θέᾳ, καὶ αἰτιατικῇ, καὶ γενικῇ, κατὰ τὴν μερικὴν σύνταξιν. ὡς τὸ ἔσπασα τοῦ ἄρτου, καὶ ἔπιον τοῦ οἴνου, μέρος δηλονότι. οὕτω καὶ τρυφῶ τῶν πάντων καλῶν, μέρος δηλονότι. τρυφῶ καὶ τρυφή, τὸ χλιδῶ τὸ χλιδή, Αἰσχύλος ἐν Προμηθεῖ, χλιδᾶν ἔοικας τοῖς παροῦσι πράγμασι. Συνέσιος ἐν τῷ περὶ βασιλείας, γαυροῦντα, τὸ χλιδῶντας. Σοφοκλῆς ἐν Ἠλέκτρᾳ, τὸ ξῶμα τύμβον οὐ χλιδαῖς ἠσκημένον.

Ἄλλως. Τρυφῶ, συζυγίας δευτέρας τῶν περισπωμένων, συντάσσεται δοτικῇ. οἷον τρυφῶ ἐπὶ τοῖς λόγοις, τὸ ἐντρυφῶ τῇ σῇ θέᾳ. Τρυφῶ λέγεται, τὸ ἀπολαύω τὸ ἀπὸ τῆς τρυφῆς ἀπολαύουσι. τρυφῶ λέγεται καὶ τὸ βλακεύομαι. ἀφ' οὗ ἡ τρυφή, ἡ βλακεία. τρυφῶ ἡ τὸ κυδαλιάζομαι. τὸ τρυφή, ἡ κυδαλεία. Τρυφώματα, θρέμματα, ἁπαλοί. Τρύχεται, καταπονεῖται, κακοπαθεῖ, ταλαιπωρεῖται, ἀπονοῦται. ἐκ τοῦ τρύχω τρύχομαι, τρύχω τὸ δαμάζω. Τρυχηρά, ῥακώδη. Τρυχινοῖς, ῥακίοις. Τρύχνον, τὴν πόαν λέγουσι θηλυκῶς. τρύχνον δὲ σὺν τῷ σ̄, εὐδαιμόνως νύριν.

Τρυχοῦν, καταπονεῖν, ἰσχναίνειν, παρὰ τῷ Ἱπποκράτει. Τρυχόμενος, καταπονούμενος, ὀνειδιζόμενος, δαπανώμενος. Τρύχος, τρύχος, ἐπιτρίβουσι. Τρυαί, κάλλιον ἢ τρυάδες.

χέρνιψιν [illegible]. Τρίμορφα, τρίσημα. Τριώλαξ, ἀγὼν παρθένων δρόμου. Τριόπτης, περιβραχύτατος κόσμος, ὡς μέν ποτε παρὰ τοὺς ὤμους, οἱονεὶ ὁ τρεῖς ἔχων ἴσως, ἢ γοῦν ὀφθαλμούς. Τριχῶς, τρισσῶς, ὥσπερ τελικῶς.

Τριχῶσαι, θάψαι. Τριτομηρίζειν, [illegible], καὶ περιλακεῖν τὰς ὥρας. Τροία τρὶς ἐπορθήθη, πρῶτον μὲν διὰ τοὺς ἵππους τοῦ Λαομέδοντος. Λύσθαρ, κατέβημεν ταύτην ἀμαξεῖον, ὥς που φησὶν Ὅμηρος· ὡς ἂν πτολίεθρον ἀλαπάξαι ἀμαξόντα ἀντεκταλήσομαι. τρίτον δὲ, διὰ Ἰλίου πορθήσεως τελείως ἠφανίσθη. αὐτὴν δὲ τὴν χώραν ἔλεγον μὴ δύνασθαι ἐλλιπῶς πορθεῖσθαι, εἰ μὴ τὰ ὀστᾶ τοῦ Πέλοπος ἐνεγκῶσι, καὶ τὴν ἤδη Ἀχιλλέως συμπόλεμον, καὶ τὴν Φιλοκτήτην, ὅπερ οὖν ἐπράχθη. Φιλοκτήτης δὲ ἀντισαθῆναι αὐτὸν ἐν Λήμνῳ ἀλεξίκακον πρὸς τρίτην, ὑβρισθεὶς αὐτὴν, πρῶτον μὲν κατὰ λαιὰν χεῖρα, εἶτα τὴν δεξιὰν αὐτοῦ ὀφθαλμὸν ἐκβαλὼν, καὶ τρίτον τοὺς πόδας βαλὼν ἀνεῖλε. Τροίαν ἱερὰν λέγει Ὅμηρος, ὅτι ὑπὸ Ἀπόλλωνος καὶ Ποσειδῶνος ἐκτίσθη. ὅθεν καὶ ἱερὸν πτολίεθρον φησὶν, ὡς Θεόκλυτος λέγεται. Τροιζὴν, πόλις ἀπὸ Τροιζῆνος, ὡς πρόκειται προσίσταται. καλεῖται δὲ, ἀπὸ Τροιζῆνος τοῦ Πέλοπος, ἡ δὲ αὐτὴ πάντα καὶ Ἀφροδισιὰς, καὶ Σαρωνία, καὶ ἡ Ποσειδωνία, ἢ Ποσειδωνιάς, ὥς ἱερά φασι Ποσειδῶνος, ἢ Ἀπολλωνιάς. ἔστι δέ φασι καὶ ἑτέρα ἐν Ἰταλίᾳ μασσαλιωτικὴ, τοῦ δὲ Τροιζῆνος ταύτης λιμὴν ὀνομάζεται ὁ Πώγων. ὅθεν καὶ ἐπὶ τῶν ἀρχόντων, τὸ γένειον, καὶ τὸ ἐκδεδεμένον ἀνδρικὸν πώγωνα. λέγεται παροιμιωδῶς, πλεῦσαι εἰς Τροιζῆνα. ἱστορεῖ καὶ Ἀθηναῖος Τροιζήνιον οἶνον, ὅς λέγεται φησὶν ἀγόνους ποιεῖν τοὺς πίνοντας. λέγων καὶ περὶ τοῦ τῆς Ἀχαΐας ἀμπέλου τί γένος εἶναι, ἀφ' ἧς οἶνος ἐκτρίβεται, ποιεῖν ἐξαμβλοῦν τὰς ἐγκυμονούσας γυναῖκας. Τρομεοίατο. καθὰ καὶ τὸ τρομέοιτο, ἀπορίαν ἔχει διὰ τί μὴ ἐκτείνουσι τὴν ἀρχουσαν, ἵνα ᾖ, ὡς τρέφω τρόφος τροφῶ, νέμω νόμος νομῶ, τρέπω τρόπος τροπῶ. οὕτω καὶ τρέμω τρόμος τρομῶ διὰ τοῦ ω μεγάλου, ἀλλὰ μὴ διὰ τοῦ ο μικροῦ. ὁμοίαν ἀπορίαν ἔχει, καὶ τὸ δέμω δόμος δομῶ δομέω, ἀλλαχοῦ διαλέλυται ἡ ἀπορία.

Τρομέουσι φρένα, διέσκλη τὸ κατὰ σῶμα τρόμον. Τρομέονται, γίνεται ἐκ τοῦ τρέμω τρόμος τρομῶ, οὐχ ὑπάγεται δὲ τῇ ἀναλογίᾳ τοῦ, τρέπω τροπῶ, καὶ τοῦ τρέφω τροφῶ. ἐκεῖνα μὲν γὰρ δευτέρας συζυγίας τῶν περισπωμένων, τοῦτο δὲ τῆς πρώτης. τρόμος ἐπὶ δειλίας, ὁμοίως καὶ τὸ τρομέειν. Τρόμος, εἶδος τῶν ὑποπεπτωκότων τοῦ ὀνόματος εἰδικοῦ. γίνεται παρὰ τὸ τρέμω, τοῦτο παρὰ τὸ θέρμω, τὸ θερμαίνω. Τρόμος, εὐλάβεια, δέος, φυγή. Τρόνα, τὰ θρόνα, ἀγάλματα, ἢ φάρμακα, ἄνθινα. Τρόνοι, πότνιοι, κύμων, ἀρπεδόνη, ἄτρακτοι. Τροπαγὸς, ὁ ἀπηλιωμασμένος. Τροπαῖα, ἢ ἄρσενα δὲ τὸ τὰ τρόπαια, ἔστι τὰ νικητήρια, μὴ μόνον δεῖ ἀνατίθεσθαι, ἀλλὰ καὶ τῇ Ἥρᾳ. ἡ ὥσπερ ὁ Ζεὺς πανομφαῖος, οὕτω καὶ ἡ Ἥρα πανομφαία. ὅς δὲ καὶ γίνεται γένεα. Τροπαὶ ἠελίοιο ἐν Ὀδυσσείᾳ, ὅθεν ἔσι τροπαὶ ἠελίοιο, ἀντὶ τοῦ καμίνης, ὅρους τοῦ σφαιροειδοῦς πρὸς τροπὰς ἡλίου. ἤτοι πρὸς τὰ δυτικὰ μέρη τοῦ ὁρίζοντος. ἔστι δὲ τὸ τρέπεσθαι ἐπὶ τοῦ δύνειν κεῖται, δηλοῖ τὸ ἐπὶ ἡλίου λεχθὲν, τὸ ἀπ' οὐρανόθεν προτρέπεται. ἔνιοι δέ φασι σπήλαιον εἶναι ἐκεῖ, δι' οὗ τὰς τοῦ ἡλίου, ὅς εἰκὸς ἐσημειοῦτο τροπάς. ὁ καὶ ἡλίου διὰ τοῦτο σπήλαιον ἔλεγον. Τρόπαιον παρὰ τοῖς Ἀττικοῖς, προπερισπωμένως παρείληπται. Τροπαῖον οἱ παλαιοὶ Ἀττικοὶ προπερισπῶσιν, οἱ δὲ νεώτεροι, προπαροξύνουσιν. ὡς παρ' Ἀριστοφάνει ἐν Θεσμοφοριαζούσαις, γυναικῶν, οὐκ ἀρέσει οὐ στήσω βελτίστην θ' ἡ τρόπαιον. καὶ οἶμαι κατ' ἀναλογίαν τοῦτο μᾶλλον παρὰ σφίσι τοῦτο προφέρεσθαι, ὡς ἀπὸ τοῦ τρίτου τὸ τριταῖον, καὶ ἀπὸ τοῦ οὐρανοῦ τὸ οὐράνιον. ἔστι δὲ τρόπαιον, ὃ ἐν ταῖς νίκαις οἱ παλαιοὶ ἐποίουν τεῖχος, ἢ λίθον μέγαν ἱστάντες, ἐγγράφοντες ἐν τούτῳ ἃ κατὰ τῶν ἀντιπάλων ἔργα διεπράξαντο. ἐκλήθη δὲ τρόπαιον, διὰ τὸ ἐπὶ τῇ τροπῇ τῶν ἐχθρῶν γεγενῆσθαι. Τροπαιοῦχος, ἀριστεύς.

Τροπαλισμὸς, μεταβολὴ, ἢ τὸ ἐκ συμβόλων ὑποδέχεσθαι. Τροπαλὸν, τραχύ. Τρόπεον ὄχον, ἤγουν ἐστραμμένον τὸν τροπὸν, τῆς δευτέρας συζυγίας τῶν περισπωμένων. Τροπέω, ἐκ τοῦ τρέπω. ἀφ' οὗ καὶ ὁ οἶνος λέγεται τρεπτός. Τρόπηλις, ἡ τῶν σκορόδων δέσμη, ἀπὸ τοῦ εἰλεῖσθαι. ἐν δὲ τοῖς νεωρίοις τοῦ ἑορτῆς, ἔθηκεν σκόροδα, ἵνα αὐτῶν ἀπέχωνται ἀφροδισίων, ὡς μὴ μύρου πνέοιεν. Τροπαῖς ἀποσκίασμα, ἀντὶ τοῦ ἀποσκιασμὸς, καὶ ὁμοίωμα, φαντασίας φοβερᾶς. Τρόπηκες, μέρος τῆς κώπης, ὁ τρόπηξ οὐ ἐπιλαμβάνονται οἱ ἐρέσσοντες. ὥστε ἀπὸ μέρους τὴν κώπην. Τροπίας οἶνος, ὁ τετραμμένος καὶ ὀξυνθείς. Τροπίδια τὰ εἰς τρόπιν νεὼς ἐνδεδομένα ξύλα. Τροπικώτερον, ἀκυρολογικώτερον, ἀναγωγικῶς, μεταφορικῶς, οὐκ ἀληθῶς. Τρόπιν, ὥσπερ ἔλεγεν Ἀριστοφάνης, τὴν ῥίζαν. ἐπὶ τῶν φυτῶν, ὁ τρόπις ἵσταται πρῶτον. ἄλλως, τρόπιν ἀντὶ τοῦ μέρος ἀπὸ μεταφορᾶς τῆς ναυς. οἱ δὲ τὴν ἀρχὴν, ἐπειδὴ δὲ πρὸς τὸ σκάφος. Τρόπις λέγεται, τὸ ὑποκάτω τοῦ πλοίου ξύλον, ὃ καὶ στεῖρα λέγεται. ὡς περιέχοντα τὸ λοιπὸν, καὶ συνέχον τὰ πάντα. ἐνίοτε ὅλον πλοῖον σημαίνει. Τροποὶ, ὀξυτόνως. ἤδη κοινότερον εἰπεῖν τροπωτῆρες, ἱμάντες οἷς ἡ κώπη πεδᾶται, ἐνείρεται τοῦ ἐδωλίου λεγομένου σκαλμοῦ. λέγεται καὶ ἐπικωπητήρ. γίνεται δὲ παρὰ τὸ τρέπεσθαι, ὅ ἐστι στρέφεσθαι, κάμπτεσθαι, κλώθεσθαι, εἴλεσθαι, γυρεῦσθαι. τρόχος δὲ βαρυτόνως ἐπὶ ἀνθρώπων, ὥσπερ τρόχος κατὰ τοὺς παλαιοὺς ὁ ἄγγελος, ἔτι δὲ ὁ δρόμος. τροχὸς δὲ ὀξυτόνως ἐπὶ τοῦ ἅρματος καὶ ἀπήνης. Τρόπον ἕνεκα, ἀντὶ τοῦ ζῆθι τὸν τρόπον. Τρόποι, ἦθος, γνώμη, προαίρεσις. Τροποῦσθαι, ἁρμόζεσθαι, μεταβάλλεσθαι, τρέπεσθαι.

Τροπωτῆρες, οἱ ἱμάντες οἱ ἐν τοῖς πλοίοις, ἐν οἷς αἱ κῶπαι περὶ τοὺς σκαλμοὺς περιδέονται. τροπὸς δὲ ὁ τροπωτὴρ παρὰ τὸ τρέπειν τὰς κώπας. Τροπώσομαι, νικήσω, πλήξω.

Τρεῖται, ἰχνεύεται, τύπτεται. Τροῦγοι, δρόμοι, σεῖλοι.

Τροφωνιάδαι λεγόμενοι προκειμένου. Τροφαλίδα, οἱ μὲν τὸν ἐπιμήκη τυρὸν, οἱ δὲ τροχὸν τυροῦ σικελικοῦ. πλακοῦντα? δὲ σικελίαν, διὸ τυρὸν πολὺν καὶ κάλλιστον ἔχει. Τροφεῖς, ὁ τρέφων, τρόφιμος, ὁ τρεφόμενος ὑπὸ τοῦ τροφέως. ὥσπερ ἐγὼ γέγονα τοῦτο τρόφιμος τῶν μουσικῶν παιδεύων.

Τροφὴ, παρὰ τὸ τρέφω, τὸ πηγνύω, ὁ πηγνύεται καὶ συνάγονται ὑπ' αὐτῆς τὰ σώματα. λαμβάνεται καὶ ἐπὶ τῆς ἀγωγῆς, καὶ παιδείας. καὶ τροφὴν ἀντὶ τοῦ ἀχθὴν, καὶ παιδευθείς. καὶ ἐπὶ τῆς πολιτείας. Πλάτων, τὸν περὶ τὴν τροφὴν καὶ γένεσιν. τροφὴν μὲν γὰρ βρῶμα, καὶ πόμα λέγομεν. γένεσιν δὲ, τὰ ἀφροδίσια. ἐν δὲ τρίτῃ πολιτείας, καὶ ὑπὸ τῶν Σειρήνων χερσὶ τεθραμμένος, ἀντὶ τοῦ πεπαιδευμένος. Τροφὸς, χοῖραξ, σκώληξ. Τρόφι, ἀντὶ τοῦ τρόφιμον. ἤδη παλαιὸν πεπηγὸς ἐκ τοῦ τρέφειν. Τροφίμη, δέσποινα, ἢ μήτηρ. Τρόφι κῦμα, τὸ τεθραμμένον καὶ συνεστραμμένον, ὅ ἐστιν εὔτραφές. Τροφιώδες, ἔχον ἐμφερόμενα τινὰ πεπηγότα, παρὰ τὸ τρέφεσθαι ὅ ἐστι τὸ πήγνυσθαι, παρὰ τῷ Ἱπποκράτει.

Τρόφιμον, ὁ ὑμεῖς Λακεδαιμόνιοι. ἢ τρόφιμον ἀνθρὸς λακτύλιον. Τροφοῦνται, παχύνονται. Τροφὸς, πατὴρ δεσπότης, ἢ μήτηρ. Τροφόεντα κύματα, ἢ τραφόεντα. γράφεται δὲ διχῶς, τὰ μεγάλα καὶ εὐτραφῆ, καὶ τὰ πεπηγότα καὶ στερεὰ, ἐκ τοῦ τρέφω. ἐξ οὗ καὶ τροφὴ, ἡ τὸ σῶμα συμπηγνῦσα. Ἄλλως. Τροφόεντα κύματα παρ' Ὁμήρῳ, πελώρια ἢ ὄρεσι, ὃ ἐστι σημαντικὸν διὰ τὸ εὐτεκτὸν παραύξησιν. μεῖζον μὲν γὰρ φρικὸς, τὸ ἁπλῶς τροφόεν κῦμα. πλεῖον δὲ, τὸ πελώριον. ἔτι δὲ μεῖζον, τὸ ἴσον ὄρεσιν, ἢ ὥς φησί τις, πέλας ὄρους. Τροφώνιος, ἀνὴρ ὃν παλαιοὶ φιλόσοφοι. οὗτος ἐν Λεβαδείᾳ τῆς Βοιωτίας ὑπόγειον οἴκημα, εἰσελθὼν ἑαυτὸν, ὡς μαντευόμενος ἀπέθανεν. ἐγκαθιστὰς δὲ δαιμόνιον, τὰς μαντείας ἐτέλει. εἰσήρχοντο δὲ εἰς αὐτὸ οἱ χρώμενοι, ἔχοντες ἐν ταῖς χερσὶ μάζας, ἵνα τοὺς ἐκεῖ ἐμφιλοχωροῦσιν ὄφεσι διδόντες, μὴ ὑπ' αὐτῶν δυσχερὲς πάσχοιεν. ὁ δὲ εἰσιὼν ἐκεῖσε, λοιπὸν οὐκέτι ἐγέλα, διὰ τὴν τοῦ χωρίου κατάπληξιν. ὅθεν ἡ παροιμία ἐπὶ τῶν ἀγελάστων, καὶ σκυθρωπῶν, εἰς Τροφωνίου μεμάντευται. Τροχαδίσκοι, ἐγκυλίσματα. ἀπὸ αἰγείου δέρματος. Τροχαῖα, μέλη ἐν ᾠδαῖς, ἡ ὁδὸς, ὡς ῥίψων. Τρόχαλοι, οἱ ἤδη τῇ ἰσότητι.

Τροχαλὸν, τροχαῖον, τραχὺ, ἢ περιτρέχον. Τροχαλὸν γὰρ ὄντα λέγει Ἡσίοδος, δίνῃ τροχῷ κεκαμμένον, καὶ κεκαμφότα. τρόχαλοι ἰδίως οἱ κόχλακες, οἱ δὲ κρημνώδεις λίθοι

Τρίπους συγκοπῇ αἰολικῇ τοῦ υ. ἔστι δὲ τρίπους κρατὴρ μέγας τρεῖς πόδας ἔχων. Τριπτὴρ, ὁ τῶν σταφυλῶν τριβευτήριον, ὑπὸ δὲ Ἀττικῶν, ὁ ληνός. Τριπτὴρ τριπτῆρος, πυέλου ἐν σίτῳ, οἷα τὰ ἐπιλήνια. καὶ πόλιν σημαίνει τοὔνομα. Τρίπτυχος, ὁ τρεῖς πτύχας, ἤτοι ἐπιπτύσσεις ἔχων. ἢ ὡς σίδηρος, τριπλοῦμενος, διὰ περίφραξιν πρὸς ἀσφάλειαν. ἔστι δὲ χαλκοῦς πλάκας ὁμοίας πῶς, πρὸς τὸ δίπτυχα, οἱονεὶ δίπτυχα τριάζεται. Τρὶς ὄλβιος, τρὶς μακάριος. ὄλβος γὰρ ἡ εὐδαιμονία. τρισευδαίμων, μακάριος. Τρὶς, ἐπὶ τοῦ πολλάκις. Τρισαλιτήριος, ἁμαρτωλοί. Τρισκελῆ, χαλαῖα.

Τρισπόλιον, βοτάνη τίς. Τρισσοί, οἱ κατὰ χεῖρα τοῦ βασιλέως, οἱ ἔχοντες λόγχας ἀνὰ τρεῖς. κατὰ χεῖρα.

Τρισσὸν, τὸ ὀρθοτιακὸν, τρισσόν. ἐξ οὗ καὶ ῥῆμα, τρισσῶ, τρισσεύσω. Τρισσὸς, εἶδος ὄφεως. Τριστοιχεί, ἐπὶ τρεῖς τάξεις. Τριταγωνιστὴς, ὁ Αἰσχίνης, ὡς ἀδοκιμώτατος τῶν ὑποκριτῶν, ἐν τῇ τρίτῃ τάξει καταλεγόμενος. Τρίτην ἡμέραν λέγουσιν οἱ Ἀττικοὶ, οὐχὶ τρίτος, ἀλλὰ τρίτη. ξενοφῶν, χθὲς καὶ τρίτην ἡμέραν, καὶ τρίτον ἔτος, οὐχὶ τρίτον ἔτει. Τριτοπάτορες, οἱ πρὸ τοῦ τρίτου πάλαι αὐτοῦ. ἃ ἔστι πλεῖστον φασὶ δος. Τρίτη θεσμοφορίων. καὶ ἅμα μὲν λέγει τρίτην θεσμοφορίων εἶναι, ἅμα δὲ μέσην, τετάρτην οὖσαν ἡμερῶν;

Τριτημόριον, οἱ ἐξ χαλκοῖ. τριτημόριον ἐλέγετο, καὶ ἐπὶ τῆς μοίρας, καὶ ἐπὶ νομίσματος ἀργυροῦ. Τριτογένεια, ἡ Ἀθηνᾶ, ἡ φρόνησις. ἐπεὶ κατὰ Δημόκριτον τρία γίνεται ταῦτα ἐξ αὐτῆς, τὸ εὖ λογίζεσθαι, τὸ λέγειν καλῶς, καὶ τὸ ὀρθῶς πράττειν αὐτῇ. τελείας γὰρ ἐστιν φρονήσεως, τὸ νοῆσαι, τὸ εἰπεῖν, τὸ ποιῆσαι, τὸ πάντα καλῶς. ὁ δὲ μῦθος οὕτω λέγει αὐτὴν, ὡς ἐν τρίτῃ μηνὸς γεννηθεῖσαν. ἢ ὅτι ἐκ τῆς Διὸς κεφαλῆς γενομένη. τρίτον γάρ φασι κατὰ τὸ μέσον κρατῆρα κεφαλήν. ἢ ὅτι παρὰ τῷ Τρίτωνι Λιβυκοῦ ποταμοῦ κεῖται, οὕτω ἀπ' ἐκείνου δηλοῦσι. καὶ οὐ μόνον δὲ καθ' ὃ ἐκαλεῖτο Τριτωνὶς, ὡς γεννηθεῖσα ἐκεῖ, ἀλλ' ὡς τραφεῖσα. ὡς δὲ ἄλλοι, ἐν τῷ τρίτῳ γενομένῃ, αὕτη δὲ χῶρα καὶ ἡ παρθένος. καὶ γὰρ ἡ τὸν γεννηθεῖσα καὶ ἡ ἐν αὐτῷ γενομένη. ἢ κατὰ τὸ ἀκμαῖον τριτογενής, ἢ τὸ τρεῖς γεννᾶσθαι τοῖς ἐχθροῖς. Τριταγώνεια παρὰ τοῖς Λακεδαιμονίοις, εἶδος ὀρχήσεως, ἢ καλεῖται πυρρίχη. διὰ δὲ τὸ ὑπὸ τριῶν ἀεὶ τελεῖσθαι, τριταγώνεια κέκληται. τρίτου γὰρ ἡ κεφαλὴ παρ' αἰολεῦσιν. ἐγεννήθη δὲ ἡ Ἀθηνᾶ, ἐκ τῆς κεφαλῆς τοῦ Διός. ἐτέλουν δὲ ταύτην τὴν ὄρχησιν, οἱ πρότερον μὲν ὡπλισμένοι, καὶ τὴν ἀσπίδα ἐν πλαγίῳ φέροντες. οἱ ὕστερον δὲ, ἐμπροσθεν τῶν ποδῶν ἔφερον. Τριτοκείρα, ἡ πάντα συντελοῦσα τὰ εἰς τοὺς γάμους. ἔστι δὲ γενικὰ πλείστα. Τριτομηνὶς, ἡ τρίτη τοῦ μηνός. Τρίτον ἡμιδραχμον, αἱ δύο δραχμαὶ, καὶ τριώβολον. Τριτοπάτορες. Δήμων ἀνέμους εἶναί φασι. Φιλόχορος δὲ, τριτοπάτορας. Φανόδημος δέ φησιν, ὅτι μόνοι Ἀθηναῖοι θύουσι, καὶ εὔχονται αὐτοῖς, ὑπὲρ γενέσεως παίδων. ἐν δὲ τοῖς ἐξηγητικοῖς φυσικοῖς, τοὺς τριτοπάτορας, ὀνομάζουσι, τρυβάλλειν, καὶ προβηκότα, θυρωροὺς καὶ φύλακας εἶναι τῶν ἀνέμων. ὁ δὲ τὸ ἐξηγητικὸν ποιήσας, οὐρανοῦ καὶ γῆς φησιν αὐτοὺς εἶναι. ὀνόματα δὲ αὐτῶν, κότος, βριάρεως, καὶ γύγης. Τρίτος κρατὴρ, Σοφοκλῆς ναυπλίῳ, καταπληκτικῶς ἐν ταῖς συνουσίαις ἐκίρνων τοὺς κρατῆρας τρεῖς. καὶ τὸν μὲν πρῶτον, Διὸς ὀλυμπίου ἢ θεῶν ὀλυμπίων ἔλεγον. τὸν δὲ δεύτερον, ἡρώων. τὸν δὲ τρίτον, σωτῆρος. Τριττάται, Ἀριστοφάνης ἐν πλούτῳ. καταπεπαυμένοις, τουτέστι, τρίας. Τρίττα, οὕτως ἡ κοινὰς ὀνομάζουσιν. Τριττύς λέγεται παρὰ τοῖς παλαιοῖς, θυσία ἐκ τριῶν ζώων, οἷον δύο μήλων καὶ βοός, ὡς Ἐπίχαρμος. ἢ βοὸς, αἰγὸς καὶ προβάτου, ἢ κάπρου, κριοῦ, καὶ ταύρου. ὁ δὲ τοιοῦτος βούπρωρος φασὶν ἐλέγετο, διὰ τὸ προηγεῖσθαι αὐτῶν, ἐν κρείσσονι τὴν βοῦν. φράζει δὲ ἵνα τριττύαν καὶ ὁ κωμικὸς ἐν τοῖς βουθυσίαις, ὑν καὶ τράγον καὶ κριόν. ἐλέγετο δὲ καὶ δωδεκαῖς θυσία, ἡ ἐκ δώδεκα ζώων. ἢ δὲ αὐτὴ καὶ διὰ τῶν δωδεκαΐς. ὡς δὲ καὶ ἑκατόμβη ἐλέγετο, ἡ ἐξ ἑκατὸν. καὶ χιλιόμβη, ἡ ἀπὸ χιλίων. Τριττὺς, τὸ τρίτον μέρος τῆς φυλῆς. αὕτη γὰρ διῄρηται εἰς τρία μέρη, τριττὺς, καὶ ἔθνη, καὶ φρατρίας. καὶ τριττύαρχοι, ὁ ἄρχων τῆς τριττύος. Τρίτων, ῥεῦμα, ποταμός, ῥεῖθρον.

Τρίτων, ὄνομα ποταμοῦ, παρὰ τὸ τρεῖς τὸ φοβεῖσθαι, ὁ φόβου ἐμποιητικός. ἢ παρὰ τὸ ῥέω. ἢ παρὰ τὸ ἐκ τριῶν γενέσθαι στοιχείων, καὶ πλεονασμῷ τοῦ τ, τρίτων. καὶ γὰρ ἕκαστος ποταμὸς τριῶν στοιχείων μετέχει, γῆς, ἀέρος, ὕδατος.

Τρίτων, πόλις Λιβύης. ἔστι δὲ καὶ Βοιωτίας. λέγεται δὲ ἡ Ἀθηνᾶ παρὰ θατέρῳ αὐτῶν γεγενῆσθαι. ἀφ' οὗ καὶ τριτογένεια λέγεται. οὕτω λέγει. οἱ δὲ, ἡ τὸ τρεῖν, ἤγουν τὸ φοβεῖσθαι τοὺς ἐναντίους ποιοῦσα. Τρίτων, θαλάσσιος δαίμων, υἱὸς Ποσειδῶνος καὶ Ἀμφιτρίτης. τὰ μὲν ἄνω μέχρι καὶ ὀμφαλοῦ ἄνθρωπος, τὰ δὲ ἐξ ὀμφαλοῦ μέχρις οὐρᾶς, δελφίς. καὶ οἷον εἰκὼν, ὥσπερ ἰχθυοκένταυρος. Λυκόφρων τὸν τρίτωνα, ποσειδῶνα καλεῖ.

Τρίτωνος ἐκβολαῖς, παρὰ Λυκόφρονι. τρίτων ὁ Νεῖλος, ὅτι τρὶς ὠνομάσθη. πρότερον γὰρ ὠκεανὸς ἐκαλεῖτο. δεύτερον, ἀετὸς, διὰ τὸ ὀξέως ἐκρέειν. τρίτον, Αἴγυπτος. ὁ Νεῖλος δὲ νέον ὕδωρ, ἀπὸ τοῦ νέαν ἄγειν ἰλὺν, καὶ χωροῦν τὸ μίλκιον. Τρίτωνος, Νείλου παρὰ τὸ τρίτον μετακληθῆναι. πρότερον γὰρ ὠκεανὸς ἐκαλεῖτο, εἶτα Αἴγυπτος. καὶ τρίτον Νεῖλος. ὅθεν αὐτὸν τρίτωνα καλεῖ. Τριτωνίς, τρίτωνες τρεῖς, Βοιωτίας, Θεσσαλίας, Λιβύης. ἐν δὲ τῷ κατὰ Λιβύην, ἐτέχθη ἡ Ἀθηνᾶ.

Τριφάλεια, κόρυς ἢ ἔχουσα τρεῖς φάλους, ἤγουν ἀναστήματα. Τριφάσιοι, τριπλάσιοι, τρίφωνοι. Τριφέρμηνεῖς, ἀντὶ τοῦ μαλακὰς τακεῖς. Τριφίλακον νύκτα, κατὰ τοὺς παλαιοὺς ὁ ποιητὴς βούλεται εἶναι τὴν νύκτα, ὅ ἐστι τριῶν φυλακῶν, τριμερῆ ποιῶν αὐτὴν, καθὰ καὶ τὴν ἡμέραν. ὅτι εἶπεν ἑσπέρης, ἢ δείλης, ἢ μέσον ἦμαρ. Τρίφυλλα, πολύφυλλα. καὶ πόα δέ τις μηδική, οὕτω καλουμένη. Τρίφυλλοι, οἱ πεντακόσιοι. Τριφυῆ, τριπλοῦν. Τριχὶ, τριχῶς.

Τριχαΐκες, Δωριεῖς. ἐπειδὴ οἱ μὲν εὔβοιαν, οἱ δὲ πελοπόννησον, οἱ δὲ κρήτην ᾤκησαν. ἕτεροι δέ φασι τοὺς πολεμικοὺς, καθ' ὁμοιότητα τῶν κορυθαίολων πολεμιστῶν, οἱ δηλαδὴ αἱ τῆς περικεφαλαίας τρίχες αἴρωσι, τουτέστι σείονται κατὰ τὸν πόλεμον. ὡς ἐκεῖνο, ὡς οὕτω, τοὺς τριχαϊκοπολεμιστὰς, ἀναγινώσκεσθαι καθ' ἑξῆς. ἄλλοι δὲ τοὺς τριλόφους φασὶν, εἰς λόφους τρίχας ἔχοντας. εἰσὶ δὲ οἱ καὶ κνίσας ὀρχηστὰς εἶπον τοὺς τριχαΐκας. ἐπεὶ καὶ ἡ ἀρετὴ πρὸ τὸν ἄλλα πόλεμον ὀρχήσεως. ὁ δὲ Γεώργιος οὕτω καλεῖσθαι μόνους τοὺς κατὰ πρώτην Δωριεῖς ἱμάτιον, δηλοῖ ὀνομασθῆναι οὕτως ἢ μετὰ φιλοσοφίαν, καὶ ὅτι τρίχινοι αὐτοῖς λόφοι, ἀλλὰ διὰ τὸ ἐκ πατρικοῦ ἐλθόντος, τρεῖς ᾤκησαν.

Τριχάνα, ἡ τρίτη φυλακή. Τριχαπτὸν, τὸ βομβύκιον ὕφασμα, ὑπὲρ τὸν τριχῶν τῆς κεφαλῆς ἀπτόμενον, ἢ πλέγμα.

Τρίχες, παρὰ τὴν τραχύτητα, τραχεῖαι οὖσαι. οἱ δὲ ἀπὸ τοῦ τρίζειν ἐν τῇ κουρᾷ. οἱ δὲ, ἀπὸ τοῦ πλέκεσθαι. οἱ δὲ, ἀπὸ τοῦ τρύχεσθαι, καὶ ἀφαιρεῖσθαι συνεχῶς. Τρίχες, διαφέρουσι τῶν ἐρίων. τρίχες γὰρ, τῶν αἰγῶν, καὶ συῶν. ἔρια δὲ, τὰ τῶν προβάτων. Τρίχες, χαίτη, λαχνὴ, λάχνωσις, κόμη, γαλαντία, λεισκαρίων, ὑπαφαλαντίας, φαλάκρα, πλοκαμοί, βόστρυχος. τρίχες αἱ τῶν γυναικῶν, καὶ τὰ ἐπὶ τριχῶν χρυσοῦ, κτένες, σκυγίδες. Τριχθαδίην, τρισσῶς.

Τριχθὰ, καὶ τετραχθά. ἐκ τοῦ τρίχα καὶ τοῦ τέτραχα γίνεται, πλεονασμῷ τοῦ θ, διὰ τραχυφωνίαν πλείονα. ὁ δὲ γίνεται καὶ ἐπὶ τοῦ ὄχθος ὄχθα. ἐν αὐτοῖς γὰρ ὑπὸ τοῦ ἐξ ἴχνους γινομένοις, πλεονασμὸς τοῦ θ ἐστὶν, ὡς ἐν τῷ ὑποχθόνιον καταχθόνιον. ὃ παρ' Ἡσιόδῳ κεῖται, ἐκ τοῦ χθὼν χθονός. ἐξέτεινε δὲ, ὡς τὸ δυάς. Τριχαΐδες, αἱ χαλκίδες. Ἡρακλέων, μεμβράδες. Τριχίδες, εἶδος ἰχθύων, ἃς θρίσσας καλοῦμεν. ὥστε, ἰσοπλευρὸν ἔχει ὅλον τριχίδιων πεπληρωμένον. Τριχίνεον, παρὰ τὸ τρίχας ὑποκατασπᾶν. τὸ κατάπυκνον, καὶ ἀλγῦνον τὸ σῶμα. Τριχοβρωτοκάμπη, ὁ τοὺς τῶν κεφαλαίων λόφους διαβιβρώσκων. Τριχόβρωτες, σῆτες, θρὶξ, σκώληξ κατεσθίων τὰς τρίχας. ἐξυβρισμένως δὲ λέγεται, τριχοβρῶτες. Τριχολογεῖν, τὸ τὰς τρίχας ἀναλέγεσθαι, ἐκ ταπεινῶν φροντίζειν. Τρίχορδον, ὄργανον. Τριχοκόμος, ὁ τρίχας ἐπιμελούμενος. Τριχορῶντα, ξιφίδια τὰ τὰς τρίχας κατεσθίοντα. Τριώβολον, τὸ δικαστικὸν μισθὸν λέγουσιν. ἐπεὶ τριώβολον ἐλάμβανον. Τριώδιον, τριῶν ἡμιμναίων σταθμός. Τριχώδη, ἔργα πολύφυλλα πρὸς χύρασιν

Τρίτατα, καὶ τετράτατα, καὶ τὰ ὅμοια προπαροξύνεται, χρόνου ὄντα δηλωτικά. Τρίζειν, ἐπὶ ψυχῶν λέγει Ὅμηρος ἐν Ὀδυσσείᾳ, κυνολογούμενον ἐπὶ νυκτερίδων. τρίζω δηλοῖ ὀξύφωνον ἦχον φωνεῖν, καὶ ἐκλαγγὴν ἀφιέναι. Τρίζουσι, τρίζει γενειὰς ἐξήγαγε. Τρίζω, τὸ τὰ σφῶ, τρίζω παράγωγον. δηλοῖ δὲ ὀξύφωνον ἦχον φωνεῖν, καὶ ἐκλαγγὴν ἀφιέναι. ὅθεν ὁ τετριγῶτας, Ἰλιάδος β. Τριήμερος, τριημερία ἀπὸ Ἀκακίων. Τριημιολία ναῦς, μακρὰ ἄνω κατεσκευασμένη.

Τριήρ, ὄνομα, τριήραρχος. Τριηραρχεῖν, τριήραρχον εἶναι. Ἀριστοφάνης, τριηραρχεῖν πλούσιος οὐδεὶς θέλει.

Τριήρεις, πλοῖα πολεμικά, ἃ καλοῦσι κάτεργα. Τριηράρχημα, τὸ εἰς τὴν τριηραρχίαν ἀνάλωμα, ἐπιτριηράρχημα δὲ, τὸ ἀναλισκόμενον μετὰ τὸν τῆς τριηραρχίας χρόνον.

Τριθαλλεῖς, μεγάλως τὸ θάλλειν αἴτιαι. Τρικλινάρχης, τρικλινάρχου, ῥαβδουχός. Τρικλίνιον, ... Τρικέφαλον γερυονεῖα. οἱ μὲν γηρυόνην τὸν χειμερινὸν ὠνόμασαν καιρόν. οἱ δὲ, τὸν χρόνον. ἔλεγον γὰρ καὶ τοὺς τρεῖς κεφαλὰς ἔχειν αὐτόν. τά τε ἐνεστῶτα, τά τε ἐσόμενα, καὶ τὰ παρεληλυθότα. ἢ τῶν σελήνης. ἡ αὐτὴ δέ ἐστι τῇ Ἑκάτῃ, τρίμορφος δὲ ἐστιν ἡ θεός. ἔστι δὲ ὁ γηρυόνης καλλίρρόης τῆς ὠκεανοῦ καὶ χρυσάορος. Στησίχορος δὲ ἓξ χεῖρας ἔχειν φησί, καὶ ἓξ πόδας, καὶ ὑπόπτερον εἶναι. Τρικέφαλος, ὁ Ἑρμῆς λέγεται. ὥσπερ διδάσκων τὰς ὁδούς, καὶ ἔχων ὑπογραφὴν τῇ μὲν αὕτη φέρει ἡ ὁδός, τῇ δὲ αὕτη. ἴσως δὲ πρὸς ἑκάστην ὁδὸν κεφαλὴν εἶχεν. ὁ δὲ ἀναθεὶς τὸν τρικέφαλον Ἑρμῆν, Προκλείδης. Τρίκκη, πόλις Θεσσαλίας. ἀπὸ Τρίκκης θυγατρὸς μὲν Πηνειοῦ ποταμοῦ, γυναικὸς δὲ Ὑψέως. ταύτην Τρίκκαλά τινές φασιν νῦν καλεῖσθαι. οἱ δὲ παλαιοὶ Τρίκκαλα συλλήβδην δὲ ἐνέστι πόλιν Σικελίας ἱστοροῦσι. περὶ δὲ Τρίκκαν κατὰ τὴν Γεωγραφίαν ἱερὸν Ἀσκληπιοῦ ἀρχαιότατον, ἐπιφανέστατον, ἱμερόν ... καὶ τὸ περὶ πίνδον χωρίοις.

Τρίκυμία, τριόφθαλμα, πολύκλυστα. Τρίκκος, ὀρνιθάριον. καὶ ὁ βασιλεύς, ὑπὸ ἐλαίων. Τριπόλευθον, τριμισμεναιόν. Τριπλάνητος, ὁ πολλάκις ἀπολέσθαι ἄξιος. καὶ καταχωσθεῖσα. Τρικόρυθος, ἀνδρεῖος ἥρως. Τρικότυλος οἶνος, οὗ τρεῖς κοτύλαι ὀβολοῦ πωλοῦνται. Τρίκυρος, ὁ ἐπὶ τρία ἔτη κεκαθαρμένος παῖς. ὁμοίως καὶ ὁ μὴ κεκαθαρμένος.

Τριακτήρια, ἡ θυσία, θυσία, ἐνιαύσιο. θύεται δὲ πάντα τρία, καὶ ἔνορχα. Τριττύα, τριάδα. θυσία κάπρου, κριοῦ, καὶ ταύρου. Τρίκυλα, πολλὰς δεόμενα λιτανείας.

Τρικυμία λέγεται, ὅταν ἐν τῇ θαλάσσῃ τρία κύματα εἰς ἓν συνέλθῃ. καὶ τρικυμία ἡ σφοδροτάτη καὶ δεινοτάτη τῆς θαλάσσης ταραχή. παρὰ τὸ τρίω τὸ φοβοῦμαι, καὶ τὸ κῦμα, ὁ ἐκ τοῦ κυμαίνειν φέβος. Τρίλλιστος νύξ, ἐν δυσὶ κατὰ λιτὰν τῶν ἀναγράφων, ἡ πολυλιτάνευτος. ἐκ τοῦ τρία, ὃ δηλοῖ τὰ πολλά, καὶ τοῦ λίσσεσθαι, τοῦ παρακαλεῖν. καὶ ἡ λιτὴ ἀπὸ τοῦ αὐτοῦ ῥήματος γενομένη, εἰ μὴ ἄρα ἐκ τοῦ λίτου παράγεται, ὑποκολλῶ ἐκείνων. Τρίλλιστος, πολυλιτάνευτος. Τρίμιτοι πυροί, οἱ ἐπταμηνιαῖοι λεγόμενοι. Τρίμιτον, τὸ συνυφανθὲν ἱμάτιον.

Τρίμισκον, ἱμάτιον ἀσύνδετον. Τριμίτια, ὑφάσματα τρίμιτα. Τρίμμα, ὁ ἀρωματίζων. τρίμμα ἐν γράμμασι γεγυμνασμένον, καὶ ἐν δικανικοῖς ἀγῶσι. Τρίμμα, Ἀριστοφάνης. περιτετριμμένος ἐν λόγοις, καὶ ἐν τοῖς πράγμασι. Τρίμορφος Ἑκάτη, παρόσον μετέχει οὐρανοῦ καὶ γῆς, καὶ ἅδου. Τρίμνον, τριῶν μνῶν ἄξιον. Τριναρία, ἡ Σικελία. διὰ τὸ τρεῖς ἄκρας ἔχειν, Πάχυνον, Λιλύβαιον, καὶ Πέλωρον. ὅθεν Τρινάκριον πέλαγος. Τριοβολιμαῖος, τριῶν ὀβολῶν ἄξιος, εὐώνητος. Τρίοδον, μέρος τι παρὰ Ταραντίνοις. Τρίοδοι, καὶ τριόδους πλατυωνικοῦ, ἰδίως τὰς τρεῖς ὁδούς, καὶ τρίκωμα. Τριολύμπιον ἅρμα, τὸ ἐκ τριῶν ὀλυμπιάδων ἐξαγόμενον. Τριόρυχον δόρυ, ἤγουν τρίαινα, παρὰ Λυκόφρονι. Τριοπολίς, δεσμὸν σκηρόδων. Τριόντιον, ἡ ἀπόληξις χώρα τοῦ ἀνθρώπου. ἀπὸ τρίωνος τοῦ παρ' ἑαυτοὶ χθονός.

Τριόπιον, ὁ αὐλός. καὶ ἱερὸν, ἔνθα ἑορτάζουσι. Τριόροφα, τρίστεγα. Τρίοψ, ὁ ἀπὸ τῆς πεντηκοντάδος ἐν Δελφοῖς τρίποδος. Τριόρχοι καὶ τριόρχαι, καὶ κορυφοὺς, καὶ μονοπατελίδας, ἤγουν μέλας καὶ ἁλιαιεὺς, καὶ περκνὸς, εἶδος ἀετῶν.

Τριόρχης, ὄρνεόν ἐστιν. Ἀριστοφάνης, ἡ δὲ θεὸς ἐπὶ τοῖσιν ἐσθ' ἡμῖν τοῖς τριόρχαις. καὶ τρίορχος, εἶδος ἱέρακος.

Τριπαία, ἡ ἐνεστῶσα πνοή. οὕτω Σοφοκλῆς εἴρηκε. Τριπατρεῖς, οἱ τρὶς γενόμενοι. Τρίπαλαι, πάλαι τριπάλαιον, βεβαιοῦσι. Τρίπλακα μὲν μαρμαρέην ἀσπίδα ἔφη Ὅμηρος, ὅ ἐστι τρίπτυχον κατὰ τὰς πλάκας. Τριπλῆ, τετραπλῆ, τριπλασίονα, καὶ τετραπλάσια. Τρίποδι χρῶνται ἀπόλλων μαντευόμενοι, διὰ τοὺς καιροὺς τῶν πραγμάτων. ὅς ᾔδει τά τ' ἐόντα, τά τ' ἐσσόμενα πρό τ' ἐόντα. τινὲς δὲ οὕτω φασὶν κτήσασθαι τὸν Ἀπόλλωνα τὸν τρίποδα. ἁλιεῖς ἐν Μιλήτῳ τινὸς μισθῷ βόλον ἔρριψαν. ἵνα τὸ ἀναφερόμενον εἴη τοῦ ἀγοράσαντος τὸν βόλον. συμβέβηκε γοῦν ἀντὶ ἰχθύων τρίποδα χρυσοῦν περιλαβεῖν αὐτοὺς τοῦ δικτύου. ἐφιλονείκησαν οὖν περὶ αὐτοῦ οἱ μὲν ἁλιεῖς, ὡς ἰχθῦς πεπρακότες οὐ τρίποδα. οἱ δὲ ἀγοράσαντες τὸν βόλον, ὡς πᾶν τὸ ἀνιὸν, καὶ πᾶν ὅτι τύχοι ὠνησάμενοι. οὕτως οὖν αὐτῶν φιλονεικούντων, ἔδοξεν ἐρωτῆσαι τὸν Ἀπόλλωνα. ὁ δὲ ἀνεῖλεν αὖθις ταῦτα, ἐρεῖται μιλησίοις, τρίποδος πέρι φοῖβον ἐρωτᾶς, ὃς σοφίῃ πάντων πρῶτος, τούτῳ τρίποδα δοῦ. προσενεγκόντων οὖν αὐτῶν τοῖς ἑπτὰ σοφοῖς ἕκαστος δὲ τοῦτον πάντων σοφὸν εἶναι. διὸ καὶ ἐγνώκασιν ὡς σοφωτέρῳ πάντων ἀναθεῖναι αὐτὸν τῷ Ἀπόλλωνι. ὅθεν φασὶν ἐχρημάτιζεν αὐτῷ μέχρι τὸν τρίποδα. χρῶνται δὲ ἐπὶ τὸ τρίπος, ὅτι Ἀλκαίου ἡ ὅλη, καὶ οἱ ἀδόμενοι χρησμοὶ τόμοις. ἐν δὲ τρίποδι ἐν Δελφοῖς εὑρίσκεται τὸ μαντεῖον, Διόδωρος ἐν τῷ ἑκκαιδεκάτῳ τῆς ἱστορικῆς βιβλιοθήκης, οὕτω πῶς φησιν. ὄντος γὰρ χάσματος ἐν τούτῳ τῷ τόπῳ, καθ' ὃ νῦν τὸ ἄδυτον, καὶ περὶ τοῦτον γενομένων αἰγῶν, διὰ τὸ μήπω κατοικεῖσθαι τοὺς Δελφοὺς, ἀεὶ τῷ χάσματι τὴν προσιοῦσαν καὶ προσβλέψασαν αὐτῷ, σκιρτᾶν θαυμαστῶς, καὶ προΐεσθαι φωνὴν διάφορον ἢ πρότερον εἰώθει. τὸν δὲ ποιμένα θαυμάσαι, καὶ προσελθόντα τῷ χάσματι, ταὐτὸ παθεῖν ταῖς αἰξί. καὶ προλέγειν τὰ μέλλοντα. τῆς δὲ φήμης διαδοθείσης, πλείους ἀπαντᾶν ἐπὶ τοῦτον τὸν τόπον, καὶ τοῖς πλησιάζοντας ἐνθουσιάζειν. δι' ἣν αἰτίαν θαυμασθῆναι τὸ χρηστήριον εἶναι τὸ χωρίον. καὶ πολλῶν ἀφανιζομένων διὰ τὸν ἐνθουσιασμὸν, προφῆτιν μίαν καταστῆσαι. ταύτῃ δὲ κατεσκευάσθαι μηχανὴν, ἐφ' ἣν ἀναβαίνουσαν ἀσφαλῶς μαντεύεσθαι, ἔχουσαν τρεῖς βάσεις. ἀφ' ὧν αὐτὴν τρίποδα κληθῆναι. θεσπίζειν δὲ, τὸ ἀρχαῖον παρθένον λέγεται, διὰ τὸ ἄγνον. ὕστερον δὲ, Ἐχεκράτους τοῦ Θεσσαλοῦ ... χρησμολογούσης ἐρασθῆναι διὰ τὸ κάλλος, καὶ συναρπάσαντα βιάσασθαι τοὺς Δελφούς. διὸ νομοθετῆσαι γυναῖκα πεντήκοντα ἐτῶν παρθενικὴν σκευὴν χρησμῳδεῖν, καθάπερ ὑπόμνημα τὸ τῆς παλαιᾶς προφήτιδος. οἱ δὲ τρίποδες, διάπυροι ἐσχισμένοι. Τριπόδων οἱ μὲν ἐμπυριβῆται, οἱ δὲ αἴθωνες ἐπικαλοῦνται, ὡς πυρὶ αἰθόμενοι, καὶ οὕτω χρώμενοι. οἱ δὲ ἀναθηματικοὶ, πρὸς κάλλος ἀνακείμενοι ἔμπυροι, ἢ ἄπυροι, ἀχρανεῖς πυρὶ φυλαττόμενοι. οὓς ἀπύρους ἐντανυστὰ φησὶν ὁ ποιητὴς, πρὸς διαστολὴν τῶν ἐμπυριβητῶν. ἕτεροι δὲ ἀπείρους μὲν νοοῦσι τοὺς μήπω πυρὶ ὁμιλήσαντας. αἴθωνας δὲ τοὺς ἤδη πυρωθέντας. λέβητας δὲ ἑτέρους ἐντεῦθεν τριπόδων, ὡς δηλοῖ σαφῶς ἐν Ὀδυσσείᾳ. λέγεται. ἄλλως, αἴθωνα διὰ τὸ ἐκ τοῦ χαλκοῦ λαμπρὸν, ὡς ἀπὸ τοῦ αἴθω τὸ λάμπω. ὅτι δὲ ἑκατέρω λεβήτων οἱ τρίποδες, δηλοῖ ὁ ποιητὴς ἐν τῷ ι. ἑπτὰ μὲν ἀπύρους τρίποδας. αἴθωνας δὲ λέβητας εἴκοσι, πρὸς τοῦ βασιλέως ὑπισχνεῖται τῷ Ἀχιλλεῖ. Τριπολίμβος ἀγὼν τελεῖται παρὰ τοῖς Ῥοδίοις. ἐγκωμιαστικῶς δὲ ὁ Πίνδαρος τὸν ἀγῶνα ἡλίῳ τελούμενον εἰς τὸν τελίμαχον μετήγαγε. τελεῖται γὰρ, μηνὸς γορπιαίου εἰκοστῇ τετάρτῃ ἡμέρᾳ. ἀπέχει δὲ τῆς νουμηνίας ἡμέρας ιζ. ἀγωνίζονται δὲ παῖδες καὶ ἄνδρες. ὁ δὲ στέφανος, λεύκη δίδοται. Τρίπολις, εἶδος πίμματος, ἡ πόλις. Τρίπολος νειὸς, ἡ τρὶς ὀργωμένη. πολεῖν γάρ φασι τὸ ἀναστρέφειν. καὶ ὅρα, ὅτι τὸ μὲν πολεῖν, διὰ τοῦ ω μεγάλου παρὰ τῷ ποιητῇ. ὥσπερ τὸ πωλίσκος, καὶ ἡ πῶλος γῆ. ἡ δὲ τρίπολος διὰ τοῦ ο μικροῦ. Τρίπολον γὰρ ἔφη ὁ ποιητὰς, διδάσκων οὕτω χρῆναι τὴν γῆν τέμνειν. ἔαρι μὲν γὰρ πολεῖται, καθ' Ἡσίοδον. θέρους δὲ, νεᾶται. ἐν τρισὶ περὶ αὐτῶν καιροῖς, ὅτε τοῦ σπείρειν καιρός. ὅτι δὲ καὶ εἰς πλεῖον βουλογεῖται, πολλαχοῦ ἡ πεῖρα δηλοῖ. Τριπτυχεῖται, ἑορτὴ Λακεδαιμονίων.

Τρίπυλ

χὴν, πόλις θετταλικὴ ὑπὲρ τῆς οἴτης, κληθεῖσα μὲν ὑπὸ ἡρακλέους, ἐπονομασθεῖσα δὲ διὰ τὴν τραχύτητα. ὄνομα δὲ ὄρους ἐστί. τοῦτο δὲ γράφεται καὶ ἄλλως οὕτω. ἡράκλεια, λακεδαιμονίων κτίσμα, τραχὶν πρὶν καλουμένη. διεῖχε δὲ τῆς ἀρχαίας τραχῖνος περὶ ἓξ στάδια, πρὸς ταῖς θερμοπύλαις ὄντος τῆς πόλεως, περίκειται δὲ ἡ τραχίν. μάλιστα δὲ, διὰ τὸν ἡρακλέα, ὃς ἐκεῖ που ὤχετο πυρὶ ἀνωτάτω ἐπιρρίψας ἑαυτόν.

Τραχὺς, ὁ τραχύς. Τραχὺ νόημα, σκληρὸν νοῦν.

Τρία, κατὰ τὸ πολλοῦ τοῦ πρεσβεῖα(?). Τρία θερμάντης(?). ἀλίκρες(?) τὰ τοῦ θερμάντου ἐπιζήμια ἐκτέθεικεν. Τρίαινα, δόρυ τρεῖς ἔχον ἀκμάς. Τριαινατῆρος, ἀντὶ τοῦ ἀροτριῶντος. Τριακοντούτης ἄνθρωπος ἀττικοί, οὐ τριακονταέτης. καὶ ἐπὶ τῶν ἑξῆς ἀριθμῶν ὁμοίως. Τριακοντάδας(?), τοὺς πένητας λέγει Ἀριστοφάνης, καὶ κατατριακοντάσαι(?), ὡς συνουσίαν λαβεῖν, ὡς ἐν ἱππεῦσι. Τριακὰς, πέρτα(?) λαμβάνοντος τριάκοντα, ὅ ἐστι λεπτὰ εἴκοσι. Τριὰξ, τριακάς. Τριὰς ἐστὶ, κατὰ μὲν φυσικὴν ἀκολουθίαν, μονάδων σύνθεσις. κατὰ δὲ τὴν θεϊκὴν οὐσίαν, ὑπεραρίθμιος ἔκθεσις. Τριακάς. τοῖς τετελευτηκόσι(?) ἡ τριακὰς ἡμέρα, ἡ μετὰ θάνατον. καὶ ἐλέγετο τριακὰς, ὡς Ἰσαῖος(?) ἐν τῷ περὶ τοῦ ἀπίου(?) κλήρου δηλοῖ. Τριακάδας, ἑνικῶς τε καὶ πληθυντικῶς τὴν ἡμέραν καλοῦσι. Τριακάστιοι(?), οἱ ἄρραμοι(?), καὶ τὸ σύστημα αὐτῶν. Τριάζειν, τὸ νικᾶν. ἀπὸ μεταφορᾶς τῶν παλαιστῶν, τῶν ἐν τοῖς τρισὶ πάλαις τὴν νίκην ἀποφερομένων. καὶ ἀτρίακτος, ὁ ἄηττος. Τριαχθῆναι λέγουσιν οἱ παλαιστικοὶ, ἀντὶ τοῦ τρὶς πεσεῖν. ἢ τὸ τρὶς καταβληθέντα νικηθῆναι, στάδιον, δίαυλον, καὶ δόλιχον. Τρίβακος, ἡ τρίβη.

Τρίβωνος(?), ἱμάτιον. Τρίβωνα(?), λήκυθον. Τριβαλλοί, οἱ ἐν τοῖς βαλανείοις ἀνάγωγοι(?) διατριβόμενοι. οἱ δὲ, τοὺς εἰκαίως τοὺς βίους κατατρίβοντας. Τριβὴ, διατριβὴ, ἡ βραδυτής. Τρίβολα, τραχέα, κεντρώδη(?). Τρίβολοι, ἀκανθώδεις εἶδος. ὅθεν καὶ τὸ τοῖς ἵπποις ἐν τοῖς χαλινοῖς ἐντιθέμενον. Τρίβολον ἤκουσα, τρίπτην(?). Τριβόντου(?), λεοντῆ(?), ἢ φανερὸν πεποιηκότος(?), ἢ λεῖον. Τριβολεκτράπελα, ἐκ τοῦ τρίβειν καὶ ἐκτράπελος σύγκειται. ἀντὶ τοῦ σκληρὰ, καὶ ἀκαίδευτα(?), καὶ ἀπόβλητα, καὶ ἀνώμαλα. Τρίβος, παρὰ τὸ τρίβω. ἡ κατατετριμμένη ὁδός. ἢ παρὰ τὸ τρῶ(?), τὸ καταπονῶ, καὶ τὸ τρίβω.

Τριβοῦνος, ἔμπειρος. Τρίβω, προστρίβομαι δὲ μέμψιν, καὶ ἀποτρίβομαι τὴν κατηγορίαν, ἀντὶ τοῦ ἀπολύομαι.

λομένοιο, καὶ τὸ λάβρον. δι καὶ ἐγὼ τίατορ φίλε λίθωμι. πολλάκις Ὅμηρος μέγα χεῦμα, πολλάκις τὸ γένος, ὡς ἐν τούτῳ. προλέεις γὰρ εὐδίτητον, ἐκλέγειν ἀρσενικὸν τὸ φάλαρ, τῆς δ' αὐτῆς ἀναλογίας αὐτὸ ἔχει. ἄλλο δ' ἐπὶ τεχὸ θεβαίαι τυρσοῖο σκίπτρον ἔχον. τὸ γὰρ ἔχων οὐ πρὸς τὴν ψυχὴν, ἀλλὰ πρὸς τὸ γένος τοῦ σώματος, τουτέστι πρὸς τὴν τορείαν ἁρμόσει. πολλάκις οὐ πρὸς τὸν λόγον, ἀλλὰ πρὸς τὸ σημαινόμενον ποιεῖται τὴν ἀπόδοσιν, ὡς ἐν τούτῳ, πάντα ὠρίνετο θυμός. ἐοικότα δὲ φάλαγγος ἐλπόμενοι παρὰ ταύτην, ἀμύμονα πωλίωνα. τὸ γὰρ ἐλπόμενοι οὐχ αἱ φάλαγγες, ἀλλ' οἱ ἄνδρες, ἐξ ὧν αἱ φάλαγγες γίνονται. Τετλαίη. ἀναδιπλασιάζεται ὡς τεθναίη. Τέτλαμεν, ὑπὸ τοῦ τλῶ δύναται εἶναι καὶ συγκοπῇ καὶ κινάσει. βεβήκαμεν βέβαμεν, τετλήκαμεν τέτλαμεν. ἀξιοῖ Φιλόξενος εἶναί τε καὶ τέτλημι ῥῆμα περὶ παθῶν. Τέτμης, εὕρῃς, καταλάβῃς. Τέτρα. Βοιωτὸς, ὁ δὲ γυνὴ τέτορ' ἤβασι, ἀντὶ τοῦ τέσσαρα. οὐδεὶς δὲ ἀκατάσει τὸ ἐπικὸν τοῦ τέτορα. τὸ τέτορα δέ ἐστι Δωρικόν.

Τετραβάμων, τετράπους. Τετραβαρῆ, πλέθρον τι τάγμα. Αλκαῖος. Τετράγωνον, ὄργανον πολεμικόν. Τετράγυος, οὗ ἱκανὰς τῶν τεσσάρων πλεθρῶν γῆν εἶχεν. ἴσως ὁ τετράπλεθρός φασι, τετράγωνος, ἰσόπλευρος. γύη δὲ ἡ γύης ἀρσενικὸν, μέτρον γῆς. οἱ δὲ παλαιοί φασιν, ὅτι γύη καὶ μέτρον γῆς, καὶ μέρος ἀρότρου. ὥστε ἀρσενικὸν ὁ γύης.

Τετράγυον, διαίτημα τὸ ὅσον ἂν ἀροτριᾷ, ὡς εἰκὸς δὲ ἡμέρας δύο ἀγαθοὺς ἐργάτας, καὶ χωμάτων βασὶν ὁμοίοις. ὁ δὲ πλατύτατος τετράπλεθρον, ἑρμηνεύουσι τὸ τετράγωνον.

Τετράγυον, τεσσάρων ὀργυιῶν. γίνεται δὲ μέτρον ἐκ δὲ γὰρ καὶ ἐν τοῦ ἀρότρου τὸ ἀρότρωμα τοῦ ἑκατέρως, γύης. ἔνιοι γῆν, τὸ ὀργυιαῖον μέτρον. Τετραγλώχινα βέλη, τὰ τέσσαρας γλωχῖνας ἔχοντα, παρὰ τῷ Ἱπποκράτει. Τετραδισαί. σύνοδος οἷον συνήθως, κατὰ τετράδα γινομένη. Τετραδύναμις, ὀκτώ. Τετράδυον, ἱερόν τι. Αλκαῖος. Τετραενὶς, ἀντὶ τοῦ τετραετὶς λέγουσι Δωριεῖς. Τετραίλιακον ἄλμαν, ἤγουν ἐρικμύαν. Τετραιλιάκων, τέσσαρας ὀφθαλμοὺς ἔχουσα κύνες. Τετράϊλιξ, τετραέτης περιειλημμένος, ἢ πλοῖα, ἢ φυτόν τι. Τετράορον, εἶδος χαλινοῦ.

Τετρακίλημμον, ὅ ἐστι τετράπτυχον, τετράβοον σάκος.

Τετραῖον, ὀρνιθάριόν τι. λαλεῖται. Τετρακίνη, ἡ ἀγρία θρίδαξ. Τετράκυκλος, τετράπους. Τετρακτύς ἐστιν, ἣν ὤμνυον οἱ πυθαγόρειοι πίστιν, καθὼς Εἰρηναῖος ἐν τοῖς κατὰ Οὐαλεντῖνον ἔγραψε. βαθὺς καὶ σιγὴ, νοῦς καὶ ἀλήθεια. τοὺς δὲ τὰ τέσσαρα στοιχεῖα ὑπέλαβον λέγεσθαι ὑπὸ τῶν πυθαγορείων, τὴν τετρακτύν. Τετράκωμος, μέλος τι σὺν ὀρχήσει πεποιημένον, εἰς ἡρακλέα ἐπινίκιον. ἐκαλεῖτο δὲ, τέσσαρες κῶμοι. Τέτραλον, τετράστιχον. Τετραμμέναι, ἀπεστραμμέναι, πρὸς αὐτοὺς τὰς ὄψεις ἔχουσαι. Τετραοδίας, τετράγωνος, καὶ ἰσχυρός. Τετράοδα, τετράγωνα ἐστὶ χώματα. δηλοῖ δὲ καὶ βοῦς τέσσαρας χαλκοῦς. Τετράοροι, τέσσαρες ἐπὶ τοῦ τεθρίππου ἐζευγμένοι. Τετράρχαι, οἱ βασιλεῖς. Τετρακαιπλευρίδες λέγονται παρ' Ἴωσιν, αἱ σαρίδες, πλὴν τὸ τέσσαρα ἔχειν πλευρὰ, δύο μὲν ἔξω μείζω, ἐλάσσω δὲ ἔσωθεν ἕτερα δύο. Τετραπενδῖναι, οἱ ἐπίπονον βίον ζῶντες. Τετραπλευρόλιθον, τὸν ἀκρίδων, πλὴν τὸ ἐχαρίεσσα πλευρά. Τέτραπτο πρὸς ὃ ἰδὲ παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ἐπεστράφη, ἀντεπρόσωπος κατ' εὐθύ. οὐ μὴν εὐρὺ, ὅ ἐστιν ἐκ πλαγίων. Τέτραπται, ἐτράπη. Τετραρχίαι. τεττάρων μερῶν ὄντων τῆς Θετταλίας, ἑκάστου μέρους τετρὰς ἐκαλεῖτο. ὀνόματα δέ φασιν εἶναι ταῖς τετράσι, θετταλιῶτιν, φθιῶτιν, πελασγιῶτιν, καὶ ἑστιαιῶτιν. Τετράσυφον, τὸ εἰς τέσσαρα κλάσματα τεμνόμενον. σύφος γὰρ, τὸ κλάσμα. Τετραφάληρον, διαφορὰ φαλαρόν ἐστι τοῦ ἀμφιφάλου. ὁ γὰρ ἀμφοτέρωθεν ἔχων φάλους, ἤγουν ἐκ δεξιῶν καὶ ἀριστερῶν, καὶ αὖθις ἔμπροσθεν καὶ ὄπισθεν, κατὰ μὲν δύο συζυγίας τὴν ἔμπροσθεν ὄπισθεν τὴν δὲ ἑκατέρωθεν, λεχθείη ἂν ἀμφίφαλος. κατὰ δὲ τὴν καθ' ἕκαστον τετράδα, εἴη ἂν τετραφάληρος. Τετραφάληρον, καὶ ἀμφίφαλον ἐξηγούμενοι οἱ παλαιοί φασιν, ὅτι φάλοι μὲν οἱ κατὰ τὸ μέτωπον τῆς περικεφαλαίας ἀνασιδηρῶσι. φάλαρα δὲ, κρίκοι εἰσὶ τῆς περικεφαλαίας, ἐν ταῖς παραγναθίσιν, ὡς εἶναι διαφορὰν ταύτην φάλων καὶ φαλάρων. ἐνίους μὲν δὲ ταυτὰ ὑπέλαβον ὀμφότερα. ὡς εἶναι, τὸ τετραφάληρον, ἰσοδυναμοῦν τῷ ἀμφίφαλον. ὁ γὰρ ἐκ δεξιῶν καὶ ἀριστερῶν ἔχων δύο, καὶ αὖ πάλιν ἐν τοῖς ἔμπροσθεν, καὶ ὄπισθεν. ἀμφίφαλος μὲν, ἤγουν δίφαλος ἐστὶ τῇ συζυγίᾳ. τετραφάληρος δὲ, τοῖς καθ' ἕν. ὅτι δὲ φάλαρα, καὶ ἵππων ἐστὶ κόσμος προμετωπίδιος, ὁμολογεῖται, γινόμενος καὶ αὐτὸς ἀπὸ τοῦ φάω τὸ λάμπω. ὅθεν καὶ φάλιον, τὸ λαμπρόν. ἐξ οὗ ἵππος τις φάλιος, ὁ τὸ μέτωπόν φασιν ἔχων λαμπρόν. καὶ βοῦς, ὥσπερ φάλιος, οὗ περὶ τὸ μέτωπον θρίχες λευκαί. ἐνίοις δὲ καὶ ἄλλως περὶ τοῦ φάλου φράζεται, ὑπόδειγμά φασιν αὐτὸν περικεφαλαίας προμετωπίδιον. καὶ ἀσπιδίσκιον τι μικρὸν, καὶ λαμπρὸν, ἢ ὅλον λαμπρόν. Τετράφαλος, ὁ ἔχων τέσσαρας φάλους ἢ φάλαρα. φάλαρα δὲ, οὐ μόνον παραγναθίδας ἵππων καὶ χαλινὰ, ἀλλὰ καὶ τὰ ἐπὶ τῇ περικεφαλαίᾳ κόσμια. Τετράφατις, ἐκ τοῦ τέφαται τρίτου προσώπου τοῦ παθητικοῦ, μετὰ τοῦ τ εἰς θ. καὶ προσθήκῃ ἰωνικῶς, τετράφαται.

Τετράφθω, ἀναχωρείτω. Τετράφυον, τετραχάλκωσον. Τετραχαλισμένα, πεφαρμακευμένα. Τετραχίζων, ἐπὶ τετάρτῳ μέρει τι πιέζων. Τέτραχμα, τετράδραχμα.

Τετραῦξομαι, εἰς ἰσθμὸν τραχηλίζομαι. Τετράωροι, ἡ κατὰ ἕνα τετράωροι ἵπποι, οἱ τέσσαρες ὁμοῦ συνεζευγμένοι. ἀπὸ τοῦ ἄρω, τὸ συζευγνύω. ὥσπερ καὶ ξυνωρὶς, δύο ἵππων σύζευξις, ξυνωρὶς λεγομένη. ἢ τετράωροι, ἀντὶ τοῦ τέσσαρες προσιόντες. οἱ δὲ τοῦ δὲ καὶ τετράοροι λέγονται, παρὰ τὴν συνάμ, ἀφ' ἧς καὶ ἄσυρος ἵππος ὁ ἄλλος. καὶ παράσυρος, ὁ πλάγιος. οὓς δὴ οὕτω φασὶν Ὅμηρος καὶ τὸ τέτρωρον, κατὰ καὶ τὸ ὄντα τὴν εἴλετο, οἱ καὶ μὴ ποιεῖ χωμάτων αὐτοῖς τοῖς ἥρωσι. ἰστέον ὅτι τοῦ τετράορος πρωτότυπον τὸ ἄορ ἄορος. ὅθεν ὦροι, αἱ γυναῖκες. Ἡρόδοτος λέγει, ὅτι τέσσαρας ἵππους ζευγνύναι παρὰ Λιβύων Ἕλληνες μεμαθήκασι. Τετρεμμαίνω, δέδια. Ἀριστοφάνης, τετρεμμαίνω καὶ πεφόβημαι. Τετρεμαίνειν, κατὰ ἀναδιπλασιασμὸν ἀντὶ τοῦ φρίττειν, καὶ δεδιέναι. τὸ γὰρ τρέμειν καὶ πάλλεσθαι τὸ σῶμα, τῶν ἄγαν εὐλαβουμένων. Τετρήχει. ταράττει, μέλλων ταράξω. ὁ παρακείμενος, τετάραχα. ὁ ὑπερσυντέλικος, ἐτετεράχειν. ὁ μέσος ἐτετεράχειν, ἀφαιρέσει τετάραχα. καὶ συγκοπῇ τοῦ α τρεχ. τροπῇ τοῦ α εἰς η, τετρήχει. Τετρημένος, τὴν ψυχὴν τετιμωρημένος, ἐκπεπληγμένος, ἢ συγκεχυμένος. Τετρήνας λύχνους. Δυνάστην, διατρητικῶς. Τετρῆναι, τρυπῆσαι. Τετρήχει, ἀπὸ τοῦ τραχὺς τραχύνομαι κοινῶς. λέγεται δὲ ἐπὶ θαλάσσης κυρίως, ὅταν τὰ κύματα ὑπὸ τοῦ ἀνέμου ἐγείρῃ, καὶ ἀνώμαλοι γίνονται. ἀττικῶς δὲ τρέχω. ἀφ' οὗ τὸ τετρήχει ἐπὶ ὑπερσυντελίκου, ἀντὶ τοῦ ἐτεταράχει ἄλλως. κατὰ μεταφορὰν παρ' Ὁμήρῳ, ἡ τετρήχει, κατὰ ὀνοματοποιΐαν τοῦ ταράσσω, ἢ τεταράχει. ἀπὸ τοῦ τετάραχα συγκοπῇ, καὶ τροπῇ τοῦ α εἰς η. Τετρηχώς, ὁ διαλελυμένος, τετραχυσμένος, τραχυνόμενος, καὶ σφοδροῦ εἶδος. Τετρηχυῖα ἀγορὰ, ἤγουν ταραχώδης. εἴρηται γὰρ ἡ δημοτικὴ ἄθροισις.

Τετρηχυῖα ἀγορὰ, ἡ ὑπὸ τοῦ θορύβου τεταραγμένη. ἐκ τοῦ ταράσσω ταράξω, τετάραχα. καὶ συγκοπῇ καὶ τροπῇ τέτρηχα, καὶ ἡ μετοχὴ ὁ τετρηχὼς, ἡ τετρηχυῖα, τὸ τετρηχός.

Τετρίγει, ὀνοματοποιεῖται, καὶ ἐπὶ τῶν νυκτερίδων ὁ χρόνος. ὡς δὲ καὶ χεῖρ τετριγέναι λέγεται παθούσης, ἀνάλογον ἐστι. τέτριγε δὲ καὶ ὁ δοίτας ὁ θυμομαχῶν. οἱ δὲ ζυγὸς περὶ ῥίζαν. ἀλλ' Ὅμηρος ἔοικε τὸ κρίζειν, ἐν τοῖς ἑξῆς εἰπὼν ἐπ' αὐτοῦ. ὡς δὲ καὶ διαφορὰ τοῖς τοῦ ῥίζω, ὁ καὶ ἐπὶ μυῶν καὶ νυκτερίδων λέγεται, καὶ τοῦ ἐπὶ χρεμετίζειν. ὅθεν ἡ βρυγμός.

Τετριγῶτας, μίμησίς ἐστι φωνῆς τῶν νεοσσῶν, ὅτι ἀπαλωτέρα τοῦ ῥίζειν ἐστί. ἀφ' οὗ γίνεται ὁ βρυγμός. ἰδιαίτερον δέ φασι τὸ τετριγέναι τὸ ἰσχύν. ὅθεν τὰ μὲν νεκρὰ τετριγότα. Ζηνόδοτος μέν τοί φησιν ἀντὶ τοῦ τετριγυῖας, λεπτεσπίτας γράφει. οἷα κρίνας αὐτὸ τοῦ τετριγέναι καταντικρύς. καί τοι φασὶν οἱ παλαιοί, ὅτι ἁπλῶς μὲν τετρίζουσιν οἱ νεοσσοί, καταθλιβόμενοι ἢ ῥίζουσιν. ἐπὶ δὲ φύσει, τὸ λεπτὸν ἦχον κατὰ

ζωῦς, καμπὴρ, ἰχθύν. Τερματίζω, τελεοῖ, ὁρίζω.

Τερμάτιον, τελευταῖον. Τέρμινθοι, οἱ ὑπὸ τερμίνθου. ... κατὰ τ ... συνισάμενοι ... φύσιν ... Τερμίεσσα ... τὰ μεγάλα. Τέρμιοι, ἄκανθοι.

Τερμιεὺς ὁ Ζεύς, ὡς πάντων ἀρχὴ ἢ τέρμα. Τέρμινθος καὶ τέρμινθος, ... φυτόν. ... Τερμιόεσσα, ἀπὸ τ ... Τερμιόεντα, ... Τέρμις, ποῦς. Τέρμορος, φραγμόν, ...

[illegible]

πλεονασμῷ τοῦ ε, τέμενος, ὁ ἀποτετμημένος καὶ ἀποκεχωρισμένος τόπος τῶν ἄλλων. Τέμενος, γῆ ἀποτετμημένη τῆς πόλεως, κοινῶς μὲν ἐπὶ πάντας τόπους, ἰδίως δὲ παρὰ τῷ ποιητῇ, ὃς τῶν ἄλλων ἀφώρισται. Τέμενος, οἱ μεθ᾽ Ὅμηρον ἐπὶ ναοῦ οἴδασιν. ὁ δὲ ποιητὴς οὐδ᾽ ἱερὸν ἁπλῶς τόπον λέγει τὸ τέμενος, ἀλλὰ τὸν κατὰ ἀπονομὴν ὄντα τινός. καὶ τέμενος, ὁ ἀποκεκομμένος τόπος τινί, ἢ θεῷ, ἢ ἀνθρώπῳ. Τέμενος τολμηρόν, ἔχει ἀφορισμὸν εἰς αὐτὸν ἰδίαν ἐξοχὴν ἄλλων, ὡς ἀπέφηνεν Ὅμηρος. Τεμένη, ἱεροὺς τόπους ἀπονομὴν τῆς πόλεως ἔχων. οὗ μέρος βωμός, ἀφ᾽ οὗ τὰ θυόμενα ἔθυον, διὸ θυώεις λέγεται. ἐκεῖ καὶ θεῖος ὁ θυόμενος. δῆλον δὲ, ὅτι οὐκ ἀεὶ παρὰ τῷ ποιητῇ τὸ τέμενος ἱερόν, ἀλλὰ τόπος ὁ ἀπονομὴν τῆς πόλεως ἔχων, ἐκαλεῖτο τέμενος. Τεμένουρος, τεμένους φύλαξ. Τέμεσα, πόλις Καλαβρίας, ἀπὸ χαλκοῦ. περὶ ἧς φησὶν Ὅμηρος, εἰς Τεμέσην κατὰ χαλκόν, ἄγω δ᾽ αἴθωνα σίδηρον. ταύτην δὲ καὶ οἱ Βρέττιοι Καλαβροί τε καὶ ἕτεροι, Τέμψαν ἐπικαλοῦσι. Λυκόφρων δὲ ἐκάλεσε Ταμάσην. Τέμμαν, παίδευε, λιπαῖν.

Τέμματα, στεφανώματα. Τέμνει τὰς ἀμπέλους, ὁ κλαδεύων. ἐκτέμνει δὲ, ὁ ἀφανίζων. Τέμπε, πόρρω. Τέμνοντα, ἀμέλγοντα. Τέμπη, τὰ μεταξὺ τῆς Θετταλίας ὀρῶν περὶ τὸν Ὄλυμπον, καὶ τὴν Ὄσσαν ἄντρα. καθόλου δὲ καὶ ἐν πᾶσι τοῖς ὄρεσιν, αἱ κοιλότητες λέγονται λαγκάδες. ὡς Διονύσιος ὁ περιηγητὴς, ὑπὸ Τέμπεα κεῖται. λέγει δὲ τὰς καταβάσεις καὶ φωλεοὺς τῶν ὀρῶν, ἢ δυσχερεῖς τόπους. τέμπη καὶ τὰ παρὰ τῶν ὀρέων λέγεται, Τέμπη τὰ μεταξὺ τῶν ὀρῶν διαστήματα. οἱονεὶ στενὰ ὄντα, τὰ μεταξὺ στενὰς καὶ καμπὰς ἔχοντα.

Τεμπανδροι, ἀρχὴ ἐπιμελουμένη τῆς τῶν γυναικῶν εὐκοσμίας. Τέμω, μέλλων τεμῶ, παρακείμενος τετέμηκα, ἀλλὰ ἡμαρτημένος ὁ παρακείμενος. τέμνειν τάμνειν λέγουσιν οἱ Ἴωνες, τέμνω τὸ κόπτω. Τέναγος, εἶδος τρυφῆς. Τέναγος, ὁ πηλώδης τόπος. κυρίως γὰρ ἐπιπόλαιον ὕδωρ ἔχων, ἢ πηλῶδες ὕδωρ. Τένα, ζῶα. Τένθος, κακοῦργος, συκοφάντης. Τέννα, κόρυζα. Τένδειν, ὅπερ ἐστὶν ἐσθίειν πλεονασμῷ τοῦ τ, κατὰ τὸ ἔνδον τελεῖν, τὸ πρότερον ἐποίησεν, ὅς ἐστι προγόνους. ὁ καὶ Δίκαιος παρὰ τὸ ἔδειν, οὐ μὴν ἀληθής. ἐλαιὸς γὰρ μᾶλλον ἐστὶ παρὰ τοῖς ἐλαιοῖς, ὧν χύσις ἐν τῷ εἰς ἐλαιῶσιν ἔχειν. Τενέδιος ξυνήγορος, ὁ ἀπότομος καὶ σκληρός. Τενέδιον βέλος, ἀντὶ τοῦ Τενέδιος πέλεκυς. παροιμία δὲ ἐστὶν, ἐπὶ τῶν ἀποτόμως τι πραττόντων. ἦν ἄρα τὸ πρᾶγμα Τενέδιον πελέκει σωφρονήσαι. Τένεδος, νῆσος ἐστὶ πρὸ τῆς Τροίας κειμένη. αὕτη δὲ πρότερον Λεύκοφρυς εἶχε τὸ ὄνομα. Κύκνος γὰρ ὁ Ποσειδῶνος Τέννην ἔσχε, καὶ Λευκοθέαν παῖδας. καὶ ἡ μὲν μήτηρ αὐτῶν οὐκ ἦν ἔτι. ἐπίγαμος δὲ ὁ Κύκνος Φυλονόμην, ἢ ὥς τινες Πολυβοίαν. ἡ Φυλονόμη δὲ, καὶ τῆς ὥρας ἐπιθυμοῦσα ὁ Τέννης, ἐρασθεῖσα αὐτοῦ, λόγους περὶ συνουσίας ἐποιεῖτο πρὸς αὐτόν. τοῦ δὲ τὰ πρὸς τὴν φύσιν διακωλύοντος, κατηγορεῖτο πρὸς τὸν πατέρα αὐτοῦ, ὅτι τεθέληκε αὐτὴν βιάσασθαι. ὁ δὲ πεισθεὶς τῇ κατηγορίᾳ, συλλαβὼν τὸν παῖδα ἐνέβαλεν εἰς λάρνακα, καὶ ἔρριψεν εἰς τὴν ἁλμυρὰν θάλασσαν. ὕστερον δὲ σωφρονήσαντα, καὶ διὰ τὸ εἶναι ἡγεμόνα, ἔσωσεν ὁ Ποσειδῶν. τὴν γὰρ λάρνακα προσενεχθεῖσαν τῇ Λευκόφρυϊ νήσῳ ἐποίησεν. οἱ ἐπιχώριοι θαυμάσαντες, καὶ ἀφελόντες τὸ ἐπίθεμα, μαθόντες τὸ γένος, οὐ μόνον ἑαυτῶν βασιλέα τὸν Τέννην κατέστησαν, ἀλλὰ καὶ ἀπ᾽ αὐτοῦ Τένεδον τὴν νῆσον προσηγόρευσαν. Τενοντέω, ἐκτείνω, αἰολικῶς. Τένος, παρὰ τὸ τείνω τὸ τανύω. ἢ παρὰ τὸ σείω τὸ σαλεύω, τένος. Τενθρηδών, ζῷον τῶν σφηκῶν καὶ κεντροφόρον, παραπλήσιον σφηκί. ἔνιοι ἀγρίαν μέλισσαν. Τένθαι, λίχνοι. τενθεύειν γὰρ, τὸ λιχνεύειν. Τενθρήνιον, κηρίον, ἢ πολύ, καὶ κενόν, καὶ ἀραιόν. Τενθρῖναι, λίθοι πλατεῖς. Τένθαι, λανθάνοντες, μοιχοί. Τένθει, γαστρίμαργος. Τενίαι, ζῶναι, στέφανοι, ἢ δεσμοί, διαδήματα.

Τένει, σείει, βρόχεται. Τένως, στέφανος ἐλάινος, ἐρίῳ πεπλεγμένος. Τένοντες, τὰ διατεταμένα νεῦρα ἀπὸ κεφαλῆς, ἕως τῶν ποδῶν, ἢ ἡ συνάφεια τῶν νεύρων. Τενοντώδης, ταπεινός, ἀπόκλιτος. Τενόντας, φακέλους, τὰ διατεταμένα νεῦρα. ὁ φάκελος μὲν τένων λέγεται, ἀπὸ τοῦ τείνω.

αὐτὰ δὲ τὰ νεῦρα, ἀπὸ τοῦ τείνω. Τένος, καὶ μύκωσις, νεῦρα, οἶστε τῶν καλυδόνων. Τένων, τὸ ἐν τῷ τραχήλῳ νεῦρον.

Τεόν, τὸ σὸν Δωρικῶς. τροπῇ τοῦ σ εἰς τ, καὶ πλεονασμῷ τοῦ ε, τὸ τεόν, τεὸ ἀντὶ τοῦ τεῖος. τεὸν, ἐπὶ δευτέρου προσώπου, ἑὸν ἐπὶ τρίτου. Τεὸς φθόγγος, ἡ σὴ φωνή. Τεπῖα, ἐπεῖα.

Τέρα, καὶ τερῶν, ὁμοίως, ὡς κρέα κρεῶν. τέρατα δὲ καὶ τεράτων, ἁπλῶς ἐλλείπει. Τέραμνα, τὰ ξύλινα οἴκη λέγονται. Τεραμίνα, θρίμα, παρὰ τῷ Ἱπποκράτει. Τέραμνοι, κοῖλα. Τέρας, ἐνίοτε σημεῖον δηλοῖ, ὡς παρ᾽ Ὁμήρῳ. φράζεο δὴ Μενέλαε φοινίξ, εἴτε ἡμῖν τόδ᾽ ἔφηνε θεὸς τέρας, ἢ σοὶ αὐτῷ. τέρας τὸ σημεῖον εἰπών. οὐ γὰρ ἦν παρὰ φύσιν ἐγγεγονός, ἵνα καὶ τέρας εἴη ἐν τῷ ο τῆς Ὀδυσσείας.

Τέρας ἐστὶ πρᾶγμα ἔκπληξιν ὑπὲρ τὸ θαῦμα τοῖς ὁρῶσι παρέχον. Τερατοσκόπος, τερατουργός, μάντις, θαυματοποιός. Τερατεῖοι θεοί, ἐπὶ σημείων τεταγμένοι. Τερατεία παρὰ τῷ Ἀριστοφάνει, ψευδολογία. καὶ τερατολογεῖν, ἀπίθανα διηγεῖσθαι. καὶ λέγειν πράγματα ἐπέκεινα τῆς ἀνθρωπίνης. Τερατευόμενος, ψευδόμενος. καὶ μηδὲν ἀληθὲς, μηδ᾽ ὑγιὲς λέγων, παρὰ τῷ Ἀριστοφάνει. Τερατουργός, παραδοξοποιός, ἢ τέρατα ἐργαζόμενος. Τέρεινα, Λυκόφρων. καὶ Ἀπολλώνιος, τερείνης ἄνθεα γαίης. ἔστι δὲ πόλις, ὅθεν Ἡρακλείδης ὁ Τερειναῖος. τὸ δὲ τέρεινα γίνεται παρὰ τὸ τείρω, τὸ κατατήκω. σημαίνει δὲ τὸ τρυφερὸν καὶ ἁπαλόν, ἢ τὸ θερμόν, ὡς τὸ τέρεν κατεδάκρυε χεῖλος. παρὰ τὸ θέρω θέρεν, καὶ τέρεν, τὸ ὥσπερ τεθερμασμένον, καὶ διακεχυμένον. καὶ τέρεν, τὸ ἁπαλόν, παρὰ τὸ διακεχύσθαι, καὶ μὴ τραχὺ εἶναι.

Τερείνης, τῆς ἁπαλῆς, καὶ χλωρᾶς. Τέρεν δάκρυον, τὸ ἐκ τερπομένης ψυχῆς. Τέρεν δάκρυον, τὸ ἐκ τερπομένης δηλονότι καρδίας. ἢ κατ᾽ ἄλλως, τὸ τρυφερόν, ἤγουν μαλακόν, τὸ μαλακτικόν δι᾽ ἀναθυμίασιν. τέρεν τὸ ἁπαλόν, ἐκ τοῦ θέω τὸ εἶμι. Τέρενα χρόα. τέρενα λέγονται, τὰ ἁπαλά. κατὰ κοινωνίαν τοῦ τ πρὸς τὸ θ, οἷον θέρενα. τὰ γὰρ ἁπαλὰ εὔθερμα, τὰ δὲ σκληρά, ἀτέραμνα. Τέρεμνα, οἰκήματα.

Τέρεμνοι, ἰσχυροί, ἢ εὔρωστοι. Τερετίσματα, ἢ τερετίσματα, ᾠδαὶ ἀπατηλαί, ἠχητικαί, ἢ μωρολογίαι ἢ χαμαίζηλοι.

Τέρετρον, ὁ δίλητρον. καὶ τέλετρον ἀστεῖον, τὸ τρύπανον, παρὰ τὸ τρῶ, τὸ ἐν τῷ ξύλῳ τὰς ὀπὰς ἀποτελούμενον. γίνεται δὲ ἀπὸ τοῦ τερῶ τερέσω τὸ φαῦ. ὃ καὶ μίμησιν ἐξέχει, καθὼς καὶ τὸ τρῶ. οὐ παράγωγον, ὥσπερ τὸ βρέχω, οὕτω καὶ τὸ τρίω. ἐξ οὗ καὶ ὁ τρῶμα, ὁ παρὰ τῷ κωμικῷ. καὶ τρημαλιά, ἡ ὀπὴ τῆς βελόνης, ἐκ τοῦ τρυπᾶν. καὶ ἀρτύειν, ἀθεῖν. ἐκ τοῦ φυσᾶν. ἐκ δὲ τοῦ θεόντα τρῶ, καὶ τρίβω, ὡς θλῶ θλίβω, καὶ τὸ τιτραίνω, ὁ ἔργον ἐστὶ τοῦ τερέτρου. τέτρηνε δὲ πάντα καὶ ἥρμοσεν ἀλλήλοις. ἔστι γὰρ τρῶ, ἐξ οὗ παράγωγον τὸ τρανός, καὶ τρανής, καὶ κατὰ ἀναδιπλασιασμόν, τετραίνω, ὡς φαίνω σημαίνω. ἔστι δὲ γίνεσθαι τὸ τρῶ, ἐκ τοῦ τείρω κατὰ συγκοπήν, ἢ ἐκ τοῦ τερῶ. ἀπὸ δὲ τοῦ τρῶ, καὶ τρώγειν. ὅθεν ὁ τρωγλος, καὶ τρωκτὰ λέγεται, καὶ ὁ τρωγλοδύτης τόπος, ἐκ τοῦ τρώγειν. Τερετίζειν, ἢ τιττίζειν ἐπὶ τεττίγων. ἢ τερετίζειν, τοῖς μουσικοῖς κρούμασιν ἐπιτιθέναι τὸ λεγόμενον τόνον. ἀφ᾽ οὗ τερετίζειν λέγεται τὸ ᾄδειν, κατὰ ἀντίθεσιν τοῦ α εἰς ε. καὶ τερετίσματα, ᾠδαὶ ἀπατηλαί, ἢ ᾄσματα ἔκλυτα. ἀπὸ μεταφορᾶς τῶν τεττίγων, ἢ τῆς ἀηδόνος. Τερηδόνων, σηπεδόνων, ἢ σκωλήκων. Τερθρία, γοητεία, περιεργία. Τέρθεται, ξηραίνεται, καίεται. Τέρθροι, οἱ εἰς τὸ κέρας τοῦ ἱστοῦ ἐκπεπλεγμένοι, οἷς τὸ ἀρμενον ἕλκουσι. Τέρθρον, ὁ λεγόμενος ἀρτέμων. ἔνιοι δὲ, τὸ ἄκρον τοῦ ἱστοῦ, καὶ εἶναι οἰκεῖον. ἔστι δὲ τὸ ἐπάνω καὶ ὑψηλόν. ἢ τέρθρον χωρίον τι τῆς πλοίας λεπτόν, οἷον τερέτρον. διατρυπῶνται γὰρ κατὰ τὸ ἄκρον οἱ σχοῖνοι. ἔνιοι δέ φασι τὰ ἄνω τρυμάλια τὰ ἐπὶ τοῦ ἱστοῦ ἀργαλεῖα, ἀφ᾽ οὗ ἤρτηται τοῦ ἱστοῦ ἡ κεραία. ἐκ τούτου γίνεται τερθρεία, ἡ λεπτολογία. ἄλλοι δέ φασι τερθρείαν, τὴν φλυαρίαν, τὴν ἐν τοῖς διὰ μέρεσι καλουμένην μάχην. σημαίνει δ᾽ ἔτι καὶ τὴν ἀπάτην, καὶ περιεργίαν.

Τερθρευτὴς, ἐπεὶ ὁ πρωρεὺς προορᾷ τὰ ἐν τῇ θαλάσσῃ.

Τερίνθινον, μεγαλόσαπρον. Τέριμο, τρέφεται. Τέριμνα, τετριμμένα. αἱ δὲ, τερπνά. Τέρμα, σημεῖον, τέλος

τοφορᾶς ἀπὸ τῆς κοινῆς ἀγγείων. Τέλειον, τὸ τέλος καὶ πέρας. Τελεστικὸν, τὸ ξηρὸν σῦκον. Τελέσαι, δοῦναι.

Τέλειον δόξαν. Ὅμηρος, ὅτι ἔτι δόξαν τέλεσεν. Φαῦλα μὲν ... εἰς τέλος ἤγαγον. γίνεται δὲ τοῖς ἐχθροῖς ἀφορμὴ ... τελείω. εἰ μὴ ἐτέλεσεν ὁ ... Τελεσθῆναι, τὸ ἀναλωθῆναι. οὕτως Ἀντιφῶν. Τελεσιαζόμενα, θυόμενα, καὶ τελούμενα. Τελεσία, ἡ μετὰ ξίφους ὄρχησις. ἀπὸ τοῦ εὑρόντος Τελεσίου. Τελέσιος ἡμέρα, ἡ ἐσχάτη. Τελεσιουργεῖ, τὸ ἔργον εἰς πέρας ἄγει. Τελεσφόρος, οὐ μόνον τὸν ... ἐπίθετον, ἀλλ' ... εἰς τέλος ἄγει. λέγει δὲ ... τελεσφόρον, ...

[illegible]

δος. Τεθυμμένον ἦν, παρ' Ὁμήρῳ ἐν τῷ ζ' τῆς ἰλιάδος, ὡς ἄν τις εἴπῃ, μεμυρωμένον, ἢ μεμυστωμένον. ἀπὸ τοῦ θύου τοῦ θύοντος, οὐ μέμνηται καὶ ὁ πλίνιος. τὸ παρὰ τὸ θύω. ὃ ἐν τῇ ἐπιθυμίᾳ καίεται. Ὅμηρος μὲν τὰς μύρων μὲν χρῆσιν οἶδε, κνίσσην δὲ ἀγνοεῖ. ὥσπερ δὲ τὸ βρένθειον, καὶ ἡ ἶρις, καὶ τὸ ἴασπον, καὶ τὸ ἀμαράκινον, καὶ τὸ ῥόδινον, καὶ τὸ μεγάλειον, προχειριστωμένως κατὰ τοὺς παλαιούς. ἢ κατὰ τοὺς ἀκριβεστέρους πρεσβευτόμενος, ὃν δὲ ἄν τις λ, μετὰ τοῦ παραλήγοντος ἰῶτα. Τέθυται, τεθυμίεται. Τεθωγμένοι, μεμεθυσμένοι. Τεθαλυῖα, τὸν ὀμφαλόν. Τείνω, τὸ ἐκτείνω, αἰτιατικῇ συντάσσεται. τείνω, τὸ τανύω. καὶ τείνειν, τὸ ἀφορᾶν. καὶ τείνειν, ἀντὶ τοῦ ἀποδιδόναι. τείνω τενῶ, τέτακα. Τείνω, τὸ ἐκτείνω, διὰ διφθόγγου. ταῖς διὰ τοῦ ι. συστέλλεται δὲ διὰ τὸν ἀναδιπλασιασμόν. Τεινίδιον, τὸ φαινόλιον.

Τέϊον, καῖον, κρατήρ. Τείρω, ἔχει κινήσεις τινάς, καθὰ καὶ τὰ τείρεα, ἅπερ ἐστὶν ἄστρα. ἐσθίειν δὲ καὶ τὰ κατὰ εἰκόνας τέρεμνα, ὡς τετρόμενα εἰς τὸ φῶς, καθὰ δηλοῖ [illegible]. καὶ ὁ τέρεδων, τὸ ζωΰφιον, ὃ καὶ ξύλοις ἐμφύεται, καὶ ἐσθίει. καὶ ὁ τέρην, ἐναργῶς ὅταν τέρην [illegible] ἢ δάκρυον, ἢ τι ἄλλο. ἐκλυτικὸν δέ, τέρενα, οἷον παρθένοι λέχων τέρειναι καλάθους, ἤτοι ἁπαλαί. τὸ δὲ τείρειν κίνησις, ὥσπερ ἄτειρες, οὕτω καὶ ἀτέραμνον, ἤγουν δυσέκτηκτον ἔσωθεν, καὶ οὐ καὶ ἔθος ἀτέραμνον, τὸ ὠμὸν καὶ ἀνέψητον. καὶ ὕδατα δὲ ἀτέραμνα, τὰ πηγαῖα, καὶ οὕτω σκληρὰ ὕδατα. Τείρεα, τὰ ἄστρα. παρὰ τὸ εἴρω τὸ λέγω, εἴρεα, καὶ τείρεα, πλεονασμῷ τοῦ τ. καὶ γὰρ τὰ ἄστρα σημαίνουσί τινα σημεῖα. ἢ παρὰ τὸ τέρας, τὸ σημεῖον. σημαντικὰ γάρ ἐστι τῶν μελλόντων. ἢ παρὰ τὸ τείρω, τὸ καταπονῶ. πολλοὶ γὰρ ἐκ τῶν ἀστέρων καταπονοῦνται, καὶ γεγόνασιν ἀστρόβλητοι, ὥσπερ καὶ ἐμβρόντητοι. καὶ τειρεσίας ὁ μάντις, παρὰ τὸ εἴρω τὸ λέγω, ἢ παρὰ τὸ τείρεα. οἱ δὲ μάντεις ἐκ τῶν ἀστέρων τι λέγουσιν. ἢ παρὰ τὸ τείρεσθαι, οἱονεὶ ὁ καταπονούμενος ἐκ τῆς στερήσεως τῶν ὀφθαλμῶν. τυφλὸς γὰρ ἦν. Τείρεται, καταπονεῖται, βλάπτεται. τείρω γὰρ τὸ δαμάζω. Τείχεα, τείχη. Τειχεσίπλητα, καλὰ τείχη ἔχοντος. Τειχεσιπλῆτα, τινὲς διὰ τοῦ β γράφουσι. ἀμφοτέρων μία ἡ ἔννοια. ἔστι δὲ τειχεσιπλήτης μὲν ὡς ἄν τις εἴπῃ, πολιορκητής, ὁ τοῖς τείχεσι πελάζων ἐπὶ πορθήσει. τειχεσιβλήτης δέ, ὁ καταβάλλων τὰ τείχη. Τειχομαχεῖ, πολιορκεῖ. Τέχος ἐστὶ νοερόν, ἀπαύγασμα ψυχῆς λογικῆς, ἀπρόσιτον δαίμοσι. Τεῖχος, κατὰ τὸν τοῖχον, ἐκ τοῦ τεύχω γίνεται τεῖχος οὐδετέρως, τὸ τῆς πόλεως. τοῖχος δὲ ἀρσενικῶς, ὁ τῆς οἰκίας, καὶ τὰ τειχία ὁμοίως.

Τεῖχος τειχίσαι, διαφέρει τοῦ πελίσαι. οὐ γὰρ πᾶς ὁ τειχίζων ἤδη καὶ πολίζει. διὸ ἕλληνες μὲν τεῖχος ἐτειχίσαντο. ποσειδῶν δὲ καὶ ἀπόλλων, τεῖχος ἐπόλισαν λαομέδοντι. Τειχοφύλαξ, ὥσπερ τις ἐν μυρρίνῃ.

Τέως, καθ' ὁμοιότητά ἐστι τοῦ νῦν ἕως. δηλοῖ δὲ τὸ ἐν τοσούτῳ, ἐν ἴσῳ. Τέκεν, ἔτεκε, ἐγέννησε. Τεκέεσσι, τέκνοις, ἰδίοις. Τεκμαίρομαι, παρ' Ὁμήρῳ εὕρηται ἀντὶ τοῦ τελειῶ, ἐκ τοῦ τέκμωρ, τὸ τέλος. οἷον τεκμαίρομαι. τὸ τεκμαίρομαι, αἰτιατικῇ συντάσσεται. λευκιππος, ἀπὸ τῆς κνίσσης τεκμαιρόμενος τὴν εὐδαιμονίαν. καὶ τεκμαίρεται παρ' Ἡσιόδῳ, ἀντὶ τοῦ βουλεύει. τεκμαίρω, σημαίνει τὸ κατασκευάζω, καὶ τὸ σημειοῦμαι.

Τεκμαίρεσθαι, ἀντὶ τοῦ σημειοῦσθαι. ἀφ' οὗ καὶ τέκμαρ, τὸ σημεῖον, ὡς οἱ μεθ' Ὅμηρον λέγουσι. Τέκμαρ, πέρας, τέλος. Τεκμήριόν ἐστι, σημεῖον ἄλυτον, ἀναμφίβολον. ὡς τὸ γάλα ἔχειν τινά, τοῦ τετοκέναι. εἰκὸς δὲ σημεῖον ἐστιν ἀναμφίβολον. ὡς τὸ, πατεῖ κλέπτειν ἐφίεσθαι. Τεκμήριον ἐστιν, ἀπόδειξις ἀφανοῦς λόγου συλλογιστικός, ἀληθής. λόγος ἐμφαντικός, διὰ προγινωσκομένων. Τεκμηριοῦσθαι, σκέπτεσθαι, φράζεσθαι. Τέκμωρ, τέλος φανερόν, μαρτύριον, σημεῖον. τὰ δὲ εἰς ωρ λήγοντα ὀνόματα, οὐδέτερα ὄντα ταῦτα, ἕλωρ, τέκμωρ, ὕδωρ. Τέκνον φίλε, παρ' Ὁμήρῳ ἀττικῶς ἐχρήσατο. λύεται τοῦτο καὶ διὰ σχήματος ὀρθοῦσθαι εἰς τὸ κοινότερον. ἵνα λέγῃ ὅτι τέκνον, ὦ φίλε.

Τεκνοῦσα, τέκνον ἔμβρυον ἔχουσα. Τεκνῶσαι, εὐτεκνοποιῆσαι. Τεκταίνεσθαι βουλήν, ἀπὸ τῶν τεκτόνων μετώνυμα. ὡς τὸ βουλὰς ὑφαίνειν, ἀπὸ τοῦ ἱστουργοῦ. Τεκταίνεται, ξύλα ἐργάζεται. Τεκτήναιτο, κατασκευάσειε, οἶμαι ἐκ τοῦ τέκτων τεκταίνω. οὐ μέλλων τεκτανῶ, ὁ ἀόριστος ἐτέκτηνα. ὁ μέσος ἐτεκτηνάμην, ἐτεκτήνω ἐτεκτήνατο. καὶ ἰωνικῶς, τεκτήναιτο. Τεκτονική ἐστι τέχνη περὶ ξύλα καταγινομένη, θρόνων ποιητική, καὶ πολλῶν ἄλλων.

Τέκτονος υἱὸν παρ' Ὁμήρῳ, οἱ μὲν ἀκριβέστεροι ἐπίθετον φασιν. οἷον τέκτονος λεγομένου, καὶ τοῦ ναυπηγοῦ, ὡς δηλοῖ τὸ τεκτήνατο νῆας ἐίσας. ὥστε εἶναι ἐνταῦθα δύο πρόσωπα, υἱὸν μὲν φέρεκλον, πατέρα δὲ τὸν ἁρμονίδην. τινὲς δὲ ἐκδέχονται ὄνομα κύριον τὸν τέκτονα, καὶ ἓν φασὶ πρόσωπα. ἵνα ὁ μὲν φέρεκλος εἴη τέκτονος υἱός. ὁ δὲ τέκτων, υἱὸς τοῦ ἁρμονίδου. καὶ ἄρα δὲ ὅπως εἴκασε ναυπηγεῖς τὰ ὀνόματα λαβεῖν, φερόμενα τὰ ξύλα, καὶ οὐ δὲ συντιθεὶς αὐτά. οὕτω δὲ καὶ ὁ ἰατρὸς τινὰ ἔλεγεν ἰατρόν. Τέκτων δούρων, οἰκοδόμος, καὶ ναυπηγός. καὶ ἁπλῶς ἅπας ὁ ὁτιοῦν διακείμενος περὶ σκευῆς ξύλων. Τέλα, σπουδή. Τελαμών, ὁ λῶρος, ὁ ἀναφορεὺς τοῦ ξίφους, καὶ τῆς ἀσπίδος. ἀπὸ τοῦ τλῶ τὸ ὑπομένω, ὡς καρτερικὸς καὶ ἰσχυρὸς καὶ βαστακτικός. Τελαμῶνας ἔφη ὁ ποιητής, τοὺς ἀναφορεῖς ἐν τῷ ε' τῆς ἰλιάδος. αἱ δὲ ἀργύρεαι τῶν μὲν δὲ μαχαιρῶν αἱ ἀναφορεῖς, ὅμως ἐμάθετο, καὶ οὕτω νοητέον αὐτούς, ἀναλόγως τῇ ὑποκειμένῃ τῆς ἀσπίδος ὕλῃ. Τελαμώνιοι κόνδυλοι, οἱ προσδέμενοι ἐν τελαμῶσι, ἢ μεγάλοι, χαλκοῖ. Τελαμών, ἀσπίδος. οὗ ὁ λῶρος πλατύς, δι' οὗ ἀσπὶς ἀνεφέρετο. διὸ καὶ ἀναφορεὺς ὁ αὐτὸς ἐλέγετο. λέγεται δὲ τελαμὼν ἀσπίδος, καὶ πρὸς διακρίσιν ἑτέρων ἐρρέθη, ὧν εἷς καὶ ὁ τοῦ ξίφους. Τελάσσαι, τολμῆσαι, τλῆναι. Τελεώτατον, ἐντελέστερον. Τελαγών, ὁ καλούμενος ἐρωτικός. ἐστὶ γὰρ γελαγών. Τελαίνειν, κομιδῆς ἄξιον. Τελέθουσι, τελῶ, τὸ πρώτως, καὶ τὸ ὑπάρχω. ἀφ' οὗ κατὰ παραγωγήν, τελέθω. ὡς ἀπὸ τοῦ νέμω νεμέθω, καὶ φλέγω φλεγέθω, καὶ ἐθέλω ἐθελέθω. ὃ τρέπει τὸ ε εἰς τὸ τ, καὶ τὸ α εἰς τὸ η, καὶ γίνεται τελέθω. Τέλεα, καὶ τέλη, τὰ ἀναλώματα, καὶ τὰ συνέδρια τὰ ἐν ἀρχῇ. Τέλεα ἱερά, τὰ ἐνιαύσια. οἱ δέ, τὰ εἰς ἡμέρας δέκα ὑπερβεβηκότα.

Τελείω, ἢ ἐκ τοῦ τελῶ τελείω, ὡς χῶ χείω, θῶ θείω. ἢ ἐκ τοῦ τελέω τελείω, ὡς σέω σείω. ἐτελείομεν τὸ δεῖπνον, ἐτελείετε, ἰωνικῶς τελείετο. Τελεῖν, τὸ τάττεσθαι, καὶ τὸ καταλέγεσθαι. τελεῖν, καὶ τὸ ἀποπληροῦν, καὶ ἀπαιτεῖν. καὶ τελέσω, ἀντὶ τοῦ πράξω. καὶ τετελεσμένον, τὸ πεπραγμένον. καὶ συντέλεια, τὸ τέλος. καὶ συντελεσταί, οἱ τελοῦντες. Τελεῖν, καὶ τὸ λαμβάνειν φόρους, καὶ τὸ διδόναι, καὶ τὸ παρατιθέναι, καὶ τὸ ἐορτάζειν, καὶ τὸ καταλέγεσθαι, καὶ συναριθμεῖσθαι. καὶ τελεῖ εἰς τοὺς ἕλληνας, ἀντὶ τοῦ ἕλλην ἐστί. καὶ τελεῖ εἰς τοὺς ῥωμαίους, ἀντὶ τοῦ ῥωμαῖός ἐστι. τελεῖ εἰς τοὺς ἀστούς, ἀντὶ τοῦ ἀστός ἐστι. καὶ ὁ βάρβαρος τελεῖ εἰς τοὺς ἕλληνας, ἀντὶ τοῦ ἕλλην ἐστί. Τελεῖν, καὶ τὸ ἐπιτελεῖν, καὶ ἐκπληροῦν. τελεῖν, καὶ τὸ μυεῖν. ἔθεν καὶ τελεταί, καὶ τελούμενος, ὁ τὰ ἄδυτα μεμυημένος. ὡς καὶ παρὰ Δημοσθένει, σὺ μὲν ἐτέλεις, ἐγὼ δὲ ἐτελούμην. Τέλειόν ἐστι, τὸ συμπληρούμενον τῷ ἰδίῳ λόγῳ τῆς φύσεως. ἀτελὲς δέ, τὸ ἐναντίον. Τελεῖν, ἀναλίσκειν. ὡς ἐν τῷ περὶ παθῶν δεῖ λέγειν παρὰ τῷ ἱπποκράτει.

Τέλεοι, οἱ γεγαμηκότες. Τέλειος, τελεσιουργὸς ὁ ζεύς, καὶ ὁλόκληρος. Τελέσσαις, ἀγαγοῦσα. Τελέω, ἀνύω, ἐπανύω, διανύω, ἀνύττω, ἀπεργάζομαι, περαίνω, τελευτῶ, ἀπαρτίζω, διαρτίζω. Τελείων, οὐ μάτην ὁ ποιητὴς προσέθετο. οὐδεμίαν γὰρ λέξιν εἰκῇ παρέρριψεν οἶδεν, ἀλλ' ὅτι ἔστιν ὁσίως, ὡς τελείους προσάγειν χρὴ τέλεια. ὁ δὲ πρὸς ἀντιδιαστολὴν εἶχε τοῦτο τὸ ἀρνῶν οὐ τελείων ἐστιν. ἀτελεῖς δὲ οἱ ἀρνοί. ἔστι δὲ μέντοι ἀρνειός, τέλειός ἐστι. Τελεσσεῖσαι, ἐν σφίσι τὸ ποιῆσαι, ἀπὸ τελεσθεῖσαι. ὡς τὸ εἰκὸς πίστεως παντελῶς. καὶ λέγεται τὸ τελειούμενος ἔχω, ἐκ μεταφορᾶς

Ταχὺ, καὶ βραδὺ, καὶ διὰ ταχέως, καὶ διὰ βραδέως λέγουσιν ἀττικοί. ἀντὶ τοῦ εἰπεῖν, ταχέως καὶ βραδέως.

Ταχυβάμονας ἔρωτας, ἀντὶ τοῦ βραδεῖς. βέλτιον δὲ τοὺς ἐν ὥρᾳ γινομένους. ἀβλαβεῖς γάρ εἰ ἐκτεραμβοῦνται.

Ταχυπῶλων, ταχεῖς ἵππους ἐχόντων. Ταχὺς, ταχύτερος, ταχύτατος. ταχὺς ταχίων τάχιστος. καὶ ταχὺς τάσσων, ταχὺς ταχύτερος ταχίων τάσσων καὶ θάσσων. Ταχὺς ταχίων, τάσσων, καὶ θάσσων, πρὸς διαστολὴν τοῦ τάσσων μετοχῆς, ἢ τὸ ἐπίῤῥημα. ἔτι δὲ καὶ τὸ οὐδέτερον θᾶσσον. ὁμοίως καὶ μακρὸς μακρίων μάσσων. καὶ βραδὺς βραδίων βράσσων. καὶ παχὺς παχίων πάσσων. καὶ ἐλαχὺς, ὁ κατὰ Καλλίμαχον ἐλαχὺς ἐλαχίων ἐλάσσων. Ταχὺ, ἢ σὺν τάχει, ἢ κατὰ τάχος, καὶ ὅθεν τάχος, καὶ διὰ ταχέως, καὶ διὰ τάχους, καὶ διὰ ταχίων, ἐπὶ τοῦ αὐτοῦ. Ταχὺ, ἀντὶ τοῦ ταχέως, καὶ διὰ ταχέος, καὶ ὅτι τάχιστα, καὶ ὡς εἶχε τάχους. καὶ ἐν τάχει, καὶ ὡς τὸ πολὺ, καὶ ὡς τὸ ἐπὶ πολύ. καὶ ὡς ἐπὶ τὰ πολλὰ, πάντα ἀντὶ τοῦ ἐπιῤῥήματος λαμβάνονται. Ταχὺς, καὶ ταχὺ οὐδέτερον. πολλαχῶς ἀποτελοῦσι τὰ εἰς ς ἀρσενικὰ οὐδέτερα· τῇ μὲν γὰρ ἀποβολῇ τοῦ ς γίνεται, ὡς ἐπὶ τοῦ ταχὺς ταχὺ, φιλόπολις φιλόπολι, μέγας μέγα, ἢ τροπῇ τοῦ ς εἰς ν, ὡς καλὸς καλὸν, σαφὴς σαφές. ἢ κατὰ τροπὴν τοῦ ς εἰς ν, καὶ συστολὴν τοῦ α, ὡς μέλας μέλαν. ἢ κατὰ συστολὴν μόνον, ὡς τὸ εὐσεβὴς εὐσεβὲς, εὐγενὴς εὐγενὲς, καὶ ἀληθὴς ἀληθές. Ταὼν πέδον, παρὰ τὸ τείνειν τὴν οὐρὰν. τὸ γὰρ ζῶον ἐναβρυνόμενον ὑπὸ ἑαυτοῦ κάλλει, τοῖς ὁρῶσι τὴν οὐρὰν ἐξαστράπτειν ἀποδείκνυσι. ὅπως δὲ ἀπὸ τοῦ ταὼς βούλονται εἶναι, κατ' ἔκτασιν τοῦ ο εἰς ω, καὶ ἐναλλαγῇ τοῦ τόνου, ἀλλ' οὐκ ἔστιν. ἐπειδὴ τὸ ταὼς, ὥς φησιν Ἡρωδιανὸς, διὰ τοῦ ο μικροῦ οὐκ ἔστι σύνηθες τοῖς Ἕλλησι. καὶ λέγουσι ἄλλοι, ὅτι ὤφειλεν εἶναι ταὼς, ὡς λαὸς λεώς. Ταὼς, τάως, κρατοῦν. καὶ διαιρεῖ τὸ ἔργον, ταὼς.

ΤΟ Τ ΜΕΤΑ ΤΟΥ Ε.

Τε σύνδεσμος παρὰ μὲν τοῖς κοινοῖς, καὶ τοῖς τραγικοῖς ποιηταῖς, καὶ τοῖς κωμικοῖς, οὐδέποτε περιττὸς τίθεται. παρὰ δὲ τοῖς τοῦ ἡρωϊκοῦ μέτρου χωμένοις πολλάκις, ὡς παρὰ Ἡσιόδῳ, ὅν τε διὰ βροτοί. καὶ παρ' Ὁμήρῳ πολλαχοῦ ἔστιν εὑρεῖν. Τε σύνδεσμος, ἐγκλίνεται. οἷον καί τε περιπατεῖ. Τε ἀντὶ τοῦ σὺ, λέγουσιν αἰολεῖς, καὶ δωριεῖς. τὸ, παρ' ἴωσι πλεονάζει καὶ πολλάκις. Ἡρόδοτος, ἐπεί τε ἐγένετο ταῦτα, ἀντὶ τοῦ ἐπεί. Τέγγε, βρέχε.

Τέγγεσθαι, εἰκεῖν, ἀποδέχεσθαι. Τέγγω, τὸ βρέχω, καὶ διαβρέχω. τέγγει δ' ἐπὶ κύματος ἄγχι τέγγει πόδας. Τεγούρει, ὄρνεον ποιόν. Τεγέα, πόλις ἀρκαδίας. Τεγέας γνώρισμα, ὃ Στράβων τοιοῦτόν φησι. κεχρῆσθαι αὐτῷ ἐπὶ τῷ ὅλῳ τῷ ἐκ Τεγέας εἰς Ἄργος, διὰ τοῦ πάθους τούτου. λέγει δὲ καὶ ὅτι ἡ Τεγέα μεγίστη συμμίξει. εὐδαίμων δὲ, ὅτι γεωργικὸς τόπος. διὸ καὶ πολεμία ἐγένετο, εὐδαίμων ὁ κρίθινος, ἐγὼ δὲ εἰμὶ Τεγεάτης. τοῦ μέν τοι γεωγράφου ἀρέσκει Τεγεάτης, ἐνταῦθα γράφεσθαι. ἀπὸ Τεγέας κώμης φησὶ Κορυθέας, ἐν ᾗ Τεγεάτου Ἀπόλλωνος ἱερόν. λέγει δὲ ὁ αὐτὸς καὶ ὅτι Τεγεάταις ὅμοροι Κυνουριεῖς. ὅμως δὲ τὰ χωρία ταῦτα καὶ νῦν κατέχουσι. καὶ ὅτι ἐν τῇ Λεπρεάτιδι, καὶ αὐτός ἐστι μνῆμα, καὶ ὅτι ἐν τῇ Ὀλυμπίᾳ, ποταμὸς καὶ νῦν ὁ Θαλυκός. Τεγίδιον, κοσμάριον ποιὸν γυναικεῖον.

Τέγη, στέγη, οἴκημα. Τέγκωνες, ἀκρωτήριον, κόρσιοι.

Τεγέος. ἴσμεν ὅτι Ὅμηρος γυναικείους θαλάμους, οὐ μὴν καὶ ὅσους τῶν ἀνδρῶν ὀνόμασε τεγέους, ἀντὶ τοῦ ἀνωγείους, ἐπὶ τέγει ἐστέγους οἴκους ἀνασαλεύοντας ὑπερῴους, πολυστέγους, πολυωρόφους, ἵνα μὴ διεστραμμένων φασὶ καθιστῶνται αἱ γυναῖκες. γίνεται δὲ τὸ τέγος, ἀπὸ τοῦ τέγει τέγεος, καὶ ἀποβολῇ τέγος. ὡς τέλος τέλεος τέλος. ὥσπερ δὲ μικρὸς σμικρὸς, οὕτω καὶ τέγος στέγος, ἐξ οὗ τὸ στέγω ῥῆμα. ἰστέον δὲ, ὡς εἰ καὶ ἀπὸ τοῦ τέγος ἐγίνετο ἀπὸ τοῦ τέγγω, παράγεται τὸ στέγος, ἀλλ' ἐξ αὐτοῦ αὐθις ὁ ὅλος οἶκος παρονομάζεται, διὰ μέσου τοῦ στέγειν ῥήματος. ὡς Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις, ἐν οἷς πάντα λέγει, ὅτι ὄχλον στέγει δόμος. Τεγηθὲν, χρυσοῦν.

Τέγξω, καταστάξω. Τεγοῦν, κυδοῦν ἐπαλείφω.

Τεῖν, σοί. Τεθαλυῖα, ἀπὸ τοῦ θάλλω, ὁ μέλλων θαλῶ, ὁ παρακείμενος τέθαλκα, ὁ μέσος τέθηλα. καὶ ἡ μετοχὴ, τεθηλὼς, τὸ θηλυκὸν τεθηλυῖα. καὶ τεθαλυῖα κατὰ συστολὴν τοῦ η εἰς α. Τεθαγμένοι, μεμαθητευμένοι. Τεθάψαι, μεθύσαι. Τεθαλότα, θάλλοντα. Τεθέαμαι, ἑώρακα, πεπείραμαι. ἐστέον ὅτι ἡ δευτέρα συζυγία τῶν περισπωμένων, εἰ καθαρὸν, ἢ μετὰ τοῦ ρ ἔχει τὸ α, ἀναγκαίως ἐπὶ τοῦ παθητικοῦ παρακειμένου διὰ τοῦ α ἐκφέρει. ὡς δρῶ δέδραμαι, βοῶ βεβόημαι, τεθέαμαι. ἢ μὴ ἔχον δὲ οὕτω, μετὰ τοῦ σ τὸ ρ ποιεῖ, ὡς γελῶ γεγέλασμαι, καὶ τὰ παραπλήσια. οὕτω καὶ τὸ ἐλάω ἐλῶ ἐλήλαμαι ἐλήλασμαι ὅμως, εἰ μή τε καθαρὸν ἔχον τὸ α, μήτε μετὰ τοῦ ρ, ἐκβολῇ τοῦ σ ἐλήλαμαι γίνεται. καὶ διὰ τοῦ η ἐπὶ τῆς μετοχῆς ἀναβιβάζεται ὁ τόνος. οὕτως ἐληλαμένος, καὶ οὐκ ἐληλαμένος γράφεται τὸ ἀμετάβολον. Τεθέληκεν, ἀλεξανδρεωτικὸν σχῆμα. διὸ ὀφθείη ἀλεξανδρεῦσι, καὶ αἰγυπτίοις αὐτὸ, ἡμῖν δὲ ῥητέον, ἠθέληκεν. Τέθηκεν, ἐθαύμασεν, ἐκπέφευγεν. Τεθήλαμεν, ἀνηφάνημεν. Τέθηλε, μέσος παρακείμενος, ἐκ τοῦ θάλλω θαλῶ, τέθαλκα, ὁ ἥρως. μέσος τέθηλα, ὡς χρυσὸς. Ἡσίοδος, τοῖσι τέθηλε πόλις. Τεθήπασιν, ἐξεπλάγησαν, ἐθαύμασαν. Τεθηπότες, ἐκπεπληγμένοι, θαυμάζοντες. τεθηπότες, μέσος παρακείμενος τοῦ θάπω. ὅπερ σημαίνει ἀνθεῖν συμπαθὲς εἰς ἔκπληξιν. ἀφ' οὗ καὶ θάμβος, καὶ ἐναλλαγῇ τοῦ στοιχείου, τάφος, ἡ ἔκπληξις. καὶ θαῦμα μετοχὴ ἐκ τοῦ θήπω, κατὰ ὁμοίαν ἐναλλαγὴν τῶν ἀφώνων, ταφὼν, ὁ ἐκπλαγείς. ὅτι δὲ ἰόντων ἰδίᾳ καὶ εἰκότα τῶν δασέων καὶ ψιλῶν ἀντιμεταχώρησις εἰς τὰ σύστοιχα, δηλοῦσι μὲν καὶ τὰ τοῦ τ' ἐστί ὄντος Ἡροδότου, τὸ ἐνθεῦτεν, τὸ κιθὼν, τὸ βάθρακος, καὶ τὰ, οἷον ἀκανθίας, ἀχαθίας. καὶ ἡ τοῦ κώθωνος δὲ χρῆσις παρὰ τοῖς κωμικοῖς, εἰς τὸ τὸ οὖν πίπτω ἰωνισμὸν, εἴπερ ἀπὸ τοῦ κέχυται γίνεται, διὰ τὴν ὑπέρθεσιν κατὰ φύσιν χύσιν. ἰωνικὸς δὲ ἰδιωτισμὸς καὶ τὸ ἐκ χειρὰς σταθεῖν μονόκροτον. οὐ μακρὰν τούτων, οὐδὲ τὸ πάλχα ἐκ τοῦ φέσκα καλλιφωνεῖν. Τεθήσονται, ὀρακλέων, δυναστεύσονται. Τεθέωντο, ἐθαύμαζον. Τεθέαται, ἦσται, ἠγάπητο. Τεθεμένον, ὑποκείμενον. Τεθμὸς, ὁ νόμος, ἐκ τοῦ τίθεμαι τέθεισαι τέθεται, τεθμός. Τεθναίην, ἐκ τοῦ τέθνημι, ὁ μέλλων θνήσω. ὁ δεύτερος ἀόριστος ἔθανον, ὅς ἔθνω. ἡ μετοχὴ ὁ θανὼν τοῦ θανόντος, ὡς στὰς στάντος. τὸ εὐκτικὸν θάνοιμι, ὡς σταίην, καὶ κατὰ ἀναδίπλωσιν τεθναίην. ὁμοίως τεθναίης ὁ ἀπαρέμφατον ἐκ τοῦ τεθνεῖναι, κατὰ συγκοπήν. ἐστὶ γὰρ τέθνηκα ὡς ἔστηκα. Τεθνάκαμεν παρὰ Θεοκρίτῳ, ἀντὶ τοῦ τεθνήκαμεν. Τεθνάναι, τέθνημι, τὸ πληθυντικὸν τέθναμεν, καὶ τὸ ἀπαρέμφατον τεθνάναι. ἢ τέθνημι, ὁ παρατατικὸς ἐτέθνην. ἡ μετοχὴ τεθνὰς τεθνάντος, τὸ ἀπαρέμφατον τεθνάναι. Τεθνᾶσι, κρᾶσιν ἔπαθεν, ὥσπερ καὶ τὸ βεβάασι βεβᾶσι, καὶ ἑστάασιν ἑστᾶσι. Τέθναθι, κακοποίει, ὡς τέτλαθι. Τέθνεικα, ἀπὸ τοῦ τίθνημι, πρώτης συζυγίας ὄντος αὐτοῦ τῶν εἰς μι. οὗ καὶ ὁ παρακείμενος τέθνηκα, ὡς τέθεικα, διὰ τῆς ει διφθόγγου, καὶ ἀποβολῇ τοῦ κ τέθνεα. ἐκ τούτου ἀποβολῇ τοῦ ι γίνεται τέθνεα, καὶ ὁ τεθνεώς. καὶ πάλιν τροπῇ τοῦ ε εἰς η, γίνεται τεθνηὼς διὰ τοῦ η. καὶ ἔστι τὸ μὲν τεθνεὼς κοινὸν, τὸ δὲ τεθνηὼς, ποιητικὸν ἐκ τοῦ τέθνεα παρακειμένου. Τεθνεῶς, ἐκ τοῦ θνῶ θνήσκω. ὁ παρακείμενος, τέθνηκα. ἡ μετοχὴ τεθνηκὼς, καὶ συγκοπῇ τεθνεώς. Τεθνεῶτος, ἐκ τοῦ τεθνεὼς τεθνεῶτος, κατὰ συναλοιφήν. Τεθολωμένον, μεμιασμένον. Τεθολωμένος, καὶ ἐπὶ χλωροῦ ὕδατος μέρμηρα καθορῶσιν, γελῶντα καὶ χαίροντα, καὶ τεθολωμένον. καὶ ἐπὶ λύπης. ὑπὸ τῆς ἀνοίας ἀποτεθολωμένος ἡ καρδία. Τεθόλωται, ἀνάπλεως, λυπεῖται. Τεθορεῖν, διεσπουδᾶσθαι. Τεθορυβημένον, ἐξεστηκότα. ἐθρέψατο, ἐξώσατο. Τεθραυσμαι, συγκέκλασμαι, ἀπὸ τοῦ θραύω. Τέθραπται, τέτρεπται. Τεθραῦσθαι, ὀχλεῖσθαι. Τεθραυσμένος, πεπληγμένος. Τεθρυλημένον, θρυλούμενον. Τεθρασυνόμενον, ὁ κολακεύων ἐρμηνευτὴς ὁρμητός.

Τέθριππον, τετράιππον ἅρμα. Τεθυκὼς, θυσιάζων.

Τεθυμένον, τὸ κεκαυμένον ὑπὸ πυρός. Τεθυλλωμένον, τεταραγμένον ἀπὸ τοῦ θυλλοῦ. Τεθυμιασμένον, εὐῶδες.

ὑπὸ ἐκείνου γενομένου, ὥσπερ καὶ Δάμαλις ὑπὸ ταύρου. ἦν δὲ ἐπωνύμου ὄνομα ποιμένος ταῦρος. ἐξ οὗ καὶ ὕδωρ ταύρειον, παρὰ Σοφοκλεῖ, παρ' ᾧ φασὶ τὰ κρήνη τις ὠνόμασται ἀπ' αὐτοῦ. ὅτι δὲ τὸ αἴσιον ὄνομα ὁ ταῦρος, οὐ μόνον ὁ κατὰ Κρήτην ἱερὸς ἱερεὺς, ἀλλὰ καὶ ἄλλοι ὀνομάζουσι, δῆλον ἐκ τῶν παλαιῶν. ταῦρος γὰρ καὶ τὸ σύμβολον, ἐξ οὗ οἱ κωμικοὶ τὸν λασίταυρον, ἤγουν λασιόταυρον λέγουσι. Ταῦρος λέγεται ἐν τοῖς ἄστροις τεθῆναι, διὰ τὸ τὴν Εὐρώπην ἀγαγεῖν ἐκ Φοινίκης εἰς Κρήτην διὰ τοῦ πελάγους, ὡς Εὐριπίδης φησὶν ἐν τῷ Φρίξῳ. χάριν δὲ τοῦτον ἐν τοῖς ἐπιφανεστάτοις ἄστροις ὑπὸ Διὸς τιμηθῆναι. ἕτεροι δέ φασι βοῦν εἶναι τῆς Ἰοῦς μίμημα. χάριν δὲ ἐκείνης ὑπὸ Διὸς ἐτιμήθη τὸ ἄστρον.

Ταύρους ἔτι τοῖς ποταμοῖς ἱερῶσιν, εἰκάζουσι δὲ καὶ ἐν ταῖς ὄψεσι ζωοὺς ἴσως, ὃ δὴ καὶ ἐπὶ [illegible] ἐφιλοῦ. ὅτι δὲ οἰκειότητα ἔχει ὁ ταῦρος πρὸς τὸ ὑγρόν, καὶ διὰ τοῦτο καὶ Ποσειδῶνι θύεται, εἴρηται ἀλλαχοῦ. δηλοῖ δὲ τοῦτο καὶ Ἡρόδοτος, ἐν οἷς φησι, σφαγιασάμενοι τῇ θαλάσσῃ ταῦρον. καὶ ἵππος δὲ, ὡς ταχύτατον ζῷον προσήκει τοῖς ὠκυρρόοις ποταμοῖς. Ταύρους τε αἶγας, ὁ χρόνος τοῦ ἡλίου Ἀπόλλωνι θύει. τοὺς μὲν, ἤδη τοὺς ταύρους, ὡς ἐργατικοὺς τῆς γῆς, καὶ ἡλίῳ συμπαραληφθέντας εἰς τὸ ζωογόνον τὰ ἀποτελεστικὸν τῶν ἀλλῶν. αἶγας δὲ, διὰ τὸ ἑρμηνευτικὸν τοῦ ζώου, καὶ ὡς ὕψος ἀλλικόν, ὅθεν καὶ ἀπὸ τῆς αἰγὸς ὀνομάζεται. ἀλλὰ καὶ διὰ τὸ τὰ ἐξ αἰγῶν αἵματα εὔθετα εἶναι εἰς τέρψιν [illegible]. βρέτης δὲ καὶ ὁ Ἀπόλλων, ἐξ ὧν ὁ ποιητής. ὅτι δὲ καὶ ἄρνας αὐτῷ ἐθύοντο, δηλώσει Ἀχιλλεὺς, αἰδόμενος ἀρνῶν τε κνίσην αἰγῶν τε ἐκάστοτε θύεσθαι τὸν Ἀπόλλωνα. ἡ πάλαι δὲ ἄγριαι προβατώδεις θύσαν αὐτῷ εὔχοντο. τὰ ἐν [illegible] δὲ, ἀγρευτικὸν τοῦδε ἡλίου ἱερεύειν. ὅτι δὲ τὰ προβάτων χαίρει ποιμνίοις, ἐν τῇ Ὀδυσσείᾳ λέγεται. ταῖς δὲ ἀγέλαις [illegible], τὰ τοῦ ἡλίου βοῶν καὶ προβάτων ποίμνια στεμμάτων, οὐκ ἀπείργεται δὲ οὐδ' ὁ νοῦς. ὑπερβοραίους οὖν, ὡς ὁ Ἰνδὸς ἱερεὺς, ταῦτα ἐκείνῳ πολλὰ ἴδιον κατὰ Ἡρόδοτον, τὰ θύεσθαι ἵππον αὐτῷ ἱερεῖον, ὡς ταχυτάτῳ, τῷ ἐν τοῖς θεοῖς ταχυτάτῳ. καὶ ὅλως εἰπεῖν, νόμιον ἔχοντες οἱ Ἕλληνες τὸν Ἀπόλλωνα καὶ ζωοφόρον, πάντων ἐφόρον τῶν [illegible] ἀπάρχειν. Ταυροφάγον τὸν Διόνυσον, Σοφοκλῆς ἐν Τυροῖ. ὅτι τοῖς τὸν διθύραμβον νικῶσι, βοῦς ἐδίδοτο, ἢ τὸν ὠμηστὴν ὅτι τὰ ἐπὶ τὸν Κρατῖνον μετείληπται τοὔνομα.

Ταυροφθόγγοι, παραπλήσια βουσὶ φθεγγόμενοι. Ταυροχολία, ἑορτὴ ἐν Κυζίκῳ. Ταυρώ, ἡ ἐν ταύροις Ἄρτεμις.

Ταύρωσον, ταῦρον ποίησον. Ταῦς, μέγας, πολύς.

Ταῦσαι, μεγαλῦναι, πλεονάσαι. Ταΰσιον, μάταιον.

Ταῦτα μὲν θεοῦ ἐν γούνασι κεῖται. τοῦτο λέγεται ἐπὶ πραγμάτων ἀβεβαίως ἀδήλων. ἀντὶ τοῦ ἐν δυνάμει, ἢ ἐξουσίᾳ θεοῦ κεῖται. Ταῦτα μὲν δὴ ταῦτα, παρ' Ἀριστοφάνει, ἀντὶ τοῦ ταῦτα τοῦτον τὸν τρόπον ἔχουσι. Ταυτάδι, ἀντὶ τοῦ διὰ ταῦτα. Ἀριστοφάνης, ταυτὶ ἐπείσω ὑγρὰν τὸ φυλάττειν. Ταῦτ' ἄρα, ἀττικὸν ἀντὶ τοῦ διὰ ταῦτα. λείπουσι γὰρ αἱ προθέσεις παρ' Ἀττικοῖς. Ταύταις, ἑρπετοῖς.

Ταυτίας, αὐλὰς μεγάλας. Ταύτῃ οὕτω, τούτῳ τῷ τρόπῳ. Ταύτη δὴ, τούτῳ τῷ τρόπῳ, τότε ἐκεῖνον. Ταυτογέτη, καὶ ἠλέκτρα, ἄθλητον ἐγένετο θυγάτηρ. ταύταις ὁ Ζεὺς συγγινόμενος, ἐτέκνωσεν ἐκ μὲν Ταυγέτης Λακεδαίμονα, ἐκ δὲ Ἠλέκτρας Δάρδανον. Ταύτῃ δὴ, ἢ ταυτῇ δὴ, ἀντὶ τοῦ διὰ τοῦτο. γίνεται γὰρ τὰ ἐπιρρήματα ἀπὸ δοτικῆς τοῦ ἐνικοῦ, ἃ ἀπὸ γενικῆς τοῦ δυϊκοῦ. Ταυτί, ταῦτα, ἀττικῶς. Ταυτόκλιτον, ταυτόλογον. Ταυτολογία ἐστὶ, λέξεων παράλληλος θέσις, τὸ αὐτὸ σημαινουσῶν. οἷον, ὀξύς ἐστι καὶ ταχὺς, ἀλλ' οὐ νωθὴς ἢ βραδύς. Ταυτὸν, ὅμοιον, παραπλήσιον. ταυτὸν μετὰ δοτικῆς συντάσσεται, ταυτὸν λέγω, μὴ τὸν αὐτόν. ὁ δὲ ταυτὸν τὸ αὐτὸ ὂν κατὰ συναλοιφὴν ταυτὸ γέγονε. γράφεται καὶ ταυτὸν καὶ ταυτὸ ἐπαγομένου τοῦ συμφώνου, καὶ ἐπαγομένου φωνήεντος, οἷον ταυτόν ἐστι, καὶ ταυτό ἐστι, καὶ ταυτὸν ἐποίησε, καὶ ταυτὸ ἐποίησεν. ὡσαύτως καὶ τὸ τοιοῦτον ἐστι λέγε, καὶ τοιοῦτό ἐστι, καὶ τοιοῦτον ἐστιν. Ταυτότης ἐστὶν ἀπαραλλαξία, καθ' ἣν ὁ τοῦ σημαινομένου λόγος τῷ παντὶ κέκτηται ἀδιάκριτον μᾶλλον, πρὸς τὸ διαφορᾶς γνωρίζομενον. ταυτότης, κατὰ τρεῖς τρόπους λαμβάνεται. ἔστι γὰρ ταυτὸν τῷ γένει. ὡς ὅταν εἴπωμεν, ταυτὸν εἶναι τῷ γένει τὸν ἄνθρωπον καὶ τὸν ἵππον, καθὸ ἀμφότερα ζῷα εἰσί. πάλιν, ἔστι ταυτὸν καὶ τῷ εἴδει, ὡς ὅταν εἴπωμεν τὸν Πέτρον καὶ τὸν Ἰωάννην, ταυτὸν εἶναι τῷ εἴδει, καθὸ ἀμφότεροι ζῷα εἰσί. Ταφῆς, θεωροὶ θαυμαστοὶ, ἢ οἱ νεκρόταφοι. Ταφεῦσι, κτερισταὶ, ἀγχιστεῖς. Ταφεῖον, καθ' ὁμοιότητα πλάττεται τοῦ πολεμεῖον. ἤγουν κατὰ πλεονασμὸν τοῦ ι, οὐ κατὰ διάλυσιν ὡς τὸ πρωτοβεῖον.

Τάφιοι, λῃσταί. τοὺς Ταφίους πρότερον Τηλεβόας φασὶ καλεῖσθαι. κληθῆναι δὲ αὖθις Ταφίους, ἀπὸ Τάφου τινὸς βασιλέως. καὶ αὐτοὶ δὲ τὸ ἀνέκαθεν, φοινικοῦ τὸ μετὰ Κάδμου καλεῖται. Τάφος λέγεται καὶ δαὶς, ἐπὶ νεκροῦ παρ' Ὁμήρῳ. Τάφος οὐ κατὰ τὸ κοινὸν ὁ μετὰ τὸ ταφῆναι τινα περίδειπνος, ἀλλ' ἁπλῶς ὁ ἐπὶ νεκρῷ. ἐπὶ γοῦν Πατρόκλου μήπω ταφέντος, τάφος τοιοῦτος γίνεται. ὃς πρὸς ἑσπέραν γενόμενος, καὶ δόρπος, ὑπὸ τοῦ ποιητοῦ λέγεται. ὡς δηλοῖ τὸ δορπήσομεν ἐνθάδε πάντες. καὶ δόρπον ἐφοπλίσσωμεν ἑκάστοι. τὸ δ' αὐτὸ καὶ δαῖτα, καὶ ἀλλαχοῦ λέγει Ὅμηρος, οὐχ ἁπλῶς μὲν δὴ, ἀλλὰ νεκρῶν, ὡς ἐπὶ νεκρῷ γινομένην, ὅτι ἐκ τυροῦ κατὰ μῦθον ἀπέσιν. οἱ δὲ γλωσσογράφοι φασὶν, ὅτι Κύπριοι καὶ τὸν φόνον τάφον καλοῦσιν. ἕτεροι δὲ τὸ τῶν ταφῶν, τάφον λέγεσθαι οἴονται. ὡς καὶ τῶν χολῶν, χόλον. οἷον τάφου μνῆμα, οἷον ταφῆς μνημόσυνον. Τάφος, νῆσος μία τῶν Ἐχινάδων νήσων. ὅθεν λῃσταὶ Τάφιοι, κατὰ τοὺς παλαιούς. ἐλέγοντο δὲ οἱ αὐτοὶ καὶ Τηλεβόαι. ἢ διότι λῃζόμενοι, τῆλε τὰς βόας ἀπῆγον. ἢ ὅτι οὐ τοῖς πλησιοχώροις μόνον, ἀλλὰ καὶ τοῖς τῆλε, καὶ μακρὰν βοὴν ἤδη μάχης ἐποίησαν, ἢ οἱ εὐρύφωνοι. ὁ τῆλε τουτέστι μακρὰν βοὰν ἐξεχέοντο. εἰς τούτους Ἀμφιτρύων ὁ πατὴρ τοῦ Ἡρακλέους στρατεύσας, λυσάμενος βόας τῆς γυναικὸς Ἀλκμήνης, ἔχων συστρατευόμενον καὶ τινα Κέφαλον ὄνομα φυγάδα ἐξ Ἀθηνῶν. ἀφ' οὗ χρησιμεύσαντός τι ἐν τῷ τότε πολέμῳ, Κεφαλληνία ἐν δυσὶ ἡ χώρα ἐκλήθη πρὸς διαστολήν, ἵνα τὸ ἐθνικὸν ὁ Κεφαλλὴν, ἔχῃ διαφορὰν πρὸς τὴν ἐν τῷ σώματι κεφαλήν. κεῖται δὲ ὁ Κεφαλλὴν παρὰ Σοφοκλεῖ, ἐν τῷ ὦ ξένε Κεφαλλήν. ἦρχε δὲ τῆς Κεφαλληνίας ὁ Ὀδυσσεύς. Τάφος ὁ νεκρὸς, ἔχει ὁμωνυμίαν πρὸς τὸ θάμβος, ὅτε καὶ αὐτὸ τάφος λέγεται. ὡς τὸ τάφος δ' ἔλε πάντας, ἤγουν θάμβος καὶ ἔκπληξις. ἐξ οὗ καὶ τὸ ταφὼν δ' ἀνόρουσεν Ἀχιλλεὺς, ἤγουν ἐκπλαγείς. Τάφρος, σημαίνει τὸ περὶ τὸ τεῖχος ὄρυγμα. ἐντεῦθεν δὲ βαθεῖαν ὀρύξομεν ἐγγύθι τάφρον. Ταφρεῦσαι, διορύξαι. Ταφών, ἐκ τοῦ θάπτω θάψω. οὗ ὁ δεύτερος ἀόριστος ἔθαπον. καὶ ἀλλαχοῦ τῶν δύο ἀφωνον εἰς τὰ αὐτῶν ἀντίστοιχα ἔταφον ἐπὶ τοῦ νεκρικοῦ ταφῆς, καὶ ἐπὶ ἐκπλήξεως δὲ μεταφορικῶς. ὅθεν καὶ τάφος οὐ μνῆμα μόνον, ἀλλὰ καὶ ἔκπληξις. καὶ ἡ μετοχὴ, ταφών. ὥσπερ δὲ τὸ ἔθαπον, ἀφ' οὗ τὸ τεθαπέναι ἀφώνων ἐναλλαγῇ ἔταφον εἰς τὰ ἀντίστοιχα τούτῳ. οὕτω καὶ ἐτρέφετο λαλοῦσαι, τὰ ἄλλα εὑρίσκεται παρὰ τοῖς Ἴωσι. ἐν γοῦν ἐντεῦθεν, ἐνθοῦτα φασί. καὶ τὸν χιτῶνα, κιθῶνα, καὶ τὸν βάτραχον βάθρακον. οὕτω τὰ χύτρα κύθρα λέγεται. Τάχα, ἀντὶ τοῦ ταχέως, ποιητικῶς. οἱ δὲ ὕστερον ταχέως, καὶ τάχιστα, καὶ ἐν τάχει. τὸ δὲ τάχα, ἀντὶ τοῦ ἴσως, καὶ ἀμφότεροι. ὅπερ καὶ μόνον τίθεται, καὶ μετὰ τοῦ ἴσως. ποτὲ καὶ μετὰ τοῦ πῶς, τοῦ δηλοῦντος τὸ ἴσως ἐκ παραλλήλου. οἷον τάχ' ἂν γένοιτο, καὶ τάχ' ἴσως. ἢ τάχα πως, καὶ ἴσως πως. Τάχα. σημειοῦνται οἱ παλαιοὶ μηδέποτε παρὰ τῷ ποιητῇ δισυλλάβως εὑρίσκεσθαι, ἀλλὰ ἀντὶ τοῦ ταχέως ἀεὶ παραλαμβάνεσθαι. γενόμενον κατὰ συγκοπήν, ὡς σοφία σοφά, ἀντία ἄντα, λιγέα λίγα, ὠκέα ὦκα. οὕτω ταχέα τάχα. Τάχα τοι, ἀντὶ τοῦ ἴσως, ἐκ παραλλήλου. Τάχα, καὶ σὺν τάχει, καὶ κατὰ τάχος, καὶ ὅσος τάχος, καὶ διὰ ταχέων, καὶ διὰ τάχους. καὶ διὰ ταχέων, ἐπὶ τοῦ αὐτοῦ. Ταχὺ, βοή.

Ταχινοί, γοργοί. Ταχῖνος, λαγωός, ἢ ἔλαφος. Τάχει ἀλοῦ, καὶ ταχὺ λέγουσιν Ἀττικοί, ἀντὶ τοῦ ταχέως ἐλθεῖν.

Ταχὺ

φρονεῖν ἐστὶν, ἐπικράτησις τῶν ἡδονῶν. σωφροσύνη ἐστὶ, καθόλου κατὰ πᾶσαν τῶν ἀρετῶν ἐπωνυμία. Σωφροσύναι, καὶ σωφροσύνες, παρὰ μὲν τοῖς ὕστερον, ἀρετὴ περὶ ἡδονὰς καὶ λύπας. Ὅμηρος δὲ σώφρονας φρονεῖν εἶδεν αὐτὴν, διὸ καὶ ἐναντία τῇ χαλιφρονεῖν εἶπε. ἔστι ὁ σώφρων ἐναντίως τῷ χαλίφρονι, καθὸ καὶ ὁ περίφρων. Σωφροσύνη ἐστὶν, ἀνδρείων κάλλος, ἀσελγείας δὲ πέλυξ, ὀφθαλμῶν ἡνίοχος, ὑπονοίας δὲ ἐπίσχεσις, λογισμῶν ἀκρίβεια, ἀκολασίας δὲ ἐλαύνει, φύσεως ἀντίφυγος, καὶ πορνείας ἀντίθετος, ἔργων ἐχθρός, καὶ ἐγκρατείας συνεργός, καθαρὰ καμπὴ, νηφαλέα γνώμη. Σώφρων, ἡ σωφροσύνη, καὶ σωφρονεῖν, ἐπὶ τῶν μὴ συγκλωμένων ὑπὸ τοῦ σωφρονεῖν, καὶ τοῦ ἐν ὑγιείᾳ διάγειν, καὶ τοῦ φαίνεσθαι νομίμως χρῆσθαι. ὡς καὶ τὸ κατὰ τὰ πάθη, σῶα καὶ ὑγιῆ φρονεῖν. ὡς τὸ σωφρονεῖν ὑπολαμβανόμενος, παρὰ Φαλαίδῃ. Σωχίς, εἶδος ἀμπέλου. Σωχὸς, ὁ τῶν κευράτων πατήρ. Σώχω, τὸ τρίβω. παρὰ τὸ σοῦ, σώχω. Σώω, τὸ ὁρμῶ. ὡς τὸ σώεσθαι προφάδην, παρὰ τῷ Ἀπολλωνίῳ.

ΑΡΧΗ ΤΟΥ Τ
ΣΤΟΙΧΕΙΟΥ.
ΤΟ ΑΥΤΟ ΜΕΤΑ ΤΟΥ Α.

Ταῦ τὸ στοιχεῖον, ὅτι ἐντεταμένον ἔχει τὸν χθαμαλὸν τοῦ στοιχείου τὰς ἐντεχνώσεις. αὐτὸ γὰρ μακρᾶς κεραίας καὶ τοῦ ι, τὸ γράμμα ἐστίν. ἐντεῦθεν καὶ ταῶς ὁ τὸ γράμμα ἔχων τὰ πτερά. εὖ δὲ ἀληθεῖς πάλαι φύσει μιμησάμενος, ἐντετύπωται τὸ γράμμα. Τα, ταῦτα, ἤγουν, αὐτὰ ἀναγκαίως. ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν. Τᾶ, ἄγουν, ὦ βέλτιστε.

Τὰ ἀνδάνοντα, τὰ ἀρέσκοντα. Τὰ αἴσχιστα, τὰ χείρω. Τὰ ἀμείνω, τὰ κρείττονα. Τὰ βαθέα, τὰ ἀχώρητα, τὰ ἀκατάληπτα. Ταβαλ, ἀγαθὸν θεοῦ. Ταβαλα, ταβέλα. ὑπὸ Πάρθων οὕτω καλεῖται ὄργανον κατὰ τὴν ἡμέραν, ᾧ χρῶνται ἐν τοῖς πολέμοις ἀντὶ σάλπιγγος. Ταγαῖος, ὁ ἐξ ἐπιταγῆς ἐπιτιθεὶς. Ταγαῖς, ἀρχαῖς, ἡγεμονίαις. Τάγανα, ταῦτα, κρατεῖ. Ταγατίζων, κιχλίζων. Ταγὴ, βασιλικὴ δωρεά. καὶ ἡ σύνταξις τῶν πρὸς τὸ ζῆν ἀναγκαίων. Τάγηνον, τὸ τήγανον. Ἴωνες τάγανον λέγουσι. καὶ ὁ Ἡρωδιανὸς αὐτὸ τήγανον, καὶ καθ' ὑπέρθεσιν. οὕτως μὲν δὲ ὕστερον ἐπὶ ταγήνου ἐστίν ἡ καρδία, καὶ κατεστάθησαν αἱ σχάραι, καὶ αὐτόματα ἐχώρει κατὰ τῶν γενεθλίων τὰ λαίμαργα. Ταγηνίας, πέμματα ἐστὶ τῶν ἀπὸ ταγήνων ἐκ σίτου ὕφους, καὶ τυροῦ, καὶ μέλιτος, καὶ ἀσταφίδος. Τάγιλος, φαιδρός, λευκός, προβαίνουσα, ὀξὺς, ταχὺς, βαλοίμενος. Ταγοὶ, προστάται, ἄρχοντες, ἡγεμόνες. Ταγεύοντα, μακεδονικὴ ἐπ' ἀρχῇ. Ταγώνια, τὸ βραχύτατον καὶ ἐλάχιστον. οἷον, ὀλίγα λίγοντα. Ἐπὶ πολλοῖς, μαθὼν δὲ μὴ ταγηνοῦ μυστικῶς. Τὰγχίλεια λέγει Ἀριστοφάνης, τὰς ἐγχέλεις. ἡ λίμνη τὰ κρέα. Τὸ ἔ, τὰ ἐγχέλεια ποιεῖ. Τὰ δ' ἄποινα, τὰ δὲ λύτρα. Τάδε, ἀντὶ τοῦ ὧδε, παρὰ Θεοκρίτῳ, ὑφάγησαι τάδε, δηλονότι αὐτὴν ὁ λόγος. Τἀλλαχοῦ, τοῦ ἀλλαχοῦ. Τάδ' ἔρημα φοβεῖται, τὰ δὲ πρόβατα ἔρημα γενόμενα τῇ τοῦ ποιμένος φυγῇ. Τὰ διάβολα, τοῖς διαλογισμοῖς. Ταδεῖς, ἀπλωθεὶς. Τὰ ἴδια πράττειν, καὶ τὰ ἴδια πράττε, καὶ τὰ ἴδια πραττέτω μὴ λέγε, ἀλλὰ τὰ μὲν τοῦ πρᾶττε, καὶ τὰ σαυτοῦ πρᾶττε, καὶ τὰ αὐτοῦ πραττέτω. οὕτω γὰρ ἀττικοὶ λέγουσι. Ταὶ, ἀντὶ τοῦ αἱ ἡμέτεραι. Ταὶ, ἀντὶ τοῦ οἱ, Δωρικῶς. Θεόκριτος, πᾶσαι ταὶ δάφναι.

Ταινδία, παρὰ Λακεδαιμονίοις, ἑορτὴ Ποσειδῶνος, ἢ ἐν αὐτῷ ταινδίσαι. τείνδον γὰρ, πεδίον λακωνικόν. Ταίναρον, ἀκρωτήριον τῆς Λακωνικῆς. Ταίναρος. Ἐφιάλτης φησὶν, ὅτι Ἀλκαῖος ἐκάρη γαμβρὸν Ἰσμηνίδαν ἢ Λαμπσάκης, ὅτε δὲ γίνεται ταινάρος ἀφ' οὗ Ταίναρον καλεῖται ἡ πόλις, καὶ ἡ ἄκρα, καὶ ὁ λιμήν. Ταῖν θεαῖν, ταῖς θεαῖς. Ταινία, συνέχει καὶ ἐπίμηκες ὕφασμα. κοινότερον δὲ εἴπερ, φασκία.

Ταινίαι, ἐπὶ ὑφασμάτων λέγεται καὶ ζωνῶν, αἷς γυναῖκες περιελίσσονται. Ταινιοῦσθαι, στεφανοῦσθαι, ταῖς ταινίαις ἀναδεῖσθαι. Ἀριστοφάνης, νικήσαντα ταινιοῦσθαι. Ταινιῶσαι, στεφανῶσαι. Τἀκατ' ἐμὲ, ἤγουν τὰ ἐμά. καὶ τὰ κατ' αὐτὸν, ἤτοι τὰ αὐτῶν. Τάκεαι ὀφθαλμοὺς, ἀντὶ τοῦ τήκεις τοὺς ὀφθαλμοὺς, δωρικῶς. Τὰ κείρατα, τὰ ἄκρα. Τακτικὰ ὀνόματα, οἷον τὰ σημαντικὰ τάξεως, ὁμοιογενῶς καὶ ὁμοιοπτώτως, τοῖς κυρίοις καὶ προσηγορικοῖς ὀνόμασι συντάσσεται, οἷον ὁ πρῶτος θεός, ἡ πρώτη οὐσία, ὁ τρίτος λόγος.

Τακτικοῖς, στρατηγικοῖς, πολεμικοῖς. Τακτὸν, τὰ τῶν μαγείρων ξηρὰ ἀρτύματα, διὰ τὸ ἐνταῦθα καὶ νίτρον συντίθεσθαι. Τάκωνες, βραχίστοι εἴδει κεκομμένοι μετ' ἄλλων, καὶ ξηρῶν καὶ ἀρωμάτων. Ταλα, μέγα. Ταλαεργὸς, οἱ ἡμίονοι καλοῦνται μάλιστα, ὡς ἐκπονοῦντες. βόες γὰρ καὶ ἵπποι οὐχ οὕτω ταλαεργοὶ, ὥς ὡς τὰ πολλὰ τὸ ἀγελαῖον, καὶ ἄπονον. ἄλλως δὲ καὶ φορτικοὶ, αἱ ἡμίονοι μάλιστα. Ταλαιδίτης, ἀγὼν γυμνικός. Ταλαίνης, ἀθλίας, ταλαιπώρου.

Ταλαιονίδης, ἀπὸ τοῦ ταλαὸς ταλαίων. καὶ ἀπὸ τούτου ταλαιονίδης, ὁ Ἄδραστος, υἱὸς τοῦ Ταλαοῦ. Ταλαιονίδην ὁ ποιητὴς καλεῖ, ἤγουν τὸν υἱὸν Ταλαοῦ. ἔοικε δὲ Διώνυμος εἶναι ὁ Ταλαός. οὕτω τὰ παλαιὰ μῦθος, ἐξ οὗ παρωνυμικὸν ἔσται ὁ Ταλαΐδης, καὶ ὁ Ταλαίων. ἐξ οὗ ὁ Ταλαιονίδης. εἰ δέ γε μὴ διώνυμος, ἀλλὰ μοναχῶς λέγεται Ταλαὸς, πλεονασμὸν ἔχει διὰ συλλαβῶν ὁ Ταλαιονίδης, ἀπὸ τοῦ Ταλαοῦ γεγονὼς, ὡς καὶ οἱ παλαιοί φασι. Ταλαιὸς, ὁ ζεὺς ἐν Κρήτῃ. Ταλαιπείριον, οἱ ἀττικοὶ τὸ ταλαίπωρον λέγουσιν. ἢ ὁ τηλόθεν πεπειραμένος, οἱονεὶ, ὁ πολλῶν πεῖραν εἰλημμένος, τουτέστι πολύπειρος, ἢ ὁ πολλὰ τετληκὼς, καὶ πολλῶν πεπειραμένος. ἢ παρὰ τὸ τηλόθεν πεπερακέναι, ταλαιπείριος. καὶ πλεονασμῷ τοῦ ι, ταλαιπείριος. Ταλαίπωρος, τλητικὸς, ὁ τετληκώς. ταλαίπωρος παρὰ τὸ τλῆναι τὸ πῶρον, ὅ ἐστι πάθος. ὅτι δὲ πῶρος τὸ πάθος ἐστὶ, καὶ Ἀντίμαχός φησι. πῶροι τοι ἀλόχοισιν εἰς τεκέεσσιν ἰακχοι. Ταλαιπωρῶ, καὶ ἀμεταβατὸν καὶ μεταβατικὸν εὑρίσκεται. οἷον, οὐ μόνον ἐγὼ ταλαιπωρῶ, ἀλλὰ καὶ σὲ δύναμαι ταλαιπωρεῖν. Ἰσοκράτης, καὶ πολὺν χρόνον τεταλαιπώρηκεν ἡμᾶς. ὃ καὶ ταλαιπωροῦμαι λέγεται. Ταλαίφρων, ἀθλιόφρων. Ταλακάρδιος, τλητικὸς, ὑπομενητικὸς κατὰ τὴν καρδίαν. Ταλανίζει, θρηνεῖ. Ταλαντεύω, σταθμῶμαι, ζυγοστατῶ. ἀντισηκῶ, ἀντισταθμίζω, ἐπὶ πάντας ταῦτα λέγεται. Ταλαντεύουσι τὰ τίμια, ἤγουν δοκιμάζουσι, σταθμίζουσι. Ταλαντιαῖον, βαθύ. Ταλάντιον, τόπος, ὡς Ἀρτεμίδωρος. Τάλαντον, τό, τε ὄργανον, καὶ τὸ ταλαντευόμενον. οὕτω καὶ σταθμὸς, ὀργανικῶς νοεῖται. καὶ παρὰ τοῖς ὕστερον, ὁ τρυτάνη καὶ ὁ ζυγὸς γίνεται τῆς ῥαβδίου λέξεων. τὸ μὲν τάλαντον, ἔθεν ἐρρέθη. τρυτάνη δὲ παρὰ τὸ τρύεσθαι, σταθμὸς δὲ, παρὰ τὴν στάσιν. ἔστι γὰρ ἐν ἰσότητι τῆς ὁλκῆς, καθιστῶν τὸ ὄνιον. ζυγὸς δὲ, κατὰ μεταφορὰν. ἀπὸ τῶν πλαστίγγων ἐπὶ κανόνι καθ' ἑκάτερα ζυγοῦ συνεζευγμένων. πλάστιγγες δὲ, διὰ τὸ κατ' αὐτὰς πλάττεσθαι. Τάλαντον, ὅτι ἐπὶ ζυγοῦ ἀκριβῶς διὰ τὸ ταλᾶν, ὅθεν καθυστερικὸν τοῦ ἔργου. καὶ ὅτι ὁμωνύμως τὸ ἐργαλεῖον λέγεται τάλαντον, καὶ τὸ ζυγοστατούμενον. καὶ ὅτι τὸ γένος ἀναγκαιότατον ἡ λέξις ἐπὶ τοῦ καλῶς βουλευομένου τὸν σταθμόν. ἀφ' οὗ καὶ ἰσορροπικὰς πλάστιγξ. καὶ δίκη καὶ φιλία. καὶ ὅτι τὰ μὲν κάτω, καὶ πρόσγεια, δυστυχίας τίθεται σύμβολον. ἐνταῦθα γὰρ τόπος τὰ περὶ γῆν. ἡ δέ γε μετέωρος πλάστιγξ εὐτυχίαν δηλοῖ, καὶ ἐνεργουμένην ζωὴν, διὰ τὸ τῶν ἄνω μακαριότητος. καὶ ὅτι τάλαντον ἑνικῶς, καὶ τάλαντα πληθυντικῶς, κατὰ παλαιὰν παράδοσιν, οὐκ ἐπὶ ἀργυρίου, ἀλλὰ ἐπὶ πλαστίγγων. οἱ μὲν ἀπ' ἐκείνου ἔφασκον τάλαντα χρυσὸν τιτᾶν, ὃ ἐπὶ χρυσοῦ. οἷον, δῶκε δύο χρυσοῖο τάλαντα, καὶ φέρεν δέκα πάντα τάλαντα. τάλαντον καὶ τὸ ὄργανον, καὶ τὰ ἐν αὐτῷ σταθμιζόμενα. διὸ τάλαντον ἐστὶν ὁ σταθμός, εἶτα χαλκοῦ βάρος ἐξ αὐτῶν. τάλαντον ὄνομα εἶναι καὶ τὸ πλάτος, καὶ μεταλαβεῖν τοῦ ζυγοῦ, ἐν ᾧ τίθεται τὰ σταθμώμενα.

Ταλασι, τλησικάρδιε, καὶ τὰ κατὰ μέρος εἰδότες. Ἀριστοφάνης, μὴ προορώμενοι δὲ τὰ μέλλοντα. Ταλάρους, τὰ

ΤΟ Σ' ΜΕΤΑ ΤΟΥ Ω'.

Σῶ, μονοσύλλαβον, ἀντὶ τοῦ οἱ σῶοι. ὡς παρὰ Θουκυδίδῃ. ἡ δὲ συνήθεια γράφει σῶοι. Σῶ ἀντὶ ... σῶς, ἀντὶ τοῦ τῇ σῇ κεφαλῇ ... ἀποτίσεις ... ἵνα ... κεφαλικῶς ... Σῶ, σώω. Σωαλδὶς, πάλαμὶς. ... Σωίσκω ... βαρυτόνως ...

Σώζω. ἀφ' οὗ σωτὴρ, καὶ σωτηρία, τὸ φυλάσσω καὶ τὸ ῥύομαι ...

[illegible]

τάσεως. ὅθεν καὶ τὸ σχετλιάζειν. λέγεται δὲ οὕτω καὶ ὁ καρτερικὸς, ἤγουν χολικὸς καὶ ὑπομενητικός. καὶ ὡς εἴπερ, οὗτι πένου λέγων, καὶ ὁ [illegible] δὲ τοῦ διέστ[illegible] εἴς τι ὀρθόν, καὶ παῖσαι δ[illegible]. ὃν ἔδει χέεσθαι καὶ τλῆναι. καὶ ἄλλως σχέτλιος, ὁ [illegible] καὶ [illegible], καὶ μὴ [illegible]. διὸ καὶ αἴαν τὸν ἀχιλλέα σχέτλιον [illegible], ὅλα λέγει [illegible]. ὁ δὲ [illegible], [illegible], σχέτλιον [illegible]. Σχέτλιος, [illegible] λέγειν Ὅμηρος. δύναται δὲ καὶ τὸν σφοδρὸν, καὶ ἄξιον χέεσθαι, καὶ τλῆναι σημαίνειν.

Σχέτλιον δὲ λέγει Ὅμηρος, ὡς σχετλιαστικόν. καὶ τὸ σχετλιάζειν [illegible] γινόμενον αἴτιον. σχέτλιος [illegible] λέγεσθαι ὁ πλέον τοῦ δέοντος, καὶ [illegible] οὐ καιρὸς [illegible], καὶ ὡς εἴπερ [illegible], ὃν ἔδει χέεσθαι καὶ τλῆναι, καὶ μὴ [illegible] εἰς τὰ παρόντα. [illegible] σχέτλιος καὶ ὁ [illegible] καὶ τλάς. σημαίνει δὲ καὶ [illegible]. [illegible] σχέτλιος [illegible]. ὡς ὦ φίλοι, [illegible]. ὁ δὲ χίμαρ [illegible], καὶ [illegible] ἤγουν [illegible], ὡς [illegible]. [illegible] μέτρος [illegible]. καὶ σχέτλιοι, χαλεποὶ καὶ [illegible]. Σχέτλιος [illegible], [illegible], ἀντὶ τοῦ τάλαν, τλήμων, [illegible], [illegible], καὶ [illegible]. σχέτλιος [illegible]. ὅθεν τὸ σχετλιάζειν, καὶ σχετλιασμοί. Σχετλία, [illegible] ἐπιτατικῶς, [illegible]. δηλῶν, ὅτι σχέτλιος κυρίως ὁ [illegible] χέεσθαι καὶ τλῆναι, ὁ [illegible]. [illegible] σχέτλιος, [illegible]. Σχῆμα ἐστι λόγος [illegible] τοῦ [illegible] πλάσιν, κόσμον ἢ χρείαν [illegible]. [illegible] μετα[illegible]ολὰς τοῦ λόγου, καὶ [illegible]. χρείαν δὲ, [illegible], καὶ [illegible]. [illegible], μεγαλοχήμων, [illegible].

Σχηματίζομαι, τὸ προσποιοῦμαι, καὶ [illegible]. [illegible] σχηματισμὸς ἡ προσποίησις. Σχημάβδελον, ἐπὶ τῶν [illegible]. Σχήσει, τίθεται παρ' Ὁμήρῳ [illegible], ἀντὶ τοῦ ἐφέξει, κωλύσει.

Σχέσιν, [illegible]. [illegible], [illegible]. Σχέσιν, κεῖται παρ' Ὁμήρῳ ἀντὶ τοῦ [illegible]. Σχέσθαι, [illegible]. παρὰ τὸ χῶ ὁ [illegible] γίνεται χῶμι. Σχέσθαι, κεῖται καὶ ἀντὶ τοῦ ἀφίεσθαι παρὰ τοῦ Ἀπολλωνίῳ. καὶ παρ' Ὁμήρῳ, [illegible] βέλος, ἤγουν [illegible]. [illegible] σχέσθαι. λέγει ὃν [illegible], τὸ ἀναχέεσθαι. Σχίζουσι, [illegible], [illegible], [illegible]. Σχιστηρίαν [illegible], [illegible]. Σχίδα, σχίδος, [illegible] πῆγμα.

Σχίδαξ, παρὰ τὸ σχίζω. σημαίνει δὲ τὸ [illegible]. Σχιδία, [illegible]. Σχίδος, τῶν [illegible].

Σχίζα, ἡ λαμπάς. Σχίζ[illegible], [illegible]. Σχίζαι [illegible], τῶν [illegible]. Σχίνος, [illegible]. Σχίζω, [illegible], [illegible], [illegible] λέγεται.

Σχινάτας, [illegible] ἐν [illegible] Λακεδαίμονι. Σχίνδαλμος, [illegible]. Σχινδαλμοὶ [illegible], [illegible]. [illegible] Σχίνον διατρώγειν. [illegible] τὴν σχίνον [illegible]. Σχινοκέφαλοι, [illegible] φυτοῦ. Σχίνον, [illegible]. [illegible]. Σχίνος, τὸ [illegible] καὶ ἡ [illegible], καὶ εἶδος φυτοῦ. Σχίνος, ὁ [illegible], [illegible] φωνήεν. Σχίσαι, κυρίως [illegible] οἱ παλαιοί, τὰ ἐπὶ ταῖς θυσίαις [illegible] ξύλα. ὡς Ὅμηρος, καῖε δ' ἐπὶ σχίζῃς ὁ γέρων. Σχισμὸν, διαχώρησις. Σχισὰ, τὰ γράμματα καὶ τὰ [illegible].

Σχιστὸν, [illegible]. Σχιστὸς, χιτὼν [illegible] κατὰ τὸ [illegible] συνεχόμενος. Σχοίατο παρ' Ὁμήρῳ, ἀντὶ τοῦ [illegible], [illegible]. [illegible] χοίαξε. κατὰ ἀκολουθίαν τοῦ [illegible].

Τρία, ὁ φόβος ἐπὶ θηλυκοῦ διὰ τὸ Ἀρχιβόρρον. Τρίασμα, τὸ πόρον, θόρυβος, ἡ ταραχή. Τρυσίμενον, τρυσάσθαι λέγεται τὸ παρορμᾶσθαι, πρὸς τὰ ἀφροδίσια. Τρελμίζωμεν, συλλαμίζωμεν. Τρείμοια, τελίμοια. Τριλίπορον τροίας ἐπώνυμον, ἀρχὸ ἐστὶ τὸ πολιπόρθον ὀλβοίας σωθείσης διὰ γὰρ ταύτης ἐπί τε τριλιπόρθος ὑποτόμευσι. ὅτι δὲ αἱ εἶλε τὴν τροίαν διὰ τοῦ Ἀσσυρίου ἵππου μηχανῆς. ἄλλον. λέγει τὴν ὁ ποιητής, ἐν δ᾽ ἄλλω βουλῇ πόλις ἐπεληλυθυῖα τροίας πτολίπορθον, περὶ τὴν πτολίπορθον, ἀντὶ τοῦ τὴν τροίαν. Πολιπόρθιον, ἔχει περιττεῦον τὴν πτολίπορθον, ὁ ἀναιρεῖος ὁ καίτοιν. Πτολίπορθον λέγει Ὅμηρος τὸν ὀλβοίαν, ὅτι διὰ τὸ αὐτοῦ μηχανῆς ἑλεῖν τὸ Ἴλιον. κατ᾽ ἐξαίρετον δὲ οὕτως αὐτὸν λέγει, διὰ τὸ μέγα ἑλεῖν τὸ Ἴλιον. Πολίπορθος ἐπώνυμος παρὰ τῷ ποιητῇ λέγεται, οὐχ ὡς πολλὴν πόλιν πορθητὸς. ὅτι γὰρ μᾶλλον τὸ Ἀχιλλεῖ πρέπον, ἀλλ᾽ ὡς πορθητὴς διὰ τὸν δούρειον ἵππον τῆς Ἰλίου οὕτω λεγομένης πόλεως, ἤτοι τροίαν. ἢ λέγεσθαι πολίπορθος διὰ μίαν πόλιν κορυφαίαν τὴν Ἴλιον, ἢ ὡς τὸν ὀδυσσέως βουλῇ ἑλεῖν. Τρυλίπορθος, ἀνδρείου πόλεως πορθῶν. Τρίπολις, ὡς φασιν αἱ παλαιοὶ, κατείρων ἔστι τῶν ἐν Σαλαμῖνι λέξις. Τρίπολις, αὕτη ἡ πόλις. Τρίπολος, λέγεται κλάδος ὑπὸ πλατὺς, καὶ ἰσχυμένως. καὶ λέγεται οὕτω λαχθεῖσα, παρὰ τὸ διαπεσεῖν, ὃ τὸ ὄρθιον, ὁ ἐπὶ διαπετασμένος εἰς ὀρθόν. Τρόσμον, τὰ χέ, φρόνιμον. Τροσμὸς, φροντισμός. Τρῶ, τὸ φοβοῦμαι, καὶ πτήσσω. Τρέω ἐκ τοῦ πτῶ, πτῶ, καὶ ὑπερβάσει πτοῶ, τὸ διαπτοεῖν τὸ ἐπιθέλω, ἀντὶ τοῦ κατασείσεις. τὸ δὲ πτέω, λέγεται καὶ πτύω. ἐξ οὗ καὶ τὸ Ἀπλήσσει καὶ πτύω, ἢ πτέωσις. Τρύγημα, διάπλεγμα. ἐν ἰσχνῷ μαλακὴ, καὶ ἐπὶ πολλῶν ἰσχυρῶν πεῦμα ἐν μεσολίκῳ. Τρύβλον, σκεῦος ἐπιτάδειον πρὸς λουτρὸν, ἢ πύσμα. Τροκίτιον, βιβλίον. Τρυλιτῶν, πταισμάτων.

Τρύχηχις, καὶ πύκνως ὁ παρλίπος διὰ τὸ τὰς πτύχας, ἢ τὰ πτερὰ τῶν ὀρνίων ἀχύων. λέγεται γὰρ ἐκτὸς τῶν πηχῶν τίθεται λιθίδιον μικρὸν, ὅπως φέρη διὰ τὸ πολλὸς ἐφελκύσαι τῶν ὀρνιθῶν σαρκία. Τρύξωμαι, καλύψωμαι, σκεπάσωμαι.

Τρίον, πτόασον, ὁ ὄρυξ ξύλον, ὃ διαχωρίζεται ἐν οἴνῳ. Τρυόφιν, λαφύριον ἀντὶ τοῦ πτόου, κατὰ τρύφιν γενικῶς ἐν τῷ τῆς ἰλιάδος. ὡς τὸ ἀπὸ πλατέος πτυοφιν ὅτι δὲ τὸ πτύον καὶ πτέον ἔλεγον οἱ ὕστερον ἀττικοί, ἄλλος Διονύσιος φασιν. ἄτερος δὲ ὡς λέγει πτίον, ὡς οἱ ἄλλοι. πτύον δὲ Σοφοκλῆς, ἀπολαοῦν διαλλάττει παρὰ τῷ ποιητῇ. Τρύοχλον, ὑπόδημα ἀνδρεῖον.

Τρέμεσθαι, κλαίεται, κλαδαίνεσθαι, σείεσθαι, φοβεῖται, φρίττει.

Τρυγμὸς, φρίκη, καὶ τὰ ὅμοια. Τρύσασθαι, τὸ διαπλέκεσθαι. ὅτι δὲ πτύσσειν λέγεται τὸ διαπλέκειν, δῆλον καὶ ἐκ τοῦ πτύξαι καὶ ἀσπίδος χιτῶνα. οὗ δὲ κυρίως πτύσσειν, παράγωγον καὶ ἡ πτὺξ καὶ ἡ πτυχὴ, καὶ ἡ πτυχηχὸς. καὶ τὸ σῶμα δὲ, ὅπερ ἐστὶ κυρίως, ἐξ οὗ καὶ ὁ πτύς τελείται, ἐξ οὗ δὴ πίπαρ διαπλέκεται τὸ πτύσσειν κατὰ παραγωγὴν, ἵνα ἢ ὡς ὅρμου ὀφθαῖσι, ὁμοῦ ἀμφιτριονί, ἐπέδαινεν ἔχει ἀπὸ χειρῶν σείματα. Τρύσσω τὸ ἔνδυμα, ὃ λέγουσι κυρίως διαπλῶ. καὶ πτύσσω τὴν θύραν, ἤγουν κλείω. ἀφ᾽ οὗ πτύχαι αἱ θύραι, καὶ τὰ κυρίως διαπλέγματα, καὶ διπτυχα καὶ προσαπτύσσομαι, τὸ ἀσπάζομαι. καὶ ἀναπτύσσω, ἀνοίγω, καὶ ἀπὸ τοῦ τὸ φανερῶ καὶ ἑρμηνεύω, καὶ ἀναλαμβάνω καὶ περιπτύσσομαι, τὸ περιλαμβάνω. πτύσσω, παρὰ τὸ πτυῶ πτύσσω, καὶ συνηθικὴ πτύσσω. τὸ γὰρ πτύσσειν, οὐδὲν ἕτερον ἄλλο, ἢ τὸ ἐκπτύειν ὑγρὸν ἐστίν. καὶ ἐν ἰλιάδος ἔγχεα δὲ ἐπτύσσοντο. Πτυχαὶ, αἱ τῶν ὀρῶν ἀποκλείσεις, καὶ τὰ διάφορα τῆς ἀσπίδος, ἐπ᾽ ἀλλήλοις ἐλάσματα, καὶ ἀναμέσον πολλῶν καμφθέν πτυχῶν, μόνας ὁρᾷ. Πτύχες ἰξ, ἀσπίδος λίθιον ἕτερος ἄορο, ἤγουν θύσεις, τὸ ξηρὸν ὀστέος, λέγεται ἐπίσταται καὶ ἐπιπάσσειν. Πτύω, τὸ ἐν τῷ στομάχῳ ὑγρὸν ἐξάγω. καὶ πτύω ἐστὶν εἰς τὸ πρόσωπον. ἀφ᾽ οὗ καταπτύω, καὶ διαπτύω, καὶ ἀποπτύω. καὶ πτύελον, τὸ ὑγρὸν, τὸ πτύσιμον. διαπτύεται, κατάπτυστον. ἢ κατὰ ἐπίτασιν. σημαίνει ἐκτείνειν. καὶ πτύον, τὸ κυρίως πλατύτερον. καὶ πτύσσω τὸ ἔνδυμα, ὃ λέγουσι τὸ κυρίως διαπλῶ. καὶ πτύσσω τὴν θύραν, ἤγουν κλείω, ἀφ᾽ οὗ πτυχαὶ, αἱ θύραι, καὶ τὰ κυρίως διαπλέγματα, καὶ δίπτυχα καὶ προσαπτύσσομαι, τὸ ἀσπάζομαι. καὶ ἀναπτύσσω, τὸ ἀνοίγω. καὶ ἀπὸ τούτου, τὸ φανερῶ

πέμπτην, τὴν εἰκοστὴν ἑβδόμην τετάρτην, τὴν εἰκοστὴν ὀγδόην τρίτην, τὴν εἰκοστὴν ἐνάτην δευτέραν. εἶτα τὴν τριακοστὴν, ἕνην καὶ νέαν, ὅτι ἐν ᾗ οἱ τόκοι ἀπαιτοῦνται. ἐπεὶ ἐν αὐτῇ τελευτᾷ ὁ μὴν, καὶ ἀρχὴν ἔχει τοῦ ἑτέρου μηνὸς τῆς σελήνης, ὥστε ἡ μὲν εἰκοστὴ ἕκτη, παρ᾽ αὐτοῖς πέμπτη ἀκούει. ἡ δὲ εἰκοστὴ ἑβδόμη, τετάρτη λέγεται. τὰς δὲ τριάκοντα ἡμέρας τῆς σελήνης, εἰς τρεῖς δεκάδας Ἀθηναῖοι διαιροῦσι. καὶ τὴν μὲν πρώτην, ὡς ἡμεῖς ἀπαριθμοῦνται. τὴν δὲ δευτέραν, οὕτω. πρώτη ἐπὶ δέκα, δευτέρα ἐπὶ δέκα, ἄχρι τῆς ἐνάτης. τὴν γὰρ εἰκάδα οὕτω καλοῦσι, τὴν δὲ εἰκάδα πρώτην, ὑστέραν δεκάδα. καὶ τὴν μετὰ ταύτην ἐνάτη φθίνοντος, ἕως δευτέρα φθίνοντος, ἥτις ἐστὶν εἰκοστὴ ἐνάτη. τὴν δὲ τριακάδα, ἕνην καὶ νέαν φασί. Πρώτοισι θύρῃσιν, ἐπ᾽ ἄκροις τοῦ οὐδοῦ, ἐπ᾽ ἄκραις ταῖς θύραις. Πρώϊστος, πρώϊος, καὶ ὁ συγκριτικὸν οὐκ ἔχει. τὸ δὲ ὑπερθετικὸν πρώϊστος, χαρακτηρίζεται μόνον, ἐπειδὴ τὰ ὑπερθετικὰ τρίγενῆ εἰσι. τὰ δὲ εὐθύτερα, οὐκ ἔχει. Πρωτέαλος, πρωτόπλους. Πρωτόβαθρον, τὸν πρώτου ἀξιωθέντα. Πρωτόβολος ἵππος, ἐκ τοῦ βάλλειν, ὁ ἐκ τοῦ βολοῦς. οὔπω χνοῦς ἐν τῷ τέλεσι, ἐπὶ πλείονα γενῶν. καὶ κατὰ συνέχειαν λειπογνώμονα καλεῖται, διὰ τὸ μηκέτι ἔχειν ὀδόντας τοὺς γνώμονας καλουμένους, οἷς ἐπιγινώσκουσιν οἱ ἔμποροι τοὺς πρωτοβόλους. ὁ δὲ τῶν χαλκέων Λυσιφάνης λέγει, καὶ ἀπηλλάχθαι λογικὰ εἴδη, λεγομένων λειπογνώμονα, οἷον τέλειον. καὶ ὅτι ἵππου ὀδόντα φύοντα ὀλίγα οἱ γνώμονα καλοῦσιν, ἀπὸ γνῶμα. οἷον εἶδον οὐχ ὁρᾷς, καὶ γνῶμ᾽ ἔχει. καὶ πάλιν, καὶ γνῶμα τοῦτο βέβληκεν, ὡς οὐκ ἐπέτας. ἔστι δὲ τὸ γνῶμα, κατὰ τὸ βρῶμα βρῶμα. οὕτω γὰρ καὶ ἐκ τοῦ γνώμων γνῶμα. Πρωτογόνους ἄρνας, καὶ τὰ τοιαῦτα πρωτογενήματα, ἢ αὐτὰ τὰ ἁπλῶς. Πρωτογόνον, πρῶτον φανέντα.

Πρωτογυναικὸς, αἱ μὴ ἐπιγημέναι γυναῖκες. Πρωτοκλισίαν, ἡ πρώτη καθέδρα. Πρωτόλειαι εἰσι, τὰ τῆς λείας πρῶτα, καὶ τῶν λαφύρων ἃ οἱ ἀστοῖς ἀναβάλλουσιν. ὡς ἀγαλμάτων χρυσᾶ, ἀχίλλεις δὲ τῶν βροντιδῶν, αἷς δὲ τῶν ἱππικῶν. Πρωτῶλα, πρῶτα, ἢ πλεῖον.

Πρωτολεῖσθαι, τὸ πρῶτον ἀποχαράξαι. Πρωτόλειον, ἀπαρχὴν. Πρωτολογία, πρώτης κατηγορίας εἶπε, ἀποφαίνει πρωτολογίαν. Πρωτομύλλοις, διὰ τὸ πρωτεύειν τῶν ἄλλων στοιχείων καὶ βασιλεύειν αὐτῶν, ὡς ἐξ αὐτοῦ γεγενημένων, ἐν εἴρηται ὄνομα συριακόν. Πρωτόνιοι, οἱ πρῶτον πλέοντες, ἢ πρῶτον εἰς ἕνα τόπον καταπλεύσαντες. Πρώϊος, πρωτεύς. Πρωτόμφαλον, τὸ τῆς ἀσπίδος μέσον. Πρωτανάγῃ, πρώτως ἀπαγέτω. Πρωτόπλοος ναῦς, οὐ μόνον ἡ ἐκ τοῦ ναυπηγηθεῖσα, ἀλλὰ καὶ ἡ πρώτη κατὰ τὸν πλοῦν, ἡ μετὰ πρώτου ἑαυτοῦ πλέουσα, ὃ ἐστὶ ναυάρχησ. Πρωτοπραξία, τὸ πρῶτον ἀπαιτεῖσθαι, τὸ πρῶτον εἰσπραττόμενον. Πρῷος, καὶ ἀλλοιότης πρῷος, πρωρεύς, ἔχων, καὶ ὕστερος, ὑπερθετικά. πρῷτος, ὁ δοῦλος. πρωτεύων δὲ, ἱππικὸς. ὁ προστάτης δὲ καὶ ἀμφότερα. ἀμφίβολος δὲ ὁ δοῦλος ἀδελφικῷ. καὶ οὕτω μὲν ἐπὶ διαφορὰν προσώπων καὶ ἀμφοτέρων τίθενται. καὶ εὑρίσκονται καὶ ἐπαλλαγμένως λεγόμενα, τουτέστιν ἀμφότερα, καὶ ἀρσενικῶς καὶ θηλυκῶς. Πρῷτος, ἐπὶ πολλῶν. πρότερον δὲ ἐπὶ δύο. καὶ ἐπὶ μὲν πρώτου, ἀκολουθεῖ ὁ ὕστατος. ἐπὶ δὲ ὁ ὕστερος, οὕτω καὶ ἐπὶ τῷ πρώτῳ καὶ προτέρῳ. Πρωτοστάτης, ὁ πρῶτος παρὰ τὸ εἶναι τῆς παρατάξεως τεταγμένος. Πρωτότοκος, πρωτοπορευτόκως ὁ πρῶτος τεχθεὶς, καὶ δηλοῖ πάθος ἡ λέξις. πρωτότοκος δὲ κατὰ θέσιν, ὁ πρώτως τεκοῦσα πρόσφατος. Πρωτουργός, ὁ ἀκολουθῶν πρωτουργός. Πρώτως, ἀκμάζοντες, νέοι. Πρωτώ, ὄνομα νηρηΐδος, παρὰ τὸ πρώτως ἐπιβαίνειν τοῖς θαλάσσης, ἢ παρὰ τὸ πρωτεύειν.

πρωτεύει γὰρ ὅλως, ὥς φασι πάντες ὅλως.

ΤΟ Π ΜΕΤΑ ΤΟΥ Υ.

Πταίει, πίπτει, ἁμαρτάνει, σφάλλει. Πταῖσμα, σφάλμα. Πτακὸν, δειλὸν, ὃ προσδεχθείη. Πταίρειν, τὸ πτάρνυσθαι λέγεται κατὰ παραγωγὴν, ὁμοίως καὶ ὄρνυσθαι καὶ νῦν νεανίας, καὶ ὅτι ἐκ τοῦ παραγωγὴ κατὰ ὀνοματοποιΐαν, ἐπισημασία ὃ πταρεῖν ἐπὶ ἵππων, ἐξ οὗ καὶ ὁ πταρμὸς. ἰστέον, ὅτι καὶ εὕρηται παρ᾽ Ἡροδότῳ σημειώδης πταρμὸς. εἶπεν δὲ ὡς ἐπειδὴ ὁ στρατηγὸς ἔπταρε καὶ ἔβηξε μεῖζον τοῦ συνήθους. καὶ ὥσπερ ἐξ ὑποσταθέντων τῶν ὀδόντων εἷς ἐκπίπτει, τὸ οἰωνιζόμενον. Πταίω, τὸ προσκόπτω, παρὰ τὸ πίπτω, συγκοπῇ, καὶ κατὰ παραγωγὴν πταίω, ἐν τῷ πίπτειν πολλάκις τοὺς προσπταίοντας. Πτακὶς, ὁ πτακίλος, δειλοὶ, ἐπίφοβοι, καὶ πτώσσοντες. Πτακωρεῖν, πτήσσειν, δεδοικέναι. Πτάρνυσθαι, ἐφ᾽ ᾧ ἡ κεφαλὴ κατασείεται. Πτάρμος, δειλόν. Πτὰξ, πτακὸς, πτὼξ, δειλός. Πταρμὸς. Ἀριστοφάνης, κατὰ τοὺς δὲ ἔπταρον, ἀντὶ τοῦ οἰωνισάμην. ὁ πταρμὸς γὰρ κεφαλῆς οἴδησις ἐπεὶ οἱ ὀργίζονται τοῦ μελλήσαντος λαθεῖν κάρφει, πταίροντα, ἢ ὀσφραινόμενα προστυχόντα. οὕτω φασὶ, ἅτε μου πλησίον, ἐν τρίτῳ ὄπισθεν καί ῥος μυκτήρων. Πταρμῶν, οἱ μὲν εἰσὶν ὠφέλιμοι, οἱ δὲ βλαβεροί. Ὅμηρος, ἐπὶ ἀγαθῷ τὸν πταρμὸν φησιν. οὐχ ὁράας ὅ μοι υἱὸς ἐπέπταρε. καὶ Θεόκριτος, ἀπὸ σιμιχίδᾳ οἱ ἔρωτες ἐπέπταρον. Πτάτο, ἔπτη, ἵπτατο.

Πτελέα δένδρον, γένος μέσον ἐστὶν, καὶ μελαίνης καὶ λευκῆς. ὅθεν πτελεαλώδες οἶνον λέγομεν, ἢ τὸν ἐκ τῶν δένδρων, παρ᾽ ὅσον ταῖς παρακειμέναις πτελέαις ἀναπλέκονται, ἢ ἐρίνεον.

Πτελεάλας, πτελεώδης. Πτέλεθρον, ἤτοι πλέθρον, ὅ ἐστι διάστημά ἐστι σταδίου ἑκτὸν, ἤτοι πόχιον ἑξακόσιον, καὶ διμέριον. οἱ δὲ ὀκτάποδος, ἄρας μὲν ἐστὶ ἑκατὸν πλέθρα ἐν τῷ πεδίῳ. τινὲς δὲ ἐν ὅλον ἐπὶ ἑκατὸν κεῖσθαι πλέθρα. ἐστὶν ἐκεῖνο μὲν τῇ φαντασίᾳ δοῦναι, τοῦ δὲ τῇ ἀναβολῇ, ὃν ὁ μῦθος αἰτεῖν δοκεῖ. Πτελεὸς, ὁ πλέων, οὐδέτερος. ἐστὶ καὶ ἰωνίας πόλις καὶ τροιάδος. ἔστι δὲ καὶ τῶν περὶ θετταλίαν ὀχυρῶν. καλεῖται δὲ φασιν οὕτως, ὅτι πολλὰς ἔχει πτελέας. ὁ πολίτης πτελεάτης, καὶ πτελεοῦσιος, καὶ πτελεύς. ἔστι δὲ καὶ πτελέα δῆμος, φυλῆς οἰνηΐδος, τοῦ λεγομένου οἰνηΐδος. ὁ δημότης πτελεάσιος. ὁ δὲ Στράβων λέγει, ὅτι ὁ πτελεὸν πόλισμα ἐστὶ τῆς ἐν πτελεῷ τοῦ θετταλικοῦ, ὃν ὁ ποιητὴς προσηκόντως νεανίαν αὐτὸν ἔφη, τουτέστι πολυβότανον. οὐ ὁ καὶ χαρίζει δέξασθαι, ὅτι ἐγκατεσκεύασται. ἐστὶ δέ φησι Δημήτριος χωρίον ἀείδενδρον, πτελεάσιμον καλούμενον. Πτέρνα καὶ αἰδοῖα καλοῦσι. τὰς τῶν ἱερῶν σάγας, ὥς φησιν Ἴων ἐν ἀγαμέμνονι.

Πτέρη ἡ ῥυγώ, ἣ εἰς λεπτομέρη κατακαίεται ἐκ λίθων.

Πτερυγοτύραννος, ὅμοιος παιδίς, ἐν ἰολκῷ ἐγράφη Λεωνίς. Πτερύλλας, ὃν τρυγωνεύουσιν οὕτω καλοῦνται, ἐν τοῖς κήποις. Πτερίον, τὸ βατός. Πτέρνα, πτερνίδιον. Πτέρνα, Βοτάνη φαρμακώδης Διοσκουρίδης. ὅτι ἐμβρυώδη τι φθείρει καὶ ἐκβάλλει, καὶ πλατυτέραις ἐλμίνθας ἀναιρεῖ. Πτέρνα, τοῦ ἀρότρου τὸ στεγνῶσαν, τὸ κατακείμενον ὑπὸ τὴν γῆν τοῦ σκέλους, καὶ τὰ ἔσχατα μέρη τῶν ποδῶν. Πτέρνα, ὁ δόλος καὶ ἡ ἐπιβουλή. καὶ πτερνίζω, τὸ καταβάλλω. Πτερνίζω, ἀπατῶ, ἢ ἀπατίζω. Πτερνισμὸς, δόλος, ἀπάτη, ἐπιβουλή. Πτέρυξ, τὰ πλάγια τῶν ἱματίων λεγόμενα. ἃ μέχρι τῶν πτερνῶν καθίεσαν χιτῶνες μακροῖς ἐν τοῖς ἱματίοις, καὶ εἶδος ἱματίου. Πτεροβάμονες, τῶν ἱματίων ὡς ἐπιδέσμων. Πτεροδόντα, παρ᾽ Ἀριστοφάνει, ἀντὶ τοῦ τάχιστα. Πτερόεντος, πτερόεις ταχέως. Πτερόεντα, ταχέα, κοῦφα. Πτερόεις, ταχύς, ταῖς τοῦ ἀνέμου ταχείαις στροφαῖς. Πτερόεντα λόγοι, διὰ τὸ ταχὺ καὶ διὰ τὴν ἐν αὐτοῖς ἑρμηνείαν, καὶ συνουσίαν.

Πρωιαίτερον, ἕωθεν, ὅ ἐστι τὸ πρὸ τοῦ ἀνατεῖλαι τὸν ἥλιον.

Πρωί, ἔχει ἐναντίον τὸ ὀψέ. πρωὶ καὶ ὀψὲ λέγομεν, οὐ πρωίαν καὶ ὀψίαν. ἔστι δὲ πρωί, καὶ ἔστι τὸ πρὸ τοῦ δέοντος καιροῦ. Θουκυδίδης ἐν τῇ τρίτῃ, πρωὶ ἐσβαλόντες, καὶ τοῦ σίτου ἔτι χλωροῦ ὄντος, ἐσπάνιζον τροφῆς οἱ πολλοί. Πρωὶ δὲ ὑπὸ τοῦ δισυλλάβως, εἰς δὲ ὃ πρωὶ πρόσκειται τὸ ὑπὸ κοινῆς, ὡς ἂν ὁ ὄρθρος νοεῖται. ἄλλως γάρ φασι πρωὶ λέγεσθαι τὸ ἕως ἐπὶ ὥρας. Φιλήμων οὖν φησι, μεμίηνται δείλης πρωίας, ἤδη περὶ πρωίαν, ἀφ' ἧς ἡ δείλη ἄρχεται. ὅθεν σημειωτέον, ὅτι τὸ ἐπὶ μακρῷ τῆς ἑβδόμης ὥρας, ἀκμῆς· δείλη ὀψία λέγεται, καὶ ἔτι ὕστερον τὸ ὀψὲ γίνεται ὁ ἑσπέρος, καὶ ἐκ τοῦ νὺξ αὐτός, οὕτω καὶ τὸ δυσκόλως γυναικός, ὅμοιος, ὡς ἄλλος ἐλπίδος, καὶ τὰ γιαῦτα. καὶ πρωιαίτερον, ἕωθεν, πρὸ τοῦ ἀνατεῖλαι τὸν ἥλιον.

Πρωιαίτερον, καὶ πρωιαίτατον. Αἰσχύλος, τῶν ἐχθρῶν πάλιν γὰρ οὖν τὸ πρωιαίτερον τοῦ δέοντος, ἢ λέγεσθαι, ὡς ἔθιμον.

Πρωίζα, προχθεσινά. Πρωίζον, πρὸ ὀλίγου. Πρώιμος, πρωινός, καὶ πρώιμος, καὶ πρώιον. Πρώιον, ἐωθινὸν ὄρθρον, ἢ πρόσφατον. Πρώιον, ἐκ τοῦ πρωὶ ὡς καὶ τὸ πρώιμος καὶ τὸ πρώιζα. προϋπάρχει δὲ αὐτῶν μονοσύλλαβον τὸ πρῶ, ὃ δὴ λοιπὸν κατὰ παρέμπτωσιν τοῦ πρωί, ἢ πρὸ καιροῦ. καὶ πρῶ μονοσυλλάβως, ἀντὶ τοῦ πρωί. Πρῶνα, τὰ σκέλη τῶν ὀρῶν, ὅθεν λέγουσι. Πρώονα, δῶρα. Πρωίθεν, σκεπτέον, ζητείσθω, τηλαυγοῦσι. Πρωκτὸς λουτροῦ παροιμιακόν. ὅτι ἐπὶ τοῦ ἐπὶ κακῷ ὑπὸ ἑαυτῶν νικωμένων, ἢ ἐπὶ τῶν ἀπολλυμένων ἢ βιαζομένων καθαίρεσθαι. ὁ γὰρ πρωκτὸς πλυνόμενος, χρῄζει πάντοτε τῆς καθάρσεως. καὶ ἔτι μολύνεται, καὶ μᾶλλον ἐν τῇ ῥύσει τῆς γαστρός. εἴρηται δὲ ἀπὸ τῶν τὴν γαστέρα φερομένην ἐχόντων, καὶ ὑπὸ ἀπολαύεσθαι πιεζομένων τῇ φορᾷ. Πρωκτοτηρεῖν, τὸ πρωκτὸν τηρεῖν. Πρωκτός, ὁ κῶλος παρὰ τὸ προκεῖσθαι τῆς γαστρός. καὶ παροιμία, εἰς πρωκτὸν κακὸς βλέπει, τῶν ἐπὶ ἄλλῳ βλέποντων ὀφθαλμιῶσι. Πρωκτοτηρεῖν, τοὺς πρωκτοὺς τῶν παρόντων τηρεῖν. ἀπὸ δὲ βοὸς νεοῦ δημηγορεῖν. Πρωλεύειν, κατερημωμένοι, παρακαλούμενοι. Πρωλέβιον, ὁ ἐπίφθονος, καὶ ἐπὶ σώμα. Πρῶ μονοσυλλάβως, σημαίνει τὸ πρὸ καιροῦ, καὶ τὸ ἑωθινόν. Πρῶνες, ὀρῶν ἐξοχαί, βουνοί. ὡς ἐν ἐπιγράμματι.

Πρῶον δὲ, τὸ πρώιμον δισυλλάβως. Πρώιος, ἐξ εὐθείας μὲν τῆς πρῶν. συστέλλει δὲ τὸ τελικὸν ὤ τῆς εὐθείας, ἵνα φύλαξις ἀπορῆται. ὡς μὴ δὲ κανόνος κωλύοντος. πρὼν δὲ ἐστι τὸ πρωτότοκον. καὶ κλίνεται πρωνός, ὡς κλωνός. λαλοῦσι δὲ οἱ πρῶνες κατὰ παρέμπτωσιν, ὄρους ἐξοχάς, βουνούς, λόφους. καὶ γίνεται φασὶ παρὰ τὸ πρῶθαι. Διονύσιος δὲ ὁ περιηγητὴς, πρωνάς φασι. Πρώονος, πλεονασμὸν ἔχουσι τοῦ ο μικροῦ. προϋπάρχει δὲ τὸ πρών, πρωνός, ὃ δηλοῖ τὸν ὑψηλὸν τόπον, ὡς ἀπὸ τοῦ πρωίου μετοχῆς κατὰ τοὺς παλαιούς, ἐκφωνῇ τὸ καὶ πρῶτον τῶν λοιπῶν φαινόμενον. ὁ πρώονος, ὄρων ἐξοχή. ὧν ἡ κλίσις ἐκ τοῦ πρώον πρώονος. οὐδ' ἡ κίνησις ἀναλογίαν ἔχει πρὸς τὸ κοινὸν κλίνον, κρεῖσσον. ἐκεῖνο μὲν γὰρ βραχὺ παραλήγον, φυλάσσει τὸ ω ἐν τῇ γενικῇ. ὅθεν δὲ συστέλλεται, καθ' ὁμοιότητα τοῦ μακεδόνος, ἴσιος, καὶ τὸ ὅμοιον. δῆλον δὲ, ὅτι καὶ χθὼν πρῶνος, ὁ πρὼν πρωνὸς φανερόν. ὧν κοινότερον μὲν ὁ πρών, ποιητικώτερον δὲ ὁ πρώων, καὶ ὁ πρήων. Πρῶρα, ἐκ τοῦ πρόορα, κράσεως γενομένης τῶν δύο ο εἰς ω. σημαίνει δὲ τὸ ἔμπροσθεν, παρὰ τὸ προτείνειν τὸ ῥέοντος ἕνεκα τὸ ὕδατος ἀπωθεῖσθαι. Πρῴρα, τὸ ἔμπροσθεν τῆς νεώς. καὶ πρῳράτης, καὶ πρωρεύς. Πρωράτης, ὁ μετεωρότατος ἐκ τοῦ πλοίου. ἐκεῖνος γὰρ ἐν τῇ πρῴρᾳ τὸν φόρτον φέρει, καὶ ἐπισκοπούμενος καθίζεται τῇ θαλάσσῃ. φασὶ δὲ οἱ γέροντες ἐπὶ τὸ πρόσωπον φέρεται. πρῴρα δὲ, τὸ πρόσωπον. Πρωρεῖ κυλίεται, ἀγρεῖ. προσορᾷ, φοβεῖται. Πρῶτα στοιχεῖα, ὁ ἀλφάβητος. καὶ ταῦτα μὲν τὰ κατὰ τῶν γραμμάτων φασίν, ὅτι οὐδὲ αὐτὰ ἰδικῶς διὰ δηλωθῆναι. Πρῶτα φύσει, αἱ ἀρχαί. ἔσχατα δὲ φύσει, τὰ πολὺ τῶν ἀρχῶν ἀφεστῶτα. ἔτι δὲ ταῦτα προβλήματα, τοῖς μὲν ἐπιχειροῦσι χαλεπὰ δειχθῆναι, τοῖς δὲ ἀκούουσι ῥᾴδια. τὰ μὲν γὰρ πρῶτα, τὸ χαλεπὸν ἔχει, ὅτι μὴ οἷόν τε αὐτὰ δι' ἄλλων δειχθῆναι, ἀλλὰ τὰ μὲν δεικνύμενα δείκνυσθαι διὰ πρώτων, τὰ δὲ πρῶτα μὴ εἶναι διὰ πρώτων. γίνεται δὲ ἡ τῶν ἀρχῶν γνῶσις, οὐ δι' ἀποδείξεως, ἀλλὰ δι' ὁρισμοῦ. ὁρίσασθαι γὰρ δεῖ πρῶτον τὴν ἀρχήν, τί ἐστι, καὶ τοῦ αἰτίου ὑποθέμενος, εἶναι χρῆσθαι αὐτῇ εἰς τὴν δεῖξιν τῶν μετ' αὐτήν, διὰ τοῦτο δυσεπιχείρητοι αἱ ἀρχαί, καὶ οὐ ῥᾳδίως δειχθῆναι. τὰ δὲ ἔσχατα, ὅτι διὰ πολλῶν μέσων δείκνυται. πρῶτον δὲ λέγεται χρῆμα, ἐπὶ τῶν συλλογισμῶν, οὐχ ὡς αἴτιον, οὐδὲ ὡς γεννητικὸν ἐκείνου, ἀλλὰ τῇ τάξει. καὶ πλειότερον ἦν, οὐ γὰρ γεννᾶν ἐκεῖνα καὶ παράγειν, ἀλλὰ τὸ πλεῖον δύνασθαι, καὶ ταῖς ἀποδείξεσιν οἰκειοτάτην ἐφόδευσιν εἶναι. Πρωταγωνιστεῖν, πρῶτον ἀγωνίζεσθαι. Πρώτας, θύρας λέγει Ὅμηρος, τὰς αὐλείους. ἃς ἔθος ἦν τηρεῖσθαι ὑπὸ κυνῶν, τὰς αὐτὰς ἐφεστῶσιν καὶ πρόθυρα εἰσιν ἐν μιᾷ λέξει. καὶ σημειωτέον, ὅτι τὸ πρῶτον καὶ τὸ πύματον ἀντίκεινται. Πρωτίλεια, αἱ ἀπαρχαί. κυρίως μὲν τῆς λείας, ἤγουν τῆς αἰχμαλωσίας. καταχρηστικῶς δὲ, πᾶσα ἀπαρχή.

Πρωτοβολεῖν, εἶδος ἐσθῆτος γυναικείας, ἢ πόλισμά τι οὕτω καλεῖται. Πρωτεύς, ποταμοῦ ὃς ὑπὸ γένει Αἰγύπτιος εἰς φαλάγγας τῆς παλλήνης καὶ θρᾴκης ἦλθεν ἐξ Αἰγύπτου, δραμὼν γαμεῖ. ἐξ ἧς αὐτῷ τμῶλος, καὶ τηλέγονος, οἳ κατεπάλαιον τοὺς ξένους ἀναιρεῖν. ὧν τὴν ξενοκτονίαν μὴ φέρων ὁ πρωτεύς, ὑπὸ τῷ πατρὶ ποσειδῶνι ηὔξατο, πάλιν κατασταθῆναι αὐτὸν εἰς τὴν αἴγυπτον. ὁ δὲ ὑπακούσας αὐτοῦ, σχίσας ἀπὸ τοῦ χάσματος τῆς παλληνίας ὑπόγειον, ὑποκάτωθεν θαλάσσης, οὕτω διήγαγεν αὐτὸν ἄβροχον, μέχρις αἰγύπτου. ἡρακλῆς δὲ περὶ θρᾴκην διερχόμενος, καὶ καταπαλαίσας, ἀνεῖλε τὸν τμῶλον, καὶ τὸν τηλέγονον. ὅπερ μαθὼν ὁ πρωτεὺς ὁ τούτων πατήρ, οὐ γελᾷ μὲν ὅτε παῖδας ἐξ ἑαυτοῦ, ὅτι δὲ ξενοκτόνοι, οὐδὲ δακρύει. τὸ δὲ ἀληθές. μὴ φέρων ὁ πρωτεὺς τὰς ξενοκτονίας αὐτῶν, ἔρριψεν ἑαυτὸν κατὰ τὸ χάσμα τῆς παλλήνης, καὶ ἀναιρεθεὶς οὔτε δακρύει, οὔτε γελᾷ. Πρωτεύω, ἀμεταβάτως. πρωτεύω δὲ τοῦ δήμου μεταβατικῶς, πρωτεύω πρώτευον, δευτερεύω δευτέρευον, ἱερεύω ἱέρευον, ἀριστεύω ἀρίστευον, βραβεύω βράβευον, καλλιστεύω καλλίστευον. τὰ οὖν τῶν διὰ τοῦ εὖ ῥημάτων διὰ τοῦ ευ γινόμενα εἰς δίφθογγα, διὰ τῆς ευ διφθόγγου γράφεται. Πρώτη ἱσταμένου, ἀθηναῖοι οὕτω ἠρίθμουν τὰς ἀπὸ νουμηνίας, ὁμοίως ἡμῖν λέγοντες, πρώτη ἱσταμένου, δευτέρα ἱσταμένου, μέχρι τῶν δέκα. μεθ' ἣν πρώτην ἐπὶ δέκα, εἶτα δευτέραν ἐπὶ δέκα, καὶ ἑξῆς ἄχρι εἰκοστῆς, ἡ αὐτὴ δεκὰς καὶ εἰκάς. μεθ' ἣν ἐνδεκάτην φθίνοντος, ἢ δεκάτην, ἢ ἐνάτην, ἢ ὀγδόην, ὡς ἂν τύχῃ ἔχων ὁ μήν, καὶ ἑξῆς ἀναλόγως ἄχρι δευτέρας. οὕτω γὰρ ἀθηναῖοι ἠρίθμουν, οὐ προστιθέντες, ἀλλὰ ἀφαιροῦντες, καὶ ἀναλύοντες μέχρι τριακάδος, Σόλωνος ἡγησαμένου πρὸς τὰ τῆς σελήνης φῶτα, οὕτω μετρούμενα. μετὰ δὲ δευτέραν ἀντίον ἔνην, τετάρτην τὴν τελευταίαν τοῦ μηνὸς ἡμέραν. ἄλλως. πέμπτη, τετράς, οὐ προστιθέασι τὸ φθίνοντος. οὕτω γάρ φασιν ἀθηναῖοι μετροῦσιν ἀπὸ πρώτης ἕως δευτέρας, προστιθέασι τὸ ἱσταμένου. ἀπὸ τρισκαιδεκάτης, ἕως ἐννεακαιδεκάτης, τὸ ἐπὶ δέκα. εἶτα ἡ μεγάλη εἰκάς. ἀπὸ εἰκάδος πρώτης, ἕως εἰκοστῆς ἐνάτης, τὸ φθίνοντος. τὴν δὲ τριακοστὴν, ἔνην τε καὶ νέαν. ἐπεὶ μετέχει τοῦ τε παλαιοῦ, καὶ τοῦ νέου φωτός. ταύτην δὲ καὶ δημητριάδα προσηγόρευσαν, τὴν εἰκοστὴν δευτέραν ἐκάλουν ἐνάτην φθίνοντος, τὴν εἰκοστὴν τρίτην ὀγδόην, τὴν εἰκοστὴν τετάρτην ἑβδόμην, τὴν πέμπτην ἕκτην, τὴν εἰκοστὴν ἕκτην πέμπτην,

οἷον ὑγρὸν πρὸς εὐκινησίαν. εἴληπται δὲ ἀπὸ ὑδάτων συλλαβομένων ποθὲν εἰς παλαιὰ ἄλλα. ἐντεῦθεν καὶ ἐν ὀδυσσείᾳ τὸ, ἐπειδὰν ἐκχέωνται. Προχέονται, ταῖς εἰς τὴν θάλασσαν προχύσεσι.

Πρόχνυ, τοῦτ' ἐστι παντελῶς. ἢ πρόγονυ, ἤγουν πρόρριζον. πρόχνυ ἐπίρρημα ποιότητος ἐστι, καὶ δηλοῖ ἐπὶ γόνυ. καὶ ὡς εἶπεν πρόγονυ, καὶ κατὰ συγκοπὴν καὶ τροπὴν πρόχνυ. Προχοαὶ, αἱ τῶν ποταμῶν ἐκβολαὶ καὶ ἀφέσεις εἰς τὴν θάλασσαν, ἢ παντὸς ὕδατος ἐκροή. Προχοὴ, ἡ τοῦ ὕδατος πρόχυσις. προχοὴ δὲ τὸ ἀγγεῖον. Λυκόφρων ἐν πρώταις, εἶτ' ἄρα νίπτων προχοαῖς ὑδάτων χρυσέαις ἀρύσας προχέουσι. Προχοὶ, τῶν ποταμῶν αἱ συμβάλλοντες τόποι τῇ θαλάσσῃ λέγονται. Ὅμηρος, ὡς δ' ὅτ' ἐπὶ προχοῇσι. Προχοΐδας, τὰς ἀμίδας. Πρόχειο, προφαίνεσθαι, προβαλλοίο, καὶ ἐκπέσοιο, παρὸ καὶ τὰς ἀσπίδας προβάλλειν ἔλεγον. Πρόχοος, ἐν ὀδυσσείας ά, ῥῆμα ἐστι, ποτῆρος χέσθαι μὲν κατὰ τὴν ἐν α' ῥαψῳδίᾳ, δι' ἧς ὕδωρ χερσὶν ἐπιχεῖται. Πρόχοος δὲ ὀξυτόνως, ὁ ῥέων παρὰ τὸ προχέειν. ὅθεν καὶ προχοΐδιον, καὶ συναιρέσει προχοίδιον, ὡς βαδίδιον βάδιον, τὸ ἱμάτιον ἱματίδιον, ῥάδιον ῥᾴδιον, καὶ ἄλλα διάφορα παράγεται ἐκ τοῦ χέω, ὅθεν ἐστὶ καὶ χοῦς μέτρον τι χοᾶ. οὗ τὸ ἑνικὸν χεία, ὡς πεῖρα πειρᾶ. ὁ δὲ χοῦς χοῦς καὶ χόος ἐλέγετο. ἐμνημόνευσε τοῦ κατὰ γῆν. ὅθεν καὶ δίχουν ποτήριον, τὸ χωροῦν δύο χοᾶς. ἐλέγετο δὲ καὶ Ἀθήνησιν ἑορτὴ ἐν ᾗ χοᾶς, ὀνομαζομένη ἐκ τοῦ χοῦς. ὡς δὲ καὶ χοὴ ἐπὶ νεκρῶν, ἐκ τοῦ χέειν. πρόχους κρατὴρ μέγας, ἤγουν φανερὸν, καὶ διάδηλον ποιεῖ. ὅθεν παρὰ τῷ μεθ' Ὅμηρον λόγος προφανὴς ὁ εἰς φανερὸν προαγόμενος, καὶ μὴ κατὰ τὸ ἐνδιάμεσον καλούμενος ἀφανὴς ὤν.

Προχέω, τῇ ἐπιχύσει, καὶ ἀγγεῖον ἐστὶν εἰς τοῦτο ἐπιτήδειον ἐπιχέεσθαι. ὡς ἐν ἐπιγράμματι. Πρόχειον, παρὰ Ἡροδότῳ τὸ ἀποπνῖξαι πρόχειον λέγουσι. Πρόχυσις, τὸ μεταξὺ χῶμα.

Προχύται. αἱ μὲν κριθαὶ, οἱ δὲ τὸ ὕδωρ, ὃ ἐνέβαλλον ἐμβάλλοντες τὸ εἶδος τοῦ ἱερείου, ἐπὶ τοῦ ἐπινεύειν τὸ ἱερεῖον. Προχύτας, ὅλας ἀπαρχάς. Προχύτης, ποτήριον. Προχωρῶ, τὸ προκόπτω, ἢ προβαίνω. Προψάτης, καπήλειρος. Προωλὴν, ὁ ἐξώλης τοῦ ὀλέσθαι. Προωθεῖ, ἐπὶ εἰς τὸ ἔμπροσθεν κινεῖ βίᾳ. Προώλης, ὁ πανώλης. Προώμαι, ἐάσω, ἐνδώσω, παραχωρήσω. πρέωρος, ὁ πρὸ τοῦ ὥρας καὶ καιροῦ. ἄωρος δὲ, ὁ παρηβηκὼς καὶ γηράσας. Προώμεθα, προδώσομεν, ἐάσομεν, παραχωρήσομεν. Πρῶνες, οἱ προανέχοντες τόποι τῶν ὀρῶν. Πρώνεις, ἐπιβεβηκότες. Προωσις, ὤθησις. Προώρας, τὰ πρῶτα κλήματα. Πρώιμον, πρὸ καιροῦ. Πρώιος, πρόσκαιρος. Πρωχὸς ἵππος, ὁ ἐκ τοῦ ὄπισθεν μετέωρος, καὶ τοῦ ὑπερκύπτειν καὶ τῇ ἱππασίᾳ. Πρύανος, υἱός. Πρυλέες, οἱ ἐν μάχῃ πεζοὶ ὁπλῖται, κατὰ γλῶσσαν γορτυνίων, ὥς φασιν οἱ παλαιοί. Πρυλέες, δοκοῦσι τινὲς πρύλας, γεγονέναι ἐκ τοῦ πρῶτον ἐλθεῖν, τὸ ὀδύνα, πρόσω, ἢ πρύλας, ὡς Λάμαχοι Λάμαλες. ἴσως δὲ συντελεῖ τι πρὸς τὴν τοιαύτην κλίσιν καὶ ὁ τύπος, καὶ τὸ κάτω ὁ πρύλας, ὁ παρὰ Λυκόφρονι. καὶ μὴν ἄλλοι, ἐν οἷς καὶ Ἡρακλείδης, πρύλις γράφουσιν ὀξυτόνως, καὶ κανονικῶς πρυλὶς πρυλοῦς, καὶ ἔστιν ἀσφαλέστερον τοῦτο. εἰ γὰρ τὸ πρύλις πρύλεως ὤφειλεν εἶναι, ὡς ὄφις ὄφεως, ὀξυτόνως δὲ πρυλίδος, ὡς τυραννίδος. Πρυλίσσεις, ἐπὶ τῆς ἐκφορᾶς τῶν κατακοσμούντων, παρὰ τὸ ἰδεῖν. Πρύλιν, πυρρίχην, ἔνοπλον. Πρυλὶς, ὃν μάθοιεν τις, τῇ ἴσῃ, ἐπεὶ τῇ λίσβῳ, ἐξῆς τὸ καλούμενον καὶ ἑλλάδα, ἐπεὶ ἑρμοῦ καὶ ἴσως τοῖς ὁπλίταις, ὃς προσεχῆ ἔσται τοῖς ἄλλοις τῇ λίσβῳ, ὑπὸ ἐνὸς τοῦ πρόσω τοῦ Ἕλληνος ἀλώσεως διὰ μαντείαν. εἶτα γὰρ τῶν κατασκευῶν τοῦ δουρείου ἵππου δώροις πειθεὶς ὑπὸ παλαμήδους, πρὸς ὃν λέγει ὦ πρύλι, ὡς μὴ φιλεῖ σε τὸ πρύλιν φονεῦσαι καὶ γινώσκων ὁ κάλχας, ἐπὶ τῷ ἑρμῷ. οὕτω λεγόμενος παρὰ βοιωτοῖς ἐν τῇ ἴσῃ, ἡ

μεγαλεῖα τῇ ἀφροδίτῃ, ἐπεὶ τῇ πελαγίᾳ ὑπὸ θαλάσσης. φυτεύσαι δὲ ἐν λησταῖς, καὶ ἑρμῆν ὀλίγον τὸ ἄλλων. Πρέμνα, πρυμνόθεν. ὅθεν δὲ προσέγγειον ἔσωθεν, πρύμνον λέγεται.

Πρύμνα, τὸ ἔσχατον καὶ ὀπίσθιον μέρος τοῦ νεὼς, παρὰ τὸ εἰς μόρον τὸ τελευταῖον μένειν. Πρυμνηθεὶς, πᾶν τὸ πρύμνον. οἱ δὲ τὸν ... τῆς ἑρμηνείας, ἀντιτιθέασι τὸ χῦμα φασίν, ἵνα λέγῃ πάντα πρύμνην. ἢ πρυμνόθεν, ἀντὶ τοῦ ἐν πρύμνῃ τῆς νεὼς. ὅμοιον τούτῳ, καὶ οἷα ἀρχαίας ἀγαμέμνονι ὑδατι θυμῷ, ἀντὶ τοῦ ἀρχαίου τοῦ θυμοῦ. Πρυμνήσια, τὰ σχοινία τὰ πρὸς τῇ γῇ δεσμεύοντα χοινία τῶν νεῶν, ἃ πείσματα λέγονται, ὡς τῆς νεὼς ἀποδεομένης αὐτῆς. Πρυμνὸν, τὸ ἔσχατον, ὡς ἐπὶ τοῦ μηροῦ πρυμνὸν τὸ κρέας τῶν ἱερῶν καὶ ἡ τοῦ νεὼς πρύμνα. καὶ πρυμνόθεν ὁμοίως, ἢ πρόρριζος. ἢ πρυμνώρειαν, κατὰ τοῦτον παρ' Ὁμήρῳ, ἤγουν ἔσχατον πρὸς τῇ κεφαλῇ λαλαλεῖ. λέγεται δὲ πρυμνὸν, καὶ τὸ ἐπικείμενον, οἷον τυχὸν ῥίζας, ἢ πλεῖστα. ὅλως δὲ εἰπεῖν πρυμνὸν, τὸ ἔσχατον. Πρυμνώρειαν, τὸ κάτω μέρος τοῦ ὄρους. Πρυτανεύεσθαι, διοικεῖσθαι, προστατεῦσαι, φυλάξαι, βασιλεῦσαι, ταμιεῦσαι. κυρίως δὲ ἐπὶ τῶν τὸ συμπεπτωκὸς ταύτῃ ἡ λέξις. πρύτανις γὰρ, ὁ σιτοφύλαξ. οἱονεὶ πυροταμίας, καὶ συγκοπῇ καὶ τροπῇ πρύτανις. Πρυτανεῖα, τὰ νῦν καλούμενα παρὰ ῥωμαίοις ... καὶ παρὰ τοῖς ἄλλοις ἀττικοῖς τὰ πρυτανεῖα. ἦν δὲ ἀργύριον, ὅπερ κατετίθεσαν οἱ δικαζόμενοι ἀμφότεροι, καὶ ὁ φεύγων, καὶ ὁ διώκων. καὶ πρυτανεῖα, ἔστι δὲ ἀριθμὸς ἡμερῶν ἡ πρυτανεία, ἤτοι ἐκ τριάκοντα καὶ ἕξ, ἢ τριάκοντα πέντε. Πρυτανεῖα, τὰ διδόμενα ὑπὸ τῶν δικαζομένων τῷ δημοσίῳ ἀργύρια. Πρυτανεῖον, τὸ κοινὸν ταμεῖον, καὶ οἰκίσκος παρὰ τοῖς ἀθηναίοις, ἔνθα αἱ κοιναὶ συμβουλαὶ καὶ σιτήσεις ἐδίδοντο. πρυτανεῖα δὲ ἐκαλοῦντο, τὰ καταβαλλόμενα ὑπὸ τῶν δικαζόντων δίκας. ἦν δὲ τὸ ἐπιδέκατον τοῦ τιμήματος. πρυτανεία δὲ ἑνικῶς, χρόνος. εἰς δέκα γὰρ πρυτανείας ὁ χρόνος διῄρητο, διὰ δέκα φυλὰς οὐσῶν παρ' αὐτοῖς. καὶ ἐπρυτάνευσεν ἑκάστη φυλὴ κατ' ἐνιαυτὸν ἅπαξ. Πρυτανεῖα, μέταλλα, ἀγορὰς, λιμένας, μισθοὺς, δημιόπρατα, τούτων πλήρωμα ταλάντων ἐγγὺς δισχίλια. Πρυτανεῖα, πρόσοδος εἰς τὰ δημόσια κατατεταγμένα. ἣν οἱ δικαζόμενοι ... κατέβαλλον, ὥσπερ μισθὸν ζημίαν καταλείποντες ...

Πρυτάνεις, τὸ δέκατον μέρος τῆς φυλῆς τῶν πεντακοσίων. καὶ πεντήκοντα ἄνδρες ἐκ μιᾶς φυλῆς, οἱ διοικοῦντες ἅπαντα τὰ ὑπὸ τῆς βουλῆς ταττόμενα, πρυτάνεις ἐκαλοῦντο. ἐπρυτάνευον δὲ ἐκ διαδοχῆς ἀναλόγως αἱ δέκα φυλαὶ, κλήρῳ λαχοῦσαι.

Πρυτανεῖς, οἱ προεστῶτες τῆς σιτήσεως, καὶ τοῦ δήμου ἄρχοντες, ἢ ὑπηρέται. Πρυτανευόντα. κυρίως μὲν ἀντὶ τοῦ πρύτανιν ὄντα, ἀντὶ δὲ τοῦ διοικοῦντα. Πρυτανεύσαντα, στεψάμενοι, πράξαντο, χρηματίσαντες. Πρύτανις, διοικητὴς, προστάτης, φύλαξ, βασιλεὺς, ἄρχων, ταμίας, ἔξαρχος.

Πρῶ, ἀντὶ τοῦ πρωΐ. Πρωΐζον, τὸ προχθεσινὸν, γίνεται πρωΐζον, καὶ κατὰ συναίρεσιν πρῶζον. Πρώην, καὶ πάλαι, τοῦ παρῳχημένου συντελεῖσθαι, οἷον πάλαι καὶ ὅσα πρώην ἐλήλυθε. Πρεσβεῖαι, οἱ ἐν τῇ πρώτῃ ἡλικίᾳ ὄντες, παρὰ τὴν ἥβην καὶ τὸ πρῶτον. Πρωθήβας, ὀρθὰ ἀκμάζων, νέος. Πρωθήβης, κατὰ τὸ φθέγμα ἐπὶ θηλυκοῦ διὰ τοῦ ἦ δοκεῖ ἔχειν τὴν λέγουσαν καὶ γὰρ τὸ ἀρσενικὸν ὁ πρωθήβης, καὶ τὴν γενικὴν ἔχει εἰς ου. τὰ δὲ τοιαῦτα εἰς ης ἔχει τὸ θηλυκὸν, οἷον ὁ δεσπότης τοῦ δεσπότου ἡ δέσποινα, ὁ τοξότης τοῦ τοξότου ἡ τοξότις, οὕτως οὖν ὤφειλεν εἶναι καὶ πρωθήβις. ἔοικε δὲ ὁ ὁμοιοφωνεῖν καὶ ὁμοιογραφεῖσθαι ἀττικοὶ τοῦ ἀρσενικοῦ. ὡς καὶ ἄλλως, ὥσπερ ὁ εὐπάτωρ ἡ εὐπάτειρα, ὁ ἀθάνατος ἡ ἀθάνατος, οὕτως ὁ πρωθήβης καὶ ἡ πρωθήβη. τὸ δὲ πρωθήβος, ὅμοιον τοῦ ἴφθιμος, ἄπαξ, ἄγριος, παρὰ τοῦ Θεοκρίτου. ἢ ἔφηβος, παρὰ τοῦ Αἰσχύλου. Πρωΐα, ἡ πρωΐα κατάστασις.

Πρω-

τον μισθόν. καὶ εἰ μὲν ἡ ὕβρισις σημαίνει, γίνεται παθὰ τῷ πρὸ ὁ προέθηκεν, καὶ τὸ γένος πρόνοικος, καὶ πλεονασμῷ τοῦ ο. εἰ δὲ ἡ ἄλλως, παθὰ τὸ ἐπὶ [illegible] βοίκον, ὃ σημαίνει τὸ οἰκεῖον, γίνεται πρόνοικος. καὶ τρέψει τὸ ο [illegible] δίφθογγον, πρόοικος. [illegible] Προῦλαλος [illegible]. Προύνικος, ὁ εὐκίνητος [illegible] ἅρματος [illegible] Προύνους, βουνός. [illegible]

Προῦπτον, πρόδηλον, φανερόν. Προῦρα, [illegible] Προυργιαίτερον, προφανὲς καὶ φανερόν, καὶ οἷον πρὸ τῶν ὀφθαλμῶν κείμενον, τὸ πρὸ τοῦ ἔργου αἱρετώτερον [illegible] Προυργιαίτερον, καὶ προυργιαίτατον, ἀναγκαιότατον, προὐμώτατον. προυργιαίτατον δέ, τὸ πρὸ παντὸς ἄλλου ἔργου γινόμενον. Προῦργα, τὰ ἀναγκαῖα, καὶ τὰ πρὸ τοῦ ἔργου. οἷον τὸ μὲν ἔργον αὐτὸς ὁ γάμος. τὰ δὲ πρὸ τοῦ ἔργου [illegible] Προῦργου, πρὸ ἔργου, συμφέρον, πλέον. [illegible]

Προύτεινον, προέτεινον. [illegible]

[illegible]

ρο, ἀρχὴ [illegible]

[illegible]

μένον. Προτείνειν, ὀρέγεσθαι, χαρίζεσθαι. Προτείνω, καὶ προτείνομαι τόδε τὸ πρᾶγμα. προτείνειν ἐπὶ προβλήματος, οἷον προτείνει τὶς πρόβλημα, καὶ τ [illegible] οἷον ἀπέτεινε λόγον μακρὸν [illegible] κεφάλαια τῶν δικαίων. Προτέλεια, ἡμέραι οὕτως ὀνομάζουσιν, ἐν ᾗ εἰς τὴν ἀκρόπολιν τὴν γαμουμένην παρθένον ἄγουσιν οἱ γονεῖς εἰς τὴν θεὸν, καὶ θυσίας ἐπιτελοῦσι. Προτέλεια, [illegible] τὰ πρὸ τοῦ τελεσθῆναι [illegible] γινόμενα, ἢ διδόμενα. Προτέλειον, ὁ προπαίδεια. [illegible]

[illegible]

λόγοις μεσιτεύων, ἀντὶ τοῦ μεσίτης. Προσώπατα, ἀντὶ τοῦ πρόσωπα, ἐγὼν ἀντὶ τοῦ ἐγώ. Πρόχους, καὶ πρόχουν, τὴν μακρὰν ἔχει τῶν συλλαβῶν. προσέχω γὰρ, οὗ ἀόριστος δεύτερος γίνεται ἔχον. ἐπεὶ μὴ συνεμπίπτει μετὰ τοῦ εἶχεν παρατατικοῦ ἔχον, οὐκ ὤφειλεν εἶναι χωρὶς αὐξήσεως, καὶ ἐξ ἀνάγκης διὰ τοῦ ω τὴν αὔξησιν ἐδέξατο. τὸ ὑποτακτικὸν ἐὰν χῶ, καὶ πρόχω, ως, ῃ. ἐκλήθη δὲ αὐτοῦ ὁ τόνος, ἐπεὶ οὐ δύναται ἐν τῇ πλείονι αὐτοῦ ἐδέξατο. οὕτω κατάχους, καὶ κατάχουν, καὶ παράχους, καὶ παράχουν. Προχοαί, αἱ ἐκβολαί. Προχέμενον, προτείνοντα.

Προχόντες, προσέχω, μέλλων προσέξω, ὁ πρῶτος ἀόριστος ἔσχεσα, ὁ δεύτερος προσέσχον, ἡ μετοχὴ ὁ προσχών, ἡ εὐθεῖα τῶν πληθυντικῶν, οἱ προσχόντες, ὃ σημαίνει πλησιάσαντες.

Πρόχορδα, σύμφωνα. Προσχών, ἀντὶ τοῦ ἐλλιμενίσας, καὶ προσορμίσας. προσέχειν ἡ ναῦς τῷ λιμένι. καὶ προσχὼν τῷ λιμένι, ἐπιβὰς τῆς νεώς. προσχὼν τῷ ἀνθρώπῳ δεινὰ πάσχειν, ἀντὶ τοῦ τὴν ναῦν τρέψας πρὸς ἐκεῖνον τὸν διώκοντα. Προχωρεῖ, συμμίσγει. Πρόχωροι, ἀφίενται. Πρόσω καὶ ὀπίσω, ἤγουν τὰ παρελθόντα, καὶ μέλλοντα, συνεπιλογίσασθαι τὸ ἄρθρον ταῖς. Πρόσω, καὶ ἐμπαλιν ὀπίσω ὁρῶν, παρ' Ὁμήρῳ συμβολικῶς εἴρηται. ὅς ἐκ μεταφορᾶς τοῦ ῥινὸς, ἐπὶ τῶν πρόχειλον φαυλίως λογίζεσθαι, ὡς ἔχειν βλέπον καὶ τὰ ἔμπροσθεν, καὶ τὰ κατόπιν. Προσωδαρίζει, διαφωδαρίζει, ἀπὸ τοῦ τ. τὸ δὲ χαρίεν μετὰ τοῦ ι, προσωδαρίζει, παρὰ τὸ εἶδος μὴ γινώσκειν τὸ ἐγκωμιάζειν λυδοὶ παρὰ τῷ ὑποκριτῇ. Πρόσω, ἔμπροσθεν.

Προσῳδίαι εἰσὶ δέκα, δασεῖα, ψιλή, ὀξεῖα, βαρεῖα, περισπωμένη, μακρὰ, βραχεῖα, δασεῖα, ψιλὴ, ἀπόστροφος, ὑφὲν, καὶ ὑποδιαστολή. δέδοται δὲ τῇ προσῳδίᾳ γίνεσθαι ἡ διαίρεσις εἰς τέσσαρας τόνους, εἰς χρόνους, εἰς πνεύματα, καὶ εἰς πάθη. τόνοι μὲν οὖν εἰσι τρεῖς, ὀξὺς, βαρὺς, περισπώμενος. χρόνοι δύο, μακρὸς, καὶ βραχύς. πνεύματα δύο, δασὺ, καὶ ψιλόν. πάθη τρία, ἀπόστροφος, ὑφὲν, ὑποδιαστολή. ἡ ὀξεῖα, τόπους ἡ συλλαβὰς ἔχει τρεῖς, τὴν ἐπὶ τέλους, ἡ τὴν λήγουσαν, τὴν πρὸ τοῦ τέλους, τουτέστι τὴν παραλήγουσαν, καὶ τὴν τρίτην ἀπὸ τοῦ τέλους, ἣν ὀνομάζομεν προπαραλήγουσαν. καὶ παρὰ τοῦτο λέγεται ἡ λέξις ὀξύτονος, οἷον καλὸς, σοφὸς, δεινὸς, παροξύτονος. ἡ καὶ βαρύτονος, προπαροξύτονος καλεῖται, οἷον ἱμάτιος, ὄνειρος. προπερισπώμενος, οἷον χρυσοῦς, ἀέλλης. λέγεται δὲ ὁ τόνος παρὰ τὸ τείνειν τὴν φωνήν. ἡ περισπωμένη τόπους ἡ συλλαβὰς ἔχει δύο, τὴν ἐπὶ τοῦ τέλους, οἷον θυμοῦς, λαγωᾶς. καὶ τὴν πρὸ μιᾶς τοῦ τέλους, οἷον κῆπος, δῆμος, μῦθος. καὶ καλεῖται ὄνομα περισπώμενον, τὸ ἔχον ἐπὶ τέλους, τουτέστιν ἐπὶ τῆς τελευταίας συλλαβῆς τὴν περισπωμένην. τὸ δὲ ἔχον ἐν τῇ μιᾷ πρὸ τοῦ τέλους τὴν περισπωμένην, καλεῖται προπερισπώμενον. ἡ δὲ βαρεῖα συλλαβικὸς τόνος ἐστί, καὶ οὐ κυρίως, τουτέστιν εἰς τὰς συλλαβὰς τὰς μὴ ἐχούσας τὸν κύριον τόνον ἐπὶ τέλους ἐτίθετο. ἀλλ' ἵνα μὴ κατακεχαράσσηται τὰ βιβλία, ὅτε νῦν οὐ γίνεται, ἀλλ' εἰς τὸν τόπον τῆς ὀξείας ἐν τῇ συνεπείᾳ γίνεται, οἷον ἄνθρωπος καλὸς ἦλθεν. εἰς τὸ λὸς ἐτέθη ἡ ὀξεῖα, ὅτι ἐπὶ τέλους εὑρέθη. ἐὰν δὲ εἴπω καλὸς ἄνθρωπος, ἰδοὺ ὧδε εἰς τὸ λὸς ἐτέθη ἡ βαρεῖα διὰ τὴν συνέπειαν. ἡ συνεκδέχονται, καὶ ἀπαρτίζουσι τῆς λέξεως, καὶ τοὺς διανοίας.

Προσῳδία, καὶ προσῴδιον, ὁ ὕμνος. Προσῳδία, ὁ τόνος ἡ χειρονομία. καὶ ἡ τοῦ ὀργάνου φωνὴ, παρὰ τὸ εἶδος τὸ γινώσκω. ἐξ αὐτοῦ ᾠδὴ, καὶ κράσει τοῦ αο εἰς ω μέγα, ᾠδὴ, καὶ ἐξ αὐτοῦ ᾠδία καὶ προσῳδία, παρὰ τὸ προσᾴδειν καὶ ἁρμόζειν τῇ ὑποκειμένῃ λέξει, ἢ ᾠδὴ ἡ πρὸς αὐτὴν ᾄδεσθαι τὰ ποιήματα. ᾠδὰς γὰρ οἱ παλαιοὶ τὰ ποιήματα ἐκάλουν. Προσῴδιον, λιτανεία μετὰ ὕμνων, παρὰ τὸ προσιέναι μετὰ ᾠδῆς τοῖς θεοῖς. ἰστέον, ὅτι τῶν μελῶν καὶ τῶν ὕμνων τὰ μὲν καλεῖται προσῴδια, τὰ δὲ ὑπορχήματα, τὰ δὲ στάσιμα. καὶ προσῴδια μὲν τὰ λεγόμενα ᾄσματα, εἰσερχομένων εἰς τὸν βωμὸν τοῦ ἱερείου. ὑπορχήματα δὲ, ἃ ἦσαν πάλιν ἔλεγον ὀρχούμενοι, καὶ τρέχοντες. στάσιμα δὲ, ἃ ἐσύστερον ἔλεγον ἀναπαυόμενοι. Προσωθίζη, προστρίβη. Προσώκειλαν, προσώρμισαν. Προσώπασιν, ἀντὶ τοῦ προσώποις, μετὰ πλεονασμοῦ λέγει, ὡς καὶ τὸ ἐγκασι, εἰς τὸ ἔγκασι μετὰ πλεονασμοῦ. σημείωσαι δὲ, ὅτι οὐχ ὥσπερ ἐν τῷ λιπάρεσι, καὶ κλάδεσι κλάδοις, καὶ ἑρμάσματι ἑρμάσμασι, καὶ τοῖς ὁμοίοις, τὸ κατάρχον μὲν σῶμα ἐστὶ τῆς ληγούσης μένει, ὁ δὲ ἐφεξῆς μετὰ πλεονασμοῦ τῶν τῆς ἀπαθοῦς λέξεως ἰσοσυλλαβίαν τηρεῖ, οὕτω καὶ ἐπὶ τῶν προκειμένων γίνεται, ἀλλὰ συλλαβῶν ἀπὸ τέλους τῶν εἰρημένων πατρωνυμικῶν δοτικῶν μετὰ πλεονασμοῦ ἀναγκαίως, πρὸς ἀναλογίαν ἐμφαίνει. δὶς δὲ εἰρημένοις ὅμοιον καὶ τὸ ὀνείρασιν, ἔτι δὲ καὶ ἄστρασιν. ὅπερ εἰ ἀπὸ τοῦ ἀστὴρ ἀστέρος ἐκλίθη, ἀστράσιν ἂν ἦν, ὡς τὸ πατράσιν, ἀνδράσιν. οὕτω δ' ἂν καὶ τὸ μήλοις μήλασιν εἶπεν ἄν, ὁ φράζων τὸν μηλάτων ἀπάργματα, ἤγουν μήλων, ὅ ἐστι θρεμμάτων ἀπαρχάς. εἰ δὲ ὡς ναός καὶ ἄγγελον εὗρε τὸ προσώπασι. οὐ δεῖ δὲ τῶν πληθυντικῶν ὅ προσώπασι, οὐκ ἂν καινοτομοίη, ἐν θυμούμενος τὸ γένος γένεος, ὁ Δόρας δέρατος, κατ' Ἡρωδιανόν. Προσωπεῖον, πρόσχημα, ἡ τῶν καλουμένων γυναικῶν προσωπεῖς. Προσωπιδοῦντος, ἡ προσωποποιοῦντος, ἐπιβιβασοῦντος. Προσώπη, προσβολή.

Προσωπεῖον, τίς οὗτος ἐν Αἰγύπτῳ. Προσωποποιΐα ἐστὶν, ὡς ὅταν τις ὡς ἐψύχοις πρόσωπα, ἤδη ὅτε καὶ λόγους ἁρμοδίως προστάττῃ, ὡς τὸ οἱ οὐρανοὶ διηγοῦνται δόξαν θεοῦ. Προσωποληψία, ὅταν τις πρόσωπον ὑποτεῖμενος, ἢ ὑποδεὴς ὡς ἐκ προσώπου τινὸς εἶπε. Πρόσωπον, ἐπὶ θεοῦ ἡ ἐπιφάνεια αὐτοῦ. Δαβίδ, πρόσωπον δὲ κυρίου ἐπὶ ποιοῦντας κακά. καὶ ἡ δόσις τοῦ πατρὸς, καὶ τῶν ἀγαθῶν ἡ χορηγία. Προσωπωλεῖα, προθέσει ὁδοῦ. Προσώσσετα, κάλιμα ἀγγεῖον χαλκοῦν, ἔχον ἐπὶ τοῖς χείλεσι πρόσωπα, ἐν ᾧ τὰ ἱερὰ ἐπλυνον. Προσώτατα, ἐσώτατα. Προσωτέρω, περαιτέρω. Προσώχθικε, προσεκέκρουκε, προσεκόψεν, ἀπὸ τοῦ τὰ ἐπιτυχόμενα ταῖς ὄχθαις προσκρούεσθαι. Προσώχθισε, ἐβδελύξατο, διεστράφη.

Προσώχθισα, ἐμίσησα, προσέκοψα, περιπαθὴς ἐγένετο, προσήγγισα. Πρὸς ὦσιν, πρὸς ὤθησιν, ἢ πρὸς ὄψιν, οὐ καλῶς. Προτανὶ, προσφάτως, προσφρόνως. Προτάμιον, πρὸ μεθόρου, ἢ πάλαι. Προταμείμεθα, ἐν Ὀδυσσείας σ', ἀντὶ τοῦ προτμήσωμεν. καὶ ὡς εἰπεῖν προκόψωμεν. κατὰ τὰ πεῖστα ἔχειν ἦσαν ὅπως προβαλοίμεθα τῇ ἀρετῇ. Προτανόν, κέρας ἢ τὸ σκληρὸν τῆς τραφῆς προκατεσκευασμένος. Πρόταξις φιλόν, ὅταν τὸ ἄλλον ἐν τάξει μὴ οὐκ προτάττηται. ὑπόταξις δὲ, ὅταν ὑποτάττηται. προστάξις δὲ, ὅτε οἱ ἐμπλεκόμενοι τῇ φάλαγγι, πάξ ἄνδρα τάττονται. λέγεται δὲ καὶ παρένταξις ὁδοῦ. Προτείνους, φανερῶς μάχος. Προτάξω, προκρίνω. Πρότασις, ἡ πρότασις ἐστὶ λόγος ἐξ ὅρων δύο τοῦ σημαινομένου τι περὶ τινὸς δηλῶν, ἢ ὡς ὑπάρχον, ἢ ὡς οὐχ ὑπάρχον. γίνεται δὲ ἀπὸ δύο προτάσεων ἀπὸ τῆς κοινωνίας, τὰς ὅρους ἐχουσῶν, ἐξ ὧν ἀνάγκη, τοῦ ἕνα δεῖ συλλέγεσθαι καὶ ἐν ἀμφοτέροις ὑπάρχειν. χρὴ δὲ πρότερος ὁ δεῖ, τὸ μέσον ἔχων. πρότασις ἡ προτεινομένη ἐρώτησις, πρόβλημα τὸ προβληθὲν ἐρώτημα. διαφέρει δὲ τῷ τρόπῳ μόνον. συνίσταται δὲ καὶ ἐξ ἀλλήλων. πρόβλημα καὶ πρότασις τὸ αὐτὸ εἰσὶ διαλεκτικὰ, καὶ ἐν τοῖς αὐτοῖς. τῷ δὲ τρόπῳ τῆς ἐκφορᾶς τῆς κατὰ λέξιν μόνον ἐστὶν ἡ διαφορά. τὸ γὰρ αὐτὸ ἐρώτημα, κατὰ μὲν τὸν πεῦσιν λεγόμενον, πρόβλημά ἐστι. κατὰ δὲ τὸ ἐρώτημα, πρότασις. καὶ εἰσὶν αὐτὰ διαλεκτικὰ προβλήματα, καὶ διαλεκτικαὶ προτάσεις. πρόβλημα μὲν, οἷον πότερον ὁ κόσμος σφαιροειδής, ἢ οὔ. πρότασις δὲ, ἆρά γε ὁ κόσμος σφαιροειδής ἐστιν, ἢ οὐ προλεγομένου. Προτεθείμεθα, ἀντὶ τοῦ στείλωμεν. παρὰ τῷ Ἀπολλωνίῳ. δεῖται σ, τὸ στεῖλαι. Προτεθειμένου, πάλαι

[illegible]

παρὰ τῶν λυπηρῶν λεγόμενα. Πρόβαλε, παρὰ τῷ Ἀριστοφάνει ἐν νεφέλαις, θρηνοβαλεῖν περὶ τοὺς βωμούς. πρόβαλε τοῖς θεοῖς καὶ προσκλαίουσι. Πρόβολος, εἰσφορά, εἶδος, ὁ ἐν φονεῦσιν. Προσκλύζουσι, προσαΐσσουσι, ταυτόν. Προβαίνοντος, προσκαθίζοντος. Πρόβοσκος, οἰκειότερον μᾶλλον τὸ ἄμορφος. ἐπὶ γὰρ ὄρνιν τοῦτο λαμβάνεται. Προβιῶ, ἐπὶ μὲν ἐμψύχου, δοτικῇ. ἐπὶ δὲ ἀψύχου, αἰτιατικῇ. Ἀριστείδης ἐν τῷ αἰγυπτίῳ, προβιβάζει τὴν ἔχθραν ἑκατέρᾳ τῶν πόλεων. καὶ προβιβῶμεν, ὡς ἵκτος εἰπεῖν τὰς ὄχθας. Πρὸς οἶμον, πρὸς τὴν ὁδόν. Προβιβασθῆ, προσδέξασθαι. Πρόβοτον, προσδέξεσθαι, ἐπιτραπέντος. Προβάλλω, τὸ οἰκειῶ προσεγγίζω, καὶ προβεβληκότος, προσβεβλημένος. Πρὸς ὄλεθρον, πρὸς θάνατον.

Προβαλεῖν, προβεβηκέναι, προσδιαλέγεσθαι. Πρὸς ὀργήν, ἀντὶ τοῦ ὀργίλως. καὶ πρὸς βίαν, ἀντὶ τοῦ βιαίως. καὶ πρὸς εὐσέβειαν, ἀντὶ τοῦ εὐσεβῶς. καὶ πρὸς ἀλήθειαν, ἀντὶ τοῦ ἀληθῶς. καὶ πολλὰ ἕτερα λέγεται οὕτως ἀντὶ τῶν ἐπιρρημάτων. Προβεβηκότος, προβεβλημένος. Πρόσω, μετὰ τοῦ προθέσεως πρόσω μόνον λέγομεν, καὶ πρόσσω, ὡς πρόσω δὲ, οἱ καὶ πρόσθεν, ὡς πρόσθεν.

Προβλής, παρὰ τὸ ἐλάσσω προσκρούω, ἐκ τοῦ ὑπερρίψαι πρὸς χαμαί. Προβλῆτι, πρὸς τῷ ἐλατῷ ῥιφῆναι. Προβεβρωκότα, ἀνθρωπόμορφα, ὑπολελειμμένα ἐν φαγεδαίνῃ φαρμάκῳ ἐπικεκαυμένα. Προσβολή, ἐπιτυχία. Προβολή, ἐκπαίδευσις, ὀψεις. Προσοχή, ἀναβολή, ἐπιμέλεια διαίτης τῆς ἰδίας σώματος. ἐπιμελούμενος δεῖ ἔχειν ἐμμέτρως, οὔτε ὡς ἂν τις φιλόσοφος, οὔτε πρὸς καλλωπισμόν, οὔτε μὴν ὀλιγώρως. ἀλλ' ὥς τε διὰ τὴν ἰδίαν προσοχήν, εἰς ὄλιγα πάνυ ἰατρικῶν χρείαν φαρμάκων, καὶ ἐπιθεμάτων ἐνὸς καὶ ἰκτέρ. Προσοχθίσματα ἃ χρυσῷ καλεῖ, τὰ εἴδωλα. καὶ προσώχθισε, δυσηρέστησε, ἐβδελύξατο. Προσοχισμός, πρόσκρουσις, δυσαρέσκεια, πάθος γνώμης συμβαλλόμενα. Πρὸς ὄψιν, πρὸς θεωρίαν. Σοφοκλῆς.

Προσπαίζω τὴν ἀρχήν, σὺ τῷ κοινῷ. καὶ προσπαίζει αὐτοῖς. ἐπὶ μὲν ἐμψύχου αἰτιατικῇ, ἐπὶ δὲ ἀψύχου δοτικῇ. Πρόσπαιον, πρόσφατον, νέον. Προσπελάσαι, προσπελάζω, προσεγγίζω. Πρόσπαλτα, δῆμος τῆς ἀκαμαντίδος. Προσπερικλείω, προσπελάζω, προσπταίω, αἰτιατικῇ καὶ δοτικῇ. Ἀριστοφάνης, καὶ ταῦτα πρὸς τὸ μέτωπον, ὥσπερ κατὰ τὸ προσπαταλεύουσι πετρῶν. Προσπελάζω, προσεγγίζω. Προσπεριβάλλεσθαι, προσπεριλαμβάνεσθαι. Προσπταίειν, καὶ συμπταίειν διαφέρουσι. προσπταίειν, τὸ ἐξαίφνης μὴ εἰδότα λίαν ἀποπταίειν. συμπταίειν δὲ, τὸ ἀλλήλοις μάχεσθαι. καὶ προσπταίειν, ἀντὶ τοῦ προσκυνῆσαι εὕρηται. Προσπταίουσι, συμβῆ, ἀπέπαυσεν. Προσπεσόντων, ἀγγελθέντων. Προσπαταλευόντων, προσφέροντος, προσαράττοντος, ἀπὸ μεταφορᾶς τῶν ἐν ταῖς ναυσὶν ἥλων, ὅταν ἄνεμος πνέοντος χαλῶσιν οἱ οἴακες τὰ ἴδια διασπαθώμενοι. καὶ ἀναπεταννύουσι τὰς πύλας, παρ' Εὐριπίδῃ, ἀντὶ τοῦ διανοίγειν. Προσπεφυκότως ἀκριβῶς οὖν, ἀλλὰ διασωσάμενος, ἰσχυρῶς, ἀσφαλῶς. καὶ ἀκριβῆ προσπεφυκότως, ὁ οὐχ οἷον τε πρίασθαι διὰ τὴν σύγκρισιν. Προσπεφύρασαι, παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ ἐντέτριψαι. ἡ μεταφορὰ ἀπὸ τῶν τὰ ἄλευρα φυρώντων, εἰς τὰς μάζας ποιούντων. διαμάττων δὲ, διαπλάττων. Ἀριστοφάνης, προσπεφύρατα λόγος εἰς μοι. Προσπλήγματα, μέρος τι τῆς νεώς. Προσπίπτουσαι, συναντῶσαι.

Προσπιπτούσας, ἀντὶ τοῦ ἀγγελλομένας. Προσπίπτω, ὁ προσκυνῶ καὶ ἱκετεύω, ὁ παρατατικὸς προσέπιπτον. λέγεται καὶ τὸ ὑποτάσσεσθαι. λέγεται καὶ τὸ προσβάλλειν, ἐπὶ τοῦ ἀκτῖνος τοῦ ἡλίου. Προσπλάζει, προσπελάζει. Προσπλάσω, τύψω. Προσποιοῦμαι, σχηματίζομαι, ὑποκρίνομαι, παράγομαι. Προσποιοῦμαι, τὸ ὑποκρίνομαι. καὶ προσποίησις ἐπὶ τῆς αὐτῆς σημασίας. ἐστὶν ὅτε καὶ τὸ οἰκειοῦμαι εὕρηται. Σωκράτης ἐν τῷ Φαίδωνι. οὐ γὰρ ἑαυτὸν συκοφάντης θεὸς εἶναι. καὶ προσποιοῦμαι, τὸ ἐπαγγέλλομαι. καὶ προσποίησις, ἡ ἐπαγγελία. προσποιοῦμαι, καὶ τὸ οἰκειοῦμαι, οἱονεὶ τὸ πρὸς ἐμαυτὸν ποιοῦμαι. ὅθεν καὶ προσποίησις, ἡ οἰκείωσις. προσποιῶ, τὸ ὑποτάττω. Ἡρόδοτος, καὶ τὴν πόλιν Θηβαίοις προσποιοῦσαι.

Πρόσπολος, ὁ δοῦλος. ἀμφίπολος, ἡ δούλη. Προσπορευομένων, προσερχομένων. Προσπταιθεῖν, ἐπισταθεῖν, προσφθεῖν. Προσπταίειν λέγεται, δὶς κατὰ μέρος, ἢ ποσίν, ἢ χερσίν. Πρόσπταισμα, πρόσκομμα. Προσπταίω, προσκρούω, ἁμαρτάνω. ἐπὶ θείων καὶ ἀνθρώπων λέγεται ἐξαμαρτάνω. ἐξαμαρτάνω, ἐπὶ θεοῦ, δυστυχῶ, καὶ προσπταίω περὶ δῆμον. Προσπτύξαι, ἐνεχυριάζων, ἐφιλοφρονήσω δὶς λέγεις. Προσπτύσσομαι, ὑποβάλλω, παραμυθοῦμαι. Προσπτύσσεσθαι μύθῳ, τὸ λόγοις συμπλέκεσθαι, ἀπὸ μεταφορᾶς τῶν πλεκομένων σωμάτων, οἷς πλάζοντα εἰσὶν ἀλλήλοις τὰ μέσα. ἴσως δὲ καὶ κλεινὸν ἐπὶ τὸ διδακτικὸν αἰνίττεται τὸ προσπτύσσεσθαι. οὕτω γὰρ καὶ ἔχειν πτυσσόμενα ἐν Ἰλιάδι ἔφη ὁ ποιητής. οἱ δὲ μεθ' Ὅμηρον, ἐπὶ φιλήματος, ἢ συμπλοκῆς περιπλοκῆς ἐκδέχονται τὸ προσπτύσσεσθαι.

Προσπτύσσετο, ἐλιπάρει, παρεκάλει, παρ' Ἀπολλωνίῳ.

Προσπτύξομαι τὸν ξεῖνον, παρ' Ὁμήρῳ, ἀντὶ τοῦ προσείπω. διὸ καὶ ἐπάγει ἐν Ὀδυσσείας γ, πρὸς ἑρμηνείαν, τὸ ἠδ' ἐρέομαι.

Προσπτύξασθαι, περιλαβεῖν. Προσραίνουσι, προσβάλλουσι, προσέρχονται. Προσρῆξαι, προσράξαι. Προσρήσθαι, προσαγορεύσας. καὶ πρόσρησις, προσαγορεία, λόγος κατ' ἐπαγγελίαν λεγόμενος. Πρόρριζα, σὺν ταῖς ῥίζαις. Προσραπιζόμενον τοῖς κύμασι, περιρρεόμενον, κυματιζόμενον. Προσρυέντων, προσελθόντων. Πρὸς σοῦ λαμβάνω τόδε, ἀντὶ τοῦ παρὰ σοῦ ἀπαιτῶ. Περὶ τῶν προστακτικῶν. Προστακτικοῖς, ἀντὶ ὑποτακτικῶν ἀπαγορευτικῶν, καὶ αὖ δὶς προστακτικοῖς ἀντὶ ὑποτακτικῶν οἱ ἀττικοὶ χρῶνται. οἷον Ἀριστοφάνης, μὴ ψεῦδος ᾖ ἐμοῦ τῆς ἐπιούσης ἐλπίδος. τοῦ δευτέρου δὲ Μένανδρος, οἶδ' ὅτι ποίησον, ἀντὶ τοῦ ποιήσεις. καὶ Εὐριπίδης ἐν τῷ πολυΐδῳ δράματι, οἶσθ' οὖν ὃ δρᾶσον, ἀντὶ τοῦ δράσεις. Προστακτικά, ἐνεργητικὰ τῶν βαρυτόνων καὶ περισπωμένων ῥημάτων γίνονται, ἀπὸ τοῦ τρίτου προσώπου τοῦ παρατατικοῦ, ἀποβολῇ τῆς συλλαβικῆς ἢ χρονικῆς αὐξήσεως, οἷον ἔτυπτε τύπτε τυπτέτω, ᾖδε ᾆδε ᾀδέτω, ἐποίει ποίει ποιείτω, ἐβόα βόα βοάτω, ἐχρύσου χρύσου χρυσούτω. τὰ δὲ παθητικὰ ἐκ τοῦ δευτέρου γίνονται. οἷον ἐτυπτόμην ἐτύπτου τύπτου τυπτέσθω, ᾀδόμην ᾖδου ᾄδου ᾀδέσθω, ἐποιούμην ἐποιοῦ ποιοῦ ποιείσθω, ἐβοώμην ἐβοῶ βοῶ βοάσθω, ἐχρυσούμην ἐχρυσοῦ χρυσοῦ χρυσούσθω. τὰ δὲ προστακτικὰ ἐνεργητικά, τῶν εἰς μι ῥημάτων γίνονται, ἀπὸ τῆς γενικῆς τῆς μετοχῆς, τροπῇ τῆς τελευταίας εἰς ΘΙ, καὶ ἐκβολῇ τοῦ ν, οἷον τιθεὶς τιθέντος τίθετι, θεὶς θέντος θέτι ἢ θές, ἱστὰς ἱστάντος ἵσταθι, στὰς στάντος στάθι ἢ στῆθι, τροπῇ τοῦ α εἰς η. διδοὺς διδόντος δίδοθι, δοὺς δόντος δόθι ἢ δός. καὶ ἀεὶ ἔχουσι παραλήγουσαν τοῦ πρώτου προσώπου τῶν πληθυντικῶν, οἷον τίθεμεν τίθετι, ἵσταμεν ἵσταθι, δίδομεν δίδοθι, ὁμοίως ζεύγνυθι. τὰ δὲ παθητικὰ γίνονται ἀπὸ τοῦ δευτέρου προσώπου τοῦ παρατατικοῦ, οἷον ἐτιθέμην ἐτίθεσο, τὸ προστακτικὸν τίθεσο, ἱέμην ἵεσο, ἵεσο καὶ ἱέσθω, ἱστάμην ἵστασο, ἵστασο καὶ ἱστάσθω. τὸ ὡσαύτως τὸ παθητικὸν τῶν τὸ ῥῆμα οὐκ ἔχει, ἐδιδόμην ἐδίδοσο δίδοσο διδόσθω, ἐδόμην ἔδοσο δόσο καὶ δοῦ δόσθω, ἐζευγνύμην ἐζεύγνυσο ζεύγνυσο ζευγνύσθω. τὰ δὲ ἄλλα, δῆλα παρὰ τοῖς γραμματικοῖς. Πρόσταμα, κοιτών. Πρὸς τάραλι αὐλήν, πρὸς ταύτην τὴν αὐλήν. Πρόσταξις. πρόσταξίς ἐστιν, ὅταν ἐξ ἑκατέρου τῶν μερῶν τῆς τάξεως, ἢ ἐκ θατέρου, κατὰ τὰ κέρας αὐτὸ προστεθῇ τὸ εἶδος τῇ πάσῃ φάλαγγι, κατὰ θάτερον τὸ μετώπου τῆς τάξεως. Προστασία, βοήθεια. ὁ δὲ Ἰξίων κατὰ τοῦ πόλιον μετὰ μεγάλης προστασίας, δυνάμεως, ἐξουσίας. καὶ αὖθις, καὶ τὸ ἴδιον

Προσίασι, τὸ προσέρχονται, δωρικῶς συντάσσεται μετὰ τῶν προ, λέγομεν οὖν προϊᾶσι. μετὰ δὲ τὸ προ, προϊᾶσιν, οἱ προϊόντες. Προσίω, ἐγγίζω. Προσίεμεν, προσδεχόμεθα.

Προσίεμαι, ὁ μέλλων προσήσομαι, ὁ ἀόριστος προσηκάμην, ὁ δεύτερος ἀόριστος προσκαλῶν πρόσω, τὸ ἐνεστὼς προσίεμαι, τὸ ἀπαρέμφατον προσίεσθαι, ἡ μετοχὴ προσιέμενος. ὅθεν καὶ τὸ προσίεμαι, τὸ ἀποδέχομαι. Προσίζανε, προσκάθηται. Πρὸς ἱεροῖς ἱκέτευε, ἀττικοὶ λέγουσιν, οὐ πρὸς ἱερά. Προσίεσθαι, ἐφέλκεσθαι, προσφέρεσθαι. Προσίεσθαι, αἰτιατικῇ, ἀρέσκεται, προσδέχεται, ἡδέως λαμβάνει. Ἀριστοφάνης, τὰ μὲν ἄλλα με ἤρεσκε τῶν πραγμάτων. ἓν δ' οὐ προσίεταί με, ἀντὶ τοῦ οὐ πείθει με, ὅτι μόνος τὸν ζωμὸν ἐκροφήσας. [illegible]

ἀντὶ τοῦ ὑπὲρ ἐμοῦ. Πρὸς ἐμοῦ ἐστι, οἰκεῖός μοι, ἐγγύς μου, φίλος μοι, πρὸς ἐμοί. Προσεμπιδόωντες, ἐπιβιβάζοντες. Προσεμπρῆσαι, ἐμπρῆσαι. Προσεννέπει, προσαγορεύει. Πρόσεξις ἐστὶ, συντονία ψυχῆς πρὸς τὸ καταμαθεῖν. Προσέξεται, ἀντὶ τοῦ προσκολληθήσεται. προσέξονται ταῖς κατόλαις αἱ πέτραι. Πρὸς ἐπαλξεσιν, πρὸς βοηθείαν. Προσεπέλασε, προσεγγίσε. Προσεπεμβαίνει, ἐπιβαίνει, ἐπιτωθάζει, ἐπιγελᾷ. Προσέπταισαν, προσέκρουσαν. Προσέπτυον τοῦ δεῖνι ἐχθρὸς, μὴ κοινώσει.

Προσέπταισε, προσέπταισε. Πλεονασμῷ τοῦ σ ἀντὶ τοῦ ζ λέγεται. Προσεπιμετρεῖν, πλείω τοῦ μεμετρημένου διδόναι. προσεπιμετρεῖν ἀεὶ τῷ δεομένῳ, πρὸς τὸ παρὰ πάντων ὁμολογούμενον· γινώσκειν τὴν ἐπὶ τοῖς χάριν. Προσεπιτριπλασιάσαντες, διπλασιάσαντες. διδοὺς μὲν πολλαπλασιάσαντες τὰ προτέρημα. καὶ προσεπιτριπλασιάσαντες κατεπλήξαντο τοὺς ἐπὶ τῆς [illegible]. Προσεπλάσεν, ἐπλάσατο. Προσεπτίσθη. ὁ δὲ ὀργισθεὶς ἀντιταθείς, οὐ μὴν προσεπτίσθη κατὰ τὸν καιρὸν, ἀντὶ τοῦ ἐφανέρωσεν, ἐνεδείξατο. Προσεπτοήσαντο, ἀντὶ τοῦ ἀνεπτοήσαντο. Προσεπτίσσω, προσεκαλέσω. Προσερράχεται, τεθαμμένοις ἔσται. Προσερεύγεται, ἐρεύγεται. Προσερέσσομαι, ἐρωτήσω. Προσερίσαμεν, προσεβάλομεν. Ἀριστοφάνης.

Προσερρήγνυ, προσερρήγνυτο. Προσεῖλει, προσείρξασι.

Πρόσεσιν, καὶ πρόσεισι, ἀπὸ τοῦ εἶμι τὸ σημαίνει ἀπέρχεσθαι, ὡς τὸ θέλω καὶ ἀπλῶς ἐν τοῖς τοῦ τίθημι ἀκολουθοῦν ἀναλόγως κατ' οὐσίας, καὶ πάντα ἀπὸ τοῦ εἶμι. Πρόσεστιν, ἀντὶ τοῦ ἐστι ἀλλοις ἃ ἔχω, ἔστι μοι καὶ ἄλλοτε. Πρόσεστιν, ἀντὶ τοῦ πρὸς τοῖς ἑτέροις, καὶ ἄλλοις ἐνυπάρχουσι λεῖται, πρόσεισιν δὲ ἀντὶ τοῦ ἐπελθεῖν ἔστι. Προσέσχεν, ἡ ναῦς τῷ λιμένι, ἀντὶ τοῦ προσωρμίσθη, οἷον προσχὼν, ἀπὸ τοῦ τῆς νεὼς, καὶ οἱ ναῦς εἰς αἰγιαλὸν ἔχουσιν, ἀντὶ τοῦ προσωρμίσαντο. Προσέσχεν, ἐξώκειλε. Προσέσχε, κατῆρεν, ἐπεστάθησαν. Προσεσχες, ἐγγὺς. ἐπὶ τῶν τῆς πόλεως ὅρμων οὐκ ἐδυνήθη. διὸ τὸ προσχεῖς, [illegible] αὐτὰς τοῖς ἐπεσιούσας. ἀλίμενος γὰρ ἦν, καὶ προσεχὴς, ὁ ἐστὶν αἰγιαλός. Προσεταιρισάμενος, ἑταίρους προσλαβόμενος. Προσεπίλασε, προσεγγάσειεν. Ἀριστοφάνης, εἰκὼς [illegible] προσεπίλασε χύτραν, ὡς ἐπὶ κοιλίας. Προσετρίψατο, ἐπέβαλε, κατέχει. καὶ βίῳ τῷ ἀνθρώπων κηλῖδα προσετρίψατο. Πρὸς εὐθείαν, πρὸς ὀρθότητα. Προσευχὴ, συνουσία, καὶ ἱκεσία θεοῦ καὶ ἀνθρώπων, ἡ αἴτησις ἀγαθῶν, μεθ' ἱκετηρίας προσαγομένη τῷ θεῷ. ἡ τῆς πρὸς τὰ ἐσόμενα κακὰ τοῦ πεπειρακότος μετὰ πόνου αἴτησις, ἢ ἀρετῆς ἐπαγγελία. ὁ μάλιστα χαίρων θεὸς ἀντιδίδωσιν. ἡ προσευχὴ ἔστιν ὁμιλία νοῦ πρὸς θεὸν, ἡ κατάστασις νοῦ φθαρτικὴ παντὸς ἐπιγείου νοήματος, ἡ αἴτησις ἀγαθοῖς πρὸς τῶν εὐσεβῶν εἰς θεὸν γινομένη, ἢ αἴτησις ὧν πέφυκεν ὁ θεὸς ἀνθρώποις δωρεῖσθαι πρὸς σωτηρίαν. ἡ προσευχὴ, ὅτι τὸ ὄφλημα τοῦ θεοῦ [illegible], αἰτῶ τι παρὰ τοῦ θεοῦ, τότε προσεύχομαι.

Προσεωχολιῶν, ἐπιεικῶς βλέπων. Προσέφη, προσεῖπεν. Προσέφυ, προσεγένετο. Προσέφυσας, προσηρμόσας. Ἀριστοφάνης, οὐ προσέφυσας, ἔχων οὐδὲν καινὸς προσηρμόσας. Προσέχω σοι τὸν νοῦν καλλίστῳ, ἢ προσέχω σοι μόνον. Ἀριστοφάνης, πρόσεχε τὸν νοῦν, ἵνα πάθοι. Προσέχειν, τὸ προσκεῖσθαι. Προσέχεται, ἡ προσοχή. Προσέχειν, ἐπιμελῶς τηρεῖν. Προσέχω τοῖς πράγμασιν, ἀντὶ τοῦ προσορμῶμαι. καὶ προσέχω, ἀντὶ προσάγω, ἐπὶ τοῦ νοῦ, ὡς ἐπὶ τὸ πλοῖον λεγόμενον, οἷον προσέχω τὸν νοῦν τοῖς λεγομένοις. Προσεψία, προσαγόρευσις, καὶ ἡ πρὸς τινα ὁμιλία. Πρὸς ἕω, πρὸς ἀνατολήν. Προσηγάγον, ἀντὶ τοῦ περιεπλεῖξω, παρὰ τοῦ [illegible] ἀβιος. Προσηβάθησαν, ἐκοφθυναμάτων. Προσηγγελμένας, ὅτι ἤδη ἀγγελθείσας. ὅτι προσαγγελθέντες ἐπαρθόντες, εὐθὺ προεργάζεσθαι εἴασε μετὰ ταῦτα τοῦ βου-

θεῖν σφίσι κατὰ δύναμιν. Προσηγλάιζε, ἐλαμπρύνετο.

Προσήγορος, ὅπου θνητῶν φαινόμαι μηδενὸς προσήγορος. Προσηγορία, φίλη προσλαλιά. καὶ προσαγορία, ἡ καὶ ὀνομασία. Προσήγορος, προσκυνητής. Πρὸς ἥδονὴν λέγει τάδε, ἀντὶ τοῦ λέγω πάντας τοὺς λόγους πρὸς τέρψιν ἀποβλέποντας. Προσῆκον τῷ δεῖνι, ἀντὶ τοῦ πλησίον αὐτοῦ ἐστηρίχθην. Προσήκειν, προσεῖναι. Προσῆκεν, προσελάβετο, προσεδέξατο, ἀπὸ τοῦ ἵημι. ὁ μετὰ τῆς πρὸς, προσίημι γίνεται, καὶ σημαίνει τὸ προσλαμβάνω. μετὰ δὲ τῆς πρὸ, τὸ προδίδω, ὡς τὸ προήκαμεν τὴν ψυχήν μου. ἀόριστος προσῆκα, ὁ μέσος προσηκάμην, τὸ τρίτον προσῆκεν. Προσῆκεν τόδε, ἀντὶ τοῦ ἐδέξατο, καὶ προσελάβετο. Προσήκει, ἀντὶ τοῦ πρέπει, καὶ ἁρμόζει. οἷον προσήκει μοι τόδε, καὶ προσήκει μοι τοῦδε, ἀντὶ τοῦ μέτεστί μοι τοῦδε, καὶ μετέχω. παρὰ δὲ τοῖς ποιηταῖς λαμβανόμενον ἀντὶ τοῦ ἥκω, ὥσπερ ἵκει, ἀντὶ τοῦ ἥκει. Ἀριστοφάνης, σὺ δὲ προσήκεις τὴν ἐμαυτοῦ πόλιν μοι εὐεργετεῖν. προσήκειν λέγεται, ἐπὶ τῶν συγγενῶν. Προσήκοντες, οἱ συγγενεῖς. Προσήλια, τὰ πρὸς ἀνατολήν. Προσήλυτος, ὁ ἀπὸ ξένης ἐλθὼν, καὶ πρόξενος λέγεται, καὶ πάροικος, καὶ ἀλλοεθνής.

Προσήλυτοι, οἱ ἐξ ἐθνῶν προσεληλυθότες, καὶ κατὰ τοὺς θείους πολιτευόμενοι νόμους. Δαβὶδ, καὶ προσήλυτον ἐφόνευσαν. Προσήλωσαν, προσέπηξαν, ἐπέθεσαν, ἐσταύρωσαν. Προσήλωται, ἀνεσταύρωται. Προσήμιλα πατρώας ἀλλίσας, ἐπὶ τοῦ ἀφροντίστου, ἢ προσποιουμένου, ἐπὶ τῶν ἀλιτηρίων. Προσημολόγησε, προσέλαβεν. Πρὸς ἡμῶν, ὑπὲρ ἡμῶν. Προσηναντες, βλάψαντες. Προσηνὴς, καλὸν, ἁπλοῦ, ἐπιεικὲς, ἀγαθὸν, πρᾶον, χρηστόν. Προσήνιον, ὑψηλὸν, τίμιον. Προσηνὴς, προσφιλής. Προσηρμοκυῖας, προσηρμοσμένους. ὁ δὲ κατεσκεύασε νεὰς, καὶ διὰ τούτων προσηρμοσμένας τῷ τείχει, τὰς ἱεροφόρους μηχανάς. Προσῆρσε, προσέθεσε. Προσηρτημένος, προσκεκολλημένος. Προσηρτῆσθαι, ἀπαιωρεῖσθαι. Προσῆσθαι, ἀρεσθῆναι, δέξασθαι. Προσηταιρίσατο, φιλικῶς ἐποίησεν, οὐκ ὀλίγους τε ἀπὸ τούτων προσηταιρίσατο. Προσήχειν, ἀντὶ τοῦ προσάγειν. Πρὸς θείων, τοῦτ' ἐστὶ τῶν ἐκ τῶν θεῶν, τῆς προθέσεως κειμένης ἀντὶ ἑτέρας προθέσεως, ὃ μυριαχοῦ γίνεται. Πρόσθεται, προσεγγίζει. Προσθέλει, προσεῖπε, προσκαλεῖ. Προσθύρων, προσέτυχε, προσαγαλλίατο. Πρὸς ἠῶ, πρὸς ἀνατολήν. Πρόσθε, κεῖται παρὰ τῷ Ἀπολλωνίῳ, ἀντὶ τοῦ πρότερον. Προσθεῖναι τὰς θύρας, ἀντὶ τοῦ ἀποκλεῖσαι. ἢ τὸ παρακλῖναι τῷ ἐπομένῳ ἀπὸ κέρως, ἐπεὶ τὴν κορωνὶ φασι. Προθεὶς, προθήκην λαβών.

Προθέματα, τὰ προοίμια. Προθέλυμνον, ὁ προθέλυμνον, ὃ ἐστι πρόρριζον. φαίνεται δὲ καὶ Ἀριστοφάνης, καὶ ἄλλοι πολλοὶ τὸ προθέλυμνον, ἀντὶ τοῦ πρόρριζον ἀκούειν. καὶ παρ' Ὁμήρῳ. πολλὰ δ' ἔγω προθέλυμνα. Ἀρίσταρχος δὲ, ὁ στιχικὸς, καὶ ἄλλο ἐπ' ἄλλῳ δεδομένοι φασὶ, φράξαντες δόρυ δουρὶ, καὶ σάκος σάκει προθελύμνῳ, καὶ σάκος ἦν τετραθέλυμνον, τουτέστι τὸ ἐπάρας ἐπ' ἀλλήλων ἔχον πτύχας. Πρόθεμα, ἡ προθήκη.

Πρόθεμα καὶ προθέματα, ἐπὶ τῶν εἰδώλων, παρὰ τὸ ἀλλήλοις ἐν ταῖς συνουσίαις προτίθεσθαι, ἢ διὰ τὸ ἐπὶ τὰ ἔμπροσθεν μέρη εἶναι. Πρόθεν ἵσταμαι, ὅμοιον ἐστὶ τῷ προΐσταμαι. δῆλον γὰρ ὡς ὁ πρόσθεν τινὸς ἱστάμενος, προΐσταται ἐκείνου. Πρὸς θεὸν, παρὰ τὸ ἱερὸν, ἐπὶ τὸ μέσον. Προθέοντα, ἔμπροσθεν τρέχοντα. Πρὸς θεοῦ, τὴν τύχην. ἀττικοὶ δὲ χάριτι θεοῦ φασιν εἶναι.

Προθέσθαι, συμπεπληρῶσθαι. Προθέσεως, διατριβῶσεως.

Προθέλεια, προτέλεια. Προθέλξω, ἀφελεῖν τὰς ἐκ τοῦ στήθους τρίχας. Πρόθ' ἵσταμαι, προΐσταμαι, ἐκδίδωμι, ὑπερμαχῶ. Πρὸς θυμοῦ αὐτοῖς ἐγένετο, ἀντὶ τοῦ ἀρεστὸν, καὶ θυμήρες. καὶ αὖθις, τοῖς δὲ οὐ πρὸς θυμοῦ ὁ πόλεμος ἐγένετο.

καταλιπαρήσωμεν καὶ ζημιωθῶμεν, ἀντὶ τοῦ προσβλισσόμεθα.

Προσβοηθοῦμεν, βοηθοῦμεν. Προσβορρῶ, πρὸς αἶς ἔχεις, ἐν λόγοις. Προσβάθην. δοτικόν, ἐμοὶ προσβάθην, ἐμοὶ κατώτερον. ἀπὸ τοῦ προσβεῦσαι, τὸ καινοῦ. Προσβιαζόμενος, ἐπιτηδεύοντος, ἀγωνιζόμενος. Προσβιασάμενος, ἀναγκάσας, καὶ ἐπαγείρας. Προσβιαζόμενος, ἀπολῶν. τὰ μὲν παρακαλῶν, τὰ δὲ προσβιαζόμενος. Προσβολάδεις, ὀργισθεὶς, ἐπερεισθείς. Προσβλέποντες, προσέχων, προσκεκολλημένος. Πρὸς ἀνίσχοντα ἥλιον, ἀνατέλλοντα. Πρόσθεν, λοχῶν, καὶ ἐναντίον. Πρόσθεν, τὸ δύσκολον, τὸ πρὸς ἐσάμενον τῇ γνώμῃ, ἀπὸ μεταφορᾶς τῶν ἐν ὄρθει πρὸς ἐσαμένων, καὶ ἀνταλαιόντων. Προσθεῖν, προσθήσειν. ἀπὸ γὰρ τὸ αὔξειν, καὶ αὐτὸν τὴν αὔξησιν. Προσδιαλῶν, προσλαλεῖν, προσαγορεύειν, προσδιαλέγεσθαι, προσομιλεῖν. Προσεπιλαμ, λιμῶσαι.

Προσεμβαλεῖς παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ ζημιώσεις αὐτοὺς, ὡς τὸ προσεμβαλεῖς αὐτὰ πρὸς ταῖς δώδεκα. Προσεπάλη, προσεπλάσθη, συνεπάγη. Πρὸς ἄρκτον, πρὸς μεσημβρίαν. Προσεῦξαι, προσάγου. Πρὸς αὔριον, εἰς αὔριον.

Προσεφορῶ, προσευχῶν. Προσεφωνεῖτο, προσφωνεῖτο.

Πρὸς ἀφοσίωσιν, πρὸς λιμῶν. Προσέψαο, συνάψαο.

Προσερρασμένα, προσερρηγμένα, προσκρουόμενα. Προσεσωπωμένος, ἀντὶ τοῦ προσωπικῶν. ὁ δὲ παρεκάλεσεν αὐτὸν, καὶ ὁ προσεσωπωμένος πιστὸν. Πρὸς κιβῶ, ἀντὶ τοῦ κύριον αὐτοῦ. Προσέβαλλεν, ὃ προσεφέρθη, καὶ συνέρρεεν ἐπὶ μάχης. ὅπερ συμβάλλειν κυρίως λέγεται, δοκεῖ συνεπιδοῦναι. καὶ προσβάλλει τὸ κῦμα τῇ νηΐ, προσβάλλων πόλει, καὶ προσβάλλει τάφρον, προσβαλὼν, προσελθών. Προσβαίνει, ἐγγίζει. Προσβάλλει τὸ κῦμα τῇ νηΐ, καὶ προσβάλλει ὁ ἄνεμος τῷ λίθῳ. προσβάλλει καὶ τὸ προσρήγνυται, ἢ συμπίπτει πορίως ἐπὶ πολέμου. ὃ καὶ συμβάλλει κυρίως λέγεσθαι, ὡς ἡ παρὰ Ξενοφῶντι. καὶ προσβάλλοντα περὶ δείλην ὀψίαν, μέχρι τῆς ἑσπέρας ἐμάχοντο. Πρὸς βίαν, ἀντὶ τοῦ βιαίως, καὶ ἀντὶ τοῦ μετὰ βίας. ὥσπερ πρὸς λύραν ᾄδει, ἀντὶ τοῦ μετὰ λύρας. πρὸς ὀργὴν δὲ διαλέγεσθαι, ἀντὶ τοῦ διὰ τὸ λαβεῖν ὀργήν.

Προσβολὰς, ὁρμάς. προσβολὴ ἐστιν, ἀπὸ λόγου κίνημα κατ' ἰδίαν. ἔστι δὲ εἰκόνων λογισμῶν, ἐκεῖ συγκατάθεσις γίνεται. κίνημα γάρ ἐστιν ἀπόλυτον, ἀναίτιος προσβολή. προσβολὴ τὸ ἐστιν ἡ μονολόγιστος ἐμφάνεια πράγματος κινουμένου.

Προσβλέπω, καλλωπίζω. Προσβολοχεῖ, προχαίρει, λέγε.

Πρόσγειον, τὸ πρὸς γῆν. Πρόσγειος, ὁ ταπεινὸς, ὃ ὁ περὶ τὰ γήινα ἀσχολούμενος. Προσγελῶ αὐτῷ, οὐκ αὐτὸν, ἀτιμάζει.

Προσγράφω, προσκρίνει. Προσδεῖται, καὶ ἐνδεῖται διαφέρει. τὸ μὲν γὰρ δηλοῖ ὀλίγου ἐνδεῖν κτῆσιν. τὸ δὲ, παντελῶς ἀπείρως τὸ ὅλον δηλοῖ. Προσδίζεσθαι. προσδίζεσθαι δὲ τὸ διαρρήγνυσθαι πρὸς τὰς πλευρὰς τῶν πολεμίων, ἀντὶ τοῦ σύνεγγυς.

Προσδέχομαι, τὸ προσιέμενος δέχομαι, καὶ τὸ ἐλπίζω δέξεσθαι ἀσπασίως ἐρχόμενον. καὶ προσδεχόμενοι, ὁμοίως προσδοκῶντο. Προσδέδεμαι, αἰτιαλοῖ. Διαφέρει προσδοκία, ἐλπίδος. ἐλπὶς μὲν γάρ ἐστι, προσδοκία ἀγαθῶν. καὶ ὁ φοβούμενος προσδοκᾷ, ἀλλ' οὐ προσδοκᾷ ἀγαθά. κακῶν δὲ προσδοκία ἐστὶν ὁ φόβος, ἀγαθῶν δὲ ἡ ἐλπίς. ἐπεὶ οὖν οὐχ ὑφεστώτων πραγμάτων οἱ ἀσεβεῖς προσδοκῶσιν, ἀπόλλυται αὐτῶν ἡ ἐλπὶς, ὡς μόνοις τοῖς ὁσίοις χρῶνται. Προσδοῖται, προσδόκει. Προσδιαψεῦσαι, ψεῦσαι. Προσδιορισμὸς, πρόσρημα σημαῖνον ἐπὶ ποσὸν ὑπάρχει τὸ κατηγορούμενον τοῦ ὑποκειμένου. καὶ ὁ μὲν προσδιορισμὸς τὸ ποσὸν σημαίνει. ὁ δὲ τρόπος, τὸ ποιὸν, ὃ ποιόν. οἷον πᾶς ἄνθρωπος, τὶς ἄνθρωπος. ὃ ταχέως βαδίζει, ἢ οὐ βαδίζει. Πρὸς Διὸς, παρὰ τοῦ Διός.

Παραδῦσι, πλουσιώτερον συντρέχω. Παραείδειν, ὑφεῖσιν ἐν ἔχει πρὸς τὸ ἀείδειν. καὶ δηλοῖ τὸ ἐγγὺς, ὅτι χωλὸν, ἐν ὀδυσσείᾳ χ. ἔοικα δέ τοι παραείδειν, ὥς τε θεῷ ἐργάται τοῖς θεοῖς ἀνθρώποις ἀείδειν. ἵνα λέγῃ, ὅτι νῦν οὐχ ὡς ἀνθρώπῳ σοι παραείδειν, ἀλλ' ὡς θεῷ. αὐτὸς δὲ τοῖς θεοῖς καὶ ἀνθρώποις ἀείδειν, πρὸς ἕνα ὁμοιότατον εἶναι τὸν, κήρυκες Διὸς ἄγγελοι καὶ ἀνδρῶν. Παραζηλοῦ, παροξύνου, παροξύνου. Παραζηλῶν, αἰτιᾶσθαι, παροξύνων, ζηλοτυπῶν, παροτρύνων. Παραζωνὶς, μικρὰ μάχαιρα. Παραθαλάσσιος, παραθαλάττιος. Παράθεμα, ἐπίθεμα. Παραθέντες, ἐκβαλόντες.

Παραθέω, ἀντὶ τοῦ ἐγγύτατα τρέχω, καὶ ἀντὶ τοῦ ὑπερτρέχω. Παραθήγων, παροξύνων, ἀκονῶν. Παραθήξεται, παρακονηθήσεται. Παραθήκη λέγεται, καὶ παρακαταθήκη. καὶ παρατίθεσθαι, καὶ παρακατατίθεσθαι. οὕτω γὰρ οἱ ἀρχαῖοι λέγουσι.

Παρὰ θῖνα, παρὰ τὸν αἰγιαλόν. Παρὰ θῖνα, παρ' Ὁμήρῳ, ἢ παρὰ τὸ πλησίον δηλοῖ. Παράθυμος, παρὰ τὸ προσῆκον ἐργαζόμενος. Παραθέσεις, σημαίνει παραθέσεις καὶ ἡ παραγγελία παρὰ τοῖς παλαιοῖς. φασὶ γὰρ ἔλαβον παράθεσιν.

Παραιθυσσόμενοι, παρεξελθόντες εἰς ἑτέραν θυρίαν. Παραθυρίας, παραθυρωμένας. Παράθυρον, θύρα ἐν ταῖς παραθυρίσι. Παραθραύοντες, ταλαιπωροῦντες, ἀδικοῦντες.

Παραθρέψαι, κατάλυε. Παραθύρας, παραιτίσας, τὸ στρουθίον πρὸς τῷ βίῳ τῶν ἀνθρώπων, ἀπολλύμενος. Παρ' αἰγείρου θέα, Κρατῖνος φησὶν, ὅτι πλησίον αἴγειρος ἦν τῆς θέας. αἴγειρος δὲ ἐστὶ φυτοῦ εἶδος ἐγγὺς τοῦ ἱεροῦ. ἕως οὖν τούτου τοῦ φυτοῦ ἐξέτεινον, καὶ κατεσκεύαζον τὰ ἴκρια, ἃ δὴ ὀρθὰ ξύλα ἔχοντα σανίδας προσδεδεμένας, οἷον βαθμούς, ἐφ' αἷς ἐκαθέζοντο πρὸ τοῦ κατασκευασθῆναι τὸ θέατρον. Παραιθήματα, τὰ ἀπὸ τοῦ μιασμοῦ δεόντων, παρὰ τὸ θῦμα, ἤγουν ἐπὶ τὴν πορνείαν.

Παραινέω. αἰτιᾶσθαι, ζυγοῦ ἀπὸ τῶν ὁπλιτῶν τάξεις. Παραίθως, ἥσυχος παραθέων. Παραίνεσις, συμβουλὴ, νουθεσία, ὑπομνήσεις. Παραίνεσις, ὀλίγον ἁμαρτίαν. Παραινῶ, τὸ συμβουλεύω. Ἀριστοφάνης, αἰσχύλον παραινῶ σιωπᾶν.

Παραινοῦμαι, παραιτοῦμαι. Παραιρῶ σοι, παρὰ τὸ σοί.

Παραιρέματα, παραρτήματα ἱματίων. Παραιρῶ, ἀφαιροῦμαι. Παραιροῦνται ὀστᾶ αὐτὰ, διαφθείρουσι σφόδρα αὐτῇ, οἱ μὲν ἐκ τῶν στεφάνων, οἱ δὲ ἐκ τῶν ἱματίων παραιρήματα ποιοῦντες, τουτέστιν ἀφαιρέματα, ἀπέχοντες. Παραιροῦ-

Ἀπολλωνίῳ, ἀντὶ τοῦ παραβάλλουσα τοῖς εἰρημένοις. οὐ γὰρ ἀκου σίον ἐστὶ ὅτι ἀπατᾷν. Παλαμήδης δὲ, ἐξ ἀντιβολῆς. ἡ παραλο γιστικῶς, καὶ ἐξ ἀποκρίσεως. Παραβλεψάμενος, συγκρίνας μιμος. Παραβλῶπες, παραβλῶπας, ἀπεστραμμένας ἔχοντα τὰς ὄψεις. Παραβλύσας, παραβαλὼν, ἀποπτύσας. Παραβολῆς. Παραβολὴ, παράθεσις ἐστὶν ὁμοιωματικὴ, ἐπὶ σαφηνείᾳ τῶν ὑποκειμένων. ἡ παραβολή ἐστι, παραπλησίων πραγμάτων παράθεσις, ἔχουσα ἀνταπόδοσιν τὴν ἀπὸ τοῦ προκειμένου διηγήματος. ἔστι παρὰ τῷ ποιητῇ ποικίλα τὰ εἴδη τῶν παραβολῶν. συνεχῶς δὲ καὶ πολυτρόπως παρατίθησι ταῖς ἀνθρώπων πράξεσι, καὶ χθονίοις, ζώων ἄλλων ἐνεργείας ἢ φύσεις. καὶ ἔστι μὲν ὅταν ἀπὸ τῶν ἐλαχίστων ποιῆται τὴν ὁμοίωσιν οὐ πρὸς τὸ μέγεθος τοῦ σώματος, ἀλλὰ πρὸς τὴν φύσιν ἑκάστου ἀφορῶν. ὅθεν τὴν μὲν ἰταμώτατα, ἀπείκασε μυίᾳ. οἷον καὶ οἱ μυρμηκες θάρσος ἐνὶ στήθεσσιν ἔθηκε. καὶ τὴν συνέχειαν αὖ τῶν [illegible] ἔθνεα πολλά. τὸν δὲ ἀθροισμὸν καὶ τὴν πολυπλήθειαν, μετὰ εὐταξίας μελίσσαις. ἠΰτε ἔθνεα εἶσι μελισσάων ἀδινάων. οὕτω δὲ καὶ τὴν ὀργὴν καὶ τὴν δίωξιν σφηξὶν ἐοικότες εἰνοδίοισι. καὶ ἔτι προθύμως, οὓς παῖδες ἐριδμαίνωσιν ἔθοντες, ἵνα μᾶλλον τὸ ἐκ φύσεως αὐτῶν θυμῶδες τὸ ἀπὸ τῶν παίδων ἐρεθισμοῦ ἐπιτείνῃ. ἐπὶ δὲ συνεχοῦς φωνῆς φασὶν, ἐσθλοὶ τεττίγεσσιν ἐοικότες. λαλίστατον γὰρ ζῶον, καὶ ἄπαυστον ἐν τούτῳ. τῶν δὲ ἀσυντάκτως φθεγγομένων φωναῖς πολυμιγέσιν, οὕτως εἴκασεν, ὥστε περὶ κλαγγῇ γεράνων πέλει οὐρανόθι πρό. τὰ δὲ εἰς τάξιν καθιστάμενα πλήθη, ὅσας καθημένοις ὄρνισιν ὁμοιοῖ, κλαγγηδὸν προκαθιζόντων. τὴν δὲ ὀξύτητα τῆς ὄψεως καὶ τῆς πράξεως, ποτὲ μὲν ἱέρακι παραβάλλει, ὥστε φασσοφόνῳ, ὅς τε ὤκιστος πετεηνῶν. ποτὲ δὲ ἀετῷ, ὅντε καὶ ὑψόθ᾽ ἐόντα πόδας ταχὺς οὐκ ἔλαθε πτώξ. παρίστησι γὰρ τὴν ὀξυδορκίαν ἐκ τοῦ πόρρωθεν ἰδεῖν. τὸ δὲ τάχος, ἐν τῷ ποδωκέστατον ζῶον ἐλαφῶν. τὸν δὲ ἐκπλαγέντα πρὸς ὄψιν πολεμίου, δράκοντος ὁρμήματι προσείκασεν, ὡς ἐλινύσας οὐδὲ ἀπὸ τῶν ἑρπετῶν παραδείγματα λαβεῖν. ὡς δὲ ὅτε τίς δράκοντα ἰδὼν παλίνορσος ἀπέστη. ἀπὸ δὲ τῶν ἄλλων ζώων, δειλίας μὲν ἐκ τοῦ λαγωοῦ λαμβάνει, καὶ ἀπὸ τῆς ἐλάφου ὁμοίως, τίφθ᾽ οὕτως ἔστητε τεθηπότες ἠΰτε νεβροί. κυνῶν δὲ, ὅτε μὲν ἀλκὴν, ὡς δ᾽ ὅτε κάπρον κύνες [illegible] [illegible]. ὅτε δὲ φιλότεκνον, ὡς δὲ κύων ἀμαλῇσι περὶ σκυλάκεσσι βιβῶσα. ὅτε δὲ προμηθίαν πρὸς τὸ φυλάσσειν. ὡς δὲ κύνες περὶ μῆλα δυσωρήσονται ἐν αὐλῇ. ἁρπακτὴν δὲ ἅμα [illegible] καὶ ἰταμῶς [illegible], λύκοις εἴκασεν, ὡς δὲ λύκοι ἄρνεσσιν ἐπέχραον, ἢ ἐρίφοισι. τὸ δὲ ἄλκιμον καὶ ἄτρεπτον, διά τε συῶν ἀγρίων καὶ παρδάλεων καὶ λεόντων ἔδειξε, μερίζων ἑκάστῳ τὸ πρὸς τὴν φύσιν οἰκεῖον, τῶν μὲν συῶν τὴν ὁρμὴν, ἣν ἔχει πρὸς μάχην ἀπνευστότατον [illegible]. ἰδομενεὺς δ᾽ ἄρ᾽ ἐνὶ προμάχοις συῒ εἴκελος ἀλκήν. τῶν δὲ παρδάλεων τὸ ἄπαυστον τῆς τόλμης, ἄλλα τε, καὶ περὶ δουρὶ πεπαρμένη οὐκ ἀπολήγει. λεόντων δὲ τὸ μὲν ὀργὴν μὲν, ὡς τέλος δὲ γενναῖον, οὐρῇ δὲ πλευράς τε καὶ ἰσχία ἀμφοτέρωθεν μαστίεται. πάλιν δὲ παραβάλλει ἵππον ἀνδρὸς γενναίου, ἵππῳ τροφῇ κεκορεσμένῳ. ὡς δὲ ὅτε τις στατὸς ἵππος ἀκοστήσας ἐπὶ φάτνῃ. καὶ τοὐναντίον βραδύτητα ὄνῳ παρέβαλε, ἄπλητον ἐν τῷ καρτερεῖν, οὕτως ὁ Αἴας. ὡς δ᾽ ὅτ᾽ ὄνος παρ᾽ ἄρουραν ἰὼν ἐβιήσατο παῖδας. χῆμα δὲ βασίλειον καὶ ὑπερέχον ἐνδείκνυσι, διὰ βοῦς. ἠΰτε βοῦς ἀγέληφι μέγ᾽ ἔξοχος ἔπλετο πάντων. οὐ κατέλιπε δὲ οὐδὲ τῶν θαλασσίων ζώων ὁμοιότητας, πολύποδος μὲν τὸ παράμονον καὶ δυσαπόσπαστον τῶν πετρῶν. ὡς δ᾽ ὅτε πουλύποδος θαλάμης ἐξελκομένοιο. δελφῖνος δὲ τὸ ἡγεμονικὸν, καὶ κρατιστεῦον τῶν ἄλλων. ὡς δ᾽ ὑπὸ δελφῖνος μεγακήτεος ἰχθύες ἄλλοι. πολλάκις δὲ τὰς ἀνθρώπων πραττόμενα, ἄλλας ὁμοίως πράξεσι παραβάλλει, ὥσπερ ἐν τούτῳ. οἱ δὲ ὥς τ᾽ ἀμητῆρες ἐναντίοι ἀλλήλοισι. τὴν ἐνστάσιν καὶ καρτερίαν δηλοῦν τῶν ἀνδρῶν. τῷ δ᾽ ἀγνοοῦ διαιρεῖται, ἐσοδίως μετὰ ἐναργοῦς ὁμοιώσεως. [illegible] καὶ γενναία. ἐπέλαμψε δὲ καὶ διὰ ποιλίοις παραβολὴν πρὸς ἀνθρωπίνας, ὡς ἐν τούτῳ. [illegible], ἀργαλέοι δὲ μέγ᾽ ἰαχε [illegible] τι κῦμα διὰ τῆς ἐφ᾽ ὑψηλῇ, ὅ, τι κινήσειε νότος ἐλθὼν προβλῆτι σκοπέλῳ, τὸν δ᾽ οὔποτε κύματα λείπει παντοίων ἀνέμων ὅταν ἔνθ᾽ ἢ ἔνθα γένωνται. ἐν οἷς δηλοῖ ὅτι καὶ ὑπερβολὴ καὶ συζεύξεως [illegible]. οὐ γὰρ ἤρκεσε κύματος ἠχῷ τὴν κραυγὴν ἀπεικάσαι, ἀλλὰ τῶν προφερομένων διὰ τῆς ἐφ᾽ ὑψηλῇ, ὅπου μετεωριζόμενον τὸ κῦμα, μείζονα ἦχον ἀποτελεῖ. καὶ οὐχ ἁπλῶς κῦμα, ἀλλὰ τὸ κινηθὲν ἀπὸ νότου οὗ μάλιστα ὑγρὰ κινοῦντος. καὶ ἐπὶ σκοπέλῳ προβλῆτι, τῷ ἀνατεταμένῳ εἰς τὸ πέλαγος, καὶ περικλυζομένῳ ὑπὸ παντός, ὃς καὶ ἀδιάλειπτον ἔχει τὸ κλυδώνιον, ὁπόθεν ἂν προσπνεύσωσιν οἱ ἄνεμοι πάντοθεν. Ἄλλως. Παραβολή ἐστι λόγος διὰ παραθέσεως ὁμοίου πράγματος, τὸ ὑποκείμενον μετ᾽ ἐμφάσεως παριστῶσα. ἡ δὲ ὁμοίων ἢ γινωσκομένων εἰς ὄψιν ἄγουσα τὸ νοούμενον, ὡς ἡ τοῦ κυρίου περὶ τοῦ ἀσώτου παραβολή. ἐν ᾗ δείκνυσι τὴν πολλὴν εὐσπλαγχνίαν τοῦ θεοῦ καὶ πατρὸς, καὶ τὴν περὶ τοῦ ἀγαθότατα καὶ φιλανθρωπίαν. γίνονται δὲ αἱ παραβολαὶ τετραχῶς, ἀπὸ πάθους πάθει, ὡς δ᾽ ὅταν [illegible], ἢ διαθέσεως διαθέσει. ὡς δὲ ὅτ᾽ ἄν τις δράκοντα ἰδὼν παλίνορσος ἀπέστη. καὶ, ὡς ἄν τις καθ᾽ ὅμιλον ἰδὼν γνώμην ἀγρεύων. ἢ φύσεως φύσει. οἵη περ φύλλων γενεὴ, τοίη δὲ καὶ ἀνδρῶν. ἢ πράξεως πράξει, οἱ δ᾽ ὥς τ᾽ ἀμητῆρες ἐναντίοι ἀλλήλοισι. γίνονται δὲ αἱ παραβολαὶ τριῶν ἕνεκεν. αὐξήσεως, ἐμφάσεως, καὶ σαφηνείας. Παραβουλευσάμενος, εἰς θάνατον ἑαυτὸν ἐκδούς.

Παράβολον, τὸ δέλεασμα λέγεται. τῷ μὲν οὖν ὀνόματι οὐ κέχρηνται οἱ παλαιοί, τῷ δὲ πράγματι. φασὶ γοῦν οὕτω, παραβάλλομαι τῷ ἐμαυτοῦ κεφαλῇ, καὶ ἐπὶ τούτων λέγομεν. παραβάλλομαι ἀργυρίῳ. Παραβόλως, ἐπισφαλεστέρως. Παραβολώτερος, ἀνίατος. Παράβολος, κεῖται παρὰ τῷ δημοσθένει. Παραβραβεύεις, καταῤῥαγεῖς, παρανομεῖς. Παραβραβεύοντα, δικάζοντα, διορίζοντα, ἀποκλίνοντα τὸ δίκαιον. Παραβύουσα, παρακαλύπτουσα. Παράβυστον, ἐκαλεῖτο τι τῶν παρ᾽ ἀθηναίοις δικαστηρίων, ἐν ᾧ ἐδίκαζον οἱ ἕνδεκα. ἐκαλεῖτο δὲ καὶ τις ἐν τοῖς συμφοιτηταῖς διαμετρίοις. καὶ κλίνη παράβυστος, ἧς μέμνηται τὸ περὶ δαιμονίων. λέγεται δὲ ἴσως ταῦτα κατὰ μεταφορὰν, ἀπὸ τῶν ἐν τοῖς φορτίοις παραβυσμάτων. τουτέστι παραπληρωμάτων. Παράβυστον, παρακεκαλυμμένον, λάθρα γινόμενον. Παραγάγοις, παρατρέψοις. Παράγαυσον τίθωνοῦ, παρὰ τοῦ λαμπροῦ τίθωνοῦ. Παραγγέλλας. ὁ δὲ ἀναχώρησιν, οὐδὲ τὸ ἀνακλητικὸν παραγγείλας, ἀντὶ τοῦ σημάνας. καὶ αὖθις, παρίσματα ἐκτάττε τὰ παντελῆ ὑπάρχοντα τῶν γραφομένων καὶ παραγγελλομένων.

Παραγγέλλει, παραινεῖ, παρακατατίθεται. Παραγγέλλοντα τὴν ἀρχὴν, ἀντὶ τοῦ διώκοντα τὴν ἀρχήν. ὁ δὲ φάβιος λαβὼν τὴν ἀρχὴν, πόπλιον ἀποδείκνυσι ὕπατον, τὸν αὐτὸν παραγγέλλοντα τὴν ἀρχήν. Παραγγέλλω, τὸ ἐντέλλομαι, καὶ προστάσσω, συντάσσεται μετὰ δοτικῆς, καὶ ἀπαρεμφάτου. ἀριστοφάνης ἐν πλούτῳ, ἐμοὶ δὲ παρήγγελλε καθεύδειν τὸν θεοῦ ὁ πρόσπολος. Παραγγέλλω εἰς ἄνδρας, ἀντὶ τοῦ μετὰ τῶν ἀνδρῶν τάττομαι, ἢ εἰς ἀνδρείαν ἡλικίαν ἀφικνοῦμαι. οὔπω ἐπεὶ εἰς ἄνδρας παρήγγελλε, τὰ τῶν γερόντων διαπράττετο.

Παραγγέλλων, ἀντὶ τοῦ συνδιερχόμενος, συνδιατρίβων, συμπαραγινόμενος. ἢ ἀντὶ τοῦ ἀπροόπτως ἐρχόμενος. Παραγγελία, προτροπὴ, προκατάρξις, παράγγελσις. αἱ γὰρ παραγγελίαι, οὐ καθ᾽ ἱερὸς πρότερον, ἀλλὰ δι᾽ ἅλαι ἐγίνοντο. Παραγε, ἐγγὺς διάγουσιν. Παράγε, παρέρχεται, παραπέμπε—

θαδὼς ἱστορεῖ καὶ Λυκόφρων. τὴν γὰρ πάππον ἀρίστην μετὰ τὴν κατὰ Γοργόνης ἄθλον ἀπήνεγκεν καὶ ἀφείλετο. Παπταίνω, σημαίνει τὸ περιβλέπω, καὶ περισκοπῶ τῇ δὲ κάκωσει. Πίνδαρος, μαίνετο παντων περισσόν, ἤγουν περισκόπει περισσότερον. παπταίνειν τὸ πάντοσε διασκοπεῖν, ἤγουν ὥσπερ ἐκεῖ τὴν θέαν.

Παπυλαιώδης, σαλωσῆς, ἤτοι τίτυσις. Πάλκυρος, θαλυκῶς ὁ χάλκυρος. λαμπάδα καρχίτωνα, κρόκη ὑφάσμα, λύχνον χείρ, καὶ λεπτῇ σφιγγομένην πυκνόν. Παρα. ἰστέον, ὅτι οὐ μόνον ἀντὶ τοῦ πάρεστι, καὶ πάρεστι λαμβάνεται, ἀλλὰ καὶ νεωτέρων, καὶ ἀντὶ τοῦ πάρειμι πρώτη ἐνικοῦ προσώπου, ὡς ἐν παλαιῷ περὶ παίδων συγγράμματι φέρεται. ὅπου καὶ χρῆσις κεῖται, τίς ἐστιν ὁ τὸν ἀσφαλῆ διαλεξάμενος παῖδα. Παρὰ πρόθεσις ὅτι πλεῖστα δηλοῖ, ἐπὶ μὲν ἐμψύχου δοτικῇ συντάσσεται. οἷον παρὰ βασιλεῖ κάθηται. ἐπὶ δὲ ἀψύχου, αἰτιατικῇ. Λουκιανὸς δὲ ἐμπειρικῷ ξύλῳ, ἐπὶ μὴ ἀψύχου εἰς αἰτιατικὴν εἶπε. καὶ θρόνος τῶν ἐντεῦθεν παρὰ κέρον τὴν πόρπην τὴν πρεσβύτην. Ὅμηρος φησὶν ἐν τῇ ἰλιάδι, νῦν δὲ παρ' αὐτὴν ἔχον πεντηκόντα χιλίων. ὡσαύτως καὶ Πλάτων ἐν φαίδρῳ, καὶ αὐτὸς παρ' αὐτὴν ὡς ὑπερβάς ἔφη. ὅτι δὲ ἤτοι ἀντὶ τῆς εἰς, ἐπὶ κινήσεως ἀεὶ τίθεται, ἐπειδὴ ἔστιν ὅτε καὶ χωρὶς κινήσεως, ὁ αὐτὸς ἐν τῷ αὐτῷ. καὶ παρὰ πάντα μοι τὴν χεῖρα προσῆκε, καὶ διαλέγειν. ἐνίοτε ὁ παρὰ γενικῇ καὶ δοτικῇ, καὶ αἰτιατικῇ συντάσσεται. μετὰ γενικῆς σημαίνει τὸ λαμβάνειν τι ἀπό τινος, μετὰ δοτικῆς σημαίνει πλησιότατα, οἷον παρὰ βασιλεῖ κάθηται. καὶ ὕπαρξιν τινός ἐν τινι. ἔχει ἐν τῇ ἑνότητι σημασίᾳ, τὸ ὑπαρκτικὸν ῥῆμα ἢ τὸ προσῆκον, ἢ νοούμενον. οἷον παρὰ τῷ θεῷ ὁ ἥλιος, ἤγουν ἐν τῷ οὐρανῷ. μετὰ δὲ τῆς αἰτιατικῆς, δηλοῖ κίνησιν, οἷον παρὰ σὲ ἦλθον. καὶ αἰτίαν, οἷον σὺ παρὰ σὺν ἐγὼ κακὸς, ὅτι σὺ ἐγένου ἀμελὴς ἔστιν. ἀντὶ τοῦ διὰ σὺν, καὶ ἔξω. οἷον παρὰ τὴν ἀλήθειαν λέγει, καὶ παρὰ τὸ δίκαιον πράξεις, ἀντὶ τοῦ ἔξω τῆς ἀληθείας, καὶ τοῦ δικαίου. κατὰ τοῦτο τὸ σημαινόμενον λέγεται, καὶ τὸ παρά. οἷον σπείρει μὲν ὁ λαγωὸς κατὰ φύσιν, ἐπαινεῖσθαι δὲ αὐτὸς, παρὰ φύσιν, οἷον ἔξω τοῦ πέφυκε. καὶ παραγωγὴν τινός ἀπό τινος, καὶ ἐξέλευσιν. οἷον παρὰ τὸ πορίζεσθαι ἔμπορος, καὶ παρὰ τὸ δῆμος καὶ θεῖος δημοσθένης. σημαίνει ἐν τῇ συνθέσει παραφθείρειν τι, ἢ καταφρονεῖν, οἷον παρεώραμα. ἢ σπουδῇ χρῆσθαι, οἷον τρέχων μετά τινος παρέδραμον τοῦτον, καὶ παρῆλθον αὐτόν. Παρα, συνεσταλμένον ῥῆμα ἐστὶ δηλοῖ ἢ ὑπερ. οἷον μετὰ τοῦ πρέσβεως, τὸ ἔξω τῆς πρεσβείας τι πράττω. ὡσαύτως καὶ πάρειμι, ἀντὶ πλησίον εἰμί. Παρὰ, ὡς ἐπίρρημα, ἀντὶ τοῦ πλησίον. Παρὰ πρόθεσις σημαίνει τρία. τὴν ἰδιαὶ θέσιν, ὡς ἄνομος παράνομος, λαλῶ παραλαλῶ, ἰσῶ παρισῶ. τὴν πλησιότητα, ὡς τρέχω παρατρέχω, ἵζω παρίζω. καὶ τὴν πλείονα θέσιν, ὡς τὸ ὁρμῶ παρορμῶ. καὶ τὸ ἔξω δηλοῖ, ὡς παραπλεῖν, τὸ ἔξω πλεῖν. Παρὰ δὲ χρυσόθρονος ἤρη, ἀλλοῖον ἔχει. ὡς γὰρ τὸ μετὰ δὲ ἀντὶ τοῦ μετὰ ταῦτα δέ. καὶ ἐπὶ δὲ, καὶ πρὸς δὲ, ἀντὶ τοῦ ἐπὶ τούτοις καὶ πρὸς τούτοις, οὕτω καὶ παρὰ δὲ χρυσόθρονος ἤρη, ἤγουν παρὰ δὲ αὐτῷ ὁ χρυσόθρονος ἤρη. ἐνίους δὲ τοῦ χρυσόθρονος φασὶν οἱ παλαιοί, τὴν χρυσὸν, ἀντὶ τοῦ παρὰ τὸ εἰλῆφθαι ἐπιχρονικῶς. πτρώδους γάρ φασι πρὸς τοῦ αἰθέρα καὶ τοῦ ἥλιον. Παρὰ ἐλπίδα τῶν ἐμοὶ συνέβη. ἤγουν ἔξω. Παρ' ἄκοιν, παραχρῆμα, εὐθέως. Ἀπολλώνιος, ὡς φάτο, τὴν δὲ παρ' ἄκοιν ἀθάνατοι προσέειπε. Παρὰ πόδα βαίνω, ἀντὶ τοῦ πλησίον ἀκολουθεῖ. παρὰ πόδας, ἀντὶ τοῦ ἐγγύτατα. Σιμωνίδης, ἀλλὰ καὶ παρὰ πόδας ἀπολέλοιπε τὴν χάριν.

Παρὰ τόπον, ἀντὶ τοῦ εἰς κακὸν τόπον. οἱονεὶ ἔξω τοῦ καλοῦ τόπου. Σιμωνίδης, παρὰ τόπον ἐρμήσαντα, διὰ τὴν ἀπορίαν. Παρὰ, τὴν εἰς τὸ μεῖζον ἄρσιν δηλοῖ. ὡς τὸ κἀγὼ παρὰ πρὸς ἠνορίαν μείζονος, ἀντὶ τοῦ εἰς τὸ μεῖζον ἦλθον. Παραβαί-

νειν, τὸ ἐγγὺς βαίνειν. ταύτην δὲ ἐκεῖ ἐπάγχιστα ἰκάνει. ἐξ οὗ καὶ ὁ ἐφέρματος παραβάτης γίνεσθαι. Παραβαίνει τοὺς νόμους, καὶ τὰς σπονδὰς, καὶ τὰ συνθέσιμα. ὡς Ξενοφῶν, καὶ παραβαίνει μὲν ἄριστος τις μεθ' ἡμῶν σπονδὰς, παραβαίνει δὲ καὶ Τισσαφέρνης ὁ βασιλεὺς. παραβαίνει, καὶ τὸ μεταβαίνει. Παραβαλέσθαι, τὸ ἐξαπατῆσαι. ὅθεν καὶ παραβλώψ, ἀντὶ τοῦ ἀπατηλῶς. Παραβαλεῖς, παραβάσας, ἢ πλησιάσας. Παραβάλλεσθαι, ἀντὶ τοῦ ἀσπάζεσθαί φησι Λιβάνιος. Παραβάλλομαι, τὸ μάχομαι, δοτικῇ συντάσσεται. Παραβαλλόμενον, ἀντὶ τοῦ διαμαχόμενον. Παραβάλλω, τὸ συγκρίνω καὶ παρατίθημι, δοτικῇ καὶ αἰτιατικῇ συντάσσεται. Παραβάλλω, τὸ πλησιάζω, καὶ τὸ παρακάζω, τὸ ἔρχομαι, καὶ τὸ παρεξετάζω. παραβάλλω, τὸ ὁρμῶ, καὶ πρὸς δεῖνα πορεύομαι. Παραβάλλει, ἀντὶ τοῦ παραγίνεσθαι. καὶ παραβάλλει, ἀντὶ τοῦ συγκρίνει. καὶ παραβάλλει, ἀντὶ τοῦ ἐμβάλλει, καὶ ἀντὶ τοῦ τρέφει ἄλογον ζῷον. ὅθεν καὶ παράβλημα, ὡς παρ' Ὁμήρῳ παραβλήματα, αἱ τροφαὶ τῶν ἵππων. Παραβάλλομαι, παθητικῶς τὸ παρεξετάζομαι, καὶ συγκρίνομαι, καὶ τὸ ῥιψοκινδύνως τι ποιῶ πρὸς κίνδυνον παραβαλλόμενος. καὶ Ὅμηρος παραβαλλόμενος ἐμὴν ψυχὴν, κινδύνοις παρατιθέμενος. Παραβαλοῦ, ἀντὶ τοῦ ἐρμήνευσον τῇ γῇ τὴν ναῦν. παρὰ τῷ Ἀριστοφάνει ἐν τῇ εἰρήνῃ ὁ χάρων λέγει. Παράβασις, παρὰ τῷ Ἀριστοφάνει. ὡ διέμενοι, δοκεῖ λέγεσθαι ἐκ τοῦ χοροῦ. εἰσάγει δὲ τὸ ἑαυτοῦ πρόσωπον ὁ ποιητής. παράβασις δέ ἐστιν, ὅταν ἐκ τῆς προτέρας στάσεως ὁ χορὸς μεταβὰς, ἀπαγγέλλει πρὸς τὸν δῆμον ἀφορῶν. εἴδη δὲ παραβάσεως ἑπτά. ἁπλᾶ μὲν τρία, κατὰ δὲ χρῆσιν τέσσαρα. ἀπὸ τοῦ βουλομένου, ἐξεῖπεν ἑορτὴν ἐν τῇ εἰς τὰς Ἀριστοφάνους κωμῳδίας χελιδόσι. Παραβάσει κέχρηται ὁ χορὸς, μηδὲν περὶ τὸ προκειμένου λέγων, ἢ τὴν ποιητικὴν ἐπαινῶν. παράβασιν δὲ τοῦτο ἐκάλουν, ἀπὸ τοῦ παραβαίνειν τὸν χορὸν, ἀπὸ τῆς νενομισμένης στάσεως εἰς τὴν κατ' ἀντικρὺ τοῦ θεάτρου ὄψιν. ὁπότε ἐβούλετο ὁ ποιητὴς διαλεχθῆναί τι, ἔξω τῆς ὑποθέσεως, ἀπὸ τῶν ὑποκειμένων πρὸς τὸ θέατρον διὰ τοῦ χοροῦ. ἐγράφοντο δὲ ὁ χορὸς καὶ ἔλεγεν στίχοι τέσσαρες. εἶτα διελθόντες τὴν καλουμένην παράβασιν, ἐστρέφοντο πάλιν εἰς τὴν προτέραν στάσιν. δῆλον δὲ αἰτὸ ποιοῦσιν οἱ ποιηταὶ τὸ γράφεσθαι σημαίνοντες καὶ τὸ παραβαίνειν. Παραβάται λέγονται, οἱ μαχόμενοι ἐν τοῖς ἅρμασι, παρ' Ὁμήρῳ. Παραβάτης, ἐνίοτε ὁ ἡνίοχος εὑρίσκεται λεγόμενος, ὡς ὅτι τὴν ἄντυγα ἐρασιμῆ ἡνίοχον ὁ ποιητὴς λέγει. εὑρίσκεται δέ ποτε καὶ ἡνίοχος, διὰ τὰ ἡνία λαβεῖν καὶ ὅλως ἐπαλλάσσειν, αἱ λέξεις αὗται ἀλλήλαις φέρονται. εἰ δὲ καὶ ὁ συμφανὴς πόρτοχος εὖ λέγεται παραβάτης, φαίνεται ἀναχθῆ. Παραβεβαμένοι, παραβεβηκότες. Παραβέβλησαι, παραβέβλησαι κίγχησαι. Παραβιβάζεσθαι, παραβιάζεσθαι. Παραβλέπων παρ' Ἀριστοφάνει, οὐκ ἀτενίζοντα φασιν, ἀλλὰ τοῦ ἑτέρου ὀφθαλμοῦ βλέποντος. Παραβλέψας παρ' Ἀριστοφάνει, ἀντὶ τοῦ πλησίον βλέψας. καὶ γὰρ παραβλέψας τι μειρακίσκος, καὶ κατεῖδον. σημαίνει καὶ τὸ πλαγίως βλέψας. Παραβλήδην παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ἀπατηλῶς, παραλογιστικῶς. παραβάλλεσθαι γάρ φασι καὶ τὸ ἐξαπατῶν. ἐξ οὗ καὶ παραβαλλόμενος, ὁ ἀπατῶν τοὺς φίλους, ἀλλὰ καὶ ἁπλῶς παραδίδωμι. ἀφ' οὗ καὶ παράβλημα κοινῶς, ὃ ῥῶμις τροφῶν παρατιθέμενον. ἐντεῦθεν δὲ καὶ ὁ παράβολος ἄνθρωπος, ὁ κινδύνοις ἑαυτὸν παραβάλλων, ὅ ἐστι παρατιθεὶς. καὶ πρᾶγμα ὅπερ ὁ τοιοῦτος ποιεῖ, ὑπερβάλλω γίνεται, ἐκ τοῦ βάλλω μετὰ τῆς ὑπὸ προθέσεως. καὶ μετὰ τῆς ἀνὰ προθέσεως, τὸ ἀμβλήδην γοόωσα, ὡς ἐκ τοῦ μουσικῶς ἀναβάλλεσθαι, κατὰ τὸ ἀνεβάλλετο καλὸν ἀείδειν. οὕτω καὶ τὸ παραβλήδην, ὃ δηλοῖ τὴν παραβολὴν καὶ συγκριτικῶς. Παραβλήδην παρὰ τῷ

Ἀπολλω-

φασὶ δὲ ὡς καὶ τί θέλει δηλοῦσθαι, δῆλον. ἴσως δὲ δηλοῖ τὸ ἐκ τοῦ διεμπόδες ὑπ' αὐτῆς ἐσφίχθαι, ἤτοι χωλοῦσθαι καὶ ἀρχαιοῦσθαι. Πανοπλία, ἡ πανοπλία. ἴσως ἀπὸ τοῦ σάκους εἴρηται.

Πανσπλώου, χιτωνίσκος λινοῦ πεπληρωμένος σπλώου.

Πανσθενεστάτῳ, ἰσχυροτάτῳ. Πανσπερμία, παγκαρπία.

Πανστρατὶ, σὺν ὅλῳ τῷ στρατεύματι. Πανσυδίῃ, ὃ διὰ τῆς διφθόγγου γράφουσιν οἱ παλαιοὶ, ὡς τὸ σύνεστος, ὀξύτατος, καὶ τὰ ὅμοια. δηλοῖ δὲ κατὰ λέξιν, τὸ παμπληθεί. ἕτεροι δέ φασι πανσυδὶ, ἀντὶ τοῦ πανσταλῶ, μοδιοὺς ἀπομάχου μένοντος. ἄλλοι δὲ πανσυδὶν, ἀντὶ τοῦ πανορμεί. Αἴλιος δὲ Διονύσιος, ἀντὶ τοῦ παντελῶς. ὅθεν παρὰ Θουκυδίδῃ τὸ πανσυδὶ διαφθάρῆναι.

Πάντα κάλων σείει, παροιμία ἐπὶ τῶν πάσῃ προθυμίᾳ χρωμένων. Πάντα δ' ἀπὸ πλευρῶν χεῖρ ἐργάσεται. οὐ κατὰ βαθέως ἔτρωσεν, ἀλλ' ἐπιψαύει τοῦ χρωτὸς, καὶ τῶν πλευρῶν τὸ δέρμα. Πάντα γυναῖκες ἴσαντι, καὶ ὡς Ζεὺς ἠγάγεθ' Ἥρην, παρὰ Θεοκρίτῳ. φησὶν ὅτι τὰ πάντα αἱ γυναῖκες γινώσκουσι, καὶ ὅτι Ζεὺς λάθρᾳ τῇ Ἥρᾳ συνῆλθε. καὶ Ὅμηρος, εἰς εὐνὴν φοιτῶντε φίλους λήθοντε τοκῆας. Ἀριστοκλῆς δὲ ἱστορεῖ ἐν τῷ περὶ Ἑρμιόνης ἱερῶν, ἰδίως ὑθλῶν περὶ τοῦ Διὸς καὶ τοῦ Ἥρας γάμου. ἱστορία. τὸν γὰρ Δία μυθολογοῦσιν ἐπιβουλεύσαντα τῇ Ἥρᾳ μιγῆναι, ὅτε αὐτὴν ἴδοι χωρισθεῖσαν ἀπὸ τῶν ἄλλων θεῶν. βουλόμενος δὲ ἀφανὴς γενέσθαι, καὶ μὴ ὀφθῆναι ὑπ' αὐτῆς, τὴν ὄψιν μεταβάλλει εἰς κόκκυγα, καὶ καθέζεται εἰς ὄρος, ὃ πρῶτον μὲν θρόναξ ἐκαλεῖτο, νῦν δὲ κόκκυξ. τὸν δὲ Δία χειμῶνα ποιῆσαι δεινὸν τῇ ἡμέρᾳ ἐκείνῃ, τὴν δὲ Ἥραν πορευομένην μόνην ἀφικέσθαι πρὸς τὸ ὄρος, καὶ καθίζεσθαι ἐπ' αὐτὸ, ὅπου νῦν ἐστιν ἱερὸν Ἥρας τελείας. τὸν δὲ κόκκυγα ἰδόντα, καταπετασθῆναι καὶ καθεσθῆναι ἐπὶ τὰ γόνατα αὐτῆς, τὴν δὲ Ἥραν ἰδοῦσαν αὐτὸν, οἰκτεῖραι καὶ περιβαλεῖν τῇ ἀμπεχόνῃ. τὸν δὲ Δία εὐθέως μεταβαλεῖν τὴν ὄψιν, καὶ ἐπιλαβέσθαι τῆς Ἥρας, τῆς δὲ τὴν μίξιν παραιτουμένης διὰ τὴν μητέρα, αὐτὸν ὑποσχέσθαι γυναῖκα ταύτην ποιήσασθαι. καὶ παρ' Ἀργείοις δὲ οἳ μέγιστοι τῶν ἑλλήνων τιμῶσι τὴν θεόν. τὸ δὲ ἄγαλμα τῆς Ἥρας ἐν τῷ ναῷ καθήμενον ἐν θρόνῳ, τῇ χειρὶ ἔχει σκῆπτρον, καὶ ἐπ' αὐτῷ τῷ σκήπτρῳ κόκκυξ. Παντάνη, τρυβλίον. Πανταπάσιν, ἀντὶ τοῦ παντελῶς καὶ τελέως, καὶ καθόλου, τὸ παράπαν, διόλου, ταῦτα καὶ ἐπὶ τοῦ αὐτοῦ λαμβανόμενα. Πανταρκεία, πᾶσι βοηθεῖν.

Πανταρκὴς, ὁ πᾶσιν αὐταρκῶν. Πάνταρος, ὃ καὶ τόξον ἀπέδωκεν αὐτὸς Ἕλενος. συνεκδοχὴ ἀπὸ τῶν παρισωμένων τὴν πρᾶξιν παραλαβῶν. ἀπὸ γὰρ τοῦ τόξου, τὴν περὶ τόξον ἐμπειρίαν δηλοῖ. καὶ οἱ δὲ πανσμίαι σεῖον ξυγὸν, ἤγουν ἐγχώριον.

Παντάσκιος, ὁ πάντοθεν σκιὰν οὐκ ἔχων. Πανταχῆ, πανταχοῦ, πάντα τρόπον, ἐν παντὶ τρόπῳ, καὶ πανταχόθι. πανταχοῦ δὲ καὶ πανταχόσε, εἰς πάντα τόπον. Πανταχῆ τῶν τόπων περιστιχὲς εἰμένοι, καὶ πανταχοῦ γῆς. Πανταχόθεν, καὶ πάντοθεν. Δημοσθένης, οὕτω πάντοθεν καταπεφρονηκότας ἐκείνους ἥττους πάντοθεν, ἀντὶ τοῦ ἀπὸ παντὸς μέρους, καὶ ἀντὶ τοῦ εἰς πάντα τὰ μέρη. Πανταχοῦ, καὶ τὸ ὅσον, μετὰ γενικῆς. οἷον πανταχοῦ τῆς πόλεως, καὶ ὅπου γῆς ἦμεν. Παντελῶς, κοινῶς. καθόλου δὲ, ἀττικῶς. Παντελὲς, παντελῶς, ὁλοτελῶν. Ὁ πανεπόπτης, ὁ πάντα καθορῶν. Πάντῃ, ἀντὶ τοῦ εἰ πλεῖστοι.

Πάντοθεν, ὑπὲρ πάντων. Πάντ' ἔχεις, πάντ' ἔγνωκας.

Παντέλειον, ὁλόκληρον. Παντευχία, πανοπλία. Πάντῃ, πάντως, πανταχοῦ, πάντοθεν. Παντῇ, περιεσπωμένον δωριεῖς λέγουσι. Πίνδαρος, πρέφαντος ἐπὶ καθ' ἑλλάδας ἐόντα παντῆ. Παντικάπαιον, ὄνομα πόλεως. Παντὶ θένει, ὅλῃ δυνάμει. Παντίζω, παντέλῃ. Παντοδαπὰ, παντοῖα.

Παντοδαποὺς, διαφόρους. Πάντοθεν, προπαροξύνεται κοινῶς τοῦτο. τὰ ὑπὲρ δύο ἐν τῷ παραλήγουσαν ἐν ταῖς μόναις προπαροξύνονται, οἷον αὔθιν, ἔνδοθεν, ἄλλοθεν, ἑκάστοθεν, ἑκατέρωθεν, ἔκτοθεν, πάντοθεν. τὰ δὲ ἄλλα πάντα παροξύνονται, οἷον οὐρανόθεν, τὸ ἐκ πόντου. οἴκοθεν, τὸ ἐξ οἴκου πόλεως καὶ τὸ ἐξ αὐτοῦ πράγματος. οἷον οἴκοθεν, οἴκου. θεόθεν, ἀβυδόθεν, οἴκοθεν, ἐκ τοῦ οἴκου ὁ μόνος. πατρόθεν, καὶ ὅσα τοιαῦτα. Παντοίων, πάντων πολυτρόπων. Πανδοκεύτρια. κεῖται παρὰ τῷ λεγομένῳ ἀντὶ τοῦ κάπηλος, ἀπὸ τοῦ δέχεσθαι πάντας. εἴρηται δὲ κάπηλος παρὰ τὸ καπύειν τὸν πηλόν. πηλὸς δὲ ὁ οἶνος, ὅθεν καὶ ἄμπελος, οἱονεὶ ἔμπηλος οὖσα ἡ ἐν αὐτῇ ἔχουσα τὸν πηλόν. ἡ πανδοκεύτρια, ἡ πάντα δεχομένη καὶ καταπίνουσα, ἡ πάντα ἐπιτρέπουσα. Παντοκράτωρ, ὁ θεὸς ὁ πάντων κρατῶν. Παντοπραγμία, πολυπραγμία. Παντολμοτάτος, παντελῶς ἐλλογιμώτατος. Παντομάντορες, μοῖραι. Παντομιγὴς, παλαιόπολις. Παντοῖα, παντοδαπά. Πάντοσε, εἰς πάντα μέρη. πάντοθεν, παντὶ μέρει. πάντοσε ἴσην ἀσπίδα λέγει Ὅμηρος, περιφερῆ. Πάντοτε μὴ λέγε, ἀλλ' ἑκάστοτε, καὶ διὰ παντός. Παντουργὸς, πάλαι μὲν ὁ πανοῦργος, νῦν δὲ ἐπὶ κακῷ ἡ λέξις. καὶ ἡ συμφορὰ μέση οὖσα λέξις, καὶ λεγομένη ποτὲ καὶ ἐπὶ συμφέροντος, νῦν κακὸν μόνον δηλοῖ. ὁ τύραννος τὸ βασιλικὸν ποτὲ ὄνομα, βλασφημεῖται νῦν. ἐλέγετο ἑταιρικὸν ποτὲ καὶ ἔνδικον, τὸ ἔξω τοῦ οἰκείου καὶ δικαίου, νῦν δὲ ἀγαθολογοῦνται χυδαῖοι, οἱ πεπλεονεκτηκότες. νῦν οἱ εὐδαιμονοῦντες, πολλοστὸς, οὐχ ὡς οἱ παλαιοὶ, ὁ πολύς. ἀλλὰ ὁ τὸ μακρὸν ὠμὸς. καὶ ἔνδοξος, οὐχ ὡς σεμνὸς, καὶ ἀνόητος, ἀλλ' ἐπὶ φαυλότητος, νῦν δὲ ὁ ἀνόητος. Παντουργῶ, πάντα ποιῶ. Πάντων ἐκπεπληγμένοι, ὑπὲρ πάντας ἐκπεπληχότες. Πάντως, παντελῶς, ἴσως δύναμαι, ἀληθείᾳ κυρίως.

Πάνυ σφόδρα, ἐκ παραλλήλου, τὸ αὐτὸ καὶ πάνυ λίαν.

Πανυπερτάτη, πασῶν ὑπερκειμένη τῶν παρακειμένων νήσων.

Πανυπείροχον, πάντων μέγιστον. Πάνυσσα, ἀρσενικὸν ὄνομα. οἱ δὲ κουρίαν, ἢ τὰς τρίχας ἀναλαμβάνουσι. Πανώλεθρον, πάντων ἔσχατον. Πὰν, φασὶ τις ὢν διὰ τὸ ἐπιφαίνεσθαι ἀπείροις τισὶ ἐνθουσιῶσι. Πανωλεθρία. καὶ πανώλης, ὁ πανώλεθρος. Πὰξ, ἀπόλυμα ἐπιρρηματικὸν. ὁ τέλος ἔχον.

Παξαμᾶς, ἑλικοειδὴς ἄρτος. ἔστι δὲ ἡ λέξις ῥωμαϊκή.

Πάππα, προσφώνησις ὑποκοριστικὴ ἰδία τῶν πρὸς πατέρα. οὕτω δὲ λέγεται παρὰ Συρακουσίοις ὁ πατὴρ πᾶς, καὶ κατὰ ἀναδιπλασιασμὸν, καὶ πλεονασμὸν τοῦ α πάππας. Παππάζουσι παρ' Ὁμήρῳ τὸ παππάζειν. ὃς καὶ τὸ ἀππάζειν, ὑποκοριστικῶς ἐστι. δηλοῖ τὸ βρεφικῶς προσφθέγγεσθαι τὸν πατέρα, καθά φασιν οἱ παλαιοί. ὥσπερ καὶ μᾶ, ἡ μήτηρ. καὶ κατὰ ἀναδιπλασιασμὸν, πάππας καὶ παππίας, ὡς μαμία ἡ ῥητέος μᾶλλον. δὲ χρόνον καὶ τὸ τοῦ ἀπάτου εἰκότος ἐν Βιθυνικοῖς, ὅτι Βιθυνοὶ ἀνιόντες εἰς τὰ ἄκρα τῶν ὀρῶν ἐκάλουν πάππαν τὸν Δία, καὶ Ἄττιν τὸν αὐτόν. ὁμοίως καὶ τὸ Ἡροδότου, καλεῖται Ζεὺς ὑπὸ Σκυθῶν ὀρθότατα Παπαῖος. ἐξ ὧν συνάγεται δεῖν εἶναι ξένην λέξιν τὸ πάππας καὶ πάππος καὶ τὰ τοιαῦτα. Παππάζειν, παραπαλεῖν. Παππαδίω, παντελῶς. Παπαὶ, σχετλιαστικὸν ἐπίρρημα. Πάππαξ, παπαὶ ἔχων ἐπίτασιν, Ἀριστοφάνης νεφέλαις. Παππασμὸς, προσφώνησις, παρὰ παιδὸς εἰς πατέρα γινόμενος. Παππῶ, ψηλαφῶ. παππῶ παππεῖς δευτέρας συζυγίας. τὴν ἁπαλῇ τῇ χειρὶ ψηλαφῶσαν. ἀπὸ τοῦ ἀφῶ τὸ ψηλαφῶ, ἀφῶ οὖν παφῶ, καὶ τροπῇ τῶν στοιχείων παππῶ.

Παππίας, παρὰ τὸ πάππα, ὃ σημαίνει τῇ τῶν ῥωμαίων φωνῇ, τὸν πατέρα. Πάππος, ἀπὸ τῆς τῶν μικρῶν παίδων προσφωνήσεως. Ὅμηρος, οὐδέ τι μὲν παῖδες ποτὶ γούνασι παππάζουσι. Πάπποι, αἱ ἐπὶ τοῦ κάτω χείλους τρίχες. μύσταξ δὲ, αἱ ἐπὶ τοῦ ἄνω. Πάππος, ὁ πατρὸς πατὴρ. καὶ πάτρως ὁ τοῦ πατρὸς ἀδελφός. ὡσαύτως καὶ μήτρως, ὁ μητρὸς πατὴρ, καὶ ὁ ταύτης ἀδελφός. Παππῷος, ὁ περὶ τοὺς

δὲ, πανίερθε. γίνεται δὲ παρὰ τὸ ἱερῶ ἱερέσω ἱερός, ὡς ἀγαπῶ ἀγαπήσω ἀγαπητός, καὶ τροπῇ τοῦ ε εἰς ο, καὶ πλεονασμῷ τοῦ Γ ἱερόεντος, καὶ συγκοπῇ ἱερθός, καὶ ἐν συνθέσει πάνιερθος πανίερθε. Πανίστιον, πᾶσι συναυλίζειν. Πανήγυρις, ἐπανήγυρις, συνάθροισις, ἀγείρω, ἄγυρις καὶ ἄγυρις. καὶ πανήγυρις, εἰς ἣν πάντες ἀγείρονται. Πανόδυμον, διὰ βίου. Πανημέριος, καὶ ἐφημέριος, ὁμοίως παρῶξυται. Πανημέριος, σημείωσαι ὅτι πανῆμαρ μὲν λέγει ἢ ἠμάτιον, τὸ ἀμφινόν. πανημάτιον δὲ οὐ λέγει, ἀλλὰ πανημέριον. οἷον πανημέριος κακὸς ἔσομαι. καὶ τοῖς πανημερίοις νίκος ἦν. Πανημέριοι, παρ' ἑτέροις παιανταί· εὕρηται πανήμεροι, ὁμοίως δὲ ἐφήμεροι, ἐκβληθέντος τοῦ ὁμοιοκαταλήκτου. Πανήμερον, τὸ δι' ὅλης ἡμέρας πραττόμενον, ὃ καὶ πανημέριον. ὡς καὶ τὸ δι' ὅλης τῆς νυκτὸς, πάννυχον καὶ παννύχιον. τὸ δὲ διὰ μιᾶς ἡμέρας πραχθὲν, αὐθήμερον. καὶ τὴν αὐτὴν ὁδὸν διὰ μιᾶς ἡμέρας ἀντεπανελθεῖν, αὐθημερῆσαι. καὶ τὸ δι' ὅλης τῆς τετάρτης ἡμέρας, ἡμεροδρομεῖν, καὶ διημερεύσαι. οἷον ἐπὶ τῶν βαναύσων ὁ Πλάτων εἴρηκε, πρὸς τὴν ὀψιδέντας. λέγοιτο ἂν καὶ πανημερίσαι ἐπιέργω, ὦ ἄνθρωπε. καὶ ὁ δι' ὅλης ἡμέρας δεῖπνον, ἡμερόδειπνον. τὸ δὲ εἰς τὴν ἐπιοῦσαν μὴ μένον, ἐφήμερον. τὸ δὲ παρὰ μίαν, παρήμερον, ἐφήμερον. φαίης δ' ἂν δὲ ἐπιοῦσαν ἡμέραν, καὶ τῇ παρελθούσῃ, καὶ τῇ ἐχθεσινῇ, καὶ τῇ προτεραίᾳ, καὶ τῇ προτέρᾳ, καὶ τῇ χθές. ἐπὶ δὲ τοῦ ἐν αὐτῇ πραχθέντος, χεῖρον, ἔνδον. ἐπὶ δὲ τῆς παρούσης ἡμέρας, τήμερον καὶ σήμερον, καὶ ἡ ἐνεστῶσα καὶ ἡ ἐνεστηκυῖα. ἡ δ' ἐπιοῦσα ἡμέρα, καλεῖται αὔριον, καὶ ἐπιοῦσα καὶ προσιοῦσα. τὴν δὲ μετὰ ταύτην εἰκάσαις ἂν, ὡς ἔφη Ἡσίοδος καλεῖ, εἰ μὴ τὴν τριακάδα οὕτω λέγει. ἐνίοις παρὰ Ἀθηναίοις καλοῦνται τριακάδα, ἐπὶ τῶν τελευτησάντων. φιλοδωρότερον δὲ προσθεῖναι τὴν εἰς πρόθεσιν ταῖς ἐπιούσαις ἡμέραις, οἷον εἰς αὔριον, καὶ εἰς τὴν ἐπιοῦσαν, καὶ εἰς ἡμέραν τρίτην, καὶ εἰς ἡμέραν τετάρτην. λέγεται δὲ, καὶ εἰς ἡμέραν ῥητὴν, εἰς ἣν ἂν ἐπισυνθώμεθα. καὶ εἰς ἡμέραν ὡρισμένην, καὶ εἰς ἡμέραν διωμολογημένην. καὶ ἡμέρα κυρία, ἐπὶ δὲ τῆς παραγγελίας. χωρὶς δὲ τῆς ἡμέρας εἴποις ἂν οἱ ῥήτορες, παρούσης τῆς κυρίας, καὶ ἐνστάσης τῆς κυρίας. προσυπακουομένης, τὸ τῆς ἡμέρας. ἐπὶ δὲ τῆς παρελθούσης ἡμέρας, ἡμέρα τρίτη, ἡ τρίτην ταύτην ἡμέραν, καὶ τὰς ἄλλας ὁμοίως. Πανίστορος, πανόπτης, ἐνδελής. Πανίσχυρα, πᾶσιν ἀρέσκοντα. Πανορίσαισι, κατὰ πάντα ἡρμοσμέναις.

Πανίσχυρος, πᾶσιν ἀρέσκων, ποικίλον, παμμήχανον. Πανθηρον, τέχνη ἐπὶ τὸ πλῆθος τῶν ζώων αἱρεῖν. πῶς ἦν κατὰ πάντων τῶν θηρῶν, πάνθηρα καλοῦσιν αὐτῶν ἐπιχείρησιν. Πανδοίδαλος, ἐκ τοῦ πάντα γίνεσθαι. ὅθεν τὸ βουδοίδαλος βουδοίδαλος ἐστιν υἱός. Πανδοίδαλος, καὶ ἐν συναιρέσει πανδοῖλος, κατὰ παρωνυμίαν λέγεται, ὁμοίως δὲ βουδοίδαλος ἐστιν υἱὸς ἐν ἀλυσίᾳ ὁ τοῦ βουδόου υἱός. Πανδοσίαν λέγουσιν, ὥς φασιν Εὐφορίων, ὁ πάντας εἰς κοινὸν καταθέντος τὰ κομισθέντα λείψανα πάντων ἀπὸ λάκων. Πανδοσία, ἐπίρρημα, καὶ πανδημεί, τὸ καταναχθέν.

Πανδοῖλος, κύριον ὄνομα, ἐξ οὗ πανδοίδαλος πατρωνυμικὸν, καὶ ἐν συναιρέσει πανδοῖλος. ὁ πολυλάμπας. οὕτως καὶ βουδοίδαλος βουδοίδαλος ὁ βουδόου υἱός. Πανδαίδαλος, πολυλάμπατος ὢν παντός, ἀνὴρ μανικός. Πανδεῖος, πανδίαιος. Πανδρομία, παρρησίαν ἄγειν λέγομεν, πάντα θρυλεῖ, ὥς τι μηδὲν ὑποστέλλεσθαι. Πανθρύλλιον, τὸ πάντα θρυλλοῦν. Πανδίδεω, μενοτραγεῖ τοῖς τέρψις, ὃ σφοδρὰ ἔσεις. Πανδαμαλὸν ἐγιάδαι, τὸ ὡς οἰκὸς ἐλεύχος τραχ ἔθω, ἀφ' οὗ λίθος ὁμοίως, ὁ λάχης.

Πανδ' ἀπὸ μιαιφόνον, παρὰ πάντα ὑπὸ τῆς μυίας ψήφων.

Πανίεντα, παρίβασα. Πανίς, ἡ πλατεῖα αὐτόθεν. Πανίως, βίαιον, ὡς ἀπὸ τοῦ παιός. Αἰσχύλος καλλιθοί, καὶ ὁ λαιός πάντα, ὅ ὁ λαιὸς πάντα, καὶ καθαρῶς, καὶ ὁ μίλας καθαρός.

Πάνισον. ἕρμαιος σημαίνει, ὥρα τι τὴν παρ' ἐμοῦ χωρὶν τὴν κώπαν λαβοῦσα, καὶ προσκεφάλαιον, ἵν' ἐς τὸν τοῦ ἐμπεδίζεσθαι ῥοθίοις. ἀλλ' οὐ λίαν μαι πάντα τὴν ἔχων τὸ πρακτέον.

Πάνσον, αὐτόχθων, ὁμοφύλην, λευκὸν, καθαρόν. καὶ πάνσον, ὅσον μὲν τόπον. ἔνθα καὶ χάργον παρὰ αἰγιαλῷ, ὃ λέγεται πάνον πρὸς τοὺς ἐρπλείου μέρους. Πανσιος, κρατήρ. Πανίς Λαίμων, μονιώλα λαίμων. Πανισιος, ἱερὸν Ἀπόλλωνος ἐν Ἰθάκῃ. Πανναρνία, πανουργία. Παγκρατής, πάντων κρατῶν, καὶ ἄρχων καὶ βασιλεύων. Παννίας, ὁ ἀπόπληκτος, καὶ ἀλολίχας. Παννυχίζει, ἀντὶ τοῦ διανυκτερεύει. Αἰβάλιος, ἐκπαννύχιζον. Παννύχιοι. ἀναβὰς δὲ πάντας ἐκ φυσικῆς κλίσεως τὸ παννύχιοι. Παννύχιοι, σὺν ὅλῳ δὲ οἴκῳ. Πανόλβιος, παμμακάριος. Πανομφαῖος Ζεύς, κατὰ μὲν ἀναγραφὴν εἰς ἓν πᾶσα ὀμφὴ, ἤγουν ἁπλῶς φωνὴ ἀνάγεσθαι, πτῆσιν ὁ πάσης φωνῆς αἴτιος ἀήρ. φωνὴ γὰρ, ἀὴρ ὢν πληγεὶς, κατὰ δὲ ἑτέρων πανομφαῖος δὲ ἐν ὧν, ὁ πάσης μαντείας αἴτιος. οἱ γὰρ ἄλλοι πάντες ὑποφέρονται, διὸς εἴσιν, εἴτε δαίμονος ἐκείνου, εἴτε ἀνθρώπου. Πανομφαῖος, παμφήμων, ἀπὸ τῆς ὀμφῆς. Πανόπτης, ὄρνις οὕτω καλουμένη. Πανόπη, ὄνομα νηρηΐδος λέγεται, ἡ πᾶσιν ὁρωμένη. Πανόπη, πόλις φωκίδος κληθεῖσα ἀπὸ πανοπέως υἱοῦ φώκου. ταύτης δὲ φασιν ὁ πολίτης πανοπεύς, ὁμοφώνως δὲ τῷ προτέρῳ κυρίῳ. Πᾶν ὅτι σὺν, πᾶν τὸ συχνόν. Πανοπεύς, ἀπὸ πανοπέως ὠνόμασται υἱοῦ φώκου. ἕτεροι δὲ πανόπην μὲν γράφουσι τὴν πόλιν, πανοπία δὲ τὴν χώραν αὐτῆς, ὡς καὶ ἐν τοῖς ἐθνικοῖς γράφεται. ζητεῖ δὲ καὶ τὴν Χαιρωνείαν εἰπόντα φανοτέα, ὁ φωκεύς. φασὶ γὰρ οἱ παλαιοὶ ἐπὶ τὴν χώραν ταύτην. φασὶ δὲ οἱ ἀρχαῖοι, ὅτι ὁ Ζωΐλος ἐν δὲ καὶ Λαυλίδα καὶ πανοπῆα γράφεσθαι καὶ πανοπέων, ὡς μὴ σώζων, αἰτιῶνται τὴν γραφήν, διότι ἀπολλύει τὸ μέτρον, καὶ οὐδὲ χαριέστερον καθ' Ὅμηρον τὸ ὄνομα. ἔστι γὰρ πανοπέως, ὡς ἀχιλλεύς. ἐν δὲ τῷ Γεωγράφῳ κεῖται πανοπεύς, ὁ τὴν φανοτέα ὅμηρος τοῖς περὶ λεβάδειαν τόποις. καὶ ὅτι ἐνταῦθα ὁ τοῦ ἐπειοῦ πατρίς, καὶ ὅτι ἐκεῖ μεθύοντα τὰ περὶ τὸν τιτυόν, ὅθεν ὁ τῆς ἀετοῦ τὰ ἀποτῆς βίας ἀπ' αὐτῆς, δι' ἣν οἱ μυθικοὶ γίγαντες αὐτὸν κατὰ τὸ ἡπαρ ἐσθίουσι, καὶ κύρειον φρούριον εὑρηκότας ταύτην καλῆ καὶ λιθινικῇ, καὶ ἀλέξανδρον, ὅς ὁ μῦθος βούλεσθαι. Πανόπτης, πολυόφθαλμος, καὶ ὁ πανταχόθεν φαινόμενος. Πανορμίας, ἐπίθετον Ἀπόλλωνος. Πάνορμοι λιμένες, οἱ ἐχέβαθεις εἰς οὓς διὰ τὸν πᾶσα ναῦς καὶ ἐν παντὶ ἀνέμῳ ὁρμίζεσθαι. Πανδοσκοῦλος, ἐπίθετον Διονύσου φορτωνίου. Πανοσκοῦλον, σχῆμα χάματος. ὅταν οἱ ἀπὸ σπόλου ἐπὶ τῷ νηὸς, ὅσον τι, λέγεται χῦμα. Πανσπερμία, ἡ ἐκ τῶν σπερμάτων μίξις. Πανσπερμία, ὁ ἀπὸ ἄλλος συμμιγής, πλῆθος. Πᾶν ὅτι σὺν, οἷον λίαν κατ' εὐθὺ, πᾶν τὸ συχνόν. Πανουργός, ἐπάλας. Πανουργία κυρίως, ἐπὶ μὲν τοῦ καλοῦ, καὶ τοῦ κακοῦ, διὸ ἐν οὐκ ἐκλαμβάνεται ὡς εἰς κακίαν. Πανουργία δὲ ἐπὶ τὸ κατ' ἐπιτήδευσιν τεχνῶν. ὁ τοῦ πανούργου προσηγορία δύο σημαίνει. καὶ ὁ μὲν ἐπὶ βλάβῃ ἑτέρων τῇ ἐπινοίᾳ τῶν ἔργων χώμενος. ἕτερος ὁ δὲ ἐπαινετὸς πανοῦργος, ὁ ὀξέως καὶ συνετῶς τὸ οἰκεῖον ἀγαθὸν ἐκφέρων, καὶ τὰς δολίως καὶ ἐπιβούλως παρ' ἑτέρων αἱ δὲ βλάβαι σκευωρουμένας ἀποδιδάσκων. Πανοῦργος ἀεὶ πᾶς, ὁ πᾶσιν ἔργοις ἐπιβάλλων, καὶ ὁ φαῦλος, καὶ ὁ δόλιος. κατὰ μετὰ πάντως δὲ, καὶ ὁ ἐπὶ κακοῖς τὸ μὲν σύμβολον ἔχων γνώμην, ὡς καὶ παντεργός, ὁ πάντα ἐργαζόμενος, καὶ ὁ μηχανικός.

Πανοῖος, πάντα οἷος. Πάνοψ, ὄρνις ἁπλῶς, ἔστι δὲ καὶ πῶς καὶ ἄγαλμα καὶ ἑρμοῦ. Πανόφρων, ὁ τὸ πᾶσιν ὁρᾷν. ἢ τὸ πάντων τελευταῖον καὶ ἔσχατον, καὶ μείζον. ἀπὸ τοῦ ἴση, ὃ ἀπὸ τὸ ἴδιον, ὅτι ὑπερέχοντες ὡς καιρός. Ἀντίμαχος δὲ ὑπὸ σφετερίσασθαι, καὶ τί μὲν σημαίνει οὐχ ἑρμηνεύουσιν οἱ παλαιοί,

φαεὶ

ποτῶν ἐσφαλμένον. τουτέστιν, ἐλαυνόμενον τῆς ἀπ' αὐτῶν διατριβῆς. Παναχαιΐδα, τὴν θεσσαλίαν λέγει Ἀπολλώνιος, ὅτι αὕτη πρώτη ἐκλήθη ἀχαΐα, ἀπὸ ἀχαιοῦ τοῦ ξούθου. Παναχαιῶν, πάντων ἑλλήνων. Πανάωρον, ὁ τὸ πάμπαν ἄωρον λέγει Ὅμηρος, παρὰ τὴν ὥραν τὸν καιρόν, διὸ καὶ ἐλλείπουσιν παρὰ ... κατὰ τὴν παραλήγουσαν. ἢ παρὰ τὸ τὴν ὥραν τὴν φροντίδα, τὸν πάνυ πεφροντισμένον. ἢ ἀνάπαλιν, ὡς ἐν ἔθει τὸν πάνυ δίχα φροντίδος, ὅτι παῖς καὶ ἐφίλουν αὐτό. Πανδαισίας, πολυτελοῦς τραπέζης, εὐωχίας. Πανδαισία. Ἀριστοφάνης, ὥσπερ μᾶζα καὶ πανδαισία. πανδαισία, ἡ ἀφειδὴς καὶ παντελὴς εὐωχία. μᾶζα δέ ἐστιν ὁ συγχυτὸς ἄρτος. ἄλλως. ὅταν γὰρ εἰς κοινὸν θύωνται ἕκαστοι φέροντος ἑαυτοῦ δεῖπνον, κοινὰ πάντα φαίνεται. τὰ μὲν τὰ προσφάγια φερόντων, τὸ δὲ αὐτῶν θυομένων. ἄλλως. φασὶ γὰρ τὸν δεῖπνον ἐν ᾧ ἕκαστος αὑτοῦ κομίζων εἰς κοινὸν κατατίθεται, καὶ πάντες πάντων μετέχουσι. τὸ δὲ εἶδος αἰτῶν, ἐπιμάζει ἀλφίτοις καὶ μάζῃ, διὰ τὸ κυκεῶν. καὶ ἐπειδὴ κυκῶνται, ὅταν μὲν τὰ ἄλφιτα. ὅταν δὲ οἱ θυόμενοι. πανδαισίαν δὲ τὴν ποικίλην καὶ ἐκ διαφόρων ὄψων εὐωχίαν. ὅταν ἕκαστος τὰ ἑαυτοῦ ὄψα ἀναπλήσῃ, καὶ καθῶνται εἰς τὸ κοινόν. ἢ ὅταν πολλῶν προκειμένων ἐδεσμάτων, λάβῃ τις ὃ θέλει. οἱ δὲ πανδαισίαν, λαχανηρὸν ἔχον παντοῖον ἔδεσμα. τὸ δὲ ὅλον τοιοῦτόν ἐστιν, ὥσπερ μᾶζα καὶ πανδαισία. Πανδαμάτωρ, τὸν ὕπνον ἔφη Ὅμηρος. Σιμωνίδης δὲ σημειωτικῶς φησι δαμασίφωτα, δεῖ τοῦ μὴ καὶ τὸ θεῖον κωμῳδεῖσθαι παραιτήσασθαι τὴν ὁμηρικὴν ἀκρίβειαν. ὡς οὐ πάντας, ἀλλὰ πάντα δαμάζεται φησὶν ὕπνος, τὰ πορευτὰ ὑπνῶν, ὡς ἐκ τῶν θεῶν πάντων ἰσχυρότερος. ὁ πάντων ἄναξ, κατὰ τὸ ὕπνε ἄναξ. δαμᾶν γὰρ καὶ δαμάζειν, τὸ ταπεινοῦν καὶ ὑποτάσσειν. ὅθεν καὶ δαμάλη καὶ δαμάλις, παρὰ τὸ δεδαμᾶσθαι. τῶν δὲ ἀπ' ἐκείνων φασὶν ὑπὸ ζυγίων. αἱ δαμαζόμεναι εὐποδίσφων ὑπὸ τὸν ζυγὸν, καὶ ἄντι χίσφων σφαδάζουσι. καὶ ἡ δάμαρ δὲ ἐντεῦθεν κέκληται, φασὶν ἀμφὶ συνεζευγμένη, καὶ δεδαμασμένη. πιθανὴν δὲ ὑποβάλλει ἔννοιαν ὁ λαοδάμας, καὶ ὁ λαγέτας. ὡς δαμαλὶς δαμάζεται, καὶ ὑφ' ἑαυτοῦ ἄγει λαὸν ὑπὸ ζυγοῦ τοῦ ὑπὲρ εὐλόφως φέροντα. καὶ οὕτω μὲν πανδαμάτωρ ὁ ὕπνος. εἰ δὲ καὶ λυσίπονος καὶ λυσιμελὴς ἐστιν, ὡς λύων μελεδήματα θυμοῦ, ἐρρέθη ἀλλαχοῦ. Πανδαμικοί, πανδημοὶ χιτῶνες, ἐν ταῖς κωμικαῖς.

Πανδάρεω, δύο κόραι τρίαι πανθείσαι, ἐκόμισαν ἀφροδίτη. ὡραῖαι δὲ γάμου γενόμεναι ἀνηρείψαντο ἅρπυιαι, καὶ παρέδοσαν ἐριννύσιν ἀμφιπολεύειν. ἴσως γὰρ περικαλλεῖς μὲν οὖν οὖσαι, διὰ ὀρφανίαν δὲ δυστυχοῦσαι, καὶ εἰς ὑπερβολὴν, καὶ οἷον ὑπὲρ ἑαυτοῦ δὲ ὅτου μεταβληθεῖσαι τῇ δίκῃ, ὥχοντο ἀνέμοις, καὶ διὰ τοῦ ἀνέμοις ἐπαχθεῖσαι, καὶ ἐριννύσι παραδοθεῖσαι μυθεύονται. ἡ δὲ πλείων παρ' Ὁμήρῳ ἐν υ', εὔχεται ταῖς τοῦ πανδαρέου θυγατράσιν ὁμοιωθῆναι. κατά γε τὸ ἁρπαγῆναι θυέλλαις προσφερομένας εἰς ἐρχόμενα κέλευθα. περὶ δὲ τοῦ ῥηθέντος πανδαρέου φέρεται λόγος, ὅτι κύνα κλέψας χρυσοῦν ἐν κρήτῃ ἡφαίστου ἔργον ἔμψυχον ἐκ τοῦ διὸς τεμένους, παρακαθῆκε ταντάλῳ. διὸς δὲ ἀναπέμψαντος τὸ κλέμμα διὰ ἑρμοῦ, ὤμοσεν ὁ τάνταλος μὴ ἔχειν. καὶ ζεὺς μὲν τὸν κύνα ἑρμοῦ ὑφελομένου ἀπολαβὼν, κατέστρεψε τοῦ ταντάλου τὸ σίπυλον. ὁ δὲ πανδάρεως ἢ πανδάρεος φυγὼν εἰς ἀθήνας, ἐκεῖθεν εἰς σικελίαν διέβη. ἔνθα διεφθάρη φασὶ μετὰ τῆς γυναικὸς ἁρμοθόης. Πανδάρεως, κυρίως ὁ πάντα δέρων, ζῆνα δείρολους καὶ πλεονεξίας, ἐρῶν. Πάνδαρον λέγει ὁ ποιητὴς, ἐξ αὐτοῦ τοῦ ἀπόλλωνος λαβεῖν τὸ τόξον, ἤγουν τὴν τέχνην, ὅτι τὴν τέχνην ἐπιστάμενον. καὶ ἔτι φησὶν ὁ ποιητὴς, μεθαρμόζει, ... δὲ ποιηταῖς, ἱστορεῖν τὰς περὶ ζωὰς τέχνας δεξιούς, θεόθεν ἔχειν τὰ ὄργανα. οὕτω καὶ ἄλλος τις, μοῦσαν ἔχει περίεργον τὴν οἱ πόρε φοῖβος ἀπόλλων. καὶ κίθαρον δὲ ὡς, καὶ ἕτερος λύραν. καὶ ἄλλος ἀσπίδα, ἢ ὡς ἀρχαῖον ὅπλον, ἐκ θεῶν λαβεῖν μεμύθευνται. τοὺς γὰρ εἰς ἄκρον φασὶν εὑρεῖν, θεοῖς ἀναπλάσαι ἃ εἰσιν οἱ ποιηταί. Πάνδεια, ἑορτὴ ἐπὶ τελοῦσι μετὰ τὰ διονύσια ἀγομένη. Πανδελέτιοι γνῶμαι, τουτέστι διεφθαρμέναι. ἐπεὶ πανδέλετος συκοφάντης ἦν φιλόδικος, καὶ γράφων ψηφίσματα, καὶ ἦν εἷς τῶν περὶ τὰ δικαστήρια διατριβόντων. Πανδέλετος, ἐπὶ πονηρίᾳ διαβεβλήτο. συκοφάντης δὲ ἦν, καὶ φιλόδικος, γράφων ψευδῆ ψηφίσματα. πανδελετίους εἶπεν Ἀριστοφάνης γνώμας, ὡς ἄρτων πανουργίαν στρέφων, μέμνηται τοῦ πανδελέτου καὶ Κρατῖνος. οὗτος καὶ ψηφίσματα ἔγραψε.

Πανδερκής, πάντα ὁρῶντος. Πᾶν δ' ἦμαρ, δι' ὅλης δὲ τῆς ἡμέρας. Πανδήμιος, παράγεται ἐκ τοῦ πανδήμου. καὶ δῆλον ὅτι ὡς ἐγκαίρως πανδήμιον αἰεὶ πάσης ἦσαν τὴν κοινὴν ζημίωσιν. ὡς ἐκ τοῦ παρὰ τοῖς ὕστερον καλουμένου δημίου. ἐξ οὗ σκῶμμα κωμικοῖς ἐπὶ ... τὸ δημόκοινος. ὃς ὁ ἄσφακτος, ὁ ἄσφακτος ἐπεκαλεῖτο. καὶ ὅτι παρὰ τοῖς μεθ' Ὅμηρον πτωχὸς μὲν, ὁ δὲ ἐνδεὴς ἐπαιτῶν. ἀκολούθως Ὁμήρῳ καὶ οὕτω τὴν γαστέρα βόσκων. πῶς; δὲ, ὁ χρειοῖ ἀγορείμενος, καὶ οὕτω ζῶν. ἣ δὲ τοιοῦτος χειρομάχων πλευρὸν, ἐστὶν ἐν τοῖς τῶν Ἀθηναίων νόμοις. καὶ ὅτι τὸν πτωχὸν ἀστεῖος παρῳδεῖ εἶπεν ὁ Μένανδρος εἰκὸς, δημοσίων πτωχοὶ ἦσαν, καὶ πικρὸς, τὸ δὲ πλουτεῖς. Πάνδημος ἀφροδίτη, οὕτως ἐκάλουν τὴν ἀφιδρυθεῖσαν περὶ τὴν ἀρχαίαν ἀγορὰν, διὰ τὸ ἐνταῦθα πάντα τὸν δῆμον συνάγεσθαι τὸ παλαιὸν, ἃς ἐκάλουν ἀγοράς. ἔτι δὲ τὸ πάνδημον, πανηγύριον. Πανδήμου, παντὸς τοῦ πλήθους, ἢ παντὸς τοῦ δημώδους καὶ ἀγελαίου ὄχλου. Πανδοκεῖς, καὶ πανδοκεύτριαι καλοῦνται, αἱ τὰ πάντα πιπράσκουσαι. καὶ τὸ χωρίον πανδοκεῖον, καὶ τὸ πρᾶγμα πανδοκεύειν, καὶ πανδοκεία. οἱ δὲ εἰς τὰ πανδοκεῖα καταγόμενοι, καταγέται ἂν λέγοιντο. μᾶλλον δὲ οἱ τὰ πάντα πωλοῦντες, παντοπῶλαι, καὶ ὁ τόπος παντοπωλεῖον. τὴν δὲ παντοπῶλιν, καὶ τὴν παντοπωλίαν, εἶπεν Ἄρχιππος ἐν ἰχθύσι. Πανδοκεύς, πανδοχεύς, ὁ πάντας δεχόμενος. Πανδοκευτρία, ἡ ἀεὶ πολεῖς, παρὰ τὸ δέχεσθαι πάντα. εἴρηται δὲ κάπηλος, παρὰ τὸ καπύειν τὸν πηλόν. πηλὸς δὲ ὁ οἶνος, ὅθεν καὶ ἄπηλος. οἰνέμπορος οὖν ὁ ἐν αὐτῷ ἔχων τὸν πηλόν. Πάνδοξ, ὁ ἐν πανδοκείῳ οἰκῶν. Πανδοῦρα, ἡ πανδουρίς, ὄργανον μουσικόν. πάνδουρος δὲ, ὁ μεταχειριζόμενος τὸ ὄργανον. Πανδοσία, πόλις τῆς ἠπείρου, καὶ ἰταλίας. Πανδοῦρα, μάχαιρα κρεωκόπος, ἡ κοπίς. Πανδοχεῖον, οἱ διὰ τοῦ χ λέγοντες, ἁμαρτάνουσι. διὰ γὰρ τοῦ κ χρὴ λέγειν πανδοκεῖον, καὶ πανδοκεύς, καὶ πανδοκεύτρια. Πάνδοχοι, αἱ πάντας ὑποδεχόμεναι. τὸν δὲ ἔνοικον ὅλη περιφερόμενον. καὶ πάνδοχοι γραῖαι. καὶ πανδοχεῖον, τὸ πάντας ὑποδεχόμενον οἴκημα. Πάνδροσος, ὄνομα γυναικός. Πανδῶρα, κεῖται παρὰ τῷ Ἀριστοφάνει ἀντὶ τῆς γῆς. ἐπειδὴ πάντα κατὰ τὸ ζῆν δωρεῖται, ἀφ' οὗ καὶ ζείδωρος· ὁ ἀνησίδωρος λέγεται. Πανδώρα, εἴρηται ὅτι παρὰ πάντων δῶρα ἔλαβεν. ἢ ὅτι δῶρον πάντων τῶν θεῶν, ὥς φησιν Ἡσίοδος. Πάνεα, κεχορτασμένοι. Πανέκαν, ἀνακλός. Πανέλληνας, οὐ κατὰ Ζηνόδοτον, ἀλλ' ἐμφατικῶς ἑρμηνευτέον κατὰ τοὺς παλαιοὺς λέγοντας τὸ πανέλληνας καὶ ἀχαιούς, ἀντὶ τοῦ θεσσαλοὺς, καὶ ἀργείους. ἵνα ἐνδείκνυσι τοὺς ὅλους ἀργείους τῶν ὑπὸ ἀχιλλεῖ λεγομένων ἰδίως ἕλληνας κατὰ ἐξοχήν. ἑλλάδα γὰρ οὐ τὴν οἰκουμένην χώραν ὑπὸ ἑλλήνων λέγει, ἀλλὰ μίαν ἐκεῖ πόλιν θεσσαλικὴν, καὶ τοὺς ἐκεῖθεν ἕλληνας. Πάνεμος, ὄνομα μηνὸς παρὰ μακεδόσιν, ὁ ἰούλιος. Πανεξάλειπτον, ἐν πᾶσιν ἀήττητον. Πανεῦ, ἡ ἐπιλέγοντες σφίσιν περὶ τὰς συνουσίας πάντες ἔλεγον. Πανέφθον, ἑφθοῦ, καὶ διεφθαρμένον, ὁ ἐχόμενον φλογί. Ἡρόδοτος δὲ ἀπέφθου, ἐν οἷς δὲ

μαχομένους τοῦ τείχους, οἱ μὲν παλτά, οἱ δὲ σφενδόνας. ἐν δὲ τῇ δεξιᾷ ἔχοντες παλτὸν, ὡς τὸ ἐξάπηχυ. ἔμπροσθεν μὲν λόγχην ἔχον, ὄπισθεν δὲ αὐτοῦ τὸ ξύλον σφαιροειδές. Παλτάσια, σφενδόναις. Πᾶλτ, ἦλατ, ἐπίβα. Πάλτρ, κληρωτικόν.

Παλύνει, ἐπιπάσσει, παρὰ τὸ ἐμπάσσεσθαι. Παλύνων ἄλφιτα ἀκτῇ, παρ' Ὁμήρῳ, ἐν Ὀδυσσείᾳ, τουτέστι λευκαίνων καταπάσσων ἄλφιτα ἀκτῇ, τουτέστι λευκῷ, ἢ κλασματι. Παλύνειν, δηλοῖ τὸ λευκαίνειν, κυρίως δὲ ἐπὶ ἀλεύρου λέγεται. ὅθεν καὶ ἡ πασπάλη. ὁ δὲ κωμικὸς δηλοῖ καὶ ἀντὶ τοῦ καταπάσσειν τοῖς τὴν ὀσφὺν ἐν τῷ καταπαττόμενος, πασπάλη γενέσθαι. καὶ ἔστι φασὶ πάλη, τὸ ἀποπαλλόμενον λεπτότατον τοῦ ἀλεύρου. ἐξ οὗ καὶ τὸ παλύνειν, καὶ ἡ πασπάλη κατὰ ἀναδιπλασιασμὸν, καὶ ἐπενθέσει τοῦ σ. οἱ δὲ λέγουσι παλύνειν ἢ τὸ μολύνειν κατὰ Ἀττικοὺς, διακαλοῦν εἰς τὸ ξανθὸν κρῖμα Διοπολλικὸν, παρὰ Σωσικλῆ. Παλύνον, ἀντὶ τοῦ ἐπιπάσσειν ἐνίοις φασί. Παλύνω, ὡς λευκὸν τὸ μολύνειν καὶ βρέχειν. ἄμεινον δὲ τὸ λευκαίνειν. Παμβαξ καὶ παμβακὶς, τὸ παρὰ πολλοῖς λεγόμενον βαμβάκιον, ἐκ τῶν συντελείων κοτίδα παμβακίδων. Παμβασιλεὺς, ὁ ἐπισκοπίδιος λαμπρός. Παμβῶτις τύχη, ἐλπὶς παντηγόρος.

Παμιώς, πυταμός. Παμμάκαρ, κατὰ πάντα μακαριός. Πάμματα, καλεῖται παρὰ Δωριεῦσι τὰ κτήματα. καὶ πάσασθαι, τὸ κτήσασθαι, ἐκτεταμένου τοῦ α. Παμμάχιον, παγκράτιον. Παμμέγεθες, λίαν μέγα. Παμμέλαθιν, μέλασι φλυκταῖς. Παμμήτορα, πάντων τεκοῦσαν. Παμμήτωρ, ἡ γῆ, ἐκ τοῦ τρέφειν πάντας. Πάμπαν, παντελῶς, ὁ ὅλως. Παμπάτωρ, ὁ δημιουργὸς ἐν ὀρφικοῖς. Παμπήδην, παντελῶς, ὁλοσχερῶς. Παμπησίαν, τὴν πᾶσαν κτῆσιν λέγει Δημοσθένης. Παμπληθεί, καὶ πάμπληθες, ἀντὶ τοῦ πολύ. καὶ παμπληθεῖς, πάνυ πολλούς. Παμποίκιλος, πολύτροπος. Παμπρύτανιν, πάντων ἡγεμόνα. Παμπόλας, ὄνομα πόλεως. παμποίκιλη δὲ, ἡ πολλὴ καὶ ποικίλη. Παμφάγον καλοῦσι τὸ πῦρ, οὐχ ὡς φάγον καὶ τὸ λαμπρὸν εἶναι. Παμφαής, ὁ πάντα λαμπρός. Παμφαὴς, ὁ πᾶσι φαινόμενος φαιδρότης.

Παμφαίνειν, λάμπειν, στίλβειν, ἀστράπτειν. Παμφαίνουσιν, κατὰ ἐπίτασιν ἐκ τοῦ φάω φαίνω παμφαίνω παμφαίνοις παμφαίνω παμφαίνουσιν, ὅσπερ ἔχουσι. Παμφαλᾶν, τὸ μετὰ πτοήσεως καὶ ἐνθουσιασμοῦ ἐπιβλέπειν πάντη. κέχρηται δὲ τῇ λέξει καὶ Ἱππῶναξ καὶ Ἀνακρέων. Ἀπολλώνιος, πολλὰ ἐπιπαμφαλῶντος, πολλὰ ἐπιβλέποντος, σημαίνει καὶ τὸ ἐπιφέρεσθαι.

Παμφαλύξα, τρίμμα. Παμφανόων, σφόδρα λάμπων. παμφαίνω, καὶ ἐκ τούτου παμφανόω, ῶ, καὶ πλεονασμῷ τοῦ ο, παμφανόων. Παμφαοῦς, λαμπρός. Παμφθέγγε, παμφθόγγ. Πάμφι, παντάπασι. Παμφίλη, γυναῖκα ἀθηναίαν, ἐκ πάμφι τὸ γένος ἔχουσαν. Παμφίλαιον, χρῆσθαι...

Πάμφιλον, τόπος. Πάμφιλος καὶ Βιλοσπύλας παρὰ Δημοσθένει, ἀμφότεροι πλούσιοι, ἀντὶ τοῦ εἰπεῖν πλουτοῦσιν, ὧν οὐχὶ κλαίονται. ὁ Πάμφιλος δὲ Μακεδονικὸς ἦν, οἰκῶν ἐν Ἀθηναίοις, καὶ ἐκαλεῖτο τοῦ δήμου. ἐνίοις δὲ τὴν βιλοσπύλην παραλαβεῖν φασι τοῦ παμφίλου. διευχυθεὶς οὖν τοῦ πάμφιλον, ... καὶ αὐτὸ συνδιευχεῖν αὐτῷ. Πάμφιλος παρὰ τῷ Δημοσθένει, ζωγράφος ἦν. ὃς εἰς τοὺς Ἡρακλείδας ἔγραψεν ἱκετεύοντας τὴν τῶν ἀθηναίων δῆμον. μετὰ τὸν θάνατον Ἡρακλέους εὑρεθέντες διώκει τοὺς Ἡρακλείδας, διὰ τὸ πρὸς τὴν Ἡρακλέα τὸν ἐκείνων πατέρα ἐμφύλιον μῖσος. ταύτην τὴν ἱστορίαν ἔγραψε Πάμφιλος τραγικός. κατὰ δέ τινας ζωγράφος ἦν, ὃς τὴν Ἡρακλείδων τύχην χαρακτῆρι ἐργασάμενος. καὶ ἄλλα πολλὰ περὶ τούτου ἄλλοι λέγουσι. Πάμφορον, πολύκαρπον. Πάμφορος, παντοῖα φέρων. Πάμψυχος, ὁ ἀμφιάραος, ὅτι πάντων ἀνθρώπων ψυχῶν ἐν ᾅδου, ὃ διασώσας πᾶσαν τὴν ἑαυτοῦ ψυχήν. ὁ διασώσας τὴν ψυχὴν σώζων, ἤδη ἄδηλος.

Πάμψυχος, ὁ κύκνος. ἐπειδὴ καὶ ὁ λυκὸς, καὶ τὸ φιλεῖν τῷ νόμῳ τὰ παιδία καὶ τὴν πατέρα. Πανάγης, καθαρόν. ἅγος γὰρ καὶ αἰτία, καὶ μῦσος, κατ' ἀντίφρασιν. Παναγισίας, παναγίας. Πάναγρα, τὰ δίκτυα, ἐκ τοῦ τὰ πάντα ἀγρεύειν.

Παναθήναια, ἑορτὴ παρ' Ἀθηναίοις εἶναι μεγίστην παρὰ πάντων ἄλλων, ἐν οἷς ἄρχουσι οἱ παῖδες ἐν ὅπλοις. ἐπεὶ οὖν ἐν τοῖς Παναθηναίοις πᾶσαι αἱ ὑπὸ τῶν Ἀθηναίων ἀποικισθεῖσαι πόλεις βοῦν τεθυσόμενον ἔπεμπον, συνέβαινεν ἄπλετον εἶναι τὸ κρεῶν, ὥστε πληροῦσθαι πάντας, καὶ παρὰ τὸ δίον ἐσθίοντας, διὰ τὴν ἀφθονίαν τῶν κρεῶν. Πανάθηναια παρὰ ... Βαρύνεται, ὅτι ὡς σύνθετον. ὡς γὰρ καλὸς πάγκαλος, κακὸς πάγκακος, οὕτως αἰδὸς πάναιδος. οὐ θηλυκὸν ἡ πάναιδος, ὡς ἡ παγκάλη. ὃ καὶ ἄλλως, κανόνι πίπτει. τὰ εἰς α λήγοντα θηλυκὰ δισύλλαβα ὀξυνόμενα, ἢ μὴ γινόμενα ἐν τῇ συνθέσει κύρια, διὰ προθέσεως μὲν φυλάσσει τὸν τόνον. οἷον ἐπιτομὴ ἀνατομή, ἐπιτολὴ ἀνατολὴ, ἐπιῤῥοή. τὸ ἀναφορὰ συμφορὰ βαρυνόμενον. μετὰ ἄλλου δὲ τινὸς ἀναλύει τὸν τόνον, ἰσοδύναμα ...

... φυλάσσοντος τὸν τοῦ ἀπλοῦ τόνον, οὗ χρῆσις παρὰ τῷ κωμικῷ, ἐν τῷ αἰδὸς γεγέννηται. Πᾶνα, οἱ μὲν λέγουσιν ὅτι ... καὶ πάντων τῶν ..., καὶ διὰ τοῦτο λέγεσθαι καὶ πᾶνα. ... δὲ ἐν τοῖς ... αὐτοῦ, ... καὶ ... δὲ ἐν τῷ ..., Διὸς καὶ ... οἱ δὲ λέγουσι διὰ τοῦ πᾶν, ὅτι τοῦ ... τὸ σημεῖον, τουτέστι τοῦ παντός. ὅθεν κυρίως προσαγορεύεσθαι ... συνοικειοῦται γὰρ ἡ μορφὴ τοῦ θεοῦ τῷ περιέχοντι. καὶ τὸ μὲν τῶν ... ἀπομίμημα ἡλίου καὶ σελήνης, καὶ ... φασὶν εἶναι. τὸ δὲ πάρδαλιν εἰλῆφθαι τῆς φαντασίας εἵνεκα. τὰ δὲ κάτω λάσια τῶν τῆς γῆς μερῶν, καὶ τῶν ἐν αὐτῇ πεφυκότων. τὴν δὲ σύριγγα, τῶν ἐν τῷ κόσμῳ πνευμάτων μίμησιν εἶναι. τὸ δὲ αἰγοῦν, τῶν καταιγίδων τὰς αἰφνιδίους ταραχὰς, καὶ τῶν ἀέρων γινομένων περὶ τὴν ἀέρα μεταβολῶν. καὶ τὰ κάτω, τουτέστι τοὺς μηροὺς δασεῖς σημαίνοντας, ἢ ὑλώδεις τόπους. καὶ τὰ κάτω βραχέα, σημαίνοντα τῶν ὀρῶν τὰ τραχέα. ἔχει καὶ τῇ μιᾷ χειρὶ τὸ ... σημαῖνον τὴν ἐργασίαν, τῇ δὲ ἄλλῃ τὴν σύριγγα σημαίνουσαν τοὺς ἀνέμους.

Πανάγυλος, πάγκακος. Πανακές, ἀθάνατον ... Πανάθλησιν, ὅλως λαμπραῖς, πανάθλοις ...

Πανάθεος, πάντα ἀκαρίτης. Πανακία, ἱερεία, ἡ ... μίσγεσθαι ἀνδρί. Πανακοὶ, ἴδιον ἔθνος. Πανάπαλος, παμπόνηρος. Πανάκεια, θεραπεία. Πάνακες, βοτάνη τις ἣ πολλοῖς ὀνόμασι καλεῖται. Πάνακτος, ὁ ὄρίγανος, καὶ τόπος ἐν τῇ Ἀττικῇ. Πανάλκης, ἰσχυρότατος. Πανάλκιος, ἰσχυρᾶς, γενναίας, παντοδυνάμου, ἐκ τῆς πανάλκιος χειρός.

Πανάμερος, δι' ὅλης ἡμέρας. Πανάμωμος, ἄριστος.

Πανάνυτρ, πάντα ἀνύοντα. Πανάποτμος ..., ... Πανάρτιος ... ἀλλ' οὗ ... Πανάθλιος, ἄθλιος, δυστυχής. Πανάκυλος, ἀνάκυλος. Πανάργυρον, ὅλον ἀργυροῦν. Πανάρκεια, ... Πανάρκεος, τοῦ μεγάλου καὶ ... ἄλλου δὲ πανάρκειος, τοῦ πανταχῇ λάμποντος.

Παναρμόνιον, πάντοθεν ἡρμοσμένον. ἢ παναρμόνιον, ἐξ ὅλου τεθεραμένον. ἁρμονία γάρ ἐστιν ἡ ... καὶ παναρμόνιον, ἐμμελέστατον. Πανασκυθία, πάντα ὑγιῆ. Πανασθενέστατος, ἰσχυρότατος. Πανανγής, πάνυ λαμπρός. Πανομφαῖος παῖς, ὁ τῶν ἑλικιωτῶν ἀπαλλαγμένος. ἢ παιδεία ἀφῆλιξ, οἷον τῇ ἀφηλικιότητι προσηκόντων τῶν τῆς ὀρφανίας ἐκείνων. καὶ πανομφαίανα λέγει Ὅμηρος, τὸν πάντων ἐλεῶ...

μοῦσθαι λίθον. Παλίουρος, εἶδος φυτοῦ ἀκανθώδους.

Παλιγκάπηλος, σημαίνει τὸν πανοῦργον καὶ ποικίλον ἐν κακίᾳ, καὶ παμπόνηρον σὺν ἀγχινοίᾳ. λέγεται δὲ καὶ ὁ τραχὺς ἄνθρωπος καὶ ἀνώμαλος. Παλιῤῥόθιον, ἤγουν παλίῤῥουν, ὅ ἐστι τὸ [illegible] τὸ ἐρημωτικὸν λέγει, [illegible] τὸ δὲ βαλὼν βέλος ἤγαγε νῦν, αὖθις ἐς ἤπειρον. ἐπὶ γὰρ αὖθις ἐς ἤπειρον ἤγαγε, ταυτὸν τῷ παλιῤῥόθιον ἔφερε. Παλίῤῥοια, ἡ ἄμπωτις. Παλίῤῥυτον, εἰς τοὐπίσω ἐλαυνόμενον. Παλίσκιον, τὸ ὑποσκιαζόμενον ὑπ' ἄλλου. Παλιμποντὸ, εἰς τοὐπίσω ὁρμῶ. Παλίσσυτοι, ὀπισθόρμητοι, ἀναχωρήσαντες. Παλινστάλακτον, ἐξ οὗ [illegible], ὁ μεταμελητήρ. Παλίσφημα, δύσφημα, κακά, ἐναντία. Παλίωξις, ἡ ἀνάπαλιν δίωξις τῶν διωκομένων στραφέντων εἰς τοὺς διώκοντας. Πάλκος, πηλός. Παλλαντικοὶ, σφαῖραι [illegible] ποικίλων νημάτων πεποιημέναι. Παλλάδιον, τὸ ἐν Τροίᾳ, φασὶ διοπετὲς μὲν εἶναι. ἦγεν ἐξ αἰθέρος ἄνωθεν οὐρανόθεν πεσόν. ἀνάφει δὲ δόρυ ἀμφίβολον, σχῆμα τι ἔχει καὶ ἠλακάτην, ἐν δὲ τῇ κεφαλῇ πῖλον, καὶ δόρυ ἐν τῇ δεξιᾷ. Παλλάδιον, ὅπου ἦν ξύλινον μικρὸν ξόανον, ὃ ἔλεγον εἶναι τετελεσμένον φυλακτήριον τῆς βασιλείας τῆς Τροίας. Παλλάδιον χρυσούμενον, ἐν ταῖς πρώραις τῶν τριήρων οἱ Ἀθηναῖοι ἀγάλματα ἦσαν ξύλινα τῆς Ἀθηνᾶς καθίδρυον, ὧν ἐπεμελοῦντο μέλλοντες πλεῖν. Παλλάδος πρόσωπον, κάτοπτρον. ἐπὶ μὲν ἑνὸς μέρους Ἀθηνᾶς πρόσωπον, ἐπὶ δὲ θατέρου, γλαῦκα. Παλλακίς, ἡ παῖς. κατὰ Δωριεῖς πάλλαξ λέγεται. Παλλὰς ἡ Ἀθηνᾶ, παρὰ τὸ πάλλειν τὰ ὅπλα. ἐμυθεύθη γὰρ, ἐν τῷ γεννᾶσθαι ἀπὸ τῆς τοῦ Διὸς κεφαλῆς, ἐξάλλεσθαι τὰ ὅπλα κινοῦσα. ἢ παρὰ τὸ παλλομένην τὴν τοῦ Διονύσου καρδίαν ἀνενεγκεῖν τῷ Διΐ. Διόνυσον γὰρ τὸν Ζαγρέα καλούμενον, ὄντα Διὸς καὶ Περσεφόνης ὑπάρχοντα, μελιστὶ οἱ Τιτᾶνες ἐσπάραξαν. οὗ τὴν καρδίαν ἔτι παλλομένην ἀνήνεγκεν. ἢ ὅτι ἐν ταῖς συμβολαῖς τῆς μάχης τῶν γιγάντων καὶ τῶν θεῶν, Πάλλαντα ἕνα τῶν γιγάντων ἀνεῖλεν. ἢ Πάλλαντα τὸν ἴδιον πατέρα πτερωτὸν ὑπάρχοντα, καὶ βιαζόμενον ταύτην ὡς θέλοντα συγγενέσθαι. ἢ τὴν παρθενίαν τιμῶσα, τοῦτον ἀνεῖλε, καὶ τὸ δέρμα αὐτοῦ ὡς αἰγίδα περιεβάλετο, καὶ τὰ πτερὰ τούτου τοῖς ποσὶ ταύτης προσήρμοσεν. ὅθεν αὐτὴν [illegible], καθάπερ καὶ τὴν πολεμικωτάτην Ἀθηνᾶν, Ἰτωνίδα μὲν ὑπάρχουσαν θυγατέρα, Ἰοδάμαν δὲ ἀδελφιδῆν. ὧν Ἰοδάμας ἀντιπολεμοῦσαν ἀνεῖλεν, ὥς φησι Σιμωνίδης ὁ γενεαλόγος [illegible]. [illegible] τὸ [illegible] ἔργον Ἀθηνᾶς Ἰτωνίδος, ἀλλὰ καὶ αὐτοὺς ἥρωας [illegible]. Φρύνιχος δὲ παλλάδια λέγει τὰ χειροποίητα μορφώματα, ὡς πᾶν δὲ ἐξ οὐρανοῦ εἰς γῆν βαλλόμενον. τὸ παλλάδιον δὲ τῆς Ἀθηνᾶς, πεσὸν ἦν τρίπηχυ, ξύλινον, ἐξ οὐρανοῦ [illegible] ἐν Πεσινοῦντι τῆς Φρυγίας. ὅθεν ὁ Διόνυσος [illegible] καὶ Δῖον [illegible] ἀπὸ τοῦ Παλλάδος [illegible] ἐν τῇ συμβολῇ τοῦ πολέμου, ὅπου [illegible] τὴν ἁρπαγὴν Γανυμήδους ἐμέμψατο Τάνταλος ὁ ἐραστὴς Γανυμήδους, [illegible] Ἶλος ὁ ἀδελφὸς αὐτοῦ. [illegible] δὲ ὁ Ἀντιοχεὺς ἐξ οὐρανοῦ λέγει πεσεῖν τὸ παλλάδιον, ὅπερ [illegible] φιλόσοφος [illegible] παλλάντιον, ὅπερ [illegible] εἶναι τὴν πόλιν [illegible] τὸ [illegible] χαρίσαντα δὲ τὸ [illegible] παλλάδιον τῷ [illegible]. [illegible] δὲ λέγει, κατὰ τὸ [illegible] ἴδιον, τῷ [illegible] σαν [illegible] τὸ παλλάδιον, ὃ τρίπηχυ ἦν τῷ μεγέθει, [illegible] συμβιβάζει τῇ δεξιᾷ δόρυ ἔχον, τῇ λαιᾷ ἠλακάτην καὶ ἄτρακτον. [illegible] Ἀθηνᾶς [illegible] φέρεσθαι [illegible] ἀμφοτέρους [illegible] τὰ κατὰ πόλεμον [illegible] παλλάδος, φοβεῖσθαι [illegible] αἰγίδα, [illegible] ὑπὸ τῆς Ἀθηνᾶς [illegible]. Ἀθηνᾶ [illegible] γενομένη, [illegible] ἐπὶ [illegible]

[illegible] τοῖς [illegible], ὀλίγου σὺν αἰγίδι, καὶ [illegible] περὶ τῷ Διΐ. [illegible] δὲ ἡ [illegible] προσαγγίσασα [illegible] εἰς τὴν [illegible] τῆς [illegible]. τουτέστι [illegible], ἡ τιμῶσα παρθενίαν ταῖς συμφοιτώσαις μόνη. διαφέρει δὲ παρθένος, καὶ κόρη, καὶ νεᾶνις, πρὸς νύμφην, γυναῖκα, γραῦν. παρθένος μὲν γάρ ἐστιν, ἡ μὴ γνωσαμένη συνουσίας ἀνδρῶν. νύμφη δὲ, ἡ νεωστὶ ζευχθεῖσα, μήπω δὲ τετοκυῖα. γυνὴ δὲ, ἡ γηραιὰ [illegible] καὶ τίκτουσα. γραῦς δὲ, ὁ διαφθείρεται τῷ τίκτειν. Παλλάδα τὴν Ἀθηνᾶν λέγει κατὰ ἀλληγορίαν, διὰ τὸ τῆς [illegible] ἢ φρονήσεως, εἰς ἣν ἡ Ἀθηνᾶ λαμβάνεται, ἐξενήνοχεν. ὡς ἀπὸ τοῦ πάλλω, τοῦ δηλοῦντος τὸ [illegible]. ἐξ οὗ καὶ πάλος, ὁ κλῆρος λέγεται. καὶ [illegible], ὁ [illegible] παλμός, ὅθεν [illegible] καὶ δι[illegible] τοῦ κάρα, ἤγουν τῆς κεφαλῆς. ἡ δὲ ἱστορία εἰς ταυτὸν ἄγει [illegible] τὴν Παλλάδα, οὕτω παρὰ τοῖς παλαιοῖς τὰς [illegible] ὀνομάζεσθαι λέγουσι. ὅθεν καὶ παλλακὶς [illegible]. καὶ πάλλαντας παρὰ τοῖς ἀρχαίοις, οἱ νέοι, ὡς [illegible]. τὸ δὲ λέγειν οὕτω καλεῖσθαι αὐτὴν, ἐπειδὴ ἐν τῇ γιγαντομαχίᾳ Πάλλαντά τινα [illegible] γίγαντα, ἀνεῖλεν. ἢ ὅτι ἐκ τῆς τοῦ Διὸς ἀνέπαλτο κεφαλῆς. ἢ ὅτι [illegible] τῆς [illegible] βληθείσης, καὶ τοῦ Διονύσου [illegible] ἐν [illegible], παλλομένην τὴν [illegible] καρδίαν ἤνεγκε τῷ Διΐ. εἶτι δὲ τοιοῦτον ἄλλο λέγεται, μῦθος δὲ [illegible]. καὶ [illegible] μὲν [illegible], ὅτι τὰ τῆς Παλλάδος εἴδωλα, παλλάδια τοῖς παλαιοῖς ὀνομάζονται. καὶ ὅτι φρόνησις [illegible] ἐστιν Ἀθηνᾶ, ὡς ἐῤῥέθη. Παλλεῖν, ὁ τῶν [illegible] ἐπάλλαλος [illegible]. Παλλάκιον, μειράκιον. Παλλακός, ἐρώμενος. Παλλάντιος ζεὺς, ἐν τραπεζοῦντι. Παλλαντίς, ἡ τρωικὴ λίμνη. Παλλανίων, τῶν πεπτωκότων ἵππων [illegible]. τινὲς δὲ τῶν παλαίθων, παλαίθω δὲ εἶδος [illegible]. Ἀριστοφάνης.

Παλλάσσειν, ταράσσειν, βρέχειν, μολύνειν. Παλλαχθέν, [illegible], [illegible]. Πάλλω, κινῶ, σείω, ἄλλεται, καὶ ἐπὶ τοῦ τὸν θυμὸν [illegible] ὁ Κέρβερος, καὶ τὸ παλλεῖσθαι ὑπὸ τοῦ τρόμου [illegible]. Πάλλειν, [illegible]. Πάλλεσθαι, κληροῦσθαι, ἅλλεσθαι. Παλλευ[illegible], ἀναπηδῶν. Παλλήνις, δῆμός ἐστι τῆς Ἀττικῆς. ἔνθα [illegible] τῷ βουλομένῳ τυραννεῖν, καὶ Ἀθηναίοις ἀμυνομένοις αὐτὸν πόλεμος συνέστη. παρὰ τὸ [illegible] πάλλειν. [illegible] δὲ ἡ λέξις. τὸ γὰρ [illegible] παλλήναια. Παλληνίς, ἡ Ἀθηνᾶ ἐν Χαλκίδι. Παλλήνη, δῆμος τῆς Ἀντιοχίδος. τὸ δὲ [illegible] ἐν θρᾴκῃ Παλλήνη γνώριμον. Παλληνικὸν βλίτον, ἀντὶ τοῦ γενναῖον. Πάλλαξ, βούπαις. Παλλία, [illegible]. οἱ δὲ τὸ παλίον, ἄνεσις δὲ τὸ πᾶν. Παλλιλογία, γίνεται προσθήκῃ τοῦ ε [illegible], ὅμοιον καὶ τὸ πάλλειν [illegible]. Παλλιχίαν, [illegible] παρὰ [illegible]. Παλλόμενον, [illegible], ὑπερορώμενον. Πάλλονται οἱ ὀφθαλμοί, καὶ σαρκὸς ὑπὸ παλμοῦ [illegible]. ἀφ' οὗ παλμὸς καὶ παλμοσκόπος, ὁ τῶν παλμῶν ἑρμηνεύς. καὶ πάλλεται ὡς καρδίαν, ὑπὸ φόβου. Παλλύτης, ὄργανον βασανιστήριον. Πάλλω, παλῶ, ἔπαλα, ὅθεν πάλος ὁ κλῆρος. Παλμίς, τὸ μὴ τυχεῖν βαλόντα. Πάλμη, γέῤῥον. Παλμιδός, [illegible]. [illegible] συνεγράψατο, οἷον ἐὰν πάλλῃ ὁ δεξιὸς ὀφθαλμός, τόδε σημαίνει. Παλμικός, πέλας. Παλμός, τρόμος, σεισμός. Παλμυδός, βασιλεύς, πατήρ. οἱ δὲ πάλμυς. Πάλμυς, αἰγύπτιος θεός. Πάλος, σάλος, σείστης. Πάλος, κλῆρος. ὁ δὲ [illegible] τούτους [illegible] παλλεσθαι, [illegible] δὲ, λαγχάνειν ἐκ πάντων βασιλεύς. Παλτὰ, [illegible]. ὁ δὲ πῦρ ἀναβὰς ἐπὶ τὸν ἵππον, τὰ παλτὰ ἐπὶ τὰ [illegible] ἔλαβε, [illegible], καὶ Ἀῤῥιανός, ἐξελαύνειν εἰς τὴν [illegible]

λεῦκος, κλέμμα. δύναται καὶ ἀντὶ τοῦ παλίμβολος ἐναντιόβολος, ἐναντιοτρόπως. ὡς καὶ παλίνδιος, ὄνομα. Παλίμβολον κάρφειαν ἐστὶ, τὰ ἐναντία βουλευόμενον. οὕτω ὠνόμαζον γὰρ λυδοί. Παλίμβολος. οὐ μόνον οὕτω λεγόμενος, ἀλλὰ καὶ ὁ ἐπὶ δούλου ἐν τῷ παλίμβολος τρίπρατος, ἢ πολλάκις ἀπημπολημένος. ἴσως δὲ καὶ ὁ τοιοῦτος ἐκεῖθεν γέγονεν. εἴρηται ὁ μεταβολεὺς, ἵνα ᾖ παλίμβολος δοῦλος, ὃν πάλιν καὶ πάλιν οἱ τῶν ἀνδραπόδων μεταβολεῖς ἤλλαξαν, οἷα τρίπρατον. Παλιμκαπηλεύειν, τὸ εἰς τοὐπίσω ἀνακυλίζειν. Παλιμπετὲς ἀποφαίνονται, ἀντὶ τοῦ παλιμπετεῖς. ἤγουν πεσόντες ἀνάπαλιν τοῦ σκοποῦ. καὶ ἔστιν ἐκ μετοχῆς, ἡ μεταφορὰ πεπλέοντων, ὅπως ἂν τύχῃ. δύναται δὲ ἐπίρρημα τοῦτο εἶναι, καλῶς ἐξηγούμενον. τὰ μὲν γὰρ ἐκ τοῦ πίπτω γινόμενα, βαρύνεται. οἷον, αὐτὸς ὑψιπέτης, τὰ γινόμενα. τὰ δὲ ἐκ τοῦ πέτω, ὀξύνονται. οἷον παλιμπετὲς ὑψιπετές. Παλιμπετὲς, παλιγκινὲς εἰς τοὐπίσω, παλιγκαμπές. Παλιμπετὲς. παρὰ μὲν τοῖς μεθ' Ὅμηρον, ὁ ἑαυτῷ μαχόμενος, καὶ ἐναντιούμενος οἷς εἶπεν, ἢ ἔπραξεν, ὃς καὶ περιπετὴς λέγεται. οἷον ὁ δεῖνα παλιμπετής, ἢ ὡς περιπετὴς ἑαυτοῦ ἐγένετο, ἀνάπαλιν ἑαυτῷ καὶ οἷς εἶπε πίπτων. ἔστι τὸ ἐπίρρημα παλιμπετές. Ὅμηρος δὲ ἐν τῷ ἐπὶ τῆς ἰδέης πάτροκλος παλιμπετὲς, τὰς τῶν ἀχαιῶν δηλαδὴ φάλαγγας ἐπὶ τὸ ὀπίσω, ἔστι ἀνάπαλιν τῶν λέξεων τίθησιν. ἕτεροι δὲ εἶπον παλιμπετὲς ἐπιρρηματικῶς, τὸ εἰς τὸ ὀπίσω πίπτειν. δύναται δὲ καὶ αἰτιατικὴ εἶναι θηλυκὴ πληθυντικὴ, κατὰ ἀποβολὴν τοῦ ι, ἐκ τοῦ παλιμπετεῖς. ἡ συνήθης τοῦ ἀπὸ τοῦ παλιμπετέας, ὁμοίως τοῦ ἐρέτας. ἐπιπεσὼν καὶ ἀναίδως οὕτως, ἤγουν ἀκλεεῖς. Παλιμπλαγχθέντας, οἱ μὲν ἀντὶ τοῦ ἐκ δευτέρου πλανηθέντας χρώμενοι τῇ τῶν νεωτέρων ἱστορίᾳ τῇ λεγούσῃ, ὅτι τὰ πρῶτα ἐπιστρατεύοντες τῇ τροίᾳ οἱ ἕλληνες, ἥμαρτον τῆς ὁδοῦ, καὶ τὴν μυσίαν αὐτοῖς εἰς τιμωρίαν προσέπεσον τῶν ἐλοίζοντο. ἡ δὲ ἦν ὑπὸ τῷ τηλέφῳ μυσία. ὁ δὲ τήλεφος ἀντικαταστὰς ἐτρώθη καὶ καλὸν, καὶ ἐπαθε. πίπτει μὲν τραῦμα λαβὼν ὑπ' ἀχιλλέως, ἀμπέλου ἕλικι συμποδισθέντος αὐτοῦ τοῦ ἵππου, κατὰ διονύσου πρόνοιαν, καὶ πεσόντος ὡς τῶν. ἐποίησε δὲ τὸ ἀσφαλῶς ὑποχωρῆσαι τοὺς ἕλληνας. ὡς δὲ τὸ τραῦμα εἶχεν ἀθεράπευτον, χρᾶται. καὶ ὁ χρησμὸς ἀνεῖπε τὸ θρυλλούμενον, ὡς ἄρα ὁ τρώσας ἰάσεται. πλεύσας οὖν τὴν ταχίστην ἐπ' ἀχιλλέα, καὶ συμβαίνει τὴν μὲν ἰάσασθαι τὴν ἑλκώσιν, τὴν δὲ λοιπὰ μαθὼν τῆς ὁδοῦ τὴν εἰς τροίαν ὁδηγίαν. ὡς οὖν ἅπαξ ὑπὸ τῶν ἀρχῶν ἐπλανήθησαν, οὕτω φασὶ δεῖν καὶ νῦν ἀχιλλέα, μὴ πάλιν πλαγχθῶσιν, ἔδει τὸ δεύτερον. ἀλλ' οὕτω μὲν τινὲς ἀκολουθοῦντες καὶ τῷ νεωγράφῳ εἰπόντι, ὅτι ὁ τὸ ἁμαρτήσαντος τόλμος μυσίαν ὡς τροίαν πορθῶν ἐπαλινδρόμησεν αἰσχρῶς. ἄλλοι δὲ, οὐκ ὁμονοοῦσί φασιν, ὅτι οὐκ ἔστι τὸ πάλιν ὅλως ἐπὶ τοῦ ἐκ δευτέρου κεῖται που παρὰ τῷ ποιητῇ. ἔστι δὲ φαίνεται ὁ ποιητὴς τὰ λέγειν ἑτέρῳ καὶ ἀνατιθεὶς τὴν ὁδηγίαν τὴν εἰς τὴν ἴλιον, ἀλλὰ ὁ τοῦ μάντεως κάλχαντι. φησὶ γὰρ, ὅτι ὁ κάλχας διὰ τὴν αὐτοῦ μαντοσύνην, ἡγήσατο ταῖς τῶν ἀχαιῶν νηυσὶν εἰς τὴν ἴλιον.

Παλιμπεπλεγμένον, οἷον παλίμπλεγμον κύρασιν προῦλαν ἐπὶ τὸ ἔμπροσθεν ἀνακάμπτουσα, ὡς ἐπὶ δρόμοις χρῶνται. Παλιμκύρτης, βάκχης. Παλίμφημα, κακὰ, ἐναντία, κακόφημα, δύσφημα. Παλίμφημον, βλάσφημον. τὸ παλίμφημον δὲ φημα. Πάλιν, ἐν τῇ παραθέσει, καὶ ἐν τῇ συνθέσει δύο σημαινόμενα ἔχει. σημαίνει γὰρ ἐστὶ ἐν τῇ παραθέσει, καὶ τὸ ἐκ δευτέρου, καὶ τὸ εἰς τὰ ὀπίσω. ἐν δὲ τῇ συνθέσει ὡσαύτως. σημαίνει καὶ τὸ ἐκ δευτέρου, ἔστι τὸ ὡς τὰ ὀπίσω. Πάλιν, σημαίνει τρία. τὸ εἰς τοὐπίσω, ὡς τὸ χειρὶ πάλιν ἐρύσατο. τὸ ἐκ δευτέρου, ὡς τὸ οὐδ' ἔτι μὲν πάλιν ἐνόσεται θυμός. σημαίνει δὲ τὸ ἐξ ἐναντίας. ὡς τὸ οὐκ ἔστι τὸν μῦθον ἐνίσπεται, οὐδὲ πάλιν ἐρέω. Πάλιν καὶ ἐν ἀναφορᾷ, ἀντὶ τοὐπίσω. Παλιράθειν, τὸ ἐπανελθεῖν, ὁ παλιν-

λινζωΐα καὶ παλιγγενεσία λέγεται. Παλιναγγελος, ὁ ἐξ ὑποστροφῆς ἄγγελος, ὅταν ἀπαγγείλας τινὶ, ἀπὸ τούτου ἑτέρῳ ἀποφέρῃ, ἐπιφέρῃ. Παλινάγρετα, ἀμετάβλητα, τὰ χαρίσματα, τὰ ἐκ μεταμελείας πάλιν ἀναλαμβανόμενα. καὶ παλινάγρετον, παλίλλυτον, μεταμελητόν. Παλινάγρετον, ἀπατηλὸν, ἀτελεύτητον, παρ' Ὁμήρῳ. οὕτω φασὶν οἱ παλαιοί, ὅτι διὰ τοῦ οὐ παλινάγρετον δηλοῖ, ὡς βέβαιος ἐστι. διὰ δὲ τοῦ οὐδ' ἀπατηλὸν ἐμφαίνει, ὅτι καὶ φιλαλήθης ἐστι. διὰ δὲ τοῦ οὐδ' ἀτελεύτητον, ὅτι τὸ λεσιουργὸς ἐστιν ὄντι, οὐ γὰρ ἐμὸν, λείπει τὸ ἔπος. Παλιναίρετα, τὰ ἐπισκεπτόμενα, καὶ οἷον ἐπίγραφα. οὐ κακὰ δὲ, ἀδεὴ ὑγιῆ. Πάλιν, αὖθις αἰεὶ λέγουσιν ἴωνες, καὶ οὐκ αὖθις. Πάλιν ἀφίκετο πρὸς οἶκον, ἀντὶ τοῦ ἐπίστρεφε πρὸς οἶκον. Παλινδίνησις, ἡ ἐξ ὑποστροφῆς ὑλάκτων. Παλινδίνες, παλίγγυνον. Παλινδικεῖν, ἐπισυνάπτειν δίκην. ἔστι παλινδικίαν λέγουσι, τοῖς ἀδίκως καταδικασθεῖσι. Παλινδικία, ἡ ἐξ ἀρχῆς δίκη. Παλινδίνητον, συνεχές. Παλινδορία, τὸ ἀκάτιος. Πλάτων, σύρρηξε καὶ μαμουῆρι παλινδορίαν παίσας αὐτοῦ κατὰ θύραν. Παλινδρομεῖν, εἰς τοὐπίσω ὑποστρέφειν. Παλίνδρομος, ἐπιθέρματος, πέμψας αὐτοῦ μιᾶς νήσοις, παλινδρόμους ἀπέλαβε. Παλινορία, ἐναντιοῦνται, ἡ ἀντιδοσία. Παλινῳδία, ἐναντία ᾠδὴ. παλινῳδία δὲ, ἐναντία ᾠδή, ἢ τὰ ἐναντία εἰπεῖν τοῖς προτέροις. καὶ ῥῆμα παλινῳδῶ, διὰ τοῦ ω μεγάλου.

Παλίνοπλα, τὰ ἀπὸ τοῦ ἡλίου ἀπεστραμμένα, παρὰ τῷ ἱπποκράτει. Παλίνορον, παλινόρμητον. δικλοῦν ἐποίησε τὸ ἀνάπαλιν ὁρμώμενον ψευδῶν. ἀριστοφάνης, ὃ σφαῖραν παλίνορον ἐξεκόμισε. Παλίνορσος ἀνήει, καὶ ἀφ' ἀνεχώρησε, ταυτόν. ὥσπερ καὶ τὸ παλίνορσος, καὶ ἀψόρρος. ἀφ' ταυτὸν τῷ αὖτις, ἤγουν ὀπίσω. Παλινορμένων, ἀντὶ τοῦ ὀπίσω ὁρμῶν, ὡς παλιμπλαγχθέντες, καὶ ἐπιτυχείαν. σημαίνει δὲ τὸ ὑποστρέψαντες καὶ παλινδρομήσαντες. Παλινοστήσας, ἐπανελθών. Παλινσκιοῦ, καὶ σκιοῦ, σκιερά. Παλίντιτα, ἀντιτιτα λέγεται, ἀντὶ τοῦ ἀντιτίσεις, ἤγουν ἀντίποινα. ἔστι δὲ παλίντιτον, οὗ ἡ τίσις πάλιν, ἤγουν ὕστερον τῷ μέλλοντι γίνεται. Παλίντιτα, ἐφθὰ πέπτα. Παλιντόνος, χώρα γυνή. Παλίσκιον, σκιερόν. τὸ γὰρ πάλιν, ἐπίτασιν δηλοῖ, ὡς παλιγκάπηλος, καὶ παλίμπρατος. ἡ κοινὴ συνήθεια, παλίσκια λέγει, τὰ μὴ ὑπὸ τοῦ ἡλίου θερμαινόμενα πεδία. Παλίσκιος, ἴσκιος μὲν ἀντὶ τοῦ σύσκιον. Ἀρχίλοχος δὲ, ἀντὶ τοῦ σκοτεινόν. καὶ Σοφοκλῆς, Χαμαὶ παλισκίῳ, ἀντὶ τοῦ ζοφερῷ. Παλίντομα, εἰς τοὐπίσω τετμημένα. Παλίστροφα, ἐπιστρεφόμενα ἢ τὰ ἐφ' ἑκάτερα τρεπόμενα. Παλιντρέπτον, ἀντιστραμμένον, ἐναντίον. Παλιντριβῆ, παλιντριχῆ. Πάλιν τράπεν ἵππους, ἀντὶ τοῦ στραφῆναι ὀπίσω, καὶ ἀνακάμψαι τῆς ὁδοῦ ἐπίσω. ἅμα γὰρ τοῦτο καὶ πάλιν ῥέζειν ὥσπερ φαμέν. καὶ πάλιν τραπῆναι, ἐφ' ἐκεῖθεν φασὶν ὁ ποιητής. δῆλον δὲ, ὡς ἐκ τοῦ πάλιν τρέπω, ὁ παλίντροπος σύγκειται. ἐκ δὲ πάλιν τρεπέσθαι, ὁ καινότερον διὰ τοῦ ο μικροῦ γράφεται, ἀνάπαλιν τοῦ τρέπεσθαι, ἴσως διὰ τὴν σύνθεσιν. Παλιντροπιάασιν, ταῖς παλιντροφαῖς. ἢ διὰ τὸ ἔμπαλιν τετράφθαι, παρὰ τῷ Ἀπολλωνίῳ. Παλίντροπος, ἐπιθέρματος. τομιὸν ἐν ἑαυτῷ λαβοῦσα παλίντροπον ἐκ πολέμοιο παῖδ' ἰὸν, ἐς πατρὸς οἶκον ἵετο πολλά.

Παλιντροπᾶσθαι, ἡ ἀρχὴ ἐστι τοῦ παλίντροπος. ἀφ' οὗ τοῦ ο μικροῦ παραλεγομένου γίνεται πάλιν τροπᾶσθαι γράφειν ὁμοίως ἔχον καὶ ποτὲ, καὶ οὐ μαχόμενον κατὰ τὴν ἀκολουθίαν τοῦ τροπᾶσθαι. ὅπερ διὰ τοῦ ω μεγάλου γράφεται ἀναλόγως τῷ ὀροφῶ, σκοπῶ, ὀχῶ, καὶ τοῖς ὁμοίοις. Παλινῳδία, ἡ προτέρα ᾠδὴ, ἢ ἡ ἐναντία, ἢ δόγμα τοῖς προτέροις ἀνόμοιον. Παλίνωξις, ἡ ἐξ ὑποστροφῆς δίωξις. Παλίνωρον, εἰς τοὐπίσω ἐξέκλινε, καὶ ἐξέβαλεν. ἀπὸ τῶν ἐκχυνιζομένων ῥεῖθρον. Παλίρροος, ἄκοντας. Παλίρροος, κάθοδος ἀντλητὴς καὶ τὸ ἀπ-

σωφρόνως ἁπλῶς, ἀλλὰ χάρακας. αἱ δὲ κεκλιμέναι τοῦ οἴκου μὴ ἔχουσαι, τάχιον ἐπαναλύειν εἰώθασιν, ἐπειδὰν βραχὺ ἀποθλιβῶσι. καὶ ἔστι τὸ εἶδος περίφρασις τοῦ ἀχαιϊδος, οὐκ ἔτι ἀχαιαί.

Παῖς ὁ τὴν τοῦ παιδὸς παραδραμὼν ἡλικίαν, οὔπω δὲ ἀφιγμένος ἐπὶ τὴν τοῦ μειρακίου. εἰσὶ δὲ ἡλικίαι ἑπτὰ, ὥς φησιν Ἱπποκράτης. ἑπτά εἰσιν ὧραι, ἃς ἡλικίας καλέομεν. παιδίον, παῖς, μειράκιον, νεανίσκος, ἀνὴρ, πρεσβύτης, γέρων. καὶ παιδίον μὲν, ἄχρι ἑπτὰ ἐτέων ὀδόντων ἐκβολῆς. παῖς δ' ἄχρι ἐκ φύσιος ἐς τὰ δὶς ἑπτά. μειράκιον δ' ἄχρι γενείου λαχνώσιος ἐς τὰ τρὶς ἑπτά. νεανίσκος δ' εἰς τὰ τῆς αὐξήσιος ὅλου τοῦ σώματος, εἰς τὰ τετράκις ἑπτά. ἀνὴρ δ' ἄχρι ἑνὸς δέοντος ἐς τὰ ἑπτάκις ἑπτά. πρεσβύτης δ' ἄχρις ἐτῶν πεντήκοντα ἓξ, εἰς τὰ ἑπτάκις ὀκτώ. τὸ δ' ἐντεῦθεν, γέρων λέγεται. Παῖς ὁ ἐν παιδικῇ ὢν ἡλικίᾳ. ἀρτίπαις, ὁ ἐκβεβηκὼς τὴν παιδικὴν ἡλικίαν. βούπαις, μέγας παῖς. καὶ παρ' Ὁμήρῳ παῖδα παιδὸς, οἱ μετέπειθεν γίνονται. ταῦτα περὶ αἰνείου παρ' Ὁμήρῳ ἐν τῷ υ' τῆς Ἰλιάδος, καὶ παρὰ Οὐεργιλίῳ ἐν τῷ τρίτῳ τῆς Αἰνηΐδος. τὸ δὲ λέγεται διὰ τὴν τῶν ῥωμαίων ἀρχὴν, ἥν φησιν εἰκὸς εἰδέναι τὸν ποιητὴν ἐκ τῶν σιβύλλης χρησμῶν, ἢ αὐτὸν εἰδέναι. ποιητὴς γὰρ ἀρετὴ, τὸ μαντικὴν ἐπιστήμην ἔχειν, ὥς φασιν ἄλλοι πλατωνικοί. καὶ ὅρα ὅπως ὁ ποιητὴς οὐ μόνον τὰ Τρωϊκὰ ἱστορεῖ, ἀλλὰ καὶ πρὸ τῶν Τρωϊκῶν, ἀλλὰ καὶ ἑτέρας τινὰς ἱστορίας παραδίδωσιν, ὧν ἐστι καὶ ἡ τοῦ Αἰνείου ἀρχή. ἣν φημιζομένην ὡς εἰκὸς ἀχιλλεὺς μὲν ὀνειδίζων ἀπιστεῖ, τὸ δὲ μετρίως ἐξετάζων εἰς αὐτὸν, καὶ παίδων παῖδας, ὡς ὑστερῶ ποιητής. ὁ δὲ γεωγράφος λέγει, ὅτι τὴν Αἰνείαν τινὲς μέν φασι μετὰ τὴν ἅλωσιν τῆς Τροίας καὶ ἀσκανίου τοῦ παιδὸς λαὸν ἀθροίσαι, καὶ πλεύσαντες εἰς σικελίαν, ἐκεῖθεν δὲ εἰς τὴν λατίνην χώραν ἐλθεῖν κατὰ τὸ λόγιον. ἕτεροι δὲ οἰκῆσαι αὐτόν φασι περὶ τὸν μακεδονικὸν ὄλυμπον. ἄλλοι δὲ εἰς ἀρκαδίαν καθάραι. Ὅμηρος δὲ ἐμφαίνει φησὶν ἐν τροίᾳ μεῖναι αὐτὸν, καὶ διαδεξάμενον τὴν ἀρχὴν παραδοῦναι εἰς παῖσιν, ἠφανισμένου τοῦ πριαμιδῶν. ὅλη γὰρ πριάμου γενεὴ ἤχθηρε κρονίων. καὶ τὰ ἑξῆς. τινὲς δὲ φασι γράφουσι, νῦν δὲ δὴ Αἰνείαο γένος πάντεσσιν ἀνάξει, καὶ παῖδες παίδων, τὸ ῥωμαίους λέγοντες. πρὸς οἷς τὴν αἰνείαν καὶ καταστρέψαι τὸν βίον φασὶ ἐκεῖ. ὅρα δὲ, ἔστι τὸ μὴ ἔχοντος τῆς διαδοχῆς ἀκόσμως ἡ γενεὰ λέγεται, καὶ ἄφθονος εἶναι. ἀλλὰ καὶ διαδέχεσθαι κρατοῦς καλὸν εἰπεῖν. τὸ νῦν γὰρ δὴ ὁ δὲ ὁπωσοῦν ἀπέβη καὶ παῖδα παιδὸς οἱ μετόπισθεν γένωνται.

Παῖσαι ἀττικοί, οὐχὶ παῖξαι. Ἀριστοφάνης ἐν πλούτῳ. βούλει διὰ χρόνου πρός με παῖσαι, ὑπὲρ ἡμεῖς παῖξαι, ταπεινοῦσθαι, στεφανοῦσθαι. ταινία δὲ ῥέμμα τοῦ στεφάνου. Παισθεύματα, προκόμματα. Παίετο, ἀντὶ τοῦ ἐπαίετο. ὡς ἀπὸ τοῦ παίζω παίσω. ὅθεν καὶ ἡ συμπαίστρια, καὶ ὁ συμπαίστωρ ἀττικῶς. ὡς τοῦ παίζω παίξω δωρικοῦ ὄντος. ὅθεν καὶ τὸ παίγνιον καὶ ὁ συμπαιγμός. ἠχῶ ὡς τοῦ βιοῦντος παίστου, καὶ παρὰ τῷ κωμικῷ. Ἡρόδοτος λέγει, οὗτος μὲν ὁ λόγος ἄλλως πέπαισται ὑπὸ ἑλλήνων. τινὲς δὲ τὸ παίσεται, ἀντὶ τοῦ τύψεται, ὅθεν ὀρχηστικῶς κρούονται τὴν γῆν. καὶ οὕτω παρὰ τῷ ποιητῇ ἐν ὀδυσσείᾳ. Παίσδυ, παιδαριώδει. Παισὸς, πόλις μεταξὺ παρίου καὶ λαμψάκου. ἥτις καὶ μετὰ τοῦ α λέγεται ἀπαισός. λέγεται δέ φασι παισὸς, διὰ τὸ ἐκεῖ τινα ἐργῶ ὑπὸ πολυμήτορ Ἀπολλωνίου ἀποπαισθῆναι, ἤδη ἀντικρούεσθαι, ὅτι καὶ τῷ πριῷ χρυσὸν ... Παίσωμεν, συγχορεύσωμεν. Παιδὶ, εἶδος ἐπαινετικόν. ἔπαιξε δὲ Ἀριστοφάνης, παιτὸν παίειν. Παιφάσσειν, τὸ ἐνθουσιωδῶς καὶ ἐπιφανῶς ὁρμᾶν. ὅπερ ἐκπαιφάσσειν, τὸ ἐμφανοῦ ὁρμὴν ἔχειν. καὶ παίφασσεν, ἐφλάσα, ἢ ἀντὶ τοῦ ἐνθουσιωδῶς ἀφίετο. Παιφάσσουσα, ἀπὸ τοῦ φῶ τὸ λάμπω. φαίνω κοινῶς. ποιητικῶς δὲ φάω. καὶ κατὰ ἀναδιπλασιασμὸν παφάσω, καὶ πλεονασμῷ τοῦ ι παιφάσσω. ἀφ' οὗ τὸ παιφάσσουσα, ἤδη διαπρέπουσα, περιφανὴς οὖσα. καὶ παρ' Ὁμήρῳ ἐνθουσιωδὸς ἔχουσα, καὶ ὁρμῶσα ἐπὶ τὰς ἀθηνᾶς. Παιφάσσω, φανερῶς εἰμὶ, ἢ ὁρμῶ.

Παίω, τὸ τύπτω. εἰσπαίω, τὸ εἰσέρχομαι. Ἀριστοφάνης ἐν πλούτῳ, εἰσπεπαικέναι εἰς τὴν οἰκίαν. ἐκπαίω, τὸ ἐξέρχομαι. παραπαίω, τὸ παραφρονῶ. συμπαίω, τὸ συντρέχω. ὑπερπαίω μὲν δὴ, τὸ ὑπερβάλλω. Παίων πρῶτος, ἐκ μακρᾶς καὶ τριῶν βραχειῶν πεντάχρονος, οἷον ἀστικός. Παίων δεύτερος, ἐκ βραχείας καὶ μακρᾶς, καὶ δύο βραχειῶν, πεντάχρονος, οἷον ὀνήσιμος. Παίων τρίτος, ἐκ δύο βραχειῶν, καὶ μακρᾶς καὶ βραχείας, πεντάχρονος, οἷον κλεόβουλος. Παίων τέταρτος, ἐκ τριῶν βραχειῶν καὶ μακρᾶς, πεντάχρονος, οἷον ἱκετεύειν.

Παιᾶνας, ἰατροὺς καὶ ἀλαλαγμούς. καὶ παιανίζειν, τὸ ἀλαλάζειν. Παιώνιον, ῥίζης φάρμακον. παιώνιον, ἰατρεῖον θεραπευτήριον. ἢ σωτήριον φάρμακον. Παιωνία, παρὰ τῷ Ἀριστοφάνει. ἔστι δὲ παιωνία ἑορτὴ ἀθήνησιν, ἀπόλλωνι ἴσως ἀνακειμένη. καὶ παιωνίοις τισὶ φαρμάκοις σωτηρίοις, ἰατρικοῖς, θεραπευτικοῖς. καὶ ἀλλαχοῦ λέγει, παιωνίαισι χερσί. Παιωνίσαντες, εὐφημήσαντες, ἀλαλάξαντες, τὸν παιᾶνα ἐπιφωνήσαντες. ἦν δὲ ἔθος ἐπὶ ἔργον ἀρχομένους, καὶ ἐπὶ νίκῃ τοῦτο λέγειν.

Παιωνίσας, εὐξάμενος, ἢ θεοῖς ὁμολογήσας χάριν. παιὼν γάρ ἐστιν, ὕμνος εὐχαριστήριος. Παιώνιος, Διόνυσος. Παιωνὸς, τοῦ ὕμνου. παίονος δὲ, τοῦ ἰατροῦ. Πακόρεια, πόλις. Πακτὰ, ἀποσκευή. Πακτὰ, ἡρμοσμένα, πεπηγμένα. Πακτοῦν, κλείειν, ἀσφαλίζεσθαι. μοχλοῖσι διὰ προσβλῆτα πακτοῦν. Ἀριστοφάνης Λυσιστράτῃ. Πακτωλὸς, ὄνομα πόλεως, καὶ ποταμοῦ. Πακτωλὸς, ποταμὸς Λυδίας, ὁ νῦν χρυσορρόας λεγόμενος. Πάλα, ξύνε. Παλαιγενὲς πρεσβῦτα. Ἀριστοφάνης, χαῖρ' ὦ πρεσβῦτα παλαιγενές. Παλάθαι, μάζαι σύκων. καὶ παλάθιον, τῶν πεπατημένων ἰσχάδων. παλάθαι δὲ καὶ εἴδη βοτάνης. παλάθαι καὶ τὰ ἰατρικὰ πλάσματα, ὃ ἢ ἐπαλλαλος θέσις τῶν σύκων. Παλαία, ἀληθινισμός. οἱ δὲ πᾶσιν σῖτον.

Παλαιθέου, παλαιᾶς θεοῦ. Πάλαι, ἐπίρρημα χρόνου δηλωτικόν. Παλαιβίσκα, πόλις. Παλαίμων, ἐκ τοῦ πάλη, ὃ σημαίνει τὴν παλαίστραν γίνεται, καὶ τὸ αἵμων, τουτέστιν, ὁ ἔμπειρος τῆς παλαιστικῆς. καὶ παλαίμων, ὁ ἡρακλῆς. Πάλαι παρά τε τοῖς κωμικοῖς, καὶ ἑτέροις λέγονται, οὐκ ἀεὶ μακρὸν χρόνον σημαῖνον, ἀλλ' ἔστιν οὗ καὶ πρόσφατον ἀττικῶς, ὡς μάλιστα δῆλον καὶ παρὰ Σοφοκλεῖ, ἀλλαχοῦ τε καὶ ἐν τῷ, νῦν τε καὶ πάλαι λέγω. νῦν μὲν γὰρ ἔφη τὸ προσεχῶς ἄρτι. πάλαι δὲ, τὸ ἐν τῷ ἀνωτέρω ἐν τῷ προοιμίῳ εἶχε. Παλαιοβίτης, παλαιοπράγμων, ἀρχαῖος. Παλαιὸν, ἀρχαῖον, σαθρόν. Παλαιὸς, ὁ ταῖς φρεσὶν ἐξεφθαρμένος. ἄλλο ἄφρων, ὁ καὶ ἠλίθιος.

Παλαιότερος, ἐπὶ ἀψύχων. πρεσβύτερος μὲν, ἐπὶ ἐμψύχων. Παλαιὸν, ἐνίοτε μὲν πρὸς ἕτερον λέγεται νέον. ὡς παλαιὰ γνώμη, πρὸς τὴν νέαν. ἐνίοτε δὲ οὐ τοῦτο δηλοῖ, ἀλλὰ δηλοῖ μόνον τὸ πάλαι γεγονός. παλαιὰ πρᾶξις, ἡ πάλαι γεγονυῖα, καὶ ἁπλῶς τὸ ἀρχαῖον. ἢ τὸ πάλαι μὲν τὴν ἀρχὴν εἰληφός, οὐ μὴν δὲ πεπαυμένον. Παλαιὸς, ῥάπισμα, καὶ παλαιά. Πάλαι γνῶ, ἔγνων ἐκ μακροῦ. καὶ πάλαι ἐστίν, ὅτι ἐστὶν πρὸ μακροῦ. καὶ παρ' Ὁμήρῳ ἐκ περισσοῦ κεῖται, καὶ οὐ κατὰ κυρίαν σημασίαν ἐν τῷ μοῖραν ὁ πρῶτος ἔχει πάλαι. οὐ γὰρ κυρίως πάλαι μοῖραν ἔχει, ὁ νῦν αὐτίκα λαβὼν αὐτήν. ἀττικῶν δὲ τὸ σχῆμα, παρ' οἷς καὶ τὸ νῦν καὶ τὸ πάλαι ἁπλῶς οὕτω κεῖται, δίχα τοῦ σημαίνειν πλεονασμὸν ἐκεῖ. Παλαιπλις, τὸ παλαιὸν ἄγγος. Παλαιρον, τέως. Παλαίστρα, ὁ τόπος ἔνθα παλαίουσι. καὶ αὐτὴ ἡ πάλη. Παλαίσμασιν, ἀντὶ τοῦ στρατηγήμασι. Παλαιστὴς, ἀνταγωνιστής, σοφὸς παλαιστής. Παλαιστίνη, ὄνομα χώρας.

Παλαιστὴ, σημαίνει τὴν τῶν τεσσάρων δακτύλων ὀρθίαν σύνθεσιν, πλατεῖα δὲ οὖσα, ὅτι πάλαι συνάγει τὰ ὀστᾶ, τουτέστι πλησίον ποιεῖ τοὺς δακτύλους. παρὰ τὸ πελάζειν οὖν τὰ ὀ-

τῆς κατὰ τὸν βίον εὐταξίας ἐπιστήμη, καὶ σωφρονισμὸς ἀμαθίας ἀπαλλακτικός. παιδεία δ' ἀγωγή τις ὠφέλιμος τῆς ψυχῆς, ἐπιπόνως πολλάκις τῶν ἀπὸ κακίας κηλίδων, ἐκεῖθεν ἐκκαθαίρουσα. ἥ τις πρὸς μὲν τὸ παρὸν οὐ δοκεῖ χαρᾶς εἶναι, ἀλλὰ λύπης, ὕστερον δὲ καρπὸν εἰρηνικὸν τοῖς δι' αὐτοῦ γεγυμνασμένοις ἀποδίδωσιν εἰς σωτηρίαν. ἡ παιδεία, ἰθύνουσα κατόρθωσις ἐπὶ τὸ κρεῖττον φέρουσα. παιδεία γάρ ἐστιν ἁπλῶς μὲν ἡ ἀρετή, συνόλως δὲ, ἡ φρόνησις, ἡ σοφίας, ἡ ἐπιστήμης. ἡ γνῶσις, ἡ τοῦ χριστοῦ παιδεία, καὶ ἡ τῶν μαθητῶν ἀνάληψις, κατὰ τὸ γεγραμμένον περὶ τοῦ μωσέως, ὅτι ἐπαιδεύθη μωϋσῆς πάσῃ σοφίᾳ αἰγυπτίων. Παιδεραστὴς σφοδρός, ὅ, τι κιναιδίας, καὶ ὁ εὐτοιχίδης. Παιδέρως, οἱ μὲν σφραγῖδος ὄνομα, οἱ δὲ ἀλείματα, οἱ δὲ μύρου εἶδος. Παιδεύω, τὸ πάλαι μὲν τέκνα ὀρθοῦν καὶ ἀνάγειν, νῦν δὲ τῆς χρείας τῶν, καὶ οἱ δοῦλοι. Παιδιόω, παιδοτροφεῖν. Παιδεύειν, ἀντὶ τοῦ κολάζειν εἰδὼς τὸ ἐν σέρων εἰπεῖν, ἀλλὰ παρὰ μόνῃ τῇ θείᾳ γραφῇ τοῦτο εὑρίσκεται.

Παιδεύω, καὶ παιδοτριβῶ, ἐν ἄλλοις τὰ καλά. Παιδεύσεις, παιδοκτόνος. Παιδιὰ, παίγνιον. ἦν δὲ κατὰ τὴν βασιλίδα καὶ τὴν εὐνοῦχον κατὰ πάρεργον παιδιὰν ἐκεῖ ἑορτασμοὺς ὁ ἐμάστιος. Παιδικὰ, ἐπὶ θηλειῶν ἢ ἀρρένων ἐρωμένων τάττεται ἡ λέξις. λέγεται δὲ παιδίον, καὶ παιδαρίσκος, οἷον τὸ ἁρμόζον παιδί. ἡ δὲ λέξις ὡς ἐπὶ ἀγαθοῦ ἐπὶ τῶν ἀσελγῶς ἐρωμένων. ἔτι δὲ οὐδέτερον πληθυντικόν. τοῦτο δὲ λέγεται ἐπ' ἀγαθοῦ ἔργου, τινὲς δὲ ἐπ' αἰσχροῦ λαμβάνουσι. Παιδικώτερον, ἐλαφρότερον. Παιδίσκος, ὁ ἐν γυμνασίῳ ὑπηρέτης. Παιδίον, παιδίσκος λίθος. Παιδίον, παιδίσκη. Παιδισκάριον, τὸ κοράσιον ἀπλῶς, ἐπὶ τῆς ἡλικίας. καὶ λέγεται, ὦ πρὸς τὰ διακονοῦντα χρῶνται. Παιδίσκαι, οἱ ἐκ παίδων εἰς ἄνδρας μεταβαίνοντες. Παιδίσκη, ἡ ἐλευθέρα, καὶ ἡ δούλη, καὶ παιδισκάριον. παιδάριον δὲ ἁπλῶς μὲν τὸ θυγάτριον, ἰδικῶς δὲ τὸ ἄρρεν. Παίδνης, ἀλαλαγμοὶ ἐν πολέμῳ. Παιδνὸς, ὁ πάνυ νέος, παρὰ τὸ παίζειν, καὶ ὁ εὐγενής. ἢ ὁ νήπιος παῖς. Παιδοβάτιον, εἶδος ἀμπέλου. Παιδόθεν, ἀρχῆθεν, ἐκ νέας, ἀπὸ γενέσεως, ἐκ παιδικῆς ἡλικίας.

Παιδοκομοῦντα, παῖδας τρέφοντα. Παιδοκόρος ἑρμῆς, τιμᾶται ἐν μεταποντίοις. Παιδολέτωρ, παιδοφθόρον. Παιδομαθῶς, ἐκ παιδὸς ἐσκεμμένον ἔστι. νέον μὲν, ἑρμῆς δὲ πλήρη, καὶ παιδομαθῆ περὶ τὰ πολεμικά.

Παιδονόμος, ἀρχή τις παρὰ λάκωσι. Παιδονόμοι, οἱ προϊστάμενοι τῆς τῶν παίδων εὐκοσμίας. Παιδοπίπην, τὸν παράγοντα καὶ παρακρουόμενον, καὶ ἀπατῶντα τὰ μειράκια λέγουσι. τοῦτον δὲ κρατῖνος παρθενοπίπην λέγει.

Παιδοποιία, παρ' ὁμήρῳ τετραχῶς. οἱ μὲν γὰρ γνήσιοι ἐκ τῶν νόμων γάμων, οἱ δὲ νόθοι οἱ ἐκ παλλακῶν. οἷον, ἐμὸν τεῖχος αὐτοῦ. καὶ εἶεν ἐκ λέχεος ἐόντα, οἷον ἀλλὰ γνήσιον ἆμα, οἱ δὲ ἐκ δωρεᾶς, οἱ ἐκ λαθραίας μίξεως. οἷον σκότιον δ' ἐγείνατο μήτηρ. ἄλλοι παρθένιοι, οἱ ἐκ τῆς ἔτι νομιζομένης παρθένου γενόμενοι. ὡς τό, παρθένιος τὸν ἔτικτε χορῷ καλὴ πολυμήλη. ἡ δὲ διαφορὰ λέξις, διαφορεῖ τῷ παραλήπτορι. ὁ μὲν γὰρ παρθένιος υἱὸς τὸ τίκτει. ἡ δὲ παρθένος ἰδοῦσα, ἐν ἐπιβολῇ τῶν ἐπιθέσεων φιλεῖν λέγεται. Παιδοτρίβας, ἀλείπτας, γυμναστάς. Παιδοτριβικῶς, ἀλειπτικῶς. Παιδοτριβοῦσι, παιδεύουσι. Παιδουργία, παιδοποιία. Παιδουσί, ὁ παιδοῦσι, ἐγγόνων. Παιδολέτορα, παιδοφόνος. Παιδωνὰς, οὓς μισθοῦ ἐκ τῆς ἀγορᾶς κομίζοντας τι. Παία, αἰτιατικῇ. τύπτω, πλήσσω, κρούω, δέρω, θείνω. Παίει μὲν ὁ τύπτων, παρακαίει δὲ ὁ παραφρονῶν, τοὺς παρὰ προθέσεως ὑπὸ λελυμένος. Παίειν ἐφ' ἄλλων ἐπὶ παίζειν, παρὰ τὸ ἀκροφύσια. ἰδίως κατὰ τῶν ἄλλων ἐπὶ ἄρτον, ἀπὸ τὸ ἀπεριόν προσφάτιον. Παίζω τὰ πράγματα, προσπαί-

ζω σοι. παίζω, τὸ ἐναντίον τὸ σπουδάζω. παίσαι παρ' ἀττικοῖς, ἀντὶ τοῦ παῖξαι. παιστέον τὸ ἐναντίον τὸ σπουδάζω, κατὰ τὴν. Φόβου παίζουσι τοὺς ἐν τοῖς διατριβαῖς. Παίζω, ἀθύρω. Παίζω, συσσημαίνεται ὡς μὴ ἀναλογοῦν. λέγεται δὲ ἐκ τὰ εἰς ζω οἱ παραλήγεται τῷ α διφθόγγῳ, ἀπὸ φωνηέντων ἔχουσι τὸ σ. οἷον σφαδάζω, βοράζω, τὸ ἰδίω. ματάζω, ὃ μάταια φρονῶ. τὸ παίζω δὲ φασιν ἐκ τοῦ παῖς παιδὸς, παιδίζω συγκέκοπται. Παιηόνη, ἰατρεία. Παιώνιον, πλακοῦν. Παιήων, ὄνομα τις φασιν εἰς ἀπόλλωνα ὕμνον, ὃ μετὰ ἐπὶ παύσει λοιμοῦ, ἀλλὰ καὶ ἐπὶ παύσει πολέμου. καὶ ὁ μὲν προτείνων, καὶ παιᾶνα τοῦτον καλεῖ, οἱ δὲ μετὰ τὴν παιῶνα. ἐξ οὗ καὶ ῥῆμα παιωνίζειν, ἀλλὰ καὶ παιᾶνα. ἐξ οὗ καὶ οἱ παιᾶνες. καὶ τοῦτον ῥῆμα, παιανίζειν. γίνεται δὲ ἐκ διαίτης λέξις, ἐκ τοῦ παίω τὸ θεραπεύω. αὐτὸ δὲ ἐκ τοῦ παύω, τροπῇ τοῦ διφθόγγου εἰς δίχρονον. ἐπειδὴ καταπαύσει κακοῦ καὶ ὁ ἐν τῷ ὕμνος ἱδρύεται. ἔτι δὲ καὶ παιᾶνα ὄνομα ἰατροῦ, παρὰ θεοῖς. ἐτυμολογεῖται δὲ ἀπὸ ὁμοίως, ἐπὶ θεραπείᾳ καὶ καταπαύσει κακοῦ, τὸ τῆς ἀσκληπιαδῶν φῦλον. τὸν δὲ ῥαίνοντα παιᾶνα, ἰατρὸν τινὲς δὲ αὐτὸν εἶναι περὶ ὑπὸ ἀπόλλωνι. διὸ καὶ παρ' ὁμήρῳ εἰρηται εἰς τὸν παιήονα ἀνιδεῖν, ἐπάγουσι παιῶνα μέλποντες ἑκάεργον, ἀντὶ τοῦ ἥμερον δεόμενοι εἰς τὸν παιᾶνα ἀπόλλωνα, καὶ οὐκ ἀρίστην ὑπὸ τοὺς ἀκριβεστέρους. ὥσπερ δὲ παίω παίσω, ἐπὶ ὑποτίθη, κατὰ τὸ παίσσειν σφιγγεσθαι παιήσομαι, οὕτω ἴσως καὶ παιω παιώ, σωτῆρ θεραπείας. ἐξ οὗ ὁ παιήων, ὅθεν κατὰ συντέλειαν παιώνιον. εἶτα ὥσπερ ἄλλαμα ἄλλιμον παρὰ πινδάρῳ, οὕτω παιώνιον παιαν. ὁ δὲ παιᾶνα συγκοπεὶς γίνεται παιᾶν, ὡς τό, παιᾶνα καὶ παιήονος ἔμπεδον τυχεῖν. σημειοῦσι, ὅτι εὑρηται παιωνία θεραπευτικὰ βοτάνη. καὶ παιωνία χείρ, ἡ ἐπὶ θεραπευτική. παιωνία χώρα, ἐκ τοῦ παίων παιήονος ὄνομα κύριον. Παιάγεται, ἀρχή τις ἐπὶ ἵππων. Παιάλιος, ἀρχιερεύς. Παιμμνησάστατος, ὁ τῶν πάντων ἐπιλήσμων. Παίμματα, τὰ ἀκούοντα. Παίσμα, ψευδῶς ἀπὸ τοῦ ἕ, ὁ δὲ ἀττικὸς, παίσμα ἀπὸ τοῦ παίσατι. καὶ συμπαίσμασιν ἀπὸ τοῦ ἱερῷ. Παίσμα, παίγνιον, ἀπατήματα. καὶ τὰ παιδικά, παισύγνωμα λέγουσι. Παιονιαζεν, ἔθνος βαρβαρικὸν, δούλοι, καὶ ἱεροί, καὶ παιανία χώρα.

Παῖον, ἀσφαλὲς, βέβαιον. Παίπαλα λεγομένη τὰ δύσβατα. καὶ παιπάλη λέγεται, τὸ λεπτότατον τοῦ ἀλεύρου. ἀφ' οὗ παιπάλημα, τὸ λεπτότατον. ὃ, παλάσας δὲ χεῖρ ὑπὸ ἀλεύρου ὀρούσας. Παιπαλῶν, περιοδεύειν, ἐρευνᾶν. Παιπάλη, σεῖον. Παιπάλη κυρίως τὸ λεπτότατον τοῦ ἀλεύρου. καὶ παιπάλημα, πολλάκις ἰατρικὸς καὶ διδάσκαλος ἔχει. κυρίως δὲ τὸ λεπτὸν ἄλευρον. Παιπάλημα, τὸ πανοῦργον, ὁ ποικίλος καὶ λείος, καὶ παμπόνηρον τὸν παῖς ἐν σχίσεις. παιπάλημα, ὁ πολλὰς ἰατρικὰς καὶ διόδους ἔχων, κυρίως δὲ τὸ λεπτὸν ἄλευρον. Παιπαλόεις, ὁ τραχύς, κατὰ πλεονασμὸν τοῦ π, παρὰ τὸ αἰπεινός. σημαίνει τὸ μέγα καὶ τραχύ. Παιπαλόεσσαν, ὑψηλήν. ἐκ δὲ τοῦ παιπάλη εἰς παιπαλόεσσαν ἀνέλθω. Παιπάνια, ὁ ποσοδάρια.

Παῖς, παρὰ τὸ παῖς. ἐκ τοῦ παίω, παῖς δαῖς. παῖς δαίς, δαὶς διαιροῦσι τὰ μεταφυσικὰ ἰόματα, τὰ εἰς αἷς λήγοντα. Παιδικά, τὰ ἐρωτικά. Παῖς παιδὸς, παιδίον. παιδεία, ὁ παίδευσις. παιδίζω ὀξυτόνως, ὁ παιδίον. παῖς παιδί ὃν παρ' ἀττικοῖς ὁ δευτέραν ἀξίαν. τοῖς δὲ ἐπαινος ἡ ὁ ἐν νέοις τὸ ἐν παιδικῇ ἡλικίᾳ ὁδε τῷ ὑπερβολῇ σωμάτων σφοδρὸς, τοῖς σημαίνουσιν, οὐ παῖ μόνον πατρὸς, ἀλλὰ καὶ τὸν γέροντα, ὡς ἐν ὀδυσσείας φ'. Παισὶ καὶ κέρας, ἐν β' ὁμήρου ἐπιπαίζει τῇ ἑλλάδι, ὅτε διέλκουσιν αὐτοὺς καὶ ἀκμὴν ἀλλήλων. καὶ μέν τὸ γυναικῶν εἰς μικροψυχίαν, καὶ δὲ τὸ παίδων εἰς ἀγωνίαν, καὶ εἰς μαλακότητα. καὶ ὁ χαρίεις παισὶν, καὶ ἀνάγκαις, καὶ ταῖς ἐνταῦθα ἡ εἶναι ἀπαλὸς θέσεως ὑπὸ μιμεῖται. καὶ ἄλλο το-

πᾶν τὸ συνάμα σιτίοις ἐσθιόμενον. καὶ γίνεται φασὶν ἡ λέξις παρὰ τὸ ἕψω. διό, οὐχὶ ἰωθὸν, ἀλλ' ἑφθὰ τοιαύτας τροφὰς προσεφέροντο. ἢ μᾶλλον δέ ἐστι κουρεῦσι χρῆσιν ἦλθεν ἀνθρώποις ἡδονῆς χάριν τὸ ὄψον. τὰ πρὸ τούτου δὲ, ἀπλοϊκῶς ἔζων. τὸ δὲ εἴωθεν ὡς ἐκ τοῦ ἕψειν γίνεται τὸ ὄψον, οὐ πάνυ πιθανεύεται, τά τε ἄλλα, καὶ ὅτι τὸ μὲν ἕψω δασύνεται, τὸ δὲ ὄψον ψιλοῦται. γίνεται δὲ ἐκ τοῦ ἕψειν μᾶλλον ἑψητὸς, ἰδίωμά τι λεπτῶν ἰχθύων, ἀφύης τε χρόν, ἀθερίνας, ἢ τριγλίδων, ὥς φασιν οἱ παλαιοί, ἢ σηπιδίων, ἢ καριδίων. ὃς δὴ ἑψητὸς, πληθυντικῶς φασι λέγεται ὡς ἐπὶ πλύ. ἑψοὶ γάρ φασιν ἰχθύδια ὑπολελειμμένα ἐν διώρυξιν, ὅταν ὁ Νεῖλος ἀποπαύεται τῆς πληρώσεως. ἰστέον δέ, ὡς οἱ ὕστερον ἐπὶ μόνων ἰχθύων τὴν λέξιν ὥρισαν, ὡς καὶ Ἀθήναιος παρασημαίνεται. ὅθεν καὶ ὀψάριον, καθάπερ ὁ Τίμαρχος, ὡς καὶ ὁ Κωμικὸς δηλοῖ, ἐπὶ μόνων τεμαχῶν ἰχθυηρῶν, παρὰ τοῖς παλαιοῖς ἰδιάζεται. ὀψαρίου δὲ πολλαὶ χρήσεις ἐπὶ ἰχθύος παρὰ τοῖς παλαιοῖς. Ὄψος, μοχθηρός. Ὄψου, παντὸς προσοψήματος.

Ὀψοφαγία, ἡ ὀψοφάγος, λαίμαργος, ὄψα ἐσθίων. Ὀψώνη, τὴν πρὸς τὸ ὀψώνιον συντέλεια. Ὀψώνια, κέρδη, χαρίσματα. Ὀψοφαγία, εὐωχία. Ὠγύγιος, ὁ ἀρχαῖος. Ὠκύμορος, ὁ ταχυθάνατος. Ὠκύαλος, ὁ ταχέως πλέων. Ὠκυπέτος, ὁ ταχέως πετόμενος. Ὠκύτατος, ὁ ταχύτατος, ὀξύτατος. Ὠμηστὴς, ὁ ὠμὰ κρέα ἐσθίων. Ὤν, θεὸς, ὁ ἀεὶ ζῶν, ἐν ὑπάρχων. Ὠνήμενος, ὁ ἀγοράζων. Ὀάρων, γυναικῶν. παρὰ τὸ ὀαρίζειν.

Τέλος τοῦ ω στοιχείου.

ΑΡΧΗ ΤΟΥ Π

ΣΤΟΙΧΕΙΟΥ.

ΤΟ ΑΥΤΟ ΜΕΤΑ ΤΟΥ Α.

Π, τὸ στοιχεῖον, παρὰ τὸ πάω. ὁ δὲ τύπος φθόγγος, ὅστις πιεσθεὶς καὶ βροντῶν ἦχός ἐστι. Πᾶ, ἀντὶ τοῦ πῆ Δωρικῶς. ὡς παρὰ Θεοκρίτῳ, πᾶ μοι ταὶ δάφναι. Παάπις, οὗτος τὰ τριάκοντα τοῖς Ἀθηναίοις ἔπεμψε λόγια. Λεύκων φροντίζοιμ', ἀτὰρ ὁ μεγακλέους ὑπάτου παιπάλημα, ὑπέρβολος τὰ κτήματα κατεδήδοκεν. Παγαί, αἱ κῦμαι, συνθεῖσαι. Πάγαια, σφόδρα. ἐν ὀργῇ, ἰσχυρά. Παγαιοί, ἀστράπτουσι. Παγανὸς, ἰδιώτης, ἄφρων. Παγάς, τὰς τῆς ὑπὸ τῶν γεωργικῶν. καὶ πάγας, δίκτυα, παγίδας. Πάγος, ὄρος. καὶ παγῆναι. Παγασαῖος, ὁ Ἀπόλλων, ὁ ἐν Παγασαῖς τόπῳ τιμώμενος. Παγασαί, πόλις καὶ ἀκρωτήριον Μαγνησίας. ὠνομάσθη δὲ ἀπὸ τῶν πηγαῖς περιρρεῖσθαι τοὺς τόπους. ἔστι δὲ καὶ Παγασαίου Ἀπόλλωνος ἱερόν. Παγασιτικὸς, κόλπος. Πάγγαιον, ὄνομα ὄρους. Παγγὰς, πλάνος. Παγγενῆ, ἐπίρρημα μεθόντος. Παγκαλὸς, ὁ ἐν τῷ πεδίῳ ἀγελαῖος. Παγετὸς, κρύσταλλος, ψῦχος, κρυμὸς, σκόπελος. Παγὸ, πηγὶς, ποδάλγα, βράχος. Πάγλω, παγίδα, ἢ ὀφθαλμὸν τὸν τάφον.

Παγῆναι, κρυσταλλῶσαι, πηγῆναι. Παγκακὸς, ὁ ἐξ ὅλου πονηρίας καὶ διωγμοῦ κατάρατος. Πάγιον, στερεὸν, πετρὸν, κάτοχον, βέβαιον, ἀσφαλές. Παγὶς, ἐνέδρα. παρὰ τὸ πήσσω πηγὶς, καὶ παγὶς. λέγεται καὶ πάγη δίκτυον, ἢ θηρατικὸν ὄργανον τετράγωνον. Παγκάλως, πάνυ καλῶς. Παγκαρπία, πανσπερμία. Πάγκοινος, ἢ λιμὴν ἢ τὸ ἄλλον. Παγκράτιον, ἀπὸ τῆς κράσεως τῶν σωμάτων. Παγκρατὴς εἶδος, ἀθλητοῦ.

Παγκρατιάζειν καὶ παγκράτιον, τὸ αὐτό, ὃ τρὶς ἀλεσιάζειν. καὶ τὸ κάθαρον, ἐστὶ ποιεῖν. Παγκρατιασταῖς, ἀθληταῖς, πύκταις, ταῖς χερσὶ ἐν ποσὶ προσπαλαίουσι. Παγκράτιον, συγκρό, ἀγὼν, πάλη, ἄθλησις. Πάγκυφος, ἐλαίας εἶδός ἐστι κατακεκυφὸς καὶ ταπεινὸν, ἐν τῇ ἀκροπόλει. Παγλαδία, ἑορτὴ παρὰ Ῥοδίοις, ὅταν ἡ ἄμπελος τμηθῇ. Πάγοι, πηγάδες ἐξοχαί, ἢ εἰς ὕψος ἀνέχουσαι ἐξέχουσαι πέτραι. Πάγον εὐταχῶς, ἐν ὄρει τετοιχισμένον. Πάγον λέγουσι, διὰ τὸ ἐξ ὕδατος πεπῆχθαι. πάγος, ὕλην τὸ πεπηγμένον ἀπὸ ψύχους, καὶ τὸ σκληρὸν καὶ πετρῶδες ὄρος. Πάγος, ὄχθος, βουνὸς, ψῦχος.

Παγόθεν, μάρμαρος, ἢ μικαλύς. Παγουροί, οἱ καρκίνοι, παρὰ τὸ οὐρεῖν καὶ φυλάττεσθαι ἐν τοῖς πάγοις. πάγοι δέ εἰσιν, οἱ κρημνώδεις τόποι παρὰ τὸ πεπῆχθαι εἰς ὕψος, καταγνῶναι δὲ εἰς τὸ διατρίβειν ἐν τοῖς πάγοις, ὡς τὸ δυσωδὲς νύκτα φυλάξω, ἀντὶ τοῦ διατρίψω. Πάχυρος, ζεύς. Παγυρίτης, ὄνομα χώρας ἐν τόπος. Πάχυ, ποτελῶς, παῖον, ἀσφαλὲς, βέβαιον. Παχυρισμὸς, πολυσύγκριτος. Παγῶν, πηγῶν. Παδοχίαι, χίραι. Πάδος, ὄνομα ποταμοῦ, τοῦ παρ' Ἕλλησιν Ἠριδανοῦ ὀνομαζομένου. Πάζιον ἢ τοπάζιον, λίθος πολύτιμος. Παθαίνεσθαι, ἀπὸ τοῦ ἀγανακτεῖν. καὶ παθαίνεσθαι, ἀντὶ τοῦ πάθος μεταλαμβάνειν, ἢ λυποπαθεῖν. Πάθας, πάθη, ξυμφοράς. Πάθο, δύο σημαίνει. πόνον καὶ ἡδονήν. ἔστι γὰρ μὲν ἡδονὴ, λεία κίνησις. ὁ δὲ πόνος, τραχεῖα κίνησις. καὶ ἡ μὲν ἡδονὴ, εὐδοκητὸν πᾶσι ζώοις, ὁ δὲ πόνος, ἀποκρουστικός. Πάθε, ἢ κάκωσις, ἀκολουθεῖν σφίσι. πάθο δὲ θυλακόν, τὸ πάθος. Παθολογία πιότης ἐστὶν, ἢ ὀφθαλμὸς οὐ σιωπῶν τῷ πράγματι. ἢ διὰ τὸ βάθους χωροῦσα, ἢ ἐπιπολαία. Παθιώτατα, συγγενοῦς, τελευταῖον. Πάθος, λέξεως ὁμωνυμία. ὡς καὶ μεταφορὰ, ὡς τὸ πάθος ὁ γῆ, κατάχρησις. ἐντεῦθεν καὶ ἡ ὀνομασία. Πάθος μεταποίησις ἐστὶ λέξεως, οὐ ἤμελλεν εἰς ἀγαθὸν, εἴτε καὶ ἄλλως. ἢ τὸ μεταποιηθῆναι δυνάμενον εἰς τοῦτο, ὃ οὐκ ἦν πρότερον. ἢ πάθος ἐστὶ δύναμις, καθ' ἣν παθητικοὶ γινόμεθα. πάθος ἐστὶ ψυχῆς κίνησις ἄλογος, δι' ὑπόληψιν κακοῦ ἢ ἀγαθοῦ. πάθος κίνησις ἐξ ἑτέρου εἰς ἕτερον, τὴν μὲν ἀρχὴν ἔχον ἐν τῷ ποιοῦντι, τὸ δὲ τέλος ἐν τῷ πάσχοντι. Πάθω. Ἀριστοφάνης, ἢν τι πάθω, ἀντὶ τοῦ ἐὰν συμβῇ με πθνέντα ἀποθανεῖν. Πάθωμεν, πάνυ χεῖρα αὐτόν. Παί. Ἀριστοφάνης, τί δ' ἐστὶν ὦ παῖ. παιδία γὰρ κἂν ᾖ γέρων καλεῖν δίκαιον, ὅς ἂν πληγὰς λάβῃ. Παιὰν, εἶδος ᾠδῆς. ὁ δ' οὖν κλαίοντα φθόγγος οὐχὶ παιᾶνος, τουτέστιν ὑμῖν, φροντίδος δὲ, λύπης.

Παιᾶνας, κώμους, εὐφημίας. παιᾶνας δύο ᾖσαν. ἐκάλεσε, ὅτι ἦρχον, ὃς ἐν πρὸ τῆς μάχης ἐγίνετο. ἕτερος, ὅτι ἐνίκων. δύο παιᾶνας ᾖδον οἱ παλαιοί. πρὸ μὲν τοῦ πολέμου τῷ Ἄρει, μετὰ δὲ τὸν πόλεμον, τῷ Ἀπόλλωνι. ὃ δὴ, ὡς ἐπὶ πλεῖον λέγει Θουκυδίδης, ἀντὶ τοῦ ὡς πρὸς τὸ ἄρξαι τὸν πόλεμον.

Παιανίζω, τὸ παιᾶνα ᾄδω ἢ παιωνίζω. παιὰν γὰρ καὶ παιών, λαμπάδης ἐν τῷ Πεισιστρατιδῶν, ἐκ θεῶν ἀρξάμενοι, ἐν τῷ φίλε παιᾶνος. Παιὰν δὲ ἐπὶ ὕμνου τῶν θεῶν ἀεὶ κεῖσθαι καὶ μάλιστα τοῦ Ἀπόλλωνος, ἐπὶ ἀπαλλαγῇ τοῦ λοιμοῦ. τὸ δὲ παιὰν καὶ παιανίζω, ὡς ἀλλὰ καὶ τὸ παιωνίζω, ἐπὶ νίκης πλείω κυρίως. καταχρηστικῶς δὲ, ἐν ἰσῷ ἁπλῶς εὐφροσύνας. Παιανισμὸς, ᾠδὴ ἐπὶ ἀπαλλαγῇ κακῶν. Παιανομονίσαντος, τοῖς Παιονίοις ἐπαίνων. Παίγνια, ἑορτή. ὡς τὸ γίνεσθαι παιγνίαν. Παιδαγωγικώτερον πολλῶν, ἀντὶ τοῦ ἀληθέστερον, καὶ παιδαγωγοῦ. οἰκειότερον. Παιδαγωγία, διδασκαλία. Παιδαγωγὸς, παιδευτὴς, ἐν τὰ ὅμοια.

Παιδάκια, μειράκια. Παίδας, ἀμφότεροι. Παίδα δέ μοι, τὴν θυγατέρα δέ μοι. Παιδαλάτριον, παιδοφθόρον. Παιδάρια, τὰ μείζονα, καὶ τὰ ἀρτίως γενόμενα. Παιδαρίσματα, παιδάρια. Παιδάριον, οὐ μόνον ἐπὶ τῶν ἀρρένων κέχρηνται τῷ ὀνόματι οἱ ῥήτορες, ἀλλὰ καὶ ἐπὶ τῶν παρθένων. Παιδαρίδιον, ἀρκτεῖα. Παιδεία ἐστί, παιδεία τῆς

ὄφρ᾽, ἐνθάδ᾽ ἐπ᾽ ὀχέων εἶχον. καὶ οὐδ᾽ ἂρ ὀχῆας ἐχειδέτην. Ὀχεῖς, ὁ τῆς ὑποδιφραλκίας ἱμάς. Ὀχὴ ὀξυτόνως, ἡ τροφή. ἀφ᾽ ἧς καὶ τὸ εὐωχεῖν κατὰ [illegible] παρ᾽ Ἡσιόδῳ. καὶ ἡ εὐωχία δὲ κατὰ [illegible]. ὅμοιον δὲ πρὸς τὰ ῥηθέντα, καὶ τὸ πλεῖον πλείονος τοῦ συγκριτικοῦ. καὶ τὸ πλεῖον ὀξυτόνως κατὰ περιοχὴν ὁ ἐνιαυτὸς ὁ κυκλικὰ πλεῖον ἐμπεριλαμβάνων. ἔστι δὲ τόνος καὶ βαρυτόνως. ὁ τροφὸς ὀξυτόνως, ὁ ἀπὸ τοῦ γαλακτος. καὶ νόμος μὲν ὁ τῶν δικαίων διδούς. νομὸς δὲ ἐν ὀξείᾳ τάσει, ὁ τοῦ νομέως τόπος, ἢ ὁ κατὰ αἱ γυναῖκες ἐν ἐνορίαις. καὶ κατὰ τόνον ὀξύν, ὁ χόρτος. καὶ ὁ δὲ προπερισπωμένως τὸ μέτωπον. καὶ ἄρκτος μὲν προπαροξυτόνως κώριον, ἀρκτὸς δὲ ὀξυτόνως ὁ φορητός. Ὀχῆας, τοὺς ζωστῆρας φασὶ τινὲς κρίκους εἶναι, οἷς διόλου συνέχεται ὁ ζωστήρ. Ὀχῆες, οἱ μοχλοί, ἀπὸ τοῦ συνέχειν τὰς θύρας. Ὀχὴς, ὁμιλία, καὶ φωνή. Ὄχημα, ἅμαξα, ἅρμα, δίφρος. Ὄχησις, ἱππασία, φόρησις. Ὀχθέομαι, βαρυαχθέομαι. Ὄχθας οὐ μόνον ποταμοὶ ἔχουσιν, ἀλλὰ καὶ τάφροι. αἱ δέ εἰσι κοῖλα καὶ ἀνασκαφαὶ κοίλας τάφρου. διὸ καὶ κατ᾽ αὐτὸν εἶπεν Ὅμηρος ἐν τῷ ὀ τῆς Ἰλιάδος, ἐμφαίνων τὰς ἐκ τῆς σκάπτης ὄχθας. Ὄχθη ἐπὶ ποταμοῦ λέγεται, ἀκτὴ δὲ ἐπὶ θαλάσσης. ἀπὸ τοῦ ἔχω γίνεται ὀχθῶ ἐχθέσω ποιητικῶς τὸ βαρύνεσθαι. καὶ ὀχθίζω τὸ αὐτὸ παρὰ τοῖς κοινοῖς καὶ προσοχθίζω, καὶ προσοχθίσματα. Ὄχθη, ὁ ἀνάντης τόπος, καὶ κρημνώδης ἐν ποταμῷ. ὁ τοιοῦτος ἐν θαλάσσῃ λέγεται ἀκτή. ἀκτὴ δὲ ἀπὸ τοῦ ἄγνυσθαι, τὸ θραύεσθαι. ἀφ᾽ οὗ δὴ λέγεται καὶ Δημήτηρος ἱερὸν ἀκτιῶν. οἷον τὸ ἐξαίρετον τοῦ σίτου καὶ προέχον. ὁ ἐπίπεδος τόπος ἐπὶ μὲν τοῦ ποταμοῦ λέγεται ποταμών. ἐπὶ δὲ θαλάσσης, αἰγιαλός, ἢ ἠιὼν καὶ θίν, ποιητικῶς. Ὀχθῆσαι, τὸ δυσπαθῆσαι, ἢ πονῆσαι. ὅθεν καὶ Ἡσίοδος ὀχθεῖν λέγει τὸ ἐπὶ κακοῖς κεῖσθαι. ἢ καὶ ἄλλως ὀχθῆσαι. τὸ εἰς ὕψος ἐπᾶραι τὸν θυμόν. ὄχθος γὰρ τὸ ὑψηλὸν ἀνάστημα, τὸ γοῦν μέγ᾽ ὀχθήσας, ἀντὶ τοῦ λυπηθείς. καὶ τὸ ὤχθησαν θεοί, ἀντὶ τοῦ ἐδυσπάθησαν, ἠχθέσθησαν, ἢ ὕψωσαν τὸν θυμόν, ἢ τὸν φόβον. ἐκ δὲ τοῦ σημαινομένου ὀχθεῖν καὶ τὸ παρὰ τοῖς ὕστερον προσοχθίζειν παράκειται. καὶ τὸ ἐξ αὐτοῦ προσόχθισμα. Ὄχθησις, θόρυβος, ταραχός. Ὄχθοι, αἱ τραχεῖαι καὶ δύσβατοι τόποι, ἢ αἱ ἐξοχαὶ τῶν πετρῶν.

Ὀχθοιβοί, περιάπτειν εἰώθασι περὶ τοὺς χιτῶνας, ἃ καλοῦσιν ὀχθοίβους, εἰσὶ δὲ τὰ λεγόμενα λώματα. Ὄχθος, κρότου ἢ ὁλμικός. πρώην δὲ κρότου λόγος ἐκαλεῖτο. Ὄχθος, κρημνός, πέτρα, τὸ ὑψηλὸν τοῦ ποταμοῦ, ἢ τῆς γῆς, ἡ ἀπορρήγμα τέμα τῆς θαλάσσης. κυρίως δέ, ποταμῶν ἄκρα. Ὀχλαγωγῆσαι, θορυβῆσαι, ἢ συναγαγεῖν ὄχλον, ἢ ταράξαι. Ὀχλεῖ, τίλλει, λυπεῖ, κινεῖται μετὰ ὄχλου. Ὀχλεῦντι, ἀπὸ ἐνεστῶτος γίνεται τοῦ ὀχλέω, ἐξ οὗ παράγωγον τὸ ὀχλίζω. ὡς ἐκ τοῦ ὁπλέω τὸ ὁπλίζω. ἢ διὰ ἀφρέω τὸ ἀφρίζω, ὀνοματοποιεῖται τὸ ὀχλεῖν. καὶ μιμεῖται ἡ λέξις καχλασμὸν ὀρμώμενον τοῦ καχλάζειν, ἢ διὰ τὸ μὲν συμφρόνως πέφρασται τῷ ποιητῇ ἐπὶ ψηφίδων. Θεόκριτος δὲ θρασέως ἔφη τὸ πᾶσα λίθος ἀείδει. δῆλον δὲ ὅτι ἐκ τοῦ ὀχλεῖν καὶ διὰ ὄχλου πλεονασμῷ διὰ τὸ γίνεται ὁ μοχλός, καὶ ἐκ τοῦ ὄχθος ὁ μόχθος. Ὀχλεῦντι, ἀπὸ ἐνεστῶτος γίνεται διὰ ὀχλέω. Ὀχλεύς, μοχλός, τρόφις, δεσμός, ἅρμα, τομή. Ὄχλησις, χολή. ὀχλουμένων, μοχλῶν. Ὀχλίσειαν, κινήσειαν. Ὀχλιζομένων, συναγομένων. Ὀχλίζω, τὸ κινῶ. Ὄχλογος, κατάλογος, λαός. Ὀχλοισίαν, ἐκβοίαν, ἐκκλησίαν. Ὄχλος, πλῆθος, σύνοδος, σύλλογος, δῆμος, ἄθροισμα, συναγμός, σύστασις. τάχα καὶ συναγωγή, καὶ συλλογή, καὶ θίασος, καὶ χορός. ὡς εἰ λέγει τις ἀνθρώπων ὄχλος, καὶ γυναικῶν πλῆθος, καὶ παίδων σύνοδος, καὶ ξένων σύλλογος, ἢ πολιτῶν δῆμος, ἢ δούλων ἄθροισμα, ἢ ἐμπόρων ἀγερμός, καὶ καπήλων σύστασις, καὶ ναυτῶν συναγωγή, καὶ ἀνθρώπων συστροφή, καὶ βακχευόντων θίασος, καὶ παιδευομένων χορός. Ὄχλος. ἡ ὄχλησις παρὰ τοῖς ἀττικοῖς, παρὰ δὲ τῇ θείᾳ γραφῇ καὶ τοῖς ἄλλοις Ἕλλησι, τὸ πλῆθος τοῦ λαοῦ. Ὀχλῶ, καὶ ἐνοχλῶ, ἐνίοτε μὲν αἰτιατικῇ, ἐνίοτε δὲ δοτικῇ συντάσσεται. ἐνοχλίζω, στρέφω. Ὀχλώδης, ὁ ταραχώδης. Ὄχμα, πόρπημα. Ὀχμάζουσα, κατέχουσα, βαστάζουσα. κυρίως δὲ ἐστὶν ὀχμάσαι, τὸ ἵππον ὑπὸ χαλινὸν ἀγαγεῖν, ἢ ὑπὸ ὄχημα. σημαίνει καὶ τὸ ἐν μάχῃ κρατῆσαι, ἀπὸ τῆς αἰχμῆς. Ὀχμοί, ταχέως φυτεία. Ὄχναι, κυρίως αἱ ἀχράδες. ἤγουν διὰ ἀπίων γινόμενα ἡ ἀγρία ἄπιος. γίνεται δὲ παρὰ τὸ ἄχος, ἄχθονται γάρ πως αἱ ἐκεῖθεν καρποὶ διὰ τὸ ἀγρευτικόν. Ὄχνη, εἶδος κόκκου, ἢ κυνόσβατον. Ὀχοί, οἱ συνέχοντες τὰς ναῦς, καὶ διασαφοῦντες. Ὄχος, τὸ ἄνεμος. ὄχημα δέ, κοινόν. ὄχημα ἐφ᾽ ᾧ ὀχεῖταί τις. Ὀχὸς τεχνικῶς τὸ ἅρμα, τὸ ἐκ τῆς ἁμάξης κατασκευασμένον, καὶ ὑπὸ τῶν ἵππων κινούμενον, καὶ ὀχούμενον. καὶ ὀχοῦμαι τὸ ἐπὶ ἅρματος βιαίως φέρομαι. καὶ ἅρμα πρῶτον, τὸ ἵππων κρατεῖν. Ὀχοῦμαι, καὶ ἀντὶ τοῦ ἐπιβαίνω εἰμί. καὶ τὸ ἐφ᾽ ἵππου καθῆμαι. ὅθεν καὶ ὄχημα τὸ ἅρμα. καὶ ὀχῶ καὶ ὀχεύω, τὸ ἀφροδισιάζω. καὶ ὀχεία τὸ πρᾶγμα, καὶ οὐχὶ ὄχημα. παρὰ τοῖς ἀττικοῖς δὲ λέγεται καὶ ὀχεῖσθαι ποιῶ, καὶ ἐπιβαίνειν καθίστημι ἵππον, ὡς Ἀριστοφάνης. αὐτὸς βαδίζω καὶ ποιῶ. τοῦτον δὲ ὀχῶ, ἀντὶ τοῦ ὀχεῖσθαι ποιῶ.

Ὀχός, ὀχούμενος, φερόμενος. Ὀχῶν, βάσιν. Ὀχυρός, ἰσχυρός, ἀσφαλής. Ὀχύρωμα, στερέωμα. Ὀχύρωσαν, ἀσφαλίσαντο, ἐφυλάξαντο. Ὀχῶν, ἐχόντως ἔχων, ἢ ὀχῶν, ἢ ἁρμάτων. Ὄψ, ὄψις, ὀφθαλμός, ἡ φωνή. Ὄψα, λέγονται τὰ διὰ σίτου ἡδύσματα, παρὰ τὸ ὀψέ. καὶ τοῦτο ἀκριβῶς. ἡ γὰρ διὰ ὀψὲ ὥρας εἰς δεῖπνον προσεφέροντο αὐτά, πεπαυμένοι ἤδη τῶν ἔργων, ἢ διὰ ὀψὲ χρόνου ἐπορίσθησαν, μετὰ τὰς ἀναγκαίας ἐξ ἀλιευτικῶν καὶ σπορίμων τροφάς. Ὀψαλίδαι, οἱ ἀρχηγέται τῶν αἰπολῶν. Ὄψανον, ὄψις, φωνή. Ὀψάριον, τὸ ἰχθύδιον. Ὀψαρτύτας, μάγειρος. Ὀψαλίδαι, οἱ ἀρχηγέται τῶν αἰπολῶν. Ὄψανον, ὄψις, φωνή. Ὀψάριον, τὸ ἰχθύδιον. Ὀψαρτύτης, μάγειρος. Ὀψαρτυτική, μαγειρική. Ὄψεαι, θεωρήσεις. Ὄψεις, θέας. Ὀψέ, οὐ μόνον ἀντὶ τοῦ μόλις, ἀλλὰ καὶ ἀντὶ τοῦ ἐν ὑστέρῳ, μετὰ προσθήκης ὀνόματος χρονικοῦ. οἷον ὀψὲ τῆς ἡμέρας. χωρὶς δὲ τῆς προσθήκης, ἀντὶ τοῦ ἑσπέρας καθαρῶς. παρὰ Θουκυδίδῃ. οἷον καὶ ἡ μὲν μάχη ἐτελεύτα ἕως ὀψέ. Ὀψίδιον, ἐν δυσὶ μέρεσι λόγου διὰ γράφειν κατὰ τοὺς παλαιούς. οἱ συνθέτως ὑφ᾽ ἓν ὀψιδίων. διὰ τοῦ ι γὰρ ἂν ἐγράφετο. ὡς τὸ ὀψιμαθής, ὀψιτεκτής, ὀψιτέλεστος. Ὀψείοντες αὐτῆς καὶ πολέμοιο, ἀντὶ τοῦ ὀπτικῶς ἔχοντες. φασὶ γὰρ οἱ παλαιοί, ὡς τὰ τοιαῦτα ῥήματα ἐφεσιν κατὰ δηλοῦσι, καὶ τὸ ἐπιθυμητικῶς κινεῖς ἔχων, ὅθεν καὶ βρωσείω, τὸ βρωτικῶς φασὶν ἔχω. καὶ κλαυσείοντες, οἱ κλαυστικῶς ἔχοντες. σημειοῦνται δέ, ὡς οἱ τοιοῦτοι ἐν τοῖς οὐ προχωροῦσιν εἰς μέλλοντας. Ὄψεις, ὄνειροι, ὀφθαλμοί, ὁράσεις. Ὀψέ ποτε, μόλις ποτέ. Ὄψεσθε, ὀψεῦντα φασὶν εἶναι Ἡρωδιανός. ἀπὸ τοῦ ὄψομαι. Ὀψία, ἡ βραδεῖα. Ὀψιγονός, ὁ βραδέως γεννηθείς. Ὀψίας, ἑσπέρας. Ὀψίγονοι, οἱ ὀψὲ καὶ εἰς τὸ μέλλον γεννησόμενοι. νόθους δὲ καὶ ἐπιγόνους φασίν. Ὀψιμαθής, ὁ ὀψὲ ἀρξάμενος μανθάνειν. Ὄψιμον, χρόνιον, ὕστερον. Ὄψιμον, ὀψιτέλεστον, ἐκ παραλλήλου. τῆς αὐτῆς ἐννοίας δηλωτικά, διὰ σαφήνειαν. Ὀψινός, ὁμοίως τῷ ὄρθρινός, καὶ τῷ ἁμάρτημα. χρῆ οὖν ἄνευ τοῦ ι ὄψιος. Ὀψιπαίδωνας, τοὺς ἕως γῆρως ἄρρενας παῖδας βδέλλειν. Ὄψις, ὄψις διακριτικὴ σωμάτων, ἢ διάκρισις αἰσθητῶν. καὶ ἡ πρόσοψις, ἤτοι τὸ πρόσωπον. ἡ ὁρατικὴ δύναμις, καὶ τὸ ὁραθέν.

Ὀψιτέλεστον, μετὰ πολὺν χρόνον τελεσθησόμενον. Ὀψοδίαι, ἡ ἔνδεια τῶν ὄψων. Ὄψομαι, καὶ ὄψει μόνα ἐν χρήσει. τὰ ἄλλα θέτην ἄχρηστα. Ὄψον ἁπλῶς φασὶν οἱ παλαιοί,

ἀντὶ τοῦ ὤφελλε, τὸ εὐκτικὸν ἀντὶ τοῦ προστακτικοῦ. πίνε καὶ δῶρον ὀφέλλοις, ἀντὶ τοῦ ὄφελλες. Ὀφέλλω, σημαίνει τὸ αὐξάνω, καὶ διαβάλλω. ἐξ οὗ πλεονασμῷ τοῦ ι γίνεται ὀφείλω. ὅθεν καὶ τὸ ὀφείλημα τὸ αὐξανόμενον ἐν τῷ τόκῳ δάνειον. Ὄφελμα, αὔξημα, κάλυμμα, κάλλυντρον. Ὀφέλμασι, σαρώμασιν. Ὄφελον, ταυτὸ ὂν τῷ ὤφειλον. ἀναυξίαν δὲ ἐπιλείπω ἔχει, καὶ ἀπόλυσιν τοῦ ι. Ὄφελον, εἰ μὲν λαμβάνεται ἀντὶ τοῦ εἴθε, εὐκτικῷ συντάσσεται, ὡς ἐν τῷ ὄφελον κατεσβέσθησαν αἱ ὁδοί μου. καὶ μηδὲ παλιλλαλοῦσα χάριν. οἷον ὄφελον ἐγένετο, ἀντὶ τοῦ εἴθε ἐγένετο. ἀ γράφεται διὰ τοῦ ο μικροῦ. εἰ δὲ ἀντὶ τοῦ ἐχρεώστουν, διὰ τοῦ ω μεγάλου, καὶ κατοχὴ ἀπὸ τοῦ ὀφείλω εἰς παρατατικόν. οἷον ὀφείλω. ὁ παρατατικὸς, ὤφειλον, ἀ ι, καὶ συντάσσεται μετὰ ἀπαρεμφάτου. οἷον ὤφειλον γενέσθαι τόδε. μετὰ τὸ ως γράφεται ἀντὶ τοῦ εἴθε. ὡς ἐν τῷ, ὡς ὤφελλέ γε, μὴ δὲ ἦν προσθεῖναι, μετὰ δὲ τοῦ ως, ἀ τοῦ οὖν, ἢ ἔτι τοῦ πότε, ἀντὶ τοῦ ἐχρεώστουν. οἷον ἐπεὶ παραγινόμενον ἐνταῦθα, ὡς μὴ ὤφελον. καὶ τόδε, ὡς εἶθε ὤφελον. σημαίνει δὲ ταῦτα συνεμπεπλεγμένον ἔχει τὸ ἀπαρέμφατον ἅπαξ ῥηθὲν ἢ πεποίηκα. δὲ παραγινόμενον, ὁ διὰ τοῦ ι. οἷον ἐπεὶ τόδε πεποίηκα, ὡς μὴ κατ' ὤφελον ποιεῖσθαι δυνατόν. Ὄφελος, ὠφέλεια, ὠφέλημα, κέρδος, ὄνειαρ, ὄφελον, ἐπικουρία, ἐπιμέλημα, ὄρμημα, ἔρυμα, ἐπίρρημα. τὰ δὲ ἐναντία. ἐριστὶς ὠφέλιμος, ἐπωφελῶς, ὠφελίμως, ἐπωφελῶς. ὠφελεῖσθαι, καρποῦσθαι, ἐπαυρίσκειν, ἐπιλαύειν. ἑτέρας δὲ χρεῖας ὠφέλιμον, χρειῶδες, χρήσιμον, πάγχρηστον, χρήσιμον, ἀναγκαῖον, ἐπιτήδειον, ἐπωφελὲς, λυσιτελὲς, συμφέρον, σύμφορον, πρόσφορον, ὀνήσιμον. τὸ δὲ ὀνήσιμον, μοχθηρὸν. ἀπὸ δὲ τούτων, ἡ ὄνησις. καὶ τὸ ὀνήσασθαι, ἡ χρεία, ἡ ὠφέλεια, τὸ κέρδος. φαῦλον δὲ ἀνωφελὲς. τὰ δὲ ἐναντία, ἄχρηστον, ἄχρειον, βλαβερὸν, ἀσύμφορον, ἀλυσιτελὲς, ἀνωφελὲς, ἀνόνητον, ἀνεπιτήδειον. Ὀφελτρεύων, σύρουσα, καθαρίζουσα. Ὀφέλτης καὶ χάραξ. ὄρειον βόσκων. ὁ μὲν ὀφέλτης, ἀπὸ τοῦ ὀφέλλω, ὅ ἐστι καὶ ἀρχέμορος κληθεὶς, ὃς ἦν λυκούργου υἱὸς τοῦ νεμείου διός. χάραξ δὲ ἀπὸ τοῦ χάρακος τοῦ ἐκεῖ ὑπάρχοντος. ὁ δὲ αὐτὸς, χάραξ κατὰ Φίλιππον καὶ ἑτέρους, καφαλαιὸς λέγεται. τῶν δὲ ὁ κασμηρὸς, ἐλευθεριώτερον ξυλοφόρος καλεῖται, προχάτα καὶ πόλιν, διρχυασις, βραχυβολίας. ὃς δὲ ἐστὶ λυκουργιδίας, ὁ ἥρως καὶ ἡ αἴτια, καὶ ὁ προμηθεὺς. ἥρως λέγων μὲν, ὅς καλὸν ὁ ἄνθρωπος ἐν μέσῳ. προμηθεὺς δὲ, ὅς καλὸν ἡ αἴτια. αἴτιον, ὅς καλὸν ὁ βοῦς, ὥστε φασὶν οἱ μῦθοι. Ὀφελτρεύω, ὀφελτρεύουσι, κοσμοῦσι πάντων. δελφικὸν, σημαίνει τὸ καλλύνειν. Ὄφελτρον, κάλλυντρον. Ὀφθαλμίαν, ἰδίως τῶν ὑπέρων φασίν.

Ὀφθαλμιάζει, φθονεῖ, ἐπιβάλλει ὀφθαλμόν. Ὀφθαλμιῶ, ἀμεταβάτως δὲ ἔχει ὀφθαλμοὺς νοσῶ. Ἀριστοφάνης. Ὀφθαλμοῦ ἀλώσει. πρόσθεσις τὸ ὀφθαλμοῦ, λείπειν ἁπλῶς οὐ τοῦ διὰ σημείωσιν. ἄλλως γὰρ καὶ χωρὶς τοῦ ὀφθαλμοῦ ποιεῖται τὴν ἅλωσιν ἐπὶ τυφλωττόντων. Ὀφθῇ, ἰσχυσθῇ, φανῇ.

Ὀφθαλμὸς βασιλέως, ὁ τιμιώτατος κατάσκοπος. Ὀφιοί, οἱ ὑπὸ ὀχικοί. Ὀφιοῦχος, χελιδών, ἀστὴρ, αἰλουρ.

Ὀφιομάχης, εἶδος ἀκρίδος μὴ ἔχων πτερά. Ὀφιόδηκτος, ὁ ὑπὸ ὄφεως δηχθείς. ὄφις ἀπὸ τοῦ ὄψις, ὅτι ἐν ἀνθρώποις πλεονασμῷ τοῦ φ, ὄφις. Ὀφιοῦσσα, τινὲς ἰσγουσα. Ὀφιουρὸς, ὄρνις ποιὸς ἐν αἰθιοπίᾳ. Ὀφιοῦς. ἡ ῥόδος διὰ τὸ πλῆθος τῶν ὄφεων. Ὄφις παρὰ τὸ ὅπω τὸ βλέπω. ὀξυδερκὴς, ὃς κοιμώμενον ἀνοικτὰς ἔχει τὰς ὤπας. Ὄφις, ποιὸς ἰχθύς. καὶ τὸ χρυσοῦν περιβραχιόνιον, καὶ ὁ φλέβων, ὁ φυλάσσων τὰ χρυσᾶ μῆλα, ἐν ἀπεκτεινεν ἡρακλῆς. Ὄφλα, ὄνομα χωρίου ὅπου ἦν τεῖχος ἱερουσαλήμ. Ὀφλόντες, ὀφλισκάνοντες, ὀφείλοντες. Ὄφλημα, τὸ ἐκ καταδίκης τῷ δημοσίῳ ὀφειλόμενον. κυρίως ὀφείλημα τὸ ἐκ δανείου, καὶ τὸ ἁπλῶς χρέος. χρέος δὲ

τὸ ἐκ δικαστηρίου διδόμενον. Ὀφλήσουσι, καὶ ὄφλοιεν χρημάτων. Ὀφλισκάνοντες, χρεωστοῦντες, ὑπομένοντες. Ὀφνίς, ὕννις, ἄροτρον. Ὄφρα, εἰ μὲν ὑποτακτικὸν ἐπιφέρεται, σημαίνει ἀντὶ τοῦ ἵνα. εἰ δὲ ὁριστικὸν ἐπιφέρεται, ἐστὶν ἐπίρρημα, ὡς τὸ ὄφρα μὲν ἠὼς ἦν, ἀντὶ τοῦ ἕως. Ὄφρα εἰδῶ τὸ, ἕως εἰδῶ τι, ἐπιθεάσασθαι. Ὄφρ' ἂν, ἕως ἄν. Ὄφρ' εὖ εἰδῶ, ὅπως καλῶς εἰδῶ. Ὀφρύα, τὰ ὑψηλά, καὶ ὑπερκείμενα χωρία. ὅθεν καὶ ἀκμησιὰς. Ὀφρυαγμοσυνη κακευσεβείας, παρὰ τῷ Ἀντιφάνει, ἀπὸ τὸ ὀφρύς ἡ ὀφρύαγμα καὶ σημαίνει ἀντὶ τοῦ ὑπερήφανον. Ὀφρυάζειν λέγεται, τὸ ταῖς ὀφρύσι νεύειν. Ὀφρυηέσσαν, ὑψηλὴν. οἱ δὲ μέσον, καὶ ὑψηλόν. Ὀφρυή, χῶμα, λόφος, αἱμασιαί. Ὀφρυόεσσα, παρὰ τὸ ὄφρυς γίνεται καὶ τὸ χρόνῳ τὸ φ, ἀλλὰ τροπῇ συνήθει, ὡς ἐν πολλοῖς τοῦ π εἰς φ. φυλάσσουσι γὰρ τὸν ὄφιν εἰσὶ ἄλλον, καὶ τὸ μὴ κακουργεῖσθαι ὑπὸ ὑφαντῶν.

Ὀφρύωσιν, ἐρυθριῶσι. οἱ γὰρ ἐρυθριῶντες κινοῦσι τὰς ὀφρῦς. Ὀφρύν. λέγει ποτὲ ὁ ποιητὴς τῶν ὀπισθεν ἐξοχῶν. ὡς ἐν τῷ ἐπ' ὀφρύσι καλλικολώνης. ὅπου φησὶ κρᾶτα ὀλίγον, ἀπὸ ὀρέων κείμενα. καὶ ὀφρῦς, τὰ κρημνώδη καὶ τραχέα τοῦ ὄρους καὶ ἔπαρσις καὶ ὑπερηφανία. Ὀφρύνιον, πόλις ἐστὶ τρωάδος, ὡς Δοῦρις Ἀνθρωπίων ἐν τρίτῃ ἀττικῆς. Ὀφρυῶν, μετέωρον. Ὀφρυόεσσα τρεῖα, ἡ ἐπὶ ὀφρυώδους τόπου κειμένη. διὰ τὸ εὔτειχος καὶ ἐπιμήκεια. ὀφρυὸς γὰρ αἱ ὀρειναὶ ἐξοχαί. Ὀφρυόεντα, λοφώδη, ὑψηλόν. καὶ ὀφρυόεντος, ὑπερήφανος. Ὄχα, ἐξόχως. ἀπὸ τοῦ ἔχω ἐξοχῶς, τὸ ἔξοχον, τὰ ἔξοχα, ἐπίρρημα ἔξοχα, καὶ ἀποβολῇ τοῦ ἐξ προθέσεως ὄχα. ἀποβάλλεται γὰρ πολλάκις ἡ πρόθεσις, ὡς ἐστὶ τὸ κατωγεῖς, αἰγείς. Ὄχανον, τὸ κράτημα τῆς ἀσπίδος. καὶ ὄχανον, ὁ δεσμὸς καὶ ὁ λῶρος. ἐξ οὗ ἀποκρέμαται ἡ ἀσπίς. γίνεται δὲ παρὰ τὸ ἔχω, ὁ σημαίνει τὸ κρατῶ, ὄχανον, καὶ ὄχανον. Ὄχ' ἄριστος, ταυτὸν τῷ μέγ' ἄριστος. καὶ ἐξόχως ἄριστος. ὑπέρθεσις ἐστὶ ὑπερθέσεως, κατὰ σύναψιν ποιητικήν.

Ὀχάζει, ἄλλεται. ὁ λόγος ἐπὶ ἀχιλλέως, οὐ βαρυνομένους ποιεῖ ὅτε πνευστὴν μυκλὸς. Ὀχέειν, εἶργειν, ὀχεῖν, φέρειν, βαστάζειν. ἀπὸ τοῦ ὄχω καὶ τοῦ ὀχλίζω. ἐν χειμῶνι ποτὲ ὀχέων. ἐκεῖνον δὲ, ὅτι ἐχέδνας εἰς ζῆν, περίφρασις ἀπὸ τοῦ οἰκουροὺς εἶναι. καὶ εἴρηται ἐκ μεταφορᾶς τῶν ἀσθενεῖς. καὶ λέγεται ὀχεῖν. καὶ ὀλεῖν. Ὀχετὸν, ἀντὶ τοῦ ὄχουν. ἤτοι ἔφερον, ἐβάσταζον. Ὀχεῖσθαι, ἄλλοτε μὲν ἐπὶ κυνηγεσίῳ ποιεῖται. οὕτω γὰρ φαμὲν ὡς θέλω τινὸς ἵππου ὀχεῖσθαι. ἄλλοτε δὲ ὀχεῖσθαι λέγεται τοὺς ἀχιλλέως ἵππους πωλικῶς, ἀντὶ τοῦ ὑπὸ ἀπέχειν γίνεσθαι. Ὀχέα, ποιεῖα. ἢ ἄγκυρα. παρὰ τὸ ὀχεῖν ἐν τῷ κέντρῳ τὰς ναῦς. Ὀχεύς, ὁ μὲν ζυγὸς, καὶ ἡ συνουσία. Ὀχεῖον, ἅρμα, δίφρος, ἅμαξα, ὄχημα. ἢ καὶ τοῖς εἰς ὄχευον ἐπιτήδειος. Ὀχεῖσθαι, ἄλλως μὲν κοινότερον ἐπὶ ῥυσεῶν δηλοῖ, λαμβανόμενον ἐπὶ τοῦ ἐποχεῖν καὶ ἐπιβαίνειν. λαμβάνεται καὶ παλαιῶς παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ἀνέχεσθαι. Ὀχέεται, μετέωρος φαίνεται. Ὀχεῖσθαι, ἐν αὐτοῖς ἔχοντο. Ὀχεῖον, ὑπόμενον, ἔφερον.

Ὄχεσφιν, κατὰ προσχηματισμὸν Ὅμηρος εἶπεν. ἐπὶ τὸ ἐν τῇ ἀναλυτῇ ἵπποισιν καὶ ὄχεσφιν. ὅτι ὀχήμασιν, ἢ τοῖς ἅρμασιν. Ὀχετεύειν ἐστὶ κυρίως τὸ ὕδωρ διὰ αὐλῶνος ἄγειν. ἀφ' οὗ μετεχειτεύειν, τὸ μετάγειν ὕδωρ ἐφ' ἕτερον αὐλακα. Ὀχετεύει, ἐπικλύζει, σαλεύει, μεταφέρει. Ὄχετλα, τὰ ὀχλήματα, οἱ δὲ τὰ συντεθραυσμένα. Ὀχετός, αὐλών, ἀγωγός, ῥεῖθρον, ὕδωρ, ὑφαγωγεῖον. Ὀχετοκρανία, τὰ καλούμενα, ἃ ἐκλύουσαι αἱ λεγόμεναι τῶν μηχανημάτων. εἰσὶ δὲ αὗται ξύλινα, ἢ καθαμαῖαι. οἱ δὲ φασὶ τοὺς ὑπονόμους, καὶ διὰ ὑπὸ τῶν γῆν ὀχετούς. Ὀχεῦνται, ὀρίναι, ποιοῦνται.

Ὀχεὺς, ὁ μοχλός, ἢ τὸ λεγόμενον σερά. ἔχουσι σερά, ὁμοίως τῷ ξυλὶ ζυγῷ, καὶ λαρῇ λίθῳ. καὶ γίνεται παρὰ τὸ ἔχω, ὁ τὰς θύρας συνέχων. διὸ ὁ ποιητὴς τρόπῳ ἐτυμολογίαν

ἐφη

πρὸ τοῦ· εὑρέσεως τῆς καταβάσεως. Οὖς ἀφροδίτας, οἱ ἁλιεῖς ὄργανόν τι οὕτω καλοῦσιν. Οὔ σε ἔοικε, τί διαφέρουσιν αἱ ἐγκλινόμεναι ἀντωνυμίαι τῶν ὀρθοτονουμένων; διαφέρουσιν. ὅτι αἱ μὲν ὀρθοτονούμεναι διαστολὴν ἔχουσιν ἑτέρου προσώπου. οἷον ἐμοὶ ἔλεγε καὶ οὐκ ἄλλῳ, ἐμοῦ ἤκουσας καὶ οὐκ ἄλλου. αἱ δὲ ἐγκλινόμεναι, ἀπόλυτα πρόσωπα δηλοῦσιν, ὡς σοὶ νῦν ἔγραψα. Οὐ θενῶς, οὐκ ἰσχυρῶς. Οὐσία πρώτη ἐστί, πᾶν τὸ καθ' ἑαυτὸ ὑφεστὼς οἷον λίθος. οὐσία δὲ λέγεται δευτέρα αὐξητική, καθὸ αὔξει καὶ φθίνει τὸ φυτόν. τρίτη δὲ οὐσία ἔμψυχος αἰσθητικὴ τὸ ζῶον, οἷον ἵππος. δύο δὲ οὐσίαι ἔμψυχοι, αἰσθητικὴ καὶ λογική, ὁ ἄνθρωπος. διὸ καὶ ἔσχατος γέγονεν. ὡς οὖν ἐκ πάντων τῶν ψυχῶν ἔχων ἄϋλον, καὶ τὸν νοῦν θεοῦ εἰκόνα. Οὐσία, ἐξουσία, ἑστιότης, πλοῦτος, ὕπαρξις, εἶδος ὑφεστώς, βίος, κτῆσις.

Οὐσίας ἴδιον, τὸ ἐν πᾶσι καὶ πάντων φυσικῶς κατηγορεῖσθαί τε καὶ προσφαίνεσθαι. Οὐσία, καὶ φύσις, καὶ μορφή, ταυτόν ἐστιν. ἄτομον ὑπόστασις καὶ πρόσωπον, ταυτόν ἐστιν. Οὐσιώδης δέ ἐστιν, ὃ οὔτε παρὸν σώζει, οὔτε ἀπὸν φθείρει, ὡς ἐπὶ τοῦ λευκοῦ. Οὐ συγγινωσκόμενοι, οὐ συγχωρούμενοι. Οὐ συμβαίνει, οὐ συμφωνεῖ. Οὐ συνέχειν ὀργήν, οὐ καταπραΰνειν ὀργήν. Οὐ σὺν ἱδρῶτι, οὐ σὺν καμάτῳ. Οὐ χολαίτερον, ταχέως. Οὖτα, ἀντὶ τοῦ οὔτασε κατὰ ἀποκοπήν, ἔπληξεν.

Οὖτα αὐτὴ παρ' Ὁμήρῳ προπερισπώμενον, διὰ τὴν ἀποκοπὴν τὴν ἐκ τοῦ οὔτασεν, ὃ σημαίνει τὴν ἐγγύθεν πληγήν. φησὶ γοῦν οὖτα Δημοκοόωντα αὐτοσχεδόν, ἤγουν ἐγγύς. ἔνθα εἰ μὴ προσέκειτο αὐτοσχεδόν, καὶ ἄλλως τὸ οὖτα τὴν αὐτὴν σημασίαν εἶχεν ἄν. Οὐταὶ χαλκῷ, τὸ ἐντελές ἐστι τοῦ προγραφέντος οὖτα. Οὐτάμενος, παρὰ τὸ οὔτημι, οὔταμαι, μετοχὴ οὐτάμενος, ὃ ἐκ τοῦ οὐτασμένος, καὶ ἀποβολῇ τοῦ σ οὐτάμενος. καὶ παροξύνεται, ἐπειδὴ αἱ τοιαῦται μετοχαὶ προπαροξύνονται. οἷον ἐληλασμένος, ἐληλάμενος. Οὐτάσαι καὶ οὐτάναι, ἀπαρέμφατον. τὸ μὲν οὐτάσαι, ἀπὸ τοῦ οὐτάζω. τὸ δὲ οὐτάναι, ἀπὸ τοῦ οὔτημι. Οὔτε, ἐπὶ παρῳχημένου, καὶ ἐπὶ ἐνεστῶτος, καὶ ἐπὶ μέλλοντος τάττεται. οὔτε ποιῶ, οὔτε ποιήσω. Οὔτε προσδιαλέγεται, οὐδέν. δύο ἀποφάσεις ἀντὶ μιᾶς, ὅπερ ἀττικόν ἐστιν. Οὔτε παρελθεῖν, οὔτε ἁλιῶσαι. ἔστι δὲ παρελθεῖν μέν, τὸ μηδαμῶς παραβῆναι, καὶ ὁμοιότερον εἰπεῖν, παρὰ Διὸς ἐλθεῖν. ἁλιῶσαι δέ, τὸ παντελῶς ματαιῶσαι, καὶ ἀργεῖν διαπραχθεῖν ἄπρακτον. Οὐτηθείς, τρωθείς. Οὐτήτειρα, πληκτική. οὐτήτειρα, διψὰς ἔχιδνα. Οὐτιδανὸς ποιητικῶς, ὁ οὐδενὸς ἄξιος. ἀπὸ τοῦ οὔτις καὶ τὸ παραγωγὸν οὐτιδανός, εἶτα προστιθεμένου τοῦ δ διὰ εὐφωνίαν, ὡς καὶ ἐν τῷ ἰχθυδανοῦ, σημαίνει τὸ ἀσθενῆ, ἄψυχος, οὐδενὸς ἄξιος λόγου. Οὐτιδανός, πλεονασμός ἐστι τοῦ δ. ἴσως δὲ καὶ ἡ ὅλη δαν συλλαβὴ πλεονάζει, ὥσπερ ἐν τῷ κολυμβίξιον ἄργος. ἰχθυδανὸς μὲν γὰρ ἐκ τοῦ ἰχθύω καὶ τοῦ ἕπω, ὃ τὸ δὶς ὄνος, ἵνα ᾖ ἰχθυοεῖς, ἐν μικροῖς βλέπεται, ἢ προσφωνοῦνται. οὕτω δὲ καὶ τὸ κωδάλιον, εἴτε ἀπὸ κινῶν ἀλίσκεται, εἴτε κινεῖσθαι. ἐν τῷ ἁλιπλεονασμὸν ἔχει τοῦ δ, ὡς καὶ ὁ ἀχίρδος, ὃς οὐκ ἐπὶ χερσὶν ἅψασθαι διὰ τὸ ἀκανθῶδες, καὶ τὸ ἀπὸ τοῦ ὑὸς γινόμενον ὅλον.

Οὔτι καίριος ὀργεῖον, ἀντὶ τοῦ ἀσφαλέστατος εἰλεκτο.

Οὔτι κράτει γε, οὐ τῇ δυνάμει. Οὔτι μάλα δήν, οὐκ ἐπὶ πολύ. Οὔτι μέλει, οὐ μέλει. Οὔτι μοι ὑμμές, οὐκ ἐστέ μοι ὑμεῖς. Οὔτι πω σῦν, οὐδέποτε. Οὔτι που, οὐδαμῶς.

Οὔτι ἀπόβλητον, οὐκ ἀποβλήσεως ἄξιον. Οὑτοσί, δεικτικὰς αὕτη παρὰ τοῖς Ἀττικοῖς, καὶ τοῖς ἄλλοις. Οὗτος, αὕτη, τοῦτο, δεικτικὴ ἀντωνυμία. δέχεται δὲ τὸν προσχηματισμὸν τοῦ ι, διὰ πλείονα δεῖξιν. οἷον οὑτοσί, αὑτηί, καὶ τουτί, ὁμοίως καὶ ἐν τῇ κλίσει αὐτῆς πάσῃ. Οὗτος, τὸ θηλυκὸν αὕτη, κλητικὰς ἔχουσιν. οἷον ὦ οὗτος, καὶ ὦ αὕτη. καὶ ἐπὶ πληθυντικῶν, ὦ οὗτοι, ὦ αὗται, ὅπερ οὐδαμοῦ ἑτέρᾳ ἀντωνυμίᾳ συμβαίνει. ἐπὶ δὲ δεικτικήν, καὶ ἔχει πλείονα δεῖξιν, ὅταν τὸ ι προσλάβῃ, οἷον οὑτοσί, καὶ αὑτηί. ἔστι δὲ ὁ προσχηματισμὸς οὗτος ἀττικός. διαφέρει δὲ τῶν κοινικῶν προσχηματισμῶν, τῷ μὲν ἐκεῖνα εἶναι τὸ ι μακρόν, ἐν ἐκείνοις δὲ βραχύ, οἷον ἐκεινοσί, ἀνθρωποισί. καὶ τῷ τὰ ἀττικῶς προσχηματιζόμενα ὀξύτονα εἶναι, οἷον οὑτοσί, αὑτηί. τὰ δὲ κοινικῶς ἀεὶ βαρύτονα. καὶ ὅτι τὸ οὑτοσί μόνον ἐν τῇ εὐθείᾳ προσλαμβάνει τὸ ι, φωνήεντος ἐπιφερομένου. τὸ δὲ αὑταί, καὶ τουτί οὐδαμῶς. τὰ δὲ κοινικὰ πάντα τὸ ι προσλαμβάνουσιν, εἰ φωνῆεν ἐπιφέρεται. ἐν τῇ δοτικῇ γὰρ ταῦτα εὑρίσκεται, ὡς ἴδιον προσλαμβάνειν τὸ ι. Οὐτιγανοί, σφακελοί, σπουδαῖοι. Οὕτω που Διὶ μέλλει φίλον εἶναι, ἤγουν οὕτως ἴσως ἔοικε φίλον εἶναι τῷ Διΐ. Οὕτως, ὥσπερ ἀπὸ τοῦ οὗτος γίνεται τὸ οὕτως ἐπίρρημα παρὰ τοῖς κοινοῖς, καὶ δηλοῖ δύο. λαμβάνεται γὰρ καὶ ἀντὶ τοῦ τόνδε τὸν τρόπον, καὶ ἔχει ἀνταποδοτικὸν τὸ ὡς, οἷον οὕτω ποιῶ ὡς ἐκέλευσας. καὶ ἀντὶ τοῦ ὡς ἔτυχεν. οὕτως ἀπὸ τοῦ αὐτό, τὸ αὕτως παρὰ ποιηταῖς, κατὰ τὰ δύο ταῦτα σημαινόμενα λέγεται τὸ αὕτως, καὶ ἀντὶ τοῦ κατὰ τόνδε τὸν τρόπον, ἐφ' ᾧ σημαινομένῳ, τὸ οὕτως λέγεται παρὰ τοῖς κοινοῖς, καὶ ἀντὶ τοῦ ὡς ἔτυχε. τὸ δὲ οὕτως ὅταν ἔχῃ ἔμπροσθεν φωνῆεν μετὰ τοῦ σ γράφεται, ὅταν δὲ ἔχῃ σύμφωνον δίχα τοῦ σ. Οὐρατῶς, ἀφάτως. Οὐρανομηκέστατα ἁμαρτήματα, τὰ μέγιστα ἁμαρτήματα δηλοῖ. καὶ ἔστι σχῆμα ἔχουσαν ἀπόφασιν, κατάφασιν δηλοῦσι, κατὰ τὴν ἐναντίαν ὑπέρθεσιν.

Οὐ φαῦλα, οὐκ ἀργῶς, οὐ κούφως. Οὐ φίλαι γάρ, τὰ ὡς τὰ ἱμάτια. Οὐρίαχμα, τὸ τάγματος ὁ πρὸς τῷ πλευρῷ διαφθείρει. Οὐ φοιβάσεται. φοιβᾶν ἐστι τὸ ἐπὶ καθαρῷ, ὃ δαιμονικῷ μαντεύεσθαι. Οὐφορατόν, μέγα, βαρύ. Οὐχ οὕτως, οὐχὶ οὕτως. Οὐ χάζομαι, οὐ σέβομαι, οὐκ ἐντρέπομαι. Οὐχ ἅλις, οὐχ ἱκανός. Οὐχ ἁπλῶς, οὐχ ὡς ἔτυχεν, οὐκ ἀκαίρως. Οὐχ ἥκιστα, μάλιστα. Οὐ χάζος, οὐκ ἄχος, οὐ πῆγος συνεχές.

Οὐχ ἕδος, οὐ καιρὸς τοῦ καθίζεσθαι, οὐ καθέδρας φροντίς.

Οὐχ εἶκον, οὐχ ὑποχωροῦν. Οὐχ ἑκών, οὐ βαλλόμενος, οὐ θέλων. Οὐχοῦν, φυλακοί. Οὐχ ἕπεται, οὐκ ἀκολουθεῖ.

Οὐχ ἧττον, ἀττικοὶ ἀντὶ τοῦ μᾶλλον λαμβάνουσιν. οἷον οὐδεὶς Σωκράτους ἧττον ἀμαθὴς ἐγένετο, ἀντὶ τοῦ μᾶλλον φρόνιμος.

Οὐχί, οὐδαμῶς, οὐ δῆτα. Οὐχ οἷόν τε, οὐ δυνατόν. Οὐχ ὅπως, ἀντὶ τοῦ οὐ μόνον τὸ οὐχὶ λαμβάνεται. οἷον πανταχόθεν χρόνος οὐχ ὅπως φιλοσοφοῦσιν ἀπαρκεῖν ἐμοί γε φαίνεται, ἀντὶ τοῦ οὐ μόνον οὐχὶ τοῖς φιλοσοφοῦσιν. Οὐχ ὁράας παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας ρ', ὃ ἀντὶ τοῦ νοεῖς. ἐπεὶ νοῦς ὁρᾷ καὶ νοῦς ἀκούει. καὶ ἔστιν ἀντὶ τοῦ ἀκούεις. ὡς ἂν εἴη αἴσθησις, ἀντὶ αἰσθήσεως. Οὐχ ὁρῶντα, οὐ ζῶντα. Οὐ χραισμεῖ, οὐ βοηθεῖ. Οὐ χρή, οὐ δεῖ. Οὐχ ὑπέλειπε, οὐχ ὑστέρησε, οὐ κατέλιπε. Οὐχ ὑπείκει, οὐχ ὑπείργει, οὐ βαστάζει. Οὐχ ὑφίσταται, οὐκ ἐνδίδωσιν. Οὐχ ὑφίσταται, οὐχ ὑποφέρει, οὐχ ὑπομένει. Ὁ φάρυγξ, ἀρσενικῶς μὲν ἐπιχώριος λέγει. ὁ δὲ ἀττικός, ἡ φάρυγξ. Ὄφατα, δεσμοὶ ἀρότρων. ἀκαρπῶν. Ὀφειλή, τὸ χρέος, καὶ ὀφείλημα. Ὀφειλέτης, χρεώστης. Ὀφείλω, τὸ χρεωστῶ, καὶ ὀφλισκάνω δίκην. ὀφείλω δὲ ὀφειλήσω, ὃ ἐλαττωθήσομαι. ὀφείλω δὲ νεμεῖν, καὶ ὀφείλω λέγεται τὰ δικαστικά. Ὄφελον τις ἐπὶ εὐχῆς. ὀφείλω δέ τις ὡς ἡμεῖς ἐπιδεχόμεθα. καὶ ὀφείλω τὸ τέλος διὰ τὸ πρῶτον. Ὀφείλω σοι χρήματα, καὶ ὀφείλω πολὺ χρυσίον, καὶ ὀφείλω τὰ δίκαια ποιεῖν. Ὤφελε θανατός μοι ὀλεῖν. ταῦτα δὲ γίνεται κοινῶς ὤφελε, καὶ ἰωνικῶς ὄφελε. ἐκτείνεται δὲ ὁ λόγος τοῦ ὄφελε λέγειν κοινῶς συλλαβῶν πρὸς θεραπείαν τοῦ τοῦ στίχου λαγαρώτατος. Ὄφελον, ἄνεσις πρῶτός ἐστιν εἰδικοῦ τοῦ ὄφελε, καὶ ἐμποιεῖται τοῦ τύψαι, καὶ σεσιάσομεν. Ὄφελος, ἡ μακρά ἐστι κατὰ παντὸς ἀριθμοῦ φερόμενον, χαλεπῶς καὶ μέγα καὶ μικρόν. Καλλίμαχος δὲ ἐπίρρημα τέθεικεν, ὡς τὸ ὄφελος δ' ἐγένετο τοῦ τρίτου. Ὀφέλλεις παρὰ τῷ Ἡσιόδῳ

οὐ προθυμῶ, οὐκ ἔχω λέγειν. Οὔπω καὶ οὐδέπω ποτε, ἐπὶ παρῳχημένου τάττεται. οἷον οὔπω ἦλθε, καὶ οὐδέπω ποτε ἐποίησεν. ὁ δ' Ἀριστοφάνης, οὐχ ὅρα ὡς ἐμοὶ ἦλθεν οὐδέπω ποτε. καὶ παρὰ Ξενοφῶντι, τοιαῦτα μὲν εἶπεν, οὔπω δ' ἐφαίνετο χρυσὸς οὔπω. καὶ παρὰ Στησιχόρῳ, ἕως ἔμελλεν ἦν καὶ τὰ λοιπὰ οὔπω παρῆν. Οὔπω πάνυ εἴρητο, κακῶς λέγεται. λείπει γὰρ ἢ τὸ ἔχω, ἢ τὸ νόημα, ἢ ἴσως τὸ ῥῆμα λαμβάνειν ἀπὸ κοινοῦ, ἐκ τοῦ εἴρητο.

Οὔπως, οὐδένα τρόπον. Ὅμηρος, ὦ γέρον οὔπως ἔγωγε τῷ πείθεσθαι ἔοι. Οὖρα, ἡ κατ' ἐξοχὴν ἐπίουρα. εἰσὶ τὰ ὁρμήματα, ὡς ἀπὸ τοῦ ὀρούειν. ἢ τὰ μεταξὺ διαστήματα, ὡς ἀπὸ τοῦ ὅρου ὁ περιορισμὸς κατὰ γένους μετατιθέμενον, ἐπεὶ τρία ἐστὶ καὶ τὰ διάπεντα, καὶ τὰ τετρά, καὶ τὰ λόχια, καὶ τὰ πόσα. ὡς τὸ καὶ πόσσα κατάγραμμα καὶ κύβον βαλεῖ. ἔστι δὲ μὲν πρὸς ἡμιόνους εἰρημένος τοῦ δόλιχος. ὁ δὲ πρὸς βίαν τῶν διωκόντων ἐλαυνικῶν δρόμων. εὐγενέστερος οὗτος παλιν ἐκείνου. προσφθίνεσθαι δὲ, αἱ ταχεῖται, καὶ ἐμπροσθεν φερόμεναι. Ὅμηρος ἐν τῇ Ἰλιάδι, ἀλλ' ὅτε δὴ ῥ' ἀπέην ὅσσον τ' ἐπὶ οὖρα πέλονται ἡμιόνων. αἳ γάρ τε βοῶν προφερέστεραί εἰσιν ἑλκέμεναι.

Οὖρα λίσκον, οἱ παλαιοὶ τὰ ὁρμήματα φασί. παρὰ τὸ ὀρούω τὸ ὁρμῶ, ἃ καὶ δίσκουρα λέγονται ἀνοχεῦ. ἐκεῖ μὲν τὸ τῶν ἐν ἐγχώρων διὰ οὖρα ἐχόντων ἐν δυσὶ μὲν διὰ λέγον κατὰ συναλοιφήν. μεταπέπλασται δὲ οὖρος, καὶ λέγεται οὖρον, ὡς ἐρρέθη ὅρμημα. καθὰ καὶ εἰς τὸ λέγειν, ὁ λόγος. Οὐρὰ, τὸ ὄπισθεν τῶν ζώων, καὶ ἀπὸ τούτου οὐρὰ, καὶ ὁ πρύμνα τῆς νηός. ὅθεν οὖρος ποιητικῶς, ὁ ἀπὸ τῆς οὐρᾶς φορὸς, καὶ ἐπιτάδιος ἄνεμος, ὅς κοινῶς λέγεται οὔριος. ὅθεν καὶ τὸ ἐξ οὐρίου πλεῖν, καὶ οὐρὰ ἡ ἱέραξ, ἢ τὸ αἰδοῖον. Οὐραγεῖν, ὑστερίζειν. Οὐραγία, μᾶλλον οὐραγόνου, παρακείμενος οὐραγῆσαι. τὰ ἀρχόμενα ῥήματα ἀπὸ τῆς οὐ διφθόγγου, οὐ τρέπουσι τὴν οὐ δίφθογγον. ἐπειδὴ ἡ νόησις μεγίστη ἔχουσιν ἐν τοῖς παρῳχημένοις. Οὐραγία, στρατηγίας οὐραὶ. τουτέστι, τὸ τέλος τῆς φυλακῆς, καὶ τῆς τάξεως.

Οὐράγιον, ἔσχατον. Οὐραγὸς, τῆς οὐρᾶς ὁ ἔσχατος ἡγεμὼν, καὶ τοῦ τελευταίου στρατοῦ φύλαξ. ὁ δὲ τοῦ δεξιοῦ, δεξιοφύλαξ. Οὐ ῥᾳδίως, οὐκ εὐχερῶς. Οὐ ῥᾳδίως, κακῶς. ἐν ἐνδείας. Οὐρανίαν, ὅταν τὴν σφαῖραν ἀποβάλλωσιν, καὶ τὴν παιδιὰν δὲ καθόλου παιδιὰν, οὐρανίαν καλοῦσι. καὶ οὐρανίζειν, παρὰ τὸ οὖν ἐπαίζειν Ἀριστοφάνης. Οὐρανίαφι φίλα, κατὰ προσχηματισμὸν τῆς φι, ἀντὶ τοῦ ὦ οὐρανία φίλα.

Οὐρανία δ' αἴξ, ὥσπερ λέγοι τις, ἡ τῆς Ἀμαλθείας κέρας. ἐπειδὴ γὰρ τις οὐρανὸν ἐλάμβανεν ἔχων τοῦτο. ἐκεῖνος δὲ ὅθεν αὐτὴν ἔσωσεν, ὅτι κατ' ἐνίους ὁ ὀφθαλμὸς τῇ αἰγὶ ἐπιχεῖται. ταύτῃ δὲ τὰ γόνιμα ἔσχεν, διὰ τὸ καὶ αὐτὴν ἐπὶ τοῦ ἐν Δωδώνῃ τὰ αὐτὰ πάθειν, ὅθεν καὶ εὐκταίαν φασὶν αὐτὴν εἶναι. Οὐρανίδης, ὁ ἐκ τοῦ οὐρανοῦ. Οὐράνιον αἷμα, παρὰ τῷ Ἀπολλωνίῳ. Ἀπολλώνιος ἐν τῇ τρίτῃ φησὶν, ὅτι ἐκ τῆς ἐκτομῆς τοῦ οὐρανοῦ ῥανίδας ἐνεχθεῖσαι σταγόνας, τουτέστι κατέρρευσαν κατὰ τῆς γῆς, ἐξ ὧν γεννηθῆναι τοὺς Φαίακας, οἱ δὲ τοὺς γίγαντας. καὶ Ἀλκαῖος δὲ κατὰ τὰ αὐτὰ Ἀκουσιλάῳ λέγει τοὺς Φαίακας ἔχειν τὸ γένος ἐκ τῶν σταγόνων τοῦ οὐρανοῦ. Ὅμηρος δὲ, οἰκείους τοὺς Φαίακας τοῖς θεοῖς φησι, διὰ τὴν ἀπὸ Ποσειδῶνος γένεσιν. Οὐρανίσκος, ὁ ὄρανος ἄνω, ἢ ὁ ὁρώμενος ἄνω. ἢ ὅτι οὐρανία ἄνω. ὑποκοριστικὸν ἐπὶ τοῦ σωματικοῦ μέρους, οἱονεὶ ὁ μικρὸς οὐρανός. ὅτι μεταφορικῶς διὰ τῆς εὐρυχωρίας οὕτως ὁ τόπος, ἀπὸ μεταφορᾶς τοῦ ἐν ὅλῳ τῷ κόσμῳ οὐρανοῦ. Οὐρανίζειν, πρὸς τὸν οὐρανὸν διαίρειν. Οὐράνιος ἄχος, τὸ κατ' οὐρανόν. δηλοῖ δὲ καὶ τὸ μέγα καὶ ὑψηλόν. Οὐράνιοι, οἱ τὸν οὐρανὸν κατοικοῦντες. Οὐρανίωνες, οἱ ὑπὸ τὴν οὐρανοῦ ἀρχὴν τεταγμένοι. Οὐρανίωνες, οἱ θεοὶ δὲ οὕτω λέγονται. Οὐρανοβάμος, οὐρανοφοίτης. Οὐρανόθεν, ἐκ τοῦ οὐρανοῦ. οὐρανόθι, ἐν τῷ οὐρανῷ. οὐρανίοι, εἰς τὸν οὐρανόν. τὰ διὰ τοῦ θεν ἐπιῤῥήματα αἱ μὲν ἀπὸ ὀνομάτων γίνεται, μικροτέρα φαίνεται καὶ τὴν ἐκ τόπου κίνησιν σημαίνει. οἷον οὐρανόθεν, οἴκοθεν, κυκλόθεν. τὸ δὲ κύκλωθεν, ὡς ἀπὸ τοῦ κύκλῳ γινόμενον, μεγαλοφωνεῖται. τοιοῦτον ἐντεῦθεν, ἐκατέρωθεν, ἀμφοτέρωθεν. αἱ δὲ ἀπὸ ἐπιῤῥημάτων, ἄμφω καὶ κίνησιν, καὶ στάσιν, οἷον ἔξωθεν λαμβάνει. ἤγουν ἐκ τόπου ἐκτός. ταῦτα γίνω τὰ εἰς θεν ἐπιῤῥήματα ἔχουσι τὴν ἀπὸ τὸ θεν ἐν ἑαυτοῖς, καὶ εἰ δύναται αὖθις λαμβάνει. οἷον ἀπ' οὐρανόθεν Ὅμηρος, ὁ ποιητὴς ἀδεία τοῦτο λέγει. Οὐρανόθι πρὸ, ἐν τῷ ὑπὸ τὰ νέφη τόπῳ. Οὐρανομήκη, ὑψηλὸν λίαν.

Οὐρανὸς, ὁ κατεστηριγμένος τόπος. λέγονται δὲ τὰς βασιλείους σκηνὰς καὶ αὐλὰς, ὧν τὰ καλύμματα κεκλεισθῆ, οὐρανοὺς λέγουσιν. Οὐρανὸς ὑπὸ πρὸ περιέχων τὰ ἄλλα πάντα τῆς ἑαυτόν. Οὐρανοσκόπος, ἰχθὺς ποιός. Οὐρανοφαίνων, οὗ ἡ λαμπρότης εἰς ὕψος φαίνεται. Οὐρανοφοιτῶν, ἐν οὐρανῷ διατρίβων. Οὐρεα, Δοῦσα· φησὶ ἢ ὑπὸ γιγάντων κατενεχθέντας λίθους, τοὺς μὲν εἰς τὴν θάλασσαν πεσόντας, γενέσθαι νήσους. τοὺς δὲ εἰς τὴν γῆν, ὄρη. Οὐρέας, ἡμιόνος. Οὐρεσι ἐν βήσσῃσιν, ἐν τοῖς βασίμοις τόποις τῶν ὀρέων. Οὐρεσίφοιτος, ὁ ἐν τοῖς ὄρεσι πλανώμενος. Οὐρεύς. Ὅμηρος ἐν τῷ α', οὐρῆας μὲν πρῶτον ἐπῴχετο. φασὶν οἱ παλαιοί, ὅτι οὐρῆας τὴν ἡ φύλακας νοητέον. ὡς ὁ ἐπίοχος, ἐποχεὺς, ὑὸς, ὑεὺς, ὑφοχεὺς. χοεὺς. παρὰ τῷ Ἀράτῳ, πατροφόνος, πατροφονεὺς, οὕτως οὖρος οὐρεύς. οὐρῆας δὲ ἐδήλωσεν ἢ ἡμιόνους οὐ θέλουσιν. Οὐρεὺς ἀπὸ τῶν ὀρέων παρωνομάσθη. ὅτι δὲ ταυτὸν οὐρέα εἶπεν καὶ ἡμίονον δηλοῖ τὸ, ἰδόντων ἡμιόνων, οἳ καὶ θελκτικῶς προφέρονται. Οὐρητὸν, ἀσῖτον. Οὐρίζω, ἐκνεύω, ἐπινεύω. Οὐριάσας, εὐρῶσαι βελόνη, ὁ παράτριον περιπέτειαν κοσμεῖ. Οὐραθείς, ὀρχεῖσθαι. Οὐρίας, φιλοπονέστατον. Οὐρίαχος, τὸ σαυρωτῆρα. ἔστι δὲ σιδήρεον ἐγκεκαμμένον εἰς τὸ ἄκρον μέρος τοῦ δόρατος.

Οὐρίαχος, τὸ ἀντικείμενον τῇ αἰχμῇ, ὡς οἷον οὐρὰ δόρατος, ὃ καὶ σαυρωτὴρ λέγεται καὶ σαυρωτήρ. τουτέστι τὸ ὄπισθεν μέρος τοῦ δόρατος. ὃ καὶ στύρακα καὶ στυρακίαν φασίν. Οὐρίζειν ῥῆμα τὸ ἐξ οὐρίου πλεῖν ἐκ τοῦ οὖρος. δηλοῖ καὶ Σοφοκλῆς ἐν τῷ κατ' ἐξοχὴν οὐρίζω. δῆλον δὲ καὶ ὅτι διαφέρει παρ' Ὁμήρῳ τὸ οὖρος καὶ οὐρός.

Οὐρία, ὀπισθία. Οὐριοδρομία, ἐν ὀρθῇ στροφῇ τινα. Οὐριοδρομοῦντες, ἀντὶ τοῦ φορῷ ἀνέμῳ πλέοντες. Οὐροσμβίειν, τὴν ἀμίδα, ἢ οὐροδόχην. Οὖρον ἄνεμον, ἢ ἐξίως πνέοντα, ἢ ὀξύν. Οὖρον, οὐρίον, ὄπισθεν πνέον. καὶ οὖρα, φυλακὴ, σημεῖον. Οὐρίζει, πλαστικὸς. Οὐροδόχην, τὴν ἀμίδα.

Οὖρον κατέλεξεν, ἀντὶ τοῦ φύλακα, ἀπὸ τοῦ ὁρᾶν, ἢ ἐστὶ τοῦ ἀναπλεῖν. ἐξ οὗ ἐπίουρος. ὡς τὸ οὖρος Ἀχαιῶν, ὅ ἐστι φύλαξ, ἔφορος. ὁ ἄλλοις ἐπίουρος. Οὖρος, ὁ ἔφορος ἄνεμος, παρὰ τὸ ὀρούειν, ὅ ἐστι πρὸς ὁρμὴν ἢ προπέμπειν τὴν ναῦν. Οὐροὺς ἐφολκάζοντες. οὐροὶ λέγονται οἱ τόποι, ὅθεν αἱ νῆες ὀρούουσι τουτέστιν ὁρμῶσι καθελκόμεναι εἰς θάλασσαν. σημαίνει δὲ φασὶν ἡ λέξις ὁμωνυμία πρὸς ἀποφυγὴν τοῦ οὖρος τοῦ δηλοῦντος τὸν ἄνεμον. ἄλλως δὲ τὰ εἰς ρος δισύλλαβα ἀπὸ φωνήεντος τὴν οὐ δίφθογγον ἐκτείνονται. κοῦρος, νοῦρος, θοῦρος ὁ ὁρμητικὸς, οὖρος ὁ ἄνεμος. ἄλλο δὲ ἔτι ἐν τῷ μοῦρος, σοῦρος, οὐλὸς, οὐρὸς, ὁ πλατυσμὸς τοῦ ὕδατος χώματι, ὅ φασιν οἱ γραμματικοὶ ἐπιτιθέντες, ὡς δηλοῖ τὰ δένδρα. Οὖρος, ὁ ἀπὸ τοῦ ὁρᾶν φυλάττειν. προσαγορεύεται δὲ τὰ ἐπίσημα οἱ φύλακες, οἷον καὶ φρουροὶ λέγονται, ἀπὸ τοῦ ὅρον τὸν ἐν τοῖς πεδίοις. ὁρίζειν δὲ κυρίως ὁ φύλαξ τηρεῖσθαι τὰ φυλασσόμενα, καὶ ἀποδιδόναι τὸ ἐπιόντων βλαβερῶν.

Οὖρος ἄνεμος, ὅτι ὁ φορὸς, ἐκδεδεκταί τινες ἀεί. Οὐς, ὁ κλίνεται ὠτὸς ἰδιοκλίτως, παρὰ τοῖς Ἀττικοῖς λέγεται, οὖας, οὔατος, οὔαθ. Οὖς ἀττικοί, οὐκ ὠτίον. Οὖς, τὰ χεῖρα, παρὰ τὸ οἴω τὸ καμίζω. οὖς καὶ ἰωνικῶς οὖς. ἢ τὰ ἀπὸ τῆς οἰσίας φοβοῦ, ἤτοι λύγου. πρόσθεν γὰρ ἀπὸ λύγου σχοινίους ἐποίουν.

πρὸ

νυν ὁ κύκλος ἀπήρτισται, ὅ ἐστι τέλος. οὐκ ἀπηρτισμένως ἐμφατικὸν τὸ οὖλον ἄρτον ἑλών, ὅπερ ἐστὶν ὅλον, ἤγουν τέλειον. Οὖλον ὄνειρον λέγει Ὅμηρος, τὸν ὀλέθριον. δηλοῖ δὲ καὶ τὸ πρόσωπον, καὶ τὸ ὁλόκληρον, ὡς ἐν Ὀδυσσείᾳ φασίν, οὖλον ἄρτον ἑλών. δηλοῖ δὲ καὶ τὴν τῶν τριχῶν διαστροφήν. οὖλον δὲ ὄνειρον οὐκ αὐτὸν ὀλέθριον ὄντα, ἀλλὰ τὸν ἐπ' ὀλέθρῳ πεμπόμενον. ἢ οὖλον τὸν ὑγιῆ, ὅθεν λέγεται οὐλὴ τραύματος. σημαίνει δὲ ἡ λέξις καὶ τὸ ὑγιαίνειν, ὡς ἐν ἐκείνῳ, οὖλέ τε καὶ μάλα χαῖρε, θεοὶ δέ τι ὄλβια δοῖεν. Οὐλός, ὁ συνεστραμμένας ἔχων τὰς τρίχας. Οὖλος, σημαίνει τέσσαρα, τὸ ὁλόκληρον, τὸ πρόσωπον, τὸ μαλακόν, καὶ τὸ ὀλέθριον. Οὖλος ἄρης, ἀντὶ τοῦ ὀλέθριος, δεινός, καὶ ταραχώδης. Οὐλοχεῖον, ἀγγεῖον εἰς ὃ αἱ οὐλαὶ ἐμβάλλονται πρὸς ἀπαρχὰς τῶν θυσιῶν. Οὐλοχύτη, ὡς μὲν ἦν ἀπὸ ἑνὸς εἰπεῖν, τὰ προθύματα. οὐλοχύτας γὰρ πρὸ τῆς θυσίας κατεχειρίζοντο. ὡς φησὶν ὁ ποιητής, προβάλλοντο, ἤγουν προΐθεντο, προέρριψαν. οἱ δέ γε καὶ πλατύτερον λέγουσιν, οἱ οὐλοχύται οὐλαὶ ἦσαν, τουτέστι κριθαὶ μετὰ ἁλῶν, ἃς ἐπέχεον τοῖς βωμοῖς πρὸ τῆς ἱερουργίας. ἐποίουν δὲ τοῦτο, ἢ πολυπλασίαν καρπῶν οἰωνιζόμενοι, ὧν ἀπαρχαί, οἷον οὐλαὶ αὗται προσήγοντο. ἢ ἄλλως, διὰ τὸ πρὸς θεοὺς εὐχάριστον ὑπὲρ τῆς εἰς τὴν γῆν εὐεργεσίας. ἐπεὶ τοῦ βαλανηφαγεῖν καὶ τῆς τῶν ἀκροδρύων ἀπαλλαγέντες τροφῆς εἰς ἥμερον βίον τὸν ἐκ σπορίμων μετῆλθον. διὰ τοῦτο δὲ καὶ κριθὰς προσέβαλλον σπέρμα ἥμερον. ἃς πρώτας κρατεῖ λόγος εἰς χρῆσιν ἐλθεῖν, τοῖς παλαιοτέροις ἀπαλλαγεῖσι τῆς βαλανηφαγίας. διὸ καὶ κριθαὶ ἐκλήθησαν. διότι ἐν αὐταῖς εὑρεθείσαις, διεκρίθησαν τῶν ἀλόγων ζώων οἱ ἄνθρωποι. ἐντεῦθεν δὲ καὶ ὁ κρίβανος, οἱονεὶ κριθῆς βωμός. καλοῦσι δὲ βωμὸν μέχρι καὶ ἐς ἄρτι Πελοποννήσιοι τὸν τοῦ πυρὸς τόπον, ὃν καὶ πυρσίαν λέγομεν ἰδιωτικῶς. ἐκεῖθεν δὲ ἡ παρὰ τῷ κωμικῷ κριβανωτοὶ ἄρτοι, δηλαδὴ ὀπτηθέντες κριβάνῳ. ὃν καὶ διὰ τοῦ κ κλίβανόν φασιν. εἰς εὐχάριστον οὖν μνήμην τῆς παλαιᾶς βρώσεως, καὶ οὐλαὶ προσέβαλλον, τὴν ἀρχὴν ὅλαι, ὅτι οὔπω ἠλήθοντο, πρὶν γενέσθαι τὰ τοῦ ἀλέτου. διὸ οὐλαὶ λέγονται κατὰ πρόσληψιν τοῦ υ ὀλαί, ἄλλως ὀφείλουσαι λέγεσθαι. ὅθεν καὶ ὁ ποιητὴς μὴ παρουσῶν οὐλῶν, τουτέστι κριθῶν, ἀντὶ κριθῶν δρυὸς φύλλα προσέβαλλον. ἀνατρέχοντες οὕτω πρὸς παλαιοτάτην μνήμην διαίτης, καὶ ἀναμιμνησκόμενοι τῆς ἐκ τῶν ἀκροδρύων παλαιφάτου διαίτης. τινὲς δὲ τὸ ὕστερον, οὐ συνήθως οὐλοχύτας, οὐλὰς δὲ μόνον φασίν. ἔστι δὲ καὶ ἄλλως συντομώτατον φράσαι περί τι οὐλοχυτῶν, καὶ τὸ δι' εἶναι σπονδὰς, ὅτι διττῆς οὔσης ἐν ἡμῖν τροφῆς, ἀναγκαιοτάτης ξηρᾶς τε, ἥ τις ἐν σπέρμασι θεωρεῖται, καὶ καρποῖς. ἔτι δὲ καὶ τῆς ὑγρᾶς τε θεωρουμένης, πρώτως μὲν ἐν ὕδατι, δευτέρως δὲ ἐν οἴνῳ, ἀπαρχὰς οἱονεὶ τῆς ὅλης ζωογόνου τροφῆς. μετὰ ταῦτα ἡ οὐλοχύτας αἱ θυσίαι, καὶ ἡ ἐν αὐταῖς κρεωφαγία. διό γε καὶ μετὰ τὴν τῶν ἀναγκαίων τροφῶν εὕρεσιν, ἡ τῆς κρεωδαισίας πολυτέλεια, καὶ ἡ τῆς τρυφῆς ἐπεισῆλθεν εὕρεσις. Οὐλοχύτας, οἱ μὲν τὰ κανᾶ, ἐπεὶ δι' αὐτῶν φέρεται τὰ πρὸς θυσίαν. οἱ δὲ τὰς κριθάς, ἐπειδὴ οὐλὰς τοῖς βωμοῖς ἐπέβαλλον. Οὐμαί, ἐμοὶ τῷ. Οὐ μάτην, μάταιον. Οὐ μάλα ἐγγύς, δηλοῖ πολλὰ μακράν. Οὐ μάν, οὐ μήν. Οὐ μάτην, οὐκ ἀληθῶς. Μένανδρος ἐν ὀργῇ. Οὐ μεῖον, οὐκ ἴσον. Οὐ μὴ ἐάσεις, οὐ συγχωρήσεις με. Οὐ μᾶλλον αὐτό, οὐ φαυλότερον. Οὐ μὴν δή, ἀντὶ τοῦ ὅμως δή, ἥκιστα δή. Οὐ μὴν οὖν, οὐδαμῶς. οὐ μὴν δὲ οὐδαμῶς. Οὐ μὴν κακός, τὸν ἔστιν ἀπὸ δρυός. οὐδ' ἀπὸ πέτρης, ὑπόληψιν εἶχον οἱ παλαιοί, ὡς ἐκ δρυῶν καὶ πετρῶν τῶν ἀνθρώπων γεγονότων. Οὐ μεταλλῶ, οὐ μεταπλάσω χρόνον.

Οὐ μεταμελεῖ, οὐ μετανοεῖς. Οὐ μετρίως, μεγάλως.

Οὐ μὴ προῶμαι, οὐ μὴ παραχωρήσω. οὐ μή σε ἐῶ, ἀντὶ τοῦ ἐάσω. Οὐ μὴν, ἀντὶ τοῦ οὐδαμῶς. καὶ οὐ μὴν, ἀντὶ τοῦ ἀλλά, καὶ ἀντὶ τοῦ ἔτι, οἷον ὕβρισεν. οὐ μὴν ἀλλὰ καὶ ἔτυψε, καὶ ἀντὶ τοῦ οὐ μόνον τοῦτο ἀλλὰ καὶ ἐκεῖνο, ὁ καλούμενος συλλογισμός. Οὐ μός, τὸ ἐμός. οἱ ὑμοί, οἱ ἐμοί. τἀδελφῷ, τῷ ἀδελφῷ. τἀμά, τὰ ἐμά. ἅτερος, ὁ ἕτερος. τοὐτέρου, θατέρου. ἅτεροι, οἱ ἕτεροι. οὐ μόνον τὸ ο, ἀλλὰ καὶ πάντα τὰ παρ' αὐτοῖς φωνήεντα μετὰ τοῦ ε ἐν τοῖς τῷ ἔτυμα εἰς ε κιρνῶσιν, ἀποβάλλοντες τὰ ἐπὶ τέλους σύμφωνα. οἷον ἐν τῷ ἑτέρῳ θατέρῳ, τῶν ἑτέρων θατέρων. οἱ Ἀττικοὶ συναιροῦσι τὰ ἄρθρα, καὶ οὐκ ἀποβάλλουσι τὰ φωνήεντα. συναιροῦσι δέ, ἢ εἰς τὸ ἐπαγόμενον φωνῆεν, εἰ ἐκτεταμένον ἐστίν. εἰ δὲ μὴ ἐκτεταμένον τύχοι ἦν, συναιροῦσι τὸ ἐπαγόμενον εἰς τὸ παρ' αὐτοῖς. ἢ ἐκτεταμένον αὐτό ἐστιν, ἢ μακρόν. Οὖν, σύνδεσμος παραπληρωματικός, μετὰ τῆς οὐκ ἀρνήσεως, ὁ ἀποφαντικῶς περιλαμβάνονται ἐγκλίνουσιν. οἷον εἶπεν ἐάσω τίνα δὲ γοῦν εἰπεῖν. ἔτι περισπώμενος ὁ κατὰ φασίν σημαίνει συλλογιστικὸς ὢν ἐπιφορικός. οὐκοῦν ἦν ἤδη τὸν ἑκατὸν λέγει.

Οὖν κεῖται παρὰ τοῖς ποιηταῖς πολλαχοῦ ἀργόν, κατὰ δὲ λέξιν παραπλήρωσιν. Οὖν, καὶ τὸ δή, καὶ μόνα καθ' ἑαυτὰ τίθενται, καὶ ὁμοῦ ἑκάτερον τούτων, ἢ ἡγούμενον, ἢ ἑπόμενον. οἷον ὅτε οὖν γίνεται, καὶ ὅτε δὴ γίνεται. καὶ πάλιν, ὅτε οὖν δὴ γίνεται, καὶ ὅτε δὴ οὖν γίνεται. Οὖν, εὕρηται πολλάκις τῷ ποιητῇ ἀντὶ τοῦ δή. ἐπεὶ εἰ τὸ ἐπεὶ οὖν, ταυτὸ τῷ ἐπειδή. λύεται δὲ καὶ αἰτιολογικῶς κεῖσθαι, ὡς ἂν ἐκ παραλλήλου ταυτίζεται, τὸ ἐπεί, καὶ τὸ οὖν. Οὖνα δεῦρο, δράμε. ἀρκάδες. Οὕνεκα, σημαίνει τὸ ὅτι, ἕνεκα, χάριν, σύνδεσμός ἐστιν αἰτιολογικός. γίνεται δὲ ἀπὸ τοῦ οὗ ἕνεκα. διὸ καὶ δασύνεται καθ' ἔκθλιψιν τοῦ ε μετὰ τὴν κατ' ἀρχὴν τοῦ φωνήεντος. ὡς καὶ μὴ ἔστι, μή 'στι, καὶ τὰ ὅμοια. Οὐ νέμεσις, οὐ μέμψις. Οὐ νέομαι, οὐ πορεύομαι. Οὔνησιν, ἐπωνύμιον ἐστιν, ἀπὸ τοῦ ὀνῶ, ὄνημι. οὗ παθητικόν, ὄνομαι. ὅθεν οὐκ ὀνήσιμον ἔχεις, κατ' εἰρωνείαν. Οὐ σπαρὲν λεγόμενον παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ, κεφαλαιόφρονα τῆς ξένον ὑποδέχεσθαι. τοιοῦτος γὰρ ὁ μὴ ἐκπέμπειν δεῖ καλῶν. κεφαλαιώδη δὲ καὶ αὐτὸς τὸ χλαῖναν ἐπὶ σκίμπου λαβεῖν. Οὖνος, κλέπτης, κλεπτῶν συναφεία. Οὖνος, ἐπωνὶς, φονεύς, κλέπτης. Οὖνοι, ἰδού. Οὔνομα, ὄνομα.

Οὖνον, ὑγιές. κάπρος, δρόμον. Οὐοδοῦσα, ἰδού.

Οὖς, χεῖλος. Οὐ παρεξίεναι, οὐ πλήσσειν. Οὐ πάντος ἀνδρὸς ἐς Κόρινθον ἔσθ' ὁ πλοῦς. λέγεται, ἐπεὶ δοκεῖ τοῖς ἐς Κόρινθον εἰσπλέουσι ξένοις, χαλεπὴ ἡ πόλις εἶναι, διὰ τὴν τῶν ἑταιρῶν πολυτέλειαν. ἐπεσκεύαζον γὰρ ἐπὶ τοῦτο οἱ Κορίνθιοι, καὶ ῥᾳθύμως διὰ τοῦτο λέγεται. Οὐ παραλείπεται, οὐ παρέλκει, οὐ παραλείψει. Οὐ παρέργως, οὐχ ὡς ἔτυχεν. Οὐ περιέσται, οὐ περιγενήσεται. Οὐ πεδοματεῖ, οὐ πεδαρτᾷ. Οὐ πεπλασμένον, ἄπλαστον. Οὔπω, ὅταν. Οὐ περιχυθήσεται, οὐ στραφήσεται. Οὐ περιλαλοῦσιν, οὐ τελοῦσιν. Οὖπις, ἐπίθετον Ἀρτέμιδος. ἢ παρὰ τὸ ὀπίζεσθαι τὰς τικτούσας αὐτήν, ἢ παρὰ τὴν θρέψασαν αὐτὴν Οὖπιν. Οὔποτε, οὐδαμοῦ. Οὐ ποιῶ, οὐ τρέχω, οὐ δεῖ τὰ φθονῶ. τὰ ἀρνητικὰ ἤγουν ἀποφατικὰ ἐπιρρήματα, τοῖς ὁριστικοῖς μόνον συντάσσεται ῥήμασιν, ὡς τὰ ἄνω. ἰστέον γάρ, ὡς ἡνίκα δεῖ συντάσσειν τὸ ἀρνητικὸν ἐπίρρημα, λέξεσιν ἀρχομένοις ἀπὸ φωνήεντος, εἰ μὲν ψιλούμενον ἢ, τὸ κ παραλαμβάνομεν. οἷον οὐκ εὔχομαι, οὐκ ἐπορεύθην, οὐκ ἔστιν. εἰ δὲ τὸ κατ' ἀρχὴν φωνῆεν δασυνόμενον ἢ, τὸ χ παραλαμβάνομεν. οἷον οὐχ εὕρηται, οὐχ ὁρᾷς, οὐχ ἥλατο, οὐχ ὑμεῖς. ὅθεν οὐκ ἐπιτίθεται ἀπόστροφος. Οὐ πολιῶ, οὐ γηράσω. Οὐ πολλὰ χαιρήσεις, τὸ πολλὰ λυπηθήσῃ δηλοῖ. Οὔπω, οὐκ ἄρτι, οὐ δεῖ. Οὐ πρὸ πολλοῦ. Ἀττικοὶ μιμούμενοι λέγουσιν, οὐ πολλοῦ πρό. Οὐ προβαίνει, οὐ βαδίζει. Οὐ πρὸς σοῦ, οὐ κατὰ σοῦ, οὐκ ἄξιόν σου. Οὐ προσεῖλεν, οὐκ ἐδέλεασεν.

Οὐ προσεποιήσαντο, οὐκ ἠγάπησαν. Οὐ προσῆκαν, οὐ προσεποιήσαντο. Οὐ προσίεται, οὐ προσδέχεται, οὐκ ἀρέσκεται. Οὐ προσέχθεσαν, οὐκ ἀπεγράφησαν.

ὅτι, ἀντὶ τοῦ οὐδ' ἔτι, τουτέστιν οὐκ ἔτι χρόνος ἐστί. Οὐκ ἰδ' ὅπως, ἀντὶ τοῦ οὐδαμῶς. ἀττικῶς. Οὐκ ἐσάλευσαν, οὐκ ἐτάραξαν. Οὐκ ἐσήφιζεν, οὐχ ὑπέμενεν. Οὐκ ἔστιν ὅπως, ἀντὶ τοῦ οὐκ ἔστι τρόπος, ὅπως. Οὐκ ἔσφαλεν, οὐκ ἐπελάθοντο.

Οὐκ ἔτι, τὸ μέλλον σημαίνει. οἷον οὐκ ἔτι ἐστὶ καιρός, ἀντὶ τοῦ, ἀπὸ τοῦ νῦν οὐκ ἔτι καιρός, ἀλλὰ παρῆλθε διαδοχῆς. σημαίνει τὴν πρὸ αὐτοῦ, μετὰ παρῳχημένου. τὸ δὲ οὐκ ἔτι, μετὰ μέλλοντος.

Οὐκ ἔτι καὶ οὐδέ ποτε, πρὸς μέλλοντα ἐπιρρηματικὸν ἀποδίδονται, εἴ περ οὐκ ἔτι, καὶ οὐδέ ποτε συνήθως. ὡς καὶ Ἀριστοφάνης, οὐδὲ ποθ' ἡμέρα γενέσθαι. καὶ παρὰ Δημοσθένει, οὐκ ἔτι γὰρ τῇ πόλει φανεῖται ὡς χρυσὸς καὶ τὰ δίκαια λέγων. Οὐκ ἐτός, οὐκ ἀλόγως, ἀλλὰ δικαίως παρὰ τῷ Ἀριστοφάνει, ἢ ἀντὶ τοῦ οὐκ ἀληθῶς. ἐπίρρημα ἀττικὸν γάρ ἐστιν, ἀντὶ τοῦ ἐτῶς ἀπὸ τοῦ ἐτεὸς συγκεκομμένον. Οὐκ εὐρύνθη, οὐκ ἐπλατύνθη. Οὐκ ἐτῶς, οὐκ εἰκότως, οὐ μάτην. Οὐκ εὐδιάθετος, οὐ δυνάμενος εὐχερῶς γενέσθαι. ἢ εὐμαρῶς γίνεσθαι, οὐκ εὐεπίσκεπτον, οὐκ ἀκριβῶς, ἢ ὀρθῶς βλέπων. Οὐκ ἔφριξας, οὐ παύσῃ. Οὐκ ἐφίκετο, οὐκ ἐνεκλήθη. Οὐκ ἐφίενται, οὐκ ἐπιθυμοῦσιν.

Οὐκ ἐφικνεῖται, οὐ φθάνει. Οὐκ ἐχάδεν, οὐκ ἐχώρησεν.

Οὐχ ἥκιστα, οὐ μάλιστα. Οὐκ ἤμειψεν, οὐκ ἤλλαξεν.

Οὐκ ἠσμένισαν, οὐκ ἐχάρησαν. Οὐχί, οὐχί. Οὐ κιγχάνει, οὐχ εὑρίσκει. Οὐκ ἐκποιμένως, ἀντὶ τοῦ προσηκόντως, οὐ καθηκόντως λαμβάνεσθαι παρ' ἐμοῦ. Οὐκ ὄθεται, οὐκ ἐπιστρέφεται. Οὐκ ὀκνῶ, οὐ φοβοῦμαι. Οὐκ ὀλίζεται, οὐ φροντίζεται. Οὐ κομπῶ, οὐ μεγαλοφρονῶ. Οὐκ ὄναρ, ἀλλ' ὕπαρ. ἰδιωτικὸν καὶ παροιμιῶδές ἐστιν, ἐπὶ τῶν ἐμφανῶν ἀγαθῶν. ἀντίκειται δὲ, τὸ ὄναρ καὶ τὸ ὕπαρ. καὶ γίνεται ὄναρ μὲν παρὰ τὸ ἐν καὶ τὸ αἴρω. ὕπαρ δὲ, παρὰ τὸ ὕπνον καὶ τὸ αἴρω. ἵνα εἴη ὄναρ μὲν ὕπνου ἄρσις διὰ τῶν ἐγρηγορσιν, ὡς εἰσιν ὕπαρ. ὄναρ δὲ, παρὰ τῶν τοῦ ἐντὸς ἄρσιν. φαντασία γὰρ καθ' ὕπνους καὶ οὐκ ἐν ἀντιτυπίᾳ. Οὐκ ὀνησιφόρον, οὐκ ὠφέλιμον. Οὐκ ὀρθῶς τὸ κολλυβιστής. πάλιν οἶδεν ἡμᾶς μελέτων διαπαύεσθαι ὁ Μένανδρος, τὸ ἀργυραμοιβὸν, κολλυβιστὴν λέγων. ὁ μὲν γὰρ νόμισμα κόλλυβος, δόκιμον. ὁ δὲ κολλυβιστὴς, παρασεσημασμένον. Οὔκουν, παροξυτόνως μὲν ἀποφατικὸν, ἴσον τῷ οὐχὶ οὖν. οἷον οὔκουν ἀπιστεῖν δεῖ. περισπωμένως δὲ, συλλογιστικός ἐστι σύνδεσμος, καὶ σημαίνει ἀπόφασιν. Οὔκουν, ἥκιστα, οὐ μὲν οὖν, οὐδαμῶς, οὐδοπωσοῦν, οὐδόλως, ταυτά. οὐκοῦν δὲ περισπωμένως, τίθεται ὡς αἰτία, ἀντὶ τοῦ διὰ τοῦτο. Οὐκ ὤνατο, οὐκ ἐπορίζετο. Οὐκ ὦν, οὐχ ὑπάρχων. Οὐκ ὤπτα, οὐκ ἑώρα, οὐκ ἐγίνωσκε. Οὐ κωφοί, οὐ βλαπτοί, οὐ πηροί. Οὐλάδες, πῆραι, θύλακοι. Οὐ λαίνει, οὐ χαλάζει. Οὐλαμηφόρος, ὁ ὀλέθριος, ἢ οὐλαμὸν καὶ τάξιν στρατιωτῶν ἱππέων.

Οὐλαμὸς ἀνδρῶν, ἤγουν τὸ πύκνωμα καὶ σύστημα τοῦ λαοῦ. Ὅμηρος, ἐὰν ἀνὰ οὐλαμὸν ἀνδρῶν, ἀπὸ τοῦ συρρικνοῦς εὐλώσεως, ὥς φασιν οἱ παλαιοί, ἢ ἀπὸ τῆς εἰλήσεως τῶν συνηγμένων ταχῶν. οὐλαμὸς δὲ τάξις συνισταμένη ἐκ τεσσαράκοντα ἀνδρῶν. ἡ δὲ φάλαγξ, τάξις ἀπὸ ἑκατὸν εἴκοσιν ἀνδρῶν. καὶ οὐλαμὸς ἡ μάχη. Οὐλαφορεῖ, κηροφορεῖ. Οὐλαφος, κηρός.

Οὐλάς, καθαρά. εἰσὶ δὲ καὶ τὸ μαλακὸν, ὅ ἐστι τὸ ἁπαλόν. ὅθεν καὶ τὰ ἑκάστου τῶν ὀδόντων, πάνυ μαλακὰ ὄντα, οὖλα καλεῖται. καὶ ἡ γαστήρ. Οὖλε, ἐν τῷ κ' τῆς Ὀδυσσείας, ἀντὶ τοῦ ὑγίαινε, τουτέστιν ὅλος καὶ ὑγιὴς ἴσθι. ἐκ δὲ τοῦ γεγονότος ῥήματος, ἐκ τοῦ σχήματος οὔλω, ὅλος ὤν καὶ αὐτὸ σύμμετρος. ἅπαξ δὲ εἴρηται, καὶ τὸ οὖλε. Οὐλαὶ ἐσθίειν. ὑγιαίνειν κοινοί. ὅθεν καὶ τὰ ὑγιῆ τῶν τραυμάτων, οὐλὰς λέγουσι. Οὐλὴ βαρύνεται, ἀπὸ τοῦ οὖλος. λόγῳ τούτῳ, κατὰ Ἀπίωνα καὶ Ἡρόδωρον. τὰ εἰς λος δισύλλαβα μὴ ἔχοντα πρὸ τοῦ λ ἄλλο σύμφωνον, τὸ δὲ παραλήγοντα ἢ μακρὸν, ἢ ἐν διφθόγγῳ, βαρύνεται. οἷον πῖλος, σῖλος, κῆλος. οὕτω καὶ οὖλος. ἐξ οὗ, καὶ τὸ οὐλὴ διὰ τοῦ η λέγεται. καὶ οὐχ ὡς ἡ κοινὴ συνήθεια, οὖλος ἄνθρωπος ὁ οὐλὴν ἔχων. τὸ καλὸς, ἐπὶ συχνῶς, πρὸς ἀντιδιαστολὴν τοῦ ἐπὶ κακοῦ σημαίνειν, εἴρηται. Οὐλή, τὸ ὑγιανθὲν τραῦμα, παρὰ τὸ οὖλω τὸ ὑγιαίνω. οὖλέ τε καὶ μέγα χαῖρε, εἰσὶν ἢ τῶν ὅλων ἀγαθῶν βουλόμενος σάρκα. Οὐ λήγουσαν, οὐ παυομένην. Οὐλὴ μὲν χλαῖνα βαρύνεται, πρὸς ἀντιδιαστολὴν τοῦ θηλυκοῦ ὀξυτόνου. ἔστι ὅπερ τοῦ οὐλὴ ἡ κακή. καὶ οὐλὴ, τὸ ὑγιανθὲν τραῦμα. Οὐλὴν χλαῖναν, ἢ τὴν συνεστραμμένην λέγει Ὅμηρος Ὀδυσσείας τ', καὶ εὐλάπεσον, ἢ τὴν ὅλην καὶ ὑγιῆ, ἢ τὴν ἁπαλήν. ἐστὶ δὲ τὸ οὖλον συνεστραμμένην μετὰ τῆς πορφυρίας φασὶν ἄμφω δηλοῦν τὴν ἁλοπόρφυρον. οὖλον γὰρ πάντως τοῦ καὶ τὸ ἴδιον. Οὐλιάδες, ἐν σιτήσει ἔχθε. Οὐλεῖεν, ἐν ὑγιείᾳ φυλάσσοιεν. Οὔλιος ἀστὴρ κατὰ ἤπιον, ὁ τοῦ κυνὸς ὡς φθοροποιός, διὰ τὰ ὑπὸ κύνα ὀλέθρια καύματα. οἱ δὲ καμπύλον ἀστέρα τοῦτον νοοῦσιν, ὃς φθορὰν ὑποσημαίνει φανείς. οἱ δὲ τὸ οὔλιον, αὔλιον χαλεπὸν, ὅ ἐστιν ἰσχυρόν, ὡς διὰ λαλεῖν εἰς αὐλὴν ἄγει τὰ ζῶα, τουτέστιν αὐλίζεσθαι ποιεῖ. Οὔλιος, ὁ Ἀπόλλων, ἰατρὸς γὰρ ἦν. σημαίνει δὲ καὶ ὀλέθριος. Οὐλοβάται, οἱ κολοβοί. Οὐλόθυμος, χίτλιος, λειόθυμος. Οὐλοθύσια, τελεία θυσία. Οὖλαι, οὖλα ψήγματα. Οὖλαι τὰ κατὰ, ἢ αἱ ὀλαὶ καὶ τρίχες, ἐπεὶ κατὰ τὴν κοινῶς τῶν λεγόμενα ἐπεῖχον. ἢ ὅτι εἴλανται καὶ εἰλήσεσι. ὅθεν καὶ οὐλοχύται. ἢ καὶ ἄλλως εἴλανται, ὅ ἐστιν ἐπλανῶντο. Οὐλοκάρηνος, ὁ παρὰ Ἡροδότῳ οὐλόθριξ. καὶ ἔστιν ἐκεῖνο τοῦ παρ' Ὁμήρῳ τρίθρον. τὸν γὰρ διὰ τοῦ οὔλου τὸ μῆλος ἔφρασεν. οὐ γὰρ τὸ κάρηνον οὖλον, ἀλλ' αἱ περὶ τὸ κάρηνον τρίχες. Οὐλομελία, καλεῖσθαι, συλλαβή. ἄλλοι ἐπὶ τῆς ἀρχῆς τῶν ὅλων φθίσεως. τὸ γὰρ ὅλον οὖλον λέγει. Οὐλομενής, ὀλοός, ὀλέθριος, ὀλέθριον. Οὐλόμενος, ὀλέθρια ἄξει, ἢ ὀλέθρου αἴτια. Οὐλομένη μῆνις, παρὰ τὸ μῆνιν τὸ ὀλοὸν συντίθησιν ὁ Γεώργιος τὸ οὐλομένην καὶ τὴν οὐλομένην μῆνιν. ἐστὶ γάρ φησιν, οὐλόμενος μὲν, καὶ ὁ ὀλοὸν ἔχων μένος, ἤγουν θυμός. τουτέστιν ὁ φθαρτικὸν ἀρετῶν κεκτημένος. ἀρβὴ γὰρ τὸ θυμός. οὐλομένη δὲ μῆνις, ἡ ἐξ ὀλοοῦ μένους γεγενημένη. οὐ γὰρ αὐτὴ εἶχεν ὀλοὸν μένος, ἀλλ' ὁ Ἀχιλλεὺς ὁ χρησάμενος αὐτῇ. οὐ δοκεῖ δὲ ἀκριβῶς ἔχειν ἡ ἀπόδοσις αὕτη. λέγεται γὰρ καὶ οὐλόμενον γῆρας, καὶ οὐλομένη πενία. καὶ οὐλόμενον παῖδα ὁ Εὐριπίδης φησίν. ἐφ' ὧν οὐκ ἔχει χώραν οὐδεμίαν ταῦτα τὰ σημαινόμενα. τὸ μὲν γὰρ παιδί, θυμὸς οὐδεὶς μαρτυρεῖ. πενία δὲ καὶ γῆρας πῶς ἂν εἴη κατὰ ταῦτα οὐλόμενα. εἰ δὲ ἐπὶ τούτων βιάσαιτό τις τὸν λόγον μεταφέρων τὸ σημαινόμενον ἐπὶ τοῦ βλαπτικῶς ἁπλῶς ὁρμᾶν καὶ φθαρτικώτερος, ἀλλ' ἐπὶ τοῦ παιδὸς, κατ' οὐδεμίαν ἁρμόσειεν ἂν μηχανήν. ἐστὶ δὲ ταῦτα μᾶλλον, ὡς ἔοικεν ὀνόματα μετοχικά, ἀπὸ τοῦ ὀλέσαι, καὶ δηλοῖ τὸν ἀπωλείας ἄξιον, καὶ τὴν ἀπωλείας ἀξίαν. ὀνόματα δὲ εἴρηται μετοχικά, ἀλλ' οὐ μετοχαί. ἐπεὶ εἰ ἦσαν μετοχαί, ἔμενον ἐπὶ τοῦ σημαινομένου τῆς μετοχῆς. καὶ ἦν ἂν οὐλόμενος μὲν ὁ φθορεύς. οὐλομένη δὲ, ἡ φθορεῖσα. νῦν δὲ ἐπεὶ μετάγουσιν ἐφ' ἕτερον σημαινόμενον, ἀπέστησαν καὶ τοῦ μετοχαὶ εἶναι. Οὐλομένην παρ' Ὁμήρῳ, Γεώργιος ὄνομα σύνθετον λέγει ἐκ τοῦ ὀλοὸν, καὶ τοῦ μένος, εἴ γε τὴν ἔχουσαν οὖλον, ἤτοι ὀλέθριον μένος. Ἡρωδιανὸς δὲ, μετοχὴν μέσου ἀορίστου δευτέρου. ἵνα λέγῃ ποιητικῶς οὐλομένην, ἰωνικῇ ἐπενθέσει τοῦ υ, τὴν ὀλομένην καὶ ἀξίαν ὀλέσθαι. ὅθεν καὶ οὐλομένη καὶ ἀπολομένη λέγεται κατὰ χρόνον μέσου ἀορίστου δευτέρου. ἄλλοι λέγουσιν, ὅτι ἐνέργειαν σημαίνει ἐπαγωγὴν ὁ ποιητής, ἣ μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκε, λέγων μῆνιν οὐλομένην, οὐχ ὅτι αὐτὴ ἔπαθέ τι, ἀλλ' ὅτι μᾶλλον ἐνήργησεν. Οὖλον ἄρτον ἑλών, παρ' Ὁμήρῳ ἐκλαβεῖν φασὶν ἄρτον ὅλον, διὰ τὸ κατὰ στρογγύλον. ἐπεὶ δὲ τῶν χαμαι-

ὁ ποιητὴς ὅτι πάλιν ἀφορμὴ τοῖς παλαιοῖς, ὡς ἐπειδὴ τὸ βοῦς ὃ ἵππος ἀπελαῦσαι ποῖον, ἢ καὶ τὸν τοὺς ἐπιβαινόντας διαλύεσθαι, ἤγουν βλάψαι. Οὗ, ἀντὶ τοῦ οἷ χρῶνται ἀττικοί, ὡς ὅταν λέγωσι τοὔγκλημα, ἀντὶ τοῦ τὸ ἔγκλημα. τοὔμπαλιν, ἀντὶ τοῦ τὸ ἔμπαλιν. Οὔατα, ἰωνικὴν ἐπένθεσιν ἔχει τοῦ υ. τίθεται γὰρ αὐτοῦ ἐπεὶ ὅσα κατὰ εἰρημένην, ὡς φάος. διὸ καὶ συναιρεθέντα εἰς φῶς, καὶ ὡς, ἃ δὴ μόνα ἐν οὐδετέροις εἰς ως λήγει, διὰ τοῦ τ κλίνεται. Οὔατα, ῥῖνάς τε ἀμήσαντες, ἀντὶ τοῦ ἐκτεμόντες, καὶ ὥσπερ ἀποκόψαντες. ὡς εἰ καί τι φυτὸν ἀμώμενον. Οὐ γὰρ θέμις οὐδ᾽ ἐστὶ ἀνακλὶ γενέσθαι, γεγραμμένον τι. φασὶ γὰρ λέγειν τὸν ποιητὴν, ὡς οὐκ εἴομαι νόθον σε εἶναι τῇ Πηνελόπῃ, οἷα τῶν νόθων μὴ θείως γενομένων, ἀλλὰ τὸ τῆς μίξεως ἐκ ἐνθυμημάτων. ὅθεν φασὶ πεπλάσθαι καὶ τὸ νόθος ὄνομα, παρὰ τὴν τοῦ εἴρεσιν καὶ τὸ θεῖον. ἔστι δὲ νόθος, ὁ τοῦ δευτέρου ἐσπαρμένος. ὃ ἐστι τῆς ἐξ ἐνόμου γάμου γεννήσεως. Οὐ γὰρ μοῦσιν, ἀλλ᾽ ἀκουσία, τὸ τέλειον. οὐ γάρ, ἀλλά μοι δέδιεν ἀκουσία, ἀντὶ τοῦ πάνυ γάρ. Ἀριστοφάνης βατράχοις, καὶ ἐν ἱππεῦσιν. ἀντὶ οὐ γάρ. ἀλλὰ τοῦ παραθέντος ὁ χαλεῖ, ἀντὶ τοῦ καὶ γάρ. τοῦ παραθέντος ὁ χαλεῖ. Οὐ γάρ, ὅ ἐστι τὸ οὐ γὰρ δή. οὐ γὰρ δὴ ὑγιαίνει, οὐδ᾽ οὐδέ. Οὐδ᾽ ἀθέριον, οὐδὲ ἀπόστην. Οὐδ᾽ ἅλα δοίης κατὰ Ὅμηρον, ἀντὶ τοῦ οὐδὲ ἅλας, τὸ ἐπὶ ξενίας διδόμενον, ἵνα λέγῃ παροιμιωδῶς, ὅτι οὐδὲ τὸ εὐτελέστατον ἂν δοίης. ὅτι δὲ τὴν ξενίαν ἅλα θεῖον ὁ ποιητὴς εἶδεν, ἐδήλωσεν ἐν ταῖς λιταῖς. ἵνα ἔχοιεν καί ἵνα συντεθειμένα ἐκ τοῦ ἁλός. νῦν δὲ μυστικόν, ἐστι καθὰ κρέα ἀλίπαστον. καὶ ἰχθύς, οὕτω καὶ χοιρίον ἁλίπαστον, αὐτὸ μὲν τί ἐξ ἐπιβολῆς ποτε πρὸς τὸ μὴ φθείρειν. ὅθεν φασὶ καὶ οἱ δανοὶ διαθέμενοι τὰ σώματα, ἁλίσαντες ταριχεύτερον ἐκαλοῦντο. λέγεται δὲ ἅλς παρὰ τὸ ἅλα καὶ πάλιν, τὸ ἁλοὶ πασὶ κατασπείρων. οἱ δέ γε περὶ προσφάτου καὶ παρ᾽ οὗ, καὶ παλαιοῦ γράφοντες, καὶ ἐπήνεσεν δὲ τὸ παλαιὸς εἴδωσι. πρόσφατον μὲν κρέας φασίνει παρὰ τὸ φάσαι, ἤγουν φονεῦσαι, ὅθεν καὶ φασγανόν. παρὰ δὲ ὕδωρ, τὸ ἀρύειν ἐγκειμένον τῇ λέξει. παλαιὸς δὲ τὸ παλαίεσθαι, ἐνταῦθα καὶ ἐπὶ ἀλωπεκίδων ἁλιεύτων, ἅπερ ἁλὸς ὀνομάζονται, οἱ ὡς εἰκὸς κατὰ τὴν ποιητὴν, οὐκ εἴδωσαν θάλασσαν. καὶ διὰ τῶν ταλάντων εἰ μὴ τὸ ἅλας, ὡς καὶ τὸ ἡμιούστατον τῶν ἀνθρώπων ἅλμας, οὕτω πεπηγνύεσθαι ἀναδιδοῖσι. καὶ τιοῦτον μὲν τὸ οὐδ᾽ ἅλα δοίης, ὡς γράφει Ἀρίσταρχος. Οὐδαῖοι, χθόνιοι, ἐπίγειοι. Οὐδαμινός, οὐδανὸς λόγου ἄξιος ἐστι, βραχὺς, εὐτελής. Οὐδαμῶς, οὐδέποτε, οὐδόλως. Οὐδ᾽ ἂν εἷς, καὶ μηδ᾽ ἂν εἷς. δοκιμώτερον λέγειν, ἢ οὐδεὶς ἂν καὶ μηδεὶς ἄν. Ἀριστοφάνης ἐν πλούτῳ, οὐδ᾽ ἂν εἷς ἐπιθυμήσειεν. ὁμοίως καὶ μηδ᾽ ἂν εἷς, μηδένα τῶν πάντων. καὶ εἷς ἂν οὐδεὶς τῶν πάντων, ἢ μηδένα τῶν πάντων, καὶ μηδεὶς τῶν πάντων. τὸ αὐτὸ καὶ ἐπὶ τοῦ οὐδετέρου. Οὐδὰν, κατὰ τὴν γῆν. Οὐδ᾽ ἂν παλαιφάτου δρυός, τοὺς παλαιοὺς φημιζομένους. ὅτι ἐξ αὐτοὺς ἐγένοντο ἄνθρωποι. ἴσως δὲ γράφουσι παλαιφάτου, ἐπειδὴ παλαιόν ἐστι φυτὸν ἡ δρῦς. Οὐδ᾽ ἀπέστην, οὐδὲ ὄνησιν ἔλαβον. Οὗ, δασυνόμενον μὲν δηλοῖ ἄρθρον ἀρσενικόν, καὶ οὐδέτερον ὑποτακτικόν. καὶ σύναρθρον ἀντωνυμίαν τρίτου προσώπου, ἐμοῦ, σοῦ.

Οὖδας, αὐτὸ μὲν λέγεται κατ᾽ εὐθεῖαν ἄκλιτον ὄν. τοῦ δὲ οὔδεος εὐθεῖα μὲν οὐχ εὕρηται παρὰ τῷ ποιητῇ. δοκεῖ δὲ αὐτοῦ πολλαχοῦ, ὡς ἀμφοτέρω ἐν τῷ οὔδει ἐνσκίμψαντε καρήατα. ὅς τι τὸ μὲν οὖδας οὐκ ἔχει πλαγίας, τὸ δὲ οὔδει ὀρθὴν ἔχει. οἷον μητρὸς εὐθεῖας, καθ᾽ ὁμοιότητα τοῦ γυνή. ὥσπερ οὐδ᾽ αὐτὸ διοδεύει ταῖς πλάγιοις καὶ τοῦ γυναικός. οὕτως εὐθεῖα οὐ προσκεῖται. Οὐδ᾽ ἐγὼ φημι, οὐδὲ αὐτὸν λέγω. Οὐδ᾽ ἐλακίρα, οὐδὲ ἔλαιον. Οὐδ᾽ ἱμάτιον, οὐδ᾽ ἐλέγχοιεν. Οὐδέμιον, οὐδαμοῦ. Οὐδὲν ἀν᾽ τρόπον, ἀντὶ τοῦ οὐκ ἄτοπος. Οὐδ᾽ ἐν λέρμασι, ἀντὶ τοῦ γυμνὸς ὑπερβολικῶς. Οὐδένα, ἢ ἀπὸ θρηνία. Οὐδένες, οἱ οὐδαμινοὶ τῶν ἀνθρώπων. Οὐδενίας, εὐτελείας. Οὐδ᾽ ἂν ὑδ᾽ ἀφίκοιτο σοι, ἤγουν ἐλίγου, χρήσιμον συνήθως καὶ Ὅμηρος κατὰ τοὺς ἀττικοὺς ἢ εὐάγγελος. Οὐδεὶν, ἀντὶ τοῦ οὐδέν, ἀττικῶν ἐστιν. Οὐδεὶς οὐδετεροῦν, μηδεὶς μηδετεροῦν, οὐδὲν οὐδετεροῦν, καὶ μηδὲν μηδετεροῦν, οὐδὲν οὐθετεροῦν, καὶ μηθὲν μηθετεροῦν, παρὰ τοῖς λογογράφοις. παρὰ δὲ τοῖς ποιηταῖς, οὔτις καὶ μήτις ἐπὶ ἀρσενικοῦ καὶ θηλυκοῦ, καὶ οὔτι καὶ μήτι ἐπὶ οὐδετέρου. Οὐδεὶς, οὐδεμία, οὐδέν. καὶ μηδεὶς μηδεμία μηδέν, παρὰ τοῖς κοινοῖς. παρὰ τοῖς ποιηταῖς δὲ οὔτις, καὶ οὔτι ἐπὶ οὐδετέρου. Οὐδενὸς ἄξιος ὁ δεῖνα λέγουσιν ἀττικοί, ἀντὶ τοῦ ἄτιμος ὁ δεῖνα.

Οὐδεὶς λέγει τοῦτο, λέγει τοῦτο οὐδείς, ταυτὸ σημαίνει. ἀεὶ καὶ ἡ διπλασιάζουσα τὴν ἀπόφασιν. Οὐδ᾽ εἰ μὲν, οὐδὲ φησὶν, οὔτε φρένας, οὔτε τι ἔργα. ἐπαινεῖται ὁ ποιητὴς ἐν ἐπὶ εἴχε πᾶσαν γυναικὸς ἀρετὴν ἐμπεριλαβών, τὴν τοῦ σώματος εὐπρέπειαν, τὸ εὔφυες, τὸ συνετόν, καὶ τὸ ἐργαστικόν. ἀφυὴς δὲ φαμὲν, τὸ δεξιὸν τοῦ ἤθους καὶ ἐπιστημονικόν. οὐ σφοδρότερον τὸ κάλλος δηλοῖ ἐστι, κατὰ τοὺς παλαιούς, ὅπερ ἀγλαΐαν οὗ χάριτον. Οὐδὲν, καὶ οὐθὲν, τὴν μετάθεσιν τοῦ δ καὶ τοῦ θ, τοῦ αἰολικὴν εἶναί φασιν. ὅθεν ἐξουδενοῦ ἐξουθενοῦ, μέλω μέθω, δᾶος θᾶος.

Οὐδὲν μᾶλλον, ἀντὶ τοῦ οὐ, τῆς ἀττικῆς διαλέκτου χθονικόν.

Οὐδὲν πρὸς ἔπος, ἀντὶ τοῦ ὡς ἔτυχεν, ἐκ τοῦ μάταιος.

Οὐδὲν ἱερόν. παροιμία λεγομένη ἐπὶ τῶν εἰς τέλος ἀχαρίστων πρὸς τὸ συλλαβέσθαι καὶ ἐπαρκεῖν καὶ ἑαυτοῖς τὴν συνήθειαν. φασὶ δὲ Ἡρακλέα πρῶτον, δυσφημοῦντα τὸ ἄλλων εἰπεῖν, οὐδὲν ἱερόν. ἴσως ἂν ἀνέθεσαν, ἀλλὰ τὸ πρὸς μηδὲν εἶναι χρήσιμον. Οὐδενόσωρα, προπαροξύτονον μέν, ὡς τὸ κινέζωρα δηλοῖ τὰ οὐδεμιᾶς ὥρας, ὅ ἐστι φροντίδος ἄξια. ὠρεῖν γάρ, τὸ φροντίζειν, καὶ φυλάσσειν. ὅθεν τὸ ὀλιγωρεῖν, καὶ πολυωρεῖν. ἄλλοι δέ, οὐδενὸς φυλακῆς. Οὐδ᾽ ἐν σελίνοις. παροιμία ἐπὶ τῶν μηδὲ κατὰ τὸ ἐλάχιστον διεσπαρμένων, εἰς ἐπίδειξιν. ἐν γὰρ τοῖς λεγομένοις παραδείσοις, τὰ σέλινα καὶ τὰ πήγανα κατεφύτευον. βούλεται οὖν λέγειν ἡ παροιμία οὕτως, οὐδὲ ἀρχὴν ἔχεις τοῦ πράγματος. καθάπερ εἰ δὲ οἱ εἰς τοὺς κήπους εἰσιόντες, ἐν τοῖς σελίνοις εἰσίν. Οὐδέποτ᾽ ἔην, οὐδὲ τοῦτον. Οὐδέπω πῶς, οὐδαμῶς.

Οὐ διεῖπας, παρανόμως. Οὔδιος, ἐδάφους. Οὐδὲ πα ἐστὶν, ἰδία μετὰ πάσης ἐξ, καὶ ὡς οἷον εἰπεῖν μυστικῶς. ἵνα λέγῃ, οὐδέ πη δῆλον, ἢ τρίτον, ἢ ὅσιον, ἢ εὐσχήμων, ἢ ...

Οὐδέ ποτε, καὶ οὐκέτι, καὶ οὔπω, καὶ οὐδεπώποτε, διαφέρει. τὸ μὲν γὰρ οὐκέτι καὶ οὐδέποτε πρὸς μέλλοντα ὥσπερ ἀποδίδοται, οἷον οὐκέτι καὶ οὐδέποτε ποιήσω. ὡς καὶ Ἀριστοφάνης, οὐδέ ποθ᾽ ἡμέρα γενέσθαι. καὶ παρὰ Δημοσθένει, οὐκέτι γὰρ φανεῖταί σε χρηστός, καὶ τὰ δίκαια λέγων. τὸ δὲ οὔπω καὶ οὐδεπώποτε, ἐπὶ παρῳχημένου τάττεται. οἷον οὔπω ἦλθε, καὶ οὐδεπώποτε ἐποίησα. ὡς καὶ Ἀριστοφάνης, οὐκέτ᾽ ἂν ὡς ἐμὲ ἦλθεν οὐδεπώποτε. καὶ παρὰ Ξενοφῶντι, ταῦτα μὲν εἶπον, οὔπω δ᾽ ἐφαίνετο χρηστὸς εἶναι. καὶ παρὰ Σικελιώτῃ, ἕως ἡμέρα τις ἦν, καὶ τὰ δένδρα οὔπω ἦλθον. τὸ δὲ οὔπω, καὶ ἐπὶ παρῳχημένου, καὶ ἐπὶ μέλλοντος καὶ ἐπὶ ἐνεστῶτος τάττεται. Οὐδ᾽ ἔτι ἴσα εἶναι, ἀντὶ τοῦ ἀεὶ ἐλαττοῦσθαι. εἰ γὰρ μὴ ἴσα, πολλοῦ μᾶλλον οὐ μείζονα ἔσται, ἄρα ἐλάττονα. Οὐδέπω ἔχει ἡ θύρα, παροιμία ἐπὶ τῶν πολλοὺς ξένους ἀποδεχομένων. μέμνηται Ἀριστοφάνης καὶ Εὔπολις, καὶ Καλλίμαχος. ἔχει δέ, ἀντὶ τοῦ κωλύει, ἢ ἀποκλείει.

Οὐδέπω ἐστὶ, μόνον ἐπὶ παρῳχημένου, ὥσπερ τὸ ἐναντίον τὸ εἴσω, καὶ αὐτὸς ἐπὶ μέλλοντος. εἴσω ἔσται εἴρηκε, αὐτὸς δηλοῖ, οὔπω, μετὰ παρῳχημένου καὶ ἐνεστῶτος συντάσσεται. οἷον οὔπω γίνεσθαι, οὔπω γέγονε. καὶ ἀνακρίνει τὸ χαρακτηριστικόν. σημαίνει δὲ τὸ μέλλον, οἷον οὔπω ἐστὶ καιρός, ἀντὶ τοῦ παρὰ τοῖς κοινοῖς ἀμέλει, οὐκ ἔστι καιρός, ἀλλὰ ἔσται δηλονότι. τὸ δὲ οὐκ ἔτι, τὸ

ὁ σκότος, ἢ τὸ σκότος. καὶ ὄχος, ἐξ οὗ παρὰ Σοφοκλεῖ, τὸ βαρβάροις ὄχοις. καὶ παρ' Ὁμήρῳ, τὰ ὄχεα· ἐκ τοῦ ὄχος ὁμοίως, καὶ ὄϊλος καὶ ὁ ἴλεος. κατὰ δὲ ἴωνας ὁ θρῆνος καὶ ὁ θρῆος. Ὄσσε, ἡ ὄψις τὸ ὄσσος, ὡς ἔρκος, βέλος, τεῖχος. τὰ δυϊκὰ ὄσσε, κατὰ ἀφαίρεσιν τοῦ ι ὄσσε, ἀπὸ τοῦ ὄσσω τὸ βλέπω. ἐξ οὗ καὶ τὸ κακὸν ὀσσόμενος, ἀντὶ τοῦ κακῶς περιβλεπόμενος. Ὄσσε, δυϊκόν. δηλοῖ δὲ τοὺς ὀφθαλμούς. γίνεται δὲ ἀπὸ τοῦ ὄσσω, τὸ βλέπω. ἐξ οὗ καὶ τὸ κακὰ ὀσσόμενος, ἀντὶ τοῦ κακῶς περιβλεπόμενος. κλίνεται μὲν κατὰ τοὺς ἴωνας ἀπὸ τοῦ ὄσσος οὐδετέρου ὀνόματος, ὡς βέλος. οὗ δυϊκὸν ὀφείλει εἶναι ἐν χρήσει, τὸ ὄσσεε, ὡς τὸ βέλεε. καὶ ἀκολούθως τῷ δυϊκῷ τῶν ὄσσε, καὶ κατὰ συγκοπὴν, ἢ ἀποκοπὴν, ὄσσε. ἕτεροι δέ φασιν οὕτως, ἀπὸ τοῦ ὄσσος ἀρσενικοῦ, ὡς πλόος, ὦ τῷ δυϊκῷ ὄσσω, ὡς πλόω, καὶ κατὰ μεταπλασμὸν ὄσσε, ὅπερ κατὰ μετατροπὴν τοῦ ω τελικοῦ τῆς εὐθείας τῶν δυϊκῶν, εἰς ε. ἴδιον καὶ αὐτὸ τελείων ἐστὶ τῆς τῶν ἀρχαίων ἰώνων. Ὄσσεσθαι, λέξις ποιητική, ἀπὸ τοῦ ὄσσω, ἣν ἐπὶ μαντείας ὁ ποιητὴς τάσσει. Ὀσσεῖσθαι, διακλυδωνίζεσθαι. Ἀριστοφάνης Λυσιστράτῃ, ὀσσόμενος κάθηται. Ὀσσῦξαι, ἐπιδεῖξαι. Ὀσσυτῦρα, σοβαρόν. Ὄσσιχον, ἀντὶ τοῦ ὅσον δωριεῖς λέγουσι. Θεόκριτος, ὅσσιχον ἐστὶ τὸ τύμμα, καὶ ἁλίκον ἄνδρα δαμάσδει. Ὄσσοι, βλέφαρα, ἴλοι.

Ὀσσόμενος, προσβλέπων. αἰολικῶς τροπῇ τοῦ π εἰς σσ, ὄπομαι ὄσσομαι. Ὀσσοῦς, ἐλίπως. καὶ ὄσσου, ἔβλεπε.

Ὀσσόμενος, ὁ βλέπων. ὀσσόμενος δὲ φρεσὶν ὁ φανταζόμενος τὸ μὴ παρὸν, καὶ κατὰ νοῦν ἀποβλέπων, καὶ ἀνειδωλοποιούμενος. ὡς ὁ Τηλέμαχος κάθηται ὀσσόμενος φρεσὶ πατέρα ἐσθλὸν, ἤγουν ἐννοούμενος, ὁ προορῶν, ἢ προμαντευόμενος.

Ὄσσετο, προέβλεπεν, προεώρων. Ὄσσος, ὁ ὀφθαλμὸς ἐν τῷ ῥητορικῷ λεξικῷ. διὸ ἀρσενικῶς φέρεται ἐν τῇ τραγῳδίᾳ. παρ' Ὁμήρῳ δὲ οὐδετέρως. Ὀσσυπαρόν, ῥυπαρόν. Ὀσσῶ, αἰολικῶς τὸ ὄσσω, ὡς βλέπω βλέπεω. ὁ ἀποβολῇ τοῦ β καὶ πλεονασμῷ τοῦ ε λέγεται, ὁμοίως ἀπὸ τοῦ πίπτω πίπτεω. Ὀσταδεῖς, ἐξηλεκτωθείς. Ὀστακός, εἶδος καράβου. οἱ δὲ ἀστακὸν λέγουσιν. Ὀστολόγος, ὁ συλλέγων τὰ ὀστᾶ. Ὀστάκαξ, πλέγμα, ἕλιξ, βόστρυχος. ὁ ἐν τοῖς βότρυσι γινόμενον. Ὀστλίγχος, τόξευμα. Ὀτάσαι, οὐδὲ πρὶν, παρὰ πέρσαις μάγοι ἐλέγοντο. Ὄτασον, ἄκουσον. Ὀταφίς, καὶ ἀταφίς, πλεονασμῷ τοῦ ο καὶ τοῦ α. σταφὶς δὲ τὸ ταφίς. ἴδιον γὰρ ἡ χρῆσις, ἀσταφὶς εἶχε. Ὀτεῖν, ἴσον, ἕως τοῦ ὠτοῦ. Ὀτόφιν, κατὰ προσχηματισμὸν τῆς φι συλλαβῆς. Ὅμηρος Ὀδυσσείας κ'. φεῖσθαι δὲ ἀμφ' ὀτόφιν χρώς. ἀντὶ τοῦ περὶ τὰ ὦτα. Ὀτίνοις αὐλοῖς. ἐπεὶ τὸ παλαιὸν ἀπὸ τῶν ἐλαφείων ὀστῶν κατεσκεύαζον τοὺς αὐλούς. Ἀριστοφάνης, τοῖς ὀτίνοις φυσῶντες τὸ πρωκτὸν κυνός. Ὀταρίως, ἀξιωματικός, σημαίνει δὲ τὸ θυρωρόν. Ὄτλιγγες, αἱ λακωνικοὶ παρὰ τῷ Ἀπολλωνίῳ. σημαίνει δὲ ἡ λέξις καὶ τοὺς βοστρύχους. ὡς τὸ, ἀπ' ὀτλίγγων δ' αἶψ' ἄλαφα ῥέα.

Ὅσον οὐκ ἔστι. καὶ ὅσον ἐστί, ὁμοίως οὐκ ἔστι καὶ ἔστιν, ὁμοίως πληθυντικῶς. Ὀστοφαγεῖν. ὀστᾶ ἐσθίειν. καὶ ὀσταφαγεῖν. Ὀστρακίζομαι, καὶ ἐξοστρακίζομαι, καὶ ὀστρακισμός. Ὀστρακίνδα, ὄνομα παιδιᾶς παρὰ τῷ Ἀριστοφάνει. ὅλως δὲ εἰπεῖν δηλώσεως αὐτὸν ἐξοστρακισθῆναι. ὁ δὲ τρόπος τοιοῦτος τοῦ ἐξοστρακισμοῦ· προχειροτόνει ὁ δῆμος ὄστρακον εἰσφέρειν, καὶ ὅταν δόξῃ, ἐφράττετο σανίσιν ἡ ἀγορά, καὶ κατελείποντο εἴσοδοι δέκα, δι' ὧν εἰσιόντες κατὰ φυλὰς ἐτίθεσαν ὄστρακον, κρύπτοντες τὴν ἐπιγραφήν. ἐπεστάτουν δὲ οἵ τε θ' ἄρχοντες, καὶ ἡ βουλή. ἀριθμηθέντων δὲ ὧν πλεῖστα γένοιτο, καὶ μὴ ἐλάττω ἑξακισχιλίων, τοῦτον ἔδει ἐν δέκα ἡμέραις μεταστῆναι τῆς πόλεως. εἰ δὲ μὴ γένοιτο ἑξακισχίλια, οὐ μεθίστατο. ὠστρακοφόρουν δὲ οὐ μόνον οἱ ἀθηναῖοι, ἀλλὰ καὶ ἀργεῖοι, καὶ μιλήσιοι, καὶ μεγαρεῖς, σχεδὸν δὲ οἱ χαριέστατοι πάντες ὠστρακίσθησαν. Ἀριστείδης, τῇ ἀδελφῇ Ἐλπινίκῃ συνῴκει μενίς, καὶ διαβληθεὶς πρὸς τὴν πόλιν. Θεμιστοκλῆς, Θουκυδίδης, Ἀλκιβιάδης, μέχρι δὲ Ὑπερβόλου ὁ ὀστρακισμὸς προελθὼν, ἐπ' αὐτοῦ κατελύθη, μὴ ὑπακούσαντος τοῦ νόμου διὰ τὴν ἀσθένειαν τῶν γεγενημένων εἰς ἀδοκήτων πράγμασιν ὕβρει. ἔοικε δὲ ἡ ὀστρακίνδα καὶ πάντα τὰ τοιοῦτα ἐπὶ παιδιᾶς τασσόμενα. διαφέρει δὲ φυγῆς ὀστρακισμός, ὅτι τῶν μὲν φυγῆς ἁλόντων αἱ οὐσίαι δημεύονται, τῶν δὲ ὀστρακισμῷ ἀπελθόντων οὐκ ἀφαιρεῖται τὰ χρήματα ὁ δῆμος. καὶ τοῖς μὲν χρόνοις ὥρισται καὶ τόπος. οἱ δὲ φυγόντες, οὐδέτερον τούτων ἔχουσιν. Ὀστρακισμὸς διαφέρει τῆς φυγῆς, καθὸ τῶν μὲν φυγόντων αἱ οὐσίαι δημεύονται. τῶν δὲ ὀστρακισμῷ μεταστάντων οὐκέτι κύριος ὁ δῆμος, καὶ τοῖς μὲν ἐστι τόπος ἀποδέδοτο καὶ χρόνος, τοῖς δὲ οὐδέτερον τούτων. Ὀστρακίς, ἀγαλμάτιον τῆς ἀφροδίτης. Ὀστρακισμός, οἱ κακοτεχνοῦντες τῷ δήμῳ δοκοῦντες, ἐξωστρακίζοντο καὶ κατεδικάζοντο. ὀστράκοις γὰρ ἐνέγραφον τὸ ὄνομα τοῦ φυγαδευομένου. Ὀστρακόδερμοι, οἱ καρκίνοι. καθάπερ καὶ οἱ στρόμβοι. φασὶν οἱ κοχλίαι οἱ θαλάττιοι κήρυκες, ἢ διὰ τὸ ἐν τῇ ὀρχήσει στροβεῖσθαι. ἐπειδὴ οἱ στρόμβοι κώνου ἐπέχουσι δίκην. στρόβιλος δέ ἐστιν, ἡ συστροφή. Ἀριστοφάνης. Ὄστρακον, ὅταν τις ἀποθάνοι γάστραν πρὸς τὴν θύραν ἐτίθεσαν ἐξ ἄλλης οἰκίας λαμβάνοντες, καὶ πληροῦντες ὕδατος. Ὀστράκου περιστροφή, παροιμία ἐπὶ τῶν ταχέως τι ποιούντων λεγομένη. Εὐνάπιος, ὥσπερ ὀστράκου μεταπεσόντος ἐπὶ τὸ βέλτιον ἐχώρησε ῥωμαίοις. Ὀστράκων ἀπ' [illegible] ἄντυτον, ἄρτι γεμνόν. ὄστρακον ἀντὶ τοῦ [illegible]. κεῖται δὲ καὶ ἀδελφῶν.

Ὀστᾶ, τὰ κοτύλια. λακωνικῶς [illegible]. Ὄστριον, μουλεῖον, [illegible]. Ὄστριμον, ἐν ᾧ αἱ θρεπταὶ μένουσι βόες. οἱ δὲ, ἔπαυλις.

Ὄσφιν, ἀντὶ τοῦ ὅς ἐν αὐτοῖς, παρὰ τῷ ποιητῇ. Ὀσφραίνομαι, κακῶς δὲ ὀσφραίνομαι. Λιβάνιος ἐν τῇ μελέτῃ τοῦ φθονεροῦ, ὀσφραίνεται τῆς εὐδαιμονίας. οἱ λακωνικοὶ, ὀσφρόμενος ἐπὶ τοῦ ἐνεστῶτος ἀντὶ τοῦ ὀσφραινόμενος, καὶ ἐπὶ μέσου ἀορ. τοῦ ὀσφρησάμενος. ἔστι γὰρ οὐ μόνον ὄσφρω, ἀλλὰ καὶ ὀσφραίνω. οὗ ὁ δεύτερος ἀόριστος ὄσφρον. ὁ μέσος ὠσφρόμην καὶ ὀσφρόμενος, τὸ δὲ ὀσφρησάμενος ἀττικόν. Ὀσφραινόμενον, τὸ δεχόμενον τὰς ὀσμάς. ὀσφρόμενον δὲ, τὸ πέμπον τὰς ὀσμάς. Ὀσφρέσθαι, τὸ ὀσφρανθῆναι. Ὀσφρώμενον, τὸ πέμπον τὰς ὀσμάς. τὸ μὲν διὰ τοῦ ω μεγάλου, ὀλόκληρον παρὰ τοῖς ῥήτορσι, τὸ δὲ διὰ τοῦ ο μικροῦ. καὶ τοῦτο τοῦ δεχομένου τὰς ὀσμάς. Ὄσφρησις, ἀέρος μετάληψις, ἢ διάκρισις ἀτμῶν. καὶ ὀσφράδιον, ἐπὶ οἰδοίων. Ὀσφύος, ἰσχίου. ῥάχις ἢ τὸ πλησίον τῶν νεφρῶν.

Ὀσφῦς, τὰ μετὰ τὴν ζώνην ἑκατέρωθεν ἰσχία, αἱ μετὰ τὰς ὀσφῦς σαρκώδεις περιβολαὶ γλουτοί, καὶ καλοῦνται τὰ μετὰ τὰ ἰσχία ἔχοντα περὶ τὴν κοιλίαν ὑπερέχοντα. Ὀσφὺν, οἱ δαιμονοῦ [illegible] τὰς κεχωσμένας, ἐπειδὴ θεοῖς ἱερεύεται, ὡς ζωογονίας αἰτία. ἔστι δὲ ἡ λέξις τῶν ἅπαξ εἰρημένων τῷ ποιητῇ. Ὄσχαι, κλήματα βοτρύων γέμοντα. Ὄσχια, βαλάντια, μαρσύπια, ἢ τὸ τοῦ διδύμου ἀγγεῖον. καὶ κλήματα βοτρύων πλήρη. Ὄσχεος, ὁ περὶ τὰ αἰδοῖα τόπος. Ὀσχέοισιν, κλήμασιν. Ὄσχοι κλήματα ἐστὶ βότρυς ἐξηρτημένους ἔχων. ταύτην δὲ ὀσχοφόροι καλοῦσιν. Ὀσχοφόροι, διὰ τὸ [illegible] τῶν γινομένων καὶ πλούτου προσέχοντων. Ὅτῳ, πλέον ἥμισυ, δηλονότι ἀπὸ τοῦ ἐν [illegible] κλήρου, ἐξ ἀδικίας, παρ' Ἡσιόδῳ ὥσπερ ἄν. ὅτῳ ἄν.

Ὅταν, οἱ μὲν παλαιοὶ διαιροῦσιν, ὅτε καὶ ἂν πνεῦμα καὶ τόνον [illegible]. οἱ δὲ νεώτεροι συνημμένως ἐκφέρουσιν. ὥσπερ καὶ τὸ διὸ, καὶ ἐφ' ᾧ, καὶ τἄλλα. ἔστιν ὅτε μετὰ ὑποτακτικοῦ συντάσσεται. [illegible] βαίνῃς, ὅταν εἰδῇς. Ὅταν, πολλάκις, ὁπότε. Ὅταν ὁ καιρὸς εἰσάγῃ, ὅταν καιρὸς καλῇ. Ὅταν, ἐπίρρημα, οὐ δύναται εἶναι. τὰ γὰρ εἰς αν ἐπιρρήματα ἐκτείνεται. οἷον ὅταν, λίαν, τὸ πάμπαν. τὸ δὲ ὅτ' ἄν, δύο μέρη λόγου εἰσὶν, ὅτε ἄν, ὁμοίως καὶ ὁ ποτ' ἄν. Ὅτ' ἄκουσον, [illegible] τὸν [illegible]. Ὅτι

ἵνα καὶ τὸ πλέον κατορθώσῃ. ἢ καὶ ἄλλως. εἴ τις ἅρμα δὲ πλησίον ἐλαύνων ἀναβῇ, ὡς ἂν ἐκπεσὼν τοῦ οἰκείου, ἢ καὶ ἄλλως κατά τινα χρείαν ἔχει ὀρεξάσθω, τουτέστιν ἔγχει ἐκτεινάτω. ὀρέγω γὰρ τὸ ἐκτείνω. ἐξ οὗ καὶ ὀρεκτῆς ἔγχεα ἐν τῇ Βοιωτίᾳ μελίας, ὧν χερῶν πληθούσας. Ὅς δή, καὶ ἥ τις, καὶ ὅ, δὴ μετὰ τοῦ ἂν τιθέμενα, ἐπὶ ἀορίστου καὶ ὑποτακτικοῦ τίθενται. Δημοσθένης, οἶμαι ἅπαντας ἂν ὑμᾶς συμφῆσαι, ὥσπερ τοῖς ἐν δικαστηρίοις λόγων τούτους ἀληθεστάτους ἡγεῖσθαι, ὧν ἂν γνωριμώτατοι μάρτυρες ὦσιν, οὕτω καὶ τοῖς συμβόλοις ἐκείνων, οἷς ἂν πλεῖστοι καὶ σαφέστατοι μάρτυρες ὦσι, τούτοις χρῆναι πιστεύειν. ὡσαύτως ἔχει καὶ τὸ τίς ἄν. Ὅς τις, ἀεὶ ὅτε γενικῇ συντάσσεται. οἷον ὅς δὴ τῶν ἀνθρώπων. Ὅς δὴ αἴτιον ἐστι, τὸ δὲ ὅς τίς ἐστι, ἀμφίβολος λέγεται. οἷον, ὅς τίς ἐστιν ὁ παράδοξος. ἤγουν εἴτε νοητὸς εἴτε αἰσθητός. Ὅστισοῦν, οὑτινοσοῦν, ᾡτινισοῦν, ὅντιναοῦν, καὶ ὦτινεσοῦν. τὸ θηλυκόν, ἥτισοῦν, ἧστινοσοῦν, ᾗτινισοῦν, ἥντιναοῦν, καὶ ἥτινεσοῦν. τὸ δὲ οὐδέτερον, ὁτιοῦν, οὑτινοσοῦν, ᾡτινισοῦν, ὁτιοῦν. ἐπειδὴ εἰώθασι λαμβάνεσθαι τὸ ὅτου ἀντὶ τοῦ οὗτινος, καὶ ὅτῳ ἀντὶ τοῦ ᾧτινι λέγει, ὁτουοῦν καὶ ὁτῳοῦν, ἀντὶ τοῦ οὑτινοσοῦν καὶ ᾡτινισοῦν. Ὅς οὐδὲν ποιῶν, ὅς οὐκ ἦν βιοῦντος, ἀλλὰ τοὐναντίον λαμπρός, ἐνδοξότερος ὁ φιλόπαις. Ὅσα, ὁ μέριον τὸ ἄπειρον, ἄπειρον πλῆθος δηλοῖ ἀριθμοῦ. Ἀριστοφάνης, ὅσα δὴ δέδηγμαι τὴν ἐμαυτοῦ καρδίαν. Ὅσα, ἀττικῶς λέγεται ἀντὶ τοῦ ὅσον. φιλοῦσι γὰρ οἱ Ἀττικοὶ πληθυντικοῖς ἀντὶ ἑνικῶν χρῆσθαι. οἷον ἴσα κἀμὲ τιθέναι, ἀντὶ τοῦ ἴσον λαμβάνονται.

Ὁσάκις, ποσάκις. Ὅσαι ἡμέραι λέγει, ὅσαι δὲ ὧραι. λέγεται καὶ ὅσαι ἡμέραι. Ὁσημέραι, ἐπίρρημα. καὶ σημαίνει τὸ πάντοτε. δοκεῖ δὲ συντεθεῖσθαι, ἀπὸ τοῦ ὅσαι ἡμέραι. πλὴν γράφεται ἀεὶ συντεθειμένως. τὸ δὲ τόσαι ὧραι, τοὐναντίον ἐν τῇ συνηθείᾳ διαλελυμένως γράφεται. Ὅσα γνώμη, γνωσία.

Ὅσια, ἡ ἐπὶ θανάτῳ τιμή, ἡ ἐπιμέρα. Ὅσια ἄλφιτα, δεδευμένα ἐλαίῳ ἢ οἴνῳ, καὶ ἐκ παρδ. Ὅσιον, καθάριον. Ὁσίη παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας π'. οὐδ' ὁσίη, ἀντὶ τοῦ οὐδ' ὅσιον. ἐλλείπει δοκεῖ. λείπει γὰρ τὸ βουλή, ἢ πρᾶξις. ἵνα λέγῃ, ὡς οὐκ ἐστιν ὁσία δίκη, ἢ βουλή, ἢ πρᾶξις τὸ ἐπ' ἀλλήλοισι κακὰ ῥάπτειν. ὁμοίως τὸ οὐχ ὁσίη. λείπει τό, δίκη ἢ εὐχή.

Ὅσιον, χωρίον, τὸ βέβηλον, καὶ μὴ ἱερόν. καὶ ὅσια χρήματα, τὰ μὴ ἱερά. Ὅσιον ἐστὶ θεράπευμα θεοῦ, ἀρεστὸν θεῷ. τὸ ὅσιον λέγεται καὶ δίκαιον. κρεῖττον δὲ εἰπεῖν, ὅτι διαφέρει ὅσιον. καὶ γὰρ δίκαιος μὲν λέγεται, ὁ τὴν ἰσότητα τοῖς ὁμοίοις φυλάττων. ὅσιος δέ, ὁ περὶ τὰ θεῖα ἐσπουδακώς. Ὅσιος, ὁ περὶ τὰ θεῖα λίαν. παρὰ τὸ ἅζω τὸ σέβομαι, γίνεται ἅσιος, καὶ ὅσιος. διὸ καὶ διὰ τοῦ ι γράφεται. οἷον ὀπάσω ὀπάσιος, ἀλέξω ἀλέξιος, κτήσω κτήσιος, μνήσω μνήσιος. τὸ δεξιός, καὶ ἀνεψιός, κατὰ τὸν τόνον μόνον διήλλαξεν. Ὁσιότης, παρὰ τὸ ὅσιος. τὸ δὲ ὅσιος, παρὰ τὸ ἅζω τὸ σέβομαι. τὸ γὰρ ὅσιον πάντως σεβόμεθα. Ὁσιουργῆσαι, ἀποκαθαρεῖν, ἱερουργῆσαι. καὶ τὸ ἐπιλέγειν ἐν ταῖς θυσίαις, ὅταν ἀπάρχωνται τῶν θυῶν αὐτῶν. Ὁσίους θαλάμους, τοὺς μὴ θείους, ἀλλ' ἀνθρωπίνους. Ὄσιρις, ὁ καὶ Διόνυσος, βασιλεὺς ὑπάρχων Αἰγύπτου, ὑπὸ Τυφῶνος καὶ τῶν συνόντων μελεδὸν κατατμηθείς, ἐφθάρη. ἡ δὲ Ἶσις ἡ καὶ Δήμητρα γυνὴ Διονύσου, μετὰ ὀργῆς τοῦ υἱοῦ αὐτοῦ τὸν Τυφῶνα καὶ πάντας τοὺς ἐκείνου φονεῖς ἀναιρεῖ. τὰ δὲ τοῦ Διονύσου μέλη καὶ μόρια συλλέξασα ἐκάστῳ μέρει, καὶ ἱεροὺς οἰκοδομήσασα ἐν φαγάλαις. Φαγάλη δέ, πόλις Αἰγύπτου, τὸ μέγιστον ἦν τῶν ἱερῶν. ὅς καὶ μέγας ὅρκος τοῖς Αἰγυπτίοις ἐστὶ γὰρ, μὰ τὸν ἐν φαγάλῃ Ὄσιριν. πάντα γοῦν εὑροῦσα τὰ μόρια, ὡς ἔφην, καὶ θαψαμένη πάντας ναούς, τὰ δὲ αἰδοῖα μόρια μὴ εὑροῦσα, τῇ δερματίνας φαλλοὺς ἐπινοῆσαι χρηματίσασα ἕκαστον ἑαυτῷ, καὶ νῦν ἔτι

χεῖσθαι. καὶ περὶ μὲν τοῦ Ὀσίριδος οὕτως ἔχει. Ὁσιωθῆναι ἡμέραν λέγουσιν ἐπὶ θανάτῳ κενές. οἷον μὴ ἴζας, ἀλλὰ ὅσας νομισθεῖσαι.

Ὁσιώτατος τοῦ ωτ, ἰῶτα. ἐπεὶ οὖν μᾶλλον τὰ διὰ τοῦ ιος γινόμενα, διὰ τοῦ ι γράφεται. οἷον, ἅγιος, ὅσιος ὁσιώτερος, καὶ ὁσιώτατος. Ὀσκάπτω, ἀνασκάπτω. Ὄσκεος, καὶ τ ὄσκεος γράφεται. παρὰ μὲν τοῖς Ἀττικοῖς, ἀεὶ ἀρσενικῶς ὁ σκεῦος γράφεται. παρὰ δὲ τοῖς κοινοῖς, τὸ σκεῦος οὐδέτερον. Ὀσμὴ λέγει διὰ τοῦ σ. διὰ τοῦ δ ὀδμή, ἰωνικῶς. πλῆξ σὺν Ξενοφῶν. Ὀσμύλια, τὰ πλεκτὰ αἱ ἐρέναι λεγόμενα, καὶ ἰχθύδια τινά, ἀλλ' εὐτελῆ. Ὀσμῶσαι, βελβατίνας θαλάσσης. Ὅσον οὕτω χάριτι λέγομεν, τὸ ἴσον καὶ χαρισι. Θουκυδίδης, ἀπέβαλεν αὐτὸς τὰς ἐκ Πελοποννήσου ναῦς, ὅσον οὐκ ἤδη οὔσας. Ὅσον οὐκ ἤδη, ἀντὶ τοῦ συντόμως. Εὐριπίδης, ἐγὼ δὲ ὀλεσθεὶς ὅσον οὐκ ἤδη. καὶ μικρὸν ὅσον, ἀντὶ τοῦ ὀλίγον λίαν. Θεόκριτος, μικρὸν ὅσον ἄπωθεν ἀλεκτρυόνα γέροντος. Ὅσον τάχιστα, ἀντὶ τοῦ συντόμως. Σοφοκλῆς, ῥῖψόν με γῆς ἐκ τῆσδε ὅσον τάχιστα.

Ὅσον δεῖν, ἀναφορικόν, λαμβάνεται δὲ καὶ ἐπὶ τοῦ πλέον ὁ Θεολογος. καὶ τὸ τάχος, ὅσον ἐκεῖθεν τὸ γράμμα τῆς ἐφορείας. Ὅσον αὐτίκα, ἀντὶ τοῦ συντομώτατα. Λουκιανός, ὅσον αὐτίκα. Ὅσον σθένος μοχθῶ, ἤγουν ὅση δύναμις. ὁ χαμαιλεονος καὶ τοῖς κοινοῖς ἐστι συνήθης. οἷον, συλλαβοῦ ὅση δύναμις. ἐκέλευσε τὸ λεγόμενον μοι ἰσχύς. ἐλλειπτικῶς δὲ ταῦτα λέγεται. τὰ δὲ ἐντελῆ, συλλαβοῦ κατὰ τὴν δύναμιν, ὅση ἐστί. καὶ ἐκέλευσε τόδε κατὰ τὴν ἰσχὺν ὅση μάλιστα. Ὅσον ὅσον, ὀλίγον ὀλίγον. ὅσον ἀντὶ τοῦ ὀλίγον εὑρηται κείμενον. Ὅσον, ὅτι, ὡς, λαμβάνονται ἀντὶ τοῦ λίαν. πλὴν τὸ μὲν ὅτι καὶ τὸ ὡς, ὑπερθετικοῖς μόνοις συντάσσεται. τὸ δὲ ὅσον, καὶ ἁπλοῖς ὀνόμασιν. ὑπερέχει δὲ λεληθότως, ὅτι μετὰ τοῦ ὀνόματος κεῖται. Ὀσπρίζειν, ἀπὸ τοῦ φαγεῖν ὄσπρια. Ὀσπρεον, ὀστέον. παρὰ τὸ ἔσω εἰρῆσθαι, ἢ ὅσιον τὸ εἶδος τοῦ σπόρου. τὸ ἔσθιον καὶ ὀσπρίτον. Ὄσπρια, ποικίλα. Ὄσπριον, καὶ γενικῶς καὶ ἰδικῶς λέγεται. Ὄσπριον, παρὰ τὸ σπείρω σπεῖρον, καὶ καθ' ὑπερβιβασμὸν ὄσπριον. Ὄσπρεος, ἴδιος τις λέγεται, ὡς πισός καὶ ἐρέβινθος. Ὅσσα, ὅς δή. Ὀσσεοῦ, τίτας. Ὅσσα ἔοργας, ὅσα εἰργάσω. Ὄσσα, θεία φήμη, καὶ κληδών, ἡ μαντεία. Ὄσσα, ὄρος πρὸς τῷ τέλει τῆς Θεσσαλίας, μεθ' ὃ διαδέχεται ἡ Μακεδονία.

Ὄσσα δ' ἐκ Διὸς λέγει Ὅμηρος, ἥ τε καὶ πάλαι κλέος ὄσσαν καὶ ὀμφὴν εἰς τὸν Δία ἀνάγουσι. διὸ καὶ πανομφαῖος ἐλέγετο. Διὸς δὲ ὄσσα, ἡ ἐκ τοῦ προμάντεως εἰρημένου. διαλεκτικὴ ἐστι τοῦ μέλλοντος. ἢ καὶ ἄλλως, ἡ τοῦ Διὸς ὡς αἴτιος ἐστι φωνῶν, διὰ τὰς τυχάνων. ἰστέον δέ, ὅτι παρ' Ὁμήρῳ οὐχ ἁπλῶς ἡ φωνὴ λέγεται ὄσσα, καθὰ παρὰ τοῖς ὕστερον, ἀλλὰ καὶ ὄσσα ἡ κληδών, καὶ ὁ ὀμφὴ. καὶ ἡ φήμη, θεία, καὶ σημαίνουσα τοῦ μέλλοντος σημαίνει παρὰ αὐτῷ. Ὄσσα δισκεύουσα, ἴσα δίσκῳ οὖσα. Ὀσσάκιον, δύο ἔχει παραγωγάς. ἐκ τοῦ ἐσαίος. Ὄσσε αἱματόεντα, ἢ αἱματόεντε. γράφεται δὲ ἀμφοτέρως. εἰ μὲν αἱματόεντα ἐρεῖ τις, ἀριθμὸν οὐδετέρου γένους εἶναι παριστᾷ τὸ ὄσσε. εἰ δὲ διὰ τοῦ αἱματόεντε, ἀμφιβόλου αὐθις μένει τοῦ γένους. Ὄσσε, σημαίνει τοὺς ὀφθαλμούς, παρὰ τὸ ὄσσω τὸ βλέπω. Ὀσσεία, ἡ μαντεία. ὄσσα δὲ ἡ κληδών, καὶ ἡ φήμη. Ὄσσε πάλιν κλαίων παρ' Ὁμήρῳ, ἐπὶ τοῦ ἀποστρέφων, καὶ ὡς οἷον εἰπεῖν στρεβλῶν. ἐπεὶ καὶ ἐκ τοῦ στρέφω γίνεται καὶ ὁ στρεβλός, καὶ ὁ στραβός. κατὰ τὴν συγγένειαν τοῦ β καὶ τοῦ φ. Ὄσσε ὅτι διαφορεῖται κατὰ γένος δεδήλωται. εἰ μὲν δὲ ἀρσενικὸν εἴη, ὅσσοι τε τοῦ πληθυντικῶς γενικῆς, ἡ παρ' Ἡσιόδῳ κεῖται ἐν τῷ δεδαιδαλμένῳ ὄσσων ὀμμ' ἔχων δεδορκότων. ἔδει ζητεῖν διαφορὰν ὄσσων καὶ ὄμματος, καὶ ἀπὸ τοῦ δυϊκοῦ τῆς πληθυντικῆς. οὔτε γὰρ ἐκ τὸν ὄσσον ὄσσων, ὡς βέλος βελῶν. οὔτε τοῦ ὄσσων, ὡς βέλεσιν. ἀλλ' ὄσσοις, καὶ ὄσσοισιν, ὡς ὄρος καὶ ὄρεσιν, οὕτω διαφορεῖται ἐν ἄλλοις τὸ ὄνειδος. ἔστι γὰρ καὶ ὁ ὄνειδος δεύτερον. καὶ ὁ σκέλος.

καὶ ἔλεκτο τὸ αὐτό. καὶ ἀφίλαιαν ὀνομάζεται παρὰ τῷ Ἱπποκράτει. Ὄρχις, πληθυντικῶς. καὶ ὀρχίδιον ὑποκοριστικόν.

Ὀρχειλόγης, ἀντὶ τοῦ ὑβριστήν. Ἡρόδοτος. Ὀρχίδιον, τὸ μόριον. Ὀρχεῖται, διασείεται, βακχεύει. Ὀρχηδὸν, ὑβριδόν. Ὀρχαμοῖς, ὀρχεῖσθαι τὴν τάξιν τῶν φυτειῶν, ὄρχους εἰώθασι λέγειν οἱ ποιηταὶ καὶ οἱ ὀρχηστικοὶ ἐντεῦθεν, διὰ τὰ τῶν τῶν βοτρύων συγκινουμένων ἐν τοῖς τόποις ὀξύτης, ἐπειδὰν ἔτυχον τρυγῶντες, ἀπάρχοντο τῷ θεῷ χορεύοντες, καθάπερ κωμῳδοί. ἐξ οὗ καὶ τὸ ὀρχῶ, ὀρχήσω, ὀρχήσασθαι. οἱ δὲ παρὰ τὸ ὀρέγειν, ὅθεν ἐκτείνειν τὰς χεῖρας, κατὰ τροπὴν τοῦ γ εἰς χ.

Ὄρχησις γίνεται ἐκ τοῦ ὀρέγω ὀρέξω ὤρεχα κατὰ συγκοπήν. δηλοῖ καὶ δηλοῖ κίνησιν χειρῶν καὶ ποδῶν μετὰ ῥυθμοῦ. ὡς δὲ παρὰ τοῖς ὕστερον διάφορα εἴδη ὀρχήσεων εὕρηται, δῆλόν ἐστιν. ἦν γοῦν καὶ τραγικὴ ὄρχησις, ἡ καὶ ἐμμέλεια καθ' ἣν Βάθυλλός φασιν Ἀλεξανδρεὺς νομίμως ὠρχεῖτο. καὶ κωμικὴ δὲ ἡ καὶ κόρδαξ καὶ σίκιννις, ἧς εὑρετὴς σίκιννός τις βάρβαρος, ἡ κρητικὴ καὶ σατυρική, ἐπεὶ οἱ σάτυροι σικιννισταί. ὀρχηθμὸς, ὁ ἐν γάμοις καὶ ὁ ἐν ἑορταῖς καὶ ὁ ἐνόπλιος. Ὀρχήσεως τρία εἴδη. ἐμμέλεια μὲν τραγική, σίκιννις σατυρική, κόρδαξ κωμική, ἣ καὶ αἰσχρῶς κινεῖ τὴν ὀσφύν. Ὀρχηστὴς ἄρες, ὁ εὐκίνητος πόλεμος. ἢ ὁ μετὰ πυῤῥίχης καὶ ἐνόπλου ὀρχήσεως γενόμενος. ὥσπερ ἐγένετο τοῖς Λάκωσιν ἐν ᾗ ἐκινοῦντο ῥυθμῷ, καὶ γυμνάσιον καὶ κινοῦντο πρὸς πόλεμον. Ὀρχήστρια, αὐλητρία. Ὄρχιλ, ζῷον τετράποδον, καὶ πόα. Ὀρχιπεδίζειν, τὸ κακοχολιοῦσθαι πάθει τοῖς παισίν. Ὀρχιπέδων, ἐν μὲν οὐχ ἑώρακα τὸ ὀρχιπέδων, οὐδ' ἐγὼ τὸ τρυγῶν. Ὀρχίλος ὄρνις, διὰ τὰς μοιχείας τοῦ Διὸς τὸ ὄρνιν παρέλαβεν. ἔπλαττε δὲ τὸ ὄνομα τοῦ ὄρνιθος Ἀριστοφάνης, ἐπεὶ κατωφερὴς Ζεὺς καὶ μοιχός. διὰ τοῦτο ὀρχιλόχον παρέλαβε διὰ τῶν ὄρχεων. Ὀρχμοί, φραγμοί. καλαμῶνες, φάραγγες, αὐλῶνες. Ὄρχοι, στίχοι ἀμπέλων. Ὀρχομενός. ἰστέον δὲ ὅτι ὁ Βοιώτιος Ὀρχομενὸς, καὶ ὁ Ἀρκαδικὸς τοῖς ἐπιθέτοις διαστέλλονται. ὁ μὲν γὰρ Ἀρκαδικὸς πολύμηλος. ὁ δὲ Βοιώτιος, Μινύειος. ἐπειδὴ Μινύας πρῶτος αὐτοῦ ἐβασίλευσε. ὁ δὲ γένος λαμπρὸν οἱ Μινύαι ἀπό τινος Μινύου βασιλέως κληθὲν, ὃν αὐτῷ ποτε ἐκτήσατο. Γεωγράφος δὲ οὐ μόνον πλουσίους, ἀλλὰ καὶ μάλα δυνατοὺς τοὺς Βοιωτίους Ὀρχομενίους δείκνυσι, λέγων καὶ Ἐτεοκλῆς Ὀρχομενοῦ βασιλεὺς Χαρίτων ἱερὸν πρῶτος ἱδρύσατο. οἱ δὲ Μινύαι Ὀρχομένιοι, ἀπῴκισαν εἰς Ἰωλκόν. ὅθεν καὶ οἱ Ἀργοναῦται Μινύαι λέγονται. λέξοι δ' ἂν ὁ Μινύας παρὰ τὸ μινύθειν. ὅ ἐστι μικρὸν δηλοῦσι. καθὰ καὶ ὁ Τυδεὺς ἀπὸ τοῦ τυτθὸν, ὅ ἐστι μικρόν, καὶ ὡς μικρὸν ἰσχύων ἀθλήσειεν ἡ λέξις, δῆλον ἐστι. καὶ ὡς ἐξ αὐτοῦ καὶ μινυρίζειν γίνεται. Ὀρχομενοὶ δύο. εἰσὶ τὸ ἐν Βοιωτίᾳ, οὗτος ὁ Μινύειος, καὶ ὁ πολύμηλος ἐν Ἀρκαδίᾳ. ὁ δὲ τοῖς Ὀρχομενὸς Μινύειος οὕτως ἐκλήθη ἀπὸ Μινύου τοῦ Ποσειδῶνος παιδὸς καὶ Καλλιρρόης τῆς Ὠκεανοῦ θυγατρός. ὅθεν Μινύαι καὶ Τριτογενείας τῆς Αἰόλου οἱ πλείους τῶν Ἀργοναυτῶν. Ὀρχομενός, καὶ ὄρος καὶ πόλις Θεσσαλίας καὶ Βοιωτίας, καὶ Ἀρκαδίας, καὶ πόλις. Ὄρχος καὶ ὄρχατος, στίχος ἀμπέλων, ἢ ἑτέρων φυτῶν. παρὰ τὸ ὀρχεῖσθαι δι' αὐτῶν τὰς τάξεις τῶν φυτῶν. Ὀρῶ τὸ δηλοῖ μὲν. ὁρῶ δέ, ῥῆμα βλέπειν, ἰστέον ὅτι τὸ ὁρῶ μάλιστα ζητεῖ. ἀφ' οὗ ὄνομα ῥηματικὸν ὅρασις, ἐκ τοῦ ὁρῶ ῥῆμα. τὸ δὲ ὁρτῶ ῥῆμα, ποιεῖ τὸ ὁρτίζω, ἐκ πλεονασμοῦ τῆς τα συλλαβῆς ὁρταλίζω. δηλοῖ δὲ ὁρταλίζειν, τὸ ἀναπτερυγίζειν τὰ νήπια τῶν παιδίων. οἷον ὁρμᾶν ἐπαίρειν εἰς ὕψος. κατεχρῶντο δὲ τῇ λέξει καὶ ἐπὶ ἄλλως κινήσεως, ἣν ἐπὶ τῶν αὐτῶν. Ὀρῶ, κανονικῶς περισπᾶται. Ἡρακλείδης δηλοῖ γὰρ οὕτω, τὰ ῥήματα τὰ ἔχοντα μετὰ τὸ προηγούμενον σύμφωνον ἁπλοῦν ἐπόμενον περισπᾶται, νομῶ, τιμῶ, ζοφῶ. τὸ πέμπτον τρέπεται, ἐπεὶ δύο σύμφωνα ἔχει αὐτῷ. τὸ δὲ ὁρῶ καὶ διαπορεῖται, ἐπεὶ ἁπλοῦν. ἔστιν τὸ ὁρῶ ὡλόγως περισπᾶται, σύμφωνον ἐπό-

μενον ἁπλοῦν. Ὀρώγυια, τὸ ὀρῶν τὰ ὀγκύλα, ὃ καὶ ὀρέγχειν καλοῦσιν. ὁ ὁρῶν λόφος. κοινὸς δὲ καὶ τὰ ἐργάσιμα ξύλα. Ὀρῶ καὶ ὁρῶμαι, καὶ τὸ ἰδεῖν καὶ ἰδέμεν, Ὅμηρος. Ὀρῶν, ὁράω ὁρῶ. μετοχὴ ὁ ὁράων τοῦ ὁράοντος. καὶ τὸ οὐδέτερον ὁράοντα ὁρῶντα. καὶ τροπῇ τοῦ α εἰς ω ὁρόων ὁρόωντος ὁρῶν. ὁμοίως ἀγαπῶν, ας, α, βοώων ας, α. Ὀρῶν, ἰδών, θεωρῶν. Ὀρῶνται, ἐφορμῶσιν, ἐπικαλοῦσιν. Ὄρυμα, μέσος παρακείμενος, καὶ κατὰ μετάθεσιν ἐστιν. ὅτι διὰ μέσου ὑπάρχει ὤρυμαι. ἀπὸ τοῦ ὄρομαι. ἀφ' οὗ καὶ ὅρμος ἐπὶ πλεονασμόν. προπαροξύνεται δὲ ὄρμενος, διὰ τὸ ἀναφέρειν μέσου κατὰ τὴν τῶν ἰωνῶν συνέπειαν. ὡς καὶ τὸ βλήμενος, καὶ τὸ φθίμενος. Ὀρώρηται, ἔχει ἀναφορὰν παρακειμένου εἰς ἑαυτόν. ἐκ τοῦ ὄρυμα ἢ τὸ ὀρώρω, ἐξ οὗ καὶ τὸ ὀρώρηται, οὕτω δὲ καὶ τὸ προσαράρηται παρ' Ἡσιόδῳ, ἐκ τοῦ ἄραρα ἀράρηται γίνεται. ὁμοίως καὶ ἐκ τοῦ ἔλαλα τὸ ἐλήλαται. ὅθεν τὸ, ὅταν τὸ ἐληλάμενος. Ὀρωρέχατο, παθητικὸν τοῦ ὀρέγω ὀρέξω, ὤρεχα, ὤρεγμαι, ὠρέγμην ὠρέξω ὤρεκτο. ὠρέχατο ἰωνικῶς, καὶ ἀττικῶς ὀρωρέχατο. καὶ συνεσταλμένως ὀρωρέχατο. ἢ ὀρωρέχαται ἰωνικῶς φράζειν οὐκ ἄλλως, ἢ διὰ τοῦ ἐκτείνεσθαι ἐμελλήσαν. Ὀρωρέχαται, ἐκτέτανται. καὶ ὀρωρέχατο. Ὀρώρει, ποιητικῶς. ὁρῶ τὸ διεγείρω, μέλλων ὀρῶσω, ἐξ οὗ ὤρεκα. μέσος ὦρα, καὶ ἀττικῶς ὄρωρα. ὃς ὑπερσυντέλικος γίνεται ὠρώρειν. ὑπερσυντέλικος κοινῶς ὠρώρειν, καὶ ἰωνικῶς ὀρώρειν, οὗ τρίτον ὀρώρει δ' οὐρανόθεν νύξ. Ἄλλως.

Ὀρώρει, συνεσταλμένον ἔχει τὸ ω μεγάλου, εἰς ο μικρόν. ὄρω γὰρ τὸ διεγείρω. ὁ μέλλων ὀρῶ. ὁ μέσος παρακείμενος ὦρα. καὶ ἀττικῶς ὄρωρα. ὁ ὑπερσυντέλικος ὤφειλεν εἶναι ὠρώρειν. τὰ δὲ ἀττικὰ τὰ ἀπὸ βραχέος ἀρχόμενα ἐν τῷ παρακειμένῳ, μεγεθύνονται ἐν τῷ ὑπερσυντελικῷ. ὡς τὸ συνεσταλμένον ἔχει τὸ ὀρώρει, διὰ τὴν τοῦ μέτρου ἀνάγκην. Ὀρώρει ὁμοιόν ἐστι τῷ ἐλήλατο. ὡς γὰρ ἐκεῖνος παρακείμενος ἐστιν ὑποτακτικὸς ἐκ τοῦ ἔλαλα, οὕτω καὶ τοῦτο ἐκ τοῦ ὄρωρα. Ὀρώρεκα, ἐκ τοῦ ὀρῶ ὀρήσω ὤρηκα, ὀρώρηκα ἀττικῶς.

Ὀρώρηται, ἐκ τοῦ ὄρυμα παρακειμένου ὤρυται, ἀναχθέντος εἰς ἐνεστῶτα τὸ ὀρώρω. Ὀρώρυχα, ὠρώρυχειν, ἀλήλεκα ἀληλέκειν, οἱ ἀττικοὶ παρακείμενοι ἀρχόμενοι ἀπὸ βραχέος, ἐν τῷ ὑπερσυντελικῷ χρονικῶς μεγεθύνονται. ἀλλὰ τὸ ἐλήλυθα ἐληλύθειν, καὶ ἔοικα ἐώκειν, παρέβη τὸν κανόνα. Ὀρῶσι, δίχα τῆς προθέσεως, ἐκ τοῦ ὁρῶ εἰς σὺ μετὰ τῆς προθέσεως, καὶ ἐνορῶσι ὁμοίως, ταῦτα αἰτιατικῇ.

ΤΟ Ο ΜΕΤΑ ΤΟΥ Σ Τ ΚΑΙ Υ.

Ὃς, ἄρθρον ὑποτακτικόν. σημαίνει δὲ καὶ ἀντωνυμίαν κτητικὴν τρίτου προσώπου, ἐμός, σός, ὅς. σημαίνει καὶ ἀντωνυμίαν ἰσοδυναμοῦσαν τῷ οὗτος, οἷον ὃς γὰρ δυνατὸς ἦλθεν Ἀχαιῶν. δύναται σημαίνειν καὶ αὐτός, οἷον ἀλλὰ καὶ ὃς δείδοικε Διὸς μέγαν κεραυνόν. ἔστι καὶ ἀόριστον μόριον ἰσοδυναμοῦν τῷ ὅς τις ὑποτακτικῷ ἄρθρῳ ὁμόφωνον, οἷον ὃς ἂν ἔλθῃ μενέτω. καὶ ὅσοι ὃς ἔλθοι. Ὅς, ἀντὶ τοῦ οὗτος, παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας ψ'. Ὅς, ἥ, ὅ. ἄρθρα ὑποτακτικὰ μετὰ τοῦ τις ὀνόματος ἀορίστου συντιθέμενα, ἀναφορικὰ γίνονται. οἷον ὅς τις, οὗ τινος, ᾧ τινι, ὅν τινα. πληθυντικά, οἵ τινες, ὧν τινων, οἷς τισιν, οὕς τινας. θηλυκά, ἥ τις, ἧς τινος, ᾗ τινι, ἥν τινα. πληθυντικά, αἵ τινες, ὧν τινων, αἷς τισιν, ἅς τινας. οὐδέτερα, ὅ τι, οὗ τινος, ᾧ τινι, ὅ τι. πληθυντικά, ἅ τινα, ὧν τινων, οἷς τισιν, ἅ τινα. καὶ μετὰ τοῦ περ συντιθέμενον ταυτὸν σημαίνει. οἷον, ὅσπερ ἀντὶ τοῦ ὅς τις, ἥπερ ἀντὶ τοῦ ἥ τις, ὅπερ ἀντὶ τοῦ ὅ τι. καὶ κλίνεται οὕτως, ὅσπερ, οὗπερ, ᾧπερ, ὅνπερ. ἥπερ, ἧσπερ, ᾗπερ, ἥνπερ. ὅπερ, οὗπερ, ᾧπερ, ὅπερ. Ὅς δ' ἂν ἀνὴρ ἀπὸ ὧν ὀχέων ἕτερ' ἅρμαθ' ἵκηται, παρ' Ὁμήρῳ ἔχει ὀρεξάσθω. τουτέστιν, εἴ τις ἅρματος πολεμίου κρατήσει, μὴ ἀριθμείτω, ἵνα τυχὸν καὶ εἰς τὰς νῆας κατάγειν τὸ κρατηθέν, ἀλλ' ἔχει πάλιν πολεμεῖτω.

ος ποιεῖν βαρυτόνων ποιητικῶς καὶ αὐτῶν διὰ τοῦ ο μικροῦ, ταύτην τηροῦσιν ὡς ἀπαθῆ, ος μὴν κἀκεῖνο ποιοῦσι τοῖς εἰρημένοις ἐμελλομεν, ἐν τοῖς ἐκτατικοῖς ἐστιν ὥστε τὸ διὰ τῶν ῥημάτων. τῶν μὲν συνῃρημένας συλλαβὰς διὰ τοῦ ω προφερομένας, ὃ πρὸ αὐτοῦ ἐκτείνουσιν, εἰ μὲν ἡ πρὸ τῆς συνῃρημένης ω συλλαβὴ βραχεῖα ἦν, μικρόν, ὡς ὁρῶ ὁρόω, βοῶσι βοόωσι. εἰ δὲ μακρά, μέγα, ὡς μαιμῶ μαιμώω, πηδῶσι πηδώωσι. διὰ δὲ τοῦ α ἐκφερομένας, ὃ πρὸ αὐτοῦ ἐκτείνουσιν. εἰ μὲν ἡ πρὸ τοῦ συνῃρημένου α πάλιν βραχεῖα, βραχύ. οἷον βοᾷ βοάᾳ, γελᾶται γελάαται. εἰ δὲ μακρὰ μακρόν, οἷον μαιμᾷ μαιμάᾳ, πηδᾶτε πηδάατε. τοῦτο δὲ ποιοῦσιν, ἐκτείνοντες μὲν καὶ συστέλλοντες τὸ μέτρον εἶναι, ὥσπερ φυλάττεται. ἐκλείποντες δὲ τῇ μὲν ο, τῇ δὲ α, διὰ τὸ δυσέκφορον ἴσως τὴν λέξιν γίνεσθαι. τοῦ μὲν γὰρ α διὰ τὸ α συντιθεμένου τοῦ ω, πάλιν διὰ τὸ ω, εὔχρηστον σημαίνει τὴν προφορὰν ἔχεσθαι.

Ὁρόωντε. ὁράω ὁρῶ, ὁράοιμι ὁρῷμι, ὁράοιτε ὁρῷτε, καὶ πλεονασμῷ τοῦ ω ὁρόωντε. ὅπερ οἱ μετ' Ὅμηρον ὁρόωντε φασίν. ἐκ τοῦ ὁράοιτε ὁρῷτε γίνεται, πλεονασμῷ ἰωνικῷ τοῦ προπαραλήγοντος ο. τρίτον δὲ αὐτοῦ πρόσωπον τὸ ὁρόωμι. τὸ δὲ κοινόν, τὸ ὁράοιμι ὁρῷμι. ἐστὶ δὲ τὸ φίλως ὁρόωντε, ταυτὸν τῷ ἡδέως ἂν βλέποιτε. Ὀρπα, ἱερινός.

Ὄρπαξ, θρασὺς ἄνεμος. Ὄρπαξ, τῆς ἀκρίδος ὁ γόνος, ὅπερ ἀκρίδιον καλοῦσιν. Ὄρπηξ γίνεται ἐκ τοῦ ὄρω τὸ κινῶ, καὶ τοῦ πλέω πήξω, ὁ ἀναπηδήσας εἰς ὕψος περιέπεσεν. ἢ ὄρπαξ, ὁ κλάδος, παρὰ τὸ ἕρπειν, καὶ ὀρουσμοῖς ὕλος πεποίηται. κλίνεται δέ, ὄρπηξ ὄρπηκος. Ὀρπεστηδων, ἐν ᾧ ἦν ἐλέφαντα τοῦ πλοῦτον. Ὀρσοθύρα, ἐπὶ τὰ ἴχνια καὶ τοὺς φλοιοὺς πιαίνειν.

Ὄρριον, ὀργανον. Ὀρρεβολος, ὀδὸς ἰταλιώτης. Ὄρρος, λέγεται τὸν λεγόμενον ταῦρον, τὸ μεταξὺ τῶν διδύμων. Καλλίστρατος τὴν ὀσφύν, ὁ ἱερὸν ὀστοῦν. Δίδυμος τὴν τρυφήν, οὐχ ὡς τὸ ἰσχίον. ὅθεν καὶ τὸ ὀρρωδεῖν, τὸν ὄρρον ἱδροῦν. Ὅμηρος, ἴδιον ὡς ἐκεῖνος. οὗτοι γὰρ πάσχουσιν οἱ φοβούμενοι.

Ὀρροπύγιον, ὀρθοπύγιον. Ὄρρος, ἡ τράμις. οὐχ ὡς ἐκ τοῦ τειχίου. ἔτυμοι δὲ ἐτυμολογοῦσι καὶ τὸ ὀρρωδεῖν. οἱ γὰρ δειλιῶντες ἱδροῦσι πρέρρον, ὅ ἐστιν ἱδροῦσιν. ἢ τὸ ὀστοῦν τὸ ὑπὸ τὴν ῥάχιν. Ὀρροδει, ὁρμᾷ, πηδᾷ. Ὀρρωδεῖν, τῶν ἄχρι τοῦ ὄρρου ἐκτεταμένων, ὄρρος δὲ τοῦ ἱεροῦ ὀστέον τὸ πέρας, ὅπερ καὶ ὀρροπύγιον καλεῖται παρὰ τοῖς ἰατροῖς.

Ὀρρωδῶ, ὁ φοβοῦμαι λέγεται. ἐκ μεταφορᾶς τῶν ζώων διὰ τῆς οὐρᾶς δεικνυόντων τὸ δέος. εἰώθει γὰρ ταῦτα φοβηθέντα συνάγειν τὴν οὐρὰν ἐντὸς τῶν μηρῶν. ὀρρωδῶ δὲ κατὰ τὴν ἀρχαίαν σημασίαν, τουτέστιν, οὐκ εὐλαβοῦμαι, ἀλλὰ καταφρονῶ καὶ παρέρχομαι. Ὀρρωδῶ παρὰ τῷ Λαισφαίνει, τὸ πάνυ φοβοῦμαι. ἀπὸ τοῦ ὄρρου, ὅ ἐστι μεσοπύγιον τῆς περιτροφῆς. ἔστι γὰρ προμηθέρον. καὶ κυρίως μὲν ἐπὶ τοῦ τῶν ἀλόγων δέους. πεποίηται δὲ παρὰ τὸ συστέλλειν τὴν οὐρὰν δηλοῦν τὸ δέος. ἢ παρὰ τὸ ἐγκρύπτειν τούτῳ τῷ μέρει τὰ αἰδοῖα κατὰ τὴν τοῦ δέους διάθεσιν. ἢ διὰ τῶν φοβουμένων ἱδροῦν ὁ ὄρρος πρῶτον ἱδροῦν.

Ξυνίασι, συνέρχονται. ἵημι ὃ σημαίνει τὸ ἀπολύω, τὸ τρίτον τῶν πληθυντικῶν ἱεῖσι, καὶ ἰωνικῶς ἱέασι, καὶ κατὰ κρᾶσιν ἶασι, καὶ ἐν συνθέσει ξυνίασι. Ξυνιάς, λίμνη τῆς Θεσσαλίας. ἔστι δὲ πόλιν παρακειμένην τῇ Βοιβηίδι λίμνῃ. ἀπὸ δὲ τῆς πόλεως εἴρηται ξυνιάδα, ἐπειδὴ πλησίον αὐτῆς ἐστιν ἡ πόλις. οἱ δέ φασι ξυνιάδα εἰρῆσθαι, διὰ τὸ ξυνὸν εἶναι, τὸ κοινόν. ταύτην δὲ εἶναι Θεσσαλίας ἢ Βοιωτίας. Ξυνίασι, συνέρχονται. ξυνίαν, νοεῖν, ἀκούειν. ξυνίεναι, συνιέναι, νοῆσαι. Ξυνίεναι, ἐκ τοῦ ξυνίημι, καταλαμβάνειν. Ἀριστοφάνης, νοεῖν, ὁρᾶν, ξυνιέναι, καὶ συνιέναι. Ξυνιέντες, συνιέντες. Ξυνίζειν, τὸ ξυνικῇ χρῆσθαι φωνῇ καὶ μὴ ἐπιχωρίῳ, ἢ τὸ ξυνικοῖς χρῆσθαι ἐπιτηδεύμασι. Ξυνίημι, αἰσθάνομαι. Ξυνίημι αἰνιγμάτων. Ἀριστοφάνης, οὐ ξυνίης τὴν ἐπίνοιαν τοῦ θεοῦ. Ξύνιον, ἤκουον, συνῆκαν. Ξύνιον, ἀντὶ τοῦ ξυνίεσαν, ὡς τὸ ἤλθοσαν καὶ ἐμάθοσαν. ἔστι μὲν χαλκιδικοῦ διαλέκτου. Ξύνιον παρ' Ὁμήρῳ, δηλοῖ τὸ ξυνίεσαν καὶ ἠθέτουν, καὶ ὡς ὁ ποιητὴς εἰδὼς ἑρμηνεύει, ἐπίθοντο δὲ μύθῳ. ὁμοίως τῷ ἄγνοος τοῦ ξύνιον, τὸ ξυνίω. οὗ παράγωγον τὸ ξυνίημι, ὅπερ γίνεται συντάσσεται. Ὅμηρος, ἐμέθεν ξύνιε ὦκα. σημαίνει τὸ ἐπείθοντο καὶ ὑπήκουον, ἐκ τοῦ ἀγνοῶ ῥήματος ξυνίω, ἀφ' οὗ τὸ ξυνίεις παρὰ Σοφοκλεῖ διὰ διφθόγγου, εἰ δὲ ξυνίεις μαθεῖν. καθὸ καὶ μαθεῖν λέγεται, ἀντὶ τοῦ μαθεῖν, ὅτι ἀμελεῖ. ξυνίεις, ὑπακοῦεις, παρὰ Ἀριστοφάνει. Ξυνόντων, συμπορευομένους. Ξύνοιεν, συνέρχοιντο. Ξύνοχον, σύμφωνον. Ξυνάορ, συμπράκτωρ, σύμβολος, συγγνώμης. Ξυνουρῆσαν, συνθρυπτόω. Ξύνολος, σύνολος, σύμπαντες. Ξυνοδόχος, ξυνοδόχος, ξυνάορος, ἡ γαμετή. Ξυνοί, κοινοί, καὶ ὅροι. Ξυνοίσεις, μαθήσει. Ἀριστοφάνης, ἀντὶ ξυνοίσεις. Ξυνὸς ἐνυάλιος, ἀντὶ τοῦ κοινὸς ὁ τοῦ πολέμου τύχη, καὶ ὁ κατὰ αὐτὸν κίνδυνος, καὶ οὐ μᾶλλον τοῦ τε ἢ ἐκείνου. Ξυνοικίαι λέγονται, αἱ μικραὶ οἰκίαι, καὶ ἀνοικοδομαί. ἃς οὖν νῦν φανέστερον φαμέν. Ξυνομαρτεῖ, ἀκολουθεῖ, συνομαρτεῖ. Ξυνόν, τὸ κοινόν. Ξυνουσία, ἡ συνουσία, συνήθεια. Ξυνοχή, συνοχή. Ξυνοχῆσιν ἁλὸς λέγει ὁ Ἀπολλώνιος, ὅπου συνοῦται ἡ θάλασσα, λέγει δὲ ἐπὶ τοῦ στόματος τοῦ πόντου. Ξυνοχῆσι, παρὰ συνέχειαν τόπῳ τοῦ καμπτῆρος, καὶ συνεῖναι ἀμφοτέρων τῶν δρόμων. Ξυνταάσεται, συνταράσσεται. Ξυντυχεῖν, συντυχεῖν. Ξυνωδά, ὅμοια. Ξυνώμνυσαν, ξυνωμοσίαν ἐποιήσαντο, πίστιν ὅρκους καὶ πίστεις ἀλλήλοις δεδώκασι. Ἀριστοφάνης. Ξυνωμότας, ἔλεγον οἱ ἐπὶ καταλύσει δήμου συνηρχομένους. καὶ ξυνωμότας, προδότας. Ξυνωμοτάς, ξυνωμοσίαν πεποιημένους. πιστά, πίστεις δι' ὅρκων δεδωκότων. Ξυνών, συνυπάρχων, συνών. Ξυνωρίδα ζεῦγος, κυρίως ἐπὶ τῶν ἡμιόνων, ἢ ἐκ δύο ἵππων λέγεται. Ξυνωρικεύεται, ἐπὶ ξυνωρίδος ἅρματος ὀχεῖται. Ἀριστοφάνης, ἐπάγεται καὶ ξυνωρικεύεται.

Ξυνωρίς, ἡ δυάς. ἄρω, τὸ ἁρμόζω. ξυνάορος τις ὤν, ὁ μετὰ ἑτέρου συναρμοζόμενος. καὶ τὸ θηλυκὸν ξυνωρίς, κατὰ κρᾶσιν τοῦ αο εἰς ω. Ξύομαι, δέρομαι. Ξυόμενοι, ἐξεσμένον.

Ξυπεθέα, δῆμος τῆς κεκροπίδος φυλῆς. Ξυρᾶν τοὺς λέοντας, ἐπὶ τῶν ἀδυνάτοις ἐπιχειρούντων. καὶ τοῦτο μὲν διὰ τὴν γενναιότητα τοῦ λέοντος, ὃν οὐκ ἂν ξυρᾶν τολμήσειε τις. τὸ μέντοι πάντως ὅτι ἄλλον τρόπον ἀδύνατον ἐστι, διὰ τὸ μὴ εἶναι πίκειν τοῦ ἄρον. ὅμοιον δέ πως καὶ τὸ ἄσκον δέρειν. οὐ γὰρ ἂν ἐξ ἄσκου δέρμα ἑτέρου ἀποσυρῆναι. Ξυρεῖ, ἀκονᾷ. Ξυρεῖν, καὶ ξυρᾶν, οἱ ἀττικοὶ ἐπὶ πρώτης καὶ δευτέρας συζυγίας λέγουσι. ξυρᾶν τὰς τρίχας. ξυρῶ τῶν κεφαλῶν, ὃ τῆς πώγωνα. ξυρέω ξυρῶ ἀττικοί, οὐ ξυράω ξυρῶ. Ξυρήκης, ἀδιακρίτως λαλεῖν, καὶ ἐκχυθῆναι, ἀττικοί. Ξυρόν, τμητόν, ἰσχνόν, ὀξύ. Ξυρός, παρὰ τὸ ξύειν ῥᾷον. Ξύσαι, χαράξαι, ἐπιγράψαι. Ξύσμα, κνῆσμα, λέπρα. Ξυσταθεύσω, σὺν ταῖς ἐκλάσω παρὰ ἔρωτι, ἀπὸ μεταφορᾶς τῶν κρεῶν. Ξυσμὸς, κνησμός. Ξυστά, τὰ δόρατα, ἀπὸ τῆς περὶ αὐτὰ λεπτίρα κόπτειν. μάλιστα γάρ, τὸ μὲν πρῶτον ἐνδόρατα, ἄλλα καὶ δόρατα λέγεται. τὸ δεύτερον, ξύεται δὲ ἐλαφρότατα καὶ ὀρθότατα, ἴσως καὶ ξυστὰ λέγεται, καὶ ὡς αὐτὰ μόνα τῶν πολεμικῶν πλείονος δεόμενα ξέσεως, ἢ καὶ ὡς εὔξεστα. πρωτότυπον δὲ τοῦ ξυστοῦ τὸ ξύειν, ἀφ' οὗ καὶ τὸ ξύλον, καὶ ἡ ξυσμή. τοῦ δὲ τοιούτου ἔχεται καὶ παροιμία, τὸ ξύειν τὴν ἀρὰ ξύεσθαι. ἐκ δὲ τοῦ ξύω ξύσω ξύς, καὶ πλεονασμῷ τοῦ σ ὀξύς, ὁ θυμικός. ἐκ συνθέτου παρὰ ξύς. οἷον οὐ μάχιμος, οὐ παροξύς, οὐδὲ βολικανος. Ξυσταλίδες, αἱ κνημαὶ ἀμπέλοι. ἄμεινον δὲ τὰς ξίνῃ, καὶ μὴ κατὰ σεσχορπευτευμένον ἀνοίην. Ξυστέομαι, συστοῦμαι, ξύομαι.

Ξυστίδα, τὸ λεπτὸν ὕφασμα, ἢ εἶδος ἐνδύματος. Ξυστίδα, προκαρεξύουσιν, ἄνευ πορφυρίδα. καὶ ἔτι μέχρι νῦν οἱ εἰσελαύνοντες ἀθληταί τοιούτῳ κοσμηθέντες χλαμύδι, καὶ ἅρματος ἐπιβάντες, διὰ μέσης πομπεύουσι τῆς πόλεως, ᾧ καὶ οἱ βασιλεῖς χρῶνται. ξυστὶς λέγεται τὸ ἱερατικὸν ἱμάτιον, ὃ οἱ ἡνίοχοι φοροῦσι μέχρι νῦν πομπεύοντες. χρῶνται δὲ αὐτῷ καὶ οἱ τραγικοί, καὶ οἱ βασιλεῖς, καὶ οἱ ἱππεύοντες. Ξυστίς, γυναικεῖόν τι ἔνδυμα ποικιλμένον. ὡς δῆλον ποιοῦσιν ἄλλοι τε πολλοὶ τῶν κωμικῶν, καὶ Ἀριστοφάνης. ἔστι μὲν καὶ τραγικόν τι ἔνδυμα οὕτω καλούμενον, ἔστι δὲ καὶ ἱππικόν. Ξυστοῖς, ἀκοντίοις. Ξυστόν, παρὰ δόρατι ἐπικείμενον. λαμβάνεται δὲ ποτε αὐτὸ μόνον ἁπλῶς ἐπὶ δόρατος. ὁμοίως καὶ ἱστός, ἀντὶ πέπλου. καὶ βροτός, τὸ ἐπίθετον ἀντὶ ἀνθρώπου, οὐκ ἔστιν ἐπίθετον. Ξυστός, τόπος ἀνειμένος ἀθλητῇ. ξυστός, καὶ ὁ κοινός, ὅ ἐστι τὸ κοινόταφον. Ξυστός, κατὰ παράληψιν τοῦ τῶν καλῶν δρόμος, ὁ εὖ ἐξεσμένος καὶ ὁμαλὸς τόπος.

Ξύστρα ξύστρας, γέφυρα γεφύρας, οἱ κλίνοντες ἁμαρτάνουσι, δέον διὰ τοῦ α, τὸ ξύστρας, καὶ τὸ γεφύρας, λόγῳ τοιούτῳ. πάντα τὰ διὰ τοῦ ρ παραλήγεται ὀνόματα, φυλάττει τὸ α ἐπὶ πασῶν τῶν πτώσεων. οἷον σφαῖρα σφαίρας, ἑταίρα ἑταίρας, οὕτω ἄρα ξύστρα ξύστρας, καὶ γέφυρα γεφύρας. ὁμοίως κλίνονται τὰ διὰ καθαροῦ τοῦ α ἐκφερόμενα. οἷον μάλεια μαλείας, θεσβεία θεσβείας. τὰ δὲ μήτε διὰ τοῦ α ἐκφερόμενα καθαροῦ, μήτε παρὰ τοῦ ρ παραληγόμενα, ἀλλὰ ἄλλο τι σύμφωνον, πάντως τρέπουσι τὸ α, οἷον μέλισσα μελίσσης, θάλασσα θαλάσσης. τούτων δὲ οὕτως ἐχόντων, ζητεῖται πῶς ἡ λέδα διὰ τοῦ α κλίνεται. καί τι οὔτε διὰ καθαροῦ τοῦ α ἐκφέρεσθαι, οὔτε παρὰ τοῦ ρ παραλήγεσθαι, ἀλλὰ παρὰ τοῦ δ. πῶς οὖν ἐφύλαξε τὸ α τὸ λέδας. λέγομεν οὖν, ὅτι ἐκτείνεται ἡ τελευταία συλλαβὴ τῆς λέδας. πάντα δὲ τὰ ἐπὶ τῆς τελευταίας συλλαβῆς ἐκτεινόμενα, φυλάττει τὸ α, ὁποῖον σύμφωνον ἂν παραλήγηται, οἷον φιλομήλα φιλομήλας. Ξυσχελάκιον, κάδος, ἢ βίκος, ἐλαιηδόχον. Ξύθιν, ἀντὶ τοῦ ἱζάνειν. Ξύλων, ἔθνος βαρβάρων. Ξύστρα, ψηκτρίς ψηκτρία.

Τέλος τοῦ ξ στοιχείου.

ΑΡΧΗ ΤΟΥ Ο ΣΤΟΙΧΕΙΟΥ.

ΤΟ ΑΥΤΟ ΜΕΤΑ ΤΟΥ Α.

Ο Τὸ στοιχεῖον, παρὰ τὸ ἐκφωνεῖσθαι εἶναι παρὰ χαρακτῆρα τῶν ἐκφωνήσεων. κατὰ γὰρ περίληψιν φωνῆς, ἐκφωνεῖται τὸ ὄνομα τοῦ στοιχείου.

Ο, ὅτι ἐν πολλοῖς πλεονάζει, οὐκ ἄλλον. ὥσπερ ἐκ τοῦ νέω, νήσω, ὄνυξ. καὶ ἐκ τοῦ τλῶ ὄτλος, ἡ κακοπάθεια. καὶ ὀλύνω, παρὰ τὸ λύω. κύριον ἐστι δὲ καὶ τὸ ὀλύρεσθαι, λύρεσθαι. εὕρηται δὲ καὶ ὀβριμάρειος καθ' ὅμοιον τρόπον.

ἑκατοντάδαρχον· εἰ δὲ πλείους, τοῦ τὸ πλῆθος χιλιαρχίαν καλοῦσι. καὶ χιλίαρχον, τὸν ἡγούμενον. Ξεναλίζω, τὸ συναθροίζω. Ξεναλόγος, ξένους συλλέγων. Ξενία, καταγώγιον, κατάλυμα, ἢ ἡ ξεναγωγία. Ξένιοι, φιλόξενοι. Ξενίας δίκη, ἐπὶ τῶν πολιτῶν μετεχόντων τῆς δημοσίων. Ξενίζομαι, τὸ εἰς ξενίαν δέχομαι. ξενίζω ὁ Ὅμηρος, ὅπερ οἱ ὕστερον προξενεῖν λέγουσι, μετὰ γενικῆς τὸ ῥῆμα συντάσσοντες, οἷον παράδειγμα ἐν προξενεῖν, ὥσπερ καὶ τὸ ξεναγεῖν. ὅπερ ταὐτὸ ἦν τῷ προξενεῖν, γενικῇ συντάσσει ὁ Ἀρριανός. τὸ δὲ ταῦτα ποιοῦντα, πρόξενον ἐκάλεσαν οἱ μεθ' Ὅμηρον. Ξενίζω, τὸ ξένῳ διαλέγεσθαι χρῶμαι. ὃ μᾶλλον τὸ ἐν ξένῃ διατρίβω, καὶ τοὺς ξένους δέχομαι.

Ξενίζω, οὐ μόνον τὸ ξένον ἀποδέχομαι, ἀλλὰ καὶ ἐκπλήττω. ξενίζομαι δέ, τὸ εἰς ξενίαν ἀπό τινος δέχομαι. τὸ δὲ ἐπιξενοῦμαι λέγε, ἐπὶ τρίτης συζυγίας τῶν περισπωμένων, σημαίνει ξενίζομαι, καὶ τὸ ξένος διαλέγεσθαι. Ξενικὸν ἐν Κορίνθῳ παρὰ Ἀριστοφάνει ἐν Πλούτῳ, τὸ μισθοφορικὸν στράτευμα, ὃ συνεστήσατο πρότερον Κόνων. Ξένιος παρὰ τῷ Ἀριστοφάνει, πάντας τοὺς ὧν μὴ ἐπιμελεῖται, ὧν τὰ ὅπλα ἁρπάζειν. τινὲς δὲ καὶ ἀγροικόν φασιν αὐτόν. Ξένιος Ζεύς, ὁ φιλόξενος. Ξενιτεύω, ξενίω ξενῶ.

Ξενιτευομένης, ἀντὶ τοῦ μισθοφορούντων. ξένοι δὲ οἱ μισθοφόροι. Ξενόδοχος, οὐ ξενοδόχος. Ξενοδόχος, παροξύνεται διὰ τὴν ἐν αὐτῷ νοουμένην ἐνέργειαν. τὰ γὰρ παρὰ ῥῆμα σύνθετα ὀνόματα παροξύνεται μέν, ὅτε ἐνέργειαν ὑπηχεῖται. προπαροξύνεται δέ, ὅτε πάθος, εἰ μὴ κανόνος κωλύοιεν, οὓς παρατίθεται Ἡρωδιανός. λιθοβόλος μὲν οὖν παροξυτόνως, ὁ λίθον βάλλων. προπαροξυτόνως δέ, ὁ λίθῳ βεβλημένος. καὶ πρωτοτόκος μὲν ἡ πρώτως τεκοῦσα. πρωτότοκος δέ, ὁ πρῶτος τεχθείς. οὕτω καὶ ξενοδόκος, ὁ ξένους δεχόμενος. φίλα δὲ λέξις ὁ ξένος παρὰ τῷ ποιητῇ. Ξενοδοκοῦμαι, μαρτύρομαι. Ξενοδοχῶ, προξενῶ. Ξενοδοχεῖον, οἴκημα ὑποδεχόμενον τοὺς ξένους. Ξένοι, οἱ πολέμιοι. οἱ δὲ τῶν πόρρω. οἱ δέ, τοὺς ἐν ξενίᾳ φίλους, ἢ ξένους.

Ξενολόγιον, καὶ ξενολόγος, ὁ ξένους συλλέγων στρατιώτας.

Ξένος καλεῖται, ὁ ὑποδεχόμενος καὶ ὁ ὑποδεχθείς. ἰδίως δὲ ὁ ὑποδεχόμενος ξενοδόχος. ἄλλως δὲ ὁ δεσπότης τῆς οἰκίας στρατιώτης. παρὰ δὲ τοῖς Λακεδαιμονίοις [illegible] ὀνομάζεται. ἔτι δὲ αὐτὸ καὶ ναύκληρον ἐκάλουν, καὶ τὸν ὑπὲρ τῆς καταγωγῆς μισθόν, ναῦλον. ὥσπερ ἐνοίκιον, ὃ οὐ μόνον τοῖς πολλοῖς μόνον, ἀλλὰ καὶ τοῖς παλαιοῖς καλεῖται. παρὰ δὲ ἐνίοις στρατόπεδον. εἴ τις δ' ἂν μισθώσηται, καὶ μισθώσασθαι εἰκῇ, ὅπερ ἡ βούλοιτο ἐκδίδοσθαι καλεῖ, ἐκμισθοῦν παρ' οἷς ἐνδιδόασιν τῶν αὐλῶν. Ξένος ὁ ἐξ ἀμφοτέρων φίλος, ὃν ξένον καλοῦσι φασί. ξένος ἐκ πατέρων φιλότητος, τουτέστιν ἡ ξένος πατρῷος. ξένος φασίν, οὐ μόνον ὁ καταγόμενος, ἀλλὰ καὶ ὁ ὑποδεχόμενος. Ξένος, παρὰ τὸ ἔξω εἶναι τῆς πατρίδος. Ξένος, ὁ ἀπόστρεφος. καὶ ξένος, ὁ εἰς φιλίαν συνημμένος ἐξ ἀμφοτέρων. ὅθεν καὶ ξενίζω τὸ φιλοφρονοῦμαι, ὡς τὸ χρυσέω τε ὅπλω ξενίζειν τινὶ τοῖς δώροις. ἐκ τούτου καὶ ξενία τράπεζα, ἡ τοῖς ξένοις προσηκούσα ἐπὶ φιλίᾳ. καὶ ἐπιξενοῦμαι τῷ ἀνθρώπῳ, ἀντὶ τοῦ ὑπὸ τοῦ ἀνθρώπου, ὡς φίλος διακυβεύομαι ξένος ὤν. ἔτι ξενίζω, καὶ τὸ ξένα τινὰ φθέγγομαι, ὡς τὸ ὁ βάρβαρος προσιών, ξενίζει τῇ φωνῇ, ἢ τοῖς λόγοις. Ξένον, τὸ ἀλλότριον, καὶ τὸ παρηλλαγμένον. ὥσπερ καὶ ξενίζω, τὸ ξένον ὑποδέχομαι, καὶ τὸ ἐκπλήττω. καὶ ξενίζομαι ὑπό τινος, οὗ κρεῖττον ἐπιξενοῦμαι, οὐ τὸ εἶναι ξένου. ἡ ξένωσις, ἡ ξενολοχία. καὶ ξένια τὸ αὐτό. καὶ ἔτι ξενία ὄνομα δίκης κατὰ ξένων τῶν ἐγγεγραμμένων ἑαυτοὺς εἰς πολίτας, ὡς ἔτυχε. ξενία δὲ ἡ ξενοτεία. καὶ ἔτι ξένος, ὁ ἐξ ἀμφολακτοῦς καὶ ἀμφίκτυος, καὶ παράδοξος, καὶ ὁ ἐξ ἀμφολακτοῦς φίλος, ὅς συνδετικός, ξένος. τῷ ξένον οὖν ἀντίκειται ἀστός. τῷ δ' ἐν δήμῳ, ὁ ἀπόδημος. Ξενοφῶν, παρὰ τὸ ξένος καὶ τὸ φαίνω, ὁ ἐν τοῖς ξένοις τοιοῦτος φανείς.

μενος. Ξενῶ, λέγει. Ξενών, τὸ ξενοδοχεῖον. Ξενών, οἶκος ὑποδεχόμενος τοὺς ξένους καὶ ὁρμηθέντας. Ξενῶνες, οἱ ἀνδρῶνες, ἀπὸ φρυγῶν. Ξενώσεις, ὑποδέξεις. Ξερόν, τὸ ξηρὸν παρὰ τοῖς χέρσος. Ξέρξης τρανής, ὁ τοῦ Ξέρξου.

Ξέσαι, τεμεῖν, κόψαι, ποιῆσαι, τεκτονεῦσαι, κατασκευάσαι.

Ξέσμα, ξέσιον. Ξεστή, ἐξεσμένη, παρὰ δὲ ξεστὴν ἐπάνω τράπεζαν. λέγει δὲ καὶ συνθέτως εὔξεστον, ἐλάτησι. Ξέστης, ῥωμαϊκῶς ἐστὶ τὸ ὄνομα. τὸ γὰρ παρ' ἡμῖν ἓξ ἀριθμόν, αὐτοὶ λέγουσι σέξ. καὶ μέτρον ὅτε παρ' αὐτοῖς τὸ ἕκτον, λέγουσι σέξτον. διὰ δὲ ὑφαίρεσιν, τὸ σέκστος ξέστης λέγεσθαι κατὰ μετάθεσιν τοῦ στοιχείου, οὕτω Φίλων. Ξηρόν, μέτρον ἐπὶ ὑγρῶν. Ξιερόν, ὠμοβόρον. Ξιερόν, ξηρόν, λεῖον, ὀξύτερον. Ξίγυξ, καθὸ ὁ ἐξαλείπτης, πνίδιον. Ξίσω, ξέσω. Ξίω, ἐπὶ ξύλου. ξύω δὲ ἐπὶ στρεπτοῦ. καὶ ἡ παροιμία, τὴν ξύοντα ἀντιξύειν. Ξίω, κνήθω. ξαίνω δὲ τὸ διαλύω, λίφθογγον.

ΤΟ Ξ ΜΕΤΑ ΤΟΥ Η.

Ξηός, ὁ κορμός. Ξηραλοιφεῖν, καὶ ξηραλοιφία, τὸ ἄνευ λουτροῦ ἀλείφεσθαι. ἐπεὶ καὶ ξηρὸς ἱδρώς, ὁ μὴ ὑπὸ λουτροῦ, ἀλλ' ὑπὸ γυμνασίων καὶ πόνων γενόμενος. ἄλλον δέ ἐστι τὸ τὰς τρίχας χρίειν, ἀλείφειν λέγεται, ἢ ἀλοιφῇ. διὸ φέρεται ἐν ξυγγραφικοῖς λέξεσιν, ὅτι ἄλειμμα τὸ αὐτό, ἢ ἀλοιφὴ τὸ τῶν τριχῶν χρῖσμα. καὶ ὅτι ἀλοιφαῖον, ᾧ οἱ ἀλειπταὶ χρῶνται. πάντως δὲ ὥσπερ ἀπὸ τοῦ ἀλείφω ἀλοιφή, ἡ ἀπὸ τοῦ εἴληφα, οὕτως ἀπὸ τοῦ ἤλειμμαι ὁ ἄλειμμα. κατὰ καὶ ἀπὸ τοῦ λείπω λέλειμμαι, λοιμός.

Ξηραίνω, τὸ ψοχαίνω, σιτοποιῶ. Ξηροὶ συντελεῖ, τῇ γαγγραινῃ, πλὴν τοῦ ἰ προσγραφῆς. Ξήραγγοι, σπήλαια ἢ μέτωπον. Ξήριον, φυτόν, ὃ εἶδος βοτάνης ἰατρικόν. Ξηρόλοφος, ὅτι τὸν ξηρόλοφον πρῶτον μὲν εἶναι τινὲς ἐκάλουν, ἐν αὐτῷ δὲ κοχλίαι ἐκκαίδεκα, ἢ ἀρτέμιδος οὐ [illegible] ἄλλα, καὶ Σεβῆρα τὸν κτίσαντος, καὶ θεμάτιον τρίποδον. ἔνθα ἱδρυσίασε πολλὰς θυσίας σεβαστός. ἔνθα ἐστὶ χρησμοὶ πολλοὶ τοῦ τύπου γεγονότες, καθ' ὃν καιρὸν καὶ κόρη παρθένος ἐτύθη. καὶ θέσις ἦν ἀστρονομική, ἐξ καὶ τριάκοντα χρόνους διαρκέσασα. Ξηροκόλλα, σύνθεσις ἐν παρὰ τοῖς χρυσουργοῖς. Ξηρόν, παρὰ τὸ ξῶ ῥῆμα, ἀπὸ μεταφορᾶς τῆς ὕλης τῶν ξύλων. εἴτε δὲ ἐξέσαι, ξηρὸν γίνεται. ἢ κατὰ τροπὴν τοῦ η εἰς ε ξερόν, οὕτω Φίλων. Ξηρὸς ἱδρώς, ὁ μὴ ὑπὸ λουτρῶν, ἀλλ' ὑπὸ γυμνασίων ἢ πόνων γενόμενος. Ξηρός, ἀντιδιαστέλλεται πρὸς ὑγρόν, ὡς κύων, πρὸς χλωρόν. ἢ πρᾶος, πρὸς πλεῖστον.

ΤΟ Ξ ΜΕΤΑ ΤΟΥ Ι.

Ξίμβραι, φοινικίσκοι. Ξίμε, φυτόν. Ξίφαι, τὰ ἐν ταῖς φοινίκαις φύλλα, ἢ σιδήρια. Ξιφεύς, ὁ φέρων ξίφος. Ξιφήρεις, ξίφη κατέχοντες, ξιφοφόροι. Ξιφήρης καὶ ξιφοφόρος, ὁ κατέχων ξίφος. Ξιφίας, ἰχθύος ὄνομα. Ξιφίδια, κοχλία. Ξιφίζειν, ἀνατείνειν τὴν χεῖρα καὶ ὀρχεῖσθαι. Ξιφίδιος, ὁ ξιφίδιος. Ξιφισμάτων, ὀρχημάτων. Ξιφισμός, σχῆμα ὀρχηστικὸν τῆς λεγομένης ἐμμελείας ὀρχήσεως. Ξιφόκτονος, ὁ ὑπὸ ξίφους φονευθείς. ξιφοκτόνος δέ, ὁ ξίφει φονεύσας. Ξιφουλκα, βελοθήκη. Ξίφος, μάχαιρα, ὃ παραξίφιον, ὁμώνυμον φάσγανον. ξιφίδιον, ἢ ποιεῖ τις. Ξιφισμός, μαχαιρομαχία, μάχη ἐκ χειρῶν.

ΤΟ Ξ ΜΕΤΑ ΤΟΥ Υ ΚΑΙ Ω.

Ξυανᾶσθαι, συναλλάττειν. Ἀριστοφάνης, βουλῇ ξυνανᾶσθαι ταῖς πρόσθεν τοῖς λόγοις. Ξυνέμπορος, προπολεμητόρος. σύνθετον δέ, ὡς κάπηλος, πένθιμος. τὰ ἀπὸ τῆς εἰς ὀξύνοντα σημειούμενα βαθύνεται. Ἀριστοφάνης Πλούτῳ, τῷ ξυνεμπόρῳ κακῶν. Ξύγκλυδες, σύμμαχοι, πλεῖστοι. Ξύλ, γράφ. ὅθεν ἢ τὰ γράμματα, ξύσματα λέγονται. Ξυάλη, ξυάλα. ἐστὶ ἢ ξιφίδιον, ὃ τινὲς ξίφος λέγουσι. Ξύλα φανά, πάσα ποιεῖ ξηρά ἢ ἐπιτήδεια εἰς τὸ δαίεσθαι. Ξύλα κάγκανα, τὰ ξηρά, τὰ καύσιμα

ΑΡΧΗ ΤΟΥ Ξ ΣΤΟΙΧΕΙΟΥ.

ΤΟ ΑΥΤΟ ΜΕΤΑ ΤΟΥ Α.

Ξ, τὸ στοιχεῖον, παρὰ τὸ ξέεσθαι ἐν τῷ γράφεσθαι τῶν ἄλλων πλέον. καὶ ἄλλως, ὅτι ἀσύμφωνον ὂν [illegible], ὁ τοῦτο ἦχος.

Ξαίνω, τὸ διαλύω. ὡς τὸ ξαίνειν [illegible]. καὶ ξαίνω, τὸ μαστίζω καὶ τὸ τύπτω. Δημοσθένης ἐν τῷ περὶ στεφάνου, ξαίνει κατὰ νώτου πολλάς. ξαίνεσθαι, τὸ πάσχειν. Ξαίνειν, λέγεται τὸ τύπτειν. καὶ ξαίνεσθαι, τὸ πάσχειν.

Ξανᾶν, [illegible] τὰς [illegible] τῶν χειρῶν, [illegible] ἐρίων ἐργασίαν. Ξάνθω, διαλύοντες. [illegible], διακόπτοντες, ψιλόν. Ξανᾶν, κοπιᾶν τὴν χεῖρα. Ξάνθαρος, ζῶον ὅμοιον βοΐ, [illegible]

[illegible]

ΤΟ Ξ ΜΕΤΑ ΤΟΥ Ε.

[illegible]

καὶ πῶς ἔοικε πρὸς τὸ νυστάλιον, ὅπερ σημαίνει νυσταλῶν διατριβήν. εἰσὶ δὲ καὶ ἕτεραι νῦσαι κατὰ τὰς ἱστορίας. αἱ μὲν ὄρη ὡς ἐν Βοιωτίᾳ καὶ Ἀραβίᾳ καὶ Ἰνδικῇ καὶ Λιβύῃ. ἡ δὲ ὥς φησι ἐν τῷ Καυκασίῳ ὄρει, καὶ Κασταλίῳ πέλαγει. Νύσσα, τὸ ἐν γύμνοις. Νυσάγα, ἀμβαβάτως. Νυσταγμὸς, ὕπνος.

Νυστάζω, ἐκ τοῦ νεύω καὶ τὸ σάζω, οἷον νευστάζων κόρυθα βαθμῶν. ἐπειδὴ ἐπινεύουσιν οἱ κοιμώμενοι. ὅθεν καὶ ῥαχαλιχὸν ὄνομα, νύσταλος, νυσταλοχρόνιον, ἢ παρὰ τὸ νεύσαζον, ἀποβολῇ τοῦ ε. τὸ δὲ νευσάζον, παρὰ τὸ νεύειν τὴν κάραν. Νύσυχον, ἐλέγομεν κοτύλων. Νύττεται, ἔνι κεντεῖται. Νύττουσιν, εἰς ὀφθαλμόν. καὶ οὕτω μὲν ἡ ὀφθαλμία νύσσα καλεῖται. ὁ δὲ ἀκμαῖος νύσσης καλεῖται, παρὰ τὸ νύσσω, νύξις καὶ νύσσα. νύσσουσι γὰρ περὶ τὴν καμπτῆρα καὶ κάμπτουσι. Νύχα, νύκτωρ, νυκτί.

Νυχεύει, κρύπτει, νυκτερεύει. Νύχιος, νυκτερινός.

Νύχμα, ἄναλος. λοιδοὶ, ψηλός. Νυχὸς, νύξ, σκότος.

ΤΟ Ν ΜΕΤΑ ΤΟΥ Ω.

Νῶ, ἀντὶ τοῦ νῶϊ, ἀποβολῇ τοῦ ι καὶ ὀξύνεται. Νῶ, παρὰ τῷ Ἀριστοφάνει. βλέψαι ποιῆσαι νῶ, ὅτι τὸ νῶ ἀντὶ τοῦ νῷν. ἢ ἀντὶ τοῦ δεῖ ἡμᾶς ποιῆσαι αὐτῷ βλέψαι.

Νῶ, νήσοντες, συρρεύσοντες, ἐκ τοῦ νῶ νήσω, τὸ συρρέω. καὶ νῶ νήσω, τὸ κολυμβῶ. καὶ νῶ, τὸ ῥέω. νῶ, τὸ νήθω. καὶ νῶτος καὶ νῶς, ὁ πᾶν μέγιστος ἐν τῇ θαλάσσῃ ἰχθύς. Νῶβαι, κυημαίνει.

Νωβαλίσματα, ἢ νωγαλίσματα, τὰ κατὰ λεπτὸν ἐδέσματα. οἱ δὲ, τὰ μὴ εἰς χορτασίαν, ἀλλὰ τρυφῆς ἅρματα. Νωγαλίον, λαμπρόν. Νωδὸν λέγουσι παρὰ τῷ Ἀριστοφάνει, τὸ ὀδόντας μὴ ἔχοντα διὰ τὸ γῆρας. οὐ γὰρ δεῖ ἄφωνον. ἀλλὰ γὰρ ὁ πλούτος. καὶ νωδὸς, ὁ ἐστερημένος ὀδόντων. λέγεται δὲ καὶ τὸ βρέφος ἐστερημένον ὀδόντων. οὐ μὴν δὲ καὶ νωδὸν φαμὲν αὐτό, ἀλλ' ἐκεῖνον φαμὲν νωδὸν, τὸν ὀδόντας κεκτημένον, εἶτα ἀσθενείᾳ ἢ γήρᾳ ἀποβεβληκότα. Νώδυνον, τὸ ἀνώδυνον. Νῶε, ὄνομα κύριον. ἑρμηνεύεται δὲ πρόσωπον ἀναπαύσεως. λέγεται δὲ καὶ ἡ ἀνάπαυσις. Νωθεία, νωθρία, ὀκνηρία. Νωθεῖς, ῥάθυμοι, βραδεῖς, οἱ ἐστερημένοι τοῦ τρέχειν.

Νωθὴς, ὁ νωθρὸς κατὰ κίνησιν τοῦ θεῖν, βραδὺς, ἀμβλύς.

Νωθὴς ὄνος, ὁ μακρὰ ὄνος. Νωθῆ, ἐντεμάθη, ῥυῶθι.

Νωθὴν ἐργάτην, τὸν μηκέτι σκιρτᾶν δυνάμενον. Νωθρογὸς, ὁ δυσαιὲς συγγενὴς. ὁ ὄνος. Νωθρία καὶ νωθεία, ἡ ῥαθυμία. Νωθροκάρδιος, ὁ κατὰ λογισμὸν βαρὺς, καὶ ῥάθυμος. Νωθρὸν, βραδὺ, νωχελὲς, ἀθυσές. Νῶϊ, ἡμεῖς, ἡμεῖς, ἡμῶν. Νωΐτερος, ἡμέτερος. Νῶκαρ, νάρκη, νωθεία, κακόχολος ἐντέκα. Νῶκαρ, ὁ δυσκίνητος, ὁ οὐδ' ἐπὶ σκιρτᾶν ἐρρωμένος. παρὰ τὸ νῶ στερητικὸν, καὶ τοῦ σκαίρω τὸ σκιρτῶ κατὰ ἀποβολὴν τοῦ σ. Νῶλα, πόλις. Νωλανοὶ, ἔθνος.

Νωλεμὲς, συνεχὲς, σημαίνει καὶ βιαίως. Ἀπολλώνιος, νωλεμὲς ἐστηλέξασαι ἐναντίον. Νωλεμέως, ἀδιαλείπτως, συνεχῶς. παρὰ τὸ νῶ στερητικὸν, καὶ τὸ λείπω τὸ λιμπάνω, γέγονε νωλεπέως, καὶ τροπῇ τοῦ π εἰς μ νωλεμέως, οἱονεὶ τὸ μὴ λειπόμενον, ἀλλ' ἀδιαλείπτως ὄν. Νῶμα, νόημα, ἐνθύμημα. Νωμᾶς, διανέμεις. Νωμᾶν, καὶ νέμειν τουτέστι διανέμειν, καὶ ἔστι παρ' Ὁμήρῳ. ἐνόμιζεν, ὃ δὴ περιέχον. Νωμᾶν ἔοικε καὶ ἐνῆκα, τουτέστιν τῶν ἀναγραφῶν. Ὅμηρος, τηλέμαχος κέρδεα νωμῶν, ἤγουν κινῶν, στρέφων εἰς νοῦν, καὶ κέρδεα ἐν φρεσὶν ἐνόμα.

Νωμᾶται, κινεῖται. Νώματα, ἐπὶ τῶν ὑποζυγίων τὰ νεοφόρματα. οἱ δὲ τὰ θρέμματα. Νωμάδια, χώρα. νομάδια δὲ μικρόν. Νωμήσαι βοῶν, διανέγκειν, βαστάσαι, ὁ κινῆσαι παρ' Ὁμήρῳ. Νώμησαν, τουτέστι διενείμασαν, διέδωκαν, ἐκ τοῦ νωμῶ νωμήσω, ἐνώμησα, καὶ ἰωνικῶς νώμησαν. Νωμῶ, κινῶ, ἢ τὸ σκοπῶ. Νωμῶν, ἔχων, διανέμων, κρίνων, διαιρῶν.

Νώνακρις, τόπος ἐπώνυμος Ἀρκαδίας, ἔστι δὲ πόλις.

Νῶν, καὶ σφῶν σὺν τῷ ι. αὐτὸ γὰρ τοῦ νῶϊν καὶ σφῶϊν γέγονε, κατὰ συναίρεσιν τοῦ ω καὶ ι εἰς τὴν ω δίφθογγον. ἄλλως τὸ δὲ, πᾶσα δυϊκὴ ἐπὶ παντὸς ἀκλινοῦς τὸ ι ἔχει. Ὅμηρος δὲ χωρὶς τοῦ ι ἀεὶ γράφεται λέγων, ὅτι τρία πρόσωπα ἐστὶ τῆς καθολικῆς, ἡμῶν, ὑμῶν, σφῶν. ἀντὶ τοῦ δύο, δυϊκόν. ἀντὶ γὰρ τοῦ σφῶϊν λέγεται. ἀλλ' ἔστιν εἰπεῖν, χωρὶς τοῦ ι γράφεται, ἐπειδὴ ἐν δοτικῇ τῇ γενικῇ καὶ δοτικῇ τῶν δυϊκῶν κέχρηται ὁ ποιητὴς, εἰ μὴ κατὰ διάλεκτον. οἷον τὴν τοῖν, ὑμοῖν ὑμοῖν, ἀλλ' οἶδεν ἀμφοῖν. εἰ οὖν ἐνταῦθα τὸ ι ἔχει, ἔμελλε κατὰ διάλεκτον εἶναι. Νῶντα, νήθοντα, ῥέοντα. Νωνυμία, ἄκλεια, ἀσφάλεια. Νώνυμοι, εἴτε νώνυμοι οἱ ἐστερημένοι τοῦ ὀνομάζεσθαι, ἢ ὑμνεῖσθαι, ὅπερ οἱ ἀνώνυμοι, ἢ οἱ ἀκλεεῖς. Νώνυμος, ἀνώνυμος, ἄδοξος, ἂν οὐκ ἂν ὡς οὔνομα εἶναι, ἀλλὰ διαλεχθῇ. Νωρεὶ, ἐνθάδε. Νώρεμος, μέγας, καλὸς, κατευτεργὸς, ἰσχυρὸς, ἀθυμὸς, πλατύς. Νώρμα, ἡ νόρμα, ὀνόματα πελαγῶν. Νώροπα χαλκὸν λέγει Ὅμηρος, τὸν λαμπρὸν καὶ στερίσκοντα τοῦ ὁρᾶν. οἷα διασωζομένης τῆς ὄψεως, πρὸς τὴν λαμπρότητα. ἔστι γὰρ στερητικὸν μὲν τὸ νῶ. ὁρᾶν δὲ, τὸ βλέπειν. ἐξ οὗ καὶ ὁ νώροψ. καὶ ἄλλως ἰστέον δὲ, ὡς εἰ καὶ νώροπα κοινότερον χαλκὸν λέγουσιν οἱ παλαιοὶ τὸν λαμπρότατον, διὰ τὸ στερεῖν τοῦ ὁρᾶν τὴν ὄψιν τῇ ἐξ αὐτοῦ, ὡς οἷον ἐνεργείᾳ πλαστότητι. ἀλλ' ἡ σκευαστικὴ παρέχουσι λύπην καὶ ἄνθρωπον ὠφίσασι τὸ παρ' ἄλλοις ἰδεῖν, εἶτα παραβλέπτα, καὶ ἡ καβὸν διὰ τὸ στερεῖσθαι τοῦ κατὰ ὅρασιν ἐπιτηδείου, ἵνα ὁ νώροψ μὲν χαλκὸς, ὁ ἀποστερῶν τοῦ ὁρᾶν. νώροψ δὲ ἄλλως ἀνὴρ, ὁ ἐστερημένος τοῦ ὁρᾶν. Νώροψ, λαμπρὸς, ἄφωνος, ἄηχος, ἢ ὅτι τὴν ὄψιν ἀθυμὸν ποιεῖ. Νῶσαι, εἰς νοῦν λαβεῖν.

Νωσάμενος, νοήσας, νοῦς. Νωσῆσαι, τὸ κατὰ νοῦν λαβεῖν, καὶ παραμελῆσαι φυγόντα. Νώσασθαι, αἰσθέσθαι, ἐνθυμηθῆναι, νοῆσαι. Νώσω, ἐκ τοῦ νοῶ, νοήσω, καὶ κράσει τοῦ ο καὶ η εἰς ω μέγα νώσω. νώσω, ἐκ τοῦ νοήσω, κατὰ κρᾶσιν τοῦ ο καὶ η νώσω. Νῶσιν, ἀντὶ τοῦ νήθουσι. νήθω δὲ, τὸ κλώθω. ὡς τὸ, ταῖς χερσὶ νήθουσι λίνον. Νῶσις, ῥίνησις, νοῦς. Νωσιχαλος, ἀμελὴς, ῥάθυμος. Νῶτα, τὸ νῶτον λέγεται. ὧν τὸ μὲν ἐγγὺς τῶν χελωνῶν ὀνομάζεται. τὰ δὲ ἑκατέρωθεν ὠμοπλάται, πτερύγια. ὧν τὰ μὲν πλάγια μετάφρενον, τὸ δὲ μέσον νῶτον καὶ τὸ μετάφρενον, καὶ ὑποχωροῦν αὐτὸ τῆς ὠμοπλάτης. ὧν τὰ κοιλώματα καλοῦνται, τράπεζα καλοῦνται. τὸ δὲ ἐπ' αὐτοῖς, ῥάχις, ἔσω τὸ μέσον κατὰ μῆκος ἄχρις ὀσφύος ἐν τῷ σώματι κοιλαινόμενον, ὡς ἐπὶ ταύτης τὸ ἀκαλοῦσιν ἀντίεδρον. τὸ δὲ ἄνω τῆς ῥάχεως ὀσφύς. τὸ ἄχρι ἀλλὰ τὴν ῥάχιν, ἴσως τὸ ποιεῖ ὀνόμαζεν Ἀλέξη. καὶ Ἀντίμαχος. ὡς εἴτε κλέπος τι ἔργης, καὶ τὰ λοιπά. αὐτὸ δὲ ὀνόματα, κατὰ νῶτα ἐπιχειρεῖσθαι ἐν πολέμῳ, καὶ τοῦτο οἴεσθαι. καὶ νωτίσαι παρὰ τοῖς ποιηταῖς, τὸ κατὰ νῶτα τι ἀκολουθεῖν. καὶ νωτοφόρος, ἡμίονος παρὰ Ξενοφῶντι, καὶ ὄνος. ἡ νωτίς ἡ τὸ νῶτον ἐπὶ δόρυ, ὡς καὶ τῇ ὑπὸ ζυγοῦ ζυγίας. καὶ νωτοτῆσαι τὴν μάστιγα, Ἀριστοφάνης ἐκάλεσε. Νῶτα θαλάσσης, ὁ ὕπερ ἡ ἐπιφάνεια τῆς θαλάσσης. Νωτίς, οἱ ἀχθοφόροι ἡμίονοι. οἱ δὲ ἐλαστοὶ, ῥάχεις. Νωτίζω συνεχῶς, τὸ κατὰ νῶτα τι ἀπολείπω, καὶ τὸ ἐπὶ τὰ μετάφρενα. ἢ νωτίζειν, διώκειν, τρέχειν. Νῶτος, ὁ ῥάχις. ἐπειδὴ τὸ ἄλλων μέρος νομίζεται μᾶλλον, ἢ εἰς τὸ ἕν ὁ ἱερεὺς καταφέρει, ὡς ὁ ποιητὴς, κατὰ δὲ νώτους φοινικόεις, ὥς τε δοκεῖν εἶναι τὸ ο εἰς ω. ἢ πλὴν ὡς ω, τὸ ὑπτιακὸν ὡς. ἡ νῶτος. Νωτοφόρος, ὁ ἐπὶ τῶν νώτων τὰ ἄχθη ἢ τὰ βάρη ἢ τὰ φορτία βαστάζων, ἢ οἶς.

Νῶτον λ' ἐπέβαλεν ἠμάθαλεν, περιφράσεις τὸ ἱμάσθαι. τὸ γραφικὸν περιφραστικώτερον, ἐν τῷ, κίοσι πύλαις μετάφρεν ἰθύς. Νωφαινόν, ἀφανές. Νωφελὴ, νωθρός. Νωχελία, ἡ βραδύτης, ταπεινοῦται. εὕρηται δὲ αὐταῖς δύναται ἡ ὁ μανία, γινομένη ἐκ τοῦ μανῆναι. ἐξ οὗ τὸ μανῆναι, περὶ οὗ προδεδήλωται. Νωχελὴς, ὁ νωθρὸς ἢ ἀσθενὴς ἢ δυσκίνητος. Νῶχμα, ὄνειδος. Νῶψ, ἀθυμὸς τῇ ὄψει.

τὰ ἐν γυναιξὶ σχήματα ἐν τοῖς ὕδασι φαινόμενα δαιμόνια.

Νύμφαι, οἱ πτερωτοὶ μύρμηκες, καὶ οἱ σκώληκες, οἱ πτεροφυοῦντες, ἐν τοῖς τῶν μελισσῶν κυττάροις. οἱ δὲ καὶ αἱ ἀνὰ μέσον τῶν γυναικῶν νύμφαι, καὶ τῶν ῥόδων αἱ μεμυκυῖαι κάλυκες, καὶ αἱ νεόγαμοι κόραι, καὶ μοῦσαι, καὶ θεαί. Νυμφαῖον ἄντρον, ὃν ὁ ἀλφειὸς τῶν ὀρχομένων παραμειβόμενος, τὰς λεγομένας πηγὰς διέρχεται. Νύμφαι, αἱ ἐπὶ τῆς ξηρᾶς, αἱ ὀρεστιάδες, καὶ ἀκροσφυνιάδες, καὶ ὀρεστιάδες καλοῦνται. νηρηΐδες, αἱ ἐν τῇ θαλάσσῃ. ναΐδες, αἱ ἐν ταῖς λίμναις. καὶ ἄλλως, τῶν νυμφῶν αἱ μὲν οὐρανίαι, αἱ δὲ ἐπίγειοι, αἱ δὲ ποτάμιοι, αἱ δὲ λιμναῖαι, αἱ δὲ θαλάσσιαι. καὶ καθόλου τὸ τῶν νυμφῶν γένος εἰς πολλὰ διήρηται, ὥς φασι Μνησίμαχος. Νύμφη, ἡ νεωστὶ γαμηθεῖσα, καὶ ἡ ἐν τοῖς ἄστροις αἲξ, ἡ ἀμάλθεια, καὶ μοῦσα, καὶ τὸ μεταξὺ τῆς γενειάδος καὶ τοῦ κάτω χείλους κοῖλον. καὶ ἡ τοῦ Διὸς μήτηρ. Νυμφεύτρια, ἡ συμπαραπεμπομένη ὑπὸ τῶν γονέων τῇ νύμφῃ παράνυμφος. Νυμφικὸν, νυμφῶν ἱερόν. Νυμφογονίαν, νεωστὶ νενυμφευμένην. Νυμφικὰ λουτρὰ, τὰ μέλλοντα λουτρά. ἦν δὲ ἀπὸ κρήνης ἐννεακρούνου. Νυμφίος, ὁ ἄρτι εἰς γάμον ἐρχόμενος. καὶ νύμφη ἡ ἄρτι εἰς γάμον ἐρχομένη. ὅθεν καταχρηστικῶς, τινὲς λέγονται νύμφαι καὶ τὰ τῶν πηγῶν ὕδατα. καὶ οἱ ἔφοροι τούτων δαίμονες παρ' Ἰνδοῖς. καὶ νυμφίον, ὁ καινός. Νυμφῖος, ὁ νυμφικὸς οἶκος. νυμφίος δὲ, ὁ γαμέτης, καὶ ὁ γαμβρός, ὡς τύχιος, ὁ τυχαρός. τοῖχος δὲ κίονος. νυμφίος δὲ, ὁ κακος, διφθογγον. Νυμφίων βίον λέγουσιν, ἢ ὅτι οἱ γαμοῦντες στεφανοῦνται, ἢ ὅτι ἐδυνάσθησαν πρὸς τὰς τῶν γάμων ἡμέρας. Νυμφοβάς, ἀχαιός, ὃς ἦν δεινὸς ἐπιβαίνων ταῖς νύμφαις, καὶ ἐν μόροις, βαβαὶ βαβαί, βάζομαι γυναικῶν ἐπὶ τῆς ἀφροδίτης. Νυμφοκόμος, ὁ νυμφευτικά, ὁ κοσμοῦσα τὴν νύμφην. Νυμφόληπτοι, οἱ κατεχόμενοι νύμφαις. μάντεις δέ εἰσι καὶ ἐπιθεαστικοί. Νυμφοκόμος, ἡ περὶ τὴν νύμφην ἀσχολουμένη. Νυμφοπόλος, ὁ τὸ νυμφίον κοσμῶν. νυκτιπόλος δὲ, ὁ ἐν τῇ νυκτὶ ἀναστρεφόμενος. νυκτιλόχος, ὁ κατὰ τὴν νύκτα ἐνεδρεύων. Νυμφοστόλος, ὁ νυμφαγωγός. Νυμφοστολοῦσαι, νύμφην κοσμοῦσαι. Νυμφοτροφίον, ἀρχαστις λέξιν. Νῦν, ἐπίρρημα χρονικόν. συντάσσεται πᾶσι τοῖς χρόνοις, χωρὶς τοῦ ὑπερσυντελίκου, ἐπειδή. νῦν γὰρ ὅλον γένος ἔσται. νῦν μὲν παρῆται τέρπεσθ' ἰδέσθαι νίκας ἀχαιῶν. μέλλοντι δὲ, οἷον νῦν αὖτ' ἐχθίστη περάσομαι, αἴ κεν τύχοιμι. νῦν δ' αἰνεῖ σε βίη στρέψασαν ἀνάσσει. νῦν ἐποίουν. παρακειμένῳ δὲ, οἷον νῦν δὴ ἐξαπόλλυνται λόγων κειμήλια καλά. ἀορίστῳ δὲ, οἷον νῦν μεγάλα ἐνίκησεν τὸν ἄθλον, νῦν ὤλετο πᾶς κατ' ἄκρας. παρατατικῷ δὲ συντάσσεται, οἷον νῦν ἐποίουν, νῦν ἔγραφον. ἔστι δὲ καὶ νῦν, ἀντὶ τοῦ οὖν. οἷον νῦν μὲν ἀγαθὸς δοκεῖ. νῦν δὲ πᾶν τοὐναντίον. χρῶνται οἱ τραγικοί τε καὶ κωμικοὶ καὶ ἑτέρῳ νῦν, λαμβανομένῳ μὲν ἀντὶ τοῦ δὴ, ἔχοντι δὲ ἔμφασιν χρόνου. καὶ παρὰ Σοφοκλεῖ ἐν αἴαντι σίγα νυν ἑκὼν, καὶ μένε ὡς κυρίως. καὶ παρ' Εὐριπίδῃ ἐν ἑκάβῃ, σῶσόν νυν αὐτόν. Νῦν ἐνίκα μὲν δηλοῖ τὸ ἀρτίως, ἐπίρρημα ὂν, μακρόν ἐστι καὶ περισπᾶται. ἐνίοτε δὲ ἀντὶ τοῦ οὖν παραπληρωματικοῦ συνδέσμου. σύνδεσμος δ' ἐκεῖνο γινόμενον βραχύνεται, καὶ ἐγκλίνεται. Σοφοκλῆς, σίγα νυν ἑκών. καὶ Εὐριπίδης, σῶσόν νυν αὐτόν. διαφέρει μέντοι τὸ νῦ τοῦ νῦν. ὅτι τὸ μὲν νῦ μὲν, Ὅμηρος χρῆται. τῷ δὲ νῦν οἱ τραγικοὶ καὶ κωμικοί. ἐντεῦθεν καὶ τὸ τόνον παράγεται, συνεσταλμένον ὂν καὶ αὐτό.

Νῦν καθ' ἡρακλείδην, ἐπειδή τι ἁρμόττεται. οἷον νῦν ἔρχεται ὁ ἀγών. καὶ παρῳχημένῳ, οἷον νῦν παρῆλθεν ὁ ἀγών. καὶ μέλλοντι, οἷον νῦν ἔσται ὁ ἀγών. τὸ δὲ νυνί, ἐπὶ μόνου ἐνεστῶτος. τὸ ἀττικὸν δὲ ταῦτα. καὶ τὸ μὲν ὡς σύνδεσμον, τὸ δὲ εἰς ὁδόν ἀποκλίναντες, ἀντὶ τοῦ ποτὲ μὲν, ποτὲ δέ. Νῦν δὲ ἐν τῇ φράσει, ἀντὶ τοῦ ἄρτι λαμβάνεται. Νῦν, ὅτι δηλοῖ τὸ ἐπειδὴ, ἐπειδὴ μόνῳ συντάσσεσθαι, καὶ ἐν ἀρχῇ λόγου δύναται τίθεσθαι. τὸ δὲ νῦν ὅτι ἀκολουθίαν οὐχὶ προηγουμένην λέγει, οὔτε ἐν ἀρχῇ λόγου ποτὲ τίθεσθαι, ἀλλὰ καὶ ἀεὶ τῷ δὲ συνδέσμῳ συντάττεσθαι, καὶ τρισὶ χρόνοις συντάσσεσθαι. οἷον ἐγὼ μὲν ᾤμην ταῦτα τὰ πεισόμενον δεῖνα. νῦν δὲ τοὔμπαλιν ἐποίησεν, ἢ ποιεῖ, ἢ ποιήσει.

Νῦν, σύμφωνον, ὡς τὸ νῦν. ἡμίφωνον ἀλλ', ἢ καὶ ἐν ὀδύσσειᾳ κεῖται, ἀφ' ἧς καὶ γίνεται τὸ σύμφωνον. Νῦν, ἀντὶ τοῦ σύμπαν, παρὰ τῷ Ἀπολλωνίῳ, ἐν τῷ δευτέρῳ. Νυνί, ἐπὶ μόνου ἐνεστῶτος ἀεὶ τίθεται. καὶ ἐν ἀρχῇ καὶ ἐν μέσῳ καὶ ἐν τῷ τέλει τοῦ λόγου, ὅπως ἂν ὁ ἀκμὴ διδῷ. τότε δὲ μετὰ παρῳχημένου καὶ μέλλοντος τὸ νῦν συντάσσεται, ὅταν συγγένειαν ἔχωσιν ἀμφοῖν οἱ χρόνοι, καὶ ὅσα ἔμφασιν ἐνεστῶτος. ὡς τὸ νῦν ἔγραψα, νῦν ἐλθὼν ὄψομαι. Νύννον, ἐπὶ τοῖς παιδίοις κατακεῖσθαι καλουμένοις φασὶ λέγεσθαι, ὁμοίως καὶ τὸ νίννος. Νῦν μὲν, ἀντὶ τοῦ νῦν μὲν πολλαχοῦ δὲ οὕτω χρῆται Ἀριστοφάνης. Νὺξ ἀβρότη, ἀμβροσία, θεία, οἱονεὶ ἄβροτος. ἔστι γὰρ ἰδία τῶν θεῶν ἡ νύξ. ἐν ᾗ βροτοὺς οὐκ ἀναστρέφεσθαι. ὁ βροτὸς βαρυτόνως, τουτέστι μελισμὸς καὶ φόνος οὐ γίνεται. Νύξ, γίνεται κατὰ τοὺς παλαιούς, ἐκ τοῦ νύσσω νύξω, ἀποβολῇ τοῦ σ, ἀνὰ φραστικῶς φασιν ὁ μὴ νύσσουσα εἰς ἔργον, ἀλλὰ μᾶλλον καταλύουσα. ὅθεν καὶ θοὴ νύξ, ἡ καταλύουσα τοὺς πόνους. εὖ δὲ τὸ αὐτὸ φασὶ νύξω νύξ, καὶ τὸ κατὰ τοὺς ἀκοντίζοντας ἔξω σκληρόν, καὶ πλεονασμῷ τοῦ ο, πρὸς Διασολὰν γαστροφυΐας, ὄνυξ. οὕτω καὶ κλῶ, κλάζω, ἐξ οὗ ὁ κλαγγάζεις, αὖ πάλιν κλῶ κλάζω. καὶ ὁμοίως πλεονασμῷ τοῦ ο, ὀκλάζω. ἐξ οὗ καὶ λόγος ὀκλασίας. καὶ ἐπίρρημα δὲ ὀκλάξ, ὅθεν ὀκλὰξ καθίσαι, τὸ ἐπὶ γόνυ. Νύξ, ἐν τῷ τὸν ἥλιον ὑπὸ γῆν εἶναι. νυκτὸς δὲ διάστημα, ὁ ἀπὸ δύσεως μέχρις ἀνατολῆς ὑπὸ γῆν τοῦ ἡλίου φερομένου, παρὰ τὸ νύσσω νύξω, νύξ, δι' ἧς κεκμηκυῖα. ὁ δὲ Βυζάντιος, παρὰ τὸ νύξω μέλλοντα, τὸ δηλοῦντα τὸ πλήσσω. διὸ τὸ νύσσω, καὶ προσεπταίειν τοῖς ἐμφερομένοις τι ἐν σκότει. ὁ προσπταίειν καὶ πλήσσεσθαι ἢ βαδίζοντας ἐν αὐτῇ τῇ ὥρᾳ. Νὺξ ὀλοή, πρὸς διαστολὴν ἐρρέθη παρὰ Ὁμήρῳ τῆς κατὰ φύσιν νυκτός. ἐκείνη γὰρ ἀμβροσίη νὺξ λέγεται, καὶ χαίρειν ἔχει ὡς ἀγαθή, κατὰ τὸ ἀγαθόν, καὶ συντίθεται. Νύξαι, βαλεῖν, τὸ νύξαι κέντρον. ὑπὸ δὲ, καὶ τύψαι, τὸ ἐγχειρὲς τρῶσαι. Νύξας, διατρήσας. Νύξον, ἐκ χειρὸς ἐγγύθεν. νύξε δ' ἐκ χειρὸς μίαν.

Νυός, ὄνομα συγγενικόν, ἡ τοῦ υἱοῦ νύμφη. Νυρίζει, ῥεῖ, νύσσει. Νύρον, νίτρον. Νύσα, παιᾶ, ῥύσει. Νύσσα, ὀρχήσεως εἶδος. τῶν γὰρ ὀρχήσεων ἡ μὲν βερεκυντιακὴ λέγεται, ἡ δὲ κρητικὴ, ἡ δὲ καρική. νύσσα οὖν τὰ βερεκυντιακά. Νύσσα γάρ ἐστιν ἡ βερεκυντιακή. κισσίζα δὲ, κρητικά. ἐν μυσίᾳ γὰρ, καὶ ἐπιμελῶς ἡ ὄρχησις. νύσσα δὲ καὶ τὰ ἐν τῇ ἰνδικῇ γινόμενα. ἔστι δὲ αὕτη Διονύσου ἱερά, καὶ τὰ ἀπ' αὐτοῦ ὀνομαζόμενα. ἄλλως, τῶν ὀρχήσεων αἱ μὲν εἰσὶ διονυσιακαί, αἱ δὲ κρητικαί, αἱ δὲ ἐνόπλιοι. νύσσαι ἦν, αἱ διονυσιακαί. κισσίζαι ἦν, αἱ κρητικαί. ἐπειδὴ καὶ πόλις κρήτης. ἐν τῇ κρήτῃ δὲ ὑπὸ τῶν κουρήτων ἐτράφη ὁ ζεύς. Νύσσαι, ἐκ χορὸς ποταμοῦ. Νυσαῖον, ὄρος λέγουσι τῆς θρᾴκης. τὸν ἐν ἄλλοις νυσήϊον, ἡ Διονύσου διατριβή. ἡ δὲ νῦσα, ἐν μὲν ταῖς χώραις ὄρος, ὡς ἐν Βοιωτίᾳ καὶ θρᾴκῃ καὶ ἀραβίᾳ καὶ ἰνδικῇ, καὶ λιβύῃ, καὶ νάξῳ. ἔστι δὲ πόλις, ὡς ἐν καρίᾳ, καὶ ἐν τῷ καυκασίῳ ὄρει. ἔστι δὲ νῆσος, ὡς ἐν νείλῳ τῷ ποταμῷ. οὐ δεδήλωκε δὲ ὁ ποιητής, ἐν ποίᾳ οὔσῃ τὰ περὶ τὸν λυκοῦργον διαφέρει ἔχειν. Νύσσα λέγεται, ἡ ἀφετηρία τῶν ἱππικῶν ἀγώνων. ἣ μὲν ἵππους νύττουσιν οἱ παρεστῶτες σιδηροῖς κέντροις, ὡς ἀφορμητήριας ἐκπαιδεύουσι τῇ πληγῇ, τὸ δὲ περὶ ἔσω. Νυσήϊον, ὄρος θρᾴκης, ὅ τινα λέγεται, ἀφ' οὗ ὁ Διόνυσος ἐπαναστῆναι δοκεῖ. περὶ ὃ ἦν ὁ λυκοῦργος ἐκεῖ τὰς βάκχας. δηλοῖ δὲ ὡς οὐδὲ περὶ καλοῦ λόγος διατρίβειν ἐκεῖ ἔχοντας, ἀλλὰ Διονύσου κατὰ τὸ νυσαῖον, νυσαῖα, ὅπῃ ἐπὶ διονυσιακά.

σθαι, τὸ παρακινεῖ δοτικῇ, καὶ ὑφηγοῦμαι, ὑποτροῦμαι, συμβουλεύω, ὑποτίθεμαι. Νουκερία, πόλις ἰταλίας, τὸ ἐθνικὸν νουκερῖνος. Πολύβιος μέμνηται ταύτης. Νουμηνία, ἀρχὴ τοῦ μηνός, ἀθηναῖοι οὕτω τὰς ἡμέρας ἠρίθμουν, ἀπὸ νουμηνίας λέγοντες πρώτη ἱσταμένου, δευτέρα ἱσταμένου, τρίτη ἱσταμένου, μέχρι τῶν δέκα. μεθ' ἣν πρώτη ἐπὶ δέκα, εἶτα δευτέρα ἐπὶ δέκα, καὶ ἑξῆς, ἄχρι εἰκάδος, ἢ αὐτὴ ἢ εἰκάς. μεθ' ἣν δεκάτη φθίνοντος, ἢ δεκάτη, ἢ ἐνάτη, ὀγδόη, ὡς ἐτύγχανεν ἔχων ὁ μήν. Νουμήνιος, ὄρνεον ὅμοιον ἀτταγᾷ, ὁ καὶ τροχίλος. Νούμμος, τὸ νόμισμα. Νουνεχόντως, νουνεχῶς ὑφ' ἕν, ἀπὸ τοῦ νοῦν ἔχω σύνθετον ῥῆμα. Νουνεχῶς, πεφροντισμένως. Νοῦς, τριχῶς λέγεται. νοῦς θεοῦ. νοῦς καὶ ὁ ἄγγελος. νοῦς καὶ ὁ ἡμέτερος. νοῦς ὅρασις ψυχῆς ἀσώματος, πρὸς πάντα ἐκτεινόμενος. νοῦς, πρᾶγμα ἄδηλον, ἀδήλως ἄδηλα περιαθροῦν. τὸν γάρ ἐστι νοῦς ἐν ψυχῇ, ὅπερ ἐστὶν ὀφθαλμὸς ἐν σώματι. νοῦς, ἐστὶ ψυχῆς τὸ καθαρώτατον καὶ λογικόν, εἰς θεωρίαν τῶν ὄντων. Νοῦς, θεραπεύω ἐστίν, ὁ ἔξωθεν ἐπιγινομένη γνῶσις. Νοῦς, φύσις ἐπισκοπικὴ παντὸς πράγματος. Νοῦς, ἐστὶ δύναμις ἀσώματος πρὸς πᾶν ἐκτεινομένη. Νοῦς, παρὰ τὸ νέεσθαι, τὸ πορεύεσθαι, ὁ πάντοτε ἐν ἡμῖν κινούμενος, καὶ ἐπὶ πάντων ἰών. τί γὰρ ὁρμητικώτερον τοῦ νοῦ; καὶ Ὅμηρος, ὡς δ' ὅταν ἀΐξῃ νόος ἀνέρος. Νοῦς ἐστιν, ὥσπερ ὄψις τις ὑπὸ τοῦ δημιουργοῦ ἐν τῇ ψυχῇ ἀποκείμενος, ἤγουν ὀφθαλμός. νοῦς, τέλειος ἐστὶν ὁ τὴν ἐνεστῶσαν γνῶσιν ῥᾳδίως δυνάμενος ἀποδέξασθαι. Νοῦ πέρα παντός, ὑπεράνω παντὸς νοῦ. Νοῦς, τὸ νοῦν καὶ τὸ νοούμενον σημαίνει. ὥσπερ αἴσθησις, καὶ ἡ αἰσθητικὴ δύναμις, καὶ τὸ ὑπὸ τὴν αἴσθησιν, ὡς ὁ Θεολόγος, ἐν τῷ νοῦς μὲν οὖν ἤδη καὶ αἴσθησις, οὕτως ἀπ' ἀλλήλων διακριθέντα, τῶν ἰδίων ὅρων ἐντὸς εἱστήκεισαν, ἤγουν τὰ νοητὰ καὶ αἰσθητά. οὐ μόνον δὲ τὸ καθολικὸν ἡ αἴσθησις, οὕτω διττῶς λέγεται, ἀλλὰ καὶ ἑκάστη τῶν πέντε αἰσθήσεων. οἷον ὅρασις, καὶ ἡ ὁρατικὴ δύναμις, καὶ τὸ ὁρατόν. ὡς ἐν τῷ, ὅρασις ἦν εἶδον Ἡσαΐας. καὶ ὄσφρησις, ἡ ὀσφραντικὴ δύναμις, καὶ ἐπὶ τοῦ ὀσφραινομένου, οἷον ἡ ὄσφρησις τοῦ ῥόδου εὐώδης. καὶ γεῦσις, ἡ γευστικὴ δύναμις, καὶ ἐπὶ τοῦ γευστοῦ. οἷον ἡ γεῦσις τοῦ μέλιτος, γλυκεῖα. καὶ ἀκοή, ἡ ἀκουστικὴ δύναμις, καὶ τὸ ἀκουόμενον. ὡς ἐν τῷ τὰς ἀγγελίας ὑμῶν μὲν φωνὰς οὐκ ἴσας ἡγοῦμαι, πάσας δ' ἄλλας ἀκοὰς ἀνθρωπίνας νομίζω κρείττους. καὶ ἁφὴ τῶν ἐρίων μαλακή, ἡ δὲ τῆς πέτρας σκληρά. καὶ ἁφή, τὸ ἁπτόμενον. Νοῦς ὀνομαστικῶς, ἀντὶ τοῦ νόος. οὐκ ἐπὶ πάντων οἱ ἴωνες τὸ ου εἰς ο μετρῶ παραλαμβανομένων ὀνομάτων τὸ υ προστιθέασιν, ἀλλ' ἐπὶ μετρίων τινῶν, ἃ καί ἐστι ταῦτα. νόσος, μοῦσος, οὔρεα, οὔνομα, πουλύ, κούρη, οὔλυμπος, οὔλεμος, οὐλός. Νοχαλός, ῥάθυμος, χαῦνος. Νόῳ καὶ ἐπίφρονι βουλῇ, διαφορά ἐστι πρὸς τὴν ἄφρονας καὶ ἀβούλους ὁμοψυχοῦντας. Νοῶ, ἡ μετανοῶ, δοτικῇ. καὶ μετανοῶ, ἐπὶ τοῖς πεπραγμένοις. προνοοῦμαι δέ, γενικῇ. Νοῶ καὶ μετὰ τῆς πρὸ προθέσεως, προνοοῦμαι, ἀντὶ τοῦ πρόνοιαν ποιοῦμαι τινός. τὸ γὰρ ἡ πρό δηλοῖ, ὡς τὸ προΐσταμαι, καὶ προμάχομαι. Νοῶ τὸ πρᾶγμα, αἰσθάνομαι, γινώσκω, γνωρίζω.

ΤΟ Ν ΜΕΤΑ ΤΟΥ Υ.

Ν Υ σύνδεσμος, ἐγκλίνεσθαι. οἷον μὴ νύ τοι οὐ χραίσμῃ. Νυγμή, κέντρον. Νυχθήμερον ἐστι, κόσμου περιστροφή. Νυθόν, ἄφωνον, σιωπηλόν. Νυκτάλωπος ὄρνις, ἱερὸς ἥρως, ὁ καὶ ἐρωδιός. Νυκτάλωψ, ποιὰ τὸ ἐν τῇ νυκτὶ ἀλᾶσθαι, ὅ ἐστι πλανᾶσθαι. Νυκταλός, ὁ ὕπνου φιλῶν, παρὰ Διογένει τοῦ κυνός φασιν. οὐδὲ γὰρ ἦν ὡς νυκταλός, καὶ ὑπνηλός. Νύκτας τε καὶ ἦμαρ, παρ' Ὁμήρῳ. δηλοῖ μὲν καὶ αὐτὸ τὸ μὴ μόνον ἐν ἡμέρᾳ δεῖν ἐνεργὸν εἶναι τὸν ἀρχηγὸν καὶ ἐπιμελῆ, ἀλλὰ καὶ ἐν νυκτί, καὶ μὴ παννύχιον εὕδειν, ὡς εἴρηταί που. ἔχει δὲ τὸ ἦμαρ, ἀντὶ ἐπιῤῥήματος. οἷον καὶ τὸ αὐτῆμαρ, καὶ ἐννῆμαρ. Νυκτιλαίην, ἐν νυκτὶ τελεῖν. Νυκτιβρόμον, ὀξυπνοῖν. ἀττικοί. Νυκτερινοὶ κύνες, οἱ λύκοι. ὡς δύσιος ὑπὸ δύματος γινομένης. Νυκτερίς, πετεινὸν νυκτερινόν. Νυκτὶ ἐοικώς. ἡ μὲν ἀλληγορία ἐπὶ ἀπόλλωνος, ἤγουν ἡλίου λέγει, ὡς ἐν τῷ καιρῷ τοῦ λοιμοῦ μὴ καθαρὸς ἀπολάμποντος, μηδὲ φοίβου ὄντος ταῖς ἀκτῖσι, κατὰ τὸ τοῦ ἡλίου φοῖβον φλέγει, ὃ δὴ φησὶν Αἰσχύλος, ἀλλὰ διὰ τὴν παχύτητα τοῦ ἀέρος ἀμυδρὰν καὶ ἀμαυρὰν καὶ ζοφώδη κατάστασιν ἔχοντος. ὅτι γὰρ λοιμώδης νόσος ὁ ἐκ τοῦ ἀπόλλωνος ἐφίει κατὰ τῶν ἀχαιῶν, καὶ ὅτι τοιούτων κακῶν αὐτὸς αἴτιος, πάντες οἱ παλαιοὶ φασί. καὶ οὕτω μὲν ἡ ἀλληγορία. ἡ δὲ ῥητορικὴ ἐπιβολὴ νυκτὶ ἐοικότα φησί, τὸν ζοφερὸν καὶ ἄγριον τὴν ἰδέαν, ὥσπερ ἔμπαλιν τὸ μὴ τοιοῦτον. τὸ μὲν ἀπὸ τῆς ἡμέρας. πρὸ γὰρ [illegible] ἡ ἡμέρα. ἐκεῖνο δὲ ἀπὸ τῆς νυκτός, δυσπροσώπου οὔσης, καὶ διὰ τοῦτο φοβερᾶς. ὅθεν καὶ δειλία λέγεται, παρὰ τὸ δεδιέναι. Νυκτὶ θοῇ, τῇ ταχείᾳ, διὰ τὴν ἀνάπαυσιν δηλονότι. ἡ γὰρ ἡμέρα πολύμοχθος οὖσα διὰ τὰ ἔργα, μακρὰ ἡμῖν φαίνεται. Νυκτίδαι, γένος τι τῶν τὰς δαιμονας νύκτας ἐκδιωκόντων. Νυκτίβιος, ὁ ἐν νυκτὶ ὡς ἐν ἡμέρᾳ διάγων. Νυκτικόραξ, εἶδος ὀρνέου ἐρημικοῦ. Νυκτιλόχοι, λῃσταί. Νυκτιπόλος, ὁ λῃστής. Νυκτίλιος, ὁ διόνυσος. Νυκτιβόμενος, ὁ νυκτικόραξ. Νυκτίμαντις, μάντεως εἶδος. Νυκτομαχία, ἡ ἐν νυκτὶ τῶν πολεμίων μάχη. Νυκτός, ἢ ἑσπέρας, ἢ μεσημβρίας ἐλθὼν ἐκεῖνος, ἰδιωτικῶς λέγουσιν ἀττικοί, ἤγουν εἰς τὸν καιρὸν τῆς νυκτός, [illegible]. κοινοὶ δὲ λέγουσι κατὰ τὴν νύκτα, καὶ κατὰ τὴν ἑσπέραν, καὶ τὰ ἄλλα ὁμοίως. Ἄλλως. Νυκτὸς καὶ ἡμέρας ἀττικοί, ἤγουν ἐπὶ τῆς νυκτὸς καὶ ἐπὶ τῆς ἡμέρας, ἰδιωτικῶς ἐξενεγκεῖν. ἡ νύκτα καὶ ἡμέραν, ἤγουν κατὰ τὴν νύκτα καὶ ἡμέραν. τὸ δὲ νύκτωρ, καὶ καθ' ἡμέραν ἁπλῶς, ἰδιωτικά. Νυκτῶν μέσον ἀττικῶς, ἀντὶ τῆς νυκτὸς μέσης. Νύκτωρ ἀττικοὶ λέγουσιν, ἀντὶ τοῦ κατὰ τὴν νύκτα. Νυκχαλοῦν, νύξαι. γράφεται δὲ καὶ [illegible], ἐπεὶ ἐστι [illegible] νυκτιδρόμος. Νυμφαγωγεῖ, νυμφίῳ ἄγει. Νυμφαγωγός, ὁ μεθ' ὧν ἐρχόμενος ἐπὶ τὴν νύμφην, καὶ [illegible] τῆς [illegible] κίας, ὁ πρότερον γεγαμηκότι οὐκ ἔξεστι μετελθεῖν. διὸ ἀποστέλλουσι τὸν φίλον αὐτοῦ. διαφέρει γὰρ ὁ νυμφαγωγὸς τοῦ παρόχου. καλεῖται γὰρ πάροχος ὁ φίλος [illegible], ὁ ἐπὶ [illegible] ὅμα τῇ νύμφῃ καὶ τῷ νυμφίῳ ἐρχόμενος, οἷον [illegible]. Νύμφαι λέγονται, διὰ τὸ κατὰ τὸ νέον, ἢ ἐστι κατὰ τὸ ἔαρ μάλιστα ἐκφαίνεσθαι. διὸς δὲ θυγατέρες, ὁ ἐστιν αἰθέρος [illegible], διὰ τὴν ἄνωθεν ἐσταμένην αὐταῖς ἰκμάδα καὶ [illegible], ὅτι [illegible] κατὰ παρθένον γυναικὶ κόρη, [illegible] ἡ μέλλουσα τὸν δήμητρος κόρη, οὕτω καὶ αἱ μελικαὶ νύμφαι [illegible] ταῖς παρ' ἀνθρώποις. ὅτι καθάπερ παρθένοι κόραι, [illegible] καὶ κοῦραι λέγονται διὰ τὸ νέον, ὡς καὶ Ὅμηρος οἶδε, καὶ αἱ τοῦ μέλι νύμφαι, ὧν πολὺ πλῆθος ἐν τῇ [illegible] καὶ γάμον ὑποστᾶσαι καὶ τεκοῦσαι νύμφαι καλοῦνται, κατά τινα συνωνυμίαν. ὅτι δὲ καὶ συγγενικὸν ἐστιν ὄνομα ἡ νύμφη, καὶ ὅτι καὶ πρεσβυτέραν τῇ ἡλικίᾳ νύμφην ὁ ποιητὴς καλεῖ, οἷον φίλη ἐστὶ νύμφη φίλη. καὶ ὅτι πλεονασμὸς τῆς νύμφης ὁ νυμφίος, καὶ ἔτι ὁ παρώνυμος εἰκαιότερον οὕτω λέγεται. ὀρθότερον γάρ ἐστι παρανυμφίον καλεῖν τὸν συμπαραγινόμενον τῷ νυμφίῳ τὴν νύμφην ἐπὶ [illegible] ἁμάξης, ὡς παρὰ ἀθηναίοις, ὑφ' ὧν καὶ πάροχος καλεῖται, διὰ τὸ μόνος αὐτὸς συναναβαίνειν, καὶ ὀχουμένῳ τῷ νυμφίῳ παρέχεσθαι. καὶ ὅτι νυμφῶν περιεκτικῷ λόγῳ ὁ τόπος, ἐν ᾧ οἱ νύμφιοι. καὶ ὅτι νυμφαγωγός, ὁ τὴν νύμφην ἄγων ἐκ τῆς πατρικῆς οἰκίας τῷ νυμφίῳ, καὶ ὁ μάλιστα τὸν κατὰ δευτέρους γάμους, καθ' ὃν οὐ θέμις τὸν νυμφίον μετιέναι, ἀλλὰ ἀποστέλλεσθαι φίλον. ἐπ' οἷον προσθεμάζεσθαι, δηλοῦσιν οἱ παλαιοί. Νύμφαι, εἰσὶ

ον. Νόμιος Ἀπόλλων λέγεται κατὰ τοὺς παλαιούς. ἐπεὶ οἱ λοιμοὶ ἀπὸ τετρακόδων ἄρχονται. αὐτὸς δὲ ἐπίσκοπος αὐτῶν. καὶ ἄλλως δὲ νόμιος ὁ Ἀπόλλων. ἐπεὶ θερμαίνων ὡς ἥλιος τὴν χλόην τοῖς θρέμμασιν ἀναδίδοσθαι ποιεῖ. Νόμιος μέλος, ἐπιμονικὸς παρὰ τῇ νομίδι. ἢ νόμιον, μέλος, ὕμνος, παρὰ τοῖς ἀρχαίοις οὕτω λεγόμενος. Νομίσας, ἀντὶ τοῦ ὑπολαβών, καὶ ἀντὶ τοῦ ὑποληφθείς, καὶ ἀντὶ τοῦ νόμον θέμενος. Θουκυδίδης, ἐπιψήφιζε καὶ γνώμας προτίθει αὖθις, Ἀθηναίοις νομίσας. Νόμισμα, δύο σημαίνει, τό τε νόμιμον ἔθος, καὶ τὸ τύμμα τοῦ τετυπωμένου χαλκοῦ, ἢ χρυσοῦ. Νομισαμένων, νομίμως διοικουμένων. [illegible]

[illegible]

Νοσφίζω, τὸ κλέπτω καὶ χωρίζω. νοσφίν, ἐπίρρημα ἀντὶ τοῦ χωρίς. καὶ νοσφισμός, ὁ χωρισμός. [illegible]

[illegible]

Νίσαιον, γένος πεδίον, ἔνθα ἵπποι ἄριστοι γίνονται, νεσαῖοι λεγόμενοι. Νισαῖος ἵππος, ὁ ξανθός. ἡ γὰρ Νισαία χώρα τοὺς ἵππους ξανθοὺς ἔχει. Νισᾶν, ὁ ἀρτιμέλιστος μὲν, καὶ ἰλὰς πόλις. Νίσσεσθαι, ἤγουν πορεύεσθαι, ἐκ τοῦ νίσω νίσσω μέλλοντος γίνεται, νίσσομαι ἐνεστώς, παρατατικὸς ἐνισσόμην ἐνίσσετο.

Νίσιβις, νισίβεως, ὄνομα πόλεως, ὁ πολίτης νισιβηνός.

Νίσσομαι, εἰ μὲν διὰ δύο σ̄ γράφεται, τῆς ἀναλογίας ἐστὶ τῆς διαλέκτου καὶ τῶν νεωτέρων. εἰ δὲ ἐν ἑνὶ σ̄, ἔστι μὲν χρόνου μέλλοντος. ἄδηλος δὲ ὁ ἐνεστὼς αὐτοῦ, εἴτε ὁ νίσομαι εἶναι, εἴτε καὶ ὁ μὴ γνωστός. νίω, ὡς τίω. ὅπως δ' ἂν ἔχοι, οὐχ ὁ καταλογάδην γράφων αὐτοῦ δύναται. ὅτι δὲ ἐστὶ καὶ διὰ διφθόγγου γράφεσθαι ἡ τοῦ νίσσεσθαι ἄρχουσα, ἐν διαφόροις καταλέγω, ὡς ἀπὸ τοῦ νίω τὸ πορεύομαι, κατὰ τὸ τίω τείω, βίω βείω, ὡς τὸ, ἐς ὀρχομενὸν ἐνίσσεσθαι. Νίσυρος, νῆσος μία τῶν κυκλάδων, ἡ καὶ πορφυρίς, ἀπὸ τῶν ἐν αὐτῇ πορφυρῶν. Νισσόμενος, ἐρχόμενος.

Νίσσεσθαι, πορευόμενον δοκεῖ, καθὰ καὶ τὸ λίσσεσθαι. εἰ γὰρ ἐκαλεῖτο ἀπὸ τοῦ νίω ἦν, εἶχεν ἂν διὰ διφθόγγου τὴν ἄρχουσαν. εἰ μὴ ἄρα ὀνοματικὸς χαρακτὴρ εἰς τὸν ἰαμβικόν, ὁ τοῦ λίσσω, πλίσσω, καὶ τῶν ὁμοίων. Νιτάριον καὶ βάτιον, παρὰ τῷ Ἀριστοφάνει. Σύμμαχός φησι νίταρος ὀχλὸς ἐπὶ μαλακίας ὀνομαζόμενος, ἀνάχου καὶ βάτιος. καὶ τὰς μικρὰς δὲ θηλείας, βατύλους ἔλεγον. καὶ Θεόπομπον φησὶ διὰ βατύλα. ἐστὶ δὲ νιτάριον καὶ βάτιον, εἶδος φυτῶν. θέλει οὖν εἰπεῖν Ἀριστοφάνης, ὅτι ὡς ἄνθη με εἶχε. Δίδυμος δέ φησιν, ὑποκοριστικὸν πρὸς γυναῖκας. νιτάριον δὲ νεόττιον, εἰσὶ κοράσιον. ἄλλως, φιλοφρονητικὴ ἡ προσφώνησις. βατάριον δὲ τὴν ἧβαν, παρὰ καὶ τὸ βάτιον. ἡ δύναται βατὸν, ἀντὶ τοῦ τρυφερὸν καὶ μαλακόν, οἷος ὁ βάτος τὸ ἰχθύδιον. Νιτίσιον, ἀκροτήριον.

Νιτρία, τόπος. Νίτρον, σμῆγμα, ἢ εἶδος ἰατρικόν, παρὰ τὸ νίζω νίτρον, ὡς μάσσω μάκτρον, πλήσσω πλῆκτρον, φέρω φέρτρον. Νίτρον, τοῦτο αἰολικῶς μὲν ἂν εἶχε, ὥσπερ οὖν καὶ ἡ Σαπφὼ διὰ τοῦ ν̄. Ἀθηναῖος δὲ διὰ τοῦ λ̄, λίτρον. Νιφάδες χιόνος ὁμοιότητα ἔχει. Νίφαργον, νιφάδι λελευκασμένον. Νιφάς, ἡ τῆς χιόνος κατ' ὀλίγον ἀπόρροια. νιφάδες δ' ὡς ἐπὶ τὸ πολὺ ἔρχεται. τὰς γὰρ ψακάδας, ψακάδας φασὶ γάρ. αἱ μαρμάρου δὲ ψακάδας κατέχουσιν ἔρχεται. Νιφάτης, ὄρος ἀρμενίας. Νίφω, ἐπὶ τοῦ νέφους, χιονίζει. ἀφ' οὗ νιφετός, ὅταν χιὼν σφοδρὰ καὶ ἀθρόα καταφέρεται. Νιφετός, λέγεται ὁ κατὰ θάλον χειμών. νιφὰς δὲ τὸ μέρος, καὶ ὄμβρος, καὶ ὑετός, καὶ ψεκάς, καὶ ὅρος νιφόβολος, καὶ χιονόβλητον. Νιφοβόλα, μετὰ πλεονασμοῦ ἰωνικῶς Ἀριστοφάνης ἐν ὀρνίθων, ὡς ἀπὸ τῆς νιφοβόλου εὐθείας. Νιφόβολον, ὑψηλόν. Νιφοβόλοις, ξηροῖς.

Νίψα, πόλις θράκης παρὰ Ἡροδότῳ. Νίψαν, ἤγουν ἔπλυναν.

ΤΟ Ν ΜΕΤΑ ΤΟΥ Ο.

Νόαι, πόλις σικελίας. ὁ πολίτης, νοαῖος. Νόα, πηγή. λακωνικῶς. Νόημα, ἀντὶ τοῦ νόημα αἰολεῖς λέγουσι. τρέπουσι γὰρ τὸ η εἰς ᾱ, οἷον ἐκάβην ἐκάβαν, πύλην πύλαν, ἠὼς αὐώς. Νοαρίως, νουνεχόντως. Νόει, συλλογίζου, σκόπει. Νοερὸν, πνευματικόν, ἄϋλον, ἢ τὸ τὰ νοητὰ ὁρῶν, ἢ πᾶν διὰ τοῦ νοῦ νοούμενον, ἢ τὸ διαφεῦγον τὰς πέντε ἡμῶν αἰσθήσεις, ἢ τὸ μὴ ὁρώμενον. οὕτω μὲν οὖν κυρίως. λέγονται δὲ καὶ ἐναλλὰξ καταχρηστικῶς. Νοεῖ, οἱ ἄγγελοι, καὶ οἱ λογισμοί. ὅτε κακῶς λέγουσι καὶ παρὰ ἀναλογίαν οἱ φιλόσοφοι τὴν νοῦν, αἰτιατικὴ τῶν ἑνικῶν. καὶ οἱ νόες εὐθεῖαι τῶν πληθυντικῶν, καὶ αἰτιατικὴ τῆς νόας. δεῖ γὰρ τὸν νοῦν λέγειν, καὶ οἱ νοῖ. ἀπὸ γὰρ συναιρέσεώς ἐστι, καὶ δεῖ πρὸς τὸ ἐντελὲς κλίνεσθαι, καὶ τὸ συνῃρημένον. ἔστι γὰρ νόος νοῦς, νόον νοῦν. Νοεῖσθαι, νόησαι. Νόημα, σύνεσις. Νοοῦντος, νοοῦντος, αἰολικῶς.

Νόημι, τὸ νοῶ. καὶ φίλημι, τὸ φιλῶ. τὰ εἰς μι λήγοντα περισπωμένων τῆς πρώτης συζυγίας ῥήματα, εἰς μι προφέρουσιν αἰολεῖς. Νοήμων, συνετός, ἔμπειρος, γνωστικός. Νοῆσαι, ἐννοηθῆναι. Νοήσειν, ἐφράσθη. Νόησις, ἡ πρώτη τοῦ νοῦ κίνησις. παρὰ τὸ νέω, τὸ πορεύομαι. οὐδὲν γὰρ ταχύτερον τοῦ νοός.

Νοήσις ἐστὶν, ἐνέργεια ψυχῆς περὶ τὰ νοητά. Νοητὰ εἰσι, τὰ μὴ σωματικῶς, ἀλλὰ κατὰ νοῦν γινωσκόμενα, χωρὶς σωματικῶν ὀφθαλμῶν, ἢ τὰ μὴ ὁρώμενα. Νοητὸν ἐστι, τὸ ἐν ὑπὸ νοὸς ὑποληφθέν, καὶ νοούμενον. Νοθεία, ἡ λαθραία γέννα, ἢ πορνεία, καὶ τὰ τοῖς νόθοις ἐκ τῶν πατρῴων διδόμενα, οὕτω ἐκαλεῖτο. ἦν δὲ μέχρι χιλίων δραχμῶν. οὕτω Λυσίας καὶ Ἰσαῖος καὶ Ἀριστοφάνης καὶ Ὑπερίδης καὶ Δημοσθένης ἐν τῷ κατὰ Ἀριστοκράτους. Νοθεύω, τὸ κιβδηλεύω. Νοθογέννητα, πορνογέννητα. οἱ μὴ γνήσιοι παῖδες, ἀλλ' ἀπὸ πόρνης, ἢ φίλης, ἢ δούλης, ἢ παλλακῆς γεγονότες, ἢ δυσγενεῖς, ἢ φαῦλοι. Νοθεύει, ἀπαλλοτριοῖ, ἀπατᾷ, κολακεύει. Νοθοῖ, σεβεῖται, ἀγνοεῖται, νοθεύει. Νόθος, ὁ μὴ γνήσιος υἱός. παρὰ τὸ ὀνῶ τὸ μέμφομαι, καὶ βλάπτω, γίνεται ὄνοθος, καὶ κατὰ ἀποβολὴν τοῦ ο̄ καὶ τροπῇ τοῦ τ̄ εἰς θ̄ νόθος, ὁ μὴ ὢν γνήσιος υἱός, ἀλλ' ἐκ παλλακίδος. αἱ γὰρ παιδοποιΐαι παρὰ τῷ ποιητῇ τετραχῶς λέγονται. γνήσιος, νόθος, σκότιος, καὶ παρθένιος. γνήσιος ὁ ἐκ νομίμων γάμων. νόθος, ὁ ἐκ παλλακίδος. σκότιος, ὁ ἐκ λαθραίας μίξεως. παρθένιος, ὁ ἐκ τῆς παρθένου ἔτι νομιζομένης γεννώμενος.

Νόθως, φαύλως. Νοίδιον παρὰ τῷ Ἀριστοφάνει, λεπτὸν καὶ μεμερισμένον. οὐ γὰρ ὑποκορισμὸν εἴρηκεν, ἀλλ' ὡς διαιρεματικὸν παρήγαγεν, ἀπὸ τοῦ πληθυντικοῦ τοῦ οἱ νοῖ, τὸ νοΐδιον ὑποκοριστικόν. ἔστι δὲ ὀνειδισμῶν, καὶ διελομένων, ἀπὸ τοῦ νοῦ καὶ τῆς μέθης κακοῦ. Νοίδιον, καὶ βοίδιον, ἀρχαῖα καὶ δόκιμα. οὐχὶ νούδιον καὶ βούδιον, διὰ τοῦ ῡ. Νομάδες, βοσκόμεναι ἀγέλαι, καὶ ἔθνη σκυθικά, ἄγωσι, βάρβαροι, οἱ λεγόμενοι ἁμαξοφόροι, ἢ ἁμαξόβιοι. Νομάδες ἡμέραι, αἱ φθίνοντος τοῦ μηνός. Νομαδέσσεχοι, ἀπὸ τῶν νομῶν κατὰ στοίχον ἐρχόμενοι. Νομαὶ, βοσκήματα, βοσκαί. Νομαντία, πόλις ἰβηρίας παρὰ Ἴβηρα, ἡ καὶ νουμαντία λεγομένη.

Νομάτιον, σκεῦος τραγικόν. Νομάρχης, ὁ νομῶν ἄρχων. νόμους δὲ λέγουσι, τὰ μεγάλα χωρία. Νάμβα, πόλις ἰουδαίας. Νομέας, ξύλα περιφερῆ. Νομεῖς, βασιλεῖς, ἄρχοντες, καὶ τὰ πλεῖον τὰ ἐγκύκλια, καὶ χοῖνοι ἀρμένων. Νομεὺς, κυρίως λέγεται ὁ κτηνῶν βοσκός, καὶ διαιρεῖται εἰς αἰπόλον, ποιμένα, βουκόλον, συβώτην, ἱπποφορβόν, καὶ τὰ τοιαῦτα. ἔστιν ὁ αἰπόλος νομεὺς αἰγῶν. ὁ ποιμὴν δὲ, προβάτων. ὁ βουκόλος, βοῶν. ὁ συβώτης, χοίρων. ὁ ἱπποφορβός, ἵππων. Νομὴ, ἀπὸ τοῦ νέμω, τὸ βόσκω. ἀφ' οὗ εὐνομία λέγεται μαλιστῶν, ἤγουν καλὴ βοσκή. ἀπὸ δὲ τοῦ νέμω, τὸ δίδωμι. γίνεται νόμος καὶ διανομή, ἡ πρὸς πολλοὺς δόσις καθ' ἴσα. καὶ εὐνομία, ὅταν ὦσι καλοὶ νόμοι, ἢ ὅταν ἐκφύγωσι καλῶς κείμενοι νόμοι. Νομὴ, διαίρεσις, μερισμός, νέμησις, τροφή. Νομίζου, ποιμένου.

Νομικὸν, ὁ νομομαθής. Νομίσματα, δικαιώματα.

Νομίζειν, οἴεσθαι, λέγειν. Νομιζόμεθα, νόμισμα οἴομεθα.

Νομίζοντος, ἀντὶ τοῦ νόμον ἔχοντος. Ἡρόδοτος, γυναῖκας δὲ νομίζοντος πολλὰς ἔχειν ἕκαστος. Νομίζω, τὸ ὑπολαμβάνω, καὶ τὸ νόμιμον ἡγοῦμαι, καὶ νομίζομαι παθητικῶς. ἔστι δὲ νομίζεσθαι, ἀντὶ τοῦ νομίμως τελεῖσθαι. καὶ νενομισμένα, τὰ νόμιμα, οἷον τὰ τῷ νόμῳ δοκοῦντα. Νομίζεται, νόμιμόν ἐστι, καὶ νενομοθετημένον ἐστι. νομίζεσθαι νενομοθετημένον εἶναι. νομίζω καὶ τὸ δοκῶ, οἴομαι, ἐν τοῖς χρόνοις συσταλέντος νομίζω, μέλλων νομίσω, κοινῶς καὶ ἀττικῶς νομιῶ. Νομικὸς, ὁ τῶν νόμων ἀκριβολογῶν, ἢ ὁ τοῦ νόμου ἐξηγητής. Νόμιμόν ἐστι, δίκαιον ἢ ἁρμόδιον.

Νηρία, χώρα, γράφεται διὰ τοῦ ι. Νηθὲς χρυσός, ὁ συνεσωρευμένος. παρὰ τὸ νῶ νήσω, ἐξ οὗ ἐκκλίνετο. καὶ παρὰ Ἡσιόδῳ λέγεται νήσω. Νῆτος, ἔσχατος, ὁ πολύς, σεσωρευμένος.

Νητρικῶς, ἀληθῶς, παρὰ τὸ νῆ σχετλιαστικὸν μόριον, καὶ τὸ τρέμω ὃ φοβοῦμαι. οἱ γὰρ τἀληθῆ λέγοντες, οὐ δεδοίκασι κατὰ τὸ ὄνειρον, ὡς οἱ ψευδόμενοι. Νῆττα, παρὰ τὸ νήχεσθαι, ἐπεὶ ἐστι ζῶον τὸ ζῶον. Νῆτον, πλῆρες, μεστόν. Νηῦν, ἀντὶ τοῦ ναῦν λέγουσι Δωριεῖς. νῆας οὐκ ἐρεῖς, ἀλλὰ τὰς ναῦς. Νηΰτμος, τὸ ἄφωνον, τὸ ἐκφωνούμενον ἀϋτμῆς, ὃ ἐστι φωνῆς. Νηῦς, ἡ ναῦς. διὰ τοῦ η. παρὰ τὸ νέω, τὸ νήχω. νηῦς, διὰ τοῦ α ναῦς, παρὰ Δωριεῦσι. χρῆται οὖν ὁ ποιητὴς ταύταις ταῖς φωναῖς. νηυσί, νηυσί, νήεσι, νήεσσιν, οἱ Αἰολεῖς νάεσσι. τί οὖν Ὅμηρος οὐκ οἶδε τὴν ναῦν οἱ φωνήν; ναί. ἀλλ' ἐν συνθέσει, ναυσίκλειτος, ναυσίκλυτος. Νηφάλια ξύλα, τὰ μὴ ἀμπέλινα, ἢ συκάμινα, ἢ σύκινα. ἐκεῖνα γὰρ οἰνίσαι λέγονται. Νηφάλιοι, νήφοντες, μὴ πεπωκότες, ἢ ἱερὰ μάτα καὶ βωμοί, ἐφ' ὧν οἶνος οὐ σπένδεται, ἢ θυσίαι. Νηφάλιος, ἄχυνος, διεγερτικός, ξένον τῷ πνεύματι. ὁ ἀπέσοφος, νηφάλιον, σώφρονα, κόσμιον. Νηφαλισμός, ἡ προσοχή.

Νηφαλισμένον, ὕδατι οὐκ οἴνῳ ἐκπεπωμένον. Νηφαλιεύειν, ὁ ἀεὶ νήφων καὶ σώφρων ἐρέχων τῇ ἡλικίᾳ κατάδηλον.

Νήφει τις, ὅταν ἐκτὸς μέθης ᾖ. σωφρονεῖ, ὅταν ἐκτὸς μανίας ᾖ. γρηγορεῖ, ὅταν ἐκτὸς ὕπνου ᾖ. ἀφ' οὗ νηφάλιος, καὶ νηφάλιος τὸ αὐτό. ἀνανήφειν, τὸ ἐκ μέθης ἀναλαμβάνειν ἑαυτὸν εἰς τὴν ἑαυτοῦ αἴσθησιν. Νήφω, γρηγορῶ. νίφω δέ, ἀντὶ τοῦ βρέχω, δίφθογγον. νίφω δὲ ἀντὶ τοῦ χιονίζω, ι. ἐξ οὗ καὶ νιφάς. καὶ νιφετός, ἡ χιών. Νήχεσθαι, νεῖν, κολυμβᾶν, δύεσθαι. περὶ κολυμβητοῦ καὶ κυβιστητοῦ ἐρεῖς. εἶτα νήκτης, δύτης, βύθιος, κολυμβητής, ὑγρός, ὑγρότατος, ἐπιπολάζιμος, ἐπιπλεύσιμος.

Νήχεσθαι, παρὰ τὴν νῆσον γίνεται, ὅπερ ἐστὶ τὸ κολυμβᾶν, παρὰ τὴν κολυμβήθραν. ἐρεῖς δὲ ὀνόματα, καὶ ἄμφω ἐν τοῖς λέξεσι δηλοῦται. Νήχυτος, πολύχυτος. Νήχυτον ὕδωρ, τὸ πολύχυτον. τὸ γὰρ νῆ καὶ ἐπίτασιν σημαίνει καὶ ἐπίτασιν, καὶ ἀχύτην ὕδωρ, τὸ πολὺ κατὰ ἰκάδα ἔστι στιλπνότερον. Διονύσιος, πλαζομένους ἵνα λύσειεν ἀχύτην ἄκοβελος. Νήχομαι, τὸ κολυμβῶ. νήχεσθαι δὲ ὁ ἄνθρωπος, ὅταν ἐμβυθισθῇ τοῖς ὕδασι. νήχεσθαι ὁ ἰχθὺς καὶ ἐπινήχεσθαι ἐπιπολάζων εἰς ἐπιφάνειαν.

ΤΟ Ν ΜΕΤΑ ΤΟΥ Ι.

Νίβα, χιόνα, καὶ κρύσταλλον. Νιβάδες, οἱ τὰ λέφους ἔχοντες αἶγες. Νιβατισμός, εἶδος ὀρχήσεως βαρβαρικῆς. Νιγλαρεύειν, τερετίζειν. Νίζω, σημαίνει τὸ νίπτω, καὶ καθαίρω. νίπτω, νίζω. οἱ Αἰολεῖς τὰ εἰς πτω ῥήματα, εἰς δύο σσ μεταβάλλουσιν. οἷον νίπτω, νίσσω. ταραντίνων δὲ φωνῇ γίνεται νίζω. Νίδαλα, παίδων αἰδοῖα. Νίκαιρον, ἔπαθλον, ἐπινίκιον. Νικᾷ, κρατεῖ, λικμᾷ. Νίκαια, πόλις ἐπὶ τοῦ λοκρίδος τῆς ἐπικνημιδίας. Νικαῖον, ὄρος, ἐν καὶ λιμὸς ἦν. Νικητῆρες, οἱ ἀγωνισάμενοι ἐν ταῖς τάξεσι. Νικητήριον, νικητίκιον. Νίκη, παρὰ τὸ ἐπὶ δοκεῖν, καὶ τοῦ εἴκω τὸ ὑποχωρῶ, γέγονεν ἐνείκη. καὶ ἀποβολῇ τοῦ δευτέρου, τοῦ τε ἐν ἀρχῇ, καὶ τοῦ μέσου, καὶ κατὰ κρᾶσιν τῶν δύο εἰς ἕν, διὰ τὸ εἶναι μακρόν, νίκη. οἷον ἡ ἐπὶ ὑποχωρεῖν. ὡς καὶ ὁ ποιητὴς λέγει, ἑτεραλκέα νίκην. ἄλλοι δὲ παρὰ τὸ νῆ στερητικόν, καὶ τὸ εἴκω, γέγονε νίκη κατ' ἔκθλιψιν τοῦ ε, ὁ μηδενὶ ὑποχωρεῖν. ἀλλ' ἐναντιοῦται αὐτοῖς, καὶ ἡ ἀποβολή, καὶ ἡ γραφή. ἡ γραφὴ μέν, ὅτι νίκη διὰ τοῦ ι γράφεται. καὶ ὤφειλε γράφεσθαι διὰ τῆς ει διφθόγγου. ἡ ἀποβολὴ δέ, ὅτι οὐδέποτε τὸ νῆ ἐπίρρημα ἀποβάλλει τὸ η, οἷον νήλυμος. Νίκη, παρὰ Θεοκρίτῳ, ἀντὶ τοῦ νείκη. Νίκη ἔστι, δύναμις κρατοῦσα περὶ ἀγῶνα.

Νικήφορος, νικίας, νικίας, νικίας, ὀνόματα κύρια. Νίκης πέρατα, ἀντὶ τῆς νίκης, τὸ τέλος δηλαδὴ τῶν ἀγωνιζομένων.

Νικᾶσθαι, καὶ τὸ κρίνεσθαι δὲ γίνεται, ἐκ παραλλήλου ταυτὸν σοῦσι, πλεῖστα πολλαχοῦ παρ' Ὁμήρῳ, καὶ ἐν ἰλιάδι. τὸ κρίνον γὰρ βασιλεύς, ὅτε χώσεται ἀνδρὶ χέρηι, ἀντὶ τοῦ νικητὴς ἐκείνου γίνεται. Νικᾶσθαι, ἡττᾶσθαι. Νικητήριον, ἔπαθλον. Νικόδημος, κυρίως ἑρμηνεύεται, ὁ κατὰ διάβολον ἐγρηγορμένος εἰς τὴν ἐπίστασιν τοῦ Χριστοῦ. τὴν δὲ τῶν τρόπων τῶν ἐν τῷ λαῷ φιλοδημίαν, φεύγει τοὺς ἐχθροὺς ὡς δῆλος περιτρώμενος. καὶ ὁ θεολόγος, λαμπρὸς ἦν ὁ νυκτερινὸς θεοσεβής, μόρσις αὐτὸν ἄλειφον. Νικοκλῆς, διαφθορά. Νικόστρατος, εἶδος ἀμπέλου. Νικόλαος, κύνας. Νικόστρατος, δουλίαν δοῦλος. Νικῶ, τὸ περιγίνομαι, ἀφ' οὗ νίκη. Νικᾶν, νικᾷ. ὡς δὲ τοῦ σιγῶ σιγᾷ, οὕτω καὶ ἐκ τοῦ νικῶ νικᾷ, καὶ τὸ ἐνεστὼς νικᾶν. καὶ νικέω νικῶ νικᾷς, ὁ παρακείμενος τοῦ νικῶντος, τὸ ἐνεστὼς νικῶμαι, τὸ τρίτον νικῶ, πλεονασμῷ τοῦ ε ἀττικὸς νικᾶν, καὶ ἐξ αὐτοῦ νικῶ καὶ νικῶν. Νικόλαος, ὁ σκόλοψ, ὁ μὴ ἔχων ὀστοῦν. Νικώνια, πόλις ἐν τῷ πόντῳ πρὸς ταῖς ἐκβολαῖς τοῦ ἴστρου. Νικῶ, τροπῶμαι, ἀνταγωνίζομαι, περιγίνομαι, ὑπερβάλλω, ὑπερφαίνω, ὑπεραγωνίζω, ἐξαίρω, αἱρῶ, κρατῶ, καταδουλοῦμαι, κλίνω, καταγωνίζομαι. Νίκωχις, πόλις. Νιμμονός, ὁ καθαρός.

Νίμμα, νάθορμα. Νίμμα, ὁ πολὺς λέγει. ἡμεῖς δὲ ἀπόνιπτρον λέγομεν. ὡς Ἀριστοφάνης, καὶ οἱ ἀμφ' αὐτόν. Νίμματα, λουτρά, πλέμματα. Νίν, ἀντὶ τοῦ αὐτά, παρὰ Σοφοκλεῖ. Δωριεῖς ἀντὶ τοῦ αὐτὸν λέγουσι. Νιόβη, οἱ μὲν ταντάλου, οἱ δὲ πέλοπος καταλέγουσι. καὶ γυναῖκα μὲν ἐπὶ ζῆθον φασίν, οἱ δὲ ἀμφίονος, ἕτεροι δὲ ἀλαλκομενέως. καὶ ἡ συμφορὰ δὲ αὐτῆς, κατὰ μὲν ἐνίους ἐν λυδίᾳ, κατὰ δὲ ἐνίους ἐν θήβαις γενέσθαι φασί. Σοφοκλῆς δὲ τοὺς μὲν παῖδας αὐτῆς ἐν θήβαις ἀπολέσθαι φησίν, αὐτὴν δὲ εἰς λυδίαν ἐλθεῖν. ὁ δὲ τῶν παίδων αὐτῆς ἀριθμὸς Ὁμήρῳ μὲν κατὰ ἑξάδα μερίζεται ἑκατέρων, καὶ ἑξάδα ἑκάτερον συντιθέασιν ἐν τῷ μέτρῳ τῶν δώδεκα. ὁ ἀπλούστερος, ὡς Ὅμηρος ἔδοξεν, ἢ καὶ συνδυαζομένους τὰς παῖδας, ἐπεὶ προσαλείσθεν ἡ μήτηρ εἶχεν αὐταῖς. Εὐριπίδης δὲ ἑκατέρων ἑπτὰ νιόβης ἱστορεῖ. τῶν δὲ ἄλλων ἑκατέρων, οἱ μὲν τεσσαράκοντα τοὺς παῖδας εἶπον, οἱ δὲ εἴκοσι. δοκεῖ δὲ ὁ τῶν παίδων τῆς νιόβης θάνατος ἐξ αἰτίας λοιμώδους γενέσθαι, ὃ καὶ ἄλλως ἂν ἀφροδίσιος πάθους ἐνίς. ὅθεν ἀπόλλωνι καὶ ἀρτέμιδι ἀνατίθεσθαι, οὓς τούτων ἐκαναῖτε εἶσιν αἰτίας, τόξοις λεγόμενοι βάλλειν τοὺς οὕτω θνήσκοντας. Νίσαια, πόλις σιστρῶν, ἐν τῇ μεγαρίδι. ὁ πολίτης, νισαῖος, ἢ νισαεύς. Νισαί, πόλις.

Νισέα, ἡ ἐν καρίᾳ ἀφροδισιάς. Νιτρᾶς, ἄνθος. οἱ δὲ, εἶπα καὶ νιτρώδεις καὶ νιτρωτός, νίμος καθ' ἀπόδλας, καὶ φρύγιον μέλος. Νίσσον, τὴν ἀκαθάρτην ἵππον. Νίζω, τὸ δὲ ὑγροῦ καθαίρω. Νισαῖος τρεῖς οὗτοι ἔγε σήμαιον, ἔγγονοι αὐτοῦ τῆς νίσου σίμας. γίνονται δὲ ἐκ τῆς ὀχλαίας καὶ χαρότου. ὅρα δὲ ὅπως καὶ οἱ γεννησάμενοι τὴν γαρία πρὸς ὡραίομεν ὀνομάζονται. μήτηρ μὲν γὰρ ἡ ἀφαία. χάροπος δὲ βαρυτόνως, πρὸς διαστολὴν τοῦ ἐπιθέτου ὁ πατήρ. ἡ μὲν αἰγλήεσσα, ὁ δὲ χαρίεις, ὡς ἡ κλῆσις ὑπεμφαίνει. Νίρος, φθείρ, σχοινίον, ἡ νέρμος. Νίσον, μέγα. Νῖσος, ἐστὶ μὲν καὶ μεγαρικός. ὁ δὲ ἐν βοιωτίᾳ Διονύσου ἱερὸν εἶχεν ἐπιφανές. ἔστι δὲ καὶ παρώνυμος νίσος ἐπὶ ὄρει. ἡ δὲ μεγαρικὴ καὶ νισαία ἐλέγετο, τοῦ μεγαρίδος νίσου ἐπίκτητον, ὃν νίσου κληθεῖσα ἐστὶ πανδίονος. οἱ δὲ μεθ' Ὅμηρον φασίν, ὅτι νίσαν οἰδαμοῦ φαίνεσθαι βοιωτίας. διὸ καὶ γράφουσί τινες. ἴσον δὲ ζαθέην ἀνθηδόνα τε. ἄλλοι νίσαν δὲ ζαθέην. κώμη δέ ἐστιν ἑλικῶνος ἡ νυσταν. Νῖσος, τέκτος, καὶ πόλις, ἐν ἱερᾷ κειμένη. Νισίβιοι ἵπποι, ἀπὸ τῆς νισίβιος, ἄριστοι καὶ μέγιστοι ἵπποι, οἷς ἐχρῶντο οἱ βασιλεῖς. καὶ ἐξ ἀρμενίας ἦσαν. οἱ δέ φασιν, ἐν μηδίᾳ νίσαιον.

[illegible]

ΤΟ Ν ΜΕΤΑ ΤΟΥ Η.

Ν[illegible]

[illegible]

νέα γὰρ λέγεται ἀπὸ τοῦ νέα φαίνεσθαι [illegible]. λέγεται δὲ καὶ πᾶσα [illegible] χώρα, ἡ θάλασσα. Νεόταρ, [illegible]. Νείφαρ, [illegible]. Νείατα, ἔσχατα. Νηρεὺς, ὁ κόχλος. [illegible] δὲ, ὁ θαλάσσιος [illegible].

Νειρὰ, κοίλα, κοιλία ἔσχατα. Νειρὸν, [illegible], ἔσχατον.

Νεισσονται, ἀντὶ τοῦ πορεύονται [illegible] δίφθογγον [illegible]. [illegible] Νεῖται, [illegible]. Νείφει, βρέχει, [illegible]. [illegible] Νικέω, [illegible], ἀρχαῖοι, [illegible].

Νεκρὸς [illegible]

[illegible]

Μανήσεις, τὰς λαπάδας. Μάνης, κυβευτικοῦ βόλου ὄνομα, καὶ βαρβαρικόν. καθάπερ εὔβουλος ἐν κυβευταῖς παρίστησι, καὶ ἄλλων κατὰ λέγομεν ὀνόματα δούλων. Μάνης, τὸ πρὸ φασὶν αἰγύπτιον, ὁμολογοῦσιν πρῶτον παρὰ μάγων διαδεχθέντα, καὶ διὰ τοῦ πᾶσιν ἕνα σῶμα γινέσθαι, ὡς κλέαρχος ἐν τοῖς περὶ παιδείας ἱστορεῖ. Μανθάνω, ἔμαθον, μεμάθηκα, μεμάθημαι, μαθήσομαι, σκηπτεῖ. μανθάνω, ῥήματα βαρύτονα διὰ τοῦ ανω, ἄχρι τοῦ παρατατικοῦ κλίνεται. Μανθάνω τὴν γεωργίαν, καὶ μανθάνω γεωργεῖν. μανθάνω ἰατρεύειν, καὶ μανθάνω τεχνικῶς ὡς ὄντως μανθάνω ἰατρὸς, καὶ μανθάνω ἰατρικὴν, καὶ μανθάνω ἰατρεύειν. Μανία, μέθη, ἔθος. ταῦτα τρία εἰσὶν, ἐν οἷς λογισμοῦ καὶ αἰσθήσεως ἐξίσταται ἄνθρωπος ζῶν. μανία ἀντίκειται σωφροσύνῃ. μέθη δὲ τὸ νήφειν. ὕπνῳ δὲ, τὸ ἐγρηγορέναι, καὶ ἐγρηγορσις. Μανάκιον, τὸ τοῦ ἱμα-

ψιλαινὸ, ψιλὸν. ὁμοίως δὲ τέταρ, καὶ τὸ ἀλαπαδνὸν, καὶ ὀλοφυδνὸν, καὶ πεδανὸν. δῆλον ὅτι ἐκ τοῦ μάλα, καὶ ἡ μακρὰ γίνεται, καὶ ἐν συγκοπῇ μακεδνός. Μακεδνῆς, ἴσως μακεδονικῆς. ἢ κατ' ἐπίτασιν, λίαν κεδνῆς. Μακεδονία, ἧς μητρόπολις ἡ θεσσαλονίκη. Μακέλα, φράγματα, ἐφύφαντα.

Μακέλλα, ἡ σμινύη ἢ μονόδουν δίκελλα, ὁ ἐστι κινοῦσα καὶ τέμνουσα. ὥσπερ οὖν πάλιν δίκελλα, ἡ διχόδουν δίκελλα. ἀμὰρ δὲ, ἡ ὑδρορρόη, παρὰ τὸ μὴ ἐᾶν τὰ παραπεφυκότα μαραίνεσθαι, διὸ καὶ ψιλοῦται κατὰ τὴν ἄρχουσαν. παρὰ τοῖς δὲ δασύνεται, ὡς ἀπὸ τοῦ ἅμα ῥέειν. σκεπτέον δὲ εἰ καὶ λείβηθρον ἡ ἐμπαικὴ ἀμάρα ἐλέγετο. φησὶ γὰρ ὡς ἐν ῥητορικῷ λεξικῷ, ὅτι λείβηθρον ἐχετὸς ὑδραγωγός. ἐν δὲ τοῖς Αἰλίου Διονυσίου γράφεται συναλοιφῇ τῆς ἀρχούσης, διὰ μόνου δίφθογγου, ὅτι λίβηθρα ὑγρὰ χωρία, καὶ διαῤῥέοντα ὑδάτων. πλείων δὲ ἡ διὰ διφθόγγου γραφή, καὶ οὕτω γράφουσι καὶ τὰ μακεδονικὰ λείβηθρα τὸ ὄρος. ὡς τινὲς οἱ βάρβαροι, λειβήθριοι, εἰς ἃ διατρίψαι ποτὲ ὁ ὀρφεὺς λέγεται. Μακεδόκρανος, ἱππὶς. διὰ τὸ ἔχειν ἐπὶ τῆς κεφαλῆς καθάπερ λόφον, καὶ κερδαλέον αὐτὴν λέγουσι. πολυώνυμον δὲ λέγεται τὸ ζῶον. σκῶπα τε γὰρ αὐτὴν, καὶ ἀλεκτρυόνα, καὶ γέλασον λέγουσι. Μακετία, ἡ μακεδονία. Μάκελον, βέλος. τάσσεται δὲ καὶ ἐπὶ τοῦ μεγάλου. Μακεδνὸς, εὐμήκης. Μακκοᾶν, τὸ ἀποπαίειν, καὶ μωραίνειν. παρὰ τὸ μὴ καὶ τὸ κοῶ τὸ νοῶ, μακκοῶ. κατὰ τὸ κανόνα τὸ λέγοντα, ὅτι ἡ ἐπιπλοκὴ τῶν συμφώνων τροπὴν ποιεῖ, ὡς ἠλεῦ ἀνήλατο. ἐπλεονάσθη τὸ κ, καὶ ἐτράπη τὸ ο εἰς α. Μάκαρ, βασιλεύς.

Μακκεδρα, χειρὶ σιδηρᾶ, ᾗ χρῶνται πρὸς τοὺς ἵππους.

Μακκὼ, καὶ λαμμὼ, γυναῖκες αἳ ἐγένοντο ἐπεὶ, τινὲς βαρέως νοσοῦσι. Μακκοᾶν, ἀφρονεῖν, προσποιεῖσθαι, μὴ ἀκούειν. Μάκελλ, ἐργαλεῖον γεωργικὸν, ὡς δίκελλα. Μακώνιον, δίκτυον κιχλῶν. ὅπερ τινὲς, κεφάλην λέγουσι. Μακρὰ βιβὰς, ἀντὶ τοῦ πολλά. ὥσπερ καὶ τὸ πέραν, ἐπὶ τόπου λέγεται αὖ. πέρα δὲ, ἀντὶ τοῦ ὑπὲρ τὸ μέτρον, ὅ ἐστι τὸ προσώπον. Σοφοκλῆς, μὴ πέρα λέγε μοι. Μακρὰ βιβὰς, ἀντὶ τοῦ διαβὰς εἰς μῆκος πολὺ τὰ σκέλη, διὰ τὸ θάρσος. ἀνάπαλιν ἔχει πρὸς τὸ, ὀλίγον γόνυ γουνὸς ἀμείβων, ὃ καὶ ἐπὶ σκέλους χωρεῖν λέγεται. Μακρὰ γραμμὴ, ἡ καταλυκάβας. ὁ δ' ἀπλοῦν, βραχεῖαν ἐσήμανεν. Μακρὸν οὐσίαν, οὕτω λέγουσι τὴν πολλὴν ἀττικοί. Μακρὰν χαίρειν, οἰμώζειν, ἐρρῶσθαι, ἀνέχειν λέγουσιν οἱ ἀττικοί. Μακρὰ συλλαβὴ, ἡ ἔχουσα μακρὸν φωνῆεν, ἢ μακρόμενον, ἢ μίαν τῶν διφθόγγων. κατὰ ὀκτὼ δὲ τρόπους γίνεται ἡ μακρὰ συλλαβὴ, ὡς παρὰ τοῖς γραμματικοῖς καλῶς διώρισται. Μακραίωνι χολῇ, πολυχρονίῳ, βραδεῖ ἀγῶνι. Σοφοκλῆς. Μακραίωνας, μακροβίους. Μακραίωνα, τὸ πολυχρόνιον λέγουσι. Μακρανὲς, τὸ ἰσάνεκλον. Μακρὰν λέγεται, ἐπὶ τόπου. οἷον μακρὰν ὁδὸν ἐπολέμησα. Μακρόγηρος, ὁ πολυχρόνιος. Μακρηγορία, μακρὰ διάλεξις, ἡ ὑπηγορία. Μακρῆσι, μεγάλαις. Μακρίδων, τῶν καλουμένων μακρώνων, οἱ εἰσὶν ἄποικοι εὐβοέων. ἀφ' οὗ καὶ μακρῶνες ἐκλήθησαν. μάκρις γὰρ ἡ εὔβοια ἐκαλεῖτο. ἦσαν δὲ ἀπογόνοι τῶν Δολιόνων οἱ μάκρωνες. οἱ δὲ, ἔθνος βεχείρων φασὶ ἢ μάκριος, οἳ ἕως ἀεὶ πολεμοῦσι τοῖς κυζικηνοῖς. ἦσαν δὲ πολεμικὰ ἔργα ἠσκηκότες, ὡς ἱστοροῦσι Φιλοστέφανός τε, καὶ Ηρόδωρος, οἱ τὰ περὶ τὸν βίον αὐτῶν γεγραφότες. Διονύσιος δὲ ὁ χαλκιδεὺς, εἰρῆσθαί φησιν αὐτοὺς μάκρωνας, ἐπειδὴ εὐβοέων υἱοὶ μάκρωνος ἀπῴκησαν. ἄλλοι δὲ μάκρωνας αὐτούς φασι λέγεσθαι, διὰ τὸ πλείους εἶναι παρ' αὐτοῖς μακροκεφάλους, ὥσπερ παρὰ τοῖς πέρσαις χρυσοῦς. μέμνηται δὲ τούτων Ηρόδοτος ἐν δευτέρᾳ.

Μάκρις, εὔβοια, ἡ νῆσος. Μακρὶς, τὸ παλαιὸν ἐλέγετο ἡ χίος, ὀνομασθεῖσα ἀπὸ τῆς διονύσου τροφοῦ. ἄλλοι φασὶ τὴν ἡρακλέα παραγενόμενον, τῶν παίδων αὐτοῦ φόνον καθαρθησόμενον, μετ' ἐκείνην τὴν αἰγαίου τοῦ ποταμοῦ θυγατέρα γεγενημένην, ἐξ ἧς ἔχει τὸ ὄνομα. ὃς ὀνομάσας οὐκ εἴασεν αὐτὴν ἐν αὐτῷ ὑποστρέψαι, ἀλλὰ ἵνα τῶν φαυλῶν συναγαγὼν, εἰς τὴν προσήκουσαν θάλασσαν κατώκισεν. Μακρόβιοι, οἱ εἵμαρμαι. ζήδιοι.

Μακρόβιοι, οἱ βραχμᾶνες. ζῶσι γὰρ ἑκατὸν πεντήκοντα ἔτη, διὰ τὴν πολλὴν καθαρότητα, καὶ εὐκρασίαν τοῦ ἀέρος. Μακροκέφαλοι, ἔθνος ὕστερον οὕτω καλούμενον. Μακρὸν ἀῦσαι, ἐπὶ τὸ εἰς πολὺ μῆκος, καὶ διάστημα μὴν ἀέρος. λέγεται γὰρ ὥσπερ τὸ σκιοειδὲς σκαιὸς δασέως, οὕτω καὶ μῆκος μᾶκος. ἐξ οὗ μακεδνὸν, καὶ ἐν συγκοπῇ μακρόν. ἐκ τοῦ τισόστη δὲ μάκαρος, ὁ μακεδονικὸς αἰγειρος. Μακροθυμία, πέψις λύπης. Μακρὸν ποιῶ, ἀντὶ τοῦ μακύνω, οὕτω Φιλιππίδης. Μακρονεχία, τὸ μακρὸν τὸ συνέχοντα. Μακρόπνους, ὁ μακρὸς ἀναπνέων, παρὰ τῷ Ἱπποκράτει. Μακρύνουσι τῆς πόλεως, παρὰ τὸ μακρός. Μακρῷ, ἀντὶ τοῦ κατὰ πολύ. Μάκται, οἱ μάττοντες τὰς μάζας. Μάκτρα, θυεία ἐπὶ μύακος, ἐν ᾗ μάττουσι τὰ ἄλευρα καὶ γίνεται παρὰ τὸ μάσσω. ὅθεν καὶ μεμαγμένον γίνεται, καὶ ἡ μάζα. Μάκτραν λέγουσιν, ἐν ᾗ ἐμάσσον. κάρδοπον δὲ, ἀττικῶς. Μάκτρα, ἡ κάρδοπος, ἡ κυλίξ, καὶ διφθέρα, καὶ ὀρχήσεως σχῆμα. Μακτήριον, ἱλαστήριον, κάλυμμα ἱερὸν, ἐρυθρόν. ὁ κύκλος ῥόπαλος. Μακύνεσθαι, μεγαλύνεσθαι, ἐρεθοῦνται. Μακὼν, ἀντὶ τοῦ εἰς μῆκος ἐκταθεὶς, ἢ τόνον ἔχων ἀποτελέσας. ἐξ οὗ ἔχει καὶ τὸ μηκᾶσθαι. Μάλα πάχυ, ἐκ παραλλήλου. δηλοῖ τὸ αὐτὸ, καὶ ὥσπερ ὕπερ. ὡς καὶ τὸ λίαν πάνυ, καὶ τὸ ταχὺ ἴσως. καὶ παρ' Ἡσιόδῳ, τὸ νοσφιεῖ ἀπὸ κακῶν.

Μάλα εἰκότως, πάνυ δικαίως. Μάλα, ἄθροισμα, βοήθημα. Μαλάγαν, ἄλσος, θύλαξ, ἀσκός. Μάλαγμα, ἴαμα. Μαλακάλια, μαλακλινὰ, ἢ καρώδια. μάλθα γὰρ ὁ κηρὸς, παρὰ τῷ Ἱπποκράτει. Μάλαι, μασχάλαι. Μαλάκα, πόλις ἰταλίας. Μαλακία, ῥᾳθυμία, νόσος, βλακεία.

Μαλακίζεσθαι, ἐν ταῖς νόσοις φασὶν οἱ ἀττικοὶ ἐπὶ μὲν γυναικῶν, μαλακίζεσθαι. τοὺς δὲ ἄνδρας, ἀσθενεῖν. Μαλακίων, ὁ μαλακός. Μαλακίζεσθαι, ἀθύμως διακεῖσθαι, νωθρεύεσθαι.

Μαλακίωνες, παρθένος. Μαλάκιον, γυναικεῖον κόσμιον. Μαλακίειον, ὅσα τῶν ἐν θαλάσσῃ ὄντα, καὶ μὴ ἔχοντα ἀκάνθας. ὥσπερ εἰσὶν, ἢ τε σηπία, καὶ ὁ πολύπους, καὶ ὅσα τοιαῦτα, παρὰ τῷ Ἱπποκράτει. Μαλακιεῖς, τοὺς ὑπὸ κρύους κεκμηκότας λέγουσι, καὶ συνεσταλμένους. Μαλακὸν, ἐπὶ ἀέρων καὶ τῶν ὑδάτων, καὶ ἐπὶ τόπων ἐπὶ ἤθους καὶ λόγων. μαλάσσεσθαι καὶ κηρὸς, καὶ ἧθος, καὶ λόγος, καὶ ἔτι σίδηρος ὑπὸ πυρὸς, ἤγουν χαυνοῦται καὶ ἐνδιδώασι. παρὰ δὲ τῇ θείᾳ γραφῇ, καὶ λόγοι ἁπαλύνονται ὑπὲρ ἔλαιον. Μαλακὸν θάνατον, ὥσπερ λέγει ὁ ποιητὴς εἶναι τὸν αὐτίκα νῦν. οὗπερ αἰτία γυναῖκες, παρὰ τῷ ποιητῇ ἄρτεμις. οὕτω καὶ μαλακὸν ὕπνον, ὁ αὐτίκα νῦν ὕπνος. ὅτι δὲ τὸ μαλακῶς θανεῖν, συγγενὲς ἐν τῷ, μαλακῶς ὑπνοῦσθαι, δηλοῖ Ἡσίοδος ἐν τῷ, θνῆσκον δ' ὡς ὕπνῳ δεδμημένοι. Μαλακὸν ἱμάτιον, τετριμμένον. ἔνιοι δὲ εὐμετακίνητον, ἢ πολυτελὲς, ἢ ἁπαλὸν, ἢ ὅσα λαγές.

Μαλακὸν ὕπνον, λέγει ὁ ποιητὴς, τὸν μαλάσσοντα ἤτοι μαλακωτικοῦντα, ὥσπερ καὶ ἔγχος ἄλκιμον, τὸ ἀλκιμοποιόν. καὶ σῶμα δὲ μαλακὸν ὁμοίως, δι' οὗ μαλάσσεταί τις. ὡς τὸ μαλακὸν περὶ κῶμ' ἐκάλυψεν. ἐντεῦθεν δὲ λαβὼν εἴρηκεν, ὁ εἰπὼν τὸν πατέρα ὕπνου μαλακωτέρους. δῆλον δ' ὡς οἱ ῥήτορες τὸ μαλακὸν, καὶ ἐπὶ βλακείας τιθέασι. Μαλακὸς ὕπνος, ὁ γλυκὺς καὶ ἀμβρόσιος, διὰ τὴν ἀμβροσίαν νύκτα. παρ' Ὁμήρῳ λέγεται καὶ ἥδυς ὕπνος.

Μαλακὸς, ὁ ἀνακλιντικὸς, ὁ νωθρὸς, καὶ ὁ ἄσελγής.

Μαλακόστρακοι ἰχθύες, οἱ ἐνδυόμενοι, οἷον ἀστακοὶ, καράβοι,

ἐν τῷ περὶ τῶν αἰτιατικῶν μονῶν. ἀρχὴν δὲ λαμβάνοντος τοῦ χ ... ἐν τούτῳ τῷ μωνί, ὃν παραγίνεται, καὶ μεταβολὴν ἔχει. Μαιμᾶν, ὀργιᾶν, ἐπιθυμεῖν. Μαιμᾶν τὸ πῦρ κατὰ τὸ ὄρος, ὡς ἐπὶ ἐμψύχου τοῦ πυρὸς εἴρηται, οἷα καὶ ... ταυτὸν δὲ εἰπεῖν ποιητικῶς ... καὶ ... κυρίως γὰρ ἐπὶ ἐμψύχων τὸ μαιμᾶν. Μαίμαξ, ταραχώδης. Μαιμάσσουσα, εἰσῄσσουσα. Μαιμάσσει, σφύζει, προθυμεῖται. Μαιμάσσει, σφύζει, προθυμεῖται. καὶ μαιμῶ, τὸ προθυμοῦμαι. ἔστι μῶ τὸ προθυμοῦμαι, ἐν διπλασιασμῷ, μαμῶ καὶ μαιμῶ. ἐκ δὲ τοῦ μῶ, γίνεται μαίω τὸ ζητῶ. οἷον μαιόμενος ... Μαιματῶν, ἐρίθων ἡ κοιλία. Μαίμησε δέ οἱ φίλον ἦτορ. μερμήριξε δὲ ἑξῆς. ταῦτα δὲ ... τῇ οἰκείᾳ ἴστων. ἐν οἷς τὸ μερμήριξε διασαφητικόν ἐστι, τοῦ μαίμησε δέ οἱ φίλον ἦτορ. ἐνθυμητικὸν δὲ ἐνταῦθα, καὶ ... τὸ ἔχειν ... τὸ τλῆναι, τὴν γεωργικὴν ἐχέτλην συντέθεικεν, ἣν διαλαθὼν ὁ ἔχων τάλας τὸν βίον. ἢ καὶ ἄλλως εἰπὼν τλήμων, διὰ τὸ ἐργατικόν. Μαίμησεν, ἐπεθύμησεν, ἢ ἐνθουσίασεν. Μαιμώωσα, ἢ μαιμῶσα, ἐνθουσιῶσα ἢ ὀξέως ὁρμῶσα. ἢ τοῦ αἵματος γευστικῶς ἔχουσα. Μαιμώμενος, ὁρμῶν, ζητῶν. Μαιμῶν, κυρίως αἱμῶν, αἵματος ἐπιθυμῶν, καὶ προσθήκῃ τοῦ μ μαιμῶν. Μαιμῶντα, παρὰ Λυκόφρονι αἵματος διψῶντα.

Μαινάδας, μαινομένας, ζητούσας βακχεύειν, παραφρονούσας. καὶ μαινάδα ἔλαφον. Μαινάς, ἡ πόρνη. Μαινάς, βάκχη. Μαίναλον, ὄρος Ἀρκαδίας. ἢ πόλις ἀπὸ Μαινάλου τοῦ Ἀρκάδος, οὗ πατὴρ Λυκάων. Μαίνεται, ὀργίζεται, ἐλαύνει.

Μαίνεται δόρυ ἐν παλάμῃσι παρ' Ὁμήρῳ, ὡς εἶον ἔμψυχον τὸ δόρυ ἐκεῖ μαίνεσθαι λέγεται. Μαινίς, μαινίδος, εἶδος ἰχθύος. Μαίνεο. Ἀριστοφάνης, μὴ μαίνου γε. Δίδυμος, ἀντὶ τοῦ μὴ μανίης. ... ἀντὶ τοῦ ὑπέλαβέ σε μαίνεσθαι ὁ Ἡρακλῆς. ἢ οὕτω, μὴ μανίης οὕτως, ὡς ὑπολαβεῖν σε τὸν Ἡρακλέα φοβεῖσθαι. Μαινόλης, ... Μαινόλης, μανικός, μανιώδης. Μαίνομαι, βακχεύω, κορυβαντιῶ, λυττῶ, παρακόπτω, οἰστρῶ, φοιτῶ, παραφρονῶ, θύω, ... μελαγχολῶ, ... Μαίνομαι ἐγώ, ἐκμαίνομαι δὲ ἕτερον. μεταβατικῶς αἰτιατικῇ, ἀντὶ τοῦ μανῆναι ποιῶ. ἔνθεν ἐκταράττω καὶ παροξύνω. μαίνεται περὶ λόγους ... καὶ βακχεύει, ἢ ἐνθουσιᾷ. μαίνομαι, ... ἔχει, ἢ μὴ ... καὶ μαίνομαι, τὸ ἐνθουσιῶ, καὶ ἁπλῶς ... μαραίνω. καὶ μαινόλης, ὁ μωρός. Μαίνεται ὑπὲρ δόρυ ἐν παλάμῃσι. τὸ μαίνεσθαι οὐκ ἀεὶ ἐπὶ μόνου τοῦ συνήθους τίθησιν, ὡς τὸ μαινομένη, φρένας ἐκ δὲ φθορᾶς. ἐξ οὗ καὶ ὁ μαινόλης, καὶ ἡ ... μανία, ἀλλὰ καὶ ἐπὶ σφοδρᾶς κινήσεως, καὶ ἐνεργείας. ὡς τὸ μαίνεται δ' ὡς ὅτ' Ἄρης, ... ὁ λέγω καὶ δόρυ μαίνεται ἐν παλάμαις. καὶ παρασημειοῦνται οἱ παλαιοί, ὡς δὲ καὶ ἡ καθ' ὑπερβολὴν ἐρώτων μανία ἔοικε, καὶ ὁ Βάκχος αὐτὸ μαίνεσθαι δοκεῖ. Μαινομένοιο, ἐνθουσιαστικῶς κινουμένου, ἢ μανίας παρασκευαστικοῦ, μανιώδους. Μαινόμενος, εἶδος ἰχθύος. Μαίνομαι, οὐκ ἔχει ἐνεργητικὸν ... ἐν ... χρήσει, ἀλλὰ μετὰ προθέσεως. ὡς γὰρ ὀχῶ ἄλλον, ἢ τρίβω ἄλλον, ὀχοῦμαι δὲ καὶ τρίβομαι ἐγώ, οὕτω καὶ ἐκμαίνω ἄλλον. οὗ ἡ μετοχὴ ... ἐκμαίνων ἔχον γίνεται. ὁ ... εὕρηται ἐν ἁπλότητι ... ὁ δὲ ἐνεργητικὸς ... μετὰ προθέσεως ἐξέμηνα. ... καὶ ὅτι ἐν πολλοῖς αἱ καθ' ὑπερβολὴν ἐπιθυμίαι ... ἔχουσιν ... τοῦ μαίνεσθαι. καὶ μάλιστα αἱ φαῦλαι. ... γοῦν ... καὶ οἰνομανής. καὶ ἡ ἐρωμανία δὲ ... ἐν οἷς ὁ γυναικομανής. καλοῦνται δὲ καὶ ... ἐντεῦθεν ... μάνος γὰρ ... ὄνομα παρὰ τοῖς παλαιοῖς. ἐξ οὗ ... καὶ εἰς ... χαλασμὸν πρό-

σωπον, ὃ καὶ αὐτὸ μάλιστα ἐκάλουν. ... μανία ... καὶ ἡ μανιάκης ... γυνή, ἤγουν ἡ περὶ μίξεις μεμηνυῖα. ... γὰρ ... τὸ ... Μαινοῦν, ἐνθουσιῶν. Μαίνω, ἐνθουσιωδῶς κινοῦμαι. Μαινία, ἡ λυδία. Μαινόλαιμος, ... Μαίνολμος, ... Μαινόμενος, ἐκλοχίζων. Μαῖρα, κύων τὸ ἄστρον, ἢ ἀκμαιότατον καῦμα. οἱ δὲ τὴν σελήνην. ... δὲ μαιεῖν, τὸ καλῶς ἔχειν. οἱ δὲ ... θυγατέρα αἰθέρα ἀδελφὴν εἶναι. Μαίσωλος, ζῶον τετράπουν γενόμενον ἐν τῇ ἰνδικῇ, ὅμοιον μόσχῳ. Μαίσων, μαγειρεῖον. ἄλλοι βίβον, ἀπὸ τοῦ μασᾶσθαι. Μαιῶσα, ... τῇ φύσει. Μαιεύονται, λοχεύονται, γεννῶνται, ... Μαιωλὰ, χώρα. Μαιῶρες, οἱ πρεσβῦται. Μαίωτρον, τὸ εὕρεμα. Μαιῶται, παρὰ Θεοκρίτῳ, ἔθνη σκυθικά. ... οἱ περιοικοῦντες τὴν μαιῶτιν λίμνην. ἰχθῦς δὲ ... τοῖς σκυθικοῖς ... Μαιῶτις, λίμνη σκυθίας. Μαίωτρα, μαιώτρον, τὰ τῇ μαίᾳ διδόμενα. Μάκαρ, ἐκ τοῦ μὴ στερητικοῦ καὶ τοῦ κὴρ, ἡ θανατοφόρος μοῖρα, ὁ μὴ κηρὶ ὑποκείμενος. Μάκαρ, πόσας συλλαβὰς ἔχει; τρεῖς, μάκαρος. ἀπὸ κοινοῦ τῶν δύο συλλαβῶν γίνεται μάκαρ, καὶ μένοντος τοῦ ο γίνεται μάκαρος. μάκαρες, οἱ μὲν τετελευτηκότες ὑπὸ κηρῶν. οἱ δὲ μακαρῖται, οἱ ἀποθανόντες.

Μάκαιρα, τελεία, εὐτυχής, θεία. Μάκαιρον, μακάριον ... ὁ δὲ ... ἀπὸ τοῦ εἴκειν καὶ ὑποχωρεῖν. Μακαρία, ὁ Ἡρακλέους θυγάτηρ, ἣν Ἀθηναῖοι πολυτελῶς ἔθαψαν. ὅτι γὰρ Ἀθηναίοις εὐρυσθεὺς ἐπεστράτευσεν, ἑαυτὴν ἐπέδωκεν εἰς σφαγὴν ὑπὲρ σωτηρίας τῶν κατηγορούντων.

Μακαρία τὸν βίον, καὶ μακαία τὸν τρόπον. Μακαριστόν, κυρίως ἡ θεότης. Μακάριος, ὁ πάντα ἐν ἀγαθοῖς ὤν. νῦν δὲ, ὁ θεός. Μάκαρες, μακάριοι εὐδαίμονες, ἅγιοι.

Μακαρίζων, μακαρισμός ἐστιν ἡ ... τῶν ἀγαθῶν.

Μακαρίζω, ὀλβίζω, ζηλῶ, εὐδαιμονίζω, ... Μακαρίζω, καὶ ὀλβιάζω, καὶ εὐδαιμονίζω σε τοῦ κάλλους. ... καὶ ... μακαρίζω καὶ ὀλβιάζω καὶ εὐδαιμονίζω ... τὸ κάλλος. Μακαρίνη, ... Μακάριον, αὐτὸ τὸ ἀγαθόν, πρὸς ὃ πᾶν ἀφορᾷ, καὶ οὗ πάντα ἐφίεται. Μακάριος, ἀπὸ τοῦ κὴρ τοῦ σημαίνοντος τὴν θανατηφόρον μοῖραν, γίνεται κατὰ παραγωγὴν κάριος, ὁ τῇ φθορᾷ ὑποκείμενος. καὶ μετὰ τοῦ στερητικοῦ ἀκάριος, ὁ ἐκτὸς ὢν τῆς φθορᾶς. καὶ τροπῇ τοῦ α εἰς ε, καὶ πλεονασμῷ τοῦ μ, μακάριος. Μακαρῖται, οἱ ἀποθανόντες, οἱ ἤδη τὸ μῆκος ἐπιλελησμένοι(?), οἱ μὲν ... ὅθεν καὶ μακραίων ὁ τύμβος, ὁ εἰς μακράν. Μακαρ... ... ὃ δή τὸν δύσποτμον ἀντίθετον ... οἱ μέν ... μεθ' Ὅμηρον, μακάριον τὸν εὐδαίμονα καλοῦντες, τὸν ἄθλιόν φασι δυσδαίμονα. Μακαρτατος, ἰστέον, ὅτι τὰ συγκριτικὰ σχηματίζονται ἀπὸ τῶν λεγόντων εἰς ων, ἢ εἰς ας, ἢ εἰς ος, ἢ εἰς ους. καὶ ταῦτα ἐὰν φυλάττῃ ... διὸ ... Σώφρονα λέγοντα φυροτατης ... οὐδὲ γὰρ τὰ εἰς ... λήγοντα ῥήματα παρασχηματίζει συγκριτικὸν καὶ ὑπερθετικόν. ὅτι ἁμαρτάνουσιν οἱ λέγοντες μακάρτατος. τὸ μέν τι φέρτερος φέρτατος, βέλτερον βέλτιστος, ὕψιστος ὕπατος, ... συγκριτικά, ἢ ὑπερθετικά, συμπεπλήρωται δὲ τοῖς συγκριτικοῖς. ὁμοίως δὲ καὶ τὸ πρότερος. ... ἀπὸ τοῦ πρῶτος, ... διὰ τοῦ ω μεγάλου γράφεται. Μακαριότης ἐστὶ, ψυχῆς ... περὶ τὸ φύσει καλὸν ἀκόρεστος ὄρεξις. ἢ ἄλλως. μακαριότης ἐστὶ, ψυχῆς λογικῆς ἕξις, ἐφιεμένη τοῦ ὑπὲρ φύσιν καλοῦ. Μακάριος ... ἡ ἀκρότης τῆς ἐν βελτίοσι ... Μάκελλα ... τὰ οὐράνια καὶ μεγάλα. ἢ ὅτι ... μέγιστα ἔσονται.

Μακεδανόν, ὑψηλόν. Μακεδνὸς αἴγειρος, ἤγουν ἐπιμήκης, μακρά. παρὰ τὸ μάκος μακεδανὸς, καὶ μακεδνὸς, καὶ ὀρεσ- φεδανὸς

λέγουσι. Μαγάδην αὐλὸν, τὸ μαγαδίζοντα ἢ ἀκρουμένους.

Μαγεύειν, γοητεύειν, θεραπεύειν θεούς. Μαγεία, ἡ μαγγανεία, ἀπατεία. ὅθεν μάγος, καὶ μαγεία. Μὰ γῆν, μὰ παγίδας, μὰ νεφέλας, μὰ δίκτυα. οὕτω καὶ τὰ τυχόντα ὤμνυον, μὰ κρήνας, μὰ ποταμούς, Ἀριστοφάνης. Μαγίς, τὴν ἀπομάσσουσαν, τόν τε μαγεῖα σπόγγον, ἀπὸ σιβαρὰ κεκλιμένον κοιλία. Μαγίλα, τὸ μάγμα καὶ φύραμα, καὶ τὴν χειρομακτρίαν μαγδαλιὰν, παρὰ τῷ Ἱπποκράτει. Μαγίδας, εἰς ἀπομάσσουσι καὶ καθαίρουσι, καὶ μάζας καταφέρουσιν, αἱ ὡς τροφὰς καλοῦνται. ἄλλως. μαγίς, ἡ τράπεζα, ἔνθα τὰ μεμαγμένα τίθεται. παρὰ ἄρτω τὸ σκευάσαι. Μαγίς ἄρτου, οἷον μέρος ἄρτου, ὁ ψωμός, ὅ ἐστι μερίδιον. Μαγίς, μάχαιρα. καὶ μάγειρος, ὁ τὰς μάζας μήξων. Μαγίσκῳ, κατὰ ῥωμαίους διδάσκαλε.

Μάγιν, ἀσπίδα. Μαγμόν, τὸ καθάρσιον ἀπομάσσειν γὰρ λέγουσιν, ὅταν περικαθαίρωσι ἢ ἀποχλοάζωσι ἐπὶ πάθει.

Μάγνης, αὐθεντικοῦ ῥόδου προσηγορία, καὶ ἄλλων πολλῶν λεγομένων ὀνόματα βίβλων. Μαγνῆτις, ἡ τὸ σίδηρον ἕλκουσα λίθος, ἡ καὶ σιδηρῖτις καλεῖται, καὶ ἡράκλεια, καὶ λυδία. ἐμφερὴς δέ ἐστι τὴν χρόαν ἀργῷ καὶ ἀκατεργάστῳ σιδήρῳ. ἡράκλεια, διὰ τὸ καρτερὸν καὶ ἰσχυρὸν τῆς ὁλκῆς. ἢ μᾶλλον διότι περὶ ἡράκλειαν τὴν ἐν πόντῳ πρῶτον ἐφάνη. οἱ δὲ, περὶ τὴν ἐν θρᾴκῃ. μαγνῆτις δὲ ὥς φασιν, ἀνδρὸς λιθοφόρου μάγνητος εὑρόντος αὐτὴν τὴν ἐνέργειαν. Μαγνησία, πόλις κατὰ θεσσαλίαν ἐστί. καὶ ἑτέρα μαγνησία περὶ σίπυλον, ἐκλήθη ἀπὸ λευκίππου τοῦ μάγνητος, μετοικισθέντος ἐκεῖ σὺν μάγνησι τοῖς ἐκ κρήτης. Μάγνητος, ἔθνος θεσσαλίας. Μαγνεύειν, τὸ μίσγειν. Μάγνητες, οἱ ἐπὶ μαιάνδρῳ ποταμοῦ, δελφῶν εἰσιν ἄποικοι. μαγνησία δὲ, πόλις ἐστὶν ἰωνίας. Μάγον, τὸ ἀπατεῶνα, φαρμακευτὴν, τὸν θεοσεβῆ, καὶ θεολόγον, καὶ ἱερέα λέγουσι. Μάγοι παρὰ πέρσαις, οἱ φιλόσοφοι, καὶ φιλόθεοι, ὧν ἀρχὴ ζωροάστρης.

Μαγύδαρις, ὁ τῆς σιλφίου. οἱ δὲ, σπέρμα τοῦ σιλφίου εἶναι λέγουσι. Μαγωδὰ, ὄρχησις ἁπαλὴ, ἐν ᾗ χοροῖς μάγον.

Μάγος, παρὰ τὸ μάσσω τὸ μαλάσσω. ὁ διὰ τῶν μαγικῶν ἐμπλάσσων τὰ μέλλοντα, προλέγων. Μαγών, ὁ πέρσης.

Μαγωτέρα, ἐπιλαβεστέρα. ἐν ἐπιγράμμασι. Μαδάρως, τὰ πλατύτερα λεπτὰ τῶν κρεάτων. πελτί. Μαδαρός, ἀραιός, ψιλός. Μάδημα, δίκαιρ, πρόβλημα. οἱ δὲ μάδημα. Μαδδάλαν, μάζαν, τροφήν. οὕτως οἱ μεγαρεῖς διὰ δύο δδ λέγουσι. Μάδιος, δίκελλα οἱ δὲ μαδιβεῖς. Μαδίσαι, τὰς τρίχας ἀποβαλεῖν. Μαδόν, λεῖα, καὶ λεῖον.

Μάδος, τὸ ψίλωτρον. Μαδυσθεῖσαι, κολλαβίζομαι, ἐκτριβίζομαι. Μαδόν, καὶ μαζόν, διὰ τοῦ ζ εἶπεν, ταυτόν. οἱ καὶ ἄλλως ὁ αὐτὸς μαζὸς διὰ τοῦ δ λέγεται, ὡς μασθὸς ὢν βρέφει. Μαδῶντα, παρὰ τῷ ἀριστοφάνει λέγουσι φαλακρὸν, ἐκτιλόντα τρίχας μὴ ἔχοντα. Μαιεῖται, μυρολογεῖ. Μάζα, κυρίως ἡ τροφή, ὁ ἀπὸ γάλακτος καὶ σίτου, παρὰ τὸ μάσσεσθαι.

Μάζα. πᾶσα ἀρτώδης βρῶσις, ὑγρῷ ἐστὶ μεμιγμένη. μάζα εἴρηται, παρὰ τὸ μάσσω. μάσσα προσθήκῃ τοῦ δ, δισσὰ τοῦ σ ἀμεταβόλως. ἢ παρὰ τὸ μῶ, τὸ ζητῶ, γίνεται παράγωγον μάζα. ἐξ οὗ καὶ μαζός, ὃν ζητοῦσιν οἱ παῖδες. Μάζα, καὶ ἄρτος διαφέρουσιν. ἐπεὶ ὁ μὲν ἄρτος πολλοῖς μεμέληται. ἡ δὲ μάζα τὸν, ὡς ἀριστοφάνης, μάζαν μιμάκοντος, τὰ πεφυρμένα ἄλφιτα μαλάξαντος, ὡς ἀρτοποιήσαντος. Μαζαγρεὺς, ἐπὶ μάζῃ, μεμψίμοιρος. Μαζάνις, δίφρου παρθένων. Μάζια τὰ παιδία, ὅτι μέσα εἰσὶ τοῦ οὐρανοῦ. σιγαλοὶ δὲ οἱ ταρακτικοί, μέσα οἷα ἀπολαλοῦσι.

Μαζεῖος, ὁ ζεὺς παρὰ φρυξί. Μάζας, ὥσπερ ἄρτου πρᾶσις.

Μαζινοὶ, μαζοί. Μαζινός, βοῦς ἐξ ἀλφίτων. Μαζίον, ὀλίγον. Μαζίσκιον, ἄρτον πεφυραμένον λέγουσι.

Μαζονόμος, ἀρτοκόπος. Μαζονόμιον, ἐν ᾧ ἡ μάζα φυρᾶται. ἢ ξύλινον πινάκιον καὶ κανοῦν. οὕτως ἰωνικῶς ὁ μιλήσιος.

Μαζός, ἐπὶ ἀνδρῶν κεῖται, παρ' ὁμήρῳ. ὥστε οὐκ ἐπὶ μόνων λέγεται γυναικῶν. δοκεῖ δὲ γενέσθαι ἐκ τοῦ μασθός, κατὰ φανερὰν τροπὴν τοῦ θ εἰς τὸ ζ συγγένειαν. μάλα γάρ φησιν ἀναγκαίως ἅπας μαζός, ὁ δὲ μασθὸς δωρικός. ὁ μασὸς διὰ τοῦ σ. καὶ μασθὸς διὰ τῆς ἐπεκτάσεως. χρῆσις δὲ τοῦ μασθοῦ, ἐν οἷς ἡρακλείδης εἰπὼν, ἐκ τοῦ ἰδὼ τὸ ἰδὼν γίνεται, φησὶ δὲ διὰ τὸ ἰδεῖν οὕτως ἀλλώ. λέγεσθαι καὶ τὸν μασθὸν οὕτω μασθὸν λέγουσιν οἱ δωριεῖς. καὶ τὸ ψύδος δέ φασιν ἀρέσκει, τὸ ψύθος φασί. τινὲς δὲ ἀπὸ τοῦ μῶ μάζω τὸ ζητῶ, παράγουσι τὸ μαζὸν, ὡς τοῖς βρέφεσι ζητούμενον. Μαζός, μασός, ὄχθος, τιτθός. Μαζονόμοι. οἱ μὲν ἄλλοι, ὁ μαζονόμος λέγουσι μετὰ τὸ ἄρτον, καὶ φασὶν αὐτὸν ἀρχαιότερον εἶναι. ἐγὼ δὲ μαζονόμον φημί, ὁ μασσομένος, ἤγουν ὁ εἰς μαζοθέσιν ἐξειργασμένον. Μαζουρὰ, τὰ σπέρματα τοῦ ἀέρων, ἃ ἐν τῇ σιτωνίᾳ ξύλινα καλοῦνται. ἑβραῖοι δέ τινες φασὶ λέγεσθαι τὴν λέξιν, σημαίνειν δὲ τὸ ἄστρων κύκλον. Μαζοφορίς, ὅμοιον κανῷ. Μαζῶντος, ψυχῶντος. Μαζῶσα, ἣν μάττουσα τὰς μάζας. Μαθαλίδας, ἐκπώματα ἦσαν. οἱ δὲ μέτρα, ὡς κύαθοι. Μάθας, μαθήσεως. Μάθημα, ἐπιτήδευμα, ἀχόλημα, δίκαια, διαγωγὴ, πρόφασις. Μαθήματα, ἃ οἱ ὑποκριταὶ ἀπελάμβανον.

Μαθητὴς, ὁ τοῦ διδασκάλου τὰ μαθήματα ἐκπαιδεύων, παρὰ τὸ μάθω ἐκ μανθάνω. μαθητὴν, ὁ φοιτητὴν λέγει ὁ σόλων, οἱ γνώριμοι. Μαθητιῶν, ἀντὶ τοῦ μαθητὴς εἶναι. Μαθητεία, ἡ μάθησις. Μαθητιᾶ λέγουσιν ἀττικοί, ἀντὶ τοῦ ὀρέγεται μαθητὴς γενέσθαι. μαθητιῶ, τὸ μαθητὴς γενέσθαι ἐπιθυμῶ, καὶ ὀρέγομαι μαθεῖν. Μάθυιας, γνάθος. Μαθῶμαι, ζητῶ.

Μαιὼν, ἰδών. Μαί, μέγα. ἰνδοί. Μαῖα, ἡ βοηθοῦσα γυναιξὶ ταῖς τικτούσαις. Μαῖα, μαμία, μαίευσις, μαιεύεται ἡ τίκτουσα, καὶ ἡ γυνή. καὶ τὸ ῥῆμα μαιεύειν, μαιεύεσθαι, καὶ τὸ ἐπίρρημα, μαιευτικῶς. Μαῖα, καὶ μήτηρ, ἐκ τοῦ μῶ τὸ ζητῶ παράγεται. Μαῖα μαίας μαίᾳ, ἡμέρα ἡμέρας ἡμέρᾳ, ἀλλὰ λήδας λήδᾳ, μάρθα μάρθας μάρθᾳ, ἀθηνᾶ ἀθηνᾶς ἀθηνᾷ. ὅτι ἀθηναία, καὶ κατὰ κρᾶσιν ἀθηνᾶ. ὁμοίως γαλῆ καὶ μνᾶ, ὅτι γαλέα καὶ μνάα, καὶ κατὰ κρᾶσιν γαλῆ καὶ μνᾶ. σημειοῦσθαι δὲ τὰ ὀνόματα τῆς δευτέρας κλίσεως τὰ εἰς α καθαρὸν, καὶ εἰς ρα, θα, δα, καὶ εἰς α μακρὸν λήγοντα, φυλάττουσι τὸ α ἐπὶ τῆς γενικῆς, καὶ δοτικῆς. Μαίανδρος, ποταμὸς λυδίας, ἀπὸ μαιάνδρου ποταμοῦ ἐν ἰλιάδι. ἀριθμὸς ποταμῶν, ποταμὸς καλτῶν. σπερχειὸς, ποταμὸς θρᾴκης, ἕτερος σκυθίας, φάσις κόλχων, ῥῆσος φοίας, ἀχελῶος, ἀκαρνάνων, ὁ αἴσωνας, ἔλαος θρᾴκης, ξόδιος φοίας, ἀλιάμμων μακεδονίας, ἐπάφορος, ὁ γράνικος, καὶ αἴσηπος, καὶ σιμόεις, φοίας. ἰλλυρίας ὁ ἐπιδάμνος, ἕρμος λυδίας, καΐκος μυσίας, σαγγάριος τῆς ἀσίας, λάδων ἀρκαδίας, παρθένιος παφλαγονίας, ἴδωμος σικελίας, ἀραξ σκυθίας, σκάμανδρος φοίας, ὁ ξάνθος παρθένιος ὁ ἴμβρος καλεῖται. ἴμβρασος δὲ, ἀπὸ παρὰ ἑρμῆς καλεῖται.

Μαίτιον, εἶδος φακῆς. Μαιεία, ἡ μαίευσις. Μαιεύεσθαι, ζητεῖν, ἐρευνᾶν. καὶ μαιεύειν, τὸ αὐτό. Μαιεύεται, ἀεὶ μαιεύεται. Μαιεύειν, τὸ βοηθεῖν ταῖς τικτούσαις. ὁ τὴν μαμμεύειν. Μαιωμένη, ἀντὶ τοῦ ποθοτροφοῦσαν, ὥσπερ γυναῖκα ἐρυθρὰ μαιουμένην. Μαινόμενοι, ζυγούμενοι, ἐρασταί.

Μαιωτρικῶς, ἰατρικῶς μαντεύμασι. Μαιάτη, οἴμοι.

Μαῖθα, καρδία. πρὸς βιθυνοὺς, καὶ ὄνομα. Μαιμᾷ, ἐνθουσιασμοῦ, ὁ ὀξέως ὁρμᾷ. ἢ ὀρέγεται, προθυμεῖται. Μαιμάκτης, μειλίχιος, καθάρσιος. Μαιμακτηριὼν, ὁ πέμπτος μὴν, ὁ ἰανουάριος, παρ' ἀθηναίοις. Δημοσθένης ἐν τῷ πρὸς τιμόθεον. ὠνόμασται δὲ ἀπὸ διὸς μαιμάκτου, μαιμάκτης δέ ἐστιν, ὁ ἐκπνευστικὸς καὶ ταρακτικὸς, ὥς φησι λυσιμαχίδης ἐν τῷ

ὡς καὶ τὸ χερότερον. τὸ γὰρ κοινὸν, λῷον καὶ ῥᾷον, καὶ χεῖρον.

Λωΐτερα, συμφορώτερα. Λωλεῦντα, ἀνθοῦντα. Λωλιὰ, κόνιον. Λῶλον, βρῶμα ἐκ γεγάρτων καὶ σύκων γινόμενον, παιδίοις πεφυρμένον. Λῶμα, τὸ γυναικεῖον, ὃ ὑπὸ ἀττικῶν, ὄχθοιβος λέγεται. Λῶμα, τὸ κράσπεδον. Λῶμα, τὸ εἰς τὸ κατώτατον μέρος τοῦ ἱματίου ἐπίβλημα ἐκ βύσσου ἢ πορφύρας, καὶ κοκκίνου. Λῶσι, ἀντὶ τοῦ θέλουσι. Δωρικῶς.

Λῶστος, τοῦ κρείσσονος λόγου. Λῶτος, ὄνομα μηνὸς παρὰ μακεδόσιν, ὁ αὔγουστος. Λωπεῖα, φιάλιον. Λώπη, χλαμὺς ἱμάτιον. Λωπίζω, τὸ ἐκδύω. Λώπιον, τὸ εὐτελὲς ἱμάτιον. Λωπίστος, ὁ καλαμώδης, ἐκ τοῦ τὸ ἱμάτιον ἐπιρράψεως.

Λωποδύτης, ὁ νεκροὺς ἐκδύων. καὶ λωποδυτεῖν, τὸ ἱμάτια κλέπτειν. Λῶπος, ἱμάτιον. ἀναλογεῖ γὰρ τῇ λοπίδι τοῦ δέρματος. Λωποδυτεῖ, ἀπολύει τοὺς καθεύδοντας τὰς ἐσθῆτας. λωποφάνης, κάκβαλος ὡς λωποδυτοῦσι. Λώπω, τὸ καλῶ.

Λωρὸν, πικρόν. Λωσμηνόν, βαθύτατα, κατώτατα.

Λώῃ, θέλοι. Λῶσα, παρὰ τὸ λῶ, τὸ θέλω. Λῶστοι, βέλτιστοι, ὄνομα ὑπερθετικόν, ἀπὸ τοῦ λῷος λῴστος. Λῷστος, ὁ φίλος. Λῶτα, ἄνθη. Λώταξ, ὁ λακὼν, ἢ ὁ μῶρα ἀλοφώμενος, ἢ ὁ καταλαπαγῶν ἐν τοῖς αἰσχροῖς τὸν βίον αὐτοῦ, ὡς ὁ πόρνος, καὶ ὁ ἀναφέρων. ἢ ὁ αὐλητής. Λωτοῦντα πεδία, τὰ ἔχοντα λωτὸν, βοτάνην δηλαδὴ αὐτοφυῆ, οὐ μὴν δένδρον, κατὰ τὸ ἐν λωτοφάγοις. φασὶ δὲ οἱ παλαιοὶ, ὡς Ἀρίσταρχος μὲν πεδία γράφει λωτοῦντα, ὅ ἐστι λωτοῦντα, κατὰ κρᾶσιν κοινὴν τοῦ ε καὶ ο εἰς τὴν ου δίφθογγον. ἡ δὲ μετὰ πλεοναστικὴ ἐκδοσις, λωτεῦντα γράφει, κρατοῦντος τοῦ ε καὶ ο εἰς τὴν ευ δίφθογγον. ὅτι δὲ λωτὸς καὶ πόας ὡς λέγεται, δηλοῦται μὲν καὶ ἐν ῥητορικῷ λεξικῷ. δηλοῖ δὲ αὐτὸ καὶ ὁ γράψας λωτοῦ κατὰ κνήματα μέλανα. τὸν δὲ διὰ τοῦ ε μικροῦ γράψαντα, ἔχοντα οἶμαι ἀφορμὴν τὸ γεωργοῦντας γραφὰς. καὶ τὸ λώταξ λώταγος, ὅπερ αὐλητὴν δηλοῖ.

Λωτία, ὁ στέφανος τοῦ λωτοῦ. Λωτίζειν, ἀπανθίζεσθαι, ἀπολέγειν. Λώτινον, ἀνθινόν, ἢ αὐλούς. Λώτισμα, οἱ στεφάνοι, καὶ ἐπίλεκτοι. Λωτόβοσκον φῦλον, οἱ μὲν τὸν θρᾳκῶν, οἱ δὲ τὸν αἰγυπτίων. ἄλλοι τὸν σκυθίαν. Λωτόλαμα, κόσμον. Λωτὸς, λειμωνία βοτάνη ἐν τῇ ἰλιάδι. Λωτὸς, ὅτι ἐκ ῥίζης δένδρου ὕδωρ ἐοικότος μαννίλῳ, καὶ ὡς οἶνος αὐτοῦ ἐκθλίβεται, καθὰ καὶ τοῦ φοίνικος ἱστοροῦσιν εἰς πλεῖστον οἱ παλαιοὶ, φυτευομένους ἐπιμελῶς. Λωτὸς παρ' Ὁμήρῳ ἐν καταλόγῳ, οὐχ οἷος ἐν ὀδυσσείᾳ ὁ ξενικὸς καὶ ἀνθρώπων ἐπαγωγός. βοτάνη λειμωνία ἵπποις ἐπιτήδειος. καὶ οὗτος μὲν ὁ λωτὸς, διὰ τοῦ ω μεγάλου ἔχει τὴν ἄρχουσαν, οὐ διὰ τοῦ ο μικροῦ. ἄλλος ὁ λεγόμενος ἐν τῷ λωτοῦ κατὰ κνήματα μέλανα, συστέλλει τὴν ἄρχουσαν παρ' ἄλλοις, καὶ δηλοῖ καλαμίσκον ὡς. ἐξ οὗ ὁ λώταξ λώταγος, ὁ περὶ τὸν λωτὸν ἐπιτήδειος. Λωτὸς, τὸ δενδροκάλαμον. ἢ βοτάνη εὐώδης, ἣν ἔνιοι μυρόλωτον κεκλήκασι. Λωτοφάγοι, ἔθνος. Λωτρὸν, δικαιοῦν, ἄλειμμα. λάκωνες. Λωφᾷ τις κυρίως, ὅταν διαλίπῃ λυπούμενος. λωφᾷ ὁ πόλεμος. λέγεται δὲ καταχρηστικῶς καὶ ἐπὶ θυμοῦ καὶ νόσου καὶ τῶν ἄλλων. λέγεται καὶ ἐπὶ τῶν ὑποζυγίων, ὅταν ἐν τῇ ὁδῷ ἀναγορεύσαντα πίπτωσιν ἀσθμαίνοντα. ὡς τὸ καὶ ἐπὶ ἀνθρώπων, ὅταν ἀπαγορεύσαντες παύσωνται ὑπὸ γήρως ἴσως. Λωφαίρολος, ἐμπολήσας. Λῶφος, λώφημα. Λωφεῖν, ἠρεμεῖν, πεπαῦσθαι. Λωφία, ἡ κατάπαυσις. Λωφεῖα ῥέξαι παρὰ τὸ Ἀπολλωνίῳ, ἐφ' οἷς λωφῆσαι καὶ παύσεσθαι ἡ τῆς νύμφης ὀργὴ, τουτέστι καταπαυστικὰ τῆς ὀργῆς. Λωφεῖα, ἱλαστήρια, ἐφ' οἷς λωφήσει καὶ παύσεσθαι καιόμενος. λωφῆσαι δὲ κυρίως ἐπὶ τῶν ζώων, τὸ ἀπὸ τοῦ τραχήλου ἄχθος ἀποθέσθαι. καὶ λωφήσειν, ἀντὶ τοῦ λόφον, ἀναπαύσειν, ὁ ἀναπαυσάμενος τὸν λόφον, τουτέστι τὸν τράχηλον. Λωφήσαντος, λωφήσαντι, καὶ λωφᾷ, τὸ παύει, περιέμενεν κομίσαι μελιλώφιον, σημαίνει τὸ παύει. μελιλώφηται δὲ ἡ λέξις, ἀπὸ τῶν τὰ φορτικὰ λειπόντων. Λωφήσαντος, ἀναπαυσαμένου, ἡσυχάσαντος. Λωφήσειν κυρίως παρὰ τοῖς παλαιοῖς, τὸ ἀποθέσθαι ἄχθος τὸ ἐπὶ τραχήλῳ, ἐπεὶ ὑπὸ τὸ ζυγὸν λόφος, ἐκτεταμένος δηλονότι τοῦ ο, ὡς καὶ ἐπὶ τοῦ λοφὸς, ὁ τοῦ κρομύου γίνεται. ἀφ' οὗ λώπιον, τὸ ἱμάτιον κατὰ ὁμοίωσιν ἐκτάσειν. Λώφησις, παῦσις, λῆξις. Λωφῆσαι, ἀντὶ τοῦ παύσασθαι. κυρίως δὲ λέγεται λωφῆσαι, τὸ βάρος ἀπὸ τοῦ τραχήλου ἀποβαλέσθαι. λόφος γὰρ, ὁ τράχηλος.

Λωφῶσι, παύονται. Λῶψ, χλαμύς.

Τέλος τοῦ λ στοιχείου.

ΑΡΧΗ ΤΟΥ Μ ΣΤΟΙΧΕΙΟΥ.

ΤΟ ΑΥΤΟ ΜΕΤΑ ΤΟΥ Α.

Μῦ, τὸ στοιχεῖον, ὅτι μυγμὸν ἤγουν ἦχον ἡ τούτου ἐκφώνησις. μυγμὸς δὲ ἐστὶν, ὁ τοῦ μῦ ἦχος, ὡς διὰ τοῦ μυκτῆρος ἐξερχόμενος. Μὰ, στερεῖται. φρόντιζε. Μὰ, ἀπομοτικὸν ἐπίρρημα τὸ καὶ καταφατικὸν γίνεται. Ὅμηρος, ναὶ μὰ τόδε σκῆπτρον. καὶ Συνέσιος, ναὶ μὰ τὸν ἱερόν τε καὶ σόν.

Μὰ, ἀποφατικὸν ἐστίν. οἷον μὰ τὸν Δία, οὐ ποιήσω τόδε. καταφατικὸν δὲ τὸ ναὶ, οἷον ναὶ μὰ τὴν λέγεις ποιήσω. τὸ μέν τοι ὀμοστικὸν τὸ ναὶ, βεβαιωτικὸν ἐστὶν ἐπίρρημα. Μὰ, ὁ ὀμνύμενος ἔχει τὴν ὄμνυσιν, ὁ νομίζων. καὶ νῦν μὲν εὕρηται Διόδωρος. λεσβιακὸς δὲ, ἅπαξ ἐχόμενον ἐπὶ τοῦ συγκειμένου, ἐν τῷ περὶ τῆς καλοκαγαθίας μελέτῃ λόγων, ὀνείρατα διηγουμένη. Πλάτων καὶ ὅμοια μὰ ἡ θεός. καὶ πολλῷ πλεονάκις ὄμνυσι, μὰ τὸν Ἀπόλλω. καὶ Ἀριστοφάνης ἐν τῷ περὶ ὀρνίθων, μὰ Δί' ἐχθοῦ ἐνό σοι. Φιλόξενος, τὰ ἐπιρρήματα μὲν τὸ προσηγορούμενον ἔχει τὸ ναὶ, τὴν ἐχὴν ὄνομα ἔχει τὸ ναί. Συνέσιος ἐν ἐπιστολῇ, ναὶ μὰ τὴν λέγεις, ἢ τὰ συμπεραινικά. Μὰ, ἐξωθεν λαμβάνουσι δωριεῖς. Θεόκριτος, οὐ γὰρ, ἀντὶ τοῦ οὐ μὰ τὴν γῆν. Μὰ τὸ, τὸ ἐλλειπτικῶς ὅμνυον, ἐπιλογὸν ἐστίν. οἷον μὰ τὸ, μὴ προστιθέντος τοῦ θεόν. Μὰ τὸν, ἐλλειπτικῶς ὤμνυον. καὶ οὗτος ἔθος ἐστὶ τοῖς ἀρχαίοις, ἐνίοτε μὴ προστιθέναι τὸ θεῶν εὐλαβείας χάριν. εἰώθασι δὲ τοῖς τοιούτοις ὅρκοις χρῆσθαι ἐπιφθεγγόμενοι, ὥστε εἰπεῖν μὲν μὰ τὸν, ὄνομα δὲ μηκέτι προσθεῖναι. Μαστὸν, μαζὸν. λάκωνες. Μαγάδιος, αὐλὸς κιθαριστικὸς, ὄργανον ψαλτικόν. ἔστιν καὶ τὸ ψάλτον, μαγάδιον λέγουσιν, οἷον ὀμφάλιον. ὁ μαγάδις αὐλὸς, ἡ γαλαξίας, ἀντὶ τοῦ ὁ συνᾴδων τῇ μαγάδι. Μαγάδιον, εἰραῖον κιθάρισμα.

Μαγαδίδες, ὄργανα ψαλτικά. Μαγαρίς, μικρὰ σπάθη.

Μαγαρίσας, πιτακίσας. Μαγαυρὲς, ὑπερῷον.

Μαγὰς, σανὶς τετράγωνος ὑπόκυρτος, δεχομένη ἐφ' ἑαυτῇ τὰς τῆς κιθάρας νευρὰς, καὶ ἀποτελοῦσα τὸν φθόγγον.

Μάγγανα, τὸ σιναρὸν ἀγγεῖον, ἐκ ξύλων κατεσκευασμένον.

Μάγγανα, φάρμακα δίκτυα, γοητεύματα, μηχανήματα.

Μαγγανεία, ἡ γοητεία. καὶ μάγγανον, παραδέξον ἔστι.

Μαγγανευτὴς, ὁ μετὰ πανουργίας πρὸς φενακισμόν.

Μαγδαλιὰ, τὰ τῶν ἀλφίτων ἀποβλήματα. ἄλλως, ἡ τῶν κυνῶν τροφὴ, ἢ ὡς ὀψώνιον. ἢ λίθος, οὗτος ἢ ὁ σπόγγος εἴρηται. ἀπὸ γάρ τι φέρει μαλάγματα θυμοῦ. μετὰ γὰρ τὸ δεῖπνον, τὸ πρὸς ἀπομάξαι, ἢ τὸ λίθος κυσὶν ἀπέρριπτον. Μάγδωλος, οἷον δῶμα. Μαγὲβ, νότι, ἡ μεσημβρία. Μαγεία, ἐπίκλησις δαιμόνων. Μαγδαλιὰ, ἀντὶ τίτου. Μάγειρος, ὁ τὰς μάζας μερίζων. καὶ μαγειρεῖον. Μαγειρεῖον. τὸ μὲν μάγειρος δόκιμον, τὸ δὲ μαγειρεῖον, οὐκ ἔτι. ἀντὶ δὲ τούτου, ὀπτανεῖον λέγουσι.

φλύαρος ἦν. Λύσαι, ἀπολῦσαι, λυτρῶσαι, καθελεῖν, ἀφελεῖν, τέμνειν. Λύσσα, καὶ λύττα, ἡ μανία. Λύσσαι, ἀντὶ τοῦ λύσσαν. τὸ εὐκτικὸν ἀντὶ τοῦ προστακτικοῦ, παρ᾽ Ὁμήρῳ ἐν τῇ α´ ῥαψωδίᾳ. Λύσαν, ἔλυσαν, ἐλυτρώσαντο. Λυσιάδεια, πανήγυρις ἀπὸ Λυσάνδρου ὀνομασθεῖσα, ἦγον δὲ ἐν αὐτῇ ἀγῶνας, καὶ θυσίας. Λύσανδρος, ὄνομα κύριον. Λακεδαιμονίων ναύαρχος. Λυσανίας, λύων τὰς ἀνίας. ὁμοίως καὶ Παυσανίας, ὁ παύων τὰς ἀνίας. Λύσει παρ᾽ Ἀττικοῖς γίνεται, ἐν συλλογῇ ἀπὸ τοῦ προηγουμένου τὸ ἀκόλουθον ποιούμενος. ἀκόλουθοι γὰρ τούτῳ τὸ λυκόφως. ἔστι δὲ καὶ συμπλοκὴ ἀπὸ τοῦ ἀκολούθου τὸ προηγούμενον. ὡς ὅταν λέγῃ συρίζειν, τὸ φονεύειν, ἀντὶ τοῦ συλλαβεῖν. Λύσιοι τελεταί, οὕτως ἐλέγοντο καὶ τὰ Βάκχου. ἐπεὶ καὶ λύσιος ἐλέγετο Διόνυσος. Λυσθείς, κατισχυθείς. Λυσιᾶν, ὁρμᾶν, συνουσίαν, μανίαν. Λυσίας, Λυσιᾶ ἐπ᾽ ἀλλήλων τῶν ἄρθρων, παρὰ καὶ Ἱπποκράτει. Λυσίζωνος γυνή, ἡ λυσάσα τὴν ζώνην. ἢ ὡς συμφέρουσα. καὶ ἐπίθετον Ἀρτέμιδος. Λυσίμαχος, ἦν Φιλίππου υἱός, τοῦ Διονυσίου ἐπικληθέντος. ἱστορικὸς δ᾽ ἦν Λυσίμαχος, οὗ μνημονεύει Λυκοῦργος, ἐν τῷ κατὰ τῆς Διονυσίου, ὡς ἐν τέλους μελοποιοῦ. Λυσιμάχειος, βοτάνη εὑρεθεῖσα ὑπὸ Λυσιμάχου. Λυσιμελὴς ὕπνος, ὁ λύων τὰς μελῳδίας. καὶ λυσιμελὴς συνθέσεως καὶ διαλελυμένους, λύων μελλήματα θυμοῦ. καὶ ἄλλως, καλεῖται λυσιμελής, παρὰ τὸ λύειν τὰ μέλη, ὡς λελοῦται καὶ ἐν τῷ λύειν δὲ οἱ ἄψεα πάντα. εἶτα δ᾽ ἂν πιοῦντος καὶ ὁ καύματος, εἴτε καὶ καματα φίλα γυῖα λέλυνται. Λύσιν, τὴν ἀπολύτρωσιν καὶ ὅρον λέγουσιν οἱ ἰατροί. Λύσις, ἡ λύτρωσις. Λυσιπονεῖ, φοβεῖται. Λυσιτελεῖ, ἀφελεῖ, συμφέρει. λυσιτελοῦ. τοῦτο ἐστὶν οὐ λυσιτελεῖ. δεῖ φάναι, οὐ φημι λυσιτελεῖν φοβεῖν. λυσιτελὴς καὶ λυσιτελεῖν, ἀφελεῖ. οὐ λυσιτελεῖ καὶ ὠφέλιμα. Λυσόμενος, λυτρωσόμενος. Λυσσᾶν, ἐλύσσησε τὸν κύνα. Λυσσάω, μαινόμενοι. Λύτα, ἀπόλελυται, πεπαρμένα τρία κινοῦν. ἀλλὰ ἡ μὲν ἐσφάλη, οὐ πάντα ἀνιατος. ὁ δὲ λόγος λυσίας. ὁ δὲ ἀνίατος, εἰς θάνατον φέρει. Λύσσα, ἡ μανία. παρὰ τὸ λύειν τὴν φρένα. Λυσσᾶν, ἀντὶ τοῦ λυσσᾶν λυσσῶδες. Λυσσώδης, μανικόν. Λυσσῶντες, καὶ λυσσῶντες, μαινόμενοι. Λυταία, ἐκπαλαί. Λυτήριος, μόνος ὁ λύτης. Λυτικός, συστατικός. Λυτήριον, τὸ καθάρσιον λέγει ὁ Ἀπολλώνιος, ὁ τὰς χεῖρας λύων μιαρὰς ὅσοι ἀντίζοντες δώσοντες τὰς χεῖρας τοῦ ἀγνιζομένου. καὶ αἵματι αὐτοῦ βρέχουσιν. Λύτο, ἐλύθη, ἐπελύθη. Λύτο, ἀντὶ τοῦ ἐλύετο, τὸ ἐξαιρεῖν τὰ βραχέα τῶν ἀπλῶν ῥημάτων. ὡς τὸ οἴμαι, ἀντὶ τοῦ οἴομαι. καὶ τὸ λοῦται, ἀντὶ τοῦ λούεται.

Λύτρα, ἐκ τοῦ λύεσθαι τὰ λῦρα λέγονται τὰ εἰς τὸν διδόμενα. τὰ δὲ αὐτὰ καὶ ἄποινα, ὡς ἂν λεγόμενα ἄφεινα, διὰ τὸ ἀπολυθῆναι φόνου λύσει. ὁ μὲν τι μὴ ἐξωνησάμενος, ἀλλὰ τινῶν ἄλλον ἐκ τῶν πολεμίων ἐπὶ ἐξαγαγὼν φθάσει λέγω, οἱ μὲν λύεσθαι. καὶ τὰ ὑπὲρ τούτου διδόμενα, οὐ λύτρα, ἀλλὰ σῶστρα. ταῦτα δὲ ζωάγρια.

Λύτρα, καὶ σῶστρα, λογογράφοι. ἄποινα δὲ, ποιηταί. Λύτρα, λῦρα τὰ ἐπὶ ἐλευθερίᾳ αἰχμαλώτων διδόμενα. Λύτρον, παρὰ τὸ λύω λύσω. ὅθεν καὶ λύτρα λύτρα τις ἐσθῆτα. λύεσθαι γὰρ καὶ ἀπολύεσθαι παρὰ τοῦ ἱερέως, ὑπὲρ ὧν ἐκλαθέσθαι βοῶν τοῦ Ἀπόλλωνος ὁ Ἑρμῆς. Λύτρον, τίμημα. Λυτρούμενον, ὡς τὸ ἐξ αἰχμαλωσίας ἀνθρώπων λυτρούμενον. Λυτρών, ὁ ἀφεδρών. Λυχνί, πολλὰ λάλει. Λυχνοί, οἱ ὑψηλοὶ τόποι.

Λυττῶντες, μαινόμενοι. Λύχνα, λύχνοι. Λυχνεῖος, ὁ λυχνίτης λίθος. Λυχνίον, ὁ λύχνος. λυχνίον δὲ ὁ τόπος τοῦ λύχνου λέγεται. Λυχνίτης, λίθος. Λυχνοκαΐαν, λυχνοφαΐαν. Λυχνοκαῦσαι, λυχνοκαυσοῦσαι. Λύχνον, τράχηλον. Λυχνοῦχος, φανός, λαμπτήρ. Λύχνος, λέγεται παρὰ τὸ λύειν τὸ σκότος, τουτέστι τὸ σκότος, ἀφ᾽ οὗ καὶ ὁ

καλεῖται. Λύω ἐκ τοῦ λέλυμαι, καὶ ἐκ τοῦ λέλυσο. καὶ ἀπολύω καὶ παραλύω ἐκ τῆς ἀρχῆς, ἤγουν ἀπὸ τῆς ἀρχῆς.

Λύω, ὅταν ἦ διαλυμένον τι. καὶ λύω ἀπελευθερῶ, καὶ λύω τὶς αἰχμάλωτον, ἀντὶ τοῦ λυτροῦται. καὶ λύω τὸν σύλλογον, ὡς παρ᾽ Ὁμήρῳ, λῦσαν δ᾽ ἀγορήν. μετὰ δὲ τῶν προθέσεων, ἀπολύω, τὸ τὰ συντεθειμένα εἰς τὰ ἐξ ὧν συνετέθησαν διαιρῶ. ἀφ᾽ οὗ καὶ τὰ παρ᾽ Ἀριστοτέλει ἀναλυτικά. καταλύω τις τὴν τυραννίδα, ἀντὶ τοῦ ἀφανίζω. καὶ καταλύω ἐν πανδοχείῳ. ἀφ᾽ οὗ κατάλυμα, ἡ καταγωγή. διαλύω, τὰ ἐχθρά. παραλύω, τὸ χαυνῶ. καὶ παραλελυμένα μέλη, τὰ χαυνωθέντα καὶ ἐκλυθέντα. ἀπολύω καὶ τῆς κατηγορίας. καὶ ὑπολύω τὸν ὑπολελυμένον.

ΤΟ Λ ΜΕΤΑ ΤΟΥ Ω.

Λῶ, σημαίνει τέσσαρα, τὸ λαλῶ. λῶ, τὸ ἀπολαύω. λῶ, τὸ βλέπω. ἐξ οὗ καὶ λεύσσω. λῶ, τὸ ἐπιθυμῶ. Λώβαι, βλάβαι, ὕβρεις. Λωβᾶται, βλάπτει, λυμαίνεται, ὑβρίζει, ἐξαπατᾷ. Λωβῶ λωβῶ, τὸ βλάπτω.

Λωβεύειν, τὸ πρωτότυπον τὸ λωβῶ. ἐξ οὗ καὶ ὁ λωβητήρ. λαμβάνεται δὲ ἡ λέξις ἐπὶ τὸ χλεύης, καὶ ὕβρεως ὡς τὰ πολλά, καὶ ἐπὶ τῆς ἁπλῶς δὲ βλάβης. παράγεται δὲ, παρὰ τὸ ἐπὶ λαοῦ συμβαίνειν, ἵνα λαοῦ βῆ, καὶ ἐν συναιρέσει λώβη. Λωβεύω, ἐκ τοῦ λωβῶ. ὁ λωβεύειν, φθείρεσθαι, καταισχύνειν. καὶ λωβὸς καὶ λωβεία ἡ νόσος. Λώβη, ἡ βλάβη, καὶ ἡ ὕβρις, παρὰ τὸ λῦσαι. ἐπὶ καὶ πακὸν προσβλητος. ἢ ἀπὸ τοῦ λωβός. ὁ σημαίνει τὰ ἄκρα τῶν ὤτων. ἐντεῦθεν λοβεύειν. οἱ γὰρ παλαιοὶ τοῖς ἐν λώβῃ ἀπεχόμενοι ἀλόντας τοὺς λοβοὺς ἐλίμπισαν, τὰ ἄκρα τῶν ὤτων ἀποτέμνοντες. ἢ ἀπὸ τοῦ λωβῶ, ὃ σημαίνει τὸ ξίφος, ἢ τὸ βλάβος. Λώβη, ὁ λίθος νόσου. καὶ λωβός, ὁ τελέως μέγιστον.

Λώβη, παρ᾽ Ὁμήρῳ. λαμβάνεται ἐπὶ καὶ ἀντὶ τοῦ σκώμματος, ἐν τῷ τοῦ Ὀδυσσείας. Λώβη, ἐπὶ τὸ φανερὸν ὕβρις, ὡς εἴπειν ἐν μέσῳ λαοῦ βαίνουσα. εἰσὶ δὲ οἱ ποιηταὶ λοξὴν, καὶ κατὰ τὴν κρᾶσιν λώβη. ἔοικε μὲν τι πατὰ τὸ λώπιον ἐτυμολογοῦντες τὴν λώβην, ἐχθροὶ ἐρυμολογεῖν. ἀφ᾽ οὗ καὶ λωποδύτης. καὶ ῥῆμα λωποδυτῶ. καὶ ἡ λώβη, ἡ ὑπὸ ἀπηνεία λυσσῶν ὕβρις, λεγομένη διὰ μάστιγος. Λωβᾶται, βλάπτει. Λωβήσασθαι παρ᾽ Ὁμήρῳ, ἀντὶ τοῦ ἐλωβήσω, ἤγουν ὕβρισας. οἱ ἀττικοὶ πολλάκις εἰώθασι λελοῦσθαι, ἀντὶ παρωχημένου. οἷον, ἐπεὶ ἔλθοι ὁ λιθος, ἤγουν ἦλθε. καὶ ὡς δὲ λολέξαι, ἀντὶ τοῦ ἐλάλησε. Λωβητῆρα, τὸν ὑβριστὴν λέγει Ὅμηρος, οὐκ ἐν ἔργοις, ἀλλ᾽ ἐν λόγοις. τί γὰρ εἶχε βλάπτειν ἔργοις, ὁ ἀπαλαιός. διὸ ἐσφαλμένον ἐπιβλάβην αὐτὸν λέγει, τουτέστιν ἐν λόγοις, ὡς βέλει βάλλοντα. ὁ τοιοῦτος γὰρ βλάσφημον. βλάσφημος γάρ, ὁ βάλλων ταῖς φήμαις λέγεται. Λωβητήρ, ὁ οἱ λώβαι ποιοῦντες, ὁ λωβᾶσθαι ἄξιος. σύγκειται δὲ πάντως ἐκ τοῦ, καθὰ καὶ τὸ ἐλεγχέες, τουτέστιν αἰσχυντηλοί, ὑβρισταί. Λωβητός, λέγεται καὶ ὁ λελωβημένος, καὶ ἄτιμος. οὐ ἑρμηνεία παρ᾽ Ὁμήρῳ, τὸ εἶναι θεοῖς τι λυσσώμενος, οὔ τι βροτοῖς. Λωβώμενος, χλευάζων. Λωγάνιος, ὄνομα ἰδικόν. σημαίνει δὲ καὶ τὸ εὐθετόν. Λωγάλιοι, ἐγάλαξαι, οἱ χέρσοι. Λωγάλιον, τὴν βοῶν τὸ ὑπὸ τὴν τράχηλον χάλασμα. Λωγάλιον, μέρος τοῦ σώματος. Λωκίς, χοροί.

Λώκανος, ταυρεία μάστιξ. Λῶμα, κάλυμμα, καὶ σκέπασμα. Λωπήρεχος, λώπιον. Λῶπαι, τὰς ἁμάξας.

Λώιον, ἄρειον, βέλτιον. τὰ εἰς ων καθαρὰ διασύλλαβα συγκριτικά, διφθόγγῳ παραλήγεσθαι. οἷον ἄρειον, μεῖον, χεῖρον, λώιον. καὶ τὰ παρὰ σφίσιν ἐπιφωνοῦσι τὸ ι. πλεῖον, μεῖον. τὰ δὲ σ, οἷον φᾶον, λῷον. οἱ γίνεται δὲ παρὰ τὸ λῶ, τὸ θέλω. ὁ γὰρ ποιεῖ τις ἐστὶ συμφέρον, τοῦτο καὶ θέλει. Λωίων, χεῖρον ἢ κακώμενον. Λώιστα, συμφέροντα, ἄριστα. Λωιστίων ἰσοφώνηνειν, ἐκ τοῦ λῶον, τὸ σὺν τῷ προσγεγραμμένῳ ἰῶτα, ὡς τὸ ῥαΐτερον, καὶ τὰ τοιαῦτα. ποιμαίνω δὲ ὁ νοστιμος χρηματισμός.

λευκόν. Λυκαίμια, ἐκ λυκείου δέρματος πεποιημένα.

Λυκάζεσι, ἐθνικόν. Λύκαι, μάσθλαι θυρῶν. Λυκηγενὴς, ἀπόλλων λέγεται, ὅτι λύκους αὐτῷ ἔθυον. λέγεται καὶ ἑτέρα λύκος, τόπος ἐν ἄργει, ἔνθα συναθροίζοντο οὕτως ὀνομαζόμενος. ὃν ἀφιερωμένος τῷ ἀπόλλωνι. λέγεται δὲ καὶ ὁ ἀπόλλων. Λυκημίδαι, γένος ἰθαγενῶν. Λυκήποδες, οὕτως ἐκαλοῦντο οἱ τυράννων δορυφόροι. οἱ γὰρ ἀκμάζοντες τῶν οἰκετῶν ἐπὶ τῇ τοῦ σώματος φυλακῇ ἔβαλλον. λυκόποδας δὲ ἐκάλουν, ὅτι διαπαντὸς εἶχον τοὺς πόδας λύκων δέρμασι κεκαλυμμένους, ὥς τι μὴ ἐπικαίεσθαι ἐκ τοῦ περιέχοντος. ἢ διὰ τὸ ἔχειν ἐπὶ τῶν ἀσπίδων ἐπίσημον λύκον. καὶ ἀριστοφάνης, τοὺς ἀλκμαιωνίδας φησί. Λυκοῤῥαίστης, ὁ τοὺς λύκους διαφθείρων.

Λυκόοργος, ἐντελὲς δὲ τοῦ λυκοῦργος, οὐ μὴν τὸ λυκόεργος. λύκου γὰρ ὀργὴν, ἐστὶ μὲν εἰπεῖν, ἔργον δὲ οὐκέτι. γὰρ ἀνθρώπων μόνων χαρακτηρίζεται τὸ ἔργον. ἰστέον, ὅτι μέμνηται ὁ ποιητὴς ἔτι καὶ λυκοῦργον ἑνὸς τινὸς ἀδελφὸς, ὃν λέγει φύσαντος ἥρω. Λύκος, ποταμὸς ὁμώνυμος τῷ βασιλεῖ. ῥεῖ δὲ διὰ τῆς τῶν μασσανδινῶν χώρας. Λυκόσατος, ὁ μόναρχος παρὰ ἱππωνάκτι. Λύκος κιχλωὸς, φλυάρους δηλοῖ τρόπους. λύκος δεῖρ ἥρως μορφὴν ἔχων τοῦ θηρίου. Λύκος, τὸ τοῦ ἱππικοῦ ἄτος, καὶ ποιὸς ἰχθὺς, καὶ τὸ ἐν τοῖς χαλινοῖς σιδήριον, καὶ ὁ ἅρπαξ τῶν εἰς τὰ φρέατα καθιέντων, καὶ ὁ τῆς θύρας μάνδαλος, καὶ ἀράχνιον ἐστὶ, καὶ εἷς τῶν τελχίνων ποταμός. Λυκοῦργος, εἷς τῶν δίκα ῥητόρων, οὗ πάππος λυκοῦργος ὁ νομοθέτης. Λυκοφίλιοι νῖκαι, αἱ διαλλαγαί. λυκοφιλίως, ἀντὶ τοῦ ὑπούλως, καὶ ὑπούλως. Λυκόφρων, διασοφρων, ὑψηλόφρων. Λυκόφανον, τὸ ἐχινόπαιδα. Λυκόφως, ὅτε τὸ σκοτεινὸν λέγουσιν. οἷον, λυγαῖον διαλελυμένον φάος, ἢ αὐγὴ διαλυθεῖσα, ἢ τὸ μεταξὺ σκότους καὶ φωτὸς. ἀπὸ μεταφορᾶς τῶν λύκων, οἳ ἔχουσι τὸ μὲν κάτω μέρος, τὸ πρὸς τῷ δέρματι λευκὸν ἔχουσι, τὸ δὲ ἄνω, μέλαν. Λυκτὰ, οἰκ ἀναπαυταί. Λύκτος, ἣς ἐπίνοι ἡ λεγομένη χερρόνησος, ὠνόμασται ἀπὸ λύκτου υἱοῦ λυκαόνος, ὡς ὁ χαλκέας τὰ ἐθνικὰ ἱστορεῖ. ἔνιοι δέ φασι λύττον αὐτὴν καλεῖσθαι, ὡς ἐν μετεώρῳ τόπῳ κειμένην. τὸ γὰρ ἄνω καὶ ὑψηλὸν, λυττὸν φασί. Λύκων φανούμεθα μᾶλλον, ἤπερ τούτων. ἔστι καὶ παροιμιῶδες. ἐπεὶ τοὺς λύκους ἀπέκτεινον τὸ παλαιὸν ἐν τῇ ἀττικῇ, καὶ νόμος ἦν λυκοκτονεῖν. διὸ ὁ μὲν φονεύων λύκον τέκνον, τάλαντον ἐλάμβανε, ὁ δὲ τέλειον, δύο. ὅθεν καὶ τὸν ἀπόλλωνα, λύκειον καὶ λυκοκτόνον φασί. Λυκῶπος, αἰολικῶς παροξύνεται. ἐπεὶ γὰρ οἱ αἰολεῖς ἀχίλλευς καὶ πύλαος λέγουσι βαρυτόνως, ὁμοίως καὶ λυκώπος. διὰ τοῦτο ἡ τοῦ εἰς ος γενικὴ παρ᾽ αὐτοῖς παροξύνεται. Λυκωρεῖοιο, ἀντὶ τοῦ δελφικοῦ κεῖται παρὰ τῷ ἀπολλωνίῳ. οἱ γὰρ δελφοὶ τὸ πρῶτον λυκωρεῖς ἐκαλοῦντο, ἀπό τινος κώμης λυκωρείας. Λυκωρεὺς, ὑπὸ τοῦ ἀπόλλωνος πεποίηται, οὐκ ἐξ ἱστορίας παρείληπται.

Λυκώρεια, πόλις. Λύλιος, ὅμοιος, οὗτος ἐπὶ μωρία κωμῳδεῖται. Λῦμα, κάθαρμα. Λυμαντὴρ, ὁ βλαπτικός.

Λυμαίνεσθαι, καθαίρειν, φθείρειν. Λυμαίνομαι, ἐνίοτε μὲν αἰτιατικῇ, ἐνίοτε δὲ δοτικῇ. λυμαίνομαι λέγεται καὶ τὸ λυπῶ, καὶ τὸ παραφθείρω, καὶ βλάπτω. ἀριστοφάνης, ἐκάλεσε λυμαινόμενον τοῖς μειρακίοις. καὶ θουκυδίδης, ὥσπερ δὴ οἱ γεωργοὶ, τὰ λυμαινόμενα τῇ χώρᾳ, καὶ καθ᾽ ἕκαστον ἐνιαυτὸν ἐκκόπτονται. λέγεται καὶ ἐπὶ πάθους, ἀντὶ τοῦ φθείρομαι. ἀττικῶς δὲ αἰεὶ ἐνεργητικῶς τίθεται, ἀντὶ τοῦ φθείρω καὶ λωβῶμαι. καὶ θουκυδίδης, τότε μὲν δύναμιν συλλέγων τοῦ στρατοῦ, ἐπὶ δ᾽ ἄπασι λελυμασμένος, ἀντὶ τοῦ λελωβημένος, καὶ διεφθειρμένος. Λυμαίνεται, ὅπερ βλάβην ἐπάγει, φθείρει, ἀπολύει, ἀφανίζει. λυμαίνεται τοῖς μειρακίοις. Λυμαίνεσθαι ἐπὶ βλάβης, ἐκ τοῦ ὁμηρικοῦ τοῖς ὕστερον εἴληπται. πλὴν ὅθεν ὁ μὲν ὁμηρικὴ λέξις τὸ λυμαίνεσθαι, σημαίνει οὐδὲν ἢ ἐπισυρμένην φόρου ῥύπασμα. ἡ δὲ παρὰ τοῖς ὕστερον λῦμα, καὶ τὸ λυμαίνεσθαι, καὶ ὁ λυμεὼν, ἐπὶ ψόγου λαμβάνονται. ὥσπερ δὲ τὸ βρῶμα βρῶμα λέγεται παρὰ τῷ ποιητῇ, καὶ παρὰ ἑτέροις τὸ τρῶμα τρῶμα, οὕτω καὶ ὁ ἐμὸς ποιητὴς λῦμα, τὸ λῦμα παρήγαγεν. Λυμανθῶ, κῆραι. Λυμαντὴρ, ὁ βλαπτικός. Λύματα, ἐνέχυρα, οἷον λύσιμα καὶ λυτρώσιμα.

Λύματα, ἐλέγοντο τὰ καθάρματα, οἱονεὶ λουσματά τινα ὄντα, ἅπερ ἐν τῷ λοῦσθαι ἀπέβαλλον. καὶ τὸ καθαίρεσθαι, ἀπολυμαίνεσθαι. διὸ τὸ εἰς ἅλα λύματα ἔβαλον. ὁ πάντως, διὰ τὸ φύσει ῥυπτικὸν εἶναι τὸ τῆς θαλάσσης ὕδωρ. εἰς τὸν ἀπέραντον φασὶ τὰ περιττώματα ἔβαλον. διὸ καὶ παροιμία φησὶ, θάλασσα κλύζει πάντα τἀνθρώπων κακά. παρὰ δὲ τοῖς ὕστερον τὸ λῦμα, ἐπὶ βλάβης, ἢν ἄρτι δεῖν ὁπλοῦσθαι. καὶ ὁ λυμεὼν, ὃν καθαρματώδης εἶναι ἂν, καὶ πικρὰ αἰσχύνομαι. Λύματα πάντα κάθαρσιν. ἔστι πάντα τὴν ῥύπον, καὶ τὴν περὶ τὸ σῶμα ἀκαθαρσίαν, ἣν καὶ ἀπολυμαίνεσθαι, ἤγουν ἀπολούεσθαι. τὸ γὰρ λῦμα ἐντεῦθεν παράγεται. οἱονεὶ λοῦμα δὲ ὄν. Λύμη, τῷ γῆρα στυφῷ, ἀντὶ τοῦ ἀπαίδευτος ὑμεῖς γῆρας. Λυμάχη, ἡ εἰς διαφορὰν λύπη, ὕβρις. Λύμη, βλάβη, φθορὰ, ὕβρις. Λυμονόμενος, αἰμοσόμενος. Λυμνὸς, γυμνός. Λῦνε, ἐλέφαιρε.

Λῦνε γῆα, ἔχειν τὰ μέλη. ἐκ τούτων δὲ σημαίνεται τὸ διαλυθῆς. ἐντεῦθεν δὲ λαβόντες οἱ μεθ᾽ ὅμηρον, καὶ τὸ θανεῖν, καταλῦσαι τὸν βίον φασί. Λὺξ, λύτρον. Λυόμενος, ἀντὶ τοῦ λυτρούμενος. Λύπεια, λυπηρά. Λυπῶν, αἰτιατικῇ συντάσσεται. οἷον λυπήσειν ἔμελλον τὸ σὺ γιγνώσκειν. Λύπη δὲ, δαγμὸς καρδίας καὶ σύγχυσις. τὴν λύπην διαιροῦσιν εἰς τέσσαρα, εἰς ἄχος, εἰς ἄχθος, εἰς φθόνον, καὶ εἰς ἔλεον. καὶ τὸ μὲν ἄχος εἶναι φασὶ λύπην ἀφωνίαν ἐμποιοῦσαν, εἰς ἣν ἐγγίνεται διὰ τὴν εἰς βάθος πάροδον τοῦ λογισμοῦ. τὸ δὲ ἄχθος, λύπην βαροῦσάν τε καὶ διοχλοῦσαν ἐπ᾽ ἀβουλήτοις συμβάσιν. τὸ δὲ φθόνον, λύπην ἐπ᾽ ἀλλοτρίοις ἀγαθοῖς. τὸ δὲ ἔλεον, λύπην ἐπ᾽ ἀλλοτρίοις κακοῖς. ἡ λύπη δὲ, διάθεσις ἀλόγου ἐσφαλμένη. Λυπηρότεροι καλασμοῦ, διὰ τὴν ἐν τῷ συνεχῶς κατασείεσθαι ἐπίφοραν λέγεται. Λυπηρὸς, ἄθυμος. Λύπη δὲ, πάθος ψυχῆς μεθιστὰς τῶν ἀλόγων ζώων κατεσπασμένον.

Λυπηδάνιον, εἶδος ἐμπρίου ὃ καὶ θέρμια λέγομεν. Λυπηρὰ, μοχθηρὰ, λυπηρά. Λυπηρόγηρως, ἡ μοχθηρῶς καὶ λυπηρῶς γῆ. Λυποῦμαι, ἀλγοῦμαι, ἀλγῶ, ἄλθω, ἀνιῶμαι, ἀχαλῶ, ἄχθομαι, ἐδυσῶμαι, συντάξω, δυσφορῶ, ἀθυμῶ. Λυπρὰν γῆν, τὴν λεπτήν. Λυπρῶς, αὐτηλῶς, λιπαρῶς. Λυπρὰ, ἑταῖρα, πόρνη. Λυπῶ, τὸ θλίβω. Λυπῶ, ἀνιῶ, ἀλγύνω, ἀπαναίω, δάκνω, κάδω. Λύρα, κιθάρα, βάρβιτον. Λύρα, κεῖται ἐν τοῖς ἄστροις. ἔστι δὲ μουσῶν. καθὼς ἐκαλεῖτο ἡ τὸ μὲν πρῶτον, ὑπὸ ἑρμοῦ ἐκ τῆς χελώνης, καὶ τῶν ἀπόλλωνος βοῶν, εἶχε δὲ χορδὰς ἑπτὰ ἀπὸ τῶν ἀτλαντίδων. μετέβαλε δὲ αὐτὴν ἀπόλλων, καὶ συναρμοσάμενος ᾠδὴν ὀρφεῖ δέδωκεν, ὃς καλλιόπης υἱὸς ὢν μιᾶς τῶν μουσῶν, ἐποίησε τὰς χορδὰς ἐννέα, ἀπὸ τοῦ τῶν μουσῶν ἀριθμοῦ. καὶ προσήγαγεν ἐπὶ πλεῖον ἐν τοῖς ἀνθρώποις δοξαζόμενος, οὕτω καὶ ὑπόληψιν ἔχειν περὶ αὐτοῦ τοιαύτην, ὅτι καὶ τὰς πέτρας, καὶ τὰ θηρία ἐκήλει διὰ τῆς ᾠδῆς. ὃς τὸν μὲν διόνυσον οὐκ ἐτίμα, τὸν δὲ ἥλιον μέγιστον τῶν θεῶν ἐνόμιζεν εἶναι, ὃν καὶ ἀπόλλωνα προσηγόρευσε. καὶ ἄλλα πολλὰ λέγονται περὶ αὐτοῦ. Λύραν, ἐπιμελείας δεηθεῖσαν ἀμφίονι ὑπὸ μουσῶν φησι. διοσκουρίδης δὲ, ὑπὸ ἀπόλλωνος. καὶ φερεκύδης δὲ ἐν τῇ δεκάτῃ ἱστοριῶν, ὑπὸ μουσῶν.

Λυρίτος, ἰχθῦν ἐστί, ταῖς ἀφροσύναις παρ᾽ ἀσίαν. Λύρειν, ὄργανον τῆς ὀργίας. Λυροφοίνιξ, εἶδος κιθάρας. Λυρνησσὸς, πόλις.

Λυρωδία, ὁ τῆς λύρας ᾠδός. λυρωδία δὲ ἡ φλυαρία, θορυβώδης, ὁ μετὰ λύρας ᾄδων, καὶ ψάλλων. λυρωδὸς δὲ

φλύαρος

λάκων ἐμπεσοῦσα. ἐκ γὰρ τῶν ὑγρῶν καὶ ψυχρῶν φασὶ τὰ λυπηρὰ, ἐκ δὲ τῶν θερμῶν τὰ ἡδέα. Λυγρὸς, χαλεπὸς, ὁ ἀσθενὴς, ὀλέθριος, κακὸς, ἰσχυρὸς, πενθικὸς, ἐλεεινός. Λυδία ἐσθὴς, τὰ λύδια ὑφάσματα. καὶ Λυδία λίθος, ἡ βασανίζουσα τὸν χρυσόν. Λυδίας μαχαίρας, τὰς μυθώδεις. Λυδία χώρα, ἡ καὶ Μαιονία. Λυδία λίθος, ἡ καὶ βάσανος λεγομένη, ἡ τὸν χρυσὸν βασανίζουσα. καὶ Λύδιον ἅρμα, τὸ ταχύ. ἐξ οὗ ἡ παροιμία ᾄδεται λέγομεν, ὡς πεζὸς θεῖ παρὰ Λύδιον ἅρμα. καὶ Λύδιος τόνος, ἐν μουσικῇ, ὁ νῦν λεγόμενος ἦχος. Λυδὸς δὲ ἀνὴρ, ὁ ἀπὸ τῆς Λυδίας. Λυδίζων, χωρίζων κατὰ τοὺς Λυδούς. οἱ σώζονται μὲν, διαβεβλημένοι δέ εἰσι. Λυδικὴ λίθος, σίδηρον ταλέτην προσαγορεύουσιν. αὕτη γὰρ τὸν σίδηρον ἐπισπᾶται. ἡ δὲ μαγνῆτις, διαπατᾶται τὴν ὄψιν, ὡς δοκεῖν ἀργύρεον εἶναι.

Λύδιον μέλος, ὥσπερ καὶ Δώριον καὶ Φρύγιον. Λυδίσιμο, ἀντὶ τοῦ μαλακῶς. οἱ γὰρ Λυδοὶ μάντεις ἐλέγοντο εἶναι. ἡ Λυδῶ, ἀντὶ τοῦ μοσχῶ. εἰσὶ γὰρ Λυδοὶ ἄσωτοι καὶ μαλακώτατοι. ἢ ἐπὶ τὰς κεφαλὰς οἱ Λυδοὶ ἄμπυξιν ἐκοσμοῦντο. Λυδοί, οὕτοι τὰς ἴσας σφαῖραν λέγονται. ὅθεν καὶ Ῥωμαῖοι, λούδους φασί. Λύει, ἀντὶ τοῦ λυσιτελεῖ. λύει δὲ χαλινὸν παρθενίας, ἀντὶ τοῦ διακορεῖ. Λύη, στάσις, μάχη, διαφορά. Λύζω, ἐὰν μὲν μετὰ τοῦ ζ, ὀλολύζει. ἐὰν δὲ χωρὶς τοῦ ζ ὀλίγον, τουτέστιν ἀλυμονεῖ. ὁ λύζει, ἀντὶ τοῦ κενὴν φωνὴν τραχεῖαν ἀφιέναι. ὁ λυγμῷ συνέχεσθαι, εἶτα λύζει καὶ δακρύει, καὶ λέγει πρὸς τοὺς φίλους. ὡς ἐν ἐπιγράμμασι, καὶ τορὸν λύζων ἐσιώπησεν ὅρως. καὶ λύγδην ἐπίρρημα, ἐκ τοῦ λύζω. Λύζει, λυθάζει, κυλινδεῖ. Λύζω, τὸ παρὰ κοινοῖς λεγομένῳ κλαύζω κατέχομαι. Λύθ, ἐπὶ στάσεως, παρὰ τὸ λύειν τὴν ὁμόνοιαν. καὶ λῦμα, ἡ φθορὰ, ἡ λύουσα τὸ σῶμα, ὅθεν καὶ λυμαίνω. Λύθεν δέ οἱ ἅψεα. Ὅμηρος, αἰσιμαλῶς δηλοῖ τὴν ὑπερβολὴν λέγεσθαι, μὴ μόνον καθότι λύει μὲν λυλήματα θυμοῦ, ἀλλὰ καὶ κατὰ τὸ λύειν τὰ μέλη, ὅπερ ἐστὶν ἅψεα. Λύθη ψυχή τε μένος τε. παρ' Ὁμήρῳ. ἰσ..., ὅτι ἐξ Ὁμήρου λαβόντες οἱ ὕστερον, καὶ αὐτὸ δὴ μόνον τὸ λυθῆναι, ἀντὶ τοῦ θανεῖν ἔφρασαν. ὡς δηλοῖ καὶ Σοφοκλῆς ἐν τῷ, ἰδού, ἀπελύθης. καὶ ἐν τῷ, παιὼ ἀπελύθη τρέχων. Λύθρον, μιασμὸν τὸν ἐξ αἵματος. ἢ γίνεται ἀπὸ τοῦ λύω. ἀφ' οὗ καὶ λῦμα, τὸ κάθαρμα. καὶ ἄλλως δὲ φράσαι λύθρον ἐστὶν, ἀκαθαρσία αἵματος μετὰ κόνεως δεομένου λύματος, ἤγουν καθάρσεως. γράφεται δὲ διὰ τοῦ θ πρὸς διαστολὴν τοῦ λύτρου. ὃ ἐπὶ αἰχμαλώτων τίθεται. ἄλλως, λύθρῳ, φόνῳ, ὁ ἐκ μάχης μολυσμὸς συμμεμιγμένος διὰ ἱδρῶτος καὶ κόνεως καὶ αἵματος. Λύθρος, φόνος, ὁ ἐκ τοῦ αἵματος μολυσμὸς, συνεστάμενος διὰ ἱδρῶτος, καὶ κόνεως, καὶ αἵματος μετὰ ἰχῶρος, ὡς ἐν ἐπιγράμμασι. ἔπλη δὲ λύθρῳ λουόμενος βροτέῳ στικὸς ἀργυρέιχος. Λύκαια ἆθλα, ἐν Ἀρκαδίᾳ τελοῦνται, ἀνακείμενα τῷ Λυκαίῳ Διΐ. δίδοται δὲ ἐν τούτοις τρίπους χαλκοῦς. πολλοὶ δὲ ἄγονται ἀγῶνες ἐν Ἀρκαδίᾳ, λύκαια, ἑρμαῖα, ἀλέαια. ἐν δὲ Θήβαις, τὰ ἡράκλεια. τὰ δὲ αὐτὰ καὶ ἰολάεια καλεῖται. ἐν μὲν Θεσπιαῖς, ἐρώτια. ἐν δὲ Λεβαδείᾳ, τὰ καλούμενα βασίλεια. ἄλλως. ἐν Βοιωτίᾳ τελοῦνται διάφοροι ἀγῶνες. ἐν μὲν Θεσπιαῖς, ἐρώτια. ἐν δὲ Πλαταιαῖς, τὰ ἐλευθέρια. ἐν δὲ Λεβαδείᾳ, τροφώνια. ἐν δὲ Ὠρωπῷ, τὰ ἀμφιαράια. ἐν Πελλήνῃ τὸ ἀχαιῶν ἀγών, ὁ καλούμενος θεοξένια. ὅπου δὲ τὰ ἕρμαια. τὸ δὲ ἆθλόν ἐστι χλαῖνα. ἐν δὲ Αἰγίνῃ, τὰ αἰάκεια. Λύκαινα, εἶδος θηρίου. Λυκαμβίδας, ὁ Λυκάμβου. Λυκάβας, ὁ ἐνιαυτός. οὐ μόνον διὰ τὸ λεγαίως, ὅτι λελαθότως, καὶ οἷον σκοταίως παρέρχεσθαι, ἀλλὰ καὶ διότι αἱ κατὰ αὐτὸν ἡμέραι, καθ' ὁμοιότητα διαβάσεως λύκων ἀλλήλων ἔχονται. πείθεσθαι γάρ φασι τοὺς λύκους διαβαίνοντας ποταμὸν, ἐνδακόντας τῶν κέρκων τῶν ἔμπροσθεν πορευομένων, τοὺς ἑπομένους στιχηδὸν διαπεραιοῦσθαι. καὶ οὕτω μὴ παρασύρεσθαι ὑπὸ τοῦ ποταμοῦ, ἀλλ' ἀλ-

λήλων, ὡς Αἰλιανὸς ἱστορεῖ. Λυκαβηττὸς, καὶ περὶ τούτων μεγάλη, τουτέστι τὸ κατὰ διαλάνθανον. ἐπὶ τῶν εἰς τὰ μεγαλαυχούντων, Ἀριστοφάνης. Λυκαβηττὸς, ὄρος τῆς Ἀττικῆς. εἴρηται δὲ οὕτω, διὰ τὸ λύκους πληθύειν. Λυκαμβὶς, ἀρχή. ὁ Κρατῖνος ἐν νόμοις τὸν πολέμαρχον δηλῶν, πρὸς ὃν ἀπεγράφοντο τὰς τοῦ ἀπροστασίου δίκας. λυκαμβίδα δὲ εἶπε, τὴν ἀρχήν.

Λυκαίδος, παρθένος λευκή. Λυκαονία, χώρα. Λυκαονίδαο σῆμα παρὰ Θεοκρίτῳ, ἀντὶ τοῦ υἱοῦ τοῦ Λυκάονος, ἤγουν τοῦ Μαινάλου. ἀφ' οὗ τὸ ὄρος Μαίναλον σῆμα, ἀντὶ τοῦ σῆμα, τουτέστι μνῆμα. Λύκαστος, πόλις. Λυκάστιαι, χωρίον τῆς Λακεδαιμονίας. ἀφ' οὗ λυκαστίας, εἶπε τὰς ἀμαζόνας. Λύκαιον ἀργινόεντα, τουτέστι λευκόγειον. ἀργιλώδης γάρ πού ἐστιν ἡ γῆ. ταύτην δὲ ἀργινόεντα, καὶ ἀργιλώδη, διὰ τὴν τοῦ ν καὶ τοῦ λ συγγένειαν, τὴν δηλουμένην καὶ ἐν τῷ ποιηλὸς, ὁ οἷον ποιηνὸς, ὅ ἐστιν ἐν συγκοπῇ ποινός. καὶ ἐν τῷ ἀθλέω. ἀθλέω γάρ φασιν ἐκεῖνοι, ὡς μὴ ἐκδαλέως. ὠνόμασαι δὲ Λύκαστος, ἀπὸ Λυκάστου αὐτόχθονος, ἢ παιδὸς Μίνω. ἔστι δὲ καὶ σκυλακὸς Λύκαστος, κατὰ τὴν χαρίαν τῶν ἰδιωτῶν. Λυκαονία, καὶ Λυκαρνία, χωρῶν ὀνόματα.

Λυκάων, κοινῶς μὲν κύριον ὄνομα, πολλοῖς προσκείμενον· ἀφ' οὗ ἐκ λύκου καὶ χώρα Λυκαονία. παρὰ δὲ τοῖς ὕστερον, καὶ ὁ πάθος συνακόλουθον, ἀχλοῦν περὶ μνήματα, οὕτω καλεῖται.

Λύκεια, ἀγὼν ἐν Ῥώμῃ. συνήθεια δὲ ὑπερμύρια, δορὰς ἐπιθόμενοι διελθεῖν. Λυκέη, λύκου δορά. Λυκεῖον, φοβερόν.

Λύκειον, Διογένης ἐν τῷ κατὰ [redacted]κράτους, ἐν τρισὶ παρ' Ἀθηναίοις γυμνασίοις ἐστὶ τὸ Λύκειον. Λύκειος. Λύκειον δὲ οὐδετέρως, γυμνάσιον ἐν Ἀθήναις. λέγεται ὅτι Λύκειος Ἀπόλλων, ἢ διὰ τὸ ἐν Λυκίᾳ τῇ πόλει ἱδρῦσθαι αὐτὸν, ἢ διὰ τὸ λύκων αὐτὸν ἱερὸν εἶναι. ἢ ὅτι κρεῖττον, διὰ τὸ λυκόφως καὶ τῆς νυκτὸς ὑποχωροῦσθαι. Ἀπόλλων γὰρ ὁ ἥλιος. Λυκεῖον ποτὸν, ἀπὸ κρείττονος τῆς ὑπὸ Ἀπόλλωνος εὑρεθείσης, ὑπὸ λύκων ποιμένας, ἀπὸ οἴνου καὶ μέλιτος. Λυκηγενὴς Ἀπόλλων, κατὰ τὸν μῦθον. οἱ μὲν Λυκηγενὴς, ὡς ἐν Λυκίᾳ γεγονώς. ἢ τῇ μεγάλῃ καλουμένῃ, ἢ τῇ μικρᾷ, ἧς Πάνδαρος ἦρχεν. ἀφ' ἧς καὶ ὁ πατὴρ Λυκάων παρωνόμασται. εἰς ἣν φασὶ μετὰ τὸ γεννῆσαι ἀπαλλάγηναι τὴν Λητὼ, τὴν τῆς Ἥρας ζηλοτυπίαν ἐκκλίνουσα. καὶ ἄλλως, Λυκηγενὴς λέγεται, ὅτι λύκος φασὶν ἐπιφανεὶς τῇ Λητοῖ, ἐν τῷ τεκεῖν, εἶτα καὶ πλεῖόν τι τὸν ἐξ αὐτῆς Ἀπόλλωνα ἐπωνόμασε, καὶ Λυκηγενῆ. διὸ καὶ Ἀπόλλωνι κατὰ μῦθον ὁ λύκος ἀνεῖται, καὶ νομίσματι ἐγχαράττεται. καὶ Λύκειος δὲ ἀπ' αὐτοῦ ἐκαλεῖτο, αὐτός τε ὁ Ἀπόλλων, καὶ ἀγορά τις ἐν τῷ Ἄργει. καὶ ἄλλως. ὥσπερ ὁ κύκνος ἱδρῦται τῷ Ἀπόλλωνι ἡλίῳ, διὰ τὴν λευκότητα, καὶ ὁ κόραξ διὰ τὴν νυκτερινὴν μελανίαν, ἧς οἷα καὶ μοῖρες ἀνατιθέναι, οὕτω καὶ λύκος ἀνάκειται αὐτῷ, διὰ τὸ μέσον εἶναι ἀμφοῖν τὸ λύκειον χρῶμα. τεφρῶδες γὰρ, καὶ οὔτε φαεινὸν, οὔτε ἄκρως μέλαν, ἀλλ' οἷον ἐστὶ τὸ πρὸ τῆς προσκεπτόμενον ὑποσκότερον χρῶμα. ὃ καὶ λυκόφως, ὁ κατωμελωμένος (?) ἄλλα καλεῖ.

Λυκηθμὸς, ἡ τῶν λύκων βοή. Λυκηγενὴς Ἀπόλλων. δῆλον ὅτι ἐλέγετο, καὶ διὰ τὴν μικρὰν Λυκίαν, τὴν μικρὰν λεγομένην Τροίαν. ὡς ἐν τοῖς περὶ Πινδάρου δηλοῦται. Λύκεις, κωμῳδίας ποιητὴς, ὡς ψυχρὸς κωμῳδεῖται παρὰ τῷ Ἀριστοφάνει. Λυκιάδος κόρας, τὸν ἀριθμὸν τριάκοντα, αἳ τὸν ὕλην κομίζουσιν εἰς τὸ λύκιον. Λυκιστήρας, τὸ τοῦ λύκου. λύκειον δὲ δῶμα, δίφθογγον. Λύκιος, κόλουνδον εἶδος. Λυκίαν, ἣν Τρωικὴν Ὅμηρος Λυκίαν λέγει. Λύκειον, πόλις Θετταλίας. ἔνθα λύκος ἐπιὼν τῆς πόλεως, ἀπελιθώθη. γράφεται διὰ δίφθογγον, τῷ λόγῳ τοῦ λαίγειον. Λυκολάτης, τὰς ἐχίδνας.

Λυκίσκος, ὁ μὴ ἔχουσα ἐξουσίαν τραχηλίαν. ζῶμα δὲ μόνον, ἢ ἄπεδος δέματος. Λυκοβατίας, δρόμος ἐν ᾧ οἱ λύκοι διατρίβουσι. Λυκοειδὴς, τὸ πρὸς τὴν ἕω. Λυκοειδὴς, διὰ

τὸ περικεφαλαίας ἄκρον, καὶ τῆς ἀναδέσμης. σημαίνει καὶ κύκλον τῶν περικεφαλαιῶν. Λοφοπαλεῖν, ἐπινεύειν. Λόφος, τράχηλος, καὶ τὸ ἐπὶ τῆς περικεφαλαίας ἄκρον. Λοφιῶντα, τὸν ἀπεῤῥωγότα τοὺς ὤμους. Λόφος, ὁ περὶ τράχηλον. ὅθεν τὸ καταλοφαδεια ἐν Ὀδυσσείᾳ. καὶ παρὰ Σοφοκλεῖ, τὸ ὑπὸ ζυγὸν τὸν τράχηλον εὐλόφως φέρειν, ὡς λόφου ἐν τοῖς ζώοις ὄντος, τοῦ κατὰ τὸ τράχηλον μέρους, ᾧ ἐπίκειται ὁ ζυγός. Λόφους, τοὺς ἱππολόφους λέγει Ἀπολλώνιος. Λοφυδνὸν, ἢ ἐλαφυδνὸν, εἰκτρόν.

Λοφωτὰς, ἐπισήμων. Λοχαγοῖς, στρατηγοῖς, ταξιάρχαις. Λοχαῖοι λίθοι, οἷς πρὸς τὸ τεκεῖν ὀξὺ χρῶνται αἱ γυναῖκες. Λοχεία, ἡ ἐπὶ τῷ τίκτειν ὠδίνη. Λοχεύει, ἐκθρέψει, τίκτει, γεννᾷ. Λοχεύεται, γεννᾶται, καὶ αὐτολόχευτος, αὐτογένητος, ὁ θεὸς ὁ ἀγένητος. Λοχεία, ἐπὶ γυναικὸς, ὅτι τίκτεται. λοχεία δὲ, διὰ τὸ ι ἡ ἐνέδρα. Λοχεία ἄρτεμις λέγεται, ὅτι Δηλοῖ ἐγείνατο αὐτήν. τῶν δὲ φασιν, ὅτι παννυχίως ἐν αὐτῇ αἱ γυναῖκες. Λοχεῖος, κλινόμενος, εὐνητος, ἀπὸ τοῦ εὐτροφεῖν. Λόχησις, ἡ ἐνέδρα. Λοχιᾷ, κρύφα γεννᾷ, αὐξει. καὶ ἄρτος, τῇ ἀρτέμιδι γενόμενος, καὶ ἀφροὺς ἀσαλχυας ἔχουσι. Λοχιάδες, αἱ ὗλαι. Λοχία, μαῖα. Λοχίαν, ἐκτρέφω τὴν, καὶ ἄφρους ἀσάλχυας, ἡ καρπὸς φέρουσαν.

Λοχίζει, ἐπιβουλεύεται. Λοχίζω, τάσσω εἰς λόχον ἄνδρας. λοχὸς γὰρ καὶ λόχησις, ἡ ἐνέδρα. λοχῶ δὲ, αὐτὸς ἐγώ.

Λῆθον, ἄγκιστρον. ἀφ᾽ οὗ τὸ λαβεῖν, καὶ τὰ λάμματα. ἔστι δὲ λῆμμα, ὃ λαμβάνει τις ἑτέρου διδόντος, ὅτι ἀπὸ μὲν τοῦ διδόντος λέγεται δόσις. ἀπὸ δὲ τοῦ λαμβάνοντος, λῆμμα. Λῆ, θέλει. Ληβόλα, λιθοβόλα, ἀπὸ λιθαδῆναι. Ληβολία, δημοσία κοπρία. Λητουργία, λειτουργία, ἔργον. Λήγω καὶ παύω, τοῦ γράφω, καὶ παύομαι γράφων. καὶ ἔτι παύομαι γράφων, ἐξ οὗ λῆξις καὶ κατάληξις καὶ ἄληκτον. Ληδάριον, θέριστρον. ἄλλως, εὐτελὲς ἱμάτιον θερινόν. Ληδοφόρος, καὶ ληδάριον ἐν πρίασθαι. Λήδαο, ὁ εὐθεία, ἡ λήδα. τὰ δὲ εἰς δα ὀνόματα, καὶ εἰς ρα, καὶ εἰς θα, ὁμοίως καὶ εἰς α καθαρὸν, φυλάττει τὸ α ἐπὶ τῆς γενικῆς καὶ δωρικῶς καὶ αἰολικῶς. τὰ μὲν εἰς δα, οἷον βασιλίνδα βασιλίνδας, ὀστρακίνδα ὀστρακίνδας, διελκυστίνδα διελκυστίνδας, μυΐνδα μυΐνδας, χυτρίνδα χυτρίνδας, φρυγίνδα φρυγίνδας, κινητίνδα κινητίνδας, χισσφιλίνδα χισσφιλίνδας, ἀποδιδρασκίνδα ἀποδιδρασκίνδας. αὗται δὲ πᾶσαι παιδιῶν εἰσιν εἴδη. τὰ δὲ εἰς ρα, οἷον ἡμέρα ἡμέρας, ἥρα ἥρας. τὰ δὲ εἰς θα, οἷον μάρθα μάρθας, κισσαίθα κισσαίθας, κυμαίθα κυμαίθας. τὰ δὲ εἰς α καθαρὸν, οἷον μαῖα μαίας, φιλία φιλίας. ἡ δὲ αἰτία, ὅτι τὸ α μακρὸν ἔχουσι, καὶ κανὼν ὁ λέγων, τῶν εἰς α βαρυτόνων θηλυκῶν, ὅσα μὲν καθαρὸν ἔχει τὸ α, ἢ μετὰ τοῦ ρ, τηρεῖ αὐτό, καὶ ἐπὶ τῆς γενικῆς. ὅσα δὲ πρὸ τοῦ α ἄλλο σύμφωνον ἔχει, εἰ μὲν μακρὸν ἔχει τὸ α, φυλάττει πάλιν αὐτὸ ἐπὶ τῆς γενικῆς, εἰ δὲ βραχὺ τρέπει αὐτὸ εἰς η. Ληδεῖν, κοπιᾶν, κακοπαθεῖν.

Λήδιον ἔνδυμα, τοῦ τελλοῦ. λαρὸν, λεῖον, καὶ πλατὺ λήδιον ἔνδυμα. Λήδιον τὸ τριβώνιον, ἢ χλανίδιον παλαιόν.

Λήθαιον, ὑπνῶδες. Ληθαία, λαθραία. Λήθαιον ὕδωρ, ἐπιλαθητικόν. ἢ λήθιον πόμα. Ληθάνει, λανθάνειν ποιεῖ.

Λήθαργος, ἐπιλήσμων, ἐπίβουλος. καὶ νόσος ὁ ἀργὸς ὢν, λαθέρα δὲ λάθρα, καὶ τῶν ἵππων οἱ ὀφθαλμοὶ καὶ νωθροί, καὶ πάθος τι τῶν νεκρῶν. Λήθαργος, ἡ λήθαργος νόσος, καὶ ὁ ταύτῃ νοσῶν, ὃς καὶ ἐπιλήσμων λέγεται. Λήθεσθαι, ἐπιλανθάνεσθαι. Ληθεδόνος, ὄνομα ποταμοῦ. καὶ ληθεδὼν, λῆθος.

Ληθεδανὸν φάρμακον, τὸ λήθην ἐμποιοῦν. Λήθη, ἡ λάθωσις. καὶ ληθεδὼν, ληθεδόνος. Λήθη, μνήμης ὄλεθρος καὶ ἐκβολὴ, καὶ ἀμέλεια. Ληθαῖς, εἰς λήθην ἄγον τὸ φάρμακον.

Λήθην κινοῦν, λήθην ἐμποιοῦντων φαρμάκων. τῶν τεταμένων σφίσι λήθην καταχέαντες, ἀντὶ τοῦ ἀμνηστίαν γενόμενοι. Ληθομένοισι, λανθάνουσι. Λήθης πεδίον, ἐπὶ τῶν ἀδικούντων. Λήθιος, λαθραῖος. Λῆθον, βαλιόν. Λήθομαι, ποιητικόν. τὸ ἐπιλανθάνομαι, κοινόν. καὶ λήθω ἕτερον, ὃ λανθάνω. καὶ μετὰ ψυχῆς, λανθάνω ποιῶν τόδε. καὶ ἔλαθον κλαπείς, ἀντὶ τοῦ λανθάνω ἐμαυτὸν, καὶ ἔλαθον ἐμαυτόν. τὰ γὰρ μεταβατικὰ ὅτε μὴ ἔχει ἄλλον μεταβαίνεσθαι, εἰς τὸ ἀμφότερον πρόσωπον ἐξ ἀντικειμένου ἀναστρέφει. οἷον μαθεῖν εἰς τὸν θεὸν ἐμαυτὸν διδάσκει. Ληθότης, ἡ ἐπιλησμοσύνη. Λή-

θω λανθάνω, μήθω μανθάνω, λήμπω λιμπάνω, τὰ διὰ τοῦ ἀπὸ πλεονασμοῦ τὸ ε συστέλλει τὴν ἄρχουσαν τῶν ῥημάτων, ἐξ ὧν παράγονται. Λήια, τὰ σιτοφόρα χωρία, καὶ σπαρτοὶ στάχυες. ἐτυμολογεῖται παρὰ τὸ λᾶν ἐπιτολμᾶν, καὶ τὸ ἴεσθαι. λήιον καὶ λήιον, παρὰ τὸ λίαν ἴεσθαι, ἢ αὔξεσθαι τὸ σιτοφόρον πεδίον. ὅθεν καὶ λεία, ἡ τῶν τετραπόδων κτῆσις, ἡ νομαῖος τὰ λήια.

Ληϊάδας, γυναῖκας ἃ ληϊστὰς, αἰχμαλώτους, ἐλεύθερον ἦμαρ ἀπούρας ἦγον. διὸ οὐ δηλοῖ, ὡς δύναταί τις ληϊάδας γυναῖκας ἑρμηνεύουσι τὰς δουλίδας. τοιαῦται γὰρ αἱ τὸ ἐλεύθερον ἦμαρ ἀφαιρεθεῖσαι. Ληϊάνειρα, ἡ σκυλεύουσα τοὺς ἄνδρας γυναικῶν ἱερῶν. Ληϊάς, αἰχμάλωτος, δορυάλωτος.

Ληϊβότειρα σῦς, ἡ λειβοσκημένη ἀγρίου ληίον. ὃν ἐξολόθρευον οἱ δεσπόται τοῦ χωρίου. ὁ νόμος δὲ φασι παρὰ τοῖς κυπρίοις. ἀπωλεῖ δὲ τὸν ἱερὸν τῷ Ἀπόλλωνι, ὡς ἅμα λῆθον πλείονα, καὶ τὸ αὐτοῦ ἱερὸν καταβοσκημένην, τὴν εἰκαστικῶς τῶν μουσῶν. Ληϊβοτεῖρας, ὄνομα ἐπίθετον. γίνεται παρὰ τὸ βοτὴρ βότειρα, ὡς πατὴρ πάτειρα, καὶ μητὴρ μήτειρα.

Ληϊβότος, ὁ ἄγριος χοῖρος. Ληΐδα, μεγάλα, ἢ λείαν τῶν φίλων κτῆσιν. Ληΐδα καταχρηστικῶς, τὰ χρήματα. κυρίως δὲ, τὰ ἐκ λαφυραγωγίας. Ληϊδάριον, θέριστρον, ἢ εὐτελὲς ἱμάτιον θερινόν. Ληΐδιον, τριβώνιον εὐτελὲς, ἢ χλανίδιον παλαιόν. Ληϊδιώδης, τριβωνώδης. Ληϊζόμενος, σφετεριζόμενος, αἰχμαλωτιζόμενος. Ληΐζω, λείαν λαοὺς καὶ λαοὺς ἄγεσθαι, καὶ ληΐδα σκυλεῦσαι, καὶ ληΐζειν, ἐν ταύτῃ λαφυρεύεις. ληΐζομαι δὲ, τὸ λαφυραγωγῶ. ληΐζεσθαι, αἰχμαλωτίζεσθαι. ληΐστων, ἐκλήϊζον. Ληΐστων, ἐλαφυραγώγησαν, αἰχμαλώτισαν. Λήϊα, προνομία, αἰχμαλωσία, βοσκήματα. Ληΐμενος, εὔβατος. Λήϊος ὅμοιος, καὶ λήϊμος, λήϊνος.

Λήϊοι, ἀγροί, καὶ ἄγγελοι. Λήϊον, τὸ χωράφιον, τὸ λαίου διάμετρον. λαῖον δὲ, τὸ ἀριστερόν. λήϊον καὶ λαῖος. Λήϊον, εὐτελὲς, κολόβιον. Λήϊον, ἀπὸ τοῦ γῆ ἐτυμολογοῦσιν οἱ παλαιοί, οἷον τραπέζιτος τοῦ γ εἰς δ. ὅπερ ἐστὶ καὶ ἐν τῷ μόγις καὶ μόλις γίνεται. τὸ δὲ αὐτὸ καὶ λάϊον δωρικῶς λέγεται, διὸ συνελὼν ὁ Θεόκριτος, λαῖον αὐτὸ λέγει. ὥσπερ αὖθις τὰ λήϊα, λῆα ποιεῖ ὁ συναιρέσεις. καθὰ καὶ τὸ ληΐδιον λήδιον, καὶ τὸ ληΐζω λῄζω, καὶ τὸ ληΐζεσθαι λῄζεσθαι, ἀπὸ τοῦ ληΐζω. Ληΐς, κτῆσις ἡ ἐκ τῶν λαφύρων, καὶ βούλευσις. Ληΐς, ἡ λαφυραγωγία. λεία ἡ λαφυραγωγία, καὶ ἐν διαιρέσει ληΐς. τὸ δὲ λεία, οἶμαι παρὰ τὸ λαύω τὸ ἀπολαύω, λέγονται καὶ ληΐδες καὶ ληΐτιδες. αὐτὰρ ληϊάδες δορυκτήτοις περὶ ἀέθλων, ἐλάχιστοι μία ὕστερ ληΐτιδες. Ληΐστων, ἐκ λείας κατέλιπεν. Ὅμηρος, σύν μοι ληϊστὴρ λαὸς ὀλβιοδός. Ληϊθεὶς, ληϊσθείς. καὶ ληιστὸν τάγμα, καὶ πλοῦτος. λῃστικὸν δὲ κτῆμα. Ληϊσθεὶς, κλαπεὶς, ἀφαιρεθείς. Ληϊθιῶν, τρεπόμενος. Ληϊσμαλία, αἰχμάλωτος, λελῃσμένη. Ληΐσσαν, ἀπὸ λείας ἔλαβον. ἐληΐζοντο, ἐλαφυραγώγησαν. Ληϊστοί, κτητοί. Ληϊστοί, ἀπὸ τοῦ ληΐζω γίνεται, ἢ μᾶλλον ἀπὸ τοῦ λεία κατὰ διάλεκτον ληϊστοί, καὶ ψυχὴ ληϊστὴ διὰ τοῦ ι, ὅθεν ἐνταῦθα εἰς α ἐκεῖνο τὸ ληϊστόν. ἐπὶ δὲ παθητικῶς μὲν διαθέσεως ὁ ληϊστός. ληΐζεσθαι μὲν ἐκ πολέμου. πρώτη δὲ γενικώτερον, καὶ ἀντ᾽ ἀλλαττόμενος, ὁ χάριν λαμβάνων, ἢ ἕρμαιον εὑρίσκων, ἢ ἄλλως ἐπικτώμενος. ἔστι δὲ λεία, ἡ ἀκουσίως ἐλαυνομένη. ἑκὼν δὲ, ἡ ἑκουσίως ἐπιβαλλομένη. καὶ ὡς ἂν εἴποι τις αἱρεθεὶς, διὰ τὸ κατὰ προαίρεσιν. Ληϊστὸς, ὁ ἐκ λείας, ὁ διὰ λαφύρων, κτητός. Ληϊσοσάλπιγγες, οἱ τυρρηνοί, ἐπειδὴ πρῶτοι σάλπιγγος εὑρεταὶ γεγόνασι. Ληϊσταί, πλῖον, ἀφ᾽ οὗ τὸ πῦρ φέρεσθαι. Λήϊτα, κτήματα. Ληϊταί, ὑπηρεσίαι, τρυγαί, λαφυραγωγίαι. Λήϊτο, ἱερεῦ. οἱ δὲ λειτή.

Ληΐτιδι. ἴσως μὲν ἐκ τοῦ ἀγελαία, ὑπὲρ ἑκείνης γίνεται παρὰ τὸ ἄγειν λείαν, ὅς μέρος καὶ τὰ λάφυρα, ὅπερ σκῦλα. ἐξ ὧν

συλλογὰ

σφῦ, τὰ περιφανῶς βλέποντα. Λεκάνειος, βαβυλώνιος, λευκόχροος. Λεκάνιχος, λευκὸν σῶμα ἔχων, ἐν ἐπιγράμμασι.

Λέβητρα, χωρίον βοιωτῶν περὶ θεσπιάν. Λεκύθιον ἔφηβον φησὶν ὁ ποιητὴς, ὁ κατ' ἀλληγορίαν τὸ διαφανὲς τῆς αὐγῆς αἰνίττεται. ἐκεῖνο δὲ τὸ ὄρος. ὡς γὰρ θύρα θύρη, οὕτω χώρα χώρη, καὶ ὥρα ὥρη. ὡς δὲ ἡ ὠλένη, ἀφ' ἧς ἡ λευκώλενος, ἐκ τοῦ ὅλου τὸ μέρος γίνεται, ἐκ τοῦ τὸ κατὰ ἰωνας, ἐκ ἡ ὠλένη, καὶ λευκαῖς ὠλέναις, λευκόν. Λευκώλενος, λευκοβραχίων, λευκόπηχυς. Λεύκωμα, τοῖχος γύψῳ ἀληλιμμένος, πρὸς γραφὴν πολιτικῶν πραγμάτων ἐπιτήδειος. Λεύκων ἀγνὸς, τὸ γένος ἐν τοῖς πελοποννησιακοῖς, τῶν δραμάτων αὐτοῦ ἐστι ταῦτα, ὄνος, ἀσκοφόρος, φράτορες. Λευκωσία, μία τῶν σειρήνων. ἡ δὲ παρθενόπη, πρώτη ὂν ἐν αὐταῖς. παρθενόπην λέγουσι, διὰ τὸ ἔχειν παρθένου μικρᾶς φωνήν, ἢ διὰ τὸ ὅμοιον παρθένου μικρᾷ. λευκωσία πάλιν, ἡ λευκοτέρα ἔχουσα λευκὰ ὦτα. ἢ λευκοῦ ἵππου θυγάτηρ, ἢ τὰ τοῦ λευκοῦ ὦτα ἔχουσα. Λαμυρία, ἡ εὐτραπελία, ἡ μετὰ λάλου αἰσχύνης, καὶ ἡ καταφρόνησις, καὶ ἡ θρασύτης, καὶ ἡ καθαρότης. ἀφ' οὗ λαμυρὸν ὕδωρ, τὸ καθαρόν. καὶ λαμυρὰ γραφὴ, ἡ ἔμφασις καὶ καθαρά. Λεπρά, λεπτά, λεῖα. Λεῦραι, εὐρίσκειν. Λευρὰν, λίαν, εὐρεῖαν, ἢ πλατεῖαν. Λευρᾶς σωφροσύνης, τελείας καὶ ταπεινῆς κοίλης, ὁμαλῆς, μετριαχείας. Λευρὸν, τὸ λεῖον καὶ πλατὺ, ἀπὸ τοῦ λίαν εὐρὺ, ἢ λελιθωμένον. λεῦον γὰρ, τὸ λίθοις βάλλειν. Λευρὸς, ὁμαλὸς, λεῖος, ἀπὸ τοῦ λίαν εὐρύς. Λεύσσουσι, συνελεύσονται. ὁρῶσι, καὶ βλέπουσι κοινῶς. λεύσσω, τὸ βλέπω. λεύσσετε, ὁρᾶτε.

Λευστὰ, ὁρατὰ, λιθοβόλητα. Λευστῆρα, λιθοβόλον. λευκόφρων, λευστῆρα οὔτινα φίλος ἤγειρε. Λεχριόω, φλυαρῶ.

Λεύχεσθαι, κομᾶται. Λευχείμων, λευκὰ ἱμάτια φορῶν. Λευχειμονεῖν, λευκός. συμβαίνει γὰρ ἐκ περὶ τὸ ἔαρ ἐπὶ τὸ θέρος, ὃ λευκοὺς τοὺς ἐπιβρέχοντας ποιεῖ, ἐπὶ τῶν φυτῶν εὑρίσκεται. Λεώ, λιθάζω. Λεχαίης φυλάσσε, τὴν πρὸς λέχει καὶ ἐπιβουλεύει ἐπιτηδείαν, ἀπὸ τοῦ λέχος. Λέχαιον, ὄνομα ὄρους. καὶ λέχαιον, ἐπίνειον κορινθίων, ἀπὸ λέχητος, μυθικοῦ ἄρχοντος. Λεχεαίας, καὶ κατέχοντος, ἀσυνέτως ἐντομὸς ἱσορεῖται παρὰ τῷ ποιητῇ, ὡς πολλὴν ποίαν τρέφων, ἤγουν βοτανώδη, ἐν ᾗ λέχεσθαί τε, ἤγουν κατακλίνεσθαι διὰ τὸ δαλερόν. Λεχίρια, ὑπὸ ἀργυρίων θυσία ἐπιτελουμένη τῇ ὥρᾳ. Λέχθαι, κοίτας. Λεχέων στυγερῶν, μισητῶν γάμων. Λέχει, ἐφ' οἷς τὰς παρθένους κοσμοῦσι. Λεχέεσσι, σκάλαττε. Λεχμέδα, ἠλέκτρον. Λέχος, τόνος. Λέχος, δῆλον ὅτι τὴν κλίνην σημαίνει, ἥν οἱ ὕστερον καὶ ἀσπαλάτιον καὶ σκίμποδα ἔλεγον, ὡς δηλοῖ ὁ γράψας οὕτως, ἀσπαλάτιος ἀττικῶς. σκιμπόδιον δὲ ὁ σκίμπους, ὁ δὲ κράββατος παρ' οὐδενί. λέχος δὲ ἀσπαλάθιον, τὸ μὴ ἀσχίδιον καὶ εὐκαίρον, ἀλλὰ ἐπιμεμελημένον καὶ πολυδαιδάλον. Λέχος, καὶ εὐνὴ, δῆλον ὡς διαφέρει. καὶ ὅτι λέχος μὲν ἡ κλίνη πολυτελὴς οὖσα, ἵνα φέρειν ἔχει στερρῶς τὰ ἐπικείμενα. εὐνὴ δὲ, τὸ παρ' ἡμῖν στρῶμα. ὧν ἑρμηνεύων ὁ ποιητὴς ἔλεγε, κῶεα καὶ χλαίνας τε ῥήγεα καλλίονα. Λέχος, ἡ κλίνη. εὐνὴ δὲ, ἡ ἐπ' αὐτῆς στρωμνή. κατὰ τὸ, ἐμβάλετ' εὐνῇ δέρματα καὶ χλαίνας, ὧν περιεργεῖται τὴν εὐνήν. ἀλλὰ τὸ ἐπίσημον ἀμφότερα δηλοῖ, τήν τε εὐνὴν δηλαδὴ, καὶ τὸ ὑποκείμενον λέχος. Λέχος καὶ εὐνὴ καὶ δέμνια, ταυτὰ κατὰ πολυωνυμίαν εἰσί. Λεχόεντ, στιβαδώδη. Λέχος, μίξις, συνουσία, κοίτη, παρὰ τὸ λεχθῆναι ἡμᾶς ποιεῖν, ὅ ἐστι πλαγίους. ἢ παρὰ τὸ λέγω τὸ κοιμῶμαι, λέχος. Λέχριον, πλάγιον, λοξόν. Λέχρις, πλαγίως, ἢ ἐκ πλαγίου. Λεχώ, ἡ προσφάτως τεκοῦσα.

Λεχώδης, ὑλώδης, βοτανώδης. Λεχώια, τὰ ἐπὶ τῇ λοχείᾳ. ἀλλὰ κέρας τῇ παιδὶ λεχώια δῶρα φέρουσαι, θῆκαν κατὰ ψυχροῦ δάκρυα χεῦσαι τάφου. Λεψυρός, τεχέσ.

Λεὼς ἀττικῶς, ὄχλος. λαὸς, κοινῶς. Λεωβότος, ὁδὸς, καὶ ἰχθὺς σελαχώδης. Λεωκόρειον, τεῖχος. Λεωκόρειον εἶναί φησι Φανόδημος ἐν τῇ ἐννάτῃ ἀτθίδος, ἐν μέσῳ τοῦ κεραμεικοῦ. Λεωφόρος, ἡ τὸν λαὸν φέρουσα ὁδός. Λεωκόριον, ἱερὸν ἀθήνησι τῶν λεὼ θυγατέρων. ὁ δὲ λεὼς υἱὸς ὀρφέως. Λεωλέστατος, λεωλίθιος. ἢ λεωλέθρος, παντελῶς ἐξολοθρευόμενος. Λεώλας, τελείως ἐξώλης. Λεῶμι, τίλλω. Λέων, τὸ θηρίον, καὶ παρθένος, καὶ ἰχθύς. Λέων, παρὰ τὸ λάω, τὸ βλέπω. ἐξ οὗ ἀλαὸς, ὁ ἐστερημένος τοῦ βλέπειν. ὀξυδερκέστατον γὰρ τὸ ζῶον, ὥς φησιν ὁ Μανέθων ἐν τῷ πρὸς Ἡρόδοτον, ὅτι οὐδέποτε καθεύδει ὁ λέων. τοῦτο γὰρ ἀπίθανον. οὐκ ἐνδέχεται γὰρ ἐγρηγορέναι ἀεί. ἀλλ' ἴσως ὡς αἱ δορκάδες ἐν τῷ καθεύδειν, οὕτω καὶ ὁ λέων ἀνεῳγμένους ἔχει τοὺς ὀφθαλμούς. ἐπειδὴ τῶν ὀφθαλμῶν αὐτῶν μεγάλων ὄντων, τὸ δέρμα τὸ ἐπικείμενον τοῖς ὀφθαλμοῖς, μικρότερόν ἐστι, καὶ οὐ δύναται σκεπάσαι αὐτούς. Λεωπέτρα, λίθος λεῖος. Λεωργὸν, πανοῦργον, κακοῦργον, ἀνδροφόνον. Λέων, ὁ ἐν τῷ οὐρανῷ. ἔστι μὲν τῶν ἐπιφανῶν ἄστρων. δοκεῖ δ' ὑπὸ Διὸς τιμηθῆναι τοῦτο τὸ ζῴδιον, διὰ τὸ τῶν τετραπόδων ἡγεῖσθαι. ἔνιοι δέ φασιν, ὅτι ἡρακλέους πρῶτος ἆθλος ὢν εἰς τὸ μνημονευθῆναι. φιλοδοξῶν γὰρ μόνον τοῦτον οὐχ ὅπλοις ἀνεῖλεν, ἀλλὰ συμπλακεὶς ἀπέπνιξε. λέγει δὲ περὶ αὐτοῦ καὶ Πίνδαρος ὁ ποιητής, ὅθεν καὶ τὴν δορὰν αὐτοῦ ἔχειν, ὡς ἔνδοξον ἔργον πεποιηκώς. οὗτός ἐστιν ὁ ἐν τῇ Νεμέᾳ ὑπ' αὐτοῦ φονευθείς. Ἱστορία. Λέων ἐν Νεμέᾳ χώρᾳ τοῦ ἄργους ἦν ἄτρωτος σιδήρῳ, καὶ βολαῖς παντοίαις. ὃν Ἡρακλῆς συνέλαβε ταῖς οἰκείαις χερσί, σκέπασμά τε τὸ τούτου δέρμα ἐπεῖχεν. φίλος δὲ ὢν τῷ Τελαμῶνι ἄπαιδι ὄντι, καὶ εὐχομένου ποτὲ τῷ Διὶ δειπνοῦντι, ἐπῆλθεν ὑπό τινος εἰσαχθεὶς εἰς τὴν αὐτοῦ οἰκίαν, καὶ εὔξατο τῷ ἰδίῳ πατρὶ Διί. οὕτως ἴσως μετὰ τῆς λεοντῆς, καὶ εὔξασθαι γενέσθαι παῖδα ἄρρενα αὐτῷ. ἡρακλῆς δὲ λαβὼν χρυσίαν ἐνδέχεσθαι φιάλην, ἄρξας καὶ εὔξατο οὕτως. καὶ μετὰ τὴν εὐχὴν δείκνυσιν αὐτῷ. ἔσται φησὶ Τελαμῶν, ἔσται σοι παῖς, ὃν κάλλιστον οὐδὲν, καὶ καλεῖ αὐτὸν κατὰ τὸ σημεῖον. καὶ γεννηθέντα τὸν Αἴαντα, αὐτὸν ἐκάλεσεν Αἴαντα. αὐξηθέντα δὲ, τῇ λεοντῇ τοῦτον Ἡρακλῆς ἐνέδυσε, καὶ ταύτην αὐτῷ ἐχαρίσατο. ὑφ' ἧς σκεπόμενος ἦν ἄτρωτος. πλὴν μόνου τοῦ τόπου κατὰ τὸν τοῦ σκεπομένου τραχήλου ὑπὸ τοῦ γωρυτοῦ, ὅτε ταύτην ἐφόρει ὁ Ἡρακλῆς. ἄλλοι δέ φασιν, Ἡρακλέους εἶναι τὸν Αἴαντα. ταῦτα δὲ Λῦρος. οὗτος δὲ ἔχει τὸ ἄδετος, περιδέξιος ὢν τραύματος ὁ Αἴας, καὶ πολλοῖς πολέμοις πολεμήσας, οὐδέποτε ἐτρώθη, τῷ ἀκίνδυνον ἑαυτὸν καὶ σκέπεσθαι τῷ σάκει. ἐπεὶ δὲ αὐτὸς ἑαυτὸν ἀνεῖλε τὸ ξίφος κατὰ πλευρᾶς ὤσας, ἢ τοῦ τραχήλου, εἰς μῦθον ἐξέβη ὅτι τόπους τοὺς τόσους εἶχε μόνους τρωτούς. Λεοντοδὸν, φοβερὸς, δίκην λέοντος. Λέοντος ἰδιώτης. φασὶ τὸν λέοντα διωκόμενον μὴ φεύγειν προτροπάδην, ἀλλ' ἐπιστρεφόμενον, ὅ ἐστι συχνὰ μεταστρέφεσθαι. ὅς τὸ, ὀλίγον γόνυ γουνὸς ἀμείβων, ὃ μεταλαβὼν ὡς ἐπὶ σπήλαιον χωρῶν λέγει, οὐ φράσας καλλίον τοῦ ποιητοῦ, ὡς τὸ γόνυ γουνὸς ὀλίγον ἀμείβειν πρὸς τὸ μακρὰ βεβηκέναι, ἐπιδείκνυσιν. Λέοντα παρ' Ὁμήρῳ, ἐν τῷ ρ τῆς ἰλιάδος οἱ παλαιοὶ τὴν θήλειαν λέγεσθαί φασιν, διὰ τὸ τοῦ ποιητοῦ μὴ εἰδότος εἰπεῖν λέαιναν, ὡς καὶ περὶ ἀρτέμιδος εἶπε τοῦτο, ἐπεί σε λέοντα γυναιξὶν ἔθηκε Ζεύς. ὅτι λεαινῶν δὲ τὸ ὄνομα, λέγοντες, ἱστοροῦσι καὶ ὅτι λέοντα ἀργῶν ἀσχημονεῖν. διὸ Ζηνόδοτος οὐ παρεδέχετο τοὺς τοιούτους στίχους, λέοντα μὲν αὐτὸς τὸ ἄρρενα τούτων, λέγων δὲ συμμαρτυρεῖν τὸ ἄρρενα. Ὁ μὲν Ἀντίμαχος, καὶ ἄλλοι συμμαρτυροῦσιν ἱστοροῦντες τὸ ἄρρενα λέοντα. Λέων κατὰ ταῦρον ἐδόκει, ἀντὶ τοῦ κατεδόκει. ἐντεῦθεν δηλοῦσι τὰ συνήθη ῥήματα, ἢ μεταξὺ ἐδίδοσαν τὰ ὀνόματα.

Λεπταλέον, ἰσχνὸν, λεπτόν. λεπτὰς καὶ παχείας, λιθάκας ἐν ὀνόμασι τὰς δραχμάς. λεπτὰς μὲν, τὰς ἐμβόλους. παχείας δὲ, τὰς πλεῖον ἐχούσας. Λεπτεῖν, πλέκειν, ἐπὶ τῶν πηνῶν τοῦ λέγεσθαι. Λεπτὴ, ἀσθενής. λεπτὴ, ἰσχνή. Λεπτὴ νόσημα, τουτέστιν ἡ αὐτὴ δίοδος, παρὰ τὸ εἰσιέναι γινομένη, ὁ πλεονασμὸς τοῦ σ ταῦτ' σημαίνει ἀρχαὶ εἴδωλος. Λεπτόκοκα, λεπτὰς ἐργασίας ποιοῦντα. Λεπτ' ἤλακατα, στροφὴ λεπτὰ μηρύματα, ἀπὸ τῆς ἠλακάτης νήθεται. τὸ γὰρ ἔτυμον οὕτως, οἷον ἠλακάτα, ἀπὸ τοῦ ἐπελίσσειν συνεχῶς. τινὲς δὲ ἠλάκατα, τὰ σήμονα. Λεπτόγεως, ὁ κακὸς ἀγρὸς, ἡ λεπτὴ γῆ, καὶ μὴ λιπαρά. καὶ λεπτόγεως. Λεπτόμυλος, ὁ λεπτὴ ψυχή. Λεπτόμιτος φᾶρος, τὸ λεπτὸν ἱμάτιον. Λεπτομερὲς, μικρομερῶς. Λεπτὸς, παρὰ τὸ λύπω λεπτὸς, ὁ λείπων καὶ ἐνδέων. ἢ λέπω λεπτὸς, ὁ ἀπολελεπισμένος. ἢ παρὰ τὸ λέπος. τοῦτο παρὰ τὸ λέπω λεπίζω, ὁ μέλλων λέψω.

Λέπτυνιν παρὰ Λυκόφρονι, οἷον μὴ λελείψεται τῶν περσεφόνων, παρόσον ἀπεκτανετιδ... ἢ ἄλλως λέπτυνιν, οἱ μὲν τὴν ἀδελφὴν, οἱ δὲ τῶν περσεφονίων φασὶν, ὅτι τὴν λεπτόδουσαν τὰ σώματα τῶν ἀποθανόντων. ἢ λέπτυνιν τῶν ψυχῶν, παρὰ τὸ λεπτοσμένην καὶ ἀσώματα οὖσαν. ἢ λέπτυνιν τῶν περσεφονίων, ἔστι τῶν ψυχῶν καὶ τὴν θάλασσαν. Λεπυρὸν, ὀστράκινον. σημαίνει δὲ ἢ τὸ τοῦ ὠοῦ, ἢ τὸ τῆς ῥοιᾶς ἐπικάλυμμα. Λεπυρῶσαι, ἐξαχυρῶσαι. Λεπτύνω, ἰσχναίνω. Λεπτυσμός. λεπτυσμός ἐστιν, ὅταν τὸ βάθος τῆς φάλαγγος συναιρῆται, καὶ ἀντὶ τῶν πεντεκαίδεκα ἀνδρῶν ἐλάττους γίνονται. Λέρναι, χελαί. Λέρναι, κρίναι τοῦ ἄρεος, ἱερὰ ... τελῶν. Λέριοι θεαταὶ, ἀντὶ τοῦ κακῶν θεατρον. Λερὸν, τὸ λεῖον. Λεσβιάζειν, πρὸς ἀνδρὸς σῶμα πίνειν. λεσβιάδας γὰρ, τὰς λαικαστρίας ἔλεγον.

Λεσβίδας, ἀπὸ Λέσβου τῆς νήσου. Λεσβιεῖν, ἐπὶ αἰσχροῦ τάττεται. ἐπειδὴ οἱ Λέσβιοι αἰσχρουργοῦσι τὸ στόμα μολύνοντες, κατὰ τὸ ἱστορούμενον, ὅτι παρὰ Λεσβίοις τοῦτο πρῶτον ἐγένετο. ὡς παρὰ Θεοπόμπῳ ἐν Ὀδυσσεῖ, ἵνα μὴ τὸ παλαιὸν τοῦτο καὶ θρυλλούμενον, δι' ἑκατέρων κομψὸν ὅπως σόφισμα, ὅ φασι παῖδας Λεσβίων εὑρεῖν. Λέσβος, ἡ νῦν Μιτυλήνη ἀπὸ μέρους, ὅτι ἀπὸ Λέσβου μιᾶς τῶν ἐν τῇ νήσῳ πόλεων, ὥσπερ ὕστερον ἡ αὐτὴ ὅλη νῆσος Μιτυλήνη καλεῖται. ὡσαύτως ἀπὸ ἑτέρου μιᾶς ἴσως ὄντος ἐν αὐτῇ ποτε πέντε πόλεων. ἱστορεῖ δὲ, ὅτι Λέσβιοι οὐκ ἀγαθοὶ τοὺς ἀνθρώπους ἡ Λέσβος ἐκλαύειν. ὅθεν καὶ λεσβιάζειν, τὸ αἰσχρῶς μολῦναι τὸ στόμα, κατὰ Αἴλιον Διονύσιον, ὃς καὶ τὴν τῆς παροιμίας Λέσβιον ᾠδὸν Τέρπανδρόν φησιν, ἢ Εὐαίνετιδα, ἢ Ἀρίωνα Μιτυλήνην. καὶ Ἀριστοτέλης δὲ ἐν τῇ Λακεδαιμονίων πολιτείᾳ, τὸ μετὰ Λέσβιον ᾠδὸν, τὸν Τέρπανδρόν φησι λέγειν. ἐκάλουν γάρ φασι καὶ ὕστερον εἰς τῶν ἐκείνου ζημιῶν, πρῶτον μὲν ἀπογόνων δι' αὐτὸ, εἶτα εἴ τις ἄλλος παρείη Λέσβιος, εἶθ' οὕτως οἱ λοιποὶ μετὰ Λέσβιον ᾠδὸν τὴν ἁπλῶς Λέσβιον. χρῆσις τοῦ λεσβιάζειν, καὶ παρὰ τῶν κωμικῶν. Λεσχήνια, τὰ εἰρημένα ἀπειλησκεια, τὰ κοῦφα. Λέσσων, μιτυλήνην, ἱερὸν λίαν. Λέσβιος, τῶν καταλυομένων εἰς πέλαγος πέτραν, οἱ δὲ τῶν στερεῶν, ἄλλοι δὲ ἀκίδα βαθεῖαν, οἱ δὲ λοχμῶν.

Λέσχαι, τὰ κοινὰ δεικτήρια, καὶ αἱ φλυαρολογίαι, καὶ αἱ ψιλολογίαι, καὶ αἱ ὕβρεις. οἱ γὰρ καθεζόμενοι χάριν θέρμης ἐν ταῖς οἰκίαις, λόγους συνείρουσι. Λεσχαῖος, ἐξηγητὴς, ὁμιλητής. Λεσχῆναι, αἱ χολαὶ, ἀπὸ τοῦ λέγειν. ἐκεῖ γὰρ ὡμίλουν.

Λέσχη, ὁμιλία, καὶ ἡ φλυαρία, καὶ ὁ δημόσιος τόπος, ἐν ᾧ διέτριβον οἱ πτωχοὶ, καὶ διελέγοντο ἀλλήλοις. σημαίνει δὲ καὶ τὰ κοινὰ δειπνητήρια, καὶ τοὺς ἐν αὐτοῖς λόγους, καὶ τοὺς ἄλλους τόπους λέσχας καλοῦσι. Λέσχη, δημόσιον ἀθύρωτον οἴκημα. ἔνθα οἱ ἐπαῖται συναγόμενοι, ὡς λέχος τὸ αὐτὸ εἶχον, καὶ ἐλέσχαινον δὲ, ὅπερ ὡμίλουν τὰ δοκοῦντα διαλαλεῖν αὐτοῖς. ἢ καὶ παρὰ τὸ λέχος λέγεσθαι, καὶ παρ' αὐτὸ τὸ λεσχαίνειν. ἀφ' οὗ καὶ τὸ ἀδολεσχεῖν, καὶ ὁ ἀδόλεσχος. Λεσχηνεία, ὕβρις. καὶ λεσχηνευτὰς, ὁ ὑβριστής. Λεσχηνεῖ, κάπτει, ὁμιλεῖ.

Λευγαλέον ἐχθος, ἡ ἀπειλή. Λευγαλέαις, δυσχεραῖς, χαλεπαῖς διατριβαῖς. Λευγαλέοι εἰσὶν, οἱ πρόχειροι εἰς λοιγὸν, ἢ εἰς τὸ λέγεσθαι, ὃ ἐστι κοιμᾶσθαι νήγρετον. ὥστε δὲ, καὶ τοὺς φεύγειν ἐσόμενον, ἐσόμενον. Λευγαλέον, λύπηρον, χαλεπὸν, παρὰ τὸ λοιγὸν, ὃ σημαίνει τὸν ὄλεθρον λοιγαλέον. καὶ μονοθέτως τὸν δισύλλαβον, λευγαλέον. Λευγὴ, μέτρον τι γαλλικόν. Λευέειν, λιθοβολεῖν. λεύσθη, ἐκ τοῦ λίθῳ λεύσω, τὸ κτείνω. δεῖ ἰδεῖν γράφεσθαι σ, ἐστὶ μέλλοντος. λεύσω δὲ τὸ βλέπω, ἐν δυσὶ πεφύλαξαι. Λευΐαν, ἡ λεωτέαν, βασίλεια ἐλάττων ἑρμηνεύει. Λευὶ, ὄνομα κύριον. οὗ ἡ φυλὴ ἱερατικὴν τάξιν ἐκλήρου. καὶ λευίτας, ὁ ἱερεύς. Λευίτης, ὁ διάκονος, καὶ ὁ ἀπὸ φυλῆς τοῦ Λευί. ὁ λευίτης ἐστὶν, ὁ διακονῶν τὸν τοῦ θεοῦ λόγον πρὸς ὠφέλειαν ἄλλοις δεδομένος. Λευκάδα πέτραν, ὁ μῦθος πρὸς τὴν ἅλα πλάττει, ἢ κατὰ ἀντίφρασιν. μέλας γὰρ ἐκεῖ σκότος. ὁ καὶ διὰ τοὺς ἰχθῦας τοὺς ἐκεῖ γῆς τόπους, οὐδ' εἰκὸς τὴν ἅλα ἐκεῖ διαλανθάνειν δοκοῦμεν. ὅτι δὲ καθ' ἱστορίαν Λευκὰς τόπος ὑπορθὸς, ὅς ἐχθροὺς λευκάδας, λευκὸν ἐστι.

Λευκανία, ὁ λαιμὸς, ὁ στόμαχος, ὁ βρόγχος, ἢ τὸ ἀπηρτημένον τοῦ γαργαρεῶνος, παρὰ τὸ λευκὸν εἶναι τῇ φύσει, ἢ παρὰ τὸ χάω, χαωνία, καὶ λευκανία. Λευκανίην, τὸ ἀπηρτημένον τοῦ γαργαρεῶνος ἀπέδυκεν. Λευκαὶ φρένες, μανιώδεις, ἢ λαμπραὶ, ἢ ἀγαθαὶ, ἢ ἁπλαῖ. Λευκαίνω, πολιοῦμαι, καὶ λευκὸς ἀπὸ τοῦ.

Λευκάσπιδα, λευκὴ ἀσπίδι χρώμενον. Λευκὰ ἄλφιτα, τὰ ἐκ κέγχρων, καὶ ὁ λευκὸς κέγχρος. Λευκέα, χεῖρος. Λευκήπιτος, εἶδος σιτοῦ. Λευκὴ, ἡ διαφανὴς καὶ λαμπρά. παρὰ τὸ λεύσσω, τὸ βλέπω. Λευκὴ ἡμέρα, ἡ ἀγαθή. Λευκὰς, γένος τι περὶ ὅλον τὸ σῶμα. Λεύκη, ἐστεφανωμένος τῇ μυρσίνῃ καὶ τῇ λεύκῃ. οἱ τὰ βακχικὰ τελούμενοι, τῇ λεύκῃ στέφονται, ἀρχθόνιον μὲν εἶναι τὸ φυτὸν, χθόνιον δὲ καὶ τὸν τῆς Περσεφόνης Διόνυσον. τὴν δὲ λεύκην πεφυκέναι φασὶ, πρὸς τὸν Ἀχέροντα, ὅθεν καὶ ἀχερωΐδα καλεῖσθαι παρ' Ὁμήρῳ. ἔρνεσιν ὡς ἐπὶ φὺς ἤ ἄχερδος, ἢ πίτυς βλωθρή. Λευκὴ πάθη, ἐπὶ τῶν ἄλλα ἀλλήλοις συμπεφυρμένων, ἢ ἐπὶ τῶν μηδὲν συνιέντων.

Λευκὴ ψῆφος, πλεονεκτικὴ ἐπὶ τῶν εὐδαιμόνως ἢ εὐτυχῶς ζώντων.

Λευκὴ, νῆσος ὄνομα ἐν πόντῳ. λευκὴ δὲ λέγεται, διὰ τὸ ἐνδιαιτᾶσθαι ἐν αὐτῇ πλῆθος λευκῶν ὀρνέων. Λευκὴν ῥίζαν, τὴν τῆς ἀφανείας. Λευκὴν ἡμέραν διαγαγεῖν λέγουσιν, ἤγουν εὐδίαν καὶ ἱλαράν. Λεύκωμα, πίναξ γυψώδης εἰλημμένος, πρὸς γράμματα δημόσια γραφόμενα ἐπιτήδειος. Λευκίτης παρὰ Θεοκρίτῳ, ὁ λευκός. Λευκίνω, πίσσα. Λευκοθέα, ... Λευκοθέα, ἡ Ἰνὼ, ὅτι ἐμμανὴς γενομένη διὰ τὸ λευκὸν πεδίον θέουσα, ὅ ἐστι περὶ τὴν Μεγαρίδα, ἑαυτὴν εἰς τὴν θάλασσαν ἔρριψε. Μυρσίλος δὲ οὐ μόνον τὴν λευκοθέαν ἐνὸ φησὶν, ἀλλὰ καὶ τὰς ταρριάδας, λευκοθέας ὀνομάζει. Λευκόκρανον, λευκοκέφαλος. Λευκὸν, τὸ μόσχον λευκόστικτος. λευκὸν δὲ ἐστι, χρῶμα διακριτικὸν ὄψεως, ὅτι ἐξαπλοῖ τὴν ὄψιν. μέλαν δὲ χρῶμα, συγκριτικὸν ὄψεως, ὅτι συστέλλει τὴν ὄψιν.

Λευκὸν, τὸ λευκὸν ὁμώνυμον, ὥσπερ τὸ ἀγαθόν. τὸ μὲν ἐπὶ τοῦ σώματος λεγόμενον τὸ λευκὸν χρῶμα σημαίνει, ἐπειδή ἐστιν ὑπὸ τῶν ἐκείνων. τὸ δὲ ἐπὶ τῆς φωνῆς, τὸ σαφές. λευκὴ γὰρ λέγεται φωνὴ, ἡ εὔηχος. εὔηχος δέ ἐστιν, ἡ τῶν ἀκουόντων σαφῶς καὶ ταχέως ἀκουομένη. ὁμοίως καὶ τὸ ἐξ ἀκοῆς λευκόστικτον ὁμώνυμον. Λευκονότος, λῆμα τῆς λευκῆς. Λευκόπυρ, τόπος. Λευκόπυγος, ἀδελφὸς, ὡς μελαμπύγους τοὺς ἀνδρείους, λευκοὺς δὲ τοὺς ἔχοντας εὐχροιὰν μέγα. Λευκὸς, ὄνομα κύριον. βαρύνεσθαι πρὸς διαστολὴν τοῦ ἐπιθέτου. Λευκὸς, ὁ διαφανὴς καὶ λαμπρὸς, καὶ ὁ ἰσόπλευρος, καὶ ὁ ὁμαλός. Λευκοσφῶ.

λέλογχα προσλαβὼν καὶ τὸ χ, ὃ καὶ ὅμοφθόγγον. μίγνυται καὶ τοῦτο λέλογχα καὶ τὸ λέλοχα. οὕτω δὲ μίκτον ἐστὶ καὶ τὸ ἐνώχα, καὶ τὰ ἐξ αὐτοῦ σύνθετα. τὸ μὲν γὰρ μικρὸν ο, μετὰ παρακειμένου ἴδιον, ἀσθενικὸν δὲ τὸ σύμφωνον τῆς παραληγούσης, καὶ οὕτω μὲν κοινότερον. Ἡρωδιανὸς δὲ ἐκ τοῦ λάχω τὸ λαγχάνω παράγων τὸ λέλογχα, τροπῇ τοῦ α εἰς ο μικρὸν, ὁμοίως τῷ πάθω πέπονθα. λέγει γὰρ πλεονάζειν ἐν τούτῳ τὸ ν, ὥσπερ κέχανδα, καὶ οἴκηρ κεχανδότα. Λελόγχω, ἐκέτης. Λελογχὼς, λαχὼν γονίαν. Λελογχὼς, τυχών. Λελουμένος ὠκεανοῖο, ἐλλείπει ἡ πρόθεσις. ἔστι δὲ, λελουμένος ἀπὸ ὠκεανοῦ. τὸ δέ γε κοινὸν καὶ σύνηθες, λελουμένος ὠκεανῷ. Λέλοχα, παρὰ τὸ λέγω, τὸ κλερῶ, ὁ μέλλων λέξω, ὁ παρακείμενος λέλεχα, καὶ τροπῇ τοῦ ε εἰς ο, λέλοχα ἀττικῶς. Λελοχὼς, τυχών. Λελόθμωται, χωρίον ἀπερρωγός. Λελυκωμένα πρόβατα, τὰ λυκόσπαστα.

Λελυμασμένος. λυμαίνω, μέλλων λυμανῶ, παρακείμενος ἐνεργητικὸς λελύμαγκα, παθητικὸς λελύμαμμαι, τροπῇ τοῦ μ εἰς σ λελύμασμαι. ἡ μετοχὴ λελυμασμένος. Λελυμασμένος, βεβλαμμένος, παρὰ τὸ λύμη, λυμαίνω λελύμαγκα, λελύμαμμαι καὶ λελυμαμμένος, καὶ τροπῇ τοῦ μ εἰς σ λελυμασμένος. Λέλυνται. λύω, λύσω, λέλυκα, λέλυμαι, τὸ τρίτον τῶν πληθυντικῶν λέλυνται. Λέλυνται, ἀσθενεῖς εἰσι.

Λέλυτο γυῖα ἐκαλεῖτο, παρ' Ὁμήρῳ ἐν τῷ σ', ὥσπερ ἐπὶ τοῦ λυθείη. ὀρεκτικὸν μὲν ἦν, τεθὲν δὲ ἀντὶ τοῦ ὑπαρκτικοῦ, ἴσως δὲ καὶ ἀπὸ τοῦ λελύοιτο συγκέκοπται. Λελόφηκεν, ἐπέχεται.

Λελύθυται, βέβλαπται. Λέμβαρχοι, λιπόδρομοι.

Λέμβος, τὸ ἐφόλκιον, παρὰ τὸ λείαν βαίνειν, ἢ ἐπεὶ παρήλαται διὰ σμικρότητα. καὶ λέμβαρχοι, οἱ ἐν ἐφολκίῳ πλέοντες.

Λέμβος, τὸ μικρὸν πλοιάριον. Λέμμα, λέπισμα, φλοιός.

Λεμὸς, λάρυγξ, φάρυγξ. Λέμφοι, αἱ πεπηγμέναι μύξαι.

Λέμφος, ὁ μυξώδης καὶ μάταιος. λέγεται δὲ ἐπὶ ἀνοήτων καὶ ἀπόπληκτων. Λέμφος εὐήθης, ἡ κόρυζα. καὶ ἀρρενικῶς λέμφος, ὁ κορυζώδης. Λεπλακεῖν, λελακεῖν, κορεῖν.

Λέντιον, περίζωμα ἰταλικόν. Λέξαι, εἰπεῖν, ἐπιλέξαι, ἐπαινεῖν. Λέξαο τύχη τὰ βέλτιστα, σύνταξις ἀττική, ἀντὶ τοῦ λέξε. Λέξασθαι, κυρίως ἐπὶ ἀνθρώπων, καταχρηστικῶς δὲ ἐπὶ ἄλλων. σημαίνει καὶ τὸ ἐπιλέξασθαι, ἔτι λοχῆσαι, κατακοιμηθῆναι, καὶ λέξασθαι, τὸ κοιμηθῆναι. Λεξάσθων παρ' Ὁμήρῳ, δηλοῖ ἡ λέξις τὸ ἀναμαθέτωσαν, ἢ ἐπιλεγέτωσαν. εἰπεῖν γὰρ κοιμηθήτωσαν, ἀνάρμοστον τοῖς νυκτοφυλακοῦσιν. οἱ παλαιοὶ προφέρουσι λέξαις τιθέασι, τὴν σκιὰν ἐπιθετικὴν τὴν ἀλεκτρυόνα, ὀρτάλιχον. τὸ ἱερὸν, στάκτον. βλέφαρα, τὴν γέφυραν. τὸ κάκα, τὰ σῦκα. κελάδοντα δὲ, τὰς χελιδόνας. τὴν ἐσθίειν δ' ἄκρον, ἔστι δὲ ἐν τούτῳ μὲν ἐκθέσεις ἡ τροφή. Λεξίδιον, εἰ μὲν ἀπὸ τῆς λέξεως γέγονεν ἡ μετοχὴ, διὰ τοῦ ει διφθόγγου γράφεται. εἰ δὲ ἀπὸ τοῦ λέξεως ἰωνικῶς διὰ τοῦ ι. Λέξις, μέρος ἐλάχιστον τοῦ κατὰ σύνταξιν λόγου. κυρίως δὲ λέξις, ἡ ἔχουσά τι λεκτικὸν ἐν αὐτῇ, τουτέστι σημαντικόν. Λέξο, προστακτικόν. γίνεται δὲ ἀπὸ τοῦ λέγω λέξω, οὗ ἀναφαινομένου εἰς ἐνεστῶτα γίνεται λέξομαι παθητικόν, οὗ ὁ παρατατικὸς ἐλεξόμην, τὸ δεύτερον ἐλέξου, καὶ ἰωνικῶς ἐλέξεο. τὸ προστακτικὸν λέξεο, ἤγουν κοιμῶ. Λεοβίδαι, οἱ λίσσοντες ἐκ ναοῦ. Λέοντος ἰδεῖν. Λεοντίδων ἀδελφοὶ μάχεσθαι. περὶ λέοντος, ἐν τῷ φαρέτραχα. λεοντίδης καὶ λεόντειον βρόχημα. λεοντῆ, ἡ δορὰ τοῦ λέοντος. Λεόντειος δορὰ, τὸ δέρμα αὐτοῦ. Λεοντίδιον, ὁ ἰχνορὸς κατὰ τὸν λέοντα.

Λεοντοπόδιον, ὁ ἐλαφνός, καθότι ἐπὶ ταῖς πηγαῖς αὐτοῦ λεόντων εἴδωλα ἀφίενται. Λεοντοκόμος, ὁ τὸν λέοντα ἐπιμελούμενος, ἐκ τοῦ κομῶ, τὸ ἐπιμελοῦμαι, καὶ τοῦ λέων. τὸ δὲ λέων, παρὰ τὸ λάω τὸ θεωρῶ. ὀξυδερκέστατον γὰρ τὸ θηρίον, ὥς φασιν ὁ Μανέθων ἐν τῷ πρὸς Ἡρόδοτον. Λεοντόψυχον, ἀμαξονικὸν ὅπλον. Λεωφόρον, ἀπρίβλεπτον, πλατυνόμενον ἐν συρίγγι.

Λεωφόρους, ὁ ἁμαξιτούς, ἁμαξηλάτης καὶ ἱππηλάτης λέγομεν, τὰς εὐθυτέρας ὁδούς. Λεπάδνα, αἱ ταῖς ζεύγλαις προσηρμοσμέναι ἡνίαι, παρὰ τῷ Ἱπποκράτει. Λέπαδνα, κυρίως πλατεῖς ἱμάντες, οἷς ἀναδοῦνται οἱ τράχηλοι τῶν ἵππων πρὸς τὸ ζυγόν, παρὰ τὸ λέπω, τὸ λεπίζω, λέπασμα, ὡς ῥέω ῥεῦμα, καὶ λέπασμα, καὶ πλεονασμῷ τοῦ δ λέπαδνον. Λέπαδνα, αὐχένιοι μὲν οἱ κειμένοι κατὰ τῶν ἱππείων τραχήλων ἡνίαι ἱμάντες, ὥς φασιν οἱ παλαιοί, ἀπὸ τοῦ λέπω, τὸ λεπίζω. πλατεῖς γάρ εἰσι. ἄλλοι δὲ ὡς καὶ αὐτὸ προείρηται, τοὺς τῶν ἵππων μασχαλιστῆρας, οὕτω καλεῖσθαι φασίν. ἄλλως, λέπαδνα οἱ κολπίαι λῶροι, ἢ οἱ μασχαλιστῆρες τῶν ἵππων. Λέπαργος, ἢ λέπαδος. λιπόδρομος. ταραντῖνοι. Λέπαργος, ὁ λευκός, ἢ ὁ λευκοπάλος, ἢ ὁ λευκόπλευρος. Λεπὰς, κογχύλιον ἐμφερὲς ταῖς πέτραις, ἐπ' αὐταῖς προσπέφυκε, λεπτὸν ὀστρακώδες ἔχον. καὶ λεπὰς, ὕλη ὀρεινή. Λεπαστὴ, εἶδος ποτηρίου μείζονος, ἢ κύλιξ, ἢ ὁ πίθος. Λέπασμα, σκεῦος ἀλιευτικόν. Λέπος, ἐξ οὗ καὶ τὸ λέμμα, καὶ ὁ λεπὰς, καὶ ὁ λεπρὰς, καὶ ὁ λεπυρὸς, ὁ ἐν συγκοπῇ λεπρός, καὶ ἡ λεπὶς. καὶ ὁ ἀλίπιος, καθὼς οἱ ἀλεπιδωτοὶ ἰχθύες, καὶ ἡ τὴν κεφαλὴν ἀπολελεμμένη θρίδαξ. λέπω, ὅπερ ἐκλεπίζει. εἰκὸς καὶ τὴν λεπτάδα τιθέντας εἶναι συστοιχίαν, διὰ τὸ τῆς πλάτους οὐ παχὺ, ἀλλ' ὡς εἰπεῖν λεπτόν, ὃ δὴ καὶ αὐτὸ ἐκ τοῦ λέπω γίνεται. ἔτι ἰστέον, καὶ ὅτι οὐδὲ τὸ λεπαδνὸν ἀπαλλάττεται τιθέντας παράγειν, ὡς καὶ ὅτι τὸ λέπον, οὗ μέσον ἀντικείμενον ὡς ἐρρέθη ἔχει τὸ ο ἐν τῇ κατάληξει, καὶ τὸ ε φυλάσσει. ὡς ἐν τῷ λέπας, ἡ ἀκτὴ ὀρεινὴ, καὶ λέπος. οἷον οὐδεὶς γὰρ πώποτε ἐπιβαλὼν ἐπορίσατο λέπος. καὶ ὅτι ἐκ τοῦ ὑμενικοῦ λεπτοῦ, ἐκαλεῖτο καὶ λώπιον, τὸ ἱμάτιον. ἔνθεν λωποδύτης, ὁ τὰ χλαμύδα θέρας. λεπὸς, κρεμὸς λέπυρον, παρὰ τὸ λέπω, καὶ τοῦτο ἀπὸ χλωροῦ (παχὺς δὲ ὁ χιτὼν) λαχανικοῦ ἐχαλίνου. τὸν δέ φασι πρὸς τὸ ἔσωθεν ἐρρίζωται τοῦ χιτῶνος, καὶ ἐχόν, ὁ χλωρὸς λοπὸς, οἷα τὸ τάσσει ἔχει. Λεπτὶν, σίπτειν. Λεπιδωτοὶ ἰχθύες, πᾶν τὸ τῶν ἰχθύων γένος, πλὴν τῶν σελαχίων. Λεπίζω, ἐκλέπω. λεπιδὸς, ψῆγμα, καὶ τὰ ὅμοια. Λέπος καὶ λέπυρον, τὸ λέπισμα.

Λέπρα ψυχῆς, ἀπιστία ψυχῆς, καθ' ἣν οὐ πληροφορεῖται δεχόμενος τοὺς λόγους τοῦ θεοῦ. λέπρα, πάθος ἐγγινόμενον τῷ σώματι, κατὰ τὸ πάθος σβεννυμένου τοῦ αἵματος, καὶ λευκαινομένου. οὐδὲν γὰρ ἔτυχεν ἐπὶ σαρξὶ, ἢ πνευματικὸς αἷμα. Λεπρὰς τραχεῖα, ἡ λευκὴ, ἡ ὑπὸ τῶν κυμάτων λελευκασμένη, ἢ ὑψηλή. ἐπεὶ καὶ λέπας τοῦ ὄρους τὸ ἄκρον φασίν. Λεπρεάται, οἱ πάλαι καύκωνες. Λέπρεον. Ἀριστοφάνης, τί ἐν τῷ Ἠλείων Λέπρεον, καθ' ὕφεσιν τοῦ ε, τὸ Λέπρεον εἶπεν. ἔστι δὲ τῆς τριφυλίας πλησίον πελοποννησιακός. Δίδυμος δὲ φησι Λέπρεον ὀνομάσθαι, ἢ διὰ τὸ τὴν χώραν αὐτὴν λυπρὰν. λεπρεῖ λεγόνται γὰρ ἐκ τοῦς ἐρυσιβ. πέτρας γὰρ εἶναι αὐτόθι ποικίλας χρόαις καὶ λευκωδοῦς, ὁμοίως τοῖς τὰς ὄψεις λεπρώδεσι, καὶ διὰ τὸν οὕτως ὀνομάσθαι ἐκ τοῦ πάθους. ἢ διὰ τὸ τοὺς πρώτως οἰκίσαντας τὴν πόλιν ταύτῃ τῇ νόσῳ κατασχεθῆναι. τοὺς οὖν πλησιοχώρους λεπρεάτας αὐτοὺς καλεῖν. τοὺς δὲ μὴ βουλομένους δοκεῖν ἄχθεσθαι τῷ ὀνόματι, Λέπρεον τὴν πόλιν καλέσαι. οὐδὲ ἔστερος γὰρ λέγεσθαι ἡ πόλις, τὸ Λέπρεον. ὁ δὲ Ἀριστοφάνης, ἀστεϊκῶς εἶπε. Λεπροθέντα, μιανθέντα. Λεπρὸς, παρὰ τὸ λέπος λεπυρὸς, καὶ συγκοπῇ λεπρός. καὶ λέπρα, σημαίνει τὴν ἐλεφαντίασιν, παρὰ τὸ λέπος, ὃ σημαίνει τὸ δέρμα, γίνεται λέπρα, καὶ συγκοπῇ λέπρα. εἰς γὰρ τὴν ἐπιφάνειαν τοῦ σώματος γίνεται ὁ ἐλεφαντιασμός. ἔστι δὲ ἐλεφαντιασμὸς, ὁ δίκην ἐλέφαντος ποτὲ μὲν λευκὰ, ποτὲ δὲ μελάντερα τοῦ σώματος ἔχων. ἢ παρὰ τὸ λέπος. καὶ τὸ ῥαίω, τὸ φθείρω, ἡ διεφθαρμένη σάρξ.

Λεπτὰ πλοῖα, τὰ μικρὰ, Θουκυδίδης ἐν τῇ ὀγδόῃ.

[illegible]

μοῦσαι τὰ θεῖα. οἰκία δὲ, ἐπὶ ἀνθρώπων, καὶ οἴκημα, καὶ [illegible], καὶ δωμάτιον, καὶ θάλαμος. ἢ κοιτὼν, ὁ περιέχων πολλὰς κοίτας, καὶ ξενὼν, καὶ [illegible], καὶ [illegible], καὶ [illegible], καὶ χαλᾶ[illegible]. τῆς δὲ οἰκίας, τὸ μὲν ἐντὸς, καλεῖται [illegible], καὶ [illegible]. τὸ μετὰ αὐτὸ, δῶμα. τὸ μετὰ αὐτὸ, πρόδομος. τὸ μετὰ ταῦτα, αἴθουσα, ἤγουν τὰ κοινῶς [illegible]. εἶτα αὐλὴ καὶ ἕρκιον, καὶ τῆς λαύρας οἶκος, καὶ ὑπερῷον, καὶ τὰ ἀνέχοντα ξύλα. δοκὸς ἀρρενικῶς καὶ θηλυκῶς. τοῖχος ἐπὶ οἰκιῶν, καὶ τεῖχος ἀρρενικῶς [illegible] τεῖχος, ἐπὶ πόλεως. καὶ ἐπάλξεις οἱ [illegible] πύργοι. θύραι, ἐπὶ οἰκιῶν. πύλαι δὲ, ἐπὶ ναοῦ καὶ πόλεως. ὀπὴ δὲ ἡ κοινῶς τρύπα. θυρίδιον δὲ, ἡ μικρὰ θύρα. ὄροφος δὲ, καὶ στέγος, τὸ σκέπασμα τῶν οἰκιῶν. ἡ δὲ ἀκρόπολις λέγεται, ἡ ἄκρα πόλις, ἢ ἄκρα μόνον. καὶ τὰ πρὸ τῆς πόλεως, προάστεια. λέγεται δὲ καὶ ἄστυ ἡ πόλις, ὥσπερ καὶ τὰ πρὸ τῆς αὐλῆς προαύλια. καὶ τὰ πρὸ τοῦ ναοῦ, πρόναος. Λεῖαι, ἴσαι. κύπριοι. Λειξοῦρα, τὸ δῶρον, ἐκ τοῦ λείχω. Λειξουρία, ἡ λιμαργία, ἡ πλεονεξία. Λειόβατος, εἶδος ἰχθύος, παρὰ τὸ λεῖον. Λειόβατος, ὁ ὁμαλὸς τόπος.

Λειοκόντος, ὁ τελείως, πάνυ διελελυμένος. Λειοκόρης, ὁ τελείως [illegible] τοὺς ὀφθαλμοὺς ἔχων. Λεῖον [illegible] λέγουσι, τὸ περὶ τὴν καμπτῆρα χωρίον. Λεῖον, ὁ σῖτος, ἢ ὁμαλόν. Λεῖον, τὸ ὁμαλόν. ἐξ οὗ καὶ λειαίνω τὸ ὁμαλίζω. λειοῦν δὲ λειαίνω κατ' ἰατρούς, τὸ τῶν εἰδῶν ἃ εἰς λεπτότατα τρίβειν. καὶ λεῖον τὸ πρᾶον. Λειόμιτος, ταχυδιάδροτος.

Λειοπετρία, ἔνθα εἰσὶν ὁμαλοὶ λίθοι. Λεῖος πώγων, πρὸς διακολλῶν κεῖται τραχεῖαν αὐτοῦ. ἐναντία γὰρ λειότης καὶ τραχύτης. Λείουρος, αἴλουρος. Λείους, ὁμαλούς.

Λειούσματα, ἢ λιγούσματα, εἶδος [illegible], γάλατα.

Λειόφυλλον, φυτὸν ὁμαλόφυλλον. Λειπαρῶ, παρακαλῶ. Λεῖπεν, ἔλιπεν, ἀπέσχετο. Λεῖπε φορῆναι, ἔλιπε φορεῖν. Λειπογνώμων, ὁ μηκέτι [illegible] ἔχων. ὁ δὲ τέλειος καὶ γεγηρακὼς, μὴ ἔχων γνωρίσματα τῆς ἡλικίας. Λειποθυμῶ, ἀθυμῶ, [illegible]. Λειποθυμῶ, καὶ λειποψυχῶ. καὶ λειψαιμῶ, τὸ αἵματος λείπομαι. καὶ λείπομαι παθητικῶς, τὸ λείπομαι, καὶ ἐνδεής εἰμι. Λείποιεν, καταλείποιεν. Λειπόκρανος, ὁ [illegible]. Λειπὸν, τὸ ἐλλειπὲς ὄν. Λείπομαι, δέω.

Λειψανορία, λείψανον, τὸ ἐκ τοῦ θυρακίου [illegible], ἐκ δὲ τοῦ [illegible] φέρον βλαστός. Λειπανίως, ὁ λιπὼν τὴν ναῦν.

Λειποστράτιον, τὸ μὴ ἐθέλειν στρατεύεσθαι. καὶ λειποστράτιος, ὁ τὴν στρατείαν καταλιπών. Λειποτάκται λέγονται, οἱ τὴν τάξιν λιπόντες, οἷς ἐπιτίμια ταῦτα ἐδίδοντο, ὥστε [illegible] μέλλοντα. καὶ ὅρα ὡς ὁ μὲν [illegible], τὴν κατὰ τῶν λειποτακτούντων [illegible], [illegible] εἰπὼν, [illegible] θάνατον καὶ πότμον [illegible]. ἑτέρωθι δὲ [illegible] [illegible], οὗ οὐ [illegible] ἐστὶ [illegible], ἀλλ' [illegible].

Λειποτακτεῖ, τὴν τάξιν καταλιμπάνει. ἐπεὶ [illegible] ἐπὶ τῶν στρατιωτῶν τῶν φυγοπολέμων. Λειποτάκτης, ὁ φεύγων καὶ καταλιμπάνων τὴν τάξιν. κυρίως δὲ, ἐπὶ στρατιωτῶν φυγοπολέμων.

Λειπόμεθα, ὑστέρμεθα. Λείπος μῦς, ἀντὶ τοῦ λείπος μοῦς αἰολεῖς, ἢ [illegible] τοῦ [illegible], ἀντὶ τοῦ [illegible].

Λείρια, καθόλου τὰ ἄνθη λείρια λέγεται. ἔστι δὲ κυρίως ἄνθος λεγόμενον λείριον, ὅ φησιν ὁ Θεόφραστος ἐν τῷ περὶ φυτῶν [illegible] εἶναι. οἱ δὲ, τὸ κρίνον, ἀφ' οὗ καὶ φωνὴ [illegible], ἡ ἀνθηρά. καὶ [illegible], [illegible]. οἱονεὶ ἀνθηρόφωνος, ἢ [illegible] περὶ τὰ λείρια. [illegible] ἔπη λέγει Ὅμηρος, τὴν [illegible] φωνήν. [illegible] γὰρ εἶδος, τὸ λείριον. ὅθεν καὶ [illegible], [illegible], οἱονεὶ ἀνθηρόφωνος. Λειρὸς, ὁ ἰσχνὸς, καὶ ὠχρός. καὶ [illegible] λέγουσι κύνας, τὰς [illegible] καὶ [illegible] τὰς τρίχας, ἢ τὸν μικρὸν λαγών. Λειρὸς [illegible]. ὁ μὲν σημαίνει τὸν [illegible], διὰ τῆς ει διφθόγγου. παρὰ τὸ λεί-

ριον, ὃ σημαίνει τὸ ἄνθος. εἰ δὲ τὸ [illegible], διὰ τοῦ ι παρὰ τὸ λίρος, ὃ σημαίνει τὸ [illegible]. τοῦτο δὲ, παρὰ τὸ λίαν ὁρᾶν. λέγει δὲ [illegible] ὁ μιλήσιος, οὐ τῶν [illegible] δεῖ λέγειν, ἀλλὰ τῶν [illegible]. διὰ τὴν [illegible] τῶν ἀνθ' ὧν ἐπίρρημα, ἐπεὶ ἐκ τῆς [illegible] προθέσεως, καὶ τοῦ ὧν [illegible] ἄρθρου γίγνεται. Λείως, [illegible], λείως, σφόδρα, τελείως, καλῶς. Λείτρας, [illegible].

Λειτὸς, πέμματος εἶδος. Λειὼν, βλάσφημον.

Λειτουργεῖν, τὸ κατὰ τάξιν διδόναι, χορηγεῖν, τὸ ἀφ' ἑαυτοῦ. Λειτουργῶ, διακονῶ, ὑπουργῶ ὁμοίως καὶ ὑπουργοῦμαι, καὶ ὑπουργῶ παρὰ τοῖς ἀττικοῖς. τὰ αὐτὰ οὐδὲν διαφέροντα, καὶ δοκεῖ ἀττικῶς συντεταγμένα. ἀπὸ μὲν οὖν τοῦ ὑπουργῶ, καὶ διακονῶ, καὶ ὑπηρετῶ, θηλυκὰ ὀνόματα παράγων χρὴ, ὑπουργίαν, διακονίαν, καὶ ὑπηρεσίαν. ὡς καὶ [illegible], λέγω συνελὼν ἅπασαν πρᾶξιν, καὶ προσεδρίαν, ἢ διακονίαν καὶ ὑπηρεσίαν [illegible] ὑπουργίαν χρὴ καλεῖν. ὑπούργημα δὲ καὶ ὑπηρέτημα καὶ διακόνημα οὐ δεῖ, εἰ μὴ ἐν [illegible]. ἀπὸ δὲ τοῦ λειτουργῶ καὶ λειτουργίαν, ἀλλὰ καὶ λειτούργημα, ὃ δὴ καὶ ἀττικώτερον δοκεῖ [illegible] παρὰ τοῖς [illegible] εἶναι, καθ' [illegible] τὰ θηλυκά. Λειτουργικὴ, κυρίως μὲν ἡ [illegible], καταχρηστικῶς δὲ ἡ [illegible]. Λειφαιμάσσω, [illegible] αἵματι.

Λείψανα, λείψανα. Λειψαιμεῖ, αἱμορροεῖ. Λειχανὸς, φθόγγος τῆς κιθάρας, ἀπὸ τοῦ φθόγγου. Λειχῆνες, τὸ [illegible] καὶ ἐπὶ τῶν πετρῶν φυκία [illegible], καὶ τῶν χωρίων τὰ φύλλα. Λειχὼ λειχῆνος, εἶδος ψώρας. Λείχω [illegible]. Λειχοφάνες, τὰ βλέφαρα περιλείχειν. Λείχομαι, [illegible].

Λείψαν, κατέλιπον. Λείψανα, περισσεύματα. Λειψανοφία, λεῖψις [illegible]. Λειψύδριον, χωρίον τι ὑπὲρ [illegible], ὃ ἐτείχισαν ἀλκμαιωνίδαι. Λειψυδρία, ἡ λεῖψις τοῦ ὕδατος. Λείψανον, τὸ κατάλειμμα. Λειώσας, διαλύσας.

Λέκανος, ὁ [illegible]. Λεκανίδες, κεράμια λοπάδες, ἐν αἷς [illegible] ἔφερον τοῖς [illegible]. Λεκάνιον, τὸ κοινὸν, παρὰ τὸ δεῖ [illegible] καὶ τὸ χαίνω. τὸ δὲ ἀττικὸν λεκάνη. Λεκάνιον, κρατῆρα [illegible] τῶν [illegible], λέγει Ἀριστοφάνης. λεκάναι δὲ καὶ λεκανίδες, τὰ μείζονα τῶν ὀξυβάφων, καὶ ἐκπέταλα. Λεκανίζω κατὰ ῥωμαίους, [illegible], βασιλικὴ χλαμύς. Λεκιθόπωλις, ἀπὸ τοῦ [illegible] ᾠοῦ, ᾠόπωλις. λέκιθος δὲ κυρίως, τὸ ξανθὸν τοῦ ᾠοῦ, διὰ τὸ [illegible] κεῖσθαι. ἔστι δὲ καὶ εἶδος ὀσπρίου, ὃ καλεῖται [illegible], ὅτι [illegible] τῆς [illegible] κατακόρως [illegible], διὰ τὸ [illegible] τὴν [illegible], ἀπὸ μέρους οὖν τὴν [illegible]. Λέκιθον φακοῦ, τὸ [illegible] τὸ ἔτνος, παρὰ τῷ [illegible]. Λεκὶς, πλάτις(?), λέκτρον, χλαῖνα. Λέκκον, [illegible] φυλῆς. Λεκός, λύκιον, λυκάκιον, τρυβλίον. οἱ δὲ [illegible].

Λεκροὶ, ὄροι τῆς ἐλαφίου. Λέκρανα, ἡ ὠλέκρανα τῆς ἀγκῶνας. Λέκτικα, σορός, φορεῖον. Λέκτρας, κοίτας. καὶ λέκτρον [illegible], ἡ κοίτη, ἢ κραβάτιον. Λεκτὴ, χλαῖνα. Λεκτὴ, [illegible]. Λέκτο, ἐκοιμήθη, ἐπελέξατο, ἠρίθμει. Λέκτο ἀριθμὸν, ἀντὶ τοῦ ἠρίθμησε. τὸ δὲ λέκτο αὐτὸς, ἀντὶ ηὐνάσθη, ὡς [illegible]. Λεκτὸν, ὡς σημεῖον, ἢ ἀκρωτήριον. Λεκτρίτο, [illegible] [illegible]. Λεκτόν ἐστι πρᾶγμα, διανοίᾳ [illegible], ἢ πρᾶγμα [illegible] τῇ λογικῇ φαντασίᾳ [illegible].

Λέκτρον, ἐκ τοῦ λέγω πλάγιον. Λελάβηκεν, ἀντὶ τοῦ λάβη, ὡς λέγουσιν ἴωνες. Λέλαθε, μέλλων [illegible], ἐκ τοῦ λήθω. παρὰ Πινδάρῳ μὲν [illegible] μέλλος ὀφείλων ἐπιλέλασθε, ἤγουν ἐπιλανθάνου. παρ' Ὁμήρῳ δὲ ἐν τῷ ὀ τῆς ἰλιάδος, κατὰ [illegible] τοῦ [illegible], ἐν [illegible] λελάθη ὁ [illegible]. ἤγουν ἐπιλαθέσθαι ποιήσῃ. Λελάθε, λήθην ποιήσω, παύσω. Λελάθοιτο, [illegible] [illegible] ἐκ τοῦ λήθω, λήσω μέλλων, [illegible] ὁ β' ἔλαθον, ἐλαθόμην λελαθόμην, ὁ τρίτος τῶν [illegible] λελάθοιτο,

γῦρας. ἔνιοι δὲ τοῦτο λέγουσι κόχλον κενὸν, παρὰ τῷ Ἱπποκράτει. ἐνίοις δὲ ἄνθρα λίβηναν γενέσθαι πλωχόν. οἱ δὲ, τὸ λάκκον τοῦ ὕδατος. λιβηρῶ, ὑγρῶ, παρὰ τῷ Ἱπποκράτει. Λίβες, ἐν δὲ τῷ Ἐπιφανίου λέγεται τὸ παρ' ἡμῖν λεγόμενον χερνίβιον, καθ' οὗ νιπτόμεθα, παρὰ τὴν λαβὴν, ὥς φασιν οἱ παλαιοί. ἢ μᾶλλον διότι λείβεται ὕδωρ εἰς αὐτὴν, τοῦτο σημαίνει ἐνταῦθα. ἐν τοῖς ἄλλοις τόποις, ὁποῖον τὸ σκεῦος οἱ λέβητες λέγονται. Λίβης, σκεῦος μαγειρικόν. λέγεται δὲ καὶ κάδος. Λιβανωτάκιον, χιτὼν μοναχικὸς ἐκ τριχῶν συντεθειμένος, κατὰ τὴν ἰσχύουσαν συνήθειαν τῶν πρεσβυτέρων. Λίβια, τὰ λεπίδας ἔχοντα, τὰ ὄντα, καὶ ἰχθῦς λιμναῖοι. Λιβινθεῖ, ἰρίβινθοι. Λέγεται, τῇ τε ἄλλῃ καὶ τῇ θαυμαστῇ τῶν λόγων χάριτι, δεινὴν πρὸς τὴν προλαβοῦσαν δεινὴν ἐπαγόμενον. λέγεται καὶ τάλλα τε ἄλλα ἐν τῷ συνήθει. λέγεται ἀττικῶς καὶ τάλλα τε ἄλλα καὶ τὴν δεινὴν ἐπιφέρειν, ὡς ἐνταῦθα. τάλλα τε ἄλλα καὶ τῇ τοῦ καιροῦ ὀξύτητι ἀμυνεῖς. Λέγειν, καὶ φθέγγεσθαι, καὶ διαλέγεσθαι, καὶ λαλεῖν, καὶ αὐλεῖν, συνάγει. τὸ ἐνάρθρως λέγειν, ἤγουν τὸ προφορικῷ λόγῳ χρῆσθαι. λέγουσι, ἀντὶ τοῦ λέγουσι δωρικῶς. λέγω σε, καὶ πρὸς σὲ, καὶ λέγω ἐκεῖνον ἐπιμεμελῆσθαι σε, καὶ λέγω πρός σε τάληθῆ. λέγω ἔχειν καλῶς, πεπεισμένως, ὁ μόσχος ἀττικῶς. Λέγειν, εἰπεῖν, οἰκοδομεῖν, ἀριθμεῖν, καὶ ὀνομάζειν ἀττικοί. καὶ λέγειν σὺ δεινὸς, ἢ μανθάνειν. Λέγεσθαι, συνάγειν, ἀθροίζειν, ἐκλέγεσθαι. Λεγεών, τὸ εἶδος τὸ ἐκλεκτὸν, ἀπὸ τοῦ λέγω τὸ συλλέγω. τὸ δὲ λέγω σημαίνει ἕξ, καὶ γίνεται παρὰ τὸ λῶ τὸ θέλω, λέγω τὸ λαλῶ, ἐξ οὗ καὶ λόγος. λέγω τὸ μετρῶ, ἐξ οὗ καὶ ὡρολόγιον, τὸ τὰς ὥρας μετροῦν. λέγω, τὸ κοιμῶμαι. ἐξ οὗ ἔτι λέχος, ἡ κοίτη. λέγω τὸ φροντίζω, ἐξ οὗ καὶ ἀλέγω. λέγω τὸ συλλέγω, ὡς τὸ, ἐπεὶ δὲ μάλα πολλὰ λέγουσι. λέγω, τὸ λοχεύω, ἐξ οὗ ὁ μέσος παρακείμενος λέλοχα. ὡς τὸ, λιμὴν δὲ λελόχασιν ἴσα ἐοῖσι.

Λέγμα, τὸ εἰπεῖν. Λέγνα, τὸ ἔσχατον. Λέγνη, τὸ παρυφασμένον τῇ παραστροφῇ. διέχει ἐν παχὺ περὶ τὴν ὤαν ἐκτετριμμένος. Λέγνος, ἄσεμνος σῖτος, ὁ μὴ καθαρός. Λεγνώδης, ποικίλος. Λέγξ, ποιητὴν ἀπεῖλθεν. Λεγοίμεθα. εἰ γὰρ τὴν περὶ τούτων λεγοίμεθα. οἷον, εἰ ὡς ἡ ἀρίσταις μάχην διαλέγοι, συλλέγοι. Λέγοντο, ἐκλέγοντο, ἢ συνάγοντο, ἢ συναθροίζοντο. Λέγω, ἀγορεύω, ἐρέω, φημὶ, φθέγγομαι, φράζω, ἀγγέλλω, ἀπαγγέλλω, μηνύω, ταυτοσήμαντα.

Λέγω, ῥῆμα παροξύτονον καὶ βαρύτονον. διὰ τί; πάντα τὰ εἰς ω λήγοντα ῥήματα, ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν, πρὸς ἀντιδιαστολὴν τῶν εἰς ω θηλυκῶν ὀνομάτων. τὰ γὰρ εἰς ω λήγοντα θηλυκὰ ὀνόματα, ὀξύνεται. οἷον κλωθὼ, καλυψὼ, πειθὼ, Διδώ.

Λέγω δὲ τὰ μέλλοντα, ὁμοίως προλέγω, καὶ καταλέγω. ἐκλέγω δὲ καὶ συλλέγω, αἰτιατικῇ μόνῃ συντάσσονται. ἀντιλέγω δὲ δοτικῇ μόνῃ συντάσσεται. Λεγέμεθεν. οἱ αἰολεῖς τὸ λεγόμεθα, καὶ φερόμεθα, εἰς ν ποιοῦσι, λεγόμεθεν καὶ φερόμεθεν μετὰ τοῦ ν. ἀλλὰ καὶ τὰ εἰς θεν λήγοντα ἐπιρρήματα, εἰς α ποιοῦσιν. οἷον ὄπισθεν ὄπισθα, ἄνευθεν ἄνευθα, χωρὶς τοῦ ν. ὅτι γὰρ εἰς α τὰ ἐπιρρήματα, τότε καὶ τὸ ν, οἷον ὄπισθεν. ὅτε δὲ εἰς α, ἀφίενται τὸ ν, ὥσπερ καὶ τὸ λεγόμεθα, εἶτα τὸ λεγόμεθεν, ἐπλεόνασε τὸ ν. οὕτως Ἡρωδιανὸς περὶ παθῶν. Λεγόμεθα. παρ' Ὁμήρῳ, μηκέτι νῦν δηθὰ λεγώμεθα, ἤγουν καθήμεθα, καὶ οἱονεὶ κείμεθα, ἐκ τοῦ λέγω. ἐξ οὗ καὶ λέκτρον, ἡ κοίτη. Λέγεσθαι, κυρίως λέξις ἐπὶ κοιμωμένων. ἀφ' ἧς καὶ τὸ λέκτρον, καὶ τὸ λέχος. καὶ ἀλέκτωρ, τὸ ζῶον. καὶ ἠλέκτωρ, ἥλιος. Λέγεσθαι, μετρεῖν, ἢ ἀπαριθμεῖσθαι. ὡς τὸ, οἶδ' ἀριθμεῖσθαι ἐπεί τοι σοι χρὴ ταῦτα λέγεσθαι. τὸ γὰρ λέγειν, ἐπὶ τοῦ λαλεῖν οὐ χρῆσθαί φασι τὸν ποιητήν, ἀλλ' ἀντὶ αὐτοῦ τῷ μυθεῖσθαι καὶ τῷ εἰπεῖν. διό φασιν, οὐδὲ κεῖται λόγος παρ' αὐτῷ, ἀλλὰ μῦθος. καὶ μὴν πολλαχοῦ ἐφάνη, καὶ ἐπὶ τοῦ διαλέγεσθαι ἡ λέξις κεῖται. Λέγω, τὸ κοιμῶ-

μαι. Λειάδα, ἡ ἐξοχὴ τῶν πλευρῶν. Λειαίνεται, φροντίζει, θέλει, βούλεται. Λειηλατῶ, παρὰ τὸ λεὼς καὶ τὸ ἀτῶ τὸ βλάπτω, γίνεται λειηλατῶ, πλεονασμῷ τοῦ ι. εἶτα τρέπεται τὸ ω εἰς η, καὶ σημαίνει τὸν λαὸν βλάπτω. καὶ ἐληλάτει, ᾐχμαλώτευεν, ἐλήιζεν, ὥρπαζεν, ἐπόρθει. Λειάδες, οἱ λεῖοι καὶ εὐθύχοι τόποι. Λείαν, κτῆσιν λαφύρων, ἢ πρόβασιν.

Λειανῶ, λείαν καὶ ὁμαλὴν ποιήσω. Λεῖα, παρὰ Θουκυδίδῃ τὰ λεῖα, πρὸς ἀντιδιαστολὴν τῶν ὑφαντῶν, καὶ πεποικιλμένων. Λεῖα, πρόβατα ἀπὸ πολεμίων. καὶ λεῖα, τὰ σώματα, τὰ βοσκήματα, παρὰ Σοφοκλεῖ. Λεία λέγεται, καὶ τὰ ἐκ πολέμου λάφυρα, ἢ τὰ ἀπὸ λῃστείας, καὶ ἡ ὁμαλὴ ὁδός.

Λείας, ὁμαλὰς, εὐθείας. Λείβω, τὸ στάζω καὶ τὸ σπένδω.

Λείβειν, καὶ σπένδειν, ταὐτά εἰσι, τὸ λείβειν οἶνον καιρὸς οὐ μόνον ὁ κατὰ θυσίας, ἀλλὰ καὶ ὁ κατ' ἀρχὴν ὁ λοιπὸς πρᾶος, καὶ ἀπόπλου, καὶ ὕπνου, καὶ ξενίας, καὶ ὅσα τοιαῦτα. Λείβει δὲ ὁ θεὸς, ἤγουν στάζει. λείβει, σπένδει, βρέχει, χέει. Λείβει σιωπηλῶς, βάλλει, στάζει. Λείβεται, τοῖς δακρύοις διάβροχος γίνεται. Λειβήθριοι, ἔθνος μουρὸν ἀπὸ τόπου, Λείβηθρα καλουμένου, ἐν ᾧ κατοικοῦσιν ἄνθρωποι ἀσύνετοι. Θουκυδίδης, λειβηθρίων ἀσυνετώτερα. Λείβηθρον, ῥεῖθρον ὀχετὸν κρουνὸν, καὶ τὸν ἐλικῶνα. Λειβήθριον, ὄρος Μακεδονίας. καὶ λείβηθρα πόλις Μακεδονίας. ὅθεν ἦν Ὀρφεὺς, ὥς φησι, νῦν ἄγε μοι κοῦρε λειβηθρίας ἴσχε μοῦσα. Λεία, ὁ τῶν θρεμμάτων ἀγέλη, ἡ προσιοῦσα καὶ καλὰ, καὶ πολέμου ὀφέλεια. Λειαίνω δὲ χῶρον, τὸν τόπον ἐν ᾧ ἔμελλον χορεύειν λεῖον ἐποίησαν. Λείηναν, λειαίνω, λειανῶ, ἐλείηνα, ἐλείηναν, καὶ ἰωνικῶς λείηναν.

Λειώσας, ὁμαλίσας. Λείκα, κανᾶ, ἐφ' οἷς τὰ λεῖα ἐκθέσθαι. οὕτω δὲ ἔλεγον τοὺς πρωίμους καρπούς. Λείκνον, κόσμος βακχικὸς. καὶ λείκνον, τὸ πτύον. Λάκαινα, σειραὶ, σχοινία, πλέγματα. Λειμάδες, νοτεροὶ καὶ πιώδεις τόποι. ἔστι δὲ καὶ ζῶον ὅμοιον κοχλίᾳ, ὃ καλοῦσι λείμαξ. Λείμακος, λειμῶνος. Λείμαξ, χωρίον ἐν ᾧ λειμὼν, ἢ χωρίον ἐπίπεδον. Λεῖμμα, τὸ κατάλειμμα. Λείμαξ λείμακος, ὁ σύμφυτος τόπος, ὁ κῆπος, καὶ λειμακίσθαι, οἱ σύμφυτοι καὶ σύνδενδροι τόποι. Λειμὼν, τόπος δίυγρος, ἀνθοφόρον πίονα ἔχων. κῆπος ὁ τῶν λαχάνων καὶ τῶν δένδρων. παράδεισος, ὁ δένδρα ἥμερα ἔχων. ἄλσος δὲ καὶ δρυμὸν καὶ λόχμη, ἐπὶ ἀγρίων δένδρων, ἐσπαρμένων ἐπὶ ξηρᾶς. ἕλος δὲ, τόπος λιμνώδης καὶ καλαμώδης. Λειμωνίαι νύμφαι, ἐπειδὴ αἱ νύμφαι ἐν τοῖς λειμῶσι διατρίβουσι. Λειμὼν, ὁ ὑγρὸς καὶ βοτανώδης τόπος. ἀπὸ τοῦ λείβω, λέλειμμαι. ὃν ἡ κοινὴ γλῶσσα λιβάδιον λέγει, ὃς ἀπὸ τοῦ ἔλιβον δευτέρου ἀορίστου, ἵνα ὕδωρ συλλείβεται. Λειμῶνες μαλακοὶ, ἐν οἷς ὕλη μαλακῶς ἀνέδραμε. σημειωτέον δὲ, ὅτι τῆς γῆς τὸ μὲν ὑψηλότερον, καὶ λέγεται βῶλος θηλυκῶς καὶ ἀρρενικῶς. τὸ δὲ ξηρὸν, λίθος. ὀνομάζεται δὲ ἀρσενικῶς λᾶος, ὁ ἁπλῶς λίθος. θηλυκῶς δὲ, ἡ λίθος ἐπί τε τῶν τιμίων, καὶ λαξευομένων. καὶ τὰ μὲν σκληρὰ, καὶ πετρώδη αὐτῆς καὶ ὑψηλότερα ὄρη λέγεται. τὰ δὲ χθαμαλὰ, πεδία. τὰ δὲ ἀνάντη, νάπαι, καὶ δρυμῶνες. τὰ δὲ κοῖλα, ἰλυσπώδη, πηγαὶ, καὶ ἄντρα. καὶ τὰ μὲν αὐτῆς, μεσόγεια καλεῖται. τὰ δὲ παρὰ τὴν θάλασσαν, ἀκταὶ, καὶ ᾐόνες, καὶ κρημνοὶ, καὶ ἀπορρῶγες. τὰ δὲ ἐντὸς τῆς θαλάσσης, νῆσοι. πάλιν τῆς γῆς, τὸ μὲν ἀοίκητον, τὸ δὲ οἰκούμενον καλεῖται. καὶ τὸ μὲν ἔρημος καλεῖται, τῆς δ' οἰκουμένης τὸ μὲν κῶμαι λέγονται, τὸ δὲ πόλεις. καὶ κώμη μὲν ἐστὶν ἀνθρώπων συνοικία ἀτείχιστος, πόλις δὲ ἐστὶν ἀνθρώπων συνοικία τετειχισμένη. διαιρεῖται δὲ ἡ πόλις εἰς ναοὺς, καὶ εἰς οἴκους. καὶ οἱ τόποι μὲν ἐν οἷς καθίζονται οἱ βουλευταὶ, βουλευτήρια. ἀγορὰ δὲ, ἐν ᾧ πωλεῖται τὰ ὤνια, καὶ ἐλαὶ, καὶ σπίθαι. ναὸς μὲν οὖν, καὶ ἱερὸν, καὶ τέμενος, ἐν ᾧ ἱε-

ρῶνται

ὀχλουμενῶν. Λαφύξαι, καταπιεῖν, ἀπολαῦσαι. Λαφύξας, διασπαράξας, ἀφειδῶς δαπανησάμενος. Λάφυρα, τὰ ἐκ τῶν πολεμίων ἐπὶ ζώντων λαμβανόμενα. τὰ γὰρ τῶν τεθνεώτων, σκῦλα λέγεται. Λαφυραγωγῶ, λεηλατῶ, ληΐζομαι, κατασύρω. Λαφυραγωγία, ἡ λαφυραγωγία πολεμικά, ληΐζεσθαι καὶ κατασύρειν, καὶ κατασπᾶν καὶ λείαν, καὶ σκῦλα τῶν φονευθέντων. Λαφυραγωγήσαντες, πορθήσαντες. Λαφυραγωγία, αἰχμαλωσία. Λαφυροπωλεῖ, αἰχμαλωτίζω. Λαφύρων, αἰχμαλώτων. Λαφύσσει, στόματι πολλῷ τρέχω λέγεται, τὸ ῥαγδαίως καταπίνειν. γενόμενον ἐκ τοῦ λαιμοῦ λάψω λέλαφα. ὅθεν καὶ λάφυρον, ὥσπερ ἐκ τοῦ λέλαπα μέλλοντος παρακειμένου, ἢ τοῦ ἔλαπον δευτέρου ἀορίστου, γίνεται λαπάρα, καὶ λάπαθον, καὶ λαπάζειν. ὁ δὲ τὸ α, ὡς ἐπὶ πλεῖον λέγεται ἀλαπάζειν. οὕτω δὲ ἴσως ἐστὶν ἀπὸ τοῦ λέλαμμαι, ἡ λάμια. Λαφύσσειν αἷμα, καὶ ἀναρρῆξαι ζωῆς, καὶ σπασάμενος λάψας ἐπὶ λίπος, καὶ λύκον, καὶ τὸ ὅμοιον. Λαφύσσω, μετὰ σπουδῆς ἐσθίω, σπαράσσω, βλάπτω, σπεύδω, μετὰ θυμοῦ ἐσθίω.

Λαφύστιος, ὁ λαίμαργος, ἀπὸ τοῦ λαφύσσω λαφύξω. Λαφύστιος, ὁ Διόνυσος, ἀπὸ τοῦ ἐν Βοιωτίᾳ λαφυστίου ὄρους. Λαφύττειν, καὶ λαπάζειν, ὥσπερ ἀλαπάζειν, κατὰ πλεονασμὸν τοῦ α, τὸ ἐκκενοῦν καὶ ἀναλίσκειν ἔστιν. ὅθεν καὶ τὰ διαρπαζόμενα ἐν τοῖς ἀλαπαζομένοις, ἤγουν πορθουμένοις πόλεσι, λάφυρα λέγεται. παρὰ τὸ λαφύσσειν. λαπάραν δέ φασι καὶ τὸ γίνεσθαι λαγαρὸν ὄντα, ἐκ πεπονημένης καὶ κενουμένης τῆς τροφῆς. ὅπου ἡ γαστὴρ πάσχει, καὶ διὰ βοτάνας λαπάθου γινομένας καὶ αὐτή, ἀπὸ τοῦ λαπάσσειν. ὅθεν ἐστὶν ἡ λαπάραξ, ὡς ἀπὸ τοῦ λαγαροῦ ἡ λαγών. Λάφυσσε, λίαν ἄφυσσε. Λαχαίνειν, τὸ σκάπτειν, ἐπεὶ παρὰ τὴν λάχνην γίνεσθαι τὴν γὰρ ὀρυσσομένην, ἡ παρὰ τὸ σφόδρα χαίνειν αὐτήν, σκαπτομένην. Λαχάνα, τὸ ἐπὶ τῆς ἁπλῶς πεπληγμένον, ἐν ᾧ καθίζεται. Λαχανηρόν, ἀπὸ τοῦ λαχάνου. Λαχανίζειν, ἢ λαχανίζεσθαι, ἀντὶ τοῦ λαχανα συλλέγειν. Λαχεῖα, τῇ βραχεῖα. Λάχεια, παρ' Ὁμήρῳ. διττὸς ὄνομα τῆς νήσου ἐπιθετικῶς, ὡς συνήθως διὰ τῆς ἔρημος τοῦ ὁλόκληρος ἐξ ἑρμηνείας. ἰσχνοὶ δὲ λαχεῖαι, τῶν εὐγειων φασὶ καὶ ἐπιτηδείων λαχαίνεσθαι, ὅτι σκάπτεσθαι. ὅθεν καὶ τὸ λάχανον. οἱ δὲ χαλεπαι τετρασυλλάβως ἐλαχεια, οἷον μὴ ὕπαρχον λιτὸς λέγεται, οὕτω καὶ ἐλαχὺς ἐλάχεια, ἡ ἐλαχίστη. Λάχεσις, σημαίνει τὴν καλῶς ἐσκαμμένην γῆν. παρὰ τὸ λαχ ἐπιτατικόν, ὡς ἀπὸ τοῦ χαίρω χαίρεια, καὶ ἀπὸ τοῦ ἄκεια, καὶ κρατῶ κράτεια, οὕτως ἀπὸ τοῦ λάχω λάχεια. τὰ γὰρ ἀπὸ ἐνεστῶτος διὰ τοῦ εια γινόμενα ἐθνικὰ προπαροξύνεται, διὰ τὸ ει διφθόγγου γράφεται. οἷον, μάχω μάχεια, φέρω φέρεια.

Λαχεῖν, λίαν διαιρεθῆναι. Λαχεῖν, τοῦ κληρωθῆναι διαφέρει. λαχεῖν μὲν γάρ ἐστιν, ἐκ τοῦ κληρωμένου τοῦ προσκειμένου τυχεῖν. κληρωθῆναι δέ, κλήρῳ χρήσασθαι. ἐκ τοῦ λαχεῖν οὐ μόνον τὸ λάχος, ἀλλὰ καὶ τὸ λαχμοπαλεῖον, καὶ ὁ λαχμός. λαχμὸς δὲ οὗτος, ἰσχυρός τις ἐν ὀλίγοις. ἐπειδὴ γὰρ ἄλλος ἑτέρων δηλοῖ, ὁ λαχὼν ἀποδηλῶν ὁ λαχμὸς ἔχει. Λαχεῖν, κυρίως τὸ ἀπὸ κλήρου τυχεῖν. σημαίνει ἐνίοτε, καὶ τὸ ἁπλῶς τυχεῖν. σημαίνει δὲ τὸ μὲν λαχεῖν αἰτιατική, τὸ γ τυχεῖν γενική. λαχεῖν, ἡ τῆς κληρώσεως. ἀφ' οὗ λαχμός, ὁ κλῆρος, ποιητικῶς. Λάχεσις, μία τῶν μοιρῶν. Ἡσίοδος, κλωθῶ τε, λάχεσίν τε, καὶ ἄτροπον. ἔστι δὲ τὰ ὀνόματα αὐτῶν πεποιημένα. καὶ ἡ μὲν λάχεσις, παρὰ τὴν κλήρωσιν τὴν ζωήν, ἣν ἕκαστος γεγονὼς κληροῦται, ἡ δὲ ἑτέρα κλωθώ, ἡ δὲ τρίτη ἄτροπος, παρὰ τὸ ἀμετάτρεπτον τῆς μοιραίου ἀνάγκης. Λάχη, λῆξις, ἀποκλήρωσις.

Λαχήνας, σκάψας. Λαχμίᾳ, ἐν ὕλῃ τινί. Λαχμὸν μοῖραν, βάρος, λαχμὸς. Λαχμῶ, ἀπὸ δασεῖ τῶν ἱερῶν, παρὰ τὸ λίαν ἔχεσθαι. Ἀντίμαχος δέ, τὴν λαχμὸν τῶν ἵππων λέγει λαχμόν. οἷον λαχμὴν διὰ τὸ δασὺ τῶν ἵππων. Σίλαινος δέ, διὰ τοῦ η γράφει λαχμήν, ἵνα σημαίνῃ τὴν λάχνην. Λαχμῷ κατάρμενος, τῷ δασεῖ καὶ πυκνῷ λόγοις πεπυκασμένος. Λαχμὸς λέγεται, ὁ τὰς λάχνας δασείας καὶ τρίχωσις. Λαχνήεις, ὁ δασύς. καὶ λάχνος, ὁ αὐτός. Λάχνη, ἡ τρίχωσις, ἢ παρὰ τὸ λαχαίνειν τὸ σκάπτειν, καθ' ὁμοιότητα τοῦ φιλοῦς τῆς, καὶ μικρὰ λίαν ἐχούσης φυτεῖας λαχαινομένης, ἐξ οὗ παραλήγεται καὶ τὸ λάχανον. καὶ παρὰ τὸ λα ἐπιτατικὸν, καὶ τὸ χνοῦς, ὁ δηλοῖ βραχεῖαν λίαν καὶ λεπτὴν τριχῶν ἀναδοσιν, ὁ ποία καὶ ἡ τῶν βρεφῶν. δῆλον δέ, ὡς ἀπὸ τοιαύτης λάχνης, καὶ θηρίου λαχνήεντος λέγεται. Λαχνήεις λέγει Ὅμηρος, καὶ τὴν τοῦ σῶμα τρίχωσιν, ἀφ' ἧς τὸ λαχνῆον λέγομεν, καὶ ἐπὶ ἀνθρώπων, ὡς δηλοῖ τὸ φιλεῖν διὰ ἐπιλιώσει λάχνη. καὶ ἐπὶ ζώων διαλόγων ζώων, οἷον ὀρατῶν, καὶ ἀλωπεκῶν, καὶ ἑτέρων τοιούτων. καὶ μὴν καὶ ἐπὶ δενδρῶν, ὡς δῆλον ἐκ τοῦ, λαχνήεντα δρόμον. ἤδη δὲ καὶ ἐπὶ καλάμων διὰ ὁμοιότητα λαχνώδη δὲ λέγομεν, τὸ ἐπὶ ἀκατέργαστον, καὶ μήπω φιλωθέν, ἢ χνοῦς ἡ τέχνη. γίνεται δὲ λάχνη, παρὰ τὸ λαχαίνω, τὸ διαφαίρω, τὸ διασκάπτω. εὕρηται δὲ καὶ ἐπὶ φυτῶν. Ὅμηρος οἷον, καὶ τὴν ὄρφορον. λάχνος διὰ τὸ λάχνη. ἔτι καλαμίσκος, διὸ οὐ τὰ δέματα ἐσφεττεν. λαχνῆντα λέγει, διὰ τῶν ἐν ἀγρῷ ταχθεῖσι λαχνήεντα. Λαχόντα, κληρωσάμενον, τυχόντα. Λαχεῖν, ἐπὶ λαχεῖν, λάχεις λάχοι, ἐκ τοῦ γίνεται λαχοῖν, κατὰ πλεονασμὸν τοῦ ε ἀπειλεῖσθαι ἄνευ τοῦ ε λαχοῖς. καὶ τροπῇ τοῦ ε εἰς τὸ ι, τὸ πρῶτον λαχεῖν, ὥσπερ ἐν τῷ σοῦ ἱερέθος ἱερέθα, καὶ λοιπὸν αἰολεῖς σύμφωνον τὸ ι, καὶ γίνεται λαχεῖν. Λαχεῖν, μέρος, κλῆρος. Λάχος, ἡ μερίς. ἐν οἷς ἦν καὶ σοὺς ἀγγεῖα μέγα λάχος. λέγεται δὲ καὶ πρόλαχος, ὁ πρῶτα μερίς. Λαχὼν, κληρωσάμενος. λαισοφαίνειν, τὴν λαχεῖν τὰ κοινὰ κατεθέσθαι πόνοις, πρὶν κληρωθῆναι, πρὶν χειροτονεῖσθαι, πρὸ διανομῆς. ἁρπάζειν, ἡ μεταφορὰ, ἀπὸ τῶν ἐν τοῖς δείπνοις ἁρπαζόντων πρὸ διανομῆς. Λαψα, γεγγυλίς. πέργαιοι. Λαψάν, τὸ ἀλείπτην πιεῖν, ἢ ῥοφῆσαι.

Λαψάνη, τῶν ἀγρίων λαχάνων ἐσθιομένη. Λαψόρων, τῇ χειρὶ πιεῖν, ἢ ἀπέμεσος. Λάψοντες, πίονται, ἀναρροφήσοντες. ποιεῖται δὲ ἡ λέξις ἀπὸ τῆς τῶν κυνῶν φύσεως ὅταν πίνουσιν, καὶ ἐπὶ ἐπιμανοῦς ὁ τρόπος. Λάψοντες, ἐπιθυμητικῶς ἔχοντες τοῦ πιεῖν. Λάψω, ἐκκολλάπτειν τὴν γλῶσσαν, ἀναφέρειν τὸ ὕδωρ, μετὰ ἦχον ἔχειν. Λάων, ληΐων. Λάων, Ἀρίσταρχος ἀντὶ τοῦ ἀπολαύων, ἀφ' οὗ καὶ λαμὸς καὶ λαπατίδων, καὶ αὐτὸ τὸ ἀπολαύειν, πλεονασμῷ τοῦ ε. ὅθεν καὶ τὸ λάειν κενεὸν ἔχειν, ἤγουν ἀπόλαυσιν. ἐσφόμενον ἐσθίει δέ, ὧν καὶ Κράτης, ἀντὶ τοῦ βλέπων, οὗ κατὰ κάρφειν ὁ λαός. ἄλλοι δὲ ὑλάων, ἤγουν ὑλακτῶν, ὡς

ἐν χειμῶνι χάσκοντος ἀφωρισμένος τοῦ ε,

Ὅμηρος ἐν τῷ τ τῆς ὀδυσσείας.

ΤΟ Λ ΜΕΤΑ ΤΟΥ Ε.

Λέα, ὁ ἐν τοῖς ἱστοῖς λίθος. Λεαινα, ξηρὰ, θηρίον. Λέαινα, ὁ ἐγχὴ τοῦ πατρός. Λέαινα, ἐπὶ τυραννίδος, χρῆμα συνοίσει ἀκόλαστον. Λεαίνη, λευχῆ, ἐξαλείφηται. Λεαίνομαι, θῶμαι σομαι. Λεαίνω, τὸ ὁμαλίζω. ἐκ τοῦ λεῖος, τὸ οἶσθα ἀπαγγέλλω, καὶ ἐκμάσω, εὖ μάλλον λεαινῶ, λεαίνω. λεαίνειν δὲ χώραν, τὸ ἐκ τοῦ λείου, ὃ σημαίνει τὸ ὁμαλόν. Λεαινῶν, λάβοιμι διισάμενος. Λεαινῶ, λεαινῶ. Λέας, τὰς ἀπὸ τῶν ἴσων χρημάτων ἅρπασε.

Λεβα, πόλις ὑπὸ θρανῶν. Λεβάδεια, πόλις τῆς Βοιωτίας, ἔνθα ἦν μαντεῖον Διὸς τὸ ἱερὸν καταβιβάζεσθαι. Λεβεδίων, τόπος, ἐν ᾧ ἐθύσιαζον οἱ κατὰ τὴν λεβαδεῖαν ἀρχαῖοι μαντευθῆναι. Λέβηνοι, πλοῖα πλήμνια, σκάφαι, ταῦτα. Λεβητίων, ἰσθμός. Λεβηρίς, τὸ δέρμα τοῦ ὄφεως. Λεβηρίδα, τὸ τοῦ ὄφεως γῆρας.

τὰς λίμνας χλωροὶ βάτραχοι. Λαισάν, τὴν λαισαίαν.

Λάσανα, οἱ χυτρόποδες καὶ τὰ μαγειρεῖα, ὅπου τὰ βελτία σκευάζεται μετὰ τὰς θυσίας κρέα. Λασανίαι χαμεῦναι, αἱ πρασιαί. Λάσθω, χλευάζω. Λάσδεο, ἀντὶ τοῦ λάζου Δωρικῶς, ἤγουν λάμβανε. Λάσθαι, παίζειν, ὀλιγωρεῖν, λοιδορεῖν. Λασθαίνειν, σκυλολογεῖν. Λάσθας, συμφοράς.

Λάσθη, αἷμα λέγουσι. Λάσθη, χλεύη, λώβη, ὀλιγωρία, αἰσχρολογία, αἰσχύνη. Λάσθεν, αἰσχεῖν. Λάσια, δασέα, ἤγουν πυκνὰ τοῖς θριξίν, ἐπειδὴ πολλοὶ τῶν θερμοτέρων. ἢ τὰ στιβαρά, κατὰ μετάληψιν λέξεως. λάσιον μὲν τὸ πυκνὸν ἤτοι πυκνόν. πυκνὸν δὲ καὶ πυκινὸν τὸ φρόνιμον ἐν πολλοῖς. ὥς τι εἴη ἂν κῆδος λάσιον, ὅθεν τὸ ἀναδιδοῦσι βουλεύματα λάσια, ἤτοι πυκνά. καὶ τὸ τοῦ Αἰσχύλου εἰπεῖν, ἐξ οὗ τὰ κεδνὰ βλαστάνει βουλεύματα Πάτροκλος. καὶ τὸ πολεμικὸν δὲ λάσιον κῆρ, κατὰ τοῦτον σημαινόμενον. οὐ λάσιον τετρίχωται τὸ κῆρ, ἐξ ἀνάγκης.

Λάσια, δασέα. Λάσιοι, πολύτριχοι, δασεῖς. ὁ γὰρ θερμὸς αἰτία τῆς ἐκφύσεως τῶν τριχῶν. λάσιος δέ, παρὰ τὸ λα, καὶ τὸ σεύω τὸ ὁρμῶ. Λασιόκωφος, ὁ λίαν κωφός, οἷον λάσια τὰ ὦτα ἔχων. Λάσιος, ἄφρων, ἐπιλήσμων. Λάσιον τὸ δασύτριχον. ὡς τό, ἐκ μὲν τῆς λασίοιο δασύτριχος εἶχε τράγοιο κνακὸν δέρμα. Λασιόμαλλον μῆλον, τὸ ἔχον χνοῦν.

Λάσιον κῆρ, ὃν λόγον φησὶν ὁ ποιητὴς λάσια στήθη τὸ Ἀχιλλέως, καὶ πολεμικὸν λάσιον κῆρ. οὕτω περιφραστικῶς Πατρόκλου λάσιον κῆρ, ἀντὶ τοῦ αὐτὸς ὁ [illegible] Πάτροκλος. Λάσιος, ὁ δασύς, ἐκ τοῦ λα ἐπιτατικοῦ, καὶ τοῦ σεύω τὸ ὁρμῶ. ὁρμῶς γὰρ ὁρμᾶται διὰ τὰ σώματα. ὁ γὰρ θερμὸς αἰτία τῆς ἐκφύσεως τῶν τριχῶν. τῶν δὲ περὶ τοῦ θερμοτέρους μᾶλλον τῆς ψυχῆς φασίν, ἀφ' ὧν λέγεσθαι κῆδος λασίοισι, τουτέστι θερμοῖς. ὁ γὰρ θερμὸς ἐν τοῖς δασέσι καὶ συνετοῖς τόποις. ὑπὸ γὰρ τὰ στέρνα κεῖται ἡ καρδία, ἐν ᾗ ἐστι τὸ πυρῶδες ἢ ξηρῶδες, καὶ θερμὸν καὶ μανικὸν τῆς ψυχῆς. λάσιοι οὖν, οἱ πολύτριχοι, ἢ συνετοί. Λασιοργίας, ἰσοργίας, δασυοργίας. Λασιών, [illegible], ἡ πόλις [illegible]. Λασιχαύχην, πλανώμενος. στικτοί. Λασίων, πόλις, ἢ χωρίον. οἱ δέ, φυλακτήριον. Λασκάζει, φλυαρεῖ, θωπεύει, ψεύδει. Λασκαρεῖ, διαφθείρει.

Λάσκειν, λέγειν, φθέγγεσθαι. Λάσκουσα κύων, ὑλακτοῦσα. Λάσκω, σημαίνει τὸ λαλῶ. Εὐριπίδης, τοιαῦτα λάσκεις τὰς ἀναγκαίας φίλους, ἐκ τοῦ λάω λάσω, καὶ πλεονασμῷ τοῦ κ λάσκω. Λάσκων, φωνῶν, βοῶν. [illegible]. Λαστᾷ, ψοφεῖ, [illegible]. Λαστάρια, μάστιξ. Λάσταυρος, πόρνος, διὰ τὸν ταῦρον. Λαστρογυλίας, λίθος τετομημένος. Λάταγος, ὁ ἀκράτης τὸ παλαιόν, καὶ ὁ μύλος. Λάταρ, λίθον.

Λαταγή, κροτάλη ἀπὸ ἀπορριπτομένου, ἀπὸ τῶν ποτηρίων ἦχον ἀποτελοῦσα. Λάταξ, ἡ μεγάλη κηλίς. Λάταυρος, τὸ ἱμάτιον. ἀναλογεῖ γὰρ τῇ λαιπίς, ἀπὸ δέρματος. Λαταία, παραξιφίς, καὶ ἡ περὶ ζώνην μάχαιρα. Λατμωνία, Λυκία.

Λαβρεία, ἡ τοῦ λόγου ἔκλυσις. Λαβρεύεσθαι, λάβρως ἢ ἀθρόως λαλεῖ, καὶ προσλεσχηνεύειν. Λαβρεύεσθαι, κυρία λέξις ἐστὶ δὲ λαλεῖν τὸ λάβρως, καὶ οὐ μετὰ σκέψεως λαλεῖν, ὃ καὶ ἄλλως [illegible], καὶ τὸ ἀκούεσθαι [illegible] τῇ φράσει. ὅθεν καὶ λαβραγόρην, ὁ ἐν τῷ ἀγορεύειν λάβρος. τῶν δὲ ὡς παλαιῶν λαβρινον, τὸ προσφιλονεικεῖν φασί. [illegible], ῥέουσι, μεγάλα βλαστάνουσι, [illegible]. Λαβρογορῶ, κομπάζω, μεγαλορρημονῶ, λαβραγορῶ, ἐμβαλ[illegible]. Λάβρον, ἀθρόον, [illegible], [illegible]. Λάβρον, συνήθως διὰ τοῦ ε, τὸ λίαν βορὸν, οὕτω καὶ λάβρος [illegible] διὰ τοῦ ε, ὡς λίαν βαρύνων, εἰ καὶ [illegible] καὶ [illegible] διὰ τοῦ [illegible] διφθόγγου, [illegible] λαβρογόρον, διὰ τοῦ ε. οὐχ ἧττον δὲ τούτων ὁ λάβραξ, διὰ τὸ λίαν βορόν. ἡ μέντοι δημοσία ὁδὸς λαύρα λεγομένη ἐν κωμῳδίᾳ, [illegible] ἀναγκαίως τὸ ε, διὰ τὸ [illegible] ἔχειν τὸ υ. σύγκειται γὰρ ἐκ τοῦ λαὸς ῥέειν δι' αὐτῆς. τοῦτο δὲ [illegible] καὶ γυνὴ [illegible] λέγεται [illegible], ὁ ἐν [illegible] λαύρας ἀναφανδὸν [illegible] ὡς χαμαιτύπη. [illegible] ἀρέσκει τοῖς [illegible] διὰ τοῦ ε γράφειν, διὰ τὸ λίαν βαρύ. ἐπεὶ [illegible] κατὰ τὸ [illegible] λέγονται, οὕτω καὶ [illegible] λέγομεν. Λαβροσιτεῖν, [illegible] πλούσιος. Λάβρος, ταχὺς, σφοδρός. Λαβροσιτῶν, χορτασμὸν ἀδηφαγῶν. Λαβροσυνία, ἡ ἄχρηστος λαλιά. Λαβρόστικος, [illegible]. Λαβρώνιος, [illegible]. Λαβύρινθος, σπήλαιον ἦν φασιν ἐν τῇ Κρήτῃ, ποικίλον πάνυ. ἔνθα οἱ εἰσελθόντες ἐξιέναι οὐκ ἐδύναντο, διὰ τὰς ἐν αὐτῷ σκολιότητας. Λαβύρινθος, κοχλιώδης καὶ σκοτεινὸς τόπος. λέγεται δὲ ἡ λέξις ἐπὶ τῶν φλυάρων, παρὰ τὸ πολλοῖς πλοκαῖς λόγων κεχρῆσθαι. Λάβωμεν, τὸ εἶναι λαβεῖν τὸ λαμβάνω, ὁ μέλλων λήψω, ἀόριστος ἔλαβον, ἄγαμαι πάντα. ὁ δεύτερος ἀόριστος ἔλαβον, καὶ τὸ ὑποτακτικὸν ἐὰν λάβω, τὸ πρῶτον τῶν πληθυντικῶν λάβωμεν. λάβωσι, λάβουσι. λάβωσι, τρίτον τῶν ἑνικῶν προσθήκῃ τοῦ σι, τὸ ἀπαρέμφατον λαβεῖν. Λάγυρα, εἶδος ὀπώρας. Λαγαρίζει, ἀφρίζει. Λάγανα, εἶδος πλακουντοειδοῦς, ὡς πυρῶσαι ἀπὸ σεμιδάλεως ἐν ἐλαίῳ τηγανιζόμενον, καὶ ἀρεβραχεῖ ἐλαίῳ. Λαγαριζόμενοι, σκολιούμενοι. Δηλοῖ δὲ, τὸ πρὸς τὰς λαγόνας τὸν ἀγκῶνα προσάγειν πτυχὰ [illegible]

φύτε· ἐφ' ἑτέρων παραδεχομένων τὸν καθυβρίζοντα. καὶ ἵνα φυλάσσωνται ἀνεφθέγγοντο. Ἀριστοφάνης, κωδωνοφορῶν περιήειχε.

Κώδωνες ἐν τοῖς φαλάροις καὶ χαλινοῖς τῶν ἵππων, οἱ στρατιῶται παρὰ τοῖς παλαιοῖς εἶχον. ὥσπερ καὶ τοὺς κωδωνοφαλαροπώλους λέγει Ἀριστοφάνης, τοὺς ἔχοντας κώδωνας. καὶ παρὰ Ῥωμαίοις ὁμοίως. ὅπερ ἐγὼ Βασίλειος, πολλάκις ἑώρακα. Κωδωνοφορεῖται, ἀντὶ τοῦ δοκιμάζεται ὑπὸ τῶν φυλάκων φρουρά. Ἀριστοφάνης. Κώα, δέρματα, τὰ ὑποτεθέντα εἰς τὸ κοιμᾶσθαι. οὗ ἡ εὐθεῖα οὐ μόνον κῶας, ἀλλὰ καὶ κῶος. ἐξ οὗ κώεα, ὡς τείχεα, βέλεα, οὕτω καὶ ὕλεα καὶ ὕλος, καὶ γῆρας καὶ γῆρος, ὅθεν γηροβοσκεῖν καὶ γηροτροφεῖν. Κῶιν, κολιός, εἶδος ἰχθύος. Κῶθυ, κωβιός. Κωθύλους, ὦτα. Κώθων, εἶδος ποτηρίου, ὃ ἐλάμβανον οἱ στρατιῶται. Ἄλλως. Κώθων, εἶδος ἐκπώματος. ἢ εἶδος ποτηρίου λακωνικοῦ καὶ στρατιωτικοῦ. ἐπειδὴ μὴ διειδὲς ὕδωρ ἐλάμβανον οἱ ναῦται, κώθωνας εἶχον. καὶ κωθωνίσαι, τὸ μεθύσαι. ὡς τό, ἐγὼ δὲ καὶ κωθωνιζόμενος ἀφ' ἡμέρας. Ἀριστοφάνης.

Κωθωνίζομαι, τὸ μεθύω διὰ κώθωνος. Κώϊον, ἐνώχυρον, καὶ ἱμάτιον. Κώκαλον, παλαιόν, καὶ εἶδος ἀλεκτρυόνος.

Κώκαλος, ὄνομα κύριον. Κωκύω, τὸ θρηνῶ. Κωκύειν ὀξύ, γυναικῶν δέ. τὸ δὲ κωκύειν καὶ τὸ οἰμώζειν, κυρίως ἐπὶ θρηνούντων. ὥσπερ καὶ τὰ ἐξ αὐτῶν ὁ κωκυτός, καὶ ἡ οἰμωγή. Κωκύοντος, θρηνοῦντος. Κώκυσε, μετὰ θρήνων ἀνεβόησε. Κωκυτιᾷν, θρηνεῖν. Κωκυτός, ποταμὸς ἐν ᾅδῃ, μυθικῶς. ἀλληγορικώτερον δὲ κωκυτός, ὁ θρῆνος. ὡς ἀχέρων ἡ χαρὰ καὶ ἡ χέσις τῶν ἀχέων, ἐκ τῶν θλίψεων, τῶν διὰ τῶν τεθνηκότων. Κῶλα, κυρίως ἐπὶ τῶν μελοποιιῶν. μεταφορικῶς δὲ, ἐπὶ τῶν πεζῶν τῶν λόγων κώλοις μὴ χρωμένων. καὶ κῶλον τὸ σκέλος. Κῶλα, τὰ τῶν σφονδύλων ἀπαίτερα μέρη. ὡς τό, ῥινοῦ χρῶμα σαρκός, ἐνστρέφει κῶλα σπαίρον ἀλκιμίοις, παντὸς νέρτερον ἀπὸ νέφος. Κῶλα, τὰ σκέλη. Κῶλα, τοῦ ζεύγματος. συμβαίνει γὰρ τῆς συλλαβῆς πρατῶν, κατὰ τὸ κῶλον τοῦ ζεύγματος. Κωλαβρίζει, τωθάζει.

Κωλακρέται, οἱ ταμίαι τοῦ δικαστικοῦ μισθοῦ, καὶ τῶν εἰς θεοὺς ἀναλισκομένων. Κωλακρέτης νόμος ἦν, τὰ περιλειπόμενα τῆς θυσίας τοὺς ἱερέας λαμβάνειν, ἅπερ ἦσαν δέρματα καὶ κωλαῖ.

Κωλακρέται παρὰ τῷ Ἀριστοφάνει, περὶ πράκτορος τοῦ δικαστικοῦ μισθοῦ. καθ' ὑπόνοιαν δέ, διὰ τὸ εἰπεῖν ζῶν ἐκείνος. Κωλακραζόμενοι, τάχυ χρώμενοι ἀνέμοις ἐπὶ. Κωλαρίου, τῆς ἐκ τῆς ὀπίσω κνήμης. Κωλέα, μέρος κρέατος, ἀγκαλίς, δέσμη χόρτου. ἐκεῖ σκέλος ὡς ὁμοίως, ὃ περιοιδοῦ τὸ ἐλώδιμον.

Κωλεόν, τὸ κολεόν. Κώληκα, τὸ ὀπίσω τοῦ γόνατος μέρος, ἡ κόξα. καὶ κώληξ, ἡ ἰγνύα, τὸ σκέλος. κλίνεται δὲ κώληκος.

Κωλῆν, τὸ προτιθέμενον ἆθλον τοῖς ἀγωνιζομένοις. Κωλετίναις, ἀσκαλαβώταις. Κωλῆσι, ἀκροκώλια. Κωλῆς, Ἀριστοφάνης. εἶμαι δὲ κωλῆς, τῆς κώληκος λεγομένης. κῶλα δὲ τὰ ὀπισθόπεδα μέρη τῶν ἱερείων. ἔστι δὲ ἱερὸν ὅμοιον ὁ βραχίων τῶν ἀλόγων ζώων, ἄλλως τὰ ὀπισθόπεδα μέρη τῶν ἱερείων, τὰς ὀσφύας τῷ ἀγκῶνι. διαβάλλεται οὖν Ἀριστοφάνης, ὡς ὅσια τοῖς θεοῖς προσφέροντας. Κωλιάδος κεραμῆες. κωλιάς τόπος τῆς Ἀττικῆς, ὅπου σκεύη πλείστη. λέγει οὖν, ὅτι ὅσοι ἐπὶ τροχοῖς φέρονται. τροχὸν δὲ τὸν σκευοπλαστικὸν λέγει, πρὸς ἂν ἴσως πρὸς σκευοπλασίαν ἐπιτάλλεται, πάντων ἡ κωλιὰς κρείσσων. ὥς τι καὶ βάπτεσθαι ὑπὸ τῆς μίλτου. ἔστι δὲ ὁ τόπος ἐγκείμενος, ὅμοιος ἀνθρώπου κώλῳ, καὶ οἱ ἐνοικοῦντες κωλιεῖς. Κωλιάδος παρὰ τῷ Ἀριστοφάνει, οἱ μὲν κωλιάδα τὴν θεὸν καλοῦσι, παρὰ τὸ Ἀττικοῦ ἀνδρὸς εἰς Λακώνων συμμαχίᾳ τοῦ θεοῦ, καὶ οὕτως αὐτὴν ὀνομασθεῖσαν, καθάπερ αὐτὸς λέγει τὸ κῶλον ἀπελύθη ὑπὸ γυναικός. οἱ δὲ θυγατρὸς τοῦ ἀρχιλάου δι' ἔρωτα. οἱ δὲ τόπον ἐοικότα κώλοις ἀνδρός, ἔνθα ἡ θεὸς ἱδρῦται. ἄλλοι δὲ ἵππος θέοντος κόρακα ἁρπάσαι κωλῆν, καὶ ἐν ἐκείνῳ τῷ τόπῳ ἀποθέσθαι, ὅθεν αὐτῆς

ἱδρῦσθαι. ἄλλως. Κωλιάς, ναὸς ἦν ἀφροδίτης, οὕτω καλούμενος, ἀπό τινος νεανίσκου ἀττικοῦ ἁλόντος ὑπὸ τυράννων, καὶ δεθέντος τὰ κῶλα, εἶτα ἐρασθείσης αὐτοῦ τῆς θυγατρὸς τοῦ τυράννου, καὶ λυσάσης, ἐπανελθὼν εἰς Ἀθήνας, χαριστήριον τῇ Ἀφροδίτῃ ναὸν ἱδρύσατο κωλιάδος, διὰ τὸ τὰ κῶλα λυθῆναι.

Κωλίαν, ἐνδὸν, τὴν γαστροκνημίαν, τὴν κνήμην. Κωλιάς, ἀκτὴ εἰς θάλασσαν ἐξέχουσα. καὶ ἴσως, διὰ τὸ κώλῳ ἐμφερὴς εἶναι. Κωλιεύς, γένος ἰθαγενῶν, ὅπερ ἐκ τῆς κωλιάδος. Κωλικά, σκελικά. Κωλοβάθρα, τὰ λεγόμενα κλάπαι παρὰ πολλοῖς. Κώλοισι, κολλίοισι. Κῶλον, μέσον λόγου, ἐκ δύο ἢ καὶ πλειόνων μερῶν συγκείμενον. τὰς συλλαβὰς γὰρ τέμνουσι καὶ τὰ κῶλα τῶν κομμάτων. κῶλον οὖν, ὁ ἀπηρτισμένην ἔννοιαν ἔχων στίχος. ἢ κῶλον, παρὰ τὸ ἐκεῖ κεῖσθαι ὅλον τὸ ὀχεῖον. ὅθεν καὶ κώλαξ, κατὰ ἀντίφρασιν. Κωλύματα, ἐμποδίσματα, ἐναντία, ἐναντιώματα, ἐμπόδιον. φράγματα, ἔργματα. Κωλύμη, μεμψίμοιρος. ἢ κώλυμα, κώλυσις, ἐμπόδιον. ἔστι δὲ ἡ λέξις Θουκυδίδου. Κωλοκτίς, δῆμος τῆς αἰγηίδος φυλῆς. Κωλοτροίμας, ὁ ἐμπεδοκλῆς οὕτω καλεῖται, ὡς ὑπεχόμενος ἐρίζειν τοὺς ἀνέμους.

Κωλύσω, λυπήσω. Κωλυτήρ, σημεῖόν τι ἐν θυσίᾳ, καὶ θυσία τις κωλυτηρία. Κωλύφιον μὴ λέγε, κωλῆνα δέ. Κωλύω, κατείργω, ἀπέχω, ἐμποδίζω, ταυτὸ σημαίνουσι. Κωλύουσι λέγοντα καὶ λέγειν, καὶ κεκωλυκότα καὶ κεκωλυκέναι.

Κωλιῶτις, ἡ ἀφροδίτη. κωλιῶτις δὲ ἐκλήθη, ὅτι νεανίας ὑπὸ λῃστῶν, ἢ ὑπὸ τυράννου καταχθεὶς ἐκ τῶν κώλων, ἤτοι τῶν ἀκρωτηρίων καὶ τῶν χειρῶν ἐδέθη. ἡ δὲ θυγάτηρ ἢ τοῦ ἀρχελάου, ἢ τοῦ τυράννου ἐρασθεῖσα αὐτοῦ ἀπέλυσεν αὐτόν, μιγεῖσα τούτῳ. ὁ δὲ ἀφροδίτης ἱερὸν κωλιώτιδος ἱδρύσατο εἰς εὐχαριστίαν αὐτῆς, ὅτι δεδεμένον ὄντα ἐκ τῶν κώλων, ἐξέλυσε. κωλιὰς δὲ λέγεται ἡ ἄρουρα, καὶ ἀκτή, ἡ ἐν ἀλίου ποταμοῦ κολοφῶνος κειμένη. ἐκεῖ γὰρ ἱερὸν αὐτῆς ἐστί. Κωλώτης, ἀσκαλαβώτης. καὶ κωλώτης, ὁ λέων. ἔλεγον δὲ αὐτὴν καὶ γαλεώτην. δοκεῖ δὲ αὐτὸς ἐναρχὰς ἄλλεσθαι περὶ τοὺς μῦς.

Κῶμα, σημείωσαι ὅτι ὥσπερ ζῶ ζῶμα, βρῶ βρῶμα, τρῶ τρῶμα, ἰωνικῶς ἡ βλάβη, οὕτω καὶ κῶ κῶμα ὁ ὕπνος. καὶ ὅτι καθὰ δῶμα μὲν ἔφη ὁ ποιητής, οὐ μὴν δὲ καὶ δωμὰς εὕρηται παρ' αὐτῷ, οὕτω καὶ κῶμα μὲν οἶδεν, οὐ μὴν δὲ καὶ τὸν κῶμον, οὗ τῇ χρήσει πλεονάζουσιν οἱ ἀττικοί, λέγοντες κῶμον τὸν ἐν συμποσίῳ καιρόν, δι' οὗ καταφέρεταί τις εἰς ἐμποιοῦντα κῶμα. ὅπερ ἐστὶν ὕπνον. ὅθεν καὶ κωμάζειν, καὶ εἰσκωμάζειν, τὸ καταμεθύοντα ἐπέρχεσθαι ἀσελγαίνοντα, καὶ ἐλασελγαίνειν. Κωμαδεῖν, ὀρχεῖσθαι. Κῶμα, ἢ τὸ κοίμημα, καὶ ἐν συγκοπῇ κοίμα καὶ κῶμα, ὡς ὀγκώνη ἀγκώνη, ὃ τὴν ἐκ τοῦ ὕπνου καιρόν. ἔστι ἢ ἐκ τοῦ κωμαίνω κῶμα, ὡς καὶ ἐκ τοῦ δωμαίνω δῶμα. ἴσως δὲ καὶ ὥσπερ χῶ χῶμα, βρῶ βρῶμα, τρῶ τρῶμα, ζῶ ζῶμα, οὕτω καὶ κεῖμαι κῶμα. ἐκ δὲ τοῦ κῶ καθ' ἑτέραν παραγωγήν, καὶ κώμη γίνεται, ὡς στῶ στώμη, τρῶ τρώμη ἡ τρῶσις, βρῶ βρώμη ἡ βρῶσις. μαλθακὸν δὲ κῶμα, τὸ μαλθακτικόν. Κωμάζουσιν, ἤγουν ἀτακτοῦσι, παίζουσιν, ἀσελγαίνουσιν, ᾄδουσι. κωμάζειν λέγεται τὸ ἐραστὴν νεανίσκον ἐπὶ ἐρωμένην πορεύεσθαι ἐστεφανωμένον καὶ αὐλοῦντα. ἢ ἑταίραν τι αὐτῷ ἁρμόδιον ποιοῦντα. καὶ ὁ κῶμος, ἡ ἐργασία τῶν ποιητῶν. ὁ κῶμος θεὸς ἦν παρὰ τοῖς ἕλλησιν, ἔφορος τῆς μέθης. ἐξ οὗ κωμάζειν. κῶμος ἡ μέθη. καὶ κωμάζω, τὸ μεθύω. καὶ κώμη, ἡ ἀτείχιστος ἀνθρώπων συνοικία. Κωμάζειν, τὸ ᾄδειν ὀρχεῖσθαι. Κωμάζει, ὑβρίζει. Κῶμαι, ἀγυιαί, ῥύμαι. Κωμαίνειν, νυστάζειν, καλχαίνειν, ταράσσεσθαι. Κωμαίνεσθαι, πειρᾶσθαι. Κωμακόν, ὀρχηματικόν τι. Κωμάρχης, ὁ τῶν πόλεων ἄρχων. Κωμάσδω Δωρικῶς, ἀντὶ

τοῦ

δεσμὸς ἐπὶ ξύλινος. ὅμοι μὲν κλοιὸν ὀνομάζουσιν, οἱ δὲ κολοιόν. ὅθεν καὶ ὁ πονηρὸς ἄνθρωπος κύφων. τάσσεται δὲ καὶ ἐπὶ πάντων τῶν λοχεύων, καὶ ὀλεθρίων, καὶ κυφωνισμὸς ἐπὶ τῶν ἐμπαικτῶν. Ἀρχίλοχος δὲ, ἀντὶ τοῦ κακὸς καὶ ὀλέθριος. εἴρηται κύφων, παρὰ τὸ ἢ δεσμίους ἀναγκάζεσθαι κύπτειν, διπλῶς ἅμα κολαζομένους, τῇ τε τοῦ τραχήλου κλίσει, καὶ τῷ μηδαμῶς ἀνανεύειν δύνασθαι. ἢ ἄλλως ξυλοκύφων, ἐπιζεύγνυται εἰς ὃ τίνουσιν τὴν κατὰ δίκην, ἵνα μὴ δύνωνται ἀνακύψαι. καὶ γὰρ τὸν κακούμενον [illegible] κύπτειν. Κύφων, ὁ ξύλινος δεσμὸς, ἐν ᾧ δεσμεύονται οἱ ἐν τῇ φρουρᾷ, ὃν καὶ κυφῶνα προσηγορευμένως λέγουσι. τινὲς δὲ, κύφωνα φασὶν ὄνομα τὸν κύφωνα, πτωχοῦ εἶδος. οἱ δὲ, κρεμαστὸν οὕτω καλούμενον. Κυχαῖος, εἶδος ὀρνέου. Κύψαι, ἀπάγξασθαι. Κυψέλη, κυβώτιον μελισσῶν. λέγεται δὲ καὶ ἡ ὀπὴ τοῦ ὠτός. αἱ δὲ μέλιτται ἐκκηρωθεῖσαι, ὥσπερ ἐν κυψέλῃ.

Κυψελισμός, μαλακὸν εἶναι. Κυψέλη, εἶδος μέτρου, ἓξ χωροῦν μεδίμνους. ἔστι δὲ εἶδος ἀγγείου, ἢ μέτρον, δεκάχουν [illegible], ἢ κοφίνων. οὕτω δὲ εἴρηται, διὰ τὸ κεκρύφθαι αὐτῷ τῶν ἄλλων. ἔστι γὰρ στεγανὸν. διαφέρει δὲ πρὸς τὴν κυψελίδα, ἣ ἐστὶν ὁ ἐν τοῖς ὠσὶ ῥύπος. οὐ μόνον δὲ κλεῖται ὕδωρ αἱ κυψέλαι, ἀλλὰ μέλισσαι. Κυψελιδῶν ἀνάθημα, ἐν Ὀλυμπίᾳ. Κυψέλη, ὁ τῶν ὤτων ῥύπος, καὶ κυψελίς. Κυψελόβυστον, τὸ ὑπὸ ῥύπου κεκαλυμμένον. Κυψέλαι, καὶ κυψελίδες, ὁ ἐν τοῖς ὠσὶ ῥύπος συνιστάμενος, καὶ τὰ στεγνὰ ἀγγεῖα, καὶ τὰ κοῖλα σκεύη, καὶ τὸ ὠτὸς τὸ ἔγκοιλον, καὶ τῆς καμίνου μέρος τι. Κύψελος, ὄρνις ποιὸς ὅμοιος χελιδόνι. Κύω, τὸ φιλῶ, ἤγουν τὸ φιλοφρόνως χείλη συμβάλλειν. δηλοῖ καὶ τὸ ἔγκυον εἶναι, ὃ διαφέρει τοῦ τίκτειν. καθότι αὐτὸ ἀπαλλάττει τοῦ κύειν, καὶ φέρεσθαι εἰς τοῦτο χρῆσις ἐξ ἐκείνης τὸ κύειν τίκτειν, ἤγουν κατὰ γαστρὸς φέρουσα, εἶτα ἔτικτον. εἰ δὲ ὕστερον καὶ αὐτὸ τὸ τίκτειν, κύειν ἔλεγον.

Κύειν, τὸ τοῖς χείλεσιν ἀσπάζεσθαι. φιλεῖν, ἀγαπᾶν καὶ ξενίζειν. Κύων, ὁ σκύλος, ἀπὸ τοῦ κυεῖν καὶ βαίνειν. Κύων, τὸ καλεῖν τὸ ταχέως συμπεφυκὸς τοῖς δέρμασι, παρὰ τὸ κατακεῖσθαι, καὶ ἀναλείβεσθαι, ὃ συνδεδέσθαι. κύων λέγεται ἐπὶ μὲν τοῦ ἀλόγου ζώου, παρὰ τὸ κύειν, καὶ βαίνειν, ἢ παρὰ τὸ ὠκὺς τὸ γὰρ ζῶον ταχύ ἐστιν, ὑπερβιβασμῷ καὶ ἀναλύσει τοῦ τόνου, ἢ παρὰ τὸ ἐξω εἶναι τὸ ζῶον. Κύων, ἀπὸ τοῦ κύω τὸ φιλῶ παράγεται. ἄφειλε δὲ τρισυλλάβως κλίνεσθαι κύοντος, ἔχει τὴν γενικὴν δισύλλαβον κατὰ πάθος διὰ δύο κανόνων συνδρομήν. τὰς μὲν γὰρ κανόνων συστέλλεσθαι θέλει τὸ ω τῆς εὐθείας ἐν τῇ γενικῇ, διὰ τὴν τοῦ γένους κοινότητα. ὁ λέων καὶ ἡ λέων φαμέν. ἕτερος δὲ λέγει κανών, φυλάττεσθαι θέλει αὐτὸ, διὰ τὸ βραχὺ εἶναι τὸ δίχρονον τῆς παραληγούσης, ὥσπερ καὶ ἀμφιτρύων ἀμφιτρύωνος καὶ τὰ ὅμοια. ἡ γοῦν τῶν δύο κανόνων μάχη περὶ τὴν τοῦ κυόνος παραλήγουσαν διέφθειρεν. οἷον καὶ ἐξέβαλεν τὸ ὑποκείμενον, καὶ τὴν τρισυλλαβίαν εἰς δισυλλαβίαν περιέστησε. Κύων, ὁ ἐλαιομύλος τοῦ σιδήρου τοῦ ἀρότρου ἐξαλλόμενος [illegible]. οἱ δὲ τὴν [illegible], οἱ δὲ τὴν νόσον, τὴν οὕτω λεγομένην κύνα. δηλοῖ δὲ καὶ τὸ ἀνδρεῖον μόριον, καὶ ὑλακτοῦν ζῶον, καὶ τὸ ἄστρον, καὶ τὸ θαλάσσιον ζῶον, καὶ ὑπὸ τῶν κυβευτῶν βόλον ἕνα, ὃς χῖος καλεῖται. Κύων ἐπὶ δεσμά, παροιμία ἐπὶ τῶν ἑαυτοὺς εἰς κολάσεις ἐπιδιδόντων. λέγεται δὲ καὶ βοῦς ἐπὶ δεσμά. Κύων, ἀστήρ. ἰστέον, ὡς ἰδικὸν μὲν οἷον ὄνομα τὸ ἀστὴρ. ἐπίθετον δὲ τοῦτο, ὥσπερ τὸ κύων ἁπλῶς, οὕτω καὶ τὸ κύων Ὠρίωνος. ἔστι δὲ Ὠρίων, κυνηγέτης γενόμενος ἀνήρ, κατηστέρισται μετὰ θάνατον. [illegible] δὲ ἄστροις. καὶ ὁ κύων, ὡς ὁ μῦθος αὐτοῦ πολλαχοῦ λέγειν δηλοῖ. δῆλον δὲ ὅτι τοῦ τοιούτου κυνὸς ἐπιτέλλοντος, καῦμα γίνονται καύσωνες, διὸ καὶ κυνοκαύματα ὁ [illegible] φησί. καὶ διὰ τὸν κακὸν σῆμα τοῦτον εἶναι φησὶν ὁ ποιητὴς, καὶ πυρετὸν φέρειν πολύν. ὃν οἱ μὲν ἀστέρα

[illegible] ὃ καὶ φλέγμα φθαλσεν εἶπεν ὁ ποιητὴς, ὁμωνύμως τῷ ζωστηρι χιτῶνι. πυροῦται γὰρ καὶ οἷον φλέγεται ὁ ἀήρ, κυνὸς ἐπιτέλλοντος.

ΤΟ Κ ΜΕΤΑ ΤΟΥ Ω.

Κῶ, καὶ τὴν ἕω, καὶ τὴν λαγώ, καὶ τὴν τέω, οἱ Ἀττικοὶ δίχα τοῦ ν προφέρουσιν. ἄλλως. κῶ καὶ τὴν ἕω δίχα τοῦ ν προφέρουσιν Ἀττικοί. οὐκ οἶδα δὲ εἰ τὴν λαγω καὶ τὴν ταώ. Κῶ νῆσος, κῶος τὸ ἐθνικὸν, ὥσπερ δὲ καὶ τῆς ἐν αὐτῇ πόλεως, ἣν πόλιν εὐρύχορον λέγει ὁ ποιητὴς, ἐξ οὗ ἡρακλῆς, καὶ χαλκιοπος, κικλήσκειν ἀπὸ βασιλεύσαντος. ἰστέον δὲ, ὅτι ἡ κῶς αὕτη, μερόπη καὶ μεροπηΐς ἐλέγετο, ἀπὸ μερόπων ἐθνικῶς. ἢ γένος, ὁ [illegible] αὐτῶν. ἢ ἀπὸ μέροπος, ἧς θυγάτηρ κῶς. ἥς φασιν ἡ νῆσος ἐπώνυμος. καὶ ὅτι καὶ δισυλλάβως κόως, λέγεται διὰ δύο μεγάλων ω, καὶ κῶος διὰ μικροῦ καὶ μεγάλου, ἐξ οὗ τὸ κόων εὐναιομένην παρὰ τῷ ποιητῇ. καὶ κόος δὲ διὰ δύο ο μικρῶν. ὧν συναιρεθέντων ἤδη γενέσθαι ἡ κῶς κατὰ δίζωσιν, καὶ ὡς πολυπρόβατος οὕτω καλεῖται. κόον γὰρ φασι κατὰ γλῶσσαν τὸ πρόβατον λέγεσθαι. εὑρίσκεται δὲ καὶ κέως λεγομένη, ὡς ἡ τέως, ἧς ἐθνικὸν κεῖος, καὶ ἐκτάσει κεῖος, ὡς τεῖος τήϊος, καὶ ἐν συναιρέσει κεῖος. τῆς κῶ κατὰ [illegible] εὕρηται, παρὰ Πορφυρίῳ κωακόν. ἰστέον δὲ, ὅτι κατὰ ἱστορίαν κῶς ἐλέγετο, καὶ ὄρχημα δὲ ἐν κορίνθῳ, οὗ καθιερωθὲν φασι φάρον, καὶ ἐφημίζετο. ἡ δὲ τοιαύτη λέξις, δοκεῖ καὶ ἐν τοῖς ὀρθινοῖς εἰρῆσθαι. Κωκί, ἀστράγαλοι. Κῶα, ἐπίχυρα.

Κωάζειν, ἀσχαγαλίζειν, ἐπιχειράζειν. Κωαθείς, ἐπιχωσθείς. Κώας, ἡ τοῦ προβάτου δορά. Κῶος, κοῖλον, τὰ πετα, ὀφθαλμούς. Κώβαλα, πανουργήματα. Κώβαλοι, [illegible] ῥαδιῶν. Κώβαξ, ὁ μέγας τέττιξ. Κωβάλα, σπουδαία, καὶ βελίνη. Κωβαλίνα, ἱππῖται. Κωβῶτις, ἡ λακωνικὰ φυλή. Κωβιός, ὁ ἰχθύς. Κωβίτης, εἶδος ἀφύας, καὶ ἔστιν ἐκ τῶν ἀφύας. Κωδάλου χοῖνιξ, παροιμία ὡς μεγάλοις μέτροις κεχρημένου ἀχαλεμου. Κωδαλοῦχος, μέτρον τι.

Κωδεία ἐστὶν, ἡ τῆς μήκωνος κεφαλή, ὃ ἔστιν εἶδος βοτάνης. Κωδία, κωδίς, κεφαλὴ χωρὶς σώματος. Κώδιον, [illegible], δέρμα προβάτου, ὡς παρὰ ῥωμαίοις. Κώδιον ἐστι, τὸ ἅμα τοῖς ἐρίοις δέρμα συναγόμενον. Κώδιον, τὸ δέρμα. κώδιον γίνεται, καὶ συναιρέσει κῴδιον, καὶ τὸ λαγώδιον ἐν τῷ ι, ὅτι ἀπὸ τοῦ λαγωὸς λαγωοῦ γίνεται κατὰ συναίρεσιν τοῦ κώδιον, καὶ κώδιον. σημαίνει δὲ τὴν μηλωτὴν, συνεξέφερον αὐτοῖς καὶ τὸ κωδιάδιον, καὶ ἐν τὸ ι προσγεγραμμένον. σημαίνει δὲ τὸ χωρίον. Κωδωνήσας, πειράσας, ἠχήσας. Κωδώνες, γένος ἱερατικὸν ἀθηναίοις. Κώδων, κώδια, παρὰ τῷ ἱπποκράτει. Κωδωνίσω, παρ' Ἀριστοφάνει, ἀντὶ τοῦ δοκιμάσω, ἐξετάσω. ἐκ μεταφορᾶς, ἢ ἀπὸ τῶν πεπραμένων ὀρνίθων. ἃ δοκιμάζοντες, εἰ εὔηχα καὶ ὑγιῆ τύχοιεν, κρούοντες καὶ εἴπερ ὑγιῆ εἰσιν, ἀπηχοῦσιν, ὡς κώδωνες. ἢ ἀπὸ τῶν ὀρνίθων, ἢ ἵππων δοκιμαζομένων, ἤχῳ κωδώνων. τὰ μὲν γὰρ γεννικά, γενναίως φέρει τοὺς ἤχους. τὰ δὲ δειλά, περιέκασιν. ἃ καὶ ἀπ' αὐτῶν τῶν κωδώνων δοκιμαζομένων ἐν τῷ κινεῖσθαι, εἰ εὔηχοί εἰσιν, εἴτε καὶ μή. Κωδωνοῦνται, δοκιμάζονται, διακρίνονται. Κώδων, παρὰ τὸ ἐν τῷ κωεῖν ᾄδειν. Κωδωνῆσαι, ἀπὸ τῶν ἵππων μεταβέβληται κωδωνῆσαι, καὶ κωδωνίζω, τὸ φοβίζω. Κωδωνοφαλαροπώλους, κώδωνας εἰς τὰ φάλαρα χρωμένους. οἱ δὲ ἐξέπλαττον αὐτὰς κώδωνας [illegible], καὶ μιμοῦνται κωδωνοφαλαροπώλους, Ἀριστοφάνης.

Κώδων, καλεῖται καὶ τὸ πλατὺ τῆς σάλπιγγος. Κωδωνοφορῶν. οἱ περίπολοι, αἱ τὰς φυλακὰς περιοδεύοντες, καὶ [illegible], ἐρχόμενοι ἐπὶ τὰς φυλακάς, κώδωνας εἶχον, καὶ

Κῦρος, ἡ ἐξουσία, καὶ ἐπιτυχία. Κυροῖ, βεβαιοῖ, κυροῖ. Κῦρος, ἀπὸ τοῦ ὑπὸ κυνὸς τραφῆναι, ὃ ἀπὸ τοῦ ἡλίου. τὸν γὰρ ἥλιον οἱ πέρσαι κῦρον λέγουσιν, ἄλλοι βέβαιον, καὶ προσῆκον, καὶ ὄνομα ποταμοῦ καὶ κύκλον. Κυρῶ, κυρῶ, τὸ βεβαιῶ. ἐκύρωσεν ὁ ψῆφος τοῦ ὁρίσαι θάνατον, ἀντὶ τοῦ ἔταξε. Κυῤῥάνη, ὄνομα γυναικεῖον θεοῦ. Κυῤῥάσειν, τοῖς κέρδεσιν ἐπιτυχεῖν ἐκρείσαντα. Κύῤῥος, τόπος ἐν συρίᾳ. Κύρσαι ὁρμῆσαι, καὶ ἐν ὅλῳ συγκύρσαι, τὸ προσκροῦσαι, κατὰ ἴσον συγκυρῆσαι, ὁμοῦ γενόμενον, ἢ εἰς ἓν ἐλθόντα. Κυρσάνιε, μανία, ἐφηβε, ἢ εὐτελέστατε. κυρσὸς γὰρ εὐτελὲς λάχανον. κυρσανίους δὲ ἐκάλουν οἱ λάκωνες, τὰ μειράκια, καὶ τοὺς εὐτελεῖς ἀνθρώπους. Κύρσαι, κύρω κυρῶ κοινῶς, κύρσαι αἰολικῶς, ἔκυρσα καὶ ἐκύρσαν. Κύρσιον, τρωκτὸν παρὰ τῷ ἱπποκράτει.

Κύρσας, προσκυνήσας, ἐντυχών. Κύρσειν, ἤ κυρεῖν. τοῖς ἐκύρσαν ἐπιτυχεῖν, εὑρεῖν. Κυρσφίλοι, τὰ τῶν μελισσῶν ἀγγεῖα, κυψελίδες. Κύρσιον, μειράκιον. Κύρτα, οἰδοῦντα, μεμιασμένα. ἔνιοι δὲ, οὐκ ὀρθά. ὑπὸ δὲ τῶν ταραντίνων κύρτον, καὶ τὰ ἐπ' ἄρα ἁλιευτικὰ κύρτον, καὶ συμβάλλων τὸ βρωμαλέον. Κύρταφον, κυρίως μὲν ἀσπίδα αἰολοί, ἐπεὶ ἔχει ἂν καὶ κύπον, ὡς ἄγαχοι λαλοῦσι. Κυρτὸς, ἁλιεύς. Κυρτίαν, ἐκάλει τὰς ἀσπίδας. Κυρτὶς, ὀρνιθοτροφεῖον. Κυρτὴ, καὶ κοίλη, χαράδρα. Κύρτη, τὸ μέτωπον καὶ ὑψηλὸν, ἀπὸ τοῦ κύπτειν εἰς ὕψος, ἢ ἐπαίρεσθαι. Κυρτοφίλος, ἑταίρα. οὕτως ἐκαλεῖτο, διὰ τὸ μέλαν ἔχειν τὸ ἰσχίον, διὸ καὶ ἐν ταῖς συνουσίαις οὐκ ἀπεκαλύπτετο. Κυρκάλιον, λῦμος τοῦ ἀκμαστικοῦ φυλῆς. Κυρτὸν, λέγεται καὶ ἐπὶ κυμαίνειν, ὡς καὶ ἐπὶ ἄλλων ἀψύχων. γενόμενον, παρὰ τὸ κύπτειν κατὰ τοὺς παλαιοὺς, ἢ καὶ παρὰ τὸ κρύπτειν. Κύρτωμα, ἡ λεγομένη καμάρα. Κυρῶ, τὸ τρανῶμαι, καὶ ἐξουσίαν δίδωμι, καὶ τυγχάνω. Κύρω, τὰ διὰ τοῦ ὑρῶ ῥήματα, βαρυνόμενα μὲν, ἐκτείνει τὸ υ. περισπώμενα δὲ συστέλλει, κύρω κυρῶ, φύρω φυρῶ, κύρω κυρῶ. Κυρῶλα, ὀλέκρανα. Κυρῶ, κρατύνω, βεβαιῶ. Κυριτῆρες, ἄρχοντες. Κῦσε γούνατα, πτύσσειν ἐφίλησεν. Κύσασ, φιλήσας. Κῦσαι, τὸ σεμνὸν φιλῆσαι.

Κυσσαίνειν, κυνίζειν. ἄκυθον γὰρ τὸ ἄτοκον. Κυσσείζειν, ὁμιλεῖν. Κῦσε γούνατα, μέρος τοῦ γονυπετεῖσθαι. ὡς ἐκεῖνο μὲν μόνον χερσὶ ἁπτομένου γουνάτων, ἀμφότερα δὲ φιλοῦντος αὐτά.

Κυσθὸς, πυγμὴ, χάσμα. Κυσθήνη, ῥοιά. Κύσθος, ἀπὸ τοῦ δεῖν αὐτὸν γενέσθαι τὴν κύησιν, ἢ ἀπὸ τοῦ κεύθειν τὸ σιτίον. Κυσθοκορώνη, πόρνη. Κυσίαι, πυγιστεῖαι. Κῦσε δέ μιν κεφαλήν, χωμαθεὶς συντίθησιν Ὅμηρος, καὶ ἔχει αὐτὸ συντάξεις τρεῖς. ἢ γὰρ ἔκυσεν αὐτοῦ κεφαλὴν καὶ φάεα, ἢ ἔκυσεν αὐτοῦ κατὰ τὴν κεφαλὴν καὶ φάεα. ἢ ἔκυσεν αὐτὸν, ἤγουν τὴν κεφαλὴν, καὶ τὰ φάεα, φαεινοὺς δὲ λέγει ὀφθαλμούς. Κυσολακωνία, ψωρία.

Κυσολάκων, Ἀρίσταρχός φησι τὸν κλεινίαν οὕτω λέγεσθαι, διὰ κυνοῦ λακωνίζοντα. τὸ δὲ τοῖς παιδικοῖς χρῆσθαι, λακωνίζειν ἔλεγον. Κυσολαμπὶς, ὁ περιλαμπόμενος ταῖς περὶ λαμπάσι. Κυσοίσσεται, πόρνοι, ἀπὸ τοῦ παρακολουθοῦντος.

Κυσσόν με, φιλησόν με. Ἀριστοφάνης νεφέλαις, κύσον με καὶ τὴν χεῖρα δὸς τὴν δεξιάν. Κυσὸς, εἶδος βοτάνης ἀκανθώδους ἐοικυίας ῥόδοις. Κυσὸς, ὁ πυγὴ, ἢ γυναικεῖον αἰδοῖον. Κυσοχήνη, εἶδος δαίμονος. οἱ δὲ εὐρυπρωκτίαν, οἱ δὲ ξύλον ἔν ᾧ ἁμαρτάνουσαι αἱ πόρναι ἐδέδεντο. Κύσθοι, ἀγγεῖα τῶν μελισσῶν, καὶ τυρίσκοι. Κύσα, ἄρτος σπογγίτης. Κύστιν, κύστιν μικρὰν παρὰ τῷ ἱπποκράτει. Κύστιον, τὸ ἁλικακάβιον. Κύστις, ἡ κοιλία, ἢ τὰ ὑπογάστρια, ἢ ἡ φῦσα. Κύστις, ἀπὸ τοῦ κεύθειν ἐν αὐτῇ τὸ οὖρον. σημαίνει καὶ τὸ οὐροδόχον ἀγγεῖον. Κύστις, ἀπὸ τοῦ κύθω γενομένη, ἴσμεν τὸ τ̃ ἀμείως τίθεσθαι, ἤγουν μάθησις ἐκ τοῦ κύθω.

Κύταια, πόλις κολχίδος. ἔστι δὲ καὶ ἑτέρα πόλις τῆς εὐρώπης κύταια, ὁμώνυμος τῇ σκυθικῇ. ἀφ' ἧς φασι καὶ τὴν κολχικὴν ἐσχηκέναι τὴν ἀρχήν. Κυταὶς, πόλις κολχίδος. ὅθεν αὐτὴν μήδειαν κυταϊκὴν ἔφη λυκόφρων, οἱ δὲ ἰνδικοὶ κόλχοι, σκύθαι εἰσὶν, οἱ καὶ λιγοὶ καλούμενοι, πλησίον οἰκοῦντες ἀφιλιῶν, ὧν κόλχων τὰ φάρμακα αὐθημερὸν ἀναιροῦσιν. εἰς δὲ κόλχους αἰήτης ἀφίκετο, ὡς μὲν ἀρκάδης τῇ τῆς κορίνθου βασιλείᾳ. αἰήτης γὰρ καὶ ἀλωεὺς, ἡλίου παῖδες, καὶ πέρσης τῆς ὠκεανοῦ θυγατρός. διεῖλε δὲ ὁ ἥλιος τοῖς παισὶ τὴν βασιλείαν, καὶ τὴν ἀρκαδίαν ἀλωεῖ δίδωσι, τὴν δὲ κόρινθον αἰήτῃ. αἰήτης δὲ μὴ ἀρκαδίῃς τῇ κορίνθῳ, παρέδωκε ταύτην βούνῳ φυλάττειν, ἑρμοῦ μὲν καὶ νύμφης υἱῷ. αὐτὸς δὲ εἰς κόλχους ἀφίκετο, ἐντειλάμενος φυλάττειν τὴν τῆς κορίνθου βασιλείαν, ἕως οὗ ἢ αὐτὸς, ἢ εἷς τῶν ἐξ αὐτοῦ ἔλθοι. ἐν κόλχοις δὲ αὐτὸς γήμας εἰδυῖαν ὠκεανοῦ θυγατέρα, ἐν κυταίᾳ πόλει μήδειαν, ἄψυρτον γεννᾷ. ἀδελφαὶ δὲ αἰήτῃ καὶ ἀλωεῖ, ὑπὸ τοῦ ἡλίου θυγατέρες, κίρκη καὶ πασιφάη, καθ' ἑτέρους καὶ καλυψώ. Κύταρον, ξυμάριστις. Κύτο, μεγάλα. Κύτινοι, τῆς ῥοιᾶς τὰ πρῶτα ἐξανθήματα. Κυτίδας ἐκάλουν, τὰς κίστας. Κύτος, ἔγκος, χύρημα, βάθος, πλάτος, σῶμα. Κυτταρος, καλοῦσι τὰς τῶν σφηκῶν κατατρήσεις. μεταφορικῶς δὲ, τὸ κοιλότατον καὶ μυχαίτατον, κύτταρον εἶπεν ἀριστοφάνης τοῦ οὐρανοῦ. Κύτταροι, αἱ τῶν κηρίων κατατρήσεις. Ἀριστοφάνης, ἔστι δὲ ὁ στίχος ὁ παροιμιώδης τοῖς βαλανεῖς. ἄλλως, καὶ τῶν σφηκιῶν τὰ κοῖλα, καὶ τὰ τῆς κώνης, καὶ τὰ τῆς πίτυος προσεοικότα στρόβιλα. καὶ ὁ πυθμὴν, καὶ ἡ κατάτρησις. οἱ δὲ, καὶ τὰ ἐν τοῖς κηροῖς τρήματα, ἢ τὰ κοῖλα ἄγγη καὶ τῶν αἰδοίων ἢ βαλανεῖς. ἄλλως, κύτταρος τὸ πῶμα τοῦ βαλανείου, ὅπου ἐγκλείεται ὁ βάλανος, ἢ τοῦ βαλανείου πύλος, ἢ κατάτρησις, ἢ τὸ ὑψηλότατον τοῦ οὐρανοῦ. λέγουσι γὰρ κοῖλον εἶναι τὸν οὐρανὸν, ὥσπερ τοῦ ᾠοῦ τὴν λεπίδα, τὸ κοιλότατον καὶ μυχαίτατον. Θεόφραστος δὲ κυρίως λέγει κύτταρον, τὴν προάνθησιν τῆς πίτυος, ἢ τοῖς ὕδασιν ὡς σάκχος μικρὸς, ἐκ μεγάλων πυρῶν ξηραινόμενος δὲ, διαλαμβάνεται καὶ ἀποπίπτει. οἷον οὖν ἀγγεῖα λέγει φασι κύτταρον οὐρανοῦ, ὁ αὐτὸς Ἀριστοφάνης ἐν θεσμοφοριαζούσαις. Κύτωσις, ὄνομα ποταμοῦ. Κυτωρὶς, τόπος χώρας θαλάσσιος. Κύτωρον, πόλιν παφλαγονίας. Κυτώσαντες, τὸ κύτος περικαλύψαντες. Κυφάλια, ἐπεὶ τάχ' ἂν ὁ παλαμήτης ἰθὺς κεῖς αἴθαν ὄχεν κυφάλια κεκυρτωμένος. Κοφαλὸς, ὁ κεκυρτωμένος. Κόφιλλα, τὰ νῶτα, οἱονεὶ κρόφιλλα, τὰ ἀποκρέμοντα τῶν σκελῶν. ἐτμάγη δὲ κρόφιλλα καλλίμαχος, τὰ κόφους ἐλαυνόμενα. Κυφανισμὸς, ἐπὶ τῶν ἐρωτικῶν, ἀντὶ τοῦ κακὸς καὶ ὀλίθριος. Κάφωσιν, ἢ κυφῶν, τὴν κεφαλὴν. κρυπτόν. Κῦφον, τὸ περιαγὲς, τὸ περιφερὲς, τὸ κυρτοειδὲς, παρὰ τὸ κύπτω. Κυφὸν, ἐκκεκυρτωμένον, ἐκ παντὸς ξύλου κυφὸν ἂν γένοιτο, ἐπὶ τῶν κατὰ εἶδος εὐκαταφρονήτων, χρησίμων δέ. Κυφὸς, κυρτός. Κυφὸς γέρων, πρὸς διαστολὴν εἴρηται τοῦ γοργός. ἐκεῖνος γὰρ φθόνος νεύοντος. ὡς τὸ γοργὸς ἰδεῖν ὅμοιον, ἐκ τοῦ κυφός. οὗ πρωτότυπον ὁ κίνυφος παρωνύμιος. λέγεται συνεπτικῶς κατὰ συγγένειαν τοῦ φ, πρὸς τὸ β, κυβάλλας, ὁ ὥσπερ κυφὸς, ἐκ τοῦ κατακύπτειν συχνῶς, ἐν ἑνὶ ἡμίονον, καὶ ἑμηγήσαντα, καὶ συλλόρχων ἐβλασφήμουν. ἐκ τοῦ αὐτοῦ κυφοῦ καὶ κυβάβα διὰ τοῦ α, ἢ κυβήβη διὰ τοῦ η, ἡ ῥέα φασὶν ὁ κατεχόμενος, ὁ ἐκ ἄλλου δαίμονος κατεχομένως, κύβηβος ἔλεγον, ὁ καὶ σάβος, καὶ σαβάζιος, καὶ βάκχος, ἐκ βαβάζειν, καὶ βάβαξ, καὶ ἐμμανὴς, ἐκ φαλλῶν. ἐκ τοῦ κυφός, γίνεται ὁ κυβός. Κυφὼν, ἡ κινούχη τοῦ ψελλοῦ, καλεῖ ἀλώπηξ κίφωνα, ὁ κυφὼν ἡ κινούχη. Κύφωνες, ξύλα εἰσὶν ἐπιτιθέμενα εἰς τοὺς τένοντας τῶν καταδίκων, ἵνα μὴ εὔρωσιν ἀνακύψαι. Κύφωσις, σημαίνει τὸ κυρτώματος. Κύφων,

Διομήδ

θεόπομπος, ἐν τῷ περὶ τῆς εὐσεβείας. Κυρεῖ, τυγχάνει.

Κυρεία, ἡ ἐξουσία. Κυρεῖον ὀνόματα, τὸ μετὰ κύρου συναναβιβαστικός, ὅτι ἐργαζόμενοι ἐπὶ τὸ ἀδελφὸν ἀρταξέρξην, ὡς ἱστορεῖ καὶ Ξενοφῶν. Κύρειος θρόνος, ὁ τοῦ κύρου. Κυρῆσαι, δηλοῖ τὸ ἐντυχεῖν, ἐξ αὐτοῦ δὲ γίνεται καὶ τὸ συνέκυρσε, καὶ ἡ συγκυρία. λέγεται δὲ καὶ περισπωμένως κυρεῖν, ἐξ οὗ τὸ ἔκυρσεν, ὡς τὸ συντυχία ἐκρύωσεν ἔκυρσεν. Κυρῆσαι, ἢ γυρῶσαι, τὸ φυτεῦσαι. Κυρῶ, ῶ, τὸ ἐπιτυγχάνω συνήθως. τὸ δὲ, καὶ ἀντὶ τοῦ περιτυγχάνω, καὶ ὑπάρχω, ὃ καὶ μετὰ ὑποκειμένου τοῦ παλὶν ῥήματος τίθεται. οἷον κυρεῖ ὤν, ὥσπερ τυγχάνει ὤν.

Κυρβασίαι, μαχέσθαι, λέγεται ἀπὸ τῶν κεκρυφάλων. ἔλεγον τὸ τιθέναι καὶ κορύττειν, ἀντὶ τοῦ κορύσσειν, καὶ κορυβαντιᾶν.

Κυρβασίαι. ἀριστοφάνης, κυρβασία λέγεται ἡ διὰ τῶν κεφαλῶν μάχη, ἅπερ ἐν τοῖς ἀλόγοις ζώοις γίνεται. κυρβασίας γὰρ λέγονται, αἱ πλέξεις τῶν τριχῶν. καὶ γὰρ ἐκεῖνοι ταῖς κεφαλαῖς διαμάχονται. Κυρήβια, πίτυρα μετὰ τῶν κριθῶν. ἀποβρέγματα, τὰ ἄχυρα ἢ τῶν πυρῶν, ἢ ἵνα αἱ κάχρυες φρύγονται. κάχρυες δέ εἰσιν, αἱ ἀλληλισμέναι κριθαί. Κύρηβα παρὰ κρατῖνος, ἡ ἀλμάτας. παρὰ τὸ κυρία εἶναι τοῦ ζῆν, ἄρτος.

Κύρηκος, ἔχει τὴν γενικὴν ἐκτείνουσαν τὴν παραλήγουσαν. κανόνι τοιούτῳ. τὰ εἰς ξ ἀρσενικὰ ἁπλᾶ δισύλλαβα, ὅταν ὑπὸ τὸ παραληφθείη, ἔχει δὲ τὸ τελευταίας συλλαβῆς ἄρχον ἀμετάβολον, ἢ διὰ ἡ πρώτη συζυγία βαρύτονος λέγεται, διὰ τὸ κ κλίνεσθαι. κύρηκος, κήλυκος, ἔρυκος, δίβροκος. ὅσα δὲ τοῦτο μὴ ἔχει τὸ χαρακτῆρα, διὰ τοῦ γ κλίνεται, ὄρτυγος, κόκκυγος. σημειῶδες τὸ ὄνυξ, ὄνυχος, παραληγόμενον μὲν ἀμετάβολον, μὴ κλινόμενον διὰ τοῦ κ. ζητητέον δέ ἐστι περὶ τοῦ ὄρτυγος, καὶ λείλυκος, παρὰ τῷ κανονικῷ ἀθηναίῳ. Κύρημα, ἐπίτευγμα, συγκύρημα, ἕρμαιον. Κυρῆναι, κυρηναῖοι. λίβυες. Κυρηνῶν, ἑταίρα ἣν ἐπίκλησιν δωδεκαμήχανος ἐπικαλουμένη, διὰ τὸ τοσαῦτα σχήματα ἐν τῇ συνουσίᾳ ποιεῖν. ἔστι δὲ παρὰ τὸ ἐξ ὑφ᾽ ἑαυτῆς εὐθεῖς δέ, ἀπὸ τὸ δωδεκαμήχανον ἔστησεν ἐκ δὲ τοῦ λέγειν ἀπὸ τὸ δωδεκαμήχανον κυρήνης, ὥσπερ ἀπὸ τὰς δώδεκα ἐκείνας αἰσχρὰς μηχανάς, δείκνυσιν αὐτὴν πάνυ φαυλοτάτην ὁ ἀριστοφάνης. Κυρηβίων, παρὰ τῷ ἀριστοφάνει, ἵνα αἱ κάχρυες φρύγονται. κάχρυες δέ εἰσιν αἱ διαλιπισμέναι κριθαί, ἀφ᾽ ὧν ἡ πτισάνη. Κυρία, σημαίνει τὴν προθεσμίαν. Κυρία, ἡ κατὰ φύσιν ὑπάρχουσα δύναμις. καὶ κυρία ἡ ὡρισμένη, καὶ ἑπτὰ ἑβδόμη ἡμέρα. Κυρία ἐκκλησία, ἐν ᾗ δεῖ τὰς ἀρχὰς ἀποχειροτονεῖν, εἰ δοκοῦσι μὴ καλῶς ἄρχειν, καὶ περὶ φυλακῆς τῆς χώρας, καὶ τὰς εἰσαγγελίας ἐν ταύτῃ τῇ ἡμέρᾳ τοὺς βουλομένους ποιεῖσθαι. Κυριακὸν δεῖπνον, τὸ τοῦ κυρίου. ἢ τὸ ἔγκληρον, ἐν ἐκκλησίᾳ ἅπαξ.

Κυριακὴ μεγάλη, περὶ τὴν τεταμένον ἀνάστασιν τοῦ χριστοῦ. Κυριακὴ δέ, σύμβολον ἀρχῆς καὶ τελειώσεως τῆς τοῦ κυρίου προνοίας. διὸ καὶ πρώτη καὶ μόνη καὶ ὀγδόη, καὶ ἡ ἀπ᾽ αὐτῆς τρίτη, ἢ ὡς ἂν ἀνακλώμενος τοῦ πρώτου φωτὸς καὶ λαμπὰς ἀκτῖνος τοῦ ἡλίου τῆς δικαιοσύνης ἡμέρα κυρία. κυριακὴ ἀρχὴν λαμβάνουσα καὶ τέλος μὴ ἔχουσα, διὰ τὸ ἐν αὐτῇ βασιλεῦσαι τὸν σωτῆρα. καὶ ἅγιον φῶς τοῦ Χριστοῦ, καὶ τοῖς ἐν αὐτῇ θεοῖς ἀστράπτουσι τοὺς ἐν ἡμέρᾳ συμβασιλεύσαντας τῷ Χριστῷ τῷ ἡλίῳ τῆς δικαιοσύνης εἰς ἀπεράντους αἰῶνας. Κιναλίζεις, ἀποκαλεῖς. Κυρίβαι, τὰ ὑπὸ τῶν ἀνέμων χίσματα.

Κυρίβια, τὰ πίτυρα. Κυμβάτης, καὶ κύμβος, ὁ ἀσελγὴς ἐν τῷ λοιδορεῖν. Κυμβάζεσθαι, λοιδορεῖσθαι, διαμάχεσθαι. Κυρίβια, ἄχυρα καὶ πίτυρα. καὶ τὰ τῶν κριθῶν ἀποβράσματα, παρὰ τῷ ἱπποκράτει. Κορίζεσθαι, τρίβεσθαι. κυκεῶνα, προσωπεῖα ξύλινα. Κυρίκοις ἡμέραις, ταῖς τὰ τοιαῦτα κύριον κεκτημέναις, παρὰ τῷ ἱπποκράτει. Κύαθον, τὴν σφαῖραν. Κορίζειν, ἢ κυρίττειν, κέρασι μάχεσθαι. Κύαιον, ἴδιον, αὐθεντικόν, χρηματικόν. Κύαος, ὁ ἐξουσιαστής, ἢ ὁ ἐν ἀξιώματι ὑπάρχων. καὶ κύρος, ὄνομα δηλωτικὸν τοῦ ἑκάστου. Κύριος κυρίως, ὁ κεκυρωμένος καὶ βέβαιος. Κυριάτειδες, εἰσὶ δυνάμεις ἅγιαι λειτουργικαὶ κυρίου. Κυρεότης, ἡμέρα ἐν ᾗ τελειοῦται τὰ συμφωνηθέντα, καὶ εἰσηνεχθέντα.

Κύανον, λέγει ἀριστοφάνης, ἀντὶ τοῦ κύρου τοῦ ἀρταξέρξου, τοῦ περσῶν βασιλέως. τὰ ἀπὸ τοῦ υ. Κύαθος, κύμα, κυμαίνει ἢ θάλαττα, ἀντὶ τοῦ κύματα ἐγείρει. κυκλίσκω, ἀφ᾽ οὗ κύκλωψ. κύκλος, κυκλίσκω κυκλῶ, τὸ στρέφω. κυκλόω δὲ κυκλῶ, τὸ περιλαμβάνω. κύβος πᾶν τὸ ἔχον κοιλότητα, καὶ χωροῦν, καὶ αὐτὴ ἡ κοιλότης καὶ διαχώρησις. κύβος πᾶν τὸ τετράγωνον κατὰ πλάτος καὶ κατὰ βάθος, ἰσοπλευρον. ἐπικρατεῖ δὲ ἰδίως λέγεσθαι κύβους τὰ ὀστᾶ γλίσχρα ὀστᾶ, οἷς χρῶνται οἱ κυβεύοντες. κυβιστὴς καὶ κυβευτής, ὁ τοῖς χαίρων. κυβεύω, κυβεία. κυλλήνη πόλις ἀρκαδίας, ἀφ᾽ ἧς κυλλήνιος ὁ ἑρμῆς. κυλλός, ὁ βεβλαμμένος τὸ μέλος, ἀφ᾽ οὗ κυλλοποδίων, καὶ κυλλοποδίων ὁ ἥφαιστος. κύπρος νῆσος, ἀφ᾽ οὗ κυπρογένεια ἡ ἀφροδίτη. κύπρις, ὁ αὐτή. κύνος, ζῶον πλωτόν. κύαμος, εἶδος ὀσπρίου. κύω ἡ γυνή, ἔχω ἐγκύμονα. κύω τὸ φιλῶ, ὡς παρὰ ἀριστοφάνει. κύσον με, καὶ τὴν χεῖρα δὸς τὴν δεξιάν. κύμβαχος ποιητικῶς, ὁ ἐπὶ κεφαλὴν καὶ ὤμους πεπτωκώς. κύμβαλα, ὄργανά τινα κρουστά. κύθηρα πόλις, ἣ καὶ οὐδετέρως λέγεται πληθυντικῶς, τὰ κύθηρα, ἀφ᾽ οὗ κυθέρεια ἡ ἀφροδίτη. κυνῶ ποιητικῶς, τὸ προσκυνῶ. κυρήνη, πόλις, ὁ ἀπὸ ταύτης κυρηναῖος. κυανόν, τὸ μέλαν. κύων, ζῶον χερσαῖον, καὶ θαλάττιον, καὶ ἐν οὐρανῷ ἄστρον, ἀπὸ τοῦ κυνὸς τοῦ χερσαίου. κυνέη, γένος φιλόσοφον. καὶ κυνῆ, διὰ τὸ σκύτινον, καὶ σιδηρᾶ ὥσπερ κυνέη. κύλλος ἡ δίφρα, κυλίνδω τὸ δονίζω. κυρόω κυρῶ, τὸ βεβαιῶ. κυρέω δὲ κυρῶ, τὸ περιτυγχάνω. καὶ κυρίῳ, ῶ, τὸ ὑπάρχω, κατὰ τοὺς τραγικούς. κυλοιμός, ὁ θόρυβος. κυβιστῶ, τὸ κολυμβῶ. κυλίνδρον, εἶδος ὀπώρας. κυνῶ, ἡ περικεφαλαία. κυνοδόν, τὸ δίκην κυνὸς ἐκ κυνοσουρᾶς, ὁ τοὺς κυάμους ἐσθίων. κυναίγειρος, κύμινον. κύαθος, τὸ ἀντλητικόν. κύλιξ, τὸ ποτήριον. κυανοχαίτης, ὁ ποσειδῶν, ἤγουν μελανόθριξ. κύζικος, πόλις. κύμινον, ἀφ᾽ οὗ κυμινοπρίστης ὁ φειδωλός. κυψέλη, ἀγγεῖον ἐκ διαπεπλεγμένον ἐκ σπάρτου, ὃ καθιᾶσιν οἱ ἁλιεῖς εἰς τὴν θάλασσαν δελεάσαντες. κυφαλίς, ὁ ῥύπος τοῦ ὠτίου. κυναγός, ὁ παρὰ ἀττικοῖς λέγεται κυνηγέτης. κυφός, ὁ κυρτός. κυρίττω, τὸ κερατίζω. κυκεών, εἶδος πόσεως. κυλοιδιῶ, τὸ τοὺς ὀφθαλμοὺς ἐξογκοῦμαι. κύστις, τὸ ὑπογάστριον μέρος τοῦ σώματος. κύκνος, τόπος μετὰ τὸ κυκλάδων, ὁ ἀπὸ ταύτης κύθνιος. κυνόσαργες, τόπος τῆς παρ᾽ ἀθηναίοις γυμνάσιον. κύρβεις ἀρσενικῶς δέ, ὅπου καὶ θηλυκῶς. λίθοι οὕτως ἐλέγοντο κυρβασίαι, ἰσόπλευροι ἐν οἷς οἱ νόμοι ἦσαν ἐγγεγραμμένοι, καὶ ἕτερα. Κυρίττει, καὶ κυρίσσει, κέρασι τύπτει, καὶ μάχεται. κυρίως δὲ ἐπὶ κριῶν. οἱ κυρίττοντες, κερατίζοντες, κέρασι πλήττοντες. Κύσος, ὁ ἄλωπος, ἢ πλέγμα τι, χοινίον, ἢ κυρτίς.

Κυαστοί, οἱ ἔχοντες τὰ ξύλινα πρόσωπα κατὰ ἰταλίαν, καὶ ἑορτάζοντες τῇ κορυθαλλίᾳ γελοιασταί. Κυρίττεσθαι, κυρίττετο, πλήττεται. Κυρίττον, ἐν γαστρὶ ἦν. Κυρίως, βεβαίως, ἰσχυρῶς, ἀσφαλῶς. Κυρκανᾶν, ταράττειν, κινεῖν. Κύρμα, ταυτόν ἐστι τῷ εὐτυχὲς εὕρημα, ἢ ἁπλῶς εὐτυχία, καθ᾽ ὁμοιότητα τοῦ κατὰ συγκυρίαν. Κύρμα, ἐπιτυχικόν, παρὰ τὸ κυρεῖν. ἄλλως, ἐπίταγμα συνάγμα τοῦ. ἀριστοφάνης, σόφισμα, κύρμα. ἢ κόρμα, παλλοῖς ἐγκεκυρωκὸς πράγμασι. Κίρνα, κρατήρ. Κύρνειον, χίλιος. Κυρνίσται, οἱ ἐπὶ κύρνον ὄντες, τυραννοί. Κυρτία, κόλια. Κύρνοι, οἱ νόθοι.

Κύρον, τὸ ὄνομα ἀπὸ τοῦ κυρεῖν, οἷον ἀπέμαρτον καὶ στεφανίσκον, ὡς τὸ ἀρὰν ἐπ᾽ αὐχένι κύρει, τετάχατο, ἐγγίσασιν, ἐπέτυχε.

σαργες καὶ ἵδρυται. ἦν δὲ καὶ γυμνάσιον ἔξω τοῦ ἄστεος ἀθηνῶν, ὃ λέγεται κυνόσαργες· ἐξετάσας προσεφθέγξατο ἡμῖν, ὁμοίως τῷ ἡρακλεῖ. λέγεται δὲ ὅπως ἡ τοῦ προκαθεζομένου ἀναίτησις, ὡς δηλοῖ ἐν τῷ κυνοσάργει. Κυνόσαργες, ὁ λευκὸς βαίνων ἐν παραδείσῳ. αἰτούμενος δὲ ὡς εἶπεν αὐτῷ, ὡς ὁ Ἀθηναῖος, καὶ αὐτὸ ἱερεῖ ξυλίνων ἔλεγε διὰ τὸ ἀκατάδηλον τοῦ φωτὸς καὶ τραχύ. ὁ δὲ αὐτὸς προσιστορεῖ, καὶ ὅτι χρησμὸν λαβὼν εἰς οἰκίζειν πόλιν ἔνθα ὑπὸ ξυλίνους λευκὸς δηχθῇ, κατασχεῖν τὴν λεγομένην ὑπὸ κυνὸς βαίνειν, ἔκτισεν ἐκεῖ πόλιν. Κυνόσβατος, φυτὸν ὕδωρ ὅμοιον ῥόδῳ ἔχον τὸ καρπὸν. ἔστι δὲ μεταξὺ θάμνου, καὶ δένδρου παρόμοιον ταῖς ῥαφαῖς, ἢ ταῖς φολίσιν, ἀκανθώδης.

Κυνὸς σῆμα, χωρίον τῆς χερρονήσου, ἔνθα λέγεται τὴν ἑκάβην μετὰ τὴν ἰλίου ἅλωσιν, ἀγομένην αἰχμάλωτον κατὰ τὸν θάλασσαν ἑαυτὴν ἀφεῖσαν τελευτῆσαι τὸν βίον. Κυνοσσοῖαι, θεραπαί. Κυνόσουρα μὲν μικρὰν ἐκάλουν, διὰ τὴν τῆς οὐρᾶς ὁμοιότητα, τὴν δὲ ἑτέραν ἑλίκην, διὰ τὸ ἑλίσσεσθαι καὶ ἑλικώδη πῶς ἔχειν τὴν οὐράν. ἢ διὰ τὸ μείζονα ἕλικα ἔχειν τῆς κυνοσούρας, ὡς καὶ μείζων οὖσα. ἡ μὲν γὰρ περὶ τὸν πόλον, ἡ δὲ ἑλίκη περὶ τὸν βόρειον ὅλον κύκλον φασί. καὶ ἑλίκωπας τοὺς ἕλληνας, ἀπ' αὐτοῦ ὀνομάζεσθαι, διὰ τὸ πρὸς αὐτὴν ἔχειν τοὺς ὀφθαλμοὺς ἀεὶ πλέοντας, τουτέστιν τὰς ναῦς ἀγαγεῖν. οἱ γὰρ εὐοφθάλμους εἶναι τούτους Ὅμηρος λέγει, τοῦτο γὰρ πιθανόν ἐστι. Κυνόσουρα, φυλὴ λακωνική, καὶ ἄκρα τοῦ μαραθῶνος, πρὸς τὴν εὔβοιαν τετραμμένη. καὶ ἡ μικρὰ ἄρκτος, καὶ πᾶς χθαμαλὸς τόπος, καὶ οἱ λυδοὶ οὕτω καλοῦνται. Κυνοῦχος, ἄρκτος. μαλθακός. Κυνοῦραι, ἀγέλαι. Κυνουρία, ὅπου ταῦτα μαχομένων κῶμαι ἐκβαίνουσι. Κυνοῦχος, ὁ τὸν κύνα κρατῶν δεσμός. κόλπον ἀλίγγιστον ἀχάλκωτόν τε κυνοῦχον. Κυνοῦχος, θυλάκιον, βαλλάντιον, ἢ μαρσίππιον. Κυνοφθαλμίζεσθαι, ἀναιδῶς ἐμβλέπειν. Κυνόφαλοι, κορίνθιοι, φυλή.

Κύντατα, οἰκτρότατα. Κύνταγος, ὁ χύματος καὶ ἔχατος, παρὰ τῷ Ἀπολλωνίῳ. Κύντερον, ἀναιδέστερον, χαλεπώτερον, παρὰ τὴν κυνὸς γενικήν, κυνότερον, καὶ συγκοπῇ κύντερον, ὡς μελανὸν μελανώτερον καὶ μελάντερον. Κυνώπισμα, τὸ ἀπὸ σιμῶν λαμπρότερον. κυκλώπειον. Κυνεῖ, ἀσφαλεῖ, καὶ οἷον ἀσπαλακίνονται. Κυνῶπα, ἀναιδέστατε. Κυνώδεις, θρασεῖς. Κυνῶν ἐπίσημα γένη παραδίδονται, ἰνδοί, ὑρκανοί, μολοσσοί. πρὸς δὲ ἄλλοις καὶ λακωνικοί, ὡς Φίλαργος εἶπεν, λάκωνας ἐπὶ θυρσὶ κύνα τρέφειν, κυνικώτατον ἐν ποιῶν. ὅπως ἡ φύσις, καὶ ἐν ἄλλοις καὶ ἔπεσι τούτοις, λακαίνας κύνας ἀγαθούς, ὁποῖος ἦν ὁ ἄργος. ὅτι δὲ φιλάνθρωπον φύσει ζῶον ὁ κύων, διὸ καὶ κλῆσιν ἔχειν, ἀπὸ τοῦ κύειν, ὃ ἐστὶ φιλεῖν, δῆλον ἐστί. Κυνῶν ὑλαγμός, ἰχνευτικῶν δηλοῖ βλάβην. Κυνῶ, τὸ προσκυνῶ. Κυνῶπα, ἀπὸ εὐθείας τῆς ὁ κυνώπης. οὐ καλόν, ὦ κυνῶπις ὡς δηλοῦσι, καὶ αἱ προγονεῖαι. κυνώπιδες, παρακαλῶν διαλύει τὸ σύνθετον, καὶ κυνὸς ὄμματα ἔχων αὐτὸ λέγει. Κυνώπιδα, ἀναίσχυντον. Κυνώπιδος, ἀναιδοῦς ὄμμασι. Κυνώπιδος, εἶδος ὀφθαλμοῦ, ὥσπερ καὶ πάλιν ἐναντίος τὸ κυανώπιδος. Κύος, κύημα, ἔγκυον τὸ ἐν γαστρί.

Κύουσαν, ἔμβρυον ἐντὸς ἔχουσαν. Κυοφορούμενος, ἐγκυμονούμενος. Κύπαι, εἶδος ἐκπώματος, καὶ αἱ ἰξύλαι καὶ χόρτου οἰκήσεις. Κύπαλον, μεμαρασμένον. Κυπάς, τὸ ἱμάτιον λέγεται κυπάσσις καὶ ἱμάτιον ἐν ἐπομβρίᾳ τὸ χθαμαλόν, ἤγουν λιθουργικὸς, παρὰ λυκόφρονι. Κύπασσις, οἱ δὲ μεσοφαῖοι. οἱ δὲ χιτῶνος εἶδος φασὶν αὐτὸν εἶναι τὸ λινοῦν. οἱ μὲν γυναικεῖον, οἱ δὲ ἀνδρεῖον. Κύπασσις, κόσμος γυναικεῖος ἐνδεδυμένος. Κύπαιρα, ἡ ἐν σικελίᾳ κρήνη ἀρίστου. Κυπαρισσήεις, πόλις μία ἠλείας, ἰδικὸν εἰς πεσοῦσαι εἴπερ τις. κυπάρισσος μέν, πόλις ἐν παρνασσῷ, ἧς Ὅμηρος μέμνηται. ἐκείνης δὲ ὁ πολίτης, κυπαρισσεύς. ὁ δὲ κυπαρισσήεις, καὶ κυπαρισσεύς λέγεται κυπαρισσόεντα, καὶ ὅτι κυπαρίσσινα ὕδωρ ἄλλο παρὰ τὴν κυπαρισσόεντα, μεσσηνιακὴ καὶ αὕτη. Κυπαρίσσια, εἶδος ἀλεκτρυόνων.

Κυπαίρισσον, ἀπὸ κυπαρίσσου φασὶ λαλεῖσθαι, οὐ μόνον ὀρχουμένου. οἱ δέ, ἀπὸ πλάθους τοῦ ἐπὶ κυπαρίσσων. ἐκάλουν δὲ οὕτως καὶ ἀνακαλοῦντα, καὶ ἀπαλλακτέον. πρότερον δὲ καὶ ἱεράτιον, ἐν δηλοῖ τὸ πρὸς διασολὴν τοῦ ἱερέως ἐν ὀδυσσείᾳ. εὖ χάσις, τὸ ἐπεὶ οὐκ ἱερατικὰ τὰ δὲ τῆς ἐστί. πρὸς ὃ παίζων τις παλαιός, συνείλεγε, καὶ εἶπε γέρανον, καὶ ἐκάλεσεν τὸ ἀκούσαντα, ὡς δῆθεν περὶ ζῴων γράφοντα λαλῶν. ἐστὶ δὲ ἐν παροιμίᾳ, κατὰ τοὺς διαφόρους. Κύπαιρος, κυπαίρους τὰ κοῖλα ἔλεγον ἀγγεῖα, καὶ χοιρείας διὰ τοῦτο, καὶ τὰς τῶν σφηκῶν κατασκευάς, καὶ τὰς τῶν αἰδοίων βαλάνους, ἐκ μεταφορᾶς κυπάρους λέγουσιν. ὁ δὲ Θεόφραστος, προσόμοιον εἶναι τοῦ πόκους καὶ τοῦ σίτου, κύπαρον προσαγορεύει. Κυπασσίς, περίζωμα καὶ χιτῶνος εἶδος. Κυπάται, αἰσχροί, μαλακοί. Κύπειρον, ἄνθος ἵπποις ἐδώδιμον. Κύπειρος, φυτόν, ὃ καὶ ἐρισίσκηπτρον. Κύπειρος, καὶ κύπερον, εἶδος βοτάνης. Κύπελλον, ποτηρίου εἶδος ἐπὶ τὰ ἴσω κυρτόν. οὕτω λεγόμενον, ὡς ἀπὸ τοῦ ἴσου ἑκατέρωθεν ἀρύειν. τὸ δ' αὐτὸ καὶ ἀμφικύπελλον λέγεται, οἱονεὶ πανταχόθεν ἐπὶ τὰ ἴσω κυρτόν. πολλάκις γὰρ ἡ ἀμφὶ πρόθεσις, τὸ κύκλῳ σημαίνει, ὡς δηλοῖ, τὸ οὗτος ἀμφίαλος. ἄλλοι δέ, κύπελλον τὸ οἰναρὸν φασὶ ποτήριον, εἰς ὃ χέεσθαι, τουτέστιν ἐγχέεσθαι πολὺς, εἴπερ οἶνος. Κύπελα, τὰ χοινία ἐκ κυπείρου πεπλεγμένα. Κύπη, τρώγλη. Κυπρίς, πόρνη. Κυπρία πόλις, ἣν ἔνιοι πάμμαχον καλοῦσιν. οἱ δέ, ἄγροικον, καὶ ἀπαλαιστὸν, διὰ τὸ τῇ ἐν κύπρῳ ἀτέχνως παλαίειν. Κυπρίζουσαι, ἀνθοῦσαι, αὔξουσαι.

Κύπριον, τὸ ἀργύρωμα. Κύπρινος, ἰχθὺς ποιός. Κύπριος βοῦς, ἐπὶ κοπροφάγου καὶ ῥυπαροῦ τάσσεται τοῦτο. ἐπειδὴ οἱ κύπριοι βόες κοπροφαγοῦσιν. Κύπρις, ἡ ἀφροδίτη ἡ τὸ κύειν παρέχουσα, ἢ ὅτι ἐν κύπρῳ ἱδρύεται. Κύπτος, παρὰ τὸ κυφόειν καὶ λιπαρὰν γῆν ἔχει. Κύπρος, μέτρον σιτικόν, ὃ λέγεται ἡμιμέδιμνον. Κυπτάζεις ἔχων. ἀντὶ τοῦ φαίνεις, τὸ κυπτάζεις ἔχων περὶ τὴν θύραν. ἀττικῶς περικύπτειν τὸ ἔχων. τὸ δὲ κυπτάζεις πραγματεύῃ, διατρίβεις. Κύπτειν, τὸ ἐπικάμπτεσθαι τῷ σώματι. Κυπτάζειν, τὸ πραγματεύεσθαι. διατρίβειν, τὸ κυπτάζειν ἔχων περὶ τὴν θύραν, καὶ βραδέως διακείμενος ὡς τὸ νευστάζειν. Κύπτει, κάμπτει, ἐπὶ τὴν κλίνει. Κυπτόν, τὸ κεκομμένον. Κυρβάλωμαι, κρύπτομαι. Κυρβασία, πῖλον δηλοῖ εἶναι ὀξύ, ὅπερ καὶ κίδαρα, παρὰ τῷ Ἱπποκράτει.

Κυρβασίαν, κεφαλῶν ἀλέκτορος. Κύρβαντες, καὶ κορύβαντες, οἱ τὸν κόρον φυλάξαντες. βοίσειν γὰρ τὸ φυλάττειν, ὡς χρόνον ἀμφισβητεῖν, ἀντὶ τοῦ φυλάττειν. ἢ ὡς Ἡρωδιανός, παρὰ τὸ κρύβειν κρύβαντες καὶ κόρβαντες, ὅθεν καὶ κορβασία καὶ κυρβασία. ἐπειδὴ τὸ τὴν κεφαλὴν καλύπτειν. ἄλλοι δέ, τὰς περικεφαλαίας, κυρβασίας φασί. Κύρβεις, ἡ σανὶς ἐν ᾗ ἦσαν οἱ νόμοι γεγραμμένοι. Ἀπολλόδωρος δέ φησι, πᾶσαν δημοσίαν γραφήν, καὶ νόμους καλεῖσθαι. ὅτι ἀρχαῖοι λίθους ἱστάντες, τὸ δόξαν ἀναγράφοντες, οὓς μὲν ἀπὸ τῆς στάσεως, στήλας. κύρβεις δέ, ἀπὸ τῆς εἰς ὕψος ἀναβάσεως. ὥσπερ δὲ τὰ ξύλα λελευκωμένα γράφοντες, ὁμοίως ἐκάλεσαν. κύρβις οὖν ἡ πασιχοῦσα τὰς ἱερὰς γραφὰς στήλη. ἢ ὡς Ἐρατοσθένης φησίν, ἄξων ἀθηναίων οὕτω καλούμενος, ἐν ᾧ οἱ νόμοι περιέχονται. ἄλλως. κύρβεις χαλκαῖ σανίδες, ἔνθα τοὺς νόμους γράφουσι. κατὰ δὲ ἐνίους, ἄξονες τρίγωνοι ἐν οἷς ἦσαν, οἱ τῶν πόλεων νόμοι γεγραμμένοι, καὶ αἱ δημόσιαι ἱεροποιίαι, καθάπερ καὶ Ἀριστοτέλης ἐν τῇ τῶν ἀθηναίων πολιτείᾳ φησί, καὶ Ἀπολλόδωρος. κύρβεις δέ, ἤτοι παρὰ τὸ κεκορυφῶσθαι εἰς ὕψος ἀνατεθειμένον, ἢ ἀπὸ τῶν κορυβάντων. ἐκείνων γὰρ εὕρημα, ὥς φησι

Κύναιδος, ὁ ἀναιδής. Κύναιδος, λίαν ἀναιδής. Κυναίαν, ἱμάντα οἱ ἐκ βύρσης τοῦ σφαγιασθέντος τετραίχμα ἀπόλλωνι βοὸς ἐπειδὰν λελομένοι. Κυνάλωψ, κυνοφάγοι. οἱ δὲ διαλεκτοὶ, κύνα ἀλώπεκα ἀπέδοσαν. Κυναγρίς, ἡ κυνουρίον, ἀγχιλάκων. Κυναλώπηξ, Φιλόστρατον λέγουσιν οὕτω τὸν πόρνον κωμῳδεῖν, ὅτι ἦν ἐξ ἀλώπεκος καὶ κυνὸς Λακωνικοὺς κύνας, φασὶ λέγεσθαι. Κυνάμυια, ἡ ἀναιδὴς ἢ θρασεῖα. παρὰ τὴν κύνα, καὶ τὴν μυῖαν, ἀναιδῆ ζῷα καὶ ἄμφω. κοινότερον δὲ τὸ κυνόμυια, καὶ ἐξ ἐκείνου δοκεῖ γενέσθαι τοῦτο, καθὰ καὶ ἐκ τοῦ μεσοπόλιος ὁ μεσαιπόλιος, καὶ ἐκ τοῦ λεοβώτειρ λεαβώτειρ, ἐξ οὗ ἡ λεαβώτειρ, καὶ ὁ μεσαιπόλιος. ἔτι δὲ καὶ καθὰ ἀγχέμαχος, ἀγχίμαχος καὶ ἀντικρύς, καὶ σαφὲς ἀσαφές, καὶ ἀπαμείρεσθαι ἀπαμείρεσθαι, παρὰ Ἡσιόδῳ. ἔνιοι δὲ κυνάμυιαν φασὶ τὴν τῶν κυνῶν μυῖαν, ἤτοι τὴν κρότωνα. ἕτεροι δὲ διὰ τοῦ ι γράφουσι τὴν ἀρχὴν τῆς λέξεως, καὶ νοοῦσι κινάμυιαν τὴν μὴ ἔχουσαν τὸ βλέμμα, ἀλλὰ κινοῦσαν συνεχῶς τὴν μυίας τῶν ὀφθαλμῶν. Κύναρος, φυτόν. καὶ μή ποτε ὁ κυνόσβατος, διὰ τὸ τραχὺ καὶ ἀκανθῶδες. κύναρα γὰρ φιλοῦσι τὴν κυνόσβατον, ὁ Θεόφραστος λέγει.

Κύνας ἀργούς, λευκούς, ἢ ταχεῖς. Κυνδάλη, παιδιά τις. ἣν οἱ μὲν ὑπομνηματίσαντες, κυνδάλας τοὺς πασσάλους ἀπέδοσαν. εἶτα τὰ γεωμετρούμενα χώματα, κακῶς. κυνδάλους δὲ ἔλεγον τοὺς πασσάλους, καὶ κυνδαλοπαίκτην τὴν πασσαλεκτήν. Κυνδός, ἄσπιλος, ἀπαράλλακτος. Κύδνος, ποταμὸς ἐν Κιλικίᾳ. οἱ δὲ ἐν Πελοποννήσῳ. Κυνέας, τὰς περικεφαλαίας, ἐπεὶ τὰς ἐκ κυνείων δερμάτων γινομένας, ἢ ἐπεὶ κυνὸς ἴδιος κατασκευάσαντος πρῶτον. μέμνηται Δημοσθένης ἐν τῷ κατὰ Νεαίρας οὕτως, οἱ κυνᾶς τὰς στιφάς ἔχοντες. Κυνάγχε, κενόδοξον. Κυνοκέφαλος, ὁ τὸ φάλχος ἐν κεφαλῇ εἰς τὰ αἰδοῖα φθάνοντος γένος. Κυνῆ παρ' Ὁμήρῳ, κράνους παλαιᾶς ὕλης ὄνομα. ὡς γὰρ ἐν τῷ παρδαλέῃ, λεοντέῃ, λυκέῃ, ἐλαφείη τὸ δορὰ, οὕτω καὶ ἐν τῷ κυνέῃ. δηλοῖ γὰρ κυνέην δοράν, ἥν ἐκ κυνὸς ποταμίου σκέπουσι τὰς κεφαλὰς οἱ παλαιοί. οἱ μὲν τοιαύτῃ ὕλῃ τοῦ σκεπάσματος ὡμιλῶν, τὸ δὲ ὄνομα οὐκ ἐκλέλοιπεν, ἀλλὰ καὶ τὸ ἐξ ἄλλης ὕλης ἔρυμα τῆς κεφαλῆς κυνέη καλεῖται διὰ τὴν παλαιὰν χρῆσιν, καθ' ἣν καὶ ἡ τοῦ ἀΐδου περικεφαλαία, κυνέη λέγεται. Κυνῆ ἀΐδου, ὁ ἀφανῆ ἐλαύνει τὴν ἀρίστην ἐν τῷ τοῦ Διομήδους ὁρμαίνοντος, λέγει Ἀθηνῶν ἀΐδος κυνέην, μή μιν ἴδοι ὄβριμος Ἄρης, ἣ ἐκ μαλακωτάτου ὑπὸ τοῦ μύθου λέγεται εἶναι ὑπὸ ἧς πᾶς ὃς ἂν εἴπῃ τίς μέλαν. διὸ καὶ πᾶς ἀφανὴς ἐν τῷ δολίως τι πράξειν, καὶ οἷον ὑπὸ ἄλλου καὶ τῷ ἐπὶ σκότῳ τοῦ ἄλλου, λέγεται παροιμιωδῶς κυνέην φορεῖν. Κύνει, ἀντὶ τοῦ ἐφίλει, ἢ προσεκύνει. Κυνεῖν, τὸ φιλεῖν, πρωτότυπον ἐστὶ τὸ κύειν, ἐκ τούτου τὸ προσκυνεῖν. καὶ τὸ κύειν, τὸ γεννᾶν. Κυνέας, περικεφαλαίας, πρὸς τὸν ὄμβρον ἐχούσας. καὶ ἐν Νεφέλαις, ὁ πρεσβύτης τὸν ὄμβρον φοβούμενος λέγει. τὸ δὲ μὴ κυνῆν οἴκοθεν ἐλθεῖν ἐμὲ τὴν κακοδαίμονα ἔχοντα. Κυνῆ κατὰ τοὺς παλαιοὺς ... εἶδός τι πυκνότατον. ἢ τοῦ ἄδου κυνέη, δι' οὗ καὶ οἱ θεοὶ ἀφανεῖς ἀλλήλοις γίνονται. ὡς εἶναι ταὐτὸν κυνῆν ἄδου δοῦναι, καὶ ὑπὸ παχυτάτου νέφους γενέσθαι. ἴσως δὲ καὶ ἐκ τοῦ ὑπὸ γῆν ἀΐδου ὄντι σκότῳ. εἴρηται τὸ δοῦναι ἄδου κυνέην, ἣν περιβαλλόμενός τις, οὐκ ἂν ὁρῷτο. διὸ ἄθλια ἔλεγον αὐτήν. Κύνειον θάνατον, ἄγαν φοβερόν. Κύνειος, ὀξύωπος, καὶ ἰσχυρός. Κυνῆς, ἀναιδής, κυνώπης. Κύνειος θάνατος, χαλεπός. ἔστι δὲ, ὁ τοῦ κυνὸς θάνατος. λυχνοῦς γὰρ ἀφίησι τὸ πνεῦμα, παρὰ τῷ Ἀριστοφάνει. Κυνηλφί, ἐρόπλα.

Κύνεον γοῦν, λέγει ὁ Ἡσίοδος, τὴν κυνὸς ἀναίδειαν ἔχοντα. ἀντὶ κυνὸς, κύνεος, ὡς ἀντὶ τοῦ χρυσὸς χρύσεος, καὶ ἄργυρος ἀργύρεος μιμητικῶς. Κυνέωσαν, ἐφίλησαν. ἐνιοὶ κυνέωσαν, τὸ αἰδοῖον ἐκτείνοντες, οἷον ἐπίασαν. Κυνῆ, τοῦ ἵππου τῆς ὀπισθίας μέρος καὶ ἄλλοι. καὶ ἀναιδεῖς, καὶ οἱ ἀναιδεῖς. Κύνεσι, τοῖς κυσί. Κυνηθμὸν, ἐπὶ ἄρτους κόρην, ὁ ἔσω τῶν, ὁ κοιλόν. Κυνήσειν, ἐφίλουν. Κύνεσι ταπεινοὶ, κυνῶν καιρῶν. Κυνῆ, γυναῖκες αὗται. κυνῆ δὲ παρὰ τῷ Ἀριστοφάνει, ὅτι ἔχει περικεφαλαίαν τὴν πίλασον, ὡς Ἑρμῆς ἄγγελος ὤν. παρὰ Σοφοκλεῖ ἐν Ἰνάχῳ ἐπὶ τοῦ Ἰνάχου. φασὶ δὲ καὶ κυνέαν τὴν πίλασον λέγεσθαι ἐν Πελοποννήσῳ. πίλασον γὰρ ἐπὶ τῆς κεφαλῆς φορεῖ ὁ Ἑρμῆς, πρὸς ὃν τὴν κυνῆν εἶπε. καὶ Πελοποννήσιοι δὲ τὴν πίλασον κυνῆν καλοῦσι. Κυνῆ Βοιωτία. ἐγένοντο γὰρ διάφοροι, ἐπεὶ αἱ ἐν Βοιωτίᾳ καλαὶ κυναῖ, ἃς οἱ κατ' ἀγρὸν ἐφόρουν. Κυνηγέτης λέγε, τετρασυλλάβως. Κυνηγέτης ἐμβαλέτω τοῖς κυσίν, ἐγκελευέτω, ἐπικελευέτω, ἐπιθαρσυνέτω, ἐπισημαινέσθω, ἐπισημαινέσθω, ἐξοτρυνέτω, τὰς κύνας προσκαλείτω, προσφωνείτω, ἐπεγειρέτω, ὁρμάτω, παρορμάτω, καὶ τὰ ὅμοια. Κυνηγῶ, κυνηγετῶ, ἀγρεύω, θηρῶ θηρεύω, λαγεύω, ἀλίσκω. Κυνηδὸν, δίκην κυνός. Κυνῆν, περικεφαλαίαν λέγουσιν, ἀρχαῖον φόρημα. οὕτω δὲ ἐκλήθη, ἐπειδὴ πρῶτον ἐκ κυνείων δερμάτων ἦν. Κυνέαν, ἐρόπλα. Κύνθιον, προσαγωγὸν ξύλινον. Κύνθος, ὄρος Δήλου. ὅθεν ὁ Ἀπόλλων, Κύνθιος καλεῖται. Κυνίον, πίλος ὁ χείρ. Κυνίδας, γένος ἐν ἀθηναίοις, ἀπὸ Κύνου ἢ Κυνίδου ἥρωος. Κυνίδιον, τὸ μικρὸν κυνάριον. Κυνίζω, μετὰ βλακείας περιπατῶ. Κυνίζω, παρὰ τὸ κύω τὸ κυνῶ κυνίζω. τὸ δὲ κύω, παρὰ τὸ ἴω τὸ πορεύομαι.

Κυνικοὶ οἱ φιλόσοφοι, διὰ τὸ ἀδιάφορον καὶ θρασὺ καὶ ἀναιδές. ποιοῦσι γὰρ καὶ οἱ κύνες. Κυνικός ἐστι νοῦς, ὁ θυμοειδὴς διὰ τὸ ἐκκόπτειν τοῦ θυμοῦ πάντας ἀποδιώκων τοὺς ἐμπαθεῖς λογισμούς. Κυνικός ἐστι νοῦς, ὁ φυλακτικὸς, ὁ πάντας τοὺς ἀλιτηρίους ἐκδιώκων τῶν λογισμῶν. Κύνικος, ἀπόλλωνος ἐπίθετον.

Κυνίδας, ἀκροβολισμοί. Κυνίσκας, τὰς κύνας, ὡς φιάλας καὶ φιαλίσκας λέγομεν. Κυνισμὸς, σύντομός ἐστιν ἀρετῆς ὁδός. καὶ κυνικὴν δεῖ τὴν σπουδάσους. Κυνίσφαλον, ἀπαταλικόν. Κυνοβάμων, ἵππος τις, οὕτω προσαγορεύεται.

Κυναβλάπτης, κύνειον ὀρῶντες. Κυνόγλωσσον, πόα τις.

Κυναλίσμα, λιμὸς ἀκροκαθείας. Κυνοθαρσής, ἀναιδής. Κυνόκαυστον, πόα τις. Κυνοκέφαλον, πόα τις, ἣν ἔνιοι ἀντιρρίνον καλοῦσι. Κυνοκέφαλος, ὁ Κλέων ἑαυτὸν οὕτω καλεῖ, ἀντὶ τοῦ λάλον καὶ ἀναίσχυντον. Κυνοκοπάσεις, τὸ πλέον ἐν κοπαΐδι λίμνῃ. Ἀριστοφάνης, τὸν δὲ ὡς μάγειρος λέγει. ἐστὶ γὰρ κύων, ἰχθὺς ποιός. ὥσπερ δὲ καὶ κοπαΐδες ἐν λίμναις παίζουσιν, ἔστι δὲ τραχύτατον. Κυνόλαφα, σίλφα. Κυνόμαλα, τὰ κοκκύμηλα. Κυνόμυια, ἀναιδὴς ὡς μυῖα, ἐκ δύο ἀναιδῶν τελείων, τοῦ τε κυνὸς, καὶ τῆς μυίας. διὰ τὸ ὑπερβάλλον τῆς ἀναιδείας. Κυνοπίστης, ζῷον. Κυνοραισταί, οἱ τῶν κυνῶν τὸ αἷμα ἐκπιπίζοντες. Κυνοραιστὴς, διὰ ἑνὸς μὲν γίγνεται τοῦ ρ φωνοῦς, διὰ τὸ μέτρον. ὡς δοκεῖ γε οἶμαι ὁ στιχοποιὸς διπλασιάζει τὸ ρ ἀττικῶς. δηλοῖ δὲ ὁ ψαλτικὸς ὑπὸ τοῦ θυμοῦ ῥαίνων, ὥσπερ καὶ κυνοραισταὶ λέγονται τὰ τῶν κυνῶν φθεῖρα ζωΐφια. ἢ καὶ ἄλλως, διὰ οὗ ῥᾳδίως γίνεσθαι ἡ ψυχὴ λυθεῖσα τοῦ κατὰ σῶμα δεσμοῦ. Κυνοραιστῶν ἐρεσιώνων, οἷον φθειρῶν. ῥαίνουσι γὰρ τοὺς κύνας, πίνοντες τὸ αἷμα αὐτῶν. ἡ κυνοραιστῶν, κυνικῶς ἐκπιόντων. Κυνόροδον, φυτὸν ὅμοιον ἀκανθώδει.

Κυνόρχιος, βολβοῦ ὄνομα. κυνὸς τυφλοῦ, ἢ πολλοῦ. Κῦνος, ἄκρα τις τῆς Λοκρίδος ἀπὸ τοῦ Κύνου λέγεται, ἐπίνειον Ὀπόεντος πόλεως Λοκρῶν τῶν ἐπι Κνημιδίων, τὸν πέραν Εὐβοίας κατὰ τὴν Αἰδηψόν, ἀφ' ἧς ἦν καὶ ὁ τοῦ Ἀχιλλέως συγγενὴς καὶ ἑταῖρος Πάτροκλος. Κυνόσαργες, χωρίον οὕτω κληθὲν, ἀπὸ λευκοῦ κυνὸς ἁρπάσαντος, καὶ ἐκφέροντος ἐκεῖ. ὅθεν οὐ δὲ αἴσιον πρόσρημα, τὸ ἐς Κυνόσαργες, ἀλλὰ ἴθι τῷ ἐς κόρακας. ὅτι δὲ εἶχον τὸ Κυνόσαργες, δῆλον ἐκ τῆς Δελφῶν. ἐν πασ

σάργες

μα, καὶ ἐπὶ τῶν μετὰ βίας τι ποιούντων, ἀπὸ τῆς στάσεως τῆς κατὰ τὸν αἰτωλικὸν πόλεμον γενομένης. ἔστι δὲ καὶ παραγωγὸς ἀπὸ τοῦ ἀλιτραίνειν, ὅ ἐστιν ἁμαρτάνειν. λαμβάνεται δὲ παρὰ τῷ Ἀριστοφάνει τὸ ἀλιτήριον, καὶ ἀντὶ τοῦ ἀποχωρούντων καὶ ἀποτυχόντων. Κῦμα, παρὰ τὸ κύω τὸ γεννῶ. καὶ κύματα κωφά, τὰ ἄνευ ἀνέμων ὁρμῶντα. Κῦμα, ὕδατος ἐπιφορὰ βιαία, καὶ τὸ ἔμβρυον ἐν τῇ κοιλίᾳ, καὶ τὸ γινόμενον κύημα. Κυμάδας, ἐρωδιούς. Κυμάλχη, ἡ εἰρκτή. Κυμαίνει, ταράσσει, καὶ ἐπὶ τοῦ ῥέειν. αἷμα δὲ κυμαίνουσαν ἀπαίρον χερσὶ κοίλαις. Αἰλιανὸς ὅμως ἡ ψυχὴ ὑπὸ τοῦ πόθου αὐτοῦ κυμαίνεσθαι, καὶ φλέγεσθαι ἀκρατῶς ἐκείνου. Κυμαινόμενος, ταραττόμενος, σαλευόμενος, ὑποβλύζων. Κύμαρος, κόμαρος. βότρυχος.

Κύματα μακρά, τὰ ὑψηλὰ λέγει Ὅμηρος, τουτέστι τὰ εἰς ὕψος κορυφούμενα. οὕτω γὰρ καὶ μακρὸς Ὄλυμπος ὁ ὑψηλός. ἔστι δὲ ὅτι ἡ λέξις καὶ τὸ βαθὺ σημαίνει ὡς ὅτι φρέατα μακρὰ λέγονται, ἤγουν βαθέα καὶ οὐχ ἁπλῶς, ἀλλὰ πάνυ βαθέα. εἰ γὰρ πᾶν βαθὺ ἄλλο καὶ μακρὸν λέγεται. Κυμάτια, τὰ χείλη διὰ τὸ κυμαίνειν. ἢ αἱ ὑπεροχαί, παρὰ τέκτοσι καὶ λιθοξόοις.

Κύματος ἐμπελάς, ἃ ἐρεύγεται εἰς ἤπειρον, καθὼς ἐχομέναι. ἠχεῖ γὰρ ὑπὸ τοῦ ἐρεύγεσθαι. Κύματα μακρὰ παρ' Ὁμήρῳ ἀντὶ τοῦ βαθέα. καὶ φρέατα μακρὰ ἐν ἄλλοις λέγει, ἐπὶ τούτου τοῦ σημαινομένου. Κυμάτια, αἱ ὑπεροχαὶ παρὰ τέκτοσι καὶ λιθοξόοις. Κῦμα κωφόν, τὸ δίχα ἀνέμων ἐπαιρόμενον τοῦ ἀφροῦ, καὶ μάλιστα ἦχον ἀποτελοῦν. ἄνευ γὰρ ἀνέμου τὸ κῦμα ὁρμᾷ, μάλιστα ἀνέμου ἐναντίου ὄντος. Κύματος ἄκρον ἄωτον, ὁ ἀφρός. Κυματοφορεῖσθαι, ὀχεῖσθαι. Κυματωγή, ῥαχία, αἰγιαλοῦ ὑπαγωγή. Κῦμα θαλάσσης λέγεται πρὸς διαστολήν, κυμαίνονται γὰρ καὶ λίμναι, καὶ ποταμοί. ἀλλ' οὐχ οὕτω. κῦμα δὲ παράγεσθαι παρὰ τὸ κυκᾶσθαι, ὡς φαίνεται ἐν τῷ κυκώμενον ἵστατο κῦμα. ἐμφαίνει ὁ ποιητὴς ἐγγὺς τοῦ κυκᾶσθαι τὸ κῦμα εἰρημένον τρόπῳ ἐτυμολογικῷ. ἐπεὶ τὸ κῦμα ἐκ τοῦ κυκᾶν λέγεσθαι τινὲς ἔστι κῦμα, ὥσπερ κύκημα. ὅτι δὲ κῦμα σημαίνει καὶ τὸ κατὰ γαστρὸς ἔμβρυον λέγεσθαι συγκοπὴν ἐκ τοῦ κύημα, δηλοῖ Εὐριπίδης ἐν τῷ γόνου κύματος θεοσπόρου, ἤγουν ἐγκυμοσύνην ἐκ Ποσειδῶνος. Κῦμα, ἀντὶ τοῦ κύημα κεῖται, παρὰ τῷ Ἀπολλωνίῳ κατὰ συγκοπήν. Κυμαίθα, παρὰ Θεοκρίτῳ, ὄνομα βοός, καὶ αἰγός, παρὰ τὸ κύμοθα. ἢ παρὰ τὸ κῦθα καὶ τὸ κόμη ἢ τὰς κόμας αἴθας ἔχουσα. τουτέστι ξανθάς, ἢ ὀγκώμενον. Κύμβαι, ὄρνιθες. Κύμβαι, πλοῖα περιφερῆ, παρὰ Ῥωμαίοις. Κυμαίνει, ἡ θάλασσα, ἀμεταβάτως, μεταβατικῶς ἀντὶ τοῦ ταράσσει. Κυματολέγη, ὄνομα νηρηΐδος. λέγεται αὐτὴ τὸ λήγειν τὰ κύματα. Κυματωγή, ἀκτὴ ἔνθα κύματα ἄγνυνται. Κύμβαλον, ἀκρόταλον. Κύμβαλα, ὄργανα οὕτω, παρὰ τὸ κύφον, κύφαλά τινα ὄντα. καὶ κύμβαλα, θυμέλης τὰ παίγνια. καὶ κύμβαλ' ὀβολῶν πεντακισχίλια. Κύμβαλον, παρὰ τὸ κύπελλον, κύπαλον. καὶ κύμβαλον. ἢ παρὰ τὸ κεκομμένην φωνὴν ἔχον. κύμβαλον γάρ, ἐκ κεκομμένης φωνῆς εἴληπται, αἱ δὲ κεκομμέναι φωναὶ αὗται, κομ, καρ, κιρ, ρι, τοι, κι, του, χθα. Κυμβαλικὸς τρόπος, τοῦ κελεύει κακουργῆσαι.

Κύμβαλον, βακύλλιον, βαβούλιον, εἶδος ὀργάνου μουσικοῦ. Κύμβας, ὄρνιθας, καὶ κοίλας, καὶ περιφερεῖς, καὶ εἶδος ποτηρίου. Κυμβατωταί, ὀρνιθευταί. Κύμβαχος, ἐστι πρηνὴς τοῦ ἐπὶ κεφαλήν. ἔοικε γὰρ ὁ μὲν ἐπὶ στόμα κείμενος κύμβος λέγεσθαι, ἀλλὰ καὶ ἐπὶ κεφαλῆς, κατὰ τινα σχῆμα. ὅθεν καὶ κυβιστᾶν τὸ ἐπὶ κεφαλὴν καταβάλλεσθαι. ἔστι δὲ καὶ κυμβίον, εἶδος ποτηρίου, ὡς Παυσανίας φησί. παρὰ τὸ κυφὸν δὲ ἐτυμολογεῖται ὁ κύμβος, ὡς περιφερής. ὁ δὲ κύμβαχος, ἔχει τι ὀνοματοποιΐας, διὰ τὸ δηλοῦντα ἐκτείνεσθαι αὐτὸ ἦχον, ἢ ἐκ παραγωγῆς ἔχει τὸ χ, ἵνα ᾖ ὡς ἐμμα-

νίμαχος. ὅθεν ἔοικεν ἀνοικεῖον, ὁ ἐμμαχίδας, οὕτω καὶ κύμβη, κύμβαχος. σημαίνει δὲ ἡ λέξις καὶ τὸ τῆς περικεφαλαίας ἄκρον, ἐν ᾧ ἐνίεται ὁ λόφος, ὡς τὸ κύμβαχον ἀκρότατον νύξ' ἔχει. τὸ δὲ ῥῆμα κυμβαχεῖν ποτάμιον, κυμβιᾶν στρέφει χαλάσουσι. λέγεται δὲ καὶ ὅτι ἔοικε κατὰ σχῆμα πλοίῳ, καλουμένῳ κύμβῃ. Κύμβαχος, ὁ ἐπὶ κεφαλὴν πεσών, καὶ ἄνω τοὺς πόδας ἔχων. Κύμβαχον κόρυθος, ὅρα πρὸς διαστολὴν τοῦ τῆς κεφαλῆς εἴρηται. Ὅμηρος, κύμβαχον ἀκρότατον νύξεν. εἶτα ἐπάγει, πρὸς Θρωΐσαν δ' ἀφίκετο λόφον. πᾶς δὲ ὁ λόφος δηλαδὴ χαμαὶ κατέπεσεν. ἔτι δὲ καὶ ἄλλως κύμβαχον, τὸ ὑπὲρ κεφαλῆς διακείμενον τῆς περικεφαλαίας, εἰς ὃ καθίεται ὁ λόφος. εἴρηται δὲ παρὰ τὸν ἦχον τῆς κύμβης, ὃ ἐστι τῆς κεφαλῆς, ὅθεν καὶ κύμβη, ποτήριόν τι κεφαλοειδῆ, ὥς τινες. καὶ κυβιστᾶν, τὸ ἐπὶ κεφαλὴν ἑαυτὸν βάλλειν. συμβάλλεται δὲ εἰς τὴν τοιαύτην νόησιν, καὶ ἡ παρὰ τῷ Ὀππιανῷ ὀργανίδαμος κύμβη.

Κύμβη, πλοῖον εἶδος. ἢ ὁμώνυμον ποτήριον κύμβη, καὶ κυμβίον δὲ γένος τι ποτηρίου βαθέων ὀρθῶν, πυθμένα μὴ ἐχόντων μηδ' ὦτα. Κύμβη, ἡ κεφαλή. Κυμβία, τὰ κοῖλα ἐκπώματα, διὰ τὸ περιφερῆ εἶναι καὶ κοῖλα. Κυμβία, τὰ μαζία τῆς χρυσίνης. Κυμβίον, εἶδος τι ἐκπώματος ἐπιμηκοῦς καὶ στενοῦ, καὶ τὸ χαμαὶ παρόμοιον τῷ πλοίῳ, ὃ καλεῖται κύμβιον. Κύμβοι, τὰ ἐκπώματα. Κύμβος, κοῖλος μυχὸς βαθύς, καὶ κεραμίου πυθμήν. Κύμη, πόλις Ἰταλίας ἀπὸ τινος Κύμης βασιλίδος, ἣ τῆς ἐκράτει τὸν τόπον. οἱ δέ, ἀπὸ ἐγκύμονος γυναικὸς οὕτως ὀνομάζεσθαι τὸν τόπον. οἱ δέ, διὰ τὸ κλυζομένην αὐτὴν εἶναι. Κύμηχα, κύαμον. Κύμινδις, ἔοικε κεκομμένης εἶναι. οἱ δὲ κερύφις τοῦ ἰκτῖνος, ἐπειδὴ ὑπνώσιον ἐστι. διὸ καὶ τοιούτῳ ζῴῳ τὸν ὕπνον Ὅμηρος ἀπεικάζει, ὅτι τὴν κεφαλὴν ὑπὸ τοὺς κλάδους φασὶ κρύπτειν. ἔστι δὲ κύμινδις, ἢ ὁ κύμινδις, ἑκατέρως γὰρ λέγεται, οἰωνὸς ὕπνου ἐστί, καὶ ὡς εἰς ὕπνον φασὶν ἐπιτήδειος, καὶ ὡς τὰ πλεῖστα νυκτὸς φαινόμενα. καθὰ καὶ ὁ ὕπνος νυκτὶ περιλέγεται μυθικῶς, καὶ ἀλληγορικῶς, καὶ δηλοῖ τοῦτο ἡ περὶ αὐτοῦ ἱστορία λέγουσα, ὅτι κύμινδις ὀλιγάκις φαίνεται. οἰκεῖ γὰρ ὄρη. μέγεθος, ἴσον φασσοφόνῳ ἱέρακι, τὴν δὲ ἰδέαν λεπτὸς καὶ μακρός, κύμινδιν δὲ καλοῦσιν Ἴωνες αὐτόν. οὗτος ἡμέρας μὲν οὐ φαίνεται διὰ τὸ μὴ βλέπειν ὀξύ, τὰς δὲ νύκτας θηρεύει, ὡς οἱ ἀετοί, καὶ μάχεται πρὸς αὐτόν, οὕτω σφοδρῶς, ὥστε πολλάκις ἄμφω λαμβάνεσθαι ζῶντας ὑπὸ τῶν νομέων. νεοττεύει δ' ἐν πέτραις, ἢ σπηλαίοις. λέγει δὲ ἡ ἱστορία, καὶ ὅς μέλλει ἐστὶ χαλκίζειν τὴν φωνήν. ὅθεν καὶ χαλκὶς λέγεται, ζήτει χαλκίδα λέξιν. Κυμίνδαλα, καταστροφή, ταραντῖνοι. Κύμινδος, ὁ αὐτός, καὶ κυμίνδιος.

Κύμινον, εἶδος βοτάνης. Κυμινοπρίσταν, τοὺς φειδωλοὺς καὶ σμικρολόγους ἐκάλουν. συνέθηκε δὲ τὴν λέξιν Ἀριστοφάνης, κυμινοπριστοκαρδαμογλύφον. Κυμοδόκη, ὄνομα νηρηΐδος. λέγεται αὐτὴ τὸ δέχεσθαι, καὶ παραδέχεσθαι τῶν κυμάτων. Κυμοθόη, ὄνομα νηρηΐδος. λέγεται, διὰ τὸ ταχὺ τῶν κυμάτων, ἢ τῶν πλεόντων. Κυμορρόον, τὴν ὑπὸ τῶν κυμάτων ῥοήν. Κύνα, ὄνομα πόρνης. Κύνα δέρειν δεδαρμένην, τὸ τοῦ Φερεκράτους χῶμα δ' ὅτιπερ ἀπόλαυσιν εἰς τὸ αἰδοῖον. εἴρηται δὲ ἐπὶ τῶν ἄλλο πασχόντων ἄλλως, ἐφ' οἷς κατάκεισιν ἡ παροιμία. Κυνάγχη, πάθος. ἐστι τὴν διὰ χειρῶν δέσμην. οἱ δὲ τὸ κυνάγχη, ἀντὶ τοῦ κλέπτα, καὶ ὄνομα κυνῶν καὶ ἀνθρώπων μέρος, καὶ εἰρκτή. Κύναρα, κυνόσβατον, ἡ φυτόν, ὅπερ τὰς αἶγας νέμεσθαί φασι. Κυνάδας, ἀντὶ τοῦ τὰς κόρας λέγουσι Λάκωνες. Κυνάδες, αἱ ἐν μεγάλαις. Κυνάδης ἐστιν ἀθλιώτατον ἐλεμῶν. καὶ κυνάδης, ἀναιδής. Κυνάφαι, ἐρίων ἐξ ἧς ἔτεινον οἱ ἐλευθερούμενοι. ὅθεν καὶ τὸ ἐν κυνάφῃ ὑλακτεῖν ὕλον, παροιμιακῶς ἐπὶ τῶν εἰς ἐλευθερίαν ζητοῦντας.

βδς, κολοβὸν. Κυκῶ, τὸ ταράσσω, καὶ κυκῶσαι. Κυκώμενος, ταραττόμενος. Κυλαίνειν κάτω, Σοφοκλῆς φησὶ, τὰ ὦτα κάτω κλίνας, ἅπερ οἱ σαίνοντες ποιοῦσιν, ἴσως ἐκ οὐρὰν ἀντὶ κυλαίνειν. καὶ τὸ οἷον οὐρὰ μὲν γὰρ οἱ σαίνοντες, καὶ ὦτα κατὰ λαμβάνουσι. Κυλικείω, ἡ ἄκαρπος κράμβη. Κύλα, τὰ ὑπὸ κάτω τῶν βλεφάρων κοιλώματα, τὰ ὑπὸ τοὺς ὀφθαλμοὺς μῆλα, τὰ ὑπώπια. Κυλίον, λέγεται ἀπὸ τῶν ἄνω ἐπὶ τὰ κατώτερα. τὸ δὲ ἐναντίον, ἀνάπαλιν. καταλεῖσθαι μὲν ἐκ ῥᾷον, ἀνεῖται δὲ οὐκ εὐχερῶς. Κυλικεῖον, ἡ θήκη τῶν ποτηρίων. Κυλικίαν, ἰδιώτας ἀπὸ τόπου, ἴσθαν. Κυλικήρυτον, αἷμα, ὡς τὸ κυλικήρυτον, οἷον πολύ. Κυλίκρανον. Πολέμων φησὶν, ὅτι οἱ ἄμυνα κεχαραγμένοι ἦσαν κυλικοῦ. οἱ δὲ ὑπὸ ἦσαν ἡρακλεῶται, ἀπὸ κύλικος ὀνομασθῆ. Κυλίνδει, κυλίει, ἐπιφέρει. καὶ κυλινδεῖσθαι, ὁμοίως. Κυλινδεῖσθαι, παρὰ τὸ κυλινδῶ ἐσχημάτισται, βαρυτόνου ῥήματος. τὸ γὰρ κυλινδεῖσθαι, τοῦ καθ' Ὅμηρον ἐστὶν, ὥσπερ καὶ τὸ ἐκκυλινδεῖσθαι. οἷς ὁμοιόν ἐστι καὶ τὸ ἀλινδεῖσθαι. ἀφ' οὗ καὶ ἡ ἀλινδήθρα, ὅπερ ἐστὶ κονίστρα. προϋπάρχει δὲ ἀμφοῖν τὸ ἀλίζειν, ὅπερ καὶ τὰς παρὰ τῷ κωμικῷ ἐν τῷ ἀλινδήθρας ἐκεῖν. ὅπερ κονίστρας, παλαίστρας. καὶ ἐν τῷ τὸν ἵππον ἐξαλίσας, ὅπερ κυλινδῆσαι ποιήσας. Κυλινδεῖσθαι, παρὰ τῷ Ἀριστοφάνει κεῖται, ἀντὶ τοῦ περιστρέφεσθαι. Κυλίνδων πῆμα, πολλαχοῦ εἶπεν ὁ ποιητὴς, καὶ δηλοῖ τὸ ἄνωθεν ἐκ Διὸς ἥκειν κακόν. Κυλινδήθρα, κυλίστρα, ἀπὸ τοῦ κυλινδῶ. Κυλίνδιον, προσκεφάλαιον ξύλινον. Κυλινδούμενος, κυλιόμενος, περιστρεφόμενος. Κυλινδεῖται, κυλίεται. καὶ κυλινδεῖται, ἀντὶ τοῦ κυλίεται. Κύλινδροι, ὅρμοι καὶ σφραγιδος εἶδος, καὶ πόλεμοι, καὶ λίθοι στρογγύλοι. Κύλινδρος, κιονίσκος λίθινος στρογγύλος, ἑκατέρωθεν ἔχων βάσιν ἐπίπεδον. Κυλινδῶ, ἀεὶ παρὰ τῷ ποιητῇ βαρύνεται, ὅθεν καὶ κυλινδόμενος μόνον εἴρηκεν ὁ ποιητὴς, οἱ καὶ παρὰ τοῖς ὕστερον περισπᾶται, οἱ κυλινδεῖσθαί φασι. Κύλιξ, τὸ ποτήριον, ἀπὸ τοῦ κύκλος, κύκλιξ. καὶ κύλιξ φιάλη. λέγεται δὲ καὶ κυλίκιον χεῖλος, ἀποπαρχομένων, κεκλασμένον ἢ κυλίκιος ἐξέτυχεν, εἶτα δὲ ἐνέβαλον. καὶ κύλικας ἐς τὸ ἁβρότερον ἀνακεκλιμένους ἐπιπεσὼν ἔκτεινε, καὶ αὖθις καὶ σάγηνα ἐπιβολῇ ὡς ἐν θύρασιν ὀπτοδιὸν τὸ κύλικος βωμῷ πνεύματι κοσμούμενον. Κύλιξ ῥυπαλωτὸ, τὸ παρὰ πολλοῖς λεπτότερον. Κύλιξ, τὸ ποτήριον, κύκλιξ τις ὤν, ἀπὸ τοῦ κυλοειδὲς εἶναι. ἢ παρὰ τὸ χέω χύλιξ καὶ κύλιξ.

Κυλίσανος, πόλις ἰταλίας. καλεῖται δὲ τὸ πρῶτον ἐκαλεῖτο. διὰ δὲ τὸ τὸν ἡρακλέα φονεύσαντα ἐφελκυσθέντα ὑπὸ βοῶν τινῶν, ἢ κυλισθῆναι εἰς αὐτὸν, κυλίσανος ἐκλήθη. Κυλίχναι, λεκανίδες, τρυβλία, ἢ φιάλαι. καὶ κυλιχνίδες παρὰ ἀθηναίοις, αἱ πυξίδες, ἢ οἱ λιβανωτοὶ. ἢ ἀγγεῖα κεράμεα. Κυλίχνιον, ἐκπωμάτιον ὃ νῦν λέγουσι πυξίδιον. ἔχουσι δὲ οἱ ἰατροὶ τὰ πυξίδια, ἐν οἷς προσβάλλουσι τὰ πάσματα. Κύλλα πολίχνιον ἦν τρωικὸν κείμενον περί που τὴν ἀγαμεμνονίαν χώραν. τὸ δὲ ὄνομα ἔχειν ἀπὸ κύλλου ἡνιοχοῦντος τῷ πέλοπι, ὃς κύλλας ἐκαλεῖτο. ἀποθανόντος δὲ τοῦτον καὶ ταφέντος ἐγγὺς τοῦ ἱεροῦ πρὸς τὸ τοῦ πέλοπος ἐπωνυμίαν πόλεως, ἣ διὰ ἐκεῖνον κύλλα ἐκλήθη. καὶ ὁ τοῦ κυλλαίου ἀπόλλων αὐτόθι, ὁ καὶ ποταμός. ἔοικε δὲ ὁ κύλλας διὰ τὸ ὑπὸ κλίνεσθαι, ὡς τὸ κάλλας τοῦ κάλλαντος. διὸ καὶ οἱ κατὰ τὴν κύλλαν αὐτὴν κύλλαντες ἐκαλοῦντο. Κυλλαίδες, τὰ ὑπὸ τοὺς ὀφθαλμοὺς μέρη, ὅθεν καὶ τὸ ταῦτα οἰδεῖν, κυλοιδιᾶν καλοῦσι. πνίγεσθαι διὰ τὸ ὗ. Κυλλαίνει, θερμαίνει. Κύλλανος, βάτραχος. Κυλλαροβίς, δίσκος, ἢ γυμνάσιον ἐν ἄργει.

Κύλλαρος, ὁ ἵππος κάστορος, παρὰ τὸ κύλλειν, ὃ ταχὺς. Στησίχορός φησι τὸν ἑρμῆν δεδωκέναι τοῖς Διοσκούροις φλόγεον καὶ ἅρπαγον, ἐκεῖνο τίκτειν ποδάργας, καὶ κύλλαρον. Κύλλαρος, κόλαξ, πλείει. Κύλλας ἦν ἄρτος ἐν αἰγύπτῳ, ὑπὸ ζειῶν ἐξ ὀλύρας. Κυλλὸτης, ἡ ὀφθαλμούς. Κυλλήνη, κα-

λούνται. οἱ δὲ τὰ κίρκια κυλίκια, περὶ ἴσως. Κυλλήνη, οἱ μόνον ὄρος ἀρκαδίας, ἀλλὰ καὶ πόλις ἠλείων ἐν ᾧ δοκεῖ τὸν ἑρμῆν τεκεῖν, ἡ τοῦ ἄτλαντος μαῖα. ὅθεν καὶ κυλλήνιος ἑρμῆς. ἐξ οὗ καὶ κύλλιος κατὰ συγκοπὴν, ὡς ὁ τὰ ἐθνικὰ γράψας φησίν. ἐκλήθη δὲ κυλλήνη, ἀπὸ τοῦ κυλλήνης τοῦ λύκου. ἐν τούτῳ φασὶ μόνῳ τῷ ὄρει τοὺς κοσσύφους λευκοὺς γίνεσθαι, καὶ φωνὰς ποικίλας προΐεσθαι, θηρεύεσθαι δὲ πρὸς τὴν σελήνην, τοὺς δὲ ἡμέρας δυσθηράτους εἶναι σφόδρα. ἔστι δὲ φασὶ καὶ κύλλας κυλλήνη. ὁ δὲ τεχνολόγος, ὅτι κυλλήνη καὶ κυλλήνιον ἐπέκτεινεν, ἀφ' ἧς κυλλήνιον ἀρχὸν ἐπῶν φασὶ τὸν Ὅμηρον. ἔστι δὲ καὶ κώμη μαγνησίας, ἔχουσα τὸν κυλλήνιον ἀσκληπιὸν, ξόανον θαυμαστὸν ἐν αὐτῷ ἀναφερόμενον καὶ ὅτι οὐχ ὁ Διονύσιος ὁ κυλλήνης κατὰ τὴν ἀντιστροφὴν παραδίδωσιν, ἀλλὰ τεχνίτης ἀγάλματος Διονυσίου ὁ κυλλήνης. Κυλλήνη, πόλις ἐστὶ τῆς ἀρκαδίας.

Κυλλήνιος, ὁ ἑρμῆς. μυθικῶς μὲν ἀπὸ κυλλήνης, ὃ ἐστιν ὄρος ἀρκαδίας ὀνομασθὲν ἀπὸ κυλλήνης ἀρκάδος τινός. πεπλάσθαι δὲ διαφθείροντας, ἐν τοῖς περὶ τὸ πρῶτον ἔργον ἐμάθαν τὸν ἑρμῆν, ἀπειθὲς ἔχειν τὸ λιχθὲν ἐπίθετον. κατὰ μὲν τι ἀλληγορίαν, κυλλήνιος ὁ ὕπνος λεγὼν, ὁ τοὺς ὑπὸ τὸν κύλον ὑπὸ κοιλον ἔχων, ὃ δηλοῖ τὰ ὑπὸ τοὺς ὀφθαλμούς. ὅθεν καὶ κυλοιδιᾶν παρὰ ἀττικοῖς, τὸ τὰ κοῖλα τοῦ ὀφθαλμοῦ οἰδεῖν, ἐκ μακροῦ ὕπνου τυχὸν, ἢ ἀυπνίας. οἱ δὲ παλαιοί φασι, καὶ ὅτι κύλα κατὰ Εὔβουλον, τὰ ἐν τῷ κάτω βλεφάρῳ μακρὰ ἀνατρέχοντα ἐν τῷ μύωπι. τὰ δὲ ἐν τῷ ἄνω, ἐπικύλιον. Κύλλια, ὑπώπια μελανά. Κύλλοβος, ξηρὰ συκῆ. Κυλλοιδιᾶ, τοὺς ὦπας ὀγκοῖ.

Κυλλοιδιᾶ. Θεόπομπος, κυλλοιδιῶντες, οἰδοῦντες, καὶ τοὺς ὀφθαλμοὺς ἐξογκούμενοι. Κυλλὸν, ἐπὶ τοῦ ποδὸς λέγεσθαι, ἐπ' ὄνομα παλλοπόδιον. τὸ δὲ χωλὸν, ἐπὶ τοῦ χειρός. ὡς Εὔπολις, ὁ δὲ χωλὸς ἐστι τὴν ἑτέραν χεῖρα οὐ λέγεται. καὶ Φρύνιχος μὲν χωλὸν εἶναι τὸ ἐναντίον φησίν. ἢ τάχα ἐπὶ πολλοῖς ἐστι παρ' αὐτοῖς πολὺ κοῦφα, ἢ πολὺ λεπτὰ, Ἀριστοφάνης. Κυλλοπόδιον προπαροξύτονον, ὡς τὸ ἀγαλμάτιον. Κυλλοστέλιον, ὁ ὕπατος. ὡς ἀπὸ τοῦ εἰλίπους εἰλίποδος εἰλιπόδιον, οὕτω καὶ παρὰ τὸ κυλλόπους κυλλόποδος κυλλοπόδιον, διὰ τὸ ἰῶτα. Κύλλους λέγει, κατὰ τροπὴν τοῦ χ εἰς κ, πρὸς τὴν ἐτυμολογίαν, ἀφαιρέσει διδάσκομεν. Κυλλὸς, πεπηρωμένος. κυλλοὺς δὲ λέγουσιν οἱ ἀττικοὶ, ἐπὶ ποδῶν καὶ χειρῶν ὁμοίως. καὶ χωλοὺς τοὺς χεῖρας πεπηρωμένους. Κυλλοῦ πήρας. ἡ πήρα, χωρίον πρὸς τῷ ὑμηττῷ, ἐν ᾧ ἱερὸν ἀφροδίτης. Κυλώνειον ἄγος, ἀπὸ κύλωνος, ὃν καταφυγόντα ἐπὶ τὰς σεμνὰς θεὰς, ἀποσπάσαντες αὐτὸν οἱ περὶ τὸν περικλέα ἀθηναῖοι, ἀπέκτειναν.

Κύλων, ἀθηναῖος ἀνήρ. μεγαρίδα γυναῖκα γήμας θεαγένους γυναῖκα θέλων τυραννῆς, ἔλαβε χρησμὸν τῇ μεγάλῃ ἑορτῇ τοῦ Διὸς, ἐπιθέσθαι τῇ πόλει. ἐν ὀλυμπίᾳ δὲ ἐπιθέμενος, νομίζων ταύτην εἶναι μεγάλην ἑορτὴν, δύναμιν λαβὼν παρὰ θεαγένους, μὴ γνοὺς ὅτι τὰ Διάσια ἦν ἡ μεγάλη ἑορτὴ, ἐπελθὼν τῇ ἀκροπόλει ἡλίσκετο. ἐλύθη δὲ σὺν ἄλλοις τὸ ἱερὸν τῆς ἀθηνᾶς. καὶ αὐτὸς μὲν ὁ κύλων φεύγει, τοὺς δὲ ἄλλους φονεύουσι, ἕως οἱ καὶ ἱκέτας ἐκ τῶν βωμῶν ἀποσπάσαντες ἀπέκτεινον. τούς οὖν ἀπεργάσαντας εἰς τὴν ἱκέτας ἀλιτηρίους ἐφασκον. οὓς καὶ ἐξέβαλον τῆς πόλεως, ὅτι ἐκ τῶν ἀρχαίων νόμων παρέβησαν, τοὺς ἱκέτας φονεύσαντας. ἄλλως. Κύλων τὴν ἀκρόπολιν κατέλαβεν, ἐπὶ τυραννίδι, καὶ ἐλήφθη ποτὲ σὺν τὸ ἱερὸν τῆς ἀθηνᾶς, καὶ ὑπὸ ἀθηναίων ἐκλήθη. καὶ οὕτως ἑαυτὸν εὑρὼν καιρὸν φυγῇ ἐχρήσατο. καὶ οἱ φίλοι ἔφυγον εἰς τοὺς βωμοὺς τῶν θεῶν, οὓς οὗτοι ἀποσπάσαντες ἀπέκτειναν. ὅθεν ἀλιτήριοι ἐκλήθησαν. ἐκλήθησαν δὲ ἐντεῦθεν οἱ ἀλιτήριοι. λιμὸς κατέλαβέ ποτε τὴν ἀθηναίων, καὶ οἱ πένητες τὰ τῶν ἀλοῦντων ἄλευρα διήρπαζον. ἀπὸ γοῦν ἐκείνων καταχρηστικῶς τοὺς πονηροὺς ἀλιτηρίους ἐκάλουν. παρίστησι δὲ τὸ ὄνο-

ὑπὸ κύκλα πορφύρει θᾶκον. ὁ δὲ κατὰ τοὺς τροχίλους, οἱ ὡς εἰκὸς ἐπήεσαν τοῖς τῶν λιβύων πᾶσιν. ὡς ἄν εἴς τι τῶν τῶν θεῶν ἄθροισιν δέονται. τῶν γὰρ ὁ ἐσθλὸς ἀγών. καὶ οἴκαδε αὖθις εἰς τὰ ἑαυτοῦ ἀποκομίζηται, δίκην ἔμψυχον. τοιαῦτα γὰρ ὑποτίθενται εἶναι τὰ ὑφασόντατα. Κύκλα κατὰ μεταπλασμὸν γένος, οἱ τροχοί. ὅθεν καὶ κυκλῆσαι σημαίνει, τὸ ἐπὶ ἁμαξῶν ἀγαγεῖν. τοιοῦτοι δὲ μεταπλασμοὶ σὺν ἄλλοις πολλοῖς, καὶ ὁ θυμὸς τὸ θυμόν. καὶ ὁ ταῦρος παρ' Αἰσχύλῳ, φασὶ καὶ τὸ ταῦρον. οὕτω δὲ καὶ ὀρίγανον καὶ ὁ ὀρίγανος. Κυκλάζει, κύκλῳ περιέρχεται. Κυκλαίνει, στρογγυλοῖ. Κυκλάμινος, εἶδος βοτάνης. Κύκλειοι αὐλοί, οὕτως αὐτοὺς ἐκάλουν. εἰσὶ δ' ἄρα οἱ χωνικοί. Κυκλεῖ, ἢ κύκλωτε, ἀκούεται. Κύκλειον, εἶδος πόματος ἐξ εἰδῶν συγκείμενον. Κυκλέω κυκλῶ, τὸ συστρέφω. κυκλόω δὲ τὸ περιλαμβάνω. καὶ κυκλοῦμαι, τὸ περιλαμβάνω ἢ τὸ περιλαμβάνομαι. Κυκλήσωμεν, ἀντὶ τοῦ τροχοῖς ἐπάγωμεν, ἢ μᾶλλον ἐφ' ἁμαξῶν κομίσωμεν. ὡς ἀπὸ μέρους. τὰ δὲ κύκλα, ἤγουν οἱ τροχοί, μέρος ἁμάξης. Κυκλήσομεν ἐνταῦθα κεῖται, ἀντὶ τοῦ ἐφ' ἁμαξῶν ἄξομεν. ἀπὸ τοῦ κυκλῶ κυκλώσω, κύκλα οἱ τροχοί.

Κυκλήσομεν, ἀνακρούσομεν. Κυκλία τὰ πολλά, παρὰ τῷ Ἀριστοφάνει. τὰ τὴν αὐτὴν ὑπόθεσιν ἔχοντα, ταῦτα κύκλια ἔλεγον. παρθένια δὲ ἃ αἱ παρθένοι ᾖδον. κύκλια δὲ καλοῦνται μέλη, τὰ ἐπικτεταμένα. ἔστι δὲ διθυραμβικόν. ἄλλως. ἀντὶ τοῦ κατὰ τέχνα, ποικίλα, οἷον ὕμνους, παιᾶνας, προσόδια, καὶ τὰ τούτοις παραπλήσια. Κυκλιοδιδάσκαλον, ἀντὶ τοῦ διθυραμβοποιὸν λέγει Ἀριστοφάνης. εἴρηται, ὅτι οἱ κύκλιοι διδάσκουσιν. Ἀντίπατρος δὲ καὶ Εὐφρόνιος ἐν τοῖς ὑπομνήμασι, φασὶ τοὺς κυκλίους χοροὺς στῆσαι πρῶτον Λάσον, Ἑρμιονέα. οἱ δὲ ἀρχαιότεροι, Ἑλλάνικος καὶ Δικαίαρχος, Ἀρίονα τὸν Μηθυμναῖον. Δικαίαρχος μὲν ἐν τῷ περὶ Διονυσιακῶν ἀγώνων. Ἑλλάνικος δέ, ἐν τοῖς Καρνεονίκαις. Κυκλογέλων, γλίσχρον, σμικρολόγον. Κυκλοβορεῖν, καὶ καταπλουτίζειν, χαμαιτίσματα ἐστὶ κωμῳδίας.

Κυκλόβορος, ποταμὸς Ἀθηναίων, ὃς οὐκ ἀεὶ αὐτὸ διὰ παντὸς ῥέει, ἀλλὰ χειμάρρους. ἤτοι τόπος κυκλοτερής, ἐν ᾧ τὰ ὤνια ἐπώλουν, ἃ ἐσφετερίζεν ὁ Κλέων. Κύκλοι, ἐν τῇ νέᾳ κωμῳδίᾳ καλοῦνται, ἐν οἷς ἐπιπράσκετο τὰ ἀνδράποδα. ἴσως δὲ τὰ λοιπὰ ὤνια, ἐφ' ὃ δὲ ἀναβαίνοντες οἱ δοῦλοι πιπράσκονται. τὸν τράπεζαν Ἀριστοφάνης καλεῖ, μετονομάζων τῆς περιέδρας. Κύκλοι εἰσὶ παράλληλοι, οἱ περὶ τὸν αὐτὸν πόλους γραφόμενοι.

Κύκλοι εἰσὶν ἀρκτικοί, οἱ τὸ φαινόμενον ἀεὶ μέρος τοῦ οὐρανοῦ καὶ τὸ ἀφανὲς διορίζοντες. Κύκλοι εἰσὶν μεσημβρινοί, οἱ διατέμνοντες τὸ ὑπὲρ γῆς ἡμισφαίριον. κύκλοι εἰσὶν ὁρίζοντες, οἱ διορίζοντες τὸ φαινόμενον μέρος τοῦ οὐρανοῦ ἀπὸ τοῦ ἀφανοῦς. Κύκλον πάντων λέγει Ὅμηρος συνήθως, τὸν τοῦ ἅρματος τροχόν, ὡς καὶ αὐτοῦ ἐκπεποιημένον. ὃ καὶ πρὸς διαβολὴν τῶν παρὰ τοῖς θεοῖς διαπονεῖσθαι κύκλων. Κύκλος, σφαῖρα, οὐρανός, κόσμος. Κύκλος ἐστὶν ἰσημερινός, ὁ μέγιστος τῶν παραλλήλων, ἐφ' οὗ τὰς ἰσημερίας ὁ ἥλιος ποιεῖται. Κύκλος ἐστὶ τροπικός, ἐφ' οὗ γενόμενος ὁ ἥλιος τὰς τροπὰς ποιεῖται. Κύκλος, περίβολος. καὶ ἐν ἀγορᾷ τόπος ἔνθα σκεύη καὶ σώματα πιπράσκονται, καὶ ἐν ταῖς κωμῳδίαις ὑπότροχον ἢ κατασκεύασμα. καὶ παρὰ τοῖς γεωμέτραις ἐπίπεδον σχῆμα, ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον, καὶ εἶδος ἱματίου. Κυκλοτερής, περιφερής, ἐπικαμπής. Κύκλους καὶ τροφούς, τὰ τείχη. τροχὸν δὲ τὸ τεῖχος ὡς Σοφοκλῆς ἐκάλει, κυκλώπειον τροχόν. Κυκλοτερὲς τόξον λέγει Ὅμηρος, οὐ τοιοῦτον φύσει, σκολιὸν γὰρ ἦν καὶ ἀγκύλον πρὸ τῆς τάσεως, ἀλλ' ὅπερ ἐκ τοῦ σπασμοῦ τοιοῦτον γίνεται. Κυκλοφορεῖται, κατὰ κύκλον φέρεται, ἢ κινεῖται. Κύκλωπες, κυκλωποδες, καὶ κατὰ συγκοπὴν κύκλωπες, ὅτι κυκλοτερὴς ὀφθαλμὸς εἷς ἔκειτο τῷ μετώπῳ. Κύκλωπες, ἄγριοι ἄνθρωποι. καὶ κυκλώπειον κλίμμα. σημαίνει δὲ καὶ ὄρος. Κυκλώπων εἶδος, ἐκεῖ δὲ κύκλωπες ἐτείχισαν τὰς Μυκήνας. καὶ κυκλώπων, χαλκέων. Κυκλῶ, κυκλώσω κοινῶς. κυκλῶ κυκλήσω, παρ' Ὁμήρῳ, τὸ ἐφ' ἁμάξης ἄξω. κύκλα γὰρ οἱ τροχοί, καὶ εἰσκυκλῶ, καὶ ἐπικυκλῶ, καὶ ἀνακυκλῶ.

Κυκλῶσαι, τὸ περιελθεῖν καὶ περιοδεῦσαι ἵνα τέως. κυκλῶσαι δὲ καὶ ἀνακυκλῶσαι, τὸ πολλάκις αὐτὸ μεταστρέψαι. Κυκλωσάμενοι, ὑφαλοῖς. Κύκλῳ, εἴτε ὄνομα, εἴτε ἐπίρρημα, σὺν τῷ ι γράφεται. ἔστι γὰρ κύκλος, κύκλου, κύκλῳ. καὶ λοιπὸν αὗται αἱ δοτικαὶ μεταχθεῖσαι εἰς ἐπιρρήματα, κατὰ τὴν σύνταξιν τῆς δοτικῆς, τὴν γραφὴν φυλάττει. οἷον ἰδίᾳ, δημοσίᾳ, κύκλῳ. οἷον, κύκλῳ σῶμα. Κύκλωψ, ἐθνικόν ἐστι, τοῦ τοῦ Ποσειδῶνος υἱοῦ, κύριον δὲ τὸ Πολύφημος. εἰ μὴ ἄρα ὥσπερ τὸ αἰγύπτιος, ἐν τοῖς ἑξῆς κύριον εὕρηται ὄνομα, οὕτω καὶ τὸ κύκλωψ ἐξ ἐθνικοῦ ὡς κύριον μετέπεσεν, ἐξιδιασθὲν τοῦ Πολυφήμου τὸ κοινόν. Κύκλωψ ὅτι ποιμὴν ὤν, καὶ λύραν κατέχων ηὔλει τοῖς αὐτοῦ θρέμμασι, καὶ ὅτι αὐτὸν Ὀδυσσεὺς ἐτύφλωσεν, δηλοῖ ἡ ἱστορία. Κύκνειον, τὸ τοῦ κύκνου μέλος. Κύκνοι, δύο. ὁ μὲν ἄρειος, ὁ δὲ ποσειδώνιος. καὶ τὸν μὲν ἄρειον, κακῶς τὰ παρὰ Θεσσαλίαν διατιθέντα, Ἡρακλῆς ἀπέκτεινεν. ὡς ἐν τῇ ἀσπίδι Ἡσίοδος δηλοῖ. τὸν δὲ ποσειδώνιον, Ἀχιλλεὺς στρατευσάμενον συμμαχοῦντα τοῖς Τρωσίν, ὡς ὁ Πίνδαρος ἱστορεῖ. Κύκνος τῷ Ἀπόλλωνι, οὐ μόνον διὰ τὸ ᾠδικὸν καὶ μαντικὸν ἀφιέρωται, ἀλλὰ καὶ διὰ τὸ λευκόν, ὅπερ ἐκ τῆς λευκότητος ἐστὶ βλέπειν παραδέδοται, οὗπερ Ἀπόλλων ἐστὶ παραίτιος. ὅθεν καὶ ὁ ἥλιος ἐπιδεικνὺς ὀνομάζεται, ὡς δῆλα καὶ εὐόρατα πάντα ποιῶν. Κύκνος, ζῶον ἀπὸ τοῦ κλῶ τὸ φωνῶ, γίνεται κλύω, κλύκνος, καὶ καθ' ὑπερβιβασμὸν καὶ μετάθεσιν τοῦ λ, κύκνος. ἢ ὁ κυκλοτερῆ ἔχων τὸν τράχηλον, παρὰ τὸ κύκλος. Κύκνος, ἄτρωτος ἦν τὸ λοιπὸν σῶμα, πλὴν κεφαλῆς. τοῦτο μῦθος ἐστίν, ὅτι κατὰ τὴν κεφαλὴν πληγεὶς ὁ κύκνος ἀνῃρέθη. ἀλλὰ περιδέξιος ὢν στρατιώτης ὁ κύκνος, καὶ κάλλιστα σκεπτόμενος ἐν πολέμοις, ὡς μηδέποτε τρωθῆναι ὑποπέπτωκε τοῖς μύθοις, ὅτι ἄτρωτος ἦν, ἐπειδὴ πληγεὶς ὑπ' Ἀχιλλέως τὴν κεφαλήν, ἀνῃρέθη. Κύκνος, ὁ Καλύκης καὶ Ποσειδῶνος, λαθραίως τεχθείς, ἐρρίφη πλησίον θαλάσσης. κύκνον δὲ πέριξ αὐτοῦ καταπτάντων, ἰδόντες ἁλιεῖς ἀνείλοντο τοῦτον, καὶ κύκνον ὠνόμασαν. ὃς ἀνδρωθείς, ἔγημε Πρόκλειαν τὴν Λαομέδοντος, καὶ γεννᾷ Τέννην, καὶ Ἡμιθέαν. ἀποθανούσης δὲ τῆς Προκλείας, ἐπέγημεν ὁ Κύκνος Φιλονόμην τὴν Τραγασοῦ. ἡ δὲ ἐρασθεῖσα τοῦ Τέννου, καὶ μὴ τυχοῦσα, κατηγορεῖ πρὸς τὸν πατέρα, ἐκβιασθεῖσα ὑπ' αὐτοῦ, συμφωνοῦντος αὐτῇ καὶ αὐλητοῦ τινος Μόλπου. ὁ δὲ ὀργισθείς, εἰς λάρνακα λαβὼν Τέννην καὶ Ἡμιθέαν, ἀφῆκεν εἰς τὴν θάλασσαν. τῆς δὲ λάρνακος προσενεχθείσης τῇ τότε Λευκοφρύι νήσῳ, νῦν δὲ ἀπὸ τοῦ Τέννου Τένεδος καλουμένῃ, ἰδόντες οἱ τῆς νήσου τὸ συμβὰν καὶ μαθόντες τὸ δρᾶμα, βασιλέα ἑαυτῶν τὸν Τέννην ἐποίησαν. καὶ τὴν νῆσον ἀπ' ἐκείνου, Τένεδον προσηγόρευσαν. γνοὺς δὲ ὁ Κύκνος τὸ ἀληθές, ἀνεῖλε μὲν Φιλονόμην. αὐτὸς δὲ ἐλθὼν συνῴκησε τοῖς παισὶν ἐν Τενέδῳ. Ἀχιλλεὺς δὲ ἐπιστρατεύσας τῇ Τροίᾳ, ἀνεῖλε τὸν Κύκνον, καὶ Τέννην τὸν υἱὸν Κύκνου λέγει, ἔργῳ δὲ Ἀπόλλωνος. ἡ δὲ Ἡμιθέα διωκομένη φεύγουσα τὴν μίξιν, εἰς γῆν κατεπόθη. μετὰ δὲ τὸ ἀνελεῖν Ἀχιλλέα Κύκνον, καὶ Τέννην, εἰς Ἴλιον ἐλθών, ἀνεῖλε καὶ Μνήμονα, ὃν ἡ Θέτις συνακολουθεῖν Ἀχιλλεῖ δέδωκεν, ὑπομιμνήσκειν αὐτὸν μὴ ἀνελεῖν Ἀπόλλωνος παῖδα. εἱμαρμένον γὰρ ἦν Ἀχιλλεῖ ἀποθανεῖν, εἰ ἀνέλῃ παῖδα Ἀπόλλωνος. ὁ δὲ Τέννης, ὡς ἔφην, υἱὸς Ἀπόλλωνος. Κύκνος, ἀπὸ τοῦ κυκᾶν πλέον τῶν ἄλλων τὴν ἰλὺν χύσει τροφῆς. Κυκνίας, πυρόεις. Κυκνοῦντος, θρηνοῦντος. Κυκνῆα, γλυκεῖα καλλίφωνα. Κύανον, τὸ σκιόεν. Κυλλόν, ἔγκυον, ἁπαλόν, βλαισόν. Κυλι-

πλω. κτίσιν, ἀπὸ τοῦ κτίαρ κτίατος. καὶ ἔστιν εἶδος ἐν μεταπλασμοῦ, πρὸς ὁμοιότητα τοῦ κόνιας, καὶ ἀπόβιον. Κλονέω, φονεύω. Κλμένη, Δολοπικὴ πόλις τῆς Θετταλίας. Δολοπεῖα δέ, τὴν Θετταλίαν εἶπεν ὁ Ἀπολλώνιος, ἐπειδὴ Δολοπικὸν ἔθνος Θετταλίας. Κλονέω, τὸ φονεύω. Κτίσις, ὁ κόσμος. πᾶσα ἡ τοῦ θεοῦ κτίσις διαιρεῖται εἰς ἕξ, εἰς ἀόρατα λογικά, εἰς σύνθετα λογικά, εἰς σύνθετα ἄλογα, εἰς αἰσθητικὰ καὶ γεννητικά, εἰς ἀναίσθητα καὶ κινητά, εἰς ἀναίσθητα καὶ ἀκίνητα. Κτίσμα, οἰκοδόμημα. Κτίσαι, ἱδρῦσαι, οἰκῆσαι, ἄρξασθαι. Κτίσμα, ποίημα, οἰκοδόμημα. Κτίστης, ποιητής, πλάστης. Κτόνος, ὁ φόνος. ἐξ οὗ καὶ κτείνω, τὸ φονεύω. Κτυποῦσι, ψοφοῦσι.

Κτύπῳ, ψόφος. Κτύπει, ἐκτύπησε. Κτύπον, κτυπῶν, βροντῶν. Κτυπία, ὁ ἐπιθαλάμιος κτύπος. Κτυπῖαι, τὸν ἐπιτεθέντα τοῦ θαλάμου, ὃ ἐπικτυποῦσιν ἔξωθεν, ὅταν συγκατακλίνηται ἡ νυμφίῳ ἡ γαμουμένη. Κτύπος, παρὰ τὸ τύπος, καὶ πλεονασμῷ τοῦ κ κτύπος. τὰ γὰρ τυπτόμενα, ψοφεῖ. Κτυπεῖ, κομπάζει, μεγαλορρημονεῖ, τῇ χειρὶ κροτεῖ.

Κτύπαι, ἢ κτίναι, Χερσόνησος προγονικῶν ἱδρύσεων, ἢ δῆμος μαμουμένος. Κτυμένοις, κατεσμένοις. Κτύμενος, σωματίζων. Κτῶ, τὸ κτῶμαι.

ΤΟ Κ ΜΕΤΑ ΤΟΥ Υ.

Κύαθος, μέτρον ὑγροῦ, σύγγιδον δέ, ᾧ κεκλιμένον. ὡς Ἀριστοφάνης. Κυαίνων, ἔγγιος ὤν. Κυαμεύουσι, κυάμῳ ψηφοφοροῦσι, ὃν εἶχον οἱ βουλευταί. Κυαμοτρὼξ, δικαστικός, κυάμους ἐσθίων. κυάμοις δὲ εἶχον οἱ δικασταί, διὰ τὸ μὴ κατὰ δόλον, ἢ ἀντὶ ψήφων. ἄλλοι δὲ διὰ τοῦ κυαμοτρὼξ, ὁ κυάμοις δικάζων, ὁ λεγόμενον. τούτοις γὰρ ἐχρῶντο ἀντὶ ψήφων. ἄλλως. τρεφόμενος ἀπὸ τῶν κυάμων, ἐπεὶ ἀντὶ ψήφων κυάμοις ἐχρῶντο ἐν ταῖς χειροτονίαις τῶν ἀρχόντων, καὶ ἐν ταῖς ἐκκλησίαις. ὡς οὖν τὸ ψηφιζομένων ἀργύριον λαμβανόντων, καὶ χειροτονούντων τῶν δικαστῶν πλέον, οὕτως ὠνόμασε τὸ δῆμον, τὸν ἀπὸ τῶν κυάμων τρεφόμενον. Κυαμίτας, ὁ χαλκὸς καλούμενος. Κυαμεύεσθαι, κληρωθῆναι. Κυαμὸς μὲν καρπὸς, τὸν ἑλληνικόν φασιν ὁ Διοσκουρίδης. Κύαμος, ὅ ἐστιν ὁ κλῆρος, καὶ τὸ ὑπὸ τῶν θηλέων τοῦ μαστοῦ πρῶτον συνιστάμενον γάλα, καὶ τὸ αἰγύπτιον κιβώριον λεγόμενον καὶ κατοικούμενον. Κυανᾶς· ἐπὶ ὀφρύσιν. ἢ ὅλη τοιαύτη κεφαλή, ἀπὸ μέρους συνεκδοχικῶς, καὶ κατὰ σύλληψιν, ὡς οἱ τεχνικοί φασι. διὰ τὸ συμπλέκεσθαι, καὶ συλλαμβάνεσθαι, καὶ συννοεῖσθαι ταῖς ὀφρύσι, τὴν ὅλην κεφαλήν. ἐπεὶ οὐκ ἔστιν ἴδιον συνεκδοχῆς, ἀλλὰ συλλήψεως. Κυανέμβολοι τριήρεις, αἳ τὰς ἐμβόλους εἶχον κυανῷ βεβαμμένους. ὡς μιλτοπάρῃοι, μεμιλτωμέναι, ἢ αἱ τέμνουσαι τὴν θάλασσαν. κυανὸν δέ, τὸ τοιοῦτον ὕδωρ.

Κυανὸν, εἶδος χρώματος οὐρανοειδές. Κυανόπεζα, μελανόπους. Κυανὶς, θαλάττιον ὕδωρ, καὶ ἔρις. Κύανον, τὸ μέλαν. ἐοίκε δὲ ὑφαιμον. χρὴ δὲ γινώσκειν, ὅτι τοῦ κυανοῦ ἐν πολλοῖς, τὸ κυάνεον. ἐτυμολογεῖται δὲ ἀπὸ τοῦ κῦμα, κυμάδεον, καὶ ἐκβολῇ τοῦ μ κυάνεον. τοιοῦτον γάρ τι δοκεῖ τὸ κῦμα. ἢ ἐκ τοῦ κύανος, χρώματι ἐν μέλαν, ἐξ οὗ τὸ κυάνεον μεταπλαστικῶς. ἀφ' οὗ κυάνεον, καὶ κυανοῦν. Κυανοῦν, ἐκ τοῦ κυάνεον κυανοῦν. ὃ παρὰ τοῖς Ἴωσι λέγεται, ὡς τὸ χαλκοῦν χάλκεον, καὶ χρυσοῦν χρύσεον.

Κυανοχαίτης, ὁ μελανόθριξ. κυανὸν γὰρ, τὸ μέλαν. ἡ δὲ χαίτη, ἡ θρίξ. Κυανώτατος, μελανώτατος, σκοτεινότατος. Κύαρ, τὸ τῆς βελόνης τρῆμα. παρὰ τὸ ἱπποκρατικόν, καὶ τὸ τῆς κώπης τοῦ μήλου. Κυάρη, ἡ ἀθηνᾶ. Κυάρης, ἰβηρος, οἱ δὲ κυάρης ὁ μήδων στρατηγός. Κύβαβα, αἶμα. ὁμαλοδοσίει. Κύβα μος, θεός. Κυβαίζοντα, λαικαστής, τὸ ἐκθεωνοῦντα, ἢ τῶν ἱερῶν. Κυβαίσαι, καταστρέψαι. Κυβαρσία, κεφαλὴ ἀλίκτορος. ἔνιοι κυβαρσίαν φασί, τὰς περικεφαλαίας. Κύβαν, θεός. Κύββα, ποτήριον. Κυβεία, πανουργία, ἡ πανουργία. Κύβειρος, ἀναιδής. Κυβεία τόπος, εἰς ὃν συνιόντες κυβεύοντες, ὁ νῦν τόπος δεξιός. Κύβδα, κεκυφότα. διὰ δὲ τοῦ χήματος, τὴν αἰσχύνην δείκνυσιν οὗτος Ἀριστοφάνης.

Κύβελον, ἐπίπλουν μελισσῶν. Κυβέλην φασὶ τὴν ῥέαν, παρὰ τὰ κύβελα ὄρη. ὄρεια γὰρ θεός, διὸ καὶ ἐποχεῖται λεόντων ζυγῷ. Κύβελον, ὄρος ἐν φρυγίᾳ, ἔνθα τῆς μητρὸς τῆς κυβέλης ἱερὸν ἅγιον ἦν. Κυβέρνησις, φρόνησις. ἡ κυβέρνησίς ἐστι ψυχῆς ἐπιστήμη, περὶ τὴν ἄστατον φύσιν τῶν ἀνθρωπίνων πραγμάτων, παρὰ τὸ τὰ σώματα κυβερνᾶν ἢ πρὸς αὐτὰ ἰθύνειν τὰς ναῦς, προσέχει τοῦ μὴ εἰς β. Κυβερνήτης, ὁ τοῦ πλοίου ἡγεμών. Κυβερνῶ, αἰτιατικῇ συντάσσεται. οἷον ὁ βασιλεὺς κυβερνᾷ τὴν πόλιν. κυβερνητικὸν τὴν γλῶτταν, τῇ σιωπῇ, καὶ τοῖς λόγοις. Κύβησις, ἡ κύβησις, πήρα. Κυβευτὴς, καὶ κυβιστὴς λέγεται. Κυβεύειν ἐστί, τὸ διὰ ψήφων παίζειν, καὶ τὸ κύβον ῥίπτειν, καὶ εἰς κίνδυνον προπηδᾶν. Κυβεύω, τὸ κύβοις χρῶμαι. Κυβεύειν, δολιεύειν. κυβεύω, κύβον ῥίπτω, εἰς κίνδυνον προπηδῶ. καὶ παραβάλλεσθαι κυβεύειν περὶ βίου. Κυβευτὴν, ἔφορον κυβευτῶν, ἀγορὰ μὲν ἐκεῖ ἐπὶ τὴν χεῖρα τοῖς κύβοις χρώμενον. ἐπισήμου γὰρ ὄντος ἐδόκει. τὸ δὲ δεξιῶς χρῆσθαι, ἐπισημοτέραν τὴν πανουργίαν τῆς κυβείας ἐνόμιζον. Κύβηβος, γάλλος, κίναιδος, μανιώδης. Κυβήβη, ἡ θεῶν μήτηρ. Κυβήβην κυρίως, τὸ ἐπὶ τὴν κεφαλὴν ῥίπτειν. ὅθεν καὶ κύμβαχος. Κυβηλίσαι, πελεκίσαι. κύβηλις γὰρ ὁ πέλεκυς, καὶ ἀποκεφαλίσαι ὁ θύτης.

Κυβηλεῖ, θεοφορεῖται, κορυβαντιᾷ. Κυβήλη, ἡ καὶ ῥέα, βισάλη, καὶ ἄρτεμις. μήτηρ τῶν θεῶν, καὶ ἡ ἀφροδίτη, καὶ ἀδελφὴ τῶν ἀρχαίων. παρ' ὃ καὶ ἱππῶναξ φησὶ καὶ Διόσκουρος. Κυβηλιστὰς καὶ κυβήλους, τοὺς πανούργους λέγουσι.

Κυβηλὶς, μάχαιρα. ἄμεινον δὲ πέλεκυν, ᾧ τοὺς βοῦς καταβάλλουσιν. ἔνιοι δὲ τὴν τυροκνῆστιν. Κυβησῆρας, κυβιστῆρας φασίν, ἔνιοι δὲ ὀρχηστὰς σκιτάλους. Κυβηκὸν, πραγματεῖα, κύβευμα. Κυβῶ, κυβευτικῶς. Κύβισμα, σφαίρισμα. Κυβιστᾷ, κυβιστᾷ. Κυβιστήρ, χάρων. Κυβιστητὴρ ἐπὶ κεφαλὴν, ἢ τὸ φορεῖν ἐπὶ νώτῳ, ἢ κατὰ νώτου. Κυβιστᾷν, ἐπὶ κεφαλὴν ῥίψαι, ἢ τοῖς ἀγκῶσι πλέκειν. Κύβιος, ὁ κατεχόμενος τῇ μητρὶ τῶν θεῶν, κυβηλικὸν τρίτον. Κυβίσεις, σφενδόναις τοῖς δακτυλικοῖς. Κυβιστᾶν, κυρίως τὸ ἐπὶ κεφαλὴν ῥίπτειν. καὶ κυβιστᾶν, κολυμβᾶν. Κυβίστησις, συστροφὴ, ὄρχησις. Κυβιστὴρ, καὶ ὀρχηστὴρ, τὰ αὐτά. εἰ καὶ διαφέρει τὸ κυβιστητὴρ. ὀρχηστὴρ τε γὰρ ὁ ἐπὶ κεφαλὴν εἰς θάλασσαν δυόμενος, καθ' ὁμοιότητα τῶν ἀρνῶν πορείας. οἱ σκιρτῶντες, τοῖς μὲν ἐμπροσθίοις ποσὶν ἅλλονται, τὴν δὲ κεφαλὴν τῇ γῇ πελάζουσι. διὸ καὶ τὸν ἵππουρον ἰχθὺν, τὸν καὶ ἱππεῖον διὰ τὸ συνεχὲς ἐξάλλεσθαι, ὀρνιθίω καὶ ὠλάσαι, κατὰ τὴν τοῦ Δεινοστράτου ἱστορίαν. ἢ κυβιστὴρ δέ, ὁ ἐπὶ κύμβην, ὅ ἐστι κεφαλὴν ὑπὸ τὸ ὕδωρ γινόμενος, ἢ ὁ κατὰ κύβον ἄνωθεν κάτω βάλλων ἑαυτόν. ὥς δὴ κύβος, ἀπὸ τοῦ κέντρου δοκεῖ παρέχειν. ὡς οἷον κάτω κάρα κατὰ τὴν ἐπικύπτοντα γινόμενος, ἐν τῷ κατακυλίεσθαι, ἀνακύψαντος τοῦ ἐν αὐτῷ, καθὰ καὶ ἐν τῷ καλύπτω καλύβη, βλάπτω βλάβη, κρύπτω ἀποκρυβή. Κυβιστῶ, τὸ κολυμβῶ, καὶ κυβιστὴρ. κυβιστᾶν, καὶ τὸ ἀσπάλαξ ἐν τῇ κυλιόμενον στρέφειν χεῖρας ἢ πόδας.

Κυβιστὴς, κύλη. Κυβιστὴρ, ὁ ὀρχηστής. Κυβιστᾶν, τὸ, κεφαλὴν πίπτειν. Κυβιστᾶν, κολυμβᾶν. κατορχεῖσθαι. Κυβιστῶσι, κυλίουσι, σκιρτῶσι. Κύβος, πᾶν τετράγωνον. ὁ κύκλος ἐν μάκει ἔχον. ἢ χῶμα γεωμετρικόν, καὶ ἀριθμὸς δέ, ὃς οἱ κυβεῦται χρῶνται. ἐκαλεῖτο δὲ τοῦ βόλου χῶμα, καὶ παρὰ τοῖς μετ' αλιευτικοῖς κύβος, καὶ οἱ Σαλαμίνιοι λέγουσι κύβον, τὸ τοῦ ἱματίου σημεῖον. πάφιοι δὲ ὁ σφόνδυλον. Κύβιτον, τὸ ἀγκῶνα. ὅθεν ὁ

[illegible] Ὅμηρος, [illegible] ἐπαινῶν, οὐδὲν ἐστι διάφορον. Κρυφίους, πανοῦργος, δόλιος.

Κρυφάλως, [illegible]. Κρωβίαλον, πόλις περὶ Παφλαγονίαν, ἧς μέμνηται Στράβων ἐν γεωγραφουμένοις. Κρωβύλος πλέγμα τριχῶν εἰς ὀξὺ λῆγον. ἐκαλεῖτο δὲ ἐπὶ ἀνδρῶν [illegible], κόρυμβος δὲ ἐπὶ γυναικῶν, σκορπίος δὲ ἐπὶ παίδων. Θουκυδίδης, κρωβύλους ἀναδούμενοι, καὶ ἐν [illegible] κρωβύλον. ἢ κρωβύλον παρ' Ἀθηναίοις, τὸ [illegible]. Κρωβύλου ξύλινος, παροιμία [illegible] ἐπὶ τῆς ὑπερβαλλούσης [illegible] πονηρίας. [illegible]

Κρώβον, [illegible]. Κρώβυλος, [illegible] τῶν παιδίων, ἢ [illegible] τῶν αἰδοίων, ἢ ὁ κόρυμβος τῆς ἐμπλοκῆς, [illegible]

[illegible]

ΤΟ Κ ΜΕΤΑ ΤΟΥ Τ.

Κτα, [illegible]

[illegible]

λέγοιτ' ἂν ἐξ ἐναντίας βέλος κωφὸν, τὸ ἀνεπαισθήτως ἐπελθὸν, καὶ λίχα ῥοίζου, ὡς μὴ δὲ ἀκουσθῆναι, μὴ δὲ ἄγαν κινεῖσθαι σάλον. Κωφὸν κῦμα λέγει παρ' Ὅμηρος, ἵνα σημειοῦνται, ὅτι κωφὸν οὐδέποτε Ὅμηρος ἐπὶ ψόφου τίθησι. Κωφὸν κῦμα, τὸ μέσον ὑπάρχον καὶ παρὰ λεῖον, ὡς καὶ ἔχον πως ἦχον ἀκουστόν, καθάπερ καὶ κωφὸν βέλος τὸ ἄῤῥοιζον. κωφὰ δὲ τοιαῦτα, ὡς μὴ ἐκφωνεῖσθαι εἰς ἀκοὴν τὴν καὶ κωφεύειν ἂν λέγοιτο, διὰ τὸ μὴ ἔχειν τὴν τοιαύτην αἴσθησιν. ὥς τε κάνταῦθα τὸ κωφὸν μεθίσταται, εἴπερ μεθίσταται ἀπὸ τοῦ μὴ ἀκούοντος, ἀλλὰ κωφεύοντος εἰς τὸ ἠρεμοῦν, καὶ μὴ κτυποῦν, καὶ διὰ τοῦτο μὴ ἀκουόμενον. ἔστι ἡ κωφὸν κῦμα, ὥσπερ καὶ βέλος, ἐφ' ᾧ κωφεύει ἄν τις οἷα μὴ ἀκούων. ἄλλον δὲ, ὅτι Ὅμηρος μὲν κωφὸν οὐχ εὕρηται λέγων ἄνθρωπον. οἱ δὲ μεθ' Ὅμηρον εἴληφασι καὶ ἐπὶ ἀνθρώπου τὴν λέξιν. Κωφὸς, παρὰ τὸ κεκόφθαι τὴν ὄπα. ἢ κίνησις ὤν, ὁ μή τι φθεγγόμενος, μή τι ἀκούων.

Κωφότερος κίχλης, παρὰ τοῦ βούλου ἐν Διονυσίῳ λέγεται, ἀφωνότερος κίχλης. κωφότερος τοῦ πρωταίου λιμένος. πλησίον τῆς θρᾴκης, καλεῖται ὡς λιμὴν κωφός. εἴρηται δὲ ὁ παροιμία. παρόσον ὁ ἐν πρώτῃ τῆς θρᾴκης λιμὴν ἐστὶν ὃς ἔχει καὶ μακρὰς. τὰς ἀπὸ τῆς πελάγους καταίρουσας, ὥς μὴ ἀκούεσθαι τοῖς ἐν αὐτῷ τὸ τῆς θαλάσσης ἦχον. καὶ παρὰ κωφῷ κίχλας, ἐπὶ τῶν ἀλωπέκων. Κὼχ, ὄνομα κύριον. Κοχλία, ὄστρεον. Κωχύον, μυρίζον, ὀσμὴν.

Τέλος τοῦ κ στοιχείου.

ΑΡΧΗ ΤΟΥ Λ
ΣΤΟΙΧΕΙΟΥ.

ΤΟ ΑΥΤΟ ΜΕΤΑ ΤΟΥ Α.

Λάμβδα τὸ στοιχεῖον, εἴρηται λαβδα τί ὄν, παρὰ τὸ λείως βαίνειν ἐν τοῖς μέτροις, καὶ ἀδεὲς εἶναι πρὸς τὸ μονοῦν τὰς συλλαβάς. Λᾶαν παρ' Ὅμηρος, ὁ λίθον, ἐκτείνει μὲν τὴν παραλήγουσαν, καὶ κλίνεται πλεονασμῷ συλλαβῆς λᾶος, κρατὴν δὲ γίνεται λᾶς. ὅθεν λᾶ, πόλις παρὰ ὅτε ὡς ὁ λᾶν πλήσιον πάντα λυκόφρων. ἢ λαπέρσαι, Διοσκοῦροι, οἱ τὴν αὐτὴν λᾶν πέρσαντες. ἢ λαξεύειν, τὸ λίθους ξέειν. ἢ λατύπος, ὁ ἢ λατόμος. τὸ μὲν ἀπὸ τοῦ τύπτειν, τὸ δὲ ἀπὸ τοῦ τέμνειν. καὶ λατύπαι ἄλλως, τὰ τῶν λίθων ἀποξύσματα. Λᾶ, ἐπὶ τοῦ μεγάλου καὶ τοῦ λίαν ἐπιτεταμένου. ὅθεν καὶ λαιμός, ὁ μεγάλως κεχηνώς. Λᾶαν, Ὅμηρος δισυλλάβως προφέρει. οἱ δὲ παλαιοί φασιν, ὅτι λᾶ μονοσυλλάβως ἔλεγον ἀρσενικῶς τε καὶ θηλυκῶς. ἤγουν ὁ λᾶ, καὶ ὁ λᾶος. ὡς καὶ ὁ λυκόφρων δηλοῖ, ἐν τῷ, καὶ λᾶν πλήσιος. ὁ δὲ ποιητής, διὰ λάσιν φασὶ κεῖται δὲ ἐπὶ πέτρας ὑψηλῆς. διὸ λᾶς καλεῖται, ὡς ἀπὸ τοῦ λᾶος ὁ λίθος. ταύτην φασὶ τὴν λᾶν οἱ διόσκουροι ἐκ πολιορκίας εἶλον, διὸ ἐκλήθησαν λαπέρσαι. οἱ δὲ οἰκοῦντες, ἄλλον εἶναι λαοί ὀξυτόνως, εἶναι λᾶοι προσηγοριαστικῶς. Λαᾶνα, ἐπίσαρον. Λᾶας, ὁ λίθος, καὶ κλίνεται λᾶα. ἔτι δὲ καὶ λᾶς, ἡ εὐθεῖα τῶν πληθυντικῶν, οἱ λαῖ τῶν λαῶν. καὶ λάων καὶ λᾶας, ὄνομα κύριον.

Λαβάθην, λαχανίσαι. Λαβὰς, ἀντιλήψεις. Λαβαῖς, ἐπαφαῖς, ἢ ἀφορμαῖς, ἢ μιμήσεσι. λαβὰς δὲ ἀμφιτόμους, τὰ ὦτα τοῦ κρατῆρος, ὅτι τὰς ἀμφοτέρωθεν ἐκτομμένας, ἢ διὰ τὸ ἑκατέρωθεν τοῦ σώματος ταύτας εἶναι, ἢ τὰς πρὸς ἀλλήλους θηρίων ἑκατέρωθεν ἐχούσας. Λαβὶ, ἀπλῶς ἀντὶ τοῦ λάμβανε, ὥσπερ ἰσθὶ, ἐλθὲ, ἐσθί. Λαβὲ γοῦν, ὁ ἔστιν ἦγαν. καὶ τὸ ἔλαβε γοῦν πολλαχοῦ τῆς ποιήσεως κεῖται. διὸ μέμφει τὸ λαβεῖν σημαίνει τὸ ἅπτεσθαι, τουτ' ἔστιν εἰς αἰσθητὸν ἔχει τὴν σύνταξιν. οἷον καὶ τὸ, ὅτι μ' εἶλεν ἐν ἀλωῇ καὶ ζωοῖς. ἔλον καὶ ἄλλα μυρία. Λαβεῖν καὶ δέξασθαι διαφέρει. λαβεῖν μὲν γὰρ, τὸ κείμενόν τι ἀναλάβεσθαι. δέξασθαι δὲ, τὸ διδόμενον ἐκ χειρός.

Λαβεῖν ἐμπειρίαν, ἐκδιδάσκεσθαι. Λαβὴ, ἡ ἀφορμή. καὶ λαβὴ, δεσμὸς ἐκ τοῦ ξίφους. καὶ λαβὴ, μέμψις. καὶ λαβὴ, ἐπὶ σημασίᾳ τοῦ ἐκ πλευροῦ, παρὰ τῷ ἱπποκράτει. Λαβάροις, πολυπορίοις. Λάβηρος, βόθυνος. Λαβὶς, σκεῦος χρυσοχοϊκόν. Λαβόμενος, ἀφαψάμενος. Λαβοῦ, καὶ τὸ, τουτοῦ. καὶ παλτοῦ οἱ μάλιστα λαύσωνες ἀσωσσοι προσκασμένου. σημαίνει τὸ κράτησον, καὶ ἐπιλάβου, καὶ ἀψάμενος. Λαβραγορεῖν, σφοδρῶς δημηγορεῖν, ἢ προπετῶς ἐν τῷ λέγειν. οἷον λαῦρον καὶ θρασύν. ὡς, ἀκαιρον ἐν τῷ δημηγορεῖν. Λαβραίζει, λάβρος γίνεται, ἀκολασταίνει, προπετεύεται. Λαβραίζων παρὰ λυκόφρονι, ἤγουν ἠχῶν τοῖς ποσίν. Λάβραξ, εἶδος ἰχθύος. ἀφ' οὗ ποιεῖται τὴν προσηγορίαν. κέχηνέ τι γὰρ αὐτοῦ τὸ στόμα, καὶ ἀθρόως καὶ λάβρως τὸ δέλεαρ καταπίνει. ὅθεν ῥᾳδίως ἁλίσκεται. ἐν μιλήτῳ δὲ τῆς ἀσίας, μέγιστοι οἱ λάβρακες, διὰ τὴν ἐπιῤῥέουσαν λίμνην εἰς τὴν θάλασσαν. χαίρουσι γὰρ οἱ ἰχθύες τῷ γλυκεῖ ὕδατι, εἰς τὴν λίμνην ἐκ τῆς θαλάσσης ἀνατρέχουσι, καὶ οὕτω πληθύνουσι παρὰ τοῖς μιλησίοις.

Λαβρεία, ὁ τοῦ λόγου ἔκχυσις. Λαβρεύεσθαι, λάβρως ἀθρόως λαλεῖν, καὶ προπετεύεσθαι. Λαβρεύεσθαι, κυρίως λάμψις ἐστι, ἡ λαμπὰς τὸ λάβρως, καὶ ὁ μετὰ σπουδῆς λαλεῖν, ὁ καὶ ἄλλως οἱ εἰπεῖν, ἁμιλλᾶσθαι, καὶ τὸ ἀπαιδεύτως [illegible] φέρεσθαι. ὅθεν καὶ λαβραγορεῖν, ὁ ἐν τῷ ἀγορεύειν λάβρος. τὸν δὲ ὡς παλαιὸν λαβρεύων, τὸ προπετευόμενον φησί. Λάβρος, ῥέουσι, μεγάλα βλύζουσαι, λαβροὶ οὖσαι σφοδραί. Λαβροτομῶ, κομπάζω, μεγαλοῤῥημονῶ, λαβραγορῶ, ὄμβραξ ἀλτὼς. Λάβρον, ἀθρόον, πολὺς, ταχὺ, μανικόν. Λάβρον, σκεῦος διὰ τοῦ ς, τὸ λίαν ἱερόν, οὕτω καὶ λάβρος, ὁ ἄνεμος διὰ τοῦ ς, ὡς λίαν βαρύνων, οἱ ἄνεμοι ἐπίσημοι χρὴ φαμὲν διὰ τὸ αὖ διφθόγγου, πάντα τὴν ἀγαν, καὶ λάβραξ γεγόνεν, διὰ τὸ ς. οὐχ ἧττον δὲ τοῦτον ὁ λάβραξ, διὰ τὸ λίαν βορὸν. ἡ μέντοι λαμπὰς ὁδὸς λαῦρα λεγομένη ἐν ἀλεξανδρείᾳ, γράφεται ἀναγκαίως τὸ ς, διὰ τὸ ἐπιτεθεῖσαν αἰολικῶς γέγονε τὸ υ. συνάπτεται γὰρ ἐκ τοῦ λαὸν ῥέειν διὰ τοῦ. τοῦτο δὲ τῷ λόγῳ καὶ γυναικωνῖτις λέγεται ἡ λαύρα, ὁ ἐν λιμένι τὰς λαύρας ὀνομαζόμενον ὡς χαμαιτύπας. Λάβρον ἀσμον, ἀρέσκει τοῖς ἀναβαίνουσι διὰ τὸ ς χάριν, διὰ τὸ λίαν βαρύ. ἐπὶ γαμῳδεῖ· ἄνεμοι κατὰ τὸ πυρὸν σημειούμενον λέγοιτο, οὕτω καὶ ἐπιτεχνόμενα ἄνεμον λέγομεν. Λαβρώνιον, εἶδος ποτηρίου πλατέος. Λάβρος, πολὺς, σφοδρὸς. Λαβροσιτεῖν, χορτάσμων ἀκόσμων. Λαβροστομία, ὁ ἄγαν λαλιά. Λαβρόστομος, στεφόστομος. Λαβροτάτη, λαβρούς, λαλαιόστι. Λαβρώνιος, ποτηρίον φασιν ἦν ἐν τῇ περσικῇ, ποικίλον πάνυ. ἵνα οἱ εἰς βάρβαροι ἐξένισαν ἐκ τῆς ἐλύσεων, διὰ τὰς ἐν αὐτῷ σκολιότητας. Λαβύρινθος, κοχλιώδης καὶ σπηλαιώδης τόπος. λέγεται δὲ ἡ λέξις ἐπὶ τῶν φλυαρούντων, παρὰ πολλοῖς τοῖς ἄλλοις λόγων πλέκουσι. Λαβὼν, τὸ εἶναι λίθον τὸ λαμβάνων, ὁ μέλλων λήψεσθαι εἶναι, ἔχοντα πάντα. ὁ δὲ τὸ αἰτίας ἔλαβεν, ἢ τὸ ἀποστασία λαβών, τὸ τῷ πληθυντικῷ λαβών. λάβετε, λάβωσι, λάβοιεν, πρὶν τὸ ἐνεστῶς προσῆκεν τὸ στι, τὸ ὁπόταν λαβεῖν. Λάβυρα, εἶδος ὀπώρας. Λαγαρίζει, ἀφορίζει. Λάγανα, εἶδος πλακουντικοῦ, ὡς πυρόλιθον ἀπὸ σεμιδάλεως ἐν ἐλαίῳ τηγανιζόμενον, καὶ ἀνυβρέχει ἐλαίῳ. Λαγαριζόμενοι, σχολιάσαντες. δηλοῖ δὲ, τὸ πρὸς τὰς λαγόνας τὸ ὄχλεσθαι προσάγειν πολλὰ λα-

μήροντα

τοῦ κωμάζειν. Κωμαστὰς παλαιοί φασι, τοὺς μετ' ᾠδῆς εἰσερχομένους, καὶ εἰς τὰς ἐρωμένας ἀπερχομένους. Κωμάσομαι, ἀσελγῶς διατελέσομαι. Κωμαστὴς, μέθυσος, ἢ ἀσελγὴς ἐκ μέθης, ἢ ὁ ἐν περιφορᾷ οἴνου ᾄδων. Κωμᾶται, μαγεύει. Κῶμα, ὕπνος. καὶ ἔστι κατὰ συγκοπὴν, ἐκ τοῦ κοίμημα, ὡς οἴκημα οἶμημα, καὶ δόμημα δῶμα. καὶ τροπῇ τῆς οι διφθόγγου εἰς ω, κῶμα. Κώμη, ἄμφοδον χωρίον. Κώμη ἐστὶ, πλειόνων οἴκων σύστημα, ἔξω πόλεως κειμένων. Κώμη, τέχνος παρὰ τὸ κῶ τὸ κοιμῶμαι, κώμη. ὡς ἂν εἴποι τις, κοιμητήρια, καὶ ἀναπαύσεις ζώων τε, καὶ ἀνθρώπων, ἀπὸ τῶν ἔργων. παρὰ τὸ κῶ, τὸ κοιμῶμαι, κώμη. Κωμηδὸν, πᾶσα πόλις. Κώμην, οἱ πλησίον τὴν γειτονίαν, καὶ τὴν οἷον γειτνίασιν. Κωμῆται, οἱ γείτονες. κώμη γὰρ ἡ γειτονία. Κωμικὴν, ἀστείαν. Κώμιον, ὑποκοριστικῶς λεχθέν. καὶ προπαροξυτόνως, ὡς καὶ λύρα λύριον, καὶ θύρα θύριον. Κωμίσας, ὄνομα γέροντος, παρὰ τῷ Ἀριστοφάνει, καὶ ἴσως πεποίηται, παρὰ τὴν κώμην. Κωμοσία, κυρεκοσμία. Κῶμοι, ἀσελγῆ ᾄσματα, πορνικά, συμπόσια, ᾠδαί, ὀρχήσεις μετὰ μέθης. Κῶμος, ἡ μετ' ὀρχήσεως ᾠδή. ἢ ἡ ἐκ μέθης ἀσέλγεια. καὶ κῶμος, ὁ ὕπνος. Κωμύδριον, ὁ μικρὰ καὶ εὐτελὴς πόα. Κώμυθα, δέσμη. ἣν ἱστᾶσι πρὸ τῶν πυλῶν. δηλοῖ δὲ καὶ δέσμην χόρτου, καὶ τὰ κατ' ὀλίγον τῶν φρυγάνων. Κώμαρος, ὁ ξύλον ἐν ἁλικακάβου κέχρηται. Κωμῳδεῖν, διαμάχειν, καὶ ὑβρίζειν, ἢ σκώπτειν. Κωμῳδικὴ ὕβρις, διασυρμοὶ καταγελαστικοί, ἐμπαίγματα, δραματικῶς συντεθέντα πεπλασμένα, μιμητικὰ βίου. λέγεται δὲ κωμῳδία, διὰ τὸ ἄδειν τοὺς ποιητὰς ἐν κώμαις, περιιόντας. κώμας δὲ λέγει τὰς χώρας.

Κωμῳδοποιὸς, ὁ σκώμματά τινα εἰσάγων, ἀστεῖος.

Κωμῳδοὶ, κωμικοί, τραγῳδοί. καὶ χορευταί, τραγῳδοὶ καὶ οἱ τραγικοὶ ποιηταὶ διδάσκαλοι. Κωμῳδολοιχῶν, περὶ τὴν τοῦ ποιεῖν ἀεὶ Ἀριστοφάνης. Κωμῳδούμενοι, παιζόμενοι, παρὰ τὴν τραγῳδίαν. Κωμῳδοῦντες, θριαμβεύοντες, κωμῳδοῦντες. Κωμώδριον, τὸ μικρὸν χωρίον. Κωμῶν, τὸ χωρίον, ἢ πόλις, ἡ κώμη. Κώνα, βέμβιξ. Κωνᾶν, περιδινεῖν. Κωνίον, κέρβανα, ἢ πόας εἶδος. Κωνειοφορήσας, θανάσιμον φάρμακον πινούσας. κώνειον γὰρ θανάσιμον δηλητήριον. Κώνειον, τὸ φάρμακον. τὸ κώνειον, τὸ παραπλήσιον τῷ καυλῷ καμπάλου. τὰ δὲ φύλλα σελίνῳ ἀγρίῳ ὅμοια, καὶ ὑπόξανθον. καλεῖται δὲ καὶ ἰσχαιμόν, διὰ τὴν ἐξήτηκα τῆς ἀναπνοῆς. κώνειον δὲ αὐτὸ καλοῦσι, διὰ τὸ γινόμενον ἴλιγγον καὶ σκότον τοῖς πίνουσι. τὸ ἀπηρῖφαι, κωνεῖσαι λέγουσιν οἱ παλαιοί. ἢ παρὰ τὸ κώνειον καὶ κόπτειν. ἢ παρὰ τὸ κοίμησιν. Κωνῆσαι, περιχαρακῶσαι, καὶ κύκλῳ περιποιῆσαι. καὶ πιεσθέντιον μόνον δὲ γονεῖν. ὅταν πίωσι καταψυχθέντες ἰσχυρῶς, ὑπὸ πυρὸς ἀποθανοῦσιν. Αἰσχύλος, καὶ Κρατῖνος κρήνας. πιθηκία δὲ ἡ νῦν πιστιδία, ἢ χρίουσι τὰ παρέμια τῶν προβάτων. Κώνοι, θύρσοι. Κωνοῦσι, κυρίως τὸ κέραμον πιοῦσαι. κωνᾶν γὰρ τὸ στρέφειν. Κωνεῖον οἶνον, τὸν πιστικὸν παρὰ τῷ Ἱπποκράτει. Κωνὶς, ὠφελία. Κωνοειδὴς, τὸ ἀπὸ πλατέος εἰς ὀξὺ λῆγον. ἢ κωνοειδὴς, σχῆμα στερεὸν, οἷον στροβιλοειδές. Κῶνοι, οἱ θύρσοι, καὶ οἱ στρόβιλοι, καὶ οἱ στρόμβοι. καὶ τὸ ἀπόσκιασμα τῆς γῆς. Κώνον, καὶ αἷμα. Ἀριστοφάνης Γεωργοῖς, κώνων ἀπεκάραντο, γλουτάριον. Κῶνος, περικεφαλαία, καὶ ὁ τῆς πίτυος καρπός. καὶ παρὰ τοῖς γεωμέτραις, σχῆμα στερεόν, ἢ στρόβιλος. Κῶνος, τί ἐστι, ἐν κλαζομέναις. Κωνωπεῖον ὄρος, ὄρνις ὁ κώνωψ ὀνομαζόμενος. Κωνοφόρος, θύρσοφόρος, κῶνος δὲ λέγεται ὁ βασιλικὸς τοῦ στροβίλου καρπός. ὅθεν αἱ γυναῖκες βαστάζουσι ἐν ταῖς τοῦ Διονύσου τελεταῖς, ἐπειδὴ ὅμοιον τὸ σχῆμα τοῦ κώνου, τῷ τῆς ἀνθρωπίνης καρδίας. ἐντεῦθεν δὲ φασὶν ἀπεικονίσθαι τὰς τῶν ἀνθρώπων καρδίας τῷ Διονύσῳ. οἰκεῖον οὖν εἰς μυστήριον τοῦ Διονύσου, καὶ θύρσον χλωρὸν κωνοφόρον κόμματα. Κωνύχου, ὄνομα πόλεως.

Κώνωψ, ὄνομα κύκνου. Κώνη, ἱμάτιον, ἢ ἐπίχωρον.

Κῶος χῖος. ὁ κῷος ἀστράγαλος ὁ ἕξ. ὁ μὲν γὰρ χῖος ἐλάττω τὸ ἕν, ὁ δὲ κῷος ἕξ. Κωπαΐδας ἐγχέλεις, λίμνη ἐν Βοιωτίᾳ. κωπαΐς, ἐν ᾗ ἐγχέλεις πλεῖσται εἰσίν. ἔστι δὲ καὶ πόλις ὁμώνυμος.

Κώπη, καὶ κώπεια, ὁ περιτραχήλιος κόσμος. Κῶπαι, πόλις τῆς Βοιωτίας. Κώπαις, τὰ εἰς κώπας ἐπιτήδεια ξύλα.

Κωπίτας, σφονδύλους μεγάλους ἰχθύων. Κωπεὺς, θρῶνος. Κωπήεσσα, μελάνδετα, ὁ σιδηρόδετα, καὶ μελαίνας βαφὰς ἔχοντα. ἔστι δὲ ἡ λαβὴ τοῦ ξίφους. Κωπηλάται, ἐπιβάτας λέγονται οἱ ἀττικοί, ἐπιβάτας καλοῦντες τοὺς μαχητάς. Κώπη, ξίφος, πρὸς διαφορὰν κώπης θαλασσίας, ἥτις ἐστὶ πλάτη. Κώπην ἐλέφαντος, λέγει Ὅμηρος τὴν λαβὴν, διὰ τὸ ἐμφερῶς εἶναι. αἱ γὰρ λευκαὶ ξύλινοι. σύμπηξις τοῦ ξίφους μόνη ἡ κώπη, ἐκεῖ ἰλιὸθ καὶ ἐπὶ τοῦ ἀμφοτεροπλοῦς κλειδὸς, καὶ διὰ τοῦ ἐπακτροῦ.

Κῶπαι, ἐν κωπάνεσι, ὁ κωπηλάτος οὕτω καλοῦνται, ἐπὶ ὀρχηστοῦ. ταύτης ὁ πολίτης, κωπαιεύς. περὶ αὐτὴν δὲ καὶ λίμνη μεγάλη κωπαΐς, ἐν ᾗ ἐγχέλεις ἀγαθαί. τινὲς δέ φασιν, ὅτι κῶπαι καὶ κωπαῒς ἐκλήθησαν, διὰ τὰς κώπας, αἷς ἐχρῶντο οἱ ἰχθύες πρὸς ἀλλήλους πλέοντες, διὰ τὸ ἀπαλλαγῆναι φασὶ τὰ ἰχθύδιον καὶ ὁ ἐπισιτισμοῦ πλεῖσται πόλις, παρὰ τὴν πλάτην, ὃ δηλοῖ τὴν κώπην, ὡς φωνὴ φωναία, νίκη νικαία. Κωπῆρες πλοῖον, ὡς ἡμεῖς καὶ Θουκυδίδης ἐν τοῖς Ἀρτεμ, καὶ ἡ διαλεκτὸς τῶν κωπήρει. Κώπας, τὸ ἄνω κώπιον. τὸ δὲ κάτω, πλάτη. Κωπητὴρ, ὁ σκαλμὸς τῆς κώπης. Κώρα, ὕβρις. Κωράλλιον, κοράλλιον, κόσμιον. Κωραλίσκιον, κοράσιον. Κωρία, ὥρα, ἀρχὴ, δίαιτα. Κωρία, κουρὶς, κουρεύτρια. Κωραλλόμενον, ἀκρίς. Κωραλλογράφος, ζῷον θαλάττιον. Κωρίσκον, χόρτον. Κωρὶς, φωλεός. Κῶρος, κοῦρος, υἱός, ἐν ταῖς τοῦ ὀφθαλμοῦ κόραις. Κωρυκίδιον, ἐπειδὴ οἱ ὑφαίνοντες διπλοῦν κύκλωμα τῶν ὑποτέμω πάχει περιπλέκουσι. Κωρύκειον, κώρυκος, θυλάκιον, τὸ καθ' ἡμᾶς βαλλάντιον. ἢ πλέγμα σκυτικὸν ἀργὸν. καὶ κωρύκιον στήθιον, ἐν σπηλαίῳ. Κωρύκειον, χωρίον τῆς Κιλικίας, ἐν ᾧ διάφορος γίνεται κρόκος. Κωρύκιον ἄντρον ἐν Παρνασσῷ, ὅθεν Κωρυκίδες νύμφαι. κέκληται δὲ ἀπὸ νύμφης Κωρυκίας, ἣν καὶ Ἀπόλλωνος παῖς Λυκωρεὺς ἀφ' οὗ Λυκωρεῖς οἱ Δελφοί. Κώρυκον, τὸ θύλακον λέγει Ὅμηρος, ἐν ᾧ ἄλφιτα ποιητικὰ ἔθη. καὶ κωρυκία δὲ ἐν τῷ ἱεροῦ φυλακτήριον διαφορᾶς τῆς. οἱ δὲ παλαιοί, καὶ κωρυκίδα τὸ τοιοῦτον σκεῦος καλοῦσι, παράγοντες καὶ Ἀριστοφάνους χρῆσιν ταύτην, σποριὶς οὐ μακρὰ καὶ κωρυκίς. Κῶς, ἡ νῆσος, ἐξ ἧς Ἱπποκράτης ὁ ἰατρός. ἡ δὲ καὶ μερόπις λέγεται, καὶ δέρματα, νήματα, δέσματα. Κωτάλας, ἢ ὡς εἰπεῖν κωμύλος, καὶ κατὰ Ἡσίοδον εἰπεῖν, αἱμύλος.

Κωτίλος, ὄρνεον οὕτω καλούμενον, ἀφ' οὗ καὶ οἱ πολλὰ λαλοῦντες καὶ κολακεύοντες, κωτίλοι καλοῦνται. τὴν χελιδόνα.

Κωτίλη, ἡ λόγοις ἀπατῶσα. καὶ κωτίλος, ὁ πανοῦργος, ὁ κόλαξ, ἢ ἀπατεών. Κωτίλλω, πανουργεύομαι, λαλῶ. Κωτίλλειν, τὸ ὑβρίζειν καὶ λοιδορεῖν. ἐξ οὗ κωτίλος, ὁ φλύαρος. Κώτιλον, ὁλύτρανες, λάλον, εὔστομον. Κωφὰ καὶ παλαιά ἐστι, ψυχὰ καὶ αὐτὴν ταφὰς ἔχοντα, ψυχρὰ γάμματα. Κωφοί, κενοί, βλαπτικοί, κωλύει, πηροί. Κωφιῶν, μεμψιμοιρεῖν. φέρε, κωφίζω. τὸ δὲ αὐτὸ καὶ κωφιῶ. Κωφῶσαι, ἀποκαθαρτοῦσαι, ἐσυχάσαι, σιωπῆσαι. Κωφὸν, ποταμός. καὶ κλίνεται κωφῖνος. Κωφῶσαι, κωλῦσαι. Κωφοτίος, βλακῖος.

Κωφίας, ὄρνις εἶδος. ὁ καὶ τυφλίας. Κωφοί, οἱ ἀμαυροί, καὶ ἀσθενεῖς, παρὰ τῷ Ἱπποκράτει. Κωφὸν, ἄηχον, ἀσθενές, ἀμβλύ. Κωφὸν βέλος. τὸ μὴ ἔχον αἴσθησιν, ἢ οὐδὲν ἂν αἴσθησιν λάβοι ἐντυχών. λέγεται γὰρ κατὰ τὸ παλαιὸν μεταφορὰν, ἐκ τῶν κατὰ τὴν ἀκοὴν, ὡς τὴν χρείαν. ἢ ἄλλως ὀρθῶς λέγεται

φύτας ἐφέρομεν παραξέοντες τὰ καταβάλλοντα. καὶ ἵνα φυλάσσωνται ἀντιφθέγγονται. Ἀριστοφάνης, κωλυσιφορφῶν παρίστηχι.

Κώλωπες ἐν τοῖς φαλάροις καὶ χαλινοῖς τῶν ἵππων, οἱ ὀφθαλμοὶ παρὰ τοῖς παλαιοῖς εἶχον. ὥσπερ καὶ νῦν κωλωποφαλαροπώλους λέγει Ἀριστοφάνης, τοὺς χωμίοντας κώλωπι. καὶ παρὰ ῥωμαίοις ὁμοίως. ἐπεὶ ἐγὼ Εὔριπος, πολλάκις ἑώρακα. Κωλωνοφορεῖται, ἀντὶ τοῦ λακτίζεται ὑπὸ τῶν φυλάκων φρουρᾶ. Ἀριστοφάνης. Κῶα, δέρματα, τεθνηκότα εἰς τὸ κεῖσθαι. οὗ ἡ εὐθεῖα οὐ μόνον κῶας, ἀλλὰ καὶ κῶος. ἐξ οὗ κῶα, ὡς τείχεα, βέλεα, οὕτω καὶ ὕλεα καὶ ὕλος, καὶ γῆρας καὶ γῆρος, ὅθεν γηροβοσκεῖν καὶ γηροκομεῖν. Κῶρ, κόθος, εἶδος ἰχθύος. Κῶθο, κωβιός. Κωθύλους, ὄρος. Κώθωνα, εἶδος ποτηρίου, ὃ ἐλάμβανον οἱ στρατιῶται. ἄλλως Κώθων, εἶδος ἐκπώματος. ἢ εἶδος ποτηρίου Λακωνικοῦ καὶ στρατιωτικοῦ. ἐπειδὴ μεθύσαν ὕδωρ ἐλάμβανον οἱ ναῦται, κώθωνα εἶχον. καὶ κωθωνίσαι, τὸ μεθύσαι. ὡς τὸ, ἐγὼ δὲ καὶ κωθωνιζόμενος, ἀφ᾽ ἡμέρας. Ἀριστοφάνης.

Κωθωνίζομαι, τὸ μεθύω διὰ κώθωνος. Κώϊον, σύγχυσιν, καὶ ἱμάτιον. Κώκαλον, χλανίδιον, καὶ εἶδος ἀλεκτρυόνος.

Κώκαλος, ὄνομα κύριον. Κωκύω, τὸ θρηνῶ. Κωκύειν ὀξύ, πυκνῶν ἦν. τὸ δὲ κωκύειν καὶ τὸ οἰμώζειν, κυρίως ἐπὶ θρήνων. ὥσπερ καὶ τὰ ἐξ αὐτῶν. ὁ κωκυτὸς, καὶ ἡ οἰμωγή. Κωκυτός, θρηνητός. Κώκυσε, μετὰ θρήνων ἀνεβόησε. Κωκυτεῖν, θρηνεῖν. Κωκυτὸς, ποταμὸς ἐν ᾅδῃ, μυθικῶς. ἀλληγορικώτερον δὲ κωκυτὸς, ὁ θρῆνος. ὡς ἀχέρων ἡ χύσις καὶ ἡ χύσις τοῦ ἄχους, ἐπὶ τῶν θλίψεων, τῶν διὰ τῶν τεθνηκότων. Κῶλα, κυρίως ἐπὶ τῶν μελοποιῶν. μεταφορικῶς δὲ, ἐπὶ τῶν πεζῶν τῶν λόγων κώλοις μὴ χρωμένων. καὶ κῶλον τὸ ὀστοῦν. Κῶλα, τὰ τῶν σφονδύλων ἐσχάτια μέρη. ὡς τὸ, ῥεῖα δ᾽ ἐχθυμαίρος, ἰσόπεδα κῶλα ἐκτείνων ἀλκιμίοις, πάντων εἴργειν ἄπεστι νέφος. Κῶλα, τὰ ὀστᾶ. Κῶλα, τοῦ ῥεύματος. συμβαίνει γὰρ τὸ πολλάκις κρατεῖν, θατέρου τῶν κώλων τοῦ ῥεύματος. Κωλαβρίσαι, ταθρεῖ.

Κωλακρέται, οἱ ταμίαι τοῦ δικαστικοῦ μισθοῦ, καὶ τῶν εἰς θεοὺς ἀναλισκομένων. Κωλακρέται. νόμος ἦν, τὰ ὑπολειπόμενα τῆς θυσίας τῶν ἱερείων λαμβάνειν, ἅ εἰσιν οἷον δέρματα καὶ κωλαί.

Κωλακρέτας παρὰ τῷ Ἀριστοφάνει, τὸν περιφέροντα τὸν δικαστικὸν μισθόν. κατ᾽ ἐπίνοιαν δὲ, διὰ τὸ εἶπεν ζῶν ἑνός. Κωλανιζόμενοι, τάχα χρώμενοι ἀνέμοις ἴσως. Κωλαρίας, τῆς ἐκ τῆς ἀγέλης χειλίας. Κωλιὰ, μέρος κρέατος, ἀγκαλίς, δέσμη χόρτου. ἢ ὡς σκέλος ἐς ἐπίθεσιν, ἢ προσθετικὸς τὸ ἐλώλιμον.

Κωλεὸν, τὸ κωλίκιον. Κωλῆνα, τὸ ὄπισθεν τοῦ γονατίου μέρος. ἡ κόξα. καὶ κῶληψ, ἡ ἰγνύα, τὸ ὀστοῦν. κλίνεται δὲ κώληπος.

Κώλην, τὸ προτιθέμενον ἆθλον τοῖς ἀγωνιζομένοις. Κωλετίνας, ἀναλαβόντας. Κωλῦσαι, ἀκροπόλις. Κωλῆς, Ἀριστοφάνης. οἴμοι δὲ κωλῆς, τοῦ κώληκος λεγομένου. κῶλα δὲ τὰ ἐμπρόσθια μέρη τῶν ἱερείων. ἔστι δὲ ἱερὸν ἑρμοῦ ὁ βραχίων τῶν ἀλόγων ζώων, ἄλλως τὰ ἐμπρόσθια μέρη τῶν ἱερείων, τὰς ὀσφύας ἀγκύλας. διαβάλλει οὖν Ἀριστοφάνης, ὡς ὀστέα τοῖς θεοῖς προσφέροντας. Κωλιάδος ἀφαμάξα. κωλιὰς τέχνη τῶν Ἀττικῶν, ἰδία σκεύη πλαστική. λέγει οὖν, ὅτι ὅθεν ἐπὶ τροχοὺς φέρονται. τροχὸν δὲ τὸν σκευοπλαστικὸν λέγει, τουτέστιν ὅσαι πρὸς σκευοπλασίαν ἐπιτήδειαι, τοσούτων ἡ κωλιὰς κρείττων. ὥστε καὶ βάπτεσθαι ὑπὸ τῆς μίλτου. ἔστι δὲ ὁ τόπος ἐγκείμενος, ὅμοιος ἀνθρώπου κώλῳ, καὶ οἱ ἐνοικοῦντες κωλιοί. Κωλιάδος παρὰ τῷ Ἀριστοφάνει, οἱ μὲν κωλιάδα τὴν θεὸν καλοῦσι, Πανὶς Ἀττικοῦ ἐμβαλόντος ἀπὸ λῃστῶν συμμαχίᾳ τῆς θεοῦ, καὶ οὕτως αὐτὴν ὀνομάζοντος, καθάπερ αὐτὸς λαθεὶς τὸ κῶλον ἀπελύθη ὑπὸ γυναικός. οἱ δὲ θυγατέρες τοῦ ἀρχιλάου διέφυγον. οἱ δὲ τόπον εἰρηκότα κώλοις ἐοικότας, ἔνθα ἡ θεὸς τιμᾶται. τινὲς δὲ ἵππος ἐλθόντος κέραμον ἔγχαλκα κωλῆν, καὶ ἐν ἐκείνῳ τῷ τόπῳ ἀποθέσθαι, ὅθεν αὐτὴ ὀνομάζεσθαι. ἄλλως. κωλιὰς, ναὸς ἦν Ἀφροδίτης, οὕτω καλούμενος, ἀπό τινος κωμικοῦ Ἀττικοῦ ἁλόντος ὑπὸ τυράννων, καὶ δεθέντος τὰ κῶλα, εἶτα ἐρασθείσης αὐτοῦ τῆς θυγατρὸς τοῦ τυράννου, καὶ λυσάσης, ἐπανελθὼν εἰς Ἀθήνας, χαριστήριον τῇ Ἀφροδίτῃ ναὸν ἱδρύσατο κωλιάδος, διὰ τὸ τὰ κῶλα λελύσθαι.

Κωλίαν, ἐσθίαν, τὴν γαστρονομίαν, τὴν κοιλίαν. Κωλιὰς, ἀκτὴ εἰς θάλασσαν ἐξέχουσα. καὶ ἴσως, διὰ τὸ κώλῳ ἐμφερὴς εἶναι. Κωλιεῖς, γένος ἰθαγενῶν, ἐπεὶ ἐκ τῆς κωλιάδος. Κωλικὴ, σπλαγχνική. Κωλοβαθρε, τῶν λεγομένων κλάπων παρὰ πολλοῖς. Κώλοισι, πολλοῖσι. Κῶλον, μέτρον λόγου, ἐκ δύο ἢ καὶ πλειόνων μερῶν συγκείμενον. τὰς συλλαβὰς γὰρ τέμνουσι καὶ τὰ κῶλα τῶν κομμάτων. κῶλον οὖν, ὁ ἀπηρτισμένην ἔννοιαν ἔχων στίχος. ἢ κῶλον, παρὰ τὸ ἐκεῖ κεῖσθαι ὅλον τὸ ὀστοῦν. ὅθεν καὶ κώληξ, κατὰ ἀντίφρασιν. Κωλύματα, ἐμποδίσματα, ἐναντία, ἐναντιώματα, ἐμποδών. φράγματα, ἔργματα. Κωλύμη, μεμφόλη. ἡ κώλυμα, κώλυσις, ἐμπόδιον. ἔστι δὲ ἡ λέξις Θουκυδίδου. Κωλυσίας, δῆμος τῆς αἰγηΐδος φυλῆς. Κωλυσάνεμος, ὁ Ἐμπεδοκλῆς οὕτω καλεῖται, ὡς ὑποσχόμενος ἐφέξειν τοὺς ἀνέμους.

Κωλύσω, λυπήσω. Κωλυτὴν, σημεῖον ἐν ἐνθύμῃ, καὶ θυσίαις κωλυτορίαι. Κωλύφιον μὴ λέγε, κωλῆνα δέ. Κωλύω, ἀπείργω, ἀπέχω, ἐμποδίζω, ταὐτὸ σημαίνουσι. Κωλύοντι λέγοντα καὶ λέγειν, καὶ κωλυθέντα καὶ κωλυθεῖσαν.

Κωλῶτις, ἡ Ἀφροδίτη. κωλιὰς δὲ ἐκλήθη, ὅτι κωμικὸς ὑπὸ λῃστῶν, ὁ ὑπὸ τυράννου κατασχεθεὶς ἐκ τῶν κώλων, ἤτοι τῶν ἀκρωτηρίων καὶ τῶν χειρῶν ἐδέθη. ἡ δὲ θυγάτηρ ἡ τοῦ ἀρχηλάτου, ἡ τοῦ τυράννου ἐρασθεῖσα αὐτοῦ ἀπέλυσεν αὐτὸν, μισθὸν τούτου. ὁ δὲ Ἀφροδίτης ἱερὸν κωλιάδος ἱδρύσατο εἰς εὐχαριστίαν αὐτῆς, ὅτι δεδεμένον ὄντα ἐκ τῶν κώλων, ἐρρύσατο. κωλιὰς δὲ λέγεται ὁ ὄρνις, καὶ ἀλεκτορίς, ἡ ἐν ὀλίγῳ ποταμοῦ κολοφῶνος κειμένη. ἐκεῖ γὰρ ἱερὸν αὐτῆς ἦν. Κωλώτας, ἀσκαλαβώτας. καὶ κωλώτης, ὁ Διόνυσος. ἔλεγον δὲ αὐτὸν καὶ γαλεώτην. δοκεῖ δὲ αὐτὸς εὐσόχως ἅλλεσθαι περὶ τοὺς μῦς.

Κῶμα, σημείωσαι ὅτι ὥσπερ ζῶ ζῶμα, βρῶ βρῶμα, τρῶ τρῶμα, ἰωνικῶς ἡ βλάβη, οὕτω καὶ κῶ κῶμα ὁ ὕπνος. καὶ ὅτι καθὰ δεῖμα μὲν ἔφη ὁ ποιητὴς, οὐ μὴν δὲ καὶ δειμὸς εὑρίσκεται παρ᾽ αὐτῷ, οὕτω καὶ κῶμα μὲν εἶπεν, οὐ μὴν δὲ καὶ τὸν κῶμον, οὗ τῇ χρήσει πλεονάζουσιν οἱ Ἀττικοί, λέγοντες κῶμον τὸν ἐν συμποσίῳ καιρὸν, δι᾽ οὗ καταφέρονται εἰς ὕπνον κῶμα. ὅπερ ἐστὶν ὕπνον. ὅθεν καὶ κωμάζειν, καὶ εἰσκωμάζειν, τὸ καταμεθύοντα ἐπέρχεσθαι αὐθαδέστερον, καὶ ἐλαθεσπαίζειν. Κωμῳδεῖν, ὀρχεῖσθαι. Κῶμα, ἡ τὸ κοίμημα, καὶ ἐν συγκοπῇ κοίμα καὶ κῶμα, ὡς ἀγκώνη ἀγκοίνη, ἢ τὴν ἐκ τοῦ ὕπνου καιρόν. ἴσως ἐκ τοῦ κωμαίνω κῶμα, ὡς καὶ ἐκ τοῦ λυμαίνω λῦμα. ἴσως δὲ καὶ ὥσπερ χῶ χῶμα, βρῶ βρῶμα, τρῶ τρῶμα, ζῶ ζῶμα, οὕτω καὶ κοιμῶ κῶμα. ἐκ δὲ τοῦ κῶ καθ᾽ ἑτέραν παραγωγὴν, καὶ κώμη γίνεται, ὡς στῶ στώμη, τρῶ τρώμη ἡ τρῶσις, βρῶ βρώμη ἡ βρῶσις. μαλθακὸν δὲ κῶμα, τὸ μαλθακτικόν. Κωμάζουσιν, ἤγουν ἀτακτοῦσι, παίζουσιν, ἐλευθεριάζουσιν, ἅλλονται. κωμάζειν λέγεται τὸ ἐρασθέντα νυκτὸς, τὸ ἐπὶ ἐρωμένην πορεύεσθαι ἐστεφανωμένον καὶ αὐλοῦντα. ἢ ἑταίραν ἐν αὐτῷ ἁρμόδιον ποιοῦντα. καὶ ὁ κῶμος, ἡ ἐργασία τῶν πινόντων. ἢ κῶμος θεὸς ἦν παρὰ τοῖς Ἕλλησιν, ἔφορος τῆς μέθης. ἐξ οὗ κωμάζειν. κῶμος ἡ μέθη. καὶ κωμάζω, τὸ μεθύω. καὶ κώμη, ἡ ἀτείχιστος ἀνθρώπων συνοικία. Κωμάζειν, τὸ σὺν ᾠδῇ ὀρχεῖσθαι. Κωμάζει, ὑβρίζει. Κῶμαι, ἀγυιαί, ῥῦμαι. Κωμαίνειν, νοσάζειν, καλχαίνειν, ταράσσεσθαι. Κωμαίνεσθαι, κοιμᾶσθαι. Κωμακὸν, ὀρχηστικόν. Κωμάρχας, ὁ τῶν πόλεων ἄρχων. Κωμάσεως λεωρὸς, ἀντὶ

λώμης ἐστὶ ξύλον. ἣν οἱ μὲν κλοιὸν ὀνομάζουσιν, οἱ δὲ καλοιόν. ὅθεν καὶ ὁ πονηρὸς ἄνθρωπος κύφων. τάσσεται δὲ κἀπὶ πάντων τῶν λοχ[ι]δῶν, καὶ ὀλεθρίων. καὶ κυφωνισμὸς ἐπὶ τῶν ἡμιπόνων. Ἀρχίλοχος δὲ, ἀντὶ τοῦ κακὸς καὶ ὀλέθριος. εἴρηται κύφων, παρὰ τὸ ἢ δεσμίας ἀναγκάζεσθαι κύφειν, διπλῶς ἅμα κολαζομένους, τῇ τε τοῦ τραχήλου κλίσει, καὶ τῷ μηδαμῶς ἀνανεύειν δύνασθαι. ἢ ἄλλως ξύλον ἐστὶν, ἐπιτιθέμενον εἰς τὴν τιμωρίαν τῶν κατακρίτων, ἵνα μὴ δύνωνται ἀνακύψαι. καὶ γὰρ τὸν κολαζόμενον ποιοῦσι κύφειν. Κύφων, ὁ ξύλινος δεσμὸς, ἐν ᾧ δεσμεύονται οἱ ἐν τῇ φρουρᾷ, ὃν καὶ κυφῶνα τετρημένον λέγουσι. τινὲς δὲ, κλοιόν φασιν ὄνομα τὸν κύφωνα, πλοιοῦ ξύλον. οἱ δὲ, κρεμαστὸν οὕτω καλούμενον. Κοχαῖνος, εἶδος ὀρνέου. Κύψαι, σκύψασθαι. Κυψέλη, κυβέλιον μελισσῶν. λέγεται δὲ καὶ ὁ ῥύπος τοῦ ὠτός. αἱ δὲ μέλιτται ἐναποθησαυρίζουσιν, ὥσπερ ἐν κυψέλῃ.

Κυψελίς, μελισσοφυτεία. Κυψέλη, εἶδος μέτρου, ἐξ χοινίκων μεδίμνου. ἔστι δὲ εἶδος ἀγγείου, ἢ μέτρου, δωδεκάχουν. ἢ καδίσκος. οὕτω δὲ εἴρηται, διὰ τὸ κεκρύφθαι αὐτὸ τὸν ἄλευρον. ἔστι γὰρ στεγανόν. διαφέρει δὲ πρὸς τὴν κυψελίδα, ἣ ἐστὶν ὁ ἐν τοῖς ὠσὶ ῥύπος. οὐ μόνον δὲ λέγεται ὅσα αἱ κυψέλαι, ἀλλὰ καὶ κιβώτια. Κυψελιδῶν, ἀπόληψις, ἐν ὠσὶ ῥύπος. Κυψέλη, ὁ τῶν ὠτίων ῥύπος, καὶ κυψελίς. Κυψελόβυσον, τὸ ὑπὸ ῥύπου κεκαλυμμένον. Κυψέλαι, καὶ κυψελίδες, ὁ ἐν τοῖς ὠσὶν ὑπάρχων ῥύπος, καὶ τὰ στενὰ ἀγγεῖα, καὶ τὰ κοινὰ σκεύη, καὶ τὸ τῶν ὠτῶν ἔγχυλον, καὶ τοὺς καμίνους μέρος τι. Κύψελος, ὄρνις ποιός. ὅμοιος χελιδόνι. Κύω, τὸ φιλῶ, ἤγουν τὸ φιλοφρόνως χείλη συμβάλλειν. δηλοῖ καὶ τὸ ἐγκύμων εἶναι, ὃ διαφέρει τοῦ τίκτειν. καθότι αὐτὸ ἀπαλλάττει τὸ κύειν, καὶ φέρεται εἰς τὸν χρόνον ἐξ ὅλου τὸν τόκον τίκτειν, ἤγουν κατὰ γαστρὸς φέρουσα, εἶτα ἐκτεκεῖν. οἱ δὲ ὕστερον καὶ αὐτὸ τὸ τίκτειν, κύειν ἔλεγον.

Κύειν, τὸ τοῖς χείλεσιν ἀσπάζεσθαι, φιλεῖν, ἀσπάζεσθαι καὶ ξυλίζειν. Κύων, ὁ σκύλαξ, ἀπὸ τοῦ κινεῖν καὶ σείειν. Κύων, τὸ παλαιὸν τῆς παιδὸς συμπεφυκὸς τῷ δέρματι, παρὰ τὸ κεκυῶσθαι, καὶ ἐπικαλύπτεσθαι, ἢ συνδεῖσθαι. κύων λέγεται ἐπὶ μὲν τοῦ ἀλόγου ζώου, παρὰ τὸ κύειν, καὶ σείειν, ἢ παρὰ τὸ ὠκὺς τὸ γὰρ ζῶον ταχύ ἐστιν. παρὰ τὸ βιβάσθαι τὸν ἀναλίσκει τοῦ τόκου, ἢ παρὰ τὸ ἐξ εἶναι τὸ ζῶον. Κύων, ἀπὸ τοῦ κύω τὸ φιλῶ παράγεται. ὤφειλε δὲ τρισυλλάβως κλίνεσθαι κύονος, ἔχει τὴν γενικὴν δισύλλαβον κατὰ πάθος διὰ τὸ κατὰ φύσιν ἀποτελεῖσθαι. εἰς μὲν γὰρ κυὸν συστέλλεσθαι δεῖ τὸ ω τῆς εὐθείας ἐν τῇ γενικῇ. διὰ τὴν τοῦ γένους κοινότητα. ὁ κύων γὰρ καὶ ἡ κύων φαμέν. ἔτι δὲ διὰ τὸ πάθος, φυλάττεσθαι δεῖ αὐτὸ, διὰ τὸ βραχὺ εἶναι τὸ λῆγον τοῦ παραλήγοντος, ὥσπερ καὶ ἀμφιτρύων ἀμφιτρύωνος καὶ τὰ ὅμοια. ὁ τοίνυν λόγος κατὰ τὴν μάλιστα τῶν τοῦ κύονος παραλόγως διέφθειρεν. οἷον καὶ ἐξ αὐτῶν τὸ ὑποκείμενον, ἐν τῇ τρισυλλαβίας δισυλλαβίαν πεποίηκε. Κύων, ὁ ἔλαττον μέρος τοῦ σώματος τοῦ ὄργου ἐπαλλόμενος πονηρόν. οἱ δὲ τὴν ἀρχὴν, οἱ δὲ τὴν τέχνην, τὴν οὕτω λεγομένην κύνα. δηλοῖ δὲ καὶ τὸ ἀμφίβιον μόσχον, καὶ θαλάσσιον ζῶον, καὶ τὸν ἀστέρα, καὶ τὸ ἄστρον, καὶ τὸ θαλάσσιον ζῶον, καὶ ὑπὸ τῶν κυβευτῶν βόλον λεγόμενον, ὃς χῖος καλεῖται. Κύων ἐπὶ δέρμα, παροιμία ἐπὶ τῶν ἑαυτοὺς εἰς κολάσεις ἐπιδιδόντων. λέγεται δὲ καὶ Βοῦς ἐπὶ δέρματι. Κύων, ἀστήρ. ἴσιον, ὡς λέγειν μὲν οἷον ὄνομα τὸ ἀστήρ. ἐπικλάσεις δὲ τούτῳ, ὥσπερ τὸ κύων ἁπλῶς, οὕτω καὶ τὸ κύων ἀστήρ. ἔστι δὲ Σείριος, κινητικὸς γενόμενος ἀστὴρ, καταιείρεται μετὰ θάλπους. καλεῖται δὲ ἀστήρ. καὶ ὁ κύων, ὡς ὁ ἥλιος αὐτοῦ πολλαχοῦ λέγειν ἡμᾶς. δῆλον δὲ ὅτι τοῦ δεῖ τοῦτο κινεῖ ἐπιτέλλοντος, πολλοὶ γίνονται καύσωνες. διὸ καὶ κύνα καλοῦσι μετὰ ἥλιον αὐτὸν φασί. καὶ διὰ τὸ καυσὸν σῶμα τοῦτον εἶναι φασιν ὁ ποιητὴς, καὶ πυρετὸν φέρειν πολλόν. ὅθεν οἱ μὲν ἀστέρα τοῦτον ἔκκαυσιν, ὃ καὶ φλέγμα φθισικὸν εἶπεν ὁ ποιητὴς, ὁμωνύμως τῷ φυσικῷ χυμῷ. πυροῦται γὰρ καὶ οἷον φλέγεται ὁ ἀὴρ, κυνὸς ἐπιτέλλοντος.

ΤΟ Κ ΜΕΤΑ ΤΟΥ Ω.

Κῶ, καὶ τὴν ἅλω, καὶ τὴν λαγὼ, καὶ τὴν τάω, οἱ Ἀττικοὶ δίχα τοῦ ν προφέρουσιν. ἄλλως. κῶ καὶ τὴν ἅλω δίχα τοῦ ν προφέρουσιν Ἀττικοί. οὕτω δὲ καὶ τὴν λαγὼ καὶ τὴν ταώ. Κῶ νῆσος, κῶς τὸ ἐθνικὸν, ὥσπερ δὲ καὶ τοῦ ἐν αὐτῇ πόλεως, ἣν πόλιν εὐρυάγυιαν λέγει ὁ ποιητὴς, ἐξ οὗ Ἡρακλῆς, καὶ χαλκιόπης, εὐκλεοῦς ἀπὸ βασιλεύσαντος. ἰστέον δὲ, ὅτι ἡ κῶς αὕτη, μερόπη καὶ μεροπὶς ἐλέγετο, ἀπὸ μερόπων ἐνοικησάντων αὐτήν. ἢ ἀπὸ μέροπος, ὃς ἐβασίλευσε τῆς νήσου. ἔστι καὶ δισύλλαβος κῶος, λέγεται διὰ μεγάλων καὶ κοινῆς διὰ μικροῦ καὶ μεγάλου, ἐξ οὗ τὸ κῶον εἶναι. Κῶον ἐπιγράφει δὲ διὰ τοῦ μικροῦ. ὃν συνηρημένον ἔχει πάλιν τῷ καὶ γενικῇ κῶς κατὰ διάλυσιν, καὶ ὡς παλυπρέσβυτος οὕτω καλεῖται. κῶον γὰρ φασι κατὰ γλῶσσαν τὸ πρόβατον λέγεσθαι. εὕρηται δὲ καὶ κῶος λεγομένη, ὡς τέως, ἢ ὡς ἐπικὸν κῶος, καὶ ὡς ἐν συναιρέσει κῶς. τοὺς κῶς κατ' ἀκολουθίαν, παρὰ Πορφυρίῳ κωακόν. ἰστέον δὲ, ὅτι κατὰ ἱστορίαν κῶς ἐλέγετο, καὶ ἔρυμα δὲ ἐν κρίνεσθαι, οὗ καθείργνυον φασὶ φῶρας, καὶ φρουρεῖσθαι. ἡ δὲ τοιαύτη λέξις, δοκεῖ καὶ ἐν τοῖς Ἐρυθραίοις εὑρίσκεσθαι. Κωαί, ἀγγαλάδαι. Κῶα, εὐχύριμα.

Κωάζειν, ἀγγαλίζειν, εὐχυράζειν. Κωαθὶς, εὐχυαθεῖς. Κῶας, ἡ τοῦ προβάτου δορά. Κῶας, κώδιον, τὰ παλαιὰ, ὀφθαλμούς. Κώβαλα, πανουργήματα. Κώβαλος, κόβαλοι, φορτικοί. Κώβαξ, ὁ μέγας τέττιξ. Κωβάλη, συνουσία, καὶ βελόνη. Κωβαλίνα, ἰχθύς. Κωβῖτις, ὁ ἰσχυρὸς φυλή. Κωβιὸς, ὁ ἰχθύς. Κωβίτης, εἶδος ἀφύης, καὶ ἐστὶν ἐκ τῶν ἀφύων. Κωδαλίου χοῖνιξ, παροιμία ὡς μικροὶ πίεσαι, προσαγόμενον ἀρχομένων. Κωδαλοῦχος, μέτρον τις.

Κωδεία ἐστὶν, ἡ τῆς μήκωνος κεφαλὴ, ὁ ἐστὶν ὅλος βοτάνης. Κωδία, κωδὶς, κεφαλὴ χωρὶς σώματος. Κωδίνοι, δέρμα προβάτου, ὡς παρὰ Ῥωμαίοις. Κώδιον ἐστὶ, τὸ ἅμα τοῖς ἐρίοις δέρμα συναγόμενον. Κώδιον, τὸ δέρμα. κώδιον γίγνεται, καὶ συναιρέσει κῶδιον, καὶ τὸ κατώδιον ἐν τῷ ι, ὅτι ἐκ τοῦ λαγωὸς λαγωοῦ γίνεται κατὰ συναίρεσιν τοῦ αὐτοῦ ιον, καὶ κώδιον. σημαίνει δὲ τὴν μικρὰν κοίτην, συνηθέστατα τούτοις καὶ τὸ κωλύδιον, καὶ ἐν τῷ ι προσγεγραμμένον. σημαίνει δὲ τὸ χειρίδιον. Κωδωνίσαι, πειράσαι, ἠχῆσαι. Κωλύει, τινὸς ἐλαττοῦν ἀθλοῦσι. Κώδων, κώδια, παρὰ τῶν ἱπποκρατῶν. Κωδωνίσαι, παρὰ δοκιμάσαι, ἀπὸ τοῦ δοκιμάζειν, ἐξετάζειν. ἐκ μεταφορᾶς, ἀπὸ τῶν ἀργυραμοιβῶν. ἢ δοκιμάζοντες, εἰ εὔηχα καὶ ὑγιῆ ἐστίν, ὡς κώδωνος. ὁ ἀπὸ τῶν ἵππων ὁρίζειν, ἢ ἵππων δοκιμαζομένων, ἐκ κωδώνων. τὰ μὲν γὰρ τούτων γενναῖα, γενναίως φέρει τὸν ἦχον. τὰ δὲ δειλά, περιφεύγουσι ἢ καὶ ἀπ' αὐτῶν τῶν κωδώνων δοκιμαζομένων ἐν τῷ κινεῖσθαι, εἰ εὔηχοί εἰσιν, εἴτε καὶ μή. Κωδωνίσαι, δοκιμάσαι, διαπειρᾶσαι. Κώδων, παρὰ τὸ ἐν τῷ κινεῖν ἄδειν. Κωδωνοφόροι, ἀπὸ τῶν ἵππων μεταφορικῶς κωδωνοφοροῦσι, καὶ κωδωνίζουσι, τὸ φαμίζειν. Κωδωνοφαλαροπώλους, πώλους ἐπὶ τὰ φάλαρα χρωμένους. οἱ δ' ἐξέπλαττον αὐτοὺς ὥσπερ ἱππεῖς, καὶ μίμουν κωδωνοφαλαροπώλους, λαοφόρους.

Κώδων, καλεῖται καὶ τὸ πλατὺ τῆς σάλπιγγος. Κωδωνοφοροῦμεν. οἱ περίπολοι, αἱ τὰς φυλακὰς περιπολοῦντες, καὶ περισκοποῦντες, ἐρχόμενοι ἐπὶ τὰς φύλακας, κώδωνας εἶχον. καὶ

Κῦρος, ἡ ἐξουσία, καὶ ἐπιτυχία. Κυροῖ, βεβαιοῖ, πιστοῖ.

Κῦρος, ἀπὸ τοῦ ὑπὸ κυνὸς τεθράφθαι, ἢ ἀπὸ τοῦ ἡλίου. τὸν γὰρ ἥλιον οἱ Πέρσαι κῦρον λέγουσιν, ἄλλοι βάθιστον, καὶ προσήκοντα, καὶ ὄνομα ποταμοῦ καὶ κύριον. Κυρόω, κυρῶ, τὸ βεβαιῶ. ἐκύρωσεν ὁ ψῆφος ὑπὸ τοῦ ὁρισθῆναι θάνατον, ἀντὶ τοῦ ἔταξε. Κυρράνα, ὄνομα γυναικείας ἑταίρας. Κυρράσειν, τὸ κύρσειν ἐπιτυχεῖν ἐργασάμενα. Κύρρος, τόπος ἐν Συρίᾳ. Κύρσαι ὁρμῆς, καὶ ἐν ἄλλῳ συγκύρσαι, τὸ προσκροῦσαι, κατὰ ἴσον συγκυρίαν, ὁμοῦ γενόμενον, ἢ εἰς ἓν ἐλθόντα. Κυρσανίας, μανία, ἐφηβεία, ἢ εὐτελίσαι. κυρσὸς γὰρ εὐτελὲς λάχανον. κυρσανίας δὲ ἐκάλουν οἱ Λάκωνες τὰ μειράκια, καὶ τοὺς εὐτελεῖς ἀνθρώπους. Κύρσαι, κυρῶ κοινῶς, κύρσαι αἰολικῶς, ἔκυρσα καὶ ἐκύρσαμεν. Κύρσιον, τρυπητὸν παρὰ τῷ Ἱπποκράτει.

Κύρσας, προσκυνήσας, ἐντυχών. Κύρσαι, ἢ κυρεῖν. τὸ ἐκύρησεν ἐπιτυχεῖν, εὑρεῖν. Κυρσοβίλοι, τὰ τῶν μελισσῶν ἀγγεῖα, κυψελίδες. Κύρσιον, μειράκιον. Κύρτα, εἰδοῦντα, μεμισημένα. ἔνιοι δὲ, οὐκ ἀγαθά. ἀπὸ δὲ τῶν ταραντίνων κύρτον, καὶ τὰ ἔσχατα ἀλιευτικὰ κύρτον, καὶ σκυβάλων τῶν βρωμάτων. Κύρτιδον, κυρίως μὲν ἀναιδέστατα δηλοῖ, ὅπερ ἔχοι ἂν καὶ κύνα, ὡς ἀμάχου δηλοῦται. Κυρτὸς, ἁλιευτικός. Κυρτίαν, ἐκάλει τὰς ἀσπίδας. Κυρτὶς, ὀρνιθοτροφεῖον. Κυρτὴ, καὶ κοίλη, παραλλάξις. Κύρτον, τὸ μετέωρον καὶ ὑψηλὸν, ἀπὸ τοῦ κύειν εἰς ὕψος, ἤτοι ἐπαίρεσθαι. Κυρτοφίλα, ἑταίρα. οὕτως ἐκαλεῖτο, διὰ τὸ μέλαν ἔχειν τὸ ἐφήβαιον, διὸ καὶ ἐν ταῖς συνουσίαις οὐκ ἀπεκάλυπτεν. Κυρβάλαι, λῦμος τῆς ἀκμαστικοῦ φυλῆς. Κυρῶν, λέγεται καὶ ἐπὶ κεραίτων, ὡς καὶ ἐπὶ ἄλλων ἀψύχων. τυπόμενον, παρὰ τὸ κύπτειν κατὰ τῆς κολακείας, ὃ καὶ κατὰ τὸ κρύπτειν. Κύρτωμα, ὁ λεγόμενα καμάρα. Κυρῶ, τὸ τυγχάνω, καὶ ἐξουσιάζω δίδωμι, καὶ τυγχάνω. Κύρω, τὰ διὰ τοῦ υρῶ ῥήματα, βαρυνόμενα μὲν, ἐκτείνει τὸ υ. περισπώμενα δὲ συστέλλει, κύρω κυρῶ. φύρω φυρῶ, πύρω πυρῶ. Κυρῶλα, ὀλίγα. Κυρῶ, κρατύνω, βεβαιῶ. Κυρωτῆρες, ἄρχοντες. Κῦσε γούνατα, κατεφίλει. Κύσαι, φιλῆσαι. Κῦσαι, ὑπὸ κοινῶς φιλῆσαι.

Κυσθηΐτα, κυσθός. ἄκυθον γὰρ τὸ ἄτομον. Κυσοίζω, ὁμιλῶ. Κῦσε γούνατα, μέρος τοῦ γονυπετῆσαι. ὡς ἐκεῖνο μὴ μόνον χερσὶ ἁπτομένου γονάτων, ἀλλά που καὶ φιλοῦντος αὐτά.

Κυσόρη, κυσθὸν, χάσμα. Κυσόγη, ῥοιά. Κύσθος, ἀπὸ τοῦ διὰ αὐτοῦ γίνεσθαι τὴν κύησιν, ἢ ἀπὸ τοῦ κεύθειν τὸ ἐντός. Κυσθορόνη, νύμφη. Κυσίαι, πυγιστίαι. Κῦσε δέ μιν κεφαλὴν, χαριέντως συνθήσατο Ὅμηρος, καὶ ἔχει αὐτὸ συντάξεις τρεῖς. ἢ γὰρ ἔκυσεν αὐτοῦ κεφαλὴν καὶ φάεα, ἢ ἔκυσεν αὐτὸν κατὰ τὴν κεφαλὴν καὶ φάεα. ἢ ἔκυσεν αὐτὸν, ἤγουν τὴν κεφαλὴν, καὶ τὰ φάεα, φάεα δὲ λέγει ὀφθαλμούς. Κυβλακεία, ψωρία.

Κυβλάκιον, Ἀρίσταρχός φησι τὴν κλεῖδα οὕτω λέγεσθαι, ὑπὸ κοινοῦ λακωνίζοντα. τὸ δὲ τοῖς παιδικοῖς χρῆσθαι, λακωνίζειν ἔλεγον. Κυβλαμπίς, ἡ περιλαμπομένη ταῖς περὶ κανθαρίς. Κυβόπται, πόρναι, ἀπὸ τοῦ παρακολουθοῦντος.

Κῦσόν με, φίλησόν με. Ἀριστοφάνης Νεφέλαις, κῦσόν με καὶ τὴν χεῖρα δὸς τὴν δεξιάν. Κυσὸς, ἐστὶν εἶδος βοτάνης ἀκανθώδους ἐκτενέσι φύλλοις. Κυσὸς, ἡ πυγὴ, ἢ γυναικεῖον αἰδοῖον. Κυσχλὼν, εἶδος λοιμοῦ. οἱ δὲ, εὐρυπρωκτίαν, οἱ δὲ ξύλον τι, ἐν ᾧ ἀπομυττόμενοι αἱ πόρναι ἐλαμβάνοντο. Κύσθοι, ἀγγεῖα τῶν μελισσῶν, καὶ τερίσκοι. Κύσσα, ὄρνεος σπογγίτης. Κύστιν, κύστιν μικρὰν παρὰ τῷ Ἱπποκράτει. Κύστιον, τὸ ἁλικάκκαβον. Κύστις, ἡ κοιλία, ἢ τὰ ὑπογάστρια, ἢ ἡ φύσις. Κύστις, ἀπὸ τοῦ κεύθειν ἤγουν τὸ οὖρον. σημαίνει καὶ τὸ οὐροδόχον ἀγγεῖον. Κύστις, ἀπὸ τοῦ κεύθειν γεγονυῖα, ἐξ ὧν τὸ ὁμαλὸς πόσις, ἤγουν μάθησις ἐκ τοῦ κεύθειν.

Κύταια, πόλις Κολχίδος. ἔστι δὲ καὶ ἑτέρα πόλις τῆς Εὐρώπης Κύταια, ὁμώνυμος τῇ Σκυθικῇ. ἀφ' ἧς φασι καὶ τὴν Κολχικὴν ἐσχηκέναι τὴν ἀρχήν. Κυταῖς, πόλις Κολχίδος. ὅθεν αὐτὴν Μήδειαν Κυταΐδα ἔφη Λυκόφρων. οἱ δὲ ἰνδικοὶ Κόλχοι, Σκύθαι εἰσίν, οἱ καὶ λιγοὶ καλούμενοι, πλησίον οἰκοῦντες ἀφιδνῶν, ὧν Κόλχων τὰ φάρμακα [illegible] εἰς δὲ Κόλχους οὕτως ἀφίκετο, ὡς μὴ ἀρεσθεὶς τῇ τῆς Κορίνθου βασιλείᾳ. Αἰήτης γὰρ καὶ Ἀλωεὺς, Ἡλίου παῖδες, καὶ Πέρσης τοῦ Ὠκεανοῦ θυγατρός. διεῖλε δὲ ὁ Ἥλιος τοῖς παισὶ τὴν βασιλείαν, καὶ τὴν Ἀρκαδίαν Ἀλωεῖ δίδωσι, τὴν δὲ Κόρινθον Αἰήτῃ. Αἰήτης δὲ μὴ ἀρεσθεὶς τῇ Κορίνθῳ, παρθένον ταύτην Βούνῳ φυλάττειν, Ἑρμοῦ μὲν καὶ νύμφης υἱῷ. αὐτὸς δὲ εἰς Κόλχους ἀπῄει, ἐντειλάμενος φυλάττειν τὴν τῆς Κορίνθου βασιλείαν, ἕως οὗ ἢ αὐτὸς, ἢ τις τῶν ἐξ αὐτοῦ ἔλθοι. ἐν Κόλχοις δὲ αὐτὸς γῆμας Εἰδυῖαν Ὠκεανοῦ θυγατέρα, ἐν Κυταίᾳ πόλει μένων, ἄμφω γεννᾷ. ἀδελφαὶ δὲ Αἰήτου καὶ Ἀλωέως, ὄντες τοῦ Ἡλίου θυγατέρες, Κίρκη καὶ Πασιφάη, καθ' ἑτέρους καὶ Καλυψώ. Κύταρον, ζωμάριον. Κύτε, μογίδα. Κύτινοι, τῆς ῥοιᾶς τὰ πρῶτα ἐξανθήματα. Κυτίδας ἐκάλουν, τὰς κίστας. Κύτος, ἔγκος, χώρημα, βάθος, πλάτος, σῶμα. Κύτταρος, καλοῦσι τὰς τῶν σφηκῶν καταστάσεις. μεταφορικῶς δὲ, τὸ κοιλότατον καὶ μυχαίτατον, κύτταρον εἶπεν Ἀριστοφάνης τοῦ οὐρανοῦ. Κύτταροι, αἱ τῶν κηρίων κοιλότητες. Ἀριστοφάνης, ἔστι δὲ ὁ στεῖλος ὁ παρακείμενος τῆς βαλάνοις. ἄλλως, καὶ τῶν σφηκῶν τὰ κοῖλα, καὶ τὰ τῆς πίτυος, καὶ τὰ τῆς πίτυος προεκθέοντα πρόβλεια. καὶ ὁ πυθμὴν, καὶ ἡ κατασκευή. οἱ δὲ, καὶ τὰ ἐν τοῖς κυροῖς τρήματα, ἢ τὰ κοῖλα ἀγγεῖα καὶ τῶν αἰδοίων τῆς βαλάνοις. ἄλλως, κύτταρος τὸ πῶμα τῆς βαλάνου, ὅπου ἐγκάθηται ὁ βάλανος, ἢ τῆς βαλάνου πυλὶς, ἢ κατάγνωσις, ἢ τὸ ὑψηλότατον τοῦ οὐρανοῦ. λέγουσι γὰρ κοῖλον εἶναι τὸν οὐρανὸν, ὥσπερ τοῦ ᾠοῦ τὴν λεπίδα, τὸ κοιλότατον καὶ μυχαίτατον. Θεόφραστος δὲ κυρίως λέγει κύτταρον, τὴν προάνθησιν τῆς πίτυος, ἢ τις ὅταν ὡς κάλυξ μικρὸς, ἐκ μεγάλων κυρτῶν ξηραινόμενος δὲ, διακλῶνται καὶ ἀποπίπτει. οἷον οὖν ἀγγειώδες φησι κύτταρον οὐρανοῦ, ὁ αὐτὸς Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις. Κύτωρος, ὄνομα ποταμοῦ. Κυτωρὶς, τόπος παραθαλάσσιος. Κύτωρον, πόλιν Παφλαγονίας. Κυτώσαντος, τὸ κύτος περιπλήσαντος. Κυφάλια, ἐπεὶ τάχ' ἂν ὁ Παλαμήδης ἰξὸς αἷς εἶδεν ἂν κυφάλλια κεκυρτωμένος. Κυφαλέος, ὁ κεκυρτωμένος. Κύφελλα, τὰ νέφη, εἰσὶ κρόσσαλα, τὰ ἀποκρεμάμενα τῶν σελίδων. εἴρηται δὲ κρόσαλλα Καλλίμαχος, τὰ κόσμους ἐλαυνόμενα. Κυφανισμὸς, ἐπὶ τῶν ἐμποδῶν, ἀντὶ τοῦ κακὸς καὶ ὀλέθριος. Κύφων, ὁ κυφὼν, τῆς κεφαλῆς, κρεῖττον. Κύφον, τὸ περιαγὲς, τὸ περιφερὲς, τὸ κυρτωδὲς, παρὰ τὸ κύπτω. Κυφὸν, κεκυρτωμένον, ἐκ παντὸς ξύλου κυφὸν ἂν γένοιτο, ἐπὶ τῶν κατὰ εἶδος εὐκαταφρονήτων, χρησίμων δέ. Κυφὸς, κυρτός. Κυφὸς γήραϊ, πρὸς διαστολὴν εἴρηται τοῦ γοργός. ἐκεῖνος γὰρ φύσει τοιοῦτος. ὡς τὸ γοργὸς ἐκεῖ ὑπεῖον, ἐκ τοῦ κυφός. οὗ πρωτότυπον ὁ κέκυφα παρακείμενος. λέγεται σκωπτικῶς κατὰ συγγένειαν τοῦ φ, πρὸς τὸ β, κυβάλλας, ὁ ὑποκύφοι κυφὸς, ἐκ τοῦ καταντλῆσαι συχνῶς, ἐν ᾧ ἀπέσφορον, καὶ [illegible], καὶ σκολόρχειν ἐβλασφήμουν. ἐκ τοῦ αὐτοῦ κυφοῦ καὶ κυβέβα διὰ τοῦ α, ἡ κυβέβη διὰ τοῦ η, ἡ ῥίσκος φασὶν ὁ κατεχόμενος, ἢ ὁ ἄλλῳ δαίμονι κατοχηστικῶς, κίσσοβος ἔλεγεν, ὁ καὶ σάβος, καὶ σαβάζιος, καὶ βάκχος, καὶ βαβάλος, καὶ βάβαξ, καὶ ἰαμβικὸς, καὶ φαλλόν. ἐκ τοῦ κυφὸς, γίνεται καὶ ὁ κυβός. Κυφὼν, ὁ αὐχὴν τοῦ ψελλοῦ, κύκλος ἀλύσεως σίφωνα, καὶ κυφὼν ὁ κλοιός. Κύφωνες, ξύλα εἰσὶν ἐπιδεδέμενα εἰς τοὺς τένοντας τῶν καταδίκων, ἵνα μὴ εὔρωσιν ἀνακύψαι. Κύφων, σημαίνει τὸν κεκυρτωμένον. Κύφων,

δεσμός

Θεόπομπος, ἐν τῷ περὶ τῆς εὐσεβείας. Κυρεῖ, τυγχάνει.

Κυρία, ἡ ἐξουσία. Κυρεῖον στράτευμα, τὸ μετὰ κύρου συναναβεβηκός, ὅτι ἐστράτευσε μετὰ τὸ ἀδελφὸν ἀρταξέρξην, οὗ μέμνηται καὶ Ξενοφῶν. Κύρειος θρόνος, ὁ τοῦ κύρου. Κυρῆσαι, δηλοῖ τὸ ἐπιτυχεῖν, ἐξ αὐτοῦ δὲ γίνεται καὶ τὸ συγκυροῦν, καὶ ἡ συγκυρία. λέγεται δὲ καὶ κεχρωσμένως κυρεῖν, ἐξ οὗ τὸ ἐκυρσεν, ὡς τὸ συντυχίαν [illegible]. Κυρῦσαι, ἢ γυρῶσαι, τὸ φονεῦσαι. Κυρίω, ῶ, τὸ ἐπιτυγχάνειν [illegible] δὲ, καὶ ἀντὶ τοῦ περιτυγχάνω, καὶ ὑπάρχω, ὃ καὶ μετὰ ὑπαρκτικοῦ πάλιν ῥήματος τίθεται, οἷον κυρεῖ ὤν, ὥσπερ τυγχάνει ὤν.

Κυρηβάζειν, μάχεσθαι, λέγεται ἀπὸ τῶν κριῶν. ἔλεγον τὸ τιτθὸν καὶ κερύττειν, ἀντὶ τοῦ κερυττίζειν, καὶ κορυβαντίζειν.

Κυρηβάσια. Ἀριστοφάνης, κυρηβασία λέγεται ἡ διὰ τῶν κεφαλῶν μάχη, ἥπερ ἐν τοῖς ἀλόγοις ζώοις γίνεται. κυρηβάσεις γὰρ λέγονται αἱ πλήξεις τῶν τράγων. καὶ γὰρ ἐκεῖνοι ταῖς κεφαλαῖς διαμάχονται. Κυρήβια, πίτυρα μετὰ τῶν κριθῶν. ἀποβρέγματα, τὰ ἄχυρα ἢ τῶν πυρῶν, ἢ ἔνθα αἱ κάχρυς φρύγονται. κάχρυς δέ εἰσιν, αἱ ἀλλαττόμεναι κριθαί. Κύρηνα παρὰ Ἐμπεδοκλεῖ, ἡ Δημήτηρ. παρὰ τὸ κυρίαν εἶναι τοῦ ζῆν, ἢ σῖτος.

Κήρυκος, ἔχει τὴν γενικὴν ἐκτείνουσαν τὴν παραλήγουσαν [illegible] τούτῳ. ταῖς εἰς ξ ἀρσενικὰ ἁπλᾶ δισύλλαβα, ὅταν τῷ υ παραληγόμενα, ἔχει δὲ τὸ τελευταῖον συλλαβῆς ἄρχον ἀμετάβολον, ἢ διὰ τῶν ἡ πρώτη συζυγία βαρύτονος λέγεται, διὰ τὸ κ κλίνεσθαι. κήρυκος, πέλυκος, ἔρυκος, βέβρυκος. εἰ δὲ τοῦτο μὴ ἔχει τὸν χαρακτῆρα, διὰ τοῦ γ κλίνεσθαι, ὄρτυγος, κόκκυγος. σημειοῦται τὸ ὄνυξ, ὄνυχος, παραληγόμενον μὲν ἀμετάβολον, καὶ κλινόμενον διὰ τοῦ χ. ζητητέον δὲ ἔτι περὶ τοῦ ὄρτυγος, καὶ δοίδυκος, παρὰ τῷ Καλλιμάχῳ ἀθηναῖον. Κύρημα, ἐπίτευγμα, συγκύρημα, ἕρμαιον. Κυρῆναι, κυρηναῖοι. λίβυες. Κυρήνη, ἑταίρα τις ἐπίκοινος, δωδεκαμήχανος ἐπικαλουμένη, διὰ τὰ πολλὰ σχήματα ἐν τῇ συνουσίᾳ ποιεῖν. ἢ δὲ παρὰ τὸ ἐξ ὑφηγήσεως Εὐριπίδου, ἀνὰ τὸ δωδεκαμήχανον. ἕτερον ἐκ δὲ τοῦ λέγειν ἀνὰ τὸ δωδεκαμήχανον κυρήνης, ἤγουν ἀνὰ τὰς δώδεκα ἐκείνας αἰσχρὰς μηχανάς, λέγουσιν αὐτὴν πάνυ φαυλοτάτην ὁ Ἀριστοφάνης. Κυρήβιον, παρὰ τῷ Ἀριστοφάνει, ἔνθα αἱ κάχρυς φρύγονται. κάχρυς δέ εἰσιν αἱ λελεπισμέναι κριθαί, ἀφ' ὧν ἡ πτισάνη. Κυρία, σημαίνει τὴν προθεσμίαν. Κυρία, ἡ κατὰ φύσιν ὑπάρχουσα δύναμις. καὶ κυρία ἡ ὡρισμένη, καὶ ὡρισμένη ἡμέρα. Κυρία ἐκκλησία, ἐν ᾗ δεῖ τὰς ἀρχὰς ἀποχειροτονεῖν, οἱ δοκοῦσι μὴ καλῶς ἄρχειν, καὶ περὶ φυλακῆς τῆς χώρας, καὶ τὰς εἰσαγγελίας ἐν ταύτῃ τῇ ἡμέρᾳ τοὺς βουλομένους ποιεῖσθαι. Κυριακὸν δεῖπνον, τὸ τοῦ κυρίου. ἢ τὸ ἔγκλειστον, ἐν ἐκκλησίᾳ δεῖπνον.

Κυριακὴ μεγάλη, περὶ τῆς τριημέρου ἀναστάσεως τοῦ Χριστοῦ. Κυριακὴ δὲ, σύμβολον ἀρχῆς καὶ τελειώσεως τῆς τοῦ κυρίου προνοίας. διὸ καὶ πρώτη καὶ μόνη καὶ ὀγδόη, καὶ ἡ ἂν εἴποις τρίτη, ἢ ὡς ἂν εἴποι ἀνακαλούμενος τοῦ πρώτου φωτὸς καὶ λαμψις ἀκτῖνος τοῦ ἡλίου τῆς δικαιοσύνης ἡμέρα κυρία. κυριακὴ ἀρχὴν λαμβάνουσα καὶ τέλος μὴ ἔχουσα, διὰ τὸ ἐν αὐτῇ βασιλευθῆναι τὸν νεκρόν. καὶ ἅγιον φῶς τοῦ Χριστοῦ, καὶ τοὺς ἐν αὐτῇ εὐνοῦς ἀξίους τοὺς ἐν ἡμέρᾳ συμβασιλεύσαντας τῷ Χριστῷ τῷ ἡλίῳ τῆς δικαιοσύνης εἰς ἀπεράντους αἰῶνας. Κυριάζας, ἀσκαλεύς. Κυρήβια, τὰ ὑπὸ τῶν κυάμων χίσματα.

Κυρήβια, τὰ πίτυρα. Κυρβάτης, καὶ κύαβος, ὁ ἀσπαλάξ ἐν τῷ δεισιδαίμονι. Κυρβάζεσθαι, λοιδορεῖσθαι, διαμάχεσθαι. Κυρήβια, ἄχυρα καὶ πίτυρα, καὶ τὰ τῶν κριθῶν ἀποβράσματα, παρὰ τῷ Ἱπποκράτει. Κυρβάσθε, τρίβεσθε. κάρθρα, προσωπεῖα ξύλινα. Κυρίτισιν ἡμέραισι, ταῖς τὰ πυρετὰ κρίνουσι προσκειμέναις, παρὰ τῷ Ἱπποκράτει. Κόκκον, σφαῖραν. Κυρίσσω, ὁ κυρίττειν, κέρασι μάχεσθαι. Κόκκινον, ἴδιον, αὐτιλικὸν, γραμμάτιον. Κύκνος, ὁ ἐξουσιαστής, ἢ ὁ ἐν ἀξιώματι ὑπάρχων. καὶ κύκνος, ὄνομα δηλωτικὸν τοῦ θεότητος. Κύριος κυρίως, ὁ κεκυρωμένος καὶ βέβαιος. Κυριότητες, εἰσὶ δυνάμεις ἅγιαι λειτουργικαὶ κυρίου. Κυριότητες, ἡμέρα ἐν ᾗ τελειοῦνται τὰ συμφωνηθέντα, καὶ εἰσπράττεται.

Κύσον, λέγει Ἀριστοφάνης, ἀντὶ τοῦ κύρου τοῦ ἀρταξέρξου, τοῦ περσῶν βασιλέως. τὰ ἀπὸ τοῦ υ. Κύαθος, κῦμα, κυμαίνω ἢ θάλασσα, ἀντὶ τοῦ κύματα ἐγείρω. κυλίω, ἀφ' οὗ κύλινδρος. κύκλος, κυκλόω κυκλῶ, τὸ στρέφω. κυκλῶ δὲ κυκλῶ, τὸ περιβάλλω. κύβος πᾶν τὸ ἔχον κυλλότητα, καὶ χωροῦν, καὶ αὐτὰ ὁ κυλλότης καὶ διαχώρησις. κύβος πᾶν τὸ τετράγωνον κατὰ πλάτος καὶ καταβάθος, ἰσόπλευρον. ἐντεῦθεν δὲ ἴδιως λέγεσθαι κύβους τὰ ἐξάγωνα ὀστᾶ, οἷς χρῶνται οἱ παίζοντες. κυβισὴς καὶ κυβιστὴς, ὁ τοῖς χρώμενος. κυβεύω, κυβεία. κυλλήνη πόλις ἀρκαδίας, ἀφ' ἧς κυλλήνιος ὁ ἑρμῆς. κυλλὸς, ὁ βεβλαμμένος τὸ μέλος, ἀφ' οὗ κυλλοποδίων, καὶ κυλλοποδίων ὁ ἥφαιστος. κύπρος νῆσος, ἀφ' οὗ κυπρογένεια ἡ ἀφροδίτη. κύπρις, ἡ αὐτή. κύκνος, ζῶον πτηνόν. κύαμος, εἶδος ὀσπρίου. κύω τὸ γεννῶ, ἤγουν ἐγκυμονῶ. κυῶ τὸ φιλῶ, ὡς παρὰ Ἀριστοφάνει. κῦσόν με, καὶ τὴν χεῖρα δὸς τὴν δεξιάν. κύμβαχος ποιητικῶς, ὁ ἐπὶ κεφαλὴν καὶ ὤμους κείμενος. κύμβαλα, ὄργανα [illegible] κρουστά. κύθηρα πόλις, ἣ καὶ ἐνδεθήρως λέγεται πληθυντικῶς, τὰ κύθηρα, ἀφ' οὗ κυθέρεια ἡ ἀφροδίτη. κυδοιμός, τὸ [illegible]. κυρήνη, πόλις, ὁ ἀπὸ ταύτης κυρηναῖος. κυάνεον, τὸ μέλαν. κύων, ζῶον χερσαῖον, καὶ θαλάττιον, καὶ ἐν οὐρανῷ ἄστρον, ἀπὸ τοῦ κύειν τοῦ χερσαίου. κύων, γένος φιλόσοφον. καὶ κυνικοὶ, διὰ τὸ σκώπτειν, καὶ οἱονεὶ δάκνειν, ὥσπερ κύνες. κύδος ἡ δόξα, κυδαίνω τὸ δοξάζω. κυρόω κυρῶ, τὸ βεβαιῶ. κυρέω δὲ κυρῶ, τὸ περιτυγχάνω. καὶ κυρίω, ῶ, τὸ ὑπάρχω, κατὰ τοὺς τραγικούς. κυδοιμός, ὁ θόρυβος. κυβιστῶ, τὸ κολυμβῶ. κυλίνδρον, εἶδος ἐπύρου. κυνῆ, ἡ περικεφαλαία. κυνόδους, τὸ δάκνω. κυνὸς κυνοσουρὶς, ὁ πρὸς κυάμους ἰθύων. κυνηγέτης, [illegible]. κύκλος, τὸ ἀντλητήριον. κύλιξ, τὸ ποτήριον. κυανοχαίτης, ὁ ποσειδῶν, ἤγουν μελανόθριξ. κύζικος, πόλις. κύμινον, ἀφ' οὗ κυμινοπρίστης ὁ φειδωλός. κυψέλη, ἀγγεῖον ὃ διαπεπλεγμένον ἐκ σπάρτου, ὃ καθιᾶσιν οἱ ἁλιεῖς εἰς τὴν θάλασσαν διαλιέσαντες. κυφαλὶς, ὁ γόνος τοῦ ὠτίου. κυνηγὸς, ὃς παρὰ ἀττικοῖς λέγεται κυνηγέτης. κυφὸς, ὁ κυρτός. κυρίττω, τὸ κερατίζω. κυκλὼψ, εἶδος πότε. κυλοιδιῶ, τὸ τοὺς ὀφθαλμοὺς ἐξογκοῦμαι. κύτος, τὸ ὑπογάστριον μέρος τοῦ σώματος. κύθνος, νῆσος μία τῶν κυκλάδων, ὁ ἀπὸ ταύτης κύθνιος. κυνόσαργες ἦν τι παρ' ἀθηναίοις γυμνάσιον. κύρβεις ἀρσενικῶς ἦσαν, ὥσπερ καὶ θηλυκῶς. λίθοι οὕτω ἐλέγοντο κορβεῖς, ἐν οἷς οἱ νόμοι ἦσαν ἐγγεγραμμένοι, καὶ ἕτερα. Κυρίττει, καὶ κυριάσει, κέρασι τύπτει, καὶ μάχεται. κυρίως δὲ ἐπὶ κριῶν. Κυριττόντων, κερατιζόντων, κέρασι πλησσόντων. Κύρος, ὁ ἄλωσις, ἢ πλέγμα τι, χοινίον, ἢ κυρτίς.

Κυριττοὶ, οἱ ἔχοντες τὰ ξύλινα πρόσωπα κατὰ ἰταλίαν, καὶ ἑορτάζοντες τῇ κορυθαλλίᾳ γελοιασταί. Κυρίσσοντες, κερατισταὶ πλήκτης. Κυρίσσειν, ἐν γαστρὶ ἔχειν. Κυρίως, βεβαίως, ἰσχυρῶς, ἀσφαλῶς. Κυρκανᾶν, ταράττειν, κινεῖν. Κύρμα, ταυτὸν δὲ τῷ εὐτυχὲς εὕρημα, ἢ ἁπλῶς εὐτυχία, καθ' ὁμοιότητα τοῦ κατὰ συγκυρίαν. Κύρμα, ἐπιτυχὲς, παρὰ τὸ κυρεῖν. ἄλλως, ἐπίτευγμα σπάραγμα τοῦ. Ἀριστοφάνης, σύρφετος, κύρμα. ἢ κύρμα, ταῖς ἐγκυρουμένοις πράγμασι. Κύρσα, κρανία. Κύρσιον, πέλαγος. Κυρσάνια, ἃ ἐπὶ κύρον ὠνομάσθη, τερπνοί. Κυρσίκα, κύλικα. Κύρσοι, οἱ νόθοι.

Κύρον, τὸ ὄνομα ἀπὸ τοῦ κυρεῖν, οἷον ἀπέμενον καὶ συνεβράδιον, ὡς τὸ κατὰ ἐπ' αὐχένι κόρσο, τετύχηκεν, ἤγγισεν, ἐπέτυχε.

Κύρος.

σαργες καὶ ἵδρυται. ἦν δὲ καὶ γυμνάσιον ἔξω τοῦ ἄστεος ἀθηνῶν, ὃ λευκὸς κυνόσαργες ὀξυτόνως προσφέρον, ὁμοίως τῷ χρυσαλίς. ἐρωτᾷ δὲ ὅμως ἡ τοῦ προπαροξυτόνου ἀνάγνωσις, ὡς δῆλοῖ ἐν τῷ κυνοσάργει. Κυνόσβατον, ὃ κυνὸς βάτον ἐν παροιμίαις. αἰνιττόμενος δὲ ὡς εἶπεν αὐτῶν, ὡς ὁ Ἀθήναιος, καὶ αὐτὸ ἱστορεῖ ξυλίνην κεῖται διὰ τὸ ἀκανθῶδες τοῦ φυτοῦ καὶ τραχύ. ὁ δὲ αὐτὸς προστιθεῖ, καὶ ὅτι χρησμὸν λαβὼν ὡς οἰκίζειν πόλιν ἔνθα ὑπὸ ξυλίνης κυνὸς ἀχθῇ, κατασχεθεὶς τῶν κρεῶν ὑπὸ κυνὸς βάτου, ἔκτισεν ἐκεῖ πόλιν. Κυνόσβατος, φυτάριόν ἐστιν ὅμοιον ῥόδῳ, ἔχον τὸν καρπόν. ἔστι δὲ μεταξὺ θάμνου καὶ δένδρου παρόμοιον ταῖς ῥοιαῖς, ἢ ταῖς ῥοδέαις, ἀκανθῶδες.

Κυνόσσημα, χωρίον τῆς χερσονήσου, ἔνθα λόγος τὴν Ἑκάβην μετὰ τὴν Ἰλίου ἅλωσιν, ἀγομένην αἰχμάλωτον κατὰ τὴν ἐκλαλοῦσαν ἑαυτῆς ἀρετῶν τελευτῆσαι τὸν βίον. Κυνοσσεῖον, θυρωραί. Κυνόσουραν μὲν μικρὰν ἐκάλεσαν, διὰ τὴν τῆς οὐρᾶς ὁμοιότητα, τὴν δὲ ἑτέραν ἑλίκην, διὰ τὸ ἑλίσσεσθαι καὶ ἑλικοειδῶς ἔχειν τὴν οὐράν. ἢ διὰ τὸ μείζονα ἕλιξιν ἔχειν τῆς κυνοσούρας, ὡς καὶ μείζων οὖσα. ἡ μὲν γὰρ περὶ τὸν πόλον, ἡ δὲ ἑλίκη περὶ τὸν βόρειον ὅλον κύκλον φασί. καὶ ἑλίκωπας τοὺς Ἕλληνας, ἀπ' αὐτῆς ὀνομάζεσθαι, διὰ τὸ πρὸς αὐτὴν ἔχειν τοὺς ὀφθαλμοὺς ἀεὶ πλέοντας, τουτέστι τοὺς καλοὺς ἀγαγεῖν. οἱ γὰρ ὑπερόφθαλμους εἶναι τούτους Ὅμηρος λέγει, τοῦτο γὰρ χαρίεν ἐστί. Κυνόσουρα, φυλὴ λακωνική, καὶ ἄκρα τοῦ μαραθῶνος, πρὸς τὴν εὔβοιαν τετραμμένη. καὶ ἡ μικρὰ ἄρκτος, καὶ πᾶς χερσαῖος λόφος, καὶ οἱ κυλλωνικοὶ οὕτω καλοῦνται. Κυνοῦτις, ἄρκτος μικρά. Κυνοῦραι, ἀστράγαλοι. Κυνοσφίω, ὅπου μετοχετευόμενος κῶμα ἐμβάλλει. Κυνοῦχος, ὁ τῆς κυνὸς κρατῶν δεσμός. κέλχαν ἀελίγγιτον ἀχάλκωτόν τε κυνοῦχον. Κυνοῦχος, θυλάκιον, βαλλάντιον, ἢ μαρσίππιον. Κυνοφθαλμίζεσθαι, ἀναιδῶς ἐμβλέπειν. Κυνόφαλοι, κορίνθιοι, φυλή.

Κύντατα, οἰκτρότατα. Κύνταρος, ὁ χίασος καὶ ἔσχατος, παρὰ τῷ Ἀπολλωνίῳ. Κύντερον, ἀναιδέστερον, χαλεπώτερον, παρὰ τὴν κυνὸς γενικήν, κυνώτερον, καὶ συγκοπῇ κύντερον, ὡς μέλανον μελανώτερον καὶ μελάντερον. Κυνώπισμα, τὸ ἐπὶ σιμφύλων πότων. κίχεσι. Κυνῶ, ἀσφαλίζω, καὶ οἷον ἀσπάζομαι. Κυνέω, ἀναιδεύομαι. Κυνώδεις, ἰξώδεις. Κυνῶν ἐπίσημα γένη παραδίδονται, ἰνδοί, ὑρκανοί, μολοσσοί. πρὸς δὲ ἄλλοις καὶ λακωνικοί, ὡς Πίνδαρος αἰόλον εἰπὼν, λάκαιναν ἐπὶ θηρσὶ κύνα τρέφειν, πυκινωτάτην ἐρπετόν. ὅμως ἡ φύσις, καὶ ἐν ἄλλοις καὶ ἄλλοις τίκτεις, διακρίνει κύνας ἀγαθούς, ὁποῖος ἦν ὁ Ἄργος. ὅτι δὲ φιλάνθρωπον φύσει ζῷον ὁ κύων, διὸ καὶ κλῆσιν ἔχειν, ἀπὸ τοῦ κύειν, ὅ ἐστι φιλεῖν, δῆλον ἐστί. Κυνὸς ἐλεγμός, ἰχθύων δηλοῖ βλάβην. Κυνοῦ, τὸ προσκυνοῦ. Κυνῶπα, ἀπὸ εὐθείας τῆς ὁ κυνώπης. οὐ θαυμαστόν, ὦ κυνῶπις ὡς δηλοῦσι, καὶ αἱ τραγῳδίαι κυνώπιδες, παρακαλοῦν διαλύει τὸ σύνθετον, καὶ κυνὸς ὄμματα ἔχειν αὐτὴν λέγει. Κυνώπιδα, ἀναίσχυντον. Κυνώπιδος, ἀναιδοῦς ὄμμασι. Κυνώπιδος, ψόγος ὀφθαλμοῦ, ὥσπερ αὖ πάλιν ἔπαινος τὸ βοώπιδος. Κύος, κύημα, ἔγκυον τὸ ἐν γαστρί.

Κύουσαν, ἔμβρυον ἐντὸς ἔχουσαν. Κυοφορούμενος, ἐγκυμονούμενος. Κύπαι, εἶδος κυνῆς, καὶ αἱ ἐξ ὅλης καὶ χόρτου οἰκήσεις. Κύπαδον, μεμαραμμένον. Κυπὰς, τὸ ἱμάτιον λέγεται κυπασίς, ὡς καὶ ἱμάτιον ἐν Ἰσαμβρίᾳ τῷ χρυσαλλίων, ἤγουν μεθυστικόν, παρὰ Λυκόφρονι. Κύπασσις, αἱ δὲ σκευοφόροι. οἱ δὲ χιτῶνος εἶδός φασιν αὐτὴν εἶναι τὴν κύπασσιν. οἱ μὲν γυναικεῖον, οἱ δὲ ἀνδρεῖον. Κύπασσις, κόσμος γυναικεῖος ἐνδεδυμένος. Κύπαρα, ἡ ἐν Σικελίᾳ κρίνα ἀρίστουσα. Κυπαρισσήεις, πόλις μία Ἰωνίας, ἐθνικὸν κυπαρισσίτης. κυπαρίσσιος μέν, πόλις ἐν παρνασσῷ, ὡς Ὅμηρος ἐμνήσθη. ἐκεῖνος δὲ ὁ πολίτης, κυπαρισσεύς. ὁ δὲ τεωργικὸς, καὶ ποταμὸν λέγει κυπαρισσήεντα, καὶ ὅτι κυπαρίσσια ἐστὶν ἄλλο παρὰ τὴν κυπαρισσήεντα, μεσσηνιακὴ καὶ αὐτή. Κυπαρίσσια, εἶδος ἀλεκτρυόνων.

Κυπαρίσσιον, ἀπὸ κυπαρίσσου φασὶ λαλεῖσθαι ἰσοῦ μονὰ ἐρχομένου. οἱ δὲ, ἀπὸ πλάτους τῆς ἐκεῖ κυπαρίσσων. ἐκάλουν δὲ αὐτὴν καὶ κυπαρισσήεντα, καὶ ἀπολλωνιάδα. πρότερον δὲ καὶ ἱερὰν, ἐν δὲ αὐτῷ τὸ πρὸς διαπολλῶν τοῦ ἱεροῦ ἐν ἐλευσῖνι. οὐ χρήσις, τὸ ἐπεὶ οὐχ ἱερός τὰ δὲ τοῦ ἐστί. πρὸς ὃ παίζων τις παλαιός, συνείληφε, καὶ εἶπε γέρανον, καὶ ἀπῄτησε τὸν ἀκούσαντα, ὡς δεῖν περὶ ζῴου γεραίου λαλῶν. ἔστι δὲ ἐν παρνασσῷ, κατὰ τοὺς δελφούς. Κύπαρος, κυπέλλους τὰ κοῖλα ἔλεγον ἀγγεῖα, καὶ χωρίσματα διὰ τοῦτο, καὶ τὰς τῶν σφαιρῶν κατατρήσεις, καὶ τὰς τῶν αἰδοίων βαλάνους, ἐκ μεταφορᾶς κυπάρους λέγουσιν. ὁ δὲ Θεόφραστος, προσάπτουσιν ἀπὸ τῆς πεύκης καὶ τῆς πίτυος, κύπαρον προσαγορεύει. Κυπασὶς, περίζωμα καὶ χιτῶνος εἶδος. Κυπάτται, αἰδοῖοι, μαλακοί. Κύπειρον, ἄνθος ἵπποις ἐδώδιμον. Κύπαρος, φυτόν, ὃ καὶ ἐρυσίσκηπτρον. Κύπειρος, καὶ κύπειρον, εἶδος βοτάνης. Κύπελλον, ποτήριον εἶδος ἐπὶ τὰ ἴσω κυφόν. οὕτω λεγόμενον, ὡς ἀπὸ τοῦ ἔκπτων δοτήρος ἀφίεσθαι. τὸ δ' αὐτὸ καὶ ἀμφικύπελλον λέγεται, οἱονεὶ πανταχόθεν ἐπὶ τὰ ἴσω κεκυφός. πολλάκις γὰρ ἡ ἀμφὶ πρόθεσις, τὸ κύκλῳ σημαίνει, ὡς δηλοῖ, τὸ οὖσος ἀμφίαλος. ἄλλοι δὲ, κύπελλον τὸ εἰπερ φασὶ ποτήριον, εἰς ὁ χύεται, ποτὸν ἐκχεῖται πολύς, οἶνος. Κύπηρα, τὰ χοινία ἐκ κυπείρου πεπλεγμένα. Κύπη, τρώγλη. Κυπρὶς, πόρνη. Κυπρία πάλαι, ἣν ἐκεῖ σύμμαχον καλοῦσιν. οἱ δὲ, ἀρχαίων, καὶ ἀπολαυστικόν, διὰ τὸ τῇ ἐν κύπρῳ ἀφέσεως παλαιόν. Κυπρίζουσαι, ἀνθοῦσαι, αὔξουσαι.

Κύπριον, τὸ ἀργύριον. Κυπρῖνος, ἰχθὺς ποιός. Κύπριος βοῦς, ἐπὶ κοπροφάγων καὶ ῥυπαρῶν τάσσεται τοῦτο. ἐπειδὴ οἱ κύπριοι βόες κοπροφαγοῦσιν. Κύπρις, ἡ ἀφροδίτη ἢ τὸ κύειν παρέχουσα, ἢ ὅτι ἐν κύπρῳ ἱμᾶται. Κύπρος, παρὰ τὸ κυοφόρον καὶ λιπαρὰν γῆν ἔχει. Κύπρος, μέτρον σιτηρὸν, ἡ κεφάλαιον ἀριθμοῦ. Κυρτάζοις ἔχων. Λαικεφαλαῖος, τὸ κυρτάζοις ἔχων περὶ τὴν θύραν. ἀττικῶς περιττεύει τὸ ἔχων. τὸ δὲ κυρτάζεις στραγγεύῃ, διατρίβεις. Κύπτειν, τὸ ἐπικεκλίσθαι τῷ σώματι. Κυπτάζειν, τὸ στραγγεύεσθαι. Λαικεφαλαῖος, τὸ κυπτάζεις ἔχων περὶ τὴν θύραν, καὶ βραδέως διακείμενος εἰς τὸ εἰσιέναι. Κύπτει, καθυπτᾷ, ἐπὶ τὴν κλίνει. Κυπτὸν, καταμνῶμενον. Κυρβάλωμεν, κρύψωμεν. Κυρβασία, τὸ δὲ λοιπὸν εἶναι ὀξύ, ὅπερ καὶ τιάρα, παρὰ τῷ Ἱπποκράτει.

Κυρβασίαν, κεφαλῶν ἀλίκης. Κύρβαντες, καὶ κρύβαντες, οἱ τὴν κεῖσον φυλάξαντες. βοίσεν γὰρ τὸ φυλάττειν, ὅς χώρην ἀμφιεβαίνεο, ἀντὶ τοῦ φυλάττεις. ἢ ὡς Ἡρωδιανός, παρὰ τὸ κρύβειν κρύβαντες καὶ κύρβαντες, ὅθεν καὶ κυρβασία καὶ κρυβασία. ἔνιοι δὲ, τὸ τῶν κεφαλῶν καλύπτειν. ἄλλοι δὲ, τὰς περικεφαλαίας, κυρβασίας φασί. Κύρβεις, ἡ στήλη ἔνθα ἦσαν οἱ νόμοι γεγραμμένοι. Ἀπολλόδωρος δέ φησι, πᾶσαν δημοσίαν γραφὴν, καὶ νόμους καλεῖσθαι. ὅτι ἀρχαῖοι λίθους ἐκάλουν, τὸ δὲ ἐπὶ ἀναγράφοντες, οὓς μὲν ἀπὸ τῆς στάσεως, στήλας. κύρβεις δὲ, ἀπὸ τῆς εἰς ὕψος ἀναβάσεως. ὕστερον δὲ τὰ ξύλα λελευκωμένα γράφοντες, ὁμοίως ἐκάλεσαν. κύρβις οὖν ἡ περιέχουσα τὰς ἱερὰς γραφὰς στήλη. ἢ ὡς Ἐρατοσθένης φησίν, ἄξων ἀθλώνειν οὕτω καλούμενος, ἐν ᾧ οἱ νόμοι περιέχονται. ἄλλως. κύρβεις χαλκαῖ σανίδες, ἐν αἷς τοὺς νόμους γράφουσι. κατὰ δὲ ἐνίους, ἄξονες τρίγωνοι ἐν οἷς ἦσαν, οἱ τῶν πολιτῶν νόμοι γεγραμμένοι, καὶ αἱ δημόσιαι ἱεροποιίαι, καθάπερ καὶ Ἀριστοτέλης ἐν τῇ τῶν ἀθηναίων πολιτείᾳ φησί, καὶ Ἀπολλόδωρος. κύρβεις δὲ, ἤτοι παρὰ τὸ κεκορυφῶσθαι εἰς ὕψος ἀνατεταμένον, ἢ ἀπὸ τῶν κορυβάντων. ἐκείνων γὰρ εὕρημα, ὥς φησι

Κύναιθος, ὁ ἀναιδής. Κύναιδος, λίαν ἀναιδής. Κυναιθίαι, ἱμάντες οἱ ἐκ βύρσης τοῦ σφαγιασθέντος τετράχα ἀπολλυμένοι βοὸς ἐπιπλέκα διδόμενοι. Κυναλώπηξ, κυνοφθόρος. οἱ δὲ διαλεκτικοί, κύνα ἀλώπεκα ἐπίλεγον. Κυνάριον, ἢ κυνάριον, ἀργιλώδης. Κυναλώπηξ, Φιλόστρατον λέγουσιν οὕτω τὸν αὐλητὴν κωμῳδεῖν, ὡς ἐξ ἀλώπεκος καὶ κυνὸς λακωνικοῦ κύνας φασὶ λέγεσθαι. Κυνάμυια, ἡ ἀναιδὴς ἢ θρασεῖα, παρὰ τὴν κύνα, καὶ τὴν μυῖαν, ἀναιδῆ ζῷα καὶ ἄμφω. κυνικώτερον δὲ τοῦ κυνάμυια, καὶ ἐξ ἐκείνων λέγει γενέσθαι τοῦτο, καθὰ καὶ ἐκ τοῦ μέθυσος ὁ μεθυσοκόλος, καὶ ἐκ τοῦ ἱπποβώμενον ἱπποβώσαμεν, ἐξ ὧν καὶ τὸ ἱπποβώσαμεν, καὶ ὁ μεθυσοκόλος. ἔτι δὲ καὶ καθὰ ἀρχέκακος, ἀρχέχολος παρ' Ἀττικοῖς, καὶ σαφὶς ἀσαφής, καὶ ἀπημείρεσθαι ἀπαμείβεσθαι, παρὰ Ἡσιόδῳ. ἄλλοι δὲ κυνάμυιαν φασί, τὴν τῶν κυνῶν μυῖαν, ἥτις τὸν κρότωνα. ἕτεροι δὲ διὰ τοῦ ι χαίρουσι τὴν ἀρχὴν τῆς λέξεως, καὶ νοοῦσι κυνάμυιαν τὴν μὴ ἔχουσαν τὸ βλέμμα, ἀλλὰ κινοῦσαν συνεχῶς τὰ μεῖζον τῶν ὀφθαλμῶν. Κύναρος, φυτόν, καὶ ἡ ποτὲ κυνόσβατος, διὰ τὸ τραχὺ καὶ ἄκανθῶδες. κύνα γὰρ ἐκάλουν τὴν κυνόσβατον, ὁ Θεόφραστος λέγει.

Κύνας ἀργούς, λευκούς, ἢ ταχεῖς. Κυνδάλη, παιδιά τις. ἧ οἱ μὲν ἐπιμυούμενοι, κυνδάλας τὰς σκυτάλας ἐπήλεγον. εἰ δὲ τὰ γεωμετρήματα σχήματα, κακῶς. κυνδάλους δὲ ἔλεγον τοὺς πασσάλους, καὶ κυνδαλοπαίζειν τὸν πασσαλεύειν. Κυνδός, ἄπαικτος, ἀπαραλλακτος. Κύδνον, ποταμὸς ἐν Κιλικίᾳ, οἱ δὲ ἐν Πελοποννήσῳ. Κυνέας, τὰς περικεφαλαίας, ὥστε τὰς ἀπὸ κυνείων δερμάτων γινομένας, ἢ ἀπὸ κυνὸς εἴδους κατασκευασθέντος τρόπον. μέμνηται Δημοσθένης ἐν τῷ κατὰ Μειδίου οὕτως, ἢ κυνᾶς τὰς στολὰς ἔχοντες. Κυνεῖγας, κυνίδιον. Κυνηλόφαλος, ὁ τῆς φάλκος ἀπὸ κεφαλῆς ὡς τὰ ἐλαφοία φωλεύματος γένος. Κυνέα παρ' Ὁμήρῳ, χρύσεως παλαιᾶς ἦν ἕτερα. ὡς γὰρ ἐν τῷ παρδαλέη, λεοντῆ, λυκῆ, ἐλαφεία ἡ δορά, οὕτω καὶ ἐν τῷ κυνέα. δηλοῖ γὰρ κυνῆν δοράν, ἥπερ κυνὸς ποταμίου σκέπουσαν τὰς κεφαλὰς τοῖς παλαιοῖς. οἱ μὲν πάντα ὕλη τοῦ σκεπάσματος ὑπαλλάξαν, τὸ ὄνομα οὐκ ἐνήλλαξαν, ἀλλὰ καὶ τὸ ἐξ ἄλλης ὕλης ἔρυμα τῆς κεφαλῆς κυνέα καλεῖται διὰ τὴν παλαιὰν χρῆσιν, καθ' ἣν καὶ ἡ τοῦ Ἄϊδος περικεφαλαία, κυνέα λέγεται. Κυνέη Ἄϊδος, ὁ ἀήρ. εἴληφε τὴν ἀρχὴν ἐν τῷ τοῦ Διομήδους ὁρμαῖς οὕτως, διότι λέγεται Ἄϊδος κυνέην, μή μιν ἴδοι ὄμβριμος Ἄρης, ὅπως μελανωθείη ὑπὸ τοῦ μύθου λέγεσθαι εἶναι ὑπὲρ χαμαὶ ἂν εἴη τὶς μέλαν. διὸ καὶ πᾶς ἀφανὴς ἐν τῷ Ἄϊδος τι ὑπάρχει, καὶ οἷον ὑπὸ ἄλλο καὶ τῷ ἐπὶ σκότῳ τοῦ ἄλλου, λέγεται παροιμιωδῶς κυνέην φορεῖν. Κύνει, ἀντὶ τοῦ ἐφίλει, ἢ προσεκύνει. Κυνεῖν, τὸ φιλεῖν, πρωτότυπον ἐστὶ τὸ κύειν, ἐκ τούτου τὸ προσκυνεῖν. καὶ τὸ κύειν, τὸ γεννᾶν. Κυνέας, περικεφαλαίας, πρὸς τὸν ὄμβρον ἐχούσης. καὶ ἐν Ὀρνίθοις, ὁ πρεσβύτης τὸν ὄμβρον φοβούμενος λέγει. τὸ δὲ μὴ κυνῶν οἴκοθεν ἐλθεῖν ἐπὶ τὸν περικεφαλαίαν ἔχοντα. Κυνέα κατὰ τοὺς παλαιούς ἐστι εἶδος τι πυκνότατον. ἢ τοῦ Ἄϊδος κυνέα. δι' οὗ καὶ οἱ θεοὶ ἀφανεῖς ἀλλήλοις γίνονται. ὡς εἶναι ταύτην κυνῆν ἄλλος δῆτα, καὶ ὑπὸ παχυτάτου νέφους γενέσθαι. ἴσως δὲ καὶ ἐκ τοῦ ὑπὸ γῆν Ἄϊδου εἶναι σκότει. εἴρηται τὸ δὲ Ἄϊδος κυνέην, ἣν περιβαλλόμενός τις, οὐκ ἂν ὁρᾶτο. διὸ ἀθέατον λέγεται. Κύνεον θάμνον, ἄγαν φοβερόν. Κύνεος, σώφρων, καὶ ἰσχυρός. Κυνέη, ἀναιδής, κυνώπης. Κύνειος θάνατος, χαλεπός. ἔστι δὲ, ὁ τοῦ κυνὸς θάνατος. λογχῶσι γὰρ ἀφίησι τὸ πνεῦμα, παρὰ τῷ Ἀριστοφάνει. Κυνήλαφοι, κυνῶπες.

Κύνεον νοῦν, λέγει ὁ Ἡσίοδος, τὸν κυνὸς ἀναίδειαν ἔχοντα. ἀπὸ κυνός, κύνεος, ὡς ἀπὸ τοῦ χρυσὸς χρύσεος, καὶ ἄργυρος ἀργύρεος μετουσιαστικῶς. Κυνήσωσιν, ἐφιλήσωσιν. ἔνιοι κυνήσωσιν, τὸ εἴδωλον ἐπιτείναντες, οἷον ἐπίασασιν. Κυνὸς, τοῦ ἵππου τῆς ὁπλῆς μέρος καὶ ἄλλοι. καὶ ἀναιδοῦς, καὶ οἱ φιλοκυνηγέται. Κύνεσι, τοῖς κυσί. Κυνδίαι, ἔτι ἄρρενας κόρην, ἢ αὐτὴν, ἢ παιδί. Κυνίσκον, ἐφίλουν. Κύνεσι σκυλακώδης, κυνὸς κυνῶν. Κυνῆ, γεννήτις αὐτή. κυνῆ δὲ παρὰ τῷ Ἀριστοφάνει, ὅτι ἔχει περικεφαλαίαν τὸν πέτασον, ὡς Ἑρμοῦ ἄγγελος ὤν. παρὰ Σοφοκλεῖ ἐν Ἰνάχῳ ἐπὶ τοῦ Ἑρμοῦ. φασὶ δὲ καὶ κυνέαν τὸν πέτασον λέγεσθαι ἐν Πελοποννήσῳ. πέτασον γὰρ ἐπὶ τῆς κεφαλῆς φορεῖ ὁ Ἑρμῆς, πρὸς ὃν τὴν κυνῆν εἶπε. καὶ Πελοποννήσιοι δὲ τὸν πέτασον κυνῆν καλοῦσι. Κυνῆ Βοιωτία. ἐγένοντο γὰρ διάφοροι, ἀεὶ αἱ ἐν Βοιωτίᾳ καλαὶ κυναῖ, ἃς οἱ κατ' ἀγρὸν ἐφόρουν. Κυνηγέτης λέγε, τετρασυλλάβως. Κυνηγέτας ἐμβαλεῖν ταῖς κυσίν, ἐγκελεύσειν, ἐπικατακρατεῖν, ἐπικελεύσχεσθαι, ἐπισημαίνεσθαι, ἐπισημαίνεσθαι, ἐξοτρύνειν, τὰς κύνας προσκαλεῖν, προσάγειν, ἐπιχαρίζειν, ὁρμᾶν, παρορμᾶν, καὶ τὰ ὅμοια. Κυνηγῶ, κυνηγετῶ, ἀγρεύω, θηρῶ θηρεύω, θηρεύω, ἁλιεύω. Κυνῆλον, δίκην κυνός. Κυνῆν, περικεφαλαίαν λέγουσιν, ἀγραῖον φόρημα. εἴρηται δὲ ἐκλαθέσθαι, ἐπειδὴ πρῶτον ἀπὸ κυνείων δερμάτων ἦν. Κυνθάνει, λεπύθει. Κύνθιον, σπασματῶδες ξύλινον. Κύνθος, ὄρος Δήλου. ὅθεν ὁ Ἀπόλλων, Κύνθιος καλεῖται. Κυνίας, πῖλος ἢ χείρ. Κυνίδια, γένος ἀγροῦ ἐσθιόμενον, ἀπὸ κύνου ἢ κυνίδιον ἡρώου. Κυνίδιον, τὸ μικρὸν κυνάριον. Κνίζα, μετὰ βλαβείας περικνισμοῦ. Κνίζω, παρὰ τὸ κίω τὸ κινῶ κνίζω. τὸ δὲ κίω, παρὰ τὸ ἴω τὸ πορεύομαι.

Κυνικοὶ οἱ φιλόσοφοι, διὰ τὸ καθαλλεῖν καὶ θρασὺ καὶ ἀναιδές. ποιοῦσι γὰρ καὶ οἱ κύνες. Κυνικὸς ἐστὶ νοῦς, ὁ θεωρητικός, διὰ τοῦ ἐκκόπτειν τοῦ θυμοῦ πάντας ἀπολλύειν τοὺς λογισμούς. Κυνικὸς ἐστὶ νοῦς, ὁ πρακτικός, ὁ πάντας τοὺς ἐλέγχους ἐκκολάπτων λογισμούς. Κύνιος, Ἀπόλλωνος ἐπίθετον.

Κυνίζειν, ἀκροβολισμοί. Κυνίσκας, τὰς κύνας, ὡς φιάλας καὶ φιαλίσκας λέγομεν. Κυνισμός, οὕτως ἐστὶν ἀρετὴ ὁδὸς. καὶ κυνιεῖν δεῖ τοὺς ἀποδειλαίους. Κυνόσφαλον, ἀπατηλόν. Κυνοβάμων, ἵππος τις, οὕτω προσηγορεύετο.

Κυνοβλώψ, κύνειον ὁρῶντες. Κυνόγλωσσον, πόα τις.

Κυνοδέσμη, δεσμὸς ἀκροποσθίου. Κυνοθαρσής, ἀναιδής. Κυνόκαυστον, πόα τις. Κυνοκέφαλον, πόα τις, ἣν ἔνιοι ἀντιρρίνον καλοῦσι. Κυνοκέφαλος, ὁ Κλέων ἑαυτὸν οὕτω καλεῖ, ἀντὶ τοῦ δεινὸν καὶ ἀναίσχυντον. Κυνοκτόνῳ ἐν, τῷ πόνῳ ἐν κυνείῳ λέων. Ἀριστοφάνης, τὸν δὲ ὡς μάγειρος λέγει. ἔστι γὰρ κύων, ἰχθὺς ποιός. ἅμα δὲ καὶ κυνὸς ἐν λιμένι παίσαι. ἔστι δὲ τραχύτατον. Κυνόλφα, σίλφα. Κυνόμαλα, τὰ κυνόμελα. Κυνόμυια, ἀναιδὴς ὡς μυῖα, ἐκ δύο ἀναιδῶν τελείων, τοῦ τε κυνός, καὶ τῆς μυίας. διὰ τὸ ὑπερβάλλον τῆς ἀναιδείας. Κυνοπίσις, ζῷον. Κυνοραισταί, οἱ τῶν κυνῶν τὸ αἷμα ἐκπιπίζοντες. Κυνοραιστής, δι' οὗ μὲν γίνεται τοῦ φωνοῦς, διὰ τὸ μέτρον. ὡς δέχεται αὐτὸ ὁ σίλλος· διπλασιάζει τὸ ρ ἀττικῶς. δηλοῖ δὲ ἢ ψιλικῶς τὸν τοῦ τομοῦ ῥαίειν, ὥσπερ καὶ κυνοραισταὶ λέγονται τὰ τῶν κυνῶν φθειρικὰ θηρία. ἢ καὶ ἄλλως, δι' οὗ ῥαδίως γίνεται ἡ ψυχὴ λυθεῖσα τοῦ ἐκ τοῦ σώματος δεσμοῦ. Κυνοραιστῶν ἐρετιῶν, οἷον φθειρῶν. ῥαίνουσι γὰρ τοὺς κύνας, πίνοντες τὸ αἷμα αὐτῶν. ἢ κυνοραιστῶν, κυνικῶς ἐκπιεῖν. Κυνόρροδον, ξύλον ὅμοιον ἐλαίᾳ.

Κυνόρχιας, βοτάνου ὄνομα. κυνὸς τυφλοῦ, ἢ πέλαμος. Κύνος, ἄρα τις τερματίζοντος τὴν ἑσπέρίαν κόλπον, ἐπίσημον ἐπάνω τῆς πόλεως δηλωτὸν ἐπὶ κυνοκεφάλιον, τὴν πέραν εὐβοίας κατὰ τὴν παραλίαν, ἀφ' ἧς ὢν καὶ ὁ τοῦ Ἀχιλλέως συγγενὴς καὶ ἑταῖρος Πάτροκλος. Κυνόσαργες, χωρίον οὕτω καλεῖται, ἀπὸ κυνὸς λευκοῦ θυμοῦ ἢ ἁρπάσαντος, καὶ ἐκφανέντος ἐκεῖ. ὅθεν οὐ δὲ αἴτιον πρόσρημα, τὸ ἐς κυνόσαργες, ἀφ' ἧς ὁ ἐν τῷ ἐς κόρακας. ἔστι δὲ εἰπεῖν τὸ κυνόσαργες, δῆλον ἐκ τῆς διοικήσεως. ἐν ἐκεί-

μα, καὶ ἐπὶ τῶν μετὰ βίας τι ποιούντων, ἀπὸ τοῦ ἀπὸ λύσεως τοῦ κατὰ τὸν αἰτωλικὸν πόλεμον γενομένου. ἔστι δὲ καὶ παραγωγὸς ἀπὸ τοῦ ἀλιτραίνειν, ὅ ἐστιν ἁμαρτάνειν. λαμβάνεται δὲ παρὰ τοῖς Δωροφόροις τὸ ἀλιτήριον, καὶ ἀντὶ τοῦ ἀποχρησάντων καὶ ἀποτυχόντων. Κῦμα, παρὰ τὸ κύω τὸ γεννῶ. καὶ κύματα κωφά, τὰ ἄνευ ἀνέμων ἠρεμοῦντα. Κῦμα, ὕδατος ἐπιφορὰ βιαία, καὶ τὸ ἔμβρυον ἐν τῇ κοιλίᾳ, καὶ τὸ γινόμενον κύημα. Κυμαίδας, ἰχθύας. Κυμαῖχο, ἡ ἱερατεία. Κυμαίνω, ταράσσω, καὶ ἐπὶ τοῦ ζέειν. αἶψα δὲ κυμαίνουσαν ἀπαιτοῦν χυτρίδα κοίλην. Αἰλιανὸς ὅμως ἡ ψυχὴ ὑπὸ τοῦ πάθους αὐτοῦ κυμαίνεσθαι, καὶ φλέγεσθαι ἀκρατῶς ἑαυτοῦ. Κυμαίνων, ταρασσόμενος, σαλευόμενος, ὑπερβλύζων. Κόμαρος, κόμαρος, βότρυχος.

Κύματα μακρά, τὰ ὑψηλὰ λέγει Ὅμηρος, τουτέστι τὰ εἰς ὕψος κορυφούμενα. οὕτω γὰρ καὶ μακρὸς ἐλυμπός ὁ ὑψηλός. ἔστι δὲ ὅτι ἡ λέξις καὶ τὸ βαθὺ σημαίνει, ὡς ὅτι φρέατα μακρὰ λέγονται, ἤγουν βαθέα καὶ οὐχ ἁπλῶς, ἀλλὰ πάνυ βαθέα. οἱ γὰρ πᾶν βαθὺ ὕδωρ καὶ μακρὸν λέγεσθαι. Κυμάδια, τὰ χεῖλα διὰ τὸ κυμαίνειν. ἢ αἱ ὑπεροχαί, παρὰ τέκτοσι καὶ λιθοξόοις.

Κύματος ἐξωκεανοῦ, ἃ ἐκβάλλεται εἰς ἤπειρον, κακοῦς ἔχει καὶ ὕλας. ἐκεῖ γὰρ ἐκτίθεσθαι ἔστι ῥιπτόμενα. Κύματα μακρὰ παρ᾽ Ὁμήρῳ ἀντὶ τοῦ βαθέα. καὶ φρέατα μακρὰ ἐν ἄλλοις λέγει, ἐπὶ τοῦ συμπεπτωκότος. Κυμάτια, αἱ ὑπεροχαί παρὰ τέκτοσι καὶ λιθοξόοις. Κύματι, κωφῷ, τῷ λέγω ἀνέμου ἐπιφερομένου τοῦ ἀφόρου, καὶ μάλιστα ἦχον ἀποτελοῦντος. ἄνευ γὰρ ἀνέμου τὸ κῦμα ὀγκοῦσθαι, μάλιστα ἀνέμου ἐνεχομένου ἐστίν. Κύματος ἄκρον ἄωτον, ὁ ἀφρός. Κυματοφορεῖσθαι, κλονεῖσθαι. Κυματωγή, ῥαχία, αἰγιαλοῦ ὑπαγωγή. Κῦμα θαλάσσης λέγεται πρὸς διαστολήν. κυμαίνονται γὰρ καὶ λίμναι, καὶ ποταμοί. ἀλλ᾽ οὐχ οὕτως. κῦμα δὲ παράγεσθαι παρὰ τὸ κυκᾶσθαι, ὡς φαίνεται ἐν τῷ κεκυκημένον ἐκ τοῦ αἵματος. ἐμφαίνει ὁ ποιητὴς ἐγγὺς τοῦ κυκᾶσθαι τὸ κῦμα θέμενος τρόπῳ ἐτυμολογικῷ. ἐπεὶ τὸ κῦμα ἐκ τοῦ κυκᾶν λέγεσθαι τινὲς ἐθέλουσι, ἤγουν κύκημα. ὅτι δὲ κῦμα ἀφιμίας καὶ τὸ κατὰ γαστρὸς ἔμβρυον λέγεσθαι συγκοπὴν ἐκ τοῦ κύημα, δηλοῖ Εὐριπίδης ἐν τῷ γόνος κύματος εὐσπόρου, ἤγουν ἐγκυμονοῦντος ἐκ Ποσειδῶνος. Κῦμα, ἀντὶ τοῦ κύημα κεῖται, παρὰ τῷ Ἀπολλωνίῳ κατὰ συγκοπήν. Κυμαίθα, παρὰ Θεοκρίτῳ, ὄνομα βοὸς, καὶ αἰγὸς, παρὰ τὸ κύμινδα. ἢ παρὰ τὸ αἴθω καὶ τὸ κῦμα, ἡ τὰς κόμας αἴθας ἔχουσα, τουτέστι ξανθὰς, ἢ ὀγκούμενον. Κύμβαι, ὄρνιθες. Κύμβαι, πλοῖα περιφερῆ, παρὰ Ῥωμαίοις. Κυμαίνει, ἡ θάλασσα, ἀμεταβάτως, μεταβατικῶς ἀντὶ τοῦ ταράσσει. Κυματολήγη, ὄνομα νηρηΐδος. λέγεται αὐτὴ τὸ λήγειν τὰ κύματα. Κυματωγή, ἀκτὴ ἔνθα κύματα ἄγνυνται. Κύμβαλον, ἀκρότατον. Κύμβαλα, ὄργανα ἠχῆ, παρὰ τὸ κύφον, κύφαλα ὄντα ὄντα. καὶ κύμβαλα, ὀνομάζεται παίγνια. καὶ κύμβαλ᾽ ἐβόλει παρ᾽ ἐλιχιλίδια. Κύμβαλον, παρὰ τὸ κύπελον, κύπαλον. καὶ κύμβαλον, ἢ παρὰ τὸ πεποιημένην φωνὴν ἔχον. κύμβαλον γὰρ, ἐκ πεποιημένης φωνῆς εἴληπται, αἱ δὲ πεποιημέναι φωναὶ αὗται, κομ, καρ, κιρ, ρι, χαι, κι, ται, χθι. Κυμβαλικὸς τρόπος, τῶν πολίκεις καταυργοῦσι.

Κύμβαλον, βακύλλιον, βαβούλιον, εἶδος ὀργάνου μουσικοῦ. Κύμβαι, ὄρνιθες, καὶ πέλλαι, καὶ περιφερεῖς, καὶ εἶδος ποτηρίου. Κυμβατευταί, ὀρνιθευταί. Κύμβαχος, ἐπὶ τὸν τῶν ἐπὶ κεφαλήν. ἔοικε γὰρ οἱ μετὰ ἐπὶ ὀγκουμένων κεφαλῆς ἡ κύμβη λέγεσθαι, ἀλλὰ καὶ ἐπὶ κεφαλῆς, κατὰ τὸ ἐπιβάλλειν. ὅθεν καὶ κυβιστᾶν τὸ ἐπὶ κεφαλὴν καταβάλλεσθαι. ἔστι δὲ καὶ κυμβαῖον, εἶδος ποτηρίου, ὡς Παυσανίας φησί. παρὰ τὸ κοφὲν δὲ ἐτυμολογεῖται ἡ κύμβη, ὡς περιφερής. ὁ δὲ ἐκύμβαχος. ἢ ἔχει τι ἐτυμολογικόν, διὰ τὴν ἀνάγκην ἐγκλιθῆναι αὐτὸ ἦχον, ἢ ἐκ παραγωγῆς ἔχει τὸ χ, ἐκ τοῦ η. ὡς κοπὶς,

τίμαχος. ὅθεν κύβησιν ἀπεικὸν, ὁ ἐμπεχίδεια, οὕτω καὶ κύμβη, κύμβαχος. σημαίνει δὲ ἡ λέξις καὶ τὸ τῆς περικεφαλαίας ἄκρον, ἐν ᾧ ἐνίεται ὁ λόφος, ὡς τὸ κύμβαχον ἀκρότατον νύξ᾽ ἔχει. τὸ δὲ ῥηθὲν κυμβαῖον ποτήριον, κυμβίον ἔτεροι γράφουσι. λέγονται καὶ ὅτι ἐοίκει κατὰ σχῆμα πλοίῳ, καλουμένῳ κύμβῃ. Κύμβαχος, ὁ ἐπὶ κεφαλὴν πεσὼν, καὶ ἄνω τοὺς πόδας ἔχων. Κύμβαχον κόρυθος, ὅρα πρὸς διαστολὴν τοῦ τῆς κεφαλῆς εἴρηται. Ὅμηρος, κύμβαχον ἀκρότατον νύξεν. εἶτα ἐπάγει, πρὸς θρίασιν δ᾽ ἀφίππειον λόφον. πᾶς δὲ ὁ λόφος δηλαδὴ χαμαὶ κάππεσεν. ἔτι δὲ καὶ ἄλλως κύμβαχον, τὸ ὑπὲρ κεφαλῆς διάκενον τῆς περικεφαλαίας, ὡς ὃ καθίεται ὁ λόφος. εἴρηται δὲ παρὰ τὴν ἦχον τῆς κύμβης, ὅ ἐστι τῆς κεφαλῆς, ὅθεν καὶ κυμβία, ποτήρια ἐοικότα κεφαλοειδῆ, ὡς εἰκός. καὶ κυβιστᾶν, τὸ ἐπὶ κεφαλὴν ἑαυτὸν βάλλειν. συμβάλλεται δὲ εἰς τὴν τοιαύτην νοῦν, καὶ ἡ παρὰ τοῖς Ὀππιανοῦ ὀγκοειδὴς μύθος κύμβη.

Κύμβη, πλοῖον εἶδος. ἢ ὁμώνυμον ποτήριον κύμβα, καὶ κυμβίον δὲ γένος τι ποτηρίου βαθέων ὀρθῶν, πυθμένα μὴ ἐχόντων μηδ᾽ ὦτα. Κύμβη, ἡ κεφαλή. Κυμβία, τὰ κοῖλα ἐκπώματα, διὰ τὸ περιφερῆ εἶναι καὶ κοῖλα. Κυμβία, τὰ μαζία τῶν χοιρίων. Κυμβίον, εἶδος τι ἐκπώματος ἐπιμηκὲς καὶ στενόν, καὶ τὸ σχῆμα παρόμοιον τῷ πλοίῳ, ὃ καλεῖται κυμβίον. Κύμβοι, τὰ ἐκπώματα. Κύμβος, κοῖλος μυχός. βυθός, καὶ κεραμίου πυθμήν. Κύμη, πόλις ἰταλίας ἀπὸ Κύμης κύμης βασιλίδος, ἢ ἐκράτει τὴν τόπον. οἱ δὲ, τὸ ἐγκύμονος γυναικὸς οὕτως ὠνομάσθαι τὴν τόπον. οἱ δὲ, διὰ τὸ πολυκύματον αὐτὴν εἶναι. Κύμηχα, κόσμον. Κύμινδις, ἔοικε κρόμινδις εἶναι. οἱονεὶ κρύψις τοῦ ἰδεῖν, ἐπειδὴ ὕπνον οἰκεῖον ἐστι. διὸ καὶ τοιούτῳ ζώῳ τὴν ὕπνον Ὅμηρος ἐπεφώνησεν, ὃ τὴν κεφαλὴν ὑπὸ τὰς κλάδους φασὶ κρύπτειν. ἔστι δὲ ὁ κύμινδις, ἢ ὁ κόμινδις, ἑκατέρως γὰρ λέγεται, οἰκεῖος ὕπνῳ ἐστί, καὶ ὡς εἰς ὕπνον φανερώτερος, καὶ ὡς τὰ πλεῖω νυκτὸς φαινόμενα. καθὰ καὶ ὁ ὕπνος νυκτὶ πεφιλίωται μυθικῶς, καὶ ἀλληγορικῶς, καὶ δηλοῖ τοῦτο ἡ περὶ αὐτοῦ ἱστορία λέγουσα, ὅτι κύμινδις ὀλιγάκις φαίνεσθαι. οἰκεῖ γὰρ ὄρη. μέγεθος, ὅσον φασσοφόνος ἱέραξ, τὴν δὲ ἰδέαν λεπτὸς καὶ μακρός, κύμινδιν δὲ καλοῦσιν Ἴωνες αὐτόν. οὗτος ἡμέρας μὲν οὐ φαίνεσθαι διὰ τὸ μὴ βλέπειν ὀξὺ, τὰς δὲ νύκτας θηρεύει, ὡς οἱ ἀετοί, καὶ μάχεσθαι πρὸς ἀετὸν, οὕτω σφοδρῶς, ὥστε πολλάκις ὁμοῦ λαμβάνεσθαι ζῶντας ὑπὸ τῶν νομέων. τίκτει δ᾽ ἐν πέτραις, ἢ σπηλαίοις. λέγεται δὲ ἡ ἱστορία, καὶ ὡς μέλαν ἐστὶ χαλκίζον τὴν χροιάν. ὅθεν καὶ χαλκὶς λέγεσθαι, ζήτει χαλκίδα λέξιν. Κυμινδάλα, καταγραφή, ταραντῖνοι. Κύμινδος, ὁ αὐτὸς, καὶ κυμίνδιος.

Κύμινον, εἶδος βοτάνης. Κυμινοπρίστας, τοὺς φειδωλοὺς καὶ σμικρολόγους ἐκάλουν. σημαίνει δὲ τὴν λέξιν λαμπρῶς, κυμινοπρίστης, κυμινοπρίσων. Κυμοδόκη, ὄνομα νηρηΐδος. λέγεσθαι αὐτὴ τὸ δέχεσθαι, καὶ ὑποδέχεσθαι τῶν κυμάτων. Κυμοθόη, ὄνομα νηρηΐδος. λέγεσθαι, διὰ τὸ ταχὺ τῶν κυμάτων, ἢ τῶν πλεόντων. Κυμόρρόος, τὴν ὑπὸ τῶν κυμάτων ῥοῦν. Κύνα, ὄνομα πόρνης. Κύνα λέγειν δηλαδὴ ἀρμόνιον, τὸ τοῦ Φερεκράτους σχῆμα διὰ τὸ ἀπόλλακον εἰς τὸ αἰδοῖον. εἴρηται δὲ ἐπὶ τὸ ἄλλο πασχόντων πάθος, ἐφ᾽ οἷς πεπόνθασιν ἡ παροιμία. Κυναῖχο, τέχνη. ἔστι τὴν διὰ χειρῶν δέσμην. εἰ δὲ τὸ κυναῖχο, ἀντὶ τοῦ κλίνειν, καὶ ὄνομα κυνῶν καὶ ἐπίρρημα ἡμῖν, καὶ ἱερατεία. Κύναλα, κυνόσβατον, ἡ φυτὸν, ὅπερ τὰς αἶγας νέμεσθαί φασι. Κυναλλάς, ἀντὶ τοῦ τὰς κόρας λέγουσι Λακωνικῶς. Κυναλίδες, αἱ τῶν μαγδαλιᾶς. Κυνάλλας, κατασκαλῶν, ἀθλίων τοὺς ἐλευθέρους. καὶ κυνάλλας, ἀπελεύθερος. Κυνάφα, κεφαλὴν ἐξ ἧς ἐπιπον οἱ ἀπελευθερούμενοι. ὅθεν καὶ τὸ ἐν κυνάφῃ ἐλευθέριον ὕδωρ, παροιμιακῶς ἐπὶ τῆς κατ᾽ ἐλευθερίαν ζωῆς.

βὶς, κυλοβό. Κυκῶ, τὸ ταράσσω, καὶ κυκῶσαι. Κυκώμενος, ταραττόμενος. Κυλαίνειν κάτω, Σοφοκλῆς φησὶν, τὰ ὦτα κατακλᾶν, ὅπερ οἱ [illegible] ποιοῦσιν, ἴσως ἐπὶ οὐρὰν ἀντὶ κυλαίνειν. καὶ τὸ οἷον οὐρὰ μὲν [illegible] οἱ [illegible], καὶ οὔατα κάββαλεν ἄμφω. Κυλιβιών, ἡ ἄκαρπος κράμβη. Κύλα, τὰ ὑπὸ κάτω τῶν βλεφάρων κοιλώματα, τὰ ὑπὸ τοὺς ὀφθαλμοὺς μῆλα, τὰ ὑπώπια. Κυλίειν, λέγεται ἀπὸ τῶν ἄνω ἐπὶ τὰ κατώτερα. τὸ δὲ ὤθειν, ἀνάπαλιν. κατακυλίεσθαι μὲν ἔστι ῥῆσιν, ὠθεῖται δὲ οὐκ εὐχερῶς. Κυλικεῖον, ἡ θήκη τῶν ποτηρίων. Κυλικίου, ἰδιώτης ἐκ τόπου, ἴσθμιος. Κυλικήρυτον, αἷμα, ὡς τὸ κοτυλήρυτον, οἷον πολύ. Κυλίκρανον. Πολέμων φησὶν, ὅτι οἱ ὑμῆς κατοικοῦντες [illegible] κυλικεῖς. οἱ δὲ ὑπὸ ἡρακλεώτας, ἀπὸ τῶν ὀνομασθῆ. Κυλίνδει, κυλίει, ἐπιφέρει. καὶ κυλινδεῖσθαι, ὁμοίως. Κυλινδεῖσθαι, ἀπὸ τοῦ κυλίνδω σχηματίζεται, βαρυτόνου ὄντος. τὸ γὰρ κυλινδεῖσθαι, τὸ μεθ' Ὅμηρον ἐστὶν, ὥσπερ καὶ τὸ ἀλινδεῖσθαι. εἰς ὁμοιόν ἐστι καὶ τὸ ἀλινδεῖσθαι, ἀφ' οὗ καὶ ἡ ἀλινδήθρα, ὅπερ ἐστὶ κονίστρα. προϋπάρχει δὲ ἀμφοῖν τὸ ἀλίζειν, ὥσπερ τις παρὰ [illegible] κωμικῷ ἐν τῷ ἀλινδήθρας ἰκῶν. ἤγουν κονίστρας, παλαίστρας. καὶ ἐν τῷ τὴν ἵππον ἐξαλίζειν, ἤγουν κυλινδεῖσθαι ποιήσειν. Κυλινδεῖσθαι, παρὰ τῷ Ἀριστοφάνει κεῖται, ἀντὶ τοῦ περιφέρεσθαι. Κυλίνδειν πῆμα, πολλαχοῦ εἶπεν ὁ ποιητὴς, καὶ δηλοῖ τὸ ἄγειν ἐκ Διὸς ἦκεν αὐτό. Κυλινδήθρα, κυλίστρα, ἀπὸ τοῦ κυλινδῶ. Κυλινδεῖον, προσώπιον ξύλινον. Κυλινδούμενος, κυλιόμενος, περιστρεφόμενος. Κυλινδοῦται, κυλίεται. καὶ καλινδοῦται, ἀντὶ τοῦ κυλίεται. Κυλινδροι, ὅροις καὶ σφραγιδὸς εἶδος, καὶ πόλεμοι, καὶ λίθοι στρογγύλοι. Κύλινδρος, κιονίσκος λίθινος στρογγύλος, ἑκατέρωθεν ἔχων βάσιν ἐπίπεδον. Κυλινδῶ, ὁ παρὰ τῷ ποιητῇ βαρύνεται, ὅθεν τὸ κυλινδόμενος μόνον εἶπεν ὁ ποιητὴς, εἰ καὶ παρὰ τοῖς ὕστερον ποιηταῖς, οἱ κυλινδεῖσθαί φασι. Κύλιξ, τὸ ποτήριον, ἀπὸ τοῦ κύκλος, κύκλιξ. καὶ κύλιξ φιάλη. λέγεται δὲ καὶ κυλίκιον κοῖλος, ἀποπεπρισμένον, κυκλούμενον ἢ κυλίκιος ἐξέτασις, οἷα δὲ [illegible]. καὶ κύλικι ἐς τὸ ἁβρότερον ἀνακεκλιμένοις ἐκπεσὼν ἔκτεινε, καὶ αὖθις καὶ ταχέως ἀναστὰς [illegible] θύουσιν ἀπὸ δὲ τὸ κύλικος βαθὺ πυθμένι καθορῶν. Κύλιξ ῥοπαλωτὰ, τὸ παρὰ πολλοῖς Διακλόνιρον. Κύλιξ, τὸ ποτήριον, κύκλιξ τις ὤν, ἀπὸ τοῦ κυκλοειδὲς εἶναι. ἢ παρὰ τὸ χέω χύλιξ καὶ κύλιξ.

Κυλίσανος, πόλις ἰταλίας. παλαιὰ δὲ τὸ πρῶτον ἐκαλεῖτο. [illegible] δὲ τὸ τοῦ ἡρακλέα φασὶ [illegible] ὑπομείνας, ἢ κυλισθῆναι εἰς αὐτὴν, κυλίσανος ἐκλήθη. Κυλίχναι, λεκανίδες, τρυβλία, ἢ φιάλαι. καὶ κυλικνίδες παρὰ ἀθηναίοις, αἱ πυξίδες, ἢ αἱ λιβανωτοὶ, ἢ ἀγγεῖα κεράμεα. Κυλίχνιον, ἐκπωμα, ὃ νῦν λέγουσι πυξίδιον. ἔχουσι δὲ οἱ ἰατροὶ τὰ πυξίδια, ἐν οἷς προσβάλλουσι τὰ πάσματα. Κύλλα, πολίχνιον ἐν τρωικὸν κείμενον περί που τὴν ἀγαμεμνονίαν χώραν. τὸ δὲ ὄνομα ἔχειν ἀπὸ κύλλου ἐνεχθέντος ὑπὸ πέλοπι, ὃς κύλλος ἐκαλεῖτο. αὐτόθι δὲ τεθνεὼς καὶ ταφεὶς ἐτιμήθη πρὸς τοῦ πέλοπος [illegible] πόλεως, ἣ ὡς δι' ἐκεῖνον κύλλα ἐκλήθη. καὶ ἀπ' αὐτοῦ κυλλαῖος ἀπόλλων αὐτόθι, ὁ καὶ ποταμός. ἔοικε δὲ ὁ κύλλος [illegible] τοῦ κλίνασθαι, ὡς τὸ κύλλος τοῦ κύλλαντος. διὸ καὶ οἱ κατὰ τὴν κύλλαν αὐτὴν κύλλαντες ἐκαλοῦντο. Κυλλάδες, τὰ ὑπὸ τοὺς ὀφθαλμοὺς μέρη, ὅθεν καὶ τὸ ταῦτα οἰδεῖν, κυλοιδιᾶν καλοῦσι. [illegible] δὲ τὸ υ. Κυλλαίνει, θυμαίνει. Κύλλαιος, βόστρυχος. Κυλλαροβὶς, δίσκος, ἢ γυμνάσιον ἐν ἄργει.

Κύλλαρος, ὁ ἵππος κάστορος, παρὰ τὸ κέλλειν, ὅ ἐστι ταχύς. Στησίχορος φησὶ τὸν ἑρμῆν δεδωκέναι τοῖς Διοσκούροις φλόγεον καὶ ἅρπαγον, ἀκέα τέκνα ποδάργας, καὶ κύλλαρον. Κύλλαρον, κύλλαρος, ὄνος. Κύλλας ἦν ἄρτος ἐν αἰγύπτῳ, ἀπὸ ξηρῶν ἐξ ὀλυρῶν. Κυλλαστὶς, οἱ ὀφθαλμοί. Κυλλήνη, κορυφὴ [illegible] δοκοῦντα. οἱ δὲ τὰ κέρατα κολόβια, καὶ ἰσοκωτικά. Κυλλήνη, ὄρος μὲν ἔστι ὄρος ἀρκαδίας, ἀλλὰ καὶ πόλις ὁμώνυμος. ἐκεῖ δὲ τὸν ἑρμῆν τεκεῖν, ἡ τοῦ ἄτλαντος μαῖα. ὅθεν καὶ κυλλήνιος ἑρμῆς. ἐξ οὗ καὶ κύλλιος κατὰ συγκοπὴν, ὡς ὁ τὰ ἐθνικὰ γράψας φησίν. ἐκλήθη δὲ κυλλήνη, ἀπὸ τοῦ κυλλήνος τοῦ [illegible]. ἐν τούτῳ φασὶ μόνῳ τῶν ὀρῶν τοὺς κοψίχους λευκοὺς γίνεσθαι, καὶ φωνὰς ποικίλας προΐεσθαι, θηρεύεσθαι δὲ πρὸς τὴν σελήνην, τῆς δὲ ἡμέρας δυσθηράτους εἶναι σφόδρα. ἔστι δέ φασι καὶ κύλλας κυλλήνη. ὁ δὲ [illegible], ὅτι κυλλήνη καὶ ἠλεῖον ἐπίνειον, ἀφ' ἧς κυλλήνιον ἀρχὸν ἐπειῶν φασί που Ὅμηρος. ἔστι δὲ καὶ κώμη μετρία, ἔχουσα τὸν ἀσκληπιὸν ξόανον θαυμαστὸν ἰδεῖν ἐλεφάντινον. καὶ ὅτι οὐχ ὁ [illegible] κυλλήνης κατὰ τὴν [illegible] παράδοσιν, ἀλλὰ τεχνίτης ἀγάλματος [illegible] ὁ κυλλήνης. Κυλλήνη, πόλις ἐστὶ τῆς ἀρκαδίας.

Κυλλήνιος, ὁ ἑρμῆς. μυθικῶς μὲν ἀπὸ κυλλήνης, ἢ ὡς ὄρος ἐστὶν ἀρκαδίας ὀνομασθὲν ἀπὸ κυλλήνης ἡρωίδος [illegible]. [illegible] δὲ [illegible], ἐν τοῖς περὶ τὸ πιστὸν ἔργον [illegible] τὸν ἑρμῆν, καίπερ ἔχων τὸ [illegible]. κατὰ μέν τι [illegible], κυλλήνιος ὁ [illegible], ὁ τὰς [illegible] τῶν κύλλων [illegible] ἔχων, ὃ δηλοῖ τὰ ὑπὸ τοὺς ὀφθαλμούς. ὅθεν καὶ κυλοιδιᾶν παρὰ ἀττικοῖς, τὸ τὰ κάτω τοῦ ὀφθαλμοῦ οἰδεῖν, ἐκ μακροῦ ποίου τυχὸν, ἢ ἀγρυπνίας. οἱ δὲ παλαιοί φασι, καὶ ὅτι κύλα καλεῖ τὸν [illegible], τὰ ἐν τῷ κάτω βλεφάρῳ μακρὰ ἀνατρέχοντα ἐν τῷ μέσῳ. τὰ δὲ ἐν τῷ ἄνω, ἐπικύλιον. Κύλλα, ὑπώπια μακρά. Κύλλοβος, ξηρὰ συκῆ. Κυλλοιδιᾶ, τοὺς ὠπας ὀγκοῖ.

Κυλλοιδιᾶ, Θεόκριτος, κυλλοιδιόωντες, οἰδοῦντες, καὶ τοὺς ὀφθαλμοὺς ἐξογκούμενοι. Κυλλὸν, ἐπὶ τοῦ σκέλους ἔσκαιον, ἔργοις κυλλοποδίων. τὸ δὲ χωλὸν, ἐπὶ τοῦ χειρός. ὡς Εὔπολις, ἀλλὰ χωλὸς ἐστὶ τὴν ἑτέραν χεῖρα σὺ λέγεις. καὶ εὐφρόνιος μὲν χωλὸν εἶναι τὸν [illegible] φησίν. ἢ τάχα ἐπεὶ κυλλαίνεις ἐστὶ παρ' αὐτοῖς σοὶ κοῦφα, ἢ σοὶ λυπῶ, Ἀριστοφάνης. Κυλλοπόδιον, ὡς πηροξύνεσθαι, ὡς τὸ ἀγάλματον. Κυλλοποδίων, ὁ ἥφαιστος. ὡς ἀπὸ τοῦ εἰλίποδος εἰλίποδος εἰλιποδίων, οὕτω καὶ παρὰ τὸ κυλλόποδος κυλλόποδος κυλλοποδίων, διὰ τοῦ ἰῶτα. Κύλλους λέγει, κατὰ τροπὴν τοῦ χ εἰς κ, πρὸς τὴν ἐτυμολογίαν, ἀφαιρέσει δεδώκαμεν. Κυλλὸς, πεπηρωμένος. κυλλοὺς δὲ λέγουσιν οἱ ἀττικοὶ, ἐπὶ σκελῶν καὶ χειρῶν ὁμοίως. καὶ χωλοὺς τὰς χεῖρας πεπηρωμένους. Κυλλοῦ πήραν. ἡ πήρα, χωρίον πρὸς τῷ ὑμηττῷ, ἐν ᾧ ἱερὸν ἀφροδίτης. Κυλώνειον ἄγος, ἀπὸ κύλωνος, ὃν καταφυγόντα ἐπὶ τὰς σεμνὰς θεὰς, ἀποσπάσαντες αὐτὸν οἱ περὶ τὸν περικλέα ἀθηναῖοι, ἀπέκτειναν.

Κύλων, ἀθηναῖος ἀνήρ. μεγαρέως γυναῖκα γήμας θεαγένους γυναῖκα, θέλων τυραννεῖν, ἔλαβε χρησμὸν τῇ μεγάλῃ ἑορτῇ τοῦ Διὸς, ἐπιθέσθαι τῇ πόλει. ἐν ὀλυμπίᾳ δὲ ἐπιθέμενος, νομίζων ταύτην εἶναι μεγάλην ἑορτὴν, δύναμιν λαβὼν παρὰ θεαγένους, μὴ γνοὺς ὅτι τὰ Διάσια ἦν ἡ μεγάλη ἑορτὴ, ἐπελθὼν τῇ ἀκροπόλει ἁλίσκεται. ἐλήφθη δὲ συλῶν τὸ ἱερὸν τῆς ἀθηνᾶς. καὶ αὐτὸς μὲν ὁ κύλων φεύγει, τοὺς δὲ ἄλλους φονεύουσι. ἴσως δὲ καὶ ἱκέτας ἐκ τῶν βωμῶν ἀποσπάσαντες ἀπέκτειναν. τοὺς οὖν ἀποκτείναντας εἰς τὰς ἱκέτας ἀλιτηρίους ἔφασκον. οὓς καὶ ἐξέβαλον τῆς πόλεως, ὅτι ἐκ τῶν ἀρχαίων νόμων παρέβησαν, τοὺς ἱκέτας φονεύσαντας. ἄλλως. κύλων τὴν ἀκρόπολιν κατέλαβεν, ἐπὶ τυραννίδι, καὶ ἐλήφθη ποτὲ συλῶν τὸ ἱερὸν τῆς ἀθηνᾶς, καὶ ὑπὸ ἀθηναίων ἐκλήθη. καὶ οὕτως ἱκέτης εὑρὼν καιρὸν φυγῇ ἐχρήσατο. καὶ οἱ φίλοι ἔφυγον εἰς τοὺς βωμοὺς τῶν θεῶν, οὓς αὐτοὶ ἀποσπάσαντες ἀπέκτειναν. ὅθεν ἀλιτήριοι ἐκλήθησαν. ἐκλήθησαν δὲ ἐντεῦθεν οἱ ἀλιτήριοι. λιμὸς κατέλαβε ποτὲ τὰς ἀθήνας, καὶ οἱ πένητες τὰ τῶν ἀλούντων ἄλφιτα διήρπαζον. ἀπὸ γοῦν ἐκείνων καταχρηστικῶς τοὺς πονηροὺς ἀλιτηρίους ἐκάλουν. χαρίεντα δὲ τὸ ὄνο-

μα

ὑπὸ κύκλα πυθμένι θῆκεν. ὅ ἐστι κατὰ τῶν τροχίσκους, οἱ ὡς εἰκὸς ἐπῄεσαν τοῖς τῶν λεβήτων ποσίν. ὡς ἄρ' εἰς τι δῶμα τῶν θεῶν ἀθροισθῶσι(?) δύνωνται. τοῦτο γὰρ ὁ θεῖος ἀγών. καὶ ἐκεῖθεν αὖθις εἰς τὰ ἑαυτῶν ἀποτίθωνται, δίκην ἐμψύχων. τὰ αὐτὰ γὰρ ὑποτίθεται γίνεσθαι τὰ ἀψυχότατα. Κύκλα κατὰ μεταπλασμὸν γένους, οἱ τροχοί. ὅθεν καὶ κυκλῆσαι ἐστὶ φησὶ, τὸ ἐπὶ ἁμαξῶν ἀγαγεῖν. τοιοῦτο δὲ μεταπλασμοῦ σὺν ἄλλοις πολλοῖς, καὶ ὁ θυμὸς καὶ τὸ θυμόν. καὶ ὁ γάργαρος παρ' Αἰσχύλῳ, φησὶ καὶ τὸ γάργαρον. οὕτω δὲ καὶ ὀρίγανον καὶ ὁ ὀρίγανος. Κυκλάζει, κύκλῳ περιέρχεται. Κυκλαίνεις, στρογγυλοῖ. Κυκλάμινος, εἶδος βοτάνης. Κύκλασι αὐλαῖς, οὕτω ἔθος ἐκάλουν. εἰσὶ δ' αἱ χωρικαί. Κυκλεῖ, ἢ κυκλοῖ, ἀνακυκλοῖ. Κύκλιον, εἶδος πέμματος ἐξ εἰδῶν συγκείμενον. Κυκλέω κυκλῶ, τὸ συστρέφω. κυκλέω δὲ τὸ περιλαμβάνω. καὶ κυκλοῦμαι, τὸ περιλαμβάνω καὶ τὸ περιλαμβάνομαι. Κυκλήσομεν, ἀντὶ τοῦ τροχοῖς ἀνάγωμεν, ἢ μάλιστα ἐφ' ἁμαξῶν κομίσωμεν. ὡς ἀπὸ μέρους. τὰ δὲ κύκλα, ἤγουν οἱ τροχοί, μέρος ἁμάξης. Κυκλήσομεν ἐνθάδε νεκρούς, ἀντὶ τοῦ ἐφ' ἁμαξῶν ἄρωμεν. ἀπὸ τοῦ κυκλῶ κυκλήσω, κύκλα οἱ τροχοί.

Κυκλώσομεν, ἀναστρέψομεν. Κύκλια τὰ πολλὰ, παρὰ τῷ Ἀριστοφάνει. τὰ τὴν αὐτὴν ὑπόθεσιν ἔχοντα, ταῦτα κύκλια ἔλεγον. παρθένια δὲ ἃ αἱ παρθένοι ᾖδον. κύκλια δὲ καλοῦνται μέλη, τὰ ἐπιεικῶς ᾀδόμενα. ἔστι δὲ διθυραμβικόν. ἄλλως. ἀντὶ τοῦ κατὰ τοίχους, ποικίλα, οἷον ὕμνους, παιᾶνας, προσῳδίας, καὶ τὰ τούτοις παραπλήσια. Κυκλιοδιδάσκαλον, ἀντὶ τοῦ διθυραμβοποιὸν λέγει Ἀριστοφάνης. εἴρηται, ὅτι οἱ κύκλια διδάσκουσιν. Ἀντίπατρος δὲ καὶ Εὐφρόνιος ἐν τοῖς ὑπομνήμασι, φασὶ τοὺς κυκλίους χοροὺς στῆσαι πρῶτον Λᾶσον Ἑρμιονέα. οἱ δὲ ἀρχαιότεροι, Ἑλλάνικος καὶ Δικαίαρχος, Ἀρίονα τὸν Μηθυμναῖον. Δικαίαρχος μὲν ἐν τῷ περὶ Διονυσιακῶν ἀγώνων. Ἑλλάνικος δὲ, ἐν τοῖς Καρνεονίκαις. Κυκλογέλων, γλίσχρον, σμικρολόγον. Κυκλοβορεῖν, καὶ καταπλουτίζειν, χαρακτηρίσματα ἐστὶ κωμῳδίας.

Κυκλοβόρος, ποταμὸς Ἀθηναίων, ὃς οὐκ ἀεὶ ἐστὶ διὰ παντὸς ῥέει, ἀλλὰ χειμάρρους. ἔνιοι τόπος κυκλοτερής, ἐν ᾧ τὰ ὤνια ἐπωλοῦντο, ἃ ἐσφετερίζετο ὁ Κλέων. Κύκλοι, ἐν τῇ νέᾳ κωμῳδίᾳ καλοῦνται, ἐν οἷς ἐπιπράσκοντο τὰ ἀνδράποδα. ἴσως δὲ καὶ τὰ λοιπὰ ὤνια, ἐφ' ὃ δὲ ἀναβαίνοντες οἱ δοῦλοι ἐπιπράσκοντο. τοῦτο τράπεζαν Ἀριστοφάνης καλεῖ, μεσοπύλιον τοῦ περιδρόμου(?). Κύκλοι εἰσὶ παράλληλοι, οἱ περὶ τὸν αὐτὸν πόλον γραφόμενοι.

Κύκλοι εἰσὶν ἀρκτικοί, οἱ τὸ φαινόμενον ἀεὶ μέρος τοῦ οὐρανοῦ καὶ τὸ ἀφανὲς διορίζοντες. Κύκλοι εἰσὶ μεσημβρινοί, οἱ διατέμνοντες τὸ ὑπὲρ γῆς ἡμισφαίριον. κύκλοι εἰσὶν ὁρίζοντες, οἱ διορίζοντες τὸ φαινόμενον μέρος τοῦ οὐρανοῦ ἀπὸ τοῦ ἀφανοῦς. Κύκλον ποιητὸν λέγει Ὅμηρος σιδήρεον, τὸν τοῦ ἅρματος τροχὸν, ὡς καὶ αὐτοῦ εὖ πεποιημένον. ἢ καὶ πρὸς διαστολὴν τοῦ παρὰ τοῖς ὕστερον(?) λεγομένου κύκλου. Κύκλος, σφαῖρα, οὐρανός, κόσμος. Κύκλος ἐστὶν ἰσημερινός, ὁ μέγιστος τῶν παραλλήλων, ἐφ' οὗ τὰς ἰσημερίας ὁ ἥλιος ποιεῖται. Κύκλος ἐστὶ τροπικός, ἐφ' οὗ γενόμενος ὁ ἥλιος τὰς τροπὰς ποιεῖται. Κύκλος, περίβολος. καὶ ἐν ἀγορᾷ τόπος ἔνθα σκεύη καὶ σώματα πιπράσκονται, καὶ ἐν ταῖς κωμῳδίαις ὑπότροχόν τι κατασκεύασμα. καὶ παρὰ τοῖς γεωμέτραις ἐπίπεδον σχῆμα, ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον, καὶ εἶδος ἐπασίας(?). Κυκλοτερὴς, περιφερής, ἐπικαμπής. Κύκλους καὶ τροφούς(?), τὰ τείχη. τροχὸν δὲ τὸ τεῖχος ὡς Σοφοκλῆς εἴρηκε, κυκλώπειον τροχόν. Κυκλοτερὲς τόξον λέγει Ὅμηρος, οὐ τοιοῦτον φύσει, σκολιὸν γάρ ἐστι καὶ ἀγκύλον πρὸ τῆς τάσεως, ἀλλ' ὅταν ἐντεινόμενον(?) τοιοῦτον γίνεται. Κυκλοφορεῖται, κατὰ κύκλον φέρεται, ἢ κινεῖται. Κύκλωπες, κυκλώπες, καὶ κατὰ συγκοπὴν κύκλωες(?), παρὰ τὸ ὅτι κυκλοτερεῖς ὀφθαλμοὺς εἶχον ἐπὶ τοῦ μετώπου. Κύκλωπες, ἄγριοι ἄνθρωποι. καὶ κυκλώπειον κλίμα. σημαίνει δὲ καὶ ὄρος. Κυκλώπων ἔδος, ἐπειδὴ Κύκλωπες ἐτείχισαν τὰς Μυκήνας. καὶ κυκλώπιον, χαλκεῖον. Κυκλῶ, κυκλώσω κοινῶς. κυκλῶ κυκλήσω, παρ' Ὁμήρῳ, τὸ ἐφ' ἁμάξης ἄξω. κύκλα γὰρ οἱ τροχοί, καὶ εἰσκυκλέω, καὶ ἐπικυκλέω, καὶ ἀνακυκλέω.

Κυκλῶσαι, τὸ περιελθεῖν καὶ περιοδεῦσαι ἴσα τείχει. κυκλῶσαι δὲ καὶ ἀνακυκλῶσαι, τὸ πολλάκις αὐτὸ μεταστρέψαι. Κυκλωσαλέμοις(?), ὑψηλοῖς. Κύκλῳ, εἴτε ὄνομα, εἴτε ἐπίρρημα, σὺν τῷ ι γράφεται. ἔστι γὰρ κύκλος, κύκλου, κύκλῳ. καὶ λοιπὸν αὗται αἱ δοτικαὶ μεταχθεῖσαι εἰς ἐπιρρήματα, κατὰ τὴν σύνταξιν τῆς δοτικῆς, τὴν γραφὴν φυλάττει. οἷον ἰδίᾳ, δημοσίᾳ. κύκλῳ. οἷον, κύκλῳ σῶμεν. Κύκλωψ, ἐθνικόν ἐστι, διὰ τοῦ Ποσειδῶνος υἱοῦ, κύκνον δὲ τὸ σπλάγχνον(?). εἰ μὴ ἄρα ὥσπερ τὸ Αἰγύπτιος, ἐν τοῖς ἑξῆς κύκνον εὕρηται ὄνομα, οὕτω καὶ τὸ κύκλωψ ἐξ ἐθνικοῦ εἰς κύκνον μετήχθη, ἐκ διαπεπλασμένου τοῦ πολυφήμου τὸ κύκνον. Κύκλωψ ὅτι ποιμὴν ἦν, καὶ λύραν κατέχων ἐποίει τοῖς αὐτοῦ θρέμμασι, καὶ ὅτι αὐτὸν ὁ λυκαπὸς(?) ἐτύφλωσεν, δηλοῖ ἡ ἱστορία. Κύκνειον, τὸ τοῦ κύκνου μέλος. Κύκνοι, δύο. ὁ μὲν Ἄρεος, ὁ δὲ Ποσειδῶνος. καὶ τὸν μὲν Ἄρεος, κακῶς τοὺς παρὰ θάλασσαν διαβαίνοντας, Ἡρακλῆς ἀπέκτεινεν. ὡς ἐν τῇ ἀσπίδι Ἡσίοδος δηλοῖ. τὸν δὲ Ποσειδῶνος, Ἀχιλλεὺς στρατευσάμενόν τε συμμαχοῦντα τοῖς Τρωσίν, ὡς Πίνδαρος ἱστορεῖ. Κύκνος τῷ Ἀπόλλωνι, οὐ μόνον διὰ τὸ ᾠδικὸν καὶ μαντικὸν ἀφιέρωται, ἀλλὰ καὶ διὰ τὸ λευκόν, ὅπερ ἐκ τοῦ λάμπειν ἢ βλέπειν παρεῖναι, οὗπερ Ἀπόλλων ἐστὶ παραίτιος. ὅθεν καὶ Δήλιος ἐπιθετικῶς ὀνομάζεται, ὡς δῆλα καὶ ἐνόρατα πάντα ποιῶν. Κύκνος, εἶδος ὄρνεου. ἀπὸ τοῦ κλῶ τὸ φωνῶ, γίνεται κλόω, κλόνος, καὶ καθ' ὑπερβιβασμὸν καὶ μετάθεσιν τοῦ λ, κύκνος. ἢ ὁ κυκλοτερῆ ἔχων τὸν τράχηλον, παρὰ τὸ κύκλος. Κύκνος, ἄτρωτος ἦν τὸ λοιπὸν σῶμα, πλὴν κεφαλῆς. τοῦτο μῦθός ἐστιν, ὅτι κατὰ τὴν κεφαλὴν πληγεὶς ὁ κύκνος ἀνῃρέθη. ἀλλὰ περιδέξιος ὢν στρατιώτης ὁ κύκνος, καὶ μάλιστα σκεπτόμενος ἐν πολέμοις, ὡς μηδέποτε τρωθῆναι, ὑποπτεύεται τοῖς μύθοις, ὅτι ἄτρωτος ἦν, ἐπειδὴ πληγεὶς ὑπ' Ἀχιλλέως τὴν κεφαλὴν, ἀνῃρέθη. Κύκνος, ὁ Σκαμανδροδίκης καὶ Ποσειδῶνος, λαθραίως τεχθεὶς, ἐρρίφη πλησίον θαλάσσης. κύκνον δὲ πέριξ αὐτοῦ καταπλάττων, ἰδόντες ἁλιεῖς ἀνεῖλον τοῦτον, καὶ κύκνον ὠνόμασαν. ὃς ἀνδρωθεὶς, ἔγημε Πρόκλειαν τὴν Λαομέδοντος, καὶ γεννᾷ Τέννην, καὶ Ἡμιθέαν. ἀποθανούσης δὲ τῆς Προκλείας, ἐπέγημεν ὁ κύκνος Φιλονόμην τὴν Τραγασέως. ἣ ὡς ἐρασθεῖσα τοῦ Τέννου, καὶ μὴ τυχοῦσα, καταψεύδεται πρὸς τὸν πατέρα, ἐκβιασθεῖσα ὑπ' αὐτοῦ, συμμαρτυροῦντος αὐτῇ καὶ αὐλητοῦ τινος Μόλπου. ὁ δὲ ὀργισθεὶς, εἰς λάρνακα λαβὼν Τέννην καὶ Ἡμιθέαν, ἀφῆκεν εἰς τὴν θάλασσαν. τῆς δὲ λάρνακος προσενεχθείσης τῇ τότε Λευκοφρύϊ νήσῳ, νῦν δὲ ἀπὸ τοῦ Τέννου Τένεδος καλουμένῃ, ἰδόντες οἱ τῆς νήσου τὸ συμβὰν καὶ μαθόντες τὸ δρᾶμα, βασιλέα αὐτῶν τὸν Τέννην ἐποίησαν. καὶ τὴν νῆσον ἀπ' ἐκείνου, Τένεδον προσηγόρευσαν. γνοὺς δὲ ὁ κύκνος τὸ ἀληθὲς, ἀνεῖλε μὲν Φιλονόμην. αὐτὸς δὲ ἐλθὼν συνῴκησε τοῖς παισὶν ἐν Τενέδῳ. Ἀχιλλεὺς δὲ ἐπιστρατεύσας τῇ Τροίᾳ, ἀνεῖλε τὸν κύκνον, καὶ Τέννην τὸν ἱερὸν κύκνου λέγω, ἔργῳ δὲ Ἀπόλλωνος. ἡ δὲ Ἡμιθέα διωκομένη φεύγουσα τὴν μῖξιν, εἰς γῆν κατεπόθη. μετὰ δὲ τὸ ἀνελεῖν Ἀχιλλεὺς κύκνον, καὶ Τέννην, εἰς ἔννοιαν ἐλθὼν, ὅτι ἕτερον ἀνεῖλε καὶ μνήματα, ἣν ἡ Θέτις συνεκάλυψεν(?) Ἀχιλλεῖ διὰ λέγων, ὑπομιμνήσκων αὐτῷ μὴ ἀνελεῖν Ἀπόλλωνος παῖδα. εἰρημένον γὰρ ἦν Ἀχιλλεῖ ἀποθανεῖν, εἰ ἀνέλῃ παῖδα Ἀπόλλωνος. ὁ δὲ Τέννης, ὡς ἔφην, υἱὸς Ἀπόλλωνος. Κύκνος, ἀπὸ τοῦ κυκᾶν ἄλλων τὴν ἰλὺν χύσει τροφῆς(?). Κυκσίας(?), προγόνου(?). Κυκοῦντος, θρηνοῦντος. Κυλίζει(?), ἐλυκίζει κελεύοντα(?). Κύλασον(?), τὸ σκῦθον(?). Κυρτὸν(?), ἄγκυρον(?), ἀπαλὸν, βλαισόν. Κολο-

ἀγκὼν. Διαστασεριδαι δὲ, τὸ κύνδυλον τοῦ βραχίονος εἶναι λέγει παρὰ τὸ ἐπικεφαλεῖν. Κύβλα, κῦλα, ἡ ἰσχῦς, ἢ μηγάλα ἐστι, καὶ ὀλέκρανα. Κυχιδλα, τὴν μακρὰν κύλικα, πᾶσι τὸ ἐπικεράσαι. Κυχραῖος, κυχρεὺς, Σαλαμίνιος καὶ σαλαμῖνος υἱός. ἐβασίλευσε δὲ Σαλαμῖνος, ὥς φησιν Εὐφορίων. λέγεται δὲ ἀπὸ τοῦ κυλιὸς, κυλίνδος, οὕτω κυχραῖος. τοῦτον δὲ λέγουσι τὸν δρακοντα ... ἄλλοι δὲ καὶ ὅτι ὄφις ἐλυμαίνετο τὴν Σαλαμῖνα, καὶ τοῦτον ἀνεῖλεν ὁ κυχρεύς ἀνεῖλεν, ὅθεν καὶ ἀνάλεφος ἐκλήθη. Κυλαίνεται, λοιδορεῖ, ὑβρίζεται ὑπὸ πάντων. Κυλάχασι, μαλάχαι, λοιδορίαι, καὶ κυλαχόμενα, λοιδορούμενα. Κυλαίκωνικ@, ἔνδοξος αἰκωνικ@, καὶ δῆμος τῆς πανδιονίδος φυλῆς ἐν ἄστει. Κυλαίνει, ἐμέ, ἀφιεῖ, θαυμάζει, ἐγκωμιάζει. Κυλαίνω, τὸ δοξάζω. ἀπὸ τοῦ κῦδος, κυδαίνω λέγεται, καὶ κυδάνω. Κυδάλιμος, ἔνδοξος, ἔνδιμος. ἐκ τοῦ κῦδος γίνεται κύδιμος, καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς κυδάλιμος. Κυδαῖναι, τὴν ... Κυδαντίδαι, δῆμος τῆς πτολεμαΐδος φυλῆς. Κύδαρ, τάφος. Κύδαρος, παῖς μικρός. Κυδαγόρων, ἐπιφανέων. Κύδει γαίων, τῷ κάλλει ἑαυτοῦ ἀγαλλόμενος. Κύδει, ἀρετῇ. Κύδιος, ἐστὶ παρ' Ὁμήρῳ, πτώσει φροντίδος ἄξιος. γίνεται δὲ παρὰ τὸ κυδαίνω, ἀποβολῇ τοῦ υ. ἀφ' οὗ καὶ κυδοιμός, οἱ τῆς κυδοίμου φροντίδαι. ὀξύνεται δέ φασι τὸ κυδιός, διότι τὰ εἰς ος καταλήγοντα τὸ ῖ παραληγόμενα ὀξύνεται, ὀχλῶ ὀχλός, καὶ πλεονασμῷ τοῦ σ ὄχλος, σωρεύω σωρός, καὶ συγκοπῇ σωρός, φυλάσσω φυλακός, οὕτω καὶ κυδαίνω κυδιός. ὡς ... προπαροξύνεται, λέγεται ὅτι ὡς παιδεύω παιδευτός, ἱκετεύω ἱκέτης, οὕτω κυδαίνω κύδιος, ἐξ οὗ καὶ ἐπικύδιος. ἀποβληθέντος δὲ τοῦ ι, ἐγένετο κύδιος.

Κύδιμος, ἐλέφαντος, ἐμβεβώρευται κατὰ Διόνυσον. Κυδιάνειρα, ἡ δοξάζουσα τοὺς ἄνδρας. κῦδος γὰρ ἡ δόξα. Κυδίστε, τὰ ἄνδη τὸ δοκεῖτε. Κύδιον, κρεῖττον, κρεῖσσον. Κυδιόων, σεμνυνόμενος, γαυρῶν, χαίρων, δόξῃ ἐπαιρόμενος.

Κυδιόων, ὁ γαυρῶν καὶ ὑψαυχενῶν. Κυδιόων, σημαίνει ὅτι τὰ διὰ τοῦ σω ... ἔχοντα τὴν πρὸ τοῦ ο μικροῦ συλλαβὴν βραχεῖαν συστέλλεται, οἱ δὲ μακρὰν ἐκτείνεται. Κύδισαι, ὑλοδόξαι, σεμνόν, ἐμιώτατα. Κυδοιδοπᾶν, συνταράττειν. λέγει δὲ ἐξ ἑκατέρου τὸ ταράττειν, τὸ μὲν ἀπὸ τοῦ κυδοπᾶν, τὸ δὲ ἀπὸ τοῦ κυδοιμοῦ. Κυδοιμός, ὁ θόρυβος, ταραχὴ, ἡ πόλεμος, ἀπὸ τοῦ κῦδος τὸ δεῖν, ἢ τὸ δεῖμα. Κυδοιδοπᾶν, συνταράττειν. γίνεται δὲ ἐξ ἑκατέρου, τὸ μὲν διὰ τοῦ π παρὰ τὸ κυδοπᾶν, τὸ μὲν δὲ διὰ τοῦ ξ, παρὰ τοῦ κυδοιμοῦ. Κυδοιμός, ἀπὸ τοῦ κύδων οἶδμα καὶ ταραχάς. Κύδος, κύδος. Κῦδος, κυδιμος. ὁ κυδάλιμος, ὁ κύδιμος. ἐκ τοῦ κύδου φιλῶ, τὸ κῦδος. Κῦδος, καὶ ἀλκὰ ταυτὸ παρ' Ὁμήρῳ. ὡς ἐν τῷ ἀμφοτέρων, κῦδός τε καὶ ἀλκήν, καὶ ἔσομαι. κῦδος, λοιδορία. καὶ κῦδος, ἡ δόξα, ὁρμή, νίκη, λύμη, ἀσπίδα. Κυδρός, ὁ ἀγαθός, τίμιος, ἀπὸ τοῦ κῦδος, κυδρός. Κύδωνες, κρῆτες, ἔθνος. καὶ κυδωνίς, πόλις κρήτης, ποταμὸν ἔχει ἰαρδανον. Κυδώνιον, εἶδος ὀπώρας. Κυδώνιον, μῆλα καὶ ὅμοια, ἢ ἀπὸ τοῦ Κυδώνιον, τὸ μῆλον. Κυδωνία, πόλις ἐν κρήτῃ. Λέξανδρος ἐν πρώτῳ κρητικῶν, τῇ ἀκακαλλίδι συνελθεῖν φασι τὸν ἑρμῆν καὶ τὸν ἀπόλλωνα, καὶ ἐκ μὲν ἀπόλλωνος γενέσθαι νάξον. ἐκ δὲ ἑρμοῦ, κύδωνα ἀφ' οὗ ἡ πόλις κυδωνία καλεῖται ἐν κρήτῃ. τὸ ἀκακαλλίδος ὄρος ἀμφιέννυσιν, καὶ γαράμαντα κλεῖσθαι φασιν. ἄλλον δὲ, πότερον ἀπὸ τοῦ γαράμαντος ἢ ὑπὸ οἱ ἐν τῇ λιβύῃ γαράμαντες ὀνομάζονται οὕτως, ἢ ἀπὸ τοῦ ἔθνους. ἐστὶ δὲ καὶ παῖς παρ' αὐτοῖς, καὶ γαράμας. Κύει ἡ γυνὴ, ἡ κατὰ γαστρὸς ἔχουσα, καὶ τὸ μέλλον κύει, ἢ κατὰ γαστρὸς ἔχει. Κύειν, προτέρου τὴν ... τὸ κυεῖν, τὸ προσκυνεῖν, καὶ κύειν, τὸ γεννᾶν. Κυεῖν ἐστι τὸ ἔγκυον εἶναι. τίκτειν, τὸ ἀπαλλάττεσθαι τοῦ κυεῖν. Κυζικηνός,

ὁ ἀσβεστὴς τοῦ κυζικηνοῦ. Κυζικηνοὶ στατῆρες, ἃ ἐκ Βύζαντος, ... οὐ κεχαραγμένοι. πρόσωπον δὲ ἦν γυναικὸς ὁ τύπος. Κύζικος ... ἐκαλεῖτο δὲ ἀπὸ τοῦ γένους, ὡς ἐν ἐλλησπόντῳ. γέγονε δὲ ... τῶν ὑπὸ ... βασιλεύς τοῦ θρακῶν αἰτίαν, τοῦ κυζικηνοῦ ... πόλις ... ἐν σικελίᾳ. Κύημα, τὸ κατὰ γαστρὸς, καὶ ἡ προβολὴ τοῦ φυτοῦ.

Κρέασι, συμποσίοις. Κριββάνιον, παρὰ τὸ κριμᾶν τὰς βάσεις. Κρεγμῷ, τῇ κρούσει, ἀπὸ τοῦ κρούματος. κρέκειν γὰρ τὸ κρούειν. Κρεῖον, τὸ κρεοδοχεῖον ἀγγεῖον, οἱ πλείονες τῶν παλαιῶν φασίν. Εὐφορίων δὲ, κρεῖον τὸ κρέας τιθεῖ, ὥς φασιν Ἀπίων καὶ Ἡρόδωρος, διὰ τὸ τοῦ σπονδῆς μαλακοῦ μεμνῆσθαι καὶ ἑψητῶν ἐφθῶν ἐν ἀγγείῳ, ἀλλὰ μόνον ὀπτῶν. καὶ συντελεῖ πρὸς τοῦτο καὶ τὸ ἐπ' αὐτῷ τὸ ἐν πυρὸς αὐγῇ. εἰ γὰρ ἐξ ἀπαλῆς πυρὸς αὐγὴ, καὶ

αὐτὸ

τες καὶ τὸ σφάλμα, καὶ ἔτι πιοῦσιν. τὸ ἀμυνὸς ὀξύνεσθαι, διὰ τὸ μὴ ἀντιστρέφειν τὸν κανόνα. οὐ γάρ ἐστι ὀξύνεσθαι, ἀλλὰ καὶ τὴν γενικὴν ἔχει καὶ ἁπλοῦν. κραιπνὸς δέ φασιν ὁ ταχὺς, καὶ οἷον πεδιλώσιμος, ἢ ἀνεμώκης. ἔστι γὰρ καίπω, τὸ πνέω. ἐξ οὗ καῖπος τὸ πνεῦμα. ὅθεν καιπνὸς, ὡς εἰπεῖν φασιν ἀνεμώδης, καὶ πλεονασμῷ τοῦ ρ καὶ τοῦ ι κραιπνός. δύναται δὲ καὶ παρὰ τὸ κάρα, καὶ τὸ πνέω, ἐν συγκοπῇ καὶ πλεονασμῷ τοῦ ι εἶναι καραπνός. εἶτα κραπνὸς, καὶ κραιπνός. Κραῖρα, κεφαλὴ κυρίως ἡ ὀρθία. καὶ ὡς ἂν εἴποι τις, κάρα αἰρόμενον. εἶτα ἡ καίραιρα, καὶ ἐν συγκοπῇ κραῖρα. ἐξ ἧς οἱ ἀττικοὶ τὸ τῆς κεφαλῆς ἥμισυ, ἡμίκραιραν φασὶν, ὡς εὕρηται παρὰ τῷ κωμικῷ. ἀπὸ δὲ ταύτης καὶ τοὺς μανιακοὺς, καὶ τοὺς ὀρθίκραιρας, παρὰ τοῖς ποιηταῖς. Κραῖραι, κόλοι νῶν, μέτωπα, κεφαλαί. Κρακαλίλλαι, τῶν κρίσιμ βασιλεῦς, ἢ διάφορον γένος. Κραῖμα, μίγμα, κέρασμα.

Κραίμβατα, ἐξιλώματα. Κραμβαλέος, ξηρὸς καὶ καπυρός. Κραίμβαλα, κυμβαλα. Κραμβαλίζουσι, καπυρίζουσι, κατασείουσι. Κραίμβα, τὸ λάχανον. ἴωνες κοράμβα, ἡ ἀμβλύνουσα τὰς κόρας. βέλτιον δὲ, ἡ τὰς κόρας ἀναβαίνουσα.

Κραμβίον, τὸ κώνειον. Κράμβον, καπυρὸν ἴωνες γέλωτα. καὶ ξηρόν φασιν, ἢ τὴν κράμβην. Κραμβοταλῆ σώματος, ἀλυσταλῆ, ξηροταλῆ, ἀπὸ τῆς λαχάνου κράμβης οὕτω καλουμένης. παρὰ δὲ τοῖς ἀττικοῖς κοράμβλη, διὰ τὸ τὰς κόρας βλάπτειν. φασὶ γὰρ αὐτὴν ἐκ τῶν ὀφθαλμῶν τοῦ Λυκούργου γεγονέναι. ἡνίκα γὰρ ὁ Διόνυσος τοῦτον συλληφθεὶς εἰς τὴν θάλασσαν ἔδυ, ὑπὸ τῆς ἀμπέλου δεσμευθέντα δάκρυον ἐκχέαι, κἀκ τοῦ δακρύου τὴν κράμβην. καὶ διὰ τοῦτ' αὐτὸ ἔχουσιν ἀλλήλων τὴν κράμβην καὶ τὴν ἄμπελον. πειθοῦνται δὲ τὸν μῦθον γεωργῶν παῖδες. εἰ γάρ τις φασὶ τὴν ῥίζαν αὐτῆς ἐμφυτεύσει ἐν ἀμπέλῳ, οὐκ ἂν οὕτω καρπὸν ἐνέγκοι. ὅθεν καὶ πρῶτα ἐν συμποσίῳ δίδοται. καὶ οἱ αἰγύπτιοι πρὸ τῶν ἄλλων ἐδεσμάτων, ἑφθὰς κράμβας ἤσθιον, διὰ τὸ μὴ μεθύσκεσθαι οἴνῳ. βέλτιον δὲ κράμβη λέγοιτ' ἂν, ἡ τὴν κόρην ἀναβαίνουσα. χαριέντως δὲ ὁ ποιητὴς ἀντὶ τοῦ χαλεπταλῆ, κραμβοταλῆ ἔφησεν, ἵνα ἀπὸ μικρᾶς λαχάνης καὶ τὸ ἀκόλουθον τῷ ἰσχύι λέγειν δοκῇ. Κραμβυσην, ἰνδικὸν τὸ ζῷον. Κράνα, κεφαλή.

Κράναι, ἱερεῦσαι τέλειαι, καὶ αἱ τῶν ὑδάτων, καὶ ἐπιτελέσαι. Κρανοίκορον, μοῖρα ἰδίως τοῦ ἱερείου. Κραναά. Ἀριστοφάνης, ἡ κραναὰ πόλις. Αἰσχύλος καὶ Σοφοκλῆς ἐχρήσαντο τῇ λέξει. λέγει δὲ κρανάας τὰς Ἀθήνας, ὅτι τὰς τραχείας. λεπτόγεως γὰρ ἡ Ἀττική, ἢ ἀπὸ Κραναοῦ τινος, ὃς ἦν τῶν αὐτοχθόνων εἷς. Κραναὶ Ἀθῆναι λέγονται, διὰ τὸ τραχὺ, ἢ τὸ λεπτόγεων, ἢ ἀπὸ Κραναοῦ βασιλέως. Κραναῇ ἐν νήσῳ, ἄδηλον δέ φασιν εἴτε κύριον τῆς νήσου τὸ ὄνομα, διὰ τὸ κραθεῖσαι, ὅτι τελεσθῆναι ἐπ' αὐτῆς τὸν γάμον, εἴτε τραχεία ἐπιθετικῶς εἴρηται.

Κραναὸν, τὸν ἀθηναῖον, διὰ τὸ τραχὺ καὶ λεπτόγεων, ἢ ἀπὸ Κραναοῦ βασιλέως. καὶ κραναὸν πετρῶν, τῶν τραχέων.

Κραναῆς, τραχείας, σκληρᾶς, κοιλώματα ἐχούσης, παρὰ τὸ κρανίον. τοῦτ' ἐστὶ τὸ κράνον, ὅπερ ἐστὶ καὶ τραχὺ καὶ ἰσχυρόν.

Κράνεια, εἶδος φυτοῦ. Κράνεος, φυτὸν καὶ τὸ γυμνάσιον, καὶ κράνειος καρπός. κρανίον δὲ, τόπος, καὶ ἡ κεφαλή.

Κράνα, χαλεπά, πλεκτὰ ἐκ σχοίνου, ἢ ἄλλης τινὸς ὕλης μαλάκια. Κρανία, τὰ προσκεκολλημένα σύριγγι, εἰς ἃ τὰ πτερὰ ἐκβάλλεται. Κράνεια, λεπτοκάρυα. Κρανία, περικεφαλαίας. Κρανία, τόξον, εἶδος δένδρου, περικεφαλαία.

Κρανιέσθαι, τελειοῦσθαι. κραίνω κρανῶ, κρανοῦμαι κρανεῖται, κρανιέσθαι, καὶ διαλύσει κρανιέσθαι. Κρανάδιον παρὰ Θεοκρίτῳ, οὐ κατὰ πλεονασμὸν ἔχει τὸ α. ἔστι γὰρ ἡ εὐθεῖα ὁ κρανιάς, ἀπὸ τῆς κρανίας κατὰ μετασχηματισμόν. Κρανίξαι, ἐπὶ κεφαλὴν ἀπορρῖψαι. Κράνος, τὸ κεφαλίδιον αὐτοῖς εἶναι γὰρ κράνοι. Κράνον, πλατὺ, ὑψηλὸν, σιμὸν, ἰσχυρὸν, ὀχυρὸν, καὶ ἡ κεφαλὴ, ἢ γυμνάσιον. Κρανίον, καὶ κεφαλὴ καὶ κορυφὴ, μόνοι λογογράφοι. ποιηταὶ δὲ, ἡ κρὰς, καὶ τὸ κάρα. κεφαλὴ, ἐπὶ τῶν ζώντων. κρανίον δὲ, ἐπὶ τῶν ζώντων, καὶ ἐπὶ τῶν ἀποθανόντων. Κράνον, ἀντὶ τοῦ κρανίον λέγουσι Δωριεῖς.

Κράνος, καὶ κυνῆ, καὶ πήληξ, ἡ περικεφαλαία χαλκῆ. κεφάλεια δὲ ποιητικῶς τὸ αὐτό. Κρανοποιῶν, λέγει Ἀριστοφάνης, κράνη ἢ λόφους διεργαζόμενος. Κραντῆρες, ὀδόντες οἱ ὕστερον φυόμενοι, οἱ λεγόμενοι σωφρονιστῆρες. οἱ δὲ, τοὺς κεφαλικούς. Κραντῆρες, οἱ κραίνοντες καὶ ἐπιτελοῦντες.

Κράντορες, ἡγεμόνες βασιλεῖς. κράντορες ἀρχαλίας. Κρᾶξαι, βοῆσαι ἠχῆσαι. Κράστος, ἐν ᾧ τὴν γῆν σκάλουσι, καὶ ἡ σκαλευομένη ἄμπελος. Κράπαθον, ὁ ποιητὴς εἶπε μεταθέσει τοῦ ρ, διὰ εὐφωνίαν μέτρου, ὁμοίως τῷ καρδίην, κραδίην. ὡς ἀπὸ τῆς Καρπάθου, Καρπάθιον πέλαγος, τὸ ἐκεῖ συνάπτον τῷ Ἰκαρίῳ, κατὰ τὴν Γεωγραφίαν. ἣν δέ φασι τετράπολις ἡ Κάρπαθος, καὶ ὄνομα εἶχεν ἀξιόλογον. μία δὲ τῶν αὐτῆς πόλεων ἐκαλεῖτο Νίσυρος, ὁμωνύμως τῇ νήσῳ Νισύρῳ, ἣ μία μὲν τῶν Κυκλάδων λέγεται. πορφυρὶς δέ ποτε, ἀπὸ τῶν ἐν αὐτῇ πορφυρίων ἐκαλεῖτο. ἔβλαστε δὲ καὶ παροιμία ἐκ Καρπάθου, ἐπὶ τῶν πραγματευομένων ἑαυτοῖς τὰ εἰς βλάβην, τὸ ὁ Καρπάθιος τὸν λαγωόν. ἐπειδὴ τῆς νήσου μὴ ἐχούσης τοιαῦτα ζῷα, κομίσαντες ἄλλοθεν οἱ νησιῶται, εἰς τοσοῦτον ἐπίδοσιν ἀπήλασαν, κειρόντων τὰ σπέρματα. Κραπατάλους, ἀπήμωλας, καὶ ὁ ἀθηνῆς, καὶ ἀντίχειρα λέγουσι. ἄμεινον δὲ λαρώλας. Κραπατάλλαι, ἰχθύδια τινά.

Κραπάταλος, παρὰ πολλοῖς ὁ μωρὸς, ἢ νόμισμα. Κραπαρᾶ, κάτωθεν τῶν κεφαλῶν. οἱ δὲ, βοὸς πούς, καὶ ἀκροσόλιον. Κρᾶς, κρεῶς. ἴωνες δὲ, κεφαλή. Κραστέβολα, οἱ θλαβοὶ δεδεμένοι. Κράσπα, ἀλαμπάς. Κρᾶσις δὲ, δύο φωνηέντων ἀμειβομένων συναλοιφή. οἷον, Δημοσθένης καὶ Δημοσθένης. κἄλλοι, ἀντὶ τοῦ καὶ ἄλλοι. κἀγὼ, ἀντὶ τοῦ καὶ ἐγώ. ὁ τῶν ἑνός, οἷον Δημοσθένης ἢ Δημοσθένους, Δημοσθένειον ἢ Δημοσθενῶν. Κρᾶσις, σωμάτων παράθεσις, ποιοτήτων ἀντιμβάσις. ἢ σύζευξις σωμάτων, τὰς ἐν αὐτοῖς ἀλλήλων ἀνθιστάντων ποιότητας. ἡ κρᾶσις ὅταν οὐσιῶν ἀλλήλαις ἐγχεῖται συνδρομὴ, καὶ τῶν περὶ αὐτὰς ποιοτήτων ἀντιμβολή. Κρᾶσις, μῖξις οἴνου καὶ ὕδατος. καὶ ἡ ἐνέργεια δὲ τοῦ κιρνῶντος. Κραστήρια ὄρους, αἱ τρεχούσαι, τὰ ὁμαλὰ καὶ ἐπίπεδα. Κράσπεδον, τὸ κρεμάμενον, ἔτι κεχαλασμένον εἰς τὸ πέδον, παρὰ τὸ ἄκρα καὶ τὸ πέδον, ἡ γῆ, κατὰ ἀφαίρεσιν τοῦ α, καὶ πλεονασμῷ τοῦ σ κράσπεδον. οἱονεὶ τὸ ἔξω ὄν, καὶ τῇ γῇ πλησιάζον.

Κράστις, ὁ ἀμίξιμος χόρτος. ὅθεν καὶ τὰ ζῷα κραστίζεσθαί φασιν, οἷον ἐμπορεῖσθαι τοῦ τοιούτου χόρτου. Κρασῦναι, διάκονοι γυναικῶν. Κράστιν, ἀττικοὶ διὰ τοῦ τ, οἱ δὲ γράστιν φασίν. ἔστι δὲ ὁ χλωρὸς χόρτος. Κραταιγύαλοι, οἱ κραταιοῦντες τὰ γυῖα τῶν ὁπλιτῶν. ἢ κραταιὰ γύαλα ἔχοντες, ἤγουν κοιλώματα. ἐτυμολογεῖ δὲ τῆς τοιαύτης συνθέσεως, κατὰ τὸ ἐν Ὀδυσσείᾳ κραταίπεδον. Κράτα, καὶ κατὰ διάφορον κάρτα, ἐκ τοῦ κρατεῖν. Κράτα, τὴν κεφαλὴν, ἀπὸ τοῦ κράτος, ὡς ἐνταῦθα τοῦ ἡγεμονικοῦ τυγχάνοντος, ἢ παρὰ τὸ κρατεῖν καὶ βασιλεύειν τοῦ ἄλλου σώματος. ὅθεν καὶ κρανίον, καὶ κέρατα τὰ ἐκ τοῦ κρανίου φυόμενα, οὕτω Σωρανός. ὁ δὲ Χοιροβοσκὸς, πλὴν τὸ ὁ κρὰς τοῦ κρατὸς τῷ κρατὶ τὸ κρᾶτα. Κραταίγονον, βοτάνη μεθ' ἧς πλέκουσι. Κραταιγός, δένδρον. Κραταιῶς ἐπίρρημά ἐστιν, ἀντὶ τοῦ κραταιῶς, ὥσπερ λιαφίς. γράφεται δὲ καὶ ἐν δυσὶ λέξεσι κραταιῒ ἴς, ἤγουν κραταιὰ ἰσχύς. Κράταιις, προπαροξυτόνως τὸ κύριον ὄνομα τῆς μητρὸς τῆς Σκύλλας. τὸ δὲ περισπώμενον ἐστὶν ἐπὶ τῆς σισύφου προσηγορικόν. Κραταίλεον, ἔλαιος ἐκ σκληροῦ λίθου γεγονός. Κρατιίλεον, ὁ σισύβα.

τῆς τῶν κάτω τηγόντων. εἰ δὲ καὶ κοίρανος ἐρὶξ παρὰ τῷ ποιητῇ, καὶ ὡς εἶπεν πλημμύρα τὴν λέξιν, ἢ ἀπὸ ταύτης ἰσω σαν, καὶ οὕτω κουροτρόφοι κατὰ θρασύτητα λέξεως, οἱ παλαιοὶ σημαίνουσι τὸ ποταμὸν ὑγρὸν, καὶ ταῦτα λέγοντες τὸ λουτρὸν ἐκ ποταμοῦ τοῖς νυμφίοις ἰκμάζειν οἰομένοις τὸ γόνιμον. διὸ καὶ ἴσορχα ἄλλα ὄρειον, ὥσπερ τὰ ποσειδῶνι, οὕτω καὶ τοῖς ποταμοῖς εἰς τὰς πηγάς. γόνιμα γὰρ τὰ ὕδατα, καὶ τοῖς κοσμίοις δὲ τελευτῶσιν ἡ λουτροφόρος φασὶν ἐπετίθετο ὑδρία εἰς ἔνδειξιν, ὅτι ἄλουτος τὰ νυμφικὰ καὶ ἄγαμος ἄπεισι. κατὰ τοῦτο τὸ ἔθος κειράμενος ὁ Ἀχιλλεὺς χαίτην, ἣν Σπερχειῷ ποταμῷ τρέφε τηλεθόωσαν, ἰδὼν ἐπὶ οἴνοπα πόντον, ὡς οἷα πρὸς τὸν πατρῷον ποταμὸν ῥίψειν τὰς τρίχας λέγει, Σπερχεί' ἄλλως σοί γε πατὴρ ἠρήσατο Πηλεὺς, κεῖσέ με νοστήσαντα φίλην ἐς πατρίδα γαῖαν, σοί τε κόμην κερέειν, ῥέξειν θ' ἱερὴν ἑκατόμβην πεντήκοντα δ' ἔνορχα παρ' αὐτόθι μῆλα ἱερεύσειν ἐς πηγὰς, ὅθι τοι τέμενος βωμός τε θυήεις, ὣς ἠρᾶθ' ὁ γέρων, σὺ δέ οἱ νόον οὐκ ἐτέλεσσας. Κουροτρόφον, τὸ τρέφον, καὶ νέους καὶ γυναῖκας ἴσως. Κουροτρόφος, παιδοτρόφος. κουροτρόφος γῆ, ὑφ' ἑτέρων ἡ Δημήτηρ. Κούρας, κουρίζεις.

Κουροσύνη, ἡ ἐν χρῷ κουρίῳ τῆς νεότητος. Κούταρον, τὸν ἐπιθύειν τοῦ βοὸς ἡ σὰρξ ὑπὲρ τὰ ἄρθρα. Κοτύλη, κυλίνδω. Κοτίλα, δίκτυα τὰ πρὸς τὰς ...

Κόρυθος φάλον, τὸ προμετωπίδιον ἀνάστημα τῆς περικεφαλαίας. ἔστι δὲ προσέσχημα, γίνεται δὲ ἐπὶ τῶν περικεφαλαιῶν λαμπρότατοι ... ὅλοι, ἵνα προσεσχημάτισται. φάλιον δὲ, τὸ λαμπρόν. ἐντεῦθεν δὲ καὶ φαλακρός, ὁ ἔχων φάλιον τὸ κάρα. ἢ φαλακροῦ λίτρο, καὶ φαλακρόοντα κύματα. Κουφίζω, τὸ μετεωρίζω. κουφίζουσι τὸ βάρος. Κοῦφα γῆ τὴν ὑποκαλύπτει, ἀντὶ τοῦ μέτριος. λέγεται δὲ γῆ γῆς κουφοτέρα, οὐκ οὖσα ἁπλῶς κούφη. καὶ τὸ πῦρ πρὸς βαρύτερον, οὐκ ὂν ἁπλῶς βαρὺ κοῦφον λέγεται, τὸ ἐξ ἑαυτοῦ φερόμενον εἰς τὸ ἄνω τόπον. λέγεται δὲ κούφη γῆ, διὰ τὸ ἐκβασανιστήρια εἶναι καὶ ῥᾷον ἀποκιβδηλεύεσθαι, καὶ τὸ πῦρ βαρὺ, τὸ κάτω ῥᾷον ἰσόμενον. καὶ λέγονται ταῦτα καθ' ὁμοιότητα, οὐχ οὐ κυρίως. Κουφικὸν τρίποδα, τῶν κωμικῶν ὄρχησιν.

Κουφολογία, φλυαρία. Κοῦφον, κόσμιον μέτριον. Κοῦφος, ἐλαφρὸς, ταχὺς, γοργὸς, εὔκαιρος. Κουφίσας, ὁ βαστάζων τὴν πανοπλίαν. Κούφοις κινήμασι βάσταζε ... ἀπαλλάττειν, τουτέστι κοῦφη καὶ ἁπαλὴ ζωῇ. ἐκ μεταφορᾶς τῶν φυτῶν, ἃ ἤτοι οὐδὲν σφοδρὸν δύναται φέρειν, οὔτε καύσωνα, οὔτε ἄνεμον. Κόφινος, παρὰ τὸ κεῖσθαι ἀφεῖναι τοῖς βαστάζουσιν. ἢ παρὰ τὸ κοῦφον, ὃ σημαίνει τὸ βαθὺ καὶ κοῖλον χώρημα.

Κόφινος, ἀγγεῖον πλεκτόν. Κοφίνηφόρος κανηφόρος, ἀντὶ ἀθηναίων. Κούχιον, καὶ οὐχί. Κοχλίας, τὰ αἰθιόπεια χόα. καὶ τὰ ἐν τοῖς ὀργάνοις ξύλινα. Κοχλιάριον, παρὰ τὸ κόχλος, κοχλάριον, καὶ πλεονασμῷ τοῦ ι κοχλιάριον. Κοχλίδιον, ὥσπερ ἀπὸ τοῦ κυλίου, γίνεται κυλίδιον, οὕτω καὶ ἀπὸ τοῦ κοχλίου, κοχλίδιον. Κοχλίας, ὁδὸς εἰς ἑκάτερον περιειλημένη. Κοχλίας αὐτομάτως βαδίζων, προσηγορία τοῦ ... αὐτοῦ εἴδωλον ἀποτελοῦν. Κοχλίδιον, εἶδος ζωυφίου.

Κόχλος, τῆς θαλάσσης ἰχθύων ... σάλπιγγος εὑρίσκονται, καὶ ὁ στρόμβος. Κόχλω, τὸ γυρίζω, ἐξ οὗ καὶ κοχλίας. τὸ δὲ κοχλίας, παρὰ τὸ ἑλῶ, τὸ στρέφω, γίνεται ἐλίας, καὶ πλεονασμῷ τοῦ κ καὶ χ κοχλίας. Κοχὺ, πολὺ, πλῆθος. Κοχολιῶν, ... Κοχώνη, τὴν σύζευξιν τῶν ἐν τοῖς ἰσχίοις, παρὰ τῷ Ἱπποκράτει. Κόψα, ὑψεία. Κόψαι, παρακόπτες χαλκεῖς. Κόψαι, ποιοῦσιν ἐπὶ πληγῆς παρ' Ὁμήρῳ, ἐκ τούτου δὲ καὶ κόπτεσθαι κατὰ ... ἐπὶ θρηνῶν. ἔστιν κόπος, ἐκ τούτου καὶ τὸ πλατικὸν κόπανον. ... ὡς ξίω ξίφανον, οὕτω καὶ κόπτω κόπανον. ... μέχρι κατακόπτειν ἐπὶ σφαγῆς, οἱ μεθ' Ὅμηρον τιθέασι ῥέν-

ρεθ, οἷον κατεκόπησαν ἐν πολέμῳ. καὶ ὁ κωμικὸς δὲ ... κατεκόπησαν φασί. Κόψε χεῖρα, ἀντὶ τοῦ ἐπλήξε, ἐκρότει. ὡς ἐπὶ συγχύσει τῆς ... παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ. Κόχωνα, ἀστραγάλους, κοχώνη, σύνδεσμος ὑπὸ τὸ αἰδοῖον καὶ τῶν μηρῶν καὶ τὰς κοτύλας καὶ τῶν ἰσχίων. μέμφεται δὲ τοὺς κοχώνας καὶ ἐν σιαγόσι καταλαμβανομένους, ὥστε συνάπτεσθαι δεῖ τὰς κοχώνας. αἱ αὐταὶ δὲ καὶ πυγαὶ, καὶ προχῶναι παρ' Ἀρχίππῳ καλοῦνται, Εὔβουλος δὲ ἐν Ἀμαρυσίοις τὰ κόχωνα. Κόψιχα, χόντρα. Κόψασθαι, προσεχθήναι. Κόψιχος, εἶδος ὀρνέου, ὁ κόσσυφος παρ' Ἰωσιν λέγεται. τάσσεται δὲ καὶ ἐπὶ τοῦ θαλασσίου. Κοῦ, αἰσθάνομαι. Κῶρ, εἶδος.

ΤΟ Κ ΜΕΤΑ ΤΟΥ Ρ.

Κραδανὸν, τίλαβον. Κραάρα, κόσκινον, ἢ δρόγμα. Κράβος, ὁ λάρος. Κράγιον, σύστημα ἐν τῷ φαλῷ. Κραγγὼν, κίσσα. Κράγον, βόσκημα, ἢ ὄρος. Κραγὸν, κραυγῶν. Κράσσειν, κεκραγέναι, καὶ κραυγάζειν. Κραγὼν, ἐνεργὸν ζῷον, εἶδος καρίδος. Κράγον τὸν Δία ἐτίμων ἐν Λυκίᾳ. Κραγὸν κεκράξεσθαι, παρὰ τῷ Ἀριστοφάνει. Ἀρίσταρχος ἐξηγεῖται, ἀντὶ τοῦ κραυγαστικῶς. καὶ Ἡρακλειανὸς ἐν ἀττικῇ προσῳδίᾳ. Κραδάλαν, προσγένταιν τοῦ κραδαίνειν ἐστὶ καὶ κραδάων. ἔχει εἶμα προσεοικὸς, κραδαίνω, τὸ σείω. Κραδάων, καὶ κραδαίων, κινῶν, σείων, δονῶν, σαλεύων. Κράδαι, τὸ συκῆς οἱ ἀκρέμονες, παρὰ τῷ Ἱπποκράτει. Κράδαλοι, κλάδοι συκῆς. Κραδαλεῖον, κάλυμμα, κεφάλη, μίτρα, τὸ ἐπικράνιον περικάλυμμα. Κραδαίνειν, κραδαίνειν, σείειν, δονεῖν. Κράδη, συκῆ, κλάδος, καὶ ἄγκυρα, ἐξ ἧς εἰώθασιν οἱ ἐν ταῖς τραγικαῖς μηχαναῖς ἐπιφαινόμενοι. Κράδη, εἶδος συκῆς. ἔστι δὲ καὶ μηχανή.

Κραδησίτης, φαρμακὸς, ὁ ταῖς κράδαις βαλλόμενος.

Κραδίην, ἀντὶ τοῦ καρδίαν καὶ ἀγαπητὸς, ἀντὶ τοῦ ... τὸ ἴωθε λέγειν. ὁ γὰρ μετάθεσις τοῦ στοιχείου, αὐτὸ ...

Κραδίης νόμος, νόμον αὐλοῦσι τοῖς ἐκπεμπομένοις φαρμακοῖς. κράδαις καὶ θρίοις ἐπιραβδιζομένοις. Κραδίας τυρὸς, ὁ ὑπὸ τοῦ ὀποῦ τῆς κράδης πηγνύμενος. Κραδοφάγος, συκοφάγος. κράδη γὰρ ἡ συκῆ διὰ τὸ συνεχῶς κραδαίνεσθαι. σημαίνει δὲ καὶ τὸ ἀγρεῖον. Κραῖνε, ποταμὸς σικελίας.

Κραίνει πρατοῦ, ἤτοι βασιλεύει. Κραίνουσι, παράγωγον ἐκ τοῦ κρῶ. ἐξ οὗ καὶ ὁ κρέων, καὶ ὁ εὐκρείων. ὡς δὲ χῶ χαίνω, βῶ βαίνω, ῥῶ ῥαίνω, κῶ καίνω, σῶ σαίνω, οὕτω καὶ κρῶ κραίνω.

Κραίνουσι, λέγουσι, παρὰ τῷ Ἱπποκράτει. Κραίνω, τελειῶ, ἀποπληρῶ, παρὰ τὸ κάρα κεκάρηνα, ὡς χεῦμα χευμαίνω, καὶ συγκοπῇ κραίνω. κυρίως δὲ ἡ λέξις, ἐπὶ τοῦ τελεσθῆναι, καὶ τῶν κεφαλῶν ... Κραιπαλάω, ῶ, τὸ μεθύω. Ἀριστοφάνης, κραιπαλῶντα, ἤγουν μεθύοντα. Κραιπάλη καλεῖται ἡ ἐξ ἑωθινοῦ μέθη, ἢ ἡ ἐκ χθιζῆς μέθης οἰνοφλυγία. Κραιπαλῶν, ἐπὶ τοῦ ἀλαζονικοῦ. τὸ δὲ οἰνῶσσειν ἐπὶ τούτων κραιπαλῶν, ὅς τε ἀρμόσματα συμπίεσθαι χρησάμενος, λίθοις τὰ ἡμίση ταύτῃ περιβαλεῖν, καὶ ἐγείρειν ... βαστάζειν. Κραιπάλη, ὁ ἐκ πολλῆς οἰνώσεως παλμός. καὶ κραιπαλῶντα, ἀντὶ τοῦ ἐκ μέθης ἀτακτοῦντα καὶ μεθύοντα, ἀπὸ τοῦ τὸ κάρα πάλλειν ἢ μεθύοντας, ὁ οὖν τὸ σφάλλεσθαι τῶν καιρίων. Κραιπαλόκωμος, κατὰ μετωνυμίαν λέγεται ὁ κατὰ μέθην γενόμενος κῶμος, Ἀριστοφάνης. Κραιπαλῶντα, ἀντὶ τοῦ ἐκ μέθης ἀτακτοῦντα, μεθύοντα, ἀπὸ τοῦ τὸν καιρὸν σφάλλεσθαι. Κραιπνὸν τὸ ταχὺ, παρὰ τὸ εἰς ὕψος καὶ εἰς κάρα πνέειν. Κραιπνὸς, ὀξύνεται λέγω δίκαιον. ... μετ' ἐπιπλοκῆς συμφώνου τριγενὴ ἁπλᾶ ὀξύνεσθαι. κραιπνὸς, πυκνὸς, πυκνὸς ... τὸ δὲ ... οὐ ... Διὸ οὐδὲ ὀξύνεσθαι. ... καὶ

Κοτυληδών, πόας εἶδος. Κοτύλη δέ ἐστιν εἶδος μέτρου, ὃ λέγομεν ἡμεῖς ἡμίξεστον. Κοτυλίσκος, κρατηρίσκος, ᾧ χρῶνται αἱ μύσται, καὶ τὸ κύλισμα. ἔνιοι τὰ μόνιμα ποτήρια, καὶ πλακοῦντος εἶδος, ἢ βόθρος, εἰς ὃν τὸ αἷμα τῶν τῇ γῇ θυομένων ἐνέβαλλον. Κότινα, σκύβαλα. Κοτώεις, ὀργίλος.

Κοῦα, ἐνέχυρα. Κούαγμα, χῶμα. Κούαμα, μίλτον. Λακωνικῶς. Κυαῖσαι, ἐγχειρῆσαι. Κυβαξὲς, καβιός.

Κοὐδὲν ἔλεξεν, ἀντὶ τοῦ καὶ οὐδὲν ἔλεξε. Κούθουρον, τὸ κόλουρον. εἴρηνται δὲ καὶ οἱ κηφῆνες, κούθουροι, παρὰ τὸ κεύθειν τὴν ἑαυτῶν οὐράν, ἢ ὅτι ἄκεντροι. Κουλεόν, ἰωνικῶς τὸ κολεόν.

Κούικα, παίγνιον, ἡ ἀνεψιά. Κούλεον, μέγα, κατὰ τὸ κέλαδον, καὶ τὸ ξηρὸν, καὶ τὸ ἀδύνατον, καὶ τὰ τοιαῦτα μετὰ πλεονασμοῦ. ὅμοιον καὶ τὰ δάκτυλα καὶ τὰ χαλινὰ, καὶ τὰ ταρσά.

Κολιὸς, πρὸς κολεὸν διαφορὰ πλείστη. κουλεὸς μὲν γὰρ ἡ φαρέτρα, συνήθως δὲ κολεός. κολιὸς, δὲ ζῶον μικρόν. διὸ οἱ ἀπαιδεύτως ἐκφωνοῦντες τὴν τῆς φωνῆς συνέμπτωσιν, οὐκ ἀξιοῦσι κατὰ τὸ δοῦλος δῶλος, καὶ κοῦρος κῶρος εἰπεῖν, καὶ τὸν κουλεὸν κωλεὸν. περὶ οὗ ἐν τοῖς τῶν ἀθηναίων φέρεται τοιάδε. οἱ τὸ ζῶον κολοιὸν, λέγεται παρ' ἀθηναίοις μὲν θηλυκῶς κολεοί, παρ' ἄλλοις δὲ ἀρσενικῶς. Ἐπίχαρμος, χόρδαι τε ἀλλὶ, ναὶ μὰ Δία κολοιός. λέγονται δὲ καὶ κολῆν τὸ κωλῆνα οἱ ἀττικοί, συνεκφέροντες ἐκ τοῦ κωλέα κωλῆ. ὡς δὲ ὁ τεχνολόγος κολεὸς, συντίθησι τὰ κολεόσφαιρα, πᾶσι δῆλόν ἐστιν. Καλιβατίαι, κλεπτίαι, τὸ σιδηρίτην τίαν, ἣν ἐλεφάντιν ἴσασι. Καλιβὸς, ὁ πίτυς.

Καλλοθάκον, εἶδος μελιττοῦντος. Καμάσιον, τὸ τῶν ὀρνίθων οἴκημα. Κονναμα, κόκκον, ὃ ὁ κύμινον. Κανοῦσθαι, κινοῦσθαι.

Κοππίον, καμάρα ἐπὶ τῶν ἁμαξῶν γινομένη. Κορίας ὁ κουρευτὴρ ἐκαλεῖτο, ὧν τὰ ἐργαλεῖα κτένες, ξυρός. ἡ δὲ θήκη, ξυροθήκη, ἢ ξυροδόχη. Κοράδια, ἐκ μελίτης ἄλφιτα.

Κορὰς, ἡ ἐν τοῖς ὀροφώμασι γραφὴ, ὀροφικὸς πίναξ. παρὰ δὲ Αἰσχύλῳ ἐν μυρμιδόσιν, ἀμφιβάλλει ἐν κοραΐδι. ἔστι δὲ ἡ κορὰς, ὀροφικὸς πίναξ. Κουραῖος, τροφεὺς, παιδοτρόφος.

Κοραΐων, παρθένων, θυγατέρων. Κορίων, τῶν ἀκροτάτων, ἢ ἀκμαιοτάτων. Κοῦραι, κατὰ τὸν ποιητὴν αἱ γυναῖκες νύμφαι, διὰ τὸ ἀεὶ ἀκμάζειν κατὰ τὴν φύσιν, καὶ μὴ γηρᾶν. διὸ καὶ νύμφαι αἱ αὐταὶ καλοῦνται, διὰ τὸ ἀεὶ νέον, ὃ κατὰ τὸ νῦν φαίνεσθαι, ὃ συμβιβάζεται πρὸς τὸ ἀεὶ νέον ἐρχόμενον ὕδωρ τὸ ἐν ἑκάστῃ κρήνῃ. καὶ εἶπεν κόρας, οὐχ ὡς παρθένους. πῶς γὰρ τὰς ὑπὸ ἀνδράσιν οὔσας, ἀλλὰ ἁπλῶς ἀντὶ τοῦ νέας, ὡς ταύτην κούρας τε καὶ νέας ἀλόχους. κρατεῖ δὲ καὶ μέχρι νῦν παρ' ἡμῖν τῶν ἰώνων τὰς κόρας λέγεσθαι. καὶ μετὰ γάμον τὰς κόρας λέγεσθαι, καὶ κατὰ γάμον τὰς νέας ἐν ἡλικίᾳ. Κοῦραι Διὸς, τοῦ αἰθέρος. νύμφαι λέγονται, αἱ κατὰ ἀλληγορίαν, διὰ τὸ ἐξ αἰθέρος ἐκδίδοσθαι τῇ γῇ τὸ θρεπτικὸν ἐν φυτοῖς καὶ γόνιμον, εἰς ὃ αἱ νύμφαι ἀλληγοροῦνται. Κουρεῖα, καὶ κουρεῖον, ὁ τόπος ἐν ᾧ κουρεύονται καὶ κουρεύονται τὰς τρίχας. Κουρᾶν, ἐπιθυμεῖν κουρευθῆναι.

Κουρὸς, ὄρνις ποιὸς, ἀπὸ τοῦ φθέγγεσθαι ἐμφερὲς ἦχον σπαθίου μαχαιρίου. Κουρεῶτις, μηνὸς τοῦ πυανεψιῶνος ἡμέρα, ἐν ᾗ τὰς ἀπὸ τῆς κεφαλῆς τῶν παίδων ἀποκειρόμενοι τρίχας ἀρτέμιδι θύουσιν. Κουρεῶτες, ὁ κουρεὺς, καὶ κουρεῖς πληθυντικῶς. κουρεῶτις δὲ, ἑορτὴ τῶν ἀπατουρίων ἡ τρίτη, ἐν ᾗ οἱ κοῦροι ἀποκειρόμενοι, εἰς τὴν φρατρίαν ἐγγράφονται. Κουρεύεται, ἀποκείρεται. Κουρῆτες, οἱ τὴν τῆς ἀρχῆς οἰκοῦντες. λέγονται δὲ ὅτι πάλαι αἱ τῆς πόλεως ἐπιτροπεῖαι καὶ ἡ κληρουχία, ἐβοήθουν ἐν ταῖς ἀνάγκαις προφθάνοντες τότε καὶ τῇ κλίσει, ὡς τὸ ἀβλὴς ἀβλῆτος. οὕτω γὰρ καὶ κουρὰς κουρῆτος. ὠξύνθη μέντοι πρὸς διαστολὴν βαρυτόνου ὀνόματος τοῦ κούρητος ἀχαιῶν, ἀντὶ τοῦ νέοι. Κουρῆτες ἐκλήθησαν, ἢ διὰ τὸ κόσμον ὅρον ἀποκείμενον πληροῦσθαι, ἢ παρὰ τὴν κουρὰν. ἐπεὶ γὰρ κατὰ τὸ ἔμπροσθεν οἱ πολέμιοι τῆς κόμης αὐτῶν δραττόμενοι τοῖς ἔμπροσθεν, κατέκειραν αὐτὴν ἔμπροσθεν, τὸ λοιπὸν ἐκόμων κειρόμενοι τὰ ἔμπροσθεν. διὸ καὶ κουρῆτες ἐλέγοντο. Κούρη, ἐπὶ γυναικῶν. ὁ κοῦρος δὲ, ἐπὶ ἀνδρῶν. ἔστι δὲ ποιητικόν. ἀπὸ τούτου δὲ κατὰ μετάθεσιν ὁ κουροτρόφος, ἐν χρήσει παρὰ τοῖς κοινοῖς. ὥσπερ καὶ μῆλον, τὸ πρόβατον ποιητικόν, μᾶλλον δὲ κοινόν. Κούρητας οἰκέτας ἀχιλλεῖ τὰ δῶρα. λέγει Ὅμηρος ἐν ἰλιάδι, ὥσπερ Ἡρωδιανὸς ἀναγινώσκει, ἀπὸ τοῦ κουρήτας, κλίνων ὡς ἰαμβικὸν ἀπὸ τοῦ κόρος ὁ νέος, κόρης κόρητος. τὸ μέντοι ἀθρόος, κουρῆτας, ὡς ἀδμῆτας. εἰσὶ δὲ οὓς λέγει ὧδε κούρητας οἱ νεαρίδαι, καὶ ὁ μέγας, καὶ ἄλλοι. ἔνθα ὁρᾷς διὰ τὸ τοῦ ἀχιλλέως ἀξίωμα, εὐγενεῖς ἄνθρωποι, οἱ καὶ θεράποντες πρὸ τούτων ῥηθέντες, ὑπουργοῦσι τῇ τῶν δώρων κομιδῇ. Κουρήτεσσι, κουρεῦσιν. Κούρατος, ὁ νέος κρατῶν. Κουρήτων νόμος, ἐκλήθησαν εἶναι μάντεις, θεσπιῳδὸν νόμον. Κουρᾶν δεῖ, τὸ κουρᾶς ἐπιμελεῖσθαι, καὶ τὴν κόμην καθιέναι. Κουρίας, ὁ ἰσόθεν κεκομμένος τὰς τρίχας. καὶ κουριάω κουριῶ, τὸ κουριάω. Κουρίας, ὀροφικὸς πίναξ. Κουρίδας, μαχαίρας. οἱ μὲν παρὰ τὴν κουρὰν παράγουσι παρωνύμως κουρίς, οἱ δὲ ξάγκλια. Κουρίδας, καρίδας, ἢ τὰς μικρὰς ἰχθύας. τὰς δὲ ἐρυθρὰς, καμμάρας. Κουριδίη, λέγεται κυρίως ἡ ἐκ παρθενίας, οὐκ ἀφ' ἑτέρου γενομένη ἄλλῳ. Κουρίδιον, παρθένιον, ἢ ὂν ἐκ παρθενίας ἄνδρα. λακωνικοὶ δὲ κουρίδιον καλοῦσι. παρὰ δὲ αὐτοῖς, τετράχειρον ἀπόλλωνα. Κουριδίη ἄλοχος, ἣν ὡς κόρην ἔτι οὖσαν ἔγημεν, οὐ μὴν ἑτέρῳ προσομιλήσασαν εἰς γάμον, ἢ καὶ ἄλλως χηρῶν. Κουριζομένους, ὑμεναιουμένους, γαμουμένους, διὰ τὸ λέγειν τὰς κόρας καὶ τοὺς κόρους. ὥσπερ νῦν παρθευομένους ἐκκορεῖν λέγεται. Κουρίζων, ἀκμάζων. καὶ κουρίζων, νέος ὑπάρχων. Κουρίζουσιν, ἥντιν' ἀποτρέφουσι παρὰ τῶν εἰσιόντων ἐν θεογονίᾳ. ἐκ γὰρ τῆς ποιότητος τῶν ὑδάτων ἡ τροφὴ τῶν ἡλίου. καὶ γὰρ ἀπόλλωνι καὶ ποταμοῖς οἱ νέοι ἀποκείρουσι τὰς κόμας, διὰ τὸ αὐξήσεως ἀνατροφῆς αἰτίας εἶναι.

Κουρίζων, ἀντὶ τοῦ νέος ὢν, κοῦρος. Κουρίζω, νεαρεύω. κοῦροι γὰρ, οἱ νέοι. Κουρὶξ, τῶν ἅπαξ παρ' Ὁμήρῳ ῥηθέντων ἐστὶν αὐτὸ, δηλοῖ κατὰ τοὺς παλαιοὺς τὸ κουρικῶς. καὶ γίνεται ἐκ τοῦ κουρίζειν, οὗ μέλλων δωρικῶς κουρίξω. καὶ ἐξ αὐτοῦ κουρὶξ, τὸ ἐπιρρηματικῶς, καὶ ὡς πρίαπο κουρεῖς. καὶ οὕτω μὲν φασὶν ὁ Κράτης. Ἀρίσταρχος δὲ, ἀντὶ τοῦ ἐπιλαβομένους τῆς κόμης, ἵνα κατὰ αὐτὴν τὸ κουρὶξ, ἀντὶ τοῦ ἐκ τῆς κεφαλῆς, ὡς εἴτις εἴποι ἐκ τῆς κουρᾶς.

Κουρὶξ, ἐκ τῶν τριχῶν. Κούριξαν, ἀπέκειραν. Κουριῶν, κουρᾶς δεόμενον, καὶ διαφέρειν φασὶ κομᾶν καὶ κουριᾶν. τὸ μὲν γὰρ κομᾶν ἐστιν ἐπιμελούμενον τρίχας ἔχειν. κουριᾶν δὲ τὸ ἐκ τῆς συμφορᾶς, ἄλλως καθεῖναι κόμην. Κουροβόλα δάφνη ἐλέχθη, διὰ τὸ κουροτρόφον τοῦ ἱεροῦ ἀπόλλωνος, ὃς λέγεται κουροτρόφος. εἰ δὲ καὶ ἄλλας πολλοὺς βίβλοις καταπτύει, ἀλλ' ἔχει κουροτροφεῖν, ὡς ἥλιος δύναμιν τὴν ἐναντίαν ἔχων καὶ αὐτὸς, καθὰ καὶ ὁ ποσειδῶν σεισίχθων ἐστὶ, καὶ τὸ ἐναντίον γαιήοχος, καὶ ἀσφάλειος. καὶ ἄρτεμις δὲ, ὡς καὶ αὐτὴ ἀγανοῖς βελέεσσι κτείνουσα, καὶ αὖθις λοχεία, ὡς ἐπισκοποῦσα ταῖς λεχοῖς. ἔστι δὲ κουροτρόφοι οἱ ποταμοί. Κουρεῶτις, κοῦρος λέγεται παρὰ τοῖς ἀθηναίοις ἡλικία τις, ἐν ᾗ ἀκμάζουσι τρίχες, ἐπὶ ταῖς ἐν τῇ μετὰ τὸ κουρεύειν. λέγεται δὲ καὶ ὁ ξυρῶν αὐτὸν τὴν γένειον κουρεὺς, ἐκ τοῦ κόρσης, τουτέστι τῆς κεφαλῆς. ὅθεν καὶ ἡ κουρὰ ἐν ὑπομνήμασι ὑπ' ἀθηναίων. ἀλίξεις δὲ κουρὰ τῶν τριχῶν, ἡ κατὰ κόσμον παρὰ τὸν κόρον. Κουροσύνην, τὴν ὑπὸ τῆς κουρᾶς θυμιατήν. Κουρότεροι, ἤγουν νεώτεροι. τὸ συγκριτικὸν ἀντὶ τοῦ ἀπολελυμένου ἐστὶ τὸ κοῦροι. ὃ ἡμεῖς πολλάκις λέγομεν, νεώτεροί εἰσιν, ἀντὶ τοῦ νέοι. καὶ παρὰ τῷ ποιητῇ δεξιτερῇ ἐλε χειρὶ, ἀντὶ τοῦ δεξιᾷ. Κουροτρόφοι ποταμοὶ ἐνομίζοντο, διὰ τὴν ὑγρότητα. καὶ ἐκ τούτου ὁ ἥλιος ἀπόλλων, διὰ θερμότητα. κουροτρόφους δὲ φασὶν,

Κόσμος, καλλωπισμός, ἢ σύστημα ἐξ οὐρανοῦ καὶ γῆς καὶ τῶν ἐν τῷ μέσῳ. κόσμος, παρὰ τὸ ἔχειν ἐν ἑαυτῷ πάντα κεκοσμημένα καὶ διατεταγμένα. ἢ παρὰ τὸ κάζω κάσω κέκασμαι, κασμὸς ῥηματικὸν ὄνομα, καὶ μεταθέσει τοῦ α εἰς ο καὶ ἐναλλαγῇ [illegible] κόσμος, οὕτω Φίλων. Κόσμον, τοὺς ἐν ἀπιστίᾳ καὶ ἐν ἁμαρτίαις ἀνθρώπους λέγει ὁ Ἀπόστολος, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν. Κοσμῶ, τὸ καλλωπίζω αἰτιατικῇ συντάσσεται καὶ δοτικῇ. Ἀριστοφάνης, πλοῦτον δὲ κοσμεῖν ἱματίοις σεμνοῖς πρέπει. Κοσσάβας, κοττάβας. Κόσσος, ῥωμαϊστὶ μάξιλλα, ῥωμαϊστὶ δὲ ῥάπισμα. Κοσύμβη καὶ κόσυμβος, ἐγκόμβωμα, καὶ περίζωμα κιγκλωτόν, καὶ τὸ ἐγκομβοῦσθαι. Κόσαι, κα[illegible]. Κοσός, εἶδος ὀρνέου. Κοσίας, [illegible]. Κόσυμβος, κροσσός, ἢ ὁ ἀνάδεσμος. Κοσώλυφος, βῶλος, ὄχθος, ἀνάχωμα γῆς, ἢ σπέρμα. Κοσυμβοῦν, κροσσωτόν. Κόσυφος, ὄνομα πλοίου. Κοτέω, ὀργίζομαι, καὶ [illegible]. Κοτεῖται, ζηλοῦται, ἐπιθυμεῖται. Κοτέσας, εἰρημένος ἐξ ἐλαίας, ἢ ὀργίλως διακείμενος. Κοτεῖ, φθονεῖ, ζηλοῖ. Κοτεσσάμενος, ὀργισθείς. Κοτία, κοτίσω, [illegible] τὴν ὄψιν τὸ ἁπλοῦν. Κοτινάς, ἀλίκτως. Κοτίνητος, [illegible]. Κοτίνειον, αἰδοῖον ἀνθρώπου. Κότινις, μίλους τι εἶδος. Κοτινοτραγεῖν, κότινον ἐσθίοντα, πτίσιν ἀγρίελαιον.

Κότινος, οὐ μόνον ὁ ἀγριέλαιος, ἀλλὰ καὶ ἡ ἄκαρπος ἐλαία.

Κότος, κότος, ὀργή, ἔχθρα, χόλος, ἰὸς ἐμμονος, καὶ ἡ ἐγκειμένη ὀργὴ εἰς κακοποίησιν. Κοτίδι, τῷ εἶδει τῷ παρακεφαλίδι, παρὰ τῷ Ἱπποκράτει. Κότινος, ὁ ὀλυμπικὸς στέφανος. Κότος, ὀργὴ ἐπιτηροῦσα καιρὸν εἰς ἀμυνίαν, ἢ ἐναποκειμένη ὀργή. παρὰ τὸ κέω, ὃ σημαίνει τὸ κεῖμαι κέημι, ὁ παθητικὸς κέαμαι κεῖμαι, τὸ τρίτον κεῖται. ῥηματικὸν ὄνομα, κότος. ἢ παρὰ τὸ κεῖσθαι κεῖσθαι, κότος. Κοτταβίζω, ἠχῶ. οἷον ποτηρίῳ ἀναῤῥιπτεῖ, ὃ ἐπαίσαν οἰνωμένοι. καὶ κότταβος, ὁ ἦχος.

Κοτταβίζειν, παίζειν, τρυφᾶν. εἰς χαλκᾶς δὲ φιάλας ἐπακοῦντα λάταγας, οἰνηρὸν ἐμβάλλοντες τὸ πόμα, καὶ εἰ ἐγένετο μείζων ψόφος ἐδόκουν ὑπὸ τῶν ἐρωμένων ἐρᾶσθαι. ἄλλως. κότταβος, παίγνιον ἦν παρ' Ἀθηναίοις τοιοῦτον. ῥάβδος ἦν μακρὰ πεπηγμένη ἐν τῇ γῇ, καὶ ἑτέρα ἐπάνω αὐτῆς κινουμένη, ὡς ἐπὶ ζυγοῦ. εἶχε δὲ πλάστιγγας δύο ἐξηρτημένας καὶ κρατῆρας δύο, ὑπὸ κάτω τῶν πλαστίγγων, καὶ ὑπὸ τὸ ὕδωρ, ἀνδριὰς ἦν χαλκοῦς κεχρυσωμένος. τοῦτο δὲ ἦν ἐν τοῖς συμποσίοις, ὃ πᾶς ὁ παίζοντων ἀνίστατο ἔχων φιάλην γέμουσαν ἀκράτου. καὶ μακρόθεν ἱστάμενος, ἐπέμπετο ὅλον τὸν οἶνον ὑπὸ μίαν ῥοπὴν εἰς τὴν πλάστιγγα, ἵνα γεμισθεῖσα βαρυνθῇ, καὶ κατέλθῃ καὶ κρούσῃ εἰς τὴν κεφαλὴν τοῦ ἀνδριάντος, ὑπὸ τὸ ὕδωρ κεκρυμμένου, καὶ ἐπάνω ὕδωρ. καὶ εἰ μὲν χυθῇ τοῦ οἴνου, ἐνίκα καὶ ἤλεγεν, ὅτι φιλεῖται ὑπὸ τῆς ἐρωμένης. εἰ δὲ μή, ἐπταιε. ἐλέγετο δὲ ὁ ἀνδριὰς ὑπὸ τῶν ἐκτὸς, μάνης. Κοτταβεῖα, πλατεῖα, ἢ λαμπτηρία. ἄμεινον δὲ νομίζειν ἐκαλεῖτο τὸ ἄκρον κοτταβίσασθαι. ἐπειδὴ γὰρ τὸ καταλειπόμενον ἐν τῷ ποτηρίῳ ἐκχέοντες, καὶ πειρώμενοι ψόφον ἀποτελεῖν, ὁ δὲ ἐπιτυχὼν μάλιστα τοῦ ψόφου, ἐνίκα. Κοτταβεῖα, οὐ λέλαμ. Κοτταβεῖον, ὑπόθημα. λάκκος. ἐν ᾧ κότταβοι ἐγίνοντο. Κοτταβίζειν, ἀποσπογγίζειν, ἢ τὸ ὀχεῖν. Κοτταβίζειν, τὸ τῷ κοττάβῳ χρῆσθαι φασὶν οἱ ἀττικοί. ὁ δὲ κότταβος ἦν τοιοῦτον, κανδήλιον ἐν τῷ μέσῳ κείμενον τοῦ συμποσίου, ἔχον ἐπὶ τέλει ἕτερον σμικρόν, ὃ ἔδει καταλῦσαι τὸν πέμψαντα τὸ περιττὸν τοῦ πόματος. ἦν δὲ τοῦτο σημεῖον τοῦ ἐρᾶσθαι ὑπὸ γυναικὸς ἢ παιδός. καὶ ἄλλα οἱ νικῶντες ἐλάμβανον πλακουντίσκους πυραμοῦντας, ἢ σησαμοῦντας, ἅπερ κοττάβεια ἔλεγον. ὁ ἦχος δὲ ἐκαλεῖτο, λάταξ. καὶ ἀποκοτταβίζειν, τὸ ἐκ τοῦ ποτηρίου τὸ ὑπολειπόμενον πόμα ἐκραίνειν. Κότταβος, ὁ ἦχος. Κόσσυφος, ὄρνεον ἐν πᾶσι καὶ δένδροις φωνῶν, ὅτι σικελικὴ ὡς [illegible] Διονύσου. σπάτων σικελῶν ὥς φησι Κριτίας ἐν τοῖς ἐλεγείοις, κότταβος ἐκ σικελικῆς ἐστι χθονὸς ἐκπρεπὲς ἔργον. Δικαίαρχος δὲ ὁ μεσσήνιος Ἀριστοτέλους μαθητής, ἐν τῷ περὶ ἀλκαίου, καὶ τὴν λάταγα αὐτὴν εἶναι σικελικὸν ὄνομα. λατάγη δὲ ἐστι τὸ ὑπολειπόμενον ἐκ τοῦ ἐκποθέντος ποτηρίου ὑγρόν, ὃ συνεστραμμένῃ τῇ χειρὶ ἄνωθεν ἐῤῥίπτουν οἱ παίζοντες εἰς τὸ κοττάβιον. κότταβος δὲ ἐκαλεῖτο, καὶ τὸ κείμενον ἆθλον τοῖς νικῶσιν ἐν τῷ πότῳ. καὶ τὸ ἄγγος εἰς ὃ ἐνέβαλλον τὰς λάταγας, ὡς Κρατῖνος ἐν νεμέσει [illegible]. ὅτι δὲ χαλκοῦν ἦν, Εὔπολις βάπταις λέγει, χαλκῷ περὶ κοττάβῳ. Πλάτων δὲ ἐν Διὶ κακουμένῳ, παιδιᾶς εἶδος παρεισάγει, κότταβον εἶναι ἀποδιδάσκων, ἐν ᾗ ἐπαιζον καὶ τὸ σκάφιον οἱ λακεδαιμόνιοι. ἐκάλουν δὲ ἀγκύλην τὴν τοῦ κοττάβου πρόσεσιν, διὰ τὸ ἐπαγκυλοῦν τὴν δεξιὰν χεῖρα ἐν τοῖς ἀποκοτταβισμοῖς. καὶ ἀγκυλητοὺς ἔλεγον κοττάβους. ἐλέγοντο δὲ καὶ κατακτοὶ κότταβοι. ἦν δὲ λύχνιον ὑψηλόν, πάλιν τε συμπεπηγὸς ὀβελὸν ἔχον τὸν μάνην καλούμενον, ἐφ' ᾧ τὴν καταβαλλομένην ἐπιπίπτειν πλάστιγγα. ἐντεῦθεν δὲ ἐπιπίπτειν εἰς λεκάνην ὑποκειμένην πληγεῖσαν τῷ κοττάβῳ. καὶ ἦν ὡς ἀληθῶς εὔχερής ἡ βολῆς. τὸ δὲ παίζειν ἄλλοι μέμνηνται. ἦν δὲ ἕτερον εἶδος παιδιᾶς τὸ ἐν λεκάνῃ. αὕτη δὲ ὕδατος πληροῦται, ἐπέκειτο δὲ ἐπ' αὐτῇ ὀξύβαφα κενά, ἐφ' ἃ βάλλοντες τὰς λάταγας ἐκ καρχησίων ἐπειρῶντο καταδύειν. ἀνῃρεῖτο δὲ τὰ κοττάβεια ὁ πλείω καταδύσας. δεῖ δὲ τὸ ἐρωμένου ἐμέμνηντο, ἀφιέντες ἐπ' αὐτῷ τὰς λεγομένας κοττάβους. καὶ ἄλλα τῶν κοττάβων δύο ἦσαν εἴδη. ἓν μέν, ὁ κατακτὸς λεγόμενος ἦν, οἷον λύχνιον ὑψηλὸν ἔχον ἐν αὐτῷ προσώπον, ὃ μάνην ἐκάλουν. ἐφ' οὗ ἔδει πίπτειν καταβαλλομένην τὴν πλάστιγγα. ἕτερον δὲ ἀγγεῖον ἦν ἱστάς ὕδατος πλῆρες ὅλατος, ἐν ᾧ ὀξύβαφον ἦν ἐπιπλέον τὸ πλῆθος, ὅπερ καταδύειν τοῖς λάταξιν ἐπειρῶντο. Κότταλα, εἶδος συνάψ μακρῶν, ὃ ὁ παρθένος παρὰ κρουνοὶ κοττάλτια. Κοττάνα, τὰ ἄκρα τῆς αἰγὸς. Κοττίν, τύπον, δορυπηδῶν. Κοττίναι, αἱ περιστεραὶ λαῖαι. Κοττίδεια, πλατεῖα, κρόταλον. Κοττυλοειδές, ἔνθα οἱ ὄρνιθες κοιμῶνται. Κοττοβολεῖν, τὸ παρασκοπεῖν ἵνα δρυῶν. Κόττον, ὄρνις. καὶ ἵππον δὲ ἔνιοι οὕτως ἔλεγον.

Κοττυλαῖοι, κατοικίδιοι ὄρνεις. Κοττῶξ, τὸ φέρμενον ἐπὶ βαρὶς κόνεως. Κοτυλώμενος, μειοῦνται. ὅρα ὅτι τὸ παρὰ τοῖς ὅπλοις ἐγκοτοῦσαν, ἐκκοτέσσεσθαι λέγει Ὅμηρος. καὶ ὅτι ἐν τῷ κατασαλεύεσθαι καὶ μειώσασθαι, ταυτὰ εἶδος κοτεῖν καὶ μῆνιν. Κοτυτώ, διὰ παρ' Ἕλλησιν αἰσχρουργίας ἀσελγεῖ, ἧς καὶ κότυος ὀνόματι. Κοτυλώ, ὁ μὲν Εὔπολις κατ' ἰχθὺς τὸ πρὸς τῆς κοτυλῆς, φερώνυμον ἵνα δαίμονα διατίθησι. Κοτύλειον, τὸ ἄχος. Κοτυλάμιον, μετρίαμις. Κότυ, τὸ ταχύ. Κοτύλαι, τὰ ἐν ποσὶ κοιλώματα. Κοτύλειον, ὄργανον τὸ ἐν κύβοις, ὥστε κοτύλας καλουμένας τοῦ κατασχόντος αὐτό. Κοτύλη ποτήριον, ἔτι δὲ πόματος εἶδος. ἔτι δὲ ὅτι καὶ τὸ ἴσον αὐτῇ ὑγρὸν ὁμωνύμως κοτύλη λέγεται κατὰ καὶ ἡμίλιτρον, καὶ χοῖνιξ, τοῦτο μέτρον, καὶ τὸ μετρούμενον. ὅτι δὲ κοτύλην καὶ τὸ κοῖλον ὀστοῦν, ᾧ ἐνστρέφεται ὁ μηρός. κοτύλαι δέ, καὶ τὰ περὶ τὰς πλεκτάνας τοῦ πολύποδος πυκνὰ κοῖλα σάρκια, δι' ὧν ἀντέχεται. ἐκ δὲ τῆς κοτύλης καὶ κοτυλήρυτον ὕδωρ, ἢ αἷμα τὸ κοτύλῃ ἀρυόμενον. τίθεται δὲ καὶ ἐπὶ κοιλότητος χειρός. ὅθεν μὲν παιδιά τις παίζεται, καλουμένη ἐν κοτύλῃ. παίζεται δὲ οὕτω, περιάγει γὰρ ὡς ὀπίσω τὰς χεῖρας συμπλέκων τοὺς δακτύλους. ἕτερος δέ ὡς εἰς τὰ κοιλώματα τῶν χειρῶν, ἅπερ εἰσὶ κοτύλαι, τὰ γόνατα ἐνθείς, καὶ οὕτως ἐπιβαλὼν ἑαυτὸν φέρεσθαι ἐν ὄχῳ. Κοτυλήρυτα, τὰ ἐργαστήρια τῶν εἰς τὰς κοτύλας καθεστώτων ἀγγείων, παρὰ τῷ Ἱπποκράτει. Κοτυληδόνα, τὴν κοτύλην τοῦ ἰσχίου, παρὰ τῷ Ἱπποκράτει. Κοτυληδόνες, κυρίως τὰ τοῖς πλοκάμοις τοῦ πολύποδος ἐπικείμενα κοιλώματα, δι' ὧν τῶν πετρῶν ἐπιλαμβάνονται.

Κοτύλη

ται. οὐκ ἄρα ἐπὶ μόνον ὅπλων τὸ κορύσσεσθαι. Κορύσσω, καὶ ἐπικορύσσω, ἀπὸ κόρυθος. καὶ ἀπὸ θώρακος, τὸ θωρήσσω. καὶ ἀπὸ ἀσπίδος, οἱ ἀσπισταί. καὶ ἀπὸ αἰχμῆς, τὸ αἰχμάζειν καὶ οἱ αἰχμηταί. καὶ ἀπὸ κνημῖδος, ἐϋκνήμιδες, ἀπὸ μέρους τὸ πᾶν τῆς ὁπλίσεως. Κορύσσων πόλεμον ὁ Λυκοῦργος, ἑλληνικῶς ἔχει, ἤγουν εἰς τὸν πόλεμον. Κορυτὴν, τὸ ἐπίμεσον. Κορύτω, τῇ κεφαλῇ. Κορυφᾶ, κορυφῇ, ἀκρωρείᾳ. Κορύφαινα, τινὸς ἰχθύς. Κορυφαλλων, τῶν κορυφῶν τῆς πρὸς τῷ ὀμφαλῷ συναγωγῆς, παρὰ τῷ Ἱπποκράτει. Κορυφαῖος, ἄρχων. καὶ τὸ ἀμαλάκιος, διὰ τὴν φύσιν τῆς αὐτῶν συμφυΐας, γίνεται συντελεστικὰ, ὡς οἷα ὑποβεβληκαί. φασὶ γοῦν κόμην ἀπαλίας ἀνθρώπων, ὥσπερ καὶ διὰ γυναικῶν. Κορυφαιότατον ἐνκεφαλον. εὗρον παρὰ Φαβωρίνῳ, λέγει οὖν κορυφαῖον.

Κορυφαῖος, ἔνδοξος, μέγας. καὶ κορυφαιότατος, ὁ ἐξοχώτατος. Κορυφαλὸς, εἶδος ὄρνιθος. Κορυφὴ, τὸ μέσον τῆς κεφαλῆς. παρὰ τὸ τῆς κάρας κορυφὴν εἶναι, ἢ παρὰ τὸ κεκρύφθαι ὑπὸ τῶν τριχῶν κρυφὴ ὡς οὖσα, καὶ πλεονασμῷ τοῦ ο κορυφή. κορυφὴ, καὶ τὸ ἄκρον τοῦ ὄρους. Κορυφισὸς, κόσμος γυναικεῖος τὸ περὶ τὴν κεφαλὴν χρυσίον, καὶ κεκρυφάλου τὸ μέσον ῥάμμα. Κορυφοῖ, κατορθοῖ. Κόρυφος, κόρυμβος γυναικεῖος. Κορυφοῦται, ὑψοῦται, ἐπαίρεται. Κορυφώσασθαι, ἐπιτελέσασθαι. Κορρῶς, ἐλαφρῶς. Κορύψω, θύσανος. καὶ κορύψω, ἀντὶ τοῦ κερατίζω. τὸ γὰρ κορύπτειν, ἀντὶ τοῦ κερατίζειν Ἀττικοί φασιν, ὡς συντρεχόντων ἀλλήλοις τῶν κριῶν, καὶ ταῖς κορυφαῖς πληττόντων, καὶ ῥαπιζομένων. Κόρχορος, ἄγριον λάχανον, εὐτελὲς, καὶ πικρόν. Κορωναῖος, ἀμπέλου ἡ σταφὴς εἶδος. Κορώνεων, ὡς σεβαλεων. ἔστι δὲ εἶδος συκῆς. ταύτην δὲ κορώνεων λέγουσιν. ὁ γὰρ καρπὸς αὐτῆς κόραξι ἔοικε κατὰ τὸ χρῶμα. Κορώνη, διάφορα σημαίνει, καὶ τὸ ἄκρον τοῦ αἰδοίου, ἔλαβε δὲ τὸ αἰδοῖον αὐτοῦ ἄχρι τῆς κορώνης ἐκτεθῆναι. Κορώνη, τὸ τοῦ τόξου ἄκρον, ἔνθα τὸ κάλλιον κορώνην, ὅμοιόν τι ἐστὶ τῷ χρυσῇ κορώνῃ. ἐπεὶ πολλαχοῦ καλὸς, ὁ χρυσὸς, καὶ καλὰ, τὰ ἐξ αὐτοῦ. σημαίνει καὶ τὸ τῆς θύρας ἐπισπαστῆρα. Κορώνη, ἢ τὸ κορώνιον. ἢ μᾶλλον κατὰ τοὺς παλαιοὺς ὁ κρίκος, ᾧ τὴν θύραν ἐπιθύοντες, ἤγουν ἑλκύσαντες, ἐπισπάσασθαι. ὅθεν καὶ ὁ ἐπισπαστὴρ, παρὰ Ἡροδότῳ, ἐν τῷ ἐπιλαβόμενος τῶν ἐπισπαστήρων, ὃς καὶ ῥόπτρον ἐλέγετο. εἰς δὲ τὸ κορώνη φασὶν οἱ παλαιοὶ καὶ ταῦτα. κορώνη, τοῦ τόξου τὸ ἄκρον, καὶ θύρας ἐπισπαστὴρ, καὶ ὁ κόραξ, καὶ ἡ αἴθυια, καὶ ὁ λάρος, καὶ στεφάνου εἶδος, καὶ γένος ἐμπλοκῆς, καὶ πᾶν τὸ ἐπικεκαμμένον. ὅθεν καὶ κορωνίδας ναῦς. Κορώνη τὸν σκορπίον, παροιμία ἐπὶ τῶν ἀνοήτοις καὶ βλαβεροῖς ἐπιχειρούντων.

Κορῶναι, θαλάσσιαι αἴθυιαι, κολυμβίδος τὰ περιφερῆ χρώματα. Κορωνίδες, καμπυλοπρύμνοι ναῦς, καὶ οἱ ἐκ τῶν ἱερῶν πεπλεγμένοι στέφανοι. κυρίως δὲ, τὰ βλαστήματα. Κορωνιδεὺς, ὁ τῆς κορώνης νεοττός. Κορωνίδες, χώματα ἐν τοῖς δράμασι κατὰ τρίτους τρεῖς. ἄρτι ὅταν τῶν ὑποκριτῶν εἰπόντων ἕως, καὶ ἀπαλλαγέντων, καταλείπηται ὁ χορὸς, ὃ ἐκάλουν, ἢ ὅταν μεταβαίνῃ ἀπὸ τόπου εἰς τόπον γενέσθαι δι' αὐτῆς σχηματισμὸς, τῇ δὲ παραγραφῇ, κατὰ πρόσωπα ἀμοιβαία, ἔν τε τοῖς ἰαμβικοῖς καὶ τοῖς χορικοῖς, μεταξὺ τῆς τε στροφῆς, καὶ τῆς ἀντιστρόφου. ἐὰν μέντοι ἡ στροφὴ ἐξ ἀμοιβαίων τυγχάνῃ συγκειμένη, οὐκ ἐξαρκεῖ πρὸς τὸ δηλῶσαι ὅτι πεπλήρωται ἡ στροφὴ ἡ παράγραφος, ἐπιφερομένης ἄλλης στροφῆς. ἐπεὶ καὶ ἐφ' ἑκάστου κώλου οὐδὲν ἧττον τίθεται, ἀλλὰ κεῖται καὶ ἡ ἔσω νενευκυῖα διπλῆ. τὸν δὲ, ἐὰν ἀντίστροφος ἐπιφέρηται, ὡς ἐάν γε μεταβολὴ μόνον ᾖ στροφῶν, ἡ ἔξω βλέπουσα τίθεται, ἐπὶ τέλει ἑκάστου συστήματος παράγραφος. ἐπὶ δὲ τῷ τέλει πάντων τῶν στίχων κορωνὶς, καὶ ἑξῆς τὸ κεκαμμένον τοῦ χοροῦ. Κορώνιος, μιωπολέεις ἐχων αὐ-

ρατα βροῦς. Κορωνίσι, οὐκ αὐταῖς κορωνίσιν ἐπικαμπεῖς ἐχούσαις τὰς ἄκρας, ὃ ἐστι τὰς πρύμνας. τουτέστι καμπυλοπρύμνοις. Κορωνισαί, οἱ τῇ κορώνῃ ἀγείροντες. καὶ τὰ διδόμενα ὑπ' αὐτῶν κορωνίσματα. Κορωνὶς, τὸ ἄκρον ἢ τὸ τελευταῖον τῆς οἰκοδομῆς ἐπίθεμα. κόσμος ἢ ἀκρώρεια. Κορωνὸς, ὁ γαῦρος καὶ ὑψαύχην. Κορώνεια ἐκλήθη, ἀπὸ κορώνη ἐροῦ θύσσοντος, εἰσὶ δὲ καὶ ἄλλαι κορώνειαι. ἱστέον δὲ, ὅτι εἰ καὶ παραλογον ἐστὶν ὁ κορώνεια, ἐκ τοῦ κορώνη, ἀλλ' οὖν ἡ τρισυλλάβως λεγομένη κορώνεια, πόλις μεσσηνίας ἐστίν. ἐν δὲ τῷ γεωγράφῳ φέρεται, ὅτι κορώνεια ἐγγὺς ἑλικῶνος, ἐφ' ὕψους ἱδρυμένη. παραρρεῖ δὲ αὐτὴν ποταμὸς κουάριος, ἔνθα παμβοιώτια συνεβάλλοντο. ταύτης τῆς κορωνείας φασὶν οἱ πολῖται κορωνεῖς. οἱ δὲ ἐν τῇ μεσσηνιακῇ κορωναῖς. παμβοιώτια, ἑορτὴ ἦν κοινὴ πάντων βοιωτῶν, ὡς περ καὶ ἡ τῶν ἰώνων πάντων, πανιώνια. ὅμοιον ἐστὶ τὸ παναθήναια.

Κορωνῶν, γαυρῶν. καὶ ἐκορώνα, ἐγαυρία. Κόρωνος, γαῦρος. Κορωνόπους, πόα τίς. ἣν καὶ κορωνόποδα λέγουσι.

Κόρωνος, ὀρθόκερως ταῦρος. Κόρων, τὸ ἐπικεκαμμένον τοῦ ῥυμοῦ. Κὸς ἰωνικῶς, ἀντὶ τοῦ πῶς. Κόσκος, σκεῦος συμποτικόν. ἐφ' οὗ τὰς λάταγας ἔβαλλον ἐρίζοντες. Κοσάλαιον, τὸ βραχὺ, καὶ τὸ δίκαιον. Κοσάλιφοι, κόλαφοι. Κόσβανοι, οἱ ἐπὶ θυσιῶν τεταγμένοι. Κόσιοι ἐστι μετάληξις τῶν μετὰ τῶν ἑκατὸν ἀριθμοῦ μέχρι τῶν χιλίων. ὅς πλήθους ἐστὶ πολλοῦ σημαντικὸς, οἷον διακόσια, τριακόσια, καὶ ἑξῆς. Κόσκικοι, οἱ κοτικίδιοι ὄρνιθες. Κοσκιλματίοις, τοῖς περικεκομμένοις καὶ ἀπερριμμένοις δέρμασι. βούλεται δὲ λέγειν διεσφαγμένοις λογαρίοις αἱμύλοις. ἄλλως. κοσκίλματα καλοῦνται, τὰ περιττὰ τὰ περιτεμνόμενα ἀπὸ τῶν κατιλματίων. κατιλματίοις οὖν λέγει, εὐτελέσι ῥήμασιν ἢ πράγμασι. Κοσκινηδὸν, διὰ τοῦ κοσκίνου. παροιμία, κοσκίνῳ ὕδωρ ἐπιφέρειν, ἐπὶ τῶν ἀλυσιτελῶν. Κοσκινόμορφος, ὡς κόσκινον κατατετρημένον ῥινός. Κοσκιλμάτια, τῶν βυρσῶν τὰ σμικρότατα περικόμματα. Κοσκυλματίοις ἐθώπευον, ἐξηπάτα. Κοσμᾶν, ἐρίζειν, ἀγωνιστεύειν. Κοσμεῖν, παρ' Ὁμήρῳ ἐστὶ τὸ τάττειν. ὡς τὸ τρίχα δ' ἐτίθει τὴν κοσμήσας ἑκάστῳ ἔγχος. ἄρχειν δὲ, ἁπλῶς τὸ προηγεῖσθαι παρατάξεως. διὸ οἱ βασιλεῖς ἐκόσμεον, καὶ ὁ Ἕκτωρ ἐκόσμει. ἔνια δὲ ὅτι τὸ ἄρχειν, ὡς ταυτὸν δηλοῖ ἀγαθῷ τῷ κοσμεῖν. ὅθεν κοσμήτωρ, ὁ παιδευτὴς καὶ τάττων ἐν κόσμῳ, ἔνι τάξει, ἤγουν ὁ βασιλεὺς καὶ ὁ ἡγεμονικός. κόσμει δὲ, ἐπιμελοῦ. Κοσμείτην, κοσμείτωσαν.

Κόσμηθεν, διετάχθησαν, ἐκοσμήθησαν. Κοσμῆσαι, τὸ διατάξαι. ὡς τὸ ἤδη δ' αὖ βασιλῆες ἐκόσμεον, οὗ τάμνειν περί. ἀπὸ τοῦ κοσμῶ, ἴσω, κεκόσμηκα κεκόσμημαι, ὁ ἀόριστος ἐκοσμήθην, τὸ τρίτον τῶν πληθυντικῶν ἐκοσμήθησαν, εἶτα ἀφαιρέσει τοῦ ε καὶ συγκοπῇ γίνεται κόσμηθεν, ὁμοίως τῷ τράφεν διὰ τὸ ἀορίστου τρίτον τῶν πληθυντικῶν δωρικῶς, καὶ ἰωνικῶς, καὶ τὰ ὅμοια.

Κοσμήτας, κουρεὺς, στεφανίτης. Κοσμήτορες, διατάκται, ἡγεμόνες. Κοσμήτωρ βασιλεὺς, τακτικῶς. Κοσμήτορες λέγονται, ὅτι τάσσουσι τὸν στρατὸν εὐκόσμως. σημάντορες δὲ, ὡς κελεύοντες, εἴτ' οὖν σημαίνοντες. Κοσμήτορας λέγει Ὅμηρος, τοὺς ἡγεμόνας, ὡς κοσμοῦντας ἔτι καὶ εὐτακτοῦντας τὸν λαόν. κόσμος γὰρ, ἡ τάξις. ἐκ τοῦ κομῶ, τὸ ἐπιμελοῦμαι. ἀφ' οὗ καὶ ὁ πάντων περιεκτικὸς κόσμος, ὃν εὐτάκτως ἡ πρόνοια ἐτάξε. ἀγαθὸς δὲ, καὶ ἄλλως εἰς ἔπαινον ἡ λέξις. ἀπὸ τοῦ γὰρ κόσμος ἀνήρ. ἔστι πρᾶγμα κατὰ κόσμον πραχθὲν, τὸ εὔκοσμον, οὗ τὸ ἀνάπαλιν ἄκοσμος, καὶ μὴ ἀτὰρ οὐ κατὰ κόσμον γινόμενον. Κοσμιότης ἐστὶν, ἕξις ἐνθυμίας πρὸς τὸ φωνὴν βέλτιον, εὐταξία κινήσεως σώματος. Κοσμιότης, εὐταξία. κοσμιότης, ἔστι σωφροσύνη. Κόσμιον, εὔτακτον. Κοσμίως, ἀπαλλάξας.

Κόσμιος, σεμνός. Κοσμιωτάτω, εὐγενεστάτω, ἐπαλλήλου. Κοσμογένεια, ἡ κοσμοποιΐα. Κόσμος, τάξις.

ἔχουσι μέλανα. καὶ γὰρ τῶν ἀραχνῶν, οἱ μὲν λευκοί, οἱ δὲ πυῤῥοί, οἱ δὲ μέλανες, οἱ καὶ τῶν ἄλλων διαφορώτεροι. ἢ κορωνέοντα, ἤγουν ῥαβδωτὰ, καὶ διὰ συναρχικῶν εἴρηται. κορύνη γὰρ ἡ ῥάβδος, παρ' Ἡσιόδῳ. Κοροπλάθοι, οἱ τὰς κόρους πλάττοντες κηρῷ, ἢ γύψῳ. πλάττουσι τὰ ζῶα πάντα. οἱ κατασκευάζοντες εἴδωλα βραχέα ἐκ πηλοῦ πάντων ζώων, οἷς ἐξαπατᾶσθαι τὰ παιδία εἰώθεν, οὗτος κοροπλάθος καλεῖται. κοροπλάθους λέγουσι, ἢ ἐκ πηλοῦ ὄντος, ἢ κηροῦ, ἢ τοιαύτης τινὸς ὕλης πλάττοντας κόρας, ἢ κούρους. Κόρος, ὁ βασιλεὺς τῶν περσῶν ὁ παλαιός. ἡλίου γὰρ ἔχων τὸ ὄνομα. κῦρον γὰρ καλεῖν εἰώθασιν οἱ πέρσαι τὸν ἥλιον, Ω; Θ. Κόρυς, ἡ περικεφαλαία. παρὰ τὸ κάρα, κάρυς καὶ κόρυς ἢ παρὰ τὸ κόρση γίνεται, ὃ σημαίνει τὴν κεφαλήν. Κόρος, πλησμονὴ, χορτασία, ὕβρις, παῖς, κάλλωπον, καὶ μέτρον τι σιτικόν. καὶ πλέγμα μυρσίνης πεπλεγμένον, καὶ πλῆθος ἀνθρώπων, καὶ τὰ νέα βλαστήματα, καὶ μέτρα.

Κόῤῥιον, μικρὸν κοράλιον. Κόρσεις, τραγῳδὸς παρὰ Κρατίνῳ. διδυμος, ἤκουσεν ἀπὸ τοῦ κόρσαι. κόρσαι γὰρ τὸ κεῖραι. Κορσωτῆς, κουρεύς. Κόρση, ἡ κεφαλὴ, ἀπὸ τοῦ κορσοῦσθαι. ἢ παρὰ τὸ κείρεσθαι. ὅθεν κορσωτὴν λέγεσθαι, ὁ τὰς τρίχας κείρων. καὶ κόρσαι, αἱ τρίχες. Κορσίνιον, ῥίζα τις ἢ νόμισμα παρ' αἰγυπτίοις, τὸ κιβώριον λεγόμενον. Κορσίς, πνεῦ. Κόρυς, οἰστρὸν, τὸ σκιοτεύειν. ὅθεν καὶ Θεόκριτος φησὶν, οὐκ ὤνθρωπε φιλοῖσα, τότε γίνου ἢ κορυφὴ σειγγύθεν, ἢ πάντοτε κατακαλόμενον ἐρείδεσθαι, ἢ τὸ ὡς κόρυν οἰδαίνειν, πεῖσιν ἔχεινότερον. ἢ παρὰ τὸ τὰς τρίχας ὑφαίνειν καὶ τὸ πλεκτικὸν ἔχειν, οἷον κόρυσφός ἐστιν. κόρυν γὰρ, ἡ θρίξ. οἱ δὲ κορσὸν λέγουσι, τὸ αἰθέριον. καὶ αἴσυρον, τὸ αἰθέριον ἔχοντα ὑφασμένον καὶ μαλακόν. Κορσόν, κορμόν. Κορσῦν, κείραν. Κορσωτήριον, κουρεῖον. Κόρταφος, παρὰ τὸν κρόταφον εἶναι κόρταφος καὶ κόρταφος, καὶ ἐν ὑπερβιβασμῷ κρόταφος. ἢ ἔστι τὰς κόρσους καὶ τὰς κεφαλὰς ἀφάπτει. Κορτεῖν, κροτεῖσθαι. Κορτερά, κρατερά, ἰσχυρά. Κόρτιον, παρ' οἷς ἰδίως καλοῦσιν, ὃν λαμβάνουσι παῖδες εἰς ἄνδρας ἀριθμούμενοι. Κόρτος, ὁ ἐν τισι κοινὴ κρότων. Κορτόνιον, οἱ ἀμπελῶνες. ἡ γὰρ κόρτυς τὰς ἀμπέλους. Κορύβαντες, ἱερεῖς βακχικοὶ καὶ μανικοί. παρὰ τὸ κρύβειν τὸν Δία, κρύβαντες, καὶ πλεονασμῷ τοῦ ο κορύβαντες. ἢ οἱ τὴν κόρυν καταβάντες ὀρχηστικῶς, καὶ μὴ ὑποστρέφειν. κορύβαντες δέ εἰσι, δαίμονες. Κορυβαντιᾶς, μαίνεται, παρ' ὅσον οὗτοι οἱ δαίμονες μανίαν καὶ ἐκθειασμὸν ἐμποιοῦσι. καὶ κορυβαντιᾶν, ὡς μαινόμενος καὶ κατεχόμενος ὑπὸ θεοῦ, ἀντὶ τοῦ τὰ τῶν κορυβάντων ἱερεῖα αὐτοὺς μυεῖσθαι. Ἀριστοφάνης. Κορυβαντισμὸν, καθαρισμόν.

Κορυβαντιῶν, μέγα κτυπῶν, ἢ ὀρχούμενος, ἢ μαινόμενος.

Κορύβασα, ῥίζα ἰδίως. Κόρυβος, ὁ κουρεύς, ἀπὸ τοῦ κορύβου τινὸς μετροῦντος τὰ κόματα. Κορυγγεῖν, κρατίζειν. Κορύγας, κῆρυξ. Λυκοῖς. Κορυδαλός, εἶδος ὀρνέου, καὶ δῆμος τῆς ἀττικῆς. Κορυδαλὸς, ὄνομα κύριον. οὗτος ἀνάφωνος τὴν ἐπὶ λοφοφορία, καὶ οἱ παῖδες αὐτοῦ. Κόρυδοι, ὄρνιθες ὅμοιοι ὄρνισι. Κορυδὸν, ἐπεὶ κορυδαλὸν λέγουσι. τοὺς δὲ ἰδίως ὀρνέον νομίζουσιν εἶναι. κορυδὸν δὲ Ἀριστοφάνης εἴρηκε θηλυκῶς. Πλάτων δὲ ὁ κωμικὸς ἀρσενικῶς. Κορυδὸς, παρὰ τῷ Ἀριστοφάνει. κορύδαν λέγεσθαι, παρ' Ἀριστοτέλει. μὴ ἀγνοῇς. διαιρεῖ γὰρ τὰ ὀνόματα. Κόρυδος, καὶ κορυδαλλὶς, τὸ στρουθίον, τὸ ἔχον ἐπὶ τῆς κεφαλῆς ἀνεστηκότα πτερὰ, ὡς πρὸ δ' ἔχον, ὃς λόφον ὁ τῶν ἀλλήλων μῦθος τὴν τάφρον ὡς μὴ βάλλεσθαι τὸ πατρὸς αὐτῶν. φασὶ γὰρ αὐτοὺς εἶναι πρὸ τῆς γῆς ὑποστῆναι. ἀποθανόντα δὲ τὸν πατέρα αὐτῶν, ἐπεὶ οὐκ εἶχον ὅπου θάψουσιν, ἐπὶ ταῖς αὐτῶν ἐθάψαν κεφαλαῖς. τοῦτο βούλεται λέγειν καὶ παρὰ τῷ Θεοκρίτῳ, τὸ ἐπιτυμβίδιοι κορυδαλλίδες, ἤγουν αἱ ἐπὶ ταῖς αὐτῶν κεφαλαῖς τὸν τύμβον τοῦ πατρὸς φέρουσαι.

Κόρυζα, κατάῤῥους, ἀρχὴ ἢ πλεονασμὸς μυξῶν. Κορυζᾶν, ξαίνειν, μωραίνειν. Κορυθαίολος, πολεμικοῦ. ὅτι τὰς κόρυθας καὶ τὰ ὅπλα σείει τὸ ὁρμᾶν, ἀΐσσειν, ἀΐξ, γίνεται κορυθάϊξ. Κορυθαίολος, πολεμιστὴς ὑπὸ τῶν παλαιῶν. δηλοῖ δὲ τὸν ἔχοντα αἰόλην κόρυθα, ἤγουν ποικίλην περικεφαλαίαν. τινὲς γὰρ αἰτιῶνται παραλλάχθαι τὸν ὁπλισμὸν, ἢ τὴν εὐκινητὴν ἐν πολέμοις, παρὰ τὸ αἰόλον τὸ ταχύ. ὅθεν ἀπὸ τοῦ αἰόλλω, τὸ κινῶ γίνεται. ἔστι οὖν κορυθαίολος, ὡς αἰόλος εἰς μάχην μετὰ ὅπλων, ὡς ἀπὸ τῆς κόρυθος τὸ πᾶν εἰπεῖν. τοιοῦτο δὲ σημαινόμενον ἔτι καὶ ὁ κορυθάϊξ.

Κορυθάλη, ἡ πρὸ τῶν θυρῶν δάφνη ἐστεμμένη. εἰσὶν οἱ κλάδοι, οὓς κόρους καλοῦσι. Κορυθαλία, δάφνη ἐστεμμένη. ἐπὶ τῶν νυμφώνων. ἄλλοι δὲ, ὑπερῷον ἱερόν. Κορυθαλλίστριαι, αἱ χορεύουσαι τῇ κορυθαλλίᾳ θεᾷ. Κορυθία, ἀλεκτρύων.

Κορύθων, ἀλεκτρυὼν καὶ ποικίλος. Κόρυκος, θυλάκιον, ἢ πήρα. Κορυλλίων, ζωὸς εἶδος. Κόρυμβα ἐστὶ καθ' Ὅμηρον, ἄκρα. κατὰ δὲ ἑτέρους ἀφροστόλια, καὶ ὅσα περὶ τὰς πρώρας. καὶ ἰδίως οὕτω λέγεσθαι τὰ ἐξέχοντα, καὶ μάλιστα ἐν ὄρεσιν. Ἡράκλειτος τοῦτον τὸν ὅρον φησὶ τὸν κόρυμβον, ὡς ἐκεῖ εἶναι κορυφὴν, ἀφ' οὗ κατὰ γένος μεταπλασμὸν, τὸν κόρυμβον. ὅθεν ἡ κορυφὴ, καὶ ὁ κόρυς, καὶ τὸ κορύσσεσθαι. Κόρυμβοι, καλοῦνται, ὁ ἄκρος ἐν τῷ γράμματι. Κορυμβός, ὁ καυλὸς ἐξ ὧν συνάγουσι. Κορύμνα, κόσμος τις γυναικεῖος πλατυχαλκός.

Κορύναι, ῥάβδοι. Κορύνη, δὲ τὸ λέξεως ποικίλον λέγεσθαι. ἁπλῶς μὲν πᾶσα ῥάβδος κεφαλωτή, καὶ τὸ κάρυον λέγεται. ὅθεν καὶ ἡ κόρυς. οἱ δὲ τὸ ξύλον ἐξ ἄκρου παχὺ σιδηροῦν, οἷα τότε καὶ σιδηρᾶν. κορύνη λέγεσθαι, ἀπὸ τῆς κεφαλῆς τῆς κόρυνος καλεῖσθαι. ὅσον καὶ ῥόπαλον λέγεσθαι, ἀπὸ τῆς ἄκρας ὀρθοῦ ὄντος, ἀλλὰ ῥέποντος. οὕτω καὶ ἡ πολεμικὴ ἀπὸ τοῦ ξύλου συγκειμένη καὶ σιδήρου, δόρυ μὲν λέγεται διὰ τὸ ξύλον, αἰχμὴ δὲ διὰ τὸν σίδηρον. Κορύνη, ῥόπαλον. οἱ δὲ ξίφος, οἱ δὲ ξύλον ἐπικαμπές. Κορύνησις, βλάστησις. Κορυνηφόροι, οἱ ξύλων κορύνας ἔχοντες. Κορυνήτης, κορυνομάχος, ῥοπαλομάχος. Κορυνῆτις, κόσμος, καλλωπισμός.

Κόρυνθος, μάκης φωνή. Κορυνθάλη, ῥοπάλιον. Κορυξ, κωνίσκος. Κορύσσομαι, τὸ κορυφοῦμαι. ποτὲ πλεονασμὸν τοῦ ς κορύσσομαι λέγεται. οὐ μέλλων κορυσσομαι. ἀπὸ δὲ τοῦ κόρυς, κορύσσομαι, τὸ ὁπλίζομαι. ἀπὸ κόρυνος τὰς ὁπλίσεις πεποιημένας λέγεται κορύσσομαι, καὶ τὸ ὑψοῦμαι κατὰ τοῦτον τὸν τρόπον, καὶ ἀπὸ τοῦ θώρακος θωρήσσομαι, ταύτῃ ὑπὸ κορύσσομαι, ὑπὸ δηλοῖ τὸ ἐπλίζομαι. εἰσὶ δὲ καὶ ὁμώνυμα καὶ πληκά. ἐπλίζομαι δὲ κηρύσσω, ὁ γίνεται ἀπὸ τοῦ ἐπλων. Κορυσσήλλος, ὁ τὰς κόρυς πλαστῶν. ἀπὸ τοῦ κορύσσω, τὸ κορυφίζω.

Κορυσσόλοφον, ἀσφαλιῶν. Κορυφαλος, ἀσφαλιστής.

Κόρυς, ἡ περικεφαλαία. καὶ κλίνεται κόρυθος, παρὰ τὸ κάρας, κάρυς καὶ κόρυς ἢ παρὰ τὸ κόρση, γίνεται κόρυς. κόρση δέ, ἡ κεφαλὴ. καὶ τὸ κορσοῦσθαι, ἐπὶ τὸ κεῖρον λέγεται οἱ ἰωνῶν καὶ κορσωτῆρα, τὸν κουρέα. Κορύσσω, ἤγουν ὁπλίζεσθαι. ἀπὸ τοῦ κόρυς, ὃ περικεφαλαία, ἢ ἐκ τῆς ἐπιμελεῖται ἀπὸ τοῦ σ, καὶ γίνεσθαι. θωρήσσω δὲ, μέγα καὶ τὸ, καὶ γίνεται ἀπὸ τοῦ θώραξ, θώρακος. θωρήσσω, ἤγουν καθοπλίζω, μετρὸν καὶ τὸ, καὶ γίνεται ἀπὸ τοῦ θώραξ, ὁ ἄκρατος οἶνος. Κορύσσεται κῦμα, μέγα φυσᾷ, ὅτι ὑψοῦται ἀρθὲν. καὶ κόρυσσε κῦμα, ἐμφαίνει. ὅμοιος, ἐπὶ τῷ ὑψοῦσθαι ἀπερόμενος ὡς εἰς αὐτὸ ἐπάλλων. Κορύσσεσθαι, ἐπαίρεσθαι. Κορυστὴς, ὁπλίτης. Κορυστής, ἀγαθὸς ὁπλίτης. Κορύστες, οἱ γερόντες. ὁ ὁπλίται. Κορύσσομαι, τὸ ὁπλίζομαι. ἀφ' οὗ κορυστὴς, ὁ ὁπλίτης. καὶ ἱππεύς. ἐξ οὗ ἱππικὸς ὁπλίτης, ὁ μετὰ τοῦ ἐν ἵπποις συστραγμένος. καὶ κορύσσεσθαι λέγεται, ἀφ' οὗ κορυστής. Κορύσσεται, παρ' Ὁμήρῳ, ἀναφέρεσθαι, οἷκ

ὑπὸ κύκλα ποιμένι θῆκεν. ὅ ἐστι κατὰ τοὺς τροχίλους, οἱ ὡς εἰκὸς ἐνίσταντο τοῖς τῶν λεβήτων ποσίν. ὡς ἂν εἴη τι τῶν τῶν θεῶν ἀθρεῖσιν δίνονται. τοῦτο γὰρ ὁ θεῖος ἀγών. καὶ οἴκαδε αὖθις εἰς τὰ ἑαυτοῦ ἀπονέονται, δίκην ἐμψύχων. τοιαῦτα γὰρ ὑποτίθεται εἶναι τὰ ἡφαιστότευκτα. Κύκλα κατὰ μεταπλασμὸν γένους, οἱ τροχοί. ὅθεν καὶ κυκλῆσαι συνήθως, τὸ ἐπὶ ἁμαξῶν ἀγαγεῖν. τοιοῦτο δὲ μεταπλασμοῦ σὺν ἄλλοις πολλοῖς, καὶ ὁ θυμὸς καὶ τὸ θυμόν. καὶ ὁ γάργαρος παρ' Αἰσχύλῳ, φασὶ καὶ τὸ γάργαρον. οὕτω δὲ καὶ ὀρίγανον καὶ ὁ ὀρίγανος. Κυκλάζει, κύκλῳ περιέρχεται. Κυκλάμινος, στρογγυλοῖ. Κυκλάμινος, εἶδος βοτάνης. Κύκλαιοι αὐλοί, οὕτω λεγόμενοι ἐκαλοῦντο. εἰσὶ δ' ἄρα οἱ χορικοί. Κέκλυθι, ἢ κέκλυτε, ἀκούσατε. Κύκλειον, εἶδος κόμματος ἐξ εἰδῶν συγκείμενον. Κυκλέω κυκλῶ, τὸ συστρέφω. κυκλόω δὲ τὸ περιλαμβάνω. καὶ κυκλοῦμαι, τὸ περιλαμβάνω καὶ τὸ περιλαμβάνομαι. Κυκλήσομεν, ἀντὶ τοῦ τροχοῖς ἀνάξομεν, ἢ μᾶλλον ἐφ' ἁμαξῶν κομίσομεν, ἀπὸ τοῦ μέρους. τὰ δὲ κύκλα, ἤγουν οἱ τροχοί, μέρος ἁμάξης. Κυκλήσομεν ἐνθάδε νεκρούς, ἀντὶ τοῦ ἐφ' ἁμαξῶν ἄξομεν. ἀπὸ τοῦ κυκλῶ κυκλήσω, κύκλα οἱ τροχοί.

Κυκλώσομεν, ἀνακυκλώσομεν. Κύκλια τὰ πολλὰ, παρὰ τῷ Ἀριστοφάνει. τὰ τὴν αὐτὴν ὑπόθεσιν ἔχοντα, ταῦτα κύκλια ἔλεγον. παρθένια δὲ ἃ αἱ παρθένοι ᾖδον. κύκλια δὲ καλοῦνται μέλη, τὰ ἐπιτετηδευμένα. ἔστι δὲ διθυραμβικόν. ἄλλως. ἀντὶ τοῦ κατάτεχνα, ποικίλα, οἷον ὕμνους, παιᾶνας, προσόδια, καὶ τὰ τούτοις παραπλήσια. Κυκλιοδιδάσκαλον, ἀντὶ τοῦ διθυραμβοποιὸν λέγει Ἀριστοφάνης. εἴρηται, ὅτι ἐγκύκλια διδάσκουσιν. Ἀντίπατρος δὲ καὶ Εὐφρόνιος ἐν τοῖς ὑπομνήμασι, φασὶ τοὺς κυκλίους χορούς στῆσαι πρῶτον Λᾶσον, Ἑρμιονέα. οἱ δὲ ἀρχαιότεροι, Ἑλλάνικος καὶ Δικαίαρχος, Ἀρίονα τὸν Μηθυμναῖον. Δικαίαρχος μὲν ἐν τῷ περὶ Διονυσιακῶν ἀγώνων. Ἑλλάνικος δὲ, ἐν τοῖς Καρνεονίκαις. Κυκλογέλων, ὀλίσχρον, σμικρολόγον. Κυκλοβορεῖν, καὶ καταπλουτίζειν, χαριεντισμὸς ἐπὶ κωμῳδίας.

Κυκλόβορος, ποταμὸς Ἀθηναίων, ὃς οὐχ ἀεὶ οὐδὲ διὰ παντὸς ῥεῖ, ἀλλὰ χειμάρρους. ἔνιοι τόπος κυκλοτερὴς, ἐν ᾧ τὰ ὤνια ἐπώλουν, ἃ ἐνεθεώριζεν ὁ κλέων. Κύκλοι, ἐν τῇ νέᾳ κωμῳδίᾳ καλοῦνται, ἐν οἷς ἐπιπράσκοντο τὰ ἀνδράποδα. ἴσως δὲ τὰ λοιπὰ ὤνια, ἐφ' ὃ δὲ ἀναβαίνοντες οἱ δοῦλοι πιπράσκονται. τοῦτον τράπεζαν Ἀριστοφάνης καλεῖ, μονοκύκλιον τὸν περίβολον. Κύκλοι εἰσὶ παράλληλοι, οἱ περὶ τὸν αὐτὸν πόλον γραφόμενοι.

Κύκλοι εἰσὶν ἀρκτικοί, οἱ τὸ φαινόμενον ἀεὶ μέρος τοῦ οὐρανοῦ καὶ τὸ ἀφανὲς διορίζοντες. Κύκλοι εἰσὶν μεσημβρινοί, οἱ διατέμνοντες τὸ ὑπὲρ γῆς ἡμισφαίριον. κύκλοι εἰσὶν ὁρίζοντες, οἱ διορίζοντες τὸ φαινόμενον μέρος τοῦ οὐρανοῦ ἀπὸ τοῦ ἀφανοῦς. Κύκλον ποιητὸν λέγει Ὅμηρος συνήθως, τὸν τοῦ ἅρματος τροχόν, ὡς καὶ αὐτὸ τὸ πεποιημένον. ἢ καὶ πρὸς διαστολὴν τῶν παρὰ τοῖς σοφοῖς διανοητῶν κύκλων. Κύκλος, σφαῖρα, ἐνιαυτὸς, κόσμος. Κύκλος ἐστὶν ἰσημερινὸς, ὁ μέγιστος τῶν παραλλήλων, ἢ ἐφ' οὗ τὰς ἰσημερίας ὁ ἥλιος ποιεῖται. Κύκλος ἐστὶ τροπικὸς, ἐφ' οὗ γενόμενος ὁ ἥλιος τὰς τροπὰς ποιεῖται. Κύκλος, περίβολος. καὶ ἐν ἀγορᾷ τόπος ἔνθα σκεύη καὶ σώματα πιπράσκονται, καὶ ἐν ταῖς κωμῳδίαις ὑπότροχόν τι κατασκεύασμα. καὶ παρὰ τοῖς γεωμέτραις ἐπίπεδον σχῆμα, ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον, καὶ εἶδος ἱππασίας. Κυκλοτερὲς, περιφερὲς, ἐπικαμπές. Κύκλους καὶ τροφοὺς, τὰ τείχη. τροχὸν δὲ τὸ τεῖχος ὡς Σοφοκλῆς ὀρχηστεῖ, κυκλώπειον τροχόν. Κυκλοτερὲς τόξον λέγει Ὅμηρος, οἱ τοιοῦτοι φύσει. σκολιὸν γάρ ἐστι καὶ ἀγκύλον πρὸ τῆς τάσεως, ἀλλ' ὅταν ἐλκυσμῷ τοιοῦτον γίνεται. Κυκλοφορεῖται, κατὰ κύκλον φέρεται, ἢ δινεῖται. Κύκλωπες, κυκλώπεες, καὶ κατὰ συγκοπὴν κύκλωπες, ὅτι κυκλοτερὴς ὀφθαλμὸς εἷς ἐνῆν τῷ μετώπῳ. Κύκλωπες, ἄγριοι ἄνθρωποι. καὶ κυκλώπειον κλίμμα. σημαίνει δὲ καὶ ὄρος. Κυκλώπων εἶδος, ἐπειδὴ Κύκλωπες ἐτείχισαν τὰς Μυκήνας. καὶ κυκλώπιον, χαλκεῖον. Κυκλῶ, κυκλώσω κοινῶς. κυκλῶ κυκλώσω, παρ' Ὁμήρῳ, τὸ ἐφ' ἁμάξης ἄξω. κύκλα γὰρ οἱ τροχοί, καὶ εἰσκυκλῶ, καὶ ἐκκυκλῶ, καὶ ἀνακυκλῶ.

Κυκλῶσαι, τὸ περιελθεῖν καὶ περιοδεῦσαι ἕνα τόπον. κυκλῶσαι δὲ καὶ ἀνακυκλῶσαι, τὸ πολλάκις αὐτὸ μεταστρέψαι. Κυκλωσάμενοι, ὑφαλοῖς. Κύκλῳ, εἴτε ὄνομα, εἴτε ἐπίρρημα, σὺν τῷ ι γράφεται. ἔστι γὰρ κύκλος, κύκλου, κύκλῳ. καὶ λοιπὸν αὗται αἱ δοτικαὶ μεταρχόμεναι εἰς ἐπιρρήματα, κατὰ τὴν σύνταξιν τῆς δοτικῆς, τὴν γραφὴν φυλάττουσι. οἷον ἰδίᾳ, δημοσίᾳ, κύκλῳ. οἷον, κύκλῳ στῶμεν. Κύκλωψ, ἐθνικόν ἐστι, ἀπὸ τοῦ σπασάλου ἦν, κύκνον δὲ τὸ πλάσμα. εἰ μὴ ἄρα ὥσπερ τὸ Αἰγύπτιος, ἐν τοῖς ἑξῆς κύριον εὕρηται ὄνομα, οὕτω καὶ τὸ κύκλωψ ἐξ ἐθνικοῦ ὡς κύριον μετέπεσεν, ἐξιδιασθέντος τοῦ πολυφήμου τὸ κοινόν. Κύκλωψ ὅτι ποιμὴν ὤν, καὶ λύραν κατέχων ἐθέλγε τοῖς αὐτοῦ θρέμμασι, καὶ ὅτι αὐτὸν ὁ Διονύσιος ἐτύφλωσεν, δηλοῖ ἡ ἱστορία. Κύκνειον, τὸ τοῦ κύκνου μέλος. Κύκνοι, δύο. ὁ μὲν Ἄρεος, ὁ δὲ Ποσειδῶνος. καὶ τὸν μὲν Ἄρεος, κακῶς τὰ παρὰ θάλασσαν διατιθέντα, Ἡρακλῆς ἀπέκτεινεν. ὡς ἐν τῇ Ἀσπίδι Ἡσίοδος δηλοῖ. τὸν δὲ Ποσειδῶνος, Ἀχιλλεὺς, στρατευσάμενον καὶ συμμαχοῦντα τοῖς Τρωσίν, ὡς καὶ Πίνδαρος ἱστορεῖ. Κύκνος τῷ Ἀπόλλωνι, οὐ μόνον διὰ τὸ ᾠδικὸν καὶ μαντικὸν ἀφιέρωται, ἀλλὰ καὶ διὰ τὸ λευκόν, ὅπερ ἐκ τοῦ λεύσσειν ἤτοι βλέπειν παράγεται, οὗπερ Ἀπόλλων ἐστὶ παραίτιος. ὅθεν καὶ Δήλιος ἐπιεικῶς ὀνομάζεται, ὡς δῆλα καὶ ἐνάργεια πάντα ποιῶν. Κύκνος, ἔδει ἀπὸ τοῦ κλῶ τὸ φωνῶ, γίνεσθαι κλέω, κλόνος, καὶ καθ' ὑπερβιβασμὸν καὶ μετάθεσιν τοῦ λ εἰς ν, κύκνος. ἢ ὁ κυκλοτερῆ ἔχων τὸν τράχηλον, παρὰ τὸ κύκλος. Κύκνος, ἄτρωτος ἦν τὸ λοιπὸν σῶμα, πλὴν κεφαλῆς. τοῦτο μῦθος ἐστὶν, ὅτι κατὰ τὴν κεφαλὴν πληγεὶς ὁ κύκνος ἀνῃρέθη. ἀλλὰ περιδέξιος ὢν στρατιώτης ὁ κύκνος, καὶ κάλλιστα σκεπόμενος ἐν πολέμοις, ὡς μηδέποτε τρωθῆναι ὑποπίπτειν τοῖς μύθοις, ὅτι ἄτρωτος ἦν, ἐπειδὴ πληγεὶς ὑπ' Ἀχιλλέως τὴν κεφαλὴν, ἀνῃρέθη. Κύκνος, ὁ Σκαμανδροδίκης καὶ Ποσειδῶνος, λαθραίως τεχθεὶς, ἐρρίφη πλησίον θαλάσσης. κύκνον δὲ πίνας αὐτοῦ κατασπεῖσαν, ἰδόντες ἁλιεῖς ἀνείλοντο τοῦτον, καὶ κύκνον ὠνόμασαν. ὃς ἀνδρωθεὶς, ἔγημε Πρόκλειαν τὴν Λαομέδοντος, καὶ γεννᾷ Τένην, καὶ Ἡμιθέαν. ἀποθανούσης δὲ τῆς Προκλείας, ἐπέγημεν ὁ κύκνος Φιλονόμην τὴν Τραγασέως. ἣ δὲ ἐρασθεῖσα τοῦ Τένου, καὶ μὴ τυχοῦσα, κατηγόρησε πρὸς τὸν πατέρα, ἐκβιασθεῖσα ὑπ' αὐτοῦ, συμφωνοῦντος αὐτῇ καὶ αὐλητοῦ τινος Μόλπου. ὁ δὲ ὀργισθεὶς, εἰς λάρνακα λαβὼν Τένην καὶ Ἡμιθέαν, ἀφῆκεν εἰς τὴν θάλασσαν. τῆς δὲ λάρνακος προσοχθείσης τῇ τότε Λευκοφρύϊ νήσῳ, νῦν δὲ ἀπὸ τοῦ Τένου Τένεδος καλουμένῃ, ἰδόντες οἱ τῆς νήσου τὸ συμβὰν καὶ μαθόντες τὸ δρᾶμα, βασιλέα αὐτοῦ τὸν Τένην ἐποίησαν. καὶ τὴν νῆσον ἀπ' ἐκείνου, Τένεδον προσηγόρευσαν. γνοὺς δὲ ὁ κύκνος τὸ ἀληθὲς, ἀνεῖλε μὲν Φιλονόμην. αὐτὸς δὲ ἐλθὼν συνῴκησε τοῖς παισὶν ἐν Τενέδῳ. Ἀχιλλεὺς δὲ ἐπιστρατεύσας τῇ Τροίᾳ, ἀνεῖλε τὸν κύκνον, καὶ Τένην τὸν ὑπὲρ κύκνου λόγῳ, ἔργῳ δὲ Ἀπόλλωνος. ἡ δὲ Ἡμιθέα διωκομένη φεύγουσα τὴν μῖξιν, εἰς γῆν κατεπόθη. μετὰ δὲ τὸ ἀνελεῖν Ἀχιλλεὺς κύκνον, καὶ Τένην, εἰς ἕτεραν ἐλθὼν, ὑπὲρ οὗ ἀνεῖλε καὶ μνήμονα, ὃν ἕνα ἡ Θέτις συνακολουθοῦντα Ἀχιλλεῖ δέδωκεν, ὑπομιμνήσκειν αὐτὸν μὴ ἀνελεῖν Ἀπόλλωνος παῖδα. εἱμαρμένον γὰρ ἦν Ἀχιλλεῖ ἀποθανεῖν, εἰ ἀνέλῃ παῖδα Ἀπόλλωνος. ὁ δὲ Τένης, ὡς ἔφην, υἱὸς Ἀπόλλωνος. Κύκνος, ἀπὸ τοῦ κυκᾶν πλεῖον τῶν ἄλλων τὴν ἰλὺν χάριν τροφῆς. Κυκνίας, προγόνοις. Κυκνοῦντος, θρηνοῦντος. Κυκίζα, γλυκεῖα καλέοντα. Κύκεον, τὸ σκύφον. Κυκρὸν, ἔγκυον, ἁπαλὸν, βλακόν. Κυλα-

κλω. κτίσαιν, ἀπὸ τῆς κτίσεως κτίσιν. καὶ ἔστιν ὕλλος ἡ μεταπλασμοῦ, πρὸς ἀμειβόμενα τῇ κόνει, καὶ ἄνθεσι. Κλονέω, φονεύω. Κλεμίνη, Δολοπικὴ πόλις τῆς Θεσσαλίας. Δολοπία δὲ, τὴν Θεσσαλίαν εἶπεν ὁ Ἀπολλώνιος, ἐπειδὴ Δόλοψ ἔθνος Θεσσαλίας. Κλονέω, τὸ φονεύω. Κτίσις, ὁ κόσμος. πᾶσα ἡ τοῦ θεοῦ κτίσις διαιρεῖται εἰς ἕξ, εἰς ἀόρατα λογικὰ, εἰς σύνθετα λογικὰ, εἰς σύνθετα ἄλογα, εἰς αὐξητικὰ καὶ γεννητικὰ, εἰς ἐγκρατῆ καὶ κινητὰ, εἰς ἀναίσθητα καὶ ἀκίνητα. Κτίσμα, κλεινόν. Κτίσαι, ἱδρῦσαι, οἰκῆσαι, ἄρξασθαι. Κτίσμα, ποίημα, οἰκοδόμημα. Κτίσας, ποιητὴς, πλάστης. Κτόνος, ὁ φόνος. ἐξ οὗ καὶ κλονέω, τὸ φονεύω. Κτυποῦσι, ψοφοῦσι.

Κτιστῷ, κτίστῃ. Κτίσαι, κτίσοντα. Κτυπεῖν, κτυπῶν, βροντῶν. Κτυπία, ὁ ἐπιθαλάμιος κτύπος. Κτυπίον, τὸ ἐπιχορευόμενον τοῦ θαλάμου, ὃ ἐπικτυποῦσιν ἔξωθεν, ὅταν συγκατακλίνηται τῷ νυμφίῳ ἡ γαμουμένη. Κτύπος, παρὰ τὸ τόπον τόπος, καὶ πλεονασμῷ τοῦ κ κτύπος. τὰ γὰρ τυπτόμενα, ψοφεῖ. Κτυπεῖ, κομπάζει, μεγαλορρημονεῖ, τῇ χειρὶ κροτεῖ.

Κτύπαι, ἡ κτίσαι, χωρίσεις προγονικῶν ἰδίων, ἡ δῆμος μεμορισμένος. Κτημένους, κεκτημένους. Κτώμενος, συνάγων. Κτῶ, τὸ κτῶμαι.

ΤΟ Κ ΜΕΤΑ ΤΟΥ Υ.

Κύαθος, μέτρον ὑγροῦ, οὐγγιῶν δέκα, ἢ κοχλιάριον, ὡς Ἀριστοφάνης. Κυαίνων, ἐγγὺς ὤν. Κυαμεῦσαι, κυάμῳ ψηφοφορῆσαι, ᾧ ἐχρῶντο οἱ βουλευταί. Κυαμοτρὼξ, δικαστικὸς, κυάμους ἐσθίων. κυάμοις δὲ ἐχρῶντο οἱ δικασταὶ, διὰ τὸ μὴ καθόλου, ἡ ἀντὶ ψήφων. ἄλλοι δὲ διὰ τὸ κυαμοτρὼξ, ὁ κυάμους δικάζων, ὁ ἐσθίων. τούτοις γὰρ ἐχρῶντο ἀντὶ ψήφων. ἄλλως. τρεφόμενος ἀπὸ τῶν κυάμων. ἐπεὶ ἀντὶ ψήφων κυάμοις ἐχρῶντο ἐν ταῖς χειροτονίαις τῶν ἀρχόντων, καὶ ἐν ταῖς ἐκκλησίαις. ὡς οὖν τῶν ψηφιζομένων ἀργύριον λαμβανόντων, καὶ χειροτονούντων τῷ διδόντι πλέον, οὕτως ὠνόμασε τὸν δῆμον, τὸν ἀπὸ τῶν κυάμων τρεφόμενον. Κυαμίτας, ὁ πάγχυς καλούμενος. Κυαμεύειν, κληροῦσθαι. Κυάμου καρπὸς, τὸν ὑοσκύαμον φησὶν ὁ Διοσκουρίδης. Κύαμος, ὄσπριον, ἢ ὁ κλῆρος, καὶ τὸ ἀπὸ τῶν θηλῶν τοῦ μαστοῦ πρῶτον συνιστάμενον γάλα, καὶ τὸ αἰγύπτιον κιβώριον λεγόμενον καὶ καλούμενον. Κυανάσπιδες ἐορτήν. ἡ ὅλη νεῖται κεφαλὴ, ἀπὸ μέρους συνεκδοχικῶς, καὶ κατὰ σύλληψιν, ὡς οἱ τεχνικοὶ φασί. διὰ τὸ συνεκδέχεσθαι, καὶ συλλαμβάνεσθαι, καὶ συνυποίεσθαι ὀφρύσι, τὴν ὅλην κεφαλήν. ἐπειδὴ εἰς ἰδίαν συνεκδοχὴν, ἔστι σύλληψις. Κυανέμβολοι τριήρεις, ἤγουν αἱ τὰ ἔμβολα ἔχουσαι, κυανῷ βεβαμμένα. ὅς μιλτοπάρῃοι, μεμιλτωμέναι, ἡ αἱ τέμνουσαι τὴν θάλασσαν. κυανὸν δὲ, τὸ ταύτης ὕδωρ.

Κυανὸν, εἶδος χρώματος οὐρανοειδές. Κυανόπεζα, μελανόπους. Κυανὶς, θαλάττιον ὕδωρ, καὶ ὄρνις. Κύανον, τὸ μέλαν. εἴωθε δὲ ὁ ἐγκέφαλον. χρὴ δὲ γινώσκειν, ὅτι τοῦ κυανοῦ ἐν τελεῖ, τὸ κύανον. ἐτυμολογεῖται δὲ ἀπὸ τοῦ κῦμα, κυμοβόλον, καὶ ἐκβολῇ τοῦ μ κυάνεον. τοιοῦτον γάρ τι δοκεῖ τὸ κῦμα. ἡ ἐκ τοῦ κύανος. χρῶμα δέ ἐστι μέλαν, ἐξ οὗ τὸ κυάνεον μετασχηματικῶς. ἀφ' οὗ κυάνεον, καὶ κυανοῦν. Κυανοῦν, ἐκ τοῦ εἴδους κυάνεον. ὃ παρὰ τοῖς Ἴωσι λέγεται, ὡς τὸ χαλκοῦν χάλκεον, καὶ χρυσοῦν χρύσεον.

Κυανοχαίτης, ὁ μελανόθριξ. κυανὸν γὰρ, τὸ μέλαν. ἡ δὲ χαίτη, ἡ θρίξ. Κυανώτατος, μελανώτατος, σκοτεινότατος. Κύαρ, τὸ τῆς βελόνης τρῆμα. παρὰ δὲ Ἱπποκράτει, καὶ τὸ τῆς κώπης τοῦ μήλου. Κύαρη, ἡ ἀδελφή. Κυάρης, ὁ βασιλεὺς, οἱ δὲ κυάρης ὁ Μήδων στρατηγός. Κύβαβδα, αἷμα. ἀμαθοῦσι. Κύβαμος, θεός. Κυβαίζοντα, λαλοῦντα, τὸ ἐνδεσμοῦντα, ἢ τὸν ἐρημῶν. Κυβαδεῖν, καταστρέψαι. Κυβαρσία, κεφαλὴ ἀλίκτρος. ἄλλοι κυβαρσίαν φασὶ, τὰς περικεφαλαίας. Κίβας, θεός. Κύββα, ποτήριον. Κυβεία, πανουργία, ἡ παίγνιον. Κύβειρος, ἀναιδής. Κυβείη τόπος, εἰς ὃν συνιόντες κυβεύοντο, ὁ νῦν τόπος λέγεται. Κύβηλα, κινοῦντα. διὰ δὲ τοῦ σχήματος, τὴν αἰσχύνην δείκνυσιν αὐτοῦ Ἀριστοφάνης.

Κύβηθρον, ἐν ᾧ μελισσῶν. Κυβέλην φασὶ τὴν Ῥέαν, παρὰ τὰ κύβελα ὄρη. ὀρεία γὰρ θεὸς, διὸ καὶ ἐποχεῖται λεόντων ζυγοῖς. Κύβελον, ἱερὸν ἐν Φρυγίᾳ, ἵνα τῆς μητρὸς τῆς Κυβέλης ἱερὸν ἄγιον ἦν. Κυβέρνησις, φρόνησις. ἡ κυβέρνησις ἐστὶ ψυχῆς ἐπιστήμη, περὶ τὴν ἄστατον φύσιν τῶν ἀνθρωπίνων πραγμάτων, παρὰ τὸ τὰ κύματα ἐρευνᾶν ἢ πρὸς αὐτὰ ἰθύνειν τὴν ναῦν, προσθέσει τοῦ μ εἰς β. Κυβερνήτης, ὁ τοῦ πλοίου ἡγεμών. Κυβερνῶ, αἰτιατικῇ συντάσσεται. οἷον ὁ βασιλεὺς κυβερνᾷ τὴν πόλιν. κυβερνητικὸν τὴν γλῶτταν, τῇ στιχῇ, καὶ τοῖς λόγοις. Κύβησις, ἡ κύβησις, πήρα. Κυβευτὴς, καὶ κυβιστὴς λέγεται. Κυβεύειν ἐστὶ, τὸ διὰ ψήφων παίζειν, καὶ τὸ κύβον ῥίπτειν, καὶ εἰς κίνδυνον προπηδᾶν. Κυβεύω, τὸ κύβοις χρῶμαι. Κυβεύσαντα, κυβεύω, κύβον ῥίπτω, εἰς κίνδυνον προπηδῶ. μὴ παραβάλλεσθαι κυβεύειν περὶ βίου. Κυβευτὴν, ἀντὶ τοῦ κυβευτὴν, ὡς μὴ ἔχων τι χεῖρον τοῖς κύβοις χρώμενον. ἐπισκώπτει γὰρ ὡς ἀλαζόνα. τὸ δὲ διεξιέναι χεῖρας, ἐπισημαντικωτέραν τὴν περὶ τὰς κυβείας ἐνόμιζον. Κύβηβος, γάλλος, κίναιδος, μανιώδης. Κυβήβη, ἡ μήτηρ. Κυβήβειν κυρίως, τὸ ἐπὶ τὴν κεφαλὴν ῥίπτειν. ὅθεν καὶ κύμβαχος. Κυβηλίσαι, πελεκίσαι. κύβηλις γὰρ ὁ πέλεκυς, καὶ ὁ ταύρους κυβηλίσας ὁ θύτης.

Κυβηβᾶν, θεοφορεῖται, κορυβαντιᾷ. Κυβήβη, ἡ καὶ Ῥέα, Κυβέλη, καὶ Ἄρτεμις. μήτηρ τῶν θεῶν, καὶ ἡ Ἀφροδίτη, καὶ ὑπὸ λήμματα παρὰ ἀρχαίοις. παρ' ὃ καὶ ἱππῶναξ φησὶ καὶ Διότιμος. Κυβηλιστὰς καὶ κυβήβους, τοὺς κακούργους λέγουσι.

Κύβηλις, μάχαιρα. ἄμεινον δὲ πέλεκυν, ᾧ τὰς βοῦς καταβάλλουσι. τινὲς δὲ τῶν τυροκνήστην. Κυβήκρας, πυλωρὸς φασὶ, τινὲς δὲ ὀρχηστὰς ποικίλους. Κυβικὴ, μαγγανεία, κύβευμα. Κυβιῶ, κυβευτὴν. Κύβισμα. σκιρτήματα. Κυβιστᾶν, τρέχει. Κυβίσιον, χοῖρον. Κυβιστίνδα ἐπὶ κεφαλὴν, ἢ τὸ φορεῖν ἐπὶ νώτῳ, ἢ κατὰ νώτου. Κυβιστῶ, ἐπὶ κεφαλὴν ῥίπτω, ἢ τοῖς ἀγκῶσι πλήττω. Κύβισος, ὁ κατεχόμενος τῇ μητρὶ τῶν θεῶν, κυβηλικὸν τρόπον. Κυβιστὴς, καλοῦνται τοῖς δακτυλικοῖς. Κυβιστᾶν, κυρίως τὸ ἐπὶ κεφαλὴν ῥιπτεῖν. καὶ κυβιστᾶν, κολυμβᾶν. Κυβίστησις, συστροφὴ, ὄρχησις. Κυβιστὴρ, καὶ ἀρνευτὴρ, τὰ αὐτά. εἰ καὶ διαφέρει τὸ κυβιστητήρ. ἀρνευτὴρ τε γὰρ ὁ ἐπὶ κεφαλὴν εἰς θάλασσαν δυόμενος, ἀπὸ ὁμοιότητος τῶν ἀρνῶν παιγνίων. οἱ σκιρτῶντες, τοῖς μὲν ἐμπροσθίοις ποσὶν ἅλλονται, τὴν δὲ κεφαλὴν τῇ γῇ πελάζουσι. διὸ καὶ τὸν ἵππον ἰχθὺν, ὃ καὶ ἵππαρον διὰ τὸ συνεχὲς ἐξάλλεσθαι, ἀρνευτὴν τοῦτον ἐκάλουν, κατὰ τὴν τοῦ Δεκαυζαμβίσου ἱστορίαν. ὁ κυβιστὴρ δὲ, ὁ ἐπὶ κύμβην, ὃ ἐστι κεφαλὴν ὑπὸ τῶν ἅλλων γινόμενος, ἢ ὁ κατὰ κύβον ἀνωθεν κάτω βάλλων ἑαυτὸν. ὅς δὴ κύβος, ἀπὸ τοῦ κινεῖν δοκεῖ παρῆχθαι. ὡς οἷον κάτω κάρα κατὰ τὸ ἐπικύπτοντος γινόμενος, ἐν τῷ κατακυλίεσθαι, ἀνακύπτοντος τοῦ ἐν αὐτῷ, καθὰ καὶ ἐν τῷ καλεῖται κύβος, κύβιστα κύβιστα, ἔπειτα ἀποκρυβέν. Κυβιστῶ, τὸ κολυμβῶ, καὶ κυβιστάω. κυβιστᾶν, καὶ τὸ ἀπαλὸς ἐν τῇ κυλιομένῃ ῥίψειν χεῖρα τὸ πάλαι.

Κυβιστὴς, παλαιὸς. Κυβιστὴρ, ὁ ὀρχηστής. Κυβιστᾶν, ἐπὶ κεφαλὴν πίπτειν. Κυβιστᾶν, κολυμβᾶν. καταχρηστικῶς. Κυβιστῶσι, παλαίουσι, σκιρτῶσι. Κύβος, πᾶν τετράγωνον. ὁ κύκλος μάτην ἔχων. ἡ σχῆμα γεωμετρικὸν, καὶ ἀριθμὸς ἦν, ᾧ οἱ κυβευταὶ χρῶνται. ἐκαλεῖτο δὲ τὸ βόλον σχῆμα, καὶ παρὰ τοῖς μὲν ἀλιευτικοῖς κύβος, καὶ οἱ Σαλαμίνιοι λέγουσι κύβον, τὸ τοῦ ἱματίου σημεῖον. πάφιοι δὲ ἐπὶ ψιβλίον. Κύβιτον, τὸ ὠλέκρανον. ἀγκὼν

κεῦθω, τοῦτο Ὅμηρος, οὐδέν ἐν κρόφῳ ἐπος, οὐδ' ἐπικεύθω, οὐδέν ἐστι διάφορον. Κρυφίνους, πανοῦργος, δόλιος.

Κρυόλυς, ςαμύλος. Κρωβίαλον, πόλις περὶ παφλαγονίαν, ἧς μέμνηται Στράβων ἐν γεωγραφουμένοις. Κρώβυλος πλέγμα τριχῶν εἰς ὀξὺ λῆγον. ἐκαλεῖτο δὲ ἐπ' ἀνδρῶν οὕτω, κόρυμβος δὲ ἐπὶ γυναικῶν, σκορπίος δὲ ἐπὶ παίδων. Θουκυδίδης, κρωβύλους ἀναδούμενοι, καὶ ἐν ἱεροῖς παιδίον κρωβύλον. ὁ κρωβύλον παρ' ἀθηναίοις, τὸ προσείλημα. Κρωβύλου ζεῦγος, παροιμία τασσομένη ἐπὶ τῆς ὑπερβαλλούσης κακομένοις τιμωρίας. μέμνηται δὲ, αὐτῆς κορυβαντικοῦ ὄντος.

Κρώβυλον, ἀφέλκανον. Κρώβυλος, ὁμαλὸς τῶν παιδίων, ἢ συστολὴ τῶν αἰδοίων, ἢ ὁ κόρυμβος τῆς ἐμπλοκῆς, ἢ ἐπὶ ἀνδρῶν ἀνεστραμμένη ἀπὸ μέσου τοῦ μετώπου ἐπὶ τὴν κορυφήν. οὕτω δὲ καὶ ὁ ῥήτωρ Ἡγήσιππος, ὃς καὶ λόγγος ἐκαλεῖτο. Κρωγμὸς, ἡ βοή. Κρωδιὸς, ὁ λαιμός. Κρώζω, κράζω, ὡς κορώνη, ἢ κόραξ. Κρώζουσιν ἐπὶ ἀψύχων, βοῶσι. Κρωπαλίον, παιδίον, πανοῦργον. Κρωμακόν, κρωμάνιον.

Κρώμαξ, σωρὸς λίθων. Κρώμνα, χωρίον κορίνθου, καὶ πόλις παφλαγονίας, οὗ ἐπεμνήσθη τῆς πόλεως. Κρώπιον, τόπος.

Κρωπίδαι, δῆμος τῆς λεοντίδος φυλῆς, οὓς ἀριστοφάνης παίζων ἐναλλαγῇ τοῦ ρ στοιχείου εἰς τὸ λ, εἶπε κλωπιδῶν.

Κρῶπος, ὁ ὑφάντης. Κρωσσοὶ, ὑδρίαι, κάλπεις, λήκυθοι, προχοΐδιοι, βάπται, κάλπεις, καὶ ἰσχαδοφόροι. Κρωσσὸς, κατὰ Σοφοκλῆ, ὁ ἐστι κρατήρ. γίνεται φασὶ παρὰ τὸ κρῶ, καὶ συγκοπὴ κρῶ, τὸ καλύπτω καὶ ἐπιχέω. καὶ οἱ παρὰ Λυκόφρονι δὲ ἐν ἑτέροις κρωσσοὶ, ἀγγεῖα ἐκεῖνα δηλοῖ ὑδρεύεσθαι. λέγονται ἴσως, ἢ ῥίσαι, καὶ τὰ ποτήρια ἀπὸ τοῦ μεγάλου παραλήγεσθαι.

Κρωτωνιάς, μάντεων γένος. Κρῶφι, ἢ κῶφι, ἀφανὲς ὄρυγμα.

ΤΟ Κ ΜΕΤΑ ΤΟΥ Τ.

Κτὰ, ἢ ἔκτα, ἔκτανε. Κτὰν, κτάνας, φονεύων, ἀποκτείνων. Κτάω, ὦ, κτᾶμαι, κτῶνται, ἀόριστος δεύτερος ἔκτην, τὸ τρίτον τῶν πληθυντικῶν ἔκτανον, συγκοπῇ ἔκταν, καὶ ἀφαιρέσει τοῦ ε κτάν. Κτάμεν, κτείνειν.

Κτανέσθαι, κτείνω κτενῶ ἔκτανον, ἀόριστος δεύτερος ἔκτανον, ὁ δεύτερος μέλλων κτανῶ, ὁ μέσος κτανοῦμαι κτανεῖ κτανεῖται, τὸ ἀπαρέμφατον κτανέσθαι, καὶ διαλύσει τῆς διφθόγγου εἰς δύο εε κτανέεσθαι, ὡς εἴργω ἔεργω. Κτάνον, ἀπέκτανον. Κταρα, ἰχθὺς βραχύτερος παλαιῶν. Κτᾶσθαι, ἢ ἔστι φονεῦσαι, παρεξενέσθαι, ὅτι μὲν φυσικῶς ἐκτείνειν τὴν παραλήγουσαν, κατὰ τὸ κτᾶσθαι, ἀφ' οὗ τὰ κτήματα. Κτᾶσθαι, ἐμπορεύεσθαι, ἢ ἀγοράζειν, ἢ φυτεύειν. Κτᾶται, ὠνεῖται.

Κτᾶν, ἐστεῶτα, ἀπέκτανεν. Κτέαρ, τὸ κτῆμα, δῶρον, πλοῦτος, καὶ κλίνεται κτέατος. Κτέανον, κτῆμα. Κτεάτεσσι, πλουσίοις, κτήμασι, κτήσεσι. Κτεατίσαι, πλουτήσασθαι ἐπὶ τοῖς τοῦ συλλαβῆς, καθὰ καὶ τὸ σημαίνειν, παρὰ τοῦ Ὁμηρικοῦ. τὸ κτῆμα γὰρ σήμασι. Κτεατίσαι, δηρὶ ἐν πολέμῳ, ἐν τῷ αἰχμαλωτίσαι, ταυτόν. Κτεδόνα, λαίστρος ἀγρὸν, πτύειν ἐστεῶτος. οὐ κατὰ λόγον ὄντα, ἀλλ' ἐπεὶ δὴ μᾶλλα πολλὰ ἐμόγησε κατὰ βίον ἀπλοῦν ἠρωϊκόν. τὸ ἢ ποιεῖν μόνιμα, καὶ πολυλίδυσιν κατέσω τὴν ποίησιν ἀγρόν. Κτεατίζω, κτάομαι. Κτείνω, ἀναιρῶ, κτείνω, τὸ φονεύω μέλλων κτενῶ, παρακείμενος ἔκτακα. Κτεὶς κτενὸς, τὸ κτένιον, παρὰ τὸ ἐκτείνειν τὰς χεῖρας, ἢ τὰς τρίχας. κτεὶς δὲ ἐπὶ τῆς θαλάσσης, παρὰ τὸ ἐκτείνεσθαι καὶ ἁπλοῦσθαι, ἢ παρὰ τὸ κτείνειν τοὺς φθεῖρας. Κτεὶς, τὸ ἐφήβαιον, ἢ μόνον, ἤγουν τὸ αἰδοῖον, καὶ τὸ τῶν τριχῶν ἀπόδυτρον. Κτένας, τοὺς τῶν χειρῶν καρπούς καὶ τῶν ποδῶν, καὶ τὰ στήθη, μεταφοροῦντες ἀπὸ τῶν εἰς τὰς τρίχας ἐπιτηδείων κτενῶν. λέγονται δὲ καὶ τὰς κολοιὰς πλοκάμους.

Κτένια τῶν κιθάρων, οἱ ὑποφέροντες ἀγκῶνες λέγονται.

Κτενισάμεθα, ἀναστρεψάμεθα. Κτενιστὴ, ὑφαντή. Κτενωτὴ τρίχα, τὴν ὑφαντίδα. Κτένιον, ἐν ᾧ κτενίζομεν τοὺς φθεῖρας, καὶ τὸ τοῦ παιδὸς. Κτέρας, κατὰ παλαιστικὴν, ταυτὸν ἐστι τῷ κτέαρ καὶ κτῆμα. Κτέρεα, ἐντάφια. Κτέρεα κτερεΐξαι, οὐ μόνον ἐτυμολογικὸς ἔχει, ἀλλὰ καὶ ἀσαφὲς ἐστι χῦμα, συναφιστάμενον ῥήματος καὶ συνοίκου ὀνόματος, ὡς καὶ ἐπὶ τοῦ λόγον λέγει, καὶ ὕπνον ὑπνοῖ. κτέρεα δὲ κτέατα, ἤτοι κτήματα νεκρῶν. ἢ κυρίως, τὰ κτενισμένα προσάπτοντα, ὁ πάντα τὰ εἰς ἐκ μίαν τοῖς κατοιχομένοις ἐπιφέρομεν. Κτερεΐξαι, ἐνταφιάζεσθαι. Ὅμηρος, σῆμα τέ οἱ χεῦσαι, καὶ ἐπὶ κτέρεα κτερεΐξαι. Κτερεΐξαι, τὸν τύμβον ποιῆσαι, καὶ τὰ ἐπὶ τῷ τύμβῳ τελέσαι. τύμβον ἐκτερέϊξαν, τύμβον ἐποίησαν. καὶ ταρχῦσαι, τὸ θάψαι.

Κτέρες, νεκροί. καὶ ἀκτέρεοι, οἱ ἄταφοι. Κτερίζω, κτῶμαι, σκυλεύω, ἐνταφιάζω. Κτερίσαι, καὶ κτερίξαι, θάψαι, ἐνταφιάσαι. Κτερίζουσι, θάπτουσι. Κτέωμεν, ἀντὶ τοῦ φονεύσωμεν, ὅμοιόν ἐστι τῷ ἀφέωμεν καὶ φθέωμεν καὶ εἰδέωμεν. ἀντὶ τοῦ κτῶμεν ἀφῶμεν φθῶμεν καὶ εἰδῶμεν. ἐξ οὗ δῆλον ὡς πρωτότυπόν ἐστι ῥῆμα κτῶ, οὗ τὸ ἐντελὲς κτέω, ἢ πλεονασμῷ τοῦ ι κτείω, καὶ ἐκτάσει τοῦ ε κτείνω. ὁμοίως τὸ ἴσω εἴσω, τὸ καλῶ πλῶ, οὐ παράγωγον τὸ εἴσω. Κτηδόνες, τριδάκτυλοι ἰχθύες, καὶ ἐρίδια, καὶ αἱ ἐκ τῶν ξύλων ἀφέσεις. Κτῆλος, ἡμερος, ἥμερος ὁ προηγούμενος τοῦ ποίμνιος. Κτῆμα, καὶ ἀπ' αὐτοῦ πολυκτήμων, ἀκτήμων, εὐκτήμων. Κτήματα, λέγει Ὅμηρος φανερῶς πολλαχοῦ πάντα τὰ ἐν ἀγροῖς. ὥσπερ δὲ καὶ μᾶλα, πάντα τὰ θρέμματα. Κτήματα, οὐ μόνον τὰ ἐν οἴκῳ, ὅπερ οἱ μεθ' Ὅμηρον καὶ χρήματα, παρὰ τὴν χρῆσιν καλοῦσιν, ἀλλὰ τὴν ἅπαντα βίον. Κτήματα, οἱ μεθ' Ὅμηρον ἰδίως, ἀπὸ πάντων ἁπλῶς τῶν ὑπαρχόντων. Κτήνεα τετράποδα κυρίως, ἐπὶ τῶν σφαζομένων εἰς βρῶσιν. κτᾶσθαι γὰρ, τὸ φονεύεσθαι. καταχρηστικῶς δὲ, καὶ ἐπὶ τῶν ἄλλων. κυρίως δὲ τὰ θυόμενα, ἐκ τοῦ νόμος σφάζειν καὶ κτείνειν. ἢ κτήνη κυρίως, τὰ ἥμερα. θηρία δὲ, τὰ ἄγρια. Κτήνεα, χρήματα. Κτηνωδέστερα, ἀλογώτερα. κτήνη γὰρ, τὰ ἄλογα. Κτηνώδης, ἀλογώτερος. Κτησάμενος, λαβὼν, ἔχων. Κτησίδιον, ἡ μικρὰ κτῆσις, ἤγουν ὀλίγη περιουσία. Κτῆσις καὶ κτήματα λέγονται ὅτι ὁ ποιητὴς τὰ ἀπὸ τοῦ φράζειν. περὶ δὲ τῆς λέξεως κτῆσις ἐκεῖνο, ὅτι ἐκ τοῦ κτῶ προσέτησε, καὶ τὸ ὄνομα κτῆμα ποιοῦμεν, ἕτερα παράγει κτημάτων, ἀπὸ κοινοῦ πάντες ὁμοίως. δηλοῖ καὶ τοῦ ὄνομα. καὶ αὖ πάλιν ἐκ τοῦ αὐτοῦ κτῶ, πλεονασμῷ τοῦ ι γίνεται κτῶ κτείνω, ἀφ' οὗ ἡ κτῆσις, ἤτοι κτᾶμα, κτείνειν εἰς ἀπόδοσιν ἐν αὐτῷ. Κτῆτος, ζωῆς. Κτῆσις, ἡ οὐσία, ὁ πλοῦτος. Κτητὴ, ἀγοραστή. Ησίοδος, κτητὴν, οὐ γαμετήν.

Κτιλεὸν, τὸ ὑπὸ τὴν πτῆσιν πτηνὸς, ἐκ φιλανθρωπίας τοῦ δεσπότου. Κτίτρου, οἰκοδομητῆ, κτίσαι. Κτίλος, ὁ κριὸς ὁ ἀγέλης ἡγούμενος. ἐκ τοῦ αὐτοῦ ῥήματος. ἐκ δὲ τοῦ γαλῆ παραπλήσιον, ἢ ἡδίωδες ἔχει, ἢ τὸ περικεφαλαῖον. ἴσως δὲ φασι, λοιπὸν δὲ ἤχου. Κτίζω, κτίσις, κτιστὸν, τὸ ἐπισκευάσον. κτίσις, ἡ πρᾶξις τοῦ κτίζοντος. Κτίλος, ὁ προηγούμενος τοῦ προβάτων ποιμνίου. Κτίλλεσθαι, ἢ κτιλλεύεσθαι, σαλεύεσθαι. Κτίλος, ὁ χειροήθης καὶ ἥμερος, ἐκ τοῦ κτίζω τὸ πορίζομαι. ὁ τῶν ἄλλων προηγούμενος. ἐξ οὗ ἡ ἐπαλλήλησις παρὰ Πανσανίᾳ, ὁ συνήθης ἰδεῖν. ἢ κιλλώσει, φησὶ παρὰ Ἡροδότῳ ὁ κιλλὸς, ἐκ κιλλίζοντας τὰς λοιπὰς τῶν ἁμαξῶν, ἤγουν ὡς γυναῖκας ἔχειν προτιμᾶσθαι. Πορφύριος δὲ, ὁ δὲ τοῖς ὄνομα αὐτὸ κτίλον ἰδεῖν, ὅν φησι λέγει ἄπειρον.

Κτιμένη, κατοικουμένη, ἢ πόλις θεσσαλίας. Κτιμένη, ἡ οἰκουμένη. Κτιμένη παρ' Ὁμήρῳ ἐν ὀδυσσείᾳ, ὀδυσσέως ἀδελφὴ, ἥν ἀνὴρ εὐρύλοχος γεγαμήκει ὕστερον. ἐφθέγγετο δὲ αὐτὴν λέγει, καθὰ ἢ τὴν ἄλοχον τοῦ λαέρτου, διαφέρειν. ἢ πρὸ αὐτῆς τὴν πεδιάδα

φυλῆς τῆς Ἀντιοχίδος. Κρωπὸς, ὁ καταδικαστὴς, ὁ κατόμενος καὶ πάσχων. Κρωπιὸς, δῆμος τῆς Ἀντιοχίδος, κώμη.

Κροαίνω, τὸ ὑπὸ ποσὶ κρούω, καὶ σκιρτῶ, ἢ κροτῶ, καὶ κτυπῶ.

Κρόβυζοι, ὄνομα ἔθνους. Κροβαλίδιον, πολίον. Κρώβυλος, ὁ ὁμαλὸς τῶν παίδων, καὶ αἱ τρίχες τῶν αἰδοίων. Κρώζει ὁ κόραξ, ἡ δὲ κορώνη κράζει. Κροιὸς, νοσώδης, ἀσθενής.

Κροκάλη, ὁ αἰγιαλός. Κρόκη, παρὰ τὸν κρόσω μέλλοντα, ἀποβολῇ τοῦ σ. κρόκη, ἢ τὸ κρούεσθαι, διὸ παρακολουθεῖ.

Κρόκαλα, λέγονται αἱ ψῆφοι τῶν ποταμῶν, ἀπὸ τοῦ κρούειν καὶ ψοφεῖν. Κρόκησι παρὰ Λυκόφρονι, κρόκαις αἰγιαλοῖς. κρόκη δὲ λέγεται ὁ αἰγιαλὸς, ἀπὸ τοῦ κέρω τὸ κόπτω. κρόκη, καὶ κρόκη, πρὸς ἣν θραύονται καὶ κλῶνται τὰ κύματα. κρόκαι καὶ αἱ ψάμμοι, καὶ οἱ αἰγιαλοὶ τῆς θαλάσσης. Κρόκος, παρὰ τὸ ἐν κρυφῇ ἔχειν τὴν σπορίαν, ὅ ἐστι τὴν αὔξησιν. Κρόκη, πέμματος εἶδος, ἡ ῥοδίνη. Κρόκιδον, τὸ πανοῦργον παιδίον. Κροκόδειλος, παρὰ τὸ δειλὸς καὶ τὸ κρόκος γίνεται κροκόδειλος. καὶ γὰρ ὁ χερσαῖος κροκόδειλος φοβεῖται τὸν κρόκον. ὅθεν οἱ μελιττουργοὶ, ἐκδιώκειν ἀπέρχεσθαι καὶ ἐσθίειν τὸ μέλι, ἐπιτιθέασιν ἔξω κρόκον, ὃν καὶ ἐρῶν φεύγει. ὁ δὲ θαλάσσιος παρὰ τὸ δειλαίνεσθαι τὰς κρόκας, ὃ σημαίνει τοὺς αἰγιαλοὺς, οἱονεὶ ὁ περὶ τὴν γῆν δειλός. ὁ δὲ κροκόδειλος ζωύφιόν ἐστι μικρὸν, γράφεται καὶ κορκόδειλος κατὰ ὑπαλλαγὴν τῶν στοιχείων. Κροκόπεπλον ἠῶ, τὴν πρωΐαν λέγει ὁ ποιητής. διὰ τὸ κρόκου, τὸ πολὺ μὲν τῆς νυκτὸς, ὀλίγον δὲ τοῦ φωτὸς κεκτῆσθαι. ἡ μέντοι ῥοδοδάκτυλος ἠὼς, ἤγουν πρωΐα, τὸ πλεῖον μὲν τῆς ἡμέρας, ἔλαττον δὲ τῆς νυκτὸς ἀποδιδοῖ. ὡς πάσης ἠοῦς προηγεῖσθαι μὲν τὴν κροκόπεπλον, μετὰ ταύτην τὴν ῥοδοδάκτυλον. ἄλλως δὲ μυθικῶς καὶ κατὰ σχῆμα κροκόπεπλον μὲν ἐκ κρόκου, ἤ τι κίῤῥον πέπλον φοροῦσα. ῥοδοδάκτυλος δὲ, ἧς οἱ δάκτυλοι ῥόδινοι. ὡς ῥόδοις ἐοικότες αἵματος φοινικοῦ χυλῷ καλῶς ἐρευθόμενοι. καθὰ καὶ ἡ Σαπφὼ τὰς τῶν μυθικῶν χαρίτων πήχεις γυμνοῦσα, ῥόδοις εἰκάζει, ὡς εἶναι αὐτὰς ῥοδοπήχεις. εἶεν δ' ἂν ἠοῦς δάκτυλοι κατὰ ἀλληγορίαν, αἱ τοῦ ἡλίου ἀκτῖνες, ὡς καὶ ἐκτέταται ἀλληγορικῶς λέγεσθαι. ὥσπερ δὲ χεῖρες, οὐκ ἀπεικὸς ἐστὶ καὶ δακτύλους τὴν ἀλληγορίαν προσφέρειν. Κροκίδες, στάφαλα. Κρόκος, τὸ κροκὸν, ἢ ἀλεκτρυόνες οἱ τὸν τράχηλον τοιοῦτον ἔχοντες κρόκῳ. Κροκόττας, ζῶον ἐκ τετραπόδων αἰθιοπικόν. Κροκυδισμὸς, τὸ κολακευτικῶς τὰς κροκύδας ἀπολέγειν τῶν ἱματίων. Κροκύλειον, καὶ ἑνικῶς εἴρηται τὸ κροκύλειον, νῆσος. ἐθνικὸν αὐτῆς, κροκυλεύς. Κροκύλειον, κροκίδιον. Κροκὺς, ἡ ἔχιδνος βοτάνη. Κρόταφος, ὅτι διὰ κρόκας ὑφαίνεται. οἱ δὲ ἀττικοὶ κρόταφον αὐτὸ καλοῦσιν, ὅτι κρόταφον τὸν φαλὸν, ὅ ἐστιν ἐξοχὴ τῆς κεφαλῆς.

Κροκύδες, ἴσως ὡς δυσλόγιστον ὄντων τῶν ἐκ τῆς κρόκης λυμάτων. ἔστι δὲ, ὡς κρόκου φυομένη ἐστί. ἴσως δὲ κροκύδες, ἐκ κροσσῶν συντεταγμένων. Κροκώδας, ὑποκοριστικῶς ὑφαίνεται. ἔνδυμα ἐστι διονυσιακὸν ὁ κροκωτός. κεῖται δὲ καὶ ἐπὶ γυναικείου ἐνδύματος. Κροκωτὸς, εἶδος χιτῶνος. Κροκωτῷ. Ἀριστοφάνης, ἐπὶ κροκωτοῦ, Διονυσιακὸν φόρημα, κροκωτὸν ἐφόρει λεοντῆν. Ἡρακλέους γὰρ φόρημα ἡ λεοντῆ. κροκωτὸν δὲ, ἵνα ἢ φοβερὸς, ἢ κροκωτῷ γυναικείῳ ἐκ πάσης ἐσθῆτος.

Κρόλιαζε, πλουσίαζε θᾶττον. Κρέμβος, ὁ κόνδυλος, καὶ ὁ κακοῦργος. Κρομβοτάτην, πεπυρωτάτην, κατακεκαυμένην. Κρομμύων, τὰ κρομμυοπώλια. Κρομμυοξυρεγμίαν, ἀηδίαν. λοιμιᾶ γὰρ καὶ ἀηδὴς ἡ τοιαύτη ἐρυγή. ἀπὸ δὲ τῶν κρομμύων καὶ τοῦ ὀξέος καὶ τοῦ ἐρυγῆς, συνέθηκε τὴν λέξιν Ἀριστοφάνης. Κρομμύων ὀσφραίνομαι, παρὰ Ἀριστοφάνει, σημαίνει τὸ δακρύειν ἀκουσίως τοὺς ὀσφραινομένους κρομμύων. Κρόμμυον, παρὰ τὸ τὰς κόρας μύειν τῶν ἐσθιόντων αὐτό. λοιμὸς γάρ ἐστι. Κρόνια, παρὰ τοῖς Ἕλλησιν ἑορτή. τὰ παρὰ τοῖς Ῥωμαίοις καλούμενα σατουρνάλια.

Κρονίδαι, παλαιοί. Κρονίου ἅλας λέγουσι, τὴν ἀσφαλτῖτιν, ἐνταῦθα γὰρ τὸν Κρόνον κατακεκρύφθαι φασί. Κρονικαῖς γνώμαις, ἤγουν ἀρχαίαις μωρίαις. Ἀριστοφάνης, ὦ κρονικαῖς γνώμαις. παροιμία ἐστὶν, ἐπὶ τῶν ἀμβλυωττόντων, ἢ ὡς εἴρεται καὶ ὡς νοσήσας. Κρονικαὶ λῆμαι, παροιμία. ὥσπερ τὸ χύτρας λημῶν καὶ κολοκύνταις, ἐπὶ τῶν ἀμβλυωττόντων. Κρονικώτερα, ἀρχαιότερα, μωρότερα. Κρόνιον, τὸ ἱερὸν τοῦ Κρόνου. Κρόνιον, ἀκρωτήριον τῆς Πίσης. περὶ γὰρ τὸ Κρόνιον διαφορεῖσθαι τὰ Ὀλύμπια. Κρόνιον, ἑορτὴν, ἢ παλαιόν.

Κρόνιππος, ὑβριστὴς, τρυφητὴς, πόρνος. Κρόνιππος, ὁ μέγας λῆρος, κατ' ἐπίτασιν λαμβανομένου τοῦ ἵππου, παρὰ τῷ Ἀριστοφάνει. Κρονίων ὄζων. Ἀριστοφάνης, καὶ πῶς ὦ μῶρε σὺ καὶ κρονίων ὄζων. τουτέστιν, ἀρχαϊσμοῦ γέμων καὶ μωρίας. ἔτι ὅτι ἑορτὴ ὡς παλαιὰ ἤγετο τῷ Κρόνῳ. ἢ ὅτι τὰ παλαιὰ καὶ εὐήθη κρόνια ἐκάλουν, καὶ κρόνους τοὺς λήρους. Κρονίων, ποτὲ μὲν μακρὸν ἔχει τὸ ι, ποτὲ δὲ βραχύ. ὅταν μὲν οὖν βραχὺ, διὰ τοῦ ω μεγάλου κλίνεται, ὡς Εὐρυτίωνος. ὅτε δὲ μακρὸν αὐτὸ ἔχει, διὰ τοῦ ο μικροῦ, ὡς Μαχάονος. Κρονίωνα, παλαιοὺς ἀνθρώπους. Κρόνον μέγαν καλεῖ ὁ ποιητὴς, διὰ τὸ τοῦ ἀέρος μέγεθος. Κρόνος, ὁ χρόνος τῆς νοερᾶς ζωῆς ἐστι. λοιπὸν κόρος ὢν τοῦ νοῦ. μᾶλλον δὲ κόρος νοῦς καὶ καθαρός. πάντες οὖν οἱ νοεροὶ ζῶντες, κρονίαν ἔχουσι πολιτείαν. ὅθεν καὶ βασιλεὺς αὐτῶν ὁ Κρόνος λέγεται. τὸν Κρόνον φασὶν ἐκ τοῦ κρᾶν καὶ κιρνᾶν ἕκαστα τῶν γενεθλιομένων, καὶ μίξαντα τὸ θῆλυ τῷ ἄρρενι. Χρύσιππος δέ φησι, καθύγρων ὄντων τῶν ὅλων καὶ ὄμβρων καταφερομένων πολλῶν, τὴν ἔκκρισιν τούτων, κρόνον ὠνομάσθαι. Κρόνους, ἀρχαίους λέγουσι, μωροὺς, λήρους, ἀναισθήτους. Κρόνου πυγὴ, τὸ ἀρχαῖον καὶ ἀναίσθητον γέρας, ἀπὸ τοῦ Κρόνου. Κροσσᾶ, κατεσάτησε. Κροτίλαι, μάτων γένος.

Κρόξ, κρόκος. Κρόκιον, ἄξιον λόγου, ἀφέμενον. τινὲς δὲ διὰ τοῦ β, κρόβιον. Κρόβαι πύργων, οἱ ἀναβαθμίδες τῶν τειχῶν. Κρόσσαι, λέγονται αἱ ἄκραι τῶν πύργων καὶ οἷον κόρσαι καὶ κεφαλαί, διὸ καὶ ἐξοχὰς αὐτὰς καλοῦσι, καὶ κεφαλίδας. μέμνηται δὲ αὐτῶν ὁ ποιητὴς, ἐν τῷ κροσσάων ἐπίβαινον. Ἀρίσταρχος δὲ πολεμικὰς κλίμακας ἀποδέχεται τὰς κρόσσας εἶναι, ἤτοι μηχανὰς κλιμακώδεις. τινὲς δέ φασιν, ὅτι κρόσσαι λίθοι ἐπὶ κορυφῇ τοῦ τείχους προπίπτοντες, ἐφ' ὧν ἦν ἐπάλξεις ἵσταν. διὸ καὶ συγκατεπίπτουσιν αἱ ἐπάλξεις ταῖς κρόσσαις. οἱ δὲ τινές φασιν, ὅτι κρόσσαι αἱ τῶν πύργων ἐξοχαὶ, ὡς καὶ κροσσοὺς ἱματίων φαμέν. ἄλλοι δὲ οὕτω φασί. κρόσσαι ὄργανα πρὸς τειχομαχίαν ἐπιτήδεια, ἔχοντα ἐσόδους ἀνάβασιν κλιμακώδη, ἕως ἂν εἰς τοὺς πύργους ἀνέλθοι ὁ τειχομαχῶν. εἰ δέ τις οὖν καὶ τὸ κρόσσας μὲν πύργων ἔρυον, οὕτω νοοῦσιν, ὅτι τὰς κρόσσας ὅ ἐστι τὰς τοιαύτας κλίμακας κατὰ τῶν πύργων εἷλκον. ὅπερ οἱ μὴ ἀποδεχόμενοί φασι, μὴ εἰδέναι τὸν ποιητὴν τὰς τοιαύτας μηχανάς. προκρόσσας λέγει Ὅμηρος, τὰς ἑρμισμένας νῆας ὡς κλιμακηδὸν οἷον ἐστημένας, διὰ τὸ ὑψηλὸν τοῦ τόπου. Ἄλλως. Κρόσσαι, τειχόμαχοι κλίμακες. οἱ δὲ παλαιοὶ καὶ οὕτω φασί, προκρόσσας τὰς ἑτέρας πρὸ ἑτέρων, ὥς τι θέατρον δηλοῖ φαίνεσθαι τὸ νεώλκιον. ἔτι δὲ καὶ οὕτω. προκρόσσας, ἄλλας ἐπ' ἄλλαις ἀνεστραμμένας. ἡ δὲ λέξις αὕτη καὶ παρὰ Ἡροδότῳ, ὃς καὶ ἑρμηνεύων αὐτήν φησι, προκρόσσας ὅρμεον τὰς νῆας. αἱ μὲν γὰρ πρὸς τὴν γῆν ὅρμεον, αἱ δ' ἐπ' ἀγκυρῶν. καὶ πάλιν, αἱ πρῶται τῶν νεῶν ὅρμεον πρὸς γῆν, ἄλλαι δ' ἐπ' ἀγκυρῶν. ὅτε γὰρ τοῦ αἰγιαλοῦ ὄντος οὐ μεγάλου, προκρόσσαι ὁρμέουσιν ἐς πόντον, καὶ ἐπὶ ὀκτὼ νέας. καὶ οὕτω μὲν Ἡρόδοτος τὰς κατ' αὐτὸν φράζει προκρόσσας. οἱ μέντοι τῶν ἐλλιπῶν ἐκ ξηροῦ εἶχον τὸ πρόκροσσον.

Κρίμνῳ δὲ, Ἀριστοφάνης ἀντὶ τοῦ παχέων ὀσπρίων ἔχοντα, παρὰ τοὺς κρίμνους. οὗτοι γὰρ παχύτεροι τῶν ἀλεύρων. κρίμνος ἐστὶν εἶδος ἀλεύρου. Κρῖνα, ἄνθη καλλίστα, ἐνυδάτιζοντα, ἃ μετὰ ἀμφοτέρων θυμιάματα, ἃ τὸ μέλι φέρει, ἀλλὰ τὰ λευκά.

Κρῖναι, τάξαι, χωρίσαι, δοκιμάσαι, δικάσαι, ἐπιλέξασθαι. Κρῖναι, καὶ λέξασθαι, ταυτόν. ἀφ' οὗ καὶ ὁ ἰκρίων, τοῦ δὲ οἱ χαρ[illegible] καὶ ὁ ἐπίλεκτος λόγος, ὁ ἐπιλογάδην ἐπ' ἔραμα. Κεκριμένος, ἐπιλεξάμενος. Κρῖνε κατ' ἀνδρας, ἀντὶ τοῦ διαχώριζε κατὰ τὰ κρῖνε ἄνδρας κατὰ φῦλα παρ' Ὁμήρῳ. Κρίνειν, τὸ ἐρωτᾶν, ἢ δοκιμάζειν, ἢ βασανίζειν. καὶ ἀνακρίνειν ἁπλῶς, ὡς τὸ, ἀνθρώπων, καὶ ἀνακρίνεσθαι. προσκειμένης τῆς ἐκ, ἢ τῆς ἐξ, ἢ τῆς διὰ προθέσεως, σημαίνει τὸ χωρίζειν, ἢ ἐκλέγειν. μετὰ δὲ τῆς ἐν, δηλοῖ τὸ ἐναριθμεῖν ἢ ἐντάττειν, καὶ ἐγκαταλέγειν. μετὰ δὲ τῆς σὺν, τὸ συμβάλλειν, καὶ παραβάλλειν, καὶ παραθεωρεῖν. μετὰ δὲ τῆς πρὸ, τὸ προτιθέναι, ἢ προτιμᾶν. Κρῖνε, ἀντὶ τοῦ χώριζε, ἢ διάλεγε. Κρῖνε, οὐ μόνον ἐπὶ τοῦ δικάζειν, ἀλλὰ καὶ ἐπὶ τοῦ ἁπλῶς χωρίζειν ἢ ἐκλέγεσθαι. ὅθεν ἐκκριθῆναι. Κρῖνε ἄνδρας κατὰ φῦλα, κατὰ φρήτρας. ὡς φάτρα φάτραφιν ἀρήγῃ, φῦλα δὲ φύλοις. Δυνατόν, μὴ συγμιχθεὶς ἴσως ἐν τοῖς ἄλλοις μάχεσθαι, ἀλλὰ πρῶτον μὲν κατὰ φῦλα ὄντας διελεῖν, εἶτα κατὰ ἰδίαν. οἷον κρῖνε, ἐν μέρει τὰς ἀθηναίους ἑτέρωθι τοὺς σαλαμινίους, καὶ τοὺς ἄλλους ὁμοίως. ἵνα δὲ αὐτοὺς αὐτὰ τὰ φῦλα κρῖνε, δυνάμει διαχώριζε κατὰ φάτρας, ὃ κατὰ τὰ τάγματα φυλετικὰ καὶ συγγενικά. φάτρα γὰρ φασὶν ἐστιν ἡ τριττὺς, ἤτοι τρίτον τῆς φυλῆς. ἵνα μὴ μετὰ τὰ ἑτερόφυλα φῦλα ἀλλήλοις ἀρήγοι. Κρῖναι, διακρῖναι, ἐχωρίσθη. Κρίνεται, ἐκρίθη. Κριός, ἤτοι ἀπόλλων. Κρινομένους, ἀνακρινομένους, ἀποδιδόντας λόγον. Κρινόμενος μῦθος ἀρέσκει, ὅτι σύμμιξις πόλεμος γίνεται. τότε γὰρ διακρίνεται τῶν μύθων μῦθος. πάντως διακεκριμένοις οἱ θεοῖ μίγνυνται. τὴν ἀρχὴν μὲν συμπλεκόμενοι, ἐπὶ δὲ τέλει τοῦ πάθους διακρινόμενοι, ὅτε νίκη ἑτεραλκὴς γίνεται. Κρίνου, ὡς ἀπὸ τοῦ κρίνου κατὰ μεταπλασμόν. Κρίνονται ἄρσι, ἀντὶ τοῦ εἰς διάκρισιν ἀποβλέπειν, ἵνα τοῦ μίγνυσθαι παύσωνται. Ὁμοίως τὸ πλάσματα φιλόσοφος μαρτυρῆσαι δὲ τοῦ διαδόσθαι κρίνεσθαι, καὶ κριτάς. δὲ οὐ οἱ πρὸς ἀρήων ἀνακειμένοι διακρίνονται. καὶ ἄλλως δὲ κρίνονται τινὲς ἄρει, ἀντὶ τοῦ μαχόμενοι, οἱ μὲν ἴσον, οἱ δὲ ἑκάτερον μάχονται. ὅθεν φησὶν Ὅμηρος μῖνος ἄρῃος διακρίνεσθαι μερίζουσι. Κρίνον, τὸ ἄνθος, ἀπὸ τῆς διακρίσεως, ὅθεν καὶ τὰ τοῦ διακρίνειν λέγεται. κρίνον εἶναι μέρος τι, καὶ ταχὺ διακεῖσθαι. διὸ καὶ ἡ κηλίδων λεγὶ κρίνον λέγεται. καὶ τοῦ πάχους δὲ κρίνα λέγουσιν. αὐτὸ δὲ ἡ χαλδαία μελίκρινον ὄνομα. Κρίνον, τὸ λευκὸν. τάσσεται καὶ ἐπὶ πάχους, καὶ παρὰ, καὶ ἐπὶ πλούτου. καὶ κῦμα, χορικὸς ὀρχήσεως. Κρίνω, καὶ μετὰ τῆς ὑπὸ, ὑποκρίνομαι. ὡς τὸ ἀνακρίνει ὑποκρινομένου τοῦ ὄνειρα, ὑποδοκεῖ σε καὶ κρίνεσθαι. Κρίνω, καὶ διακρίνω τὸ λ. ἢ κρίνω μᾶλλον δεῖν ἐχθρὸν ἔχειν. Κρίνω καὶ ἔκρινα μακρόν, κρινῶ δὲ καὶ ἐκρίθην κέκριμαι. καὶ οἱ ἀπὸ τοῦ ῥημάτων βραχὺ ἔχουσι τὸ ι, καὶ τὰ ἀπ' αὐτοῦ ὀνόματα, οἷον κρίσις κρίμα. καὶ ἐπὶ πάντων τῆς διὰ τοῦ ἰ, ἡ αὐτὴ ἀκολουθία. Κρίνω, κρινῶ, κεκρικα. πάντων φημάτων ἐπὶ τῆς πέμπτης συζυγίας τῶν βαρυτόνων συνημμένα, τὰ καταβάλλοντα τὸ ἀμετάβολον τὸ ἐπὶ τοῦ παρακειμένου, πάντα, τὸ κρίνω κρινῶ κέκρικα, κλίνω κλινῶ κέκλικα, πλύνω πλυνῶ πέπλυκα, τείνω τενῶ τέτακα, κτείνω κτενῶ ἔκτακα. Κρινώματα ἄρει, παρ' Ὁμήρῳ ἀντὶ τοῦ συνηθῶ. κρίνονται ἄρει, ἀντὶ τοῦ σημαίνει καὶ ἀμοιβαίως ἀντὶ τοῦ ἄρει. καὶ ὡς ὑπὸ αὐτοῦ κρινεῖ τὸ μάχιμον ἔργον μεταλαμβάνεσθαι. ἢ καὶ ἄλλως τὸ ἄρει, δώματα, ἀντὶ τοῦ συγκεκριμένα, ἀναμεμιγμένα, συγχύμεθα,

οὗ τὸ ἀνθρώπων διακρίνεσθαι ἐστιν. ὡς καὶ τὸ ὅτι πάσι λοιπὸν φασὶ τὰ αἰπόλια διακρίνειν, καὶ ὡς νῦν ἐλθοῦσα, διακρινῶ μέσος ἀνθρώπων. Κρινωνία, ὁ τῶν κρίνων λειμών. ὥσπερ ῥοδωνιά, ὁ τῶν ῥόδων. καὶ ἰωνιά, ὁ τῶν ἴων. Κρίξαι, ἠχῆσαι, φωνῆσαι. Κριοκοπεῖν, τὸ διὰ κριοῖς τοῖς μηχανικοῖς πολιορκεῖν. ὡς τὸ, οἱ δὲ διὰ τοὺς πύργους καὶ τειχοκοπεῖν ἐπιχείρησαν.

Κριὸν, ἀγγεῖον. Κρίοντες, βασιλεύοντες. Κριὸν Διονύσιος ἐν τοῖς ἀργοναυτικοῖς φασὶ γεγονέναι τροφέα Φρίξου, ὃν αἰσθόμενον τὰς ἐπιβουλὰς ἰνοῦς, προειδόμενον τῷ Φρίξῳ τὴν φυγὴν ποιῆσαι. ὅθεν καὶ μεμυθεῦσθαι ὡς ὑπὸ κριοῦ διασωθῆναι. Ἡρόδωρος δὲ φασὶν ἀθάνατον καὶ λόγια γένεσθαι παῖδας, χαίτην, ἰσσόθεον, λοίκωνα, τίον, καὶ τοὺς δὲ φρίξου καὶ ἄλλων. οὓς διὰ τὴν ἰνοῦς ἐπιβουλὴν ἐκχωρήσαι, τελευτῆσαι δὲ τὴν ἄλλων ἐν τῇ ἀποχωρήσει. Κριὸς ὅτι ἐκόμισε τὸν φρίξον, ὅτι ἐλάλησε, καὶ ἑκαταῖος φησίν. οἱ δὲ φασὶν αὐτὸν ἐπὶ κριοπρώρου πλοίου ἐκπλεῦσαι. Διονύσιος δὲ ἐν δευτέρῳ, κριὸν φασὶ φρίξου τροφέα γενέσθαι, καὶ συμπεπλευκέναι αὐτῷ εἰς κόλχους. διὸ καὶ μεμύθευται τὰ περὶ τοῦ κριοῦ θυσίας αὐτοῦ. Καὶ ὁ δῆμος τοὺς ἀπελθόντας καὶ κριὸν, ἐπίρρημα. ὁ κριόθεν. Κριὸς ἀσελγαίνων, τὴν μεγαλαυχίαν φησὶ Πλάτων ὁ κωμικός. ὁ γὰρ ἀσελγὴς, οὐ μόνον ἐπὶ τῶν ἀκολάστων λαμβάνουσιν οἱ παλαιοί, ἀλλὰ καὶ ἐπὶ τῶν μεγάλων. Κριὸς, ὁ τὸ κέρας ἱέμενος. ὡς ὁ κερ. ὅπου ἔλαυνε ὀπίσω. καὶ ἐν ταῖς ὁπλικαῖς. ἀποσχισθεὶς, κριὸς καλεῖται τὸ ἀκρόμηρον τὸ πρῶτον, ᾧ τὰ λοιπὰ ἐπιστηρίζεται. Κριὸς τροφεῖα ἀπέτισε, παροιμία ἐπὶ τῶν ἀχαρίστων. καὶ γὰρ τοὺς κριοὺς ἱερουργήσαντες, φασὶ κεφαλὴν τοῦ ἀρνὸς ἀπέμειψεν, ὃ ἐπὶ πλάτει. Κριὸς ἐστὶ μὲν καὶ τὸ ζῶον, ἐστὶ δὲ καὶ τὸ τειχομαχικὸν ὄργανον, οὕτω καλούμενον. κριὸς τροφεῖα ἀπέτισε, παροιμία ἐπὶ τῶν ἀχαρίστων. ἐπεὶ τὰς φάτνας οὗτοι πλήττουσι. Κριοφάγος, θεός τις, ᾧ κριοὶ θύονται. Κρίσα, ὄνομα πόλεως, καὶ ἰχθύος.

Κρισαῖος κόλπος, κρισαία δὲ θάλασσα. Κρίσαν ζαθέην λέγει Ὅμηρος. ἐπεὶ Δημήτριόν φασι περὶ αὐτὴν ἐπιφανές. ἢ ὡς ἀνακειμένην ἀπόλλωνι. ἐφ' ἧς καὶ πεδίον κρισαῖον, ὃ καλεῖται κρισαῖος. ὁ δὲ αὐτὸς ὁ κιρραῖος, διὰ τὸ καὶ τὴν κρίσαν διηλλάχθαι αὐτὴν ἐκ τῆς ἀντίῤῥοπος τοῦ σ, διὰ τὸ κίρραν λέγεσθαι. ὡς γὰρ πυρσὸς πυῤῥὸς, φασὶ, οὕτως ὁ εἰς ῥ καὶ παρ' οὐκ πυῤῥικός, οὕτω καὶ κρισαῖος κόλπος κιῤῥαῖος. Κρίσμις, λίθος ἢν πολυτίμητος. ὅνπερ φασὶν ἦχον ἐπιφανέντα κατ' ἴδιον τὸ κάλλιστον τῶν προβάτων ἀφαρπάζειν, καὶ τὸν κρίσαμιν ἀπελθεῖν. φαινομένην δὲ αὐτὴν ὄναρ, κελεῦσαι καταθάψαι αὐτήν. τὸν δὲ μὴ φροντίσαντα, παγγενῆ ἀπολέσθαι. Κρίσεως, διαιτησίας, ἀκολουθίας. Κρισίας, ταῖς ὁμιλίαις. Κρίσιν, ἀκολουθίαν. Κρίσεις, ὁρμῆς διαγνώσει ἐκ τῶν ἐφ' ἡμῖν. κρίσεις καὶ ὁ πόλεσις, ὡς ἐν τῷ νῦν, καὶ εἰς κρίσιν εὐθὺ ἔρχεται. τοντέστιν, οἱ κολάζονται. Κρίσεις, ἐξέτασις, ἔλεγχος, βάσανος. Κρίσις ἐστὶν, ἀπόφασις ἢ ψῆφος τῆς ἀποδοῦν, ἐκεῖνον κατ' ἀξίαν ἀπολύουσα. ἐν κρίσει γὰρ ὀφθαλμοῦ κατ' ἀξίαν ἕκαστος ἀπολήψεται, καὶ ἡ συνείδησις αὐτοῦ πρὸς τὸ μαρτυροῦσα ἑτοίμη ἐστὶν, ὅτι δικαίως ἀπέλαβεν.

Κρισσὸς, ἢ ἐν ταῖς φρεσὶ γενομένη διαφθορίς, ὅθεν φαίνεται ὁ λέξις. ἢ ἡ ἐν ταῖς ἄρθροις διάθεσις, σκληρὰ καὶ ὀξυλαβής. Κρίσιμον, φυλακτέον. Κριτὰν, κριτήν. Κριτανός, τέρμινθος. Κρίταις, δόταις. Κριτήριον, δοκιμαστήριον, δίκαιος ἐφορῶν. Κριτὰς, ἐκ τοῦ κρίνω ὁ χωρίζω, ὁ διακρίνω. ὅθεν καὶ ἀκριτόμυθος, ὁ μὴ διακρίνων τὰ λεγόμενα. Κριθείην, ὁ κρίσιμον. Κριτικοὶ εἰσιν, οἱ κατὰ τὴν γραμματικὴν παρὰ λοιπὸν εἰδότες κρίνειν τὰ ποιήματα. Κριτικὸς, ἰσονομώτερον, διακρίνων λογισμοῦ. Κριτίων, ἐν λόγοις ὁ κριτικὸς δήμου

φυλῆς

ἀπῃωρημένων ἐκρήμνως ἐκρέμω, τὸ προσηκλικὸν κρέματο. Κρέμω, ἐκ ἀκρέω, ἐκ τοῦ κρήμνημι κρημνίζω. Κρημνοί, τὰ χείλη τῶν ἑλκῶν, καὶ τὰ πτερύγια τοῦ γυναικείου αἰδοίου, παρὰ τὸ ἀποκρέμασθαι, καὶ οἱ ἐξέχοντες τόποι. Κρημνίζω, τὸ κατὰ κρημνῶν ὠθῶ. Κρημνοὺς ἐμποιεῖν, κομπάζειν, ἀλαζονεύεσθαι, μεγάλας λέξεις ποιεῖν. Κρημνός, παρὰ τὸ κρημῶ κρημός, καὶ πλεονασμῷ τοῦ ν κρημνός, ὃ παρὰ τὸ κάρα καὶ τὸ νέω κάρανος καὶ κρημνός, ὁ ἐπὶ κάρα νεύων. κρημνὸς δὲ, ὁ κατὰ ἰσταται. καὶ κρημνός, φάραγξ. Κρηναρχία, ἀρχὴ ἐπὶ τῆς ἐπιμελείας ὕδατος. Κρηναῖον ὕδωρ, καὶ κρηναῖος τόκος. Κρήνη, πηγή, ἱερὸν ὕδατος. Κρηνίδας, τοὺς κεφαλαίους λίθους.

Κρηνιῶν, καρηβαρῶν. Κρηνοφύλαξ, ὁ τῶν κρηνῶν φύλαξ. Κρηπιδούμενος, ἀντὶ τοῦ ὑποδούμενος τὰς κρηπῖδας. Κρηπίς, θεμέλιον, ὑποβάθρα, καὶ εἶδος ὑποδήματος. Κρῆς, δωρικῶς τὸ κρέας. Κρῆσαι κεράσαι, ἐκχέαι. Κρησίαι, καλλίους. Κρησέραν, τὸ περιβόλαιον Ἀριστοφάνης λέγει. κατὰ δὲ ἑτέρους, δηλοῖ τὸ πῶμα. κυρίως δὲ ὑπὲρ ἐπιβόλαιον ἐν τοῖς κεφαλῆς οὖσιν. ἔστι δὲ, περιτραχήλιον αὐτὸν εἶναί φασι, κακῶς. ἡ γὰρ λέξις ἀπὸ τοῦ κάρα ὠνόμασται. Ἄλλως. Κρησέραν, τὸ περιβόλαιον τῶν κοφίνων, ἔτι δὲ διερρωγός. Ἀριστοφάνης, ἀλλ᾽ οὐχὶ καὶ κρησέραν προσαιτούμεθα. νῦν δὲ λέγει ὡς πρὸς χαῖρειν. Κρησίπαιδα, ἐν συμποσιακῇ θυσίᾳ ἡ λέξις φέρεται. δῆλον ὅτι, μέγα ἰσχυρὸν λέγεται. Κρής, κρητικός, ἀπὸ κρήτης. Κρησφύγετα, τὰ πρὸς τοὺς χωρὸς κοινὰ καὶ ὀχυρώματα, σπήλαια, οἱ διαλανθάνοντες τόποι. Κρησφύγετον, τὸ καταφύγιον. Κρητίζειν, ἀπὸ κρήτης. Κρητίζω, παρὰ τὸ ἐπὶ ψεύδεσι βιοτεύειν. κατηγόρηται γάρ. ὁ δὲ Ἀπολλώνιος παρὰ τὸ ἐν τῇ παρασχέσθαι τὸ ἐπὶ τὸ τῶν σύγχυσιν. Κρήτη, νῆσος. Κρητῆρα ἐλευθέριον λέγει, τὸν ἐν εἰρήνῃ, πανσάμενον πολέμου.

Κρητήρ, ὁ φάρυγξ, καὶ τὸ οἰνοχόον ἀγγεῖον. Κρατῆρσι, τοῖς κρατοῦσιν. Κρατηρίζειν, ἐπιχεῖν, καταχρῆσθαι γάρ. τὸ καταχέαι. Κρητίζω, ψεύδομαι. Κρητικόν, εἶδος χιτῶνος. ὃν δὲ ἱματίδιον λεπτόν, καὶ βραχύ. τὰ γὰρ τοιαῦτα κρητικὰ ἔλεγον, καὶ τὸ εἶδος ὀρχήσεως. Κρηφαγεῖν, κρέας ἐσθίειν. ὃ ἀπὸ τοῦ κρημνοῦ τοῦ σημαινομένου τὸ παχὺ τοῦ ἀλεύρου. Δωρικῶς.

Κρῖ εἰπὼν ὁ ποιητὴς ἐν τῇ ε τῆς ἰλιάδος, πάντα ἐδήλωσε τὰ ἐδώδιμα ἐν ἀλωῇ ὡς τρίβεσθαι, ἀπὸ μέρους τὰς κριθὰς καὶ τἄλλα δηλώσας. τίμιον γὰρ τοῖς παλαιοῖς ἡ κριθή, ὡς πρῶτα εὑρεθεῖσα. καὶ διὰ τοῦτο ἀπ᾽ αὐτῆς, ὡς ἐκ μέρους καὶ τἄλλα δηλοῦται σιτώδη. ὅθεν καὶ κρίβανος ὁ ἰπνός, ἐν ᾧ ἄρτοι ὀπτῶνται, οἱ μὴ μόνον οἱ κρίθινοι. διὸ καὶ κριβανωτῶν ἐρμακός, οὐ μόνον ἀπὸ κριθῆς ἀρτίσκων, ἀλλ᾽ ὡς εἰκός, ὁ ἐξ ἰτρίων. ὅτι δὲ τὸ κρῖ, ἐκ τοῦ κρίμνον ἀποκέκοπται, οἱ μὲν ἀπὸ τῆς κριθῆς δηλοῦσιν οἱ παλαιοί, καθ᾽ οὓς κεῖται, καὶ ὅτι κριθὴ συντεθεῖσα ἄλφιτον ἡ πτισάνη. ὅτι δὲ χεῖρος οὗτος κριθῆς ἀφλοίου, χυλὸν ἐργάσασθαι. τί δέ ἐστι τὸ ἐργάσασθαι, δηλοῦσιν οἱ τοῦ κωμικοῦ ὄρνιθες. Κρῖ, ἡ ἀποκοπὴ τοῦ κριθή. Ἄλλως. Κρῖ λευκόν, ἀποκοπὴν ἔπαθεν οὐκ ἐκ τῆς κριθῆς. ἦν γὰρ ἂν θηλυκὸν καὶ αὐτό, ἐπεὶ καὶ κριθή, ἀλλ᾽ ἐκ τοῦ κρίμνον οὐδέτερον. λευκὸν δὲ αὐτὸ εἶπεν, ὡς μὲν ἔνιοι οἴονται, πρὸς ἀντιδιαστολὴν μελαίνης ἐνδὸς κριθῆς ἐπιφαινομένων καθώς, ἐν τοῖς πολλαχοῦ γίνονται, μάλιστα δὲ πρὸς σύγκρισιν σίτου. ἐκεῖνος γὰρ οὐ τοιοῦτος. ἰστέον δὲ, ὅτι οὐχ οὕτω παρ᾽ Ὁμήρῳ φαίνεται οὐδέτερον εἶναι τὸ κρῖ ἐκ τοῦ λευκόν, ὅτι ἐκ τοῦ εὐρυφυές, ἅπερ ἐν ὀδυσσείᾳ. κρῖ μὲν λευκὸν κατὰ τὴν τεχνικὴν ἐστί, καὶ ἐν θηλυκῷ γίνεται οὖσα ἀπλούστερον. οἷον κρῖ λευκόν, κατὰ τὴν ἀρχὴν δηλοῦν οὐκ αἴτιον, καὶ κατὰ τὸ κλιτὸς ἐκπεπλασμένον, καὶ ἄλλα τοιαῦτα. κρῖ δὲ εὐρυφυὲς θηλυκῶς εἰπεῖν ἐγχωρεῖ οὐκ ἀμφιβόλως εἶναι. Καβάνας, πλακοῦντας ἐνίους. Κρίβανον οὐδετέρως, οἱ ἀττικοὶ λέγουσι κωθὼν βαῦνον. τινὲς καμίνιον, ὡς μαρτυρεῖ Φερεκράτης ποτὶ τὸ ὕδωρ ὡς ἂν ἐκ τοῦ κρίβανον. οὕτω δὲ λέγεται κρίβανον, ἐν ᾧ οἱ κριθαὶ ὀπτῶνται. Σάμιοι δὲ ἔλεγον τὰς καμίνους. καὶ κριβανίτης, ἄρτος ἐν κριβάνῳ ὀπτημένος. τοῖς δὲ τῶν ἄρτων ἐν κριβάνῳ ἔπεσσον, ἄρτος αἰγύπτιος ἐκαλεῖτο. ὅθεν ἡ παροιμία, ἄρτος κρίβανον, ἐπὶ τῶν κακῶν ἐφεστώτων.

Κριβανωτῶν ὁρμαθῷ, παρὰ τῷ Ἀριστοφάνει. ἀντὶ τοῦ ἄρτων δέσμῃ ἐν κριβάνῳ ὀπτωμένων, δέον εἰπεῖν στεφάνῳ. κρίβανος παρὰ τὸ κρῖ καὶ τὸ βαῦνος. γράφεται δὲ καὶ ἐκ κριβανωτῶν ὁρμαθῷ. Κρίγλανον, κίλλη, ἀσπίς. Κρίγε, ἡ γλαὺξ. οἱ δαίμονες, εἴδωλα. Κριγμός, ὁ τῶν ὀδόντων κόπτων τρισμὸς τοῖς ἐλθοῦσι γινόμενος. Κρίδιον, ὁ μικρὸς κριός. Κριδή, ὁ χιλιάδων. Κρίζε, ὀξὺ κώκυε. Κρίζων, παραγίνεσθαι.

Κρίζειν, ἐπίδοκτον, διάφορον. Κρίζος, ψῦρα, κρίζειν.

Κριθαί, οἱ δὲ ὥσπερ κατ᾽ ἐξαίρετον λέγονται, κριθαῖς ἐκεῖναι ὑπερφερεῖς εἰσίν, ἡ δὲ χῦσις παρὰ τῷ κωμικῷ. Κριθαὶ ἀχίλλειαι λέγονται, ὅτι εἰσὶ ὥσπερ οἱ ἀχιλλέως ἵπποι. ὥσπερ δὲ καὶ σπόγγος ἀχίλλειος, λευκότατός φασι, καὶ πυκνότατος, καὶ ἰσχυρότατος. ἐν ὑπὸ τὰ κράνη καὶ τὰς κνημῖδας τιθέασιν, ὃς καὶ ἄλλον πλευρὰς ἀπαλόν φασι ψόφον. σπανιώτατοι δὲ οἱ τοιοῦτοι γίνονται. λέγεται δὲ καὶ ἐν μελίτῳ κριθὴν εἶναι, ἣ ἐκ ἀχίλλειος ἐκαλεῖτο, ἧς τὸ μὲν ῥῆμα, ἀνυπέτατον, τὸ δὲ ἐφθὸν, ἁλμυρόν. ἀφ᾽ ἧς καὶ περιρρανθῆναί φασι τὴν ὄψιν οἱ λέγοντες, ὅτι ἀχίλλειος τρεψάμενος τὸν λελέγων βασιλέα, οὗ μνεία καὶ ἐν τοῖς κατὰ τὴν λυκόφρονα. ἐν τῇ νήσῳ τιμὴ κριθὴν λέγεται εἶναι, ἧς τὸ ὅλον σίτος οὐ μίσγεται. Κριθή, κρίθινον, καὶ ἔστιν ἀρρεῖον. Κριθιᾶται, ἀντὶ τοῦ κατακορυβαντιᾶται. Κριθή, παρὰ τὸ προκρίνεσθαι τῶν ἀκροδρύων. ἀκρόδρυα γὰρ ἤσθιον πρὸ τῶν καρπῶν. ἢ παρὰ τὸ διακρίνεσθαι τοῦ ἄχυρος, ἤγουν διαχωρίζεσθαι. κρίνω ἐκκοπομένων ἀνέμων. Κριθή, τὸ τῶν ἀνθρώπων αἰδοῖον. τὸ δὲ γυναικεῖον, μύρτον καὶ κριθάλιον ὑποκοριστικῶς. Κριθή, πορόν, ἢ τὸ τοῦ ἀνθρώπου μόριον, ἢ ὀφθαλμῶν ἐπανάστασις παρὰ ἰατροῖς. Κριθιάσις ἐστί, νόσημα ἵππων, καὶ ὑπερπίμπλασις ἀπὸ πλησμονῆς. Κριθότριπτον, ἀπόβρεγμα κριθῆς. Κριθόκανον, σπέρμα μελανθίῳ ὅμοιον. Κριθοφυλακία, ἀρχὴ ἐπὶ τοῦ ἐξαγωγῆς τῆς κριθῆς, ἢ σίτου. Κριθόν, ἐπώνυμον ἀνθρώπου δῆλον. Κριθοτρόφον, κριθοφάγον. Κρίκα, σιδήχιον.

Κρίκε ζυγὸν παρὰ τῷ ποιητῇ. ἀντὶ τοῦ τρίζε κατὰ ὀνοματοποιΐαν. διὸ καὶ τρίζε, ὥς αὐτὸ ἔγραψαν, ὡς δεύτερον ἀόριστον. δῆλον δὲ ὅτι κἀνταῦθα συλλήβδην ἔφη τὸ ζυγόν, κατὰ συνήθη γίνεσθαι μετασχηματισμόν. Κρίκα, κρίκον. Κρικελιάν, τὸ ἐκλλάξαι τοὺς δακτυλίους, ὥσπερ κρυβοῖς. Κρίκειν, σημαίνει τὸ ἦχον ποιεῖν. ἐφέρεται, ποιὸν ἦχον ἀποτελεῖν, ἀπὸ τοῦ κρίζω ἀόριστος ἡμαρτημένος. ὤφειλεν γὰρ εἶναι, κρίγειν, ὁ μεμαθηκὼς ἐστιν εἰρημένον. Κρίκος, τὸ κρικίλιον, παρὰ τὸ κλείω, ἀποβολῇ τοῦ ε κλίκος, ὁ πάντοθεν περικεκλεισμένος, καὶ κρίκος τοῦ λ εἰς ρ τραπέντος. ἔστι δὲ κίρκος, καὶ ἐν ὑπερθέσει κρίκος, ὡς καρδία κραδίη. Κρίκος, ἐξ ὀνοματοποιΐας πεποίηται καὶ αὐτός, καθὰ καὶ ὁ κίρκος ὄρνις. τουτέστιν, ἐκ τοῦ κρίζειν, οὗ χρῆσις παρὰ Μενάνδρῳ. οἷον, ἀλλὰ καὶ χαμαιτύπη κρίζει τις. ὁ δ᾽ ἔστι ποιὸν ἦχον ἀποτελεῖ. ἐξ οὗ καὶ δεύτερος ἀόριστος κρίγε, καθ᾽ ὁμοιότητα τοῦ ἔτριγε, καὶ τῶν ὁμοίων. Κρίμα, τὸ κατάκριμα, ἢ ἡ καταδίκη, ὡς τὸ εἰς κρίμα ἐπὶ τῷ ἰθεῖ καὶ πίνει. Κρίμα, τὸ δίκαιον. ὡς τὸ κρίμα δίκαιον κρίνετε, καὶ οἱ ἐφεστῶσιν τοῦ θεοῦ λόγοι. Κρίματα, αἱ οἰκονομίαι, ψῆφοι, δίκαι. Κρίμα ἐστί, τὸ κρίνειν. τουτέστιν, ἐλεγχθὲν ὑπὸ πολλῶν βεβαίως. Κριμισός, ὄνομα ποταμοῦ. Κριμνίτης, πλακοῦντος εἶδος. Κριμνώδης, λευκὸς ὥσπερ κριμνός. Κριμνός, ὁ κριός. Κρίμνος, ὁ κριθή. Κρίμνον, τὸ παχὺ τοῦ ἀλεύρου.

Κριμνώδης,

αὐτὸ τὸ πῦρ περὶ ὃ αἱ χύτραι τίθενται τῶν ἱερῶν, ἀλλὰ τὸ ἐγγὺς τοῦ πυρὸς, ἵνα ὀπτὰ ἐκεῖ θῶνται. Παυσανίας δὲ κανοῦν παραδίδωσι τὸ κρεῖον, ἢ ἄλλο τι ἐφ' οὗ τὰ κρέα κόπτεται. ὥσπερ ἀπὸ τοῦ ἱερέως τὸ ἱερεῖον, οὕτω καὶ ἡ κρεάγρα, καὶ ὁ κρεανόμος. τὴν δὲ κρεάγραν, καὶ ἅρπαγα καὶ λύκον ὁ Παυσανίας καλεῖσθαί φησι.

Κρείων, σημαίνει τὸν βασιλέα, ἐκ τοῦ κρατέω κατὰ συγκοπὴν κρείων. Κρείοντα γὰρ βασιλέα παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ἐπικρατέστερος. καὶ κρείσσων τὸ γίνεται, καὶ φέρεται παρ' Ὁμήρῳ. ἰστέον, ὅτι τὰ εἰς ων συγκριτικὰ τῇ ει διφθόγγῳ παραλήγεται, οἷον χείρων, ἀμείνων, μείζων, πλὴν τοῦ καλλίων, βελτίων, κάκιον, ἥδιον, τῶν ι παραληγομένων. κλίνεται δὲ ἅπαντα διὰ τοῦ ο μικροῦ, οἷον βελτίων βελτίονος. Κρείσσων, ὁ βελτίων, ὡς ἀπὸ τοῦ ταχὺς γίνεται ταχίων, καὶ ὁ τρίτος τύπος θάσσων, οὕτω καὶ παρὰ τὸ κρατὺς, γίνεται κρατίων, καὶ ὁ τρίτος τύπος κράσσων, καὶ τροπῇ τοῦ α εἰς ε κρέσσων, καὶ πλεονασμῷ τοῦ ι κρείσσων. οὐδέποτε γὰρ πρὸ τῶν δύο σσ εὑρίσκεται δίφθογγον, οἷον φρίσσω, δίσσω, πλὴν τοῦ κρείσσων, καὶ κρέων, παρ' Εὐριπίδῃ, ὅθεν καὶ τὰ κύματα, ὁ κρέων καὶ ἀνακρέων. παρ' Ὁμήρῳ σύνθετον εὐρυκρείων λέγεται, ὁ ἐπὶ πολλῶν ἄρχων. Κρείττονας, τοὺς ἥρωας οὕτω λέγουσι. δοκοῦσι δὲ κακωτικοί τινες εἶναι, διὸ τοῦ καὶ οἱ παριόντες τὰ ἡρῷα σιγὴν ἔχουσι, μή τι βλαβῶσι. καὶ οἱ θεοὶ δὲ, Αἰσχύλος Αἰτναίαις. Κρειττόνων, ἡρώων. Κρεῖττον ἡ λοναῖς, τὸ τὴν ὕλην νικῶν. ἔστι δὲ ὑλοναῖς, τὸ ὑπ' αὐτῆς ἡττώμενον. οὕτω καὶ κρεῖττον τοῦ χρυσοῦ ὁ ἄνθρωπος καὶ ἔρωτος, καὶ ἥττων χρυσοῦ καὶ ἔρωτος. καὶ κρεῖττον δὲ, ἐπὶ σώματος λέγεται, ἀντὶ τοῦ ἐπικρατέστερος. οἷον τὸ γυναικεῖον τῶν Λακεδαιμονίων κρεῖττον τοῦ τῶν Ἀθηναίων ἐγένετο, ἀντὶ τοῦ ἐπικρατέστερον καὶ ἰσχυρότερον. Κρεῶν, ἀντὶ τοῦ κρεῶν πλεονασμῷ τοῦ ε. Κρείων, ὁ βασιλεὺς, ἁπλοῦν εὕρηται. Κρίκα, τὴν τρίχα. πορφυρέην ἅμα τε κρίκα, ἀντὶ τοῦ ἐκόψε. Κρέκω, ὃ κρεκόντων, κρεκόντων, τὴν κιθάραν ἐλεγόντων. Κρέκοντα, κρούοντα. Κρίκαλος, θρῦλος. Κρίκαλος ὡς αὐλὸς, κεῖται παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ λαλοῦντος. κυρίως δὲ, τὸ τὴν κιθάραν κρούειν. κρέκοντες, ἠχοῦντες. Ἀριστοφάνης, περιοῦσι κρέκοντες. Κρέκω, τὸ ἠχῶ.

Κρὲμ, ἄρχων Βουλγάρων, ὅ ἐστιν ἐν τοῖς Βουλγάροις. Κρεμάθρα λέγεται παρὰ τῷ Ἀριστοφάνει, διὰ τὸ μετέωρον εἶναι καὶ τὴν κρεμαμένην. ἔστι δὲ σκεῦος εἰς ὃ τὰ περιττεύοντα ὄψα εἰώθασιν ἀποτίθεσθαι. ἄλλως, ταρσὸς ὑψηλός. διὰ γὰρ κρεμάθρας τὸν Σωκράτην ἐπὶ κρεμαθρᾶς καθήμενον. κρεμαστὰ δὲ λέγεται, διὰ τὸ οὕτως αὐτὰ ἀεὶ μετέωρον εἶναι κρεμάμενα. Κρεμάσω, μέλλων. οὐκ ἀπὸ τοῦ κρεμῶ, ἀλλὰ ἀπὸ τοῦ κρεμάζω, καὶ ἀποβολῇ τοῦ ζ κρεμάω, καὶ κράσει κρεμῶ, καὶ μεταγεται εἰς ὀξύτονα, οὕτως ἀγοράζω, μέλλων ἀγοράσω ἀγοράζω ἀγοράω ἀγορῶ. ταῦτα δὲ κλίνεται μέχρι παρατατικοῦ. Κρεμάω, κρεμάσω, κρεμάσουσι τὴν ἀσπίδα, ἀντὶ τοῦ εἰρηνεύσουσι. ἐν γὰρ εἰρήνῃ κρέμανται αἱ ἀσπίδες. Κρεμβαλιάζειν, κοχλάζειν καὶ ὅσα ἦχον συγκροτοῦντες ἐποιοῦμεν ἵνα ἦχον ἀποτελεῖν τοῖς ὀρχουμένοις.

Κρέμβαλα, ἐφ' οἷς τὰς κρόκας συνέλλεγον αἱ γυναῖκες.

Κρέμμυον, τὸ κρόμμυον. Κρεμόω, πλεονασμὸν ἔχει τοῦ ο τῆς παραληγούσης. εἴληπται δὲ, ἀντὶ μέλλοντος τοῦ κρεμάσω. Κρεμῶ, αἰωρῶ, περιάπτω, ἐξάπτω, ἀρτῶ, ἀναδέσμαι.

Κρεμοῦσι τὸ ὅπλον, καὶ κρεμόω, ἀπὸ τοῦ κρεμῶ κρεμᾷς κατὰ πλεονασμὸν τοῦ ο. Κρὲξ, ὄρνεον ἐστι θαλάσσιον ἶβιδι ἐοικός. ἶβις δέ ἐστι περὶ αἴγυπτον ὑπαρχόμενον. Κρὲξ, εἶδος ὄρνιθος, ὀξὺ πάνυ τὸ ῥύγχος καὶ πριονοειδὲς ἔχον. Ἄλλως. Κρὲξ, κορυφαία, καὶ ὄρνεόν τι, ὁ τοῖς γαμοῦσιν οἰωνίζεται. τέτακται δὲ καὶ ἐπὶ τροχοῦ. Κρεοδαισία, ὁ μερισμὸς τῶν κρεῶν. Κρεοδόχον, τὸ δεχόμενον τὰ κρέα ἀγγεῖον. Κρεωδαισία. κρεωδαισ-

σία δὲ, ἡ κρεωφαγία, μέγα καὶ δίφθογγον. Κρεώδης ἱερατεία, ἡ διὰ κρεῶν θυσία. Κρέων, λέγεται καὶ κρείων. ὅθεν πόντα κρέων, ὁ ποσειδῶν παρ' Εὐριπίδῃ. καὶ κρέων δὲ κύριον, ὡς καὶ ὁ ἀνακρέων εὐγενῶς ἐντεῦθεν τοῦ ὀνόματος. Κρεῶν ὑπέρτερον, ἀττικῶς ἐστι λεχθὲν παρ' Ὁμήρῳ. Κρέως, ἀττικὸν τοῦ κρέατος. Κρεώφυλος ὁ Σάμιος ξενίᾳ ποτὲ δεξάμενος τὸν Ὅμηρον, ἔλαβε δῶρον ἐξ αὐτοῦ τὴν ἐπιγραφὴν τοῦ ποιήματος, ὃ καλοῦσιν οἰχαλίας ἅλωσιν. τινὲς μὲν, ἐξ ἐναντίας ἀντιλέγουσιν ἐξ Ὁμήρου τὸ μὴ ἐπιγράψαι τὸ βιβλίον ἑαυτοῦ, ἀλλὰ τοῦ φίλου κρεωφύλου, οἷον ὅτι κρεωφύλου Σαμίου οἰχαλίας ἅλωσις. ἔνιοι δὲ ἀνάπαλιν φασὶ, κρεώφυλον μὲν γράψαι, Ὁμήρου δὲ ἐπιγραφῆναι τὸ βιβλίον διὰ τὴν ξενίαν. διὸ καὶ Καλλίμαχος ὑποδηλοῖ, ὅτι ὁ κρεώφυλος Ὁμήρου ἐπωνομάσατο τὸ ποίημα, οὐκ αὐτὸν τὸν Ὅμηρον, ἀλλ' ἑαυτὸν ἐτίμησεν, ὡς δῆθεν ὁμηρίζοντα, γράφει ἐν ἐπιγράμματι οὕτως. τοῦ Σαμίου πόνος εἰμὶ, δόμῳ ποτὲ θεῖον Ὅμηρον δεξαμένου. ὁμηρείου δὲ καλεῦμαι γράμμα κρεωφύλου. Ζεῦ φίλε, τοῦτο μέγα. ἔνιοι δὲ διδάσκαλον Ὁμήρου τὸν κρεώφυλον εἰπόντες, ἐφάσαν ἀπαιτεῖν τὸν προκείμενον, ὡς ὁ Γεωγράφος ἱστορεῖ. Κρήγυον, ἀληθὲς, ἀμερὲς, ἀγαθὸν, ὑγιὲς, οὐδέ ποτέ μοι τὸ κρήγυον εἶπας. παρὰ τὸ κῆρ καὶ τὸ ὑλῶ γίγνεται κηρύλυον, καὶ κατὰ συγκοπὴν κρήλυον, καὶ τροπῇ τοῦ λ εἰς τὸ γ κρήγυον, τὸ τὴν ψυχὴν ὑλῖνον. Κρήδεμνα τροίης, τὰ ἄνω τείχους, ὡς καὶ πίθον κρήδεμνον ἐν ὀδυσσείᾳ, τὸ ἐπικείμενον πῶμα. τοιαύτης δέ ἐστι σημασίας καὶ τὸ κάρηνα, ἐν τῷ πολίων κατέλυσε κάρηνα. προσφορώτερον μέντοι κρήδεμνον τροπικῶς λύεσθαι, καθότι καὶ ἀντίκειται τὸ λύειν, ὥσπερ τὸ δεσμεῖν, οὕτω καὶ τὸ δέσματα. ἐξ οὗ σύγκειται τὸ κρήδεμνον. δέεται δὲ τεῖχος ἐκ τοῦ κατὰ τὴν οἰκοδομίαν, διαλλήλων δεσμοῦ εἰκεῖν καὶ δέματος. ἐξ οὗ καὶ τὸ δέμον, ὅθεν ὁ δόμος, καὶ τὰ ἐξ αὐτοῦ. καὶ κρήδεμνα λιπαρὰ παρ' Ὁμήρῳ, λιπαρὰ κατὰ τοὺς παλαιοὺς τὰ ἐνδελεχῆ καὶ λαμπρά. κρήδεμνα δὲ μεταφορικῶς καὶ τοὺς τῶν πύργων στεφάνους τὰς καὶ δεῖπνα ἐξοχάς. Κρήδεμνον ἐστι, κεφαλῆς δεσμὸς, ἢ δέμνιον. λέγεται δέ που καὶ κεφαλῆς ἐπίκρανον γυναικεῖον. ὡς καὶ πίθου κρήδεμνον, τὸ περὶ κεῖται πῶμα. ἡ δὲ τροπολογία καὶ τειχῶν λέγει κρήδεμνα, τὰς περὶ αὐτὰ στεφάνας. τροπικὰ δὲ ταῦτα. πίθου τε γὰρ κεφαλὴν, ὥσπερ καὶ χεῖλη, τὰ ἐπάνω ἄνω καὶ ἄκρα. καὶ τείχους δὲ ὁμοίως, οὕτω δὲ καὶ γυναικός. διὸ προσηρμόσθαι τοῖς, ἡ τοῦ κρηδέμνου λέξις. τῶν δὲ γε τειχῶν, καὶ αἱ στεφάναι, ὡς οἱ στέφανοι τῇ γυναικί. Ἄλλως. κρήδεμνον, κεφαλῆς ἦν φασὶν κάλυμμα παραμένον μέχρι τῶν ὤμων, κατὰ τὸ λεγόμενον πέτασον, παρὰ τὸ κάρη καὶ τὸ δέρμα πλεονασμῷ τοῦ ν. καὶ ὁ κανδύσκαλος δὲ φασὶ, κεφαλῆς ἦν δεῖος κόσμος. Κρῆναι, ἤγουν ἀποτελέσαι, ἀπὸ τοῦ κραίνω κρανῶ ἔκρανα, τὸ ἀπαρέμφατον κρῆναι καὶ κρῆναι, καὶ πλεονασμῷ τοῦ ο κρηῆναι. Κρήνειον, κραίνω κρανῶ ἔκρανον, τὸ προστακτικὸν κρῆνον, καὶ πλεονασμῷ τοῦ η κρήηνον, ἀντὶ τοῦ τέλεσον. Κρῆθεν παρ' Ὁμήρῳ, ἀντὶ τοῦ κάρηθεν καὶ ἐκ κεφαλῆς. ποιοῦσιν ἐνταῦθα μετασυλλαβίας δ' ἀκρῆς, οἱονεὶ κατάκρης, ὡς ἐκεῖθεν συγκοπὴν, ἤγουν κατὰ κεφαλῆς. κεφαλὴ δὲ πόλεως, ἡ ἀκρόπολις, τὴν οἱ ὕστερον φασὶ κατ' ἄκρας. Κρηθεῖν, κακολογεῖν. Κρηθὶς, ἔσχατα ὕδατος. καὶ κρηθνίς, νύμφη.

Κρηθεὺς καὶ ἀθάμας ἀδελφοί. κρηθέως, αἴσων. αἰσίονος, ἰάσων. ἀθάμαντος δὲ, φρίξος. φρίξου δὲ, ἄργος. Κρημνὸν, λάχανον. Κρηία, ζύλια. Κρήινον, κρεοβάλιον. Κρηίον ἐπίκειον, κρεοδόχον λέβητα. Κρημνάμεναι νεφέλαι, ἀντὶ τοῦ κρεμάμεναι ἐκ τοῦ ἀέρος, οἷον ἐπικρεμάμεναι ἀγέλαις καὶ ἐπιβαρούμεναι. Κρημνοβάτης, κρημνοβάτης. Κρῆμναν σιαυτὸν, ὡς ἀπὸ τοῦ ἵημι, ὁ παρατατικὸς ἵειν ἵεις ἵει, τὸ προστακτικὸν ἵει, οὕτω καὶ ἀπὸ τοῦ κρεμῶ, γίνεται κρήμνημι, ὁ παρατατικὸς

Κραταίωμα, ἰσχὺς, ἀσφάλεια. Κραταιὸς, ἰσχυρός. Κραταίπεδον, τὸ σκληρὸν πέδον, ὡς τὸ λιθόστρωτον, καὶ οὕτω στερρόν. ἔτι καὶ κραταιπόδες, οἱ στερροὶ, καὶ ἰσχυροὶ, καθ' ὁμοιότητα τοῦ χαλκόποδος. ὅτι δὲ κραταίπεδον τὸ κραταιὸν πέδον, συντιθεμένου πρὸς ὁμοιότητα τοῦ κραταιγύαλον οὐκ ἄλλο ἐστὶν, ὡς κραταίβιος, κραταίπους. Κραῖτε, δύναμαι, κεφαλή. Κράτεια, ὄνομα πόλεως. Κρατεῖν, νικᾶν. τὸ δὲ λαγωὸν κρατεῖν, παρὰ θέμιν τῶν Διοσκόρων. κρατεῖν περιγίνεσθαι, ὑπερβαίρειν, ὑπερβαίνειν, καταγωνίζεσθαι, κατακρατεῖν, ἐπικρατεῖν. Κρατερὰ ἄλγεα, οὐ τὰ κατὰ σῶμα μόνον, ἀλλὰ κατὰ τοὺς παλαιοὺς καὶ τὰ εἰς ψυχήν. Κρατερόλεπτον, καρτερόψυχον. Κρατερὸν μῦθον λέγει ὁ ποιητὴς ἐν τῷ α τῆς ἰλιάδος, ἤτοι τὸν γενναῖον καὶ δυσχαλέπτατον, οὐ μὴν ἀπηλυλικὸν, ὡς ἐν ἄλλοις ἡ λέξις κεῖται. Κρατερὸν μῦθον, τὸν μετὰ ἀπειλῆς λέγει Ὅμηρος λόγον. ἀμέσως δὲ τὸν αὐτὸν, ἀπειλεῖν φασὶ, κρατερόν. οἱ δὲ μεθ' Ὅμηρον, καὶ κρατερὸν ἰσορροπεῖ κύριον ὄνομα. Ἀρριανὸς δὲ, ἐπὶ νικητοῦ τὴν λέξιν τίθησιν. οἷον ὁ Λεύκων κρατερὸς τοῦ λιμοῦ γέγονεν. ἰστέον δὲ, ὡς δοκεῖ ταυτὸν εἶναι κρατερὸς εἰπεῖν καθ' Ὅμηρον, καὶ αὖ πάλιν κραταιός. γίνεται μὲν ὁ κρατερὸς παρὰ τὸ κράτος, καθὰ καὶ ὁ καρτερὸς ἐκ τοῦ κάρτος. ὁ δὲ κραταιὸς, ἢ παρὰ τὸ κρᾶτα, ὃ δηλοῖ τὴν κεφαλὴν, κραταὸς, καὶ πλεονασμῷ τοῦ ι κραταιὸς, ὁ ἐν αὐτῷ κεφαλαιῶν τὸ πᾶν. ἢ παρὰ τὸ κρατὺς, οἷον κρατὺς ἀργειφόντης, οὗ ἡ γενικὴ κρατέος, καὶ παράγωγον κραταιὸς, καὶ ὡς εἶδος αἰεὶ, οὕτω κραταιὸς κραταιός. Κρατερὸν, ἰσχυρόν. Κρατερόφρονος, γενναῖος. Κρατερός, στερρὸς, βυλαφόρος. Κρατέρωμα, μίξις χαλκοῦ καὶ κασσιτέρου. Κρατερώνυχος, ἰσχυροὺς ὄνυχας ἔχοντες. Κρατευταὶ, φασὶ τινὲς τῶν παλαιῶν, τὰς τῶν ὀβελίσκων λαβὰς, ὧν προτείνουσιν τὸ κρατεῖν, ὅ, ἐξ οὗ τὸ κρατεύω, καθὰ ἐκ τοῦ [illegible] παρ' Ἡσιόδῳ τὸ [illegible]. οἱ δὲ ἀκριβέστεροι τὰς κρατευτὰς λίθους νοοῦσιν, ἐφ' ὧν τὰ ἄκρα τῶν ὀβελίσκων ἐτίθεντο ἐν τῷ ὀπτᾶσθαι τὰ κρέα. Παυσανίας δὲ λέγει, ὀβελοὶ ἢ λίθοι ἢ σιδήρεά τινα, ἐφ' ὧν οἱ ὀβελίσκοι ἐπιτίθενται. Κρατὴρ, κοινὸν ἐκ τοῦ κεράω κεφάλαιον συγκριτικόν. ἰωνικὸν δὲ κρητὴρ, ἐκ τοῦ κερῶ κεράσω, ἐξ οὗ καὶ ἐπικεράσαι τὸ ἐπικεράσαι. καὶ ὅτι παρὰ τὸ κέρας αἱ τοιαῦται λέξεις γεγόνασι. καὶ ὅτι ἐκ τοῦ κρατῆρος καὶ κρατηρίζειν τὸ συμπίνειν. ἔλαθον ἐκ τῶν παλαιῶν. δόξαι δ' ἂν καὶ ὁ κράτα καὶ ὁ κρὰς τῷ τοιούτῳ ῥήματι συστοιχεῖν.

Κρατὴρ, σκεῦός ἐστιν, ἐν ᾧ τὸν οἶνον οἱ παλαιοὶ κιρνῶντες ὕδατι, ἐξ αὐτοῦ ἔπινον λαμβάνοντες. ψυκτὴρ δὲ, ἐν ᾧ τὸν οἶνον ἔψυχον. ἱστέον, ὅτι τρεῖς κρατῆρας ἵστασαν ἐν τῷ δείπνῳ, πρῶτον μὲν, δεύτερον χαλοῦσι, τρίτον Διὶ σωτῆρι. καὶ παροιμία κρατὴρ δεινῶν, ἀντὶ τοῦ δοχεῖον κακῶν. καὶ κρατὴρ, ἀναπνοὴ τοῦ ἐν τῷ πυρός. Κρατῆρα ἐλευθέριον, εἰώθασι τῷ Διὶ ὑπὲρ ἐλευθερίας ἱστᾶσι, οἱ τοὺς πολεμίους ἀπωσάμενοι. Κρατήρια, τῶν ὀστῶν αἱ κεφαλαὶ, καὶ συμβολαὶ, καὶ τὰ ἄκρα. Κρατηρίζειν, ἀντὶ τοῦ οἶνον ἐν κρατῆρι κιρνᾶν, ἢ ἀπὸ τῶν κρατήρων σπένδειν.

Κρατηρίσκοι, οἱ τοῦ ὀφθαλμοῦ, οἳ καὶ μήκωνες λέγονται.

Κρατὶ δ' ἐπ' ἰφθίμῳ, ἀττικῶς δοκεῖ λεχθῆναι. κοινῶς γὰρ ἰφθίμῳ ὤφειλεν εἶναι. τοιοῦτον δὲ ἐστι, καὶ τὸ ψυχὰς ἰφθίμους.

Κρατὶ, κεφαλῇ. Κράτιστα, ἀντὶ τοῦ κἀρτιστον, ἢ βέλτιστον. Κρατύνει, δυναστεύει, κρατύνει. Κρατίστον, ἰσχυρότατον. Κράτιστοι, ἢ παρὰ τὸ κάρτα, ὃ δηλοῖ τὸ λίαν, ἢ μᾶλλον ἐκ τοῦ κράτος. κατὰ μετάθεσιν, ὡς βράδιστοι ἵπποι, βάρδιστοι. κράτιστοι, οἱ ἀνδρειότατοι καὶ κάλλιστοι. Κράτος. Ὅμηρος, φέρησι μέγα κράτος, ἀντὶ τοῦ νίκην, ὅτι τὴν ὕστερον νικηφόρον συνῆκεν. ἐπεὶ καὶ ταυτὸν ἐστι φέρειν κράτος, καὶ νικηφορεῖν. Κράτος λιμένος, τῆς ἀρχῆς τοῦ λιμένος. Κρατὸς, ἀπὸ τοῦ κράατος κατὰ κρᾶσιν, κρατός. διὸ μακρὸν ἔχει τὸ α, ὡς ἄτη, ἀπὸ τοῦ ἄατη, ἢ κατὰ πλεονασμὸν τοῦ α, οὐδέτερον. ὀξύνεσθαι δὲ ὡς τὸ οἶς. διὰ τί δὲ, τὸ μὲν λᾶος, τὸ ὄρος, τὸ κῆρος, οὐκ ὀξύνεται, ταῦτα δὲ ὀξύνεται; ἴσως μιᾶς ἀκολουθίας ἀπαιτούσης ταῦτα προσχρήσασθαι, διὰ τὸ δύναμιν τρισύλλαβα εἶναι. ἕτερα δὲ ὀξύνεσθαι, διὰ τὸ ἐνέργεια δισύλλαβα εἶναι, καὶ τοῖς ὀξύτονα λήγοντα. ἐπὶ μὲν τῶν, ἐπικρατεῖ τὸ τῆς ἑτέρας ἀκολουθίας. ἐπὶ δὲ τῶν, τὸ τῆς ἑτέρας. τὸ δὲ κρατὸς, καὶ ἀμφοτέρους τοὺς λόγους ἔχει. ἐπὶ μὲν γὰρ τῆς γενικῆς τῶν ἑνικῶν, ὀξύνεται κατὰ τὴν ἀκολουθίαν τοῦ οἶος. ἐπὶ δὲ τῆς γενικῆς τῶν πληθυντικῶν, παροξύνεται, ὡς τὸ λάων. Κρατύνειν, βεβαιοῦν, κρατύνειν.

Κρατύνω, κρατεῖ. Κρατύνεσθαι, ὀχυροῦσθαι. Κρατυνόμενος, ὀχυρωσάμενος. Κρατιστέρα, καλχίοντα.

Κρατὺς, δοκεῖ κλίνεσθαι ὡς ἠλός. καὶ ἴσως αὐτὸ τὸ ἐπὶ κρατέως ἐπίρρημα. Κρατὺς, κρατύτατος, κρατίων, κράσσων, ἄρχων, ἐξουσιάζων. Κρατῶ, τὸ ἄρχομαι, αἰτιατικῇ. κρατῶ δὲ τὸ νικῶ, γενικῇ. οἷον, ἀμυνόμενοι ὁ τοῦ Δαναοῦ κεκράτηκε τοῦ θεοῦ, ἤγουν εἰς ἔρωτα ἐαυτοῦ ἐκίνησε τὸν θεὸν, καὶ ἐκράτησεν ἐκεῖνον τῇ μάχῃ. Κρατῶ, ἔχω, ἀνέχω, ἴσχω. Κρατῶ τὸ φέρω, αἰτιατικῇ. κρατῶ δὲ τὸ ἐξουσιάζω, γενικῇ. Κρατόδετον, σφενδόνην διαδήματος. τὰ γὰρ ἄκρα τῆς σφενδόνης κεφαλὰς ἐκάλουν. Κράτων τεταγμένων, ὃ ἐστι κεφαλῶν. σημειοῦται καθὰ καὶ τὸ πάντων, καὶ δαίμων, καὶ τὰ τοιαῦτα, ὡς βαρυνόμενον φασὶν οἱ παλαιοὶ, ὅτι ἐκ τῆς κρατὸς κρατὸς γενικῆς ἐκλίθη, ἐστὶ τοῦ κρᾶτα τίθης. ἀφ' οὗ γενικὴ πληθυντικὴ, κράτων, καὶ κατὰ συναίρεσιν κράτων. Κραυαλίδας, ἢ κραυγαλίδας, ἢ ἐν φωκεῦσι πλησίον κίρρας χώρα. Κραύγας, ὁ ἰσχυρός. Κραυγὴ, βοὴ, ὃ νόσημά ἐστι παιδίοις ἐπιφερόμενον, ὃ καταβλάπτει τοῖς παιδίοις. καὶ γὰρ ἡ κραυγὴ ἐμφερὴς ἐστὶν, ἢ λεγομένη βραγχία. Κραυγάζει, βοᾷ, καλεῖ. Κραυγίσσιμος, ὁ ἀπὸ κραυγῆς, καὶ ψόφου ταρασσόμενος. Κραυγὸς, φυκοκολάπτου εἶδος. Κραυγὸν, ποιὸς ὄρνις. Κραυγὴ θλίμμων, ἡ μυθευτάτη, καὶ δυσειδὴς. αὕτη παρὰ φύσιν ἀμαρτία, ὑπὸ θλιμμῶν διαπραττομένη. ὥσπερ τις φωνὴ ἀρχομένη καὶ βοῶσα τὸ μέγεθος τῆς ἀσεβείας, εἰς τὰ ὦτα κυρίου σαβαώθ. Κραυγὴ, ἐπὶ τῶν εὐχομένων, ἡ μετὰ προθυμίας καὶ συνοχῆς διανοίας ἱκεσία. Κραυγότερον, ξηρότερον. Κραῦρα, νόσος περὶ τὰς ὗς γινομένη. σημαίνει δὲ καθὰ βράγχη, κραῦρα, διάρροια, καὶ ἔστιν ἐν τῇ διαρροίᾳ. Κραῦρον, ξηρὸν, κάπυρον, εὔθραυστον. Κραυρὰ, νόσος μελισσῶν, ὅταν σκώληκας καὶ ἀράχνας ποιῶσι. Κραῦθιν, τὸ πῦρ.

Κράφα, ἃ οἱ κεστυροὶ τοὺς βόλους ἀναίρουσιν. Κραστομοιτέα, καταχρηστικῶς εἶπεν Ἀριστοφάνης ἐπὶ ὀρνίθων. καὶ κράγχα, εἶδος ἐργαλείου μαγειρικοῦ χειρὶ παρειμένος, μόνον ἐγκειμένον τῇ δακτύλους. ἐπειδὴ τὰ ζεστὰ διὰ τὰς χεῖρας καίεσθαι. ἐκράγχα δὲ εἴρηται, ἀπὸ τοῦ τὰ κρέατα ἐπὶ τοῖς λέβησιν ἀγχόνειν καὶ ἀνασπᾶν. Κρέας, τὰ εἰς ας οὐδέτερα, εἰ μὲν ἔχουσι πρὸ τοῦ ας φωνῆεν ἢ τὸ ρ, κλίνονται. εἰ δὲ ἔχουσιν ἄλλο σύμφωνον, οὐ κλίνονται. Κρέας, παρὰ τὸ κρατύνειν, καὶ ἰσχυροποιεῖν τὸ σῶμα. Κρέας, καταχρηστικῶς ἐπὶ ὄρνιθος ἐχρήσατο. Ἀριστοφάνης ἐν νεφέλαις, κρεατορνίθων. Κρέασας, ἐλπίδας.

Κρέας καὶ τὸ σῶμα, οἱ ἀττικοὶ ἔλεγον, ἢ τὸ διαδιδόμενον τοῖς ἀριστοποιοῦσι. ὁ γὰρ ἐξ ἀρίου πάγου βουλὴ, κρέας ἐλάμβανε.

Κρέασι, συμποσίοις. Κρεββάτιον, παρὰ τὸ κρεμᾶν τὰς βάσεις. Κρεμμῷ, τῇ κρούσει, ἀπὸ τοῦ κρούματος. κρέκειν γὰρ τὸ κρούειν. Κρεῖον, τὸ κρεοδόχον ἀγγεῖον, οἱ πλείους τῶν παλαιῶν φασίν. Εὐφορίων δὲ, κρεῖον τὸ κρέας νοεῖ, ὡς φασὶν Ἀπίων καὶ Ἡρόδωρος, διὰ τὸ τὸ σπλάγχνον μελαμποῦ μιμνῆσκειν κρεῶν ἑφθῶν ἐν ἀγγείῳ, ἀλλὰ μόνον ἐχόντων. καὶ συντελεῖ πρὸς τοῦτο καὶ τὸ ἐκ πυρὸς αὐτῇ. εἰ γὰρ ἐξ ἀναλογίας πυρὸς αὐγὴ, καὶ

τος καὶ τὸ κραδαίνω, καὶ ἔτι τιοῦτον. τὸ ἀμὸς ὀξύνεται, διὰ τὸ μὴ ἀνδιαστέλλειν τὴν κανόνα. οἱ γὰρ εἰσὶ ὀξύνεται, ἄλλο καὶ γεγενῆς εἶναι καὶ ἁπλοῦν. κραιπνὸς δὲ φασιν ὁ ταχὺς, καὶ οἷον πεπληθυσμένος, ἢ ἀνεμώκης. ἔστι γὰρ καίπνω, τὸ πνέω. ἐξ οὗ καὶ τὸ πνεῦμα. ἔνθεν καπνὸς, ὡς εἴπερ φασὶν ἀνεμώδης, καὶ πλεονασμῷ τοῦ ρ καὶ τοῦ ι κραιπνός. δύναται δὲ καὶ παρὰ τὸ κάρα, καὶ τὸ πνέειν, ἐν συγκοπῇ καὶ πλεονασμῷ τοῦ ι εἶναι καραπνός. εἶτα κραπνὸς, καὶ κραιπνός. Κραῖρα, κεφαλὴ κυρίως ἡ ὀρθία. καὶ ὡς ἂν εἴποι τις, κάρα αἰρόμενον. ἐκ ἡ καίρειρα, καὶ ἐν συγκοπῇ κραῖρα. ἐξ ἧς οἱ ἀττικοὶ τὸ τῆς κεφαλῆς ἥμισυ, ἡμίκραιραν φασὶν, ὡς εὕρηται παρὰ τῷ κωμικῷ. ἀπὸ δὲ ταύτης καὶ νῦν μετωποσκοπεῖν, καὶ τὸ ὀρθόκραιραι, παρὰ τοῖς ποιηταῖς. Κραῖρα, κέλοι κόρ, μέτωπα, κεφαλαί. Κρακαλίλλαι, τὸ ἄριστον βασιλεῖς, ἢ διάφορον γένος. Κραῖμα, κίσμα, κέρασμα.

Κραίμβατα, κάχλισματα. Κραμβατίλος, ξηρὸς καὶ καπυρός. Κραίμβαλα, κνημίδια. Κραμβαλίζουσι, καπυρίζουσι, κατασείουσι. Κραίμβη, τὸ λάχανον. ἐπὶ κραίμβη, ἢ ἀμβλύνουσα τὰς κόρας. βέλλον δὲ, ἢ τὴν κόρην ἀναβλέπουσα.

Κραμβίον, τὸ ζωμόν. Κράμβον, καπυρὸν ἐστι γέλωτα. καὶ ξηρὸν φασιν, ἢ τὸν κραμβίων. Κραμβοειδὴ σῶμα, ἀλωειδῆ, ξηροειδῆ, ἀπὸ τῆς λαχάνου κράμβης οὕτω καλουμένης. παρὰ δὲ τοῖς ἀττικοῖς κοράμβλη, διὰ τὸ τὰς κόρας βλάπτειν. φασὶ γὰρ αὐτὴν ἐκ τῶν ὀφθαλμῶν τοῦ λυκούργου γεγονέναι. ἡνίκα γὰρ ὁ διόνυσος τοῦτον εὐλαβηθεὶς εἰς τὴν θάλασσαν ἧλεν, ὑπὸ τῆς ἀμπέλου δεθέντα δακρῦσαι ἐπαρκεῖναι. κατὰ τοῦ δακρύου τὴν κράμβην. καὶ διὰ τοῦτ' ἀντιπαθῶς ἔχειν ἀλλήλαις τὴν κράμβην καὶ τὴν ἄμπελον. πεσοῦσαι δὲ τὴν μῦθον γεωργὸν παιδεῦσαι. γὰρ τίς φασι τὴν ῥίζαν αὐτῆς ἐξελθεῖν ἐν ἀμπέλῳ, εὐθὺ ἀναπαύει καρπὸν ἐφέλκει. ἔνθεν καὶ πρώτη ἐν συμποσίῳ διδοται. καὶ οἱ αἰγύπτιοι πρὸ τῶν ἄλλων ἐσθίουσιν. βρῶσις κραίμβας ἥδιον, διὰ τὸ μὴ μεθύσκεσθαι οἴνῳ. βέλλον δὲ κραίμβη λέγεται ἄρα, ἢ τὴν κόρην ἀνεμβαίνουσα. χαμαίτως δὲ ὁ ποιητὴς ἀντὶ τοῦ χρυσοειδῆ, κραμβοειδῆ ἔφησεν, ἵνα ἀπὸ μικρᾶς λαχάνου καὶ τὸ ἀναξηραίνεσθαι δηλωθὲν λέγων δοκῇ. Κραμβωτὸν, ἰνδὸς τὸ ζῶον. Κράνα, κεφαλή.

Κράνα, ἱερᾶται τέλεια, καὶ αἱ τῶν ὑδάτων, καὶ ἐπιτελέσαι. Κρανοίκορον, μοῖρα ἔλαχε τοῦ ἱερείου. Κραναὰ, ἀθηναῖος, ἡ κραναὰ πόλις. Αἰσχύλος καὶ Σοφοκλῆς ἐχρήσαντο τῇ λέξει. λέγει δὲ κραναὰς τὰς ἀθήνας, ἔτι τας τραχείας. λιθώδης γὰρ ἡ ἀττική, ἢ ἀπὸ κραναοῦ ἐστιν, ὃς ἦν τῶν αὐτοχθόνων εἷς. Κραναοὶ ἀθηναῖοι λέγονται, διὰ τὸ τραχὺ, ἢ τὸ λιθῶδες, ἢ ἀπὸ κραναοῦ βασιλέως. Κραναῇ ἐν νήσῳ, ἐν ἄλλῳ δὲ φασιν εἴτε κύριον τῆς νήσου τὸ ὄνομα, διὰ τὸ κραναὰν, ἔτι τελευτῆσαι ἐπ' αὐτῆς τὴν γαῖμον, εἴτε τραχεῖα ἐπιθετικῶς εἴρηται.

Κραναὸν, τὸν ἀθηναίων, διὰ τὸ τραχὺ καὶ λιθῶδες, ἢ ἀπὸ κραναοῦ βασιλέως. καὶ κραναὸν πετρῶν, τῶν τραχέων.

Κραναῆς, τραχείας, σκληρᾶς, λεπρὰ ἐχούσης, παρὰ τὸ κρανίον. τοῦτ' ἐστὶ τὸ κρανον, ὅπερ ἐστὶ καὶ τραχὺ καὶ ὀστώδες.

Κράνεια, εἶδος φυτοῦ. Κράνος, φυτὸν καὶ τὸ γεννώμενον, καὶ κράνος καρπός. κρανίον δὲ, τόπος, καὶ ἡ κεφαλή.

Κράνεα, χαλαστά, πλεκτὰ ἐκ χοίνε, ἢ ἄλλως εἶδος ὅλως μαλάκια. Κρανᾶ, τὰ προσκεκολλημένα σφίγγια, εἰς ἃ τὰ πῖρα ἐκβάλλεται. Κράνεια, λεπτοκάρυα. Κρανίον, περικεφαλαίας. Κρανία, τοξον, εἶδος λίθου, περικεφαλαία.

Κρανίζεσθαι, τελευτᾶσθαι. κραίνω κρανῶ, κρανοῦμαι κρανοῦται κρανίζεσθαι, καὶ διαλύσει κρανίσθαι. Κρανιάδην παρὰ Θεοκρίτῳ, οἱ κατὰ πλεονασμὸν ἔχει τὸ α. ἐστι γὰρ ἡ εὐθεῖα ἡ κρανιὰς, ἀπὸ τῆς κρανίας κατὰ μεθοχηματισμόν. Κρανίξαι, ἐπὶ κεφαλὴν ἀποῤῥῖψαι. Κράνιοι, τῆς κεφαλῆς αὐταί τινες

γὰρ κράνεοι. Κράνιον, πλατύ, ὑψηλόν, στιλπνόν, ἰσχυρόν, ὀχυρῶδες, καὶ ἡ κεφαλή, ἢ γυμνάσιον. Κρανίον, καὶ κεφαλὴ καὶ κορυφή, μόνοι λεγογράφοι. ποιηταὶ δὲ, ἡ κρᾶς, καὶ τὸ κάρα. κεφαλὴ, ἐπὶ τῶν ζώντων. κρανίον δὲ, ἐπὶ τῶν ζώντων, καὶ ἐπὶ τῶν ἀποθανόντων. Κράνον, ἀντὶ τοῦ κρανίον λέγεται λυδοῖς.

Κονίοντες πεδίοιο, ἀντὶ τοῦ κόνιν ἐγείροντες διὰ τοῦ πεδίου. ἢ μᾶλλον, ἐπὶ τοῦ πεδίου, καὶ τῆς πεδιάδος. κατὰ τὸ ἐκ τοῦ εἰς πεδίον, ἐκ δὲ τοῦ κονίειν πεδίοιο, καὶ τὸ ἐγκονεῖν ἐπισπεύδειν, ὡς τὸ χωροῦμεν, ἐγκονοῦμεν. Κόνις καὶ κονία. ὅτι δὲ ἡ μὲν τοιαύτη κόνις διὰ καθαροῦ τοῦ ο κλίνεται, οἷον κόνις κόνιος, ὡς ὁ κόνιος διεφθαρμένος. ἡ δὲ περὶ τὰς τρίχας τῆς κεφαλῆς ἡ φθειροποιὸς, διὰ τοῦ δ, κόνις κόνιδος. δηλοῦσι δὲ μὲν ἴωνες καὶ ἀττικοί, οἱ δὲ δωριεῖς, ἐκ τῆς τῶν φθειρῶν ὀχείας γίνεσθαι τὰς κόνιδας λέγων, ἐν τῇ περὶ ζώων ἱστορίᾳ. σημείωσαι δὲ καὶ παραβολικῶς ὁμίχλη βαθεῖα τὴν πολλὴν τοῦ κονίας κόνιν, ἐκ τῶν κονίας ὁμίχλην φησὶν Ὅμηρος. καὶ κόνις ἐστὶ δὲ ὅτι, ἐπὶ ταύτης λέγεται τῆς σημασίας τοῦ κακοπραγοῦντος. ἡ κόνις ὥσπερ καὶ κονία ἐφ' Ὁμήρου μὲν, τῆς αὐτῆς ἦσαν σημασίας. ὕστερον δὲ, κονία μὲν ἐλέγετο καὶ ἡ χίονος τὰ ὥς φασιν οἱ ἰατροὶ κεκονισμένα. κόνις δὲ ἰδία ἀθλητική, ἐξ ἧς καὶ τὸ ἀθλητικῶς κονίεσθαι, καὶ κονίστρα ἡ παλαίστρα. χοῦς δὲ τοιαύτης κόνεως, παρὰ ἀθηναίοις ἐν τῷ σκάπτεσθαι τὴν τῶν ἀθλούντων κόνιν. ἐκ δὲ τῆς κόνεως πολλὰ παρῆκται, ὧν ἐστι καὶ τὸ ἐγκονεῖν, ὃ καὶ αὐτὸ διάκονος, ὁ ἐν χερσὶ δουλεύων. καὶ διακονεῖν δέ φασιν, εἶδος πλακοῦντος, ὡς ἐστι γυναικὸς ἄρτος τις, ἢ πέμμα πλατὺ παρὰ τὴν [illegible]. ἔστι δὲ ὡς τυρόεις τυροῦς, σησαμόεις σησαμοῦς, οὕτω καὶ πλακόεις πλακοῦς. ἐκάλειν δὲ πλακοῦς φασι, καὶ κόμη [illegible] ἐπίκεινα [illegible] ἐξ. Κόνισαι, γυμνάσθητι. Κονίουσι, κόνιν ἐγείρουσιν. ἢ κονίσουσιν, ἀντὶ τοῦ φεύξονται, τὸ πεδίον. ἐκ τοῦ παρακολουθοῦντος νοεῖται τὸ φεύξονται. οἱ γὰρ φεύγοντες, κατὰ τὸν δρόμον ἐγείρουσι κόνιν. Κονίστρα, ὁ ἀγὼν, ἡ παλαίστρα. ἢ ὁ κυλίστρα. Κόνιστρον, ῥύπος. ἴδοιμι ὑμᾶς ἀπὸ κόνεως, διακοψάμενος. καὶ οὐ λαθεῖ με κόνιον καὶ κονιορτοῦται. καὶ κονιωμένους, κόνεως πεπληρωμένους. Κονίω, τὸ ἀγωνίζομαι, ὥσπερ ἀπὸ τῆς μήτιος μητίω, καὶ δήριος δηρίω, καὶ μήνιος μηνίω, οὕτω καὶ ἀπὸ τῆς κόνις κονίω. Κονίω, τὸ τοῖχον χρίω. Κόννα, σκολιός. Κοννάβησαν, ἤχησαν. Κονναβίζω, ἦχον ἐπιτελῶ, διαμαίνω. Κόνναρον, καρπὸς δένδρου, ὅμοιος παλιούρῳ. Κοννᾶς, αὐλητὴς ἦν, καὶ μέθυσος, ὃς εἰς συμπόσια παρῄει συνεχῶς ἐσταμμένος οὗτος ὀλυμπιονίκης γενόμενος, καὶ πολλάκις στεφανωθεὶς, πτωχὸς ἦν, μηδὲν ἔχων ἢ ὁ κότινον. ἀφ' οὗ Κρατῖνος εἶπεν, ἰδίᾳ καὶ τῇ παρὰ

δίδω

Κομήτης ἀστὴρ, ἀθροισμὸς πυρὸς ἄθροισμα, ἐπί τινα συνεστὼς κόμην χέοντα, καὶ πρός τινα ἄστρον τὴν σύστασιν ἔχον, οἷον κόμην ἐκτείνων, ἢ ἐκχέων. Κόμματα, ἴνα τῶν ἐπῶν. Κομία, εὐωχία. Κομιδὴ, ἡ ἐπιμέλεια. ἐκ τοῦ κομίζω, τὸ ἐπιμελοῦμαι. καὶ εὐκόμιστος κατὰ τοὺς παλαιοὺς, ὁ ἐπιμελείας τυγχάνων. λέγεται καὶ κομίστωρ. κομιδῇ δὲ ἐπίρρημα, τὸ λίαν. Κομιδῇ, ἀντὶ τοῦ λίαν, ἢ παντελῶς, ὁλοσχερῶς, εἰλικρινῶς, παντάπασι, τελείως. Κομιδὴ, ἡ ἀνάσωσις, ἢ φόλος. λέγεται δὲ καὶ ἡ ἄφιξις. Κομιδὴν ἀποτείνειν, ὅ ἐστιν ἐπιμέλειαν, ὅμοιον ἐστὶ τὸ τροφεῖα ἀποδιδόναι, ὅ ἐστι τροφεῖα. Κομιδῇ, ἐπίρρημα ἀπὸ δοτικῆς, ἀντὶ τοῦ ἐπιμελῶς. καὶ τὰ ἐπιρρήματα γίνονται μὲν ἐκ πάντων τοῦ λόγου μερῶν. καὶ ἀττικοὶ μὲν μάλιστα ὁμοίως ταῦτα ποιοῦσιν ἀπὸ δοτικῆς ἑνικῶν θηλυκῶν ὀνομάτων. ἔστι μὲν οὖν προσηγορικῶν, ὡς τὸ κομιδῇ παρρησίᾳ. ἔστι δὲ οὖν ἐπιθέτων, ὡς τὸ ἰδίᾳ δημοσίᾳ. καὶ ἐπὶ ἄρθρων τε καὶ ἀντωνυμιῶν, ὡς ἡ τὸ ταύτῃ. καὶ ταύτῃ, τὸ οὕτως. καὶ ἀπὸ αἰτιατικῆς ἑνικῆς τῶν οὐδετέρων, καὶ πληθυντικῆς, πολὺ ἢ πολλὸν, καὶ πολλά.

Κομίδιον, τὸ τοῦ λίνου δένδρον. Κομιῖ παρ' Ἀριστοφάνει, ἀντὶ τοῦ λήψῃ. κομίζω, μέλλων κομίσω, καὶ ἀττικῶς κομιῶ, ὁ μέσος μέλλων κομιοῦμαι, κομιῇ, καὶ ἀττικῶς κομιεῖ.

Κομίζε, ἐπιμελοῦ. Κομίζεσθαι, αἰτιατικῇ, ἀντὶ τοῦ ἔχει. ἂν ἦ θέλοντος, κάντ' ἐμοῦ κομίζεσθαι. Κομιζόμενος, ἀντὶ τοῦ κομιδὴν ἔχων καὶ ἐπιμέλειαν. Κομίζω, ὁ μέλλων κομίσω κοινῶς, κομιῶ ἀττικῶς, ὡς νομίζω νομιῶ, κιθαρίζω κιθαριῶ. ὁμοίως καὶ τὰ παθητικῶς ἐκφερόμενα, εἴρηνται δὲ δηλοῦντα, οἷον ἀγωνίζομαι ἀγωνιοῦμαι. οἱ ἀττικοὶ τῶν διὰ τοῦ ιζω ῥημάτων ὑπὲρ δύο συλλαβὰς τοὺς μέλλοντας κατὰ περισπασμὸν τοῦ ζω λέγουσι. προσκεῖται δὲ ὑπὲρ δύο συλλαβὰς, διὰ τὸ πτίζω καὶ κτίζω. ταῦτα γὰρ ὁμοίως, κατὰ τὸν μέλλοντα βαρυτόνως προφέρονται. ἀπὸ δὲ τοῦ δανείζω δανειῶ οὐκ ἔστιν. οὐ δὲ δανειοῦμαι, ἀλλὰ δανείσω καὶ δανείσομαι. πλὴν τοῦ βαδίζω οὐ βαδιῶ, ἀλλὰ βαδιοῦμαι ἀττικῶς. Κομίζω σημαντικῶς φέρω, καὶ ἐπιμελοῦμαι ποιητικῶς. ὡς τὸ τὰ σαυτῆς ἔργα κόμιζε. προσκομίζω τὰ δῶρα, ἤγουν φέρω, κομίζομαι οὐ μόνον τὸ φέρομαι, ἀλλὰ καὶ τὸ λαμβάνω. Λιβάνιος ἐν ἐπιστολῇ, καὶ ἐλαβόμην οὐ φαύλους ἐκομίσθαι μισθούς. Κομισάμενος, ὁ κομισάμενος. Κόμισον μώνυχας ἵππους, ἀντὶ τοῦ ἐπιμέλειαν ἔχε, ποιητικώτερον εἴρηται. τὸ γὰρ ἀττικὸν ἐκομισάμην. ἄλλα δὲ πάντως τοῦτο τὸ κομίζειν. παρὰ τὸ κόμισόν δή μοι ἵππους. ἐκεῖνο δὲ ἐπιμελείας ἐστὶ δηλωτικόν. ἐξ οὗ καὶ κομιδὴ ἡ ἐπιμέλεια.

Κόμισαι, ἀντὶ τοῦ ἐπιμελήθητι, ἐκ τοῦ κομίζω, ἐξ οὗ καὶ κομιδὴ ἡ ἐπιμέλεια, ἧς ἡ δοτικὴ ποιεῖ ἐπιρρηματικῶς τὸ κομιδῇ. ὅπερ ἐστὶ λίαν καὶ ὡς εἰπεῖν ἐν ἐπιμελείᾳ. Κομίσας, ἐπιμελητάς. Κομιστὴ, τροφή. Κομιστέον, δεῖ κομίζειν. Κομίστρια, ἐπιμελήτρια, τροφὸς, ἐπιμελήτρια. Κομιῶ μέλλων ἀττικὸς ἐκ τοῦ κομίζειν, ὅμοιος τῷ ἐγγιῶ καὶ βαδιοῦμαι, καὶ τοῖς τοιούτοις. δηλοῖ δὲ ἡ λέξις τὸ ἐπιμελείας ἀξιοῦσθαι, καὶ τὸ περιποιεῖσθαι. Κόμμα, εἶδος φαύλου νομίσματος, παρὰ τῷ Ἀριστοφάνει. ἔοικε δὲ εἶναι τοῦ πονηροῦ κόμματος. ἀντὶ δὲ τοῦ εἰπεῖν φαύλου συνέματος, πονηροῦ κόμματος εἶπεν. καὶ εἴρηται ἀπὸ μεταφορᾶς τῶν κιβδήλων νομισμάτων, διὰ τὸ ὀλίγον μὲν ἔχειν χρυσὸν, πλεῖστον δὲ χαλκόν.

Κομμαγηνὴ, ὄνομα τόπου. καὶ κομμαγηνὸς, ὁ ἀπὸ τοῦ αὐτοῦ τόπου. Κόμματα, καὶ κορύβια. Δείναρχος ἐν τῷ κατὰ καλλισθένους εἰσαγγελίᾳ, τὰ μὲν κορύβια εἰσὶ τὰ πίτυρα, τὰ δὲ κόμματα ἔοικεν εἶναι μέρη ζωῆς, ἢ τῆς καλάμης, ἢ τῶν περὶ τὴν σίτησιν αὐτὴν τῶν ἀχυρῶν γινομένων ἢ τῶν ἀνθερίκων.

Κομμάτιον ἐστὶ δύο στίχων, ἢ τριῶν, οὐ δέοντος δὲ ὑπερβάλλει εἰς τὸ τέταρτον, ὡς παρὰ τῷ Ἀριστοφάνει, ὡς τὸ ἐπεὶ ἄλλα χρῆν δὲ λέγειν ὑμᾶς τούτων καὶ τὰ λοιπά. Κομμαρίδην, ἐριδών, μοχθῶν. Κομμοῦν τὸ σῶμα, ὡραΐζειν. ἐπεὶ καὶ κομμώτριαν λέγουσι τὴν κοσμοῦσαν. Κομμίσιρα, ὁ κομμώτρια, κεριδος. μακελλόεσσι. Κόμμι, τὸ ψιμύθιον. κόμμι, καὶ ὁ λιβανωτὸς. καὶ τὸ ἐξηραμμένον ὀπὸς δένδρου. Κόμμοι, ὀδόντες γόμφιοι ἢ κομμοῖ, ἢ κοπτοί. Κομμοῦν, ὡραΐζειν τὸ σῶμα. Κομμὸς, περίφημος κόσμησις, ἀγαθῶν γυναικῶν μερίς πλοκὸς μετὰ κομμοῦ, καὶ ὀλολυγῆς, τουτέστι γόου καὶ ὀδυρμοῦ. Κόμμωσις, ὁ τοῦ σώματος ὡραϊσμὸς, καὶ ὑπὸ τῶν μελοποιῶν, ἢ τοῦ σμήγματος διάχυσις. Κομμοῦσθαι, καλλωπίζεσθαι. Κομμωτὰς, καλλωπιστάς. Κομμωτικὸν, ἐπίπλαστον. Κομμώτρια, ἐμπλέκτρια ἡ κοσμοῦσα τὰς γυναῖκας. Κομμωτίζω, ἐπιμελοῦμαι τὰς πλοκὰς τῷ ψιμυθίῳ. κόμμι γὰρ τὸ ψιμύθιον. Κομπάζω, καὶ κομπῶ κομπεῖς. καὶ κομποῦμαι λέγεται, ἀπὸ κομπαστικὸς λέγω. Σοφοκλῆς, ἐν αἰσι δὲ μήτ' ἐπεκόμπασα. Κομπάζειν, τὸ ἐπὶ λόγοις μεγαλαυχεῖν, καὶ ἐπὶ τούτοις μεγαφρονεῖν. Κόμπασμος, ὃς συνίσταται εἰς ὑπερβολὴν καὶ ὁμοίως τῇ αὐτῇ ἐκτελεῖ χρείαν.

Κομπάσας, ὁ κομπάσας, παρ' Ἀριστοφάνει ἐν πλούτῳ, ἀντὶ τοῦ ἐκπρεπὴς ἐκ μεταφορᾶς τῶν κομώντων δένδρων, ἃ τὴν κόμην ὑψοῦ ἔχουσιν. τοιοῦτοι δὲ οἱ ὑπέρφρονες, ὑψοῦ τὴν γνώμην αἴροντες. Κομπασμὸς, ψόφος. Κόμπαλος, παλαιοφύλαξ. Κομπαλακεύσασθαι, προσαλαζονεύσασθαι. Κόμπαι, ὀδόντες γόμφιοι. Κόμπους, ὑπερηφανίας. Κόμπον, κτύπον λέγει Ὅμηρος, ὃν ὁ καλμητος ἀποτελεῖ θήγων ὀδόντας, πάνυ ἐπιτυχῶς ὀνοματοποιήσας. ἐντεῦθεν δὲ κατὰ μεταφορὰν, καὶ ἐπὶ φλυαρίας ἀλαζονικῆς ὁ κόμπος καὶ τὸ κομπάζειν, καὶ τὸ κομπεῖν λέγεται. Κομπολακεῖν, ὦ. Ἀριστοφάνης. οἷα ἐκομπολάκησαν, κατοὺς οὐκ ἐποίουν ψόφους. οὐκ ἔλεγεν κομπεῖν, ὡς Αἰσχύλος. Κομπορρήμων, ὁ κενὰ δόξα λέγων. Κόμπος, ἀλαζονεία, ἔπαρσις. καὶ κόμπος ὁ ψόφος. Κόμπος, ὁ διὰ τοῦ λόγου ἔπαρσις, ὄγκος δὲ ἐπὶ σώματος. Κόμπος, ἀκενοδοξία, παρὰ τὸ κενὴν ὄπα ἔχειν, ὅ ἐστι φωνήν. Κομποφακελορρήμονα, βαρυρρήμονα σκληρὰ καὶ συνδεδεμένα ἐπιλέγοντα. φάκελοι γὰρ τὰ βαρέα, καὶ συνδεδεμένα φορτία τῶν ξύλων. Κομπώδης, ἀλαζονικόν. Κομψὰ, τὰ στρογγύλα.

Κομψεία, ποικίλη λαλιὰ, καὶ πανουργία, ἢ οἱ σπεύσματιαῖοι τὰ τῶν κωφῶν ἐρίων. οἱ δὲ γένος λαχάνων, ὅπερ τινὲς ἱπποσέλινον καὶ σμυρνίον καλοῦσι. Κομψεία, ἐλαφρία, ἀστειότης, πιθανολογία, ἀλαζονεία, σοφιστεία. Κομψεύεσθαι, σεμνύνεσθαι, ἀλαζονεύεσθαι. Κομψευριπιδικῶς, ἀντὶ τοῦ εὐτραπέλως, καὶ δεινῶς. οἷον πανούργως. κομψοὶ δὲ παρὰ τοῖς ἀρχαίοις ἐλέγοντο οἱ πανοῦργοι. Κομψὸν, περίεργον, περίλαλον, πανοῦργον, ἀπατηλὸν, πιθανὸν, τεχνικόν. λέγουσι καὶ κομψεία, ἐλαφρία, ἀστειότης, πιθανολογία, ἀλαζονεία. Κομψὸν, λέγεται τὸ χαρίεν. λέγεται καὶ τὸ σεμνόν. λαμβάνεται καὶ ἀντὶ τοῦ ἐλαφρόν. καὶ ἀντὶ τοῦ κόμπου γέμον καὶ μεγαλαυχίας. Κομψὸς, κομψεύω, καὶ κομψεύομαι. κομψεία κομψεύει παρὰ τοῖς παλαιοῖς, τὸ περιλαλεῖ. Κομψὸς, εἴρηται μὲν ἡ λέξις ἐπὶ τοῦ πανούργου, καὶ ἐπὶ τοῦ μετρίου, καὶ ἐπὶ τοῦ ἐπιεικοῦς. ἀμφότερα οὖν, παρὰ τὸ καμπτὸν ῥῆμα. ὡς ἐπὶ μὲν τοῦ πανούργου παρὰ τὸ εὐκάμπυλον, καὶ διεστραμμένον τῇ διανοίᾳ. ἐπὶ δὲ τοῦ ἐπιεικοῦς, παρὰ τὸ εὔκαμπτον αὐτὸν εἶναι. οἷον εὐπειθῆ καὶ προσηνῆ. οὕτως εἴρηται ὁ ἀττικὸς, ἢ κομψὸς ὁ πιθανολόγος. ἢ μετὰ ὑπερηφανίας καὶ κόμπου φθεγγόμενος. Κομῶντας ὄπιθεν, τοὺς ἄβαντας λέγει ὁ ποιητὴς, κατὰ τὸ ἔθος ἰδίων. φασὶ γὰρ οἱ παλαιοὶ ὅτι κουρῆτες ἐν Χαλκίδι ᾤκησαν. συνεχῶς γὰρ πολεμοῦντες αὐτοῖς περὶ τῆς Λιλαντίου πεδίου, ἐπεὶ τῆς κόμης οἱ πολέμιοι δρασσόμενοι κατέσπων αὐτοὺς, ἐπιδεικνύμενοι γενναῖοι τὰ ἔμπροσθεν ἀπεκείραντο.

δὲ Διονύσιος λέγει, ὅτι Φιλήμων ἐπισκώπτει τὸ ὄνομα, ὡς βάρβαρον. λόφον γὰρ καλοῦσιν. ἔτεροι δὲ, ὅτι βουνόν. Φιλήμων ἐν νόμῳ, ὡς σύνηθες τίθησιν, ἄλλοθι δὲ ὡς ξένον ἐπισκώπτει. ἐκ δὲ τοῦ κολωνοῦ, παρώνυμον καὶ πόλις Κολώνεια. κατά τι ἄλλα, καὶ κατὰ τὸ Θεσσαλονίκη, Θεσσαλονίκεια. δηλοῦσι δὲ ὑψηλὸν τόπον αἱ λέξεις. διὸ καὶ αἴπεια ἐρρέθη κολώνη. σημαίνει δὲ, ὅτι αὕτη μὲν ἡ πολιτικὴ κολώνη τῶν πολίων ἦν, καὶ ἑτέρα τις ἦν. Ἄλλως. Κολώνη, καὶ καλλικολώνη, τόπον ὑψηλὸν δηλοῖ, ὅθεν παρώνυμον ὁ Κολωνὸς, ὡς ἄνοχα ἀνοχεύς. ἔχει δὲ ὁ ὄρος ὁ ἱερός. διά τι οὐκ ἐξηύξηται ἡ κολώνη, εἰπερ ἀπὸ τοῦ κολωνὸς ἐγένετο, ὃ δηλοῖ μέγα ὄρος κατὰ τοὺς παλαιούς; καὶ ἴσως ὅτι εἰπεῖν, ὅτι συνεξεκλήθησαν καὶ αὐτὸ τοῖς διὰ τοῦ ωνη θηλυκοῖς ὀνόμασιν. οἷον, κορώνη, μαθώνη, καὶ τοῖς τοιούτοις. οὐκ ὡς ἔξω παντελῶς ἡ κολώνη λέγει. ἔχει δὲ ὡς ὡς εἰκὸς ἄνω κολόβωμα τοῦ ὄρους. διὸ καὶ κολώνη λέγεσθαι. ὡς ἀπὸ τοῦ κολοβὸν, τὸ κολοβῶ. ταύτην δὲ πάντως κολωνὸν καὶ κολώνην εἰπεῖν. νικᾷ δὲ ἡμῖν τὸ ὁμωνυμὸν, ὃ καὶ Σοφοκλῆς ἀκολουθῶν, κολώνην ἄκραν τάφου ἔφη. Κολώνεια, ἀρχαῖος τόπος, εἰς ἐλεύθερα ἀνατίμια ἦν. φασὶ γὰρ τότε ἐν Διονύσῳ ἐν ἐπὶ ταρσῶσι τοὺς ἀπιόντα πόλεμον, τοὺς γεγονότας τῶν στάλκων μετὰ τῆς ἀρχαίου ἡλικίας ἐν Ἰταλίᾳ καταλιπεῖν. τοὺς δὲ ἡγεῖσθαι ἐπὶ ἀμπέλων ἐπιμέλειαν, καὶ οὕτως γενέσθαι τὴν Ἰταλίαν. τοὺς δὲ γεωργοὺς οἱ Ἰταλοὶ κολώνους ἐκάλουν. Κολωνία, τόπος. ἥλιοι. Κολωνὸς ὀφὶ ἦλθε, ὡς εἰς τὸν κολωνὸν ἴδοι. παροιμία δὲ ἐπὶ τῶν μισθαρνούντων. Κολωνὸς, γῆς ἀνάστημα, τόπος ὑψηλός. Κολωνῶ, τῇ ἰσχυούσῃ ἀκρωρίᾳ.

Κολωὸς, ὁ θόρυβος κατὰ μὲν θελόγιον, ἀπὸ τοῦ κλῶ γίνεται, ὠνοματοπεποιημένον ῥῆμα. κατὰ πρόσληψιν συλλαβῆς, διὸ οὐδὲ προσγίγνεται φησὶ τὸ ι. ἀπὸ δὲ τοῦ τοιούτου κλῶ καὶ τὸ κλάζω γίνεται κατὰ παραγωγήν. κατὰ δὲ ἑτέρους, ἀπὸ τοῦ κολοιός, κατὰ ἔκτασιν τοῦ ο εἰς ω μεῖναντος δηλαδὴ τοῦ ι παραγεγραμμένου. κολοιὸς δὲ, τὸ ὄρνεον. Κόλυμβος, ὄρνις. Κολωτία, λίθον τι. Κολώτης, ἐπίκουρος λόγιος καὶ πάνυ λόγιμος, κατὰ τότε Πλούταρχος ὁ Χαιρωνεὺς πολλὰ γέγραφε. καὶ ὁ Κλημάτιος ὃς Ἀκεσίλεως ἦν γίγνεται. ἔοικε δὲ ἀπὸ τότε παρῆχθαι κολώτης, ἐπώνυμον τοῦ οἰκείου Ἀγγέλου τοῦ κολωτίου. ὃς εἰς ὢν τῶν τὰ ἀπόρρητα τοῦ μεγάλου ἀρχιερέως ἐπισκεμμένων, παλατίῳ ἔθη τὴν σύμφωνον ἡμέραν ἐν τῇ βασιλίδι τῶν πόλεων ἦν. ὡς εἰσί, φιλοξενία, φιλανθρωπία τε καὶ ἰσαδελφότητι, καὶ ἐκ παντὸς τῶν ἀρετῶν τὸ ἀνθος ἀποφάνων, ἀσυγκρίτως πρέπει γίγνεσθαι. οὗτος δὲ ὁ Ἄγγελος κολώτιος ἐν τῇ ἁγίᾳ πόλει τῆς Ἰταλίας ὑπὸ τῶν παλαιῶν, οἱ πρῶτοι τὰ γράμματα ἐν Ἰταλίᾳ ἐδίδαξαν, αἰδεσθείς, παλαιά τε καὶ ὑπογεγραμμένα οἷον γεγονὸς, ἐμοὶ παλαιὸν φίλτατος ὢν, τὰ ἑλληνικὰ ὅθεν εἰς γνῶσιν τῶν παλαιῶν καὶ πιστῶν καὶ περιφανῶν ἐπισυνῆκε. τὰ δὲ λατινικὰ κατὰ πολύ, καὶ εἰς ἄκρον παιδευθεὶς, εἰς εὐθύνησιν παντων ἀεὶ προθυμος, τὸν ἑαυτοῦ οἶκον πᾶσι τοῖς σπουδαίοις προσλογίζομαι παρέχων.

Κολωῶν, πέτρα ἔχων, τιλός. Κομᾷ, γαυριᾷ, μεγαφρονεῖ, σεμνύνεται, χλιδοφορεῖ, τριχῶν περιβολῇ κοσμεῖται, ἢ περιουσίᾳ χρημάτων μεγαλαυχεῖ. μὴ φρονεῖν ὑπὲρ κομῶσιν, ἀντὶ τοῦ τρυφῶσι, πλουτοῦσι. τὸ γὰρ κομᾶν ἔλεγον ἐπὶ τοῦ τρυφᾶν, καὶ γαυροῦσθαι, καὶ μέγα φρονεῖν. ἄλλως τε καὶ τὸ ταῖς θριξὶ κομᾶν. Κομᾷ ἀνὴρ, ἢ γυνὴ, ἀντὶ τοῦ κόμην τρέφει. κομᾷ ἀγαθοῖς, ἀντὶ τοῦ θάλλει. κομᾷ ἀνὴρ ταῖς θριξί. κομᾷ τὸ λίθον τοῖς κλάδοις. κομᾷ καὶ ὁ πλούσιος ἀπὸ πλούτου. καὶ κομᾷ τόπος, ἤγουν φυτὰ ἔχει. καὶ κομᾷ ἀντὶ τοῦ τρυφᾷ, καὶ ἐπαίρεσθαι. Ἀριστοφάνης, ὁ μέγας δὲ βασιλεὺς οὐχὶ διὰ τοῦτο κομᾷ. Κόμαι, αἱ τρίχες τῆς κεφαλῆς, καὶ χωρίον.

Κομαίθα, ἡ τοιχίου γυνή. Κομαίονται, κειμαίνονται. Κομαίτερ, ἡ λέξις παρὰ Ἰσίνδω ἐν μελείᾳ. Κόμανα, πόλις, ἔνθα ὁ Χρυσόστομος ἐτελεύτησεν. Κομανίαν, πορνίαν, ἀσέλγειαν, ἀσωτίαν. Κομαντοφόρος, ὁ χαρτολατος. Κόμαρος, εἶδος φυτοῦ. Κομᾶς, θρηνεῖς, καὶ τὸ ὀνομάζεσθαι. Κομᾶσαι, παρὰ τῷ Θεοκρίτῳ, ἀντὶ τοῦ ἐλασαντο, ἀνεκτήσαντο. Κομᾶν ἐστι, τὸ ἐπὶ τῷ ἐπιμελεῖσθαι τῶν καλῶς πεπραγμένων, καὶ τρέφειν τὴν κόμην, ἤγουν τὸ πλείονα τοῦ συμμέτρου ἔχειν τὴν κόμην. Κομῶ κομῶ, τῆς δευτέρας συζυγίας, τὸ εὐφραίνομαι, καὶ ἀγάλλομαι. καὶ τὸ τὰς τρίχας τρέφω, μακρὰ κομῶντος, καὶ ἐπιεικῶς τοῦ ο κομώντος. κομῶ δὲ τῆς πρώτης συζυγίας, σημαίνει τὸ ἐπιμελείας ἀξιῶ. ὅθεν καὶ τὸ κομιστὴν δηλοῖ, ἀντὶ τοῦ ἐκόμισε, ἐπιμελείας ἀξίων. σημειοῦσθαι καὶ ὅτι κατὰ τὴν τοῦ Ἡροδότου ἱστορίαν, πρὶν μὲν οἱ Ἀργεῖοι διὰ τὸ νῖκος κατακείρουσι τὰς κεφαλὰς πρότερον κομῶντες. Λακεδαιμόνιοι δὲ οἱ νικήσαντες, ἴσως μὴ κομῶντες πρώην, ἀπὸ τότε κομᾶν. ὡς δὲ καὶ συγγενῶς ἔχει ὁ παρακομᾶν καὶ ἀκερσεκόμης, καὶ ὁ ἀνθρώπους, αἱ χήρας δηλοῦσιν. Κομαροφάγα, κόμαρον ἐσθίοντα. Κομβακεύεται, κόμπους λέγει. Κόμβαλα, πήγματα ἐστιν. Κόμβη, κορώνης μέτρον. Κομβῶν, τὸ σῶμα ἀραιῶσαι. Κομβῶσαι, ἀναλαβεῖν. Κόμβωσαι, καιρὸν ἦχον ἀποτελέσαι.

Κομβολύτης, ὁ λαμπτῆρος. Κομβίζων, φυσῶν.

Κόμβος, κόρυμβος, τὸ ἔκπωμα. Κόμβος, ὁ κόμβος τῶν δύο χαλινῶν, ὅταν τις δῆσῃ ἐπὶ τῶν ἴσων τραχήλων.

Κόμβους, ἀλεστὰς γομφίους. Κομβώματα, τὰ καλλωπίσματα. Κόμβωμα, κόσμημα, σπείραμα. Κομβώματα, τὰ ἐν τοῖς βιβλίοις μικρὸν τόρνον ἔχοντα, ὑπὸ παλαιῶν.

Κομβοῦσθαι, καλλίζεσθαι. Κομεῖν, κομεῖν, ἐπιμελεῖσθαι, θεραπεύειν. ὅθεν καὶ κόμη, καὶ ἐπίκομος. Κομείτην, ἀντὶ τοῦ ἐπιμελείας ἀξίων, ἀπὸ τοῦ κομῶ, ὃ σημαίνει τὸ θεραπεύω, καὶ ἐπιμελοῦμαι. ὁ παρατατικὸς ἐκόμεον, τὸ τρίτον τῶν δυϊκῶν ἐκομείτην ἐκομείτην, καὶ ἐκομεῖτην. Κομέοντες, ἤγουν ἐπιμελείας ἀξιοῦν. Ὅμηρος ἐν τῇ ὀδυσσείᾳ, ἐπεὶ τὸν γηροκομεῖν ἐστὶ τὸ κομίσαιμι κατὰ γῆρας, ἤγουν κομεῖν τοὺς γέροντας. Κομέουσι παρ' Ὁμήρῳ, καὶ ὅλως κομεῖν, καὶ ὅτι κομίζειν λέγεσθαι δηλοῖ. ὅθεν κομιδὴ, ἡ ἐπιμέλεια.

Κόμη, σημαίνει τὰς παρακομώντας ἐλλείψεις. ὥσπερ δὲ τῷ Ἀλεξάνδρου ἐπανθεῖ. κομᾶν γὰρ οὐ φιλοτιμίαν, ἀλλὰ ἐξ ἀνάγκης ἐπαφρόδιτον. ὅτι μὴ δὲ λίαν χαίτην τρέφων, πρὸς μέσον καλλος εἰθίζεσθαι, ἀλλὰ καὶ δι' αὐτοὺς ἐπαίξει τὸ φοβεῖν. πόλεμον ἔχειν δὲ, καὶ εὔκομον εἶναι, γυναικικὰ τρέφειν ἐστί. διὸ καὶ παῖδας ὠνομάσθαι, ὡς κόμην ἔχων. Κόμη λέγεται, τὰ φύλλα λέγεσθαι. καὶ οἱ κλάδοι κλαδίσκοι, διὰ τὸ ὡς κόσμον ἀποκομίζεσθαι. καὶ αὐτὰ τοῖς φυτοῖς ὁμοίως τε κυρίως κομᾶ. οἱ δὲ τραγικοί, καὶ φόβον αὐτὴν εἶπον. οἷον πᾶσαν αἰνίξων φόβον ἦλθες πεπληγμένος. Κόμην, τὴν περιβολὴν τὰς λαμπάδας λέγει. καὶ τὴν ἐντριχίαν. Κόμη, ἡ θρὶξ, παρὰ τὸ κόσμον εἶναι τοῦ σώματος. οἱ δὲ παρὰ τὸ κομᾶν, καὶ ἐπιμελείας ἀξιοῦσθαι.

Κόμης, ἄρχων, ἡγεμών. Κομητὰ, αὐχενικά. Κομήτης, Ἀριστοφάνης πλήθη, μαθὼν ταύτην γε κομήσας, ἀντὶ τοῦ περιφανής. Κομητικὰ πλοῖα, τὰ πρώτης ἐν τῷ πρώτῃ φυλακῇ τῶν τριήρων. ἔοικε καλεῖσθαι κομητικὰ πλοῖα, ἐν οἷς ἐκόμιζον οἱ τύραννοι τὰ ληφθέντα λάφυρα, ὡς ὁ αὐτὸς ῥήτωρ ὑποσημαίνει ἐν λόγῳ. Κομητωνία, συντίθησι παρὰ τὸ κομᾶν, διὰ τὸ φρονεῖν μέγα. ἐπειδὴ ὅτε δηλοῖ Ἀριστοφάνης τὸ Λακωνίζειν, παρὰ τὸ μέγα φρονεῖν οἱ Λάκωνες εἰς ἀνδρείαν. καὶ παρὰ τὸ ἀμαίον, Λυσίμαχος ὡς μισόδημος. ἀμφότερα γὰρ τὰ τῆς συνθέσεως ὡς οὐδὲν τέλειον, ἢ ὡς ἐναντίον ὄντα τῆς πόλεως καὶ τύραννον.

φρας πεπλασμένων, ἢ ἐμβάλλουσα. Κολλυρίων, ὄρνις ποιός.

Κολλύχνιον, κηρίον λέπισμα. Κολλῶ, ἐκ τοῦ κόλλα. τοῦτο ἀπὸ τοῦ ἕλω τὸ κρατῶ. ἡ κόλλα, καὶ ἡ τὰ διῃρημένα συγκρατοῦσα. Κολοβάθρα, τὰ κολλόβαθρα. Κολοβὸς, ὁ παλαιὸς καὶ ὁ μικρὸς καὶ ὁ ὀλίγος. ἢ ἐκτετμημένος, καὶ νόμος τις κιθαρῳδικός. Κολοβρὸς, ὁ μικρὸς χοῖρος. Κολοβότης, ὀλιγότης, σμικρότης. Κολοβὸν, ἐλλιπές. Κολοί, τινὲς κακοί. Κολοιβάζειν, ἀτάκτως ἐσθίειν. Κολοίδιον, παραξιφίδιον.

Κολοίδερον, ξύλον μαχαίρας ποιούντων ἐπεσφηνωμένον.

Κολοία, φωνή. Κολοιοί, σκῶπες, μικραὶ κορῶναι.

Κολοιὸς, παρὰ τὸ κλῶ ῥῆμα τὸ φωνῶ γίνεται κλὸς, καὶ κατὰ πλεονασμὸν τοῦ οι γίνεται κολοιός. κορακικὸν δὲ τὸ ζῶον. Κολοιόπτερα ἢ κολεόπτερα ζῶα, ὁ κάνθαρος καὶ ἡ μηλολόνθη, καὶ εἴ τι ἄλλο. Κολοιὸς ποτὶ κολοιὸν ἱζάνει. φιλάλληλον γὰρ τὸ ζῶον καὶ συναγελαστικόν. ἐπιλέγεται δὲ ἐπὶ τῶν τοῖς ὁμοίοις προσομιλούντων. Κολοιοὺς, ὀνόματα ὀρνέων μικρῶν λέγομεν.

Κολοίπημα(?), ἄπλυτον κάθαρμα. Κολοιτία(?), δένδρον τι.

Κολοίφρυξ, ταναγραῖος ἀλεκτρυὼν, καὶ ὄρος Βοιωτίας.

Κολοκάσια(?), λιμνώδη(?), ἢ αἰγύπτια. Κολοίτιον, ξυρόν. Κολοιφῶν(?), ἀπὸ τοῦ κολοιοῦ. ἀλεκτρυὼν μεγάλην φωνήν.

Κολόκυμα, τὸ κολὸν κῦμα, ὅπερ τυφλὸν, διὰ τὸ μὴ καχλάζειν λέγομεν. ἢ τὸ κοῖλον καὶ ἐπιφέρον ὑψηλὸν κῦμα καὶ μέγα ὀξέως κορυφοῦσθαι κωλυόμενον. ἄλλως ὅπερ ἐστὶ κωφὸν καλοῦσι, ὃ μὴ ἐπηχοῦν, μὴ δὲ καχλάζον. Κολοκύνας, τὰς σκαβίδας(?) ἐστίν. Κολὸν δεῖν, τὸ κολοβόν. ὅθεν καὶ παρὰ τοῖς Ἴωσι καλοῦνται οἱ κολοβοκέρατοι κριοί. καὶ αὐτὸ δὲ τὸ κολοβὸς, ἐπὶ κόλου βοὸς κυριολεκτεῖται. ἐξ οὗ καὶ σύγκειται κεκολουσμένος ὢν καὶ αὐτὸς τὰ κέρατα. Κόλον, κενὸν, μάταιον. Κόλον, τὸ μὴ τέλειον, ἀλλὰ κολοβόν. Κολοσὸς, ὁ θόρυβος. ἡ μεταφορὰ ἀπὸ τοῦ κολοιοῦ, ὅ ἐστι θορυβῶδες καὶ κραυγαστικὸν ὄρνεον.

Κόλος, λέγεται ὁ τράγος ὁ μὴ ἔχων κέρατα. Κόλος, κολοβὸς, ἡ μάχη ἄκρως. θόρυβος πολύς, πυρὸς, κολοβός.

Κολοσσὸς, ὁ ἀνδριάς. καὶ κολοσσὸς, ἄγαλμα. Κολοσσὸς, σημαίνει καὶ τὸ εἴδωλον. Κολοσσία, ἀνδριάντος σκιά, καὶ τὸ εἰς ὕψος ἀνάστημα. Κολοσταθμὸς, ἔπαυλις κατάβατον ἔχουσα τὴν χηλώνα(?). Κολοσυρτὸς, κυρίως οὖν καὶ παρὰ τοῖς κωμικοῖς χύσις, κτύπος. ὁ ἀπὸ κάλων, ἤγουν ξύλων συρομένων ἐν ὄρει. ἕτεροι δὲ τὴν ἐκ φρυγάνων συρομένων αἰρομένην κόνιν οὕτω καλοῦσι. κόλα γάρ φασι τὰ φρύγανα. καὶ ἄλλως. κολοσυρτὸς, ὁ μετὰ κολῳοῦ, ὅ ἐστι θορύβου ἐπισυρμὸς, ἤγουν κυρίως, ὡς καὶ προείρηται ἐν ὄρει κάλων, ὅ ἐστι ξύλων ἑλκυσμός. καὶ ὁ ἐξ αὐτῶν θόρυβος, ἢ κτύπος γινόμενος. ἐν τοῖς κόλα σύρεσθαι ξύλα. ἤγουν κολοβωθέντα, ὡς εἰκὸς τομαῖς, καὶ πελεκήμασι. τινὲς δὲ τὸν μέγαν θόρυβον οὕτω ποιοῦσι. κόλον γὰρ παρ' αὐτοῖς τὸ μέγα. ἐξ οὗ καὶ κολόκυμα, τὸ μέγα κῦμα. καὶ ὁ μεγάλην δὲ φωνὴν ἀφιεὶς ἔχων, κολοιὸς καλεῖται. ἀφ' οὗ ῥῆμα κολῳᾶν καλεῖται. ἰστέον δὲ, ὅτι τὸ κόλον οὐ μόνον ἐπὶ μεγάλου τινὸς λαμβάνεται, ἀλλὰ καὶ τὸ κολοβὸν δηλοῖ, καὶ μὴ ἔχον ὁλότητα. ὅθεν καὶ κόλος βοῦς. καὶ ἵνα τις εἴπῃ τὸ αὐτὸ συνθέτως, ὁ κολοβός. καὶ κόλον δόρυ, οὗ ἀποτέτμηται καὶ ἡ αἰχμὴ καὶ ὁ σαυλός(?). καὶ κολόκυμα κατ' ἑτέρους, τὸ κωφὸν κῦμα, ὃ ἐκολούσθη, ὡς ἔτι μόνον δίχα κινούμενον. καὶ κολώνη καὶ κολώνεια καὶ κολωνὸς δὲ, τὰ λεγόμενα μὲν εἰς ἔξω, μὴ ἀκριβῶς δὲ ἀπηρτισμένα, ἀλλ' ἔχοντά τι καὶ πλάτους ἐν τῇ κορυφῇ.

Κολοσυρτοί, θορυβοῖ τὰ θράση(?). Κολούει, Ὅμηρος ἐν τῷ ν τῆς Ἰλιάδος, μιαρὸν(?) κολούει, ἀντὶ τοῦ κολοβοῖ, καὶ ἀτελὲς ποιεῖ. δῆλον δὲ ὡς ἀντίκειται ἁπλῶς(?), τὸ τελεῖν ὅ ἐστι τελειοῦν, καὶ τὸ κολούειν. Κολοιᾶν, θορυβεῖν. Κολούει, μειοῖ, ἐλαττοῖ. Ὁρῶν τοὺς παῖδας ἐκδιαιτωμένους, τοὺς δὲ στρατιώτας πολλὰ κακὰ δρῶντας, ἀνθ' ὧν, τοὺς μὲν ἐπιρρώσειν, τοὺς δὲ κολούσειν. Κολούσιας(?), ἐμποδίζεται. ὡς ὁ καὶ παραβάλοι τὴν πατρίδα σώζειν ἄλλα [illegible] πολλά, καὶ ὑπὲρ τῶν δήμων κολούειν. ἀντὶ τοῦ ἐκριζοῦν.

Κόλουρα, τὰ μὴ ἔχοντα κέρκον, ἢ τὰ κολοβὰ ἔχοντα οὐρὰν, ἅπερ ἐν ταῖς ἱερουργίαις οὐ θύεται. καθ' ὅτι γὰρ εἰ μὴ ἦν τέλειον καὶ ὑγιὲς, οὐκ ἐτίθετο τοῖς θεοῖς. Κολουραία, πέτρα κοίλη κεκαμμένη, ἢ στρογγύλη, παρὰ Καλλιμάχῳ. Κολουρὶς, κολοβή, μουτάτη(?). Κολουρίᾳ, τῇ ἀποτομίᾳ. Κολούρια, τὰ κολοβὰς ἔχοντα οὐράς. τοῦτο δὲ καὶ ἐπὶ ἄρτων, καὶ ἐπὶ ἰατρικῶν φαρμάκων λέγεται. Κολουρῖτις, γῆ σκληρά(?). Κόλουρον, κολοβὸν μάστιγα(?). Κολοῦν, κώδιον, κάνεον(?). Κολουμβᾶν, θορυβεῖ. Κολοῦσθαι, κολοβεύεσθαι.

Κολούσματα, κλάσματα. Κολούσας, ἀτελῆ καὶ ἀνήνυτα ποιήσας. ἐκ τοῦ κολούω καὶ κολοῖ κέρας. καὶ κόλος βοῦς, ὁ κεκολουσμένος τὰ κέρατα. ἐξ οὗ συντίθεται ὁ κόλουρος, καὶ κύκλοι ἀρκτικώτεροι μαθηματικοὶ κατ' οὐρανὸν καλούμενοι κόλουροι. καὶ φημὶ δὲ ἄκουε(?), οἷον τῇ ἐλαττοσύνῃ(?). Κολούων, μειῶν, ἐλαττῶν. Κολοφῶνα, τὸ μέγα καὶ ὑψηλὸν ἀκρωτήριον. λαμβάνεται δὲ ἐπὶ μεγάλων κακῶν. Κολοφῶνα, ἀπολήματα(?) ᾠδὰ(?), καὶ μεταλλικὸν(?).

Κολοχύνη(?), εἶδός τι παρόμοιον πίσσῃ(?). Κολοφώνιοι, τῇ δοτικῇ ἀντὶ γενικῆς χρῶνται. οἷον τῷ κεφαλῷ τῷ ἀνθρώπῳ, ἀντὶ τοῦ ἀνθρώπου. καὶ Ὅμηρος, οἱ χαρὰ πρύμνης, ἀντὶ τοῦ παρὰ τὴν πρύμνην τῆς νεώς. καὶ αἴαντι δὲ δαΐφρονι θυμὸν ὄρινεν, ἀλλ' οὐκ Ἀτρείδῃ Ἀγαμέμνονι ἥνδανε θυμῷ, ἀντὶ τοῦ αἴαντος καὶ Ἀτρείδου. Κολούω, τὸ βλάπτω. Κολόχειρ(?), χείραργος. Κόλπος ἐστὶ θεοῦ, ὁ τῶν ἀγαθῶν θησαυρός. χεὶρ δὲ, ἡ ἐνέργεια. ἵνα τί ἀποστρέφεις τὴν χεῖρά σου ἐκ μέσου τοῦ κόλπου σου. Κόλπος, κατὰ τοὺς παλαιοὺς ἐν Ἰλιάδι ἐν τῷ ζ, ἀγκάλη. σημαίνει δέ ποτε καὶ ὁ ἄνω τοῦ πέπλου. ὡς δηλοῖ καὶ Ἡρόδοτος εἰπὼν, ἐνδὺς κιθῶνα μέγαν, καὶ κόλπον πολὺν καταλιπόμενος τοῦ κιθῶνος. λέγεται δὲ ἐξ ὁμοιότητος ὁ κόλπος ἀπὸ θαλασσίου κόλπου, ὅς ἐστι θάλασσα διὰ ἀκρωτηρίων.

Κόλπος, κατὰ τοὺς παλαιοὺς κυρίως θάλασσα ὑπὸ ἀκρωτηρίων περιεχομένη. Κόλπεσθαι, ἱκετεῦσαι. Κόλυβα, σῖτος ἑφθός. Κολλυβιστὴς, τραπεζίτης. Κόλυθρον, εἶδος συκῆς. Κόλυβος, ἔπαυλις. Κολυμβήσαντες(?), ἐπιπλεύσαντες(?). Κολυβάδες ἐλαῖαι οὐ λέγονται, ἀλλ' ἁλμάδες.

Κολυμβᾶν, οἱ Δωριεῖς κολυφᾶν λέγουσιν. ἐκ τοῦ κόλος ὅ ἐστι κολοβοὺς φαίνεσθαι, τοὺς ἐν ὕδατι, καὶ μὴ ὁλοτελεῖς.

Κολυμβήθρα, ὁ κολυμβὸς. κ. λιμὴν δὲ, ὁ τοῦ λουτροῦ.

Κόλυμβος, ἀργυραμοιβὸς, ἀργυροπώλης(?). ὀνόματα καταλλάκτου. λέγεται δὲ καὶ κολυμβιστὴς, καὶ καταλλακτὴς ἀντάλλαγμα. Κόλυμβον, εἶδος νομίσματος. Κολυμβητὰς, τοὺς ἐκ τῶν φρεάτων ἀναπιμπλῶντας τοὺς κάδους.

Κολυμβὶς, ὄρνις ποιός. Κόλυμβοι, αἱ κολυμβάδες τὰ ὄρνια, ἢ ζωΰφια ἐν κολυμβήθραις. Κολυμφατος(?), φλοιός, λεπίδιον. Κολύοντο(?), ἐφοίτοντο(?). Κολυρίζοντο, ἐκπορεύοντο(?). Κολπίσος(?), ὄνομα δήμου. Κολύφαιον, φλοιὸς λεπύριον. Κολυφρῶν(?), ἐλαφρόν. Κόλχοι, λέγονται σκύθαι, ὡσιανοί(?), καὶ ἀνδρώνυμοι(?). κεῖσθαι δὲ ἐν τοῖς μέρεσι τῆς ἀσίας περὶ φᾶσιν ποταμόν. Κολχικὸν, ἐλλειπτικόν(?). Κολῶ, κολάσω. Κολῶναι, αἱ πόλεις τρωάδος. Κολωμένης, κολάσαντες(?). Κολώνη, ὡς κύριον ὄνομα λαμβάνεται παρ' Ὁμήρῳ. διὸ καὶ βαρύνεται ὡς, τὸ καλλικολώνη. μᾶλλον δὲ ὡς κορώνη, μηκώνη, μακώνη. οἱ δὲ ἐν παρωνύμου ἐκ τοῦ κολωνὸς, ὡς κοινὸν, ὀξύνεσθαι. ἡ δὲ κολώνη, καὶ λίθος ἂν λέγοιτο καὶ βουνὸς δὲ, ὥσπερ Ἡρόδοτος μὲν λιθῶν λίθον εἶναι φασιν. ἄλλος δὲ

κηρύττεται βοᾶν, Ἀριστοφάνης. Κοκκῦ ἀττικῶς, ἀντὶ τοῦ ταχύ. Κόκκωνες, οἱ κόκκοι τῆς ῥοιᾶς, καὶ ἀθερίζας. Κοκρύδαλοι, κυλλοί. Κοκρύλων, λῃστῶν, κλεπτῶν. Κοκυτὸς, ποταμὸς ἐν ᾅδῃ μυθικῶς. Κολαβίζειν ἐστὶν, ὅταν ὁ μὲν πλατύνας ταῖς χερσὶ τὰς ὄψεις ἐπιλάβῃ τὰς ἑαυτοῦ, ὁ δὲ παίσας ἐπερωτᾷ, πότερον τέτυπται. Κόλαβοι, οἱ μικροὶ ἄρτοι, παρὰ τὸ ἐκ τῶν μεγάλων κολαβοῦσθαι. κόλλαβοι καὶ οἱ πασσαλίσκοι τοῦ ψαλτηρίου, ἢ τῆς κιθάρας. Κολαβρίζων, σκιρτῶν.

Κολαβρισομένη, κώδεις ἀνομένη. Κόλαβρον, τὸ κυλίδιον. Κολαβωθεῖσαν, περιῤῥαγεῖσαν, χλευασθεῖσαν, ἐκλοχθεῖσαν, εὐτελεῖς νομισθεῖσαν, ἐν τῷ Ἰὼβ ἡ λέξις αὕτη.

Κολάζειν, πηραίνειν, ἐγκαλεῖσθαι. Κολάζω, ἀμύνομαι, εὐθύνω, τίνω, τιμωροῦμαι. Κολάζω, τὸ τιμωροῦμαι, αἰτιατικῇ. Ἀριστοφάνης, οὐ κολάζειν ἔξεστί μοι τοὺς οἰκέτας. Κολάζω, καὶ τὸ παιδεύω. ἀφ' οὗ κεκολασμένον ἦθος, τὸ πεπαιδευμένον. καὶ ἀκόλαστον, τὸ ἀπαίδευτον. Κολᾷ τὸν ἄνδρα: Ἀριστοφάνης, κολούσας καὶ παύσας καὶ ταπεινώσας. ἀπὸ δὲ τῶν κόλων, ἤγουν τῶν ἐντέρων τὴν λέξιν ἐποίησεν. ἴσως δὲ ἀπὸ τοῦ τύπτειν. Κολακεία ἐστὶν, ὁμιλία πρὸς ἡδονὴν ἄνευ τοῦ βελτίστου. ἢ ἕξις ὁμιλητικὴ πρὸς ἡδονὴν, ὑπερβάλλουσα τὸ μέτριον, ἢ ἔπαινος ὑπὲρ τὸ πρέπον, καὶ ἀπάτη. Κολακεύω, λέγεται τὸ ἀπατῶ. καὶ κόλαξ, ὁ ἀπατεών. Κολαστήρια, καὶ βασανιστήρια, ὄργανα δι' ὧν κολάζουσί τινας. καὶ ἀπὸ τούτων αἱ κολάσεις. Κολακοφορακλείδας, Ἡρακλείδας, ὃν ἐπὶ κολακείᾳ κωμῳδοῦσιν. Ἕρμιππος μὲν, ἐν Κέρκωψι. Φρύνιχος δὲ, ἐν Κωμασταῖς. ὁ δὲ Ἀσκληπιάδας, Κλεώνυμον εἶναι ὑπέλαβεν, οὐ δὲ τὸ τέλεον τοῦ ὀνόματος ἐπισκώπτων. Κολακρέται, οἱ τῶν ἀργυρίων ταμίαι, οἱ τὸ [illegible]. Κολακώνυμος, ὁ Κλεώνυμος. λέγεται δὲ Κολακώνυμος, ὅτι κόλαξ ἦν. Κολαινὶς παρὰ τῷ Ἀριστοφάνει. παρὰ τὴν τῆς φωνῆς ὁμοιότητα ἀρτέμιδι ἐπώνυμον ἡ Κολαινίς. Μεναγένης δὲ ἐν ὄρνισιν, ἡ Κολαινὶς Ἄρτεμις. ἱδρῦσθαι γὰρ ὑπὸ τύχης τοῦ Κολαινίδος. φησὶ δὲ Ἑλλάνικος, Κόλαινον Ἑρμοῦ ἀπόγονον ἐκ μαντείας ἱερὸν αὐτῆς ἱδρύσασθαι Κολαινίδος. καὶ Φανόδημος ἐν τῇ ἕκτῃ. Εὐφρόνιος δέ φησιν, ὅτι ἐν Ἀμαρύνθῳ ἡ Κολαινίς, διὰ τὸ τὴν ἀγομένην θύεσθαι αὐτῇ ἐκ τοῦ κυροῦ κόλον. Μυρρινούσιοι δὲ Κολαινίδα ἐπονομάζουσι τὴν Ἄρτεμιν. Φιλιάτης δὲ τὴν φαρυγγάν. Κόλαξ, ὁ ἐπαινῶν ὑπὲρ τὸ πρέπον, ὁ ὡς φίλος ὑπερχόμενός τινα, ὁ ταπεινῶς θεραπεύων τινά. παρὰ τὸ κόλον παράγωγον, κόλαξ. κόλον δὲ τὸ ταπεινὸν καὶ μὴ ὁλόκληρον. τινὲς δέ φασι παρὰ τὸ κολλᾶσθαι, ἐξ οὗ καὶ δύσκολος ὁ δυσχερῶς τινι κολλώμενος. κόλαξ, καὶ ὁ παράσιτος. κόλαξ, καὶ ὁ ἀπατεών. κόλαξ, καὶ ὁ βωμολόχος. Κολάπτω, κλύθει πρὸς τῷ γόνατι, ἢ γλύφει. Κόλασίς ἐστι ψυχῆς θεραπεία ἐπὶ ἁμαρτήμασι γινομένη. Κολασσία, ἀνδρείκελος σκιὰ, καὶ τὸ εἰς ὕψος ἀνάστημα. Κολάπτω, κόλαμμα. Κολαφίζειν, πυγμῇ παίειν, παρὰ τὸ κολούειν τὸ φῶς, ἢ τὸ τυφλοκαπίζειν. Κολαφίζω, καὶ κόλαφος. κόλαφος δὲ πληγὴ ἡ διδομένη διὰ τῶν μέσων δακτύλων. Κολαφιζόμενος, ῥαπιζόμενος. Κόλαφος, κόνδυλος. παρὰ δὲ Ἐπιχάρμῳ ἐν Ἀγρωστίνῳ, καὶ παιδοτρίβας ὄνομα. Κόλια, ποιά τις ὄρχησις. Κολιάζοντες, ὠθοῦντες. Κολιασμὸς, μετεωρισμός. Κολισμὸς, τὸ περαίνεσθαι. πεποίηται δὲ ἀπὸ τοῦ κόλου, καὶ ἀπὸ τοῦ καθίεσθαι εἰς τὸ κόλον. τοῦτο δὲ κολιάζειν ἔλεγον. Κολίδιχος, κακέμφατον ὄνομα. Κολεῖν, ἐλθεῖν. Κολικάσιοι, τὸν ἐπὶ μάκρους τὸν λεπτὸν ἐκάλουν. Στράττις δὲ ἐν τῷ Φορμισῷ δράματι, τοὺς τίς οὐκ ἄξει, τίς ἔσω τὴν ἀπιοῦσαν μητέρα τῶν διδύμων κολικὰν λέγων. Κολυτάσιος, ἀργυραμοιβός. ἦν ὁ κέρμα ἀντὶ ἀργύρου ἀμειβόμενος, τραπεζίτης, ὁ ἀργυροπράτης κολυτάσιος.

Κολεὸν, οὐδετέρως εὕρηται, ὁ κοινότερον, κουλεὸν λέγεται μετὰ τοῦ υ. Κολεόπτερον, εἶδος ζωυφίου πτηνοῦ, παρὰ τὸ ὡς ἐν κολεῷ τὰ πτερὰ συνέχειν ὑπὸ ἐλύτρῳ. Κολεμίς, ἄρτεμις, ἀπὸ κολίμου τοὔνομα λαβοῦσα. Κολεὸς, καὶ κουλεὸς, ἡ ξιφοθήκη, παρὰ τὸ κοιλαίνεσθαι, ἢ παρὰ τὸ τὰ κοῖλα, ὑπὸ τὰ τόξα καὶ τὰ βέλη. κουλεὸς δὲ τὸ μέγα ἱστίον. Κολεὸς, ἡ θήκη τοῦ ξίφους, καὶ λάρναξ, καὶ ὑφή. Κολερὰ, νέα, μικρά. ἔνιοι δὲ πρόβατα τραχέα. Κολετρῶσιν. Ἀριστοφάνης, κατὰ τοῦ κόλου τύπτωσιν, ἢ καταπατῶσιν, ἀπὸ τῆς ἐλαίας παιόντων, ἢ τὸ ἐπάλλεσθαι τῇ κοιλίᾳ καὶ τύπτειν εἰς τὴν γαστέρα. κόλον γὰρ τὸ παχὺ ἔντερον. Κολυβάζει, ἐσθίει, καταπίνει. Κολία, ὀρχήσεως εἶδος, καὶ ἐπικύλλια, καὶ μέτρον τι, καὶ τὸ ἡμικάδιον, καὶ τὰ ἐκ μέλιτος τρωγάλια. Κολιᾶν, ἐρίζειν, ἀγωνιᾶν. Κολιάσαι, ὀρχήσασθαι. Κολιὰ, ἐπιθαλασσία ἄκρα τῆς Ἀττικῆς.

Κολλάβους, λέγει Ἀριστοφάνης, τοὺς ἄρτους τοὺς ἐοικότας τῇ πλάσει τοῖς κολλάβοις τῆς κιθάρας. οἱ δὲ εἶδος πλακοῦντος τετραγώνου, ἢ ἄρτου μικροῦ παρὰ τὸ ἐκ μεγάλων κολλαβίζεσθαι. ἄλλως, ἄρτοι νέοι ἐκ νεωτέρων, καὶ οἱ λάχανοι ἀπὸ σικυωνίων λέγονται. καὶ ὁ παρὰ τὸ ὀργάνου. ἄλλως, εἶδος ἄρτων εἰσὶ μικροὶ, ἀρτίσκοι, ἐκ τῶν μεγάλων ἐκκολλαβισμένοι, οὓς καθάπερ ὄρπης συκάξιον καλεῖν. καὶ ἐν Βατράχοις μέμνηται ἄρτους, [illegible] κολλάβους. χήματος δέ ἐστιν ὄνομα, ὥσπερ κολλύραν λέγουσιν οἱ ἄλλοι. οὐδὲ κόλλαβον εἶδος εὐτελοῦς νομίσματος, ἀντὶ τοῦ οὐδὲ ὀβολοῦ. Κόλλα, τοῦ βοὸς τὸ παλαιὸν δέρμα, ἐξ οὗ τὸ κολλᾶν. Κόλλα, περιτμήματα δερμάτων, ἀφ' ὧν ἕψεται ἡ κόλλα τοῦ βοός. Κόλλησις, διχῶς κατὰ ἁρμονίαν, καὶ κατὰ πρόσφυσιν, ὡς ἐπὶ ξύλων καὶ μετάλλων. Κολλητὰς σανίδας, τὰς ἀμηχάνους κλεισίας λέγει Ὅμηρος. Κολλήεντα, κακῶς κεκολλημένα, ἢ τὰ ἐκ συμβλημάτων ἡρμοσμένα. Κολλίδια, γένος ἐπαγγελιῶν. Κολλικὸς, εἶδός ἐστιν ἄρτου, ἢ ἔντερα.

Κόλλικας, τοὺς τραχισμοὺς, ἢ τὰ μικρὰ ἀρτίδια, παρὰ τῷ Ἱπποκράτει. Κολλικοφάγον, τὴν κόρδακα, κόλλικα λέγουσι, καὶ κορδακίσματα. Κόλλιξ ἐστὶν εἶδος ἄρτου περιφεροῦς.

Κόλλοπες λέγονται, οἱ πασσαλίσκοι τῆς κιθάρας, εἰς οὓς ἀποδεσμοῦνται αἱ νευραί, καὶ τείνονται περιφερόμενοι. Κόλλοπες, τὰ τῶν ὑῶν, καὶ βοῶν σκληρὰ δέρματα περὶ τῶν τραχήλων, ἐξ ὧν καὶ τοὺς νῦν λεγομένους κολλάβους ἐποίουν. κόλλαβοι δὲ οἱ μικροὶ, παρὰ τὸ ἐκ τῶν μεγάλων κολοβοῦσθαι. ἔλεγον δὲ καὶ τὸ παλαιὸν δέρμα. Κόλλοπι, κολοβῷ. Κολλοπίζων, καθέλκων. Κολλοπῶσαι, κατακολλῆσαι. Κολλοσίζειν, ἀπὸ τοῦ κολοβόν. κόλλιξ γὰρ ὁ ἄρτος. Κολλούρια, τὰ κόλοβα ἔχοντα τὰς οὐράς. τοῦτο δὲ καὶ ἐπὶ τῶν ἄρτων δύναται λέγεσθαι, καὶ ἐπὶ τῶν ἰατρικῶν φαρμάκων. Κόλλοψ, τοῦ νώτου ἡ φορίνη, καὶ τῆς λοφιᾶς τὸ ἄκρον. Κόλλοψ, ὁ παρὰ τισὶ φορμίσκος κόλλαβος, δι' οὗ τείνονται αἱ χορδαί. καὶ οὕτω φασὶ λεγόμενος, διότι τὸ παλαιὸν ἐκ δερμάτων σκληρῶν ἦν, τῶν περὶ τοὺς τραχήλους τῶν βοῶν. ἔτι δ' ὅτι καὶ τῶν οἰῶν, ἃ καὶ αὐτὰ κόλλοπας ἐκάλουν, διὰ τὸ ἐξ αὐτῶν ἀποβραττομένων κόλλαν γίνεσθαι, ὡς δηλοῖ ὁ Παυσανίας γράφων, ὅτι ἐκολλήκασι, τῇ κόλλῃ συνήρμοσαν, καὶ ἐκόλλησαν. ἀπὸ γὰρ τοῦ παλαιοῦ φασὶ κόλλοπος τῶν βοῶν ἑψομένου γίνεσθαι κόλλαν. ὅθεν ὁ κόλλοψ, ᾧ ἐπιτείνουσι τὰς χορδάς. Κόλλοπες, βοῶν κορμοί, ὅθεν κόλλα γίνεται. ἀνωτέρω δὲ οὕτω, κόλλοψ τὸ τραχήλιον τοῦ ταύρου σὺν τῇ ὑπὸ τὴν φορίνην, ἤγουν ὑπὸ τὸ δέρμα πιμελῇ. ἐξ οὗ οἱ κόλλαβοι τοῖς παλαιοῖς. ἄλλοι δὲ γράφουσιν οὕτω κόλλοψ, ταύρου ὑπαυχένιον δέρμα. ἐξ οὗ οἱ κόλλαβοι. Κόλλυβα, τρωγάλια. Κολλυβιστὴς, ὁ τραπεζίτης. κόλλυβος γὰρ εἶδος νομίσματος, καὶ ὁ ἐν τῷ χαλκῷ κεχαραγμένος βοῦς. Κολλύρα, τὸ ἔλαττον τοῦ ἄρτου. τινὲς δὲ τὴν κολλύραν εἶδος ἄρτου, ὃ τοῖς παιδίοις διδόασι. Κολλύρα, Θεόφραστος ἐπὶ τῶν ἐκ τοῦ

χυλός. Κοιλότερα, βαθύτερα. Κοιλοῦ κρατῆρος, τοῦ μεγάλου. τὰ γὰρ κοῖλα, οὕτως ἐκάλουν. Κοιλώμασι, ταπεινώμασι. Κοιλῶπις, βαθεῖα ἰδέα. Κοιλῶσαι, χαράξαι.

Κοιλώτια, λίθος τι. Κοιμᾶσθαι, μεθύειν, μαίνεσθαι, τρία πάθη ἀναισθησίας, τοῦ μὲν κοιμᾶσθαι ἐναντίον, τὸ ἐγρηγορέναι. τοῦ μεθύειν, τὸ νήφειν. τοῦ δὲ μαίνεσθαι, τὸ σωφρονεῖν. Κοιμάστριος, κοιτών. Κοιματίζω, κατακλιθῆναι, οὐ πάντως ὑπνῶσαι. Κοίμησιν, διὰ τοῦ η γράφειν αἰολικῶς, τρέψει τὸ ι εἰς η, κατὰ τοὺς παλαιούς. Κοιμίζω, κατακλίνει. Κοιμήσαι τὴν λόχον, Νικηφόρῳ χαλλέρῳ. καὶ κοιμίσαι, ἐπὶ θανάτῳ, Σοφοκλῆς. Κοίμησον ὀλβίως, ταύτην παῦσον ἀλύπως. Κοῖμος, ὁ πάντα ἐν αὐτῷ διατεταγμένα ἔχων καὶ κεκοσμημένα.

Κοιμῶμαι, δαρθάνω, εὕδω, καθεύδω, κνώσσω, ὑπνώττω, ὑπνῶ. Κοινοχέρτος, κοινή, δημοσία. Κοινοῖ, περνᾶ, καπηλεύει, μιαίνει. Κοινοβούλους, τοὺς συνέδρους. Κοινοδήμιον, τὸ δημόσιον. Κοινοκαθίστας, συνθηκοφύλακας.

Κοινολογεῖται, διαλέγεται κοινῇ. Κοινολεχής, ὁ κοινὸν λέχος ἐπὶ μοιχείᾳ εὑρισκόμενος. Κοινολογία, ἡ κοινὴ διάλεκτος. κοινὰ δέ, ἀντὶ τοῦ ἀνθρωπίνη, μεγάλα, καὶ θαυμαστά. ἐγὼ δὲ κοινῇ συμφορᾷ πεπληγμένος. Κοινὸν ἐμοὶ καὶ σοί, μετὰ δὲ ἀλλοις συντάσσεται. Κοινόν, βδελυκτόν, ἀκάθαρτον. Κοινὸν γραμματεῖον ἐστιν, εἰς ὃ ἐνέγραφον οἱ εἰσαγόμενοι εἰς τὰς φράτριας, καὶ γεννητάς. τὸ δὲ ληξιαρχικόν, εἰς ὃ ἐνέγραφον οἱ εἰς τοὺς δήμους ἐγγραφόμενοι, ὡς λαγχάνοντες ἤδη τὰ πατρῷα, καὶ ἕκαστος ἐν τῷ περὶ τῆς ἀπολαύσεως κλήρου. Κοινὸν γένος, τὸ τὰς μὲν φύσεις ἔχον τὰς αὐτάς, ὑποτασσόμενον δὲ ἰδίοις ἄρθροις. οἷον ὁ ἄνθρωπος καὶ ἡ ἄνθρωπος, ὁ κύων καὶ ἡ κύων, ὁ ἵππος καὶ ἡ ἵππος. Κοινόν, ἢ τὸ ἐν πολλοῖς θεωρούμενον, ἢ τὸ πολλῶν κατηγορούμενον. κοινόν, καὶ τὸ ἀκάθαρτον, ἢ τὸ μηδὲν ἔχον πλέον τῶν λοιπῶν. Κοινόν, τετραχῶς λέγεται. ἢ τὸ εἰς τὰ μέρη διαιρετόν, ὡς ἡ κληρουχουμένη γῆ, ἢ τὸ ἀδιαίρετον χρήσει κοινῇ λαμβανόμενον, ἢ τὸ ἐν προκαταλήψει ἰδιοποιούμενον. εἰς δὲ τὸ κοινὸν ἀποπεμπόμενον, ὡς ὁ ἐν θεάτρῳ τόπος, ἢ ἐν βαλανείῳ, ἢ τὸ ἀδιαίρετον, εἰς κοινὴν καὶ τὴν αὐτὴν ἔννοιαν προβαλλόμενον, ὡς ἡ φωνὴ τοῦ κήρυκος. κοινὰ δὲ καὶ ἀμφοῖν εἰσιν, ὁ πατήρ, ὁ υἱός, καὶ τὸ ἅγιον πνεῦμα. Κοινός, οἶμαι, ὅτι παρὰ τὸ κίω, τὸ κεῖμαι, κεῖτος, καὶ κοινός, ὁ πᾶσι προκείμενος, ἢ γινόμενος, ἢ παρὰ τὸ γῶ, τὸ χωρῶ, καὶ δέχομαι, γίνεται γοινός. καὶ κοινός, ὁ δεκτικὸς καὶ εὐπρόσδεκτος. Κοινός, κυρίως γὰρ ὁ ἐξ αἵματος μεμολυσμένος. σημαίνει καὶ τὸν μηδὲν πλέον τῶν ἄλλων διαφέροντα, διὰ τὸ εἰς κοινὸν εἶναι τὰ μέρη. σημαίνει καὶ τὸν ἀναμεμιγμένον τοῖς πᾶσιν. ἐξ οὗ καὶ ῥῆμα, κοινῶ κοινώσω. Κοινὸς ἑρμῆς. παροιμία ἐπὶ τῶν κοινῇ τι εὑρισκόντων. Κοινῶ, χωρὶς προθέσεως. Συνέσιος, κοινώσω λόγον τοῖς ἕλλησι. καὶ ἀνακοινῶ μετὰ προθέσεως. Λιβάνιος, ἐμοῦ αὐτὸ τοῦτο ἀνακοινοῦν τῷ δήμῳ. Κοινῶ, τὸ μολύνω καὶ κοινόω. Κοινωνέω, μεταδιδόναι. κοινωνείτω δὲ ὁ κατηχούμενος, ἀντὶ τοῦ λόγου τῷ κατηχοῦντι ἐν πᾶσιν. Κοινωνία, ἡ τῶν θείων μυστηρίων μετάληψις, διὰ τὸ τὴν πρὸς Χριστὸν ἡμῖν χαρίζεσθαι ἕνωσιν, καὶ κοινωνοὺς ἡμᾶς τῆς αὐτοῦ βασιλείας ποιεῖν. καὶ κοινωνία, ἡ ἐλεημοσύνη. Κοινωνικός, τοὺς πράους, προσηνεῖς, ἀτύφους, συγκαταβατικούς, ἀπὸ τοῦ εἰ μεταδότας εἶναι κοινωνίας. Κοινωνῶ σοι τῆς λέξεως, κοινωνῶ σοι τοῦ λόγου, ἀντὶ τοῦ συμμετέχω σοι, καὶ κοινωνῶ σοι ὧν ἔχω, ἀντὶ τοῦ μεταδίδωμι πλείστων, μὴ ἄλλοις κοινωνοῦν τὰ πράγματα ἔχων. καὶ κοινωνῶ ἁπλῶς, τὸ μετέχω, πρὸς γενικὴν μόνον συντασσόμενον. Κοινωνοῦσι ζωῆς, οἱ μεταδιδόντες ἀλλήλοις, καὶ μεταλαμβάνοντες παρ' ἀλλήλων φιλίας, ἢ γνώσεως, ἢ ζωῆς τινος, τῶν παρ' ἑαυτοῖς, ἢ ἑτέρου ζωῆς, ἔξω ἑαυτῶν συμμετέχοντες.

οἷον τραπέζης, ἢ χωρίου, ἢ πλούτου [illegible]. Κοινωνήσει, καὶ [illegible], καὶ πάντα τὰ [illegible] δύναται λαμβάνεσθαι, ἀντὶ προειληλυθότων χρόνων, ὅταν ἔχωσιν ἔκθεσιν τῆς ἐνεστῶσης μελλ[ήσεως]. Κοινῶσαι, προσανακοινοῦν. Κοινωφελής, ὁ πᾶσιν ὠφελῶν. Κοιόλης, ὁ ἱερεύς. Κοῖον, ἐνέχυρον. καὶ κοῖον, ἀντὶ τοῦ ποῖον λέγουσιν αἰολεῖς. Κοῖος, ὁ πατὴρ λητοῦς, παρὰ τὸ κοεῖν, ὅ ἐστι νοεῖν καὶ συνιέναι, ἤγουν ὁ συνετός. Κοιρόφος, ἐγγυητός, [illegible]. Κοιτοκοιβάζαι, κοίμησις, ὄχευσις.

Κοιρανέων, κοιράνους παλαιούς, ὁ τὰ τοῦ κοιράνου ἔργα ἐπιτελῶν, κελεύων βασιλικῶς, ἢ βασιλεύων. Κοιρανέουσι, δηλοῖ τὸ βασιλεύουσι καὶ ἐπικρατεύουσι, ἢ βασιλικὰ δρῶσιν, ὡς ἡ δυνατὸς κοιρανέων διεῖπε στρατόν. καὶ κοίρανος λέγεται ὁ ἡγεμών. γίνεται δὲ κατὰ τοὺς παλαιούς, ἀπὸ τοῦ καιρός, τροπῇ τοῦ α εἰς ο, οἱονεὶ ὁ τοῦ καιροῦ κύριος, ὁ νέος, πλεονασμῷ τοῦ ι. καὶ ἐξ αὐτοῦ πολυκοιρανίη. καὶ κοιρανέειν, τὸ ἡγεμονεύειν, καὶ τὸ βασιλικὰ ἔργα ἐπιτελεῖν, ὡς τὸ κοιρανέων διεῖπε στρατόν. Κοίρανος, δεσπότης. Κοισοί, κορμοί. Κοισύρα, γυνὴ ἀλαζόνος εὐγενὴς καὶ πλουσία, μήτηρ Μεγακλέους, καὶ Λαμάχου ἀλκμαιωνίδου γαμετή. ἢ ὡς ἐπὶ βλακεία διαβεβοημένη. καὶ κοισυροῦται, καὶ κοσμεῖται, ἀπὸ τῆς κοισύρας. Κοισυροῦται, καλλωπίζεται.

Κοίτας γυναικείους, ἐπιθυμίας. Κοιτίς, τὸ σκευρίδιον, καὶ ἀγγεῖον τι. Κοιτάσαι, κατακοιμήσαι. Κοίτη, κίστη, ἐν ᾗ τὰ βρώματα ἔφερον. οἱ δὲ μικραὶ κοιτίδες. Κοίτη, ἡσυχία, τροπή, παρὰ τὸ κίω τὸ κεῖμαι, ὁ παθητικὸς ἐνεστὼς ἐν τοῖς εἰς μι, κεῖμαι κεῖται, καὶ ἐξ αὐτοῦ ὄνομα ῥηματικὸν κοῖτος.

Κοίτις, ἀττικῶς ἡ μικρὰ κίστη. τὴν γὰρ κίστην, κοίτην λέγουσιν. ἔστι δὲ ἐν αἷς κατατιθέμεναι αἱ γυναῖκες ἀποτίθενται τὰ χρήματα. Κοίτου μεδώμεθα, δηλοῖ ὁ κοῖτος μὲν τὴν κοίτην. αὐτὰ δὲ τὴν ἀνάκλισιν, δι' ἧς ὕπνος περιγίνεται. Κοίτη, εὐνή, εἰς τὴν κοίτην ἐγκοιμῶνται. Κοῖτος, ὁ ἐν τῇ κοίτῃ ὕπνος, καὶ θηλυκῶς ἡ κοίτη. Κοιτών, τὸ δωμάτιον. Κοιφόν, κοῖλον. Κοκίζον, ἀφιδρύσον, κατιδρύσον. Κοκκίδας, αἴγειρον. Κοκκόαξ, κορώνη. Κοκκοβάρη, γλαύξ. Κοκκύος, συκῆ. Κοκκοθραύστης, ὄρνις ποιός. Κοκκίνοι, οἱ πυρῆνες τῶν ἐλαιῶν. Κόκκος, ἐξ οὗ τὸ φοινικοῦν βάπτεται, καὶ αὐτὸ τὸ χρῶμα, καὶ τὸ γυναικεῖον μόριον, καὶ ὁ τοῦ σίτου κόκκος.

Κοκκότιον, ὁ δῆμος ὑλώδης ἐπὶ ἀπάσης τῆς [illegible] γῆς. Κόκκον, τὴν τοῦ σίτου κεγχραμίδα, καὶ ἐπίβλημα οἰνίμου. Κοκκοπωλεῖν, κοκκοβαφής. Κοκκοχλύζων, συλλαβίζων. Κόκκυ, ἀττικοὶ τὸ ταχύ. Κοκκύαι, αἱ πρόγονοι, ἀφ' ὧν [illegible] καθαπερεὶ ἀρχαῖοι. Κοκκυβίας, ὄνομα κύριον.

Κόκκυγος, ἐπὶ [illegible] πλείονων εἶναι. καὶ ὀλίγων [illegible]. Κοκκυγίαν, ἄνεμον οἱ προνιόντα. Κοκκύζειν, τὸ φάσκειν, φωνὴν ὄρνιθος. Κόκκυ, ἀντὶ φωνῆς, καὶ τὸ κόκκυ, ὃ ἀντὶ τοῦ ταχέως. ἔστι δὲ μικρῶς παροξυτόνως. Κοκκύζω, τὸ ᾄδω, ἐξ οὗ κόκκυξ, παρ' Ἡσιόδῳ. καὶ ἐπίρρημα κόκκυ, παρὰ τῷ κωμικῷ. καὶ κοκκοβόας, ὄρνις. καὶ ὀρθροκόκκυξ, ἀρτίως ἀλεκτρυών. καὶ ὁ κωμικός, σὺ δὲ κοκκύζων ἀλέκτωρ προσκαλεῖται.

Κοκκύμηλα, εἶδος ὀπωρῶν, τὰ παρ' ἡμῖν λεγόμενα βραβύλα. Κοκκυμηλέα, ὁ καρπός. Κόκκυξ, ὄρνεον δειλόν, ὅμοιον ἱέρακι. ὃ καὶ διὰ δειλίαν οὐ συναυλίζεται τοῖς λοιποῖς ὀρνέοις. ὁ παρὰ ῥωμαίοις κοῦκκος καλεῖται, ἔστι δὲ λάγνος.

Κόκκυξ, τὸ ζῷον, ἢ τὸ ὄρνεον, καὶ ἡ βοτάνη, καὶ ὁ πρόβολος, καὶ τοῦ ὀχοῦ ἔσω τὸ πρὸς τοῖς ἰσχίοις, καὶ λαγώς, καὶ ἡ [illegible]. Κόκκυξ, λαγώς. Κοκκύσδων, ἀντὶ τοῦ κοκκύζων. Θεόκριτος, ὁ δ' ὄρνις ἄλλον ἀλέκτορα κοκκύσδων, νάρκαν ἀναμένει δεδιέναι, ἤγουν ἀγρυπνίας ἀλγεινῆς δεδιέναι. καὶ κοκκύσαι, ἤγουν ᾆσαι ἀλεκτρυόνος βοήσαι. Κοκκύσαι, σύνθημα λύσου. Κοκκύσου, συρίσου, σύνθημα δι' οὗ ἀλεκτρυόνος

ἀλίσκεσθαι. ὅτι δὲ καὶ ἐπὶ θαλασσίου θηρίου κνώδοντος ἐν τῇ ἁλὶ, λέγεται ἡ λέξις. Κνώδαξ, κέντρον, ἄξων, γνώμων, ἔργανον χαλκοῦν καὶ χαλκοῦν. Κνώδαλα, χωρία, θηρία. Κνώδοντι, παρὰ τῷ Λυκόφρονι πελέκει. κυρίως δὲ πᾶν τὸ εἰς ὀξὺ λῆγον, παρὰ τὸ πρὸς τὸ κτείνειν ὀδόντα. Κνώδων, τὸ ξίφος. κνώδαξ δὲ κνώδαλος, τὰ στελέχη τοῦ τόρνου, ἐν οἷς τὸ τορνευόμενον ξύλον ἐμβαλλόμενον στρέφεται. Κνώδων, ὁ ἀκμὴ τοῦ ξίφους καὶ τοῦ δόρατος. Κνώζει, βοᾷ. Κνώμενοι, γαργαλιζόμενοι, ἢ κνηθόμενοι, ἢ θλιβόμενοι. Κνῶος, ἡσυχία πάντων.

Κνῶπες, τὰ θηρία. Νίκανδρος, ἵνα κνωπῶν τραφερῶν βέβρωται ὕλην. κνώπια δὲ καὶ κνώπια, καὶ κνῶπες, τὰ θηρία τὰ ἐν τῷ πέτρᾳ, καὶ τῷ πηλῷ κινούμενα. ἔτι τὰ χερσαῖα, ὥσπερ τὰ θαλάσσια. κνώδαλα, καὶ τὰ χερσαῖα καὶ ἑρπετὰ, ὡς παρὰ τὸ κνώσσειν, καὶ κοιμᾶσθαι ἐν τοῖς ὑδαροῖς καὶ λασίοις τόποις.

Κνωπός, ἀρκτος. ἔνιοι κνωπεύς. Κνώσσειν, τὸ κοιμᾶσθαι, καὶ ὑπνώττειν, παρὰ τὸ κνῶ καὶ ἀργὰ εἶναι τὰ ὦτα εἰς τὸ κοιμᾶσθαι. κνώσσειν, καὶ συγκοπῇ κνώσειν. Κνωσός, πόλις, καὶ ἐμπορία. Κνώσσω, τὸ κοιμῶμαι. Κνωσὸς, πόλις. Κνωσίοις, καθεύδουσι. Κνωσιδάκαλα, τὰ ἑρμηνευτά. Κνὼψ, ὁ τυφλός.

ΤΟ Κ ΜΕΤΑ ΤΟΥ Ο.

Κοᾶ, ἀκούει, πυνθάνεται. Κοαλλαλῶν, λαλοῖ τὴν βασιλείαν. Κοάλεμον, λέγει Ἀριστοφάνης τὸν κλωνοῦντα καὶ πάσχοντα τὰ κακά. ὅτι καὶ αὐτὸς ἔμελλε πάσχειν τὴν κλίσιν. ὁ κοάλεμον, τὴν ἀνοηταίνουσαν οὕτως εἶπεν. ἔγκειται δὲ τῇ λέξει τό, τε ἀλέον καὶ τὸ κοεῖν, ὃ ἐστι νοεῖν. τὴν οὖν ἀνόητα καὶ μάταια κοοῦντα, κοάλεμον εἶπεν. Κοάλεμον κοινὰ ἐκπέπλευ. Ἀριστοφάνης ἱππεῦσι, σημαίνει τὴν μωρὸν, παρὰ τὸ κοῶ ῥῆμα, δηλοῦν τὸ νοῶ. Κοάλεμοι, οἱ ἀνόητα κοοῦντες, καὶ νοοῦντες. Κοάλιοι, βάρβαρον ἔθνος. Κόαλοι, βάρβαροι. Κοὰξ, βάτραχος. Κοὰξ κοὰξ, ἐπίφθεγμα τῶν βατράχων. Ἀριστοφάνης ἐν βατράχοις, βρεκεκεκὲξ κοὰξ κοάξ.

Κόαρον, ἐλάχιστον. Κοάσαι, αἰσθέσθαι. Κοαχλίσκον, ἄρτος. Κόβακτρα, κολακεύματα, πανουργήματα. Κόβαλα, κακοῦργα, καὶ ἀνελεύθερα. Δίδυμος, κατεσωμιλημένα, ἀπατηλικὰ, καὶ κακοβούλους τοὺς κοβάλους λέγει. Κόβαλα, καλοῦσι τὰ πανουργεύματα, σοφίσματα, κλέμματα. καὶ κοβαλεία, ἡ προσποίητος μετὰ ἀπάτης παιδιά. καὶ κόβαλος, ὁ ταύτῃ χρώμενος. ἔοικε δὲ συνώνυμον τῷ βωμολόχῳ. Φιλόχορος Λατίρῳ αἰτίολος. οὐ γὰρ ὡς ἔνιοι λέγουσι, βωμολόχον ἔνα καὶ κόβαλον, νομιστέον τὴν Διόνυσον. Ἀριστείδης δὲ ἐν Λατίρῳ ἱστορίας ζῶον, τὴν ὑπέρ φασι κόβαλον, καὶ μιμητὴν ὄντα, ἀνθρώπους μιμούμενον ἀλίσκεσθαι. Κοβαλεύειν, τὸ μετασπείρειν τὰ ἀργύρια μισθοῦ κατ' ὀλίγον. Κοβαλεύω, λαιθύω, πανουργεύω.

Κόβαλοι, δαίμονές εἰσί τινες, σκληροὶ περὶ τὸν Διόνυσον. Ἀριστοφάνης καὶ ἀνοχοῦ λέγει ἐκ παραλλήλου κοβάλους καὶ πονηρούς. Κοβαλικεύμασι, τὸ κολακεύειν, καὶ πρὸς χάριν δημηγορεῖν. ἐπεὶ καὶ κλέων ἐδόκει παρὰ τοῖς ἀθηναίοις εὐδοκιμεῖν, διὰ τὸ πρὸς ἡδονὴν καὶ χάριν δημηγορεῖν, Ἀριστοφάνης. Κόβαλος, ἀνελεύθερος, πανοῦργος, λαιθύς, ἀπὸ τοῦ κοβίλος, ἢ ὁ κακότεχνος. Κόβαρος, ἄσπρακος. Κόβαρα, γελοῖα. καὶ κόβαρος, γελαστὴς, λοιδορητής. Κοβελίσκον, τρυβλίον. Κόγκαλος, κανοπός, ῥόμβος, στρόβιλος, πτύαν. Κογκυλαθέντων, κογκύλιον ἐκπιεζόντων. Κὸγξ, ὅμπαξ, ἐπιφώνημα τετελεσμένοις, καὶ τῆς δικαστικῆς ψήφου ἦχος, ὡς ὁ τῆς κλεψύδρας. παρὰ δὲ ἀττικοῖς, βλὼψ. Κοχαλίζειν, πεποίηται ἀπὸ τοῦ ἤχου τῶν κόχων. Κόχαι, καὶ χάμαι, καὶ τὸ μέτρον. Κόχλων, τὸ ἐλάχιστον λέγουσι, καὶ κόγχης ἄξιον, τὸ οὐδενὸς ἄξιον. Κόχλου διελεῖν, παροιμία ἐπὶ τοῦ ῥᾳδίως τι ποιοῦντος. Κογχίτας, εἶδος λίθου. Κόγχαι, αἱ ὄχναι. Κόγχον, τὴν χήμην παρὰ τῷ Ἐπιχάρμῳ. Κόγχον διελεῖν, ἴσον ἐποίησεν. Κόγχος, κοχλίον.

Κοχλαζόντων, γυναικῶν, νύμφαι. Κοχύλαι, κοχλίαι. Κοχλίαι, λίθος σκληρὸς, ἔχων ἐν ἑαυτῷ κοχλίους τύπους. Κοχύλια, τὰ ὄστρια. καὶ κοχύλη, ἡ πορφύρα. Κόλαλα, ἰχθὺς ὁ κεστρεύς. Κολαλεύεσθαι, ἔνδον διατρίβειν.

Κολαλεύομαι, ἐνδομυχῶ. Κολαλαζομένη, ἀρθροσομένη, ἀγγαρευομένη. Κολαμαῖον, καμπαλικόν. Κολαμύξ, φρύγει τὰς κριθὰς, καὶ ἔργῳ οἰκοδομεῖ. Κολαμεύειν, τὸ ἐν ἰπνῷ φρύγειν, ἢ ἐν ἀγγείῳ. Κολαμὴ, ὄνομα θεράποντος, ἀπὸ τοῦ κολαμεύειν, ἐπεὶ ἦν ἐν ἰπνῷ φρύγειν. Κολαμία, ἰπνία, φρυκτρία, ἀλετρία. Κολλαβίτης, τὸ πᾶν, ἢ τὸ τέταρτον τῆς φώλεως, ἢ λεπτόν. τὸ δὲ λεπτὸν, ἑξακισχιλιοστὸν ταλάντου, ὃ ἐστι νόμισμα ἕν, ἢ χαλκοῖ τρεῖς. τὸ δὲ τάλαντον, λέγεται ἑκατὸν εἰκοσιπέντε. ὁ δὲ κολλαβίτης, νομίσματα τρία. ὁ δὲ ἔσχατος κολλαβίτης, τὸ τέταρτον τῆς φώλεως. Κολλαβίτες, ἄρτος. Κόλαβους, οὓς ἡμεῖς λέγομεν κριτικοὺς ἵππους, τὸ ἀρχαῖον αὐτῶν ἐμφανίζοντες. Ἀθηναῖος, λαμπρὸς τῷ γένει. Κολόμαδον, τὸ στρουθίον μῆλον, οἱ δὲ κυδώνιον, οἱ δὲ ἄνθους εἶδος, οἱ δὲ κόσμος περιτραχήλιος. Κολώπα, σῦκα χειμέρινα, καὶ καρύων εἶδος περσικῶν. Κοθοί, αἰσθάνεσθαι, ποιεῖ. Κόθομα, ἐπὶ τοῦ αἰδοίου, καὶ κότυλον ὁμοίως. Κοθοῦσιν, ἀλώπηκα.

Κόθορνος, ὑπόδημα ἀμφοτέροις τοῖς ποσὶ πεποιημένον. ὅθεν δὲ καὶ ἀνδράσι καὶ γυναιξὶν ἐφαρμόττον φασὶ τὸ ὑπόδημα τὸν κόθορνον. Κόθουρος, ὁ κόλουρος. ἀνωφλίαις κοθούροις ἔκλαος ὁρμῶν, παρὰ τὸ κεῖθαν τὴν οὐρὰν, ἢ ὁ κολοβὴν οὐρὰν ἔχων. κόθουρος, καὶ ὁ κλέπτης, καὶ ὁ πρώκτων. Κόθουρος, ἀργὸς, ἄκεντρος. Κοθώ, βλάβη. Κοθωνίδαι, δῆμος. Κοῒ κοῒ, παρὰ τῷ Ἀριστοφάνει, αἱ παιδίσκαι μιμοῦνται τὴν τῶν χοίρων φωνὴν, κοῒ κοῒ λέγουσαι. Κοία, κλέμμα.

Κοιας, σφαίρας, ἢ λίθους. Κοιάζει, ἐγχορεύει. Κοιάθον, σύνοδος. Κοιᾶται, ἱερᾶται. Κοιγὰ, κοῖλα. Κοίγαλος, τὸ ἐν τοῖς κυμίνοις θηρίδιον. Κοίζω τὰ χοιρίδια, μιμητικῶς λέγεται. Κοίημα, γόγγυσμα. Κοίης, ἱερεὺς καβείρων, ὁ καθαίρων φονέα. οἱ δὲ κόης. Κοῖκα, ἐν αἰθιοπίᾳ φοινίκων εἶδος, καὶ τὰ πεπλεγμένα ἐκ τῶν φύλλων τοῦ δένδρου σκεύη, φορμοί. Κοικύλλειν, περιβλέπειν. κοῖλα γὰρ τὰ ἐκτὸς τῶν ὀφθαλμῶν, οἱ δὲ τὸ περιεργάζεσθαι καὶ διατρίβειν περιβλεπόμενον. ἄλλοι, φθονεῖν. Κοῖλα, τὰ ὑποκάτω τῶν ὀφθαλμῶν, καὶ οἷον ἐπὶ τοῦ προσώπου μῆλα. Κοίλαλλος, πεδίον, λιβάδιον. Κοιλᾶναι, κοῖλον ποιῆσαι. Κοιλάς, τὸ πλάτος, ἢ τὸ βάθος. Κοιλὰς, τὸ αὔλιον, καὶ ἡ βαθεῖα γῆ.

Κοιλέμβολον καλεῖται, ὅταν δὲ ἡ λίσσομος διφαλαγγία. τὰ μὲν ἑπόμενα κέρατα συνάψῃ, τὰ δὲ ἡγούμενα διαλύσῃ.

Κοίλαστι, βαθείως. Κοιλία, ὀχετὸς ἐν κορμῷ, καὶ τὸ ἐκ ξύλου οἴκημα. Κοιλία, ἀπὸ τοῦ κοῖλον εἶναι, ἢ ἀπὸ τοῦ κοιμεῖν τὴν τροφὴν καὶ χολοῦν, χολία καὶ κοιλία. Κοιλίας, ὅμηρος διαπαντὸς γαστέρας καλεῖ, οὐ κοιλίας. Κοιλιδιοῦν, οἷον τὰ κοῖλα τῶν ὀφθαλμῶν αἴρειν. Κοιλίς, δῆμος ἀττικός.

Κοίλισκον, κοῖλον. Κοιλοβόρος, στενοῦργος, ἀγριῶος, ὀλιγοῦργος, ἀλώπηξ. Κοῖλον λόχον, δολίως ἔφη Ὅμηρος τὸν δούρειον ἵππον. καὶ βαθὺν δόλον, προσώπου αὐτόν. λέγεται καὶ ὁ Σοφοκλῆς εἰπεῖν, ὕπτιον δούρειον ἵππον. Κοῖλον τὸ πολὺ δεῖξαι, ἐπὶ τῶν εἰς φυγὴν τρεπομένων. Κοιλόπεζοι, ὁπλίτες. ἔνιοι δὲ οἰκοί. Κοῖλος αἰγιαλὸς, ἁπλῶς ὁ βαθύς. οὐ γὰρ ἂν αἰγιαλοῦ ὀφρὺς, μὴ βαθέος ὑποκειμένου τοῦ κατὰ τὸ ὕδωρ. Κοῖλος θυρεὸν, οὐκ ἔχων θύρας. Κοιλόσωρος, ὁ

ὄντων, διὰ τὸ ἐπὶ συνθλίβεσθαι τὰ ὕδατα. Κνημοὶ, τὰ ὑψηλότερα τῆς ὑπωρείας, ἵνα συνθλιβομένων τῶν ὑδάτων ὑλῶν πυκνοῦνται. τὰ γὰρ κορυφαῖα τοῦ ὄρους δυσβατά τε ὑλοτόμοις, καὶ οὐδὲ λατομηταί εἰσι. Κνημοῦμαι, φθείρομαι.

Κνημοὺς, δασεῖς, τραχεῖς καὶ δυσβάτους τόπους.

Κνημοθῆναι, φθαρῆναι. Κνημῶσαι, περιχῶσαι, φράξαι, κλεῖσαι, ἐλθεῖν. Κνησιῶντα, ἐπιθυμητικῶς ἔχοντα τοῦ κνᾶσθαι. Κνηθιᾶν, κνῆσμα καὶ κνησμονὴ καὶ κνησμὸς, ἐκ τοῦ κνήθω. Κνηκὸν, φοινὸν, ὠχρόν. Κνῆστις, σιδήριον ᾧ ξέουσιν οἱ μάγειροι τὸν τυρόν. καὶ κνῆστις, διὰ τοῦ ι βαρύτονον.

Κνῆστις, ἰδίως ἡ τυροτόμος μάχαιρα, ἣν ὁ κωμικὸς συνθέτως τυροκνῆστιν λέγει. Ὅμηρος διαλελυμένως κατὰ τμῆσιν ὁμολογίας, αἴγειον κνῆ τυρὸν, κνήστι χαλκείῃ. καὶ γέγονεν ἀπὸ τοῦ κνῶ, τὸ κόπτω. ἐξ οὗ καὶ κναίω, καὶ ἀποβολῇ τοῦ ι κνάω, τὸ κνάθω. Κνῆστις, κνηστὶς, σιδηρᾶ ξυστρὶς, ἐν ᾗ ξέουσι τὸν τυρόν. ἔστι δὲ καὶ τὴν ῥάχιν ἀκανθῶδες, ἤτοι τὸ ὀπτεῖν.

Κνηκὸς ἄρτος, ἀρτεμίδωρος. Κνηὸν, τὸ κνηρόν.

Κνηστιῶντας τὰς ἀκοὰς, ἀντὶ τοῦ ἐπιθυμητικῶς ἔχοντας ἀκοῦσαι. Κνῆστρον, ὅπερ καὶ κνίστρον λέγεται. ἔστι δὲ καὶ μαχαιρίδιον, ὑφ' οὗ ξέεται ὁ τυρὸς, παρὰ τῷ Ἱπποκράτει.

Κνίδαι, σταῦραι, καὶ κόλα τις. Κνίδη, βοτάνη, καὶ κνίδιος κόκκος. Κνίδιον, κνώδαλα. κυρίως μὲν τὰ θαλάσσια θηρία, διὰ τὸ ἐν ἁλὶ κινεῖσθαι, κνώδαλα λέγεται ὄντα. κατὰ δὲ καὶ τὰ χερσαῖα, διὰ τὸ ὑπὸ κνιδῶν ἁλίσκεσθαι. Ἡσίοδος, κνώδαλα ὅσ' ἤπειρος πολλὰ τρέφει, ἠδὲ θάλασσα. Κνίδιος, τὸ πικρόν. κνίδιος δὲ κόκκος, δίφθογγον τὸ δεῖ. Κνιδᾶται, δαλακοῦται, ἴσως ἀπὸ τῆς κνίδης. Κνίδος, ὕσσος ξύλον.

Κνιδωτὸς, κνίδη κατακεντητός. Κνιδώσεις, κνησμοὶ οἱ ἀπὸ τῆς κνίδης γινόμενοι, παρὰ τῷ Ἱπποκράτει.

Κνίζειν, τὸ κατατέμνειν καὶ ἐκθλίβειν, συκάμινα κνίζειν. φασὶ γὰρ τὴν συκάμινον κάθυγρον οὖσαν κατατέμνεσθαι σιδήροις τῶν γεωργῶν τὴν φλοιὰν αὐτῆς, ἵν' ὅπως πιαίνειν τοὺς καρποὺς αὐτῆς ἔχῃ. καὶ γὰρ εἰ μὴ τοῦτ' ἦν, ἀπώλοντο ἂν οἱ καρποὶ αὐτῆς ἐκ τῆς οὕτω πολλῆς ὑγρότητος, ὡς γινώσκειν σῆψιν αὐταῖς. Κνίζειν, τὸ ἐρωτικῶς λυπεῖν, καὶ συντήκεσθαι ἐρωτικῶς. κνιζᾶται δὲ κνίζω, ἀμεταβόλως διὰ τοῦ ι ψιλοῦ, ὅτι προσεχόμενος καὶ τρίβων, λελιασμένα ὑπὸ χαρᾶς ἀφίησιν. ἰστέον δὲ, ὅτι κνίζομεν, καὶ κνίδη, κνησμὸς εἶδος βοτάνης, ἣν ἀκαλήφην οἱ ἰατροὶ λέγουσι. καὶ κνίσα, καὶ ἀναπεμπόμενος ἀτμὸς, ἀπὸ καιομένων θυμάτων. καὶ κνισῶν, τὸ θυσίαν ἔμπυρον θύειν. ὡς παρ' Ἀριστοφάνει, ἐφ' ὅτῳ κνισῶμεν, ὅτῳ ἀγυιεῖς, ἤγουν τοὺς ἐν ταῖς ἀγυιαῖς καὶ τοῖς κώμαις θεούς. ἡ εὐθεῖα ὁ ἀγυιεύς. καὶ κνισμὸς, ἡ ἐρωτικὴ λύπη. Κνίζων ἢ κνιζόμενος, λυπῶν, ἢ συκάμινα τέμνων. Κνίζων αἰτιατικῇ, λυπῶν ἢ τέμνων. παρὰ τὸ κνῶ, τὸ κόπτω. τοῦτο δὲ παρὰ τὸ κνῶ, ἐξ οὗ κνήθω καὶ κνίζω, τὸ ἐξ ἐπιπολῆς καὶ ἠρέμα ξύειν, ὥσπερ βραχύ τι ἄκρον ἐπικνίζοντα χαράσσειν. Κνίπα, πῖλα. Κνιπὸν, ὀλίγον, ξηρὸν μέλαθρα καὶ λεπτούς. Κνιπὰ, ὄμματα περιβεβρωμένα, καὶ ξηρότης τῶν ξηροφθαλμιῶν. Κνιπίδιον, πέρασμα λαβῆς. Κνιπζῶον πλικὸν, ὅμοιον κώνωπι. Κνιπὸς, ὁ φειδωλός. Κνιπότητα, τὸν κνισμόν. ἔνιοι δέ φασι τὴν ξηροφθαλμίαν, παρὰ τῷ Ἱπποκράτει. Κνῖσα, ἀτμὸς, καπνὸς τῶν θυσιῶν, καὶ τὸ λίπος τοῦ ἱερείου, καὶ ὁ ἐπίπλους. Κνίσματα, σπαράγματα, καὶ τὰ κνισθέντων κνίσματα, καὶ μόνον λύχνον ἀχεχαμένα. Κνισμὸς, ἡ κυρίως, ἡ πρὸς τὴν μίξιν βαυχεία καὶ πύρωσις. ὃς καὶ κατακνισμὸς λέγεται. καὶ κατακνίζομαι, ἀντὶ τοῦ ὑπ' ἔρωτος καίομαι. Κνίσα. κνισήεντα μὲν διὰ δύο σσ γράφεται. Ἡρωδιανὸς δὲ θέλει αὐτὴν μέλλοντος αὐτὴν γινομένην τοῦ κνίζω, δι' ἑνός τε γράφεσθαι σ, καὶ ἔκτασιν λαβεῖν τὸ ι. δηλοῖ δέ φασιν ἡ κνῖσα τὴν κατ' ὀλίγον, ἀπὸ τοῦ ὀπτωμένου ἀναφορὰν τῇ ὀσφρήσει. καὶ ἄλλως. κνίσα, λέγεται μὲν καὶ ἐπὶ λίπους, καὶ ἄλλων ἱερῶν. σημαίνει δὲ καὶ τὴν ἀπὸ κρεάτων ὀπτωμένων ἀνάδοσιν τοῦ καπνοῦ. ἔτι δὲ ἡ κνῖσα, καὶ δι' ἑνὸς σ γράφεται, καὶ ἐκτείνει τὴν παραλήγουσαν, καὶ ἐκ τοῦ κνῶ κνίζω γίνεται, κατὰ τὸν Ἡρωδιανόν. κνίση δ' οὐρανὸν ἷκεν ἑλισσομένη περὶ καπνῷ, καὶ οὕτω ποιεῖ ἂν τὸ ῥῆμα, ἀντὶ τοῦ κνίσαν ἦγον περιλειπομένην καπνῷ, εἴτ' οὖν τὴν οὐρανὸν ἱκνουμένην θύμασι. Κνίσα, ἡ ἀναθυμίασις τῶν θυομένων τοῖς εἰδώλοις. Κνίσαι, φθεῖραι, ἐλκῶσαι, λυπῆσαι. Κνιβλίον, περικεί-σθαι. Κνισῶν, εἰδώλοις. Κνισμὸς, ζηλοτυπία, ὁ μέλλων τι κνισμῷ αἰδοῖον. Κνιβλοιχὸς, λίχνος. Κνιζὰ, λάχανα σφηνεκεχρημένα. Κνιπάριον, τὸ μικρὸν λίπος. Κνίψα, κνίδαι. Κνὺψ, ζωΐφιον, ὁ γενικὴ τοῦ κνιπὸς, μετακινηθὲν εἰς εὐθεῖαν, καὶ σημαίνει τὸ ὀλίγα διακονοῦντα. Κνοῦς, ὁ ἐκ τοῦ ἄξονος ἦχος. λέγεται δὲ καὶ χνοῦς, καὶ ὁ τῶν ποδῶν ψόφος, ὡς Αἰσχύλος σφιγγί. τινὲς δέ φασι κνοῦν μὲν ἦχον, χνόην δὲ μέρος τοῦ ἄξονος, ὁ χοινικίς. Κνώψ, ὁ ξηρός. Κνύειν, προσ-ον. Κνύειν, κνήθειν, ξύειν. Κνῦ, τὸ ἐλάχιστον. Κνύζεσθαι, μοχθεῖν, κλαίειν, ἀφανίζεσθαι. Κνυζεῦνται, παρὰ Θεοκρίτῳ, ἐν τῷ κνυζᾶσθαι ἄσημον, καὶ ἀπρεπέστερον ἀποτελοῦσι φωνήν. ὑποψιθυρίζουσι γὰρ φαντασιαζόμενα. λέγεται δὲ κυρίως τὸ κνυζᾶσθαι ἐπὶ τῶν ὀρνέων, καὶ ἐπὶ τῆς ἀσήμου καὶ ὑποδόχου ὀλακῆς τῶν κυνῶν. παρὰ δὲ Θεοκρίτῳ ἀντὶ τῆς ἀσαφεστέρας φωνῆς, ἣν προΐενται τὰ ὀνειρώττοντα παιδία. Κνυζηθμὸν, κνησμὸν ὄντα, καὶ κνυζὸν ἦχον οἱ παλαιοὶ λέγουσι. ἄλλοι δὲ ἐκ τοῦ κνυζῶ, κνυζήσω κνυζηθμὸν, ὡς ὀρχήσω ὀρχηθμόν. καὶ ἐν ἄλλο ῥῆμα τοῦ, παρὰ τὸ κνυζώσω δὲ οἱ Ἴωνες, ὥστε τὸ κνυζῶ κατ' ἄλλας μιμήσασθαι συζυγίας. τριχῶς γὰρ φέρεται, κνυζῶ ἀνυζῶ, κνυζᾷς, ὡς ἐν τοῖς Ἀθηναίοις. καὶ κνυζῶ, οῖς. οὐ πολλὰ δὲ τῶν περισπωμένων ῥημάτων οὕτω τριλογοῦνται. Κνυζηθμὸς, λέγεται κυρίως ἐπὶ κυνῶν φωνή. Κνυζήματα, ἰδίως λέγουσι τὰ τῶν σκυλάκων ἀποφθέγματα. Κνυζίω, ἀσαφῶς ποιῶ, λυπήσω. Κνυζὸν ἄγρα, ἐπιτήδειον, καὶ πολυμαθέα. Κνυζοί, οἱ τὰ ὄμματα κνυζοῦντες. Κνυζόμενον, εἶναι τὰ φωνὴ κυνῶν. ἢ κνυζούμενον, τοθιὲν φθεγγόμενον. Κνυζώμενος, ἐπὶ κυνός. καὶ κνυζοῦται, ἀντὶ τοῦ λυπεῖται. Κνύζω, λάχανον ὅμοιον σελίνῳ. Κνυζώσω, κνυζῶ, τὸ διαφθείρω καὶ κακῶ, ὁ μέλλων κνυζώσω. Κνυζώσω, ἀντὶ τοῦ ξηρανῶ, ἀσαφῆς καὶ ῥυσοὺς ποιήσω. ἐπειδή φασιν οἱ τῶν καταλειπτῶν ὀφθαλμοί. κατὰ δὲ ἴσως καὶ οἱ τῶν κυνῶν. διὸ καὶ ἐντεῦθεν παρῆχθαι δοκεῖ τὸ κνυζοῦν. καὶ κνυζηθμὸς ἐπὶ κυνῶν λέγεται. Ἡρωδιανὸς ἐμφαίνει, ἀπὸ τοῦ κνύζειν γενέσθαι τὸν κνυζηθμόν.

Κνυζοῦται κύων, ἀμεταβόλως, διὰ τοῦ υ ψιλοῦ, ὅτι προσεχόμενος καὶ τρίβων λελιασμένα ὑπὸ χαρᾶς ἀφίησι. γράφεται καὶ κνυζοῦται. Κνύζα, κνησμός. ἀπὸ τοῦ κνύζεσθαι, ἐπὶ τῶν κυνῶν. καὶ ἡ κόνυζα, κατὰ συγκοπήν. Κνύος, ἄκανθα μικρά. Κνυὸν, σμικρόν. Κνῦμα, ὀνοματοποιεῖται τῇ μιμήσει τοῦ ψόφου, δηλοῖ δὲ καὶ τὸ ἠρέμα κινούμενον, ἐπὶ δὲ τῶν κυνῶν γίνεται κνυζηθμός. Κνῦμα, ὁ ἠρεμαῖος κνησμός.

Κνωπεύω, θηρεύσω. Κνώσσω, παρὰ τὸ ὄκνω, τὸ βλέπω, ὃ παρὰ τὸ κινεῖσθαι τοῦ βλέπειν. Κνώδακες, οἱ ἐν τοῖς φορτοφόροις ἀσκοί. Κνώδαλον, κυρίως ἐπὶ τοῦ θαλασσίου θηρίου. εἴρηται δὲ καὶ ἐπὶ τοῦ χερσαίου. κνώδαλον παρὰ τὸ κνεῖν ἁλίσκεσθαι. καὶ κνώδαλα, τὰ τῆς θαλάσσης κεφαλαὶ οὕτω καλοῦμεν. καὶ ἄλλως κνώδαλα, κυρίως μὲν τὰ τῆς θαλάσσης ζῶα. καταχρηστικῶς δὲ καὶ ἐπὶ πάντων τῶν θηρίων ἡ λέξις τάττεται. Ἡσίοδος ἐν θεογονίᾳ, κνώδαλα ὅσ' ἤπειρος πολλὰ τρέφει ἠδὲ θάλασσα. λέγεται παρ' Ὁμήρῳ τὸ χερσαῖον, παρὰ τὸ ὑπὸ κνιδῶν ἁλίσκεσθαι.

δας, καὶ οἱ ῥᾶον ἀναβαινομένους φασί. Κλῶν, συντρίβων, ἐπικλῶν. Κλώνακα, ῥάβδον, καὶ τὰ κλημανώδη χωρία.

Κλώναξ, κλάδος. Κλῶντος, σωῶντος, συντρίβοντος.

Κλῶνες, αἱ ἐκφύσεις τῶν δένδρων. Κλωναρίως, τοῦ κλωναρίου τοῦ δενδρου. Κλωὸς σύκινος, οὕτως ἐκάλουν τὸν κλοιὸν λέγων. σύκινον δὲ, διὰ τὸ βραχὺ τοῦ ξύλου. ἄλλως, τὸ καλλάιον τὸ παρ' ἡμῖν λεγόμενον, ᾧ εἰώθασι τοὺς κύνας δεσμεύειν ἐν τοῖς ἀγροῖς, ἔστι ξύλινον. Κλωπᾶσθαι, ἐπιθυμεῖν, δόλον, καὶ τὸ λάθρα καὶ ἀφανῶς ἰέναι, καὶ ψεύδειν, καὶ κλέπτεσθαι.

Κλώπεια, ὀρχηστὶς ἦν, ὡς ἰάμβων ἐν τῇ ἄρτυς διατριβῶν.

Κλῶπες, κλέπται. Κλωπημένη, λάθρα καὶ ἀφανῶς κεκρυμμένη καὶ ἐψευσμένη, παρὰ τὸ κλέπτεσθαι, οὕτως τὸ σφοδυμεῖσθαι ἔλεγον. Κλωπεύω, κλωπιτεύω, ἀντὶ τοῦ κλέπτω. κλωπικὸν δὲ, μικρόν. Κλώσκειν, ἐπικλώθειν. Κλωστὴρ, τὸ κεκλωσμένον νῆμα. Κλωστῆρα, θυγάτηρ, καὶ τὸ νῆμα. Κλὼψ, ὁ κλέπτης, καὶ ὁ λευκὸς, παρὰ τὸ κλέψαι μέλλοντα γίνεσθαι, κατὰ ἀναβολὴν τοῦ ω, κλὶψ καὶ κλὸψ, καὶ κατὰ ἔκτασιν κλὼψ. ὡς βλίπω βλὶψ καὶ βλὼψ, ὁ γραβός.

ΤΟ Κ ΜΕΤΑ ΤΟΥ Μ ΚΑΙ Ν.

Κμίλαθρα. δεῖ γινώσκειν ὅτι τὸ κ πρὸ τοῦ μ, οὐ δύναται εὑρίσκεσθαι ἐν ἀρχῇ λέξεως. τοῦ γὰρ καλύκμενος οὐχ εὕρηται ἐν χρήσει τὸ ἁπλοῦν αὐτοῦ, ἤγουν τὸ κμῆτε, καὶ τὸ κέκμηκα, ὃ δηλοῖ τὸ κεκοπίακα, οὐκ ἔστιν ἀπὸ τοῦ κμῶ, ἀλλ' ἀπὸ τοῦ κεκάμηκα. λέγει δὲ ὁ Ἡρωδιανὸς τὴν Πάμφιλον ἀναγνοῦν ἐν ταῖς γλώσσαις τὸ κμίλαθρα. σημαίνει δὲ τὰς δοκούς.

Κμητὰ, πεποιημένα, πεπονημένα. Κνηδάλλεσθαι, κνᾶσθαι. Κνάζει, βοηθεῖ. Κνάθω, κνήθομαι. Κναιόμενον, κατακοπτόμενον. Κναίω, τὸ λεπτύνω. κναίω, τὸ κόπτω.

Κνᾶκον, ἐν ἐπιγράμμασι, κνᾶκον ὑπαυχένιον τῇ δ' ἀνέθηκε τράγον. Κνακὸν δέρμα, παρὰ Θεοκρίτῳ. ἤγουν ξανθὸν, ἢ λευκόν. λευκὸν μὲν, ἀπὸ τοῦ καρποῦ. ξανθὸν δὲ, ἀπὸ τοῦ ἄνθους.

Κνάκωνα, τὸν κνήκου χρόαν ἔχοντα. ἄλλως κνάκωνα, τὸν λευκὸν τράγον, ἀπὸ τῆς κνήκης τοῦ σπέρματος λευκοῦ ὄντος, ἢ λάσιον. Κνάκωνα, λευκὸν, ἢ πυρρὸν, ἀπὸ κνήκου τοῦ σπέρματος, παρὰ Θεοκρίτῳ. Κνακὸς, ψαρὸς ἵππος. Κνακὸν, λευκὸν, πυῤῥόν. Κνάμπτει, κάμπτει, καταξαίνει, κατέχει. Κνάμπτομαι, κακοῦμαι, κατακοπτοῦμαι, καταξύομαι. Κνᾶν, κόπτειν, ξύειν. Κνὰξ, γάλα λευκόν. Κνάφω, ἀπὸ τοῦ κνῶ γίνεται κνάπτω, ὡς χῶ χάπτω, καὶ ῥηματικὸν ὄνομα κναφος. σημαίνει δὲ τὸ ἀκανθῶδες φυτὸν, ᾧ τὰ ἄπλυτα τῶν ἱματίων ἐπισύροντες κατασπαράττονται. ἀλλαχοῦ, μὴ μέγαν περὶ κναφου περιεσκέχθαι κύαθον. Κνάπτειν καλοῦσι πλύνειν, σμῆχον ἐντεῦθεν τὸν ὁδόντων καλοῦσι τὴν πλύσιν. Κναπτόμενον, ξαινόμενον.

Κνάπτω, τὸ ξαίνω, καὶ καθαίρω, ἐξ οὗ κναφεὺς καὶ κναφεῖον. ἔκναπτον, τὸ κάμπτω, ποιητικῶς. Κνᾶσθαι τὸ οὖς, οὐ κνήθειν.

Κνάσαι, ὀλίσαι, λυπῆσαι. Κνασέαιον, εὐλαστρον. λαλιστικόν. Κναφεῖον, ἐν ᾧ τὰς ἐσθῆτας κναπτουσιν, ὃ δὴ βάπτουσι.

Κνάφος, ἀκανθῶδές ἐστιν, ᾧ ξέουσι τὰ ἱμάτια. Κνάφος, ὄργανόν ἐστιν ἐν κύκλῳ κέντρα ἔχον. δι' οὗ τοὺς βασανιζομένους ἐστρέβλουν, ὅμοιον ὄντι κναφικῷ κτενί. κναφου δίκην, ὅταν ἐν κύκλῳ οἱ κναφεῖς περιέλκωσι τὰ ἱμάτια περὶ τὸν λεγόμενον κναφον. ἔστι δὲ τοῦτο φυτὸν ἀκανθῶδες. Κναφεῦσι, πλύνουσι τὰ ἱμάτια. Κναφεύς. ἀττικὸν μὲν τὸ διὰ τοῦ κ, κοινὸν δὲ τὸ διὰ τοῦ γ. οἱ παλαιοὶ δὲ ἀττικοὶ διὰ τοῦ κ κνάφος. ἔστι δὲ ἀκανθῶδές ἐστιν, ᾧ ξέουσι τὰ ἱμάτια. οἱ δὲ νεώτεροι διὰ τοῦ γ, παρὰ τὴν γνάψιν. κναφεὺς δὲ παρὰ τὸ κνῶ, ὃ σημαίνει τὸ ξύω. Ὅμηρος, ἐπὶ δ' αἴθοπα κνῆ τυρόν. καὶ κνῆστι χαλκείῃ, παρὰ τὴν τοῦ φαίνους γνάψιν, ἄλλως δὲ παρὰ τὸ γάνος, τὸ λαμπρόν. Κναφεὺς, ὁ πλύνων τὰ ἱμάτια. Ἀριστοφάνης, ἀπόδος θοἰμάτιον ὡς κναφεῖ πρόβαλον. ἀττικῶς διὰ τοῦ κ, κοινῶς δὲ διὰ τοῦ γ. Κνάω, τὸ κνήθω. Κνεῖν καὶ ξύειν, τυρὸν ὅθεν, ἔτι κόπτειν. ἐξ οὗ καὶ τὸ κνηστὸν γίνεσθαι. παράγει δὲ χάσκεις πιλοῦτας, ξύομαι δ' οὐδὲν ἰσχύων, τουτέστι κνῶμαι. καὶ Σώφρων, βαιὰ δ' ἐξύσματα ἐκ πολλοῦ εἰς κεφαλὴν, ἤγουν κινοῦμαι. ξυόμενοι ἄνθρωποι ἥδονται, καὶ ὄφιν γίνεσθαι, ὅπερ τοῖς ἀφροδισιάζουσι. Κνεόμενον, ξυόμενον. Κνέφας. δῆλον ὡς φωτὸς στέρησις ἐστὶ τὸ σκότος. διὸ καὶ κνέφας λέγεται, ὡς κενὸν φάους. Ὅμηρος δὲ ἑσπέριον δηλοῖ αὐτὸ, εἰπὼν, ἦμος δ' ἠέλιος κατέδυ, καὶ ἐπὶ κνέφας ἦλθε. Κνεφαῖος, ἔτι σκότους ὄντος, καὶ μήπω γενομένης ἡμέρας. Κνέφαλον, τύλη. Κνέφας ἱερὸν, τὸ βαθὺ καὶ μέγα σκότος. ἄπει καὶ ἐπὶ μεγάλου πολλάκις τὸ ἱερὸν τίθεσθαι.

Κνέφει, σκότῳ. Κνέφος, σκοτεινός. Κνέωρον, φυτόν ἐστιν, ὃ τοῖς θεσμοφορίοις ὑποστρώννυται, καὶ ὁ εἰς κάθαρσιν χρῆται, καὶ γυναικεῖον μέρος. Κνῆ, ξύεται. Κνηθόμενοι, τριβόμενοι, ὑποκνηθόμενοι τὴν ἀκοήν. Κνηκίας, ὁ λύκος. Κνηκὶς, ἡ περιλαβὲς ζώνη, τὸ μικρὸν νέφος. Κνῆκος, κνήκου δὲ τοῦ ἄγρου κατάσκοπος, καὶ δίφρος λεπτὸς, καὶ νεφέλιον λεπτὸν, καὶ μελανία, καὶ ἔλκος. Κνήκις ὑπώπιον, μελανίας τις ἐν σώματι. ἄλλοι ἐπὶ τὸν νεφρὸν εἶπον. Κνηκὸν, τὸ πυρρὸν χρῶμα ἐπὶ τοῦ ἄνθους. ὅτε δὲ ἐπὶ καρποῦ, τὸ λευκόν.

Κνῆκος, λευκὸς, καὶ εἶδος ἐστι σπέρματος, καὶ πυρός.

Κνῆμαι, τὰ ἔμπροσθεν τῶν σκελῶν. ὧν τὰ ὄπισθεν ἀντικνήμια λέγεται. καὶ κνημῖδες, τὰ περιτιθέμενα τοῖς σκέλεσιν ὅπλα. ἀφ' οὗ εὐκνήμιδες Ἀχαιοὶ, ἤγουν εὔοπλοι, ἀπὸ μέρους τῆς παντὸς ὁπλίσεως νοουμένης. Κνημαῖον, τοῦ τῆς κνήμης, παρὰ τῷ Ἱπποκράτει. Κνήμαργος, κνημαῖδες, παχύκνημος.

Κνήματα, ξύσματα, παρὰ τῷ Ἱπποκράτει. Κνήμη, τὸ ἔμπροσθεν τοῦ γόνατος. γαστροκνήμη δὲ, τὸ ὄπισθεν παχύ. Κνήμη, ἡ τοῦ σκέλους καχέξις. ἀπὸ τοῦ κακῶς, κνήμη, καὶ κατὰ συγκοπὴν κνήμη. οἷον τῆς κινήσεως αἰτία. ἰστέον, ὅτι τὰ ἔμπροσθεν λέγουσιν ἀντικνήμιον, τὰ δὲ ὄπισθεν γαστροκνήμιον. κυρίως δὲ κνῆμαι λέγονται, τὰ διαιροῦντα ξύλα τὰς χοινικίδας τοῦ τροχοῦ. σημαίνει δὲ καὶ τὰς ἐξοχὰς, καὶ προβάσεις, καὶ καθόλου τόπους τῶν ὀρῶν. Κνημίαι, φθορεῖ. καὶ τὰ ὀρθὰ ξύλα τῶν θρόνων, ὅπου τὸ ἐπὶ κλίνην. Κνημῖδας, οὐκ αἰεὶ λέγει πολεμικὰς, ἀλλὰ βοὸς, δι' ὧν κνήμας τοὺς ἀγρότας κολλῶνται. οὕτω δὲ καὶ κυνέην αἰγείην, οὐ τὴν ἐν μάχῃ χρησίμην, ἀλλὰ τὸ ἁπλῶς ἐξ αἰγὸς κάλυμμα τῆς κεφαλῆς. Κνημῖδες, ὅπλον σκέπον τὰς κνήμας, ἀφ' ὧν καὶ παρονομάζονται. τούτων τὰ ἄκρα ἐπισφύρια λέγονται, ὡς τοῖς τῶν ποδῶν κάτω σφυροῖς προσαρμόζοντα. Κνημὶς, ὅπλον σκέπον τὰς κνήμας τῶν πολεμιστῶν, ἀφ' οὗ εὐκνήμιδες Ἀχαιοὶ, ἀπὸ μέρους οἱ εὔοπλοι. κνημαὶ δὲ ἐπὶ ὀρνίθων λεπτῶν μερῶν λέγονται, οὕτω καὶ αἱ κνημῖδες. Κνημὶς, καὶ τὸ εὐκνήμις. βαρύνεται δὲ τὸ εὐκνήμις κατὰ τὸ τὰ εἰς ις θηλυκὰ ὀξύτονα, εἰ μὲν ἐν τῇ συνθέσει φυλάσσει τὸ θηλυκὸν μόνον γένος, καὶ τὸν φύσιν τόνον φυλάσσει. οἷον σκελὶς, περισκελίς. εἰ δὲ μεταληφθῇ γίνεται, καὶ ἀρσενικοῦ γένους, μεθίσανται εἰς βαρεῖαν τάσιν. οἷον ἐλπὶς, δύσελπις. τὸν γὰρ κοινὸν ὄντα ἐστὶ γένος. ταύτῃ τι καὶ ἡ καταιγὶς μὲν ὀξύνεται, ὡς μονογενής. ἡ δὲ μελαναιγὶς βαρύνεται. οὕτω καὶ ἡ κλεὶς, εὔκλεις. κνημὶς, εὐκνήμις. ὁμοίως καὶ ψηφὶς, πολύψηφις. ὡς ὁ πολυψηφῖδα παρ' ὄχθην φεύγων. ὁ οὕτω μὲν ὁ εὐκνήμις βαρύνεται. Κνημὶς, ὄρος. ὅθεν οἱ ἐπικνημίδιοι, ἀπὸ ὄρους κνημῖδος. Κνημοὶ ἴλας, αἱ μετὰ τοὺς πρόποδας, ἐκ μεταφορᾶς τῶν ζῴων μετὰ πόδας κνημῶν. οἱ δὲ περὶ Διονύσιον τόπους ἑρμηνεύουσι τοὺς κρημνούς. καλῶς φασι καὶ αὐτοὶ, ὡς τῶν ταπεινοτέρων τόπων ἐν τοῖς ὄρεσι. λασιώτερον

αἰγιαλῷ ὕδατος οὔσης, ἐπικλύζεσθαι. Κλυδώνιον, πλάγος. χειμὼν, καὶ θόρυβος πραγμάτων. Κλῦθί μοι, ἐπάκουσόν μοι.

Κλύει, ἀκούει. Κλύζει, πλημμυρεῖ, ῥέει, βρύει. Κλύζω, τὸ διὰ κλυστῆρος ἰατρεύω, ἀφ' οὗ κλυστὴρ, τὸ ἐργαλεῖον, δι' οὗ κλύζουσι. κλύζω, τὸ ὕδατι καλύπτω, ἀφ' οὗ ἐπίκλυσις, ἡ τῶν ὑδάτων ἐπιῤῥοία, ὅταν καλύπτῃ τὴν ἐπιφάνειαν. καὶ κατακλυσμὸς καὶ κλύδων, ἡ ταραχὴ τῆς θαλάττης. καὶ κλυδώνιον, τὸ κῦμα τῆς θαλάττης, ὅταν παρὰ τῷ αἰγιαλῷ ὕδατος οὔσης ἐπικλύζηται. καὶ κλυζόμενα, τὰ ὑπὸ τοῦ ὕδατος καλυπτόμενα. Κλύζουσιν, ἤγουν ἔκλυζον, ἐξ οὗ καὶ ὁ κλύδων παρῆχθαι. Κλῦθι, ἄκουσον, πέπλασται ἀπὸ τοῦ κλύω. εἰ μὴ γὰρ εἴη τοῦ κλῦθι, τὸ κλῦμι οὐκ ἀρέσκει τοῖς παλαιοῖς. Κλῦθι, λῦθι, φῦθι, μακρᾷ παραλήγεται, ἀπὸ τοῦ κλύω, λύω, κατὰ μεταπλασμὸν γινόμενα. τὸ δὲ κέκλυθι βραχύνεται, ὁμοίως καὶ τὸ ὄρνυθι, καὶ τὸ ἴσθι βραχύνεσθαι. Κλῦθι, κλύω ποιητικὸν, ἀκούω κοινόν. κλύω ἐστί πως, ἔκλυον παρατατικὸς, μέλλων ἀπὸ τούτου οὐκ ἔστι, λέγεται δὲ ὁ τοῦ κοινοῦ ἀκούσω. ἐπὶ τῇ κοινῇ γὰρ καὶ ἡ ποιητικὴ ἐρείδεται, καὶ ἡ ἀττικὴ γλῶττα, καὶ αἱ ἄλλαι, αἷς μάλιστα χρῶνται οἱ ποιηταί. διὰ τοῦτο γὰρ καὶ κοινὴ λέγεται, ὅτι μετέχουσιν αἱ ἄλλαι αὐτῆς. κοινὸν γὰρ οὗ μετέχουσι τὸ ἐλάχιστον δύο, καὶ προτεταγμένη [?] ἐκείνων, αὕτη ἐπάγεται, ἔοικε μὴ ἔχουσα αὐτὴ τῶν πάντως δηλοῦν, ὅτι αἱ ἀποτεταγμέναι [?] πᾶσαι χρῶνται αὐτῇ, καὶ αὕτη πάσαις αὐταῖς. ἀόριστος δεύτερος ἔκλυον, ον, ε, ἀφ' οὗ προστακτικὸν κλύε, καὶ κατὰ μεταπλασμὸν κλῦθι. μεταπλασμὸς δέ ἐστιν, ὅταν τέλος ὀνόματος, ἢ ῥήματος, ἐφ' ἑτέρου τέλος τραπῇ οἰκεῖον τοῦ τρεπομένου. οἰκεῖον δέ ἐστιν, ὡς δηλονότι ἡ αὐτὴ κλίσις τοῦ ὀνόματος ἐν ἄλλοις χρῶνται ἂν, ἢ ὁ αὐτὸς χρόνος τοῦ ῥήματος, ὡς τοῦ ἀορίστου τέλος τὸ ε ἐτράπη εἰς θι, ᾧ τέλει χρῶνται ἂν ἀόριστος προστακτικὸς ἐν ἑτέροις. Κλύμενος, οὕτω λέγεται ὁ ἅδης, ὅτι πάντας προσκαλεῖται εἰς ἑαυτὸν, ἢ ὁ ὑπὸ πάντων ἀκουόμενος. Κλύμενος, ἰατρὸς ἀφυής. ὃν Ἀπολλοφάνης φησὶν ἀναμεμίχθαι τῷ μορσίμῳ, διὰ τὸ καὶ τὸν μόρσιμον ἰατρὸν εἶναι ἀγνῶ [?]. ἦν δὲ καὶ τραγῳδοποιὸς ἀφυὴς ὁ μόρσιμος. λέγεται δὲ καὶ ὁ κλεινὸς, ὡς Ἀντίμαχος, κλυτοῦ [?] τε κλυμένοιο [?] ἀμηκλαίνης [?]. Κλυστὴρ λέγεται ὡς ποτήριον, ὃ ἄλλο τι ἀγγεῖον, οἷον ὑδροσκόπιον [?], ἢ χύτρα. κλύσαι δὲ ἐθέλοντες, καταχέω μετὰ προθέσεως τὸ βρέχω. Κλυστήριον, ἰατρικὸν ἐργαλεῖον. καὶ κλυστῆρα προθέμενος, ἐξήγαγε τῆς ἑαυτοῦ γαστρὸς τὰ σκύβαλα. Κλυτοὶ, ἔνδοξοι, ἀγαθοὶ, καλοὶ, τίμιοι, πολλοὶ, ἢ πανταχοῦ ἀκουόμενοι. Κλυτίδα, κλυτοῦ παῖ.

Κλυταιμνήστρα, κύριον ἡ γυνὴ τοῦ ἀγαμέμνονος. Κλυτόδιον [?], λέγει Ὅμηρος κατὰ συγκοπήν. τὸ γὰρ ἐντελὲς κλυτοπώλοις [?], ἐκ τοῦ κλυτίου, ὁμοίως τῷ ἀλεξιάδης [?]. Κλυτίος, παρ' Ὁμήρῳ ὡς τρίβραχυ κύριον, παροξύνεσθαι, ὡς καὶ τὸ τυχίος, καὶ τὸ ὀλίος, καὶ τὸ δολίος. Κλυτομήτης, ἀκουστοὶ θρηνοῦν [?].

Κλυτόπωλος, ἡ ἀντὶ τοῦ εὔιππος. διὰ τὸ πανταχοῦ φθάνειν τὸν θάνατον, ἢ οὗ κλυτὴ ἡ ἐπιπόλωσις [?], ἤγουν ἐπέλευσις. διὰ τὸ ἐξάκουσιν τῶν θρηνούντων ἐπιθανάτιον, καὶ ὁ εἰθισμένος αὐτοῦ οἰκεῖ προπαροξύνεται κατὰ τὸ εἴπωλος. ἔστι δὲ σιοδές [?] ὅλως, οὗ κλυτὴ ἡ ἐπιπώλησις, ἤτοι ἔφοδος. μισοῦσι γὰρ τοὺς θανόντας οἱ ἐπ' αὐτοῖς θρηνοῦντες, ἢ ὁ κλυτοὺς ἔχων ἵππους. Κλυτόπωλος, εὐδοξόπωλος, ἱππικὸς ἀγαθός. Κλυτὸς παρὰ τὸ κλύω, τὸ δοξάζω, γίνεται κλυτὸς, ὁ ἔνδοξος. καὶ κλυτὰ, τὰ λαμπρὰ καὶ ἔνδοξα. Κλυτὸς ἱπποδάμεια, δυσὶ διαλέκτοις ὑπόκειται. φασὶ γὰρ οἱ παλαιοὶ, ὅτι δωρικὴ καὶ ἀττικὴ τὸν ἐν τοιούτοις [?] ἐναλλαγὴ τῶν γενῶν. πολλὰ δὲ καὶ ἕτερα τοιαῦτα πολλαχοῦ δηλούμενα. ὧν καὶ τὸ ἐν ἄλλοις …, … ἐν τῇ κατὰ … καὶ τὸ ἐγγελάσειαί μοι γεωργὸς, καὶ πλάνος φρενῶν, ἡ πλάνη, καὶ φαῦλος οὗτος, καὶ ὁ λὸς λαός [?]. καὶ ἡ ἑορταῖος, παρὰ τῷ Σοφοκλεῖ καὶ τηλικοῦτος, καὶ δεινὴ θεὸς, καὶ μάταιος ἀπόλλω [?]. τὸ δὲ ἦμαρ τῷ, ἀντὶ τοῦ τῇ ἡμέρᾳ. Κλυτὸς ἱπποδάμεια, ὑφέσεις θηλυκοῖς ὀνόμασιν ἀρσενικὰ συντάττεσθαι ἐπίθετα, ὡς τὸ παρ' Ὁμήρῳ. κλυτὸς ἱπποδάμεια, καὶ θερμὸς ἀϋτὴ, καὶ ἠπειρὸς πολιοῖο. καὶ παρ' Ἡσιόδῳ, δαιζομένου πόλεος. ὁμοίως δὲ καὶ τοῖς οὐδετέροις ὀνόμασι προσφέρουσι καὶ ἀρσενικὰ καὶ θηλυκὰ ἐπίθετα, καὶ πάλιν ἀρσενικοῖς τε καὶ θηλυκοῖς ἐπιφέρουσιν. οἷον ἀγχοῦ [?] παιδίον, καὶ κάτοπτρον καλλίστη, καὶ γύναιον ἐρχομένου, καὶ μειράκιον λέγων, καὶ παιδίον βαδίζων. καὶ Ὅμηρος, τέκνον φίλε τοῦ τεκέσθαι [?]. Κλυτὸς ἱπποδάμεια καὶ ἐφὸ … καὶ τὰ χεῖμα, τὰ γυναῖκας. καὶ παρὰ Πλάτωνι, διάγοντε καὶ φέροντε. καὶ Ὅμηρος ἐπὶ ἵππων καὶ ἀθανάτους ἔφη, οὐκ ἄρ' ἐφ' … ἔχων πληγέντε ἀθανάτω, καὶ ἴστοι ἀθάνατοι … καὶ τῶν οὐδετέρων … ἐπίθετα ἀρσενικὰ, ἅτερα, ἃ μετοχὰς τοῖς θηλυκοῖς συντάσσειν, ὡς φαίνεται ἐν τοῖς ἄνω. Κλυτὸς ἔργοις, ὁ ἀλλοτριουργὸς [?]. Κλυτότεχνης, ὁ ἥφαιστος, ὁ ἔνδοξον ἔχων τὴν χαλκευτικήν. ὥσπερ λέγεται ὁ αὐτὸς καὶ αἰθαλόεις θεὸς, ὁ χαλκεύς.

Κλυτότοξος ἀπόλλων καλεῖται, ὡς σὺν τῇ μαντικῇ καὶ μουσικῇ καὶ ἰατρικῇ ἐπιστατῶν καὶ τῇ τοξικῇ, κατὰ τὸν μῦθον. ἔστι δὲ ὡς ἐπιδεικνυμένων [?] δοκούντων εἶναι, ὅτι τοῦ κλύειν καὶ τοῦ κλέος, ὅ ἐστι κλεΐζειν καὶ δοξάζειν. ἐκ μὲν τοῦ κλύειν, τὴν κλυτοτόξον συνίστησι. ἐκ δὲ τοῦ κλύειν, κλυτὴν ἑκατόμβην φασὶ ποιητάς. Κλύων, ἐπακούων. Κλύω, σημαίνει τὸ δοξάζω, καὶ τὸ ἀκούω. ἐκ τούτου κλῦμι, ἔκλυον, ες, ε, κλῦε κλύοντος, κλῦθι καὶ κέκλυθι. Κλύω ποιητικὸν, τὸ ἀκούω κοινόν. ἀφ' οὗ κλυτὸς, ὀνομαστός. καὶ περίκλυτος, ὁ περιβόητος. καὶ ἀγάκλυτος, ὁ ἄγαν καὶ λίαν ὀνομαστός. καὶ τηλέκλυτος, ὁ ἐκ προγόνων ὀνομαστὸς ἢ ὁ περιβόητος [?]. καὶ κλύω, τὸ μανθάνω. καὶ κλύω κακῶς πρός τινος, ἤγουν ἀτιμάζομαι παρά τινος. Κλῶ, σημαίνει πέντε, τὸ καλῶ, ἐξ οὗ καὶ κλῆρος. τὸ ἐπαινῶ, ἐξ οὗ κλεῖ, τὸ ἐπαινεῖ. τὸ κλάω, ἐξ οὗ καὶ κλαίω κλῶ. τὸ φωνῶ, ἐξ οὗ κατὰ παραγωγὴν κλέω [?] κλῶ. τὸ ἐμποδίζω, ἐξ οὗ καὶ κλοιὸν, τὸ ἐμποδίζειν. Κλωγμὸς, ὁ διὰ τῆς γλώττης περὶ τὸν οὐρανίσκον ψόφος, … οἷον οἱ ἐλάται ποιοῦσιν ἵπποις [?]. Κλῶδες, κλῶπες [?]. Κλώδωνες [?], αἱ βάκχαι τοῦ Διονύσου παρὰ μακεδόσιν, αἱ κληθεῖσαι … ἀπὸ τῆς μιμήσεως.

Κλωζέσθαι, καὶ συρίττεσθαι, ἐπὶ δὲ ὅτε καὶ λίθοις βάλλεσθαι.

Κλώζω, τὸ διὰ ψόφου τινὸς χλευάζω, ἀπὸ τῶν κολοιῶν [?], κλώζειν γὰρ ἐπὶ τῆς φωνῆς λέγεται αὐτῶν. Κλώζω, καὶ κλάζω, ἐκ τοῦ κλῶ. κατὰ τὸ κλώζω, λέγονται κλώζεσθαι καὶ ἀποσυρίττεσθαι οἱ ἐν θεάτροις νικώμενοι, καὶ κλωγμὸν πάσχειν.

Κλώθει, κατασπᾷ, ἐπιμερίζει, νήθει, βλαστάνει, καλῶς σύζεται [?]. Κλώθειν, στρέφειν λέγεται. εὔκλωστος, εὔστροφος, καὶ εὔστροφος. Κλωθὼ, ἡ κατακλῶσα, … ἐκ τοῦ αἱ κλωθοὶ, οὗ ἡ εὐθεῖα ἡ κλωθώ. δηλοῖ δὲ τὰς μοίρας, παρωνομασθεῖσας ἀπὸ μιᾶς αὐτῶν τῆς κλωθοῦς. καὶ αὗται μὲν οὕτως. ἴσως δὲ μᾶλλον οὐχ ἁπλῶς μοῖραι, αἱ κατακλῶθες, … ἡ ἁπλῶς μοῖρα. κατακλῶθες δὲ, αἱ μὴ εὐτυχεῖς, διὸ καὶ βαρεῖαι λέγονται. Κλωθὼ, μία τῶν μοιρῶν. εἴρηται δὲ, παρὰ τὸ ἐπικλώθειν ἑκάστῳ τὸ πεπρωμένον. Κλωκοῦσα [?], τὸ … ἐπ' ἀμφοτέροις ποσίν. Κλώμακες, τραχεῖς τόποι.

Κλωμακόεσσαι [?] πολλὰ ἀποκλίματα [?] ἔχουσαι, ἀφ' οὗ τὴν τραχεῖαν καὶ ὀρεινὴν σημαίνει, ἢ κρημνώδη, ἢ δύσβατον. Κλωμακόεν, ἐπὶ ὀχυροῦ τίθεται τόπου, ἐν ᾧ εἰσι κλώμακες, ὁποῖον καὶ ὁ Λευκόφρυν [?] μιμεῖται. ὅ ἐστι τόποι ἢ λόφοι κατὰ τοὺς παλαιοὺς … τραχεῖαι δὲ αὗται, καὶ πετρώδεις, καὶ ἀναβάσεις εἰσὶ κατακλῶσαι τοὺς δι' αὐτῶν βαίνοντας. φυλάττεται δὲ ἡ λέξις … καὶ νῦν, εἰ καὶ μὴ ἀκριβῶς. … περὶ τοὺς παφλαγόνας. οἱ κρημνώδεις τόπους, τοὺς πετρώδεις.

Κλίματα, ὑποδήματα. Κλιματαφόρος, ὁ ἐπὶ κλιμακίου ἔχων τὴν πυράν. κλιμακίς τις τῶν πυρῶν. Κλιμακίδες, αἱ τῶν πλοίων ἀποβάθραι. Κλῖναι, τροπαὶ τῶν μαχομένων. καὶ τὸ περιέχεσθαι ἔξωθεν ὑπὸ ἐχθροῦ, καὶ τὸ σύνεσθαι.

Κλῖναν, ἔστρεψαν, ὑπεχώρησαν. Κλινάριον, κραβάτιον ὑποκοριστικῶς. Κλίνω, παρὰ τὸ κλῶ. κλώθειν γὰρ λαμβάνει τὰ κλινόμενα, περιστρεφόμενα τῆς ὀρθότητος. Κλίνη, τὸ κραββάτιον. Κλίνθη, ἀπὸ τοῦ κλίνω. αἰολικῶς ἐστι τὸ πιστῶν. Κλίνθη, ἐκλίθη. Κλιντὴρ, θρόνου εἶδος, περὶ ὃν ἔστιν ἀνακλιθῆναι, ὡς δηλοῖ τὸ ὄνομα ἢ ἀνακλιντήριος. Κλινίδιον, ὄνομα ὑποκοριστικὸν, τὰ ἀπὸ τῶν εἰς α καὶ εἰς η θηλυκῶν, καὶ τὰ ἀπὸ τῶν εἰς ος οὐδετέρων διὰ τὸ ιδιον γινόμενα οὐδέτερα ὑποκοριστικὰ, διὰ τοῦ ι γράφεται. οἷον μοῖρα μοιρίδιον, ἑταίρα ἑταιρίδιον, κλίνη κλινίδιον, πύλη πυλίδιον, πέρνα περνίδιον, ψυχὴ ψυχίδιον. πλὴν τοῦ γῆ γήδιον, τὸ χωρίδιον, ὃ φυλάττει τὸ η. ξίφος ξιφίδιον, τεῖχος τειχίδιον, καὶ ἕτερα. τὰ δὲ ἀπὸ τῶν εἰς ις θηλυκῶν διὰ τοῦ εως κλινομένων, διὰ τοῦ ιδιον γινόμενα, διὰ τῆς ει διφθόγγου γράφεται. οἷον ὄνησις ὀνήσεως ὀνησείδιον, ἅλυσις ἁλύσεως ἁλυσείδιον, τάξις τάξεως ταξείδιον, δάμαλις δαμάλεως δαμαλείδιον, ῥῆσις ῥήσεως ῥησείδιον, λέξις λέξεως λεξείδιον, κτῆσις κτήσεως κτησείδιον, καὶ ἕτερα. Κλινθήτην, ἐκλίθησαν.

Κλινὶς, ἐπὶ τῆς ἁμάξης νυμφικὴ καθέδρα. Κλινὶς, βάθρον ἢ κλινὶς εἰσθεμένον ἐγκοίλιον, ὅτι λαμβάνει ἀπὸ τῆς κλινίδος. καὶ κλινίδιον, ὑποκοριστικῶς. Κλινοκομοῦντα, ἀσθενοῦντα ἐστὶν ἐν τῷ ἰατρῷ. Κλινοπετὴς, κλινήρης. κλινήρης δὲ, παραλελυμένος. Κλινοχαρεῖς, ἐπὶ δίφρου καθήμενοι. Κλινόστρωχον, τὴν ψιαθίδα. Κλινστὴρ, εἶδος ἀνακλιτός. Κλιντῆρες, εἶδος φορείου ἢ κλινίδιον, ἔχον ἀνακλίσεις, οἷον τὸ νῦν κλινοκαθέδριον. Κλισιάδες, αἱ διπλαῖ θύραι. Κλισία, καὶ σκηνὴ ταυτὸν, πλὴν ὅτι ἡ μὲν κλισία, μιμεῖται πῶς οἰκίαν, πύλας τε ἔχουσα ἔσω, καὶ μοχλὸν ἐπὶ τὰς πύλας. ἡ δὲ σκηνὴ, οὐκ ἀπὸ ξύλων ἐξ ἀνάγκης μόνον, ἀλλὰ καὶ ἀπὸ σινδόνων ἢ πίλων τινὶ συνίσταται. ὅθεν καὶ ἡ σκηνοῦται τὸ ἔθνος παρονομάζονται. δῆλον δὲ, ὅτι ἡ κλισία, καὶ κλισιὰς λέγεται. φησὶ γοῦν Ἡρόδοτος, ὅτι μεγάλας κλισιάδας ἀναπετάσαντες τοῦ τείχους. ἔοικε δὲ ἡ κλισία, ἀπὸ τοῦ κλισίου οὐδετέρου παρονομάζεσθαι. ἔστι δὲ τὸ κλίσιον, δουλικὸν καὶ εὐτελὲς οἴκημα. ὡς δὲ τῷ Δίωνι δοκεῖ, τὸ τῶν προβάτων σηκώδιον καὶ φυλακτήριον οἰκίδιον, εὐτελὲς πάντως ὂν καὶ αὐτό.

Κλισμὸς, ἡ καθέδρα, καὶ ὁ θρόνος, ὁ ἔχων ἀνάκλισιν. παρὰ τὸ κλίνω. Κλίσια, τὰ κυνβοσκεῖα. Κλισία, τὸ ἀνάκλιντρον. ἡ γὰρ ἐν κοινότερον λεγομένη κλισία, οὐ πρὸς καθέδραν, ἀλλὰ πρὸς οἴκησιν ἐστὶν ἡ σκηνὴ οὖσα. Κλισία, παρ' Ὁμήρῳ λέγεται ἔστι, καὶ εὐτελὴς οἴκησις, ἐπεὶ καὶ σταθμὸς αὐτὴ, καὶ μέγαρον, καὶ αὐλὴ, καὶ ἔπαυλις. οὐ μὴν οἶκος ἢ δῶμα ἢ μέγαρον. λέγεται καὶ κλισμὸς, ἤγουν θρόνος, ἔχων τι ἀνάκλιντρον, ᾧ καὶ τάπης ἐξ ἐρίου ἐπιτίθεται προσκεφάλαιον δηλαδή. Κλισία, ἡ στρατιωτικὴ σκηνὴ, ἐπὶ στρατοπέδου κατεσκευασμένη, αὐτοσχέδιος. οὐ δὲ πολιτικὴ, καὶ ἡ καθέδρα. ὡς ἐν τῷ κλισίῃσιν ἐνοικοῦντες. τὸ μὲν ἀπὸ τοῦ ἐκκλίνεσθαι, τὸ περιέχεσθαι. πολλάκις γὰρ Ὅμηρος τὸ κεκλίσθαι, ἐπὶ τούτῳ τίθησι τοῦ σημαινομένου. ὡς ἐν τῷ κεκλίαται, χώρης ὀλίγην ἔτι μοῖραν ἔχοντες, ἤγουν συγκεκλεισμένοι εἰσὶ, καὶ στενοχωρούμενοι. τὸ δὲ ἀπὸ τοῦ ἐκκλίνεσθαι τὸ ὑποφερέσθαι, καθὸ λέγεται τὸ ἀσπίσι κεκλιμένοι, ἤγουν ἐπιφερόμενοι. κλίνη δὲ καὶ κλιντήριον, ἀπὸ τοῦ ἀνακλίνεσθαι. ὀρθὸν μὲν τὸ σῶμα ἱστάναι. καθίζεσθαι δὲ ἐν τῷ καθίζεσθαι, καὶ ὕπτιον ἐπὶ τῆς εὐνῆς ἐν τῷ κοιμᾶσθαι, ἀνακλίνεται. Κλισίον, πανδοχεῖον, ἢ βάσις, ἐφ' ἣν τίθεται ὁ θρόνος.

Κλίσιον, οἰκητικὸς ἐστὶν εὐτελὴς, καὶ οἷον ὡς κλισία, πρὸς ἣν δηλοῦται ἱκανόν. παρὰ μέν τι τοῖς ἀττικοῖς τὸ κλίσιον ἁμαξῶν καὶ ζευγῶν ἐστι δηλωτικόν. λέγεται δὲ ῥωμαίους παρὰ τὴν καλεῖν σκηνὴν καλεῖν. Δίωνι μέντοι τῷ καλῶς τὴν φωνὴν δοκεῖ, κλίσιον εἶναι τὴν σταθμὸν τῶν προβάτων. εὕρηται δὲ καὶ διὰ διφθόγγου κλείσιον. θυρῶν, ἐν ᾧ ζεύγη ἵσταται. καὶ κλεισίαι αὐλαῖς. πυλῶνες, πλατεῖαι θύραι, δι' ὧν καὶ ζεύγη εἰσέρχονται. Αἴλιος Διονύσιός φησι, κλείσιον ὡς κλειδίον, καὶ ὅτι θυρῶν τὸ μέγα. καὶ κλεισίαι αἱ τῶν θύραι πλατεῖαι, καὶ εἰς τὸ ἐκτὸς ἀνοιγόμεναι, παρὰ ἀττικοῖς κλείσιον, ὁ μέγας θυρών. Ὅμηρος δὲ σαφῶς ἐμφαίνει δηλικὸν οἶκον εἶναι παρ' αὐτῷ τὸ κλίσιον.

Κλίσις, ἡ κατ' ἄνθρα κίνησις. Κλίσις ἐπὶ δόρυ ἐστὶν, ἡ ἐπὶ τὰ δεξιὰ κλίσις. ἐφ' ἀνάκλισις, ἡ ἐπὶ τὰ ἀριστερὰ κλίσις. ἐπ' ἀσπίδα κλίσις ἐστὶ, καὶ αὐτὴ ὁμοίως ἐπὶ τὰ ἀριστερά. κλίσις, ἡ πρόκλησις, παραγγελία εἰς κρίσιν, οὕτω Δημοσθένης. Κλισμοῖς, θρόνοις ἔχουσιν ἀνακλίσεις. παρὰ τὸ κλίνω, τὸ ἀνακλίνω. Κλισμοὶ, θρόνοι, ἢ ἀνακλιντῆρες. Κλίσις, ὀνομασία.

Κλίτα, κοιλὰ, ἢ ἐλαίας εἰς τὸ κατακλίνεσθαι. Κλίτεα, τὰς ἀνακλίσεις τῶν ὀρῶν καὶ βάσεις. Κλιτώριον, πόλις ἀρκαδίας. Κλιτόριον, ὄνομα πόλεως. ἀπὸ τοῦ κλύω, κλιτόριον, τροπῇ τοῦ υ εἰς ι. ἔστι δὲ καὶ πηγὴ ἐν ταύτῃ τῇ πόλει, ἧς ὁ γευόμενος ἀποστρέφεται τὸν οἶνον. σημαίνει δὲ καὶ τὸ αἰδοῖον τῆς γυναικός. ὅθεν καὶ κλιτοριάζειν λέγεται, τὸ αἰσχρῶς ἅπτεσθαι.

Κλίτος, τέρος πλάγιον. κεῖται ἐν τῷ κλίτει δὲ, ὁ ταλμουδὶς φησί. Κλιτὸς, τόπος κατωφερής. Κλιτὺς, κατὰ δὲ παλαιοὺς, τὰ ἀνακλίματα καὶ ἐξέχοντα τῶν ὀρέων, παρὰ τὸ ἐκκλίνεσθαι. ὥσπερ καὶ παρὰ τὸ ἀνακεῖσθαι τὰ ἄγκεα. καὶ ἄλλως δὲ φράσαι, κλιτύες οἱ προκείμενοι καὶ προνενευκότες ἐν ἄκρῳ τόποι, οὓς αἱ χαράδραι παρατρώγουσαι καταῤῥηγνῦσιν. ὅτι δὲ καὶ ἐξοχή τινα αἱ κλιτύες δηλοῦσι, δῆλον καὶ ἐκ τοῦ ἀποτμήγουσι χαράδραι. τὰ γὰρ ἐξέχοντα καταῤῥηγνῦνται, χαρασσομένων τῶν ὑπ' αὐτὸ, ἐξ οὗ ἡ χαράδρα παράγεται. Κλοιὸς, ὁ δεσμὸς, ὁ περιτιθέμενος τῷ τραχήλῳ τῶν κυνῶν, καὶ ὁ ξύλινος, καὶ ἴσως τοιοῦτο περιτίθεσθαι τῷ τραχήλῳ, διὰ διφθόγγου, καὶ μέρος τι τῆς νεώς. Κλοιὸς, καὶ κλοιά, τὰ σίδηρα, ἃ φοροῦσιν αἱ καταδίκοι, παρὰ τὸ κλείω κλοιός. κλείω γὰρ τὸ κεκλεισμένα. Κλοῖστρον, κλεῖθρον. Κλοιωτὰ, δεσμοῖς διαβεβλημένα. κλοιὸς γὰρ, εἶδος δεσμοῦ περιτραχηλίου.

Κλοιώτης, ὁ δεσμώτης. Κλονεῖ, ταράσσει, φθείρει, φοβεῖ. Κλονεῖται, φθείρεται, ἔρχεται. Κλονέουσι, θορυβοῦσι, ταράττουσι, καὶ τὰ ὅμοια. Κλόνιον, ἰσχίον, ῥάχις, ὀσφὺς, τὰ αὐτὰ καὶ τὰ ὅμοια. Κλόνιος, ῥωμαλεώτατος, οἱονεὶ ὁ μάχιμος καὶ γενναῖος. καὶ χλουνῶν, προσφέρεσθαι παρὰ τοῖς παλαιοῖς, καθὰ καὶ τὸ χελιδὸς, καὶ ὅδιος, ὡς κόπτειν τὴν βραχύν. Κλονέοντα, ταράσσοντα, ἀπὸ τοῦ κλονῶ. Κλόνος, στρόφος, καὶ εἴλιξ. παρὰ τῷ Ἀριστοφάνει τὴν γαστέρα, καὶ κλόνος ἐξαίφνης αὐτὴν διακρατεῖ τινα, καὶ ἡ ταραχὴ, καὶ ὁ θόρυβος. Κλονούμενος, ταρασσόμενος. Κλοπαὶ, παραλογισμοί. καὶ κλαπέντες, ἀντὶ τοῦ ἐξαπατηθέντες. Κλοπεύειν, παραλογίζεσθαι, ἀπατᾶν, κλεψιγαμεῖν, στρατηγεῖν. Κλοπιστικὸν, κλοπιστικὸν ὑποψίαν τοῦ δ.

Κλοπεῖον, καρπούσιος μάχαιρα, παρίχιον. Κλοπιφορεῖ, τὸ ἐν κλοπῇ φέρει. Κλοπευτὴς, ἐξαλλάκτης, ἀλαζών.

Κλοπιάδον, ἀναβαίνεται παρὰ τῷ ποιητῇ, καὶ δηλοῖ κατὰ τοὺς παλαιοὺς τὸ κλοπιάδων, καὶ οἷον παρακλέπτειν τὸν καιρὸν, ἢ τὸ κλοπιάδον, καὶ οἷον καλλιλογεῖν. καὶ κλοπῆς ἔνδον ἀλιτήριον, καὶ οὕτω καταργεῖν ἐν κύκλοις. Κλύδιον, πίλαγος. Κλυδὼν, χώρα. καὶ ἡ τοῦ ὕδατος φορὰ, ἢ κυμάτων σφοδρότης. Κλυδωνίζονται, ταράττονται, περιφέρονται. Κλυδώνιον, τὸ κῦμα τῆς θαλάσσης, ἐκ παρὰ τῷ

δὲ ἔξωθεν ἀνοιγόμενον, καὶ ἀποκλειόμενον, καὶ ἐπεζευγμένον τὴν θύραν. Κληῖδα, ἀντὶ τοῦ κλεῖδα. καὶ συστεῖλαν, ἀντὶ τοῦ συστεῖλαι. Κληῖδας, τὰς κλεῖδας. Κληῖδες, παρ᾽ Ὁμήρῳ ἐν Ὀδυσσείᾳ ἐν τῷ ς΄, ὅπου λεγόμεναι κατακληῖδες, ὡς ἐφ᾽ ἃς αἱ κῶπαι κάθηνται. Κληῖδες, αἱ τῶν ἐρεσσόντων καθέδραι. καὶ φεῦγε σὺν νηυσὶ πολυκληῖσι κελεύων, παρὰ τὴν κλάσιν τῶν ἐρετῶν. ἔθεν καὶ τὸ μετακλάζειν, παρὰ τὸ ἐγκλᾶν, καὶ ἐναλλάσσειν τὰ γόνατα. Κληιζόμενος, φημιζόμενος. Κληΐζω, τὸ καλῶ. Κλήθρον, ὁ περὶ τὴν κατάλυσιν τόπος ὑπὸ τοῖς νεκροῖς, παρὰ τῷ Ἱπποκράτει. Κληῖς ἡ τῶν ἐρεσσόντων καθέδρα. κληῖδες, τὰ ζυγά, ἐφ᾽ ὧν οἱ ἐρέται κάθηνται.

Κλεῖς, πολλὰ δηλοῖ. ὥσπερ καὶ τὸ κλειδίον, καὶ ἡ κλείς. λέγεται καὶ ἐπὶ μέρους ἐνιαυτοῦ, ὡς Ἀθήναιος παραφραζόμενος. οἷον κλεῖδες μὲν ὅπλαι διαπαρθενευόμεναι. πρὸς ὅπερ πυθομένου τινός, τὸ ἄρκ᾽ εἰς τὰς θύρας κλείουσιν; ἐπάγεται ἀπόκρισις, τὸ θύρσου μὲν οὖν σημεῖον βρῶμα. οὕτω δὲ καὶ ὀρφῶν κλειδία, οἷον ἐν γαλεοῖς τὰ κλειδία τῶν ὀρφῶν, καθ᾽ αὐτὰ τυγχάνοντα κλειδίων θύρας, χρῆσις παρὰ τῷ κωμικῷ, εἰκὸς δὲ κατασκευάσαι τὰ κλειδία, τὰ κρυπτὰ καὶ διαπεπλασμένα.

Κληΐζετε, ὑμνεῖτε. Κλήισαι, οἱ ἀρχαῖοι λέγουσιν οὕτως, οἱ κλεῖσαι, ἢ κλεῖδα. Κλεῖσι, ταῖς κατακλεῖσι τῶν πλοιαρίων. Κλειδείσης, ἀντὶ τοῦ κλαδείσης ἰωνικῶς λέγεται. διαλύουσι γὰρ τὴν ει δίφθογγον, εἶτα ἐκτείνουσι τὸ ε εἰς η.

Κληῖσαι, ἠσφαλισμέναι. Ὅμηρος, κληῖσαι δ᾽ ἐπέθηκαν σανίδες πυκινῶς ἀραρυῖαι. Κλῆμα, ἀπόσπασμα. Κληματίνων, τραχεῖαν καὶ ὀρθήν. Κληματίδες, αἱ ἐκ τῶν κλημάτων δέσμαι. Κληματίς, ἡ ἄμπελος. Κληματικοί, ἰσχροὶ καὶ ἄσαρκοι. Κληροδοσία, κλῆρος, μερίς. Κληροδοτεῖσθαι, λαχμῷ δίδοσθαι. Κλῆροι, αἱ δύο διαθῆκαι. Κληρονόμος, παρὰ τὸν κλῆρον καὶ τὸ νέμω. τὸ δὲ κλῆρος, παρὰ τὸ κλῶ. ἢ διὰ τὸ κάλον καὶ τὸ ξύλον, κλῆρος γέγονεν. ἐπειδὴ ἐν ξύλῳ οἱ κλῆροι ἐχαράσσοντο. Κληρονομῶ, ὡς ἐπὶ τὸ πλεῖστον μὲν, γενικῇ συντάσσεται. ἅπαξ δὲ, αἰτιατικῇ. Ἀπολλώνιος, πῶς ἀπορρίπτον τὸ κακῶν ἄξιον κληρονομήσαντα. Λουκιανός, ὡς κληρονομήσαιμι τῆς βακτηρίας αὐτοῦ. καὶ αὐτὸς κληρονομήσει ἀποθανόντος ἐμοῦ τὰ κτήματα. κληρονομῶ τέρδε ἡ ἀρχαία χρῆσις οὐ λέγει, ἀλλὰ τοῦδε. Κληρονομῶ, ὅτε σημαίνει τὸ μετέχω καὶ λαμβάνω, γενικῇ. Κλῆρός ἐστι σημεῖον, ὃ, ὡς ἐμβάλλει τῷ ἀγγείῳ τοῦ λαχμοῦ, ψηφὶς τυχὸν ἢ δακτύλιος, ἢ βῶλος ἄρουρας, κατὰ Σοφοκλέα, ἤ τι τοιοῦτον. τὸ δ᾽ αὐτὸ, καὶ πάλον λέγεται. ἀλλὰ τοῦτο μὲν παρὰ τὸ πάλλω, τὸ κινῶ. κλῆρος δὲ, ἀπὸ τοῦ εἴδους τῆς κινήσεως. παρὰ τὸ κλῶ, τὸ καλῶ. διὸ ἐπικληθέντος καλεῖται ἐπὶ εἰς ἔργον, ἢ μᾶλλον ἀπὸ τοῦ καλὸν τὸ ξύλον, κατὰ Ἡρωδιανόν. ὡς ξύλον μάλιστα πάλλεσθαι διδόμενον ἐν τοῖς τοιούτοις. ἰστέον δὲ, ὅτι ὁ μὲν κλῆρος, καὶ πάλος λέγεται, κατὰ πολυωνυμίαν. παρὰ δὲ τοῖς ὕστερον, ἀπὸ τοῦ κλήρου, καὶ τὸ κληροῦν, καὶ τὸ κληροῦσθαι λέγεται. οἱ παλαιοὶ κλήρους νοοῦσι, καὶ τοὺς ὑπὲρ μαντείας μισθούς. ἐν δὲ τῷ Δίλτῳ κλήρους ἐνδιδεγμένον, κλήρους λέγει οὐ τὰς μαντείας, ἢ σημεῖα ἅπερ διδόμενα τῷ μάντει, ἐξ ὧν ὁρώμενος προφητεύει.

Κλῆρος, οὐσία, ἢ λαχμός. λέγεται κλῆρος, καὶ τὸ σύστημα τῶν διακόνων, καὶ πρεσβυτέρων. κλῆρος ἐστὶ ἡ κληρονομία. κλῆρος, μέτρον γῆς. ὅθεν καὶ οἱ κληροῦχοι, ἀντὶ τοῦ οἱ τοὺς κλήρους καὶ τὰ μέτρα τῆς γῆς κατέχοντες. Κλῆρος, τὸ Καλλίμαχος εἰς τὸ λαχεῖν, ἢ τύχος, ἡ οὐσία, ἡ μέρος, καὶ σπανιώτερον ἢ ἐμοὶ γεγενημένον. Κληροῦται, διαιρεῖται. Κληρουχία, διανομία.

Κλήρου σῆμα λέγει Ὅμηρος, ἢ περιφραστικῶς τὸν κλῆρον. ὁ κλῆρος μὲν, τὸ σῆμα τὸ διδόμενον πάλλεσθαι. σῆμα δὲ, τὸ ἐν αὐτῷ γεγραμμένον σημεῖον. διό φησι κλῆρον ἐσημήναντο ἕκαστος, οὐ γράμματα δὲ ὁποῖον ἐξ ἀνάγκης τὰ τοιαῦτα σήματα, εἴδωλα δὲ ἴσως, ἢ ἁπλῶς ἐκτυπώματα ἐν ἀποκειμένῳ ἐπιδεῖ λιθιδίῳ τυχὸν, ἢ ξυλαρίῳ, ἢ τοιούτῳ τινί. Κληρουχικήν, πόλιν ὁ Δημοσθένης, ὡς ἄγροικος τὴν ἰδιωτικὴν λέγει, τὴν ὑπὸ κλήρου διδομένην, τὴν τελοῦσαν. ἐπειδὴ οἱ Ἀθηναῖοι λαμβάνοντες πόλιν πολεμίαν, καὶ τοὺς οἰκοῦντας ἐκβάλλοντες, κλήρῳ τὴν γῆν αὐτῆς διένεμον. ἢ κληρουχικὴν λέγει, τὴν γεωργικήν. κληροῦχοι γὰρ οἱ γεωργοί, διὰ τὸ τοὺς αἰγυπτίους κλήρῳ μερίζειν τὴν αὐτῶν γεωργίαν. Κληρούχους, γεωργούς. Κληροῦχοι. κληροῦχοι ἐκαλοῦντο, οὓς Ἀθηναῖοι ἔπεμπον ἐπὶ τὰς πόλεις ἃς ἐλάμβανον, κληρούχους ἐκάλεσαν διανεμοῦντες. Κληροῦχος, ὁ δεσπότης, καὶ ὁ γεωργός. Κλήρων, μερίδων.

Κληρώσας, μερίσας. Κληρωτὰς λέγει Δημοσθένης, τὰς κληρωτικὰς ἀρχάς. Κληστιάδας, τὰς θύρας τῆς σκηνῆς.

Κλήσιαθρον, σύναξον. Κλῆσιν, τὴν μαρτυρίαν λέγει Δημοσθένης ἐν ταῖς Φιλιππικαῖς. καὶ κλῆσιν, λέγει ὁ αὐτὸς ἐν ταῖς φιλαις, τὴν ἐν ταῖς δίκαις εἰσαγωγήν. καλοῦνται δὲ εἰς τὰ δικαστήρια. κλήτορες δὲ τῶν δικῶν τῇ λ΄ φασὶ γενέσθαι, ὅπως ὁ κληθεὶς εἰς τὴν δίκην ἔχῃ τὴν προθεσμίαν ὅλην εἰς τὸ σκέψασθαι περὶ αὐτῆς, καὶ μὴ ἀπερίσκεπτος ζημιωθῇ. κλῆσις μέν ἐστιν, ἡ εἰς ἕν τι τῶν δικαστηρίων. πρόσκλησις δὲ, ἡ εἰς ἄρειον πάγον. Κλῆθρον, ἀντὶ τοῦ κλεῖθρον παρὰ τῷ κωμικῷ, ἐκ τοῦ κλείζω, κατὰ συναίρεσιν κλῆθρον. Κλητεύει, καλεῖ εἰς δικαστήριον. Κλητεύσεις, μαρτυρεῖς. Κλητή, κεκλημένη. Κλητῆρα, τὸν καλέσαντα, ἢ φρουρεῖς. Κλητή, ἡ καλλίστη καὶ ἡ ἐξοχωτάτη. ὡς τὸ, αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα. κλειτὴ δὲ, κῶμον. καὶ ἡ ἔνδοξος, δίφθογγον. κλιτὴ δὲ, ἡ κλινομένη ἰῶτα. Κλητῆρες, οἱ καλοῦντες εἰς τὸ δικαστήριον πάντας. σημαίνει δὲ ἡ λέξις καὶ τὸν μάρτυρα. καὶ κλητεύσειν δεῖ ἐστι, τὸν κλητῆρα γενέσθαι. ὡς Ἰσαῖος ἐν τῷ κατὰ Κλεομέδοντος. λέγεται δὲ κλητεύεσθαι καὶ ἐκκλητεύεσθαι, ἐπὶ τῶν μαρτύρων, ὅταν μὴ ὑπακούωσι πρὸς τὴν μαρτυρίαν ἐν τοῖς δικαστηρίοις. καὶ ἦν ἐπιτίμιον κατ᾽ αὐτῶν δραχμαὶ χίλιαι, ὡς Ἰσαῖος ἐν τῷ ὑπὲρ πάθους ἀποστασίου. Κλῖτος, τὸ πλάτος. κλίτος δὲ, τὸ μέρος καὶ κλίμα, καὶ κλίματα, τὰ μέρη, ἰ. καὶ κλεῖτος διὰ τῆς ει, σημαίνει τὴν δόξαν καὶ τὴν συνάθροισιν.

Κλῆτος, δόξα. Κλητός, ὁ κεκλημένος, ἢ μὴ αὐθαίρετος ἐλθών. Κλητικὰς, καὶ εὐθείας, ἴσως οἱ ἀττικοὶ ἐκφέρουσιν. οἷον, ὦ οὗτος, ὦ φίλος, οἷας διηγῇ σὺ προσφωνῶν. Κλητικὰς ἐκφέρουσιν, ἀντὶ εὐθειῶν, τῶν ἀττικῶν ἐστιν. οἷον νεφεληγερέτα Ζεὺς, ἀντὶ τοῦ νεφεληγερέτης. Κλῆτροι, κλῆτρα. Κλητήρ, καλούμενον, κλῆσιν. Κλήτωρ, κῆρυξ, ἄγγελος, ὑπηρέτης, μάρτυς. Κλειτώριον, κλοπικαῖον, τὸ ἀπὸ κλοπῆς πρᾶγμα. Κλητώριον, ὁ βασιλικὸς δεῖπνος, ἢ τράπεζα. Κλίβανος, φοῦρνος, ἢ κάμινος. Κλίδιο, τόπος. Κλιθῆναι, ἀνακλιθῆναι, ἀνακλίνεσθαι. Κλίμακα καὶ κλιμακωτὸν λέγουσιν οἱ παλαιοί. ἕτεροι δὲ ἐποίκοδόμησιν. γίνεται δὲ σχῆμα κλιμακωτὸν, ὅταν τὸ λῆγον τῆς φράσεως ἐννοίας, ἀρχὴ γίνηται τῆς ἑξῆς. οἷον ὡς εἴ τις εἴποι, ὁ βασιλεὺς ἀγαθός. ὁ ἀγαθός, ἀγαθὰ ποιεῖ. ὁ ἀγαθὰ ποιῶν, εὐεργετεῖ. ὁ εὐεργετῶν, θεὸν μιμεῖται. τοιοῦτον δὲ, τὸ ἄφαιος μὲν ἔδωκε Διΐ, Ζεὺς δὲ τῷ Ἑρμῇ, Ἑρμῆς δὲ, καὶ τὰ ἑξῆς. Κλιμακίδες, ὁ δεματικὸς δίφρος. Κλίμακες, πάλαισμα εἶδος. Κλίμα, τόπος. Κλίμακες, ξύλα ὀρθά. Κλιμάξαι. Δείναρχος, ὅταν οὖν κλιμάξῃ, καὶ παράγει τὸ νόμος, ἀντὶ τοῦ χαρακλίνει, καὶ τρίπει. μάλιστα δὲ δεῖ γράφειν κλιμάξει, ἀντὶ τοῦ ἐκθλίβει καὶ βιάζεται. Κλιμακισμός, πάλαισμα ποιόν. ἢ διακλιμακίζεις, τὸ διακαλυπτίζεις. Κλῖμαξ, ἡ σκάλα, καὶ εἶδος παλαίσματος. Κλιμακίζω, τὸ ἀνατρέχω. Κλιμακοῦσσαν, κλίμακα ἔχουσαν ὑψηλήν. Κλιμακισμοί, πάλαισμα ποιόν. Κλιμακτῆρες, οἱ τῆς κλίμακος βαθμοί.

Κλίμακα,

ἀρτιγέννητοι παιδία. Κλειτὸς, ὁρατὸς, ἔνδοξος, ὀνομαστός.

Κλείσιμι, ἄδειμι. Κλείομαι, ἐπικαλοῦμαι. Κλείεσθαι, ὑμνεῖσθαι. Κλεισόριον, πυλῶν, ὅπου ἐτίθεσαν τὴν [illegible] εἰς κοίτην. Κλείσωνες, κόσμος τις τοῦ καλουμένου γένους.

Κλεῖθρον, κλειδίον. Κλεὶς δὲ τῆς βασιλείας τῶν οὐρανῶν, χάρισμα πνευματικὸν, τὸ περὶ πρακτικῆς καὶ φυσικῆς καὶ θεολογικῆς τῶν λόγων ἀποκαλύπτον. Κλείζετε, εἴπατε. Κλειδοῦχος, διαβεβλῆσθαι ἐπὶ μοιχείᾳ, ὡς γυναικεράστης. Κλείσιον, ἐν ᾧ ἵστανται οἱ βόες. κλίσιον δὲ, ἔνθα οἱ θρόνοι ἵστανται ἴδια. Κλισίς, ἡ σκηνή. Κλασμὸς, τρόπος, κλίσις, κλίνης. Κλασθὲν, κατακλασθέν. Κλειδοῦχαι, οὕτω καλοῦνται τὰ ὀχυρώματα τῶν διαβαινόντων τῇ πατρίῳ τῶν ῥωμαίων φωνῇ. Κλειταμίου, καὶ ὁ οὐράνιος ἄρχων.

Κλειταγόρα, ὄνομα τι εἶδος, καὶ λέσβια τὸ γένος. Κλιθῆναι, λίγεσθαι, ἱμεῖραι, ἀλλᾶσαι. Κλειτύς, κλίμαξ, γωνία, ἡ ἀρχαία λέξις, ἡ ὀνομαστὴ, κλειτή. Κλειτὴ, ἔνδοξος, σημαίνει καὶ ὄνομα γυναικὸς μιᾶς τῶν ἀμαζόνων. Κλειτόριον ὕδωρ, ποταμὸς ἀρκαδίας. κλειτορίον φασὶν εἶναι οἱ κρῆτες.

Κλειτόπωλος, ὁ περὶ τοὺς ἵππους ἔνδοξος. Κλειτοφάρον, τὸ ἀκολάστως ἀπέχεσθαι τοῦ γυναικείου αἰδοίου, ἤγουν τὸ ψηλαφᾶν. Κλειτὸς, ἔνδοξος. καὶ κλυτὸς, ὀνομαστός. οὐκ ἀντιστρέφει δὲ, οὐ γὰρ εἴ τις κλυτὸς, ὁ ὀνομαστὸς, οὗτος καὶ κλειτὸς, ἤγουν ἔνδοξος. πολλοὶ γὰρ ἐπὶ κακίᾳ ὀνομαστοί. Κλειτὺς, ὁ μὲν δίων τὸ κατωφερὲς τῶν ὀρῶν. ἄμεινον δὲ τὰ ἀποκλίματα καὶ ἐξέχοντα τῶν ὀρῶν, παρὰ τὸ κεκλίσθαι, ἢ παρὰ τὸ κλιτὺς, ὃ σημαίνει τὸ κλῖτος, γίνεται κλειτὺς, καὶ πλεονασμῷ τοῦ ι κλειτύς. Κλείω, τὸ δοξάζω παρὰ ποιηταῖς, ἀπὸ τοῦ κλέος. κλείω καὶ τὸ ἀποκλείω παρὰ τοῖς κοινοῖς, ἀφ' οὗ τὸ κεκλεῖσθαι παρ' Ὁμήρῳ, ἀντὶ τοῦ συγκεκλεισμένοι εἰσί. παρ' Ὁμήρῳ κλείω κατὰ ἀπείρονα γαῖαν, μέλλον ἀντὶ χρόνου λαμβάνεται. ἀντὶ γὰρ τοῦ δοξάσω μέλλοντος εἴρηται, ἐν ὀδυσσείας ρ'. Κλειὼ, ὄνομα μιᾶς τῶν μουσῶν. Κλείομεν ὀνομάζομεν, παρὰ τὸ κλέω, ἢ παρὰ τὸ κλύειν, ὅπερ ἀκούειν. Κλέζω, καλῶ, φωνῶ. Κλεῖθρον, κλειδίον. Κλειμάδιον, κλοπαῖον.

Κλέμματα, καθ' ἡμέραν κλέμματα ποιούμενος, ἀντὶ τοῦ φωράματα προτιθέμενος τοῖς ἵπποις θρέμμασι. Κλέμμιν, λίγρον ἀνακλιτόν. Κλεμμὸς, χελώνη. Κλέμμυδον, κορίαιον. Κλεόβιος, ὄνομα ἱερέως τῶν εἰδώλων.

Κλέος, κλείζω, κλεΐζω, κλέζω. Κλέος ἐσθλὸν, ἡ εὔκλεια. ὡς εἴ τις εἴποι φήμη ἐσθλή. τὸ μέντοι μὴ ἐσθλὸν, δύσκλεια. Κλέος, ἡ δόξα, καὶ ὁ ἔπαινος. κλεῖος δὲ, τὸ ὄργανον, διφθόγγῳ. Κλέος ἐσθλὸν, περίφρασις ἤγουν ἡ εὔκλεια. δῆλον δὲ ὡς ἡ δύσκλεια, κλέος ἐστὶν οὐκ ἐσθλόν. καὶ ὅτι κλέος ἁπλῶς ἡ φήμη, μέση λέξις οὖσα παρὰ τοῖς παλαιοῖς. συγγραφικὴ καὶ χαλεπὴ φήμη, ταυτόν. οὕτω καὶ τὸ κλέος ἀρετῆς, καὶ τὸ ἄσεμνον χάριεν. Κλέομαι, ἐπικαλοῦμαι, εὔχομαι.

Κλεόπας, ὄνομα κύριον. Κλεοφῶν, στρατηγὸς τῶν ἀθηναίων, καὶ εἰς τοῦτον τὸ δημαγωγὸν δρᾶμα φέρεται πλάτωνος, καὶ ἐπιγράφεσθαι ὁμωνύμως αὐτῷ κλεοφῶν. τοῦτον κωμῳδεῖ ἀριστοφάνης, ὡς ξένον, καὶ ἀμαθῆ, καὶ φλύαρον. Κλέπας, πρότερον πυλῶδες, ἢ δασὺ, ἢ ὑγρόν. Κλέπτε, συγκρύπτε, ἐπιθυμεῖ, ἐξαπατᾷ. Κλέπτειν, τὸ μὲν διὰ ταῖς χερσὶ, τὸ δὲ διὰ λογισμῷ. φησὶ γοῦν ὁ ποιητὴς μηδ' οὕτως ἀγαθός περ ἐὼν κλέπτε νόῳ, ἀντὶ τοῦ παραλογίζου καὶ θέλε ἀπατᾶν. ἔτι μὲν οὗτος ὁ λόγος, πρᾶγμα ἐπαίνου, καὶ ψόγου. ἔπαινος μὲν γὰρ, τὸ ἀγαθὸς περ ἐών. ψόγος δὲ, τὸ μὴ κλέπτε νόῳ. Κλέπτεσθαι, θέλειν, ἐπιθέσθαι, συρίνεσθαι, ζητεῖν, ἐπιθυμεῖν. Κλέπτε νόῳ, παραλογίζου τῇ διανοίᾳ. Κλέπτης, ὁς κρυφῇ τὰ ἀλλότρια λαμβάνεσθαι ἐπὶ βλάβῃ τοῦ κεκτημένου ἀπὸ τοῦ καλύπτειν,

καλύπτης, καὶ κλέπτης. λάθρα γὰρ ἀφαιρεῖται. Κλέπος, ὑφαιρόν, κρυφὸν, δασύ. καὶ φώσιον κλέμμα. Κλεπτομένου, χλευαζομένου. Κλέπτειν, ἀντὶ τοῦ κλεπτικὸν, λανθάνειν. ὡς δὲ καὶ κλέπτειν βλέπειν. κλέπτειν δὲ βαρέως ἀττικοί, κατὰ καὶ εὐριπίδης φησίν. Κλεπτόμενοι, ἀπατώμενοι. Κλέπτω, συλῶ, λωποδυτῶ. Κλέπτω τὰ χρήματα. σημαίνει δὲ οὐ μόνον τὸ ὑφαιροῦμαι, ἀλλὰ καὶ τὸ ἀπατῶ. Ὅμηρος, κλέπτε νόῳ, ἀντὶ τοῦ παραλογίζου, καὶ θέλε ἀπατᾶν. καὶ κλέπτω, τὸ δωροδοκῶ, κλέπτω ὁ μέλλων κλέψω, ὁ ἀόριστος ἔκλεψα, ὁ δεύτερος ἔκλαπον. κλέπτει τῶν θεῶν τὰ ἱερὰ, καὶ τοὺς θεούς. κλέπτειν, τὸ μὲν διὰ χειρῶν, τὸ δὲ διὰ λογισμῷ. Κλέπτω, τὸ δωροδοκῶ. Σιμωνίδης, φοβοῦ τοὺς δικαστὰς, ἂν μὴ κλέπτωσι, ἤγουν ἂν μὴ δωροδοκῶσι. κλέπτειν δὲ τὰς βλέψεις, τὰ ὑποκλέπτειν. Κλέπτω κλεπτὸς, ἀκροάσομαι. Κλεῦ, τὸ κεῦθος.

Κλεύθομαι. ἀπὸ κεύθομαι, καὶ πλεονασμῷ τοῦ λ κλεύθομαι. Κλεύσομαι, κελεύσομαι, παραγίνομαι, ἐλεύσομαι.

Κλεύθομαι, κελεύομαι, ἐλεύσομαι. Κλευσόμεθα, ἀκούσομεν, φθεγξόμεθα. Κλέψαι, κλέπτειν, τὸ τῶν ἀλλοτρίων ἐπιθυμεῖν. Κλεψίμβροι. λαμπροὶ μέλη ζῷα παρὰ ἀλκμᾶνι.

Κλεψιποτῶ, τὸ φειδωλῶς πίνω, καὶ φυλάττω. Κλεψύδρα, ὄργανον ἀστρολογικὸν, ἐν ᾧ αἱ ὧραι μετροῦνται. Κλεψίρρυτον, ὕδωρ τὸ τῆς κλεψύδρας. αὕτη δὲ ἐστὶ κρήνη ἀθήνησιν ἀπὸ τῆς ἀκροπόλεως ἐπὶ σκελίους εἴκοσιν ἀπὸ τῶν φερομένων, ὡς ἂν τὰ ἐπὶ ἀλλήλοις πάλιν θεωρεῖται, ἀρχομένων τῶν ἐτησίων. Κλεψύδρα, ἡ πηγή. διὰ τὸ ποτὲ μὲν πλημμυρεῖν, ποτὲ δὲ ἐνδεῖν. Κλεψυδροῦν, τὸ διακενοῦν. Κλεψύδρα, ἀγγεῖον τετρημένον, ἐν ᾧ ὕδωρ ἔβαλλον, καὶ εἶχον ῥεῖν ὄχετοῦ τῆς ὀπῆς, καὶ οὕτως ἔλεγον τὴν ῥῆσιν. νῦν δὲ ἐπείσω, διὰ τὸ φλυαρεῖν ἢν λέγοντα, καὶ ἐκκαλοῦν ἄλλους εἴθισται λέγειν, ἵνα τὰ ποικίλα λέγειν, ἐξέλθῃ. κλεψύδρα, καὶ κρήνη ἐν τῇ ἀττικῇ, ἡ ὡς ἐμπεδὼ προσηγορεῦσιν. Κλεωναὶ, πόλισμα φασὶν ἐπὶ τῇ ὁδῷ τῇ ἐξ ἄργους εἰς κόρινθον, ἐπὶ λόφου περιοικουμένου πανταχόθεν καὶ τετειχισμένου καλῶς. ἀπέχει δὲ ἄργους μὲν σταδίους ὀγδοήκοντα, κορίνθου δὲ ὀγδοήκοντα. ἐνταῦθα καὶ ἡ νεμέα, μεταξὺ κλεωνῶν καὶ φλιοῦντος. καὶ τὸ ἄλσος, ἐν ᾧ τὰ νέμεια συντελοῦσι. καλοῦνται δὲ κλεωναὶ ἀπὸ κλεώνης, τῆς ἀσωποῦ, τοῦ ὠκεανοῦ καὶ μελίσσης, τῆς καὶ παρὰ τῶν πινδάρῳ. κατὰ δὲ ἴσως ἀπὸ τοῦ νεμέου λέοντος, ὃν ἀνεῖλεν ἡρακλῆς, οἰονεὶ λεωναί. πληθυντικῶς δὲ αὐτὴ ἀεὶ λέγεται. ὁ μέντοι κλεωναῖος, περί που τῶν ἀλλομένων κέρκων, αὐτὸ ἐκεῖθεν, καὶ διὰ δύο ν γράφεται. Κλεωνάδαι, ῥαφανίδων τι γένος, ἀπὸ τοῦ ἐν κλεωναῖς εἶναι. Κλεώδεα, φραγμοί.

Κλεώδω, κλωκαῶς, καλιστικῶς. Κλεωδὸν, στερεόν.

Κληδὼν, μαντείας, ἢ θείας φήμης. παρὰ τὸ κλέος, ὃ σημαίνει τὴν φήμην. Ὅμηρος, ἡμεῖς δὲ κλέος οἷον ἀκούομεν. ἀπὸ τοῦ καλῶ, κλῶ, κληδὼν. ἐξ οὗ καὶ κλῆσις, ἡ κάλεσις.

Κληδονίζεσθαι, μαντεύεσθαι, ἢ φημίζεσθαι. κληδονίζεσθαι δὲ, ἀντὶ τοῦ ταραχίζεσθαι, τὸ ψιλὸν καὶ μέγα. Κληδόσι, φήμαις.

Κληδοῦχος, γυνὴ, ἀπὸ τοῦ τὰς κλεῖς τῆς οἰκίας ἔχειν.

Κλῆδον, καλὸν ἐξ ὀνόματος. Κληδὼν, κλέος, δόξα, φήμη. Κλῄζω, τὸ φημίζω. εἴρηται ἐκ τοῦ καλύζω, καὶ κλῄζω, τὸ δοξάζω. Κλεῖθρα, τὰ κλειδία, ἀπὸ τοῦ κλεὶς, γίγνεται κλῆθρα, ἢ ἀπὸ τοῦ κλείσω. τὸ δὲ κλείω, οἱ ἴωνες διὰ τοῦ η καὶ ι γράφουσιν, ἐξ οὗ καὶ τὸ κλῆθρα, διὰ τοῦ η καὶ ι γράφουσιν. ἡμεῖς δὲ τὸ κλεῖθρα, διὰ διφθόγγου γράφομεν. Κλῆθρα, δένδρον εἶδος. ἢ μοχλός. Κλῆθρος, δένδρον. καὶ κλῆθρα. Κληΐδα ἐνόησεν, ἐν τῇ α' τῆς ὀδυσσείας, κληΐδα λέγει, οὐ σκεῦος ἀπὸ σιδήρου, ἀλλὰ καὶ μοχλόν. ἔνδον μὲν τῆς θύρας ἐζευγμένον, καὶ ἐπὶ τὰ κάτω καθιέμενον, ἤτοι κεχαλασμένον. ἱμάντα δὲ

Κλαζομένιοι, οὕτω κωμῳδοῦνται, δοκοῦσι γὰρ ἐπιτήδειοι προσιέναι. Κλαζομένιος. οὗτος Ἡρακλείδης, ὁ κλαζομένιός τε καὶ ὁ βαιὸς καλούμενος. Κλαζομένη, καὶ Κλαζομεναί, πόλις. Κλαζομενίς, ἀντὶ τοῦ εἰπεῖν πορεύομαι εἰς ἀγῶνα, πορεύομαι σὺν ἀγῶνι φωστικῶς καὶ ἀντεφῶν, σὺν πατρίδι βαίν, ἀντὶ τοῦ εἰς τὴν πατρίδα πορεύεσθαι. Κλαζόντων, κραυγαζόντων. Κλάζειν, βοᾶν, διασχίζειν, κλαίειν, ὃ καὶ λάσκειν, ἀντὶ τοῦ σημαίνειν διὰ φωνῆς τὴν πορείαν. Κλάσαι, κλασθῆναι. Κλαμβάνομαι, ἀμβεβαίως. Κλαίω, κλάω λέγουσιν ἀθηναῖοι. οὕτω δὲ καὶ τὸ καίει κάει, αἰεὶ ἀεί, αἰετὸς ἀετός. αἰολεῖς δὲ τὸ παλαιὸς καὶ ἀρχαῖος καὶ ἑταῖρος, παλαὸς καὶ ἀρχαὸς καὶ ἕταρος. ἴωνες δὲ σὺν ἀττικοῖς τὸ χρύσεος ἀργύρεος χάλκεος, καὶ τὰ ὅμοια χρύσεός φασι καὶ ἀργύρεος καὶ χάλκεος. ὡς δὲ οἱ αἰολεῖς πολλάκις ἐν ταῖς διφθόγγοις τὸ ι ἀποβάλλουσιν, οὕτω ἀρκοῦνται μόνῳ τῷ … ὡς ἐν τῷ ἀργεῖ … αἰγίδας ἀργεῖος … λέγουσι καὶ αὐτοὶ οἱ παλαιοί. Κλαιόν, τὸ καιόν καὶ κλαῖς, μοχλός. Κλαίω, διχῶς παράγεται, ἢ ἐκ τοῦ κλῶ, τὸ κλάω. διακλᾶται γὰρ ἡ φωνὴ τῶν ἀνθρώπων ἐν τῷ κλαίειν, καὶ ἡ ψυχὴ ἢ τὸ κλᾶσθαι παρέχουσα. ἢ ἀπὸ τοῦ κλῶ, κλαίω, τοῦ σημαίνοντος τὸ καλῶ. εἰώθασι γὰρ οἱ ἄνθρωποι καλεῖν τοὺς ἀποθανόντας ἐν τῷ κλαίειν καὶ θρηνεῖν. ἢ ἐκ τοῦ καλῶ, κλαίω, κατὰ συγκοπήν. εἰώθασι γὰρ αἱ κλαίουσαι ἀνακαλεῖσθαι τοὺς τεθνεῶτας, τὸ παθητικὸν κλαίομαι. αἴτιον τῆς τῶν παθητικῶν ῥημάτων γενέσεως, ἡ τῶν ἐνεργητικῶν πλαγίων μετάβασις, εἰκότως καὶ τὰ παθητικὰ ἅμα τῶν προκειμένων ἐνεργητικῶν τοῦ κλαίω καὶ θρηνῶ καὶ τῶν ὁμοίων ὑφίσταται. Κλαίω, κλαύσω. καὶ καίω, καύσω. διὰ τί ἐπλεόνασε τὸ υ ἐπὶ τοῦ μέλλοντος τοῦ κλαίω καὶ καίω. ἐπὶ δὲ τοῦ παλαίω παλαίσω, καὶ παίω παίσω, οὐκ ἐπλεόνασε τὸ υ. ἐπειδὴ ἐφ᾽ ὧν οἱ ἀθηναῖοι τὸ ι ἀποβάλλουσι κατὰ τὸν ἐνεστῶτα, ἐπὶ τούτων ὁ μέλλων πλεονάζει τὸ υ. καὶ ἐπειδὴ ἐπὶ τοῦ καίω καὶ τοῦ κλαίω ἀποβάλλουσι τὸ ι, καὶ λέγουσι κλάω καὶ κάω, τούτου χάριν πλεονάζει κατὰ τὸν μέλλοντα τὸ υ. Κλαίεσθαι, δαλοὶ καὶ τοῖς … ἐπιτεταγμένοις. Κλαμαρόν, … Κλαμμίς, … Κλαμυζοῦσι, βοῶσι, καλοῦσι. Κλᾶν, κάμπτειν, … τέμνειν ἀμπέλους, ὅθεν ἀμπελοκλάδος. Κλᾶν τὰς ἀμπέλους, οὐχὶ … Κλᾶν, σημαίνει …, καθὰ καὶ τὸ θλᾶν, καὶ τὸ θραύειν, καὶ ὅσα τοιαῦτα. Κλαπία, φύλλα βραχίονος.

Κλάξαι, κλεῖσαι. Κλαξῶ, ἀντὶ τοῦ κλαίσω λέγουσι δωριεῖς. Θεόκριτος, τὰν αὐλὰν ἀποκλάξας. Κλάους, κλάους. Κλασάζειν, … Κλαρυταί, … Κλάροι, φασὶ τὸ δένδρον. Κλάρος, οἱ ἐπὶ … Κληρία, κληρία, κλήματα, ἀμπελόφυλλα, ὁ χωρίον, κλῆροι. Κλάσια, τὰ φύλλα. Κλάριον, ἀμπελῶνα, καὶ ἐπίθετον ἀπόλλωνος. Κλάδοι, κλάδοι, λοῦδοι. Κλάρα, φύλλα. Κλάρος, χωρίον καλούμενον, ἱερὰ ἀπόλλωνος, καὶ χρηστήριον τοῦ θεοῦ, ἀπὸ μαντοῦς τῆς τειρεσίου θυγατρὸς καθιδρυμένον. ἢ ἀπὸ κλάρου τινὸς ἥρωος, ὡς Θεόπομπος. Νίκανδρος δέ φησιν ὅτι κατὰ κλῆρον ὁ ἀπόλλων ἔλαχε τὴν πόλιν, καὶ ἀπὸ τοῦ κλήρου οὕτως αὐτὴν ὀνομάσθαι. οἱ δὲ τὴν θηβαΐδα γεγραφότες φασίν, ὅτι ὑπὸ τῶν ἐπιγόνων ἀκροθίνιον ἀνετέθη μαντὼ ἡ τειρεσίου θυγάτηρ εἰς δελφοὺς πεμφθεῖσα. καὶ κατὰ χρησμὸν ἀπόλλωνος ἐξερχομένη, περιέπεσε … τῷ λίβητι … ὑπὸ μορίων … γεγαμημένον … τοῦ γὰρ … λόγιον … τῆς πατρίδος πόρθησιν. διὸ …

… κλάρος, ἀπὸ τῶν δακρύων. συγγενὲς γὰρ τοῦ κ τὸ γ, ὡς ὀφθαλμοί, ἀντὶ τοῦ ὄψεροι, λέγεται δὲ καὶ κρίσιν … τῶν δακρύων μαντοῦς κατὰ κλάρον, καὶ μαντεῖον ἐκεῖ ἀπόλλωνος αὐτὴν κατασῆσαι. οἱ δὲ κλάρον φασὶ κληθῆναι, διὰ τὸ κληρωθῆναι ἐκεῖ … καὶ ἄρχειν. ὁ δὲ … οὕτως ὀνομάζειν, διὰ τὴν … καὶ κακοδαιμονίαν. Κλαροῦται, … Κλαῖθρον, κλεῖθρον. Κλασιβώλακα, τὸ τὰς βώλους διαιροῦντα, χαλκὸν ἀροτρεύω κλασιβώλακα … Κλάσις, ἐπὶ ὁδὸν, ὁ νεώτερον λίθον. καὶ τὸ κλᾶν, ἐπὶ … θραύειν δὲ καὶ συντρίβειν, ἐπὶ ξηρῶν. ἐπὶ δὲ συντρίβειν κυρίως, τὸ εἰς χοῦν λεπτύνειν. Κλάσματα, συντρίμματα, θρύμματα. Κλάσμα, τὸ ἀρτυτέον λέγουσιν ἴωνες. Κλασαύσας, οἱ μὲν κλαύσαντας, καὶ διακλάσαντας, οἱ δὲ κραυγάσαντας. βέλτιον δὲ κλάσας, ἀπὸ μεταφορᾶς τῶν τεμνομένων κλημάτων. … ἐκ ῥιζῶν ἀναφύονται, ὅθεν κλασαῦον, τὸ δρέπανον, ὃ κλαδεύουσι καὶ φύλλα καὶ κλήματα ἐν ταῖς ἀμπέλοις. Κλασαύσας, πατήσας, κλάσας, κατακλάσας, … Κλασαῦον, δρέπανον τὸ τὰς ἀμπέλους. Κλάσος, ἀμπελουργός. Κλαυσίθυμον, … τὰς ὄψεις.

Κλαύσω, κλαίω, μέλλων κλαύσω, παρὰ τοῖς κοινοῖς ἐν χρήσει … κλαύσομαι λέγουσι, διαλύσει τὰς διφθόγγους, καὶ τροπῇ τοῦ ι εἰς υ, … προσγεγραμμένου τοῦ ι, κλαύσω δωρικῶς. δοκεῖ δὲ καὶ κλαίξω εἶναι παρ᾽ αὐτοῖς, ἐπὶ τούτου τοῦ σημαινομένου. ἀφ᾽ οὗ μέλλων δωρικῶς κλαίξω, καὶ τροπῇ τοῦ … εἰς α, καὶ προσγεγραμμένου τοῦ ι, κλαίξω, κλαξῶ, ἀφ᾽ οὗ κλὰξ καὶ κλαΐς. Κλαυθμὸν γυναικεῖον φράζω. Ὅμηρος, τὸ κλαῦσ᾽ ἄρ᾽ ἐν ἀλλήλοισι καθεζόμενοι μελαθρῶν … Κλαυθμός, παρὰ τὸ κλαίω κλαύσω, κλαυσμὸς καὶ κλαυθμός, ἢ παρὰ τὸ κλῶ, τὸ κλαίω. κλᾶται γὰρ αἱ φωναὶ τῶν θρηνούντων. Κλαυθμυριζομένων, κλαιόντων. Κλαυσιμαχόμενον, κλαίοντα. … Κλαυμαρίται, κλαίω, ἢ καίω. Κλαυστήρ, κυρίως τὸ ἐχεῖν … τὸ θύειν. Κλαῦσιν, ἀγῶνα, … τι. Κλαυτήρ, … Κλάω, καὶ τὸ κλίω, καὶ ὅσα τοῖς ἴωσι συζυγοῦσι διὰ τὸ ἐπὶ τοῦ μέλλοντος λαμβάνουσι τὸ υ, οἷον κλαύσω, κλαύσω, καύσω.

Κλέα, τὰς εὐφροσύνας. κλέος γὰρ ἡ δόξα καὶ ἡ φήμη καὶ ὁ λόγος. Βοηθήματα, ῥήματα. παρὰ τὸ κλείεσθαι, ὃ ἐστιν ἀκούεσθαι. Κλειτόν, ὀνομαστόν. Κλεινόν, ὀνομαστόν, ἐν δόξῃ. Κλεαρίς, φιαλή. Κλεηδών, ἤγουν φήμη, ἢ καὶ κλεηδὼν καὶ κληδών, ἡ τῆς χρείας … μάντευμα … τοῦ μέλλοντος. καὶ διὰ τοῦτο καὶ φήμη ὀνομάζεται συνήθως, ἢ δι᾽ αὐτὰ καὶ σῆμα, ὡς μέλλον τι σημαίνουσα, καθὰ καὶ δηλοῖ τὸ ἔπος φαῖν σῆμα, τουτέστι σημεῖον. … ὁ … καὶ … σῆμα μὲν ἡ κληδών. ἡ δὲ βροντή, τέρας κατὰ τὴν ἐξήγησιν τῆς γραός, οὐ μὴν σῆμα, κατὰ τὴν διαλύουσαν φήμην. ἔστι δὲ τέρας αὐτό, ὡς λέγεται οὖρος γεγονέναι παρὰ φύσιν γὰρ παρ᾽ Ὁμήρῳ ἐν Ὀδυσσείᾳ υ. Κληδών, ἀπὸ τοῦ κλέω τὸ φημίζω, … ἀπὸ τοῦ κλέω … ἢ κληδών. … καὶ τραπεῖς … ἐν τῇ ἀργολίδι … Κλήγινες, ὁ μικρός, ὁ … Κλειδία, … Κλεῖθρα, μοχλοί, ἀσφάλειαι, πύλαι.

Κλείθροις, κλειδώμασι. Κλεισία, … Κλεῖ, ἐπαινεῖ, ὑμνεῖ. Κλείζω, δοξάζω. Κλεμμάζειν, παλαίειν, … ἀπατᾶν. … χωρίον … Κλιμακτήρ, κλῖμαξ, βαθμός, ὁ χωρίον.

Κλίμαξ, καὶ κλιμακισμός. παλαισμα ποιόν. Κλίματα, … Κλείειν, κλεῖδας … λέγομεν, ἐπιφημίζειν. Κλεινός, ἔνδοξος. Κλέφοι, οἱ εἰς τὰ παιδικὰ ἐπὶ κάλλει ἐρα-

ἀπύραν. Κίτριον, ὁ καρπός. Κίττα, ἡ κίσσα, τὸ ὄρνεον, ὃ παραπλησίαν ἔχει τὴν φωνὴν, καὶ τὴν τῶν γυναικῶν διάλεκτον, τὴν τῶν ἀνθρώπων λέγεται μιμεῖσθαι διάλεκτον, οἷον ψιττακοὶ καὶ ψιττάκη, καὶ τὰ ὅμοια. Κιτταί, πτέρυγες.

Κιττᾶν, ἄχθεσθαι, ἐπὶ τῶν γυναικῶν ἐπιθυμεῖν. Κίτταρος, μυῤῥίνη. Κιτταλοῦν, ὁ κρεοφάγος. Κίττανος, ὁ κυνικὸς τίτανος. Κίτταρις, διάδημα, ὃ φοροῦσιν οἱ κύπριοι. οἱ δὲ τὰ διαδήματα φοροῦντες, κίτταροι λέγονται. Κίττιον, ὁ κιττός. Λακωνικόν. Κιττόν, καλόν. Λακωνικόν. Κίττυλα, τὰ ἐλλύφια τῶν καρπῶν. Κιττῷ, καλῷ, χρυσῷ, ἀγαθῷ. Κιτώνια, φλαυρά. Κίτωρα, πόλις, ὅπου λίθοι γεννῶνται. Κιφὸς, μανικός. Κιττῶ, ἐπιθυμῶ, ἀπὸ τῶν ἀγρίων ἐκτικῶν γυναικῶν, καὶ ἐπιθυμουσῶν λίθων. εἴρηται δὲ ἐπὶ τοῦ ὀρνέου τῆς κίττης, ὅπερ ἐπιθυμητικῶς ἔχον, τῶν ἀκροδρύων ταχέως ἀναφαίνεται, ἐξ ὧν δ' ἂν ἐσθίοι, καὶ πάλιν ἑτέρων ἐπιθυμῇ, καὶ μεταβάλλοντες ποιεῖται εἰς ἕκαστον τῶν λίθων. Κιχάνειν, εὑρίσκειν, καταλαμβάνειν, ἐξικνεῖσθαι. Κιχάνω, ἀπὸ τοῦ κίω, τὸ πορεύομαι καὶ περιπατῶ, πλεονασμῷ τοῦ χ, γίνεται κίχω βαρύτονον, καὶ περισπώμενον κιχῶ, καὶ παράγωγον εἰς μι κίχημι. ὅθεν τὸ ὁριστικὸν μὲν βασιλέων κιχείη, εὐκτικὸν δευτέρου ἀορίστου, ἀντὶ τοῦ καταλάβοι. ἰδὼς κιχείη. γίνεται καὶ κιχῶ κιχάνω, ὡς βρύω βρυάζω, ἐκ τοῦ κιχῶ, παράγωγον κιχάνω. τὰ διὰ τοῦ χω ῥήματα, μὴ ἔχοντα ὀνόματα ἀντιπαρακείμενα, εἰ μὲν βαρύνονται, διὰ τοῦ η γράφονται. μὴ ἔχοντα ὀνόματα εἰσὶ, διὰ τὸ λείχω τὸ καταδίω. ὡς τὸ, καὶ τὴν χοῦν ἔλειξαν. ἐξ οὗ καὶ λοιχὸς, ὁ λαίμαργος, καὶ τραπεζολοιχός. εἰ δὲ περισπῶνται, διὰ τοῦ ι γράφονται, κιχῶ, ἐξ οὗ τὸ ἐκιχάνον. καὶ αἰτῶ ὁμοπρεπῶς λιχῶ. ἐξ οὗ, λίχνος σταλίσκω. σημειοῦται δὲ, βληχῶ, ἡ κατὰ φωνὴ τῶν προβάτων. καὶ τὸ ἠχῶ, ἐξ οὗ ἤχησαν. ἐν δὲ τοῖς βαρυτόνοις, τὸ ἐλίχω. Κιχείω, κιχάνω, ἀπὸ τοῦ κίω, τὸ πορεύομαι καὶ περιπατῶ. πλεονασμῷ τοῦ χ γίνεται κίχω βαρύτονον, καὶ περισπώμενον κιχῶ, καὶ παράγωγον εἰς μι κίχημι. ὅθεν τὸ ὁριστικὸν μὲν βασιλέων κιχείη, εὐκτικὸν δευτέρου ἀορίστου, ἀντὶ τοῦ καταλάβοι, ἐκ τοῦ κιχῶ παράγωγον. Κιχεῖν, κιχῆναι, καταλαμβάνειν, εὑρεῖν, ἐγγίσαι. Κιχὴς, καταλαβών. Κιχεῖτε, ἀττικὸν τὸ πάθος. ἐστὶ κιχῶ, κίχημι, ἐκίχην παρατατικὸς, ἡ μετοχὴ κιχεὶς κιχέντος, τὸ εὐκτικὸν κιχείην, κιχείημεν κιχείημεν, κιχείητε κιχεῖτε, κιχείησαν κιχεῖεν. Κιχῆλαι, αἱ κίχλαι τὰ ὄρνεα. Κιχήμεναι, ἐκ τοῦ κίχημι, ἢ κιχείσαι, ἀφ' οὗ τὸ κιχέω, ὡς οἰδαίνω, οἰδάνω. Κιχῆναι, κιχῆσθαι, λαβεῖν. Κιχῆναι, ἤγουν καταλαβεῖν, ὡς ἀπὸ τοῦ κιχείω, ἢ κίχημι. Κιχῆτον, εὗρε, κατέλαβε. Κιχήσασθαι, καταλήψεσθαι. Κιχήσω, ἐκ τοῦ κιχανόντων συμβάντων. τινὲς δὲ διὰ διφθόγγου τὴν τῆς λέξεως ταύτης ἔγραψαν παραλαβοῦσαν, κατὰ τὸ ὑποστῆναι, καὶ τὰ ὅμοια. Κίχησις, ἡ λῆψις.

Κιχὸς, εἰς ὃ ἐμβάλλεται ὁ λιβανωτὸς. ἀττικοί. Κίχλα, ἡ τρύγγα, καὶ ὀμίχλα. οἱ λέγοντες ἁμαρτάνουσιν. δεῖ λέγειν διὰ τοῦ α, τρίχλα καὶ κίχλα καὶ ὀμίχλα. οὐδὲν γὰρ ὄνομα θηλυκὸν τῷ λ παραληγόμενον εἰς α, ἀλλ' εἰς η, ὥσπερ πύλη πύλης, κροβύλη κροβύλης, ὀρβύλη ὀρβύλης, οὕτως ἐροῦμεν καὶ ταῦτα. Κίλλα, ζῶον πτηνόν. Κίχλαι, εἶδος στρουθῶν, λέγουσι δὲ πρὸς τροφὴν ἐκ τῶν ἄλλων πτηνῶν περισσότερον εἶναι μᾶλλον. Κίχλας καὶ πελείας ἐπαγγέλλεται τὰς δμωὰς, Ὅμηρος ἐν τῷ χ' τῆς Ὀδυσσείας. τὸ μὲν ἴσως διὰ τὴν κιχλισμὸν τῶν γελώντων, οὓς ἐγέλων εὐφροσύνην ἀμίλλαις παρέχουσαι. ὅτι καὶ ἡ τῆς Ὀδυσσέως ὑλάκτει καρδία. τὸ δὲ, διὰ τὸ κατωφερές. τιμῶνται γὰρ αἱ περιστεραὶ, ὧν τὸ κάτω τρέφον διὰ τὸ ἀεὶ μεταρσοῦσθαι. ὅτι δὲ τὰς κίχλας, κιχήλας τρισυλλάβως ἔλεγον οἱ Δωριεῖς, καὶ ὡς ἐκ τῆς αὐτῆς φωνῆς κιχλίζειν, καὶ κιχλισμὸς

ἐπὶ γυναικείου γέλωτος, οὐκ ἄλλοθεν ἐστίν. χρῆσις δὲ τῶν κιχήλων, οὐ μόνον παρὰ τῷ κωμικῷ, ἀλλὰ καὶ παρὰ Ἐπιχάρμῳ, ὃν τὰς ἐλαιοφιλοφάγους κιχήλας, ὃ κεῖται παρὰ τῷ Δειπνοσοφιστῇ, ὡς καὶ σορακοσίων λέξιν τὰς κιχήλας λέγει, ὡς δηλαδὴ καὶ αὐτῶν δωριζόντων. κανονίζει δὲ ὁ αὐτὸς ῥήτωρ, καὶ ὅτι ἀττικοὶ κίχλην διὰ τοῦ η λέγουσι, καὶ ὁ λόγος οὕτως ἔχει. τὰ γὰρ εἰς λα λήγοντα θηλυκὰ πρὸ τοῦ λ ἕτερον λ ἔχει, σκύλλα, σίλλα, κέλλα, βδέλλα, ἅμιλλα, τηλίσιλλα. τὰ δὲ εἰς η, οἷον ἔτι, ὀμίχλη, χύτλη, οὕτω καὶ κίχλη, ἔτι ὄρνις καὶ ἰχθὺς, ποικίλος αὐτὸς, ὥσπερ ὁ κόσσυφος μελανόστικτος, ἀρέσκεται τῷ κανόνι καὶ Ἡρωδιανός. Κιχήλας, κίχλας πλεονασμῷ τοῦ η. οἷον ἀρεσκόμεθα κιχηλῶν. Κίχλη, ἰχθὺς θαλάσσιος καὶ ὄρνις. Κιχλάσκουσι, γελῶσι, μειδιῶσιν.

Κιχλαβοῦσιν, ἐκκεχλιχότα. Κιχλισμὸς, γέλως σφοδρός. Κιχλίζειν, παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ λιπαροὺς ὀρτυγίους τρώγειν. κίχλας ἐσθίειν, ἢ ἀτάκτως γελᾶν καὶ ἀμέτρως.

Κιχλίζειν, λέγεται τὸ ἐκλύεσθαι καὶ ἀκκίζεσθαι. Κιχλισμὸς, μικρὸς γέλως, ὁ σαλὸς καὶ ἄκοσμος. Κιχόριον, βοτάνη. λέγει δὲ τὸ ἀγριοσέριον. Κιχῶ, τὸ δανείζω. Κιχήσω, δανείσω. Κιχρεῖν, δανείζειν, ἐκδανείζειν. Κίχω, τὸ καταλαμβάνω, καὶ κιχείω ποιητικῶς, τὸ αὐτό. Κιχῶσι, τὰ μακρόσκελα. Κιχώσια, λαχανώδη ἄγρια. Κίω, πορευτικοί. Κίω, τὸ πορεύομαι γὰρ τοῦ ι. ἀπὸ τοῦ ἴω. κίω δὲ, διὰ τῆς αι διφθόγγου τὸ καίω. Κίων, ὁ κίονιον. Κίων, ὁ λίθος, ἀπὸ τοῦ κίειν, καὶ ἀνιέναι εἰς ὕψος. κίων ὁ στῦλος, καὶ τὸ ἐν τῷ σώματι, ὃ καλεῖται κεφαλή. κίων, ἔλθων, βαδίζων, πορευθείς.

Κίων, ἀρσενικῶς ἐν τῷ ἱστὸς μὲν ἔστησε πρὸς κίονα μακρὸν ἐρείσας, κεκμηότα. ἄλλως μέντοι θηλυκῶς προσηχθεν, ἐν τῷ ἱστὸς ἔστησε φέρων πρὸς κίονα μακρήν. Κίων, ἀρσενικῶς. παρὰ δὲ τοῖς Ἴωσιν, ἡ κίων θηλυκῶς, καὶ πολλὰ ἕτερα ἀρσενικῶς γραφόμενα, θηλυκῶς οὗτοι προφέρουσι.

ΤΟ Κ ΜΕΤΑ ΤΟΥ Λ.

Κλαγγὴ, πλεονασμὸν ἔχει συνήθη τοῦ γ πρὸς ὄγκον φωνῆς. ὡς καὶ ἐπ' ἄλλων προδεδήλωται. φύσει μὲν γὰρ κλαγὴ ὡς ἐρυγή. ὑποτίθεται ἢ τοῦ γ κλαγγὴ, κατὰ τὸ κλάζω ἔκλαξα ἔκλαγξα. κλαγγὴν συῶν λέγει Ὅμηρος, τὴν ὀξεῖαν βοήν. οὐ μόνον ἐπὶ συῶν, ἀλλὰ καὶ τῶν κυνῶν. Κλαδακόν, μεθ' ὁρμῆς, ἢ μετὰ κραυγῆς. Κλάζον, κλάγξαι, φθέγξασθαι. Κλάζοντες, κράξαντες. Κλαδὸς, γάλα. Ἰερητεῖς. Κλαδῶν ἀμπέλους λέγει, ἀλλὰ μὴ κλαδεύειν. Κλάδδαι, κλάδον, ῥάβδον. Κλάδας, ἀντὶ τοῦ κλεῖδας, λέγουσι Δωριεῖς. Κλαδεῖ, σείει, κινεῖ. Κλαδαρόμματοι, ὑγροὶ τὰ ὄμματα.

Κλαδαρὸν, κλάδον. Κλαδαρόρυγχος, τροχίλου εἶδος.

Κλαδᾶσθαι, σείεσθαι. Κλαδάραχοι, φρυγμοί. Κλάδοι, ῥυγχὰ μίσχαις. Κλαδόνες, κλάδοι. Κλαδεῖ, λοιδορεῖ, φθίνεται. Κλάδος, ὄζος. Κλάδος, παρὰ τὸ καλὸν εἶδος ἔχειν. Κλάδεσσιν, μεταπλασμὸς ἀντὶ τοῦ κλάδοις, ἀπὸ εὐθείας τοῦ κλάδος, ὡς τὸ τίκος. Κλάειν ἀττικῶς, κλαίειν κοινῶς, ὁμοίως κλάουσι, καὶ κλαίουσι. Κλάειν, συντάζειν, ὀδύρεσθαι.

Κλάειν ἰδόντες, καταφρονοῦντες, παρ' οὐδὲν λογίζονται. Κλάειν σὺ μακρὰ κελεύειν, τὸ μὲν ὅλον ἀρχαῖον ἀττικὸν τοῦ συνδέσμου, ὡς μακρὰ χαίρειν ἐγὼ λέγω, καὶ οἰμώζειν μακρά. Κλάζειν, ἢ ἡ κλαγγὴ, οὐκ ἐπὶ μόνων ὀρνέων, ἢ τόξου, ἢ γραὸς, ἀλλὰ καὶ ἐπ' ἄλλων λέγεται. οἷον ἢ ἐπὶ συῶν. ἔτι δὲ ὁ ἀμβροσία, καὶ ὁ ἀμφασία, ἢ τὸ ἄμβροτον, ἢ τὸ χίμπτω, ἢ τὸ ῥίμφα, καὶ ὁ κεμμὰς, καὶ ὁ κεμφὸς, ἢ τὸ καταπιμπρᾶν, καὶ ἄλλα, πλεονασμὸν ἐπάγονται τοῦ γ, διὰ συμπτώματα φωνῆς. ὡς καὶ ἔκλαγξαν, καὶ τὸ λιγξε βιὸς, καὶ τὸ λόγχη, καὶ ἄγγελος, καὶ τὸ καγχλάζω, φανῆ ἀπὸ χοῦ. Κλάζειν ἦτορ αὐτοῦ, κλαγγάζειν δὲ γράφουσι.

γίαν. ὁ καὶ σφαλῆναι, τί κινυρόμεσθα; τί ὀδυρόμεθα, καὶ ὀλοφυρόμεθα; Κινυρὴ, οἰκτρὰ, θρηνώδης, λεπτὴ, ἁπαλή. Κινυρόμεθα, θρηνοῦμεν. καὶ κινυρόμεναι, μέλπουσαι, ὀδυρόμεναι. Κινυρομένη, ὀλοφυρομένη, θρηνοῦσα. Κινάδιον, κιναιδικὸν, χαίρηθε. Κινύφιον, τὸ κόσκινον, ἀπὸ κινύφου τοῦ ποταμοῦ.

Κινῶ, τὸ θαρσαλέον, καὶ ἁπλῶς τὸ ἐνεργόμενον, οὐκ ἐῶ ἵστασθαι, καὶ τὸ διεγείρω. Κινῶ, κίνησις. δυνάμεις. Κίνησις, χύθμος. Κινώπετα, κνώδαλα, θηρία. Κινυρὸν, λεπτὸν, κατυρὸν, ὀξὺ, οἰκτρόν. Κινεῖσθαι, κινεῖσθαι, ἐγείρεσθαι, ἄρχεσθαι, ἐλθεῖν, διανοεῖσθαι, αἰδεῖσθαι, ὁρμᾶν. Κινύκιον, ὄρνεον. καὶ κινύκτα, τὰ ἔρνεα τὰ ἀεὶ κινούμενα ἐν τῷ πέλω, κινύπετα καὶ κινώπετα. οὕτως ἔγνω ὁ μιλήσιος. Κινῶ, ἐστὶν ἴν καὶ ἴς διακατάληκτον ὄνομα, καὶ σημαίνει τὴν δύναμιν, ἐξ οὗ γίνεται ῥῆμα ἰνῶ, καὶ πλεονασμῷ τοῦ κ κινῶ. Κιξάλαι, κλέπται.

Κιξάλλης, φὼρ, κλέπτης, ἀλαζών. Κιξαλλία, πᾶσα κακοτεχνία. Κίξαντες, ἐλθόντες, παραβάντες. Κίξαν, εὗρον, ἔλαβον, ἤντησαν. Κίξος, τέττιξ. Κίος, ὄνομα νήσου, ἀπὸ ναύτου κίου. Κισσίλη, καρυλίω. Κίσυρος, ἐμβολεὺς αὐσίστος, κόφινος. ἐν ᾧ τὸν σῖτον ἀναβάλλουσιν οἱ ναυτικοί, ἢ μέτρον τι. Κίρα, ἀλώπηξ. λάκωνες. Κίραφος, ἀλώπηξ.

Κίρβα, πήρα, φθειρά. Κιρβείδιον, εἶδος ἰχθύος λοιδορ. Κίρβαι, φθείρεσθαι, λαπάσσεσθαι. Κιρὸς καὶ σαλὸς, εἴδεται ποταμοί. ὧν ἀφ' οὗ μὲν τὰ πίνοντα πρόβατα, λευκὰ γίνονται. ἀφ' οὗ δὲ, ὡς ὁ ἰσοχρόνος καὶ τοῦτό φησι, μέλανα. ὅπερ δὴ καὶ περὶ τὴν κράθιν συμβαίνει. Κίρις, ὄνομα ποταμοῦ, καὶ ἕτερον κύκνον, καὶ ἰχθὺς ποιός. Κιρὶς, λόχος, ὄρνεον, ὁ ἀλκυὼν. λάκωνες. Κιρκασμὴ, τὰς βότρυας.

Κιρκαῖον, τόπος ἐστι τῆς κολχίδος, ἀπὸ κίρκης αἰτίου ὀδηλοῦν, ἢ πεδίον. τίμαιος δέ φησι, πεδίον ἐν κόλχοις εἶναι κιρκαῖον. καὶ κιρκαῖον πεδίον, ἀπὸ κίρκης. τὴν δὲ κίρκην, ὅτε μὲν αἰήτου ἀδελφὴν. ὅτε δὲ, θυγατέρα φασὶν εἶναι. ταύτην διονύσιος ὁ μιλήσιος ἐν πρώτῳ τῶν ἀργοναυτικῶν θυγατέρα αἰήτου καὶ ἑκάτης τῆς περσέως, ἀδελφὴν δὲ μηδείας λέγει. ἑλὼν γάρ φησιν ἡλίου γενέσθαι δύο ἐν τοῖς τόποις ἐκείνοις, οὗ ὀνόματα ἦν περσεὺς καὶ αἰήτης. τούτους δὲ κατασχεῖν τὴν χώραν. καὶ αἰήτην μὲν κολχικὴν καὶ μαιώτας, περσέα δὲ τῆς ταυρικῆς βασιλεῦσαι, καὶ γῆμαι γυναῖκα τῶν ἐγχωρίων ἑνὸς, καὶ γενέσθαι αὐτῷ θυγατέρα, ᾗ ὄνομα ἑκάτη. οἱ δὲ ἐκ τῶν ὅρων ἐγχωρίων τὴν ἑκάτην φασὶν αὐτῷ γενέσθαι, ἀνδρείαν περὶ τὰ κυνηγέσια, καὶ πρώτην ἐντομίμους ῥίζας εὑρεῖν, καὶ ἔμπειρον ταύτην γεγονέναι τῶν τε δηλητηρίων, καὶ τῶν ἰᾶσθαι δυναμένων, καὶ τὴν ἑαυτῆς πατέρα φαρμάκοις ἀποκτεῖναι. ταύτην γὰρ παιδὸς πημφθεῖσαν εἰς κόλχους αἰήτῃ τῷ πατραδέλφῳ, ἀφ' ἧς γενέσθαι κίρκην, καὶ μήδειαν. τὴν δὲ κίρκην πρεσβυτέραν οὖσαν, ἐκβαλέσθαι τὴν ἑαυτῆς μητέρα. τὰ μὲν δικαιώσεις πρὸς αὐτὰς, τὰ δὲ καὶ αὐτὴν ἐφαρμακεῦσαι πολλὰ καὶ δεινά. μήδειαν δὲ πατέρα κίρκης, οὐχ ὑπομεῖναι δὲ αὐτῆς. ταύτα μὲν οὕτως. ἡσίοδος δέ φησι τὴν κίρκην τοῦ ἡλίου θυγατέρα εἶναι. Κίρκη, ὄνομα κύριον. Κίρκος, εἶδος ὄρνεου, ὁ λεγόμενος ἱέραξ. ὁ γὰρ αὐτὸς τὰ μεγάλα φονεύει. Κίρκος, ὁ κρικωτὸς, ἢ ὁ ἱέραξ. Κιρκοῦ, σίνοχοι. Κιρνὰς οἶνον, ἀντὶ τοῦ κιρνῶν ἐκλιπέτιν ὡς πειλισκότερον. ἄλλως γὰρ οὐκ ἐκλύει τὸ κιρνῶν αἴθοπα οἶνον. θέμα δὲ αὐτοῦ τὸ κίρνημι, οὗ παράγωγον κιρνῶ, ἢ μετὰ κιρνὰς, καὶ συναιρεῖται κιρνᾶν. Κίρρα, ἰχθὺς ποιός. Κίρρα, πόλις ἀπέχουσα δελφῶν καὶ σταδίους τριάκοντα. καὶ κιρραῖον πεδίον παρ' ἄρχιος, τὸ παρακείμενον αὐτῇ. Κίρρα, πόλις ἀρχαία ἐπὶ θαλάσσῃ ἱδρυμένη, ἀφ' ἧς ἀνάβασις εἰς δελφοὺς σταδίων ἑξήκοντα τοῦ σαλίου, ἀνάπαυσιν ἐκ ... προσαιτεῖται δὲ τῇ κίρρε, ὀνόματα τοῦ τοῦ ἰσία.

Κιρραῖος, λευκόν. καὶ ὁ κιρραῖος, λιμήν. Κίρρις, ὁ ἰχθὺς, ἐπειδὴ κιρρός ἐστι τὴν χροιάν. κίρρις δὲ, εἶδος τοῦ ὁ φίλου. κίρρις, εἶδος ἱέρακος. ὁμοίως δὲ λέγεται παρὰ κυπρίοις κίρρις, ὁ ὀλκὸς. παρὰ λάκωσι δὲ, ὁ λύχνος. Κίρρον, πυρρὸν. καὶ ὁ κιρρὸς οἶνος. Κιρρὸς, ὁ κίτρινος. Κίρρον, εἶδος χρώματος, τὸ καλούμενον κίτρινον. Κίρρον πῦρ, ἐρυθρὸν, ξανθόν. Κίρρος, ἔρως, καὶ αἷμα, καὶ πῶμα γαλακτῶδες. λάκωνες. Κίρρολος, ἰχθύς ποιός, καὶ ὄρνεον εἶδος. Κιρσὸς, πάθος τι περὶ τὸ σῶμα, ἐχθυκῶς ἱμᾶν καλοῦσιν, ἄλλοι κρωσσόν. Κίρωπ, ἀλώπηξ πρὸς συνουσίαν, καὶ αἰδοῖον βλέπω, καὶ ἀπὸ κηλιδουμένος. καὶ κυρίως μὲν ὁ σάτυρος, καὶ ἐντεῦθεν ὁ γυναικῶν, καὶ μὴ δυνάμενος χρῆσθαι. Κίς, εἶδος σκώληκος.

Κὶς, ὄνομα κύριον, ὁ πατὴρ τοῦ σαούλ. Κὶς, ζωΰφιον ἐν τοῖς ξύλοις, καὶ ἐν τῷ σίτῳ γινόμενον. Κισθήνη, ὄρος τῆς θρᾴκης. κρατῖνος. κάντιν δ' ἐπὶ τέρματα γῆς ἥξεις, καὶ κισθήνης ὄρος ὄψει. Κίσθος, θάμνος. ὅ τε τὸ μὲν ἄρρεν, τὸ δὲ θῆλυ. Κισσίβιον, ὄρνις ποιός. Κίσσυρα, πέτρα τὸ ἄγγος, πηλίσκος. κώοι.

Κίσσα, ζῶον πτηνόν. Κισσὸς, κύαθον. Κισσὸς, φυτὸν ἀνατεθειμένον τῷ διονύσῳ, ὁ συμπλέκεσθαι ἐπὶ τοῖς παρακειμένοις. ἢ δι' ἣν αἰτίαν τύχοι, ὁ εἰκὸς λογίζομαι, ὁ ποιότης ἐστὶν, ἀπὸ τοῦ κισσᾶν ἐπὶ γυναικὸς, τὸ μετ' ὀλίγον συλλαμβάνειν.

Κάπετος, ἀποσκαπτὴν, ὀλίγος ὀργυιῶν οὖσα κατὰ τοὺς παλαιοὺς, ὡς ἡ χρῆσις καὶ παρὰ Σοφοκλεῖ, κοίλην εἰπόντι κάπετον. Καπετὸς, τάφος, βόθρος, ὄρυγμα, βόθρος, οἱ δὲ σκαπετόν. Καπίχω, παρὰ τῷ Ἀριστοφάνει ἐν δράματι προσαίτου. καὶ Ὅμηρος, ὄφρ᾽ ἄν τοι ποταμὸν καὶ οἶνον ἐπιχεῦτο. Καπιτώλιον, κεφαλὴ τῆς πόλεως. ἢ ὅτι ἐκεῖσε μέλλοντες κτίσαι, εὗρον κεφαλὴν νεοσφαγοῦς. καπίτον γὰρ παρὰ ῥωμαίοις ἡ κεφαλή. Κάπη, ἡ φάτνη, παρὰ τὸ κάπτω, τὸ χανδὸν ἐσθίω. ὅθεν καὶ τὸ ἐκάπφω παρὰ τῷ κωμικῷ. ἀφ᾽ οὗ ἴσως, ὁ φιμὸς, ἤτοι βλωμός. οἱ δὲ χυδαῖοι τὸ γεῦσιν κάπην, χάπην φασί.

Κάπηλον, καὶ καπήλειον. Κάπηλα, ἡ κρεωπώλις, ἀγορὰ παρὰ Ταραντίνοις. Καπηλεῖαν, ἐμπορίαν, καὶ καπηλεῖον. Καπηλεύουσιν, ἀγοράζουσιν, ἢ πιπράσκουσι.

Καπηλεύω, αἰτιατικῇ συντάσσεται. ὅθεν καπηλεία ἡ ἐμπορία. καὶ καπηλεῖον. καὶ καπηλικῶς, ἀντὶ τοῦ πανουργικῶς. Καπήλη, ὅπου ὁ κυβευτικὸς κάθηται, παλαιοκάπηλος, περὶ ὃν καπηλεύεται τὰ ὠνιά. καὶ τὸ ἐν τῇ πρύμνῃ κοίλωμα, ἵνα οἱ ναῦται πάντα ἀποτίθενται. Καπηλικῶς, πανουργικῶς. ἐπεὶ οἱ κάπηλοι χρίειν καὶ ἀνακνάπτειν τὰ ἱμάτια εἰώθασι. καὶ τὸν οἶνον δὲ νοθεύουσι, συμμιγνῦντες αὐτῷ σαπρόν. Κάπηλος, παρὰ τὸ κατέχειν τὸν πηλόν. πηλὸς δὲ ὁ οἶνος. ὅθεν καὶ ἄμπελος, οἱονεὶ ἄμπηλος οὖσα, ἡ ἐν αὐτῇ ἔχουσα τὸν πηλόν. Κάπηλος, ὁ μεταβολεὺς, καὶ οἰνοπώλης. παρὰ τὸ χέειν τὸν πηλὸν, ἤγουν τὸν οἶνον, ἢ παρὰ τὸ κατέχειν τὸν πηλόν. Καπηλολύτος, ὁ ἐν τῷ καπηλείῳ ἐρχόμενος. Καπήλεια, γυναικεῖα ἱμάτια.

Κάπιον, ἀντὶ τοῦ καὶ ἐπίον. Κάπιξ, ξύλον τὸ ἐν τῇ πρύμνῃ τῆς νηὸς ὑποδοχήν. Καπίσα, εἶδος ἐλαιοῦντος, τὰ παρ᾽ ἡμῖν καπίρια. Καπατέσαι, καταβατέσαι. Καπήτιοι, οἱ ψιλωταὶ τῆς κυρίας.

Καπητὸν, παράβλημα ἀλόγων. Κάπια, τὰ σκόροδα, κεφυνίτα. Καπίθη, ἀγγεῖον χωροῦν ἀττικὰς κοτύλας δύο. Κάππεσε κείμενος, ἀντὶ τοῦ τέθνηκε κεῖται, παρὰ τῷ Ἀριστοφάνει. Καπιλύσεν μοι δοκῶ τὸ χρῆμα μᾶλλον, ἀντὶ τοῦ προσθήσειν σχήσειν. Καπίστριον, ἡ τοῦ ἵππου φορβιά. καπίτον γὰρ ῥωμαϊκῶς ἡ κεφαλὴ, καὶ ἐξ αὐτοῦ καπίστριον. Καπίων, ὑπερφαλικοῦ νόμου ὄνομα. Καπιχωρίους, σκυθικῶς καὶ φλυαρῶς. ἐπιχώριον γὰρ ἦν αὐτοῖς τοῖς ἀθηναίοις, τὸ σκώπτειν καὶ παίζειν, ἐκ παλαιᾶς εὐλαβείας τοῦ ἐλλειπομένου. Κάπνη, ἡ καπνοδόχη. ἔστι δὲ συλλογισμὸς ἐπὶ τῶν μαγειρείων, δι᾽ οὗ ὁ καπνὸς ἐξάγει, καὶ εἶδος ἀμπέλου ξηρότατον, καὶ λαμπρότατον οἶνον ποιούσης, ὁμοίως καπνῷ ποιοῦντα δάκρυα. τινὲς καπνίαν οἶνον ἐν βενβίνῳ τῆς ἰταλίας γίνεσθαί φασι. καὶ καπνία, ἡ ἄμπελος. Καπνίας οἶνος, ὃς γίνεται ἐν βενβίνῳ τῆς ἰταλίας. καὶ καπνία ἄμπελος, ἡ μέλαινα. Καπνίας κωστὴς, ὁ μαλλὸν λαμπρὸν χαλβών.

Καπνίζω, ἐκ τοῦ καπνὸς, τοῦτο παρὰ τὸ καίω καὶ τὸ πνοή. κυρίως γὰρ καπνὸς λέγεται ἡ ἐκ τῆς καύσεως πνοή, ὅθεν καὶ καπνίζω. σημαίνει καὶ τὸ θύω, ὡς δηλοῖ Ὅμηρος, ἐν τῷ κάπνισσάν τε κατὰ κλισίας. ἐκ τοῦ καπνίζειν δὲ, καπνιστὰ κρέα παρὰ τῷ Δεξιφάνει. Κάπνισσαν, ἀντὶ τοῦ πῦρ ἀνῆψαν, ἐπὶ θυσίᾳ τε καὶ ἐπὶ ἀναγκαίῳ δεῖπνῳ πρὸ τῆς μάχης, ἐκ τοῦ παρακολουθοῦντος ῥυθμόν. ἐπακολουθεῖ γὰρ τῇ τῶν ξύλων καπνός. πέφρασαι οὖν ἐκ τοῦ παρῤῥωτέρου, τὸ μὲν τοι ἐγγύτερον παρ᾽ Εὐριπίδῃ ἐν τῷ πῦρ ἀνάψουσι θεοῖς. δύναται δὲ εἶναι τὸ ἐκάπνισαν, καὶ ἀντὶ τοῦ ἔθυσαν, ἵνα λέγῃ ὅτι θύσαντες, εἶτα ἐδείπνησαν. Καπνοκαρτινάζεται, σκιρτᾷ παρὰ Ἐπιχάρμῳ.

Καπνὸς, ἀναθυμίασις ξυλώδης ξηρὰ καὶ θερμὴ, ὁ ἀτμὸς δηλονότι ὑπὸ τῆς τοῦ πυρὸς ἀναφορᾶς ἐκ τῶν ὑποτεφρωμένων ἀνακιρνάμενος. Καπνωτὰ, πνέοντα.

Καπνοῦ σκιὰ, ἐπὶ τῶν λίαν ἰσχνῶν. Καπνουμένων, καπνιζομένων. Κάπτεις, ἐκάπτεις. Κάπος, ἡ συνεχὴς ἀναπνοή. Κάπος, τὸ πνεῦμα. Κάπος, ψυχὴ πνεῦμα, καὶ ὁ τοῦ φοίνικος φλοιὸς, ἐν ᾧ περιέχεται ὁ καρπὸς, καὶ ἡ πρώτη ἔκφυσις. Καπποσυκάζεις, παρὰ τῷ Ἀριστοφάνει συκοφαντεῖς. ἐχρήσατο δὲ τῷ ὀνόματι, ἀφ᾽ οὗ καὶ συκοφάντης κέκληται. τὸ γὰρ παλαιὸν τίμια παρὰ τοῖς ἀθηναίοις τὰ σῦκα ἦν, καὶ εἴ τις διεβλήθη κλέπτων, ἐκολάζετο. φαίνειν δὲ ἔλεγον, τὸ κατηγορεῖν. ἄλλως, συκάζειν τὸ ἀποθλίβειν τὰ σῦκα ἢ ὠμὰ ἢ πέπειρα. Καπφανῶ, ἀντὶ τοῦ καὶ ἀποφανῶ ἀπεκλείψω, ἐκ τοῦ φαίνω.

Κάππαλος, φάρυγξ. Καππασὸν, ποικίλον.

Καππάτια, γυναικεῖα ἱμάτια. Κάππεσε, κατῆλθεν.

Καππεδίον, κατὰ τὸ πεδίον. Κάππεσον, ἀντὶ τοῦ κατέπεσον. καὶ ἀντὶ τοῦ κατὰ δὲ. καὶ κάββαλεν, ἀντὶ τοῦ κατέβαλεν, αἰολεῖς συγκόπτουσι τὰ στοιχεῖα τῶν ὀνομάτων, διπλασιάζοντες τὰ ἄφωνα. Κάππαρις, ὅτι ἡ πολλὴ καὶ καλὴ ἐν κάμπῳ φύεται, οὐχ οὕτως ἐν κρημνοῖς. εἶτα ἀπὸ τοῦ κάμπαρις, καὶ μεταβολῇ τοῦ μ εἰς π, κάππαρις, ὥσπερ ὦρος ὁ μιλήσιος. Κάπρα, αἶξ τυῤῥηνοί.

Κάπραινα, ἡ καταφερὴς, ἀπὸ τῶν κάπρων. Καπρᾶν, κυρίως τὸ ὀργᾶσθαι κάπρον τὴν ὗν, ὡς καὶ ταυρᾶν φασι, τὸ ταῦρον ἐφίεσθαι τὴν βοῦν. Κάπρας, ἀσελγείας.

Καπρίαι, αἱ ἐντὸς τῶν πλευρωμάτων τῆς φύσεως.

Καπρία, εἶδος ὀρχήσεως ἀσέμνου. Καπρίσκος, ἰχθύς.

ὄπισθεν τὰ ἔμπροσθεν ἐκάμπτετο ἐναντίως. Καμπὴ, ἡ καμπτομένη καὶ κεκαμμένη. καὶ καμπὰς φαμὲν τόπων, ὡς κλάσιν τινῶν θάτερον χωρίων. λέγεται δὲ ξυλλάβοις. Καμπεσίγημα, ὁμοίως ἐκαμπεκαῖτος, παρὰ Ἐπιχάρμῳ. Κάμπος, ἱππόδρομος. σικελοί. Καμπούνιον, ἐλαίου εἶδος. λάκωνες. Καμπυλόχειρες, ἀργεῖς. Κάμψει, παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ καταβάλλει, ἰάσεται. Κάμψαι γόνυ, ἐπὶ τοῦ καθεσθῆναι λέγεται, πρὸς διαφορὰν τοῦ ἵστασθαι. οἱ δὲ μεθ' Ὅμηρον, ἐπὶ ἱκεσίας καὶ προσκυνήσεως τίθενται, λέγοντες τοῦτο καὶ συνθέτως γονυκλίνειν.

Κάμψω. ὑπὲρ ἔκαμψεν, ὑπόσον ὁ τόπος ἐλέγετο τε καὶ ὅριον. Κάμψεις, αἰτιατικῇ, ἀντὶ τοῦ μαλακίζῃ τὴν ψυχὴν σου. Καμπύλα τόξα, τρόπῳ ποιητικῷ πλεονάζει, κατὰ καὶ τὸ ἅρματα, καὶ ὄχεα. ἔστιν καὶ Εὐριπίδης λαβὼν φησὶν ὀχήματα, ἤγουν ἅρμα. καμπύλα δὲ κυρίως, πάντα τὰ τόξα. οὕτω δὲ καὶ ἀγκύλα καὶ ῥαιβὰ δὲ, ὡς παρὰ Λυκόφρονι, καὶ σκολιὰ, καὶ παλίντονα. τὸ δὲ σκαιὸν, παρὰ τῷ Ἡροδότῳ σκύφιν ἔχων. λέγων δὲ, ὅτι τόξα παλίντονα Ἀράβιοι εἶχον, δέδωσιν ὑπόνοιαν, ὡς οἱ πάντες τόξον ἁπλῶς παλίντονον εἶπεν, ἐπεὶ ὡς τὸ πλέον ὀπίσω τῇ ἀντάσει ῥαιβούμενον, καὶ οἷον καμαρούμενον. Καμπυλάζειν, κάμπτειν, καὶ στρέφειν. Καμψα, θήκη, γλωσσοκομεῖον. Καμψιδιζοντος, βαρβαρίζοντος. Καμψία, κανᾶ, κανίσκια, κανάβια κοιλότατα, ὡς γύργαθοι, ἢ ὑπολύματα σκευῶν.

Καμψὸν, καμπύλον. Καμῶ, ἐργάζομαι. Κάναβος ἐκ ξύλου χῶνται οἱ ἀνδριαντοποιοὶ πρὸς πλάσιν. Κάναβοι, τὰ ξύλα, περὶ ἃ τὸ πρῶτον οἱ πλάσται τὸν πηλὸν ἐτίθεσαν. ὅθεν καὶ οἱ λεπτοὶ καὶ ἄθρωποι κάναβοι λέγονται. Κανάβουσα, χεῖλα οἱ σοῦ. λάκωνες. Κάναδοι, σιαγόνες, γνάθοι. Κάναθρα, ἀστράβη, ἡ ἅμαξα πλέγματα ἔχουσα, ἐφ' ὧν πομπεύουσιν αἱ παρθένοι, ὅταν εἰς τὸ τῆς Ἑλένης ἀπίωσιν. ἐπεὶ δὲ ἔχουσιν εἴδωλα ἐλάφων ἢ γρυπῶν. Κανακὶς, σανδικὸν θυμίαμα, ὃ τοιαύτην ἔχει δύναμιν, ὥστε ἐξικμάζειν πάντα τὸν παρακείμενον. ἔστι δὲ φυτὸν Ἰνδικὸν ὅμοιον, ἐξ οὗ αἱ θρᾶσσαι ἱμάτια ποιοῦσιν. Ἡρόδοτος τοῦτο τὸ σπέρμα θυμιῶσιν. Κάνακις, ψόφος. Κανάξαι, ταράξαι.

Κἂν, μετὰ ὑποτακτικοῦ ὀφείλει τίθεσθαι, καὶ μετὰ εὐκτικοῦ. ὡς τὸ, κἂν δεῖ με ἀποθανεῖν, καὶ κἂν ἐπὶ σμικρὸν χρόνον ἀναβλέψας, ἀντὶ τοῦ καὶ ἐάν. Κἂν, μετὰ σφοδροῦ τόνου, καὶ μετὰ εὐκτικοῦ, καὶ μετὰ ὁριστικοῦ παρῳχημένου, καὶ ἀπαρεμφάτου. Ἀριστοφάνης ἐν νεφέλαις, κἂν προσκαταθείην τὸ ὕδωρ τὸ ἐμαυτοῦ τριώβολον. Σοφοκλῆς ἐν Αἴαντι, κἂν ἐξέπραξεν, εἰ κατημέλησ' ἐγώ.

Καναχηδὰ, κοῖλα ἐστι ἀγγεῖα. Κανάστρα, ἀκρωτήριον μεθόριον Μακεδονίας καὶ Θρᾴκης, οὗ πλησίον ᾤκησαν οἱ γίγαντες. Κάναστρον, ὄστρακον, τρυβλίον, κανοῦν. Καναχὴ, κτύπος. καὶ καναχίζειν, ἀπὸ τοῦ κενὸν ἠχεῖν. Καναχηλὰ, ἠχητικῶς. Καναχίζει, οἰμώζει. Κανάχιζεν, ἐψόφει, ἐφώνει, ἐπαράγησεν. Κανάχιζεν, ἤχει, ἐκ τοῦ καναχοῦ κανάχοσα, ἐξ οὗ καναχηλὸν. καὶ ἡ καναχὴ, ἡ βοή. Καναχόποδα, ἀντὶ τοῦ δασύποδα. χοὰς γὰρ, ἡ πρώτη θρὶξ καὶ λεπτὴ, τοῖς ποσὶν ἐὰν ἀκμάσῃ καὶ ἡβήσῃ. Κανδάκη, ἡ τῶν Αἰθιόπων βασίλισσα. Κάνδαλοι, κοιλώματα, βάθρα, κοιλόβαθρα. Κάνδαρος, ἄνθραξ. Κανδαύλας, ἑρμῆς, ἢ Ἡρακλῆς. Κανδάω, ἐπίθετον ἄρεος, παρὰ τὸ καίειν καὶ δαίειν. Κανδοφόρους, μελανειμονοῦντας. Κανδέχα, κάλο. λάκωνες. Κάνδυλος, βρῶμα διὰ μέλιτος καὶ γάλακτος σκευαζόμενον. ὡς καὶ ἀβυρτάκη, ἐδέσμων βρῶμα, καὶ ἔστιν ἐν τῷ ἀκρόδρυα. Κανδυτάναι, ἢ κάνδυλαι, ἱματιοθῆκαι, ὅπου τὰ πολυτελῆ ἱμάτια ἔβαλλον. Κάνδωλος, κακοῦργος, λαχάς. Κάνδυς, χιτὼν περσικός. ἀποδύσαντες δὲ τὸν κάνδυν, καὶ τὰς ἀναξυρίδας ἐξελκύσαντες, καὶ τὸν πῖλον ἀφελόντες. Κανεῖν, κτείνειν, ἀναιρεῖν. ὅθεν τὸ κανοῦν, ἀπὸ τῶν ἀναιρουμένων ἱερείων. Κανεῖσι, κανοῖς, μαγίσι, κανισκίοις. Κάνεον, τὸ κανίσκιον. καὶ κάνειον, ὁμοίως. Κάνης, ὁ ψίαθος, καὶ πλίνθων κάνιστος. Κανηφόροι, ἐν ταῖς πομπαῖς αἱ ἐν ἀξιώματι παρθένοι ἐκανηφόρουν, ὥσπερ καὶ ἐν τοῖς παναθηναίοις. οὐ πάσαις δὲ ἐξεῖν κανηφορεῖν. Κανηφόρος, ἀμφοτέρως τῶν νυμφῶν, ἢ τὸ κανοῦν φέρουσα. Κανθάλλει, ἀντὶ τοῦ ἐνθάλλει. Κανθαρίζειν, λέγουσιν οἱ ἀττικοὶ τὸ τρίμειν. Κάνθαροι αἶγες, μεγάλοι ἀπὸ τῆς Αἰτνης. Κανθάριος, ἀμπέλου εἶδος. Κανθαρὶς, μυζουλίας ἰχθύος, ἢ ζωΰφιον λυμαντικὸν σίτου, ἀμπέλου, καὶ κήπων.

Κάνθαρος, παρὰ τὸ ἰθὺς, ὁ κόπρος, καὶ τὸ ὀρύειν, τὸ ὁρμᾶν.

Κάνθαρος, ποτηρίου εἶδος, ἀπὸ τοῦ κατασκευάσαντος. καὶ ποιὸς ἰχθύς. καὶ πλοίου εἶδος, ἢ ὁ δακτύλιος τῶν ἱερῶν.

Κανθάρου σκιά, παροιμία ἐπὶ τῶν φοβουμένων τὰ μὴ ἄξια φόβου. Κανθάρου λιμὴν, οὕτω καλεῖται ἐν Πειραιεῖ. Κανθήλη, πόλις. Κανθήλιος, βραδὺς νοῦς. ὁ ἀφυὴς, ὁ ὄνος μέγας. Κανθήλια, τὰ ἐν τῇ πρύμνῃ τῆς νεὼς ἐπικαμπῆ ξύλα, τιθέμενα πρὸς σκηνοποιΐαν, καὶ τὰ σάγματα τῶν ὄνων, καὶ τὰ τούτοις ἐπιτιθέμενα λύγινα πλέγματα, καὶ τῆς Βιθυνίας ὄρη.

Κανθήλιος, ὠμὸς, μωρὸς, ὄνομα. Κανθήλιοι, ὄνοις μεγάλοις. Ξενοφῶν, ὅτι ἐν Βαβυλῶνι οἱ φοίνικες οἱ μέσοι ἢ πλεῖστοι τὸ μέγεθος γίνονται. οἱ δὲ παρόμοιοι ἀπὸ βορρᾶς ἄνω κυροῦνται, ὥσπερ ὄνοι κανθήλιοι. καὶ Πολύβιος, ἐν γὰρ τοῖς τοῖς ἐπιδεδειμένοις φορτίοις τὰ κανθήλια λαβόντας ἐκ τῶν ὄπισθεν, προθέσθαι πρὸ αὐτοῦ ἐκέλευσε τοὺς πεζοὺς, οὗ γενομένου συνέβη παρὰ πάντας χάρακος ἀσφαλέστερον γενέσθαι πρόβλημα. Κανθίοι, αστερίσκοι. Κανθὶς, ὀνίσκη, ὄνος. Κανθὸς, ὁ τοῦ ὀφθαλμοῦ κύκλος, καὶ ὁ ἀντικνήμιον τοῦ κακοῦ ἐν τοῖς ἱππικοῖς. ἔστι δὲ, καὶ πολύχλωρα. καὶ πέλται ὡς χυτρόποδες, σκεῦοι, καὶ εἰς ὃ τὰς πέγχυς φρύγουσι. Κανθύλας, τὰς ἀνοιδήσεις. Αἰσχύλος Σαλαμινίαις. Κάνθων, κυρίως ὁ ὄνος. τὸν δὲ παρὰ Ἀριστοφάνει ὑποκοριστικῶς. κάνθαρος δὲ εἴρηται, παρὰ τὸν κάνθωνα, τὸν ὄνον, καὶ τὸν θορὸν, τουτέστι τὸ σπέρμα. φασὶ γὰρ, ὅτι κάνθαρος οὕτω τίκτεσθαι, ἔκ περ τῆς ὄνου κόπρον στρογγύλον. Κανθύνει, καθαρεύει.

Κανίαι, κάλαθος. Κᾶν ἴσαι, παροιμία μεθειλημμένη ἀπὸ τῶν ἐν τοῖς δικαστηρίοις φερομένων ψήφων ἴσων ἀπολύονται γὰρ τοῦ ἐγκλήματος, ὁπόταν ἴσαι ἐξενεχθῶσιν αἱ ψῆφοι.

Κάννιον, κανίσκιον. Καννάβιζεσθαι, πρὸς τὴν κάνναβιν ἐξεθοῦσαι καὶ πνευσθῆναι. Κάνναθρον. δίδυμος τὴν πίσσωθεν πλεκομένην, λέγει ῥίπτειν, καὶ κατὰ ἀντίθεσιν πίσσωθεν. νῦν δ' ὑπὸ Ξενοφῶντος καλεῖσθαι κάνναθρον ἐστὶ καὶ κάνω, ὁ ψίαθος, οὕτως ἐπαφρόδιτος ἦρος. Κάννα, ψίαθοι, καὶ τὰ αἰγύπτια πλέγματα, ἀφ' ὧν καὶ τὰ κάναθρα, καὶ εἶδος τῆς χρυσαλίδος. Κάνναις καὶ καλάμαις, χρῶνται οἱ νομάδες εἰς τὴν σκηνοποιΐαν. Κάννικες, πλέγματα ταρσῶν.

Καννώνου παραλεκτικὸν, καννώνου ψήφισμα. ἐσπουδάσθη γὰρ αὐτοῦ ψήφισμα, ὥστε διειλημμένους τοὺς κρινομένους, ἑκατέρωθεν ἀπολογεῖσθαι. Κανόνα, λέγει Ὅμηρος, ὥς φασιν οἱ παλαιοί, ῥάβδους δύο ἐναφορίας τῆς ἀσπίδος τοιαύτας ἴσως οὔσας, καὶ ὡς εἶπεν ἑκατέρωθεν. οὕτω γὰρ ἐπινοήσασιν οἱ τῶν ἐξ ἱμάντων πόρπακας, ἤγουν τὰ ὄχανα, δι' ὧν αἱ ἀσπίδες ἔχονται καὶ ἀναβαστάζονται. φασὶ γὰρ αὐτοὺς Καρῶν ἐπινοήματα εἶναι, ὡς Ἀνακρέων κεκλόφρητος ἔχονται. Κανοῦν, κανίσκιον διστόμιον. ὁμοίως καὶ κανὸν, παρὰ τὸ χαίνειν, χανοῦν καὶ κανοῦν, ἀπὸ τοῦ κεχηνέναι. Κάνθοροι, οἱ ἱεροποιοί. Κανὼν, λόγος ἀντιχρης Αὐλητικὸς, ἀνευθύνων ἀπαιτοῦντι πρὸς τὸ καθόλου τὸ διηγημένον τῶν λέξεων, ὁ κανὼν ἐστι νόμος ἀπαράβατος, καὶ μέτρον ἀδιάψευστον, πᾶσαν προσθήκην καὶ ἀφαίρεσιν μηδαμῶς ἐπιδεχόμενος. Κανόνες, κυρίως λέγονται

διὰ τοῦ ι γράφεται. συνεξακολουθοῦσι γὰρ τῷ καιρώλιον, σιώλιον, καιώλιον. σημαίνει δὲ τὸ σιάλιον τὴν κοχλίαν. Καλώλιον, ὄνομα ἔθνικον. Κάλως, τοῦ κάλω, οὐχ ὁ κάλλος. γράφεται δὲ καὶ τὸ καλώλιον. Κάλως, σχοινίον. Καλός, ἀντὶ τοῦ εὐσεβοῦς καὶ φιλανθρώπως. Κάλω, ἔχει τὴν εὐθεῖαν κάλως. καὶ παροιμία, πάντα κάλων ἐκσείειν. εἴληπται δὲ ἐπὶ τῶν πάσῃ προθυμίᾳ χρωμένων. κεχρῆνται δὲ ἀπὸ τῶν πλεόντων καὶ χειμαζομένων, καὶ τὰ σχοινία ῥιπτόντων σὺν ταῖς ἀγκύραις ἐπὶ θάλασσαν, ὥς τι τοῦ κλύδωνος ῥύεσθαι τὸ πλοῖον. ὁμοία δὲ τῇ πάντα λίθον κίνει. τοῦ γὰρ Μαρδονίου ἡττηθέντος ἐν Πλαταιαῖς, φήμη κατεῖχεν, ὡς ἐν τῷ περιβόλῳ τῆς σκηνῆς θησαυρὸν κατορύξας ἀπολελοίπει. πριάμενος οὖν Πολυκράτης ὁ Ἀθηναῖος τὸν τόπον, πολὺν χρόνον ἐζήτει. ὡς δὲ οὐδὲν ἐπέρανε, πέμψας εἰς Δελφοὺς ἐπηρώτα, πῶς ἂν εὕροι. τὸν δὲ Ἀπόλλωνα ἀποκρίνασθαί φασι, πάντα λίθον κίνει. καὶ ἐν ἐπιγράμματι Καλλιμάχου τὸ τρανὸν ἔπος. τόδε δὴ γὰρ ἐπ' αἰδοῦ. ὁ τὴν τὰς μουσῶν πάντας ἔσεισε κάλως. φασὶν οὖν, πάντα κίνει πράγματα. Καμάρεσος, ἀστὴ ὥς λέγει ἐν τῷ Βαράθρῳ, ἢ τῷ κρημνῷ, ἢ τῷ δεσμωτηρίῳ. Καμακίς, κοντάριον, ᾧ τοὺς πλοκάμους περιέχει. ἔνιοι σάραγγα. Καμάν, τὸν ἀγρόν. Κρῆτες. Κάμαξ, ξύλον ὀρθόν. γίνεται δὲ παρὰ τὸ κάμνειν τῷ βάρει, ὃ καὶ συγκέκοπται ἀπὸ τοῦ καλάμαξ, ὡς καλάμοις ἀντεχομένων τῶν κλημάτων. ἔοικε δὲ καὶ ὁ τῶν καμάκων αὐτὸ χρῆσιν; τούτους παρὰ τοῖς παλαιοῖς εἶναι. διὸ καὶ πρὸς Διαφοράν, ἄμπελος χαμίτης ἐλέγετο, ἡ χαμαὶ κειμένη. ὅτι δὲ καὶ ἄγγαρος βαρβαρικῶς ἐκαλεῖτο ὁ κάμαξ, δηλοῖ ὁ εἰπών, ἄγγαρος τὸ εἰς ὑποστάθμισμα ξύλον. εἰ μὴ ἄρα οὐκ ἦν ἴσως τοῦ κάμαξ, ἀλλ' ἀπίκειται καμακίζειν. εἰ δὲ ὁ ἄγγαρος βαρβαρίζεται, καὶ διὰ τοῦτ' ἄγνοιάς ἐστι τοῖς ἑλληνίζουσι. Κάμαξ, ἀρσενικῶς μὲν σημαίνει τὸ ἔρεισμα, ἢ τοὺς πασσάλους τοὺς ἐν τῷ τάφρῳ πεπηγμένους πρὸς τὴν τῶν πολεμίων ἐφοδόν. θηλυκῶς δὲ τὰς ῥάβδους, ἢ δόνακας παραπηγνυμένας ταῖς ἀμπέλοις. Ἡσίοδος, σαύμενος σταφυλῆσι καὶ ἀργυρέῃσι κάμαξι. παρὰ τὸ κάμνειν ἐν τῷ βαστάζειν τὴν ἄμπελον, οἱονεὶ κάμναξ τις οὖσα, καὶ κατὰ ἀποβολὴν τοῦ ν κάμαξ. Καμάρα, ζῶναι στρατιωτικαί. Καμαριδοῦντος, φιλονεικοῦντος, ἐρίζοντος. Καμαριδῶ, στασιῶ, φιλονεικῶ, ἐρίζω, κακοπαθῶ, στενάζω. Καμάρης, δεσμῆς. Καμαρίνα καὶ Γέλα, πόλεις Σικελίας. καὶ Καμαριναῖος, ὁ πολίτης. καὶ Καμαρανοί, ὄνομα ἔθνους. Καμαρία, κοιτῶν καμάραν ἔχων. Καμαρινῶν λέγει, παροιμιακῶς. λέγει ἀντίτιμος, ἀνθ' ἐσίας. Κάμαροι, αὐλαί, ἐν οἷς ἀναγίνωσκεται ὁ περιορισμὸς τῆς ὁσίας. Καμαρίς, κοσμάριον γυναικεῖον. Καμάρψαι, καταλαβεῖν. Κάμαρψις, μέτρον σιτικὸν τὸ ἡμιμέδιμνον, αἰολεῖς. Καμάσαι, σεῖσαι. Καμάσσειν, πραδαίνειν, δονεῖν, σείειν τὰ μέσα. Καμασῆνες, ἰχθύες. Καμασός, βάραθρος. Κάμασος καὶ κάμασον, τὸ πικνόπεδον. Καμασώδες, ὀνιρόν. Καμάσαι, πληθύνεσθαι.

Καμασίς, μέτρον τι, ἀμφιβόας. Καματηρούς, κοπιαστικούς, μάχης καματηρούς καὶ πονοῦντας, ἀκμῶσι παρὰ τοῖς βαρβάροις. Κάματος, κόπος, νόσος, μόχθος, πόνος.

Καματώδεον, ἐπίπονον, ἐπίλυπον. Καματώδεις, νοσώδεις. Καματῶν, κοπιῶν. Καμβαταλεύς, καταπατηθείς.

Κάμβαι, παῦσαι. Καμβολίαι, κακοβολίαι, δυσλογίαι.

Καμβρίζοντα, ἀμελοῦντα. Κάμε τεύχων, ἀντὶ τοῦ ἐκαμὼν κατεσκεύασεν. λέγεται δὲ τὸ σχῆμα, ἀμοίωσις. Κάμε πάντα ὅπλα, ὅπερ καμὼν ἐποίησεν, ἢ παρὰ πάντα ἔκαμε.

Καμεῖν, κοπιάσαι, ἢ ὀκνῆσαι, νοσῆσαι, ἀποθανεῖν, ἐπιμελῶς κατασκευάσαι. Κάμειρα, ὄνομα πόλεως. Καμεῖν, λαμβάνεσθαι ἀντὶ τοῦ κοπῶν μετὰ πόνου μέρος, ἢ ἀντὶ τοῦ τελεῖν κατόρθωσιν. Καμηρεία, ἰχάς. Καμηλαύκιον, ῥωμαϊκὸν ἡ λέξις. ῥωμαϊκὸν δ' ἂν καὶ ἑλληνικοί, παρὰ τὸ καῦμα ἐλαύνειν.

Κάμηλος, τὸ ἀχθοφόρον ζῶον. κάμηλος, καὶ τὸ παχὺ σχοινίον ἐν ᾧ δεσμεύουσι τὰς ἀγκύρας οἱ ναῦται. ὡς τὸ ἐν Εὐαγγελίῳ κάμηλον διὰ τρυπήματος ῥαφίδος διελθεῖν. κάμιλος δὲ ὁ ῥωμαίων στρατηγός. Καμήλου πρωκτόν, λέγει Ἀριστοφάνης. θερμὸς πρωκτὸς γὰρ ὁ κάμηλος καὶ λάγνος. κάμιλος δὲ διὰ τοῦ ι, τὸ παχὺ σχοινίον. Καμινοὶ γραῖ, παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ, οἱ μὲν κατὰ τὸ πολὺ καλὸν φασίν. ἕτεροι δὲ τὸ μὲν γραῖ, διὰ τὸ ῥυσσὸν τοῦ προσώπου εἶπεν. τὸ δὲ καμινοί, διὰ τὸ ἐπιφαινόμενον μέλαν, ὡς οἷον ἐκ λιγνύος ἀσβόλης. Ἀρίσταρχος δὲ καὶ Ἡρωδιανὸς καμινοῦ φασι, τὴν καμινεύτριαν, ἥτις φρύττουσα κριθὰς πρὸς εὐχερεστέραν ἀλετροποιΐαν. αἱ δὲ τοιοῦται πιθαί, καὶ τάχους διασυλλάβους καὶ ἐκτεινομένας ἐλέγοντο κατὰ Δίδυμον Διονύσιον θηλυκῶς. ὅθεν καὶ κατακαχρύσαι παρὰ Παυσανίᾳ μεταφορικῶς, τὸ καταφρύξαι καὶ συντρίψαι. Κομανὸς δὲ συνῆπτεν τὴν λέξιν τῆς καμινοῦς γραῦν φησιν, οὕτω καλεῖσθαι διὰ τὸ καμεῖν τὰς ἰδέας ὑπὸ γήρως. Κάμινος, παρὰ τὸ ὑπομένειν καιομένην. Κάμιρος, ὄνομα κύκνου. καὶ ὄνομα πόλεως. Καμισός, πόλις Θρᾴκης, ἀπὸ καμισοῦ ἐντός.

Κάμινοι, οἱ πλωροὶ βόες ἰσχυροὶ καὶ εὐίσχιοι. Κάμινος, μέρος τι τῆς ναός. Κάμιρος, πόλις Ῥόδου. Κάμματα, φύλλα δάφνης, ἐν οἷς σκέπουσι τὰ ψαιστά, ὁμοίως καὶ οἱ καμματίδαι. Κάμμα, καθίζει. Καμμένειν, καταμένειν. λακωνικῶς. Κάμμορος, ἀχλύς. Καμμονία, ἡ ἐκ μονομαχίας νίκη. Καμμορίων, κακοπαθῶν. Κάμμορος, ἀντὶ τοῦ κακόμορος κατὰ συγκοπήν, καὶ ἀντὶ τοῦ ταλαίπωρος. Καμμύω, ἐκ τοῦ καταμύω κατὰ τροπήν. Κάμνειν, ἐπὶ τοῦ κοπιᾶν καὶ ἐργάζεσθαι, καὶ ἐπὶ τοῦ νοσεῖν, καὶ ἐπὶ τῶν ἀποθανόντων. προσλαμβάνον δὲ τὴν ἀπὸ πρόθεσιν, τὸ ἐκκοπῆν καὶ ἀπαγορεῦσαι καὶ ἀποτυχεῖν σημαίνει. Κάμνω, τὸ κοπιῶ. ὅθεν κάματος, τὸ πρᾶγμα ὅπερ ὁ κόπος. μετὰ δὲ τοῦ στερητικοῦ α ἀκάματος, ὁ μὴ κοπιῶν. Κάμνω, λέξις συνήθης Ὁμήρῳ ἐπὶ τεχνῶν, πέπτωκε καὶ εἰς κακοζηλίαν, παρὰ τοῖς ὕστερον. οἷον ἔκαμεν ἑκεῖνος ὅπλα, κατὰ τὸ ἥφαιστος κάμε τεύχων. Κάμνων, πονῶν. Κάμνω, σημαίνει τέσσαρα. τὸ κοπιῶ, τὸ κατασκευάζω, ὡς τὸ κάμε τεύχων. καὶ τὸ ἀσθενῶ, ὡς τὸ καμόντων αἰχμαλώτων. σημαίνει καὶ τοὺς τεθνεῶτας, ὡς εἴδωλα καμόντων. καὶ κάμνοντας ἀνθρώπους, ἀντὶ τοῦ τελευτήσαντας, ἀποθανόντας. Κάμνω, ὁ μέλλων καμῶ, ὁ μέσος παρακείμενος κέκομα, ὁ δεύτερος ἀόριστος ἔκαμον, ἡ μετοχὴ ὁ καμών. Καμμονία, οὐχ ἁπλῶς ἡ νίκη, οἷον ἡ τῶν ἐφηβικῶν, ἢ τῶν ἱππικῶν, ἀλλ' ἡ ἐκ καταμονῆς, ὡς ἡ τῶν μονομαχούντων, καὶ πυκτευόντων. οὗτοι γὰρ καταμένοντες, ὡς τὰ πολλά, καὶ διακαρτεροῦντες ἀποκάμνειν τοὺς ἐναντίους ποιοῦσι, καὶ οὕτω νικῶσι. καὶ νῦν μὲν ὀρθῶς, ἕτεροι δὲ ἁπλῶς, οὕτω καμμονίαν τὴν ἐκ μονομαχίας νίκην φασίν, οὐ σαφῶς λαλοῦντες ἐν τῷ ἐκ μονομαχίας. πᾶσα γὰρ νίκη μονομαχίας, εἴγε καὶ ἐπιμελής. Κάμορος, κλῆθρα τὸ λίσφον. Καμόντων, τῶν νεκρῶν. εἰ καί τι βέβηκεν ὑπ' εἰδώλων καμόντων ὀλετός. Καμπανοί, ὅτι καμπῆ ἐχώσαν πρὸς τὴν κώμην, τόπος οὕτω λεγόμενος. οἱ μὲν καὶ καμπανοὶ ἐκλήθησαν. οὕτως Ξῆρος ὁ μελανώτος. Καμπαλίας, καμπόλας. Κάμπιος δρόμος, δρόμοι δ' εἰσὶν ὅσαν κάμπιοι, οὐκ εὐθεῖς καὶ ἁπλοῖ, ἀλλὰ καμπὰς ἔχοντες. Καμπεσίγονος, ὁ ἱερεύς, ἀπὸ τοῦ κάμπτειν τὰ γόνατα τῶν ἁμαρτανόντων.

Καμπεσίγυια, κάμπτοντα τὰ μέλη. γυῖα γὰρ τὰ μέλη.

Κάμπη, στροφή. καὶ κάμπιος δρόμος, οὐκ εὐθεῖς καὶ ἁπλοῦς, ἀλλὰ καμπὰς ἔχων. Κάμπη. ὅτι τὰ μὲν τελευταῖα μέρη ἀποτείνει, τὰ δὲ πρὸς τῷ τραχήλῳ κάμπτει, καὶ εἶθ' οὕτως

τὰ πρωτεῖα μέσον. πρωτεῖα, τὰ τῆς πρώτης τάξεως γέρα. δευτερεῖα, τὰ τῆς δευτέρας. Καλλιστέφανος, ἡ ἐλαία λέγεται. ἀπὸ ἱστορίας ἐκ τοῦ καλλίστην εἶναι ἐλαίαν. καλεῖται δὲ καλλιστέφανος. ταύτης δὲ ἐμπλέκειν τὰ φύλλα ταῖς λευκαῖς ἐλαίαις πέφυκεν. ἀφίασι τοὺς πτόρθους, ὥσπερ ἡ μύρτος, εἰς τοὺς στεφάνους συμμέτρως. ἀπὸ ταύτης λαβὼν Ἡρακλῆς ἐφύτευσεν ἐν Ὀλυμπιάδι, ἀφ' ἧς οἱ στέφανοι τοῖς ἀθληταῖς δίδονται. Καλλιστεῖ, ἀπὸ τοῦ καλῶ, καλλίζω, καλλιστεύω καὶ καλλιστεῶ. Καλλιστώ, ὡς λυκάονος, ἡ Λυκάονος θυγάτηρ, σύνθρονος ἦν Ἀρτέμιδι. ὁ Ζεὺς εἰκασθεὶς Ἀρτέμιδι συνεγένετο αὐτῇ. ἄρκτον δὲ ταύτην ἐποίησε διὰ τὸ τὴν θεὸν τὴν Ἥραν. ἐξ ἧς ὁ Ἀρκὰς ἐγεννήθη. Καλλίστη, ἡ θήρα τὸ πρότερον, καὶ ἡ ἐν τῷ κεραμεικῷ ἱδρυμένη Ἑκάτη, ἣν ἔνιοι Ἄρτεμιν λέγουσιν. Καλλίσφυρος, ἡ καλοὺς πόδας ἔχουσα.

Καλλιστεφάνου, εἰς στέφανον, καλῶς, ἀπὸ μέρους τῶν σφυρῶν.

Καλλιτέκνου, καλῶς τεκούσης, εὐτέκνου. Καλλιτόκοι, φυτὸν θαυμαστόν. Καλλιφεγγεῖς, λαμπροί. Καλλίτριχον, τὸ ἀδίαντον. ὅπερ καὶ καλλίτριχον ὀνομάζεται, παρὰ τὸ ἱππο κρατεῖν. Καλλιχέλωνος, ὁ ὀβολός. εἶχε γὰρ τὸ νόμισμα χελώνην ἐπικεχαραγμένην. Καλλίχορον, ἐν Ἐλευσῖνι τῆς Ἀττικῆς τόπος. Καλλωπίζειν, καλλύνειν. Καλλιώνυμος, εἶδος ἰχθύος. μεταφέρουσι δὲ ἐπὶ τὴν λέξιν, καὶ ἐπὶ τοῦ αἰδοίου ἀνδρός τε καὶ γυναικός. Κάλλος, παρὰ τὸ καλῶ, τὸ κοσμῶ. ἢ παρὰ τὸ ἄλλω, τὸ πηδῶ. κάλλος, ἐπὶ τοῦ ἡμιόνου, τίθεται καὶ ἐπὶ τοῦ μορίου τῆς Ἀφροδίτης, ὁ Διονύσιος θ'. καὶ ἀγκάλην καλλιγόνηκα, ἀπὸ τῆς καλλιγόνου εὐνῆς.

Κάλλος ἐστὶ σώματος συμμετρία μερῶν τε καὶ μελῶν μετὰ εὐχροίας. Καλλύνει, κοσμεῖ. καὶ ἐκαλλύνθη, κοσμεῖσθαι, ἐκαλλωπίζεσθαι. Καλλυντής, κουρεύς. Κάλλυντρον, κόσμιον παρὰ τὸ κορῶ, ὃ σημαίνει τὸ σαίρω, καλλύνω. Καλλωπίζω, ἀγλαΐζω, κοσμῶ, εὐθετῶ, στολῶ, διαπρέπω, κατακοσμῶ, καλλύνω, ὡραΐζω, ὡραΐζω. Κάλοι, χαλῶσιν, οἷς χαλῶνται τὰ ἱστία. κάλοι δὲ ὀρόχθοι, χαῖται δὲ ἀντίρροποι. Καλοῖς, βασιλεύς. Καλοκαγαθία, ἀγαθότης, καὶ ἕξις προαιρετικὴ τῶν βελτίστων. Καλοκηρῦσαι, ξυλοκηρῦσαι, ἢ σκληρῶσαι. Καλόν, ὅπερ ἀγαθόν ἐστι καὶ ὅλον. καλὸν φύσει ἐστίν, ὃ ἀεὶ καὶ πᾶσι ποθεινόν ἐστι. ὃ μὴ ἄλλου ἕνεκεν αἱρετόν, ἀλλ' αὐτὸ δι' αὐτὸ ἐπαινετόν, ἀεὶ ὡσαύτως ἔχον, καὶ μηδέποτε ἀμβλυνόμενον κόρῳ. καλόν, τὸ τελείως σύμμετρον. Καλουσῶν, διώκουσαι, θορυβοῦσαι. Καλοῦνες, νέκυες. ξύλινοι.

Καλοπόδιον, σκυτοτομικὸν ἐργαλεῖον. Καλόπους, κυρίως ὁ ξύλινος πούς. κᾶλον γὰρ τὸ ξύλον, ἢ καὶ εὐοφθαλμίας. Καλός, ἐπὶ σώματος. οὗ τὸ ἐναντίον ὁ αἰσχρός, ὁ δυσειδής. ἀγαθός, ἐπὶ ψυχῆς. οὗ τὸ ἐναντίον, κακός. ὁμοίως καὶ χρυσός, οὗ τὸ ἐναντίον φαῦλος. Καλοσίδηρα, καλότροφα. Καλότριχον, τὸ ἀδίαντον. Καλοτύπος, ὁ δρυοκολάπτης. Καλοδόμησ' αὐτῷ, ἀντὶ τοῦ εἰς δικαστήριον ἄγομεν. Κάλους φασίν, οἷς τὸ ἱστίον συστέλλεται καὶ ἀνέλκεται. τὸ δὲ ἀληθέστερον οὕτω κάλους, τὰ ἐν μέσῳ τοῦ ἱστοῦ ἀναλκόντα καὶ χαλῶντα τὸ ἱστίον, κληθέντα οὕτω παρὰ τὸ χαλᾶν. καὶ ἔστιν ὅτι κάλος οὐκ ἐκτείνεται τὸ α λέγεσθαι παρὰ τοῖς παλαιοῖς, εἰ καὶ Ἀττικῶς μηκύνεται. Καλπάζειν, τὸ ὀξέως καὶ ἀθρόως βαδίζειν. Κάλπη, ἡ ὑδρία. κάλπις δὲ ποταμός. Κάλπις, ἵππος βαδιστής, καὶ εἶδος δρόμου.

Κάλπος, ποταμὸς εἶδος. Κάλυβες, ἀποδόματα κοῖλα, ἐν οἷς ἐπιπίνουσιν. Καλυβικά, τὰ καλλίγυια. Καλύβη, σκληρὸν πυκνόν. Καλυβός, πυκνός. Καλυκές, τὰ ἔμβρυα.

Καλύβη, οἰονεὶ καλύφη τις οὖσα, παρὰ τὸ καλύπτω, κατὰ μετάθεσιν τοῦ π εἰς τὸ φ. Καλυδίλα, γέφυρα. Καλύδνων τέθνηκεν ὁ ποιητής, οἱ πρὸς Διοσκουρίδου χθονίων καλυδνῶν, ἀντὶ τοῦ θρηνῶσιν. ἵνα ἐκάλεσαν ἦ, ὅτι τεθεῖσι καλάθους εἰσίν, ἃς ἔτεθεν διὰ τοῦ μὴ χαλῶσιν καλούμενα. ὅτι δὲ ἀγαθὸν μέλι καλύδνιον, κεῖται καὶ αὐτὸ ἐν τοῖς τοῦ περιηγητοῦ. ὁ δὲ Τζετζῆς χωρίον τινὸς μέμνηται περὶ Θήρας, καλύδνιον καλούμενον, ὃ Λακεδαιμόνιοι ἐκτίσαντο. ὁ τῶν Λακεδαιμονίων ἡγεμών, ὃς ἀποικίας ἐστείλεν, καὶ προσδεόμενος ἐκεῖθεν, ἐτιμήθη πλέον ἢ κατ' ἀξίαν, καὶ ἐστὶ Λυκούργου, διὸ ἐκεῖ περιέχει τὸ χῶμα. ἱερεὺς δὲ γεγονώς, ὥσπερ ὁ Τζετζῆς λέγει, ἐν ταῖς μυστικαῖς χρείαις κατέγραψε τὸν βίον ἐξ ἰδίας νόσου, κατὰ μῆνιν θεοῦ. οὐ γὰρ διέδειξε ὡς ἱερεύς, ἀλλὰ διαφθορεὺς τῶν ἱερῶν. λέγει δὲ ἱστορία γεωγραφική, καὶ ὅτι αἱ καλύδναι κατὰ τὴν ἐπὶ Δίκτην πλοῦν κεῖνται. ἀπέναντι δέ ἐστι τὸ Δίκτην, καὶ ὅτι καλύδναι νῆσοι κατὰ Κῶον αἱ Σποράδες, ὧν μία Καλύδνα. ἐξ ἧς αἱ περικείμεναι καλοῦνται. οἱ δὲ μίαν νῆσον καλύδνων φασὶ πληθυντικῶς, ὡς Ἀθῆναι καὶ Θῆβαι. Καλυβαί, ὁ παλαιά. Καλυδώνιον, ἀρχαῖον, παλαιόν. Καλυδώνιος, ὁ Αἰτωλός, καὶ πρωτός, καὶ ἀρχαῖος, παλαιός. Καλυδώνιος, αἴξ. Καλυδώνιον, ἔνδοξον ἦν. εἴρηκε δέ, διὰ τὸ ὀλιγοδίαιτον φαῦλον, διαιρῶν ὄντα.

Καλυδών, ἀπὸ Καλυδῶνος κληθεῖσαν λέγεσθαι, ὃς Ἐνδυμίωνος υἱός, ἢ Αἰτωλοῦ γέγονε. διατὶ δὲ ἐν Καλυδῶνι κατοικεῖν ὁ οἰνεύς, ὡς δηλοῖ ὁ Τζετζῆς εἰπών, ὅτι τὰ περὶ Καλυδῶνα οἰνεὺς εἶχεν. ὁ δὲ ποιητὴς καὶ ἑτέραν ἱστορίαν συνήθως ἐκπλέκων φησίν, ὅτι θόαν Αἰτωλῶν ἡγεῖτο. οὐ γὰρ ἔτ' Οἰνῆος μεγαλήτορος υἱέες ἦσαν, οὐδ' ἄρ' ἔτ' αὐτὸς ἦν ὁ οἰνεύς, θάνε δὲ ξανθὸς Μελέαγρος. ἐκείνων δὲ ἐκλιπόντων, ἐκ τοῦ θόαντα πάντα φασὶν ἐπίταλτ. Καλυδών, πόλις. καὶ Καλυδώνιος, ποταμός. Κάλυκες, ὅρμοι, περιτραχήλιος κόσμος. Καλύκων, σφογγία, φύλλα ἐκκεκλεισμένα. Καλύκωσος, λίθος ὁ ἐν ταῖς ἅλωσι γινόμενος. Καλυκίζειν, ἀνθεῖν. Καλυκίον, μικρὸν ῥόδον. Καλύκων, τῶν ὀμμάτων φύλλον. Καλυκῶπις, εὐόφθαλμος. Κάλυμνος, ὁ ἐν Αἰγύπτῳ οἶνος, ἀντὶ τοῦ καλύμνιος. Καλυντήρια, καὶ πλυντήρια, ἑορταὶ ἐν Ἀθήναις.

Καλύπτρα, κόσμητρα, ἀντὶ δὲ τοῦ δέρματος καλύπτρον φέρων, καὶ κάτοπτρον ἐστὶ ἀσπίδος, καὶ ξίφος ἐστὶ κράνος, ἐπὶ ὃν καθήμενος. Κάλυξ, τὸ ἄνθος τοῦ ῥόδου, τὸ μὴ ἐκπετασθὲν ἄνθος, ἡ νύμφη, καὶ τὸ ἐνώτιον, καὶ ἡ χρυσῆ σύριγξ, ἡ τοὺς πλοκάμους περιέχουσα. ἔστι ἔμβρυα ἀποδιδόασι κάλυκας, αἱ δὲ βλαστήματα. σημαίνει δὲ καὶ τὴν θαλασσίαν πορφύραν.

Καλύξεις, φύλλον καλόν. Κάλυξις, κόσμος τις ἐκ ῥόδου. Καλυπτρα, στέφανοι φοινικῶν, στελοχεῖς, χάρακες, σαυροί. Καλύπτρα, κόσμος καὶ σκέπασμα τῆς κεφαλῆς.

Καλύπτω καὶ καλύσσω λέγομεν, ἀλλὰ καλύπτω συνηθέστερον. Καλύφιον, ξυλάριον. Καλύψαι καὶ ἀμφικαλύψαι, παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας ι', ἀντὶ τοῦ ἐπιθεῖναι, σκεπάσαι, καλύψαι, ἐπικατακρύψαι, ὡς ἐκ μεταφορᾶς τοῦ νέφους.

Καλυψώ, ὄνομα θεᾶς, ἡ μὲν ἁπλῶς, καλύπτουσα δὲ τὸν διανοούμενον. δολόεσσαν γὰρ λέγει αὐτὴν Ὅμηρος. Καλχαίνει, ταράσσει, πορφύρει, σείει, φροντίζει, ἄχθεται, κυκᾷ, ἐκ βυθοῦ ταράσσεται. Καλχαίνων, κατὰ βάθος μεριμνῶν. καὶ κάλχη, ἡ πορφύρα. ὅθεν καὶ πορφύρειν, τὸ μεριμνᾶν. Κάλχας, Στράβων τὸν μάντιν φησίν, ὃς ἦν τῆς Χαλκίδος. Κάλχη, διαφθείρει, πορφύρα, βοτάνην ἀποφέρει, μύρτος κεφαλῆς ἐκτός. Κάλως, ὁ διδάσκαλος. Κάλωες, λέγονται τὰ σχοινία. ἐστὶν οἷς ὁ ἱστὸς ἰσχυρὸς ποιεῖται ἀφ' ἑκατέρου τοῦ πλευροῦ τῆς νεώς. καὶ καθόλου δὲ πᾶν σχοινίον, κάλως λέγεται. διὸ καὶ διαιροῦντες αὐτούς, οἷς μὲν κατάγεται τὸ ἱστίον, μηρυκίους λέγουσιν. οἷς δὲ ἰσχυροποιεῖται ὁ ἱστὸς ἐξ ἑκατέρου μέρους, ἐπὶ τὴν πρύμναν προτόνους. τοὺς δὲ κατὰ τὰς γωνίας, πόδας. ἐφεξῆς δὲ τούτων πρόπολας, μεθ' οὓς εἰσὶν οἱ καλούμενοι τέρθριοι, εἶτα οὓς λέγουσι μύθους. Καλώδια, χοινία. Καλώδιον, σχοινίον.

καὶ ὁ ἔστιν ὁ κάλαμος καὶ αὐλός. Καλαμοτόκος, ἱερατικὸς, λα[illegible]. Καλαμώμενον, καλαμᾶσθαι λέγουσιν, ὅταν ἐκ τῆς τετρη[illegible] ἀπολειμμάτων [illegible] συνάγωσιν, ὁ σαλχος. Καλαμίνθη, εἶδος ἰχθύος. Κάλενδαι, ἀμέραι, ἡ μηνὸς ἀρχαὶ κατὰ ῥωμαίους. Καλανδία, ἀγὼν ἐπιτελούμενος ἀρτίμελι παρὰ λάκωσιν. Κάλαον, καλὸν [illegible]. Καλάοι, χαῖ[illegible]. Καλασελίτεις καὶ ὄχεις ἐκάλουν οἱ παλαιοί, ἢ τοὺς ἀπογεγραμμένους πράξεις ποιοῦντας, ἢ [illegible]. Καλαρίνθη, ὀχετός. λάκωνες. Καλαφίγγαι, τάφροι, ἀμφίβια.

Καλασίριες, τὰ λοχία, ἃ καλοῦσιν [illegible] καὶ καλάσιρις χιτὼν πλατύς, οὕτως αἰγύπτιοι. καὶ ὄνομα κύριον. Καλαυνή, τρυφᾷ, ἐμπίπλαται. Καλαυροί, τρυφᾷ. Καλαῦρα, νῆσος [illegible] πλησίον τροιζῆνος, ὡς [illegible] ἐν περιόδῳ τῆς γῆς [illegible]. [illegible] δὲ πρότερον εἰρήνη ἡ καλαυρία, καθά φησιν Ἀριστοκλῆς. Καλαύροψ, ῥόπαλον ποιμενικὸν ἐν ἄκρῳ, οὗ καλὸν [illegible] ξύλον αὐ ῥίπτει. ἅπαξ δὲ τοῦτ' εἴρηται παρὰ τῷ ποιητῇ. [illegible] δὲ ὅμοιον [illegible] παρὰ Θεοκρίτῳ ῥοικὸν [illegible] ξύλον. [illegible]

Καλαυρίς, βακτηροφόρος. Καλαφος, ἀσπάλαξ, [illegible]. Καλείμεν, καλεῖν. Καλεῖον, [illegible].

Καλέος, ὄνομα καὶ μοιχός. Καλεῖν, τὸ ὀνομάζειν. Ἀριστοφάνης, ὅπως τὴν [illegible], ὡς τὸ [illegible] καλεῖν, ἀντὶ τοῦ [illegible] λέγεσθαι. καλεῖ δὲ ποτὲ [illegible] ταυτὶ παρ' ἑαυτῇ, ἀντὶ τοῦ εἰς καλιάν. καλεῖν καὶ τὸ ἐπικαλεῖσθαι ἀττικῶς, ἤτοι [illegible] καὶ [illegible], αἰτιατικῇ συντάσσεται. οἷον καλῶ ἐπὶ τῷ ὀνόματι τούτῳ [illegible] λόγιον, καὶ ἀπόλλω μουσηγέτην, ἀντὶ τοῦ ἐπικαλοῦμαι. [illegible] ἀττικόν, [illegible] καλοῦμαι παρὰ τῷ κωμικῷ, οἷον καλοῦμαι [illegible]. [illegible] παρ' Ὁμήρῳ [illegible]. παρὰ δὲ τοῖς ὕστερον [illegible] ἀκόλουθον τὸ [illegible]. παρὰ δὲ τοῖς [illegible] τὸ καλεῖσθαι [illegible] ἀττικοῖς δικαστικὴ λέξις τὸ [illegible], ὡς [illegible] καὶ τὸ καλοῦμαι [illegible]. Καλώσας, λιθοβολεῖν. Καλίχη, [illegible]. [illegible]. Καλιάσθη, ἀντὶ τοῦ καλιᾶσθαι, Ἀττικῶς. Καλάμινον, ἡ ἐκ τοῦ καλάμου [illegible], ἡ κάλαμος. [illegible] ἐκ τοῦ [illegible] τίθημι [illegible], οὕτως εἴη καὶ ἐκ τοῦ καλῶ κάλαμος τὸ καλάμινον. Κάλαμος, ἐπισκολυμμένος τὸ [illegible]. Καλάμινος καὶ [illegible], ἀντὶ τοῦ καλούμενος καὶ νοούμενος λέγεται οἱ αἰολεῖς, [illegible] διὰ τὸ δίφθογγον εἰς ω. Καλιμπᾶι, καλεῖ [illegible].

Καλλιὼ τὸ ἐπικάλειον, ὃν οἱ μεθ' Ὅμηρον [illegible] καλοῦσιν.

Καλήσιος, ὄνομα κύριον. Καλήτωρ, ἰδαῖος κῆρυξ.

Καλιά, ἡ νοσσιά, ἡ οἶκος ξύλινος. Καλιά, κυρίως ἡ [illegible]. Καλιά, ἡ φωλεά, ὅ ἐστι κάλυμμα, ὅτι ξύλων κατασκευασμένη [illegible] λίθων πρὸς ἐργασίαν. [illegible] δὲ ἐπὶ τῶν λίθων τῶν οἰκιῶν. Καλιά, σημαίνει ἀντὶ τοῦ οἰκία. κυρίως δὲ ἡ ἐκ καλῶν κατεσκευασμένη. καλὰ δὲ τὰ ξύλα. [illegible] γὰρ ἐχώρουν τὸ παλαιὸν οἰκίαις, λίθων [illegible]. Καλίδια, [illegible]. Καλινδεῖσθαι, περιβάλλεσθαι βαρβαρικόν. Καλιῶν, τῶν οἴκων. κυρίως δὲ τῶν ἐκ ξύλων οἴκων. καλα γὰρ, τὰ ξύλα. Κάλιθος, οἶνος, ἀμφίβιος. Κάλις, [illegible]. Καλιτὴς, ἀντὶ τοῦ καλίτης. καὶ [illegible], ἀντὶ τοῦ καλιθιάς. Καλλοί, λοιπάδες. Καλιὸς, τὰ εὐτελῆ οἰκήματα. Καλλιον, πινάκιον, βακτηρίδιον. Καλιος, τὸ [illegible] καὶ ξύλον, ὁ [illegible]. καὶ οἱ μικροὶ οἶκοι, καλιαὶ καὶ καλίδια. Καλλιρρόη, πηγὴ ἡ καλῶς ῥέουσα. Καλὶς, [illegible]. Καλιγεῖν, καλεῖν. Καλιῶσαι, [illegible]. Καλλαιοι, οἱ τῶν ἀλεκτρυόνων πώγωνες, καὶ πᾶν [illegible] χρῶμα. [illegible] δὲ τὰ ποικίλα. καὶ παρ' αἰγυπτίοις χρῶμα κατὰ [illegible]. τίθεται δὲ καὶ ἐπὶ μύρου. καλλαί, τὰ βαπτὰ ἱμάτια. Καλλαῖς, γένος ἰβάνινον. Κάλλα, ἡ κάννα, κάλαμος. Καλλαροί, βόρβαροι. Κάλλαισι, κάταλοισι. Κάλλει, τῷ μύρῳ

τῷ τῆς ἀφροδίτης. Καλλείαδεν, τρυφερά. Καλλέπηα, ὁ ἀμαθῶς ποιούμενος. καὶ διαλλάττει, ὁ διαφέρων. καταλλάττει δὲ, καὶ διαλλάττεται ὁ φιλούμενος. Καλλάτις, πόλις.

Κάλλαισχος, ὄνομα κύριον. Κάλλε, τὰ ποικίλα ἱμάτια, καὶ κέραμος καλάϊνος. Αἰσχύλος ἐν ποικίλοις κάλλεσιν.

Καλλαιθος, αἰθούσιμον πρὸς βαφὴν ἁρμόζον. Κάλλος, καρπίμος. Κάλλαος, λίθινος παρὰ λάκωσι. Καλλεβαίνειν, ὅμοια συμβαίνειν καὶ φαλίσιν, ἐν οἷς τοὺς ὀφθοὺς κομοῦσιν αἱ γυναῖκες, ἀπὸ τοῦ ὀρχήσεως, σχημάτων τῶν ἰσχίων κινουμένων. Καλλιγένεια, ἀπὸ τῆς δήμητρος γῆν, εὐθὺς γὰρ οὕτως ἐστὶ τῶν καλλιγένειαν. οἱ μὲν τροφὸν τῆς, οἱ δὲ [illegible], οἱ δὲ ἀκόλουθον. Κάλλα, κυρίως τὰ βεβαμμένα ἱμάτια. καὶ κάλλε, τὰ ἄνθη. Καλλιγραφεῖν, διαλελυμένως λέγουσιν ἐκεῖνοι. τὸ δὲ, εἰς καλὸν γράφειν. Καλλίερος, ἀπὸ καλλίονος φασὶν ὠνόμασαι, ἤγουν ὁ λιθόκοπος καὶ λατόμος. οἱ δὲ καλλίναρα εὐθύτερος φασί, διὰ τὸ εὔθετον [illegible]. καὶ δὲ ταῦτας, οἱ καλλιερεῖς. Καλλιγύναικα, τὴν καλὰς ἔχουσαν γυναῖκας. Καλλίας τὶς ἐγένετο πλούσιος, ὃς εἰς πᾶν [illegible] τὴν ἑαυτοῦ οὐσίαν κατηνάλωσεν, καὶ λοιπὸν ἐγένετο πένης.

Καλλιλύρα, καλλιεινύμφη. Καλλίεπεια, εὐφράδεια, καὶ λογιότης. Καλλιφεῖν, εὐωρεῖν, εὐεργεῖν, καλῶς τὰ ἱερὰ ποιεῖν.

Καλλίερμα, θυσία εὐπρόσδεκτος. Καλλίρρημα, ἡ ἀφαίρεσις. [illegible] τὸ τρίτον ἐπὶ μορίων, ἡ τὸ τέταρτον, ὅ τινες [illegible] τῆς ἀκολουθίας ταύτης. ἐνίοτε δὲ λέγεσθαι μόνον, ἐνίοτε δὲ μετὰ τῆς συνθέσεως τοῦ μορίου. οἷον τριτημόριον ἢ τεταρτημόριον, οὕτω [illegible] τὸ καιρὸν ἐπὶ τρόπου. ἐνίοτε μὲν λέγεται μόνον, ἐνίοτε δὲ μετὰ τῆς συνθέσεως τοῦ τρόπου, ἤγουν καιρότροπον. Καλλισθεῦμαι, τὸ θυσιάζω. Ἀριστοφάνης, εἰ ἂν καλλιερηθῇ [illegible].

Καλλίζωνοι γυναῖκες, ταυτὸν ἐστι τῷ εὔζωνοι. τὸ μὲν [illegible], ἐπὶ [illegible]. Καλλιεκάδος, εὔφωνος, εὔσημος.

Καλλίνικος, ἐφὸς ποιητής. Καλλίκων, ὄνομα κύριον. ἔχει δὲ ἀδελφὴν ἐμπυριλοκλέα. Καλλικολώνη, καὶ λέγεται τόπον [illegible] πλησίον, παρὰ τῷ ποιητῇ φασὶν εἶναι ταῦτα. φασὶ [illegible] δὲ καλὴ [illegible] ὁ [illegible] οὗτος, διὸ κλῆσιν ἔχειν καλλικολώνη, καὶ ἐκεῖθεν εἶναι [illegible]. [illegible] βραχύτατός ἐστιν ὅλυμπος. περὶ ταύτης καὶ ὁ [illegible] φησί, καλλικολώνη λόφος τὶς πεντασταδίου, παρ' ἣν ὁ σιμόεις ῥεῖ. ἐπὶ δὲ [illegible] ἀπὸ τοῦ ἰλιέων κώμης [illegible] τὸ παλαιὸν ἴλιον ἱδρυτο. ἀπέχει δὲ τοῦ νῦν ἰλίου στάδια μ'. Καλλικολώνη, χωρίον ἰδα[illegible]. Καλλικόμων, εὐτριχιῶν. Καλλίκαστα, χελώνιον. οἱ δὲ, φύκιον. Κάλλιμος, ὁ καλός. κάλλεος δὲ λύρας τὸ ἦχον, οἱ δὲ κάλαμος. ἡ διὰ τοῦ [illegible] παραγωγή, ἐκ τριῶν γίνεται. οἷον [illegible] ἀοίδιμος, ἀγὼν ἀγώνιμος, κύδος κύδιμος. οὕτω κάλλος κάλλιμος. γίνεται καὶ ἀπὸ τοῦ ῥήματος προσδοκώμενος [illegible]. Καλλινάσσα, καλλιρρόη. Καλλίνικος, ὁ ἡρακλῆς. καὶ εἶδος ὀρχήσεως, ἐπὶ τῇ τοῦ κερβέρου ἀναγωγῇ, ἡ νικητής. Καλλιποτάμη, κρήνη καλῶς ῥέουσα. Καλλίπεος, ὄνομα μεδύσης, σύγκειται ἐκ τοῦ καλοῦ ἔπους. Κάλλιος, ὄνομα κύριον. Καλλιπάρθενον, παρὰ τὸ κάλλος καὶ τὸ παρειά, καλλιπάρειον, κατὰ τροπὴν βαιωτικὴν τῆς ει διφθόγγου εἰς ι. τὸ δὲ παρειά διὰ τῆς ει διφθόγγου. τὰ εἰς ια διὰ τῆς [illegible] τρισύλλαβα, διὰ τῆς ει διφθόγγου γράφεται ὅτε ὀξύνεται. οἷον φορβειά, παρειά, πλὴν τοῦ καλιά. πρόσκειται τρισύλλαβα διὰ τὸ ἱμονιά. Καλλίχορα, [illegible]. Καλλιπέρι, ἐπισκέπται. Καλλίπυρον, εὐπύρον. Καλλίπυργος, καλὰ τείχη ἔχουσα. Καλλιρέη, πρότερον [illegible] πρότερον ἐκαλεῖτο [illegible] ἐκαλεῖτο. Καλλίρροον, καλῶς ῥέοντα. Καλλιστεῖον, τὸ ἐπὶ κάλλει γέρας καὶ τῶν κάλλους. ἀριστεῖον, τὸ ἕνεκα ἀριστείας. γέρας, πρεσβεῖον, ἡ διὰ γήρως προτίμησις. καὶ τὸ διὰ [illegible] διδόμενον γέρας, καὶ

πρὸς ἕτερον ἀλλότριον. Κακόνοι, ἐχθροί, οἱ κακὸν νοῦν ἔχοντες πρὸς τὸ πρᾶγμα. Κακό. ὅτι τὸ φυσικὸν λιναλμὸν κατεσφαλμένον ἐστίν, ἐκ ἄλλα πλὴν τὸ τέλος ἀλέγισος κίνησις.

Κακόρθην, τὸ διὰ ἑαυτοῦ φανερόν, ὡς βλάπτον. Κακοπάλξη, ἡ ταλαιπωρία. Κακοπινέστατον, τὸ πόθος ποτὲ μὲν ἐπὶ τοῦ ἐλέους, ποτὲ δὲ ἐπὶ τοῦ ἴσως λαμβάνεται. κακοπινέστατον δὲ ῥυπαρόν. πιθανὸν γὰρ ἀλόκιμον τῇ γνώμῃ, καὶ οὐ καθαρόν. Κακόσπεινον, ἀντὶ τοῦ κακοτεχνεῖν. Κακοπράγμον, πανοῦργος. Κακοπραγοῦς, κακουργοῦς. Κακόρας, κατακόψας, παρὰ Εὐπόλει. Κακόρραξι, ἀπιχώρει. Κακορραφία, ἡ δυσχερεία ἢ κακοβουλία καὶ πανουργία, κυρίως τὸ κακὰ ῥάπτειν, ἤγουν συντιθέναι, κατὰ τὸ κακὰ ῥάπτομεν ἀγχάλην. οὐ προσηνὴς τὸ ὑφαίνειν, ἀφ' οὗ τὸ μῆτιν ὑφαίνειν. ἢ καὶ ἄλλως κακορραφία, ἡ τῶν κακῶν σύνθεσις. οὐ κακάχειν γυναῖκας, ἡ τὰς φρένας ἀραρυίας ἔχειν. ἀλιγεινὴ ἡ κακορραφία, διὰ τὰ κατ' αὐτὴν ἄλγη. Κακορροθεῖ, κακῶς ἀγορεύει. Κακοσόμενος, ῥεῦσις ἐμβλεψάμενος.

Κακὸς δηλοῖ καὶ τὸν ἀγεννῆ, καὶ τὸν δειλόν, καὶ τὸν μοχθηρόν, καὶ ὅλως τὸν οὐδὲν ὑγιὲς ὄντα. ἐκ τούτου δὲ καὶ κάκαλος βδυτάνος πρὸς δικαιολόγον, λευκὸς πελαργός, ὃς ἠρακλεῖ κατὰ τὸ γυμνὸν βοῶν ἐπιβουλεύσας, ἐκακώθη πρὸς θάνατον. Κακὸς ἢ ἄναλκις, ταῦτ' ἀμφω νεοῦσι, ταυτολογικῶς ῥηθέντα παρ' Ὁμήρῳ. Κακοσπουδάστην, ἐπιβλαβέστατον, παρὰ τῷ Ἱπποκράτει. Κακόσιτος καὶ ἀχόσιτος, ὁ ἀπηγκωμένος ἀπὸ σιτίων, ὡς ἄπιχθυς.

Κακόχολος, ὁ χόνον ἔχων ἐπὶ τὸ χεῖρον. ἢ ὁ πονηρός, ἀπὸ τοῦ χελάζειν τοῖς κακοῖς. Κακότατος, κακότατος. Κακοτεχνεῖν, δίκης ὄνομα, ἣν οἱ ἁλόντες ἐνὰ ψευδομαρτυριῶν κατὰ τοῦ παρασχομένου ἐδίδοσαν. Κακότης, ἀπὸ κοινοῦ λέγεται ἐπί τε τῶν καὶ τῶν ἀνθρώπων. ἢ ἐπὶ τοῦ τῶν δηλοῖ τὴν βλάβην, ἣν αὐτοὶ βλάπτουσιν. ἐπὶ δὲ τῶν ἀνθρώπων, τὴν κάκωσιν, καὶ τὴν δειλίαν, ἣν αὐτοὶ ἐν ταῖς ψυχαῖς αὐτῶν ἔχουσιν. Κακοῦ κέρατος κακὸν ᾠόν. Κάκουλοι, κακοί, σκληροὶ κύαμοι. Κακουργεῖν, ἐπὶ πάσης κακῆς ἐργασίας λεγόμενον, ἐπικρατοῦσαν ἐπὶ μόνου τοῦ κλέπτειν. Κακουργία ἐστίν, ἡ τοῦ τρόπου διαστροφή.

Κακοῦργοι, οἱ λῃσταί, οἱ πειραταί. Κακοῦς, πολλάκις ἀντὶ τοῦ δειλοὺς Ὅμηρος εἴληφε. παρὰ τὸ χάζεσθαι, ἐπεὶ ἐναντίον ἐστὶ τοῦ ἰσχυροῦ κρατεροῦ. αὐτὸ γὰρ ἔργον ἐστὶν ἀνδρείας, οὐ πέφρασις τό, ὃς ἀνεχάζετο ἐν τῇ μάχῃ. Κακοψυχία, ἀθυμία, ἀμέλεια, ἀθυμοκακία. Κακοφυΐα ἐστὶ κακία ἐν φύσει, καὶ ἁμαρτία τῶν κατὰ φύσιν τέλος. Κακόχαρις, ὁ ἐπὶ κακῷ χαίρων, ἢ ἐφ' ᾧ οἱ κακοὶ χαίρουσιν. Κακοχρώμενον, ὁ δύσγενος. ὡς παρὰ Θεοκρίτῳ, ἢ τοῦ λυπεῖν. Κακόω, κακῶ ἐστιν, κακοῦμαι δὲ ἀντὶ τοῦ κακῶς γίνομαι, ἀμφιέβατον. Κάκτανε, φόνευε, ἄπελε, κατάκτεινε, ἐὰν ἐπάγηται λέξις σύμφωνον πανταχοῦ ἀποβάλλει τὸ τ, κατάκτανε κάκτανε, κατάσχεθε κάσχεθε.

Κάκτος, ἀκάνθα. ἐφ' ᾗ ἐὰν πληγῇ νεβρός, ἀχρεῖα ἔχει τὰ ὀστᾶ εἰς αὐλούς. Κάκτον, καὶ ἐπὶ νότου. Κακυνία, ἐψοφαγία. Κακῦναι, ἐψοφαγῆσαι. Κακύνειν, ὑβρίζειν. κακύνειν τὸ καλόν, ὅτι τὸ ἄριστον ὕβριος ὑβρίζειν. καὶ κακύνειν, ἀντὶ τοῦ μωμεῖσθαι. Καχαλίαι, ἰχθύφωνοι. Καχάζει, ἀτάκτως γελᾷ, ἀσμένως, ἀθρόως, ἀπολελυμένως. Κάχαρτος, κακόχαρτος. Καχύσαι, τὸ καταβαλεῖν. καὶ καταχύσαι, κατὰ συγκοπήν. Καχότερον, χεῖρον. Καχωρεῖ, ἐφεστία, κακουργεῖ. Κακὸν ἀπὸ χειρὸς ἔχεσθαι, παρ' Ὁμήρῳ ἐν χ τῆς Ὀδυσσείας. οἱ μεθ' Ὅμηρον ἑλληνικῶς φράζουσι. ἀρνεῖται παρ' αὐτοῖς εἰπεῖν, κακὸν ἀπέχεσθαι, κατ' ἔλλειψιν τῶν χειρῶν.

Κακῶς οἴεται θυμός, πρὸς δυσχερῶς εἴρηται παρ' Ὁμήρῳ τὸ κακῶς ὁρίνεται. ὀρίνεται γὰρ ποτὲ καὶ καλῶς κατὰ τὸν εἰς πόλεμον ὁρμώμενον, καὶ ἐμφυλίως μαχόμενον. Κακῶς, δεινῶς, ταπεινῶς. Κακῶς εἰδότες, ἀντὶ τοῦ ἀγνοοῦντες. Κακό

σιως δίκαια ἐστι ταῖς τε ἐπικλήροις κατὰ τῶν γεγαμηκότων, καὶ κατὰ τῶν παίδων τοῖς γονεῦσι, καὶ κατὰ τῶν ἐπιτρόπων ὑπὲρ τῶν ὀρφανῶν. ἐπίκληρος δὲ ἦν, ἡ ἐπὶ παντὶ τῷ κλήρῳ ὀρφανὴ καταλελειμμένη, μὴ ὄντος αὐτῇ ἀδελφοῦ. ἡ δ' αὐτὴ λέγεται καὶ ἐπικληρῖτις. Κάλα καλαῖθα, ξηρὰ ξύλα, ἐκ τοῦ δεῖν ἀποτιθέντα καίειν. καλὸν γάρ, τὸ ξύλον. Κάλα, τὰ ξύλα. ἐξ οὗ καὶ καλόπους, ὁ ξύλινος πούς. Καλὰ δὲ πατάγεις, ἀντὶ τοῦ λέγεις.

Καλά, τὸ καλὰ παρὰ Ἀλκμᾶνι, οἷον καλὰ μελισδόμενοι. Καλαβὰς, καλαβώτης. Καλαβίς, τὸ πλεῖστον τὰ ἰσχία κολαβοῦσθαι, ἐν τῷ τῆς Ἀρτέμιδος ἱερῷ ἀρχαῖος ἀλόμενοι ὕμνοι. Καλαβρία, νῆσος πλησίον Τροιζῆνος. ἐκαλεῖτο δὲ πρότερον Εἰρήνη. Καλαβρίαν, τὴν μεσογαίαν χώραν. ξένων. Καλαβριαθίνδην, χλευαστικῶς. Καλαβρίς, βάρβαρος. Καλάβροψ, ἡ ποιμενικὴ ῥάβδος. παρὰ τὸ ῥίπτειν τὸ καλὸν εἰς τὸ ἴον μέρος, ἐν ᾧ ἐστι τὸ παχύ. ἢ ἡ καλουμένη κορύνα.

Καλαβώνας, τοὺς αὐλητὰς. ἀργεῖοι. Καλαβώτης, ἰχθὺς ποιός, καὶ ζῷον. Καλάδια κατακτεῖς, καλὰ δικαίας. Καλαδίω, ῥυπαίνω. Καλάζει, ὀγκοῦται, ὀχεῖ. Κάλαθοι, λάκκοι, οἱ δὲ ἄνθη. Καλάθιδα, πλειμία. Καλαθηφόροι, αἱ τὰ μαγειρικὰ φέροντες. Καλαθίσκος, εἶδος ὀρχήσεως, ὡς καὶ σκεῦος γυναικεῖον παρὰ Μενάνδρῳ. Κάλαθος, εἰς ὃν τὰ κάλλη ἀποτίθενται. κυρίως δὲ κάλλη, τὰ βεβαμμένα ἔρια. καταχρηστικῶς δέ, καὶ ἐπιδεικτικῶς τὸ πυρῶν ἢ καρπῶν. ἢ γάλαθος, εἰς ὃν τὸ γάλα ἐπιτίθενται τυρεύοντες. Κάλαις, ὄνομα κύριον. ἢ καλάϊνον χρῶμα, Αἰσχύλος ἐν Φινεῖδαις χρώμασι. Κάλαις, τὸ ἐπίων, καὶ ὄνομα κύριον. Κάλαμις, ὄγκος, ἰχθύς. Καλαμαία, εἶδος ἀκρίδος, ἣν καὶ μάντιν καλοῦσιν. Καλαμᾶται, τρυγῶσι τὰ ἀνώτερα μέρη τῶν ἐλαιῶν, ἢ κατεσθίει. Καλάμαι, κυρίως αἱ τῶν ἀσταγμάτων ῥίζαι, οἷα ἔτι καλούμεναι στάχυες μετὰ τὸν θερισμόν, ὅτι μηδὲ σῖτον ἔχουσιν. δεῖ μὴ ὁ στάχυς ἐτυμολογεῖται, ὡς εἶδος στάχυς. καλεῖ δὲ τὴν καλάμην συντὰς εἰς καλαμαίαν, ὡς σταλίνην σταλινιαίαν. ἀπὸ δὲ τοῦ ῥοθίου καλάμης ἢ καλαμᾶσθαι, τὸ συλλέγειν τὰ λείψανα τῶν τεθερισμένων. καὶ καλαμαῖον φασι τετέρειον ἐλάχιστον καὶ καλάμειον, χιτῶνα κοσμάριον, κατὰ τοὺς παλαιοὺς εἰπεῖν, ὃ ἢ πλοκάμους περιέχει. αὐτὸ δὲ ἴσως εἶναι ἐκ τῆς καλάμης, ἀντὶ ἐκ καλάμου πεποιῆσθαι. καὶ τὸ ἁπλῶς δὲ φασὶ θερίζειν, ἀπὸ τῆς καλάμης καλαμᾶσθαι λέγεται. Καλαμᾶσθαι, ἀνασπᾶσαι, ἀπὸ τῆς καλάμης τῶν σπερμάτων ἀνασπᾶν, ἕνεκα σίτου τῶν σιτημάτων. ἢ ἀντὶ τοῦ ἀγρεύειν, ὡς οἱ τοῖς καλάμοις τοὺς ἰχθύας ἀνέλκοντες. Καλαματᾶς, ἀντὶ τοῦ θεριστάς, λέγει Θεόκριτος. Καλάμη, ὁ στάχυς τοῦ σίτου. ἢ καλάμη, ἀπὸ κάλου, τοῦ ξύλου. αὐτὸ δὲ ἀπὸ τοῦ καίεσθαι. Καλαμίνθη, ἀνδρώδης βοτάνη, καὶ ὅσας ἐλαίῳ καιομένη. Καλαμίτης, ὁ ἐπὶ τῆς καλάμης τοῦ σίτου, ἢ κύριον ὄνομα. Καλάμοι, κυρίως ἐπὶ τῶν ἐπιτελείων εἰς τὸ γράφειν, καὶ εἰς αὐλούς, καὶ εἰς ἄλλα τινά. δόναξ δέ, ἐπὶ τῶν ἐπιτελείων μόνον εἰς αὐλούς.

Κάλαμος, παρὰ τὸ καλῶς ἀμᾶσθαι. καλαμίδας, τὰς νῦν λεγομένας ἁλιέας, ἐπεὶ ἀπὸ καλάμων γίνονται. ἢ τὰς ἐπιλέκτας καλάμας, τὰς προσκολλισμένας. Καλαμοθήκα πάρ, ἐξ οὗ ὁ στρατός, ὅτι ἀρχαῖοι καλάμῳ ἀντὶ κεραίας ἐχρῶντο. ὁ ἐπὶ σκηνῇ ἡ ἄλειψις ὁ πάρ, ἢ ἐστίν ἐκ καλάμων. Καλαμῶνται, ἀλιεύονται. ἢ καλαμῶ, ἐπανατρυγῶ, ἢ τὰ ἀποθερίσματα συλλέγω. Καλαμηΐδες, αἱ τὰ δράγματα συλλέγουσαι. Καλάμια, τὰ σιδήρια. Καλαμίνδας, πλάτανος ἀλιευτής. Καλαμίς, κισσὸν μάκιον ἢ περὶ τὴν πλοκάμους. ἐπεὶ σφίγγα, ἄλλοι χρυσῶν περιτραχήλιον, καὶ ψαλίδιον ἐστίν, καὶ ἐπὶ τοῦ γάλακτος ἕτερον, καὶ ὁ ἁλιευτικὸς κάλαμος. καθ' ὃ δὲ ἢ μικροὺς τέττιγας καλαμίνδας καλοῦσιν. Καλαμινθός, ὄρος τῆς Ἠλείας πλησίον.

Κάλαμος, ὄρος ἐστί, ἢ τὸ ἐπιλεγόμενον τοῦ λύρας ἐχεῖον, καὶ τοῦ

ρωμα, ὅ ἐστι μίτωμα. καῖρος δέ φασι καὶ καίρωμα, τὸ διάπλεγμα, ὃ οὐκ ἐᾷ τὸν στήμονα συγχεῖσθαι. ἐξ οὗ καὶ καιροστρίδες. ἢ καιροστρίδες γυναῖκες παρὰ Καλλιμάχῳ, ἀντὶ τοῦ ὑφαίντριαι. ὁ δὲ εἰπὼν τὸ καιροσέων, ἀντὶ προσεστώτων θυρωρῶν, λέγει καὶ ὅτι καῖρος σειρά, δι' ἧς οἱ στήμονες καθίενται. καὶ ὅρα ἐν τίνι τὸ καῖρος βαρυτόνως, πρὸς διαστολὴν γενικῆς τοῦ καιρός. ἔστι δὲ κατὰ ἄλλους. καὶ ἴσως καίρωμα ἡ διαπλοκὴ τοῦ διάσματος, ἐν ᾗ οἱ στήμονες καθίενται. καὶ ἄλλως δὲ τὸ διαπλεκόμενον παρὰ τὴν μίτον, ὡς ἂν οἱ στήμονες μὴ συγχέωνται. μίτος, δι' οὗ τὴν στήμονα ἐναλλάττουσι, εἰς πλοκὴν τῆς κρόκης. οἱ δέ φασιν, ὅτι καῖρος αὐτὸς ὁ μίτος ἐστίν, ἐξ οὗ παράγωγον ὁ καιρόεις. οὗ θηλυκόν, καιρόεσσα. γενικὴ πληθυντικῶν καιροεσσῶν, καὶ συγκοπῇ καιρουσῶν, καὶ ἰωνικῶς καιροσέων. ἢ ἄλλως, ὡς εἴρηται καὶ μεταθέσει καιροσέων, ὅ ἐστιν εὔμιτον. ἄλλοι δὲ εὐθεῖαν εἶπον, ἡ καίροσσα, μετοχὴν λέξιν. ὅθεν γενικὴ πληθυντικὴ καιροσσῶν, καὶ καιροσέων ἰωνικῶς. Καιροστρίδες, αἱ ὑφαίντριαι. καίρωσις γάρ, ἡ πλοκὴ τοῦ μίτου. Καιρῷ, ῥοπάλῳ. Καισάρεια, ἡ μητρόπολις, ἀπὸ τοῦ καίσαρος. Καίσαρες, περικεφάλαιαι. Καίτοιγε, ὅπλα Λιβυκά, οἱ δὲ κυρτίας. Καὶ χθὲς καὶ ἔργοις, καὶ ὡς ἔτι ὅμως. Καίω καύσω, αἴθω, δαίω, πιμπρῶ, ἐμπιπρῶ, σμύχω, τύφω, φλέγω, φλογίζω. Καίω, ὁ μέλλων καύσω. ἐφ' ὧν γὰρ οἱ ἀττικοὶ τὸ ι ἀποβάλλουσι κατὰ τὸν ἐνεστῶτα, πλεονάζουσι κατὰ τὸν μέλλοντα, τὸ υ. οἷον κλαίω κλαύσω, καίω καύσω.

Κακά, κακία, ἡ ὄρνεον. Κάκαλοι, βολβοί. Κακὰ εἵματα ἐνδεδύσθαι, τὴν κακοδαίμονα πτωχοὺς συνέθηκεν. Κακὰ εἵμενος, κακοείμων ἀν εἴη. Κακὰ ἐλέγχεα, εἶδος ὀρνιθίου, ὃ τοῦτο ἔοικε χαμαί. λέγει γὰρ ὅτι καλοὶ μὲν τὸ εἶδος ἐστέ, κακοὶ δὲ τὰς πτέρυγας, καὶ ἐλέγχιστοι. Κακὰ κακῶς, παροιμιῶδες. Ἀριστοφάνης, καὶ ταῦτα μέν τι κακὰ κακῶς. Κακκάβη, σκεῦος πρὸς ἕψησιν ἐπιτήδειον, παρὰ τὸ καίειν τὸ κακκαβίον, ἀφ' οὗ ῥηματικὸν ὄνομα κάβη. ἔστι κατὰ ἀναδιπλασιασμόν, καὶ πλεονασμὸν τοῦ κ, κάκκαβος. ἀναλογώτερον δὲ θέλουσι λέγειν ἡ κακκάβη θηλυκῶς. τὸ γὰρ ἀρσενικὸν παντελῶς ἀδόκιμον, οὕτως Ἔρως ὁ Μιλήσιος. Κακκάβα, πέρδιξ. κακκάβη, πρίαμος ἢ χύτρα, ἣν ἡμεῖς κάκκαβον. Κάκκαβος, ὁ λοπάς, ἢ πέρδιξ. Κακκαβίζειν, τὰς ὄρνεις τὰς πρὸς τὸ τίκτειν φθεγγομένας, ἀττικοί. Κάκαλα, τείχη. Αἰσχύλος Νιόβῃ. Κακάλλασα, κατακεκαυμένα. Κακαλίς, νάρκισσος. Κακὰ μήδεα, κακὰ ἐβουλεύσατο. Κάκκαλον, κάταξον. Κακανδρία, ἡ δειλία. Κακανδρίαν, ἐπὶ κακὰ δυσδαίμονος. Κάναν, ἔπι βαθύτερον τὴν κακίαν χωρίτων ἐπιβεβηκότων. Κακκεῖαι, κατακαῦσαι, κοιμηθῆναι. Κακκεῖναι, κατακόψαι, πλῆξαι.

Κάκκη, κόπρος, ἡ κάθαρσις. Λάκωνες. Κακκὸς, ὁ μικρὸς δάκτυλος. Κακκώνιον, σκαφίον. Κακορραφίησι, κακομηχανίαις. Κακόρρητον, ἄλογον, δυσκλεές. Κακοποιῶν, κακὰ καταλαμβάνειν, ἢ ἀπραγίαν. Κακίους καὶ ἀρείους τὸ ἀττικόν ἐστι, καὶ νῦν παρ' Ὁμήρῳ. οἷον οἱ πλείονες κακίους, παῦροι δέ τε πατρὸς ἀρείους. ὃ λέγομεν κακίονες καὶ ἀρείονες.

Κακκρέγει, ἀντὶ τοῦ καὶ ἐκκράγει. Κακιστρίχας, ἡ πονηρίαι. Κακοφρίτισι, κακοφροσύναις. Κακοφρατίαν, τὴν περὶ λίθον ἀνέντων λίθων τὴν κεφαλὴν φέρειν ζυγόν, ὅτι ἀσθενεῖ. Κάκαν τὴν κάκαν, ἐπὶ τῷ κακίαν ταπεινοῖ. ἀλλὰ τὴν μετὰ κακίας τὸ ξίφος περιζωσάμενος, διὰ τὸ ῥίπτειν τὰ ὅπλα. Κακὰ κτεῖς, κακὸς ὀδοιπόρος. Κακήγορος ἐστιν, ὃς ἐν πᾶσιν ἐκλέγει τὸ ἑαυτοῦ στόμα. Κακηγορῶ, τὰ κακὰ ἀγορεύω, καὶ λοιδοροῦμαι. Κακία, διώνυμός ἐστιν ἡ λέξις, ἡ ὄντως κακία. οἷον μοιχεία, πορνεία, πλεονεξία. λιμὸς δὲ καὶ λοιμός, θάνατοι καὶ νόσοι, καὶ τὰ ἄλλα, οὐκ ἔστι κακία, διότι πολλάκις ἡμῖν ἀγαθῶν αἴτια γίνεται. ἔστι περὶ ταύτας φησὶν ὁ προφήτης, οὐκ ἔστι κακία ἐν πόλει, ἣν ὁ κύριος οὐκ ἐποίησε. κακία, καὶ ἡ περιστροφὴ τοῦ ἀγαθοῦ, ἡ κρίσις διεφθαρμένη τοῦ νοῦ, ὃ τὸ δι' ἑαυτοῦ φανερόν ἐστι καὶ βλάπτον. Κακία, ἀντίλογον ταῖς ἀρεταῖς αἱ κακίαι. αἱ μὲν γάρ εἰσι πρῶται, αἱ δὲ ὑπὸ ταύτας. οἷον ἀφροσύνη, δειλία, ἀδικία, ἀκολασία, ἀκρασία, βραδύνοια, κακοβουλία. εἰσὶ δὲ ἄγνοιαι αἱ κακίαι. τὰ δὲ μετέχοντα τῶν κακιῶν, αἵ τε πράξεις αἱ κατὰ κακίαν, καὶ οἱ φαῦλοι. ἐπιγεννήματα δέ, δυσθυμία, δυσφροσύνη, καὶ τὰ ὅμοια. κακία δέ ἐστιν, ἡ τοῦ κακῶσαι τὸν πέλας σπουδή, παρὰ τῷ ἀποστόλῳ.

Κακία ἐστὶ νοσώδης ψυχῆς ἡ λύσις τῆς κατὰ φύσιν καλῶν, ἢ ὡς ἐκ τοῦ περὶ σῶμα τι καὶ νόσημα ἐμπάθοις ἐπιγίνεται χρόνιος. κακία ἐστὶν ἕξις χειρίστη λογικῆς ψυχῆς, καθ' ἣν διεφθαρμένος γίνεται πρὸς ἀρετήν. ἢ διάθεσις ἀνθομολογουμένη περὶ τὸν βίον ἀσύμφωνον ἑαυτῇ παρεχομένη τὰ πράττοντα αὐτήν. Κακίζει, ἐπισκώπτει, κακολογεῖ. Κακίζω, τὸ ψέγω. Κακοῦ, τὸ βλάπτω.

Κακιζόμενοι, ταπεινούμενοι. Κάκιστος, ὁ κακιζόμενος, παρὰ τὸ κακίζω, κάκιστος ἢ κάκιστος. Κακιδά, λιμηρά. Κακιδὲς, ἄπορος, ἄπειρος. Κακιδὲς, χαλεπόν, λιμηρός.

Κακίμβριον, τὸ ἀποχῦ. Κάκιον, εὐτελέστερον. Κακιοῦσιν, ἰσχυρῶς ἀρχόμενοι, Λάκωνες. Κακίνω, τὸ κακοποιῶ, κακολογῶ, κακουργῶ. Κάκιον κακίονος, χείρονος. Κακιόντων, κίω ἄγχισον. ἀφ' οὗ κυρίως μὲν κεῖμαι, καὶ κοιμῶμαι. καὶ ὀνόματα κῶμα, καὶ κώμος. ἐπιεικῶς δὲ κακκεῖν, ἐπὶ τῆς σημασίας τοῦ κοιμῶμαι. ἔχει δὲ ἐπίθεσιν, ὡς τὸ ἀφεῖον. ὁμοίως καὶ τὰ ἄλλα πάντα ῥήματα, ἃ κατὰ προσθήκην οὕτω τοῦ ε διφθόγγου γίνεται. ἔστι δὲ ἐνεστώτων εἰσί, καὶ ἀντὶ μελλόντων λαμβάνονται. Κάκκαος, κακίαν. οἱ ἀρχαῖοι τὴν ἀκαθαρσίαν κάκκην. καὶ μάλιστα τὸ διάβρωμα ἀποπατούμενα. Ἀριστοφάνης, ἀπὸ μὲν κάκκους τὴν ῥῖνα ἀπέχειν. Κακκλαῦσ', ἀντὶ τοῦ καὶ ἔκλαυσε. Κάκκαβος, ἐπὶ κακοῦ ὕδωρ. Κακοδαιμονεῖν, οὕτως οἱ νέοι ἀττικίζοντες. οὐ μὴν δὲ τὸ ι κακοδαιμονεῖν λέγουσι. καὶ θαυμαστὸν ἂν ἦν, πῶς εὐδαιμονεῖν μὲν λέγουσιν, οὐκέτι δὲ κακοδαιμονεῖν, ἀντὶ κακοδαιμονεῖν. καὶ πῶς εὐδαιμονοῦσι μὲν λέγουσιν, οὐκέτι δὲ κακοδαιμονοῦσιν, ἀλλὰ κακοδαιμονοῦσι. Φρύνιχος. Κακοδαίμων, δυστυχής. Κακοδαίμων, ὁ ὑπὸ δαίμονος ἐναχθείς. ἔστι ὁ τὴν ψυχὴν ἔχων ἐμπαθῆ. Κακοδεκτήδες, κακῶς δεχόμενοι.

Κακοδιάβολος, κακομήχανος. Λάκωνες. Κακοεργός, ὁ τὰ κακὰ ἐργαζόμενος. Κακοείμονας, ῥακοδύτας. Κακοήθεια, ἡ βλασφημία. Κακοθεία, ἡ κακοτεχνία. Κακοήθης, κακότροπος, ἢ καὶ ἄλλως κακοήθως αὐτὸς διακείμενος.

Κακόθρους, διάβολος, ὁ φήμης λόγος κακόθρους ἐκ δαίμονος ἐπιβῇ. Κακοί, οἱ δειλοί. καλοῦσι γὰρ οὐ μόνον ἡ κακία, κατὰ τὴν περὶ ἀρετήν, ἀλλὰ καὶ ἡ δειλία. ἐξ οὗ κακός, ὁ δειλός. ἔστι κακίζεσθαι τὸ δειλιᾶν, ὡς τὸ ἐπεὶ οὐ κακιζόμενόν γε ποιήσεται. ἐξ αὐτοῦ τὸ κακκᾶν συνήθως ἐστὶ καὶ δειλόν, ἐπεὶ καὶ δειλιᾶν ἔστι τοιοῦτον ἐν παλαιοῖς. ὁ καὶ ἐξηλίσκον σεμνῶς ἡ κωμῳδία φησίν, ὀρχίλον λαβοῦσα ἐξ ὀνόματος Κωρίς, τὸ ἴδιον ὡς ἐπώνυμος, ἐκ τῆς ἀγωνίας. Κακοίλιον, οὐκ ὀνομαστόν. καὶ ὅρα τὸ οὐκ ὀνομαστὸν ἑρμηνεῦον αἰσχρὸν τὸ κακοίλιον. οὐ γὰρ ἐν φυλάξεσιν ὁ δυστυχής, ὁ τὴν ἐπὶ κλάσεις ἔχει, ὡς ὁ κακοίλιος. ὁ οὖν λέγων κακοίλιον, ὁ Τροία ἐστίν, ὥσπερ ἀξία ἦν ὅτι ἐπονομάζειν, μηδὲ εἰς μνήμην, διὰ τὰ ἐν αὐτῇ κακά. οὕτω καὶ Δύσπαρις, ὁ Ἀλέξανδρος. ὁ αἰτιάσαι, ὁ ἐκεῖνος. οὐ διὰ φαυλότητα πλέοσιν, ἀλλ' ὡς κακῶν ἐγένοντο αἴτιοι. διὸ ἴσως οἱ δέ, τίνος ἄξιοι, οὐδ' ἄχρι κινήσεως. ἐπὶ τὸ ὕστερον χρόνῳ κατεψηφίσθη, τοῦ τὴν ἐξ Ἰλίου ὀργὴν ὁ ἐμπρήσας τὸν ναόν. Κακόνυμος, κακόφθαρτος, κακόσινος. Κακολή, κακολέρυς. Κακομήτης, κακοβουλος. Κακομήχανος, κακόβουλος. Κάκονοος, κακὸς ὄλεθρος. Κακόνεισα, ὕβρις. Κακόνοος, κακονοῶν. Κακοποιὸς, κακός, μοχθηρός.

Κακοστεφής, κακοθελήμων. Κακόν, τὸ δι' ἑαυτοῦ φανερόν, τὸ

καὶ διαλέγεται, ἢ τοιοῦτό τι. εἰ δὲ Σωκράτης γράφει λέγει, ἐπίσης δέ που καὶ Πλάτων, ἢ ἄλλος τις. ἐκβάλλει γὰρ ὅτι ἡγούμενος ὁ συμπλεκτικὸς, ἢ ὁ διαζευκτικὸς, ὅμοιον ἀπαιτεῖ μέρος, ἤτοι πτωτικὸν, ἢ ἄπτωτον. καὶ εἰ μὲν πτωτικὸν, τὴν αὐτὴν πτῶσιν. εἰ δὲ ἄπτωτον, τὴν αὐτὴν ἔγκλισιν. οὐκ αἰεὶ ἐξ ἀνάγκης, οἷον καὶ γράφω ἐν νοῒ, ἢ γράφω ἐν νοΐ. ὁ ἐμὸς δοῦλος, καὶ ὁ σός. καὶ ἔξεστι δὲ ἐπὶ τῆς αὐτῆς συντάξεως συνάπτειν ὀρθωτικὰς εὐθείας ταῖς γενικαῖς. οἷον, ὅσσα τὰ ὁμηρικὰ ἔπη, ἐν τῷ Ἡσιόδου. διαφθούσης δὲ τῆς ἐγκλίσεως, τὸ αὐτὸ ῥῆμα φυλάττεσθαί γε ἀνάγκη. οἷον καὶ γράφω ἐν γράφοιμι, καὶ ἔλεγον καὶ λέγω. τὸ αὐτὸ δὲ οὔσης. διάφορα ἐστὶ τὰ ῥήματα, καὶ περιπατῶ καὶ διαλέγομαι. καὶ πλέονες δὲ τὰς αὐτὰς ἀπαιτοῦσιν οἱ τε συμπλεκτικοὶ καὶ διαζευκτικοὶ, ἡγούμενοί τε, καὶ μεταξὺ κείμενοι, ἐὰν πρὸς τὸ αὐτὸ ἀναφέρονται ῥῆμα. οἷον καὶ ἐγὼ καὶ σὺ γράφομεν, ἢ ἐμοῦ ἢ σοῦ φείδεται. Καιάδας, παρὰ Λάκωσι βασιλικὴ φρουρὰ, καὶ σιδηρωτήριον(?). παρὰ δὲ Πέρσαις, οἴκημα μυχὸν τεφρῶν. παρὰ δὲ Αἰθίοψιν, οἱ κακοῦργοι χρυσαῖς ἁλύσεσιν ἐδέδεντο. εἰς δὲ τὴν Καιάδαν εἰώθεσαν οἱ Λάκωνες τοὺς κακούργους ῥίπτειν. Καί γε, καί τι. Καιδὰ, δεσμὸς(?) ὕλη. Καὶ ἄλλως, ἢ ἄλλως ἕτερον. Καιέτα, ὀρύγματα. ἢ τὰ ὑπὸ σεισμῶν καταρραγέντα χωρία. Καὶ αὖθις, καὶ αὖτις, καὶ πάλιν. Καὶ αὐτὸς, ἢ ἐμοὶ αὐτῷ. Καὶ ἀχνύμενοί περ, καίπερ λυπούμενοι. Καὶ γὰρ ῥα, καὶ γὰρ δή. Καὶ δὴ, ἐπὶ τοῦ ἤδη.

Καὶ γάρ τι, τίγαρ οὖν. Καί δή μοι, ἢ δὴ ἐμοί. Καὶ ἑ, καὶ αὐτόν. Καίνυ, ἐκαίνυ. Καιέτα, καλαμίνθη. Βοιωτοί. Καικάσαι, καταγελάσαι. Καικίας, ὁ καικίας ἄνεμος, ἀπὸ τοῦ Καΐκου ποταμοῦ. Καικύλλω, τὴν κεφαλήν. Καὶ κλαίξ, κατάξ(?). Καὶ μέσα, καὶ δὴ ἐμοῦ. Καὶ μέντοι, ἢ δὴ καὶ μήν. Καὶ μὴν τὸ, καὶ ὕστερον μήν. Καί με πρὸς μῦθον ἔειπε, καὶ προσεῖπέ με τῷ λόγῳ. Καὶ μὴν, καὶ δή. Καὶ μιν, καὶ πρὸς αὐτήν.

φῶν λέγεται σχηματικῶς. θεράπη δὲ τὸ θήριον, θηρᾶν δὲ θηρᾶσθαι λέγεται ἐπὶ τῆς αὐτῆς σημασίας. καὶ θηρατὴς λέγεται, ἢ θηρευτὴς, ἢ θηρευτικός, καὶ θηρατής. θηρίον, τὸ ἄγριον, ἀφ' οὗ θηρατής. θηράω θηρῶ, τὸ κυνηγῶ, ἀφ' οὗ ποιητικῶς τὸ θηρατὴρ, κοινῶς δὲ τὸ θηρατής. Θηρῶσιν, τὸ ἱερὸν ὕπνον λέγουσιν. Ἀριστοφάνης, θηρῶσιν εἶπεν ἐκκομίσειας τὸ τῆς λύκου. Θὴς ὁ μισθωτὸς, καὶ κλίνεται θητός. θὶς δὲ ὁ σωρὸς ὁ, καὶ κλίνεται θινός. ἢ θὴς, ὁ πενιχρὸς, ἢ ὁ ὑπὸ μισθῷ δουλεύων.

Θῆσαι, θρέψαι, θηλάσαι. Θησίαν, θαυμαζομένην. Θησάμενοι, αἰτησάμενοι. Κρατῖνος. Θήσειν, ποιήσειν. Θῆσθαι, ἀμέλγειν. Θήσομαι, ὁρίσω, ποιήσω, [illegible]. Θῆσσαν, μισθωτικὴν, ἢ εὐτελῆ, ἢ δουλικὴν τροφήν.

Θησαυρίζω, γίνεται ἀπὸ τοῦ θησαυρὸς, ὃς ἀπὸ τοῦ τίθημι, θήσω, καὶ τοῦ ἄρω τὸ ἁρμόζω ἐτυμολογεῖται, ἁρμόζοντος ἔτι μᾶλλον ἀσφαλείᾳ ἀποκειμένου εἰς τὸ φυλάττεσθαι θησαυρὸς, καὶ πλεονασμῷ τοῦ σ θησαυρός. Θησαυρὸς, συναγωγὴ χρημάτων κεκρυμμένη.

Θησαυροὶ ἀνέμων, οὐκ ἀποθῆκαι τινὲς, ἀλλ' ἡ ῥᾳδία κίνησις, ἀκωλύτου τοῦ ἀέρος ὄντος. Θησαυρούς. Ἀππιανὸς, ὅπλα τε πολλὰ καὶ σῖτον ἐπιμαζεύων, καὶ θησαυροὺς ἐποίει, καὶ θησαυροφυλάκιον. Θησαυρὸς ἐστὶν ἀγαθὸς, τὸ ἐν χειρὶ φρονήσεως ὀρθῆς, πρὸς δόξαν θεοῦ. θησαυρὸς πονηρός ἐστιν, ἐξ ὧν προφέρονται κατὰ τῶν τοῦ κυρίου φωνῶν, ἐνθυμήσεις καὶ λόγους πονηρούς.

Θήσω, ἐπιθήσεσθαι, ποιήσω. Θησεῖα, ἑορτὴ Ἀθήνησι.

Θησεῖα μετὰ τὸ χαρίσασθαι τὴν δημοκρατίαν τοῖς Ἀθηναίοις, δόλῳ τῆς συκοφαντίας ἐκείνου ἐξοστρακισθῆναι τὸν ἥρωα. ὁ δὲ παραγενόμενος εἰς Σκῦρον, διῆγε παρὰ Λυκομήδει τῷ δυνάστῃ τῆς νήσου, ὃς φθονήσας, ἀνεῖλεν αὐτὸν δόλῳ. Ἀθηναῖοι δὲ λοιμωξάντων καὶ κελευσθέντων ἐκδικῆσαι τῷ Θησεῖ, τὸν μὲν Λυκομήδην ἀνεῖλον, τὰ δὲ ὀστᾶ μετακομίσαντες, καὶ Θησεῖον οἰκοδομήσαντες, ἔθυον οὕτω λαμπρὰς τιμὰς νέμοντες. Δαπάναι δὲ καὶ εὐωχίαι ταῖς θυσίαις γίνονται. ταῖς δὲ ὀγδόαις τὰ Θησεῖα ἄγεται, ᾗ πᾶσαν τὴν ἡμέραν παντοῦ, εἰς λευκὸν τοῦ ἥρωος. ἑορτὴ αὐτῷ ἐτελεῖτο, ἐπειδὴ αὐτὸς συνήγαγε τὰς ἀπ' ἄστεως, πρότερον σποράδην κατὰ κώμας οἰκουμένων. Θησεῖον, ἐνταῦθα οἱ καταφεύγοντες τῶν οἰκετῶν, ἀσυλίαν εἶχον, ὁμοίως εἰς τὸ ἱερὸν οἱ ἱκέται ἔφευγον. Δηλοῖ δὲ καὶ φυτόν τι ποιὸν, καὶ τὸ δικαστήριον παρὰ Ἀθηναίοις. Θησειότριψ, ὁ ἐν τοῖς Θησείοις διατρίψας. Θησεὺς, καὶ Περίθους. ὁ μὲν ἐκ Διὸς, ὁ δὲ ἐκ Ποσειδῶνος. οἳ ἐφαμίλλως ἐποιοῦντο τὰς πράξεις. καὶ ὁ μὲν Θησεὺς τῆς Ἑλένης ἐρασθεὶς, ἔσχε συμπράττοντα αὐτῷ τὸν Περίθουν. ὁ δὲ Περίθους τὴν Περσεφόνην ἁρμόσασθαι βουληθεὶς, ἀναγκαίως εἶχε τὸν Θησέα ἑπόμενον, καὶ διὰ τοῦ Ταινάρου εἰς ᾍδου κατελθόντες, καὶ ἐπὶ λίθου τινὸς καθεσθέντες, αὖθις ἀναστῆναι οὐ δεδύνηνται. Ἡρακλῆς δὲ ὕστερον κατελθὼν ἐπὶ τὸν Κέρβερον, τὸν μὲν Θησέα ἀνέσωσεν, ὡς μὴ ἑκουσίως κατελθόντα, τὸν δὲ Περίθουν εἴασεν, ἐπειδὴ προαιρέσει ἰδίᾳ κατῆλθε. Θήσεται, ποιήσεται.

Θῆσθαι, θάω θῶ, τὸ θηλάζω, θάομαι θῶμαι, θᾶσθαι θῆται, θῆσθαι, καὶ θῆσθαι, ὡς χρῆσθαι. Θῆσθαι, οὐ μόνον τὸ θηλάζειν, ἀλλὰ καὶ τὸ ἀμέλγειν. ἀμφότερα παρὰ τὴν θηλήν. τὸ δὲ θῶ θήσω τὸ θηλάζω, παράγωγα καὶ ἡ τίτθη. καὶ ἡ θηλὴ, ἢ τὰ θῆλα.

Θήσομαι, ὁρίσω, ποιήσω, ἀναδείξω. Θησόμενος, αἰτησόμενος. Θῆσσα, ἡ δούλη. Ἀθηναῖοι δὲ τὰς πενιχρὰς γυναῖκας θήσσας λέγουσιν, ἀπὸ τοῦ θητεύειν ἐπὶ μισθῷ, διὰ τὸ ἐνδεεῖς εἶναι τοῦ ἐπιτηδείου. καὶ ὥσπερ παράγεται τὸ κρῆσσα, οὕτω καὶ τὸ θῆσσα. Θήσω, ἤσω, αἰτήσω, Βοιωτοί. καὶ θήσω ποιήσω. Θητικὰ, θαυμαστὰ, ψιλὸν ὅμοια. Θητεία, παραμονὴ, ἡ δουλεία. Θῆτες, οἱ τροφῆς ἕνεκα δουλεύοντες. Θητικὸν, δουλικόν, ἐπὶ μισθῷ ἐργαζόμενον. Θητικὸν, καὶ θητεία, ἡ μισθοφορία. τέλος ἦν παρ' Ἀθηναίοις, τὸ τέλος ὅπερ ἐτέλουν οἱ θῆτες, καὶ τὸ στράτευμα, ὅπερ ἀπὸ τῶν θητῶν ἐποίουν. Θητικὸν πλῆθος, τὸ ἐπὶ μισθῷ δουλεῦον. Θετὴρ, βωμόν. Θῆσσα, ἐπίκληρος οὐκ ἔχουσα φερνὴν, πενιχρὰ καταλειφθεῖσα ὑπὸ τοῦ πατρὸς, ὑπὸ δὲ τῶν ἀγχιστέων προικιζομένη, κατὰ τὸν νόμον τῶν πεντακοσίων δραχμῶν. Θητικὸν, πλῆθος τῶν μισθωτῶν, ἢ τὸ τοῖς μισθωτοῖς δεδομένον. Θὴψ, ὁ σκώληξ, καὶ κλίνεται θηπός.

ΤΟ Θ ΜΕΤΑ ΤΟΥ Ι.

Θιαγόνες, ἄρτοι οἱ παρετίθεντο τοῖς θεοῖς. Θιακχὰ, [illegible] ἐν Σικυῶνι. Θιάζεσθαι, θύμελος. Θιάρατος, εὔνους. Θιᾶσαι, χορεῦσαι. Θιασεῦσαι, ποιῆσαι, προσαγαγεῖν. Θίασος, συνοχία καὶ πλῆθος, οὐ μόνον τὸ βακχικὸν, ἀλλὰ καὶ τὸ ἐργατικόν. ἢ θίασος, χορευτικὸς, ἢ σύλλογος, καὶ τὸ ψιλὸν πλῆθος. ἰστέον ὅτι δὲ καὶ τὸ βακχικὸν, ἢ ἑσμὸς γυναικῶν. Θιασῶται, οἶκοι ἐν οἷς συνιόντες διαπηδῶσιν οἱ θίασοι. Θιασῶται, χορευταί. Θιασμὸς, συνοχία. ἰστέον ὅτι δὲ καὶ τὸ βακχεῖον φασί. κυρίως δὲ τὸ πλῆθος θίασμος, ἑσμὸς γυναικῶν. Θίβαις γυναικὸς λινῶ.

Θίβη, πλεκτὸν ἐκ κιβωτώδους, ὡς γλωσσόκομον. Θίβος, κιβώτιον ἐκ φύλλων πεπλεγμένον, ὡς κοφινῶδες. Θίβωνος, κιβωτὸς, κύπαι. Θιβρὸν, φιλόκοσμον, ἢ ἁβρωδέστερον, ὑπερήφανον, καταφρονοῦν, καὶ θρασεῖαν. καὶ παρὰ μὲν Νικάνδρῳ, τὴν ἱμερτὴν καὶ καυστικήν, ἄλλοις δὲ χαλεπήν. Θιβρὸν, τρυφερὸν, καλὸν, σεμνὸν, ἁπαλόν. Θιγγάνειν, ἐγγίζειν, ἅπτεσθαι. Θίγειν, ψαῦσαι, ἅψασθαι, ἅπτεσθαι. Θιγημάτων, μιασμάτων. Θίγον, ἀντὶ τοῦ θίγε λέγουσι Δωριεῖς. τὰ γὰρ προστακτικὰ τὰ διὰ τοῦ ε ψιλοῦ ἐκφερόμενα, διὰ τοῦ ον ἐκφέρουσιν οἱ Δωριεῖς. Θίγχος, ὄνομα κύριον. Θίγω, τὸ ψαύω, καὶ προσεγγίζω, καὶ θιγγάνω, τὸ αὐτό. Θίεμι, σκιῶ. Θιθραρίον, θίβραξ, καὶ θρίδαξ. Θιῶσαι, ποιῆσαι, φιλῆσαι. Θικίλιον, τῶν γογγυλίδων. Θίκιον, [illegible]. Κρατῖνος. Θίλα, ὁ θημών. Θιμῶντες, θιμωνιαί. Θὶν, ὁ αἰγιαλὸς, ἀπὸ τοῦ θείνεσθαι, καὶ θῖνος. πολλάκις τὸ αὐτὸ λέγει καὶ ἀρσενικῶς Ὅμηρος, ὁ θὶς ὁ σωρός. πολὺς δ' ἀμφ' ὀστεόφιν θὶς καὶ ἡ ἄμμος. Θῖνα, θαλάσσης λέγει Ὅμηρος, πρὸς [illegible] πολλὴν ἑτέρων [illegible]. ἔστι γὰρ θὶς κατὰ τοὺς παλαιοὺς, ὄχθος, βουνὸς, ἄμμος. θὶς ἐπὶ αἰγιαλοῦ μὲν θηλυκοῦ γένους ἐστίν. ἀρσενικοῦ δὲ, ἐπὶ χωμάτων, καὶ λίθων. καὶ λέγεται θὶς καὶ θὶν, ὥσπερ δελφὶς καὶ δελφίν. Θινὶ, ψάμμοι, ὑψηλοὶ τόποι, καὶ αἱ τῶν νεκρῶν συγκομιδαί. Θινὸς, ἢ ψάμμος σωρευομένη λέγεται. Θινὶ, αἰγιαλῷ. Θινομένη, τυπτομένη. Θίξασθαι, ἅψασθαι. Θίξις, ἅψις. Θῖος, θεός. Κρατῖνος. Θιπόβρωτος, [illegible] λέγεται. καὶ θιπόβρωτος, ὁ ὑπὸ σητῶν βεβρωμένος. Θὶς, ὄχθος, βουνὸς. ἀμμώδης αἰγιαλὸς, θάλασσα, σωρὸς κυμάτων. τὸ κάτω βάθος τῆς θαλάσσης, ἢ ἐσχάτων σωρός. Θῖσμα, χῶμα σωροειδές. Θίσβη, πόλις [illegible] θίσβας γὰρ ἦν. ἐκλήθη δὲ ἀπὸ Θίσβης θυγατρὸς Ἀσωποῦ. ὁ δὲ λιμὴν τὸ θισβαῖον, ἢ τὸ ἐπίνειον, ἔχει φασὶ πλῆθος περιστερῶν, ὡς καὶ ὁ ποιητὴς ἐπισημαίνων. ἱστορεῖ δὲ τοῦτο καὶ ὁ Γεώργιος λέγων. θίσβη, ἣ καὶ θίσβαι, οἰκεῖται μικρὸν ὑπὲρ θαλάσσης, χωρίον ἔμφορον [illegible], ἐν τῇ [illegible], ἀποτετμημένος ἐκ νότου τοῦ Ἑλικῶνι, ἐπίνειον αὐτῆς πετρῶδες, περιστερῶν μεστόν. Θισσῶσαι, νικῆσαι.

ΤΟ Θ ΜΕΤΑ ΤΟΥ Λ ΚΑΙ Η.

Θλαδίας, ὁ εὐνοῦχος. ἀποβαλὼν γίνεται ὁ θλαδίας τὴν γυναικωνῖτιν φάλαγγα, κατηγορῆσαι τοῦ αὐτοῦ, κατὰ βασιλέως ἐμμελετῶν. Θλάσαι, ἀποθανεῖν. Θλαδίας, κλαδίας, σπαδωνίας. Θλάσπις, πόα, ἣν ἐσθίουσι [illegible]. Θλάσις καὶ θλᾶν, ἐπὶ τοῦ χαυνωμένου, καὶ

Q σαρκ-

περὶ τὴν θηλὴν κύκλος, φώς. ἡ δὲ πρώτη τοῦ γάλακτος ἀπ' αὐτῆς πῆξις, πύαμος. τὸ δὲ ἀποπεπληρωμένον τοῦ γάλακτος, κίλχος, καὶ ἄγκυρμα. μόνα δὲ ἐν στήθεσιν ἔχει μαστοὺς ἄνθρωπος, καὶ πίθηκος, καὶ ἐλέφας. οὕτω μὲν ὁ Πολλούξ. ὁ δὲ Σταγειρίτης, τὸν ἐλέφαντα πρὸς τοῦ στήθει φησί, οὐκ ἐν τοῦ στήθει τοὺς μαστοὺς ἔχειν.

Θηλαί, τῶν μαστῶν τὰ ἄκρα, καὶ τῶν χειλῶν τὰ ἐκφυόμενα. Θηλαμόνου, νεοττοῦ. Θηλαμόνος, τῆς οἰκίας.

Θηλαμὼν, τάφος, ἢ ὁ τροφός, παρὰ τὸ θῆσαι μέλλοντα, δηλοῖ τὸ θηλάσαι. τὸ γὰρ θῆσαι δύο σημαίνει, τὸ φονεῦσαι, καὶ τὸ θηλάζειν. Θήλαντο, ἐθήλασαν. Θηλαδοῦσα, τροφός. ἐστὶ δὲ ἰαμβόν. Χοροκλῆς ἀλεξάνδρῳ. Θήλεα, ἱμάτιον τὰ τετριμμένα, εἰς ἃ δεύονται τὰ ὄξεα, καὶ τῶν ἀσπαλάκων τὰ κοῖλα.

Θήλεια, παρὰ τὸ θάλλειν καὶ γεννᾶν, ὅθεν καὶ ἡ ἔσομβρος ὄρξ, θήλεια καλεῖται. Θηλή, ὁ μαστός, ἢ ὁ γαλουχός. Θῆλυ, ἀντὶ τοῦ ἀσθενές, γυνή. ἢ θῆλυ, τὸ θηλυκόν. καὶ θηλέας ἵππους, οἱονεὶ θηλείας. καὶ θηλυτεράων, ἀντὶ τοῦ τῶν θηλειῶν. ἔστι δὲ θῆλυ, ζῶον τὸ ἐν αὐτῷ τίκτον. Θηλυγενὴς, ὁ ἐναντίος τοῦ ἀρρενικοῦ. Θηλυδρίας, ὁ τεθηλυμένος, γυναικώδης, ἢ ἄνανδρος, παρὰ τὸ θῆλυς, τοῦτο παρὰ τὸ θῶ τὸ τρέφω. Θηλοφύλλου, τὸ κατακεκλασμένον. Θηλυμανεῖς, πόρνοι.

Θηλύματα, μάλιστα βεβρεγμένα ἄλφιτα. Θηλύμετρος, πίρρος. Θηλύνει, μαλακύνει. Θῆλυς, παρ' Ὁμήρῳ ἐχρήσατο, ὡς πῆχυς, ἦρα θῆλυς ἐοῦσα. Θῆλυς ἔερσα, τὰ φυτά. ἢ θάλλειν ποιοῦσα δρόσος, καὶ θρεπτική. Θηλύτεραι, γυναῖκες. ἢ ἁπλῶς θήλειαι, καθὰ καὶ νεώτεροί εἰσιν, ὁ νέος λέγεται. ἢ κατὰ Πορφύριον συγκριτικῶς, αἱ τῶν ἄλλων θηλειῶν ζώων θηλύτεραι. οὐ γὰρ τίκτουσι ἐν καιρὸς αὐταῖς, καθὰ τοῖς ἄλλοις, ὁμιλοῦσιν εἰς τὸ γεννᾶν. λέγεται δὲ καὶ κατὰ τὸ παράλληλον σχῆμα. πρὸς ὁμοιότητα δὲ τούτου καὶ Εὐριπίδης εἶπε, σῶμα ἐν γυναιξὶ θηλείαις τρίτον. Θηλυτέρων, ὅτι τὰ λοιπὰ ζῶα ὅρον ἔχει τῆς μίξεως τὴν σύλληψιν, αὗται δὲ ἀεί. διὸ ἐκ τοῦ ἐναντίου οἱ ἄνδρες ἀλφησταὶ λέγονται, οἱ κατορθωταί, κατὰ μεταφορὰν ἀπὸ τῶν ἰχθύων. ἀλφὸς γάρ, εἶδος ἰχθύος. ἢ τῶν κατορθούντων, ἢ θαλασσουργῶν, ἢ εὑρετῶν. περαιοὺς γὰρ αὐτοὺς ὁ ἄνθρωπος, οὐ βλάβην οὐδὲν, ἢ οὐ βελτίων εἶδος, ὡς ἐπὶ τοῦ, τέκνων θηλυτεράων.

Θηλώ, τροφός, τιθήνη. Θῆμα, θήκη, τάφος, μνῆμα. Σοφοκλῆς Σαλμωνεῖ. Θημοσῖτα, ἀπόθετα. Θημὼν, ὁ σωρὸς τῶν φρυγμάτων, καὶ κλίνεται θημῶνος, παρὰ τὸ θῆσαι μέλλοντα. ἢ θημών, πᾶν τὸ σεσωρευμένον. οἷον, ἀχύρων, ἢ πυρῶν.

Θημωνιά, θημωνιαί. Θιώ, ἀντὶ τοῦ ἐκπολύ, ἢ ἀντὶ τοῦ δή, εὕρηται δὲ παρὰ Ἀττικοῖς. Θὴν, σύνδεσμος, ἐγκλίνεται. οἷον οὐ μὲν θὴν κεῖνος γε χερείων εὔχομαι εἶναι. Θιώτιον, γάλα. Θῆξαι, ὀξῦναι, ἀκονῆσαι, ἐκ τοῦ θήγω. Θῆξις, ξυνή, στομή, τάχος. Θνημόλαγος, θυμολέχος. Θόησαι, φάβλεσθαι. Θηητός, ἀθεατόν. Θηεῖν, κατὰ θέμιον, θαυμαστόν. Θήειτο, τὸ θαυμάζειν, τίθεται, ἐπιθύμειν. οἷον, ἐπὶ πολὺ ἐνθήσατο πρὸς ταῦτα. ὁ δὲ ποιητικὸς τὴν ἐπιθέτου.

Θήσω, ἐπιθυμῶ, θαυμάζω. Θηῶν, ἐξαπατῶν, κολακεύων, θαυμάζων. Θηεῖσθε, ἀντὶ τοῦ θαυμάζετε, πρὸς τὸ θηητὸν συστοιχεῖ. Θὴρ θηρός, παρὰ τὸ ῥᾳδίως θέειν. ἤγουν εὐκόλως τρέχειν. ἢ θὴρ θηρίον, ὁ λέων, ἀπὸ τοῦ θοῶς ὁρούειν.

Θύρα, καὶ θύρωμα διαφέρει. θύρα μὲν γὰρ λέγεται, τὸ κοινῶς λεγόμενον καγκέλλιον. θύρωμα δέ, τὸ θυρεῖον. ἔστι δ' ὅτε λέγεται καὶ θύρα, ἀντὶ τοῦ θυρώματος, ὡς ἄγγος καὶ τὸ ἀγγεῖον λέγεται, καὶ αὐτὸ ὑπάρχον. Θύρα, κατ' ἐξοχὴν λέγει τὴν λέουσαν οἵοις ὁ ποιητής, ὡς ἐν τῷ ἐπὶ ὅμιλον ἔφοιτα θηρὶ ἐοικώς.

Θηράτωρ δέ, τὸ θηρίον. Θηρᾶν, ζητεῖν, εὑρεῖν, μηχανᾶσθαι. Θηρᾶν, τοὺς κυνηγούς. Θηρατεύεσθαι, ἀναβάλλεσθαι. καὶ θηρατικὸς λόγος, ἀντὶ τοῦ ἐπιθυμητικός. Θηρατικὸς λόγος, ἐπιθυμητικός. θηρατὸς δέ, ζῶον χειροῦσθαι, καὶ ὑπαλίσκον.

Θήρατρα, δίκτυα, παγίδες. Θήρατρον, δόλος, ἀγρεῦτρον. Θηράτρων, θηρευτικῶν. Θήραυλος, ἀγρότης.

Θηρεῖον. Αἰλιανός, τὰ γεννώμενα βρέφη κρατεῖ θηρείων τὸ καὶ ἀνθρωπείων σωμάτων τεθραμμένα ἐδίκει. Θήρεια τὰ ζῶα, καὶ ἐπὶ τῶν ἵππων οὕτω λέγουσι. Θήρειον πέπλον, τὸ ποικίλον, οἱ Ἀττικοί. δοκεῖ δὲ ἀπὸ θῆρας τοῖς νέοις προσαγορεύεσθαι. Θήρευμα, ἄγρευμα. Θηρεύοντα, παρὰ τοῦ ποιητῇ, προϋπάρχων δοκεῖ. ἢ τὸ θηρεύω θηρῶ, ὃ μᾶλλον ἀρρὲν τὸ θηρίον. ἐξ οὗ τὸ θηρεύω, κατὰ τὸ χέω χεύω, ῥέω ῥεύω, παρ' Ἡσιόδῳ, καὶ τὰ ὅμοια. προϋπάρχει δὲ τούτων ὁ θήρ, ὃς καὶ φὴρ Αἰολικῶς λέγεται. ἔστι καὶ ἡ θήρα, ἢ ἐμμόνως θήρα, παρὰ Πινδάρῳ. ὡς οἱ ποιηταὶ θηραῖοι, ὧν τοῖς Αἰολεῦσιν ἴδιον, τὸ λέγεις λέγεσθαι, καὶ τὰ λοιπὰ τοιαῦτα ῥήματα δίχα τοῦ ι προφέρειν. λέγω γάρ φασι, καὶ λέγε. ἀκολούθως δέ, καὶ τὸ φέρω, καὶ τὸ θέρω, καὶ τὰ ἄλλα ὁμοίως, καὶ δοκοῦσιν οἱ ποιηταὶ διορίζειν.

Θηρευτής, ἐκ τοῦ θηρεύω θηρευτὴς ποιητικῶς, ἐκ τοῦ θηρῶ κοινῶς δὲ θηρατής. τὸ δὲ θηρῶμαι, παθητικῶς ἐπὶ πράγματος τίθεται. οἷον θηρῶμαι δόξας, θηρῶμαι ἡμᾶς. καὶ θηρατὰς, κυνηγούς, κυρίως ὁ σῦς καὶ λέοντας θηρεύων, παρὰ τὴν θήραν.

Θηρητῆρας, ἔχει ἑτέραν κλίσιν ἐκ τοῦ θηρητήρ, ὧν πρὸς ὁμοιότατα καὶ ὁ ῥητὴρ ῥήτωρ, παρὰ τοῖς μεθ' Ὅμηρον. ὧν οὐκ ἀπείσιμον οὐδὲ βοτὴρ καὶ βότης, καὶ δότηρ καὶ δότης. Θηρητῆρας, κυνηγούς. Θηρί, λέοντι. Θηρία, θηράματα, θηρεύματα. θήραγρα, οὐ μόνον τὸ ἔργον, ἀλλὰ καὶ τὸ θηρώμενον. ἄγραν δὲ καλοῦσιν, ἀφ' ὧν καὶ εὐαγρία καὶ πολυαγρία καὶ θηραγρία, εὐθηρία, πολυθηρία, καὶ εὔθηρος ἄγρα, ἢ πολύθηρος ἄγρα. καὶ τὰ ἐναντία, δυσαγρία, ἀναγρία, δυσθηρία, ἀθηρία. καὶ δύσθηρος, καὶ ἄθηρος ἐκαλοῦντο. ἔστι δὲ εἰπεῖν καὶ εὔθηρος γῆ, καὶ εὔθηρος ὕλη, καὶ ὑλαιόθηρος, καὶ πολύθηρος. ὁμοίως, ὀρεσίθηρα, καὶ πολύθηρα, καὶ θηροτρόφα, καὶ θηρονόμα, καὶ θηρίων τροφός, καὶ θηρίων καταδρομεῖα, καὶ τὰ ὅμοια. καὶ πάλιν ἄθηρα, καὶ ἄγρια. ἡ δὲ Ἄρτεμις, ἀγροτέρα καὶ κυνηγέτις, καὶ φιλόθηρος, καὶ ὀρεία ἀπὸ τῶν ὀρῶν, καὶ ἐλαία ἀπὸ τῆς ἕλης, καὶ δικτύννα ἀπὸ τῶν δικτύων, καὶ ἑκηβόλος ἀπὸ τοῦ ἑκὰς τὰ θηρία βάλλειν. Θηρίκλειον κύλικα, τὸ κατασκευασθὲν ὑπὸ τοῦ Θηρικλέους ποιηθέν. Θηρικλέους τέκτων κύλιξ, ἣν λέγεσθαι πρῶτος κεραμεῦσαι Θηρικλῆς. Θηρίον, τῶν τετραπόδων, καὶ τὸ ἄγριον ἕλκος, παρὰ τοῖς ἰατροῖς. καὶ θηρίον παρὰ τοῖς παλαιοῖς, πᾶν ἄλογον ζῶον, ὅπου γε καὶ τὴν ἔλαφον θηρίον λέγουσιν οἱ σοφοί. κυρίως δὲ φασὶ θῆρες, οἱ θέειν ῥᾷον δυνάμενοι κατὰ τὴν παρὰ Σοφοκλῇ θήραν ἔλαφον, ἐπειδή τις ἐν Λυκοφρονίᾳ κεῖται. ἢ ἀπὸ τοῦ φθείρειν, ὅθεν καὶ ἐτυμολογεῖσθαι ὁ θὴρ λέγεσθαι, ὡς οἷα φθείρ. καὶ ἀποβολῇ τοῦ φ μεταλλαγὴ τὸ ε τῆς διφθόγγου εἰς τὸ η κατ' ἀναλογίαν, ὅτι φθεῖρες διὰ διφθόγγου, καὶ οἱ θῆρες. Θηρίτας, ὁ ἐνυάλιος, παρὰ λάκωσιν. Θηριώδης, ἀγριωμένος.

Θηρίων, πλάτος τι σώματος, ὃ καὶ κεράτινος καλεῖται.

Θησαῦ, αἰγιαλικῇ. καὶ θησαυλεία, ἀπλοῦσα, ἐργολάβος.

Θηροσκόποι, ἱερεῖς ποικίλως δεδιωγμένοι. Θηροτρόφοι, θηροτροπεῖ. Θηρολέτης, ὁ τὰς λέξεις θηρώμενος.

Θηρόπλουτον, τὴν θηροπλεονεξίαν, καὶ θήρας ποιοῦσιν λέγει Λυκόφρων, τὸ παθητικὸν ἀντὶ τοῦ ἐνεργητικοῦ. Θηροτρόφον, κυνηγέτου. Θηροφόνος, θηροκτόνος Ἄρτεμις. Θηρευτὴς κυρίως λέγεσθαι, ὁ σῦν καὶ λέοντας θηρεύων, παρὰ τὴν θήραν. τότε γὰρ θῆρας ἐξαιρέτως ἐκάλουν οἱ ἀρχαῖοι, καταχρηστικῶς δὲ καὶ ἐπὶ πάντων. Θηρώμενοι, ἀντὶ τοῦ ζητοῦντες, καὶ ... ἐκ τοῦ παρὰ τῶν ἄλλων θηρώμενοι. καὶ θηρώμενον, ἀντὶ τοῦ ἀναχωροῦντα. Θηρῶντες, ἐπιτηροῦντες. Θηρῶμαι λέξιν, καὶ θηρώμεθα δόξας, παθητικῶς γράφεται. ἐπὶ δὲ ἄγρας θη-

ρῶν

[illegible]

ΤΟ Θ΄ ΜΕΤΑ ΤΟΥ Η.

Θήβαι, ὥς φησιν Εὐφορίων, [illegible]

[illegible]

ὀργῆς, ἀλλὰ εἰσὶν οἳ λέγουσιν ὅτι θεοῦ δῶρον οὐδὲν θεὸς αὐτῆς ὀφείλει, ἀπὸ τοῦ ἀλαζόνος θαμέως. Θεσπεσίῃ παρ' Ὁμήρῳ, τουτέστι θείᾳ βουλῇ. Θεσπέσιοι, θεῖοι. Θεσπέσιος, θεῖος, θαυμαστός. Θεσπεσιώτερον, ἀξιολογώτερον. Θεσπέσιος πλοῦτος, ὁ πολύς. ὃν ἂν ὁ θεὸς ἂν εἴποι, ἢ μᾶλλον ὁ ἐκ θεοῦ πεσών, ἤτοι χυθείς. ὅθεν καὶ οἱ διιπετεῖς γίνονται ποταμοί. Θεσπιδαὲς πῦρ, τὸ μεγαλεῖον. ἢ θεσπιδαὲς, θείως καιόμενον, ἢ δαιόμενον. Θεσπιὸς, ποταμός. καὶ θεσπιεύειν, ἢ θεσπίειν.

Θεσπίζει, μαντεύεται, προφητεύει, ἐνθεάζει, νομοθετεῖ.

Θέσπιν ἀοιδὴν, ἤτοι θείαν, καὶ ὡς ὑπὸ θεοῦ ἐμπνεομένην, ἤτοι λεγομένην. τὸ δὲ συνθέντες οἱ μεθ' Ὅμηρον, θεσπιῳδεῖν λέγουσιν, ὃ δηλοῖ τὸ μαντεύεσθαι. θεσπιῳδεῖν καλοῦντες ἐλέγοντο οἱ ἀοιδοὶ, καθὰ καὶ ὁ αὐτὸς ποιητὴς, ἀοιδὸς ὢν καὶ αὐτός. ἢ θέσπιν ἀοιδὴν παρ' Ὁμήρῳ, ὀρθωτικοῦ μὲν γένους τὸ θέσπις. συγκεῖται δὲ ἐκ τούτων τὸ θεσπιῳδεῖν. Θέσπιος, ποταμὸς Βοιωτίας. Θέσπις ἀγαθὴ, ἀληθὴς, ἰσχυρὰ, τελεία. καὶ θέσπις, ὄνομα κιθαρῳδοῦ. Ἀκούσαντες, ὀρχούμενος τοῦ σπεύδοντος οἱ παῖδες τὸ ἀρχαῖον ἐπεὶ οἷς θέσπις ἠγωνίζετο. Θέσπισμα, τὸ θεῖον δόγμα. Θεσπίσματα, θεῖα δόγματα. Θεσπιῳδεῖ, μαντεύεται, κατὰ θεὸν λαλεῖ, χρησμολογεῖ. ἐτυμολογεῖται δὲ παρὰ τὸ θεσπιῳδεῖν, ἢ παρὰ τὸ τὴν θεόμαντιν ἐπὶ τὰς μαντείας ἄγειν. ἢ θεσπιῳδεῖ, χρησμολογεῖ. Θεσπρωτὸς, θεσπρωτία χώρα.

Θεσπρώτιος, λόγος. Θεσσαλία, ὅτι ὄρεσι περιέχεται κύκλοθεν Ἡρόδοτος ἱστορεῖ. ὅτι δὲ Προμηθέως υἱὸς Δευκαλίων ἐβασίλευσε Θεσσαλίας, Ἑλλάνικός φησι, καὶ ὅτι Δωδωναίου θεοῦ βωμὸν ἱδρύσατο. εἰς αὐτὴν δὲ καὶ ἄλλων ποταμῶν εἰσβαλλόντων, τεσσάρων δὲ μάλιστα δοκίμων, Πηνειοῦ, καὶ Ἀπιδανοῦ, καὶ Ἐνιπέως, καὶ Ὀνοχώνου. τούτων συμμιγνυμένων, ὁ Πηνειὸς τῶν ὀνομάτων κατακρατῶν, ἀνωνύμους τοὺς ἄλλους ποιεῖ. Θεσσαλῶν σόφισμα, τοῦτο παροιμιῶδες, τασσόμενον ἐπὶ ἀπάτης. Θεσσαλίζεις, ἐνισχισμὸς ὡς παρὰ λάκωσι. Θεσσάμενοι, ἐξ αἰτήσεως ἀναλαβόντες, αἰτήσαντες. θέσσασθαι γὰρ τὸ αἰτῆσαι, καὶ ἱκετεῦσαι. καὶ Ἡσίοδος, θεσσάμενος γενεὴν κλυτὰ δαίμονα κυδαλίμοιο. καὶ Ἀρχίλοχος, θεσσάμενοι γλυκερὸν νόστον. Θέσσαντο, ἐζήτησαν, ἱκέτευσαν, ἐπεδίωξαν. Θέσσασθαι, αἰτεῖν, ἱκετεῦσαι, ἱκετεύειν. Θεσσάμενος, δεόμενος, ζητούμενος, ἱκετεύων.

Θεστορίδης, Θέστορος παῖς, ὁ Κάλχας. Θέσφατα θεῶν, οἷον ἐτυμολογικὸς τρόπος. εἴρηται δὲ πρὸς διαστολὴν θεσφάτων, ὅταν οὐκ αὐτὸς ὁ θεὸς λέγῃ, ἀλλὰ τέχνη μαντική.

Θέσφατον, τὸ εἱμαρμένον. ἢ θέσφατον, θέσπαλον, θεσπέσιον, θεόσδοτον. μονοσύλλαβος ἐλλείπει, ταῦτα ἔχουσι πλεονασμὸν τοῦ σ. πάντα ἦν οὕτω καὶ θεοσέκελον, εἰ μὴ τραπεὶς τὸ ο εἰς η ἐγράφη, καθ' ὁμοιότητα τοῦ σκηπτοῦχος, βοτρυοφόρος. ἀνάλκτος, ἀνάλκτος, καὶ τῶν ὁμοίων. καὶ θέσφατον, τὸ ἐκ θεοῦ προφήτευμα, ἢ μάντευμα. Θέσφατος, καὶ θέσφατα, αἱ ἐκ θεοῦ προφητεῖαι, καὶ μαντεῖαι. ἢ θέσφατος, πολὺς κατὰ ἀφαίρεσιν τοῦ σ, καὶ πλεονασμῷ τοῦ σ, θεόφατος ὡς ὤν, ἀντὶ τοῦ πολύς. οἷον, περὶ γὰρ χεῦε θέσφατον ἀήρ. καὶ θέσφατος τελευτή, ἢ θεσπιδαής. Θετὴ, ποιητὴ θυγάτηρ. καὶ θετὸς, ὁ προσποιητὸς υἱὸς, παρὰ τὸ τίθημι. τὸ γὰρ εἰσποιητὸς, καὶ θετὸς ἔλεγον. καὶ θέσθαι, τὸ εἰσποιήσασθαι παῖδας θετούς. ἢ θέτης, ὁ εἰς ὑποθήκην δεδὼς ὀνοῦν. Θέτης, πλάστης, πραίκτης. Θετικὸν, τὸ θέμα κείμενον γενικῆς. Θέτιδι ἀπὸ τοῦ θέτις θέτιδος, θέτιδι θέτει θέτι. Θέτις ὄνομα κύριον, λέγεται καὶ ἡ θέσις τῶν ὑδάτων. λέγεται δὲ ὅτι Θέτις εἰς λέβητα ὕδατος ζέοντα ἐνέβαλε τοὺς ἐκ Πηλέως γινομένους αὐτῇ παῖδας, βουλομένη εἰδέναι εἰ θνητοί εἰσιν. ἕτεροι δὲ εἰς πῦρ, ὡς Ἀπολλώνιός φησι. καὶ δὴ πολλῶν διαφθαρέντων, ἀγανακτῆσαι τὸν Πηλέα, καὶ κωλῦσαι τὸν Ἀχιλλέα ἐμβληθῆναι εἰς λέβητα. Σοφοκλῆς δὲ ἐν Ἀχιλλέως ἐρασταῖς φασὶν, ὑπὸ Πηλέως λοιδορηθεῖσαν τὴν Θέτιν, καταλιπεῖν αὐτόν. Σταφύλος δὲ ἐν τρίτῳ τῶν περὶ Θεσσαλίαν, ἱστορεῖ Χείρωνα σοφὸν ὄντα, καὶ ἀστρονομίας ἔμπειρον, βουλόμενον τὸν Πηλέα ἔνδοξον ποιῆσαι, μεταπέμψασθαι τὴν Ἄκτορος θυγατέρα τοῦ Μυρμιδόνος. καὶ λόγους διαφημίσαι, ὅτι μέλλει γαμεῖν τὴν Θέτιν ὁ Πηλεύς, ὡς διδόντος αὐτῷ τῶν θεῶν. οἱ δὲ θεοὶ, μετ' ὄμβρου καὶ χειμῶνος ἦκον εἰς τὸν γάμον. τοῦτο φημίσας παρετήρησε τὸν χρόνον, ἐν ᾧ ὁ Πηλεὺς ἤμελλεν ἔσεσθαι ἐπομβρία, καὶ πνεύματα ἐξαίσια, ἃ δὴ ὁ σοφὸς προεγνώκει. καὶ οὕτως ἐπιστεύθη ἡ φήμη, ὅτι τὴν Θέτιν ἔγημε. ἄλλοι δέ φασιν, ὅτι ἡ Θέτις λαμβάνουσα τοὺς παῖδας ἐκ Πηλέως γινομένους, περιῄρει τὸ θνητὸν αὐτῶν σῶμα, βουλομένη αὐτοὺς ἀθανάτους ποιεῖν, καὶ πολλοὺς ἀπέκτεινε. καὶ τὸν Ἀχιλλέα σὺν τέκνοις ἐπέθηκεν εἰς τὸ πῦρ. καὶ γνοὺς ὁ Πηλεὺς ἐβόησεν, ἡ δὲ ἀγανακτήσασα, ἐχωρίσθη. Θέτιν ἑπτὰ παῖδας ἐσχηκέναι ἐκ Πηλέως τινὲς λέγουσι. καὶ τοὺς μὲν ἓξ εἰς πῦρ βαλοῦσα ἀπώλεσεν, ὡς ἀπολλυμένους τῷ χρόνῳ ἑαυτοῦ. ἐπὶ δὲ τοῦ Ἀχιλλέως ἐφωράθη καὶ ἐκωλύθη. Πίνδαρος δὲ λέγει, Ποσειδῶνα καὶ Ἀπόλλωνα καὶ Δία, περὶ τοῦ γάμου τῆς Θέτιδος ἐρίσαι. κωλυθῆναι δὲ αὐτοὺς κατὰ χρησμὸν τοῦ Ἐπιμηθέως. κατὰ δὲ Αἰσχύλον, ὑπὸ Προμηθέως. φασὶ γὰρ, ἢ τέξειν παῖδα φέρτερον πατρός. Ἀπολλόδωρος δὲ Δία καὶ Ποσειδῶνα μετὰ τὸν γάμον τῆς Θέτιδος ἐρίσαι. Θέτιν δὲ ὡς τραφεῖσαν ὑφ' Ἥρας, μὴ θέλειν Διὶ συνελθεῖν. ὅθεν ὀργισθέντα τὸν Δία θέλειν συζεῦξαι αὐτήν. Χείρωνος δὲ βουλαῖς ὁ Πηλεὺς κατέσχεν αὐτὴν, εἰς παντοίας μορφὰς μεταβαλλομένην, καὶ ἐμίγη αὐτῇ ἐν εἴδει σηπίας, καὶ τότε ὁ γάμος ἐν Πηλίῳ, καὶ οἱ θεοὶ δῶρα ἔδωκαν. Ποσειδῶν ἵππους, Ξάνθον καὶ Βαλίον. Ἥφαιστος μάχαιραν, καὶ οἱ λοιποὶ ἕτερα. γεννᾷ δὲ ἡ Θέτις, τὸν πρὶν κατὰ Ἀπολλόδωρον Λιγύρον καλούμενον, ὕστερον δὲ Ἀχιλλέα μετακληθέντα, διὰ τὸ δοθῆναι τῷ Χείρωνι, καὶ δίχα κοινῆς τροφῆς ἀνατρέφεσθαι. ἑσπέρας μὲν αὐτὸν εἰς πῦρ ἔβαλεν, ἡμέρας δὲ ἔχριεν ἀμβροσίᾳ, ὡς ἀθανατίσουσα τοῦτον ἤθελησεν. ἰδόντος δὲ τοῦ Πηλέως τὴν Θέτιν βαλλομένην αὐτὸν εἰς πῦρ, καὶ βοήσαντος, συνέβη ταύτην πρὸς τὰς Νηρηΐδας ὑποχωρῆσαι. ὁ δὲ Πηλεὺς τῷ Χείρωνι τῷ Κενταύρῳ τὸν παῖδα δίδωσι τρέφειν. καὶ ταῦτα μὲν φασὶν Ἀπολλόδωρος. Ἀγαμήστωρ δὲ ὁ Φαρσάλιος ἐν τοῖς λέγει τὸν Ἀχιλλέα κληθῆναι, ἐν τῷ τῆς Θέτιδος ἐπιθαλαμίῳ. εἶτα γεννηθέντος αὐτοῦ Ἀχιλλέα κληθῆναι, ὡς τὸν Σοφὸς ἐπὶ λύσει παῖδα· σοὶ δ' ὄνομα θέμεν Πυρισόον. ἀλλὰ Ἀχιλλέα Πηλεὺς κέκληκεν, ἐχθρὸς κείμενον ἐνὶ κοινῇ σποδιῇ, ἐνὶ πῦρ ἀκίνδυνον χίλιος ὅδ' βίον ἀγροσφαῖως ἔτικτεν. ὁ δὲ Εἰσπαίδης, ὅπερ φασὶ μιγῆναι Ἀχιλλέως τῇ Θέτιδι ἐν τῇ Σκιαθίδι, καὶ ἔτεκε σὺν αὐτῷ. Θετταλίαν, εἰς τέσσαρα ἐκεῖνοι διαροῦσι, Δωρικὴν φθιῶτιν, ἡ ὅλην, πελασγιῶτιν, καὶ θετταλιῶτιν. καὶ φθίοι ἐλέγοντο, οἱ ὑπὸ Ἀχιλλεῖ ὑποτασσόμενοι, καὶ οἱ ὑπὸ Πρωτεσιλάῳ, καὶ ὑπὸ Φιλοκτήτῃ. Θετταλίδας, ὑπόδημα τινόν, κρηπῖδας. Θετταλικὰ πτερὰ, τοῦτο εἴρηται διὰ τὸ πτέρυγας ἔχειν τὰς Θεσσαλικὰς χλαμύδας. πτέρυγες δὲ καλοῦνται, αἱ ἑκατέρωθεν γωνίαι, διὰ τὸ ἐοικέναι πτέρυξι. Θετταλικὴ ἐσθὴς, ἡ μεγάλη. Θετταλικὸς δίφρος. διάφοροι εἰσὶ τῶν ἄλλων οἱ Θετταλικοὶ δίφροι. ἴδιον γὰρ τὸ γένος αὐτῶν κατεσκεύασαι. Θετταλῶν σόφισμα, παροιμία ἐπὶ τῶν σοφιζομένων λεγομένη, καὶ μὴ εὐθέως χρώντων. Θευδᾶς, ὑποκοριστικὸν τοῦ Θεόδωρος. Θευ, δεῦρο, τρέχε. Θευδόσιος, ὁ θεοδόσιος. καὶ θευδοσία χώρα, κειμένη ἐν τῷ στόματι, ἣν Παλαιστίνης σάτυρος ἐπωνόμασεν. Θεύγεσθαι, θέλγεσθαι, κρύπτεσθαι. Θευμορία, ἀπαρχὴ, οὐσία. ἢ ὃ λαμβάνουσιν οἱ ἱερεῖς κρέας, ἐκ τοῦ θύεται θεοῦ μοῖρα. Θευπομπίτω, θεῷ γέρας ἀναφερέτω. Θεῦν Ἄρτεμιν, σημαίνει τὴν θεὸν, κράσει Δωρικῇ τοῦ εο εἰς ευ δίφθογγον. ὡς ἐκ τοῦ ἐρέβεος

θερμοτάτῳ. ἄρκτος, ἵππος δὲ πλείονα θερμότεραι εἰσὶ κέλευθοι.

Θεριλίμιον, τόπου ὄνομα, ὡς παρ' Ἀπόλλωνι, καὶ ζήτει. Θέρεσθαι, θερμαίνεσθαι, καὶ θάλπεσθαι, πρὸς ἥλιον χλιαίνεσθαι. Θερίστριον, θέριστρον. Θεριζάνον, ἡ ἅμαξα, ἀπὸ τοῦ τὰ θέρη ἄγειν. Θερίσδειν, θερίζειν, καταβάλλειν. ἀπὸ μεταφορᾶς τοῦ θερίζειν, ὅτι τὰ δράγματα κλίνουσιν, ὡς λέγει πολλοὶ ἐθέριζον διὰ τὸ πόλεμον. Ἀριστοφάνης, μᾶλλον γὰρ ἔτι θερίσδειν. Θερίζειν, ἀντὶ τοῦ καταβάλλειν. Θερίζω, ἀμῶ, θερίσομαι. καὶ θερίζω, ἐγὼ ἐνθερίζω ἀμαξεβάτως, τὸ θέρος τοῦ δράγου. θερίζω δὲ μεταφορικῶς τὸ λήιον τέμνω. ἢ θερίζω, ἀμῶ, ῥαβδῶ, λικμῶ, ἰκρῶ, συνάγω, τρυγῶ, ἐφύσησα, ἐκ τοῦ θερίζοντος ταῦτα λέγεται.

Θερίκλειον, ποτήριον, κύλιξ. Θερινῶ, θέρος. Θερίστης, τὸ θέρος ἀγαγών. Θέριστρον, λεπτὸν ὕφασμα, θερινὸν ἱμάτιον. Θέριστρον, τὸ δρέπανον, καὶ τὸ φακιόλιον. ἢ θέριστρον, καὶ θερίστριον. θερινὸν ἱμάτιον τὸ ἐκ κόκκου βαφὲν, καὶ ὑφαντὸν ὑπὸ γυναικὸς, καὶ ἡ ἀνθολαστὴς ἁμαρτίας ἐπισκάπτουσα. Θέρμα, θέλγμα. Θέρματα, θέλγματα. Θερμαίνεσθαι, ἀντὶ τοῦ ἐμπατεῖσθαι. Σοφοκλῆς, οὐκ ἂν πυκνίμην οὐδεὶς λέγων βροτῶν, ὃς μακρὰν ἐλπίσιν θερμαίνεται. Θέρμα, πυρετὸς, ἄλεα, καὶ ἐπιχειρία. Θερμὰ, τὰ χλιαρὰ ὕδατα. Θερμαντῆρα, θερμαστρίς, θερμαστὴς, χαλκεῖα. Θερμαντῆρια, ἐχῖνοι, λέβητες, λεβητάρια, ἰπνολέβητια. ταῦτα εἶναι ἀγγεῖα ἐν οἷς τὸ ὕδωρ θερμαίνεται. Θερμὸν, θρασὺ, καὶ τολμηρόν.

Θερμάστραι, κάμινοι. Θερμαστεῖν, ἐκ καμίνων, ἐν τῷ ἐπάνω ἐν τῷ ἡλίῳ πάσσων. Θερμαστρὶς, σκεῦος παραπλήσιον πυράγρᾳ. ᾧ χρῶνται οἱ χρυσοχόοι, καὶ ὄρχησις ἔντονος, καὶ διάπυρος, τάχους ἕνεκα. Θερμαί, θερμαίνω. Θερμίδα, ἡ θέρμη. Θερμὸν ὕδωρ, ἐπὶ τὸ θέρμαι προπαρόξυτον τοῦ θερμαίνω. Καλλίας δὲ λέγεται, ἀντὶ τοῦ θερμαίνεται. θερμῆναι, ἀντὶ τοῦ θερμᾶναι. Θέρμα, καὶ θέρμη. θερμοκράτος, σκέψαι δὲ μὴ τὸ μέτωπον, εἰ θέρμην ἔχων τυγχάνει. ὁ Μένανδρος, ἐπήρετο τὸν γέροντα, θέρμα τ' ἐπέλαβεν αὐτόν. οὐκ εὖ ποιοῦσιν οἱ λέγοντες, ὅτι θέρμα μὲν ὁ πυρετὸς, θέρμη δ' ἡ πόλις. Θέρμης, ὁ θερμὸς οἶνος. Θερμὸν, παράδοξον. Ἀριστοφάνης, ὦ θερμὸν ἔργον κἀνόσιον, καὶ παράνομον. Θερμώπυλα, ἔστι τόπος περὶ τὴν πόλιν. Θερμοπύλαι, τόπος οὕτω καλούμενος ὑπὸ τῶν πλείστων Ἑλλήνων. ἀπὸ γὰρ τῶν ἐπιχωρίων καὶ περιοίκων πύλαι.

Θερμὸς, θρασὺς. καὶ θερμουργὸς, ὁ προπετής. ἢ θερμὸς, ὥσπερ παρὰ τὸ εἴρω εἱρμὸς, οὕτω καὶ παρὰ τὸ θέρω θερμός. Θερμότατα, μάλιστα. ὦ θερμότατον γυναικῶν, μέγα κατείδεις καλὸν, ἡμῖν δὲ κακόν. ἔτι ἡ θυγάτηρ φιλεῖ ἡ τῶν μυστηρίων ἱερωσύνη. θερμουργίας ὑπομονή. Θερμότης λέγε, ἀλλὰ μὴ θερμασία, φρύνιχος. ὁ θερμότης, καὶ θέρμη, ἀττικοί. θερμασία, ἑλληνικῶς. Θερμουργὸς ἄνθρωπος, ὁ σκυλαῖος. θερμὸν ἔργον, τὸ κακὸν, ἀπαίδευτον. Θερμυδρον, λιμὴν ῥοδίων.

Θέρμω, τὸ θερμαίνω. Ἀριστοφάνης, θέρμετ' ὕδωρ. Θερμώδων, ποταμὸς παφλαγονίας περὶ σινώπην, ὅπου ὤκουν αἱ ἀμαζόνες. ἔστι καὶ βοιωτίας ποταμός. Θερόμενος, θερμαινόμενος. Θέρονται, καίονται, χλιαίνονται, θερμαίνονται.

Θέρος. παρὰ τὸ θέρω τὸ θερμαίνω, τὸ ἐν καιρῷ τοιούτῳ ὄν. ἔστι δὲ θέρος, ὁ ὑπὲρ γῆς ἀὴρ, καταθαλπόμενος τῷ τοῦ ἡλίου πρὸς ἄρκτον πορείᾳ. καὶ θέρος, οὗ τοῦ καιροῦ οἱ γεωργοὶ ἐκάλουν, οἷον χειμῶνα καὶ ἔαρ. καὶ θέρος, ἀλλὰ τῶν συγκομιζομένων καρπῶν τῶν σπερμάτων, οὕτω προσαγορεύεσθαι. καὶ θέρος ἐστὶ καιρὸς, ἐν ᾧ τὸ θερμὸν ἐπικρατεῖ. Θερσίτης λέγει ἡ ποιητικὴ ἱστορία, ἀναιρεθεῖσαν ὑπὸ ἀχιλλέως πενθεσίλειαν, ἐκλαύσαντα τὴν ἀμαζόνα πενθεσίλειαν ἑαυτὸν ἀπελθὼν, οἰκτρὸν ἔχων ἐπὶ τῷ κάλλει. ὁ μὲν γὰρ θαυμάσαι τὸ κάλλος. καὶ ὡς καλλίστη ἅμα καὶ ἀνδρεία, ἀνεβιώσατο τὸ κάλλος ἐπὶ κλίνῃ χαμευνίῳ, τὸ ὅμοιον αἰσχρῶς ἀνειρόμενος.

ὁ δὲ ὡς εἴρηται πεπηρωμένος, ἐπὶ λαγνείᾳ σκώπτει τὸν καλὸν ἥρωα. ὁ γοῦν ἀχιλλεὺς κονδύλῳ χειρὶ παίσας τὸν αἴσχιστον τῇ κεφαλῇ πενθεσιλείᾳ συγκατακλίνει. Ἄλλως. Θερσίτην ὁ ἀχιλλεὺς ἀπέκτεινε, πλήξας δὲ γνάθον αὐτόν καθ' ἑαυτὸν δὲ ἐγὼ τοὺς λοιποὺς κατ' αὐτὸν, ὅτι χαίρει. μὴ διὰ τὸ ἐξορύξαι τοὺς ὀφθαλμοὺς τῆς κόρης, ὥς φασιν ἐρασθῆναι ἀχιλλέα, ἀλλ' ὅτι καὶ ἀχιλλέως αἰσχροὺς λόγους ἀπέτεινεν. Θερσίτης, ὄνομα κύριον, καὶ θερσίτειον βλέμμα. Θερόμενος, ἤγουν θερμαινόμενος.

Θερυσία, ἑορτή τις. Θεραπευτῆρος, ὁ χλωρὸς σῖτος ἀμητός. Θέρω, τὸ θερμαίνω, παρὰ τὸ θέω τὸ τρέχω. τὸ γὰρ ταχὺ, θερμὸν λέγουσιν εἶναι. Θέσαι, θεσφυρίσαι. Θέσεις, αἱ καταβολαὶ τῶν πρυτανείων, ὅ ἐστι μισθὸς ἦν τοῦ εἰσάγοντος τὰς δίκας. ἢ θέσεις, πράξεις. καὶ θεῖναι, ταμιεῦσαι. Θέσθαι, τοῦ ὑποθέσθαι, διαφέρει. θέσθαι μὲν γάρ ἐστι, τὸ λαβεῖν ὑποθήκην. ὑποθέσθαι δὲ, τὸ δοῦναι. ὑποθήκην θέσθαι, τὸ ἐνεχυράζεσθαι, ἐν ὀλυνθιακῷ. Θέσθω, ὑποτιθέσθω. Θέσθαι, τὸ θησαυρίζεσθαι, ἐν ὀλυνθιακοῖς γ'. καὶ τὸ θησαυρὸν ἀνακρίνων, θέσθαι λέγει. τὸ δὲ ῥητορικὸν λεξικὸν, ἀντὶ τοῦ ὑποθήκην λαβεῖν. ὑπεθήκατο, ἀντὶ τοῦ κερδῆσαι, καὶ πρόσθεσθαι μόνον. Δημοσθένης ἐν τῷ περὶ ἀτελειῶν. ἐν μέν τι τῷ κατὰ Στεφάνου φησὶν, ἐκ τῶν νόμων ἐλέγξας θέμενον, ἀντὶ τοῦ θέντα. Θέσις παράδοξος, ὑπόληψις ἐνδόξων τῶν ἐν φιλοσοφίᾳ γνωρίμων. οἷον ὡς ὁ Παρμενίδου λόγος, ἐν ᾧ ἔλεγε τὸ ἓν. καὶ ὡς ὁ Ἡρακλείτου, ὅτι τὰ πάντα κινεῖται. Θέσκελα, ἔργα μάχης παρ' Ὁμήρῳ ἐν γ' τῆς ἰλιάδος, οὐχ ὡς θεοείκελα, ἀλλὰ θεοκέλευστα. κατὰ θέσφατα, τὰ θεόφραστα. εἶεν δ' ἂν καὶ οὕτω θεῖα τὰ θέσκελα. καὶ διὰ τοῦ θαύματος ἄξια. καὶ θέσκελα, θαυμαστὰ, θεῖα, οἱονεὶ θεοείκελα. Θέσμιον, νόμιμον, δίκαιον. Θεσμοθέται, ἀρχὴ ἐξ ἀθηναίων, ἐξ ὄντων τὸν ἀριθμὸν, καὶ τῶν καλουμένων ἐννέα ἀρχόντων. καλοῦνται δὲ οὕτως, ὅτι τῶν νόμων τὴν ἐπιμέλειαν εἶχον. ὅτι δὲ τοὺς νόμους οὗτοι διώρθουν κατὰ ἐνιαυτὸν ἕκαστον, εἰρηκὼς Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. ἢ θεσμοθέτης, ὁ νομοθέτης. Θεσμορίου τόσος, ἡ ἐκ θεῶν μεμοιραμένη τόσος.

Θεσμὸς, ὁ νόμος, ἀπὸ τῆς θέσεως ὀνομάζεται. ἕκαστος γὰρ νομοθέτης, ἐὰν ἐβούλετο ἐτίθει τοὺς νόμους. ἢ θεσμὸς ἐκαλεῖτο μὲν πάλαι καὶ εἷς ἕκαστος τῶν νόμων θεσμός. καὶ τὸ ὅλον δὲ τῆς πολιτείας σύνταγμα, οὕτω κέκληκεν ὁ Δημοσθένης, ἐν τῷ κατ' Ἀριστοκράτους. Θεσμοτόκου, τὰς μελίσσας φησί, διὰ τὸ εὔτακτον. θείης θεσμοτόκου χορὸν ἄπλετον. Θεσμοφορία, τὰ μυστήρια τῆς Δήμητρος, ἢ ὄνομα ἑορτῆς. Θεσμοφόρια, ὄνομα ἑορτῆς, ὥσπερ ἐν θεσμοφοριαζούσαις, νηστεύομεν ὥσπερ θεσμοφορίων, Ἀριστοφάνης. Θεσμοφόρος, ὁ τοὺς νόμους ἐπιφερόμενος.

Θέσπαλαι, αἱ κῶμαι, παρὰ φιλήματα, καὶ αἱ φιλημαλίδες.

Θέσπια καὶ θεσπιεῖς, ἡ πόλις, ὥσπερ ἀθήνα ἀττικῶς, καὶ πλατειαιῶς, καὶ μυκάλη καὶ κρῆνη, καὶ ἴκαρα καὶ ὅτι κτίσμα ἐστὶν ἡ θέσπια θεσπιάδου. κατὰ δέ τινας θεσπίου τοῦ ἐρεχθέως. ἱστορεῖται δὲ θεσπιεῖα εἶναι τὸν νάρκισσον, ὃς ἐν μὲν υἱὸς κηφισσοῦ τοῦ ποταμοῦ καὶ λειριόπης νύμφης. κάλλος δ' ἔχων ἀμύθητον, ἐπιτυχὼν πηγῇ ὕδατι, καὶ τῆς ἑαυτοῦ σκιᾶς ἐρασθεὶς, ἔρριψεν ἑαυτὸν ἐκεῖ, καὶ ἐπνίγη ὑπὸ τοῦ ὕδατος, καὶ ἡ γῆ ἀνέδωκε φυτὸν ὁμώνυμον τῷ ναρκίσσῳ. ἱστορεῖται δὲ καὶ ὁ πραξιτέλους ἔρως ἐν θεσπιαῖς εἶναι. ὃν ἔλαβε μὲν ἐκεῖθεν, ἀνέθηκε δὲ ἡ ἑταίρα Φρύνη ἐκεῖθεν οὖσα, λαβοῦσα δῶρον παρὰ τοῦ τεχνίτου. πολλοὶ δὲ ἀνίστανται ἐφορμῶντες τὸν ἔρωτα. ἐκεῖ δέ φασιν ἡ ἄκρα δεξιὰ ἑλικῶνος ἐφ' ὑψηλοῦ καὶ τραχέος τόπου, ἀπέχουσα θεσπιῶν, ὅσον τεσσαράκοντα στάδια. Θεσπέσια κτήματα, ἤγουν πολλά. ἢ θεσπέσια, θεῖα, θαυμαστά. οἱονεὶ, θεοπέσια τινὰ ὄντα, παρὰ τὸ ἐνισπεῖν, ἢ παρὰ τὸ ἐπεῖν τὸν θεόν. Θεσπιῶν ἀοιδῶν, εἶτα

ἀρχαί.

καλλιστεύμενοι. Θεάκλυτος, θεότιμος. Θεόκολος, ἱερεύς.

Θεόληπτος, ὑπὸ θεοῦ συγχεθείς. Θεολόγος, μυστηρίων θεσπικός. Θεόμηνι, θεόφρονι, θεοβούλῳ, θείᾳ φρενί.

Θεομισὴς, ὑπὸ θεοῦ μισούμενος. θεομίσης δὲ, ὁ μισῶν τὸν θεόν. Θεόμορος, σώφρων. Θέοντες, τρέχοντες. Θεοξένια, κοινὴ ἑορτὴ πᾶσι τοῖς θεοῖς. Θεόπαυστος, ὑπὸ θεοῦ παυόμενος, ἡ πληγὴ ὑπὸ θεοῦ διδομένη. Θεοπειρεῖν, [illegible]. Θεοπις, ἀληθὴς, ἠδεῖα, ἀγαθὴ, ἰσχυρά. Θεοπληκτον, δεισιδαίμονες. Θεοπλασία, ἡ θεία ἐνανθρώπησις.

Θεοπολεῖν, θεῶν εἰκόνας ἔχοντες περιπολεῖν. Θεοπροπος, [illegible]. Θεοπρόπος, οἰωνιστὴς, ὡς οἱ [illegible] μαθὼν, οἰωνοπόλον. γενικοῦ μὲν ὄντος ὀνόματος τοῦ θεοπρόπος καὶ τοῦ μάντις, ἰδικοῦ δὲ οἰωνιστής, ὁ θεοπρόπος ἁπλῶς ὁ μάντις. θεοπροπία δὲ, ἡ τέχνη αὐτοῦ. θεοπρόπιον, τὸ χρησμῴδημα, ὃ καὶ λόγιον λέγομεν [illegible]. Θεοπτία, ἡ τοῦ θεοῦ ὀπτασία, ἢ θεοπτίας, θείας θεωρίας. Θεορταῖοι, οἱ θεὸν τέρποντες.

Θεορρύμονα, ἡ θεία [illegible], καὶ ἡ κατάχυσις.

Θεόρρυτον, τὸ ἐκ θεοῦ χεόμενον. Θεόρτος, ὁ ὑπὸ θεοῦ παρορμώμενος. Θεὸς, τὸ πνεῦμα τὸ ἅγιον. δύναμις ἀγεννήτη, [illegible] ἐκ τοῦ πατρὸς ἐκπορευομένη ἀδιαστάτως, καὶ ὁμοούσιος πατρὶ καὶ υἱῷ, θεὸς ἐστιν οὐσία, πρώτη καλὸν, ἀναίτιος αἰτία, ἁπλῶς πάσης οὐσίας, αἰτία τις [illegible]. θεὸς δὲ παρὰ τῶν θέσιν λέγεται, καὶ τῶν δημιουργημάτων. ἔτι δὲ θεὸς, ἀόρατος, καὶ ἀσώματος παρὰ ἀνθρώποις. ὕπαρξις πάσης ὑπάρξεως [illegible]. τὰ ἰδιώματα τῆς θείας φύσεως, τὸ ἄκτιστον, τὸ ἄναρχον, τὸ ἀθάνατον, τὸ ἀπέραντον, τὸ αἰώνιον, τὸ ἁπλοῦν, τὸ ἀσύνθετον, τὸ ἄυλον, τὸ ἀγαθὸν, τὸ δημιουργικὸν, τὸ δίκαιον, τὸ φωτιστικὸν, τὸ ἄτρεπτον, τὸ ἀπαθὲς, τὸ ἀπερίγραπτον, τὸ ἀόρατον, τὸ ἀσώματον. ἡ θεὸς προσηγορία, λέγεται ἐν τῇ γραφῇ διττῶς, φύσει καὶ χάριτι. φύσει μὲν, ὁ ποιητὴς. χάριτι δὲ, καὶ οἱ δίκαιοι λέγονται θεοί. θεὸς λέγεται παρὰ τὸ τεθεικέναι τὰ πάντα, ἢ τὸ θεᾶσθαι. καὶ τί ἐστι θεὸς, καὶ πῶς προσκυνεῖται; ὥσπερ πνευματικῶς, καὶ γνῶθι τὸ ἀληθές. Θεὸς, τὸν ἀλεξίκακον. [illegible] τὸ μὴ γίνεσθαι, [illegible] ἐν ἄλλοις [illegible] θεὸς τέλειον. Θεόσδοτος, ἐκ θεοῦ διδόμενος. Θεοσέπτωρ, ὁ θεοσεβής.

Θεοσίκτε, ὑπὸ θεοῦ [illegible]. Θεοσκοπία, ἡ τοῦ θεοῦ προφητεία. Θεοσκοπεῖ, θεοὺς τιμᾷ. Θεοσιβὴς, ὁ ὑπὸ τοῦ θεοῦ παιδευόμενος. ἐκ τοῦ θεὸς, καὶ τοῦ σέβω τὸ προσκυνῶ, γίνεται σεβὴς, καὶ θεοσεβής. Θεοσύνοις, οἱ μισούμενοι ὑπὸ θεοῦ.

Θεοσυλὴς, ὁ τὰ ἱερὰ συλῶν. Θεότευκτον, θεοκατασκεύαστον. Θεότης, ἡ πάντα θεωροῦσα, καὶ πάντα περιέπουσα προνοίᾳ, καὶ ἀγαθότητι [illegible] καὶ περιέχουσα πάντα, τὰ τῆς προνοίας αὐτῆς ἀπολαβόντα. Θευδὶς, [illegible]. Θευδὲς, δίκαιος, εὐσεβὴς, εὐγνώμων, θεοῖς ἀρέσκων. Θεῳλήπτοις, ὑπὸ θεοῦ διδομένοις. Θεωδίας, ἡ μεγάλη [illegible] τοῦ μεγάλου [illegible].

Θεύς, τρέχος. Θεουργικὰ, [illegible]. Θεοφάνεια, ἡ τοῦ θεοῦ φανέρωσις, [illegible] δὲ πληθυντικῶς τὰ θεοφάνεια, [illegible] τὸ θεοφάνιον. Θεοφόρητον, ὑπὸ θεοῦ παρακινούμενος, θεολόγος. Θεόφατα, ἐκ θεοῦ σεσημασμένα. Θεοφατίζω, μαντεύεσθαι, προφητεύειν. Θεόφιν, κατὰ προχωρισμὸν, ἀντὶ τοῦ θεοῖς. ὅμηρος ἰλιάδος κ΄, [illegible] τάλαντος. Θεόφροσος, θεοσεβής. Θεοφορία, ἐνθουσιασμὸς. [illegible] χαλεπῆς πνεύματα θεοφορίας. Θεόφρονα, θεοῦ γνώμη, ἔμφρονα. Θεοφροσύνη, αἱ περὶ τὸ θεῖον διατριβαί, καὶ ἡ μαντεία. Θεόωνοι, ἐπὶ [illegible] διδομένη. Θέπισσος, [illegible]. Θεράπαινα, ἡ δούλη, καὶ θεραπαινίς. Θεραπαινίδιον, [illegible]. Θεραπεία, ὁ ἰατρὸς ἀπὸ τοῦ θεραπεύω, καὶ θεραπευτής, παραγόμενον. θεραπεία καὶ ἡ διακονία, ἀφ' οὗ λέγεται καὶ θεράπων. καὶ θεραπεία, ἡ ὑπουργία καὶ ὑπηρεσία. θεραπεία, καὶ τὸ πλῆθος τῶν θεραπευόντων. ὥσπερ δὲ καὶ ἰατρεία, τὸ τῶν ἰατρῶν. καὶ ἑταιρεία, ἡ τῶν ἑταίρων ἄθροισις. Θέραψ, [illegible]. Θεραπευσία, θεραπεία, ἱκεσία. Θεραπευτὴς, ἰατρός. Θεραπεύω, τὸ δουλεύω. οἷον οὐκ ἐᾷ τὸ δεσπότην θεραπεύειν. καὶ θεραπεύω, τὸ [illegible] θεραπεύειν, θεραπεύω τοὺς θεούς. καὶ θεραπεύω, τὸ ἰῶμαι. ὡς τὸ, σώματος μὲν ἀρρωστίαν θεραπεύει τέχνη. θεραπεύω, καὶ τὸ εὐφραίνω. οἷον θεραπεύω σε λόγοις. καὶ τὸ μετέρχομαι, καὶ ὑπέρχομαι, ἤγουν μεταχειρίζομαι. Θεράπναι, αἱ θεραπεῖαι τοῦ Χρυσοστόμου. ἔτι μὲν τὰ πρῶτα, θεράπνην ἱκανὴν ἐπὶ τῆς [illegible]. Θεραπνίας, τὰς βωμολοχίας. Θεράπναι κατὰ συγκοπὴν, αἱ θεράπαιναι. καὶ θεράπναι, τόπος ἐστὶν ἐν Λακεδαιμονίᾳ, οὗ μνημονεύει Στράβων, καὶ Ἀλκαῖος. ἢ θεράπναι, αὐλαὶ, σταθμοί. Θεραπναιδία, ἑορτὴ παρὰ Λάκωσι. Θεράπνιον, θεραπαινίδιον, δουλίδιον. Θεράποντες, δοῦλοι, ὑπηρέται. θεράποντες, [illegible]. Θεράπων ἐστὶν, ὁ [illegible] προσήκων ὑπουργῶν. ἢ θεράπων κατὰ τῶν πρώτων, δηλοῖ φασὶ δοῦλον ὁπλοφόρον, ὥσπερ [illegible] ὅμηρος. Θεράποντα, [illegible] ὡς ἕνεκα αὐτῶν τοῦ Ἀχιλλέως ἀντὶ τοῦ [illegible] ἰσχυρῶς. οὐκοῦν ὥσπερ οὐδὲ ὁ Πάτροκλος, οὕτως οὐδ' Αὐτομέδων δοῦλος. τῷ νομίζειν θεράποντα Ἀχιλλέως λέγοιτ' ἄν, εἰ καὶ πρῶτος οὕτω χρῆται τῇ τοῦ θεράποντος λέξει, κατὰ [illegible], οἱ παλαιοὶ περὶ τούτων εἰπόντες ὀνομάτων, ὥσπερ προδεδήλωται. ἐν οἷς καὶ οἱ παρὰ Λάκωσιν εἵλωτες, παρὰ τὸ ἕλος. καὶ οἱ Κλαρῶται, καὶ οἱ [illegible], καὶ οἱ λάτρεις, οἱ καὶ μισθωτοί. ὕστερον δὲ [illegible], ὡς Εὐριπίδης· λάτρις πενέστης ἀμὸς ἀρχαίων δόμων. λέγουσι καὶ ὅτι Θετταλοὶ μὲν πενέστας φασὶ τοὺς μὴ γένει δούλους, πολέμῳ δὲ ἡλωκότας. τοὺς δὲ αὐτοὺς καὶ Θετταλοικέτας. κωμικῶς δὲ ὡς ἐπὶ τοῦ ἁπλῶς δούλου, ἡ πενέστας τίθησιν. ἔτι δέ φασι κατὰ τὴν τοῦ [illegible] ἱστορίαν, ὅτι καὶ [illegible] ἐκαλοῦντο δορυφόροι, [illegible] ἅπαντας, ἀφαιρούντων τῶν δεσποτῶν τὸ πικρὸν, τὸ τῆς [illegible] προσηγορίας. ἤτοι εὐφημότερον ἀντὶ δούλων, δορυφόρους καλούντων τοὺς τοιούτους [illegible]. ἐπεί φασιν [illegible] τέλους [illegible] τὰ δέοντα. ὡς δὲ καὶ ἄρτι ἔλεγον τὰς θεραπαίνας, ἢ τὰς θεράποντας, ἔτι δὲ [illegible] Λακωνικῶς τὰς θεραπαίνας. καὶ [illegible], τῶν δούλων, τὸ ἀμφίπολον τὴν περὶ τὴν δέσποιναν θεράπαιναν. πρόπολον δὲ τὴν προπορευομένην, ὅτι καὶ ἄρρεν ἐστὶν ὁ πρόπολος, ἐκ τῶν παλαιῶν ἀνείληπται καὶ αὐτά. ὥσπερ καὶ τὸ τὰς [illegible] ἔχειν [illegible], ὥσπερ εἱλώτων. καὶ τὸ τοὺς πέρσας δούλοις χρῆσθαι τοῖς [illegible], καὶ τὸ τοὺς Βυζαντίους, οὕτω δεσπόσαι τῶν Βιθυνῶν, ὡς οἱ Λάκωνες εἱλώτων. Θέραψ, δοῦλος, ὑπηρέτης. ὡς τὸ, θέραψ δὲ ἦν τὸν τρόπον, καὶ κόλαξ. Θέρει, [illegible]. Θέρισσα, ὁ τοῦ θέρους καιρὸς, ὡς παρὰ τὸ θάλλω, θάλασσα, οὕτω καὶ παρὰ τὸ θέρω τὸ θερίζω, [illegible]. οὕτω Γεώργιος ὁ Χοιροβοσκός. Θερίβοτος τόπος, ὁ ἔχων καὶ ἐν θέρει βοτάνας, παρὰ τὸ θέρος. [illegible] τοῦ θέρους, καὶ τὸ βοτὸν, ὃ σημαίνει τὴν βοτάνην. Θερίβοτον πεδίον, τὸ ἐν θέρει ἔχον βρῶσιν. Θερμώδους χώρας, [illegible], Λυκόφρων λέγει τὴν Αἴγυπτον. ὁ Νεῖλος γὰρ ἐρχόμενος ἐν τῷ θέρει, ἀρδεύει αὐτὴν, [illegible] τὴν αἰθιοπίαν [illegible], ἐν λιβύῃ εἶναι τὰς πηγὰς τοῦ νείλου, ὡς [illegible].

Θερειτάτη. [illegible] ἔσται αὐτοῖς, παρὰ τὸ θέρος θέρεος [illegible], ὡς τέλος τέλεος, παρὰ τὸ θέρος, θερειτέ-

τὰ ἔχοντα ῥήματα ἐν λ, ποιοῦσι τὸν μέλλοντα ἐν πλεονασμῷ τοῦ σ, οἷον βάλλω βαλέσω, μέλω μελέσω, ὀφείλω ὀφελέσω, καὶ τὰ ὅμοια. ἢ θέλω, χαίρω, βούλομαι, εὐδοκῶ. Θέμα, θέσις, τόκος, τάξις, μοῖρα. γίνεται δὲ θέμα, ἀπὸ τοῦ τίθημι, θήσω, τέθεικα, τέθειμαι, κατὰ ἔλλειψιν τέθμα, ἐκβολῇ τοῦ τ, θέμα, καὶ τροπῇ τοῦ η εἰς ε θέμα. Θεμὰν, ἄτιμος, νόθος, ὁ ἀναρχός. Θεματίζω, ἀποτίθεσθαι, καταθεῖναι. Θέμεθλα, ὀφθαλμοῦ παρ' Ὁμήρῳ, δηλοῖ τὸ ἐν βαθυτάτῳ τραχήλου. ὡς ἐπὶ τοῦ κολεμὸς ἐπιμεμηλεμένος λαιμὸν, ᾗ προσφοῦς ἐκεῖται, καὶ τὸ ἐκ δ' ὦσε φλέβα. ἐξωθεῖται γὰρ τὰ οὕτω τραχηλόθεν ἐξιόντα. ἢ θέμεθλα, τὰ ἐσώτατα μέρη. καὶ ἕδραι, βάθρα. Θέμεθλος, τὸ θεμέλιον. Θεμείλια, τὰ θεμέλια. παρὰ τὸ δέμω τὸ οἰκοδομῶ γίνεται δεμέλια, καὶ θεμείλια, πλεονασμῷ τοῦ ι.

Θεμειλιωθέντα, ἐκ ῥιζῶν ἀρθέντα. Θέμεναι, θεῖναι, ῥῖψαι. Θέμεν, ἀντὶ τοῦ θεῖναι, ἰωνικῶς. Θέμενοι, καταβαλοῦσαι. Θέμενος τὰ ὅπλα, ἀντὶ τοῦ καθοπλισάμενος καὶ ὁπλισάμενος. Θεμέρα, βεβαία, σεμνὴ, εὐσταθής. Θέμερον, σεμνόν. ἀφ' οὗ καὶ τὸ σεμνύνεσθαι, θεμερύνεσθαι. Θεμερόφρονα, συνετὸς, σώφρονα. Θεμερῶπις, ἱεροπρεπής, ἄχαρις.

Θεμιζέτω, μαντευέτω, νομοθετείτω. κρινέτω. Θεμιστεῖαι ἀμείζονος, αἱ ἐκ τοῦ θεμιστεύματος ἄκρας. Θέμις, ἡ δικαιοσύνη. παρὰ τὸ θεσμὸν, θέσμις καὶ θέμις. θέμις καὶ ἡ συμπαρεδρὸς θεός. ἡ θέμις, ἐλέγετο ἐπὶ τοῦ εἶναι τοῦ δικαίου φυλακτική, διὸ καὶ τοῦ Διὸς ἐλέγετο πάρεδρος. κλίνεται δὲ θέμιδος, καὶ δωρικῶς θέμιτος, ὅθεν τὸ θεμιτὸν, καὶ ἀθέμιτον, πλεονασμῷ τοῦ σ θέμιστος, ἀφ' οὗ ἀθέμιστος. καὶ θεμιστὸς εἶπον. ἰστέον δὲ ὅτι ἐκ τοῦ θεμίζω ἐπιζητοῦντος, γίνεται ἡ θέμις, οὗ ἡ χρῆσις παρὰ Γαζαίῳ, εἰκότως θεμιζέτω, τὸ νομοθετείτω, ἢ δικαζέτω. ὁ δὲ τοῦ Σ καὶ τοῦ τ συγγένεια, δηλοῦται καὶ διὰ τοῦ χάλυτος. ὡς γὰρ θέμιδος θέμιτος, οὕτω καὶ χάλαδος χάλιτος. ἔτι δὲ διὰ τοῦ πλεονασμοῦ. αὐτὸ γὰρ καὶ πλεῖστον, παρὰ Θεοδότῃ εὕρηται. καὶ θέμις, τὸ ἔννομον, ὥσπερ τὸ δίκαιον. ὅμως δὲ ἀμφότερα ἐπὶ θεοῦ, δίκαιον δὲ ἐπὶ ἀνθρώπων. ἢ πάλιν θέμις, ἐπὶ θεῶν. δίκη δέ ἐστιν ἐπὶ ἀνθρώπων. δίκη γάρ ἐστι κρίσις, ἣν ἄνθρωποι κρίνουσι. θέμις δὲ, δίκη ἣν οἱ θεοὶ δικάζουσι. καὶ θέμις ἀνδρῶν ἀγορὰς λύει, ἢ δὲ καθίζει, ὕστερον πρότερον. πρῶτον γὰρ τὸ καθίζειν, τοῦ λύειν. δηλοῖ δὲ ἡ γνώμη τὸ διὰ ζήτησιν τὰς ἐκκλησίας γίνεσθαι. ἐπεὶ δὲ ἄγαλμα θέμιδος ἐνόμιζον τὰς ἐκκλησιάζουσας κατέχειν, πρὸς ὃ καὶ καθίστανται φασὶ, καὶ συγείρονται. καὶ οὐ θέμις ἐστὶ παρ' Ὁμήρῳ, ἀντὶ τοῦ οὐ δυνατὸν, ὅθεν καὶ τὸ ἀθέμιστον ἐν Ὀδυσσείᾳ, ἀντὶ τοῦ δυνατὸν ἐκείνοις. ὅτι δὲ καὶ θεμίζειν ῥῆμά ἐστιν, ἐξ οὗ μάλιστα ἡ θέμις, καὶ ὅτι σύνθετος ἡ θέμις καὶ ὁ θεσμός. ἄλλο δὲ καὶ τὸ τέθμιον, ὅ ἐστι νόμιμον, δηλοῦσιν οἱ παλαιοί. Θεμίσασα, πρωτότυπόν ἐστι τοῦ θεμιστεύειν. ἐξ οὗ καὶ παρὰ Γαζαίῳ θεμιζέτω, τουτέστι νομοθετείτω, δικαζέτω. καὶ ἡ θέμις, ἧς γενικὴ δωρικὴ θέμιτος, καὶ ἀπ' αὐτῆς τὸ θεμιτὸν. θέμιστες δὲ, οὐ μόνον αἱ δίκαι, ἀλλὰ καὶ μαντεῖαι καὶ βουλαὶ, δηλοῦσι παρὰ τῶν παλαιῶν. Θέμισσα, νόμιμα. ἢ θέμισσα, τάφον, ἢ δίκαιον. Θέμιστον, δυνατόν. ὡς γὰρ χάλις χάλιδος χάλιτος, οὕτω θέμις θέμιδος καὶ θέμιτος, ἐξ οὗ καὶ θεμιτὸν καὶ ἀθέμιτον, πλεονασμῷ τοῦ σ θέμιστος. ὅθεν καὶ θεμίστιος νόμος. καὶ ἀθεμίστια ἐν Ὀδυσσείᾳ, ἄδικα. θέμις δὲ κλινομένη διὰ τοῦ σ παρ' Ὁμήρῳ, μυθικῶς θεὰν δηλοῖ. Θεμιστεύειν, χρησμῳδεῖν, ἀπὸ τοῦ θέμιν ἐσχηκέναι πρὸ τοῦ Ἀπόλλωνος τὸ μαντεῖον. ἢ θεμιστεύειν, τὸ δικαίως δικάζειν, ἢ δικαιοπραγεῖν. Θεμιστευτὴρ, νομοθέτης. Θεμιστεύοντος, ἄρχοντος, δικάζοντος.

Θέμιστες Διός φασι λέγεσθαι, καὶ δίκην ἐπὶ μαντείας τίθεσθαι. ἀγορᾶς γὰρ καὶ βουλὰς λέγειν εἶναι τὴν θέμιν. διὸ ἀντὶ τοῦ θέμιστος, τέμουρα χαλδαϊστὶ, ὅ ἐστι μαντεῖα. ἡ Ἑβραίων γὰρ κατὰ τὸ ἐφοὺδ γράφον τέμουρ, ὑφ' ὃ κεῖται ἱερὸν τὸ ἐν δηλώσει κατὰ θεσπρωτίαν. ἐξ οὗ οἱ ὑπὸ τοῦ ποιητοῦ λεγόμενοι ὑποφῆται Διὸς, ἀνιπτόποδες χαμαιεῦναι, καὶ αἱ μαντεῖαι τόμουραι. βιβλίον γάρ φασι τομούρας ὃ θέμιστας φράζειν. θέμιστες δὲ εἰ τὰ μαντεῖα, ἀλλ' αἱ βουλαὶ καὶ τὰ βουλεύματα, καὶ τὰ νομοθετήματα. τὰς δὲ γαλεώτας τομούροις, καὶ ὁ παρὰ τῷ Λυκόφρονι συνωνυμάζεσθαι τόμουρος συμφράσαντος, ἤγουν ὁ τὸ μὴ ὂν ὁρῶν μαντικῶς. Θεμίστιον, τὸ δίκαιον, παρὰ τὸ θέμις. ὅπερ ὁ μὲν Ἡρωδιανὸς προπαροξύνει. ἀναλογώτερον γάρ. ἀλλ' ἡ χρῆσις προπερισπᾷ, οἷον θεμιστεῖον. Θεμιστεύειν, ἀντὶ τοῦ χρησμῳδεῖν. Θεμιστεύεσθαι νομοθετεῖσθαι. Θεμιστεία, ὁσία. Θέμιστεν, οὐ μόνον ἀντὶ τοῦ ἐνομίσθησαν, ἀλλὰ καὶ ἀντὶ τοῦ ὑπέθεντο κατὰ τοὺς παλαιούς. παρὰ τὸ θεῖναι, τουτέστι ποιῆσαι. ἢ γίνεται λέξις ἐκ τοῦ θέμις, ὅθεν θεσμὸς ὁ νόμος. ᾧ ἐξ ἀνάγκης πειθόμεθα. θέμιστι δὲ χέρσον ἰκέσθαι, τουτέστιν ἐπάγκασιν, ἐπειδὴ ἐγγίζεσθαι εἰς γῆν. Θεμιστοπόλοι, ἄρχοντες δικασταί. Θέμιστος, δικαιοσύνης. Θεμιστοῦρον, σωτῆρα.

Θεμιστῶς, νομίμως δικαίως. Θεμοὺς, διαθέσεις, παραινέσεις. Θεμοῦν, θελήμων. Θέμωσε, τὸ ἔγγισε. καὶ θεμίζειν, τὸ ἐγγίζειν. ἐκεῖ δὲ ἐπελάσσειν, παρὰ τὸ θεῖναι. Θὲν μόνον, ἵνα παρίδωσι. ἢ ἀντὶ τοῦ τὸ ἐξ προθέσεως παραλαμβάνηται.

Θέναρ, λέγεται κατὰ τοὺς παλαιοὺς, τὸ μεταξὺ τῶν δακτύλων καὶ τοῦ καρποῦ, ἤγουν τὸ κοῖλον τῆς χειρός. ἢ κατὰ Εὔδημον, τὸ μεταξὺ τοῦ λιχανοῦ, καὶ τοῦ ἀντίχειρος, ἤγουν τοῦ μεγάλου δακτύλου, ὁμαλοῦ καὶ κοίλου. Θεναρίζει, τύπτει. Θένω, κόπτω, τύπτω. Θένοι, οἱ προσήκοντες. Θέογνις, εἷς ἦν τῶν παρ' Ἀθηναίοις τυράννων. καθὼς φασὶν ἄλλοι τε, καὶ Ξενοφῶν ἐν δευτέρῳ ἑλληνικῶν. καὶ Θέογνις, ἕτερος μεγαρεὺς τῶν ἐν Σικελίᾳ μεγάρων, γεγονὼς ἐν τῇ πεντηκοστῇ ἐνάτῃ ὀλυμπιάδι. ἔγραψεν ἐλεγεῖαν εἰς τοὺς σωθέντας τῶν Συρακουσίων ἐν τῇ πολιορκίᾳ, καὶ γνώμας δι' ἐλεγείων εἰς ἔπη δισχίλια ὀκτακόσια. ἔγραψε δὲ καὶ γνώμας παραινετικάς. ἄλλως. Θέογνις, τραγῳδιοποιὸς πάνυ ψυχρός. ὃς καὶ χιὼν ἐλέγετο. ἔστι δὲ καὶ ποιητὰς ὁ Θέογνις, ὃς ἦν μεγαρεύς. Θεογνωσία, τὸ βάπτισμα.

Θεοδίδακτοι, θεὸν διδαχθέντες. Θεοδίδακτος, διδασκαλικός. Θεοειδὴς λέγεται, ὥσπερ καὶ θεοειδὴς, οὐκ ἐπὶ αὐτοῦ τοῦ θεοῦ, ἀλλ' ἐπὶ τοῦ ἐοικότος θεῷ. καλῶς ἄρα σεσημείωται ὑπὸ τῶν παλαιῶν, ὅτι τὸ ἀμύμων, προσώποις μόνοις ἡρωικοῖς ἐπιτίθεται. ἤγουν ἐντὸς τῶν ἐνδόξων ἀνθρώπων ἐστιν ἐπίθετον. Θεοειδὴς, ταυτόν ἐστιν, ὥσπερ εἰ εἴποι ἑαυτὸν ὡς θεοῖς ἐοικότα τὸ εἶδος, ἤτοι περικαλλῆ. Θεόδμητοι ἐλικώτεροι, οἱ ὑπὸ θεῶν δεδομένοι. Θεόδμητος, ὁ ὑπὸ θεοῦ κατεσκευασμένος.

Θεοδρομῶν, κατὰ θεὸν πορευόμενος. Θεόδωρος, τὸ δῶρον τοῦ θεοῦ. Θεοδόσια, τὰ ὑπὸ θεοῦ δεδομένα. Θεόδοτα, ἱερόθυτα. Θεόδωρος. θεοδώρους ἔλεγον οἱ κωμικοὶ, καὶ ἐψεύσαντο. ἐπεὶ θεοειδὴς ὡς οὐκ ἐκ τοῦ ἑαυτοῦ ὥρας προσέρχεται. Θεοειδῶς, θείως, θαυμαστῶς. Θεοείκελος, θεοῦ τὸ εἶδος ὅμοιος. Θεοεπὴς, ἐκ θεοῦ ἐσταμένοι, ὅ λεγόμενοι.

Θεόθεν, ἀπὸ θεοῦ ἐκβαλλομένου. δεῖθεν δὲ ἐλθὸν, ἀεὶ τίθεται ἐπὶ κακοῦ, οἷον θεήλατος πληγή. Θεοὶ γάμον ἐξ ἀλέων, συνελθόντες λέγονται ἐπὶ εὐδαιμόνων γάμων. ἢ θεοὶ, οἱ ἐνδίκως δικάζοντες. θεοὶ οἱ κατ' οἰκίαν θεῖοι, καὶ θεοὶ μολοττικοὶ, ἤτοι ὅτι διαφέρει οἱ κύνες οἱ μολοττικοὶ, ἢ ὅτι ψυχοπομπικόν ἐστιν ἐν Μολοσσοῖς. Θεοίνια ἐλέγοντο, ἐν οἷς οἱ γεννηταὶ ἔθυον. τὸν δὲ Διόνυσον θεοῖνον ἔλεγον, ὡς δηλοῖ Αἰσχύλος, καὶ Ἴστρος ἐν πρώτῳ τῶν συναγωγῶν. Θεοὶ ξενικοὶ, παρὰ Ἀθηναίοις ἐτιμῶντο, οὓς καταλέγει Ἀπολλοφάνης ἐν Κρησί. Θεοκάπηλοι, οἱ αἱρετικοὶ, ὡς παραχαράττοντες τὰς ἑαυτῶν διδασκαλίας τοῖς ὀρθόφροσι δόγμασιν, ὥς περ οἱ κάπηλοι τὸν οἶνον τῷ ὕδατι. Θεοκλυτοῦσι, θεὸν ἐπικαλοῦσι, θεοκλυτοῦντες, θεοῦ ἀκούοντες, θεὸν ἐπικα-

[illegible]

[illegible]

φύω. Θεατὴς, ἐπὶ ἀγῶνος. θεωρὸς ὁ τὴν θυσίαν εἰς τὸ ἱερὸν ἀπάγων. θεωρία, ἡ θυσία. θεωρία ἡ εἰς θεὸν χολὴ, καὶ ἡ ἐν θεάτρῳ θέα, καὶ αὐτὸς ὁ ἀγών. θέα μέν τι, ἥ τε θεωρία καὶ ὁ τόπος ἐν ᾧ καθέζονται οἱ θεωροῦντες. Θεατὸν, τὸ ἐκλεκτὸν, ὁρατὸν, καὶ θεωρητόν. Θεατρεῖον, θέατρον. Θεατρίζειν, αἰσχύνειν, ἐν σκηνῇ καὶ θεάτρῳ παραδειγματίζειν. τοὺς γὰρ νικήσαντας, καὶ ἡττήσαντας τοὺς πολεμίους ἐστεφανωμένους μετὰ τῶν αἰχμαλώτων καὶ τῶν λαφύρων διὰ μέσης ὅλης τῆς πόλεως δορυφοροῦντες καὶ εὐφημοῦντες. Θεατροκρασία, ὀχλοκρασία. Θέατρον, θέαμα, ἢ σύναγμα. Θεάω θεῶ, ἄχρηστον, ὃ σημαίνει τὸ βλέπω. ὁ μέλλων θεάσω, ὁ παρακείμενος τεθέακα, ὁ παθητικὸς τεθέαμαι. καὶ ἐξ αὐτοῦ θέαμα καὶ θαῦμα, ὃ βλέπων τις ἐξίσταται. θεῶμαι, τὸ βλέπω. ἢ θεάω θεῶ. ὁ παθητικὸς γράφεται θεῶμαι, τὸ βλέπω. θέω δὲ θεῶ, τὸ θαυμάζω ποιητικῶς. ἀφ' οὗ θηεῦντο, οὐ τὸ ἐθεῶντο, καὶ τροπῇ τοῦ ε εἰς η, καὶ τοῦ ο καὶ ω εἰς ευ θηεῦντο, καὶ τροπῇ τοῦ η εἰς α δωρικῶς θαεῦντο. Θέειον καὶ θεῖον, τρίχα, φαρμακόν. Θέειον, θυμιάματος εἶδος, καθαίρειν δοκοῦντος ἢ μίασμα, διὸ καὶ δυσαίλεος κακῶν ἄκος αὐτὸ φησὶν ὁ ποιητής. ἰστέον, ὅτι οὐ μόνον διὰ θείου ἐγίνοντο καθαρμοὶ, ἀλλὰ καὶ φυτοῖς ἐχρῶντο εἰς τὸν χρησμὸν ἦν. ἀναφέρων γοῦν φυτὸν κατὰ Παυσανίαν, ἐπιτήδειον εἰς καθαρμόν. καὶ οὓς δὲ εἰς τὰ αὐτὰ ἦσαν, οὓς περιλαμβάνειν ὡς φαίνεται ἐν ἰδιαιτέροις, καὶ οἱ τὸ διοσκώδιον δὲ ἑρμηνεύοντες, φασὶν ὅτι δῖον ἐκαλοῦντο κώδιον ἢ γρὶν θύοντος Διὶ μειλιχίῳ ἐν τοῖς καθαρμοῖς, φθίνοντος μαιμακτηριῶνος μηνὸς, ὅτε ἤγοντο τὰ πομπαῖα, καὶ καθαρμῶν ἐκβολαὶ εἰς τὰς τριόδους ἐγίνοντο. εἶχον δὲ μετὰ τὰς χεῖρας πομπὸν, ὅπερ ἦν φασὶ κηρύκειον σύμβολον ἑρμοῦ. καὶ ἐκ τοῦ τοιούτου πομποῦ, καὶ τοῦ ῥηθέντος δίου, τὸ διοσπομπεῖν. καὶ τοῦτο μὲν ἴσως ἐξ ἱστορίας. ἄλλως δὲ, κοινότερον διοπομπεῖν ἢ ἀποδιοπομπεῖν, ἀφανῆ τὸν διὸς ἀλεξικακον ἐπικαλοῦντα ἐκπέμπειν τὰ φαῦλα. ὅτι δὲ δι' αἵματος ἡ κάθαρσις, αἱ ἱστορίαι δηλοῦσιν. ὁποῖα καὶ ἡ τῶν φονέων, οἱ αἵματι νιπτόμενοι, καθάρσιον εἶχον αὐτό. λέγεται δὲ ὡς οἱ περὶ τὴν ποιητικὴν τέχνην, ἐν μάλιστα οἱ τὰς πόλεις καθαίροντες, φαρμακοὶ ἀττικῶς ἐλέγοντο. καθὰ δηλοῖ καὶ ὁ Δημοσθένης. ἐνίοτε δέ φασι προσαγορεύεσθαι. τοῦ δὲ τοιούτου καθαίρειν παράγωγα τὸ καθάρσιον, καὶ τὸ κάθαρμα. ἐκεῖνο μὲν οὖν μεσιτὸν, τοῦτο δὲ ψεκτὸν. ἀφ' οὗ καθάρματα, τοὺς ῥυπαροὺς καὶ ἀποβλήτους φαμέν. καὶ ἔστιν αὐτὸ σκῶμμα ἀτιμότερον, τοῦ ἐν ἰδιώταις λύματος, ἤγουν ἀπονίμματος. ἐξ οὗ καὶ ἡ λύμη, καὶ ὁ λυμεών. ὥσπερ αὖ πάλιν τοῦ λύματος ἀφιλέστερον τὸ περίψημα, σπόγγισμα ὂν αὐτό. καὶ κατὰ τοῦτο ἐοικὸς τῷ λύματι. τὸ δὲ θεῖον γίνεται ἀπὸ τοῦ θεὸς θεῖον κατὰ παραγωγὴν ἁπλῆν, καὶ ἐν συναιρέσει θεῖον διασυλλάβως. ἐξ οὗ θειοῦσαι τὸ θυμιᾶσαι, ὡς τὸ ἐκδιάθεον. προλαβὼν δὲ τὸ ε πρὸ τῆς διφθόγγου, γίνεται θέειον τρισυλλάβως. ἐξ οὗ ἔφρα θεειώσω. ἄλλως δὲ διαλυθὲν τὸ δισύλλαβον θεῖον, γίνεται θέιον. καὶ ἐπιδοθὲν ἀπ' αὐτοῦ γενέσθαι ῥῆμα τὸ θειοῦσαι. ὅτι δὲ θεῖον ἦν ἐνταῦθα νοεῖται καὶ τὸ θεῖον τὸ λεγόμενον δηλαδὴ θεῖον ἄπυρον, δηλοῦσιν οἱ παλαιοί. καὶ θεῖον μὲν ἴσως διὰ τὸ κατὰ τὸ αὐτοῦ ἐκφυσίας καὶ τερατεῖον. ἢ διὰ τὸ ἀναγιγνώσκεσθαι ὥστε τὰ θεῖα, ἢ καὶ διὰ τὸ θεόθεν εἶναι. μετὰ προσθήκης δὲ θεῖον ἄπυρον τὸ ὀλιγόπυρον. βραχὺ γὰρ ψαύσει πυρὸς. ἢ ὅτι οὐ χρὴ πάλιν πυροῦσθαι αὐτὸ διὰ τὸ ἀσθενεῖν.

Θέειον, πλεονασμῷ τοῦ ε λέγεται παρ' Ὁμήρῳ, ἀφ' οὗ τὸ ῥῆμα θεειώσαι. ὃ θειῶσαι, τὸ θυμιάσαι. θειῖν ὁ λαιὸν. καὶ θεῖν ὅλον αὐτὰ, εὕρηται παρὰ τῷ ποιητῇ. Θείῳ καιομένοιο παρ' Ὁμήρῳ, ἔνθα πλεονάζει τὸ ε, καὶ λείπει τὸ ι. ὤφελε γὰρ εἰπεῖν, ὡς θείῳ καιομένου. ἔνθα γὰρ πρώτως πίσυν, ἐπεὶ ὄζειν θείου καιομένου ἔοικεν. Θείομαι, θεοῦμαι. ἐπὶ πρώτης, τὸ θαυμάζω παρὰ ποιηταῖς ἐν χρήσει. καὶ συλλέγεται παρὰ τοῖς κωμικοῖς, οὗ τὸ ε καὶ ὁ εἰς τὸ διφθογγον αὐτοῖς κεῖνται. τὸ δὲ ε εἰς τὸ τρίτωσαι, καὶ παιδόσεως αὐτὸ θεοῦμαι, ὁ παρακείμενος ἐθεάμην, οὐ ὁ τρίτος ἐθεᾶτο. ὁ μέλλων θεάσομαι, οὗ τὸ τρίτον τοῦ πληθυντικοῦ θεάσονται, ὁ ἀόριστος ἐθεασάμην. Θέω, θεάσω ποιητικῶς, τὸ θαυμάζω.

Θεηγόροι, θεολόγοι. Θεήλατος, ὑπὸ θεοῦ πεμφθείς.

Θεητολεῖν, θεῶν εἰκόνας ἐχόντων περιπολεῖν. Θεῖ, τρέχει. Θεῖ, ὑπόλαος φησί. Ἀριστοφάνης, νῦν μὲν γὰρ οὔτε θέομεν, οὔτ' ἐλαύνομεν. παρὰ τὴν παροιμίαν, ἐπεὶ ὅταν ἐργόμενον πάντα θεῖ καὶ ἐλαύνεσθαι, οὔτ' ἀνέμοις οὔτε κώπαις πλέομεν.

Θεῖα, σημαίνει τὴν μητέρα τοῦ σελήνης, καὶ τοῦ ἡλίου. παρὰ τὴν θέαν γέγονε θέια, καὶ κατὰ συναίρεσιν θεία. καὶ γὰρ αὕτη ἡμῖν αἰτία τοῦ θέας, καὶ τοῦ θεωρεῖν ἡμᾶς. Θεία, λατρεία, ἡ διὰ τῶν ἔργων θεραπεία. Θεῖα, θαυμαστά. Θειαζόντων, μαινομένων. ὅτε δὲ θαυμαζόντων, ὁ θεόληπτον γενομένων. Θειάζω, θαυμάζω, ἐπαινῶ, δοξάζω. Θεῖ, ἀντὶ τοῦ τρέχει, καὶ θεῖα. Θεῖα, ἱερὰ, καὶ ὀρθὰ, καὶ θαυμαστά. Θειάζω, τὸ ἐνθουσιῶ ἀμεταβάτως. θειάζω, μαίνομαι, καὶ θεόληπτος γίνομαι.

Θειάζεις. θεῶ, ὁ πρῶτος ἀόριστος ἐθείασα. θειάζεις, ὁ μετοχὴ, καὶ πλεονασμῷ τοῦ ι, θειάσας. ἢ παρὰ τὸ θειάζω, τὸ ἐνθουσιῶ.

Θείας ἀμνάμων, ὁ θορίας ἄνεμος. ἀμνάμων δὲ, ὁ ἀπόγονος. ὡς γὰρ Ἡσίοδος λέγει τοὺς θείας ἀπογόνους, οἱ ἄνεμοι. θειάζοντες, θεόληπτοι γενόμενοι. Θειάσαι ἐλαν, χαρῆ μανικῶς.

Θειασμοῦ, εὐτυχίας, ἐνθουσιασμοῦ. Θεῖα, διὰ τὸ μέτρον οὕτω γράφεται, καθὰ καὶ τὸ πλέον πλεῖον λέγεται.

Θεῖον, φαρμακὸν, ταχὺ ὂν. Θείας, κείσας. Θειότερον, θαυμαστόν. Θειλόπεδον, ὁ τόπος ἐν ᾧ αἱ σταφυλαὶ ξηραίνονται. ἢ θειλόπεδον εἶπε, βοτρύων τόπος, ξηρὸς, σταφυλῶν, ὑπάρχων ἡλίῳ ἐκκείμενος. καὶ ὡς εἰπεῖν πέδον εἴλης. ὃ ἔστι θερμότατος ἡλίῳ. ὡς καὶ ὁ ποιητὴς παρετυμολογεῖ. ἐν τῷ τέρσεται ἠελίῳ. ἢ καὶ ἄλλως εἰπεῖν καθ' Ὅμηρον, λευρὸς, ὃ ἐστιν ὁμαλὸς χῶρος, τερσόμενος ἡλίῳ. σύγκειται δὲ ἡ λέξις κατὰ ἔννοιαν καθ' ὁμοιότητα τοῦ στρατοπέδου, παρὰ τὸ ἄρθρον οὐδέτερον, καὶ τὴν εἴλην, καὶ τὸ πέδον. οἷς καὶ ὁρίσκει θειλόπεδον ἀεὶ ἄνευ ἄρθρου προφέρων, ὡς ἐγκειμένου τοῦ ἄρθρου συνθέτως τῇ λέξει. διό φασι μὴ δεῖν λέγειν τὸ θειλόπεδον, ἵνα μὴ ὡς λέγοι τις τὸ τὸ εἰλόπεδον, διπλασιάζων τὸ ἄρθρον. Θειμωνίαι, οἱ σωροὶ τῶν δραγμάτων. Θεῖναι, ποιῆσαι. ἢ θεῖναι ἐν φρεσὶν, ὑπέρβαλε τῇ ὑστέρῃ λυκάβαντι τέχνη, τὴν γὰρ νοθεύειν σύνθεσιν. νοθεύεσθαι γὰρ, καὶ ἐν φρεσὶ θεῖναι ταυτὰ δηλοῦσι. καὶ θεῖναι πέπλον ἀθήνας ἐπὶ γούνασι παλλάδος παρ' Ὁμήρῳ, ὡς καθεζομένης δηλαδὴ. ἡ θεῖναι παρὰ γούνασιν, ὑπωπίζεται. ὁ δὲ γεωγράφος ὅπου λέγει τὴν μὲν παλαιὰν ἴλιον ἠφανίσθη, τὴν δὲ νῦν βλεπομένην νεωτέραν εἶναι. μὴ ἂν δεχόμενος τὸ θεσοῦντας τὸ ἐπὶ γούνασιν, ἀντὶ τοῦ παρὰ τοῖς γόνασι. φησὶν ὅτι τὸ τῆς ἀθηνᾶς ξόανον, τὸ μὲν ἑστηκὸς ὁρᾶται. Ὅμηρος δὲ καθήμενον ἐμφαίνει. ἐν τῷ πέπλον θεῖναι ἐπὶ γούνασιν, ὡς καὶ τὸ γούνασιν ἐφίζεσθαι φίλον υἱόν. βέλτιον γὰρ οὕτως, ἢ παρὰ τοῖς γόνασιν, ὡς τὸ ἡ δ' ἄρα ἐσχάρῃ ἐν πυρὸς αὐγῇ. κάθηνται δὲ ἀθηνᾶς ξόανα καὶ ἐν φωκαίᾳ, καὶ μασσαλίᾳ, καὶ ῥώμῃ, καὶ χίῳ. λέγει δὲ Ὅμηρος, θεῖναι ἀντὶ τοῦ ἀναθεῖναι, χωρὶς προθέσεως. ὅθεν ἀναθήματα. δῆλον δὲ ὡς οὐχ ἱμάτιον ὁ τοιοῦτος πέπλος, ἀλλὰ ὕφασμα. καὶ ὅτι τὸ θεῖναι ὁμοίως κατατίθεται τὸ ὑποχείριον. ἀντὶ μὲν προσηλωκὼν λαμβάνονται. Θεῖνε, κτεῖνε, τρέχε, κτεῖνε, παῖε. Θεῖνε, τὸ τύπτε. Ὅμηρος, ὅς κέν τε θείνῃ, ἤγειρον ἀμφοτέρωθεν. ὅθεν καὶ θὶς ὁ αἰγιαλὸς, παρ' ὅσον τύπτεται ὑπὸ τῶν κυμάτων. Θεοδάμα, ὁ θεοὺς δαμάζοντος. Θεοδαισία, θεοδαίς. Θείομεν, ἀπὸ τοῦ θῶ ἀχρήστου. κοινῶς μὲν τίθημι. ποιητικῶς δὲ θείω, πλεονασμῷ τοῦ ι δίφθογγον. ἀφ' οὗ τὸ τίθεμαι, τὸ θείομεν, τὸ ἰσθμὸς, τὸ ὑφέρομεν, καὶ τὸ βεβάσμεν, ἀντὶ ὑποτακτικῶν παρ' Ὁμήρῳ. ὅθεν τὸ

 εἴδωλον

ὕδωρ ἐξαίρεσις. καὶ θάλπος ὕδωρ, ἀπροσδοκία κακοῦ, ἀπαίτησις διὰ κακοῦ παρουσίαν. καὶ θάρσος, καὶ θράσος. κἂν ἐν τοῖς ὀνόμασι πλησιάζωσι, πλεῖστον ἀπ' ἀλλήλων τῇ δυνάμει κεχώρισται ἀνδρεία τὸ μὲν φημὶ καὶ ἀπονοία. τὸ μὲν γὰρ, ἐν τοῖς παντὶ θαρσεῖν ἀνδρείου ὕδωρ, ὥσπερ τὸ φεύγειν δειλίας. τὸ δὲ οὐ πλεῖον ὁ κίνδυνος ἐπιόντι χωρεῖν, καὶ ὑφίστασθαι ἀλλὰ μὴ κατέχεσθαι, θρασέος, ὥσπερ τὸ ὑποχωρεῖν ἀσφαλείας. Θάρσυνος, τεθαῤῥηκώς. Θαρσαλέος, θρασύς, τεθαῤῥηκώς. Θᾶσσαι, ἀντὶ τοῦ θάσσαι λέγεται δυνατῶς. Θεάκιστος, θᾶσσαι φίλος ὡς καλὸν ἔοικεν. Θᾶσσος, νέος. ὅθεν θαλεπὸς οἶνος, ὁ θάσιος. Θάσσονα ἵππων, ἀντὶ τοῦ ταχυτέρους τῶν ἵππων. θᾶσσον καὶ θᾶσσον τὸ ταχέως, ἀπὸ τοῦ ταχὺς παρήχθη. ὁ πρῶτος τύπος ταχυτερός, ὁ δεύτερος ταχίων, ὁ τρίτος θάσσων, κατὰ τροπὴν θάσσων καὶ θᾶττον. ἀντιστοιχεῖ γὰρ τὰ δασέα τοῖς ψιλοῖς β, τ. Θάσιος, παῖς ἀπ' ἀρχαφόρος. ἔστι δὲ σημαδαλίς ἐπὶ τοῖς ἔργοις γινομένοις ἀπὸ ἀρχαίου τοῦ ἐξ ἀρχῆς. ποιήσαντος θαυμασμοῦ. Θάσσομαι, καθίζομαι. Θάσσω, καθίζω. Θασία, ἅλμη εἰς ἣν τὰ ὀπτώμενα ἐβάπτον, καὶ ἔχαιρον ὕλη. οἱ δὲ, καμμάτιον. Θατερίζω, ἀναβάλλομαι.

Θάτερον θατέρου, ἕτερον ἑτέρου. ἢ θάτερον, τὸ δύο τὸ ἕτερον. ἔτερον, ὅτι λέγουσιν Ἰωνες, ὅτι τὸ τ, ἐπὶ ἐπιφερόμενον σύμφωνον, οἱ Δωριεῖς εἰς α μεταποιοῦσι. τὰ ἕτερα, θάτερα φασί. ἢ πάλιν οἱ αὐτοὶ, τρέπουσι τὸ τ εἰς α, ὡς ἐν τῷ τρέχω τράχω, ἄρτεμις ἄρταμις. Θᾶττον ἀπτικοὶ, τάχιον ἕλληνες. ἔστι δὲ οὐ μόνον ἐπίῤῥημα, ἀλλὰ καὶ ὄνομα συγκριτικόν. ὁ θάττων, ὁ θάττων, τὸ θᾶττον. ὥσπερ ἐπὶ τοῦ φᾶον. ἢ θᾶττον, σημαίνει, ταχέως. ὁ θάττων ὁ ταχὺς ἠρέμα τῷ πρώτῳ τρίχα. οὗτος ἐλυμαίνετο ἐπιτυχὼν. εἴρηται οὖν ἡ παροιμία ἐπὶ τῶν ἀναιρουμένων διὰ τὴν τόλμαν. Θαῦσα, θᾶττον, ἡ δούλους κύνας. Θαυμασμὰ, τὰ ἄλλα, ἕτερα, τὰ ἴσα μέρη. Θαυμάσιος, θαυμαστός. Θαῦμα, ἔκπληξις, ξένισμα. ἢ θαῦμα ἔχω, καὶ θαυμάζειν ἔχειν, ἀντὶ τοῦ ἐθαύμασα. καὶ θαῦμα, τὸ ὑπὲρ φύσιν διὰ θεοῦ πλουτοῦμεν. παρὰ τὸ θαυμάζω, θαύμασμα, καὶ κατὰ συγκοπὴν, καὶ ἀποβολὴν τοῦ σ, θαῦμα. οἱ δὲ παρὰ τὸ θεῶ, θεῶμα, θαῦμα. Θαυμάζειν, μετὰ βοῆς ἀπαιτεῖν τι. Θαυλία, ἑορτὴ ταραντίνοις, ἀρχαῖος ὑπὸ ἀπαλὸς, παρὰ καὶ θαυλίζειν λέγειν τῇ δυνάμει.

Ζυγὰ, τὰ ἐπιτιθέμενα τοῖς αὐχέσι τῶν ζώων, καὶ οἱ πήχεις τῶν κιθαρῳδικῶν ὀργάνων, εἰς οὓς αἱ κόλλοπες ἐνεῖνται. Ζυγάδην, συνεζευγμένως. Ζύγαινα, βοὸς εἶδος, καὶ ἰχθὺς ποιός, καὶ τὸ κατὰ μέτωπον τοῖς χοροῖς τοῖς τραγικοῖς τεταγμένον. Ζυγαστροῖς. Ζυγαστροφὴν, τὰ ἄλλα χρήματα παραλιχομένους ἐν ζυγάστροις εἴασαν, ἐφ᾽ ἁμάξας κομίζειν. ἵνα ὅταν καιρὸς ᾖ, διαλαμβάνοιεν ἕκαστοι τὰ ἄξια. ζύγαστρον γὰρ, ἡ ξυλίνη θήκη. Ζύγαστρον, κιβώτιον. ζύγαστρος, κιβωτός, ὄρος, ζυγός. Ζυγεῖν, τὸ ἐπ᾽ εὐθείας κεῖσθαι τῷ κατὰ βάθος στίχῳ. Ζυγεῖς, γαμέται. κυγελαὶ, μόζ, ὄρμα, σκυθρωπάζω. Ζυγηνή, ἡ κλείς. Ζυγία, ἡ ὄρα, καὶ εἶδος κλώπος. Ζυγιανὸς, ὁ ζυγός. Ζύγιοι ἵπποι καλοῦνται, καὶ αἱ ὑποβαλλόμεναι τῷ τοῦ ἅρματος ζυγῷ. τετράρων, ὁ μέσος δεξιὸς, ὁ μέσος ἀριστερός. καὶ ἁπλῶς, ὁ μὴ παράσειρος, οὕτω λέγεται. Ζύγιος, ὁ ἐπὶ τῶν ὁμόνοιαν συζυγίαν ἀνδρὸς καὶ γυναικός. καὶ ζύγιος, τινός. καὶ ὁ ὑπὸ ζυγὸν ἵππος. καὶ ὁ φίλος ἑταῖρος. Ζυγίατης, ὁ καθήμενος ἐν ταῖς ναυσὶ μέσος. Ζυγόδεσμον, ἱμάς ἐστιν, ἢ χοινίον. ὁ δὲ Ὅμηρος κατὰ Πορφύριον λέγει ὡς ἐκ παρέλκοντος μέτρον ἐννεάπηχυ εἶναί φασι. Ζύγωθρον, ὁ συνέχων τὰς δύο θύρας μοχλός. Ζυγήστας, βότρυς. Ζυγοὶ παρὰ Ἡροδότῳ, αἱ καθέδραι. Ζυγοδεσμὸς, ἐργάτης βοῦς. λάκωνες. Ζυγομαχεῖν, κακοπαθεῖν. μεταφορικὴ ἡ λέξις ἀπὸ τῶν βοῶν πρὸς ἀλλήλους μαχομένων, τῶν μὴ συμφώνως ἐργαζομένων. ἢ ζυγομαχεῖν κυρίως, ἐπὶ τῶν ἀνίσων τὴν δύναμιν. Ἡσίοδος. Ζυγὸν, ἐν διπλάροις εὕρηται κατὰ γένος μετὰ πλεονασμοῦ. Ἰστέον δὲ, ὡς πολλαχῶς ὁ ζυγὸς. διὸ καὶ τὰ αὐτοῦ διάφορα. ζυγὸς γὰρ ἵππων, ὅθεν καὶ ἵππος ζύγιος. ζυγὸς βοῶν, καὶ τοιούτων ἄλλων. ἀφ᾽ οὗ τροπικῶς οἱ ὁμόζυγοι, καὶ τὸ διαζύγιον. καὶ τὸ ζυγομαχεῖν, ὃ ἔστιν ἀντερίζειν. ζυγὸς ἐπὶ σταθμοῦ. καθ᾽ ὃν ζυγοστατοῦντες λέγονται οἱ ἀλλαχοῦ ἐν ζυγοῖς. ζυγὸς ἐπὶ ναός. ἐξ οὗ ζύγιοι ἐρέται. ἔτι καὶ συλλαβὴ ζυγὸς κατὰ Παυσανίαν, τὸ συνέχον τοὺς δακτύλους. καὶ κιβωτοῦ δὲ, ὡς δηλοῖ τὸ ζύγαστρον, ἡ ξυλίνη θήκη. παρὰ τὸ ἐζυγῶσθαι. οἷον καλὰ ζυγάστρῳ. ἐξ οὗ παρέφθαρται τὸ κοινολεκτούμενον σύγαστρον. καὶ θύρας δὲ ζυγὸς, ὁ μοχλός. ὅθεν ἐπιζυγοῦσι θύρας. Παυσανίας δὲ οὕτω φησί, ζυγώσαι ἀντὶ τοῦ καθεῖρξαι, ἀποκλεῖσαι. Ζυγὸς παρ᾽ Ὁμήρῳ, οὐ συνήθως ἐπὶ σταθμοῦ. ζυγὸν γὰρ ἐκεῖνος οἶδεν ἅρματος καὶ ἁμάξης. καὶ ζυγόδεσμον ἱμάντα, τὸν ζυγὸν τῶν ζώων, ὃν ζυγοῦντα ζυγά. λέγουσιν οἱ παλαιοί, καὶ τὰς καθέδρας τῶν ἐρεσσόντων. ὅθεν ὑφίζυγος, ὁ ἐν ὑφει τὴν καθέδραν ἔχων. δύναται γὰρ ὑφίζυγος εἶναι, καὶ ὁ ὑφ᾽ ἑαυτὸν ἑτέρους ἔχων βασιλεύς, κατὰ τὸ ἐπὶ ζυγοῖς καθίζειν ἀρχάς, ὃ τοῦ τραγικοῦ. Ζυγὸς τὸ κανὼν τῆς λύρας, ἵνα κρατεῖ ὁ ἀριστερὰ χείρ. χέλυς δὲ, τὸ πλατύ. μαγὰς δὲ, ἵνα ὁ ἦχος γίνεται τοῦ πλήκτρου. καὶ ζυγὸς, ὁ τῶν βοῶν. ζυγὸν δὲ οὐδετέρως, τὸ ζύγιον. Ζυγὸς ἐν τοῖς τακτικοῖς, τὸ ἐκ παρακειμένων ἀλλήλοις πλάτος. ἐγκάρσια καθέδρα, τὰ τοῖς ζώοις ἐπιτιθέμενα, καὶ τὸν ζυγὸν ἐν θαλάμῳ, τῶν μουσικῶν ὀργάνων ὁ πῆχυς, τὸ τὰς ἰσορροπίας διακρῖνον σκεῦος, καὶ οἱ χηλαὶ τοῦ ἐν οὐρανῷ σκορπίου. καὶ ἡ ζυγοστασία δὲ κρίσιμον, καὶ ὁ ἀφωρισμένος ἰσὰς δύο δακτύλους πλαγίοις ἐπὶ τῶν συλλαβῶν. Ἀριστοφάνης, τὸ λεπτολίδιον πίεζε τὸν ζυγόν. καὶ ζυγὸς ὁ νόμος, παρὰ τῇ θείᾳ γραφῇ. ὡς ὁ Χριστός, ἄρατε τὸν ζυγόν μου, ὅτι χρηστὸς ἐστὶ, καὶ τὸ φορτίον μου ἐλαφρόν. καὶ ζυγὸν τὴν τοῦ νόμου βαρύτητα φησὶν ὁ Δαβίδ. Ἄλλως. Ζυγὸς, παρὰ τὸ δύο ἄγειν, δυαγὸς καὶ ἐν συγκοπῇ δυγὸς, καὶ ζυγός. σημαίνει δὲ τρία, τὸ ἅρμα τῶν ἵππων. ὡς τὸ, ἵπποις δὲ ζυγοῦ ὑπὸ ἦφαν. καὶ τὴν τῆς κιθάρας πῆχυν. ὡς τὸ, ἐπὶ δ᾽ ἀργύρεον ζυγὸν ἦεν. σημαίνει καὶ τὰς τῶν ἐρεσσόντων καθέδρας. εὕρηται καὶ ἐπὶ τῶν ἁμαξῶν, καὶ ἐπὶ ἁρμάτων, καὶ πλοίων, καὶ τὸ λεγόμενον ὑπὸ τῶν κοινῶν τάλαντον. ἔτι, ἡ τρυτάνη, καὶ ὁ τῆς κιθάρας πῆχυς. καὶ ὧν ἐξῆπται οἱ κόλλαβοι. οὕτω δὲ λέγονται οἱ πάσσαλοι, ὧν ἐξάπτονται αἱ χορδαί. παρὰ τὸ κεκολλῆσθαι. Ἰλιάδος ι. Ζυγοστατεῖσθαι, ἴσουσθαι. Ζυγοφορούμενα, ἐν ζυγῷ σταθμιζόμενα. Ζυγῷ. Σιμωνίδης ὅπλων τοὺς ἄνδρας ζυγῷ, καθ᾽ ἕκαστον ἀπολυόμενος, ἵνα ἀλίσῃ ὑπαλθεῖν προστεταγμένον. Ζυγώθρισον, ἴσωσον, ζυγοστάτησον. ἐκ τοῦ ἀπορούμενον. ἔπειτα πάλιν ἀποσκόπησον. καὶ οἷον ἀνοίγειν ἀποπειράθητι. ὃ γὰρ ἄνω, τοῦτο ἐστὶ, τὸ ἔσωθεν ἀνοίγειν τὴν θύραν. οἱ δὲ ζυγώθρισον, συνάρμοσον, σύμπηξον. Ἀριστοφάνης νεφέλαις. Ζυγῶσαι, τὸ συναρμόσαι, παρὰ τῷ λυκόφρονι. καὶ ζυγῶσαι, τὸ ζεῦξαι. Ζυγώσω, δαμάσω, ἐλάσω, καθίξω. Αἰσχύλος, Κίρκῃ σατυρικῇ. Ζύθιον, ἀλφίτου πόσις. Ζύθος, οἶνος ὁ ἀπὸ κριθῆς γινόμενος. Ζύμη, τὸ λεγόμενον προζύμιον. φύραμα δὲ, τὸ μεμιγμένον ἄλευρον. Ζυμίας ἄρτος. καὶ ἀθήνησι ζυμίτης ἄρτος οὕτω καλεῖται. Ζυμῶ, μαλάσσω, φυρῶ.

ΤΟ Ζ ΜΕΤΑ ΤΟΥ Ω.

Ζωάγρια, λύτρα ζωῆς, θανάτου ἀγρεύματα, καὶ οἷς ζωὸς ἀγρεύεται. ὅθεν καὶ κρεάγρα, καὶ πυράγρα ὀνόματα, οἷς λαμβάνεσθαι τὸ πῦρ, ἢ τὰ κρέα, ἢ ζωάγρια τίνειν, τὰ ὑπὲρ ζωῆς παρασχεθέντα δῶρα παρέχειν. Ζωανιρὸς, ἀνὴρ πρὸς ζωήν. Ζωαρεῖ, τὰ πρὸς ζωὴν ἀρκοῦντα. καὶ ζωαρκεῖς, ὁμοίως. Ζωᾶς, ζωῆς. Ζῶ, βιῶ, βιώσκω, διάγω, ἀφίεμαι. καὶ ζῶ ζῇς ζῇ, ζῶμεν ζῆτε ζῶσι. ἔζων ἔζης ἔζη, ζῶν, ζῶντος, ζῆν, ἐν χρήσει. Ζώγα, εἶδος βοτάνης. Ζωγεῖον, εἶδος ἀκανθίου. Ζῶ, κινοῦμαι. ἀφ᾽ οὗ ζώω παρὰ ποιηταῖς, ὡς ἀνύω, πλώω, ἐρύω. ἀφ᾽ οὗ ζώοντι, κατὰ ἀκολουθίαν τοῦ ἀνάλογον,

τὰς τὰ ἄλλα διαβαίνει τὸ νόημα. ὁ δὲ μῦθος πατέρα Διὸς καὶ ἀνθρώπων, ἄλλως τὸν Δία φησὶ λέγων. δεῖ κατὰ τοὺς ὁμηρικοὺς μύθους τῶν ἄλλων δαιμόνων οἱ μόνοι θνητῶν πατέρες λέγονται, ὡς Ποσειδῶν, κύκλωπος καὶ ὦτου καὶ ἐφιάλτου. ἀφροδίτη, αἰνείου. θέτις, ἀχιλλέως. καὶ ἄλλοι ἄλλων. οἱ δὲ μόνον ἀθανάτων, ὡς κρόνος, Διός, ἥρας, ἅλς, ποσειδῶνος. Ζεὺς δὲ μόνος καὶ ἀθανάτων πατήρ. οἷον ἀπόλλωνος, ἑρμείας, ἄρεος. καὶ θνητῶν δέ, οἷον σαρπηδόνος, αἰακοῦ, μίνωος, ἡρακλέους, περσέως.

Ζεύς, καὶ μοῖρα παρ' Ὁμήρῳ, ὡς ἐκ παραλλήλου, ἐν ἐκ ταὐτοῦ εἰπεῖν, κατὰ ἀλληγορίαν. Ζεύγνυσθαι, ἀντὶ τοῦ γεύεσθαι, δωρικῶς. Ζεφυρία πνοή, ἡ τοῦ ζεφύρου. καὶ ζεφύριον πνεῦμα. ζέφυρος γάρ, λίβος ἄνεμος. Ζέφυρος, ὁ ἀπὸ δυσμῶν πνέων. ζόφος γὰρ καλεῖται ἡ δύσις, καὶ ζέφυρος ἄνεμος ὁ ζωοφόρος, ὁ τὴν ζωὴν πᾶσι φέρων. ὑπὸ γὰρ θέρει πνέοντος αὐτοῦ, οἱ καρποὶ αὔξονται. Ζέφυρον μέγαν λέγει Ὅμηρος, τὸν σφοδρόν. Ζέω, τὸ βράζω. καὶ λέγεται οὐ μόνον ἐπὶ ὑδάτων, ἀλλ' ἐπὶ τοῦ θυμοῦ. εἴρηται δὲ κατὰ μίμησιν τοῦ κατὰ τὴν θερμασίαν τῶν ὑδάτων ἤχου. Ζέω, τὸ γέω, δωρικῶς.

ΤΟ Ζ ΜΕΤΑ ΤΟΥ Η

Ζῆ, ἀντὶ τοῦ ζῆθι. Σιμωνίδης. καὶ ζεῖ, ἀντὶ τοῦ ζέει. Ζήβ, ὄνομα κύριον ἑβραϊκόν. Ζεβούλ, εἴδωλον ἀκκαρίτης. Ζέβυρθα, ὄνομα ἔθνους. Ζεῖ ἐπὶ πῦρ, ἐπὶ τῶν μάλα γινομένων. Ζῆθι, ὁ παρατατικὸς ἔζων ἔζης ἔζη. ἔζην ἔζης ἔζη. καὶ ὁ προστακτικός, ζῆ. Σιμωνίδης, ἔρπε καὶ ζῆ. καὶ δεῖ ἐκτείνειν ζῆ. καὶ δεῖ ἐκτείνειν τὸ φθ. τὸ γὰρ ζῆθι, ἐκεῖ ἐπέκτασιν ἔχει τὴν θι συλλαβήν, καὶ μετὰ τῆς συν προθέσεως σύζηθι. τὸ αὐτὸ καὶ δίχα τῆς θι συλλαβῆς, ζῆ λέγει ἡ τραγῳδία. οἷον, πλούτει κατ' οἶκον, καὶ ζῆ. ὥσπερ καὶ τὸ δρᾶ μονοσυλλάβως, καὶ αὐτὸ ἀντὶ τοῦ πρᾶττε. οἷον, ἄνθρωποι μὴ δρᾶ τοὺς τεθνηκότας κακῶς. Ζηλήμονες, φθονεροί. Ζηλήμων, ὁ ζηλούμενος. Ζῆλος, ἡ μίμησις τοῦ κρείττονος. ἔστι δὲ καὶ ἡ λύπη. ζῆλος δὲ καὶ ἡ κίνησις, καὶ ἐπὶ μὴ ἐπίγνωσιν ὁ ζῆλος. ζῆλος δέ, καὶ ὁ φθόνος. Ζηλοῖ, φθονεῖ, ἐρίζει, μισεῖ, μιμεῖται. Ζηλοτυπεῖν, ἀντὶ τοῦ μισεῖν γράφει Αἰσχίνης. ἢ ζηλοτυπεῖν, τὸ εἰς ἀπέχθειαν ἐλθεῖν ἀλλήλοις. Ζηλοτυπία, ἡ τοῦ ἀνδρὸς κατὰ τῆς οἰκείας γυναικὸς εἰς ἕτερον ἄνδρα ὑπόνοια. ἡ ζηλοτυπία δὲ λέγεται ἐπὶ τὸ ἕτερον ἐπιτυχόντα, ὧν αὐτὸς ἐπιθυμεῖ. Ζηλοῦν δύο σημαίνει, τὸ φθονεῖν, καὶ τὸ μακαρίζειν. ἢ ζηλοῦν, τὸ σὺν ἐπιθυμίᾳ μιμεῖσθαι, ὡς παρ' Ἡσιόδῳ. Ζήλου, μιμοῦ, αἰτιατικῇ. Ζηλωτής, ὁ μιμητής, ἀπὸ τοῦ ζηλόω ζηλῶ, ζηλώσω. τοῦτο δὲ ἀπὸ τοῦ ζῆλος. ἔστι δὲ ζῆλος, διέγερσις τῆς ψυχῆς ἐπὶ τὰ καλὰ πρὸς παραδείγματα ὁρώσης. σημαίνει δὲ ζῆλος καὶ τὸν φθόνον. ἐξ οὗ ὁ ζηλότυπος.

Ζηλώματα, ζηλοτυπίας, ὥσπερ καὶ τὰ νῦν ζηλώματα, καὶ τὰ τῶν ἐπίσημα, καὶ πόσιν λέχος ἀπεστερημένην. Ζηλῶ καὶ ζηλοτυπῶ. ἀλλὰ ζηλῶ μὲν ἀντὶ τοῦ μιμοῦμαι λέγουσιν ἀττικοί, καὶ ἀντὶ τοῦ μακαρίζω, καὶ ἀντὶ τοῦ φθονῶ. ὡς ζηλοῖ δέ τε γείτονα γείτων, παρ' Ἡσιόδῳ, κεραμεὺς. ζηλοτυπεῖν δέ φασι τὸν ἄνδρα τὴν ἑαυτοῦ γυναῖκα, καὶ τὸν ἐραστὴν τὸν ἐρώμενον.

Ζηλῶ, ζηλώσω, τὸ μιμοῦμαι, ἢ μιμήσομαι. ζηλῶ ζηλώσω, τὸ φθονήσω. ἐξ οὗ παρὰ τῷ ποιητῇ, ζηλήμονές ἐστε θεοί. Ζηλώσεις, μιμήσασθαι. Ἡρόδοτος, ὧν εἵνεκα παρ' ἡμῖν ζηλώσεις τὴν δίαιταν ἐπιχειρήσεις, οὐδὲν ἄμεινον διακείσονται, τῶν ἐκείνων προσιόντων, ἢ τὴν ἀκοήν, ἢ τὴν ἐλίβορον. Ζηλωταὶ παρὰ ἰουδαίοις, οἱ τοῦ νόμου φύλακες, ἀνεῖλον τοὺς ζηλωτὰς εἰς τὸ ἱερόν, καὶ φρουρὰν αὐτοῖς ἐπιτηδεῦσαι παρεκάθισεν. Ζηλῶ σε τῆς εὐβουλίας, ἤγουν θαυμάζω τὴν συμβουλίαν σου. Ζηλῶ σε τοῦ νοῦ, ἤγουν μακαρίζω. λαμβάνεται καὶ ἀντὶ τοῦ ἐπαινῶ. Ζηλωτὸς ἦν, ὁ πολὺ τῶν ἐναντίων ἐπλεονέκτει. Ζηλωτός, μακαριστός, ἐπαινετός.

Ζηλωτότατον, πάντων κάλλιον. Ἀριστοφάνης, ζηλωτότατον δ' ἐν ἀνθρώποις διάξεις. Ζημιάτης, ἀργός. Ζημία, ἡ τῆς οὐσίας. καὶ ζημία, ἡ τῶν ὄντων πρὸς τὸ ζῆν μείωσις, ἡ τοῦ κέρδους καὶ τῆς ὠφελείας ἧττα, ἢ τὰ πρὸς τὸ ζῆν μειοῦσα, ἡ τὴν ζωὴν μειοῦσα, τουτέστι τὴν περιουσίαν. παρὰ τὴν ζέσιν, τὴν γινομένην ἀπὸ τοῦ θυμοῦ, ἐν τῷ ἐκτίνειν τὰ ἀπαιτούμενα, ἢ δαμία τις οὖσα, ὁ καλλίων. καὶ ζημία, θυσία τις, ἣν ἀποδιδόασιν ὑπὲρ τῶν γεγαμηκότων ἐν θεσμοφορίοις. Ζημίαν λαβεῖν, ἀντὶ τοῦ ζημιωθῆναι. Ζημιῶ, ἀπ' αἰτιατικῆς εἰς δοτικὴν συντάσσεται. οἷον, ζημιῶ σε χρήμασι. καὶ ἀπ' αἰτιατικῆς εἰς αἰτιατικὴν μετὰ τῆς εἰς προθέσεως. οἷον χρήματα αὐτὸν ἐζημίωσαν. εὕρηται καὶ μετὰ γενικῆς. οἷον, ζημιῶ σε χρημάτων, καὶ ζημιῶ σε χρυσίου, καὶ χρυσίῳ, καὶ εἰς χρυσίον, καὶ ζημιῶ σε θανάτῳ, καὶ χρημάτων.

Ζῆν, ἀντὶ τοῦ ζῆν, καὶ ζωὴν ἔχειν. Ζῆν, οὐ ζῆν ἐν τῷ ἀπαρεμφάτῳ. Ἀριστοφάνης, πτωχοῦ μὲν γὰρ βίος ὃν σὺ λέγεις, ζῆν ἐστι μηδὲν ἔχοντα, τοῦ δὲ πένητος ζῆν φειδόμενον. Ζηνοφάνους ἱερεύς, ἤγουν ἀνεκπλήρωτος σημαίνοντος, ἐκπρεπὲς ἐν τοῖς τὸν ἥλιον ταῖς θεαῖς ἀποτίθεσθαι, καθάπερ τὴν νῦν. Ζηρυνθία, ἡ ἀφροδίτη. καὶ ζηρύνθιον, καὶ ζήρυνθον ἄντρον, ἐν ᾧ ταῖς κύνας ἔθυον. Ζήρυνθον, ἄντρον θρᾳκικόν, ἑκάτης. Ζῆς παρὰ τὸ ζάω, δευτέρου προσώπου τοῦ ζάω, κατὰ κρᾶσιν δὲ τοῦ α καὶ ι εἰς η, ζῇς. καὶ ζάω, τὸ πνέω. Ζῆσαι δὲ λέγουσι καὶ ἀναβιῶναι τὸν ἐραστήν, τὸν ἐσχάτην. Ζήσω. ζάω ζήσω, πεινῶ πεινάσω, διψῶ διψήσω. τὸ δὲ πεινάσω καὶ διψάσω, κατὰ τροπὴν δωρικὴν γέγονε τοῦ η εἰς α. τὰ δὲ ῥήματα τῆς δευτέρας συζυγίας τῶν περισπωμένων, ἔχοντα ἐν τῷ ἐνεστῶτι σύμφωνον, χωρὶς δὲ τοῦ λ καὶ τοῦ ρ, διὰ τοῦ η ἔχει τὸν μέλλοντα, ὁμοίως τὰ ἐνεστῶτα παράγωγα εἰς μι, κἂν τε λ ἔχῃ, κἂν τε ρ, διὰ τοῦ η ἔχει τὸν μέλλοντα. οἷον πλῶ πιμπλῶ πίμπλημι πλήσω, χρῶ κιχρῶ κίχρημι χρήσω, τῶ τίθημι. Ζητεῖν, ἀπὸ τοῦ ζητεῖσθαι. Ζητέω, πολυκωλῶ. Ζήτημα, λόγος ἀνθρώπων καὶ διαλέξεις, ἐπὶ προβλήματα. Ζητῶ, ἐρευνῶ. Ζητέρων, ζητούντων. γράφουσι δὲ ἔνιοι ζητητόρων.

Ζητηταί, ἀρχὴ ἐν Ἀθήναις κατὰ καιροὺς καθισταμένη, ὥστε τοὺς ἀδικοῦντας τι δημοσίᾳ δεῖ ζητεῖν. Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους. καὶ Ἀνδοκίδης ἐν τῷ περὶ ἐνδείξεως. οὗτος δὲ ὁ ζητῶν, καὶ ζητητὴς αὐτὸς ἐγίνετο, ὥς φασι Λυσίας, ἐν Ἐρατοσθένους, καὶ Πλάτων ὁ κωμικὸς πρέσβεσιν. Ζήτης, ὁ τοῦ Βορέου παῖς. Ζητόωνται, ἀντὶ τοῦ ζητηθήσονται. Ζήτησις, ὄρεξις λογικὴ τῶν ἐφ' ἡμῖν καὶ οὐκ ἐφ' ἡμῖν. Ζητηρίων, ὄργανα τὰ βασανιστήρια. οἱ δὲ προσάγουσι πῦρ, καὶ τὰ τῶν ζητηρίων ὄργανα. ὁ δὲ τὰ πραχθέντα ἐξεῖπεν. Ζητρεῖον, τὸ τῶν δούλων κολαστήριον, εὔπολις. Ζήτρειον προσαγορεύοντες, κατὰ δευτέρας ζήτρειον, ὃ δηλοῖ φασὶ δούλων δεσμωτήριον, ἤγουν μυλῶνα. ἐκεῖ γὰρ ἐδεσμεύοντο οἱ δοῦλοι. αὐτὸ γὰρ κατεῖλεν παρὰ τὸ δεῖν, ὅ ἐστι δεσμεῖν, τοῦ τρεῖν, ἤγουν φοβεῖσθαι, συντεθὲν εἰς δίτρειον, ζήτρειον γέγονε, μεταπεσόντος τοῦ δ εἰς ζ. ἔστι δέ φασι καὶ ζεῦγος τρόπος ἐγένετο, συγκειμένου καὶ αὐτοῦ παρὰ τὸ δεῖν, ἔστι δεσμεῖν, καὶ τὸ εἴργειν. σημαίνει δέ φασι ζώνην καὶ χιτῶνα ἢ χλαμύδα, ἣν μέχρι καὶ ἐς ἄρτι παραδιδόντες οἱ λυχνιακοί, ζωστῆρα λέγουσιν. Ζητρόν, τὸ δεσμωτήριον. Ζητῶ, τὸ ἐρευνῶ, καὶ ἐξετάζω. οἷον, ζητῶ τι τῶν ἐμῶν, ἀντὶ τοῦ ἐξετάζω καὶ ἐπιζητῶ, αἰτιατικῇ συντάσσεται. Ζητῶν, ζητῶν γὰρ ὄψον. ὀψῶ, τὸ θοιμάτιον ἀπώλεσα, ἐπὶ τῶν ἀτυχησάντων. Ζηλοῖ, ἴσος.

δὲ μαχόμενοι ἐναλλὰξ ὄλβιον εἶναι, ἀττικὸν τὸ σχῆμα. λέγεται ὁ Δίος, ὁ οὐράνιος, ὁ ἐνεχόμενος, ὁ τι ποιῶν, παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας ρ. ὦ Ζεῦ πάτερ Ἰδηθεν μεδέων κύδιστε μέγιστε, ἠέλιός θ' ὃς πάντ' ἐφορᾷς, καὶ πάντ' ἐπακούεις. καὶ ποταμοὶ καὶ γαῖα καὶ οἳ ὑπένερθε, καμόντας ἀνθρώπους τίνυσθον ὅς κεν ἐπίορκον ὀμόσσῃ, καὶ τὰ ἄλλα, ἐν γ' τῆς Ἰλιάδος. ἰστέον δὲ, ὡς τὸ ἠέλιος θ' ὃς πάντ' ἐφορᾷς, ἀττικῶς εἴρηται ἀντὶ τοῦ ἥλιε. τὸν δὲ Δία πάντων πρότερον καὶ μάλιστα τὸν Ἰδαῖον, μάρτυρα καλεῖ καὶ αὐτὸν ὡς τοῦ ζῆν αἴτιον. ζωογόνος γὰρ ὁ Ζεὺς ἀήρ. οὐ τιμωρεῖσθαι θέλει τοὺς ἐπιορκήσαντας, τοὺς ποταμοὺς καὶ τὴν γῆν καλεῖ, τοὺς μὲν ὡς τῆς ὑγρᾶς τροφῆς δοτῆρας, τὴν δὲ τῆς ξηρᾶς. καὶ οὕτως αὐτοῖς ἐπαπειλεῖ τὰ τοιαῦτα, καὶ πάντας οὖν ἐπικαλεῖται τοὺς θεοὺς, καὶ τοὺς ἁπανταχοῦ, τούς τε ἐμφανεῖς καὶ τοὺς ἀφανεῖς, ἤγουν τοὺς αἰθερίους, τοὺς ἐν ὑγροῖς, τοὺς περὶ γῆν, καὶ τοὺς ὑπὸ γῆν.

Ζεύγλα, διάβροχα ξύλα, ἃ τῶν βοῶν ἐπιτίθενται, καὶ τέμαχος ἐκ πλαγίας ἠλειμμένος. Ζευγηλάτης, γεωργός. Ζευγηλάτης, μεταβάτης, ἡνίοχος. Ζευγήσιον, τῆς ἐν Ἀθήναις πολιτείας τίμημα οὕτω καλούμενον. ἦν δὲ διῃρημένον ἡ πολιτεία εἰς τέσσαρα τιμήματα. ἢ ζευγήσιον, τὸ τοῦ ζευγίτου τέλος. ζευγίσιον δὲ τέλος, τ. Ζευγίτης, μεταβάτης. Ζεύγλη, τὸ ἄκρον τοῦ ζυγοῦ, καθ' ὃ ἐντιθέασι τοὺς τραχήλους τὰ ζῷα.

Ζευγλόδεσμον, ὁ ἱμὰς τοῦ ζυγοῦ. Ζεῦγμα, τὸ ζεῦγος, καὶ τὸ ζευκτὸν, ἀπὸ τοῦ ἔζευγμαι, οὗ τὸ θέμα ἄχρηστον. ἀπ' αὐτοῦ δὲ, τὸ ζεύγνυμι. ἢ ζεῦγμα, ἡ τοῦ ποταμοῦ διάβασις, ἡ γέφυρα. εὐτελὴς δὲ, ζεύγνυνται δὲ ῥωμαϊκῶς ἀπαντώματα τῶν ποταμῶν τὰ ῥεύματα. καὶ ζεῦγμα, οὗ τὸ χεῖλον, ἢ ἡ ἐζευγμένη χηλὴ ἐν ποταμῷ, ἢ ἐν θαλάσσῃ. Θουκυδίδης ἐν τῇ ἑβδόμῃ, τὸ ζεῦγμα τοῦ λιμένος. καὶ ζεῦγμα, τὸ ζεῦγος. ἢ ζεῦγμά ἐστιν, ὅταν διάφορα κῶλα μιᾷ συναπτεθῇ λέξει, ἢ μετ' αὐτὰ τεθείσῃ, ἢ πρὸ αὐτῶν. οἷον, τῶν μὲν τὸν λόγον, τῶν δὲ τὴν πρᾶξιν, τῶν δὲ τὸν τρόπον, τῶν δὲ τὸ ἦθος μιμησάμενος, ζευγνύει τὰ κῶλα τῷ μιμησάμενος. ἄλλως. Ζεῦγμά ἐστιν ὅταν ἰδιότητος ἀπόδοσις ἐν διαφόροις λέξεσι. καὶ ζητεῖται ἐν αὐτῷ τέσσαρα διάφορα σύστασιν ὀνόματα. σύνδεσμος, ἡ ἰδιότης, καὶ αὐτὸ ὁ ἰδιότης ὑπάρχουσα μετ' ἐκείνου, ᾧ ἔστιν ὡς προτέρῳ ἀποδίδοται, καὶ ἀποτάξεως ἀπ' ἐκείνου ᾧ ἐστιν ὡς ὑστέρῳ ἀποδίδοται, ἐν τρισὶ παρεπομένοις. γίνεται δὲ τὸ ζεῦγμα ἐν προσώπῳ, ἐν γένει, ἐν ἀριθμῷ. τριπλοῦν δέ ἐστι τὸ ζεῦγμα, ἀπὸ τοῦ ἄνω προτέρου, ἀπὸ τοῦ μέσου, ἀπὸ τοῦ κατωτέρου. ἀπὸ τοῦ ἄνω προτέρου, ἐν ᾧ ἰδιότης προτίθεται. οἷον, λέγω ἐγὼ καὶ σύ. ἀπὸ τοῦ μέσου. οἷον, ἐγὼ λέγω καὶ σύ. ἀπὸ τοῦ κατωτέρου. οἷον, ἐγὼ καὶ σὺ λέγω. Ζεύγνυμι, τὸ ζευγνύω. ὁ μέλλων, ζεύξω. ὡς οὖν ζευγνύω ζεύγνυμι, οὕτω καὶ ὀλλύω ὄλλυμι, καὶ γανύω γάνυμι, καὶ πάντα τὰ οὕτω παραγόμενα. ἰστέον, ὅτι τὸ ζεύγνυμι, δείκνυμι, καὶ τὰ ὅμοια τῆς τετάρτης συζυγίας τῶν εἰς μι, μέχρι παρατατικοῦ κλίνεται, ἐν ὁριστικοῖς τε καὶ προστακτικοῖς, καὶ ἐν τοῖς ἀπαρεμφάτοις, προστακτικοῖς τε, καὶ ἐν ταῖς μετοχαῖς εὑρίσκονται. Ζαγνύουσι κάλλιον, ἢ ζευγνῦσι. τὸ δὲ ζευγνύουσι κοινόν. ὑψόωσι καὶ κεντοῦσι ἢ κεντέουσι, καὶ διακονέουσι ἢ διακονοῦσι. Ζευγνύω τὸ ῥῆμα, καὶ ἔστι τοῦ αὐτῆς διαθέσεως οἷον μίγνυμι λίθοις ξύλα, ἤτοι, καὶ συνάπτω καὶ συναρμόζω, κοινωνοῦμαί τε τῶν βελῶν. Ζεύγει, βρέχει, ὀμβρεῖ. Ζεῦγος, πᾶν τὸ ἐζευγμένον, καὶ ὄχημα, καὶ ἐπὶ τριῶν καὶ τεσσάρων ἵππων. ἢ ζεῦγος τετράορον, Εὐριπίδης Ἠλέκτρᾳ, καὶ Σοφοκλῆς στεφάνῳ, χαρίτων τρίζυγον. Ἀριστοφάνης, ὥσπερ καταχρηστικῶς ἐπὶ τῶν τριῶν τὸ ζεῦγος ἔθηκε. ζεῦγος φιλοῦλον. παραλείπεται δὲ, ὅτι καὶ τριζύγοις ἅρμασί ποτε ἐχρήσαντο, καὶ ὅτι λέγουσι τὸ ζεῦγος καὶ ἐπὶ τρισὶ καὶ τέτρασι. ἄλλως. Ζεῦγος, οὐ μόνον τὸ ἐκ δυοῖν ζῴων ζευγνύμενον, ἀλλὰ καὶ τὸ ἐκ πλειόνων. καὶ γὰρ Ἰσοκράτης. τέθριππον ζεῦγος εἶπε, καὶ Αἰσχύλος. ὥς τε καὶ ἐκ τεσσάρων καὶ ἐκ πέντε ἢ, ζεῦγος αὐτὸ καλεῖται. γίνεται δὲ παρὰ τὸ ζεύγω, ὡς τεύχω τεῦχος. ζεῦγος ἡμιονικὸν ἢ βοεικόν. ζεύξαντες τὴν λεγομένην κλινίδα, ἢ δίφρον ὅμοιον λίθῳ, τὴν τὰς νύμφας μέθοδον ποιοῦνται. Ζαμενέω, πνέω, φρυάσσω. Ζεῦξαι, τὸ τῇ συνάψαι εἰς ἅμαξαν ἄξαι, ἢ ἡμιόνους εἰς ἅρμα, ἢ εἰς μόλισμα. καὶ τὸ πρᾶγμα, ζεῦξαι καλεῖται. λέγεται δὲ καὶ ζεῦξαι, ἀντὶ τοῦ ζυγώματος ἀφελῆσαι. Ζαβαντίδαι, γένος ἱερατικῶν παρὰ Ἀθηναίοις.

Ζευξιδία, ἡ Ἥρα. οὕτω τιμᾶται ἐν Ἄργει. φασὶ γὰρ, ὅτι ἐπεὶ μεταστὰς ἀπὸ τοῦ Ἄργους, εἰς Αἴγυπτον ἔπεμψε βοῦς τῶν ἐν Ἄργει βασιλεύοντι. καὶ τὴν τοῦ σπόρου ἐργασίαν ἐδίδαξεν, ὁ δὲ ζεύξας ἐπὶ τῷ σπόρῳ τὰς βοῦς Ἥρας ἱερὸν ἀνέθηκεν. ὅτι δὲ τοὺς ταύρους συνέβαινε βλαστάνειν καὶ ἀνθεῖν, ὅθεν Ἥρας ἐκάλεσαν.

Ζευξίλεως, ὁ ὑπεζευγμένοι εἰσὶν οἱ λαοί, ἢ ζευκτὸς λαός.

Ζευξίππη, κατὰ μὲν Ἀλκμᾶνα, ἡ μήτηρ τοῦ παλαιοῦ ἐκαλεῖτο. κατὰ δὲ Ἑλλάνικον, τρεμοῦ. στέμμος δὲ ἐν τῷ περὶ λεσβιακῶν, θόασαν τὴν τεθνεῶσαν, οὐδὲ παλαιοῦ, ὥς φησι Πορφύριος.

Ζεὺς, ὁ ἀὴρ ἐξ οὗ καὶ ὁ νιφετὸς, ὁ ὑετὸς εὐδία. παράγεται δὲ παρὰ τὸ ζῶ, ἢ παρὰ τὸ διώκω. ἔτι δὲ καὶ τὴν ζωὴν. ὁμοίως δὲ καὶ ζὰν ζανός, κατὰ τὸ μέγας μεγάν. καὶ ὁ ζεύς, ὁ αὐτὸς κατὰ τὴν αὐτὴν ἐτυμολογίαν λέγεται. Ζεὺς παρὰ τοῖς παλαιοῖς, εὐθείας συνεκλίνετο πολλαῖς. Δὶς γὰρ, ἐν γενικῇ Διὸς, καὶ Ζὴν καὶ Ζὰν καὶ Ζὰς καὶ Ζὲς, καὶ βοιωτικῶς Δεύς, καὶ Δάν. καὶ τοῦ Ζεὺς ὑπὲρ αἰτιατικὴ παρὰ Πολυκράτει τῷ Κρητῷ μονοσύλλαβος ζεῦν ἐξηνεγμένος. Ζεὺς, οὐ μόνον ὁ κατὰ μῦθον πατὴρ ἀνδρῶν τε θεῶν τε, οὐδὲ μόνον ὁ καθ' ἱστορίαν Κρητικὸς βασιλεὺς, ἀλλὰ καὶ ὁ κατὰ ἀναγωγὴν ἀὴρ ἢ αἰθὴρ, καὶ ἥλιος καὶ οὐρανὸς, καὶ ἡ εἱμαρμένη, καὶ ἡ ψυχὴ τοῦ παντὸς, ἢ καὶ πρόνοια. καὶ ὁ νοῦς δὲ ὁ κατὰ ἄνθρωπον, καθωμίλεται τοῖς παλαιοῖς. ἔστι γὰρ Ζεὺς ἱστορούμενος, μυθευόμενος, ἀλληγορούμενος. τὸ δὲ εἰς νοῦν, ἤτοι ψυχὴν τοῦ παντὸς, εἰς ἀέρα, εἰς ἥλιον, εἰς οὐρανόν. Ζεὺς ἐς ὕστερον ἔρχεται ἐπὶ τοὺς ἀμύμονας Αἰθιοπῆας μὲν ἱστορικῶς ἑρμηνεύουσι, λέγοντες, ὅτι ἐν Διοσπόλει, μέγιστόν ἐστι Διὸς ἱερὸν, ἀφ' οὗ λαβόντες Αἰθίοπες Διὸς ξόανον, καὶ ἄλλων δαιμόνων σὺν αὐτῷ, κατά τινα καιρὸν τεταγμένον περινοστοῦσι τὰ κατὰ τὴν Λιβύην, καὶ πανηγυρίζουσι πανδήμως ἐπὶ δώδεκα ἡμέρας, ἐπεὶ καὶ δώδεκα παρ' αὐτοῖς οἱ θεοί. τὸ γοῦν φασὶν εἰς δωδεκάτην, ἀλλὰ τοιοῦτον ἐθῶν ἑκαστος, ὃν καὶ Αἰγύπτιον γενεαλογοῦσι, πλάττω ἐνταῦθα δωδεκάμηνον ἀποδημίαν Διὸς ἐξ ἱστορικῆς ἀφορμῆς, καὶ νῦν εἰς τὸ πλάσμα ἐλθών. ὥσπερ ζεὺς Διὸς, παρὰ τὸ ζῶ, ἢ παρὰ τὸ διώκω. ἔτι δὲ ζὴν ζηνός. ὁμοίως δὲ καὶ ζανός. οὕτω καὶ ζεὺς ὁ αὐτὸς, κατὰ τὴν αὐτὴν ἐτυμολογίαν διδάσκουσιν οἱ παλαιοί. ὡς δὲ ὀξύνεται ὁ ζὰς, καὶ τὸ ν ἔχει ἐν τῇ γενικῇ, δῆλον ἐκ τοῦ παραδόντος, ὅτι καθὰ πρὸς πρώτως ὄνομα ποταμοῦ καὶ πόλεως, καὶ φῶς φωτὸς κύριον παρεξεσμένην μετοχὴν ἐν τῇ γενικῇ, κατὰ τὸ φὰς φαντὸς, οὕτω καὶ ζὰς ζαντὸς, ὃ σημαίνει τὸν Δία. Ζεὺς καταχθόνιος, ὁ ᾅδης, ὡς ἐὰν εἴποι ὁ ὑπόγειος. εἰ δὲ κατὰ παλαιὰν ἱστορίαν, περί τινα καιρὸν ποταμὸν ξενικὸς ποσειδῶνος ἦν ἱερὸν, ἰδοὺ τὸ ζεὺς, ὅτι τὸ ζῆν, κατὰ τὸ ὄνομα Διὸς καὶ Ποσειδῶνος καὶ ἄλλων τῶν ἀδελφῶν. ἐπειδὴ δὲ περιφανὴς ὑπεροχὴ ὡς ζωοποιοῦντων, ὁ σύζυγος ἀπὸ τοῦ φθείρειν, ὅ ἐστι φθεῖραι, ῥήματος αἰολικοῦ. ἢ ἀπὸ τοῦ φονᾶ, ὡς τοῦ θανατοῦν. ἢ κατὰ φύσιν ποιοῦντων, ὁ διὰ τοῦ φθείρεσθαι δηλοῦται. ἢ κατὰ θέσιν, ὁ διὰ τοῦ φόνου παρασημαίνεται, καὶ ταῦτα μὲν πρὸς ἀλληγορίαν. ἄλλως δὲ Ζεὺς καταχθόνιος, ἤγουν ὑποχθόνιος. ὁ τοῦ μύθου πλούτων, περιφανὴς δὲ ἅπαντας αἰδώς. Ζεὺς ἐνταῦθα πατὴρ ἁπλῶς ἐλέχθη, διὰ τὸ τοῦ ἀέρος ζωογόνον. ἀλλαχοῦ δὲ, πατὴρ ἀνδρῶν τε θεῶν τε, ὅτι καθολικόν. οὐ μόνον στοιχείων καὶ ἄστρων καὶ ὅλως τῶν θειοτέρων, ἀλλὰ καὶ ἀνδρῶν, τουτέστιν ἀνθρώπων ὡς ἂν μέρος. ἀπὸ δὲ τῶν ἀνθρώπων τοῦ ζωογονεῖν γένους, καὶ

Ζάκυνθος, λέγεται μὲν [illegible] [illegible]

Ζὰλ, μέγα, [illegible]. Ζάλη, [illegible]. Ζαλακῶ, [illegible]. Ζαλεῦ, [illegible]. Ζαλεῦ, [illegible]. Ζαλαίνω, [illegible]. Ζαλμώλης, [illegible].

Ζαλεύκου [illegible]

[illegible] Ζάλη, [illegible]

Ζάλη, [illegible] Ζαλὸν, [illegible]. Ζάλματος, [illegible]. Ζαμβύκη, μουσικὸν ὄργανον.

Ζαμίτιον, [illegible]. Ζαμ λος, μεγάλως [illegible]. Ζαμενής, [illegible]

Ζαμῶται, [illegible]. Ζαμία, [illegible]. Ζάμολξις [illegible]

Ζανὸς, [illegible]

Ζαπεδὸν, [illegible]. Ζαπεδον, μέγα [illegible].

Ζαπεδὸν, μεγάλως [illegible]. Ζάπλουτος, [illegible]. Ζατέων, [illegible]. Ζαπλεθὲς, [illegible]

Ζαρὲς, [illegible]. Ζατεῖ, [illegible]. Ζατρέφης, [illegible]. Ζαπεδὸς, [illegible]. Ζατεῦμαι, [illegible]. Ζατεῖν, [illegible] [illegible]. Ζατεῦσαι, φυρῶσαι, φράσαι, ζημιῶσαι, [illegible]. Ζανάτω, [illegible]. Ζαφεγγὴς, λαμπρὰ, [illegible]. Ζαφελὲς, ὁ ἀφελής [illegible] Ζαφελῶς, [illegible]

Ζαχάσας, [illegible]. Ζαχεῖς, ἰσχυρὸν, [illegible].

Ζαχρεῖς, ὁ ἄγαν [illegible]. Ζαχρεῖς [illegible]

ΤΟ Ζ ΜΕΤΑ ΤΟΥ Ε.

Ζέα, [illegible]

Ζειὰ, [illegible]

Ζεῦγος, [illegible]

Ζεὺς, [illegible]. Ζευγηλατεῖν, [illegible]

Ζεῦξις, [illegible]

Ζεύγνυμι, [illegible]

Ζεφυρός, [illegible]

Ζέω, [illegible]

Ζήλος, [illegible]. Ζήμιον, [illegible]

Ζῆμα, [illegible] λέμματον

[illegible]

ΤΟ Ε ΜΕΤΑ ΤΟΥ Ω.

[illegible]

φρένων, ἀπὸ τοῦ μὴ δύνασθαι ἔχεσθαι διὰ τὰς ἀκάνθας. ὡς ἀθεράπευτος, γράφεται διὰ τοῦ ι, ὡς ἀγαγαντῖνος. καὶ ἐχῖνος, πόλις θεσσαλίας, καὶ ἄλλος ἐν χαλκηδόνι, καὶ ἐν ἀκαρνανίᾳ, ὡς ὁ καλλίστρατος. οἱ διαιτηταὶ τὰ γραμματεῖα τῶν μαρτύρων, ἃ ἐστιν ἐμαρτύρησαν κατασημηνάμενοι. καὶ ἀριστοφάνης, κατέαξ ἐχῖνον. ἐχῖνος, κύκλον τρίβραχυς. καὶ διὰ τοῦτο παροξύνεται παρ᾽ Ὁμήρῳ.

Ἔχις, ὁ ὄφις. Ἔχλυσιν, ἐκλυσιν. Ἔχμα, τὸ σύστημα. καὶ ἔχμα ἐχμάζω, τὸ κωλύω καὶ ἐπέχω. καὶ ἐχμάζει, κατέχει, εἴργει.

Ἐχμάζω, κωλύω, συνέχω, συνίζω, κρατῶ, διασμῶ. Ἐχμασθεν, ἐπέχες, κατέχες. Ἔχματα, αἱ τοῦ ὁλοοιτρόχου λίθου συνοχαί, ὡς λέγεται ἐν τῷ ν τῆς ἰλιάδος. γίνεται δὲ ἀπὸ τοῦ ἔχω, τὸ συνέχω, καὶ δηλοῖ συνεχόν. ἣν ῥήξας ὁ πολὺς ὄμβρος κατέῤῥηξε τὸν ὁλοοίτροχον. προϋπάρχει δὲ αὐτοῦ ὁ ἐχμός, ἐξ οὗ τὸ ἔχμα. ὁμοίως τῷ λισμὸς λίσμα, καὶ βριχμὸς βρίχμα. ἔστι δὲ ὁ μὲν ἐχμός, ὄχετος. ὁ δὲ ἐξ αὐτοῦ συνοχμὸς χυτός τε τῷ πυργῷ, καὶ ἔχματα πύργων, οὐ μόνον τὰ ἐπέχοντα, ἀλλὰ καὶ αἱ συνοχαί. ὡς καὶ ἐν τῷ πύργης ἀνεμοδίας ἔχματα, καὶ ἀμάρας ἐξέχματα βάλλων. γίνεται δὲ τὸ μὲν ἔχμα, ἐκ τοῦ ἔχω. ἀφ᾽ οὗ καὶ συνοχή, καὶ συνοχμὸς ὁδοῦ, ὁ τόπος, καὶ πλεοναμῷ [illegible] συνοχμός. καὶ νοχμὸν δ᾽ ἔχον νότατα. πλὴν δὲ τὸ ἔχμα ἐχμάζειν, τὸ κωλύειν καὶ ἐπέχειν. ἐχμάσαι, κατασχεῖν, εἶρξαι.

Ἔχματα, τὰ κρατήματα, στηρίγματα, ὑποθέματα. καὶ τὰ κωλύματα. ἔχμα βελέων, ἤγουν τὸ κώλυμα. Ἔχμενος, ὑποτεταγμένος. Ἔχοανον, ἐπίκειρον. Ἐχόμενον, πρότερον εἴμαρτο. Ἔχοιν, συνέχοιεν, ἀντέχοιεν. Ἐχολώθησαν, ὠργίσθησαν. Ἐχόλωσεν, ὡς ὀργὴν ἤγειρεν. Ἐχόμενα τρίβα, πλησίον, ἐγγυτάτω. Ἐχόμενοι, ἐφίζοντες. Ἐχόμενον, ἐξεχόμενον, ἀπεχόμενον. Ἔχον, εἶχον, ἔλαυνον, ἐφύλασσον. Ἔχοσι, ἔχουσι. κρῆτες. Ἔχοντες ἐγκλήματα, ἀντὶ τοῦ κατηγοροῦντες. Θουκυδίδης. πρῶτον οὖν ὧν ἐγκλήματα ἔχοντες οἱ κορίνθιοι, ἐπίμονον εἰς ἐπίδαμνον. Ἔχοντες, οἰκοῦντες. Ἐχόντων, ἀντὶ τοῦ ἐχέτωσαν. Ἔχου, μετανοοῦ, φρόντιζε. Ἔχραον, ἐπεβάρησαν. καὶ ἔχραε κάλλει, ἐπεβάρησε πρὸς τὸ βλέπειν. Ἐχράετε παρ᾽ Ὁμήρῳ, ἀντὶ τοῦ ἐβαρύνετε, ἐπεισπεσόντες ἐβιάσασθε. Ἔχραον, ἐπέκλυσαν, ἐπέθεντο, ἐβαρύνοντο, κατὰ βίαν ἀθρόοι προσῆλθον. Ἔχραε, ἔφυε. Ἔχρησεν, ἐπέτυχεν. Ἐχρήζομεν, ἔφασαν. Ἔχρησεν, ἐμαντεύετο, ἢ ἐδεήθη. Ἔχρισεν, ἤλειφε, ἐκέντησεν. Ἐχρεματίσθη, χρησμὸν ἐδέξατο. καὶ ἐχρήσθη, ὁμοίως. Ἐχρῆν, ἥρμοζεν, ἔπρεπεν. Ἐχρῆσθαι, χρησμὸν ἐδόθη, καὶ ἀντὶ τοῦ ἐλάλησεν. καὶ ἔχρησε, λαμβάνεται καὶ ἀντὶ τοῦ ὑπέθετο, καὶ ἐλάλησεν, ἀπὸ τοῦ χρῶ ῥήματος, οὐκ ἀπὸ τοῦ χρήζω, ὃ δηλοῖ τὸ δέομαι. ἀπὸ τούτου ὄνομα χρησμός, κυρίως μὲν ὁ διδασκόμενος. ἔστι δ᾽ ὅπου λέγεται, καὶ ὁ λογισμός. Ἔχρω, ἀντὶ τοῦ ἐχρώννυσο, παρὰ Ἀπολλωνίῳ. Ἐχρίμπτετο, ἤγουν ἐπλησίαζεν. ὡς τὸ, ἐχρίμπτετ᾽ αἰεί, ἐπλησίαζεν, ἐχρίμψαν ὁμοίως. Ἔχρισεν, ἤλειψεν, ἐκέντησεν. Ἐχρίμψεν, ἐπέλασεν, ἐπλησίασεν. Ἐχρῶντο, ἐλάμβανον, ἐξελάμβανον.

Ἐχρηματίσθη, χρῆμα ἐδέξατο, ἐχρήσθη. Ἐχρησμῳδήθη, ἐχρηματίσθη. Ἐχύθη, ἐχέθη. Ἐχόμενον, ἤρτημένον. Ἐχόμενον, ἀντὶ τοῦ ἐχόμενον ἐστίν, ὅπερ ἁρμονίαν ἐχόμενον. Ἐχυρά, ἀσφαλῆ. Ἐχυρῶσαι, τὸ διὰ χειρὸς ὅρκον συνθέσθαι, καὶ κρατῦναι. Ἐχυρόν, δυσανάῤῥηκτον, ἀσφαλές. Ἐχυρωθέντες, αἱ στενωπαὶ φρουροῦσι, ἢ ἀσφαλῶς ἐν φρουρᾷ.

Ἐχύρωσαν, ἐχυρὰν ἐποίησαν. Ἐχύρωμα, ὁ ἀσφάλεια.

Ἐχυρῶς, ἀσφαλῶς, ἰσχυρῶς. Ἐχυρώτατον, ἀσφαλέστατον. Ἔχω, τὸ κέκτημαι, καὶ τὸ ἐλαύνω, συνήθως αἰολικῇ συντάσσεται. Ἔχω, τὸ δύναμαι, ἀπαρεμφάτῳ. ὡς τὸ, οὐκ ἔχω λέγειν. Ἔχω τὸ διάκειμαι ἐπιῤῥήματι, ὡς τὸ καλῶς ἔχω. ὅτε δὲ ὁ γενικὴ προσετέθη τοῖς μέσοις ἐξ ἑκάτερον τὸ ἔστιν, οἷον καλῶς ἔχω τοῦ σώματος, ἢ δοτικῇ, ὡς τὸ, ὁ δὲ ξένε ἐπιτηδείως μοι ἔχει. ἢ αἰτιατικῇ συντάσσεται τοῖς κατὰ, ὡς τὸ, εἰ μὲν οὕτως ἔχον ὁ ἄνθρωπος ἀθάνατον τὸ σῶμα, παρ᾽ Ἀριστοτέλει. Ὅμηρος, ἐπὶ δ᾽ αὐτῷ πάντα ἔχω μὴν χρήσιμα, εἰς τὸ δαιμονίω τί μοι ἐπέχεις. δῆλον γὰρ ὅτι καὶ ἐκεῖνο τοιοῦτόν ἐστι τῷ, τί δὲ ποτε κατ᾽ ἐμοῦ ἔχεις, τουτέστιν ὁρμᾷς, ἐλαύνεις. Ἔχω κακῶς ἀπὸ τοῦ σώματος, καὶ ὀφθαλμόν. Ἔχω μετὰ μετοχῆς χρόνου παρεληλυθότος, παρῳχηκότα σημαίνει, οἷον ἔχω ποιήσας ἀντὶ τοῦ ἐποίησα. μετὰ δὲ μετοχῆς ἐνεστῶτος, ἀντὶ ἐνεστῶτος. οἷον ἔχω ποιῶν, ἀντὶ τοῦ ποιῶ. Ἔχω δεῖσαι πολλὰ σοῦ, ἀντὶ τοῦ κολάζω σε. Ἡρόδοτος, ἔχω ὑμῖν παρὰ πάντων δεῖσαι. Ἔχω, τὸ κέκτημαι, νέμομαι. Ἐχώλωσεν, ἐκλινεν. Ἐχόμεθα, ἀπεχόμεθα, ἀντεχόμεθα, ἀντιλαμβανόμεθα. Ἔχω μετὰ τῆς περὶ προθέσεως, ἀντὶ τοῦ κεῖμαι λαμβάνεται. οἷον ἔχω περὶ τροφήν, ἔχω περὶ μάθησιν. ἀντὶ τοῦ κεῖμαι εἰς τροφὴν καὶ εἰς μάθησιν. καὶ κοινῶς, ἐπειδὴ ὅτι βίβλος ἐστὶ αὕτη, καὶ ἡμεῖς ἔχομεν περὶ τοὺς λόγους.

Ἔχω ἀγρόν, ἢ οὐσίαν πολλήν. ἔχω, καὶ τὸ δύναμαι, καὶ τὸ φέρω, καὶ τὸ κρατῶ, ὡς ὁ Ὅμηρος, αἵματ᾽ ἔχων ἐν χερσίν. ἔχω καὶ τὸ κατοικῶ. Ἀριστοφάνης ἐν νεφέλαις, ἣ μακρὰν λίμνην ἔχοντι. ἔχω καὶ τὸ ἀνέχω, ὡς ὁ αὐτὸς Ἀριστοφάνης, ἐν τῷ αὐτῷ δράματι. ὦ δέσποτ᾽ ἄναξ ὃς ἔχεις τὴν γῆν μετέωρον, ἀντὶ τοῦ ἀνέχεις, καὶ ἐξηρτημένην ἔχεις. ἔχω καὶ τὸ περιβέβλημαι, καὶ ἐνδύομαι. Ἀριστοφάνης ἐν πλούτῳ, σεμνῶς ἔχεις δὲ ἀληθῶς αὐτὸ ποικίλα. καὶ τὸ μὴ κακὸν ἔχοντα οἴκοθεν ἐμὲ τὸν κακοδαίμονα, ἀντὶ τοῦ περιβεβλημένον, καὶ φοροῦντα. Ἔχω διὰ μνήμης πάντα ἃ ἐπάθομεν, καὶ ἔχω συνδούμενον, ἀντὶ τοῦ συγγινώσκω. καὶ ἔχω σοι χάριν, ἀντὶ τοῦ οἶδά σοι χάριν, καὶ εἴσομαί σοι χάριν, ἐπὶ τοῦ μέλλοντος λέγουσιν ἀττικοί, ἀντὶ τοῦ εὐχαριστῶ σοι. ὁμοίως ἔχε μοι χάριν, γνῶσί μοι χάριν, ἀντὶ τοῦ εἰδέναι, εὐχαρίστει μοι, καὶ τὸ ἔχω τοῦ σώματος, γενικῇ συντάσσεται. ὁ ἐξέχω, γενικῇ. ὁ κατέχω, καὶ συνέχω, καὶ ἐπέχω, καὶ περιέχω, δοτικῇ. τὸ προέχω, ἐπὶ δοτικῇ ματος. καὶ μετέχω καὶ ὑπερέχω γενικῇ. προσέχω δέ σοι τὸν νοῦν, καὶ παρέχω σοι τόδε, ἀπὸ δοτικῆς εἰς αἰτιατικήν. ὁμοίως καὶ ἔχομαι, τὸ ἅπτομαι, καὶ ἐξέχομαι, καὶ περιέχομαί σου. καὶ ἀνέχομαι τὸ ὑπομένω, καὶ ἀντέχομαι τὸ ἀντιποιοῦμαι. καὶ ἀπέχομαι κρεῶν. τὸ δὲ ἐνέχομαι δοτικῇ. καὶ ἔχομαι ἀντὶ τοῦ κρατοῦμαι παθητικῶς. Ἐχόμεθα δισσυλλάβως ἐν τῷ ξ τῆς ἰλιάδος, ἢ ἀντὶ τοῦ ἐπεχόμεθα, ἢ μᾶλλον ἀντὶ τοῦ ἀπεχόμεθα μάχης. Ἔχων, φέρων, εἰκὼν, κατέχων. Ἐχώσατο, ὠργίσθη, ἐχολώθη.

ΤΟ Ε ΜΕΤΑ ΤΟΥ Ψ.

Ἐψαφάλατο, ἐχρήσατο. Ἐψάλασεν, ἔτυψεν. Ἐψαλάσθητο, ἔψαυσεν, ἐκινήθη. Ἐψάλατο. ψάλλω, μέλλων ψαλῶ, παρακείμενος ἔψαλκα, ὁ μέσος ἔψαλα. ὁ παθητικὸς ἔψαλται, καὶ ἰωνικῶς ἐψάλαται. Ἐψάναι, αἱ τῶν λαχάνων δέσμαι. Ἐψάνη, ἐψητόν, λεπτός. Ἔψανον, ἁπαλὸν καὶ ἀπίρομενον. τὸ δυσώδεον, οὕτω Πλάτων. Ἔψατο, ἐκελεύθησαν. Ἔψεαι, ἀκολουθήσεις. Ἐψέ, κρόνος.

Ἐψία, γέλως, παιδιά. Ἑψὴν βρῶμα λέγεται, καὶ ἑψεῖν χύτραν. Ἕψεο, ἀκολούθει, ἕπου. Ἐψεσί μοι ἐλπίδες, καὶ ἐψεύσθην τῆς ἐλπίδος. ψεύδομαι δὲ τὸ δὲ παθητικῶς, ὡς ὁ Θεολόγος, ἐψευσάμην ὁμολογῶ τὴν ὑπόσχεσιν. καταψεύδομαί σου τόδε, ἤτοι κατὰ σοῦ ψευδῶς λέγω. Ἕψεται, ἀκολουθήσει, ἀκολουθεῖ. ὁ ἕψεται, ἀκολουθήσουσι καὶ ἕψεαι, ἀκολουθήσεις. Ἐψεύσθη ἐνταῦθα, ἀπέτυχον. Ἔψαλον, ἄνθος καὶ σίσυμβρον παρὰ τῷ ἱπποκράτει. Ἔψησα, ἄνθος ἔνιοι σίσυμβρον καλοῦσιν, ἄλλοι σκόλυμον. Ἐψόωνται, κατασκεπάζονται. Ἐψητέ, τὰ μικρὰ ἰχθύδια. Ἐψιάασθαι, ἡ λοπάς, ὁ [illegible] χύτρα. Ἐψητόν, εἶδος ἰχθύος μικροῦ.

σαίμασιν. Ἐχεμίον, ἐρίγον, καὶ ἐχέμυον. Ἐχετίδος, τελιύτασι. λάκωνες. Ἐχεφρόνεσσι, ἐνηχεῖσιν. Ἐχεκί-λιον, κυλίκιον. Ἐχέμεν, ἔχειν. Ἐχενηΐς, εἶδος ἰχθύος. εἴρηται δὲ, ἀπὸ τοῦ ἔχειν καὶ κρατεῖν τὰς ναῦς. ἐχενηΐς καὶ ὁ κρα-τῶν τὰς ναῦς ἄγκυρα. ἄγκυραν γὰρ ἐπὶ τῆς ἐχενηΐδος, λέγομεν ἄλλως. Ἐχεπευκὲς, τὸ οἷον ἔχον πεύκης δηλαδὴ πικρίαν. καὶ γὰρ πικρὸν καὶ τῆς πεύκης τὸ δάκρυον. ὅθεν ἴσως καὶ τὸ πι-κρὸν [illegible] πρὸς ὁμοιό-τητα τῆς ἐρυθρελάνης. ἀφ' οὗ βέλος ὀξυτόνως [illegible]. τὸ ἐχεπευκὲς, ὅπερ ἐχίπικρον. [illegible] τὸ θανάσι-μον, καὶ ἐκτίμνον τῆς βίας ἀν βληθέντα, [illegible] [illegible] οὐκ ἔτι [illegible]. [illegible] ὅτι ἡ πίτυς [illegible] οὐκ [illegible] μόνα [illegible], ἀλλὰ [illegible]. ὅθεν καὶ παροιμία, [illegible] πίτυος [illegible]. [illegible] Ἡρόδοτος [illegible] ὅτι πίτυς μόνη [illegible] [illegible] ὁμοίαν ποιήσαντα, διὸ καὶ ὁμοίως πάθος [illegible]. Ἐχεπευκὲς βέλος, ἤτοι ἐχέ-πικρον, κατὰ τὴν παλαιάν. [illegible] τὰ βέλη πεύκη. [illegible] σύντομος γίνεται, καὶ τὸ πικρὸν [illegible]. Ἐχέπωλος, ὁ ἔχων ἵπ-πους. Ἐχέσαιμοι, ἱππικοί, ἱπποτρόφοι. Ἐχέσπεροιμεν, [illegible]. Ἐχεσμίαι, [illegible]. Ἐχέτευ, ἀπόστη. Ἐχέτω, κατεῖχω. Ἐχέ-σφιν, ἅρματιν, ἢ μᾶλλον ἐχέσφιν. Ἐχέτη, [illegible]. Ἐχέτλην, ἀροτριᾶν. Ἐχέτλαις, ἀροτριάμασι, [illegible]. Ἐχέτλη καλεῖται, τὸ κατόπιν ξύλον, [illegible] ἀρό-τρου [illegible]. Ἐχέτω. Ὅμηρος, [illegible] ἡμέρας [illegible]. [illegible] αὐτὸ [illegible]. Ἔχετε, ἐγχαιμεῖν. Ἔχετος, βασιλεὺς ἦν τῆς [illegible] [illegible] [illegible] [illegible] [illegible].

[illegible]

λέξις, ἀπὸ τοῦ ἀκανθῶς ἔχειν τὴν [illegible] γνωμήν, ὅ ἐστιν ἐπιμε-λῶς. Ἐχίδν, ἀντὶ τοῦ ἐχίτων. ἢ ἐχίτων, ἀντὶ τοῦ εἶχεν, διὰ τὸ [illegible]. Ἐχίτος ὑβριστὴς. ὄνομα κύριον τοῦ ἐχίτω. οὗ Ὅμηρος, ὡς ὁμωνύμου μέμνηται. Ἐχίτω, κρατείτω. Ἀριστοφάνης, ἐχέτω δὲ [illegible] αἰθὴρ. κόμας δὲ ταύτης [illegible].

Ἐχίφρων, ὁ ὑιὸς τοῦ νέστορος [illegible], παρὰ τὸ ἔχειν φρόνη-σιν. Ἐχέφρον, φρόνιμος, συνετός. Ἔχαιν, ἐχειν, κα-τέχειν. Ἐχίνεν, ἐσχέθη, ἀνεχέθη. Ἔχαι, κατέχουσιν. Ἐχι φρεδεῖν, ἀντὶ τοῦ μνημόνευε. Ἐχίφυγα, ἰφθὴ, εἶχε φυ-γήν. Ἔχειν, ἐχιδνῶν. Ἔχρια, ἐχρῆν. ἐπικῶς. Ἐχό-μενον, παλαιῶς. ἔφη ὁ ποιητὴς. ἔφη δὲ [illegible] ἐχάρη. ἢ μᾶχό-χαρις χαρίεντος. χαίρομαι δὲ οὐ λέγει, ἀλλὰ χαίρω. Ἔχων, ὁ πλούσιος, καὶ κλίνεται ἔχοντος. Ἐχυρώδεστερον, ἀνθρῶν ἰσχυρό-τερον, ἐχυρώτερον. Ἐχύραστον, [illegible]. Ἐχθεῖ, ἐχθραί-νει. Ἐχθαίρω, οὐ δηλοῖ μόνον τὸ μισεῖν, ἀλλὰ καὶ τὸ μισεῖν [illegible]. ὅθεν φασὶν οἱ μεθ' Ὅμηρον. Ἐχθαίρω ποιητικὸν, μι-σῶ κοινόν. ἀφ' οὗ μῖσος [illegible], ὁ παρὰ τοῖς ποιη-ταῖς ἔχθος. ἐχθαίρω [illegible]. καὶ ἐχθαίρω [illegible], ἀντὶ τοῦ ἔχθραν πρὸς αὐτὸν ἔχω. ἐχθαίρω δὲ ποιητικῶς τὸ μισῶ. γράφεται δὲ ἄνευ [illegible] διφθόγγου. ἐχθρὸς μοι ἐστὶν ὁ δεῖ-να, κατὰ ἁπλοῦν δηλοῖ. ἐχθιστος δὲ τῶν ἀνθρώπων, κατὰ [illegible], ποιητική. Ἐχθιστη, μισητή. Ἐχθαίρω, μεγάλως θαυμάζειν. Ἐχθὲς, ὅπου καὶ χθὲς μονοσυλλάβως λέγεται, [illegible]. Ἐχθραί, ἐχθαί-ρω, ἐχθρῶ, ἔχθρα. [illegible] ἐχθαίρω. Ἔχθιμα, μισήμα-τα. Σοφοκλῆς τυράννοις. Ἔχθιον, ἐχθρότατον, μισητότατον. Σοφοκλῆς, [illegible] ἔχθιον κακῶς. Ἐχθίστην, μεμισημένην, μισ[illegible], ἐχθροτάτην. Ἐχθοδοπῆσαι, ἢ ἀπὸ τοῦ ἔχθω τὸ μισῶ γίνεται, ὃ ἀπὸ τοῦ ὄπω τὸ βλέπω, [illegible] [illegible] ἐχθοδοπῆσαι, καὶ ὁ τὰ πρὸς ἔχθος φωνῶν. Ἐχθοδοπὸς, ὁ ἐχθροπιός. Ἔχθει, ἔχω. Ἐχθήμενος, μισούμενος. Ἔχθος, τὸ μῖσος. καὶ ἔχθη-μα, τὸ μίσημα. Ἐχθραίνειν, μισεῖν. Ἐχθρὸς, [illegible] πρόθεσις ἐπὶ τὸ βλάπτειν. ὁ ἐχθρὸς κυρίως, ὁ πρῴην φίλος ὤν, καὶ ὕστερον καταστὰς εἰς ἔχθος. πολέμιος δὲ ἁπλῶς, ὁ μεθ' ὅ-πλων χωρῶν. [illegible] ἐχθροῖς συνίθεσαν, εἰς καταλλαγὴν φέρει.

Ἐχθρῶσαι, ἐχθροὺς γενέσθαι. ἐχθρωθεῖ φασιν, αὐτὴν καὶ τὸν θηρῶν [illegible] θατέρω [illegible]. ἢ ἐχθρὸς, πᾶς ὁ [illegible] βλάπτων [illegible]. ἐχθροῦ δὲ ἴδιον βλάπτειν καὶ [illegible] βυλόμενον. Ἐχθρωδῶς, ἀπεχθῶς, μισητῶς, κακῶς. Ἐχθ-σαι, ἐξημίασαι. Ἐχθῦσαι, [illegible]. Ἔχθω, τὸ μισῶ. ἔχθος, τὸ μῖσος. ἐχθαίρω, ὃ μισῶ. καὶ ἐχθαίρομαι, τὸ μι-σοῦμαι. πάντα ἀπὸ τοῦ ἔχθω, τὸ μισῶ. Ἔχιγγος, [illegible]. Ἔχιδνα, ὄφις. Ἐχιδνῶδες, χίλια ἐρημιαῖα. Ἐχινᾶς, [illegible]. Ἐχινεὺς, ὁ ἰσθύων ὁ ἐχίνοις. τοῖς δὲ μεθ' Ὅμηρον, [illegible] ἐχινάς. καὶ ἀπ' αὐτοῦ αἱ καλούμεναι ἐχινάδες νῆσοι, ἃς [illegible] ὁ ποιητὴς [illegible]. οἱ [illegible] τὰς ἐχινάδας [illegible]. Ἐχίνοπες, ἀκάνθας εἶδος. [illegible] τὸ ἐπέχειν τὴν [illegible], τὸ βαλλόμενον εἰς αὐτάς. ἢ ὅτι ἔχει θαλασσίαν [illegible]. Ἐχῖνος, ὁ ἀκανθόχοιρος, παρὰ τὸ συνέχειν ἑαυτὸν [illegible], [illegible] [illegible] [illegible]. ἐχῖνος καὶ τοῦ βοὸς ἡ γαστὴρ, παρὰ τὸ ἐπέχειν ἐν ἑαυτῇ τὰς τρο-φάς. ἐχῖνος καὶ λίθος ὁμοίως. ἐχῖνος καὶ ἀγγεῖόν τι, ὡς ὃ τὰ γραμματεῖα τὰ πρὸς τὰς δίκας [illegible]. καὶ πόλις [illegible], [illegible]. [illegible] μαίνεσθαι καὶ μύρος [illegible]. εἴρηται δὲ ἐχῖνος ὁ θαλάσσιος, καὶ ἄλλως, ἀπὸ τοῦ ἐχέιν ἐαυτὸ, τὸ σφαιροειδὲς [illegible]. ἢ ἐχῖνος κατὰ ἀντί-φρασιν

σφυρία. Ἐφρασάμην, συνεῖδον, ἔγνων. Ἐφράσθη, ἀντὶ τοῦ συνῆκεν, ἔγνω, ἐνόησεν, ἐπενόησεν, ἀνεστοχάσθη. Ἔφριξεν, ἐπτοήθη, ἔφριξε μάλα ἐχθίοσι. φρίσσειν γὰρ τὸ ὀρθοῦσθαι τὰς τρίχας. ἢ ἔφριξεν, ὀρθὰ δέρματα ἔσχεν, ἐδειματώθη, ἀπερρώσθη. Ἐφρύαξαν, ἐταράχθησαν. ἵνα τί ἐφρύαξαν ἔθνη. ὁ μὲν Ἀκύλας, ἀντὶ τοῦ ἐθορυβήθησαν. ὁ δὲ Σύμμαχος, ἀνεχύθησαν, ἠγριώθησαν. Ἔφρυγε, ἐφλέγετο ἰσχνόν. Ἐφρυκτωρεύθησαν, ἐπυρσεύθησαν. Ἔφυ, ἀντὶ τοῦ ὑπάρχει, καὶ ἀντὶ τοῦ ἐγένετο, ἐγεννήθη. ἐκ τοῦ φῦμι φύσω, ὁ δεύτερος ἀόριστος ἔφυν, ἔφυς, ἔφυ. ἢ ἔφυ, ἐγένετο. Ἔφυγον, ἐκ τοῦ φεύγω, μέλλων φεύξω, παρακείμενος πέφευγα, ἀόριστος πρῶτος ἔφευξα, δεύτερος ἔφυγον. ὡς τὸ, ἀπὸ τῆς ἔγνων ἔφυγον, ἀπὸ σκότους, ἀντὶ τοῦ σωθῆναι τῇ νυκτὶ καὶ τῷ σκότῳ χρώμενοι τῆς φυγῆς. ἢ ἔφυγον κακόν, εὗρον ἄμεινον. νόμος ἦν Ἀθήνησιν ἀμφιθαλεῖ παῖδα ἀκάνθαις μετὰ δρυΐνων καρπῶν στέφεσθαι. καὶ τὸ λίκνον ἄρτων ἀναλαμβάνοντα πλήρη, εἶτα ἐπιλέγειν, ἔφυγον κακόν, εὗρον ἄμεινον. τὸ γὰρ ἐκ τῶν δρυῶν καὶ ἀκανθῶν βρῶμα, κακὸν ἔλεγον. Ἐφύγετον δυικῶς, παρωνύσει τὸ ἐκ συλλαβῆς, ἐκ τοῦ ἔφυγον. Ἐφ' ὑγρήν, κατ' ἔλλειψιν εἴρηται, ἴσως δὲ κατὰ ἐξαίρετον ἐπίθετον. ὡς γὰρ τὸ τροφὴν καὶ τὸ ξηρὰν ἐπὶ γῆς, οὕτως ἐπὶ θαλάσσης τὸ ὑγρὴν λαμβάνεσθαι παρὰ τῷ ποιητῇ.

Ἐφυλατίν, ἄνεμα νύμφης. καὶ ἐφυράθην, ἀπὸ τοῦ φυρῶ φυρᾶν γίνεται. Ἔφυρθεν, ὕδωρ ἐπελθόν. ἐφύρθης δὲ ἀλόσας διατέραν, ὑπὸ τοῦ τέματος τοῦ λιμένος. Ἐφ' ὕδωρ λαχεῖν, λαγχάνειν εἰς ὕδωρ παρατετραμμένον, τὸ ἐν ταῖς δίκαις. Ἐφύσα, ἐφύσα. Ἐφυλάξαν, ἐξήλασαν, εἴασαν. ἐφυλάξαν δὲ τὰ μαλακὰ καὶ ψαμμώδη. Ἐφύμνιον, τὸ ἐπὶ τῷ ὕμνῳ ᾆσμα.

Ἐφυμνῖα, ἐπῳδὰς, Σοφοκλῆς ἀλλάδαις. Ἐφυσῶ, ἐνεφύσησαν, σφόδρα ἐπιβάλλοντα, ὥς τι δοκεῖν συμπεφυκέναι.

Ἐφύτευον, ὑπεφύτευεν. Ἐφυτεῦσαι, καταδῦσαι.

Ἐφύραι κατὰ ἱστορίαν διαφέρει. μία ἐν Θεσπρωτίᾳ, περὶ τὸν τοῦ Ἀχέροντος ποταμόν. δευτέρα, κώμη Θεσσαλίας, περὶ ἣν ὁ Σελλήεις ποταμός. τρίτη ἐν Θεσπρωτίᾳ, ἔχουσα καὶ αὐτὴ Σελλήεντα ποταμόν. τετάρτη ἐν Αἰτωλίᾳ, καὶ οἱ ἐκεῖθεν Ἔφυροι λέγονται, οἱ μὲν Ἐφυραῖοι, ὡς οἱ ἐκ τῶν Λαπιθῶν. πέμπτη Ἐφύρα, Θεσσαλική. ἕκτη, Κόρινθος, ἐν ᾗ καὶ αὐτῇ Σελλήεις ποταμός. ἐκ ταύτης φασὶ Ἰλον τὸν Ὀδυσσέα λαβεῖν ἀνδροφόνα φάρμακα, λέγεται δὲ φαρμακοφόρον εἶναι γενέσθαι αὐτόν, διὸ οὐκ ἐπαινεῖται τῷ μέλλειν. ὅθεν καὶ ἡ τοῦ Αὐγείου θυγάτηρ φασὶ τοῦ βασιλέως τῶν Ἐπειῶν, ἡ ἐν Ἰλιάδι καλουμένη Ἀγαμήδη, φαρμακὶς ἦν. ἄλλοι δὲ ἀπὸ τῆς Θεσπρωτικῆς Ἐφύρας φάρμακα λαβεῖν τὸν Ὀδυσσέα φασί, γενομένης καὶ αὐτῆς ποτὲ πολυφαρμάκου διὰ τὸ μέλλειν, εἰκάζοντα καὶ ἐκεῖ πρὸς Ἰκαρόν. Ἐφύρωσιν. Ἐφύρα ὁ Κικινεὺς, ἀπὸ Ἐφύρας τῆς Ἐπιμηθέως θυγατρός. Εὔμηλος δέ, ἀπὸ Ἐφύρας τῆς Ὠκεανοῦ καὶ Τηθύος, γυναικὸς δὲ γενομένης Ἐπιμηθέως. Ἔφυρον, ἔβρεχον, ἢ ἐμόλυνον. Ἔφυροι, ἔθνος. Ἐφύσας, ὅτι ἠκαρπώσατο. Ἔφυς, ἐβλάστησας, ἐγένου. Ἐφυσῶν, ἐπάτουν. Ἐφυσῶντο, ὠγκοῦντο. Ἐφύσιον, ἀνέπνεον. Ἐφυσιώθη, ἐπερρίφη, ἐπερρώσθη. Ἐφ' ᾧ, σύνταξιν ἔχει καὶ μετὰ ἀπαρεμφάτου, καὶ μετὰ μέλλοντος. οἷον, ἐφ' ᾧ ποιῆσαι. καὶ ἐφ' ᾧ, ἀντὶ τοῦ διότι, ὡς παρακείμενον. Συνέσιος ἐν ἐπιστολῇ, ἐφ' ᾧ γυναῖκα ἐγάμησα. ἐφ' ᾧ ἀντὶ τοῦ ἐπὶ τῷ, εἰς ἀπαρέμφατον, ἐφ' ᾧ ὁμιλῆσαι. καὶ ἐφ' ᾧ ἀντὶ τοῦ ἵνα, εἰς μέλλοντα. Θουκυδίδης, ἐφ' ᾧ τοὺς ἄνδρας κομιοῦνται. καὶ Συνέσιος ἐν ἐπιστολῇ, οὐκ ἐφ' ᾧ γε τούτῳ μοι μεμισθωμένος. Ἄλλως. ἐφ' ᾧ, ἀντὶ τοῦ διότι λέγουσιν Ἀττικοί, μετὰ διαθέσεως πραγμάτων. οἷον ἐφ' ᾧ τὴν κλοπὴν εἰργάσω. ἔτι καὶ ἐφ' οἷς τὸν νόμον οὐ τηρεῖς, κολασθήσῃ. διότι, ἀντὶ τοῦ ὅτι. ἐφ' ᾧ λέγουσι μετὰ μόνης προσώπου, καὶ συντάσσουσι μετὰ μέλλοντος. οἷον ἐργάζομαι τὸ ἔργον ἐφ' ᾧ λαμβάνεσθαι. Ἔφυλξ, ἐπίλογος. λόγιον. Ἐφώλευον, ἐπέτηχον. Ἐφωλέγει, ἐπιλέγει. Ἐφωλεύσθημεν, τὰς χειμερινὰς ὥρας ἐλάβομεν. Ἐφώλιον, ἔρχεσθαι διὰ τὸ ἐφώλιον ἀπαχθέν, μέλλοντα τοῦ δεῖν παρελθεῖν. ὁ δὲ πολίμειν, διὰ τοῦ δ. Ἐφ' ὦ πάρει, ἐπὶ ποίου σκοποῦ πάρει, καὶ παραγέγονας ἐνταῦθα. Ἐφωπλίζοντο, παρεσκευάζοντο. Ἐφωράθη, ἠλέγχθη, ἐλαμβάνετο. Ἐφώρα σαυτοῦ κλέπτοντα, καὶ ἐφώρασεν ἑτέρου ἔργον. ἤγουν φωραθεῖσα ἐπιάσθη. Ἐφώρμησεν, ἐπεδίωξεν. Ἐφώσια, τὰ νομιζόμενα. Ἐφώτισεν, ἐδίδαξεν. Ἐφώρμησεν, ἐπεχείρησεν, ἐπῆλθεν.

ΤΟ Ε ΜΕΤΑ ΤΟΥ Χ.

Ἔχαδε, δηλοῖ μὲν τὸ ἐχώρησε, καὶ γίνεται ἀπὸ τοῦ χῶ τὸ χωρῶ. ἐξ οὗ καὶ χώρα καὶ χωρίον. ὅθεν καὶ παράγωγον τὸ χάζω, κατ' ὁμοιότητα τοῦ χῶ χάζω. ἐξ οὗ τὸ γῦρον ἀφθέγγον χάος. κλῶ κλάζω, κρῶ κράζω, βῶ βάζω, ῥῶ ῥάζω. ἐξ οὗ ἐν Ὀδυσσείᾳ, τὸ ῥάθι δ' ὕδωρ, καὶ ἐρράδαται τὸ χῶ, καὶ τὰ ὅμοια μονοσύλλαβα. ἢ κατὰ μέλλοντα παρακείμενον ἀναχωρεῖ, κέχαδε. ἢ κατὰ δεύτερον ἀόριστον, ἔχαδεν. Ὅμηρος, χανδὸν ἔχαδε. δηλοῖ μὲν τὸ κεχώρηκε. γίνεται ἀπὸ τοῦ χῶ τὸ χωρῶ, ἐξ οὗ καὶ χώρα καὶ χωρίον. ὅθεν παράγωγον τὸ χάζω, κατὰ ὁμοιότητα τοῦ χῶ χάζω. ἢ κατὰ μέλλοντα παρακείμενον ἀναχωρεῖ, κέχαδεν, ἢ κατὰ δεύτερον ἀόριστον ἔχαδε.

Ἔχαδον, ἐκ τοῦ χάζω χάσω, κέχακα κέχαδα, ἔχαδον ἔχαδον. ἢ ἀπὸ τοῦ χανδάνω χανδάνω, κεχάνδηκα, κέχαδα, καὶ ἔχαδον δεύτερος ἀόριστος. Ἐχάζετο, ἀπεχώρει, ἀνεχώρει. ὁ ἐχάσατο, κατ' ἀλλοίωσιν, ἀνεχώρει τὴν θέσιν ἐκκλίνων. Ἐχάλασεν, ἐνέδωκεν, ἀφῆκεν. Ἐχαλέπαινον, ὠργίζοντο. παρατατικὸς ἐκ τοῦ χαλεπαίνω. Ἐχαλίφθη, ἐχαλίνωσεν. Ἐχάλασεν, ἐκάλυσεν. Ἐχάνδανεν, ἐχώρει. Ἔχανεν, ὑπεσάγη, ἐκάλει, σιωπῇ. Ἐχάνη, σαινὲς δὲ διαπεπτάκασιν. Ἐχαρίσατο, ἐκάκωσεν, ἐπεδεήσατο. Ἐχάραξεν, ἔγραψε.

Ἐχάρη, δεύτερος ἀόριστος παθητικός, ἀπὸ τοῦ χαίρω.

Ἐχαίρετο, ἀπεχάρησεν, ἀπῄει. Ἔχ' ἀτρέμας, μένε ἐφ' ἡσυχίας. Ἐχάτισεν, ἐχάρισεν. Ἔχε εὔχεο, ἀττικῶς, ἀντὶ τοῦ εἰπὼν εὔχεσθαι. Ἐχέδη, ἀντὶ τοῦ ἄγε δή, ἢ ἄρα δή, πρόσεχε, ἤ τι νοεῖν. Ἐχέγγυος, ὁ ἀσφαλής, ἐγγυητής. ὁ διὰ πίστεως ἄξιος, παρὰ Θουκυδίδῃ. ἐχυρόν, ἐγγυᾶσθαι δυνάμενον.

Ἔχειν, ἔχουσιν. Ἔχε, παρὰ τὸ χέω παρατατικός, ἔχεον ἔχεε ἔχει. ἔχει ἔχει. καὶ κράσει τῶν δύο εε εἰς τὴν ει δίφθογγον, ἔχει. Ἀριστοφάνης, ἀεὶ ἐκεῖθεν με κατέχει τῶν χρημάτων. Ἔχει μισθὸν παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ μισθὸν ἀπέχει. εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν ἀθλητῶν. τὸ ἔχει δὲ οὕτως ἀττικοί, ἀντὶ τοῦ ἔχε, ἀπὸ τοῦ ἔχομαι λατίνοι προσοικείως. Ἐχέδιον, ὀφείδιον. Ἔχε, ἐπιμελεῖται. καί μοι αὐτὴν ἔχε πανδοκεῖον. Ἔχεν, τὸ ἐλαύνειν ἐστὶ. καὶ σημείωσαι, ὅτι κατὰ τὸ ἐπέχει σκοποῦ τέρψιν, οὕτω ποιεῖται, καὶ τὸ ἐς τόδε ἔχε ἵκανε. Ἐχειρώθη, ἐκρατήθη. Ἐχεῖτο, ἐφελκετο. Ἔχει μοι χάριν, ἀντὶ τοῦ εὐχαριστεῖ μοι. καὶ ἔχω δέ σοι χάριν, ἀντὶ τοῦ εὐχαριστῶ. Ἐχεμυθία, σιωπή, μυστικόν. Ἐχέμυθον, μυστικὸν κρυπτόν, ἢ φρόνιμον. ἦν γὰρ ἐχέμυθος, ὃς τὰ μάλιστα ὁ προφήτης. καὶ ἐχεμυθέστατον, τὸ φρονιμώτατον. Ἐχέμυθος, ὁ ἐχεμυθέστατος, ὁ φρόνιμος. Ἐχεμυθῶ, ὃ τοὺς λόγους φυλάσσω. ἐχεμυθεῖ, ἔχει ἐν ἑαυτῷ τὸν λόγον. Ἔχεν, ἐγέγαμεν.

Ἔχεαι, συνέχει. Ἐχενηΐς, ὁ τὴν θάλασσαν καλουμένη. Ἐχεπευκές, αἱ νύμφαι. Ἔχε, κατέχε, κράτει, πίεζε, λαμβάνε, τέμνε, ἄφες, βάσταζε, φέρε, ὑπομένε.

Ἔχευε, ἔχεε, ἐξέχεε. Ἐχεμάχησε, ἐταράχθη, καὶ ἔζησεν ὑπομένειν.

σαι. ἐπὶ δὲ ὄντι τὸ ἐπιστῆναι καὶ ἐπιτρέχειν σημαίνει. παρὰ δὲ τοῖς ῥήτορσιν, ἰδίως τὸ ἀπὸ δικαστηρίου εἰς δικαστήριον μεταβαίνειν. ὅθεν ἔφεσις, ἡ μετάβασις. Δαμιανός, ἡ δὲ ἔφεσις ἐπὶ τὴν δίαιταν. ἐφίεμαι δὲ, τὸ ἐπιθυμῶ. Ἐφίερα, τὰ ἐπὶ τοῖς ἱεροῖς ἀποθέσιμα. Ἐφ' ἱερόν, Διογένης ἐν τῷ περὶ χειρογραφήματος, ἱερὸν ἔστι τῶν δίκαια θεῶν ἐν Βοσπόρῳ, ὡς Δημοσθένης ἐν τοῖς περὶ λιμένων. Ἐφίεν, ἐνετέλλεν. Ἐφίετο, ἀνέτο. Ἐφιζάνειν, διαλύειν, ἐν τῷ ἐπὶ βλεφάροις ἵζανεν. ἔχει δ' ἂν ὡς ἐνταῦθα κεκμηκώς μετενεχθῆναι, τὸ καθίζ' ἐπὶ κώπῃ, ὅτι ὀψὲ τῆς κώπης, ὥστε κατακλαίειν. εἰ δὲ ἐκεῖνο ἐσημάνθη, ὡς δηλονότι δεῖν ὂν τὸ ἐπικαθίζειν τῇ κώπῃ, πολλῷ πλέον τὸ διάπνου ἐφιζάνει. ἐπὶ γὰρ τοῦ ὕπνου ἐφιζάνειν, ἐκ τοῦ ἄνω τὸ ὕπνον καθίζειν, κατὰ τὴν ἀκολουθίαν τῆς φράσεως, ἄλλως μὲν τι συνήθως. οὔτε τὸ ἐπικώπιον καθῆσθαι, οὔτε ἐπὶ δίκαιον ἐφίζειν ἔχει τι κατακλαίειν. δηλοῦσι δὲ τὸ καθῆσθαί τι διὰ κατακλίσεως, καὶ διὰ τὸ διάπνου. Ἐφίεμαι δὲ τὸ προστάττω, καὶ ἐνδίδωμι. ὡς τὸ, ἐφίεμι ὃ λέγων, καὶ ἰδίως παρὰ τοῖς ῥήτορσιν ἐφίεμι, τὸ μεταβαίνειν ἀπὸ τῆς δίκης εἰς τέλος τὸ δικαστήριον. ἐξ οὗ καὶ ἔφεσις τὸ πρᾶγμα. καὶ ἄλλως. ἐφίεμαι, ἀντὶ τοῦ ἐντέλλομαι. ἐξ οὗ καὶ ἐφετμὴ, ἡ ἐντολή, προσταγή. ἐφίεμαι δὲ τὸ ἐπιθυμῶ, ὀρέγομαι. ἐξ οὗ καὶ ἔφεσις, ἡ ἐπιθυμία, ὅπερ ἐνσφραγιστέ, οὐκ ἔστιν, ἀλλ' ἐφετὸς ἐπὶ ἄλλης σημασίας τίθεται. τὸ γὰρ ἐφίεμι, διπλῆν ἐν ἑαυτῷ περιέχει τὴν σημασίαν. ἐφίεμι γὰρ τὸ προστάττω, καὶ ἐνδίδωμι, ὡς τὸ ἐφίεμί σοι λέγειν. καὶ ἰδίως παρὰ τοῖς ῥήτορσιν ἐφίεμι, τὸ ἀπὸ τοῦ δικαστηρίου εἰς τέλος τὸ δικαστήριον μεταβαίνειν. ἐξ οὗ καὶ ἔφεσιν, τὸ πρᾶγμα, ἢ μεταγωγὴ καὶ ἡ μετάβασις ἀπὸ τῶν δικαστῶν, εἰς τὴν δίαιταν. ὡς παρὰ Δαμιανῷ, ἡ δὲ ἔφεσις, ἐπὶ τὴν δίαιταν, καὶ παρὰ τὴν δίαιταν. καὶ παρὰ τῷ Θεολόγῳ, τὸ ἀναπολόγητον καὶ ἀνέφεσον, καθ' ὃ ἔφεσις οὐκ ἔστι. καὶ ἐφέσιμος ἑορτή, ὁ μεταγώγιμος. Ἐφίκετο, ἐπιτείνει, ἀνατείνει. Ἐφικέσθαι, καταλαβέσθαι. Ἐφίκεσθε, ἀντὶ τοῦ ἐφάπτεσθε, καταλάβετε. ἐφίκεσθε, ὡς ἐπὶ τόπου ἐνὸς καὶ ἐπ' αὐτοῦ. Ἐφικνεῖσθαι, εἰς κατάληψιν ἐλθεῖν. Ἐφικνεῖται, καταλαμβάνει. Ἐφικνούμενος, τυχών, φθάνων, ἐγγίζων, παραγινόμενος, ὁ γνούς. Ἐφίκοντο, τυχόντες, καταλάβετε. Ἐφίκετο, ἐφήψατο. Ἐφικτὸν, δυνατὸν καταληφθῆναι. Ἐφίλατο, ἠγάπησεν. ἐφίλατο, κλιτὸν φανερῶς ὡς τὸ ἵστατο, ἀφ' οὗ καὶ τοῦ ἐνεστῶτος τὸ ὅπως με φίλαι ἀθλῶν, ἀντὶ τοῦ φίλησον, ὡς ἀπὸ τοῦ ἐφιλάμην, καθ' ὁμοιότητα τοῦ ἐγενόμην τύψαι.

Ἐφίλει, καὶ ἐκόμισεν. ταῦτα εἶπεν, ὡς Αἰολεῖ τὸ ἐν Δελφοῖς ἱερόν. καὶ ἐν Λυκίοις ἐφίλει, τουτέστιν ἐφιλοφρονεῖτο. Ἐφίλησεν, ἐφιλήθησαν. Ἐφιλήθησαν ἐκ Διὸς φίλοι, πρὸς τῶν καλῶν φασὶ δέχεσθαι. οἱ γὰρ πολλοὶ θεοφιλεῖς τοὺς πλουσίους οἴονται. ποιεῖ δὲ ποτὲ περιελαύνεται οἱ φίλοι. περὶ ὧν ὁ μὲν πονητὸς ἀνθρωπίνως καὶ ἀσφαλῶς λέγει, ὅτι θεσπέσιος πλοῦτος κατέχευε αὐτοῖς. ὁ δὲ μῦθος, ὅτι χρυσὸν ὗσεν ἐπὶ τοὺς ῥόδους ὁ Ζεύς, χρυσὸν τοῖς ἐπὶ Ἴβηρσιν, ἐπὶ φασὶ πρῶτον γεναμένης τῆς Ἀθηνᾶς ἔθυσαν, ὡς καὶ παλαιοὶ λέγουσιν ἀεὶ μῦθος. καὶ ἄλλως δὲ ἐφιλήθησαν ἐκ Διὸς, οἱ περὶ τὴν πολεμικὴν, ὡς βασιλεύσαντες ἐν τῇ πόλει. Διὶ γὰρ φίλοι οἱ βασιλεῖς. Ἐφιλοψύχει, ἐνεβρόντει, ἐλαμπρύνετο. Ἐφίππους, τοὺς ἐπὶ τῆς ἵππου σάρκας. Ἐφίππους, τὸ διὰ τοῦ π λέγει ὁ φθόγγος. Ἐφιππαρχία, δύο ἱππαρχίαι ἱππέων ἀνδρῶν χιλίων πεντακοσίων. τέλος δὲ δύο ἐφιππαρχίαι ἱππέων δισχιλίων καὶ. Ἐφιππος, ποιὸς ἐν Χίῳ. Ἐφίππιον, καλεῖται δὲ ὑπὲρ ἵππον τοῦ χαλινοῦ καὶ τὸ ἐφιππίον. Ἐφίππιον, ἀγώνισμα ἐφ' ἵππων τρεχόντων. Ἐφίππων δόματα, ἔλα, ἱππέων ἀνδρῶν ρλ'. Ἐφ' ἵππων, ἐπὶ τῶν ἵππων. Ἐφιππος ἀγὼν, γυμνασικός, παρὰ Αἰσχύλῳ. Ἐφισιν, ὅρμησιν. Ἐφισταμένος, ἀναιρῶν, χαλινὸς βαλλόμενος. ὁ δὲ ἐπισκοπῶν ἄλλοτε, καὶ ἄλλοτε ἐφισταμένος.

ἰσ. Ἐφιστάνειν, ἐφιστῶσιν. Ἐφίσταται, ὁ ἀλλὴν, ἐφέστηκέ μοι λαπὴν. παρίσταταί μοι λύπη, καὶ παρίσταται ἀντὶ τοῦ ἐπὶ, καὶ ἀντὶ τοῦ ἐπλησίασε, καὶ ἐφίσταται αὐτοῖς. Ἐφίσταται, ὁ τὰ ἔργα ὁ δὲ ἄρχοντι ἐφίσταται τούτοις. Ἐφίστατο δὲ ἀναγινωσκομένοις, μετ' ἐπιστασίας δεῖον εἶναι. Ἐφισταμένων, ἐπιστατῶν. Ἐφίστησιν, ἐπιστῆναι, ἐπίστασιν. Ἐφλεγον, σημαίνει τὸ ἐχθρὸν, ἀπὸ τοῦ φλέγω. διὰ τοῦτο δέον ἐφλεγον. Ἐφλέγα, ἐφλέγμαινε, συνεχόμενος, σιωπῶν. Ἐφλεγμαίνεσθαι, ἐπληρώθη. Ἐφλέγετο, ἐν ἐπιθυμίᾳ ἦν. Ἐφλυαρήσα, ἐφλυάρησα, ἐφλυάρουν. Δημοσθένης ἐν τοῖς Φιλιππικοῖς ἐφλυάρησα. Ἐφλυεν, ἐφλύαζεν, ἐφλυζον.

Ἐφλυζεν, λύζειν, ἀφρίζειν. Ἐφλυσεν, ἐχλευάσθη, παρὰ τῷ Ἱπποκράτει. Ἐφλεγεν, ἐκβαλλειν. ἐπὶ δὲ τοῦ πνευματικοῦ. Ἐφλυαρεῖ, ἐλήρει, ἐμωραίνετο. Ἔφλυον παρὰ τῷ Ἀντιφάνει, ὅθεν λύκος δὲ, τρυφῶν. φλέω δὲ τῶν μετὰ ψόφου ἐκθλίβειν. καὶ γὰρ φλέω, τὸ θλῶ, ὡς φασὶν ὑφηλοῦσι. Ἐφόβει, εἰς φόβον ἦγεν. Ἐφοβεῖτο, ἐφοβεῖτο, πολλαβεῖτο. Ἐφοβεῖτο, ἐδίωκεν. Ἐφολκοῦσθαι, διολκοῦσθαι. Ἐφολκὸς, θαλασσῶς, ἡ ἐπίκλυσις ἰδίως. ἐφόλκιον δὲ ὁ λιτῆρος, καὶ ἐφόλκια πληθυντικῶς, τὰ ἐν τῷ ὁλκῷ κυρίως τὰ ὑπόλοιπα ἀναλώματα. Ἐφολκοσύνενος, καταστρατεύεται. Ἐφόλια, τὰ ἀρμόδια εἰς ὅλον. Ἐφολία, τὸ ἐπίθετα τὰς φυλακὰς ὑπάρχοντα. Ἐφολος, ὁρμὴ, ἔφεξις, ἐπιφορὰ, παρουσία, βλάβη. Ἐφοπλίζει, ἠτοίμαζεν, τὸ πρόσω τῇ ἐφοπλίσει. Ἐφ' οἷς, καὶ ἀπὸ τοῦ διὰ, καὶ ἀντὶ τοῦ καθὰ ταυτικῶς, ὡς τὸ, ἐφ' οἷς τὸ τελειότατος ἐγγυᾷ μοι. Ἐφοίτα, ἤρχετο συνεχῶς. Ἐφοίτησε, παρεγίνετο. Ἐφολκα, τὰ ἐπάγοντα αὐτά. Ἐφόλκιον, ἐφολκίδα, πολλάκιον. Ἐφολκα, τὰ μικρὰ πλοῖα. Ἐφολκίδα, ἐπακτικὸν, σκάφος. Ἐφόλκιον, διὰ τοῦ ι, τὸ πολλάκιον, ἀπὸ τοῦ ἐφέλκεσθαι. Ἐφολκὶς κυρίως λέγεται, ἡ λέμβος, ἣν ἡ μεγάλη ναῦς, ὑφ' ἑτέραν μείζονος τοὺς ἕλκομένα. Ἐφ' ὅλον ἅπαξ λέγουσιν, ἀντὶ τοῦ εἰς πάντα, καὶ ἐφ' ὅλων ὁμοίως. Ἐφομαρτεῖν, ἐν τῷ θ τῆς Ἰλιάδος, τὸ ἀκολουθεῖν ἐπακολουθεῖν. Ἐφομαρτεῖτον, ἐπακολουθεῖτε, ἐπακολουθεῖτε, ὁμορτεῖτε. Ἐφονευσε, ἐφόνευσεν. Ἐφοπλίζειν, ἐξ ἁρμονίας ἐφοπλίζειν, καθὰ ὅ τὸ ἀρμόζειν τὸ ἁρμόζειν. Ἐφοπλίζω μεταβολικῶς, οἷον ἐφοπλίζομαι τὸν ἐχθρόν, ἀπὸ τοῦ κατ' ἐμοῦ ὁπλίζει καὶ λαμβάνει. ὁπλίζομαι δὲ παθητικῶς, οἷον ὁπλίζομαι ὑπὸ τοῦ δι, ἀντὶ τοῦ καταλύει. Ἐφόπλης, θυσίας, ἀντιθέσεις. Ἐφόρας, ἐφορᾷ.

Ἐφορεύων, ἐπιστατῶν, ἀπὸ τῶν ἐν σπάρτῃ ἐφόρων. Ἐφορία, ἡ ἐπὶ τῶν ὅρων γινομένη προσεδρεία, ὡς Δημοσθένης ἀπολογεῖται ἐν τῷ κατὰ ἀριστοκράτους. καὶ Θεόφραστος ἐν τρίτῳ νόμων. Ἐφόριος Ζεύς, ἐν τῷ ἰατρῷ ταλιγκαί. Ἐφορμᾶν, ἀντὶ τοῦ ἐφιδρύειν. τὸ μὲν γὰρ κατὰ τῶν ὁρμᾶν, ἐπιτρεφόντων κυρίως ἐπιδέσθαι, οὕτως ὅλιγον, Δημοσθένης φιλιππικοῖς. Ἐφορμήσαντα, ἐπελθόντα. Ἐφορμος, πόλεμος.

Ἐφορμῶ, οὐ μόνον ἐγὼ κατὰ λῶν, ἀλλὰ καὶ ἑτέρου καὶ ἄλλου, ὡς Αἰολεῖ τὸ, ὅς μοι ἐφορμημένος πόλεμον καλεῖ Ἀμμωνίου. ταυτὸν ἔστι τῷ ἀριστέρου. ὁμοίως καθίζω αὐτοπαθῶς, ἀντὶ τοῦ καθέζομαι. καὶ ἀμεταβάτως, ἀντὶ τοῦ καθίζω ἄλλον. Ἔφορος, ἐφορεύω, ἐφορία. εὐφορία δὲ, ἡ εὐπορία. ἡ ἔφορος, ὁ πάντων ἐπόπτης. καὶ ἔφορος θεός. καλοῦνται δὲ ἔφοροι καὶ οἱ τὰ τῶν πόλεων ἔργα ἐπισκοπούμενοι. Ἐφόρευε, ἐκόμιζεν. Ἐφορῶ, τὸ ἐπισκέπτομαι. ὁρῶ δὲ, τὸ βλέπω. Ἐφ' ὅσον, ἐν ὅσῳ, καὶ ἕως οὗ, καὶ ὅσον, ὧν μέρος λέγων. Ἐφοσιώσατο, ἀσεβῶς ἐπλανᾶτο.

Ἐφ' ὅτῳ, ἐφ' ᾧ, ἐπὶ τῷ. Ἐφραθᾶ, ὁ ἐστι Βηθλεέμ. παρ' Ἑβραίοις δὲ παρίᾳ, σημαίνει τὸ ἐφραθᾶ. Ἐφράδον, ἐλάλουν. Ἐφρασε, ἐδήλωσεν. ἑρμηνεύεται δὲ πλατυσμὸς. ἡ καρποφορία.

νος. ἔφηλος ὁ ὑψηλοφόρος, ἢ ἐφήλιλος, ὡς ἥλους ἔχων εἰς τὴν ὄψιν. ἢ ἔφηλος, ὁ ἀμαυρὸς, ἐκ τοῦ φηλῶ τὸ ἀπατῶ. ἔφηλος δὲ ὁ ὅλιος, καὶ ἔφηλος ὁ ἠλιωμένος. Ἐφήλωσαν, ἐπήλωσαν.

ἐφ' ἡμέρας λέγουσιν ἀττικοί, ἀντὶ τοῦ κατὰ τὴν ἡμέραν.

ἐφ' ἡμᾶς ξυμβουλεύσειν οἶα, ἀντὶ τοῦ καθ' ἡμῶν. Ἐφημερία, ἡ πατριά. λέγεται δὲ καὶ ἡ τῆς ἡμέρας λειτουργία, καὶ τὸ ἐνδιαμενόμενον. Ἐφημερὶς, ἡ τῶν ἐφ' ἑκάστης ἡμέρας συμπιπτόντων ἀναγραφή. Ἐφήμερα, τὰ ἐφημερινὰ, εὔφθαρτα. Ἐφήμερον, τὸ κώνειον, καὶ μύρον τι, καὶ ζῶον οὕτω καλούμενον, ὅπερ ζῇ μίαν ἡμέραν. Ἐφήμερος, θνητός. Αριστοφάνης, τί με καλεῖς ὦ 'φήμερε. Ἐφημέριοι βροτοί, καθημερινὰ ζῶντες, οὐ προορώμενοι τὸ μέλλον. Ἐφημίσαι, ἀγροί, ἢ βελτίους φήμης. Ἐφημοσύνη, ἐντολή, παρὰ τοῖς τῆς αὐτῆς συμβάλλειν τὸ ἀμφότερον λόγον. Ἐφ' ἡμῶν, ἐπὶ ἡμῶν, ἐν τοῖς χρόνοις ἡμῶν. Ἐφήμως, εὐφήμως. Ἔφησεν, εἶπε, φανερὸν ἐποίησεν. Ἐφῆπται, ἀντὶ τοῦ ἐπίκειται, ἐπικρέμαται. λέγεται παρ' Ὁμήρῳ, ὥς τινές φασι. λέγεται δὲ καὶ ἐπὶ τοῦ κρεμᾶσθαι, τὸ ἅπτεσθαι, ὡς δηλοῖ τὸ βρόχον ἅψας. συστέλλεται δ' ἐπὶ τὸ ἡ ἀττικοὶ. ἢ ἐφῆπται παρ' Ὁμήρῳ, οἷον τρώεσσι κήδε' ἐφῆπται, ἤγουν τῶν τρώων, κατὰ λόγον ἀκολουθίας. τινὲς δὲ τὸ ἐφῆπται ἀντὶ τοῦ ἐπίκειται ἐπικρέμαται. λέγεται δὲ καὶ ἐπὶ τοῦ κρέμασθαι τὸ ἅπτεσθαι, ὡς δηλοῖ τὸ, βρόχον ἅψας. ἐφῆ δὲ καὶ ὁ ποιητὴς, ὀλέθρου πείρατ' ἐφῆπται κατὰ ὁμοίαν ἔννοιαν, ἤγουν τέλειος ὄλεθρος ἐπίκειται. καὶ πολλαῖς κάλλιστ' ἐφῆψε, ἤτοι πολλῶν ἥψατο ἡ βλάβη, καὶ ὅλα αὐταῖς ἐπίκειται. Ἐφῆψε, ἐπεκρέμασε, ἐπέκειτο. Ἐφος, ἔστι μὲν παρὰ τοῖς ἀρχαίοις ἐπ' ὀλίγον. τὸ δὲ πλεῖον, ἔφαθε, φρύνιχος. Ἐφίεσαι. ἐφίεμαι, τὸ εἰς ἐπιθυμίαν ἐμβάλλω, καὶ ἐν ἐφέσει ποιῶ, ὡς τέρπω τὸ τέρπεσθαι ποιῶ. καὶ ἄλλο, τὸ εὐφραίνεσθαι ποιῶ, ἀπὸ τοῦ παθητικοῦ. λαμβάνει τὴν ἑρμηνείαν, ἀνάστροφος τοῖς ἄλλοις. ἐπὶ μὲν τῶν ἄλλων τὰ παθητικὰ ἀκολουθεῖ τοῖς ἐνεργητικοῖς, καὶ πρότερά εἰσι τὰ ἐνεργητικά. ἐπὶ δὲ τούτων, τὰ παθητικὰ δοκεῖ πρότερον ὑφίστασθαι, εἶτα κατὰ τὴν σημασίαν αὐτῶν, ἀνεπλάσθησαν ὕστερον τὰ ἐνεργητικά. πρότερον γὰρ ἐφίεμαι, τὸ ἐπιθυμῶ. εἶτα ἐφίημι ὕστερον, ἤτοι ἐφίεσθαι ποιῶ. καὶ τέρπομαι ἐγώ, εἶτα καὶ τέρπω ὕστερον. καὶ ἥδομαι, εἶτα καὶ ἥδω ὕστερον καὶ ἁπλῶς, ὅσα παθητικὰ τῇ φωνῇ, καὶ τῇ διαθέσει κατὰ μετάβασιν λέγει. ἔχει δὲ ἐνεργητικὰ, τὸν αὐτὸν τρόπον ἅπαντα ἔχει. ἔστι μὲν οὖν ἐφίημι, τὸ ἐφίεσθαι ποιῶ, καὶ ἀπὸ τοῦ ἵημι λέγεται τὸ ἐφίημι, ἢ ἀντὶ τοῦ ἐνδίδωμι, καὶ ἀντὶ τοῦ ἐπιβάλλω, ὅτι κείνοι ἀάπτους χεῖρας ἐφείη, ἀντὶ τοῦ ἐφῶ, ἢ τὰς ἀπροσπελάστους χεῖρας ἐφείη, ἤτοι ἐπιβάλλοι. ἐν δὲ τῷ πριάμῳ μεγαλήτορι ἶριν ἐφῆκε, ἀντὶ τοῦ ἐνέβαλε δοὺς πέμψαι. λέγεται καὶ ἀπὸ τοῦ ἐφίεμαι, τὸ ἐντέλλομαι. Ἐφίσσας παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ἀναπαύσας. Ἐφίσιν, ἐλαύνειν. Ἐφαδεῖν, ἐπιχαρεῖν. Ἐφηδόντες, ἐπιχαρέντες, καὶ ἐφηδεῖν, ἐπιχαρεῖν. Ἐφῆδε, ἐχάρη. οἱ δὲ ὅσοις τῶν πολεμίων συμπεσεῖν ἐφήδοντο. Ἐφῆδα καὶ ἔκειθε, τὸ προσθεῖναι δεῖ τῶν λοιπῶν προσώπων τὸ ῥῆμα τῶν, τὸ αἰολικὸν εἶπεν. Ἐφήδας, ἐχάρης. Ἐφίζεσθαι παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ἐντολοῦμαι, ἐξ οὗ καὶ ἡ παραγωγὴ ἐφημοσύνη. Ἔφθα, ἢ ἔφθη, ἐμάλαξε, διὰ τὸ καίεσθαι. ἐφθαλές. Ἐφθαλές, ἐφθοῦ, καὶ ἐφθοῦν, τὸ ὀπτῶν. ἤτοι τὸ δίεφθον ἦτορ. Ἔφθαρμαι, ἐκ τοῦ φθείρω φθερῶ ἔφθαρκα ἐφθάρκειν ἔφθαρμαι ἐφθαρμένος. Ἔφθασαν, ἐκ τοῦ φθάμι. ὁ δεύτερος ἀόριστος ἔφθην, τὸ τρίτον τῶν πληθυντικῶν ἔφθησαν. καὶ συστολῇ τοῦ η εἰς α, ἔφθασαν. ἐκ τοῦ φθάμι, καὶ τὸ φθάμενος. καὶ φθαίην εὐκτικόν. Ἔφθασο, καὶ ἐφθάσατο, ἤγουν προέλαβε, παρὰ Θεοκρίτῳ. ἔφθασεν, ἐκ τοῦ φθάζω γίνεσθαι δοκεῖ. καὶ ἔφθασαν, ἀντὶ τοῦ προκατέλαβον. Ἔφθη, προέλαβεν, ἢ ἔφθασεν, ἢ ἔλαβεν. οἷον, ἔφθη ὀρεξάμενος πρυμνὸν σκέλος, ἢ ἔφθη ὀρεξάμενος παρὰ τῷ ποιητῇ ἐν τῷ τῆς ἰλιάδος, ἀντὶ τοῦ ὀρεξαμένου λόγον πλήξας ἔλαβεν τοῦτον δι' εἶπεν ὀρεκτῷ μελίῳ. τὸ δὲ τὸ ὀρεκτὸν δόρυ, δεδήλωται. σημείωσαι δὲ, ὅτι ἐν τῷ ἔφθη τὸ ὀρεξάμενος, ἀπαιτεῖσθαι ἐξ ἀνάγκης οὐ μόνον τὸ ἔχος, ἀλλὰ καὶ τὸ μέρος σωματικόν, ἵνα λέγῃ, ὅτι ἐκτείνας δόρυ κατὰ τὸ μέρος τοῦ σώματος. Ἐφθάμεν εἰπόντες ἀττικῶς, ἀντὶ τοῦ προείπομεν. Ἔφθην, ἔφθασεν, ἐκ τοῦ φθάω φθῶ φθῆμι, ὁ δεύτερος ἀόριστος ἔφθην ἔφθης ἔφθη. ἢ ἔφθην πεζός, ἀντὶ τοῦ ἐπεὶ ζῶς. καὶ μαθὼν ἔχω, ἀντὶ τοῦ ἔμαθον. Ἔφθιεν, ἐφθάρη. φθίνω τὸ φθείρομαι, καὶ φθινύθω τὸ αὐτὸ, ἢ φθινυθήσομαι. ἀφ' οὗ παρατατικός, φθινύθεσκον. ἢ φθίομαι, μέλλων φθίσομαι, ἀόριστος ἐφθίθην, ἀφ' οὗ ἐφθίθην, κατὰ τὴν ἀκολουθίαν τοῦ ἐφθάσθην, παρακείμενος ἔφθιμαι. ἀφ' οὗ τὸ φθίσθαι. ἢ ὁ φθίμενος. ὁ ὑπερσυντέλικος ἐφθίμην, τὸ τρίτον τῶν πληθυντικῶν ἐφθίατο. καὶ ἰωνικῶς ἐφθίατο. ἐνεργητικὰ δὲ, ἐλίκην ἰωνικός, ἀλλ' ὁμοῦ παρατατικός. φθίσω, μέλλων, ἀπὸ τοῦ φθίω ἐχρῆν, φθίσω ἐκ τοῦ σὸν μένος, ὕλαιοι ἀόριστος. ἄλλως. ἔφθιεν, ἐκ τοῦ φθίνω κατὰ ἀποβολὴν τοῦ ν γίνεται φθίω, ὁ παρακείμενος ἔφθιμαι, ὁ ὑπερσυντέλικος, ἐφθίμην ἐφθίσο ἐφθίτο. καὶ πλεονασμῷ τοῦ ε, ἢ δι πληθυντικόν, ἐφθίμεθα, ἐφθίσθε. δύο μὲν γὰρ μηδέπω ἀνθρώπων ἐφθίατο, διεφθαρμένον. Ἐφθίατο, ἀπώλοντο. Ἐφθόνησε, ἐφθόνησεν ἐπελάθετο. Ἔφθειν, ἔχει πρωτότυπον τὸ φθίω, ἐξ οὗ κατὰ πλεονασμὸν οὐ μόνον τὸ φθίθω, ἀλλὰ καὶ τὸ φθίνω, οὐ πολλοῖς τὸ φθινύθω παρέχονταν. Ἐφθοὶ πυροί, ληκυθιακοί εἰσι πρὸς συνουσίαν. Ἐφθοῦν, τὸ ὀπτᾶν, ἢ τὸ δίεφθον ἦτορ. Ἐφθόν, τὸ ὀπτημένον. Ἐφίαλλον, ἐπεχείρησαν.

ἐπόπτω, ἐπισκοπεῖσθαι. ἐποπτεῦσαι, ἐπιφροντίσαι, κατανοῆσαι, φυλάξαι. ἐπόπται, καὶ τὰ τοιαῦτα παρὰ τῷ Δημοσθένει, δεῖ ὀξυτόνως προφέρεσθαι. ὥστε ἔχον ὀρθῶς προφέρεσθαι κατὰ μίμησιν. ἐπωπεῖ, σύμμαχος, ὁ δὲ ἀπλῶς προπαροξύνουσιν. οἱ δὲ περισπῶσιν, ἵν᾿ ᾖ ἐπίρρημα ἀντὶ τοῦ ἐπωπεῖ. οἱ δὲ παροξύνουσι, δῆλον ὅτι ἐσχημάτισαν ἀπὸ εὐθείας τῆς ἐποπτός. ἐποπτεία, ἡ διὰ ἡρωϊκοῦ μέτρου ἱστορία. καὶ γὰρ εἰρημένη μέτρῳ ποίησις, ἐποποιία εἶπον. ἐποποιΐαν, θρηνεῖ. ἐπόπτευον, παρὰ τῷ Ἀριστοφάνει, ἐπέβησαν, ἵνα οἱ φράσαντες ἐξέλθωσι, δηλονότι. ἐπόπται, θεαταί.

ἐπόπτης, ὁ ἐπισκοπῶν. ἐποπτεύειν, ταυτὸν ἐστὶ τῷ ἐπιγράφειν. τίθεται ἐπὶ καὶ ἐπὶ ἔργων τοιούτων, ὡς ὅταν ᾖ παρὰ τοῖς ἱεροῖς λόγοις ἃ, ὡς Λυδοὶ καὶ παρὰ τῷ Κωμικῷ, ἡ μὰλ ἐποπτεύειν λογῶ. ἐποπτεύει, ὑπολαμβάνει, σκοπεῖ. ἐποπτεύω, τὸ ὁρῶ, οἷον ἐποπτεύειν λογῶ. ἐπόπτης, καὶ μύστης, διαφέρει. οἱ τὰ μυστήρια παραλαμβάνοντες, λέγονται ἐν ἀρχῇ μὲν μύσται. μετὰ δὲ ἐνιαυτὸν, ἐπόπται καὶ ἔφοροι. ἐπόπτης θεὸς, ἤγουν θεατής. ἐπόπτευσε, θεωροῦντες. ἐπορβάζει, φθονεῖ. ἐπόργεις, ἐπιγένει. ἐπορεύσατο, μανίσατο, καὶ ἀντὶ τοῦ ὁρμῆσαι. ἐπ᾿ ὄρει, ἐπὶ τῷ ὄρει. ἐπορον, ἔδωκαν, ἐχαρίσαντο. ἐπορευόμην, ἐπορευόμην, παρὰ τῷ ἱστορικῷ.

ἐπορευόμενος, ἐφορμῶν, περιέβαλλεν, ἐπιλαβόμενος.

ἐπόρευσε, διαπέρασιν. ἐπέρριμμα, ἐπίθεμα. ἐπόρθησαν, πετεῖσαν καθαρὸν, ἐλύσαν. ἐπορθοῦσαι, τὸ ἔρριψε ἐπηχῆθησαν, ἡ ἀσπίδα προσπεσοῦσα. ἐπορνεία, ἐπιορκία. ἐπὶ ὄρνισι κάθηται, οἷα ὀρνιθοσκόποι. ἐπὸς ἐσόμενον, οἱ μὲν τὸ παλαιὸν ἀφορμὴν, καὶ ἔστιν οὐ καὶ προσευνῶς. ἀλλὰ τοῦτο διὰ τὸ ἐπόρευσεν, ἤγουν ἁπλῶς εἰς αὐτὸν ἦλθεν. ἔπορος, ἐφορμῶσαι, ποιεῖν. ἐπος, λόγος, ῥῆμα, προσεπιέναι, ὑποκείμενον. ἔπος, εἶπον, ἐπεὶ ὄνομα, τὸ λόγον εἶπεν, ἢ τὰ μέρη αὐτοῦ λαβεῖν. ὁ ἐστί τὸν λόγον ποιητικῶς, καὶ ὁ ἔμμετρος στίχος. ἡμεῖς μὲν χρώμεθα μόνον οὕτως ἐκλαβεῖν χρησίμως ὡς ἐν τῷ εἰπεῖν, ἀντὶ τοῦ ὡς ἐν λόγῳ εἰπεῖν, ἢ συντόμως. ταῦτα δὲ ὡς ἂν εἴποι τις, ἐκ παροιμίαν εἰπεῖν. ὁ ἔπος, ὁ ἔμμετρος λόγος. ἀφ᾿ οὗ ἐπέτο, ποιητικῶς, ὁ λόγος. ἔπος, τὸ λόγω, ἔμμετρον. μετὰ δὲ τοῦτο προθέσεως, ἐν χρήσει παρὰ τοῖς ποιηταῖς, οἷον ἐπιών. ἔπομαι δὲ, τὸ ἀκολουθῶ. ὁ ἐπὶ πρὸς

ἐπιτραπεζώμματα, τὰ ἐπιτιθέμενα τῇ τραπέζῃ βρώματα.

Ἐπιφαύσκειν, ἐκ τοῦ φαῶ δευτέρου ἀττικοῦ μέλλοντος ἀνέπτανται, ὡς ἐν τούτῳ πρώτης συζυγίας τῶν περισπωμένων, ὁμοίως τῷ φαυσκεῖν. ἀπὸ δὲ τοῦ [illegible] προθέσεως ἐπὶ κατάστασιν εἴρηται [illegible], ἐξ ὧν τὸ γλισχρός. φυσικὸς δὲ αὐτῶν τόνος ὁ τρίτος.

Ἐπιτραφθῶν, ἐπὶ τῶν ξηρῶν γῶν. Ἐπιτραχήλιος, κόσμος. Ἐπιτρέπειν ἐστί, τὸ ἀνατίθεσθαι. ὅθεν καὶ οἴκου ἐπίτροπος, καὶ τεθνεῶτος δὲ, οἷς τὸ περὶ αὐτῶν οἰκονομεῖν ἀνατίθεται. οὕτω καὶ λαοὶ ἐπιτετράφαται τῷ βασιλεῖ, ὅ ἐστιν ἀνάκεινται. ὡς οἱ ἐπίτροποι καὶ ἐπιμεληταί. νῦν δὲ οὐκ ἐπιτρέπει ἑαυτὸν γήραϊ λέγει. ἤγουν οὐ παραχωρεῖ τῷ γήρᾳ ἐξουσιάζειν, καὶ ἐπικρατεῖν αὐτοῦ. Ἐπιτρέπει, χαρίζεται, παραδίδωσιν. ὁ δὲ τῆς ἡμῶν στρατιᾶς στρατηγὸς ἐλαύνει, καὶ τούτῳ ἐπιτρέπει. Ἐπιτρέπειν, Δημοσθένης ἀντὶ τοῦ δικαστὰς αὐτοὺς αἱρεῖσθαι. Λυσίας δὲ ἐπιτρέψαι ἀνθρώποις εἶπεν, ἀντὶ τοῦ ἐπιτρόπους καταστῆσαι. Ἐπιτρέπομαι παρά τινι, ἀντὶ τοῦ ἄδειαν λαμβάνω. καὶ ἐπιτετραμμένον, τὸ συγκεχωρημένον. Ἐπιτρέπω σοι τόδε τὸ πρᾶγμα, καὶ ἐπιτρέπω κοινῶς σοι τόδε. ἢ ἐπιτρέπω δὲ ποιεῖν σε, ἀεὶ μετὰ ἀπαρεμφάτου. Ἐπιτρέπω σοι τόδε, ἀντὶ τοῦ ἐπὶ τῇ σῇ ἐξουσίᾳ δίδωμι τόδε. καὶ ἐπιτρέπεται ὁ λαός, ἤγουν ἐπὶ τῇ ἐξουσίᾳ καὶ διοικήσει αὐτοῦ ἐδόθη. Ἐπιτρέπω σοι ἐμαυτόν. ἔτι θαρρῶ, τὸ λεγόμενον κοινῶς ἐμπιστεύω. ἢ ἀντὶ τοῦ θαρρῶν παρέχω σοι ἐμαυτόν. καὶ ἐπίτριπτος, πονηρός, ἄξιος ἐπιτριβῆναι καὶ πληγωθῆναι. Ἐπιτρέχειν, τοῦ ἐπιδιώκειν διαφέρει. ἐπιτρέχει μὲν γάρ τις τῷ μὴ φεύγοντι, διώκει δὲ τὸν φεύγοντα. ἔτι δὲ τὸ διώκειν, οἷον ἐλαύνειν. ὅθεν καὶ ὑποδιώκειν λέγεται. Ἐπιτρέχως, συντόμως.

Ἐπιτρίψας, συντρίψας, συντελέσας. Ἐπιτριβεία, ἐντριβὴς γίνεται, ἔμπειρος ὑπάρξει, ἢ χειρομαθεία. σημαίνει δὲ καὶ τὸ ἀντιλεγεῖν. Ἐπιτρίβειν λέγεται, τὸ ἐπαύξειν πληγῶν, ἢ ἐπὶ [illegible] προσγενές. ἐπιτρίβειν λέγεται καὶ τὸ ἐπιτιθέναι ἐπὶ ἀφανισμῷ, καὶ φθορὰν μὴ οὖσαν πρότερον ἐμποιεῖν. ἡ γὰρ ἐπί, ἐπίθεσιν ἐνταῦθα δηλοῖ. ἐπιτρίβομαι δὲ, προστρίβομαι. τὸ μὲν ἐπιτρίβομαι δηλοῖ πάθος, ἀντὶ τοῦ φθείρομαι. προστρίβομαι δὲ, παθητικῶς μὲν φερόμενον, ἐνέργειαν δὲ σημαῖνον, λαμβάνεται ἀντὶ τοῦ τίθημι καὶ ἐπάγω πληγὰς τῷ δεῖνι, συμπλεκόμενον δοτικῇ. ὡς καὶ Ἀριστοφάνης ἐν ἱππεῦσι, πληγὰς ἀεὶ προστρίβεται τοῖς οἰκέταις, ἀντὶ τοῦ ἐπάγει. Ἐπιτρίβεται, ἐπιφέρεται. Ἐπιτριβόμενοι, ἐκθλιβόμενοι, ἐκθλιχόμενοι. Ἐπιτρίμματα, κυλίσματα. Ἐπίτριμοι, ἀγκάλλαι. Ἐπιτρίτας, ἐν τῷ κατὰ Καλλιφῶντος, ἑξακοσίας δραχμὰς ἐπιτρίτας. ἀντὶ τοῦ ἐπὶ ὀκτὼ ὀβολοῖς κατὰ τὸ τρίτον εἶναι μέρος δύο ὀκτὼ ὀβολοὺς τῆς τετραδράχμου. Ἐπίτριτος πρῶτος, ἐκ βραχείας καὶ τριῶν μακρῶν, ἑπτάχρονος, οἷον Ἀριστείδης. Ἐπίτριτος δεύτερος, ἐκ μακρᾶς καὶ βραχείας, καὶ δύο μακρῶν, ἑπτάχρονος, οἷον [illegible]. Ἐπίτριτος τρίτος, ἐκ δύο μακρῶν καὶ βραχείας, καὶ μακρᾶς, ἑπτάχρονος, οἷον Δημοσθένης. Ἐπίτριτος τέταρτος, ἐκ τριῶν μακρῶν καὶ βραχείας, ἑπτάχρονος, οἷον Καλλίξενος.

Ἐπιτρίψαι, αἰτιατικῇ, ἀπολέσαι. καὶ ἐπιτρίψας, τὸ συντρίψας. Ἐπί, ἢ ἐπὶ τρισὶν [illegible], ὡς ὁ μὲν [illegible] Ὀδυσσεία, συμπλεχθεῖσα ἐνὸς τὰ ἄλλα σημαίνουσα. οὐ γὰρ μόνος, ἀλλὰ σὺν δυσὶν ἄλλοις ἦλθον ἐπὶ τρισὶν Ὀδυσσεὺς [illegible]. Ἐπιτροχάδην, ἐπιθέτως, οὐκ ἐκ ψυχῆς, ἐπισεσυρμένως. Ἐπιτροπεύσω, προστατεύσω, προσκατάσχω. Ἐπιτροπεύειν τὴν παῖδα κάλλιον, ἢ ἐπιτροπεύειν τοῦ παιδός. Ἐπιτροπή, ἔφοδος, παρατροπή. Ἐπιτρόπων, Δημοσθένης ἐν τῷ κατὰ Ἀφόβου πρώτῳ, οὕτως ἤρξατο, Εἰ μὲν ἐβούλετο Ἄφοβος, ὦ ἄνδρες δικασταί, δίκαια ποιεῖν, περὶ ὧν διαφερόμεθα, τοῖς τε οἰκείοις ἐπιτρέπειν. ἀντὶ τοῦ διαιτητὰς αὐτοὺς αἱρεῖσθαι. ὅθεν καὶ Μενάνδρου δρᾶμα, ἐπιτρέποντες. Λυσίας δὲ ἐν τῷ πρὸς τοὺς ἐπιτρόπους τῶν Βίωνος παίδων, ἐπιτρέψειν εἶπεν ἀνθρώποις, ἀντὶ τοῦ ἐπιτρόπους καταστῆσαι. Ἐπιτροπιάζειν, ἔτι καὶ νῦν διέφθαρται. καί τινες λεγόντων φασὶ τῶν ἀρχαίων, ὑποτροπιάζειν. Ἐπίτροπον αὐτοῦ τινος τοῦ πράγματος, ἤγουν φροντιστήν. Ἐπιχαλάδην, ἀντὶ τοῦ κεφαλαιωδῶς, ταχέως, ἐσπευσμένως. ἐν τῷ ἐπιτρέχειν τὰ πολλά, καὶ ὡς νῦν ἐπὶ γλώσσης λέγεται. οὕτω δὲ μεταφραδάδην, ἐπὶ ποδῶν. ὡς τὸ, μεταφραδάδην ἤλασεν ἵππον. καὶ σημείωσαι, ὅτι εἰ καὶ ὁμοίαν πῶς ἔχουσιν αἱ λέξεις ἄμφω παραγωγήν, ἀλλὰ τὸ σημαινόμενον αὐταῖς διάφορον. τρόχος γὰρ ὁ δρόμος, ταυτόν. ἀλλ' ἴδιον γλώσσης μὲν τὸ ἐπιτροχάδην, ποδῶν δὲ ἐπιδρομάδην. οὕτω καὶ παντουργὸς καὶ πανοῦργος. εἰ καὶ λέξις ἡ αὐτὴ ἀμφοῖν ἐν [illegible] τὸ ἔργον δηλαδή, ἀλλ' ἔχουσι διαφορὰν παρὰ τοῖς ὕστερον. εἰ καὶ Σοφοκλῆς [illegible] παντουργὸν τὴν [illegible] εἰπών, ὡς ταύτην ἄγαν δοκεῖ [illegible]. Ἐπιτροχάδην, πυκνῶς καὶ ταχέως. Ἐπίτροχον, ῥᾴδιον, ἕτοιμον, γοργόν.

Ἐπίτροχον, τὸ εὔστομον. ὅθεν, ἐπίτροχον φθέγγεται. ἐπὶ δὲ ἐπιρρηματικῶς κεῖται ἐπιτροχάδην. Ἐπὶ τροχοῦ δεῖ ἐκεῖ στρεβλούμενον εἰπεῖν, ἃ πεπονθότα. Ἀριστοφάνης πλούτῳ, παροιμία ἐπὶ τῶν πονηρῶν. τροχοὺς γάρ τινας ἦν ἀθλίωσιν, ἐφ' ὧν δεσμούμενοι οἱ οἰκέται ἐκολάζοντο. Ἐπιτρύζουσιν, ἐπιγογγύζουσιν, ἐπιλέγουσιν. Ἐπίτριον, ἐπίμαιον. Ἀλκαῖος. Ἐπὶ τρώεσσι μάχεται, ἤγουν κατὰ τῶν τρώων. καὶ τρωσὶν ἐφ' ἱπποδάμοισιν, ἀντὶ τοῦ κατὰ τρώων ἱπποδάμων. [illegible], κατεφίλουν. πιτλοῦν δὲ ἐστι κυρίως, τὸ τὰς [illegible] ναῦς πιέζειν [illegible]. Ἀριστοφάνης, ἱκανὸν γὰρ αὐτὴν πρότερον ἐπίπλουν χρόνον. Ἐπιτυγχάνω, γενικῇ συντάσσεται, οἷον ἐπιτυγχάνω ἀγαθοῦ. τὸ ἐναντίον τούτου, ἀποτυγχάνω. Ἐπιτυφῶ, ἐπικαῶ, ἐκπυρώσω. Ἀριστοφάνης, ὅπως ἀνὴρ ἐπιτυφῶ. Ἐπιτυφῶ, ἐκκαύσω, συγκαύσω. Ἐπιτυφῶσα, ἐπιπορίσασα.

Ἐπιτυφοῦσιν, ἐκτελοῦσι. ὡς τὸ, περὶ ὑπάτων μὴ ῥᾳθύμως σκοπεῖν, ὡς τοῖς ἐπιτυχοῦσι δέον ἐγχειρῆσαι τῆς ἀρχῆς, τοσοῦτον περικείμενον τῆς πόλεως κινδυνεύουσαν. Ἐπὶ τῷ δάμῳ, ἐπὶ τῇ τοῦ δήμου καταλύσει. Ἐπιτωθάζων, ἐπιλοιδορούμενος, ἐπεμβαίνων, ἢ καυχώμενος. ἢ χλευάζων, ἐπιγελῶν, ἢ ὑβρίζων. ἐπὶ τοῦ ὑποκειμένου, ἐπὶ τοῦ φθάσαντος γενέσθαι. Ἐπιφαίνεται, [illegible]. ὑποφαίνεται δέ, χαμόθεν. Ἐπὶ φαλλοῖς, [illegible] Ἀρίσταρχος, ἐπὶ φαλλοῖς γεγονέναι, σκώπτων [illegible]. ἐν ἀναισχυντίᾳ ὁ φαλλός. Ἐπιφάμενοι, συγκατατιθέμενοι.

Ἐπιφάνειά ἐστι, τὸ ἔξω μέρος τοῦ σώματος. εἴρηται δὲ παρὰ τὸ φαίνεσθαι. αὕτη γίνεται ἡ ἐπιφάνεια ἢ ἴση ἐστὶ καὶ ὁμαλὴ καὶ λεία, καὶ λέγεται ἐπίπεδος. ἢ καμπύλη, ἢ μὴ κατ' εὐθεῖαν κειμένη, καὶ λέγεται ἁπλῶς ἐπιφάνεια. ἡ ἐπιφάνεια πέρας σώματος, ὃ τὸ μῆκος καὶ πλάτος μόνον ἔχον, βάθος δὲ οὔ. αὕτη δὲ κατ' ἐπίνοιαν, καὶ οὐ καθ' ὑπόστασιν λέγεται. Ἐπιφάνεια, ἡ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἔνσαρκος οἰκονομία. Ἐπίφασις, δήλωσις, ἔνδειξις. οἱ δὲ ἦκον μετὰ [illegible], καὶ σφαῖραν καὶ τὸ [illegible] ἐπιφάνσεως. Ἐπιφανής, ὁ πρὸς εὐμορφίαν φαινόμενος ἐπίδοξος.

Ἐπιφάτνιος, ὁ [illegible] ἄσιρ. Ἐπιφώσκοντα, ἀνατέλλοντα, φαίνοντα. Ἐπιφέρειν, καὶ ἐπιφορεῖν, ταὐτὸ δηλοῖ, ἀττικοῖς. περισπωμένως δὲ ἀττικῶς, ὥσπερ δὴ καὶ τὸ ἐκφορῶ. ἐπιφέρω δὲ ὁμοίως, καὶ ἐπιφορῶ, σοι ἐπιφέρομαι ταυτόν, καὶ δηλοῖ τὸ ἐπάγω, καὶ ἐπικαλῶ. Ἐπιφέρειν, κατηγορεῖν, διαγορεύειν. ἄλλο μὲν οὐδὲν ἐπιφέρειν ἔχων, ὅτι δὲ ἦν ῥωμαῖος. Ἐπιφερόμενος, ὡρμηκότας. Ἐπιφέρει, προστίθει. Ἐπιφέρεται, [illegible]. Ἐπιφημίζεσθαι, μαντικὴ λέξις ἐστί, δηλοῦσα προφορὰν μαντείας, διὰ [illegible]. Ἐπιφημοῦντες, οἰωνιζόμενοι, ἢ ἐπιφημοῦντες, ἢ συγκατατιθέμενοι. Ἐπιφημιζόμενος, οἰωνιζόμενος, ἐπιφημιζόμενος. Ἐπιφημίσμασιν, οἰωνίσμασιν.

Ἐπιφημισμοῖς, οἰωνισμοῖς. Ἐπιφθονώτερον, λέγεται τὸ οἴ-

γα [illegible]

δειν καὶ ἐπιτολὰς· τὰς ἀνατολὰς λέγομεν. ὡς λίχθος μιᾶς μέτρον προσέχειν ἐπιτολάς. Ἐπιτέλλω. τέλλομαι, τὸ προστάσσω, ἐτελλόμην παρατατικὸς, ἐτέλλε. τὸ προστακτικὸν, τέλλε, καὶ κατὰ διάλυσιν τέλλεο, καὶ ἐπιτέλλεο. Ἐπιτέλλων, ἀνατέλλων.

Ἐπιτερμίμενος, περικόψας. κέλευσέ με ἀποθνήσκειν ἐπιτεμόμενος τοῦ χαυροῦ τὴν περίοδον. Ἐπιτεξῆν ἡ γυνὴ, ἀντὶ τοῦ ἐν αὐτῷ τῷ τόκῳ. Ἐπιτέρα, ἐπιτέγματα ἐλαιῶν. Ἐπιτέρμια, εἶδος ἄρτου. Ἐπιτέρμιον, ἀπὸ τοῦ τέρματος, οἷον ἐπὶ τοῦ τέλους. Ἐπιτέρμιος, ἑρμῆς. Ἐπιτετευχθῆ, ἠπλώθη.

Ἐπιτέτραμμαι, κιλικικῆς συντάξεως. Λυκιακὸς τὰ κατὰ τὴν φοινίκην ἐπιτετραμμένος, ἀντὶ τοῦ ἐπιτραπεὶς τὰ κατὰ φοινίκην χώραν. Ἐπιτέτραπται, ἐκ ἐξουσίας ἐστίν. Ἐπιτετράφαται, τὸ θέμα ἐπιτρέπομαι. ὁ παθητικὸς παρακείμενος ἐπιτέτραμμαι. τὸ τρίτον τῶν πληθυντικῶν ἰωνικῶς, ἐπιτετράφαται. Ἐπιτέτακται, αὔξει. Ἐπιτέταν, αὔξανεν, ἠκμαζεν. Ἐπιτέτευκται, ἐν ἐπιτυχίᾳ ἐστίν. Ἐπιτέτραπται, ἀπονέμεται. Ἐπιτετράφαται, λέξις ἐστὶν ἰωνικὴ, ὁμοία τῷ πεφόρηται. Λαλοῦσι δὲ παρ᾽ Ὁμήρῳ ἐπίτροπον εἶναι βασιλέα τοῦ λαοῦ. καὶ ἐπιτετραμμένοι εἰσίν.

Ἐπιτέτροφιν, ἐπιτάττειν. Ἐπιτέτριφαι, περὶ μὲν ἐπὶ ὑπερφορίας τάττεται. περὶ δὲ ἐπὶ κατάρας, καὶ μὴν ἐπιτέτριψαι γε.

Ἐπιτευγμένον, ἐπιτυχημένον. Ἐπίτευγμα, ἐπιτυχία. οἱ δὲ θαυμάζουσι τὰ πλήθη τῶν κατεσκευασμένων τῶν αἰγυπτίων, καὶ τὰ τούτων ἐπιτεύγματα. Ἐπιτεχνάζειν, πανουργεῖν. Ἐπιτεχνηταὶ, οἱ πλάσται. Ἐπιτεχνήσεως, μηχανῆς.

Ἐπιτέχνησις, τὸ ἐπὶ τῇ προϋπαρχούσῃ προσευρίσκειν τέχνην κατασκευῆς, ὅπερ ἐστὶ δημιούργημα μετὰ τοῦ ποικιλίας γινόμενον. ὡς καὶ Ξενοφῶν, ἐπιτέχνησις δὲ ἐπιτηδεύσεως τῷ ἀγάλματι, θαυμασιώτερον ἑαυτὸν τοῦ τῆς ἐν αὐτῷ προτέρας τέχνης ἀπέφαινεν. Ἐπὶ τῇ καταπαύσει, ἤγουν τῇ ἀναθέσει. ἐπὶ τῇ κατασκευῇ τοῦ κιβωτοῦ. Ἐπιτήδεια, τὰ πρὸς τροφὴν ἁρμόδια. Ἐπὶ τῆς ἐμῆς αἰτίας. ὁ νῦν, τῷ ἐμῷ κινδύνῳ. Ἐπὶ τῇ ἀδείᾳ, ἐπὶ τῷ πόνῳ, ἐπὶ τῇ θλίψει. Ἐπιτήδειος, ὁ συνήθης καὶ φίλος. ὡς τὸ, ἰσχυρότερος τῶν ἐπιτηδείων. καὶ ἐπιτήδειος, ἀντὶ τοῦ ἐπιτήδευος λέγεται ἰωνικῶς, ἐπιχωρούντως τῆς ι. Ἐπιτηδὲς παρ᾽ Ὁμήρῳ, ὀξυτονούμενον ὄνομα οἱ παλαιοὶ φασὶν εἶναι πληθυντικὸν, οὕτως ὡς αὐθαίρετον ὁ ἐπιτηδής. ὥσπερ λέγει τὸ ἄκλεις πληθυντικὸν, παρ᾽ Ὁμήρῳ ἀκλεῖ· λέγεται, ἐκβληθέντος τοῦ ε. οὕτω γίνεται ὁ ἐπιτηδὲς, ἐκ τοῦ ἐπιτηδεῖς, ἐκβληθέντος τοῦ ι διὰ χρείαν μετρικήν.

Ἐπιτηδὲς, ἐξεπίτηδες, ἐπιμελῶς. ὃ καὶ ἐξεπίτηδες λέγομεν.

Ἐπιτήδευμα, ἄσκησις, μάθησις, καὶ ὁ τοῦ βίου διαγωγή. ἐπιτήδευμα δὲ, ἐπιτηδεύσεως διαφέρει. ἐπιτήδευμα μὲν γὰρ λαλοῦσι οὐσίαν, καὶ οἷον ὑπάρχον τοῦ πράγματος. ἐπιτήδευσις δὲ, σημαίνει τὴν ἀπὸ τέχνης ἐνέργειαν γενομένην. ὁμοίως ὡς ἄκουσις, καὶ ἄκουσμα, καὶ τόξος καὶ τόξευμα. Ἐπιτήδευσις, πρᾶξις καὶ σπουδὴ, καὶ ἐργασία. Ἐπιτηδεύω, τὸ σπουδαίως ἐργάζομαι. ἀριστοφάνης, εἶτ᾽ οὐ λαλιὰν ἐπιτηδεῦσαι, ὡς σαπολίαν ἐδίδαξας, καὶ ἡμεῖς τὰ αὐτὰ ἐπιτηδεύομεν. Ἐπιτηδὴς, ἀπὸ τοῦ ἀδής, ὁ ἀρεστὸς, καὶ τοῦ ἐπὶ προθέσεως γίνεται ἐπιτηδής. καὶ ἐκβολῇ τοῦ ι, καὶ πλεονασμῷ τοῦ τ καὶ τροπῇ τοῦ α εἰς ε ἐπιτηδὴς, ὁ ἀρέσκων τινί ὑμῶν. ἐκ τούτου καὶ ῥῆμα, ἐπιτηδεύω. Ἐπιτηθὴ, ἡ τῆς τηθῆς μήτηρ. ὥστε εἶναι τὴν μὲν τηθὴν, μητρὸς ἢ πατρὸς μητέρα. τὴν δὲ ἐπιτηθὴν, ἢ τοῦ πατρὸς μητέρα ἢ τοῦ μητρὸς μητέρα, ἤγουν ὡς ἐπίπαππος. Θεόπομπος πραμφίλη, αὐτὴ δ᾽ ἐκείνη πρότερον ἐμβλήκεισαν παρὰ τοῦ ἐπιτηθῆς, φρυγική. Ἐπίτιμος, καὶ ἐπίτιμον, πλούσιον. ἢ τὸν μὴ ἄτιμον κατὰ νόμους, ὡς ἐκτὸς ἀτιμίας, ἃ ἀμπρεύονται καὶ λαγχάνεσθαι. Λυκιακός. Ἐπιτιθέσθαι, ἐπιβουλεύειν.

Ἐπιτίθημι ἕτερον τῷ πράγματι, ἤγουν ἐπάνω αὐτοῦ τοῦτο τίθημι. ἐπιτίθεμαι δ᾽ ἐγὼ, ἀντὶ τοῦ βαρὺς γίνομαι ἐπειδὴ τοῖς ἐχθροῖς, ἤγουν ἐπιχειρεῖν. ἢ ἐπιτίθεμαι, τὸ ἐπιβάλλω. οἷον ἐπιτίθεμαι

σφραγῖδα, ἢ σήμαντρον. ἐπιτίθημι, καὶ τὸ ἐπαράττω, καὶ ἐπικλείω. ὡς τὸ, ἐπιτίθημι θύραν, φθέγξομαι οἷς θέμις ἐστὶ, θύρας δ᾽ ἐπιθέσθε βέβηλοι. ἐπιτίθημι καὶ τὸ προστίθημι. οἷον, ἐπιτίθημι τέλος, καὶ κολοφῶνα τοῖς λόγοις. ἐπιτίθεμαι, καὶ τὸ ἐπάγω ὡς προσφέρομαι. οἷον ἐπιτίθημί σοι δίκην καὶ τιμωρίαν. ἐπιτίθεμαι, τὸ ἐπιχειρῶ ὡς ἐπιβάλλω. οἷον ἐπιτίθεμαι δυναστείᾳ, ἢ καὶ τυραννίδι. ἐπιτίθεμαι, δὲ τὸ ὅλως προστίθεμαι, καὶ προσπίπτω, καὶ περιέρχομαι. οἷον ἐπιτίθεμαι σπουδῇ, καὶ ἀναγνώσει περὶ λόγους τε καὶ μαθήματα. Ἐπιτίθεις, περαίνεις. Ἐπιτίθεσιν, ἀνέχομαι. καὶ δὴ χαλεπώς ἐπεσελθὼν πρὸς τοὺς ἐν παρίᾳ δύο φιλοσόφους, ἐπιτίθεσιν. Ἐπιζημιῶ, ζημιοῦται, ἡ τῆς ζημίας αὔξησις. Ἐπιζημιωτάς. οἱ μὲν τὸν πρῶτον ζημιώσαντες ζημιωταὶ ἐκαλοῦντο. οἱ δὲ τοῖς ἐξῆς ἐπιπροσοῦντες ταῦτα, ἢ τὰ αὐτὰ ζημιώσαντες, ἐπιζημιωταί. Δρακὼν ἐν τῷ κατὰ Διογένους.

Ἐπιτίμησις, ἀπογραφή. Ἐπιζημιὸ, συντιμία. ὁ σύντομος τῶν κεφαλαίων περίληψις. Ἐπιζημίωτρα, βοηθὸν, ζημιαρόν.

Ἐπιζημίωτωρ, κατὰ δὲ τοὺς παλαιοὺς, ὁ ἐπόπτης καὶ βοηθός. εἴη δ᾽ ἂν κυριώτερον εἰπεῖν ζημιαρὸς, ἐπιδικαστὴς, παρὰ τὴν ζημίαν. ἢ λαλοῦσι τῶν ποινῶν. ἢ ἐπιζημιωτικὸς, ἤγουν ζημιῶν. Ἐπιζημία, ἡ συνωρία, ἡ ἡ μὴ ἀζημία. ἐπιζημία τὰ ἐπὶ ζημίᾳ ὧν ἐὰν γινόμενα, καὶ οἱ μισθοί, Σοφοκλῆς. Ἐπιτίμιον, ἡ ζημία, ἡ ἐπιβολή. ἢ ὁ μισθός. ὡς τὸ ἐπὶ ἀμοιβῇ ἀγαθοῦ διδόμενον, ἐπικαλουμένης. καὶ πρόστιμον, ζημία. Ἐπίτιμον, πλούσιον, ἢ τὸν μὴ ἄτιμον, ζημιαρόν. Ἐπίτιμος, ὁ ἐπιζημιωτής. ἐπιτίμιος δὲ, ὁ ἐπιπλήκτης. ἀφ᾽ οὗ καὶ τὴν ἐπίπληξιν, ἐπιτίμησιν φαμὲν. καὶ ἐπιτιμῶ ὅπερ αἰτῶ, ἀντὶ τοῦ ἐπιπλήσσω. καὶ ὁ δημιουργῶν ἡμᾶς, πρὸς τὴν ἰσὸν τὸν αἰρεῖν. Ἐπιζημιῶ, τὸ ἐπιπλήσσω, τὸ μέμφομαι, καὶ τὸ λοιδορῶ, καὶ τὸ ζημίαν ἐπιτίθεμαι. ὡς ὅτι τοὺς ἐπιζημιοῦμαι, δοτικῇ καὶ αἰτιατικῇ συντάξει. οἷον ἐπιζημιῶ σοι, καὶ ἐπιζημιῶ σε. Ἐπιζημιοῦσιν, οἱ ἀττικοὶ λέγουσιν, ἐπὶ τοῦ βλάπτειν τὰς τῶν ἀνθρώπων ζημίας. καὶ ἀναλαμβάνοντες καὶ ἐπιτιμῶσιν. ὥσπερ ἐπὶ τοὐναντίον, ἐπαινοῦντες, ἀξία τιμᾶν προσεπαινεῖν.

Ἐπίτιτθον, ὑπομάζιον, ὑπὸ τῇ τροφῇ. ἔνθεν δὲ τὸ νέκυον ὑπόστιθον. Ἐπιτμήγειν, ἐπιτέμνειν, ἀποθάλλειν. Ἔπιτνον. Ἡ ἐπίσιος ἐν ἀσπίδι, Οἱ δ᾽ ἄρ᾽ ἐν ἄλλοι ἐπεσίοις, διὸ ἀντὶ τοῦ τὰ πολλὰ τοῦ ἀσκεῖν, καὶ ἐπιτνοῦ ἀλλήλων, ἀντὶ τοῦ τὴν ἄλλην ἐπλήρωσαν, ἔρριπτον, ἐξέτεινον, ὑψηλὴν ἐπὶ τῷ ξυρηθῆναι τοῦ ἔχειν. ἀπὸ τοῦ πίπτω πέπτω, ἢ πίτνω, πίτνε. Ἐπιτοαυτὸ, ὁμοῦ, εἰς τὸν αὐτὸν τόπον. ἔστι δὲ ἐπίρρημα συναθροίσεως, ἢ ἀθροίσεως, οἷον τὸ μοναδικόν. ἐκ τοῦ ἐπὶ προθέσεως, καὶ τοῦ αὐτὸς ἀντωνυμίας. Ἐπίτοκος γυνὴ, εἶπεν ἀλοκίμως Ἀλεξαῖος ὁ κωμικός. διὸ ἐν ἐπιτιξ, φρόνιμος. Ἐπιτολαὶ τῶν ἄστρων ἀστέρων, δύο εἰσίν. ὧν μὲν ἐστιν ἐπιβολὴ, ὅταν ἔξω τοῦ αὐτῶν τοῦ ἡλίου πρώτην ἐπιτείλῃ ἄστρον. καὶ πρὸ αὐτοῦ ἀνατέλλων ὀρθὸς. ἰδία δὲ λύσις, ὅταν ἡλίῳ πρὸς τὴν ἀνατολὴν ὄντος, ὁραθῇ τὸ ἄστρον περὶ τὰς λύσεις ὥστε αὐτὸν λύειν τοῦ ὅσα κατ᾽ ἐκείνην τὴν νύκτα λύει. ἑσπερία δὲ ἐπιτολὴ, ὅταν δύνοντος ἡλίου ὁραθῇ τὸ ἄστρον ἐπὶ τοῦ ἀνατολῇ· πρῶτον τῷ καθ᾽ ἐκείνην τὴν νύκτα ἀνίσχει. ἑσπερία δὲ λύσις λέγεται, ὅταν ἡλίου δύνοντος, ἄστρον ὀρθῶς τὸ πρὸ τοῦ ἄλλων ἐγκατάδυνον αὐτὸ, ὡς ἂν τῷ ταῖς αὐγαῖς τοῦ ἡλίου γένηται. ὁ δὲ τοῦτο ταῖς αὐγαῖς κρύψεως πᾶς, κρύψις ὀνομάζεται. Ἐπιτολὴ, ἡ ἀνατολὴ, ἢ φαῦσις τῶν ἀστέρων. Ἐπιτολμῶσαι, ἐπεκελεύσθη. καὶ ἀνασπεῖσαι ἐπιτολμήσαι τῷ λιμένι καὶ τῷ σωτῆρι. Ἐπίτονος, ὁ δεσμὸς ἡμᾶς πρὸς τὸν ἰσὸν τὸν κέρας. Ἀριστοφάνης, ἐπὶ ἐπιτόνου, γελοῖον δὲ ἐπὶ λέρματος. καὶ Ὁμήρου, ἐπίτονος βίβλος. Ἐπιτρέχω, καταπίτνω. Ἐπὶ τοῦ μακροβίου, ἐπὶ τοῦ κατὰ τὸν Χεῖρον προκόπτοντος. ὁ δὲ μακρόβιος διὰ σταυρὸν ἱερὸν, τῷ πρώτῳ χρόνῳ πρόβατον χρυσοῦν ἀνέθηκε τῇ ἥρᾳ, τῷ δὲ δευτέρῳ ἀργυροῦν, καὶ τῷ τρίτῳ χαλκοῦν. Ἐπὶ τοῦ αἰθέρος ὁ αἰθὴρ, ἤγουν ὑπὲρ τοῦ ἀέρος. Ἐπὶ τόνοις, πρὸς τόνοις. ὡς τὸ, ἐπὶ δὲ τῇ ἄλλῃ πολλὰ σε διδάξω, ἤγουν μετὰ ταῦτα. Ἐπὶ τοῦ ἐκεῖνος, ἐπὶ τοῦ πλάνης, ἢ τοῦ ἐπισαμένου. Ἐπιτραπεζίδιος, ὁ παράσιτος.

Ἐπιτραπε-

κὸς ἰσάμην, ἴσαμαι, καὶ ἰσασθαι. καὶ μετὰ τῆς ἐπὶ προθέσεως, ἐπίσω. τὸ προστακτικὸν, ἐπίσω. οἷον, γίνωσκε, ὦ νῦν ἐπίσω. ταῦθ' ὅταν ζητῇς, ἐμὸν ζητεῖς ὄλεθρον. Ἐπισώθη, ἐπείσθη, ἐπληροφορήθη. Ἐπισυναγωγὴν, τὴν συμφωνίαν ἐκάλεσεν ὁ Ἀπόστολος. Ἐπισυνάπτων, συνωθροίζοντες, οἱ ἐξέπηθεν ἐπιλελυμένοι ἐπισυνάπτων. Ἐπισυνίστασθαι, ἐπισυνάγεσθαι ἐγγύτερον, καὶ συνέρχεσθαι. Ἐπισύρεται, ἐφέλκεται. Ἐπισυρόμενοι, προκυλινδούμενοι. Ἐπισύρων, χλευάζων, γελῶν. Ἐπισύστασις, τὸ σύστασις καὶ σύστημα, σημαίνει τὸ πλῆθος. ἢ ἐπισύστασις, ἡ ἐπὶ δια τὸν ἐπανόρθωσις. Ἐπισύσσει, ἐπισυνάχθη ἐπὶ συναλιῶσαι. Ἐπισφαλὴς, βλαβερὸς, ἐπικίνδυνος. ὅθεν ἐπισφαλῶς.

Ἐπίσφατον, ἐπίῤῥητον, παρὰ τὸ φημὶ φατός. ὡς βίβημι βατὸς, τὸ σύνθετον φατὸν, καὶ ἐπίφατον. καὶ πλεονασμῷ τοῦ σ, ἐπίσφατον, ἐπίμωμον, ὃ συνομιλοῦν, ἢ ἐπὶ κακῷ ὀνομασμένον.

Ἐπισφιλίτας, ὁ θρανίτας. σφίλας γὰρ, τὸ ταπεινὸν δίφριον, τὸ ὑποπόδιον. τοιοῦτος δὲ καὶ ὁ θρᾷξ, ἔχει δὲ τὴν ἄνω ἕδραν.

Ἐπισφαλὲς, βλαβερὸν, ἐπικίνδυνος. Ἐπισφοραί, δῶρα, ξένια, κατάλληλα. Ἐπισφραγίζων, βεβαιῶν. Ἐπισφύρια, τὰ καλύπτοντα τὰ σφυρά. Ἐπισφυρίοις, τοῖς ἐπὶ τῶν κνημίδων περιλελημένοις. Ἐπιχειλὸν, σύνεγγυς. Ἐπιχεὶρ, ἀντὶ τοῦ ἐμπελάζων εἶναι. ἢ ἐπιχεὶρ, οἷον τὸ ἐγγὺς χείρ. τὸ ἐναντίον τὸ ἀποχεὶρ, καὶ ἐπίχειρε θυμὸν ἑαυτοῦ, ἤγουν ἐπίχειρε τὴν ψυχὴν τὰς ἑαυτοῦ. Ἐπίχειο, ἐπίχει. Ἐπισχερὼ, ὀξύνεται μὲν ὁμοίως τῷ ἑξῆς. σημαίνει δὲ τὸ κατὰ τάξιν, καὶ ὡς εἰπεῖν ἐχομένως καὶ ἐφεξῆς, καὶ συνεχῶς, καὶ συνεχῶς. ὡς γὰρ ἐκ τῆς ἐπὶ προθέσεως καὶ τοῦ ἔχω καὶ ἕξω γίνεται τὸ συνεχῶς, καὶ τὸ ἐφεξῆς, οὕτως ἐκ τῆς αὐτῆς προθέσεως καὶ τοῦ σχῶ σχῶ, σύγκειται τὸ ἐπισχερώ. ποιητικὴ δὲ ἡ λέξις, κειμένη καὶ ἐν ὀδυσσείᾳ, καὶ παρὰ Θεοκρίτῳ, καὶ ἑτέροις. Ἐπίσχεο, ἄσχε. Ἐπισχεσίην μῦθον παρ' Ὁμήρῳ ἐν ὀδυσσείας φ. οἱ παλαιοὶ ἐνταῦθα ἐπιεικέως τὸν μῦθον ἢ κάσιν λέγουσιν. ἐπεὶ καὶ Λυκαρίων τὰς ἐν σταδίῳ θέλων εἰπεῖν κακωτικὰς, μυθεῖται δ' ὡς αὐτὸς φησὶ δίκην ἐρεῖν ἄσε, ἀντὶ τοῦ κακωτικὰ, ἐπίῤῥηνι. ἢ ἄλλως. ἐν μύθοις καὶ μόνοις ἔχοντας τὸ σημεῖον. ἢ καὶ ἀγορεύει, βλάβεροι. ἐπισχεσίην δὲ τὴν πρόφασιν. ἐπειδὴ οἱ προφασιζόμενοι ἐπέχουσιν, ὅ ἐστι μένουσιν ἐνεσχημένοι, τί ἂν εἴπωσιν. ὅθεν δῆλον τὸ οὕτως ἐπιμένειν καὶ μόνην τὴν τοιαύτην ἐπισχεσίην μετ' ὀλίγα ἐρεῖ, ἐν τῷ, ἀλλ' ἄγε μὴ μύθοισι παρέλκετε, ἤγουν προφάσεσιν. ἵνα ᾖ, οἱονεὶ τὶς μονή. μονὴ γάρ ἐστι χρεία τοῖς προφασιζομένοις, καὶ ἐπέχουσιν, ἅτε ἐπέχουσιν ἀφ' ἧς λέξεως καὶ οἱ ἐφεκτικοὶ ... κατὰ τοὺς παλαιοὺς, ὅ ἐστι σκεπτικοί. ἐκ δὲ τοῦ μονὴ, γίνεται αἰολικῶς μύνη, κατά τι σύνηθες βαρὺν τόνον, καὶ τροπῇ τοῦ ο. ὁμοίως τῷ ὄνομα ὄνυμα, ἀνώτεροι ἀνύτεροι, καὶ τοῖς ὁμοίοις. λέγει δέ φασι καὶ Ἀλκαῖος τὸ προφασίζεσθαι μύνασθαι. οἷον, οὐδ' ἐν μυνάμενος. ἕτεροι δέ φασι μύνην, τὴν πρόφασιν. παρὰ τὸ μύειν τὸ στόμα. Ἐπίσχεσις παρ' Ὁμήρῳ ἐν ὀδυσσείας ρ, ἐπεὶ οὔτι ἐπίσχεσις οὐδ' ... ἐστιν, ὡς μὴ φειδομένων τῶν μνηστήρων ἐπὶ τοῖς ἀλλοτρίοις. τούτῳ δ' ἀκόλουθον καὶ τὸ εἰ δ' ἐλεητὺς, ἀλλοτρίων χαρίσασθαι, ἐπεὶ οὔ τις μία φειδὼ δωρεῖσθαι τὰ ἀλλότρια. ὅπερ αὐτὸς μὴ ποιῶν ἀγαθὸν ... ποιεῖν. Ἐπισχοίης, ἀντὶ τοῦ ἐπάνω αὐτοῦ ἔχοις. ἐκ τοῦ σχοῖμι δὲ, σχοίην, ἀττικῶς. ὁμοίως τῷ περιπατοῖμι, περιπατοίην, καὶ τοῖς ὁμοίοις. κυριώτερον δὲ ἐπιχεὶρ λέγεται τὸ κρατοῦσα. ὅθεν μεταφορικῶς καὶ σιγῶσα, οἷον ἐπίχειρ ὦ οὗτος, ἀντὶ τοῦ σίγησον. ἀντίκειται δὲ τὸ ἐπιχεὶρ τῷ ὑποχείρ. οἷον ὑπὸ χεῖρα, ἀντὶ τοῦ ὑποκάτω. Ἐπὶ χειλῆς ἀπηργμένως φιλοσοφεῖν, ἀντὶ τοῦ ἐπὶ ψιλῆς ... ἐργασίας. Ἐπισχόμενος, ἀντὶ τοῦ κατασχεσάμενος. νῦν δὲ δηλοῖ τὸ ἐπέχειν τὴν χεῖρα καὶ ἰσάζειν τὸ κατὰ σκοποῦ βάλλοντα. οἱ δὲ παλαιοί, ἀντὶ τοῦ λαβόμενος φασὶν, ἐλλιπῶς λέγοντες. ὡς ἂν χειρὶ κρατοῦντος. ὡς γὰρ ὁ ἔγχος ἐπίσχει ἕνεκα τοῦ λαιμοῦ, οὕτω καὶ ὁ Ὀδυσσεὺς, ἔβαλε τὸν Ἀντί-

νοον κατὰ λαιμὸν ἐπισχόμενος. Ἐπιχόρτο, ἐπισκόρτους.

Ἐπισχὼν, προσάγων, ἢ τὸ σίμαλ προσανεγκών. ἢ κωλύσων, καὶ ἐπισχὼν, κρατήσας, βραδύνας. Ἐπίσωτρα λέγει ὁ ποιητὴς, τοὺς ἐπικειμένους κύκλους τοῖς τροχοῖς. ἢ οἱ τὴν ἴτυν περιέχοντες κύκλοι, ἤτοι κανθοί. Ἐπίσωτρα, τὰ ἐπάνω τῶν τροχῶν σιδηρᾶ, ἢ χαλκᾶ, ἃ καὶ κανθοὶ καλοῦνται. ὁ ἔξωθεν τὸν τροχὸν κατέχων σίδηρος, οἱ σιδηροῖ, ἢ χαλκοῖ κύκλοι τῶν φολῶν. Ἐπισωφροσύνη, ἡ ἀκριβὴς φρόνησις, πλεοναζούσης τῆς προθέσεως, ὡς καὶ ἐν τῷ ἐπιβουκόλος καὶ ἐπίουρος, ἢ ἡ πλείων φρόνησις. Ἐπίταγμα κάλλιον, ἢ πρόσταγμα. καὶ ἐπιτάττω, ἢ προστάττω. ἢ ἐπίταγμα, δέδοται ... ἀνδρῶν ἐπικουρικόν ... Ἐπὶ τάδε, τὴν ἐντεῦθεν πάροδον. τὴν ἐπὶ τάδε παρὰ τοῖς βαρβάροις ... καταστείχει. Ἐπιτάδιος, ὁ ἱερεύς. Ἐπιτακτικῶς, προστακτικῶς. τοὺς δὲ πρὸς αὐτὸν προσβεβοηθηκότας ἐπιτακτικῶς αὐτῷ διαπέμπειν περὶ τούτων. Ἐπιτακτοὶ ... οἱ προτεταγμένοι τὴν μάχην ἐφορῶν, καὶ τῷ ... μέρει βοηθεῖν. Θουκυδίδης, καὶ ... ἐντὸς τούτων τῶν ἐπιτακτικῶν ...

Ἐπιταλαιπωρεῖν, ἐπικαταμοχθεῖν, ἢ ἐπιπονεῖν. Ἐπίταλον, τὸ λοχέσιον. Ἐπὶ τὰ Μανδραβούλου, παροιμία ἐπὶ τῶν ἀεὶ ἐπὶ τὸ χεῖρον προϊόντων. ἀπὸ Μανδραβούλου τινός. Ἐπιτὰξ, παρὰ Καλλιμάχῳ, ἐπίῤῥημα παρὰ τὸν ἐπιτάξω μέλλοντα. εἰς δὲ τὸ ... λεξικὸν, ... τὴν λέξιν σημαίνειν τὸ συντόμως ... . τὸ ὅλον ... σοι ἡ ἐπιτὰξ, οὐχ ὡς οἱ ... μακρῶς.

Ἐπιταξίδια, σιδηραῖ ἐνεῖς, ὡς ἄγκυραι. Ἐπὶ τὰ πρόσω, ἐπὶ τὰ ἔμπροσθεν. Ἐπιτάῤῥοθος, πλεονασμὸν ἔχει τῆς ταρ συλλαβῆς. ἐπίῤῥοθος γὰρ ὁ ... ἐπίκουρος, καὶ μετὰ ῥόθου βοηθῶν. καὶ ἐπιτάῤῥοθος, βοηθὸς, ἰσχυρὸς, σύμμαχος. Ἐπιτάφιον, ἐντάφιον. Ἐπίτασις, καὶ ἄνεσις. ἡ μὲν ... σφοδρὸν ἀποτελεῖ ψόφον. ἡ δὲ παραμένει, ἐλάττω. οὕτως οὖν οἱ φιλόσοφοι ἐπίτασιν μὲν λέγουσι τὴν σφοδρὰν ἀντίληψιν τοῦ πράγματος. ἄνεσιν δὲ, τὴν ἐλάττω. Ἐπιτάττω, δοτικῇ καὶ αἰτιατικῇ συντάσσεται. οἷον ... ἐπίταξε τὰ πρακτέα. Ἐπίταυρον, ἰσχυρόν. Ἐπιτάφιοι λόγοι, ἐπικήδειοι, ἐλεγεῖα, ἐπιγράμματα. Ἐπιτάφιον, αὕτη ἡ ... καὶ τοῦ ἀριστοῦ, αὐτῷ ἐπιτάφιον ἐγκώμιον. Ἐπιτεθυμένων, ἐπικατα... Ἐπιτεῖλαι, καὶ ἐπιτεῖλον, ἀντὶ τοῦ προστάξαι καὶ πρόσταξον. ἰωνικὸν δὲ ἴδιον τὸ τὰ ἀπαρέμφατα ἀντὶ προστακτικῶν λαμβάνειν.

Ἐπιτέλλον, ταυτόν ἐστι τῷ ἀνατέλλον. Ἐπιτείλας, ἀνατείλας. ... αὐτοὺς ὁ ἥλιος ἐπιτείλας ἴδῃ. Ἐπιτεῖλαι, ἀντὶ τοῦ τάξαι, ἐντείλασθαι. Ἐπιτείνει, ἤγουν αὔξει. καὶ εἰς ἐπίδοσιν ἄγει, οἷον ἐπιτείνει τοὺς περὶ λόγους ἐσπουδακότας. Ἐπιτείχισμα, τὸ τειχιζόμενον κατὰ ... χωρίον. ὅθεν ... οἱ τειχίζοντες, κακῶς ... τοὺς ἐπιτειχισθέντας. καὶ τὸ πρᾶγμα δὲ, ἐπιτειχισμὸν ὀνομάζουσιν. Ἐπιτείχισμα, ἐποικοδόμημα. Ἐπιτειχισάντων, ἐπελθόντων. Ἐπιτελείωσις, αὔξησις. Ἐπιτελέωσις, καὶ ἐπιτελέωμα. ἀμφότερα πολλάκις ἐστὶ τὰ ὀνόματα, ἐν τῷ περὶ τῆς ἱερείας Λυκούργου. ἔοικε δὲ ἐπιτελέωμα λέγεσθαι τὰς προτέρας θυσίας. αὐτὸς γοῦν ὁ ῥήτωρ ἐν τῷ αὐτῷ λόγῳ φησὶν, ὅτι δεῖ ... πάντων ὕστατα ταῦτα θύεσθαι, καὶ ἐπιτελειώματα εἶναι τῶν ἄλλων θυομένων. Ἐπιτελὲς, καὶ ἐπιτελέσιμα, τὸ ἐπὶ πᾶσι γινόμενον, ἀπὸ τοῦ τελείας γίνεσθαι τὰς προτέρας θυσίας ἐπιτιθεμένων. Ἐπιτελέσμα, τὸ ἐπὶ θυσίᾳ γινόμενον. Ἐπιτελοῦσαι, ὅπερ νῦν ... λέγομεν. Ἐπιτελῆ, τὰ εἰς ὥραν ἀγόμενα. ὁ δ' ὑπέχειν πάντα ἐπιτελῆ ... Ἐπιτελὴς, ὡραία γαμεῖσθαι. Ἐπιτέλλειν, τὸ προστάσσειν καὶ ἐντέλλεσθαι, ὅπερ καὶ καθολικῶς λέγεται. ἐν τῷ, μή μοι ταῦτα ἐπιτέλλεο. ἐξ οὗ δὲ προθέσει τοῦ σ παρ' Αἰσχύλῳ ἐπιστολὴ, ἡ ἐντολή. ὅτι δὲ τὸ τέλλειν καὶ τὸ ἐπιτέλλεσθαι καὶ ἐπὶ ἀστέρων λέγεται, καὶ ἐπιτολὴ ἡ τούτων πρὸ τοῦ ἡλίου ἀναβολὴ, δηλοῦσιν οἱ παλαιοί. Ἐπιτέλλειν δεῖ, τὸ ἐντέλλεσθαι.

ὅθεν

γυμνασίῳ δέ φασιν ἐπιστάτης, ὁ ἐπιμελητής. ἐνταῦθα δὲ μνησθεὶς τοῦ γραμματικοῦ Ἀριστοφάνους, εἰκότως οὕτω φησίν. ἐπιστάτας ἐκ μόνου τοῦ χυτρόποδος δοκεῖ τοῖς πολλοῖς τάττεσθαι. καὶ τοῦ μεταστατοῦ, ὡς παρ' Ὁμήρῳ. ἀγνοοῦσι δὲ, ὅτι καὶ ὁ παιδοτρίβης οὕτω καλεῖται. Ἐπιστάριος, χοῦς ἐν κρήτῃ. Ἐπιστατὴρ, τὸ σῶμα τῆς νεώς. Ἐπιστατοῦμεν, ἀγοραζόμεθα. καὶ οἱ τῶν πλοίων νομεῖς.

Ἐπιστάτα θαλασσᾶς, χαλκοῦς τρίπους χυτρόποδος ἐκτελῶν μείων. οἱ δὲ πάλιν τὸν ὄφασον, πρὸς τὰς ἑστίας ἐφθαρμένον, ὡς ἐφέρειν τοῦ πυρός. ἔστι δὲ καὶ ξύλον ἐπίμηκες πεπασσαλευμένον, ὅθεν ἐξάπτουσι τὰ μαγειρικὰ σκεύη. καλεῖται ἐπιστάτην, τὸ τῇ ἐσχάρᾳ ἐπιτιθέμενον ξύλον ἐν ταῖς ἐσχάραις, ὥσπερ ἐν ταῖς καμίνοις τὸν ὄφασον ἀναπλάττουσιν. ἄλλως. ὁ ἐπιστάτης, ξύλον ἦν κέρατα ἔχον, ἐξ οὗ κρεμῶσι τὰ μαγειρικὰ ἐργαλεῖα. οἱ δὲ τρίποδα χαλκοῦν, ᾧ ἐπιτιθέασι λέβητα ὑψούμενον. οἱ δὲ πλινθίον τινὰ λίθον πρὸς ταῖς ἐσχάραις. Ἐπιστάτης Ἀθήνησιν, εἷς τῶν πρυτάνεων εἷς, ὃς ἐπιστατεῖ νύκτα καὶ ἡμέραν μίαν. πλείω χρόνον οὐκ ἔξεστιν, οὐδὲ δὶς τὸν αὐτὸν γενέσθαι. τάς τε κλεῖς, ἐν αἷς τὰ χρήματά εἰσι, φυλάττει, καὶ γράμματα τῆς πόλεως, καὶ τὴν δημοσίαν σφραγῖδα. κληροῖ καὶ προέδρους ἐξ ἑκάστης φυλῆς ἕνα, πλὴν τῆς πρυτανευούσης, καὶ πάλιν ἐκ τούτων ἐπιστάτην ἕνα. ἕτεροι δὲ ἐπιστάτην φασὶ, ξύλον τι πασσάλους πολλοὺς ἔχον, ἐξ οὗ οἱ μάγειροι ἐκκρεμῶσι τὰ κρέατα, καὶ τὰ ἐργαλεῖα. ἄλλοι δὲ ἐπιστάτην εἰδωλόν τινα πήλινον πλαττόμενον παρὰ ταῖς ἐσχάραις, ὥσπερ παρὰ ταῖς καμίνοις ὀφθαλμοὺς πλάττουσιν. ὁ ἐπιστάτης, λέγει Ἀριστοφάνης ὁ γραμματικὸς, ἐπὶ μόνου τοῦ χυτρόποδος δοκεῖ τοῖς πολλοῖς τάττεσθαι, καὶ τοῦ μεταστατοῦ, ὡς παρ' Ὁμήρῳ. ἀγνοοῦσι δὲ, ὅτι καὶ ὁ παιδοτρίβης οὕτω καλεῖται. παιδαγωγὸς δὲ λέγεται, καὶ ἐπιστάτης, ὁ τοῦ γυμνασίου ἐπιμελητής. Ἐπιστί, ἐφεστί. Ἐπιστίβων, πατῶν. Ἐπιστίλαι, ἀντὶ τοῦ ἐστίλβωσαν. Ἀριστοφάνης, ἡ σελήνη ἐντυχοῦσα ἡμῖν, ἐπέστειλε φράσαι, πρῶτα μὲν χαίρειν Ἀθηναίοις. καὶ Θουκυδίδης, ἐπεστάλκασι τὰ πρέποντα εἰπεῖν. Ἐπίστιλβο, μέμψαι, ἢ μέμψη. Ἐπιστέλλει, ἐστέλλετο, ὑποστέλλεται. οὐκ ἐπιστέλλει ἐσθῆτος τὰς αὐτόπτας χειμερινήν. Ἐπιστέλλω, καὶ ἀποστέλλω διαφέρουσιν, τὰ ἐπισταλτικὰ καὶ ἀποσταλτικὰ ῥήματα πάντα μετὰ δοτικῆς συντάσσεται. καὶ τὸ ἐχίσως, δοτικῇ συντάσσεται. οἷον τὸν ἰσότιμον τῷ ἀνθρώπῳ, καὶ τοῦ ἰσοτέλει, ἀντὶ τοῦ χάριν σου τέλει. Ἐπιστός, ὁ ἱκέτης, παρὰ Ἡροδότῳ. Ἐπιστύφω, ἐπιτύχως. Ἐπισύρξ, κλοπὴ, οἰκοδομή. Ἐπισφάττεσθαι, ἐπισφαττομένοις. Ἐπισφίς, πλῆρες, κρεμάμενον. Ἐπισφυρὶ κρατῆρας αὐτοῦ, λέγει Ὅμηρος, τὸ μέχρι τοῦ χείλους ἐκπεπληρωμένον. ἢ μᾶλλον ἐπιχαλκεῖς τοῦ ἔδους κρατῆρας στεφανοῦν. ἐκ τούτου δὲ καὶ κρατῆρος ἐπιστεφέας εἶναι, παρὰ τὴν γλῶσσαν χρυσῷ. ἴσως δὲ, ὅτι ἐξωμίδι ἀνάπαλιν τὸ ἐπιστέψαι, τὸ ἐκστέψαι Παυσανίας φησίν. ἐκεῖνο μὲν γάρ ἐστι πληρῶσαι αὐτοῦ. νῦν δὲ ἐκκενῶσαι, ἐλάσσω φασὶν ἐπιστέψαι καὶ ἀνατεθῆναι. ἐκ μεταφορᾶς τῶν τὰ στέμματα ἀνατιθεμένων. Ἐπίστη. ἀόριστος δεύτερος, ἀντὶ τοῦ ἐπίστασο, ὅ ἐστιν ἐπιστήθι. ἀπὸ τοῦ ἐπίσταμαι. ἐπίστασαι, ἐπίστα. τροπῇ τοῦ α εἰς η, καὶ κατὰ κρᾶσιν τοῦ η, καὶ α εἰς η, γίνεται ἐπίστη. Ἐπιστήγματα, ἐπιπλάσματα. Σοφοκλῆς Ἀθάμαντι, ἐπιστάγματα.

Ἐπίστηθι, γνῶθι. ἢ ἐπίστηθι, ἐπιτύχε, ἐπιτίθου. ὡς ὁ Ἀπόστολος, ἐπίστηθι εὐκαίρως ἀκαίρως. Ἐπιστήματα, ξύλα ἐπιτιθέμενα. σημειῶς τε καὶ ἐπὶ ὅδοις ἐπιστήματα ἐπιστῆσαι. Ἐπιστήμη, ἐπιστημοσύνη, γνῶσις, ἐπιστημονικὴ γνῶσις, ἀλήθεια, κατανόησις, διάγνωσις, θεωρία, ἐμπειρία, τέχνη, εὐτεχνία, ὀρθολογία. ἢ ἐπιστήμη ἐστὶ, νοῦς καθαρὸς περὶ τὸ ὄν. ἢ ἐπιστήμη τῶν ὄντων ἐστὶ διηκριβωμένη κατάληψις. ἐπιστήμη ἐστὶ, τὸ ὑπὸ ἀπταίστου λόγου συνεχόμενον, καὶ τῶν ὄντων τὰς ἀρχὰς περιλαμβάνουσα, καὶ καθολικῶς ἐξηγεῖσθαι. ἐπιστήμη ἐστὶν, ἐξακρίβωσις λογικῆς ψυχῆς. βαθέως ἐνορῶσα τὰ πράγματα, καὶ εἰς ἐπιπλοκὴν

ἀπείσω τὰς ἐναργείας ἐκτελοῦσα. τάς τε γὰρ τῶν σχημάτων ποικιλίας ἐκλεγόμενοι, εἰς γεωμετρίαν ἀνεθηκάμεθα, καὶ τὴν τῶν ἀριθμῶν τάξιν εἰς ἀριθμητικὴν ἀνηγάγομεν, καὶ τὴν τοῦ παντὸς κίνησιν εἰς ἀστρονομίαν ἀνελαβόμεθα. ἁρμονικούς τε, καὶ ῥυθμικούς, καὶ μετρικοὺς ἁρμονίαν τε καὶ σύμμετρον διακοσμοῦντες, μᾶλλον δὲ καταπαύοντες, ἐν περιοχῇ μουσικῆς κατεστησάμεθα. Ἐπιστημονικώτατος, σοφὸς ἀκριβής. Ἐπιστήμονος, τοῦ ἐμπείρου. Ἐπιστήμως, ἐπισταλτικὰ, σύνεσις, ἐφεκτικά. παρὰ δὲ τοῖς ἐπιστημονικοῖς. Ἐπιστήμων, εἰδήμων, γνωστικός, σοφός. Ἐπιστῆναι, φανῆναι, ἐπιπεσεῖν.

Ἐπιστῆσαι, ἐφορμῆσαι. Ἐπίσταται, γινώσκεται. Ἐπίστιον, ὡς ἄλλοι εἰπεῖν ἐπίστιον. οὕτω δὲ λέξις, διὸ ψιλοῦται καὶ ἐπίστιος παρὰ Ἡροδότῳ, ἀντὶ τοῦ ἐφέστιος. καὶ Ἀθηναίων ἐπίστια. γίνεται δὲ ἀπὸ τοῦ ἱστίου, ὅτι ὁμοίως τῇ ἑστίᾳ δασύνεται. αὐτὰ μὲν ἀπὸ τοῦ ἵστασθαι. ἀπὸ τοῦ ἑστάναι δὲ ἡ ἑστία λέγεται. τὸ ἐπίστιον, καὶ τὸ νεώριον καὶ τὸν τόπον νεωλκῶς, καὶ τὸν οἶκον. καλοῦνται δὲ καὶ οἱ ἐκ γειτόνων ἐπίοικοι. Δίδυμος δὲ Διονύσιος λέγει, ὅτι ἴσως μὲν πάντας φασίν. ἀθηναῖοι δὲ νεωσοίκους καὶ νεώρια. οἱ δὲ αὐτοὶ καὶ νεωρίον φασι, τὸ ναυφυλακεῖν. Ἐπίστιον, στρατιωτικὸν κατάλυμα. Ἡρόδοτος, ὁ δὲ ἀγαλλίασε τὰ ἐπίστια τῶν Ἀθηναίων. Ἐπίστιος παρὰ Ἡροδότῳ, ὁ ἱκέτης. Ἐπὶ στίχων, κατὰ τάξιν, ἢ κατὰ τὸ ἑξῆς. Ἐπιστοχασάμενος, ἐπιστοχασθείς. Ἐπιστοιβάζειν ἔπεσιν, ἐπιλοιδορεῖν. ὑβρίζων, Ἀπολλώνιος. Ἐπιστοβοῦσι, χλευάζουσι, λοιδοροῦσι, μωμῶνται. Ἐπιστόμιον, ἐπιστήμιον. Ἐπιστολαδίαν, ἀντὶ τοῦ κοσμίως, καὶ ἐπισταλμένως. Ἐπιστολὴ, ἐπίταξις, ἐντολή. ὁ δὲ παρὰ ἱερεῦσι ἐπιστολὰς λέγει καθάπερ δὴ καὶ Κρατῖνος, ὅταν ταῦτα καὶ τὴν ἐπιστολήν. καὶ ὁ Πλάτων, μεμνημένοι τοῦ τῆς πατρὸς ἐπιστολῆς. οἱ ξενώσαντες ἡμᾶς. Ἐπιστολεῖς, γραμματοφόροι. ὁ δὲ δοῦλος ἐπιστολεῖς πρὸς ἐναντίαν πέμπεται. Ἐπιστομεῖν, ἐμφράττειν, κατέχειν. Ἐπιστομίζων, κατασιγάζειν, ἐπὶ τὸ στόμα χεῖρα ἔχων, μηδὲ φωνὴν ἐᾶν προϊέναι, παρὰ τῷ Ἀριστοφάνει. Ἐπιστραβὰς, ὄχημα, ἀκινδύνως φέρον. Ἐπιστράτια, ἀπαιτήσεις τῶν χρημάτων, καὶ ἕρματα. Ἐπὶ στρατὸν, ἐπὶ στρατιάν. Ἐπιστρέφεια, ἡ ἀγχίνοια. ἐπιστρεφὴς ὢν καὶ ἀγχίνους, ὅμως μὲν ἐκ εὐπαθείας γυνὸν ἐπιλελοίπει. Ἐπιστρέφεται, φροντίδα ποιεῖ. καὶ ἐπιστροφὴ, ἡ ἀντίστασις. Ἐπιστρεφέως, ἐπιμελῶς. παρὰ τῷ Ἡροδότῳ, καὶ ἀκαταλήκτως. Ἐπιστρέφομαι ἐγώ. ὡς Πλάτων, ἐπιστραφεὶς κλαυθμὸν ὁρῶ ἐπὶ ἀξίων. καὶ ἐπιστρέψω ἔτερον, οἷον τὸν τὰς ἀπάντων ὄψεις εἰς ἑαυτὸν ἐπιστρέψαι. Ἐπιστρέφω. λέγεται μὲν καὶ τὸ ἐπισπῶμαι καὶ ἐφέλκομαι εἰς ἑαυτὸν, ὅτι διὰ χθὲς τῶν ἑταίρων, ἢ τῶν πιθανῶν λόγων εἰς ἑαυτὸν ἐπιστρέφω. λέγεται δὲ κοινῶς ἐπιστρέφω, καὶ τὸ ἀνακαλοῦμαι, καὶ διορθοῦμαί τινα παρὰ τὸ δέον ποιοῦντα, ἢ λέγοντα. οἷον ὁ δεῖνα τὸν δεῖνα πολλὰ πρὸς ὀργὴν συντείνοντα παιδεύσεως ἐπέστρεψεν, ἀντὶ τοῦ διωρθώσατο. Ἐπιστροφάδην, τὸ ἐπιστρεπτικῶς. ἄγειν ὧδε καὶ ἐκεῖ, καὶ ὡς εἰπεῖν κύκλωθεν ἢ πάντοθεν. Ἐπιστροφῆς, ἀμύνει. καὶ κοινῶς αὐτὸς ἐκεῖσε φέρεσθαι πεφυκέναι ἡ συνέλευσις. ἢ τὸ πλῆθος, καὶ ἡ συνάθροισις. Ἀριστοφάνης, μυρίαι κακῶν ἐπιστροφαί. Ἐπίστροφος ἦν ἀνθρώπων, ἁρμόττει ἀνθρώπων φιλόξενον, ἢ ἄλλως ἔνδοξον. ἔστι δὲ τὸ ἐπίστροφος, μέση λέξις. πάθος τι γὰρ δηλοῖ καὶ ἐνεργειαν. τὸ γοῦν, ἐπεὶ καὶ ἐκεῖνος ἐπίστροφος ἦν ἀνθρώπων. ἢ φησὶν δηλοῖ, ὡς ἂν ἐπίστροφος ἀνθρώπων ὁ ἐπιστρέφων καὶ ποιούμενος τὴν εἰς ἄλλους ἐπιστροφὴν, ὅ ἐστι φιλόξενος, καὶ πολλοὺς ξεναγῶν. ἢ παθητικὴν ἔννοιαν ἔχει, ὡς πάσχων ἐκ τῶν ἄλλων ἐπιστροφὴν καὶ ἀγαπώμενος, ὅπερ κρεῖττον.

Ἐπιστρωφῶσι πόληας παρ' Ὁμήρῳ, ἤγουν περιέρχονται. καὶ ἐπιστρεφόμενοι. ὡς τὸ, ἐπιστρεφόμενοι πόληας. ἐπιστρωφῶσι δὲ, τὰ δεινὰ μέγα. Ἐπιστροφαί, διατριβαί, διαιταί. ἰχθύες στροφαὶ.

Ἐπίστροφος, τρίχες συνεστραμμέναι. ἤγουν ἡ ὀρθὴ, ἡ στρεβλή. Ἐπιστύμιος, ἐπιστυμένης, ὁ ἐπιμελητής. Ἐπισῦξαι, ἐπαφῆσαι. Ἐπίσυτο καλλίονα ἢ ἐπίσυτο. ἐπίσυτο παρὰ τὸ ἴεμαι, παρακα-

ἐπὶ τὰ ἔργα ἐν δὶς κακοηγορίοις, ἐπίσιτον καλεῖται. Ἐπισιτεῖν, κυνηγετικῶς ἀφορμᾶν. Ἐπισιτία, τὰ εἰς φορβὴν, ἢ εἰς τὸ σιτεῖσθαι δεδόμενα. ταῦτα δὲ ἐνίοις ἐπισίτιον ἐκάλουν. Ἐπισιτισμὸς, διάθρεψις, τροφή. Ἐπισιτίζεσθαι, φαγεῖν. Ἐπίσιτος, ὁ τροφῆς χάριν ἐργαζόμενος. Ἐπισίφλιον, αἰσχρὸν, μωμητόν. Ἐπισκαλμὶς, τὸ ὑπὸ τῶν σκαλμῶν ξυλίδιον. Ἐπισκαφεὺς, ὁ μετὰ τὸν ἀροτῆρα ἐπισκάπτων. Ἐπισκαφία, ἑορτὴ, παρὰ Ῥοδίοις. Ἐπὶ σκέλος, εἰς τὰ ὀπίσω. Ἐπισκέπτει, ἐπιβλέπει, ἐφορᾷ. Ἐπισκέπτομαι, τὸ προμανθάνομαι, καὶ εὐλαβοῦμαι ἐπ' αὐτοῦ. ἄνευ δὲ προθέσεως τὸ ἀναλογίζομαι καὶ μελετῶ.

Ἐπισκευασάμενοι, εὐτρεπισθέντες. Ἐπισκευάζεσθαι, ἐπιφορτίζεσθαι. Ἐπισκήνια, ἑορτὴ ἐν Λακεδαίμονι. Ἐπισκήνιον, τὸ ἐπὶ τῆς σκηνῆς καταγώγιον. Ἐπισκήπτω, ἀντὶ τοῦ ἐντέλλομαι καὶ προστάττω, καὶ ἐπιλέγω, καὶ ἐπιπλήττω. δοτικῇ ἀττικῶς συντασσόμενα. ἐπισκήπτομαι δὲ οὐχ εὕρηται μετὰ προθέσεως, ἀλλὰ σκήπτομαι μόνον ἀντὶ τοῦ προβάλλομαι φαύλαις προφάσεσιν. ἢ ἐπισκήπτω, τὸ ἐντέλλομαι, καὶ ἐξορκίζω, καὶ μετὰ ταῦτα ἐπιθεσπιζόμενος ὑποτίθεμαι. καὶ ἐπισκήπτω ἀντὶ τοῦ μέμφομαι, προστάσσομαι, ἐντέλλομαι, ἐπιλέγω. τίθεται ἡ λέξις καὶ ἐπὶ κεραυνοῦ. οἷον ἐπισκήπτει κεραυνὸς, ἀντὶ τοῦ καταπιμπρᾷ. Ἐπισκῆψαι, διὰ λόγων ἐπισεῖσαι, διὰ γραμμάτων λέγομεν. Ἐπίσκηψις, δίκη κατὰ τῶν ψευδομαρτυρησάντων, καὶ ἡ πρόφασις. Ἐπισκῆψαι, παραγγεῖλαι. καὶ ἀντὶ τοῦ σημειοῦσθαι, καὶ ἐπιλύειν τὴν νόσον. Ἐπισκιάζω, αἰτιατικῇ συντάσσεται. οἷον, τὸν ἑκάστου βίον ἐπισκιάζων.

Ἐπισκιασμὸν, κάλυμμα. Ἐπισκληρεῖς, δὶς κατεσκληκότες, παρὰ τῷ Ἱπποκράτει. Ἐπίσκοπος, ἐπίσκοπος. Ἐπίσκοπα, εὔσκοπα. ἀρίστην τῶν βελῶν κατ' ἰθὺν βαίνειν, καὶ ἐπίσκοπα εἶναι. Ἐπισκοπὴ, ἐκδίκησις. Ἐπισκοπέομαι, ἐπιστρέφεται.

Ἐπίσκοποι, ἐπόπται, κατάσκοποι. ἐπίσκοποι, καὶ φύλακες ἐκαλοῦντο, οἱ παρ' Ἀθηναίων εἰς τὰς ὑπηκόους πόλεις ἐπισκέψασθαι τὰ παρ' ἑκάστοις πεμπόμενοι. οὓς οἱ Λάκωνες ἁρμοστὰς ἔλεγον.

Ἐπισκότησις, τὸ ἐπισκιάζεσθαί τινα, καὶ ἀποταχίζειν τὸ φῶς.

Ἐπισκοτῶ, σῶ, τὸ ἐπιπροσθῶ. ὡς ὅταν ἡ σελήνη ἐν ταῖς ἐκλειπτικαῖς ἐκλείψεσιν ἐπισκοτεῖ τὸν ἥλιον. Ἐπισκύζοντο, ὠργίζοντο. Ἐπισκύνιον, τὸ ἐπικείμενον ταῖς ὀφρύσι δέρμα, ἔνθα τὸ ὀφρύδιον. ὡς τὸ, ἐπισκύνιον δὲ τε πᾶν κάτω ἕλκεται. ἢ ἐπισκύνιον, τὸ ἐπικείμενον τῷ μετώπῳ. ἢ ὁ πηλός. ἢ τὸ τοῖς ὀφθαλμοῖς δέρμα τὸ ἐπάνω τῶν ὀφρύων. ἐπισκύνιον δὲ κατὰ μετάθεσιν τοῦ ν εἰς τὸ ν. σκῦλος γὰρ λέγεται τὸ δέρμα. ὅθεν καὶ σκυλοδέψης.

Ἐπίσπορος, ὁ μετὰ τὸν πολὺν σταθμισμός. καὶ ἄρχων βραβευτὴς, βραβεὺς, ἐπίσκοπος, ἔφορος, ἐπίτροπος. Ἐπισμαί, ἐπιχεῖται, ἐπιρρεῖ. σμῆξαι δεῖ ἐπὶ, τὸ τὸν ῥύπον ἀποξέσαι. Ἐπισμηγεῖν, ἐπιλάπτειν, ἐπιπλάθειν. Ἐπισμάχει, ἐπιθλίβει. ἀπὸ τοῦ σμάχειν, ὃ τρίβειν, ἢ πλύνειν. λοιδορεῖ, πλήττει. σμῆξαι γὰρ, τὸ πατάξαι. ὅθεν, σμώδιξ αἱματόεσσα. Ἐπισμυγερῶς, ἐπιπόνως. Ἐπισμυρὸν, ἐπιμακαριζόμενον. Ἐπὶ σοί, κατὰ σοῦ. Ἐπίσομαι, ἀκολουθήσομαι. Ἐπισπασάμενος, ἐφελκυσάμενος. ὁ δὲ ἐπισπασάμενος τὸ κῦμα, τοῦτον κτείνειν ἔμελλεν. Ἐπισπάσασθαι, ἀντὶ τοῦ ἐπισπάσασθαι, ἤγουν λαφυσθῆναι. αὐτὸ δὲ τὸ μεταλαμβάνω, δὲ συντάσσεται γενικῇ. ἤγουν, ἐπισπάσασθαι τοῦ ὕδατος. ἐπισπῶμαι δὲ, τὸ λαμβάνω, καὶ συντάσσεται αἰτιατικῇ. Ἐπισπάδων, τὸ δέρμα ἐλκύοντα. ἀποκοπεὶς ἡ λέξις. Ἐπισπαστῆρες, τὰ θυρῶν τὰ προσηλωμένα ῥόπτρα, δι' ὧν ἀνοίγονται καὶ ἐπιτίθεται ἡ πύλη. Ἐπίσπαστον κακὸν ὁ ποιητὴς λέγει, τὸ αὐθαίρετον. ὃ, ὡς καθ' ἑαυτοῦ ἐπισπᾶται. καθ' ὁμοιότητα ὧν φασὶ ζῴων διδακορίων, ὅ ἐπισπώμενον ἐκ τοῖς ὄλεθρον. ὅς δὴ καὶ οὐ μόνον κατὰ δίδαξιν γίνεται, ἀλλὰ καὶ διὰ θυμόν. οὕτω γὰρ ὁ σῦς, ὁ ἄρκτος, ἡ ἄρπη, ὁ λέων, καὶ πάρδαλις, ἴσμεν ὅσα διαφυγεῖν τὸ κακὸν, εἰ μὴ ἐπισπῶνται αὐτό. Ἐπίσπασον, τὸ ἐπὶ τοῦ ὀγκώματος τοῦ βραχίονος ἐπισπᾶσθαι. καταχρηστικῶς δὲ

καὶ τὸ ἐκούσιον, ὃ ἑαυτῷ τις ἐπισπᾶται. Ἐπίσπαστρον, βρόχον.

Ἐπίσπη, εἶπε. Ἐπισπεῖν, ἐπακολουθεῖν. Ἐπισπείρα χοίνικα, ἐπὶ τῶν προσφθειρόντων τοῖς ἔχουσιν ἔτι πλείονα. ἐπιπολὺ ἐν σπείρα, ἐξ ὧν καὶ τὰ χοίνικα εἰσίν. Ἐπίσπειρον, χοῖνιξ ἢ ἀναγκαιότατον. ἐν γὰρ χειμῶσι τὰς χοίνικας πιεζοῦσι. δηλοῖ οὖν τοὺς ἀναγκαίους φίλους. Ἐπισπέρχεις, ἐπισπεύδεις. ἔτι δὲ καὶ ἀσπερχὲς, τὸ πλεοναστικῶς. ὃ ἐπισπερχὲς λέγει Σοφοκλῆς, καὶ ἐπίτασιν. ἁπλοῦν δὲ αὐτὸ ῥηθὲν, οὐ τὸ ἀσπερχὲς, ἀλλὰ τὸ σπερχνόν. Ἐπίσπη, ἀντὶ τοῦ ἐπισπάσῃ. ὡς ἔφεπεν, ἀντὶ τοῦ ἐφείπετο. δηλοῖ δὲ τὸ ἐφέπεσθαι, τὸ ἀκολουθεῖν, καὶ τὸ διώκειν, καὶ ἐν τούτῳ, τὸ καταλαμβάνειν. ἐφέπει ὄλεθρος, ἐφεπόμενον ὄλεθρον ἀπότομον, ἀφ' οὗ ὑποτακτικὸν ἐπίσπω, τὸ τρίτον ἐπίσπῃ. Ἐπίσπω, ἕψεται.

Ἐπισπώμενοι θεοῦ ὀμφῇ, ἤγουν θεόθεν ὁρμηθέντες. Ἐπισπώμενος, ἐπακολουθῶν. ἐπισπώμενος δὲ, ὁ προσλαμβάνων καὶ ἐπισύρων, μέγα. Ἐπίσπερμα, τὰ λάχανα. Ἐπισπλαγχνίζω, ἐπισπλάγχνα, ἐπισπείρχω. Ἐπίσσα, ὕστερον γενομένη, νεωτέρα. Ἐπισσεύετο, ἐφορμᾶτο. Ἐπισσύτως, ἀσθμαίνων. Ἐπίσσυχον, ἀκόλουθον. Ἐπίσσον, τὸ ὕστερον γενόμενον. Ἐπισσοτέρα, ὁρμητικωτέρα, ταχεῖα, νεωτέρα. Ἐπίσσωτρα, οἱ ἐκτὸς τῶν τροχῶν σιδήρεοι κύκλοι, οἱ ἐπὶ τὴν γῆν κυλιόμενοι, σῶτρον καὶ ἐπίσσωτρον, πλεονασμῷ τοῦ σ. εἴρηται γὰρ ἀπὸ τοῦ σῶ, τὸ ὁρμῶ. Ἐπιστάδιος δαπάνη, ὑπεισφέρειν. τελέσι τοῖς τῶν φαύλων καθεὶς καὶ ἐπεκτείνων διερχόμενοι ἄνω τοῦ καιροῦ. καὶ νῦν μὲν τὸ δαπάνημα ἑκάστοτε τῶν οἰκείων δαπανῶν. Ἐπισταδόν, ἀντὶ τοῦ ἐπισταδιακῶς, καὶ ἀμεταπτώτως, καὶ τάδε ἐπὶ τῶν Ἀπολλωνίου, ἢ ἐφεξῆς. καὶ κατὰ τὰ ξηρὸς τὸ ἐπισταδὸν ἐφεστῶτες. Ἐπισταθμεύσαντες, εἰς τοὺς ἑαυτοῦ οἴκους δεχόμενοι. Ἐπισταθμία, ὑποδοχὴ ξένων. Ἐπίσταθμοι, ἄρχοντές εἰσιν. παρὰ τὸ ἐν σταθμοῖς εἶναι ὠνομασμένοι, σταθμοὶ δέ εἰσιν, αἱ καταγωγαί. ἁρμοσταὶ δὲ οὗτοι, οὓς δὴ λακεδαιμόνιοι καλοῦσιν. Ἐπίσταλμα, ἔνταλμα, ἐντολή, ἡ ἐπιστολή. ἐπίσταλμα βάρβαρον, ἐπιχωριάζον ἀλεξανδρεῦσι. καί τι οὐ μόνον τὸ ἐπιστεῖλαι καὶ ἐπισταλῆναι, ἀλλὰ καὶ τὸ ἐπισταλθῆναι, παρὰ τοῖς παλαιοῖς. Ἐπίσταμαι, γινώσκω. οἶδα, τὸ γινώσκω. τὸ δεύτερον ἐπίστασαι, ὡς δύναμαι δύνασαι, πέτομαι πέτασαι. καὶ ἐπίσταμαι, ἀντὶ τοῦ δύναμαι κεῖται παρὰ τῷ Ἀριστοφάνει. οὐκ ἐπίσταμαι, εἰ δὲ παρὰ τῷ δημιουργῷ, πρῶτον καλλίον σκάπτειν οὐκ ἐπίσταμαι. Ἐπιστάμενος φόρμιγγι καὶ ἀοιδῆς, κατὰ γενικὴν συνταχθὲν ὁμοίως τῷ εἰδέναι καὶ τῷ γνῶναι. ἢ καὶ αὐτὰ ἀντὶ ποιητοῦ ἢ μετὰ γενικῆς σύνταξιν. τὸ γ' ἀοιδῆς, ἀκριβῶς πρόσκειται. ἐπίσταται μὲν γὰρ φόρμιγγος καὶ ὁ τυχὼν. ἀνῆρ τὸ δὲ καὶ ἀοιδῆς, μόνος ὑπὲρ τοῦ ἀοιδοῦ. Ἐπιστάμενον ὄντα, τὸν ἐπιστήμονα φασὶν, ἤτοι ἀγαθόν. ἀφ' οὗ γίνεται ἀρέσκειν ὡς ὕστερον, τοῦ λέγειν ἐπιστάμενον τὰς ἀρετάς. Ἐπισταμένως, ἐμπείρως, δεινῶς, ἐπισταμένως, συνετῶς. ἢ ἐπισταμένως καὶ περιφραστικῶς, τοῦτον παρ' Ὁμήρῳ δηλοῦσιν. Ἐπιστασίαν, προστασίαν. παραμονήν. Ἐπίστασις, γνῶσις, καὶ ἡ προσοχὴ, καὶ ἡ μίμησις. ὁ δὲ ἀσεβείας πέφευγεν ἡμῖν ἄξιος εἶναι ἐπιστάσεως, καὶ ζήτησις. καὶ ἐπιστασία, προστασία. Ἐπιστὰς, παραστὰς, ἐλθὼν ἐλθών. δοτικῇ συντάσσεται. καὶ ἐπιστὰς, ὁ προστασίαν ἐγχειρισθείς. ὅθεν καὶ ἐπιστάτης.

Ἐπιστάται, οἱ στρατηγοὶ, οἱ κατέχοντες καθόλου τὰς ὑπηκόους πόλεις. δύο ἦσαν ἀθήνησιν. ὧν ὁ μὲν ἐκ πρυτανείων ἐκληροῦτο, ὁ δὲ ἐκ προέδρων. φυλάσσει δὲ τοῦ ἱεροῦ τὰς κλεῖς, ἐν ᾧ τὰ δημόσια χρήματα. ἔτι μὴν, καὶ τὴν δημοσίαν σφραγίδα. λέγεται δὲ καὶ ὁ ἐφεστηκὼς εἰς πρᾶγμα ὁτιοῦν, ἐπιμελητὴς. λέγεται δὲ καὶ ὁ ἐπιστάμενος ἐστὶ, καὶ ἐπαίνους, παρὰ τὸ ἐφίστασθαι. Ἐπιστατεῖν, ἐπανορθοῦν, γνωστικόν. Ἐπιστάτην, τὸν ἐπαίτην λέγει Ὅμηρος, ἐν Ὀδυσσείᾳ ρ, παρὰ τὸ ἐφίστασθαι. οἱ δὲ παλαιοὶ τὴν λέξιν καὶ ἐπὶ παιδαγωγοῦ καὶ παιδοτρίβου εἰλήφασιν. ὁ γ' νεώτερος ἐπιμελητὰς καλεῖ πάντα, κατὰ τὸ, ὁ ἐπιμελητὴς γὰρ τῶν ἔργων βλάπτει καὶ

γυμνασίων

ὁ ἀθλιωτ. οὕτως ἐν ἀδελφοῖς ἰσκλῆβ. Ἐπιπολάζεται, ἐπιπορεύεται. Ἐπίρρημα, ἐπιδημία. Ἐπιρίκνον, ἐπισπούδαιον.

Ἐπὶ ῥητοῖς γέρασιν, ἐπὶ φανεραῖς τιμαῖς, ἐπὶ ὁμολογουμέναις. Ἐπὶ ῥηγμῖνι, ἐπὶ τοῦ αἰγιαλοῦ. Ἐπιρρόεις, ζυγὸς ἐν ἀρότρῳ. Ἐπίρροθος, βοηθὸς, καὶ ἐπιτάρροθος. Ἐπιρρακίζων, κωλύων. καὶ τὸ ὑφ' ἑαυτοῦ βουλευθῆναι, τὴν πρᾶξιν ἐπιρρακίζων ἄρα ἱερέος. Ἐπιρρεῖ, ὅταν ἐπιχέεται. λέγεται δὲ τὸ χέεσθαι καὶ τὸ ῥεῖν κυρίως ἐπὶ ὕδατος. ἀπὸ τούτου, καὶ ἐπὶ παντὸς ἁπαλοῦ καὶ λείου. ὅθεν καὶ ἐσθὴς λέγεται ἁπαλὴ καὶ ἐπίρρυτος. Ἐπιρρεῖν, τὸ πυκνὰ ἔρχεσθαι καὶ ἐπ' ἄλλοις. Φιλόστρατος, τὸ δὲ ἀμφὶ τὴν ἤπειρον πῦρ ἐπιρρεῖ ὑπὸ ὕδατι, καὶ ὁ ποταμὸς ἄγει, καὶ ἐκπίνει τὴν ἤπειρον αὐτός. Ἐπιρρίζιωσκον, ἐπιτίθεσθαι, ἴδνον. Ἐπιρρίζει, θύει. καί τις ἐπιρρίζει γοργὸς χιμέροιο τομαῖος αἷμα. Ἐπιρρεῖ, ἐπιβάλλει, ἐπιπαραπλεῖ, ἐπιχέει, ἐπικρέμαται. Ἐπιρρίκνο ὄλεθρος, ἀντὶ τοῦ κάτω βαθύνει. ἔχει δὲ τὴν ἀρχὴν ἀπὸ τοῦ ἀσφαλὴς ἡ λέξις, ἐκ τοῦ ταλάντου τοῦ Διός. Ἐπιρρεικὴς, ὑπερβιθυσίραι. Ἐπιρρεπῶς, ἐπιμελῶς. Ἐπίρρησις, ψόγος. Ἐπιρρύβδην, ἀναφανδὸν, φανερῶς. ἡ ἐπιρρύβδην φανερώτερον, παρρησιαστικώτερον, οἱονεὶ ἀναφανδόν, παρὰ τῷ Ἀπολλωνίῳ. Ἐπίρρημα πρὸς τὰ ῥήματα ἔχει τὴν σύνταξιν. καὶ αἰεὶ ῥήματι προηγεῖται, ἢ ἐφίσταται. οἷον καλῶς καὶ εὐσεβῶς καὶ δικαίως πεπαίδευται. καὶ γράφω καλῶς, πλὴν τοῦ κλητικοῦ ἐπιρρήματος, καὶ τοῦ σχετλιαστικοῦ καὶ θαυμαστικοῦ καὶ τοῦ εὐκτικοῦ. τὸ μὲν γὰρ ὦ πρὸς κλητικὴν, ὦ φίλε Παῦλε. τὰ δὲ πρὸς γενικὴν, φεῦ τοῦ κακοῦ, ὢ τοῦ μεγέθους. τὰ δὲ πρὸς δοτικὴν ἢ αἰτιατικὴν, οἷον χαλεπὸν ἡμῖν, χαλεπὸν ἡμᾶς. τὰ μὲν οὖν θαυμαστικὰ συντάσσεται γενικῇ, οἷον φεῦ τοῦ μεγέθους. τὰ δὲ ῥηματικὰ οὐκ ἔχει, τὰ δὲ συναμφοτέρως πόρρω ἡμῶν οἰκεῖ. τὰ δὲ ῥηματικὰ ἢ πτωτικὰ, οἷον ἐξ ἀπείρους καὶ συναμφοτέρως. Ἐπίρρημα ἐν τῇ παραβάσει τῆς κωμῳδίας ὀνομάζεται, διὰ τὸ ἐπιρρήσεσθαι αὖθις τὸν χορὸν πρὸς τοὺς θεατὰς, καὶ χρησίμως συμβουλεύειν αὐτοῖς, ἢ σκώπτειν τοὺς πονηρούς. ὥσπερ παρὰ τῷ Ἀριστοφάνει ἐν φίλαις, ὦ σοφώτατοι θεαταί. ἡ ἐπίρρημα, μέρος τι τῆς κωμῳδίας. Ἀριστοφάνης, εἰ μετ' ὀρνίθων τις ὑμῶν, ὦ θεαταὶ βούλεται διαπλέκειν ζῆν ἡδέως, ὡς ἡμᾶς ἴτω. ὅσα γάρ ἐστιν ἐνθάδ' αἰσχρὰ τῷ νόμῳ κρατούμενα, ταῦτα πάντ' ἐστὶ παρ' ἡμῖν ὄρνισι καλά. Ἐπιρρημάτων τῶν τοπικῶν, τὰ μὲν δηλοῦσι στάσιν. τὰ δὲ κίνησιν εἰς τόπον, καὶ ἐκ τόπου. τὰ δὲ ἐνίοτε μὲν κίνησιν, τὰ δὲ στάσιν. καὶ τὰ μὲν δηλοῦντα ἀεὶ στάσιν, εἰσὶ ταῦτα. ἔνδον, ἐντὸς, καὶ ἔνδοι, ποιητικῶς τὸ αὐτό. ἄκρῃ, καὶ ὅπη, διὰ τοῦ η. οἴκοι, καὶ ἔνθα, καὶ ἔνθαδε. τὰ δὲ δηλοῦντα κίνησιν ἀεὶ, εἰσὶ ταῦτα. οἴκαδε, καὶ ποιητικῶς οἴκονδε τὸ αὐτό, καὶ οἴκοθεν, ἀθήνηθεν, ἐκεῖσε, ἐκεῖθεν. ὅθεν, ἄλλοθεν, οὐρανόθεν, ἔνθεν, ὅποι διὰ τοῦ ο καὶ ι. καὶ ἁπλῶς ὅσα εἰς θεν λήγει, ἢ εἰς δε, ἢ εἰς σε καὶ ι. τὰ δὲ ἐνίοτε μὲν δηλοῦντα κίνησιν, ἐνίοτε δὲ στάσιν. οἷον ἄνω, κάτω, ἔξω, πόρρω, χαμαί, δεῦρο, ὧδε, τῆλε, καὶ ἔνδον. Ἐπιρρήματα τὰ διὰ τοῦ θεν, εἰ μὲν ἀπὸ ὀνομάτων γίνεται, διὰ τοῦ ο μικροῦ γράφεται. καὶ δηλοῦσι τὴν ἐκ τόπου κίνησιν. οἷον, οὐρανόθεν, παντόθεν, κυκλόθεν. τὸ δὲ κύκλωθεν, ὡς ἀπὸ τοῦ κύκλῳ γενόμενον διὰ τοῦ ω μεγάλου γράφεται. πλὴν τοῦ ἑτέρωθεν, ἑκατέρωθεν, καὶ ἀμφοτέρωθεν. εἰ δὲ ἀπὸ ἐπιρρημάτων, ἄμφω δηλοῦσι, καὶ κίνησιν καὶ στάσιν. ταῦτα τὰ εἰς θεν ἐπιρρήματα ἐν ἑαυτοῖς ἔχουσι τὴν ἀπὸ πρόθεσιν, καὶ οὐ δύναται αὖθις λαμβάνεσθαι. οἷον, ἀπ' οὐρανόθεν, ἢ ἀπὸ παντόθεν, ἢ ἀπὸ κυκλόθεν. ἀλλὰ οὐρανόθεν, παντόθεν, ὡς τὰ ἄνω εἰρημένα. Ἐπιρρήματα γίνεται ἐκ πάντων τῶν τοῦ λόγου μερῶν, καὶ ἐκ πασῶν ἁπλῶς πτώσεων. ἐξαιρέτως δὲ μάλιστα καὶ ἰδίως ταῦτα ποιοῦσιν ἀπὸ τῆς γενικῆς δοτικῆς τῶν θηλυκῶν ὀνομάτων. ἔστι μὲν οὖν προσηγορικῶν. ὡς τὸ, κοινῇ, παρρησίᾳ. ἔστι δὲ οὖν, ἐπιθέτων. ὡς τὸ ἰδίᾳ, δημοσίᾳ. καὶ ἔτι ἀριθμῶν, καὶ ἀντωνυμιῶν, ὡς τὸ ταύτῃ, καὶ τοῦτο, τὸ οὕτως. καὶ ἀπὸ αἰτιατικῆς τῶν οὐδετέρων ἑνικῶς τε, καὶ πληθυντικῶς. ἑνικῶς μὲν τὸ ἁπαλ-τὸν, καὶ συγκριτικῶν, πληθυντικῶς δὲ, τὸ αὐτὸ ἁπαλώτερον, καὶ ὑπερθετικῶν. καὶ τὸ μὲν συγκριτικὸν ὄνομα πρὸς ἓν μόνον τὴν σύγκρισιν ἔχει. τὰ δὲ ὑπερθετικὰ, πολλῶν προέχει. Ἐπιρρῆξαι, ἄγριος αὐτοῖς ἐπιπηδήσας. Ἐπιρρήσσουσι, τὸ ἐπιλιθεύειν, ἤγουν ἐπιβάλλειν. ὅθεν παρῆκται ὁ ἐπιβλὴς, οὐκ ἀνάπαλιν τὸ ἀπωθεῖν. ἄνωθεν μὲν γὰρ κάτω ἐπιρρήσσεται, κάτωθεν δὲ ἄνω ἀπωθεῖται. ὡς δῆλον ἐκ τοῦ ἄνωθεν ὀχῆας. Ἐπίρρησις, ὁ ψόγος, καὶ ἡ κατηγορία. Ἐπιρρήσσουσι, ἐπιπατοῦντες, ἐπιβάλλοντες. ἐπίκλασιν μεθερμηνεύεις.

Ἐπίρρητη, ἐπικατάρατη. Ἐπίρρητοι, αἰσχροί, καταγνώσεως ἄξιοι, ἐπίψογοι. Ἐπίρρητον, ἐπίψογον, αἰσχρόν. Ἐπιρρητὸς ἐπὶ κακοῦ λεγόμενος, ἐπὶ αἰσχρότητι. Ἐπιρρινίσκοντο, ἐπράττοντο.

Ἐπιρρόγατον, ἀπόμακτρον. Ἐπιρροίω, ἐπίρροιαν ὑδάτων. Ἐπιρρόθιος, ἐπήχητος, ἐπιβόητος. Ἐπιρρόθεντα, ἐπίψογα. Ἐπιρροθεῖ. ἐπιρροθεῖν κυρίως τὸ τοῖς κυσὶν κελεύειν καὶ ἐρεθίζειν, καὶ τὸ τῇ φωνῇ συνεφάπτεσθαι. παρὰ τὸ ῥόθιον, ὅ ἐστι τὸ κῦμα.

Ἐπίρροθος, ἐπίκουρος. βοηθὸς οἱονεὶ, ὁ ἐπιρρωνύων καὶ ἐπικελεύων, ἀπὸ μεταφορᾶς τοῦ ἐν τῇ θήρᾳ ἐπιρρωννυμένων κυνῶν, ὑπὸ τῶν θηρώντων. ἔστι δὲ πρωτότυπον τοῦ ἐπιτάρροθος. καὶ ἐπίρροθος βλαβερὸς, ἢ ὠφέλιμος. Ἐπιρροίζειν, ἐπιπνίζειν, ἐπισείειν, ἐπικελεύειν. Ἐπιρροπῶς, ἐπὶ μικροῦ. Ἐπίρρυτος, ἐπιθυμίας, ἐπιχαίρετος. Ἐπιρρυθμίζει, διατυποῖ, ἐπανορθοῦται. Ἐπιρρόθιον, κῦμα ἐπαφίησι καὶ παθερμαίνει. Ἐπιρυγχίδια, γαμψώνυχα. Ἐπιρρυτολογοῦσι, καλοῦμεν τὴν ἀμπελῶνα. Ἐπιρρανὶς, ἐπιχύσιν, ἐκ τοῦ ῥαίνω, ἡ ῥώμη. Ἐπιρρώννυσιν, ἰσχυροποιεῖ. Ἐπιρρώσατο, ἐπινεύω. Ἐπιρρωσθῆναι, ἐπινεῦσαι, ἐπισωθῆναι, ἐπινεῦσαι. Ἐπίρρωσις, βεβαίωσις, διόρθωσις, ὑγεία.

Ἐπὶ ἔρῳ, ἔρα φέρων λέγει ὁ ποιητὴς, ἤγουν χάριν. Ἐπισάγτρον, ὑπόζυγιον. Ἐπισεσωρευμένα, ἐπικεχωσμένα. Ἐπίσειος, ἀβέβαιος, εὐμετάπτωτος. Ἐπίσημον, λαικόν. Ἐπισάξαι, ἐπαναβῆναι ἐπὶ τὸν ἵππον. Ἐπὶ σαυτῷ ἢ σελίδων καθίλαξε. οἱ τῇ σελίδι καθίλαντοι διπλασίοις, λέγεται τῶν ὀφθαλμῶν καὶ τῶν ποδῶν περίσκιοι. ἤγουν οὐδεμία, ἐπὶ τῆς ἑαυτῆς κακᾶ ἐπισωμένων. Ἐπισάχθης, χρυσαλίτης. Ἐπισείων, ἐκφοβῶν, ἀνατείνας. ἡ ἐπισείει αἰγίδα ἐρεμνὴν, παρ' Ὁμήρῳ, σκιερὸν Διὸς ὅπλον ἢ αἰγίδα εἶναι δηλοῖ. οὐ μὴν βλητικόν, οὐ γὰρ βάλλει. σειομένη δὲ ἐκφοβεῖ. ἐρεμνὴν δὲ λέγει, ἢ σκοτεινὴν, ἀπὸ τοῦ ἔρεβος. οὕτω δὲ ἀπὸ τοῦ σίζω γίνεται σειμερὸν, τροπῇ τοῦ β εἰς μ. περὶ τῆς αἰγίδος δὲ ἐνταῦθα τοῦτο μόνον ῥητέον, ὅτι τὸ ἐρεμνὸν τῆς αἰγίδος νέφος ὑπεμφαίνει αὐτὴν εἶναι καὶ καταιγίδα.

Ἐπισεῖσαι, ἐπιπηδᾶν. παρακαλὴν μὴ χαλεπώτερον αὐτοῖς ἐπισεῖσαι τὸν κίνδυνον. Ἐπίσειστος, εἶδος κρεῶν. Ἐπισέλλαι, τάχα μισοῦσαι. Ἐπισεσάξαι, ἐπίταξον. Ἐπίσαγμα, ἐπιγείλαμα κυσίν. Ἐπίσημα, τὰ ἐπὶ προσώπου σημεῖα, καὶ τὰ εὔφωνα ἢ εὔμορφα, καὶ τὰ ὑπερέχοντα. Ἐπισημαίνεσθαι, ἀντὶ τοῦ ἐπαινεῖν. καὶ ὡς ἐν τῇ συνηθείᾳ λέγομεν ἐπιφωνεῖν.

Ἐπὶ σημείῳ, ἐπὶ ὕψος. Ἐπισημειοῦσθαι, βεβαιοῦσαι, κυρῶσαι. ἐπισημειωσαμένων δὲ τῶν ἐκ τῆς Ἑλλάδος πρεσβευτῶν. Ἐπίσημον, τὸ ἔχον σημεῖόν τι, ὃ χωρίζει αὐτὸ ἀπὸ τῶν ἄλλων. καὶ ἐπίσημον ἀργύριον, τὸ κεχαραγμένον. καὶ ἄσημον, τὸ μὴ κεχαραγμένον, καὶ παράσημον, τὸ παρακεχαραγμένον. ἀπὸ τούτων δὲ ἐπίσημος, δῆλος ἁπλῶς. καὶ ἄσημος, ὁ ἄδηλος, καὶ ἀφανής. καὶ παράσημος, ὁ βεβλαμμένος. Ἐπίσημος, ἔνδοξος, ἐπιφανής. Ἐπίσθιον, σκέπασμα περὶ τὸν τράχηλον. Ἐπισίδιον, ἐπισιτιζόμενον.

Ἐπισίζει. λυκόφρων, καὶ εἴ τις περὶ Ἐρασιθίνω, τὸ ἐπαφιέναι τοὺς κύνας, ἐπισίζειν. ἀπὸ τοῦ ἐπιφθέγγεσθαι σὺν ἐπισίζειν. καὶ τὸ ἐπιρρόθεσθαι ὁμοίως ἐφορμῶσι τῇ φωνῇ. Ἐπισινὴς, βλαβερόν.

Ἐπίσιτος, ἐπίβολος. Ἐπίσιον, τὸ ἐφήβαιον, καὶ τὸ αἰδοῖον τοῦ ἀνδρός τε καὶ τῆς γυναικός. ἀπὸ τοῦ σίω, τὰ ξηρά. ξηρὸν γάρ ἐστιν. ἢ παρὰ τὸ εἰσιέναι. Ἐπίσιξον, τὸ συρίζοντας ἐπαγαγεῖν τοὺς κύνας

σωμένα, κωδαλισμὸς ἐλέγετο. Ἐπιπάστας, ἑταίρας ἐπώνυμον. Ἐπίπαστα λείξας. Ἀριστοφάνης, τὰ ἐπιπασσόμενα τοῖς ἐν τοῖς ἄλφοις. ἔστι δὲ, ἣν ἀλφίτων ἔλαγον, καὶ τὸ πίασμα ἔψημα. τὰ δ᾽ ἄλφιτα δημοσίᾳ πιπράσκεται. ἔστι δὲ εἶχον ποιεῖν πλακοῦντας, ἢ ἄρτους, καὶ ἐπιπάσσειν τῶν ἀλφιτωμάτων ἄλμυρα. καὶ διὰ τοῦτο ἔφη τὰ ἐπίπαστα Ἀριστοφάνης. Ἐπίπεδον, τὸ ἰσόπεδον. ἢ ἐπιφάνεια, ἐξ ἴσου ταῖς ἐφ᾽ ἑαυτῆς εὐθείαις κειμένη.

Ἐπιπείθεται, πειθεῖ. Ἐπιπέρσαι, ἐπιδιαπέρσαι. ἢ ἐπιληρῆσαι, καὶ κεφαλικὴ βλάβη. Ἐπιπίρξ, μοιχεύεται, ἢ μοιχεύει.

Ἐπιπλανία, ὁλαί, καὶ πόπανα. Ἐπὶ πελόσσαι, ἐπὶ τραχεία. Ἐπίπεμπον, τὸ μετ᾽ ἐπιθέσεως, καὶ σὺν ἐπιλιμώσει, ἢ συμφορισμῷ πέμπον. οἷον φρικώδη μοι τὸ θέαν ἐπιπέμπει ὀνείρατα. Δωρικῇ συντάσσεται. ἐκπέμπειν, προσπέμπειν, ἢ προπέμπειν, ταυτὸ δηλοῖ κυρίως, ἐπὶ τοῦ προαγαγεῖν. ὡς οἱ ἐρῶντες ἐπὶ τὰ παιδικὰ πειρώμενοι πέμπουσιν ὑπὲρ τοῦ τυχεῖν. Ἐπίπεμπτον. Λυσίας μὲν ἀντὶ τοῦ ἁπλοῦ, τὸ ἐπίπεμπτον εἶπεν.

Ἐπιπιέζειν, τὸ ἐπιθλίβειν καὶ τὸ περιπιέζειν θλίψεσιν, ἢ πιεσθεῖσιν. Ἐπίπεται, φθίνει, καὶ συμπίπτει. Ἐπὶ πάχη, τὸ παχῦν τὰ ἄνω. Ἐπιπίνειν, ἐπιπιόντων. Ἔπιπλα, τῶν μὲν βαθέων κτῆσιν, ἀπὸ ἐξ ἐπιπολῆς λέγουσιν οἱ ἰωνοί ἢ ἐπίπλα, τὰ ἐν τῇ οἰκίᾳ σκεύη. ἢ οἷον ἐπιπόλαιος κτῆσις, καὶ μετακομίζεσθαι δυναμένη. ἢ τὰ ἐξ ἐπιπολῆς σκεύη, εἴπερ ἡ ἐπιπόλαιος κτῆσις, καὶ ὅσα δυνατὰ πλωΐζεσθαι, ὡς οἶνα ἔγγειος. ἢ τὰ σκεύη τὰ ἐν χρήσει καὶ χειῶλη, οἷον τὰ ἐπιπόλαια. καὶ ἐπιπολάζοντα ἐν τῇ οἰκίᾳ, διὰ τὸ ἑκάστοτε ἐν χρήσει εἶναι. ἢ ἔπιπλα, τὰ ἱμάτια. ἀπὸ τοῦ πέπλον, ἔπιπλον. καὶ τὰ ἐλαφρότατα τῶν κτημάτων οὕτω φασί, παρὰ τὸ ἐπιπολάζειν. Ἐπὶ πλακός, ἐπὶ μονάμας πάσης.

Ἐπίπλανος, πλανώμενος εἶδος. Ἐπιπλεία, ἀνάμεστος, ἢ πεπληρωμένα. Ἡρόδοτος, Καὶ τριήρεας ἐπιπλέας ἀγαθῶν παντοίων παραθέντες. Ἐπιπλέξει, ἐπόψεται. Ἐπιπλεῖ, ἐπιπλέει. Ἐπιπλέον, καὶ ἐπιπλεῖον, ἐπίῤῥημα. ἐπιπλεῖον δὲ, ἐπιπλέον. Ἐπίπλαστα, τὰ παρὰ τοῖς μαστοῖς ὑπὸ τὰς μασχάλας. Ἐπιπλῆξαι, ἐπελθεῖν, ἐπιλαμβάνεσθαι, ὑβρίσαι. Ἐπίπληξις, ἡ ἐπιτίμησις. Ἐπιπλήσσω, τὸ λοιδορῶ, Δωρικῶς. ἐπιπλήσσω δὲ, τὸ τύπτω, Αἰολικῶς. Ἐπιπλόμενοι, παραγινόμενοι, καὶ ἐπελθοῦσαι. καὶ ἀναχεῦ ἐπιπλομένην, ἀντὶ τοῦ ἐπελθοῦσαν, ἢ ταρασσομένην. Ἐπιπλομένων, κυκλουμένων, πληρουμένων, ἐπερχομένων. Ἔπιπλον, ἐπίπλοιον. ὁ παμαλώδης ὑμὴν ἐπὶ τῆς κοιλίας, καὶ τῶν ἐντέρων, ἐπίπλους λεγόμενος. Ἐπίπλους, τὸ λίνος. ἀπὸ τοῦ ἐπιπλεῖν καὶ ἐξ ἐπιπολῆς εἶναι. ἢ ἐπίπλους, ὡς Θουκυδίδης, ἑκατὸν πεντήκοντα ναῶν ἐπίπλουν ἐμαρτύρουν οἱ Ἀθηναῖοι πρὸς τὸν πόλεμον. ἢ ἐπίπλους, ἐπιβάτας. Ἀῤῥιανός, κυβερνήτας δὲ καὶ πρωράτας, μόνους ἐπίπλους εἶχον. Ἐπιπλώς, μετοχή ἐστι κατὰ ἀποκοπὴν τοῦ ἐπιπλώσας, ὡς εὕρηται τοῖς παλαιοῖς. οὐ γὰρ διδόασιν εἶπεν . ἀπὸ τοῦ πλώω ῥήματος γίνεται.

Ἐπιπλώσας, ἀντὶ τοῦ ἐπιπλεύσας. ἐκ τοῦ πλέω γίνεται πλώω, καὶ ἐπαυξήσει τοῦ ο πλώω, βαρύτονον. οὗ ἀόριστος, ἔπλωσα. καὶ μετὰ τῆς ἐπὶ προθέσεως, ἐπέπλωσα, καὶ συγκοπῇ ἔπλως. Ἐπιπνείουσι, ζῶσι, πνέουσιν. Ἐπιπνεῦσαι, ἐφορᾶν, ἐπισκοπεῖν. Ἐπιπνέων, ἐπιβλέπων. αἰολικῶς. Ἐπιπνοίας, ἐπιπνεούσης.

Ἐξείκλω, ἀπολείπω. Ἐξείκειν, παρεῖχεν. Ἐξεικο-νισμένον, μεμορφωμένον, ἢ τέλειον. Ἐξειλεγμένος, οὐκ ἐκλε-λεγμένος. Ἐξειλεῖν, ἐκβαλεῖν. Ἐξεῖλε τοῦδε αἰτίας, κάλλιον λέγειν, ἢ ἐξέβαλεν. εἷλε τὴν πόλιν, καὶ ἐξεῖλε, καὶ ἐξαιρεῖ, καὶ ἐπόρθησε, καὶ ἠδίκησε, μαρτυρία τοῦ ἐξαιρεῖ, παρὰ Δημο-σθένει, ἀλλὰ καὶ τὴν ἐξαιρεῖ πολλὰ τοῦ φρουρίου. καὶ τὸ ἐξεῖλε, παρὰ Θουκυδίδῃ, σημαίνει ἐξελεῖν, καὶ ἀποκτεῖναι. οὐ μόνον γὰρ ἐπὶ πόλεως λαμβάνεται τὸ ἐξελεῖν, ἀλλὰ καὶ ἐπὶ ἀνθρώπων, ὡσαύτως καὶ τὸ παραλαβεῖν, καὶ ἐπὶ γνώμης. Ἐξείλετο, ἀντὶ τοῦ ἐρρύσατο. ἀφείλετο δὲ, ἀντὶ τοῦ ἐλύσατο. καὶ ἐξείλετο, ἔλαβεν. ἢ ἐξεῖλεν φρένας θεός. νῦν ἐπὶ τοῦ γλαυκοῦ, πλὴν Ὅμηρος ἐπὶ ἐκείνου τὸν λόγον εἶπεν, καθὰ καὶ Πορφυρίῳ δοκεῖ, ἀντὶ τοῦ ἐξαιρέτους τὰς τοῦ γλαυκοῦ φρένας ἐποίησεν. ἐπὶ τοῦ βασιλέως δὲ ἐν τῷ ἰῶτα, ἐπὶ ψόγῳ, ἀντὶ τοῦ ἐπόρησεν. Ἐξειλῶσαι, οἱ ἀλεξανδρεῖς ἐπὶ τοῦ ἀφορίζειν λέγουσιν. Ἐξείλετο, ἐρρύσατο. Ἐξείλοντο, ὡς ἐξαίρετα ἔλαβον.

Ἐξείλοχεν, οὐκ ἐκλέλοχεν. Ἐξειλώσασιν, ὡς ἐπὶ τοῦ λυθῆναι ἐξεπόρθησαν. Ἐξειμένοι, ἀφειμένοι. Ἐξειμι, οὐκ ἐξελεύσο-μαι λέγουσιν ἀττικοί. Ἐξεῖναι, διαπορεῖν. Ἐξεῖναι, ἐκκα-λεῖ, παρὰ τῷ Ἱπποκράτει. Ἐξείνισεν, ἐξένισεν, ἐξεδεξάμε-νος. Ἐξείρεμα ἐπιζήμιον, τὸ καταλικάζειν τοῖς ἐκουσίοις. οἱ δὲ, ἀπόλυσιν ἐγκλήματος. Ἐξείπω, φανερωσάτω. Ἐξειρα, σκορπίος, ὁ ἰχθύς. Ἐξείραντο, ἐξελκύσαντο, ἐξελόντο. Ἀρι-στοφάνης, τὴν γλῶσσαν ἐξείραντο αὐτοῦ ἐκκοψάμενοι. Ἐξείρ-γειν, ἀπείργειν, κωλύειν. Ἐξειργάζετο, ἐξεδαπανᾶτο. Ἐξείρ-γνυσιν, ἐξάρθη, ἐξεῖλεν. ὁ δὲ Ἀχιλλεὺς ἐξείργνυσιν ὑπὸ τοῦ πυρὸς ἀναγκασθείς. Ἐξείρψειν, ἐκ τοῦ ἕρπω, ἕρψω, εἷρψα, ἐξεῖρψα. καὶ ἐξείρψειν, ἐξέβαλεν, ἐξέλυσεν. Ἐξείρυσθε, ἐλκύσατε.

Ἐξεῖς, ἀφεῖς. Ἐξεῖσθαι, θέρμαινε, τὸ ἁπλοῦν πρὸ νότου, ἐν τῷ βαλάνῳ εἶναι. Ἐξεισιν, ἀπέρχεται. Ἐξεκάκει, ἐξολιγώρησε, καὶ τρόμον εἶχεν. καὶ ἡ χεὶρ αὐτοῦ ἐξεκέκαυσε. Ἐξεκαλοῦντο, ἐξελκύονται. Ἐξεκάκησεν, ἀπηγόρευσεν. Ἐξεκαρυκεύθη, ἐφοινίχθη, συνεκόπη. καρύκη γὰρ, ἔδεσμα ἐκ σφαγῶν σκευαζόμενον. Ἐξεκέδασεν, ἐξεσκέδασεν. Ἐξεκεῖνα, οὐκ ἐκ τότε. οὐδὲ ἀπὸ τότε λέγομεν. οἷον, ἐξ ἐκείνου τοῦ καιροῦ. καὶ ἐξ ἐκείνου ἄνευ τοῦ καιροῦ, ἢ τοῦ χρόνου, ἐλλειπτικῶς λαμβανομένου. ἐπεὶ δὲ ὁ ἀπὸ τότε, οὐ χρὴ γράφειν. καὶ ἁπλῶς εἰπεῖν ἐν τοῖς ἐπιρρήμασι τοῖς χρόνον δηλοῦσι, τὰς προθέσεις οὐχ εὑρίσκονται συντάσσοντες οὔτε οἱ ἀττικοί, οὔτε παρὰ τοῖς ποιηταῖς οἱ ἴωνες. Ἐξεκεκλήκει, ἐκ τοῦ λείπειν ἀνῆσαν. Νυκτὸς δὲ γενομένης, τοὺς εἰπόντας ἐξεκεκλήκει ἐκ τοῦ στρατοπέδου. Ἐξεκέκλητο, προσεκαλεῖτο. ὡς τὸ, Ταχὺ δὲ ἐξεκε-κλήκει αὐτοὺς πρὸς τὴν πρᾶξιν, ἅτε οἰκεῖος ὄντας τοῦ δικαίου ἐγ-χειρημάτων. Ἐξεκεκλίμασιν, ἐξαύλισαν, ἐθλάσθη. Ἐξεκέ-ρασεν, ἐξέφθειρεν. Ἐξεκηρύχθησαν, ἐξέπεσον. Ἐξεκίνησαν, ἐξελείψθη. Σοφοκλῆς, Παίζων κατ' ἄλσος ἐξεκίνησεν ποδοῖν, στικ-τὴν κεράστην ἔλαφον. Ἐξεκλησίαζον, συνήθροιζον. Ἐξε-κλίθη, ἀντὶ τοῦ ἀπέκλινεν αὐτῶν ἡ πίστις, οὕτω παρὰ τῷ Ἀντιό-χῳ. Ἐξεκομίσθη, ἐξεφθάρη. Ἐξέκοψεν. Ἡρόδοτος, Δελ-

φίον

ἐξαλοῦνται, ἐκπηδήσουσιν. Ἐξαλύξομαι, φυλάξομαι. Σοφοκλῆς, αἰχμὴν μαχητοφόρον. Ἐξάλφας, εὑρίσκας. Ἐξαλφάνεις, ἐκπορίσου μεγάλως. ἀπὸ τοῦ ἀλφαίνειν. καὶ ὁ ἀλφηστὴς, ὁ ἔντιμος. ἴσως δὲ, ἐκλάμψεις. Ἐξ ἁμάξης, ἡ λεγομένη ἑορτὴ παρ' Ἀθηναίοις Λήναια. ἐν ᾗ ἠγωνίζοντο οἱ ποιηταὶ, συγγράφοντές τινα ᾄσματα τοῦ γελασθῆναι χάριν. Ἐξαμαρτάνω, πλημμελῶ. Ἐξαμαρτάνω, τὸ πταίω, κυρίως εἰς τὸν θεόν. οἷον ἐξήμαρτον εἰς τὸν θεόν. Ἐξαμάχαι, ἐξαίφνης. Ἐξαμβλίσκειν, ἐκτιτρώσκειν. καὶ τὴν τὰ τετράποδα γεννῶσαν ἐξαμβλίσκειν φασί. Ἐξαμβλοῦν, τὸ διαφθείρειν, καὶ ἐξαμβλοῦν, ἀντὶ τοῦ οὐ διέσωσαν, οὐδὲ συνηύξησεν. κυρίως ἐπὶ ἀμπέλου ἐπιτετηδευμένης τοὺς λεγομένους ὀφθαλμοὺς φασὶ τὸ ἐξαμβλῶσαι. μεταφορικῶς δὲ, καὶ βρέφος διαφθαρῆναι ἐν κοιλίᾳ, ἐξαμβλῶσαι λέγεται. Ἐξαμβλωθείς, ἐκτρωθείς. Ἐξαμβλῶσαι, καὶ ἄμβλωμα, καὶ ἀμβλίσκειν, καὶ ἀμβλωθρίδιον. οὐκ ἐκτρῶσαι, οὐδὲ ἐκτιτρώσκειν. Ἐξαμβρακοῦται, ἐκλύεται. ἀπὸ τοῦ ἀμβρακοῦν, ὃ ἐστὶν ἀθροίζειν. Ἐξαμείβειν, τὸ ἐξάγειν, καὶ ἀπέρχεσθαι. Ἐξαμεῖψαι, ἐκπλεῦσαι, περάσαι, ἐναλλάξαι. Ἐξαμαλδύνοντα, διαφθείροντα. Ἐξαμᾶται, τουτέστι τὰ ἔντερα καὶ τὴν κοιλίαν ἐξαμᾶται, καὶ ἐξαίρει. Ἐξ ἄμμου σχοινίον πλέκεις, ἐπὶ τῶν ἀδυνάτων. Ἐξαμοιβὰς, ἑτέρους, καὶ ἑτέρας. Ἐξαμῶν, ἐκθερίζων. Ἐξαμυσίαι, τουτέστιν ἀμυσὶ καὶ ἄπασι, καὶ ἄνευ τοῦ ἀναπαύσασθαι πίνειν. Ἐξ ἀμφοῖν, ἐξ ἀμφοτέρων. Ἐξαμφοτερίσαι, τὸ τὰ ἑκατέρωθεν εἰς ἀμφίβολον περιστῆσαι. Ἐξαμβλοῦμεν, ἐξηγάγομεν. Ἐξανᾶξαι, ἀνάξαι πρὸς τὸν ἥλιον.

Ἐξανθεῖν, ἔξω φανῆναι. τὸ δὲ αἷμα ἀναίρει, ὃ φονεύει.

Ἐξανασπάς, μετοικήσας. ὁ δὲ Θουκυδίδης ἐξανασπὰς ἐξ Ἀθηνῶν, θέλων ἐν Βοιωτίᾳ οἰκεῖν. Ἐξαναχωρεῖν, τὸ ἐκφεύγειν, καὶ τὸ ὑποβαίνειν. Θουκυδίδης, ἐξαναχωρεῖ τὰ εἰρημένα, ἤτοι παραβαίνειν. Ἐξανδράπισε, ἐκπέρασε. Ἐξανδραποδίζεται, αἰχμαλωτίζεται. Ἐξανδρούμενος, τὴν ἡλικίαν ἔχων εἰς ἄνδρα. Ἐξανεμοῦσθαι, ἐκπεφυσῆσθαι. ἢ ξηραίνεσθαι, ἢ μετεωρίζεσθαι. Ἐξανάστης, ἐκπορισθείς. Ἐξαναχωρεῖν, ἀληθῶς ὑπερβαίνειν. Ἐξανέψιοι, ὧν οἱ πατέρες ἀνεψιοὶ ἦσαν, ἢ αἱ μητέρες. Ἐξανισθείς, ἐξαναστάς. Ἐξανθῆσαι, ἐκφῦσαι.

Ἐξανθέω, ἀνθέω. Ἐξανίζειν, τὸ βάπτειν. ποικίλοις ἐξηνθισμένας βαφαῖς. Ἐξανθρωπισθῆναι λέγεται, τὸ ἐξ ἀνθρώπων γενέσθαι. καὶ τὸ τὴν ἀνθρωπίνην μορφὴν μεταβαλεῖν, ὥσπερ μεταμορφῶσαι, ὅπερ λέγεται ἐνταῦθα. Ἐξανθῶ, ἐκβλαστάνω. ὡς τὸ ἐξήνθησεν ἡ ἔρημος. Ἐξανίεσιν, ἀναπέμπει. Ἐξανίας, ἀπὸ κυρίου. Ἐξανίσχειν, ἐπὶ μόνου ἡλίου λέγεται. καὶ τὸ ὑποφῦναι εἰς ὕψος, ἐντεῦθεν ἐξανίσχειν φαμέν. Ἐξανεωροῦσαι θύραν, ἐκπορθοῦσαι. Ἐξ ἀξίου ξύλου, κἂν ἀπάγξασθαι. παροιμία ἐπὶ τῶν ἐθελόντων σεμνῶς δυστυχεῖν, κρεῖττον ἀπ' ἀγαθοῦ, ἢ φαύλου παθεῖν. Ἐξαπτόμεναι, ἐκκαιόμεναι. Ἔξαργος, ἀργός.

Ἐξάντης, ἐξακεσθείς, ὁ ἀβλαβὴς καὶ ὑγιής. ὁ ἔξω ἄτης. οἷον, ὦ γοῦ, γενέσθαι με τόδ' ἐξάντην νόσου. τὸ ἐγκεῖσθαι δὲ ὑπομονήν. καὶ ἐξάντης, ὁ τῆς νόσου ἔξω ὤν. Ἐξ ἄντυγος, ἐκ τῶν περιφερειῶν τοῦ ἅρματος. Ἐξαντλῶν, ἀνασπῶν τὸ κάρφος, καὶ τὸ ὑπόγειον, οἷον ὑπογεωργῶν. ἢ οὕτως ἐξάντλων, κατὰ τὸ ὑγιεινὸν εἶδος ἐξορκῶν. τὴν ὑγιαίνουσαν, ἐξάντλων. Ἐξανύω. κεῖται παρ' Ὁμήρῳ, ἀντὶ μέλλοντος τοῦ τελειώσω. δηλοῖ γὰρ τὸ εἰς τελευτὴν ἄγειν. καὶ ἐξανύω ἐξανύσω, ἐκτελέσω. ἢ ἐξανύω, κατορθοῦμαι, ἀποπληρῶ. Ἐξάνω, ἄνωθεν. Ἐξάνω, ἐξανύει.

Ἐξαπαλλακτῆ, ὑποχωρεῖ. Ἐξαπαλλάξαι, ἐκπορθῆσαι, ἐκκινῶσαι. Ἐξαπαφᾶν ἐστιν. ἔοικε μὲν πρὸς τὸ κλέπτειν εἰρῆσθαι, εἴρηται δὲ πρὸς ἑτέρας ἀπάτης. ἐξαπαφεῖν γὰρ ἂν λέγοι, καὶ ἔργοις. δῆλον δὲ, ὅτι τὸ ἀπαφεῖν, οὐ ... λέγεται. ... ἄξιος τὸ ἄπαφον, προσπέπαισται τὸ ὑπερφυῶς. ἐξ οὗ τὸ ἀπαφίσκειν παράγωγον. ἔστι δὲ κυρίως ἀπαφεῖσθαι, τὸ διὰ ἀφῆς ἀπατᾶσθαι. ἀφ' οὗ καὶ ἡ μυθικὴ παφία, κατ' ἔλλειψιν τοῦ π ... ὅτι ... γίνεται ἐν τῷ νέρτερον. καὶ ἐν τῷ συμβάλλειν, ἀγορὰν βάλλειν. καὶ ἐν τῷ συνδιανοεῖσθαι, καὶ συστρέφειν, καὶ ἐν ἄλλοις. αἰολικὴ δὲ λέξις τὸ ἀπαφεῖν. Ἐξαπατήθεν, ἐκ τοῦ ἐπέρα. Ἐξαπατᾶν, ὄνειρος. Ἐξαπάφοιτο, ἐξαπατήσῃ. ἐξαπάφοιτο γὰρ φασὶν οἱ παλαιοὶ εἰς τοῦτο. δὶς τὸ μὲν ἅπαξ ὑπὸ φύλου ἀπατηθῆναι, εὐήθους ἐστί. τὸ δὲ δὶς, μωρίας. ἢ ἐξαπάφοιτο, προστεθέντος τοῦ παφίου ἀφροδίτης. παφία γὰρ ἀλληγορικῶς ἐκείνη, ὡς ἀπαφίσκουσα, ὃ ἐστιν ἀπατῶσα τῷ ἔρωτι. διὸ καὶ ἡ ... ὑπὸ κακοῦ ἐκείνης τὴν δίκην ἔπαθε. Ἐξαπατηθῆναι, παρῆχθαι. Ἐξαπατῶντες, ἀπατῶντες. Ἐξάπινας, ἐκ τοῦ ἀπροσδοκήτου. ἐξαπίνης δὲ, ἀντὶ τοῦ ἐξαίφνης. Ἐξ ἀπίας γαίης. ἀπίαν γῆν νοητέον, ἢ τὴν ἀπωτάτω καὶ μακράν, ἐκ τοῦ ἀπό. ἢ ὡς καὶ Σοφοκλῆς λέγει, τὴν Πελοπόννησον. ἀπὸ Ἄπιδος, Ἀπία. ἢ ἀπὸ τοῦ ἀφανοῦς. καὶ ἀφανῶς, καὶ ὡς ἀρέσκει τοῖς Ὁμηρικοῖς τολμοῦ ἀπὸ προίας. κατὰ δὲ ἄλλους φασὶ ποιητάς, ἢ τηλουρός. οἱ μὲν γὰρ νεώτεροι τὴν Πελοπόννησον φασιν, ἀπὸ Ἄπιδος, ἡ Ἀπία.

Ἐξάπινα, ἐξαίφνης. καὶ ἐξαπιναῖον, ὁμοίως. Ἐξαπλοῦν, διπλασιάζειν. πολυπλασιάζειν. Ἐξαπατᾶσθαι, παραλογίζεσθαι. Ἐξαπόλωλε, τέλεον ἀφανισμὸν δηλοῖ, διὰ τὸ ἐπιτεῖνον εἶναι τὴν προθέσεως. Ἐξαπόνιζε, ἐξ ὑψηλοῦ τόπου. ὅθεν ἐστὶ περισκοπεῖν τὰ ὑποκείμενα. Ἐξαποργισθῆναι, ἐν ἀπορίᾳ γενέσθαι. ἐξαφανισθῆναι. Ἐξαποτρεχοῦ, ἐκπεφευγέναι. Ἐξ ἀποστροφῆς, ἐξ ἀμελείας. Ἐξάπτεσθαι, τεινόμενον ὑπὸ ἐκκρέμασθαι.

Ἐξάραι, οὕτω λέγεται, ὅταν ἐκ τοῦ ὀργάνου εἰς μετέωρον ὕψος αἴρηται. Ἐξάραντος, ἔξω κομίσαντος. Ἐξαράξαι. Καὶ ἐπεὶ μᾶλλον ἐξέπεσεν εἰς ὀργὴν, καὶ ἐπιλαβόμενος τὰς θύρας ἐξαράξαι, τουτέστι συντρῖψαι, καταβαλεῖν. Ἐξάρραγμα, σύντριμμα, παρὰ τῷ Ἱπποκράτει. Ἐξαράξαντος, ψοφήσαντος, κρούσαντος.

Ἐξαράσασθαι, τὸ ἐκτελέσαι τὰς ἀράς, τουτέστι τὰς εὐχάς, ἃς ἐπὶ ταῖς ἐξόδοις τῶν ναῶν εἰώθασι ποιεῖσθαι. Ἐξαράττω, τὸ κρούω, πλήττω, βάλλω, καὶ διολλυμι. ἐξαράξω, εἰς γῆν μεταβαλῶ, ἤγουν, ἐν γῇ. Ἐξάργματα τέμνειν τῶν ἀποθανόντων οἱ δολοφονοῦντες, ἀρχαίως ἀπροτροπιασμῷ τινα ἐποίουν τῶν ἀνῃρημένων, καὶ ταῦτα λαβόντες, ἐξῆπτον τῶν τραχήλων αὐτῶν. ἔπειτα τοῦ αἵματος αὐτοῦ λαβόντες, τρὶς εἰς τὸ στόμα ἔπτυον, ὥσπερ δὴ ποιοῦσι, πρὸς τὸ ἐξιλάσασθαι τὴν δολοφονίαν. Ἐξαργυροῦσαι, οὐκ ἐξαργυρίσαι.

Ἐξαρεῖ, ἐκτὸς ἔσται. Ἐξαρέσασθαι, δεῦξαι. Ἐξαρῆξαι, ἐκπορεῦσαι. Ἔξαρθρος, ἀρθρωτικός, ἐκμελής, ἐξηρθρωμένος.

Ἐξαριθμῶ, καὶ ἐξαριθμοῦμαι. ἀπαριθμῶ, καὶ ἀπαριθμοῦμαι. αἰτιατικῇ συντάσσονται. Ἐξαρκεῖ, ἐπαρκεῖ. Ἐξαρκέσω, ἐκποιήσω. Ἐξαρκῶ, ἀρκέσω. Ἐξαρκῶν, ἐκφεύγων.

Ἔξαρνος, ἀρνούμενος. Ἐξάρξατε, ἄρξατε, μελῳδίας ὕμνου ... προκατάρξατε, καταλλάξατε, ἐκράξατε, προβῆτε. Ἐξαρῶ, ἀρῶ, ἐξαλείψω. Ἐξάψηθῶμαι, ἐξοίσω, διαπεράσαι.

Ἐξάρσεις, ἐκάρσεις. ὁ δὲ θρασύτερον προελθὼν, ἐξάρσεις τὰ τῶν ποδῶν ... βίᾳ φωνῆς, ἀπέλιπε τὸν βίον.

Ἐξαρτήσαντος, κρεμάσαντος. Ἐξαρτίζει, πληροῖ, τελεοῖ, παρασκευάζει. Ἐξαρτύειν, παρασκευάζειν. Ἐξαρτύσασα, ἐκπληρώσασα, ἢ ἑτοιμάσασα. Ἐξάρτυσις, ἡ παρασκευή. πολέμου δὲ τὴν ἐξάρτυσιν τοῦ σώματος ἑτοίμην. Ἐξαρύω τόδε τὸ δεῖ. περιαρτῶ τόδε τόδε. Ἐξάρχεται, ἐκπονοῦνται, ἐκβάλλεται. ἴσως δὲ τὸ ἐξορμᾶται, ἢ ἀπόλλυται. Ἐξαρύσαι, ἐξαντλῆσαι.

Ἐξάρχων, τὸ φόρμιγγος ἴδιον. διὸ Ἡσίοδος ἐν ἀσπίδι φησί, θεαὶ δ' ἐξῆρχον ἀοιδῆς Μοῦσαι. Στησίχορος δὲ καλεῖ τὴν μοῦσαν ἀρχεσίμολπον. καὶ Πίνδαρος, ἀρχεσίχορα τὰ προοίμια.

Ἐξάρχοντος, ἄρχοντος. ὡς τὸ, Οἱ δὲ τρεῖς μετὰ θορύβου καὶ ἄλλοι τῆς παιδιᾶς ἐξάρχοντος. Ἐξάρμενοι, ἐξ ἀγῶνος φιλοσοφούμενοι.

ἐξαίρετον, ἐξ αὐτῶν ἀπολελειμμένην τῶν ἀνθρώπων, ὡς δούλην λαγχάνειν. ἐξαιρέσεως δίκη, ταῖς τῶν ἐλευθερίαν αὐτῶν ἐξαιρουμένων. ἢ ὅταν τις ἐν τῇ δουλείᾳ ὑπάρχων ἀγαθοῦ, εἰς ἐλευθερίαν ἀφαιρῆται.

ἐξαίρεσις, τόπος τις ἀθλίωσιν, ἐνθα ἀποξαιρούμενοι τὰ φορτία ἀπετίθεντο. ἐξαιρέτω, ἀρχαῖον, ἢ ἄρπαξ, ὁ πρὸς τὰ ἀπειλήματα. ἐξαιρετέα, ἄξια τοῦ καταγραφῆναι. ἐξαίρετον, τὸ ἐπίλεκτον, προηγούμενον, ἢ τὸ ἐκβαλλόμενον. ἐξαιρήσειν, ἐξαίρετα ἐλάμβανον. ἐξαιρήσεται, παραδοθήσεται, ἢ ἐξαιρεθήσομεν, ἀντὶ τοῦ ἀφαιρεθήσομεν. ἐξαίροντες, ἀναστάντες. πρὸς ταῦτα τί λέγουσιν, οἱ τὴν πρόνοιαν ἐξαίροντες, ἢ ἀντὶ τοῦ ἀναιροῦντες.

ἐξαιρούμενος, ἀποκομιζόμενος, ὁ ῥυόμενος. ἐξαιροῦσιν, ἀνεβάλλουσιν, ἀφανίζουσιν. ἐξαίρω, τὸ ὑπερβάλλω, καὶ τὸ Ἀριστείδης, ἐξῆρε πάντων ἀνθρώπων ἄγνοιαν. ἐξαίρω, ὑπεξαιροῦμαι. ὅθεν ἐξαιρέτως. καὶ ἐξαίρω, τὸ ὑμνῶ, καὶ θαυμάζω. οἷον, ἐξαίρει τὴν δόξαν τοῦ ἄλλου, ἀντὶ τοῦ μέγιστον ἡγοῦμαι τὸ ἄλλων. τοῦ τὸ δηλοῦν τὸ ἄλλως. καὶ ἐξαίρω σε τοῦ θανάτου, καὶ ἀπὸ τοῦ θανάτου. ἐξαίσιοι, παντὸς ἐπέκεινα θαύματος, ὑπερβαλλόντως.

ἐξαίσιον, δηλοῖ τὸ ἔξω τοῦ αἰσίου. ἔστι δὲ παρ' Ὁμήρῳ ἐπὶ τοῦ ὁ δυσσίας. ἡ αἰτιατικῶς πλείονάς ἐστιν, ἵνα δηλοῖ δύναιτο λέγειν ἐξαίσιον. ἢ ἐπιρρηματικῶς ἐρρέθη, ἀντὶ τοῦ ἔξω τοῦ δέοντος. οὕτω καὶ ἐν Ἰλιάδι ἐξαίσιον ἔπος ἀγὰν λέγει, τὴν ἄδικον. ὅτι δὲ τὸ, δαίσαι ἐξαίσιον, καὶ ἀντὶ τοῦ μέγα φοβερῶς εἶπον.

ἄλλως. ἐξαίσιον, τὸ ἔξω τοῦ αἰσίου. οὕτω δὲ ἡ ἐνδίκην παρὰ τοῖς παλαιοῖς, τὸ ἔξω δικαίου. τὸ μέν τι μὴ ποιοῦν, ἔνδικον λέγεται, καὶ ἐνοίσιμον. οὕτω καὶ ἔκδικον, τὸ ἔξω δικαίου, ἐπὶ τοῦ ... καὶ ἐν τούτῳ ῥῆμα ... δηλοῖ. ἡ ἐξαίσιον, οὐ κατὰ τὸν ἔσχατον ἢ ἄγαν αἰσίαν. παρ' ὅσον ἢ ἐν πρόθεσις δηλοῖ ἐπίτασιν, ἀλλὰ κατὰ ἄλλον λόγον, τὴν ἔξω τοῦ αἰσίου. ὥσπερ αὖ πάλιν ... τὸ καθῆκον, καὶ ἐκτὸς τοῦ αἰσίου. οὕτω καὶ ἔκδικος ἢ ἔκδικον, τὸν μὲν ἐπὶ τοῦ ἄγαν δικαίου. πάλαι δὲ ἐπὶ ἀδίκου καὶ ἀσίου, τὸ ἔκδικον ἐλέγετο. οἷον, τὸ ἔξω δίκης. ἐξαίσιος εἰκῆ, ὁ ἄμορφος. ἄπιστα γὰρ ὡς ἀηδέστερος. ἐξαίτες, ἀφαιρέτης. ἐξαιρεῖν, ἐξαίρετον, κατὰ συγκοπήν. καὶ ἐξαιρεῖς, ὁμοίως. ἐξαιτοῦμαι, ὅταν ἀπό τινός τι ἐξαιροῦμαι ἀπολαμβάνοντα. ἐξαιτοῦμαι, ὅταν ἀπ' ἐχθροῦ ... πείθομαι. τὸ μὲν πρῶτον Λιβάνιος, ἐκεῖνον ἀπαιτήσαντα, ὡς αὐτὸν ἐξαιτήσοιτο. τὸ δεύτερον δὲ Δημοσθένης, ἐγὼ δὲ χαίρω ἂν τοὺς ἐξαιτήσομαι ἀπὸ φίλων. ἐξαίτες, ἀντὶ τοῦ ἐξαιρέτης, κατὰ συγκοπήν. ἀπὸ τοῦ ἐξαιρεῖ. ἐξαίφνης, ἐξαπίνης. ἐξακαλύφατε, ἐκ τοῦ ἀσύχως γίνεται, διὰ τὸ βαθὺ ἐξακαλεῖ, ἐστὶ βαθυρρόου ὠκεανοῖο. ἐξακέσαιτε, ἀντὶ τοῦ ἐκχέετε, καὶ ὁμοίως. οὐ δυνάμενος δὲ πεῖθον ἐξακέσαι, διὰ τὴν ἀλλαγὴν τῆς ἀρχαίας βασιλείας. ἐξακέσασθαι, ἀπὸ τοῦ ἀκέω, ἐκ τοῦ ἰατρεύω, ἀκέσσομαι, ἀκέσω, ἀκέσασθαι. καὶ μετὰ τοῦ ἐξ, ἐξακέσασθαι ἰωνικῶς, ἀποβολῇ τοῦ σ. ἢ ἐξακέσασθαι χόλον. ἐθέμην, οἷον τὸ χολοῦσθαι. τὸ δὲ κατέχειν τὸν χόλον, ἀκέσασθαι ἐστίν. ἐξακεστήριος ὁ ... καὶ ἡ ... ἐξακεσάμενον, θεραπεύσαντα, ἰασάμενον.

ἐξακίσθαι, οὐ μόνον ἐπὶ ἰατρείας λεγόμενον, ἀλλὰ καὶ ἐπὶ τοῦ ῥέπειν. ἔστι δὲ καὶ ἐπὶ τῶν πλημμελησάντων ἀπαιτεῖν. ἐξάκλινον, ἑξάπουν. ἀττικῶς μὲν ἕξαπον ἢ ἑξάκλινον λέγεται. ὥσπερ καὶ παρὰ τῷ Σοφοκλεῖ ἑπτάκλινον, ἢ παρὰ Πλάτωνι τῷ κωμικῷ ἕξαπον. φυλάττει γὰρ τὸ τέλος τοῦ ἀριθμοῦ ἐν τῇ συνθέσει πεντάκλινον λεγόμενον, καὶ ἐν πεντεσυζύγῳ ξύλῳ. ἡμεῖς δὲ πεντάκλινον, ὀκτάκλινον, καὶ ἡμεῖς ὀκτὼ ... εἰ οὖν ἄρα τὸ τέλος τοῦ ἀριθμοῦ φυλάττει, ὁ δὲ ἓξ ἀριθμὸς τὸ ξ ἔχει, φυλάσσει ἄρα τὸ τέλος. ἑξάκλινον λέγεται. ἀλλ' ἔστιν εἰπεῖν πρὸς τοῦτο, ὅτι οὐδὲ μίαν λέξιν ἔχομεν εἰς διπλοῦν καταλήγουσαν, καὶ ἐν τῇ συνθέσει φυλαττομένην. ἰσὶ δὲ αἱ φυλαττόμεναι ἐν χιλίοις. οἷον πὲξ μὲν ... ἀλλ' οὐ ... εἰ οὖν ἕξ ἐν συνθέσει, φυλάσ-

φίζεσθαι, καὶ μὴ καταλήγειν εἰς διπλοῦν. ἀνάλογον ὅτι περιφυλάττεται τὸ τέλος τοῦ ἀριθμοῦ. ὡς καὶ παρὰ τῷ ποιητῇ, οἷον ἐξέτεα, ἐξέτ' ἀδμήτην, καὶ ἑξαέτεις ἵππους. οὐκ ἔστιν οὖν πλεονασμὸς, ὡς πλεονάζει ἐκεῖ. τὰ εἰς ις ἐπιρρήματα ἐν τῇ συνθέσει ἀποβάλλει τὸ ις. οἷον ἑπτάκις, ἑπτάμηνος. οὐ γὰρ ἀπὸ τοῦ ἑπτὰ ἀριθμοῦ, τοιοῦτος ὁ ἀριθμός. τετράκις τὸ ἐπίρρημα, παρὰ τοῦτο τετράμηνον. οὕτως οὖν ἑξάκις, ἑξάκλινον, ἑξάπεν. Ἡρωδιανὸς περὶ παθῶν.

ἐξακολουθοῦσθαι, ἐκβραδύνεσθαι. ἐξάκουσον, περίβλεψον. ἐξακριβάζειν, ἐξιχνιάζειν. ἐξακριβωθέντος, ἐξερευνηθέντος. ἐξακτῶν, ὁ ἀπαιτῶν τὰ δημόσια. ἐξαλαπάξαι, ἀντὶ τοῦ ἁπλῶς ἐκπορθῆσαι ἐλεῆσαι, καὶ ἀντὶ τοῦ ἐκπορθῆσαι. καὶ ἀλαπάξαι, ἔχει πλεονασμὸν τοῦ α. εὕρηται γὰρ λαπάζειν. ἐξαλάπαξαν, ἐξεπόρθησαν. ἐξαλδαίνει, ἐκβλαστάνει. ἐξαλέασθαι, ἀλεύομαι, τὸ ἐκφεύγω, μέλλων ἀλεύσομαι. ἀλεάμενος χωρίς τοῦ υ. ὡς ἀπὸ τοῦ χεύω, ἔχεα, καὶ ἐξέχεα, τὸ τρίτον ἀλέατο. ἀφ' οὗ ἀλέασθαι καὶ ἀλεῖσθαι, ἐκβολῇ τοῦ υ. καὶ ἐξαλέασθαι, ὡς παρὰ Θεόγνιδι, Οὔτε τὸ ἀθάνατον μόρον ἀλευάμενος. ἐξαλείφθαι, ἐκκόψειν. ἐξαλείψειν, ἐξάλειψιν. ἐξαλειπτήριον, ἡ τοῦ μύρου λάκυθος, τὸ ἀλάβαστρον. ἐξ οὗ ἀλείφονται οἱ δειπνοῦντες. ἐξαλειφθεῖσαν, ἀπώλοντο. ἐξαλιμμένος, ἀλειμμένος, ἀναλειφθείς. ἐξαλείπτρον, σκεῦος ἀργυροῦν φιάλῃ παραπλήσιον. ἐξ οὗ ἐν τοῖς συμποσίοις ἤλειφον τὸ μύρον. ἐξαλείφεται, ἐξαμαυροῦται. ἐξαλίσαι, ἐκκυλίσαι, παρὰ τῷ ἱπποκράτει. ἐξαλίσαντες, κονιάσαντες, κυλίσαντες, παρὰ τῷ ἱπποκράτει.

ἐξαλίσας, παρὰ Ἀριστοφάνει, ἀντὶ τοῦ ἐκβαλών, ἄπαγε τὸν ἵππον ἐξαλίσας οἴκαδε. καὶ ἐξέλυσεν, ἐξέβαλλε, ἀπὸ τοῦ ἀλίζω, τὸ συναθροίζω. ἡ ἐξαλίσας, κυλισθῆναι ποιήσας εἰς τὴν κόνιν. ὡς φασὶ τινὲς. ἐν τῷ τόπῳ, ἐν ᾧ ἐκυλίοντο οἱ ἵπποι, οὗτοι ... ἀλινδήθρα ἐκαλοῦντο. ὡς που καὶ ἐν τοῖς βατράχοις ὁ αὐτὸς ποιητὴς παρὰ ἀλινδήθρας, ὅταν ἐγκυλίσματα. ἐναλλαγὴ ἐν τοῖς ῥήμασιν γίνεται παρὰ ποιηταῖς, τῶν μὲν ἐγκλίσεων, ὅταν τὸ ἀπαρέμφατον ἀντὶ τοῦ προστακτικοῦ καταληφθῇ. οἷον, σὺ νῦν τὸν διέπεσθαι ἐπὶ φῶνος μάχεσθαι. ἀντὶ τοῦ μάχου, ἢ τὸ ὁριστικὸν ἀντὶ τοῦ εὐκτικοῦ. οἷον, πλαθὸν δὲ οὐκ ἂν ἐγὼ μυθήσομαι, οὐδ' ὀνομήνω. ἀντὶ τοῦ μυθησαίμην, καὶ ὀνομήναιμι. καὶ ἐκ τοῦ ἐναντίου εὐκτικὸν ἀντὶ ὁριστικοῦ. οἷον, Καὶ νύκτα ... ἀπόλοιτο ... ἀντὶ τοῦ ἀπώλετο. τῶν δὲ χρόνων, ὅταν ὁ ἐνεστὼς ἀντὶ τοῦ μέλλοντος τεθῇ. ὡς ἐν τῷ, Τῷ δ' ἐγὼ οὐ λύσω, πρίν μιν καὶ γῆρας ἔπεισιν, ἀντὶ τοῦ ἐπελεύσεται. ἢ ἀντὶ τοῦ παρῳχημένου. ... ἐπιτακτοί. ... ὕδωρ ἀπαναρρήγνυσι, ἀντὶ τοῦ ἐρρήγνυσι. ἢ μέλλων ἀντὶ τοῦ ἐνεστῶτος. οἱ μὲν, δυσμενέων ὑπερβίωσε, εἰ δ' ἄπιστος. ἢ ἀντὶ τοῦ παρωχημένου. Δίδου μὲν δὲ πάντα διακοσμητὰ εἶχε, ἀντὶ τοῦ εἶχε. Καὶ διαθέσεις δὲ ἐναλλάσσονται παρὰ τῷ ποιητῇ πολλάκις. καὶ τίθεται ἀντὶ ἐνεργητικῶν παθητικά, ἢ μέσα. οἷον, ἕλκεο δ' ἐκ κολεοῖο μέγα ξίφος, ἀντὶ τοῦ ἕλκε. καὶ ἐκτορύμενος, ἀντὶ τοῦ ὁρῶν. καὶ τοὐναντίον τὸ ἐνεργητικὸν ἀντὶ τοῦ παθητικοῦ. Λυρίσου φίλοι ... ἀντὶ τοῦ λυπήθημαι. ἔξαλλα, διάφορα, λαμπρά, ὑπέρφορα, ἢ ἔξοχα.

ἐξαλλάξαι, ἀντὶ τοῦ τέρψαι. Μέγιστος, ἄνθρωπον ἐξαλλάξειν, ἐκχέας ... ἐξαλλάττον, τὸ ἀμεῖβον καὶ ἀνταμεῖβον. οἷον ἐξαλλάττει τις τὸ χρῶμα, ἤγουν ἀμείβει.

ἐξαλλάσσειν τὰς αὐλὰς, τουτέστι τὸ ὑπεραλλάσθαι. ἡ γὰρ ἐξ πρόθεσις, οὐ μόνον τὴν ἔξω δηλοῖ χώραν, ἀλλὰ καὶ ὑπέρμετρα πολλάκις σημαίνει. ὡς καὶ ἐν τῷ ἐξοχλεῖν. καὶ ἐν τῷ, ἐκπομπεῖν ..., καὶ ἄλλοις πολλοῖς. ἐξαλλομένους, ἀναπηδῶντας. ἐξάλλως, κατὰ ἄλλον τρόπον, παραδόξως, καθ' ὑπεροχήν. ἐξάλμα, ὄρμημα, πήδημα. ἐξαλμένος, ἐξαλλόμενος. ἐξαλὸς, ὅπερ κατὰ συναλοιφὴν, ἔξω ἁλός. οἱ δὲ ἐκ τοῦ ἁλός. ὡς τὸ, ἔκπρα δ' ἐκβελέων, ἀντὶ τοῦ ἔξω βελῶν.

ἐξαλοῦνται

[illegible]

ΤΟ Ε ΜΕΤΑ ΤΟΥ Ξ.

Ε Ξ, [illegible]

[illegible]

καλεῖται ἄλλως. οἱ μὲν τὸ τῶν ποιητῶν ἔδαφος. οἱ δὲ τὰ ἐγκοίλια. βέλτιον δὲ τὴν τῆς ἐγκοίλιον ξύλων λέγειν. ταῦτα δὲ Ἡρωδιανὸς ἐν τῇ καθόλου προπαροξύνει. καὶ ἡ ἀναλογία δὲ τούτῳ τῷ λόγῳ ὅμως συστέλλειν τὸ α, καὶ παροξύνειν. Ἐντερόνεια, Ἀριστοφάνης ἐν τοῖς ἱππεῦσιν ἔφη. ὅπερ ἐστὶ, τὸ μεσαίτατον τῆς νηός. ὅ ἐστι συνεκτικώτατον, ἥτις ἐστὶ τρόπις. ὑπὸ δὲ ἄλλων μήτρα καλεῖται.

Ἐντερόνιοι, αἱ χορδαί. Ἔντεφον, ἔντεφρον, καὶ οὐχ ὅμοιον. ὅ ἐστι τὸ ἐντὸς γῆς. Ἔντεος, ἔνοπλος. Ἐντεσιμισὼν, ἐμπειρος ὅπλων. καὶ ἔντεσιν, ὅπλοις σκεύεσιν. Ἐντεσιεργοὺς, ἡμιόνους λέγουσι τοὺς ἐθίμους εἰς ἔργον. ἢ ἐντεσιεργοὶ ἡμίονοι, οἱ ἐν τεύχεσιν ἐργαζόμενοι. τουτέστιν, αἱ ἁμάξας ἕλκουσαι, καὶ ἁπλῶς ἔντεα φέρουσι. ἔντεα γὰρ παρὰ Πινδάρῳ, τὰ ἅρματα. ἢ ἡμίονοι εἰς ἔργον ἐπιτηδευμένοι καὶ αὐτοί. σημαίνει δὲ τὰ ὅπλα καὶ τὰ ἔντεα, σημαίνει δὲ ἐνταῦθα καὶ τὸ ἀναγκαῖον ῥηθὲν, ἔντεσιν ἵππους, ἤγουν ἐντετειχίζειν. Ἐντεθυμμένας, κεκοσμημένας. Ἐντέταν, ἐπιδεδειχθέν. Ἐντέταται. ὡς πεῖσαι, ἐντείνει φασίν. Ἐντεταγλωσσωμένος, ἀντὶ τοῦ μετὰ πετάλων ἐψηφισμένος, Ἀριστοφάνης.

Ἐντέτηκέ μοι μῖσος παλαιόν, ἀντὶ τοῦ ἐμπέφυκε, καλὴ ἡ λέξις. κυρίως δὲ, ἐπὶ σιδήρου καὶ ἐπὶ φιλίας καὶ ἄλλων ζώων. ἡ ἐντέτηκεν, ἐξεκολλᾶται, πέπηγε. βέβαιος ἀπ' ἀληθοῦς. ψευδὴς ἐντέτηκε δόξα. Ἐντετριμμένη, ἀντὶ τοῦ σμιχθεῖσα, ἀειδὴς οὕτως ἐντεθειμμένη κανηφόρος, τὰ κανίσκια ἔχουσα. Ἐντετροχάλιχθαι, τὸ ἐναντίον γυμνοῦσθαι. οὐκ ἐγκεκαλύφθαι, παρὰ τῷ Ἀριστοφάνει. Ἐντετύλιχται, ἐμπέπλεκται, ἐνείλεκται. Ἐντετύχηκας, ὃ θέμα αὐτοῦ ἄχρηστον. λέγεται δὲ ἀπ' αὐτοῦ τὸ ἐντυγχάνω, ὅπερ ἐστὶ ταυτὸν τῷ περιτυγχάνειν. λέγεται δὲ ἐντυγχάνω, τὸ ἐλθεῖν γίνομαι ἱκανῶς. μετὰ δὲ τῆς σὺν προθέσεως, συντυγχάνω. τὸ ἐρχόμενος συγκυρεῖν ἐρχομένῳ. ἐπιτυγχάνω δὲ ἀγαθοῦ. ἀποτυγχάνω τὸ ἐναντίον τούτῳ. ὁ μέλλων ἐντεύξομαι, ἀπὸ ἐντεύξω ἀχρήστου θέματος. καὶ μετὰ τῆς σὺν οὐ λέγεται. ἀντ' αὐτοῦ δὲ λέγεται τὸ συγκυρῶ. μετὰ τῆς ἐπὶ, ἐπιτεύξομαι. καὶ μετὰ τῆς ἀπὸ, ἀποτεύξομαι. ἀφ' οὗ ἀποτεύγματα, αἱ ἀτυχίαι. ὁ δεύτερος ἀόριστος, ἐνέτυχον, καὶ συνέτυχον, καὶ ἐπέτυχον, καὶ ἀπέτυχον. ὁ παρακείμενος ἐντετύχηκα, καὶ συντετύχηκα, καὶ ἐπιτετύχηκα, καὶ ἀποτετύχηκα. Ἐντετύχηκα κανόνιον. τὸ θέμα αὐτοῦ ἐντυχέω, ἄχρηστον. ἀντ' αὐτοῦ ἐντυγχάνω, καὶ περιτυγχάνω, καὶ συντυγχάνω. ὁ μέλλων, ἐπιτεύξομαι, καὶ μετὰ τῆς ἀπὸ, ἀποτεύξομαι, ἀντὶ τοῦ ἀποτυγχάνω. ὅθεν καὶ ἀποτεύγματα, αἱ ἀτυχίαι. ὁ παρακείμενος, ἐντετύχηκα, καὶ ἀποτετύχηκα. καὶ ὁ δεύτερος ἀόριστος, ἐνέτυχον, ἐπέτυχον, συνέτυχον, καὶ ἀπέτυχον. Ἔνται, παρακελεύειν. Ἐντεῦθεν, παρ' αὐτά. ἢ ἀντὶ τοῦ ἐκ τόπου. Ἔντευξις, ἀπάντησις. κατὰ τὴν πλημμέλειαν αἰτοῦν, δέησις εἰς ἐκδίκησιν. ἢ ἔντευξις, παράκλησις ὑπὸ ἐνὸς προσφερομένη θεῷ, περὶ σωτηρίας ἑτέρων. Ἐντευξόμενος, διαλεχθησόμενος. Ἐντεύχεσι δῦναι εἶπεν Ὅμηρος, διὰ κακοφωνίαν φράσεως. ἀναχοῦ δὲ τεύχεα δῦναι, καὶ κατὰ τεύχεα δῦναι. Ἐντεῦχε, ἐντυγχάνω, ὥπλισαι. Ἐντέχνως, πάνυ αἰτιῶνται τοὔνομα. καὶ φασὶ τεχνικῶς δὲ λέγειν, Φρύνιχος. Ἐν τῇ ἀδολεσχίᾳ, ἐν τῇ λύπῃ.

Ἐν τῇ ἑτέρᾳ, ἐν τῇ ἀριστερᾷ. Ἐν τῇ σορῷ, ἐν ᾗ τὰς πύελους τὸ σαρκός. Ἐντόκιον λέγεται κυρίως, τὸ ἐμπεσὸν μόνιμον ἀδιάλειπτον καὶ λυπηροῦ, καὶ ὅτι δύσπεπτον μόνιμον. εἴρηται δὲ μεταφορικῶς, ἀπὸ τῶν ἐν νηροῖς γινομένων. Ἐντόκιον, ἐμβαλὼν, ἐντείνας, ἢ αὐτοῦ τοῦ κέντρου ἐντόκιον χρυσόν. Ἐντόξαο, ἐμβαλὼν, ἐμφυτεύσαο, διδάξαο. ὡς τὸ, ἐντήξαο ταῖς αὐτῶν ψυχαῖς, ἰσχὺν λόγων ἄμαχον, καὶ σοφῶν ἀπλανῆ ἐφελκυστικήν. Ἐντί, ἀντὶ τοῦ εἰσί, ἢ ἐστί, Δωρικῶς. Ἔντιθος, ψαμίζει. Ἐντίθημι, τὸ ἐμποιῶ, καὶ τὸ ἐν δὲ εἶδος τίθημι. οἷον, ἐν τῷ κηρῷ τὴν τοῦ δακτυλίου τύπον, καὶ τὸ εἶδος ἐντίθημι.

Ἐντὶν, ἡμῖν. Ἐντίκτει, τὸ κατὰ δύναμιν ἐνυπάρχον ἐστί, ἢ κατὰ μετουσίαν καὶ ἐνέργειαν. ἢ ἐντίκτει, τὸ κατὰ ἐνδείκνυσιν ὑπάρχον αὐτό. Ἐντίλλω, ἐνειλέω. Ἐντίσιν, ἐν ποίοις.

Ἐντ, γίνεται ἐκ τοῦ ἵημι, ὃ σημαίνει τὸ πέμπω. ὁ μέλλων, ἥσω. ὁ δεύτερος ἀόριστος ἧν, ὁ μέσος ἕμην, ἕο, ἕτο. ἕμεθον ἕσθον, ἕμεθα, ἕσθε, ἕντο. Ὅμηρος, ἐξ ἔρον ἕντο. τουτέστιν, ἐξέβαλον τὴν τῆς τροφῆς ἔρωτα. ὅ ἐστιν, ἐκορέσθησαν. Ἐν τοῖς κατωτάτω, κάτω, κατώτατος. ἡ δοτικὴ κατωτάτῳ, ἀπὸ ὀνόματος μετήχθη εἰς ἐπίρρημα. Ἐντολὴ, παραγγελία τῆς διδασκαλίας. Ἔντομα, τὰ τοῖς κατοιχομένοις θυόμενα. ἐντέμνεται γὰρ τὸν τράχηλον. τὰ δὲ τοῖς οὐρανίοις θεοῖς, ἀνακλᾶται. ἢ ἔντομα, τὰ ἐντεμνόμενα τῶν προβάτων. τοιαῦτα δὲ ἔθυον τοῖς νεκροῖς ἄγονα, διὰ τὸ καὶ αὐτοὺς εἶναι ἀγόνους. καί μὲν κυλλαίνοντες ὑπὸ κύφων ἔντομα μῆλα. καὶ ἔγνωσαν ἔντομα μήλων. Ἐντομίας, εὐνοῦχος. ἢ λασίας δὲ, ὁ τεθλασμένος. Ἐντομίδας, οἱ τοῖς σώμασιν ἐντεμνόμενοι. τοιαῦτα εἰώθασι ποιεῖν ἐπὶ τοῖς νεκροῖς. ὅτι τοῖς νεκροῖς τὰ ἔντομα ἔθυον τῶν τετραπόδων, ὡς ἄγονα. τὰ δὲ ἔνορχα, τοῖς θεοῖς. ἔντομα δὲ, οἷον σφῆκες, μύρμηκες, μέλιτται. ἃ οὕτω κέκληται, ὅτι τομὰς ἔχει. Ἐντομὶς, ἡ ἐγχάραξις. Ἔντομοι, ἔνορχοι.

Ἔντονον, τὸ τεταμένον. ἐκ τοῦ ἐκτείνω, τὸ τανύω. καὶ ἐκτείνεσθαι, τὸ ἐξαπλοῦσθαι. Ἔντονος, ἰσχυρός. Ἐντόπιξε, ἐνέπηξε, ἐπεστράφη. Ἐντὸς οἰκίας. ἔχει τὸ ἐναντίον, ἐκτὸς οἰκίας. ἢ ἐντὸς, οἱ λογισμοί, καὶ ἐνθυμήσεις, καὶ πάντα τὰ τῆς ψυχῆς κινήματα. Δαβίδ, καὶ πάντα τὰ ἐντός μου. καὶ ἐντὸς, ἔσω, ἔνδον. καὶ ἐντὸς ἐβδόμης, ἀπείρων ἀθλήσει στρατιὰν ἐξάγειν πρὸ τῆς μισθοῦ ἐβδόμης. Ἐντόσθια, ἐντὸς τοῦ σώματος. Ἐντόσθια, παρὰ τὸ ἐντὸς ἐπίρρημα, ὃ σημαίνει τὸ ἔσω. τὰ ἔσωθεν τοῦ σώματος κείμενα. οἱ δὲ λέγουσιν, ἐνδόθια. Ἐντοσθίδια, τὰ σπλάγχνα. Ἐντόσθε δὲ, ἕως ἄν, μέχρις ἄν. Ἐν τούτῳ, ἀντὶ τοῦ τότε. Θουκυδίδης. καὶ ἐν τούτῳ οἱ Κορίνθιοι, τοῦ Πελοποννησίου ἀφεστηκότος. Ἐντραγεῖν, παρὰ τῷ Ἀριστοφάνει, οὕτω τὸ ἀκρατίζεσθαι. καὶ Μένανδρος, ἐμοὶ ἐὰν ἐντραγεῖν. Ἐντραπῇ, ἐντραφῇ. Ἐντραχύνειν, ψαμίσαι, ψαμίσασθαι. Ἐντραχύνειν, ἰσχυρόν. Ἐντραγοῦσι, μασσῶνται. Ἐντραγεῖν, φαγεῖν. Ἐντραπελεύσασθαι, παρεστ. Ἐντρέπεσθαι, λέγει Ὅμηρος, τὸ ἐπιστρέφεσθαι. νῦν καὶ ὀπίζεσθαι λέγεται. ἀφ' οὗ καὶ ὄπις, ἡ ἐπιστροφή. ἐκ δὲ τούτου, παράγεται τὸ ἐντροπαλίζεσθαι ἐν Ἰλιάδι. ὅτι ἐν τῷ φεύγειν ἐπὶ τὰ ὀπίσω στρέφεσθαι. δύναται δὲ καὶ ἄλλως νοεῖσθαι τὸ ἐντρέπεσθαι, ἀντὶ τοῦ μετατρέπεσθαι, μεταβάλλεσθαι. τὸ δὲ ἐντρέπεσθαι, ἤτοι ἐπιστρέφεσθαι, ἀναχοῦ μεταστρέφεσθαι λέγεται. οἷον οὔτε μετατρέπῃ, οὐδ' ἀλεγίζεις. Ἐντρέπει, ἐπιστρέφει. Ἐντρέπομαι, ἐρυθριῶ, αἰσχύνομαι, αἰδοῦμαι, δυσωπῶ, δυσωποῦμαι, ἐγκαλύπτομαι, ταυτοσήμαντα. Ἐντρέπομαι, τὸ φροντίζω, γενικῇ συντάσσεται. ὡς τὸ, ἐν ἐντρέπου σὺ μηδέν. Ἐντρεπομένους, ἐγκαλύπτοντας. Ἐντρεχεῖς, ἐπιτηδείως. Ἐντρέχειν, ἐναρμόζειν. Ἐντρέχεια, τὸ μετὰ σπουδῆς καὶ ὁρμῆς ἐπιπηδᾶν τῷ πράγματι. Ἐντρεχὴς, γοργὸς, ὀξὺς, σπουδαῖος. Ἐντρίψασθαι, τὸ εἴσω τρῖψαι τὸ ἱμάτιον. Ἐντριβὴς, ἔμπειρος, τετριμμένος. συνήθης ἄνθρωπος. ἐντριβὴς τῆς χώρας. Ἐντριβῆναι, ἐναντίον τύψαι. Ἐντριόδοισιν, ἐπὶ τῶν ἀδήλων πραγμάτων ἔλεγον. ἐπειδὴ ὁ ἐν τριόδῳ γενόμενος, οὐκ οἶδε ποίᾳ χρήσηται ὁδῷ. Ἐντρίψω, τὸ ἀλείψω. ἐμβρέξω. ὁ γαλάτης, ἐμβρεκτὸν φασίν. Ἔντριχον, ἀθῶος.

Ἐντριχώσεις, αἱ βλεφαρίδες τῶν ὀφθαλμῶν. Ἐντροπαλιζομένην λέγει ὁ ποιητὴς, πάλιν ὅλη καὶ ἐπὶ τὰς ὄψεις ἐντρέπεσθαι, πρὸς τὰς τῆς χειρὸς καταφοράς. ἢ ἐντροπαλιζομένη, ἄνω συχνὰ ἐπιστρεφομένη. καὶ ἐντροπαλιζομένη, ὑποστρεφομένη. Ἐντροπή ἐστι, λύπη κατὰ νοῦν ἐξ ἀτυχίας ἴσως καταθεμένου συμβαίνουσα. ἢ ἡ ἐξ ἐλέγχου καὶ ἐπιλήψεως γινομένη αἰδώς. Ἐντροπίας, εὐμετάβολος. καὶ ἐντροπίας εἶδος, ὁ ὀξύς. Ἐντροπίδια, ὑπολείμματα. Ἐντροπῶσαι, ἐνδῦσαι.

Ἔντροφος.

[illegible]

Ἔννους· ἁπλῶς· ὁ ἔχων νοῦν. καταχρηστικῶς δὲ, ὁ συνετὸς καὶ φρόνιμος. Ἐννοήσας, φρονήσας. Ἐνδεῖν, ἐνδύειν. Ἐν-[illegible], ἐκεχώρει. [illegible], ἐν τῷ καμπτῆρι. Ἐννοεῖν, [illegible]. Ἐννύχιον. [illegible] τὴν νύκτα. καὶ ἐννύχιον πρᾶξιν, ἀντὶ τοῦ σκοτεινὴν καὶ δολίαν. [illegible] ἐμμύχιον, τὸ ἐν τῷ μυχῷ. Ἐννυχος, νυκτερινὸς, αὐτόνυχος. Ἐννοῦ, ἐκ[illegible] ἀρα, [illegible].

Ἐν ξυμβολαῖς, ἐν ταῖς συμβολαῖς. Ἐνόδια, ἡ Ἑκάτη. [illegible] ἡγεμόνη. Ἐνόδιον, τὸ ἀπὸ τοῦ ὁδοῦ. [illegible] δὲ, τὸ [illegible] μέγα, παρὰ τὸ οἶδος ταῦτα. Ἐνόδιος Ἑρμῆς, ἐν πά-ρῳ. Ἐν ὁδῷ ἔργον, ἐν ἔργῳ, ἐν βίῳ, ἐν πείρᾳ. Ἐνοικ[illegible], [illegible] ὁμοίοις. Ἐνοίκειον, οἰκεῖον κατὰ νοῦν. Ἐνοῖ, [illegible], ἐκ [illegible]. Ἐνοικον, τὸ ἐνοικεῖν τὸ ἀγγεῖον, ἐν ᾧ ἡ κόπρος.

Ἐν ὅλμῳ εὐνάσθη. οἱ μὲν ὅλμον φασὶ μακτρον. οἱ δὲ, τοὺς ἐν ὅλμῳ κοιμηθέντας μαλακοὺς γίνεσθαι. ὅτι καὶ οἱ [illegible] ἀπὸ [illegible] ὅλμοις κοιμῶνται. Ἐννόμως, κατὰ νόμον ἐννομοθετικῶς· ἐννόμως. [illegible] τὸ νομίζειν. νόμος δὲ παρ' Ὁμήρῳ, ἡ [illegible], αἴτιον, [illegible] ἀκρίβειας [illegible]. Ἐν ὁμίλῳ, ἐν ἀθροίσματι, ἐν μάχῃ. Ἐνωμιδαλθομαι, προσθρηνήσω. Ἐνομόργνυμι, καὶ ἐμμάξειν, ἐνεβάλειν. Ἐνὸν, δυνατὸν, ἐνδεχόμενον, ἐνυπάρχον. Ἐν ὀνείρῳ, ἐν ὕπνῳ. Ἐνονυχίζει, ἀπολείχεται. Ἐνοπαῖς, ταῖς ἐναντίαις ἀπὸ τοῦ ταῖς τῶν ὄψεων ὀπαῖς κεῖσθαι, Σοφοκλῆς.

Ἐνοπή, οὐχ ἁπλῶς ἡ φωνή, ἀλλὰ πολεμικὴ [illegible] [illegible] [illegible] καὶ [illegible]. παρωνόμασται. [illegible] ἐνοπὴ, ἡ τοῦ ὀξυχειλῶς βοή, ἣν ἐστὶ καὶ φθέγγειν [illegible] τις. ἐνοπὴ δὲ, πόλεμος, μάχη. Ὅμηρος, Τρῶες μὲν κλαγγῇ τ' ἐνοπῇ τ' ἴσαν ὄρνιθες ὥς. καὶ ἐνοπάς. Ἐνοπλίζειν, ἐμβλέπειν.

Ἔνοχοι πάντα, ἐν τῇ μεγάλῃ θαλάσσῃ. Ἐνόπλιον μέτρον λέγεται, τὸ ἔχον δύο δακτύλους, ἐπιτακτικόν. καὶ πάλιν δύο δακτύλους. καὶ σπονδεῖον μὲν ἐνόπλιον, ἐνόπλον. Ἐνόπλους, ἐνοπλίου. Ἐνοπτρίζεται, ἑαυτὸν κατοπτρίζεται. Ἔνοπτρον, τὸ κάτοπτρον. Ἐνοργίας, τὰς τελετὰς, ὀργίασι. Ἐνόργιον λόγον λέγει ὁ Φίλαρχος, τὸν ἀληθέστατον. παρὰ γὰρ ὧν ὡς [illegible], ὅρκος [illegible] χωρίζεται. Ἔνορμος, ὁ ὅρμος παρὰ θεσσαλοῖς. Ἐνορμᾶς, ἐμβαλῶν, μίξας. Ἔνορχα, ἄρρενα, ὄρχεις ἔχοντα. [illegible] δὲ, τίς τὰ ἔνορχα παρ' αὐτοῖς [illegible] ἱερεῖον, ὄρχεις ἔχοντα. τοιαῦτα δὲ ἔθυον τοῖς ποταμοῖς. Ἐνόρχην κάπρον, τὸν ἐπὶ ἥβης. ἀφ' οὗ καὶ τὸ ὀρχίλλειν. Ἐνόρχης, ὁ Διόνυσος παρὰ Λεσβίοις. φασὶ γὰρ δύο ἀδελφοὺς συμμήτ[illegible], Θυίαν καὶ Λαίτην, ἐξ ὧν τεκεῖν παῖδα ἐνόρχην καλούμενον. ὃς παρ' ἑορτάσαντος Διονύσου, ἀπὸ τοῦ ἰδίου αὐτοῦ ὀνόματος τοῦτον ἐκάλεσεν. ἢ ἐνόρχης λέγεται, ὅτι μετ' ὀρχήσεως αὐτοῦ τὰ μυστήρια ἐτελεῖτο, ἢ ὅτι ἐν ὄρχεσι καὶ φυτοῖς διάγειν. οἱ δὲ καὶ ἑτέραν τινὰ ἱστορίαν φασί. Φιλόστεφανος γὰρ λέγουσι [illegible] τὴν μητέρα μετὰ τὸ κρύπτειν αὐτήν. Πολύνεικος δὲ [illegible], ἔρα δεῖξαι τὴν πρὸς [illegible] ὁδὸν, εἰ συγγένοιτο αὐτῷ. ὁ δὲ ὑπέσχετο τοῦτο ποιήσειν, ἐὰν εὕρῃ τὴν μητέρα, καὶ διὰ βαλανίου κατελθὼν εἰς τὴν ἄδου, ἐκ τοῦ λίμνης ποτὲ ἀνάγει αὐτήν. τελευτήσαντος δὲ πολυφάμου, διὰ τὸ θέλειν πληρῶσαι τὴν ὑπόσχεσιν, συκῆς αἰδοῖα προσηνέγκεν ἑαυτῷ, ἐν φαλλοῖς ἀφηκεν ἐλάφων. ἔνθεν οὖν φασι καὶ ἐνόρχης λέγεται. Ἔνος, ὁ χρόνος, καὶ ἐνιαυτός. Ἐνόσσα, ἤρμοσε, ὁ δὲ Κῶμος [illegible] [illegible], καὶ πᾶσα ἡ οἰκία αὐτοῦ ἐνόσσε. Ἐνοσχλεύω, ὀχλοποιῶ. Ἐνόσσοντες, ἐπαναθέντες, προσάπτοντες. Ἐνόσφιν, ἐπὶ τοῦ [illegible] λέγεται. Ἐνοσφίω, ἐνεργῶ. [illegible], ἐν τῷ μέσῳ, οὐκ αἰδούμενος τὰς γυναῖκας. Ἐνότητα, ἰδίαν. τὸ πραγματικῶς ὑφίστασθαι, καὶ φέρειν ἅπαντα ἐν ἑαυτῷ τῶν προσωπικῶν ἰδιωμάτων τοὺς ἀληθεῖς χαρακτῆρας. ἡ ἑνότης, τὸ μὴ μόνον ἐνυπάρχειν ἐφ' ἑαυτοῦ, τὸ τῶν ἰδιωμάτων ἀθροισμάτων ἄθροισμα, καθὸ ἄλλος ἀπ' ἄλλου γνωρίζεται, ἀλλὰ καὶ τὸ κοινὸν τοῦ οὐσίου πραγματικῶς κεκτημένον.

Ἐνοίκιον, συμφυὲς πολιτευόμενον. Ἐνοσφίσατο, ἰδιοποίησεν. Ἐνοσφίσωμαι, ἀποστερήσομαι, ἀποκρύψωμαι. Ἐνοσφίσω, ἀποστερήσῃς. Ἐνοσφίσαμενον, ἰδιοποιησάμενον.

Ἐνοφλεῖ δίκην, [illegible] [illegible], αὐτὸς δὲ Λοῦκας ὁ [illegible] ἐγκαλέσων, [illegible] τὸ [illegible]. τὰ μὲν [illegible] οὐκ ἐγκαλέσει, ὁ [illegible]. Ἐνοχος, ὑπεύθυνος, [illegible]. Ἐνοχος, ὑπεύθυνος, τιμωρος. Ἐνοχή, τὸ [illegible]. καὶ ἐνοχὴ, ἡ μῖξις. Ἐν παλάμαισιν, ἐν ταῖς χερσίν.

Ἐν παραβύστῳ, ἐν γωνίᾳ, ἀντὶ τοῦ κρυφῇ, καὶ μὴ φανερῶς. [illegible] δικαστήριον ἐν Ἀθήναις ἀρχιστρατηγοῦ. Ἐν παρόδῳ, μικρῶς, ἐν παρειπεῖν. Ἐν πασιν, ἐν ἅπασι, ἐν χρόνῳ, ἐν παντί. Ἐν πέντε κριτῶν γόνασιν, ἐν ἐξουσίᾳ. παρ' ὅσον τὸ παλαιὸν, πέντε κριταὶ ἔκρινον τοὺς κωμικοὺς, ὥς φησιν Ἐπίχαρμος. κεῖται δὲ παρ' Ὁμήρῳ, θεῶν ἐν γούνασι κεῖται. ἐπειδὴ οἱ ἀρχαῖοι ἐν τοῖς γόνασιν εἶχον, ἃ ηὔχοντο [illegible]. Ἐν πέρατι, ἐν τῇ [illegible] τῆς γῆς. Ἐν περιωπῇ, ἐν περιωπῇ τόπῳ. Ἐν πίθῳ τὴν κεραμείαν μανθάνειν, παροιμία ἐπὶ τῶν τὰς πρώτας μὲν μαθήσεις ὑπερβαινόντων, ἐπιχειρούντων δὲ τῶν μειζόνων. τουτέστι τοὺς παρελθόντων τὰς πρώτας μαθήσεις, καὶ ἐγχειρούντων τῶν τελειοτέρων. ὡς εἴ τις μανθάνων κεραμεύειν, πρὶν μαθεῖν πίνακας ἢ ἄλλο τι τῶν μικρῶν, πλάττειν πίθον ἐγχειροίη. Δικαίαρχος δέ φησιν, ἑτέρως λαλοῦσι τὴν παροιμίαν. οἱ γὰρ [illegible] ἐν τοῖς οἰκείοις παιδεύεσθαι, ὡς κυβερνῆται ἐπὶ τῆς νεώς, καὶ ἡνίοχος ἐπὶ τοῦ ἵππου. Ἐνπίνω, εἶπα. Ἐν πλάδῳ, ἐν χαλάσματι, καὶ ἐν ὑγρῷ. Ἐν πλαγίοις, ἐν πλαγίαις τιθεμένοις ταῖς χερσίν, ἡ [illegible]. Ἐν προδρόμοις, ἀπὸ τῶν [illegible] [illegible] πρὸς [illegible] [illegible]. Ἐν προχείρῳ, ἐν [illegible]. Ἐν πρώτῃ ῥινῷ, ἀντὶ τοῦ ἐν ἄκρῳ, παρ' Ὁμήρῳ. Ἐν πυδῃ, ὡς ἐν χόρτῳ. Ἀρίσταρχος ἐν πυροῖς, καὶ πρίσθη, τὸν πυρὸν λέγει τοῦ [illegible]. ἄλλοι δὲ ἐν κάρφει. Ἐν Πυθίου κρεῖττον ἦν ἀποπατῆσαι, οἷον ἀποκαθῆσαι. Πεισίστρατος γὰρ οἰκοδομήσας τὸ ἐν Πυθίῳ ἱερὸν τοῦ Ἀπόλλωνος, τῶν δὲ Ἀθηναίων παριέντων, καὶ μισούντων αὐτὸν, οὐδὲν ἔχοντων ποιεῖν, ὥστε προσορᾶν τὰ περιφράγματα, καὶ πλεῖστον ἀπολείπειν τοῦ οἰκοδομεῖν, ὥστε διοχλεῖσθαι τοὺς ἐργαζομένους. διὸ ποιήσαντες ἐμφανὲς ἱερὸν, τὸν κλέπτην ἐπὶ τούτῳ θνήσκειν. κατασταθέντων δὲ τῶν χειμώνων, καὶ πλειόνων μᾶλλον τοῦ [illegible], [illegible] φύλακες. Λαμβάνοντος δὲ [illegible], ἐπιλαβόντες αὐτὸν, παρὰ τὴν ὁδὸν [illegible]. ἀπέχοντας, ἀλλ' ἐπεὶ κληθεὶς ἀπεθανεῖτο, ὅτι ὀλίγον τι τοῦ γράμματι. κταθέντες δὲ, οὕτως ἔλεγον τὸ γενόμενον τοῖς Ἀθηναίοις, ὥστε ἔτι καὶ νῦν τοὺς κακοπαθοῦντας, ἢ ζημίαις ἐνεχομένους διά τινα αἰτίαν πλημμέλειαν, ἐπιλέγειν, ἐν Πυθίῳ κρεῖττον ἦν αὐτὸν ἀποπατῆσαι. Ἐν πύλαις ὀνείρων ἀποδοῦναι ἕως, τουτέστιν ἐπὶ τῶν ἐν [illegible] θανάτῳ τὴν οὕτως ἀποσοῦνται. καθ' ἃ μετὰ τὸν τοῦ ὕπνου θανάτῳ ἀγχιστεύοντος, τῶν ἀδελφῶν ὄντων.

Ἐν πυρὸς αὐγῇ, ἀντὶ τοῦ ἐνθα ὁ λαμπρὸς τὸ πῦρ. οἱ μὲν πρὸς αὐτὴν τῶν κατὰ τὴν ἐσχάραν περί. Ὅμηρος ἐν ψ τῆς Ὀδυσσείας.

Ἐν ῥαιδίῳ, ἐν ἐπιεικεῖ. Ἐν ῥαβδίῳ, ἐν [illegible] λόγῳ.

Ἐνρεσθέας, ἐγγράψας. Ἐνριγίσ[illegible], ἐπιτεθῶν. Ἐν ῥένᾳ, οἱ ῥινῶντες. Ἐν Σάμῳ κομῆται. ἐπειδὴ Πυθαγόραν τὸν Σάμιον φασὶ τὴν [illegible] ἀσκῆσαι, καὶ ἀπ' αὐτοῦ τὴν παροιμίαν λέγεσθαι, ἁμαρτάνοντας. Ἐνσηρ, αὔριον. Ἐνσινῆ, ἐπιλαθεῖς. Ἐνσίσας, διασείσας. Ἐνσχεθεὶς, ἐνεχθεὶς. Ἐνσπαλὴ, ἅψασθαι. Ἐνσπασὶ, ἐν πασι. Ἐνσταμασάμενος, ἀντὶ τοῦ διαζώμενος, ἢ ἐμφαίνων. Ἐνστατικώτατα, τοῖς σπουδαίοις. Ἐνσκευάσασθαί με παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ πτωχικὴν ἀναλαβεῖν ἐσθῆτα. ἢ ἐνσκευάσασθαι, κατασκευάσασθαι.

Ἐν σαίνειν, ὃ βαρέως ἐπέρχεται. ὡς τὸ νεόφυτον ἐπισκάψειν. ἐγκαταπίπτειν, ἀντὶ τοῦ λάβρος καὶ πάσας τοὺς κατακεῖσθαι.

Ἐνσκάψαι.

συμφορᾶς, καὶ ἕτερα. ὁμοίως ἀπὸ ... ἀντὶ τοῦ εἶχεν εἰς ἄλλην πάτραν, εἰς καλὴν ἐλπίδα, οὕτω καὶ ἄλλα. Ἐν καλῷ δὲ κείσονται, ἀντὶ τοῦ εἰς καλὸν δὲ ἀποκείσονται. Ἐν καρὶ τὴν κίσλωσιν, ἐπὶ τοῦ μισθοῦ πολεμούντων τὰ οἰκεῖα δηλοῦσι. Ἐν καρὸς αἴσῃ, ἐν κηρὸς μοίρᾳ. ἐν μοίρᾳ θανάτου περιφραστικῶς. ἄλλοι δὲ ἐν καρὸς, ἐν ᾗ κατὰ καρὸς, ἤγουν κατὰ θάνατον. ἢ ὡς ἴσην, ἐν τάξει μισθοφόρου. πρῶτοι γὰρ Κᾶρες ἐπολέμησαν ἐπὶ μισθῷ, καὶ ἔδοξαν εἶναι ἄτιμοι. Ἐγκατακλυζόμενος, ἐνίρχεται. Ἐγκαταμίξαι, ἐγκαταμίξας σπεῦσαι. Ἐγκατασκήψασθαι, ἐνεπέσεσαν. Ἐγκατακείμενος, ἐν περιβολαίῳ. Ἐγκατασφραγίζειν, ἐνσφραγίζειν.

Ἐγκαίνιον, ἐνθέσεις, ἐν γλυφαῖς. Ἐν κεφαλαίῳ, ἐν συντόμῳ. Ἐν κοινῷ τῆς ἡμέρας. παροιμία ἐπὶ τοῦ οὐκ εὐγνωμόνων. εὐδαῖς γὰρ εἴδησιν ἐν κοινῷ τῆς ἡμέρας, ὅτι οὐχ ἱκανὴν αἱ ἡμέραι, ἀλλ' ὡς ἐκεῖ εὐθυνοῦσιν, ἀγνοοῦσιν. ὅθεν λέγεται, τὸ σκαιοῦ σημεῖον παρέχειν. Ἐν κρανῷ, ἐν κουρικῷ. Ἐγκάρσιον, ἐπὶ πολλῶν ὁμοφωνούντων, ἢ πλαγίων, ἢ συνομοτῶν. Ἐν κλήρῳ, ἐν μερίδι. Ἐγκολάψας, ἐγχαράξας. Ἐγκομβωθείς, δεθείς.

Ἐγκομβώσασθαι, ἐπισφιγγώσασθαι, στολίσασθαι. Ἐν κονίῃσι μαχέσασθαι. ἢ ἀντὶ τοῦ θᾶσσον, ἢ ἀντὶ τοῦ ὅτι ἀνδραπτικῶς εἰς μάχην ὑπὸ μ... κονίεσθαι γὰρ, τὸ ἀγωνίζεσθαι. ὅθεν καὶ κονίστρα, ἡ κατὰ τὴν παλαίστραν μάλιστα παρὰ τοῖς ὕστερον. παρ' οἷς καὶ ἡ κόνις ἦν ἐφαίρετος τοῖς παλαίουσι. καὶ ἀλίζειν ἔλεγον, τὸ ἐν κόνει κυλίεσθαι, ὡς ὁ κωμικὸς δηλοῖ. ἢ ἄλλως, κόνει φύρεσθαι. ὅθεν καὶ ἀλινδήθρα παρ' αὐτοῖς κυρίως μὲν, ἡ κατὰ παλαίστραν κονίστρα. Ἐγκόπτειν, ἐμποδίζειν, διακωλύειν. Ἐν κόσμῳ, ἐν τεταγμένῳ.

Ἐν κοτύλῃ φέρειν, παιδιᾶς εἶδος. ὁ γὰρ φέρων ἕνα ἐν κοτύλῃ, ἐποίει ὀπίσω τὰς χεῖρας. καὶ ὁ αἰρόμενος ἐπετίθει τὰ γόνατα. καὶ οὕτως ἐβάσταζεν. Ἔγκυτον, κεκομμένον. Ἐν κώμῃ, ἐν περικεφαλαίᾳ. Ἐν λακκισθῆναι, μακίζεσθαι λακκίσκας, ἢ ἐνθυμηθῆναι. Ἐν λαμπαρίᾳ, ἐν τῇ λυχνίᾳ. Ἐν λείψοις, ἐν γράμμασιν. Ἐν λιμένι, ἐν τῷ γυμνικῷ ἐδάφει. Ἐν λευκώμασιν, ἔθος ἦν τὰ διηγορευόμενα χωρία, ἢ σώματα δημόσια ἀναγράφεσθαι ἐν σανίσι λευκαῖς. οἱ δὲ πυξίοις κεχρισμένοις λευκῇ γῇ. τὰ ὀνόματα καὶ τῶν κτημάτων καὶ τῶν ἀποδεδομένων καὶ τῶν πεπραμένων αὐτά. ἵν' εἴ τις βούλοιτο αἰτιάσασθαι, ἐπ' ἀδείας ἔχοι, ἐντυχὼν τοῖς λευκώμασι. Ἐλλιμενίζειν, τελωνίζειν τὰ ἀπὸ λιμένων καὶ θαλάσσης. Ἐν λίμναις Διονύσιον, τόπος ἐστὶν ἐν Ἀθήναις λίμναι. ἐν ᾧ ὁ τιμώμενος Διόνυσος. Ἐλλυτέ, διαφυγή. Ἐνλόβια, ἐνώτια. Ἐν μακροῖς, ἐν ἀπορίαις.

Ἐν μαχαιρίδι, ἐγκαλεῖσθαι περὶ γένους. Ἐν μεγάροισι, τοῖς οἴκοις. Ἐν μέρει, πρὸς μέρος, καὶ ἐκ μέρους λέγομεν.

Ἐν μεσάτῳ, ἐν μεσαιτάτῳ τόπῳ, κατὰ συγκοπήν. Ἐν μεταιχμίῳ, ἐν μέσῳ. μεταίχμιον γὰρ λέγεται, ὁ μεταξὺ δύο φαλάγγων τόπος. παρωνόμασται δὲ ἀπὸ τῆς αἰχμῆς. Ἐν μετώπῳ ἦν ὁ παῖς, ἀντὶ τοῦ πολέμου. καὶ ἐπ' ἀγλαυρῶν μὴ ἱσταμένων, ἀλλὰ ἀπὸ χωστοῦ γῆς. Ἐν μετουσίᾳ, ἐν μεθέξει, ἐν χορηγίᾳ, ἐν διαθέσει. Ἐν μύρου κλάδῳ, τὸ ξίφος κρατήσω. ὅτι Ἁρμόδιος καὶ Ἀριστογείτων ἐν μύρσινῃ κρύψαντες τὸ ξίφος, ἐπανελόντες τὴν τύραννον ἀπέκτειναν. Ἔννα ὁδοί, τόπος ἐν Θρᾴκῃ, περὶ τῆς Ἀμφίπολιν. Ἐννάξω λέγει, μὴ τὰ νῶτα διαβιβάζω. Σωσίθεος ἐν ἐπιστολῇ, ὁ γὰρ ἐπαίνεσα, τὸ κατὰ φιλοσοφίαν χολῆ. Ἐνναέτηρος. Λυσίας ἐν τῷ περὶ τοῦ ἀναδόντος, κρίνων τις ἐν ἀθηναῖς. πρότερον δὲ ἐκαλεῖτο καλλιρρόη. ἀφ' ἧς τὰ λουτρὰ ταῖς γαμουμέναις μετίασιν. Ἐννάμηνος, ἔχθρός, ἐναντίος. Ἐνναπήχεις ἦσαν ἐπιεικῶς ἐς τὴν ἀκρίβειαν. τὰ γὰρ σύμμετρα τῶν σωμάτων τοῦ πλάτους, τὸ μῆκος τετραπλάσιον ἔχει. Ἐνναῦλον, λοξόν. Ἐνναυσμός, ἐμπυρισμός, πυρρία, δᾷδες.

Ἐνναχίλιοι, ἐννακισχίλιοι. Ἐννεάφυλλος κύων, παροιμιῶδες. Ἐνεῖν, ἐξετάσαι. Ἐνέμε, ἐν συμφύτῳ. Ἔννεον,

δηλοῖ μὲν τὸ ἐκπληττόμενον. ἔχει δὲ καὶ αὐτὸ πλεονασμὸν τοῦ ν διὰ τὸ μέτρον, ὡς καὶ τὸ ἔννεπον. Ἐννεός, ἄφωνος, κωφός, ἐξεστηκώς, νωθρός, νωχελής, μετέωρος. Ἔννεπε, πλεονασμὸν ἔχει τοῦ ν ἐνός. καὶ δῆλον ἐξ ὧν πολλαχοῦ τὸ ἔνεπε δι' ἑνὸς ν ἐκφέρεται, ἀπὸ τοῦ ἐν προθέσεως καὶ τοῦ ἔπω. ἐξ οὗ καὶ τὸ ἔπος. οὕτω καὶ ἀπὸ τοῦ ἐνέπω ἐνίσπω, τὸ κινῶ, τὸ μὴ ἐννοεῖν, διὰ ἑνὸς ἐκφέρεται ν, τὸ ἐννοσίγαιος, διπλοῦ τὸ ἐμπεδοῦν. δῆλον δὲ, ὅτι κυριώτερον. ὡς ἐν πλείοσι τὸ αὐδᾶ, ἤπερ τὸ ἔννεπε. ἀείδειν μὲν γὰρ τὸ μετὰ μέλους. ὅθεν καὶ ᾠδαί, τὰ ᾄσματα. ἐνίσπειν δὲ, καὶ τὸ ἁπλῶς λέγειν. ἴσα δὲ, ὅτι τὸ μὲν ἐνίσπειν, ἢ ἀντὶ τοῦ ᾄδειν, ἢ ἀντὶ τοῦ λέγειν ἁπλῶς κεῖται. τὸ δὲ ἐξ αὐτοῦ ἐνίσπειν καὶ ἐνίσπες, οὐδέτερον ἐκεῖνον δηλοῖ. ἀλλ' ἐκπλήσσειν καὶ ἄμφω δηλοῦσι, τὴν διὰ λόγων μέν τι, οὐ σὺν δὲ ἐπῶν ἐκπλῆξιν. ἐκ δὲ τοῦ ἔννεπε, ἀρχὴ ἐκδόσεως τοῖς καλοῦσι τοὺς ἡρωικοὺς στίχους, ἔπη. καὶ ἐποποιοὺς, τοὺς ποιητάς. νεώτερον δὲ ἢ τοῦ ἔπους μῦθος, ἐπὶ τοῦ ποιητικῶς μετροῦντων. Ὅμηρος γὰρ, ὡς δι' ὅλης τῆς αὐτοῦ ποιήσεως φαίνεται τὴν ἁπλῶς λόγον, ἔπος λέγων. οἷον ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων. καὶ ἔπεα πτερόεντα προσηύδα. Ἔννεπε, ἀντὶ τοῦ εἶπε, ἐνεπὼς ἀντὶ τοῦ ἀορίστου. σύνηθες δὲ τοῖς ποιηταῖς, ὅτι ἐνεπεῖν ἀντὶ τοῦ ἀορίστου χρῆσθαι, καὶ ἡ λέξις ποιητική. τὸ δὲ ἕτερον ν προστίθεται διὰ τὸ μέτρον. ἐν τῷ ἔχειν ὀφείλει. ἀπὸ τοῦ ἐν προθέσεως, καὶ τοῦ ἔπω, ἐνέπω, καὶ ἐννέπω, τὸ τῶν αἰολέων. δηλοῦται τὸ διπλασιάζειν τὰ σύμφωνα. Ἐννοεῖ ποιεῖν, ἤγουν συμβουλαῖς. οὐ γίνεται οὐκ ἀπὸ τοῦ ἐνίημι, ἀλλ' ἀπὸ τοῦ ἔννοια, κατὰ τοὺς παλαιούς. πρὸς ὁμοιότητά φασι τοῦ πυρέμαλος, πυργοίμαλος. ἢ μᾶλλον ἀπὸ τοῦ ἐνίημι, ἐνίεμαι ἐνίεσαι ἐνίεται, γίνεται ἐννοία. ὁ δὲ πλεονασμὸς τοῦ ν, ἔννοια, ἡ εἰς νοῦν ἐνιεμένη συμβουλή. Ἐννοοῦσι, οἱ ἐννοητικοί. ἢ ἄλλως ἴσως, οἱ ἐπικαίριοι. Ἐν νηῷ, ἐν ναῷ, ἢ εἰς ναῦν, ἢ εἰς νεῶς. ἐν νάπῃ, κοιλωσίαι. Ἐννήμαρ, δι' ἐννέα ἐτῶν ἀναβαίνων. ὡς ὁ γεωγράφος φησίν, ἐπὶ τὸ τοῦ Διὸς ἄντρον. ὁ δὲ Διατρίβων ἐκεῖ κατέβαινεν, ἔχων συντεταγμένα παραγγέλματα, ἃ ἔλεγεν εἶναι τοῦ Διός. ἵνα δηλαδὴ πείθειν οὕτως ἔχοι Ἀυσιδαιμονοῦντας τοὺς ὑπηκόους. οἳ καὶ ἄλλως ὡς δίκαιον ἔχαιρον, ἐπειδὴ τὴν θάλασσαν ἐξεκάθηρε λῃστῶν. ἐξ ὧν καὶ τὰ προσφθέγματα ὠνόμασαν. ἤγουν δηλαδὴ αὐτοῖς τοῦ πρῶτα, ἢ τὸ περὶ αὐτὸν πρῶτα ὤφελον. ἕτεροι δέ φασιν, ὅτι ἐπὶ ἐννέα ἔτη παῖδα τῷ Διὶ ἐπεκούρευεν, ἄλλοι δὲ, ὅτι ἐννέατος ὤν, βασιλεύειν ἦρξατο. τινὲς δὲ, ὅτι ἐπὶ ἐννέα ἔτη ἐβασίλευσεν. Ἐννοεῖ, ἐνεστὼς, σημαῖνον τὸ νέω. ὁ παρατατικὸς καὶ ἐπὶ πρώτης συζυγίας, ἐπὶ δευτέρας. ἦν γὰρ ἐστεμμένος, καὶ κλώμενος. δηλονότι ἐπὶ δευτέρας τοῦ νῶ, ὁ παρατατικὸς ἐνῶν ἐνεῖς ἐνεῖ. καὶ πλεονασμῷ τοῦ ν, ἐννῶ, οὕτως Ἡρωδιανός. Ἐννοῦς, σώφρων, ἀληθὴς, ἀγαθὸς, πατρῷος. Ἐννοίσκει, ὑπολήματα λαμπτῆρι ἐφειλκόν. Ἐννυχίῃ, ἐν νυκτιέρῳ. Ἐννέοι, φθεῖρες, ὅμοιοι. Ἐννοσιάλλων, σύμφαι, παρὰ Λεσβίοις. Ἔννιον, κώπης μέρος. τὸ ἐπὶ τοῦ σκαλμοῦ ἐνδέον ἐν τῇ νηΐ. Ἔννιος, ὁ λίθος ὁ ἑρμῆς. Ἐννόδιον, ἀγλαυροβολίῳ. Ἐννοοί, οἱ περὶ τινος ἄρχοντες. Ἔννοιά ἐστι, νόησις ἐναποκειμένη τῇ ψυχῇ. ἢ ἄλλως, καὶ ἡ νόησις ἐναποκειμένη τῇ ψυχῇ, καθὰ καθολικῶν φύσεως ὑπογραφῶν. ἔννοια καὶ ἡ βουλὴ, ἢ περὶ ἔνθος τοῦ νοῦ κίνησις. ἔννοια κοινὴ, ἡ παρὰ πάντων ἐξ ἑνὸς ἢ πλειόνων ἔχουσα τὴν ἀρχὴν ὁμολογουμένην. Ἔννοιαι, πηγαί. Ἐννοεῖσθαι αἰγὸς, οἱ μὴ κεκρατημένοι. Ἔννομον, ἔνδομον. Ἐννόσαντα, ἀντὶ τοῦ διανοηθέντα, ἢ ἐννοήσαντα λέγουσιν Ἴωνες. ὡς παρ' Ἡροδότῳ. Ἐννοτίμων, ἐκπλήττων. Ἐννοσία, ἀλογία, ἀργία. Ἐννοσίγαιος, ὁ Ποσειδῶν. ἀπὸ τοῦ ἔνοσις, ἡ κίνησις, καὶ τοῦ γαῖα. ἔστι δὲ ἐννοσίγαιος, ὁ τὴν γῆν κινῶν. οἱ γὰρ φυσικοί, ἀπὸ τῶν ὑδάτων γίνεσθαι τοὺς σεισμούς φασι. πλεονάζει δὲ τὸ ἕτερον ν διὰ μέτρον. καὶ ἐννοσίχθων, ὁ τὴν γῆν σείων. Ἐννοσίφυλλον, κινησίφυλλον.

[illegible]

[illegible]

[illegible]

ὑπὸ Δημοσθένους, καὶ πάντα ἐπεσταλκότος ἐπέπεμψαν. καὶ Δημοσθένης καὶ οἱ ἄλλοι ἐπέσταλκα λέγουσι, καὶ ἐπιστολή. ἢ ἐντολή, ἀντὶ τοῦ προσταγή. ὃ δὴ καὶ ἐπιστολὴ παρ' Αἰσχύλῳ, διὰ τὸ μέτρον ἐν τριμέτρῳ, ἐπιστολὰς ἄρχει ὁ πατὴρ ἐμός. Ἐντείλασθαι, παραγγεῖλαι, διατάξαι, ἐφορμεῖσθαι. Ἐντεῦθεν, χρυσίοις δὲ ἐντεῦθεν κατὰ τοῦ στέρνου περιτιθέασι ταῖς παρθένοις. διὰ τὴν Ἀθηνᾶν, ὅτι καὶ τὰ τοῦ στήθους ἐκφοροῦσιν. οὐχ ὡς ἡμεῖς κατὰ τὴν κλεῖδα τοῦ ὤμου. διαφέρεται δὲ τὸ ἐνέτησιν, ἀπὸ τοῦ ἐνεῖναι τοῖς ἱματίοις, ὅ ἐστιν ἐμπεσεῖν, ἢ ἐμβάλλεσθαι πρὸς τὸν πέπλον. σημαίνει δὲ τὰς περόνας, ἢ γίνεται παρὰ τὸ ἵημι, τὸ πέμπω. Ἐντέταλτο, πάλαι στρατηγὸς. ἀπὸ τοῦ περὶ τοῦ ἀξίωμα ἐντετάλθαι. διαφέρει δὲ ταῦτα. Ἐντιμᾶσθαι, καὶ ἀντιτιμᾶσθαι, διαφέρει. ὅταν γάρ τις τινὸς ἀργύριον ἀντὶ τιμήματος λαμβάνῃ, ἀντιτιμᾶσθαι λέγεται. ὅταν δὲ ἐν τιμήματι προσάγηται τις μέρος τι τοῦ ἀργυρίου, τοῦτο λέγεται ἐντιμᾶσθαι. Ἐντοί. ἐντοῖχος παρὰ παρλαγόσι. τοὺς δὲ ἐντοίχους ἐκάλουν, παρὰ τὸ περὶ παρλαγονίαν δοῦλοι κατασκευάζεσθαι. ὅθεν καὶ ἐνετεῦθεν αὐτὴν ἐκάλουν. ἐντοὶ γὰρ, οἱ παρλαγόνες, οἱ λυδοί. Ἐντραπήσονται, ἀποθαρρήσουσιν. εἶτα μέν τι ἐντραπεὶς τοιοῦτον τολμήσει. Ἐντὸς, ἐγκάτιος. Ἐντρέχουσι, κατέχουσιν. Ἀριστοφάνης, στρατηγὸς ὑπ' ἐντρεχόντων τοῦ Λυκούργου. Ἐντύλιξον, ἐντύλιξον. Ἐντέρασιν, ἐντέρασιν, ἐνεκύκλωσαν. Ἐνῦ, πάλαιον. ἀπὸ τοῦ γένους τοῦ ἡμιόνου. Ἔνυα, ἐπιφώνημα. Ἐνύσια, τὰ ἐγκοίλια. Ἐνύπνιον φασιν, ἐγκοίμημα, ἐγκοίτιον. ἐνύπνιον, ὃ ἐν ὕπνῳ τις ὁρᾷ ἐγκοιμώμενος. Ἐνυπνίων παρ' Ὁμήρῳ, ἐνυπνίοις. ἐνυπνίον κακὰ ἔχει ἀράχνια, ἀντὶ τοῦ κρεμαμένου ἐγκοιμωμένου γέμει ἀραχνίων. ἤγουν ἠμέληται, διὰ τὸ μὴ εἶναι τὸ πόλεμον. εἰώθασι γὰρ οἱ ἀράχναι ὑφαίνειν, ἐν τοῖς ἀπρακτοῦσιν. Ἐνυπνιάζει, αἱ πονηρίαι. Ἔνωσι, ἐπιτελῶσι. Ἐν ὑστάτῃ, ἐν ἀγαθῇ, ἐν καλῇ, ἐν φανερᾷ, ἐν μεγάλῃ. Ἐν ὑφάνῳ, ἐν ὑφάσματι. Ἐνώχετο, τὸ διάμενον τοῦ τείχους. Ἐνίφει, ἐμειδία. Ἐνφλεοῦν, ἐλάβετο, ἐνεδείξατο. Ἐνφλεβοτομεῖν, πολλάκις διελεῖν τὰς φλέβας. Ἐνφορεῖσθαι, ἐχορταζον. Ἐνφέρουσιν, ἐναπλήρωσιν. Ἔνφραξις, συμπλακεῖσα, περιτειχίζουσα. Ἐν ἐγχειρήματι, ἐν βιβλίῳ. Ἐνίχειν, ἐνίσχειν. Ἐνχεῖσαι, ἐγκρῖναι. Ἐνίχθη, ἐνεχέθη, ἐγκατελείφθη, ἐμπλεύθη. Ἐνίχει, μουσικοί, ἐγχέεται. Ἐνχειρήσειν, προθέσθαι. Ἐνχειρίζομαι, ἐγχειρίζεσθαι. Ἐνίχνος. ἀντὶ τοῦ ἐκ πόρου. παρὰ τῷ Ἀριστοφάνει, εἰώθασιν ἐνίχνεσθαι, ἀπὸ τοῦ χέω.

Ἐνχειλιδόνων, ἐν ᾧ ἱππικοὶ ἤγοντο ἀγῶνες. καὶ ναὸς ἦν. καὶ τὸ τῶν ἀθλούντων, καθίσαντες ἐκεῖ, ἐν ᾧ αἱ ἱπποδρομίαι. ἀπὸ τούτου ἐκάλεσαν. Ἐνχεῖσθαι, τὸ ὑποθέωρον, ἢ ὑποθῆκαι καθεστάναι. λοιπῇ συντέτακται. Ἐνχεῖσθαι, ἐγκαλεῖσθαι. κρατεῖσθαι, συνέχεσθαι. Ἐνέχομαι, ἀντὶ τοῦ κρατοῦμαι δηλοῖ. καὶ ἐνέχονται ταυτῷ, ἤγουν ὑπόκεινται. καὶ ἐνέχομαι πλημμελήματι, ὅ ἐστι τοιοῦτο, ἐκπλήσσειν τὸν ἡγεμόνα ἐπὶ καρδίαις. ὁμοίως δὲ καὶ τὸ ὄνομα ἐνοχος. Ἐνέχεται τὸ σῶμα, ἐκπλήσσειν. Ἡρόδοτος, ἐνέχεται τὸ πρόσωπον τοῦ σκήπτρου. Ἐνχειμοθέντες, ἐνειπεῖν, ἐπιβλέψας.

Ἐνεχυρεῖν, ἐνεχυριάζειν. Ἐνέχυρα, ἀττικοί. ἐνέχυρον, ὅλως τὸ. ἢ ἐνέχυρα, ἐνεχυριάζων. Ἐνεχυράζομαι τὰ χρήματα, τουτέστιν, ὡς ἐνέχυρα ἀφαιροῦμαι τὴν ἐνεχυριαζομένων οὐσίαν. οἷον ἱμάτια ἢ σκεύη καὶ ἄλλα. καὶ ἐνεχυράζομαι, δίδωσιν ἐνέχυρα, λαμβάνω χρήματα. Ἀριστοφάνης, τὰ χρήματα ἐνεχυράζομαι. ἢ ἐνεχυράζεσθαι, ἐνέχυρον λαβεῖν παρὰ Ἀριστοφάνει. Ἐνέχυρον, τὸ δεδανεισμένον ὑπὸ χρέους. οὐ μόνον ἐνέχυρον φασιν, ἀλλὰ καὶ ἐνέχυρα. φαίνεται δὲ καὶ τὸ ἀπογεγραμμένον εἶναι, μὴ εἶναι τὰ ὅπλα ἐνέχυρα. λέγει δὲ περὶ τὸ πειρᾶν ὁ κωμικός, ὅτι αὐτοὶ τοῖς ἑαυτῶν ἐνεχυράζοντες τὰ ὅπλα πωλοῦσιν τὰς πανοπλίας, ὅπλα ἐνέχυρα καθεῖναι. Ἐνεχύρων, ἐνεχύρων. οἱ δὲ ἱερεῖς κατακεκλεισμένοι ὑπὸ δέους, ἐξήεσαν καὶ ἐνεχύρωσαν αὐτοὺς ἅπαντας.

Ἐνώλαος, ἡ ἀρχαῖος τὰς ἐλάφους. Ἐνώχμασι, πλατέσι σκολοπισμοῖς, ἀλλοιώσασιν, ἐκπεσοῦσιν. Ἐνώπιον, ὄψεσιν.

Ἐνιαυτός, τριακὰς ἀττικῶς. Ἐνατός, ὁ μετὰ τὴν κυρίαν.

Ἐνό, ὀρθοτόνως ἐνί. Ἐνόπαια, ὄνομα κύριον. Ἔνα δὲ τοῦτον τόν, διαφέρονται. ἀπὸ τοῦ ἐν γίγνεσθαι. διὸ πλεονάζοντες τὸ ο, αἰολικῶς ψιλοῦνται. Ἐνεβατηρία, ἐνεβατήρια, παρὰ Ἡροδότῳ. Ἐνεβρίσιν, ἀλαζονικοῦ. Ἐννηρία. τὸ πεδίον ἐν τῷ πρὸς ἡμῖν κείμενον, τὴν ὑφ' ἡμῶν Τριακάδα καλουμένην, ἕνην καὶ νέαν καλοῦσιν Ἀθηναῖοι. ἀπὸ τοῦ τὴν τελευταίαν ἔχειν τοῦ πρώτου μηνός, καὶ τὴν ἀρχὴν τοῦ δευτέρου. Πολέμων δέ φασιν, ὅτι ἐκαλεῖτο ὑπὸ Ἀθηναίων Δημητριάδα, ἐπὶ τιμῇ Δημητρίου τοῦ Μακεδόνος. ἕνην δὲ, ἢ εἰς ἕνην, τὸ εἰς τρίτην λέγουσι. καὶ ἁπλῶς τὴν ἕνην δευτεραίαν, τὸ πρότερον καὶ παλαιὸν δηλοῖ.

Ἐνεῖναι, ἐνῆν, πεῖσαι. ἕνην δὲ αὔριον τὴν χθὲς λέγουσι. οὕτω Προκόπιος. Ἐνειλημμένα, ἐντεταμένα, ἐντεριωμένα, περιειλημμένα. ἐπὶ κατασκευῇ πολεμίων, ὥστε καὶ τὰ τόξα ἐνειλημμένα φέροντας ἁλῶναι. Ἐνάλιον, ἀφελοῦν, χαίρει, φαιδρύνειν. Ἐνηέα, προσηνής, ἀγαθός, συνετός, ἐπιεικής. Ἐνία, ἐσώρακον. Ἔνιον, ἐπελάμβανον. Ἐνιαυτὸς ἀριθμός, ἀφ' οὗ παλαιοτάτου ἔτος καὶ ὥρα, καὶ ἀμφότεροι ἐνιαυτοί. ὁ μὲν ἀνατέλλων, ἐνιαυτός. ὁ δὲ ἀνατέλλων ἀπὸ τοῦ ἡλίου, τὸ ὥρας ἐπὶ τὴν φύσιν προσάγειν. ἢ μετὰ τοῦ ω, ὡροσκόπος. τὸ γὰρ ἔαρ κατὰ πρῶτον ὥρα γίνεται, καὶ ἔστιν μέσον παρὰ τοῖς κοινοῖς. ἐφ' ᾧ προστίθεται τοιοῦτος, ἐνίοτε μὲν τὸ ε, ἐνίοτε δὲ τὸ α, καὶ γίνεται ἦρ καὶ ἔαρ. Ἐνηής, ὁμιλητής, ἀγαθότης. Ἐνηής, ὁ ὑπὸ ἀπάσης ἐναντιότητος. καὶ ἔστιν ὥσπερ προσηνής, ὁ πρὸς τῇ ἀγαθότητι ὤν, ὡς ἀπὸ τοῦ ἠΰς ὁ ἀγαθός, οὕτω καὶ ἐνηής, ὁ ἐπὶ ἀγαθότητος. ἀπηνὴς δὲ, ὁ ἐξ αὐτοῦ. Ἐνηής, ὁ αὐτὸς ὑπὸ μειλιχίου. ἤ ἐνηής, ὁ πρᾶος. καὶ ἐνηείη, ἡ πραότης, καὶ προσηνής ἢ ἠπίως, παρὰ τὸ ἦλα, ἥνια. Ἐνήλατα, ἐνέδραι τροφῆς. ὁ μὲν ἐπὶ βόθρος τῷ πυρὶ ἐνελαύνεσθαι. Ἐν ἠϊόσιν, ἐν τοῖς αἰγιαλοῖς. Ἐνῆκα, ἀντὶ τοῦ ἐνέβαλον. καὶ συνῆκα, ἀντὶ τοῦ ἐνόησα, ἢ συνέβαλον. ἀφ' οὗ τὸ ξυνίεσθαι παρ' Ὁμήρῳ. καὶ ἀνῆκα, ἀντὶ τοῦ ἀνέλυσα. καὶ καθῆκα, ἀντὶ τοῦ κατεβίβασα, ἤγουν κάτω ἔρριψα. ἤγουν καθῆκα εἰς τὴν θάλασσαν, ὅπερ ἐστὶ κατέρριψα. καὶ μεθῆκα ὁμοίως, καὶ μεθῆκα ἔνθεν. καὶ παρῆκα ἀντὶ τοῦ εἴασα. καὶ ἐφῆκα βέλος, ἤγουν ἔπεμψα. καὶ ὑφῆκα, ὃ λέγεται κυρίως ἐπὶ πυρὸς, ὅταν χαλάσωσι μικρὸν τὰ ξύλα. καὶ ὑφῆκα τοῖς βουσὶ τὰ μοσχία, ὡς παρὰ Θεοκρίτῳ, ἤγουν ὑπὸ κάτω αὐτῶν ἤγαγον αὐτά. διὰ τοῦ η. Ἐνήλισαν, ἔπλεξαν, ἐλαμπρύναν. Ἐνήλατα κλίνης, ἡ σπίμφαλος, οὓς καὶ τὴν ἀστραγαλωτὰ λέγειν. Ἐνήλατον, μέρος νεώς. Ἐνήλατα, μέρος τι τῆς κλίνης.

Ἐνήλατα. Ἀριστοφάνης, ἐνήλατ' ἐπαιρεῖ, ἀπορρήσω, ὡς κατεχόμενον ἐν διορύγματι κεχωσμένον. Ἐνηλυσίς, ἐν ἐπιδημίᾳ ὤν. ἐνηλύσιαι, θορυβοῦσαι. Ἐνηλίασις, ἑορτὴ τοῦ ἡλίου. Ἐνηλιοῦσθαι, κινηλιᾶν. καὶ ἐνηλιαζόμενον, ἐνηλύσια. Ἐνηλύσια, τὰ κατασκαφέντα χωρία, ἐνηλύσια λέγονται. ἐπεὶ ἐνοικεῖται, παρὰ τὴν ἔλευσιν. ἄλλοι δὲ, τὰς ἐν οἷς οἱ θεοὶ ἐμβροντηθέντες τόποι. Ἐνηλύσιος, ἐμβροντηθείς, κεραυνόβλητος.

Ἐννῆμαρ, ἐπὶ ἐννέα ἡμέρας, ἐπίρρημα. ἢ ἐννῆμαρ, ἐπιρρηματικὸν ὄνομα. καὶ δηλοῖ τὸ ἐννέα ἤματα, ἤγουν ἡμέρας. οὕτω δὲ καὶ αὐθημερόν, ἀντὶ τοῦ αὐθημερὸν, ὑπὸ αὐτῷ ἤματι, ἤγουν αὐθημερόν. καὶ ἐφημερινός, ὁ ἀεὶ ἐπὶ μίαν ἡμέραν αὐτὸς ὤν. ὅμοιον δὲ πρὸς τὸ ἐννῆμαρ, καὶ αὐτῆμαρ, καὶ ἐπῆμαρ μάλιστα, ἤγουν ἐπὶ τὸ μέσον ἡμέρας. ὅρα δὲ, ὅτι ὁ ποιητὴς εἶπεν ἐννῆμαρ, καὶ ἐπιγαμῶν. τῷ δὲ αὐτῷ δ' ἄγορεύειν καλέσασθαι λαὸν Ἀχιλλεύς. οὐκ ἔλαβε τὸ ἐννῆμαρ, ἀντὶ τοῦ ἐννέα ἤματα, ἀλλ' ἀντὶ τοῦ ἐννέα ἡμέρας. διὸ τὸ ταυτὸν εἶναι ἦμαρ καὶ ἡμέραν. Ἐννῆμαρ, ἀντὶ τοῦ ἐνυπάρχειν. ἐνῆ καὶ ἐνῆται. καὶ συνῆμιν, συνῆ, καὶ συνῶσιν. καὶ προσῆμιν, καὶ προσῆ, καὶ προσῶσιν. καὶ παρῆμιν, καὶ παρῆ, καὶ παρῶσιν. καὶ περίειμι, ἀντὶ

Ἐνίζεται, [illegible] Ἐνὸν, κωφὸν, καὶ μωρὸν, [illegible] Ἐνόρχα τοὺς [illegible] [illegible] Ἀριστοφάνης. [illegible]

[illegible]

Ἐνόπλιον, ἐν ὅπλοις. [illegible]

[illegible]

Ἐνστήσει, [illegible]

[illegible]

ὀλιγκὸν ἐγκείμενον. ὁ μὴ παρὼν ὁ ἐγκείμενος. καὶ ἐγκείμενον ἀντιτεταγμένον, καὶ ἐχθρός. Ἐνέδησε, ἐνεπόδισεν, ἐνετείλατο. Ἐνελίχοντο, περιελάμβανον, εἰσελίχοντο. οἱ δὲ τὴν κοινὴν ἐνελίχοντο. Ἐνελιχθῆ, εἰσεπλάκη. Ἐνέλιπε, [illegible].

Ἐνέλειψεν, ἀμφέβαλλεν. Ἐνέρα, [illegible] τὰ ἔνερθε, μέχρις ἂν ἔλθωσιν, ἕως ἂν [illegible]. Ἐνεφρόνει, [illegible]. Ἐνεφρόνω, καὶ συνεφρόνω, καὶ παρεφρόνω, καὶ προσεφρόνω, [illegible]. Ἐνέφην, [illegible]. Ἐνέφη, καὶ εἰσφέρει τὴν ἀνθρώπων μανίαν, τὸ εἰς βάθος σημαίνει. Ἐνῆκεν, ἐνέβαλεν. Ἐνεθῆναι, ἐμβληθῆναι, ἐκ τοῦ ἵημι τὸ πέμπω, καὶ ἐμβάλλω, καὶ συνθέσει ἐνίημι. ἐνήσω, ὁ παρακείμενος ἐνεῖκα. ὁ παθητικὸς ἐνεῖμαι, ὁ ἀόριστος ἐνέθην, ὃ καὶ ἐνέθην εὕρηται, ὡς ἀφέθην, καὶ παρέθην, κατὰ ἀποβολὴν τοῦ ι ἐνέθην, [illegible] τὸ [illegible], ἐνεθῆναι. Ἐνέθορεν, ἐνεπήδησεν. Ἐνέθρισεν, ἐπιμαίνεται. Ἐνεθρίξεν, προσωρμίσθη. Ἐνεθρίωσεν, θρίον ἐν- [illegible], ὅπερ ἐστὶ βρῶμα. Ἐνεθυμίαζον, ἐνεθυμοῦντο.

Ἐνίκα, σημαίνει τὸ ἐνίκησε. καὶ εἰσὶν Ἀττικοί, [illegible]. ὁ ἐνίκα, ὅ ἐστιν ἐνίκησε. κοινὸς πρῶτος ἀόριστος, ὁ ἐνίκησε. καὶ ἐνικῶν, ὁ ἐνίκα. [illegible] δὲ ἀόριστος τοῦ ἐνίκα, οὐκ ἔστιν ἐν χρήσει. ἀντὶ [illegible] δέ ἐστι, τοῦ ἐνίκησεν. Ἐνιδεῖν, ἐν διαφοραῖς.

Ἐνιαυτοὺς, [illegible]. Ἐνίε, ἀντὶ τοῦ ἰέναι. οὕτως Ἀριστοφάνης. καὶ ἀντὶ τοῦ ὑπάρχει. Ἐνίζειν, ἐνίζειν. Ἐνί- [illegible], ἐπιμόνως ἠκολούθουν. ὡς τὸ [illegible], ἁρπαζόμενοι ἐνέκειντο τῇ πολιορκίᾳ. Ἐνίκασθαι, ἐνιζεῖν, καὶ ἐνίκα.

Ἐνίκαψα, [illegible]. κατὰ [illegible] ὀργιζόμενος ἐνίκαψα. Ἐνικότα, [illegible], ὀργίζετο. Ἐνίκει καὶ ἐνείκατε, καὶ τὰ τοιαῦτα, δίχα μὲν προθέσεως ἐπὶ τοῦ φέρειν καὶ κομίζειν λέγεται. μετὰ δὲ προθέσεως γίνεταί τινα ἐν ταῖς διαφοραῖς. οἷον συνενεγκεῖν μὲν λέγεται, τὸ λυσιτελεῖν. συνδιενεγκεῖν δὲ, τὸ συνδιαβαστάσαι φορτίον, ἢ καὶ φροντίδα τινά. διενεγκεῖν, τὸ διαφέρειν. περιενεγκεῖν δὲ, τὸ κύκλῳ ἀγαγεῖν. μετενεγκεῖν δὲ, τὸ μετακομίσαι. παρενεγκεῖν, τὸ παραγαγεῖν. τὸ δ' αὐτὸ καὶ ἀπαγαγεῖν. ὑπενεγκεῖν δὲ, τὸ ὑπομεῖναι. ὑπερενεγκεῖν δὲ, τὸ ὑπερφέρειν, καὶ ὕπερθεν φέρεσθαι. εἰσενεγκεῖν δὲ, ἔσω ἀγαγεῖν. οὗ ἀνάπαλιν τὸ ἐξενεγκεῖν. τὸ μὲν δὴ ἀνενεγκεῖν ἔχει πλείονά τινα διαφοράν. ὅτι μὲν γὰρ ἀνενεγκεῖν λέγεται καὶ τὸ ἀναγαγεῖν, καὶ τὸ ἀναδοῦναι. δηλοῖ τὸ, εἰς τὸ [illegible] ἀνήνεγκε. [illegible] καὶ, ἐς [illegible] ἀνήνεγκε, καὶ [illegible]. ὅτι δὲ καὶ ἀντὶ τοῦ [illegible] κεῖται κατὰ Παυσανίαν, δηλοῖ Θεόπομπος εἰπών. [illegible] ἐγένετο, ἔπειτα μὲν τὴν πάλιν ἀνενέγκαι. Ἐνεκεν, προστακτικὸν βοηθεῖ εἰς μετὰ Ὅμηρον, εἰς [illegible] τοῦ φιλοῦ [illegible] τὸ ἐνίκειν. Ἐνίκειν [illegible] παρ' Ὁμήρῳ, ὅ ἐστιν [illegible]. καθὸ φασι, κατὰ πρόσωπον.

Ἐνίκησεν, ἐνεκαλέσατο, ὕβρισεν. [illegible] δὲ ἀντὶ τοῦ [illegible], ὦ καὶ ι. Ἐνίκω, ἀντὶ τοῦ ἐνέγκω λέγουσιν οἱ Ἴωνες, ἀφαιρούμενοι τὸ γ, ἐκ δὲ αὐτῶν ἀποδιδόμενοι τὸ ι. Ἡρόδοτος [illegible] πρώτῃ χρῆται. Ἐνίλημμα, ἡ θήκη τοῦ δόρατος. σημαίνει δὲ καὶ τὸ τοῦ ὀστρέου ὄστρακον. Ἐνίλεται, ἐγκαλεῖται. Ἐνίλλοντο, ἐνεβάλλοντο. Θουκυδίδης, ἐν ταρσοῖς καλάμων πηλὸν ἐνίλλοντο, ἐνέβαλον εἰς τὸ διηρημένον τοῦ τείχους. Ἐνίμαντο, ἐμέριζον. Ἐνίπαε. παρ' Εὐριπίδῃ ἐν [illegible], οἱ μάντεις [illegible], οὐ χρόνῳ μακρῷ [illegible] ἀντὶ τοῦ [illegible]. ὁμοίως [illegible], ἀντὶ τοῦ [illegible]. καὶ χόλος, λέχος, καὶ μῦθος ἀντὶ τοῦ θυμὸς καὶ παρὰ Λυκόφρονι. πέλας καὶ λίπας, σημαίνουσι δύο εἴδη συμπεχέως. ὧν τὸ μὲν πέλας, τὸ ἐγγὺς δηλοῖ. τὸ δὲ λίπας, [illegible]. ἐξ ὧν καὶ λεπτεία [illegible] ἡ ἀρχή. δοκεῖ οὕτω [illegible] καὶ ἡ λακίρυξ, παρὰ τὸ κελαρύζειν. [illegible] τὰ εἵματα, ἱμάτια, καὶ ἐσθῆτα. Ἐνιμαλῶν, ὁ τὰ ἐμπάσματα τοῖς [illegible]. Ἔνιμεν, σημαίνει τὸ ὑπάρχομεν. τρίτον

[illegible] δὲ τοῦ τέλους ἔχει τὴν ὀξεῖαν. τὸ γὰρ ἁπλοῦν αὐτοῦ, εἰ μὲν ἐστὶ παρ' [illegible] ῥῆμα ὀξύτονον, ἐν τῇ συνθέσει βαρύνεται. Ἐνιμεν, [illegible]. Ἔνειμι, ἀντὶ τοῦ ἐνυπάρχω. εἴσειμι, ἀντὶ τοῦ εἰσέρχομαι. σύνειμι, ἀντὶ τοῦ συνέρχομαι, καὶ ἀντὶ τοῦ συνυπάρχω. τοῦτο δὲ καὶ ἐπὶ ὁμιλίας καὶ συνουσίας λέγεται. πρόσειμι, ἀντὶ τοῦ προσέρχομαι. πρόειμι ἀντὶ τοῦ προέρχομαι. ἄνειμι, ἀντὶ τοῦ ἀνέρχομαι. κάτειμι, τὸ ἐναντίον ἐστί. δίειμι τὸ γράμμα, ἤγουν διέρχομαι. μέτειμι δὲ [illegible], ἤγουν μετέρχομαι. καὶ μέτειμι τινά, ἀντὶ τοῦ κολάζω. πάρειμι, ἀντὶ τοῦ παραγίνομαι. ἔπειμι, τὸ ἐπέρχομαι. περίειμι, ἀντὶ τοῦ περιέρχομαι. ἄπειμι, ἀντὶ τοῦ ἀπέρχομαι, καὶ ἐπὶ τρίτου προσώπου τῶν ἑνικῶν μὲν, ὅτι ἀπὸ τοῦ εἶμι τὸ πορεύομαι συντίθεται. καὶ τοῦ πληθυντικοῦ, ὅτι ἀπὸ τοῦ εἰμὶ τὸ ὑπάρχω. οἷον ἔνεστιν ἀντὶ τοῦ ἐνυπάρχουσιν. εἴσεισιν, ἀντὶ τοῦ εἰσέρχεται. ἔξεισιν, ἀντὶ τοῦ ἐξέρχεται. σύνεισιν, ἀντὶ τοῦ συνέρχεται. πρόσεισι, καὶ ἄνεισι, κάτεισι, δίεισι. μέτεισι, πάρεισιν, ἀντὶ τοῦ παραγίνεται. ἔπεισιν, ἀντὶ τοῦ ἐπέρχεται. περίεισι, καὶ ἄπεισι, ταῦτα πάντα διὰ διφθόγγου γράφεται. Ἐνίπας, πράξεις, ἢ πράσσω. Ἐνοπὴ, ἀπειλή. Ἐνίπαντες, ἐμπλησάντες. Ἐνίρατο, ἐπίασεν. Ἐνίργω, [illegible]. Ἐνορχίαν, συναλλαγάς. Ἐνορμίμενος, συμπεπλεγμένος. ἐνορμίμενος πίδακος. Ἐνορον, ἐνέβαλον. Ἐνίρω, [illegible], συμπλέξω, συνάψω. εἴρω οὖν, παρὰ τὸ ἄρω, τὸ ἁρμόζω. τροπῇ τοῦ α εἰς ε καὶ πλεονασμῷ τοῦ ι, εἴρω. ὁ μέλλων ἐρῶ, ὁ ἀόριστος εἶρα, καὶ συνεῖρα, καὶ παρεῖρα, τὸ συνέβαλον, συνέπλεξα.

Ἐνίς, ἐνδεής. Ἐνίος, ἐμβαλοῦος. Ἔνιοι, ἢ ἕξ εἰσι. ταῦτα εἰ μὲν διαιρεῖται, δύο μέρη λόγου εἰσί, καὶ ἔχει τὸ ἐν ἢ ἓξ ἀριθμητικόν. εἰ δὲ ψιλοῦται, ἓν μέρος λόγου εἰσί, καὶ ἔχει [illegible] καὶ ἐξ προθέσεως. Ἐνίχον, ἐχόλον, ὠργίζοντο. Ἕνεκα, καὶ ἕνεκεν Ἀττικοὶ χρῶνται. ἄπειρα ἔξωθεν λαμβάνουσιν. οἷον, τοῦ ἀρετῆς, ἀντὶ τοῦ, ἕνεκα τοῦ ἀρετῆς. καὶ συντάσσεται αὐτὰ γενικῇ. οἷον οὐ γὰρ ἐγὼ ἕνεκα Τρώων ἤλυθον αἰχμητάων, καὶ ἕνεκα τῆς δὲ τῆς ὕβρεως. εἵνεκα καὶ εἵνεκεν [illegible] χρῶνται. ὡσαύτως δὲ καὶ οὕνεκα, ὃ συντάσσουσι ῥήματι, ἀντὶ τοῦ διότι νῦν λαμβάνονται. Ὅμηρος, οὕνεκα τὸν Χρύσην ἠτίμησ' ἀρητῆρα. Ἐνίκαντο, ἐπιμόνως ἠκολούθουν. Ἐννίς, ὡς τρίτιν. Ἐννεαλάβαστος, [illegible], ταμίας. ὅθεν ὁ ἐννεαλάβαστος, ἀντὶ τοῦ κατασκευασθέντος.

Ἐννεαπέμπων, [illegible]. Ἐννεάπηχυ μοι, [illegible]. [illegible]. Ἐνέκεφιν, ἐνεκέλευσεν. Ἐννεπίνειν, ἀντὶ τοῦ ἐνίλλουσιν ἰωνικῶς λέγουσιν. Ἐννεπιν, τοῖς καλοῖς συνεσφραγισμένον. Ἐννεπον, προσέβαλον, ἰσχύειν. Ἐνέλασαν, εἶπον. Ἐνέλεψε, παρέλαβεν. Ἐνλεῖος, ἔπλεως, ἐφόδιος. Ἐνλένισαν, ἐνενόησαν. Ἐνλεν, ἐβόησεν, εἶχεν.

Ἐνλίπαιν, ἔπλευσεν, ἔπλεξεν. Ἐλλεδανοῖσι δῆσεν, ἐν τοῖς δεσμοῖς ἐδέσμευσαν. Ἐνλός, νεβρός. Ἐνλόχευσεν, ἐνήδρευσεν. Ἐνλουίς, δημήτηρ ἐν σάμῳ. Ἐμμίασε, ἐμίανεν, ἢ ἐμέμψατο. Ἐνίμεντο, ἐκαρποῦντο, ᾤκουν. Ἐννεακαίπολις Κρήτη, ἐν Ὀδυσσείᾳ. καὶ ἐν Ἰλιάδι ἑκατόμπολις κατὰ ἀντιπερίστασιν. ἀνακατασκευάσθαι γάρ φασι δέκα πόλεις ὑπὸ Ἰδομενέως ἐπανελθόντος ἐξ Ἰλίου, ὅτι Λεῦκος αὐτὴν ἀπέλαυνεν. ὃς [illegible] τὴν παῖδα, ὅτε φύλακα τοῦ βασιλέως, κατέλιπε [illegible]. ὡς Λυκόφρων φησί. τὰς δὲ [illegible] δέκα πόλεις προστεθῆναί φασιν, ὕστερον μετὰ τὰ Τρωϊκά. καὶ οὕτω μὲν τινὲς [illegible] τῇ ἐν Ἰλιάδι μὲν ἑκατόμπολιν, ἐνταῦθα ἐννεάκοντα. ἕτεροι δὲ, οὐχ ὡρισμένως ἐπὶ νοοῦσι τὴν ἑκατόμπολιν, ἀλλ' ἁπλῶς τὴν πολύπολιν. ἢ ὅθεν οὕτω ποτὶ λαμβάνεσθαι τὸ ἑκατὸν, διὰ τὸ τρίβειν τοῦ ἐντελοῦς ἀριθμοῦ. κατὰ τὸ ἑκατὸν θύσανοι ἢ ἑκατὸν πόλεων προλίπων. ὥστε ἑκατόμπολις Κρήτη, ὁ πολύπολις. ἢ ἄλλος ἑκατὸν ἔχουσα πόλεις. ὥσπερ ποτὲ ἡ Λακωνική. Ἐνίσπον, ἐνίσπεν.

Ἐνίσπεν, ἐνεκαλέσατο, ἐπέπληξεν, ἐλοιδόρησεν, ὠνείδισεν. Ἐνίμοντο, ἐκαρποῦντο, ᾤκουν. Ἐνίοντος, ἐμβαλόντος.

Ἐνίρτεο,

ἐν Διομείοις ἀγομένης ἑορτῆς τῷ Ἡρακλεῖ. μνημονεύουσι καὶ οἱ κωμικοί. Ἔνδιος πρωΐας, δηλοῖ τὴν μεσημβρινήν, ὅτι τὴν ἐλθόντα περὶ μεσημβρίαν ὥραν ταύτην ἔβημεν, ὅτι ἐστὶν ἐνδίεν. διότι ἐστὶν ἰσφεῦν ἡλίου καίοντος. ἐπεὶ ἔνδιος, εἰ ὁμοιόδιος. ὅθεν καὶ Ἴλος φασί, τὸ ἔνδιον κατάστημα. οἷον, ἴδω ἐν κιβωτίῳ, καὶ ἀναμιχθὲν ἐλάσσονα. ὅτι δὲ ἔνδιον οὐδετέρως λέγεται καὶ ἡ διατριβή, δηλοῖ Ὅμηρος, ἔνδια πίφας εἰκὼν τὰς διατριβάς. οὐκ ἔτι δὲ ἄλλοι ἔνδιον ἑρμηνεύουσι, καὶ ὀρθῶς ὑπὲρ ἐναέριον. ἔνια δὲ, ὁ πρωτεύς, ἐν ἅλιος μὲν τὰ πρῶτα, ἔνδιος δὲ τὰ περὶ μεσημβρίαν, ὡς τηνικαῦτα ἔνδιος, ὅτι ἀέριος ἐλθὼν ἐπιεικῶς φαίνεται. διὸ καὶ ἔνδια οὐχ ἁπλῶς αἱ ὅλον διατριβαί, ἀλλ' αἱ ἀπὸ γῆς καὶ τὴν κατ' αὐτὴν ὥραν. Ἐνδιάσματα, ἐναλίσματα.

Ἐνδιασμῷ, ἐν φροντίδι. Ἐνδιάζουσι, μεσημβριάζουσι.

Ἐνδιάθρας, τὰς ἀποκοπὰς τῶν πολέμων διαφράτων. Ἔνδοι, ἀντὶ τοῦ ἔνδον ἐστί, παρὰ Θεοκρίτῳ, τοπικὸν ἐπίρρημα. ὡς τό, μεγαροί, παρθοῖ. ἐπιλείπεται δὲ τοῖς τὸ οἶκοι. Ἐνδοιάζοντες, διστάζοντες, ἀμφιβάλλοντες. Ἐνδοίαστον, τὸ ἀμφίβολον.

Ἐνδοιάζομαι, ἐξ ἀμφοτέρων πατέρων καὶ μητέρων. Ἐνδοιῇ, ἐν διστασμῷ δέ. Ἐνδοιάζεται, οἱ ἀπὸ ἐσθλῶν πατέρων καὶ μητέρων ἑαυτῶν κατηγοροῦσι τὸ γένος. Ἐνδοκῇ, ἐν ἐπιβουλῇ.

Ἐνδοκία, ἡ μήτηρ παρὰ Ἀθηναίοις. Ἐνδοκεῖ, ἔδοξε.

Ἐνδομαρία, ἡ κτίσις, ἡ παροιμία. Ἐνδομενία, κτίσις, ἡ ἀποικία. Ἐνδομυχί, ἐν ἀπορρήτῳ τόπῳ. Ἐνδόμυχοι, καὶ ἀποικοι. Ἐνδόμυχος, σκοτεινός, ἀπόκρυφος, δαιμόνιος. οὗτος δὲ ὁ ἐνδόμυχος ἐγγελάσας, καὶ σιωπηλὸς ἐπὶ τούτοις ὃ κρύπταρ ἀποκρίνασθαι, ὥστε μὴ δὲ ἐρωτῶν τῇ μητρὶ λέγων, ὅτι ἀπιέναι.

Ἔνδον, ἔσω, καὶ ἐνδοῖ ἀπολαυστικῶς. τὰ ἐντὸς καὶ πάσιν ἀεὶ ἀπολαυστόν. Ἔνδον εἰσέρχομαι, βάρβαρος. ἔνδον γάρ ἐστι, καὶ ἔσω φορεῖ, λοιπὸν. δεῖ οὖν, ἴσω παρέρχομαι λέγειν. ἴσω δὲ διαχεῖ, οὐκ ἐρεῖς, ἀλλ' ἔνδον διατρίβω. Ἔνδοξος, ὁ καὶ ὁ. ἀπὸ διαλεκτικῶν. πάντα τὰ ἐπίθετα σύνθετα κατὰ ἕνα μόνον κατὰ γένος. καὶ ἔνδοξος, παρὰ τὸ ἐν ἑαυτῷ τὴν δόξαν ἔχειν. Ἐνδόσθια, ἔγκατα. Ἐνδόσιμος, αἴτιος καὶ ἀρχῆς αἴτιος. ὁ δὲ ψαλμός, οἷος ἐνδόσιμος εἶναι τῇ ᾠδῇ, καὶ ἐνδόσεις ὁμοίως. Ἐνδεδυμένοι, καταδυόμενοι. Ἀριστοφάνης. Ἐνδεδυμένοι, ἐνδεδυμένους, ἡ δεδυμένοι. Ἐνδοῦναι, παραλῦσαι, ἡ καὶ εἶξαι.

Ἐνδοῦπος, ἠχητικός. Ἐνδοῦς, ἀραιότης. Ἐνδρανός, τραυλικός. Ἔνδρατα, τὰ ἐκδεδεμένα σὺν τῇ κεφαλῇ, καὶ τοῖς ποσίν. Ἐνδρυόεντος, δρόμος παρθένων, ἐν Λακεδαίμονι.

Ἐνδρομίδες, ὑποδήματα. ἁπλῶς εἴρηται παρὰ τὸν δρόμον, ταῖς τὸν δρόμον ἐπιτηδεύσι. Ἐνδρομίς, ἡ δαμάτηρ ἐν Ἁλικαρνασσῷ. Ἔνδροσον, ἔμμετρον, ἔλλογον, ἔμμετρον. καὶ ὅσα τοιαῦτα παράγονται ἐν συνθέσει ὄντα τοῦ ἐν προθέσεως, μίαν ἔχουσιν ἀναλογίαν. καὶ ταυτὸ δύνανται τοῖς μετοχικοῖς. ἔνδροσον γάρ, τὸ ἐν δρόσῳ, ταυτὸν τὸ παρὰ τοῖς ποιηταῖς ἐρσῆεν. καὶ τὸ ἔμμετρον, τὸ ἐν μέτρῳ καὶ ῥυθμῷ. καὶ ἔλλογον, τὸ ἐν λόγῳ. καὶ ἔμμετρον, τὸ ἐν μέτρῳ. Ἔνδρυον, ἀδελφὴ δρυός, καὶ τὸ μέσον. Ἐνδυασμός, ἀμφιβολία, διστασμός, ἀπορία. Ἔνδυλαρ, ἔνδον.

Ἐνδύεσθαι. ὅταν σημαίνῃ τὸ ἐμβαίνειν, ἤτοι τὸ εἰσδύεσθαι, δοτικῇ συντάσσεται. ὅταν δὲ σημαίνῃ τὸ ἐνδύεσθαι, τὸ περιβάλλεσθαι, ὁμοίως δοτικῇ καὶ αἰτιατικῇ, οἷον ἐνδύεται τὸν χιτῶνα. Ἐνδυκέως, περισσοῦ τοῦ κ, ὥς φησι Τρύφων. ἔστι γὰρ ἐνδυκές, τὸ μετὰ σπουδῆς ἐκκαθαρθὲν γινόμενον προσηνές, καὶ ἀλλ. καὶ ἐνδυκέως, ἐξ αὐτοῦ. ἢ ἐνδυκές, συνεχές, συνετόν, ἀσφαλές, ἀκριβές, φίλον, πρόθυμον, εὔπορον, πιστόν, ἐπιμελές. Ἐνδυκέως, ἐπιμελῶς. ἀπὸ τοῦ δύειν. ὅπερ οὐ φιλεῖται μὲν παρὰ λόγοις φθορεῖ. δηλοῖ δὲ ἐπιμελῶς. καὶ γίνεται ἐκ τοῦ δύω, τὸ διέρχομαι. φαινόμενος τοῦ ε, εἰς ε, κατὰ κίνησιν ἀναλογίαν. εἶτα τοῦ ε μεταβληθέντος εἰς ω, αἰολικῶς. ἢ ἐνδυκέως φιλέειν καὶ κόμιν παρ' Ὁμήρῳ ἐδοσ-

σείων ὁ, ὅστις φιλεῖ καὶ τιμᾷ ἐπιμελῶς, ἀπαρέμφατον ἀντὶ προστακτικοῦ. Ἐνδύκιον, πιστόν, φίλον, ἀφελές, βέβαιον, ἀπονήρευτον. Ἐνδύω, ἐνδέδυκα. Ἐνδυμίων κάρ. Ἀριστοφάνης τὴν Ἐνδυμίωνα, ὅς παρά φασι διὰ τὸ περὶ τὸ Λάτμον δοκεῖν καθεύδειν αὐτὸν τεθάφθαι. Σαπφὼ δὲ καὶ Νίκανδρος ἱστορεῖ περὶ τοῦ τῆς Σελήνης ἔρωτος ἐν δευτέρῳ Εὐρώπης. λέγεται κατέρχεσθαι εἰς τὸ ἄντρον τῆς Σελήνης πρὸς Ἐνδυμίωνα. Ἐπιμενίδης δὲ αὐτὸν παρὰ θεοῖς διατρίβοντα ἐρασθῆναί φασι τῆς Ἥρας. διόπερ Διὸς χαλεπήναντος, αἰτήσασθαι διαπαντὸς καθεύδειν. Ἴβυκος δὲ ἐν πρώτῳ Ἥλιδος, οὗ τὴν βασιλεῦσαί φασι. ἕως δὲ διὰ πολλῶν διακοσίων ἐκποθεῦσαί φασιν αὐτόν, καὶ αἰτήσασθαι παρὰ Διός, ἀεὶ καθεύδειν. φασὶ δὲ αὐτὸν οἱ μὲν ποιμένα, οἱ δὲ ἀλιέα. ἔνιοι δὲ ἀναφέρουσι τὴν ἐπὶ τοῦ Ἐνδυμίωνος ὕπνον μῦθον. φιλοκύνηγον γὰρ αὐτὸν γενόμενον, νύκτωρ πρὸς τὴν Σελήνην κυνηγεῖν. διὰ τὸ ἐξιέναι τὰ θηρία κατὰ νύκτα τὸν καιρὸν ἐπὶ τὰς νομάς, τὰς δὲ ἡμέρας ἐν σπηλαίῳ αὐτὸν ἀναπαύεσθαι, ὥς ἐνα οἴεσθαι παῖδας αὐτὸν κοιμᾶσθαι. ἄλλοι δὲ ἀλληγοροῦσι τὸν μῦθον, λέγοντες, ὡς ἄρα Ἐνδυμίων πρῶτος ἐπεχείρησε τῇ περὶ τὰ μετέωρα φιλοσοφίᾳ. παραχεῖν δὲ αὐτῷ τὰς ἀφορμὰς τὴν Σελήνην, ἤτοι φιλομαθὴς, καὶ κινήσεις. διὸ καὶ νύκτωρ χολάζοντα τούτοις ὕπνῳ μὴ χρῆσθαι. κοιμᾶσθαι δὲ μεθ' ἡμέραν. ἕως δὲ διὰ ὅλα φιλοπονεῖν τὰ γεγονέναι τὴν Ἐνδυμίωνα. ἀφ' οὗ καὶ παροιμία Ἐνδυμίωνος ὕπνος, ἐπὶ τοῦ πολὺ κοιμωμένου, ἢ ἀμελῶς τι πράττοντος, ὡς δοκεῖν κοιμᾶσθαι. καὶ Θεόκριτος μέμνηται, Ζαλωτὸς μὲν ἐμὶν ὁ τὸν ἄτροπον ὕπνον ἰαύων Ἐνδυμίων. Ἐνδῦναι, εἰσδῦναι, εἰσελθεῖν. Ἐνδυτῆρ, ἐνδυτός. Ἔνδυνε, ὡς ἀμείς τὸ ταχύως. Μένανδρος Ἱερείᾳ, Γυρὶς μαι γὰρ ἔνδυε. Ἐνδύομαι, ἀμπέχω, ἔχω, ἀναβάλλομαι, ἐνδύω, περιβάλλω. Ἐνδυομενία, τὴν μὲν ἐνδυομενίαν ἀπαλλον ἐκ τῶν οἰκιῶν ἐξέπεμψεν καὶ τὰ ἔπιπλα. Ἐνδυσάμενος, ἐπενδυσάμενος, ἐπὶ ἱματίου. καὶ περιδύσας. Χωρίστος, γυμνόντα δὲ ἤδη περιδύσας τὰ ὅπλα. Ἐνδυσίν ἐστι, τὸ ἀλλὰ μόνοις ὑπάρχον. ὡς ὁ πατὴρ ἐν υἱῷ καὶ ἁγίῳ πνεύματι. Ἔνδυσις, κατάδυσις.

Ἐνδυτά, περιβλήματα. ὡς τό, ἐνδυτὰ καὶ ξανθοὺς ἐκρέμασε πλοκάμους. Ἐνδύτου, κόλπος κάμπτος. Ἐνδύω, καὶ ἀποδύω, καὶ ἐκδύω σε, καὶ περιδύω σε τὰ ἱμάτια, αἰτιατικῇ. Ἐνδοτέρω, ἐνδοτέρω, ἀκρατέστερον. Ἐνδώσειν, ὁρίσαι, προσάξαι. καιρὸν δὲ τῆς ἀβάσεως, καὶ τόπον ποῦ ἐνδώσειν ἔφη.

Ἐνδώσω, ὑποσημαίνω, δείξω, δηλώσω. Ἐνεαρίζειν, ἠρίως, τὸ ἐν ἦρι διάγειν. Ἐνεαρίσαι, τὸ ἔαρ ποῦ διάγειν. ἐγχειμάσαι δέ, τὸ χειμῶνα, ἐνθερίσαι δέ, τὸ θέρος. τὸ δὲ μετοπωρίσαι, ἄχρηστόν ἐστιν. Ἐνέβαλεν, ἐνέφερεν. ὡς τό, ὁ δὲ Μαρῖνος τοῦτον ἀδικεῖν, πληγὰς ἐνέβαλεν. Ἐνέβη, ἀντὶ τοῦ εἰσῆλθε. Τὸν δὲ ὄνομα τί σοι αὐτὸ ἐνέβη, τὸ πλοῖ λακτίσαντα κείμενον τὴν ταφὴν. ἡ γὰρ ἐν πρόθεσις, δηλοῖ τὸ ἐκεῖ καὶ τὸ ἐντός, οἷον ἐν δὲ λίθοις ἐμάχοντο. ἤγουν, ἐκεῖ ἐν λίθοις. καὶ ἐν τῷ οἴκῳ εἰσίν, οἷον ἐντὸς τοῦ οἴκου.

Ἐνέβρια, τὰ θεοσίδια, οὕτως ἔλεγον οἱ παλαιοί. Ἐνεβριμῶντο, μετ' ὀργῆς ἐλάλουν. ἢ ἐνεβριμᾶτο, μετ' αὐστηρότητος ἐπετίμησεν. Ἐνέβριον, ἔγκυον. Ἐνεβίσαμεν, ἐπληρώσαμεν, ἐφράξαμεν. Ὅμηρος. Ἐνεγκαμένη, ἡ πατρίς. Ἐνεγκεῖν, ἐνέγκαι, φέρειν. Ἐνέγκατε, φέρετε. Ἐνεγκὼν, ἐνέγκας. Ἐνεγκοῦσαν, τὴν μητέρα. ἡ τὴν πατρίδα λέγει. Ἐνέγκω, σημαίνει τὸ ὑπομένω, καὶ τὸ κομίζω. Ἐνέγκω ἄχρηστον, ὡς ὁ μέλλων αὐτοῦ. ἀντ' αὐτοῦ δὲ οἴσω. ὁ μέλλων οἴσω, ὁ ἀόριστος ἤνεγκα, ὁ δεύτερος ἤνεγκον. ἐκ τούτου δὲ ἀπαρέμφατον, ἐνεγκεῖν, καὶ ἐνέγκω. ἀπὸ τοῦ πρώτου τὸ προστακτικὸν ἔνεγκε. τὸ δεύτερον ἀπὸ τοῦ πρώτου ἐνέγκατε, ὥσπερ εἰπάτω, τὸ εὐκτικὸν ἐνέγκαιμι, ἀνενέγκαιμι. ἀπὸ τοῦ πρώτου τὸ ὑποτακτικόν, ἐνέγκω. ὁ μετοχὴ ὁ ἐνεγκών. τούτου γοῦν τὸ παθητικὸν ἄχρηστον. ὁ ἀόριστος ἐνεγκάμενος, ἀντὶ τοῦ ἔλαβον. τὸ ἀπαρέμφατον ἐνέγκασθαι, τὸ προστακτικὸν ἔνεγκαι. τὸ εὐκτικὸν

[illegible]

[illegible]

καὶ ἀπὸ τούτου ἔσωθεν κοινῶς, καὶ εἴσωθεν ποιητικῶς. ἀπὸ τοῦ ἐξ, καὶ ἐκ, λέγεται ἔξω καὶ ἐκτὸς κοινῶς. καὶ ἀπὸ τούτου ἔξωθεν κοινῶς, καὶ ἐκτόσθεν ποιητικῶς. ἃ δηλοῦσι κίνησιν ἀπὸ τοῦ ἐκτός. ἀπὸ τοῦ πρό, πρόσω κοινῶς. ὃ καὶ πόῤῥω λέγεται, μετατεθέντος τοῦ ρ, καὶ τροπῇ τοῦ σ εἰς ρ. δηλοῖ δὲ μακράν, καὶ τὸ ἐκτός, καὶ τὸ εἰς βάθος. καὶ ἀπὸ τοῦ πρόσωθεν καὶ πόῤῥωθεν καὶ πρόσθεν, κατὰ συγκοπήν, ὃ καὶ ἔμπροσθεν λέγεται. τὸ δὲ καὶ εἰς ἑτέραν ἔννοιαν μετέπεσεν. οὐ γὰρ κίνησιν ἔχον φαίνεται. ἀπὸ τοῦ ἀνά, ἄνω καὶ ἄνωθεν κοινῶς. ἀπὸ τοῦ κατά, κάτω καὶ κάτωθεν κοινῶς. ἀπὸ τοῦ ἀντί, ἄντα ποιητικῶς, καὶ ἀντίον. ὃ μετὰ τοῦ ἐν, ἐναντίον λέγεται κοινῶς. ἀπὸ τούτου προσαντές, ὅπερ ἐπὶ δυσκολίας λέγεται. ἀπὸ τοῦ περί, πέριξ κοινῶς. ἀπὸ τοῦ ἀμφί, ἀμφὶς ποιητικόν, ταυτὸν γὰρ τῷ πέριξ. ὁ αὐτὸ γὰρ τῷ περὶ ἡ ἀμφί. πλὴν ὅτι ἡ μὲν περί, παρὰ τοῖς κοινοῖς ἐν χρήσει. ἡ δὲ ἀμφί, παρὰ τοῖς ποιηταῖς. ἀπὸ κοινῶς, ὡς τὸ οὐδ' ἀπὸ γνώμης· γὰρ γνώμης ἐκείνου. καὶ ἀπὸ τούτου ἄπωθεν, καὶ ἀπωτάτω, διὰ τοῦ ω μεγάλου. ὡς τόπον ἔχον τὸ διὰ ὕπερθε καὶ ὕπατον. ἔχουσι δὲ ἔνια αὐτῶν καὶ συγκριτικά, καὶ ὑπερθετικά. οἷον ἐνδοτέρω καὶ ἐνδοτάτω, ἐξωτέρω καὶ ἐξωτάτω, καὶ προσωτέρω καὶ προσωτάτω. Ἐναβρύνεσθαι, ὡραΐζεσθαι ἢ ἐντρυφᾶν. ἁβρὸς γὰρ ὁ τρυφερός. Ἐναβρύνω, ἐξ οὗ ἐναβρύνεσθαι, μέγα φρονεῖν, καυχᾶσθαι. τοῦτο παρὰ τὸ ἁβρός, ὁ κοῦφος. Ἐνάγει, τὸ δίκας ἐπὶ τὸ δικαστήριον. αἰτιατικῇ συντάσσεται. Ἐνάγει, τὸ κινεῖ καὶ παροξύνει, καὶ διεγείρει, αἰτιατικῇ συντάσσεται. ἐνάγουσι πλεῖον εἰς πορνεῖα, ἤτοι ἐρεθίζουσι. καὶ ἐνάγουσιν ἐς τὴν καταδοχὴν τοῦ φίλου, τουτέστιν ἐρεθίζουσι καταδέξασθαι αὐτόν. καὶ ἐνάγει, ἀντὶ τοῦ εἰσφέρει, καὶ ἀντὶ τοῦ ποιεῖ. ἔρως μανῆναι ἐνάγει τοὺς ἀνθρώπους. ἢ ἐνάγει, ἐμβιβάζει, ἐνσπείρει, ἐφέλκεται, ἢ προτρέπεται. Ἐναγεῖς, βέβηλοι, ἀποτρόπαιοι, ἀκάθαρτοι. Ἐναγές, μυσαρόν. καὶ τὸ φασμισμόν, ἀκάθαρτον. Ἐναγής, τὸ σεβάσμιον καὶ ἅγιον. ἄγος γὰρ τὸ ἱερὸν σέβας. ἔνθεν καὶ τὸ ἄγος μὲν ἔχει. κατ' εὐφημισμὸν δὲ καὶ τὰ μιάσματα ἄγη λέγονται. καὶ οἱ μιαροὶ ἐναγεῖς καλοῦνται. Ἐναγέστατος, ἀκάθαρτος, μυσαρώτατος. Ἐνάγεται, ἐφέλκεται, ἐμβιβάζει, προτρέπεται. Ἐναγῆ, μεμιασμένον.

Ἐναγής, σεβάσμιος, ὁ καὶ ὁ βέβηλος, καὶ ὁ ἀποτρόπαιος, καὶ ὁ μιαρός. Ἐναγίζειν, τὸ χοὰς ἐπιφέρειν. ἢ θύειν τοῖς κατοιχομένοις· ἔνιοι λέγουσιν, ἢ φονεύειν. ἄγος γὰρ τὸ μίασμα. ἢ ἐναγίζειν, τὸ κατακαίειν, ἀπὸ τοῦ ἁγίζειν. ἀφ' οὗ ἐναγίσματα, αἱ σπονδαί, καὶ χοαί. Ἐνάγιζον, φονεύων, κατακαίων. Ἐναγισμός, ὁλοκαυτώματα, ἢ μιασμοί. Ἐναγκωνίς, ἀγκάλαις.

Ἐναγοράζειν, ἐνθροίζεσθαι. Ἔναγχος, ἔναγχος. καὶ ἀπέλλαν ἐν στίχοις. Ἔναγχος, ἀντὶ τοῦ πρὸ ὀλίγου, ἀρτίως, πρὸ μικροῦ, πρὸ ὀλίγου, ἐν τῷ ἔγγιστα παρελθόντι χρόνῳ. συντάσσεται παρ' Ἀττικοῖς μετὰ παρεληλυθότος. οἷον ἔναγχος διελεγόμην, καὶ ἐδίδασκον. Ἐναγωγή, ἡ ἔγκλησις. καὶ πάντα ἄθρουν ὁ δικασθέντα ὑπὸ αἰδοῦς ἀλιῶς καὶ ἀζημίως, ἐναγωγαῖς κεχρῆσθαι.

Ἐναγῶν, ῥυπαρῶν. Ἐν ἀγωνίᾳ, ἐν μερίμνῃ. Ἐναγώνιος, ὁ Ἑρμῆς. Ἐναδε, σύνθημα. Ἐνάδοντος, ἐμπνέοντος.

Ἐναιθρίζεσθαι, μετεωρίζεσθαι. Ἐναέριον πνεῦμα, ἀκάθαρτον.

Ἐναι, ὄνομα κύριον, καὶ ἡ νόσος. Ἐναθλεῖ, ἀθλεῖ.

Ἐναθρεῖν, ἀτενίζειν. Ἐναβύροντος, παίζοντος. Ἐναβύρθος, ἐμπλέξω. Ἔναι, ἀρχαῖαι, παρῳχημέναι. Δημοσθένης κατ' Ἀριστογείτονος. Ἔναιον, ᾤκει, ἔμενον. Ἐναιθρίᾳ, ἐν εὐδίᾳ, ἐν φανερῷ. Ἐν αἴθῃ, ἐν τῷ σκότει. Ἔναιμος ἀνήρ, ζωός, συγγενής, καὶ ὁ ζωός. καὶ ἔναιμος, πλήρης αἵματος.

Ἐν αἰνῇ, ἐν τῇ δεινῇ. Ἐν αἰνιγμῷ, ἐν παροιμίᾳ, ἐν παραβολῇ. Ἐναίρειν, τὸ σκυλεύειν, καὶ τὸ φονεύειν σημαίνει. καὶ πολλὰ γὰρ ποιητῇ εὕρηται ἐν ἑκατέρᾳ σημασίᾳ. Ἐναιρῆσαι, ἐν θλίψει. Ἐναίρειν παρ' Ὁμήρῳ, τρίτην σημαινόμενον τὸ ἀναιρεῖν. παλαιῶς δὲ λέχθεν, καὶ οὐ δὲ τὸ φονεύειν ἢ σκυλεύειν δηλοῦν, ἀλλὰ τὸ ἀφανίζειν, ἢ αἰσχύνειν. οὕτω γὰρ εὑρίσκεται χροῦς καλὸς δάκρυσιν. αἰσχρὸς δηλαδή, ἀντὶ τοῦ καλοῦ ἤτοι ἰσχνὸς γινόμενος. Ἐναίρω, ὃ φονεύω, παρὰ τὴν ἄρην, τὸν πόλεμον γίνεται. ἢ παρὰ τὸ ἕλω, τὸ φονεύω. ἐξ οὗ, εἷλε καὶ ἀνεῖλε. Ἐναίσιοι, κύριοι. οἱ δὲ, ἐναίσιοι. Ἐναίσασθαι, φθαρῆναι, γηρᾶσαι. Ἐναίσιμα, τὰ τοῦ κατὰ τὴν μοῖραν οἴσης δικαίως. δῆλον δὲ, ὅτι λέγεται καὶ ἐπὶ δικαίου καὶ πρέποντος πράγματος τὸ ἐναίσιμον. ὡς δηλοῖ τὸ, ἀτὰρ τόδε γ' ἐναίσιμον οὐκ ἐνόησεν. λέγει ὁ ποιητὴς ὄρνιθας ἐναισίμους, ἤγουν αἰσίους δηλοῦντας. ἀφ' ὧν μὲν τινὲς αἴσιοι. ἕτεροι δὲ ἀναίσιοι λέγονται. ἐξ ὧν ὄρνιθες, καὶ ὀρνιθεία κατὰ παλαιοὺς πολλὰ Σοφοκλεῖ, τὸ ἀγαθὸν οἰώνισμα.

Ἐναίσιμα τινὸς, τὰ καθήκοντα. Ἐναισιμία, δυσσημία.

Ἐναίσιμον, τὸ δίκαιον λέγει Ὅμηρος, καὶ ὃν κατὰ εἱμαρμένην ζῶντα. τούτῳ δὲ ἀντίκειται ὁ ἀθέμιστος. Ἐναίσιμον, ἀντὶ τοῦ καθῆκον φησὶν Ὅμηρος. ὡς τὸ, οὐδ' ἦλθεν ἐναίσιμον οὐδ' ἐκέλευσε μαι ὀλίγα, ἐν γὰρ ἀνὴρ ὃς ἐναίσιμος εἴη. τὴν δίκαιον ἡ συνήθεια ἡ λέξις δηλοῖ. ἐνταῦθα δὲ ἔρα, ὡς εἰ καὶ αἴσια τυχοῦσι λέγεται, ἐπὶ τοῖς εἱμαρμένοις. καὶ ἐπὶ τοῦ καθήκοντος, ἤγουν προσήκοντος, ὡς καὶ πολλαχοῦ παρ' Ὁμήρῳ κεῖται. καὶ ἐπὶ μερίδος, ἤγουν τὸ λαχὼν ἀπὸ λοιδὸς αἶσαν, ἥτις αἶσα καὶ μοῖρα λέγεται. καὶ ὁ σημαινόμενον καὶ μοῖραν κρεῶν φαμέν. εἰ γοῦν καὶ τριχῶς οὕτως ἡ αἶσα νοεῖται, ἀλλὰ τὸ ἀπ' αὐτῆς ἐπίθετον μετάγειν δοκεῖ. οὔτε γὰρ μέρος εἱμαρμένην δηλοῖ, οὔτε μερίδα. μόνον δὲ τὸ καὶ ἀρετὴν καθῆκον.

Ἐναιχμάσαι, ἐμμαχέσασθαι. Ἐνάκ, ὄνομα κύριον, καὶ ὁ νόθος. Ἐν ἀκαρεῖ, ἐν βραχεῖ, ἐν ὀλίγῳ. ἐν ἀκαρεῖ χρόνῳ, ἐπεὶ δὲ κάρη διαφθεῖραι. Ἐνακμάζειν, ἐνισχύειν. Ἐν ἀκμῇ, ἐν δυνάμει. Ἐναλάγδην, συμπεπλεγμένως. Ἐν ἀλαλαγμῷ, ἐν εὐφήμῳ βοῇ. Ἐνάλια, θαλάσσια. καὶ ἑνικῶς ἐνάλιον, θαλάσσιον. Ἐνάλιαι κορῶναι, αἴθυιαι. Ἐναλίγκιος, ὅμοιος, παραπλήσιος. ὡς πολλὰ ὃ πέσω γίνεται πάλιγος, καὶ πολλὰ τὸ ἁρμόζω ἁρμόδιος. οὕτω καὶ παρὰ τὸ εἴκω, τὸ ὁμοιῶ, γίνεται εἴκελος. καὶ προσληφθείσης τῆς ἀλ συλλαβῆς μετὰ πλεονασμοῦ τοῦ γ, διὰ τὰ ἐνάλληλα βραχέα, ἐναλίγκιος. Ἐναλίσαι, ἐγκυλίσαι.

Ἐν ἀλκαῖς, ἀπειλαῖς λέγεται. ὥσπερ ἐν ἄδῃ, ἐν κήποις, ἢ ὅσα τοιαῦτα. Ἔναλλα, ἀντὶ τοῦ ἐνηλλαγμένα. ὡς παρὰ Θεοκρίτῳ, πάντα δ' ἔναλλα γένοιτο. Ἐναλλάγδην, συμπεπλεγμένως. πυλάγαγε δὲ τοὺς πρέσβεις εἰς μέσον, ἐναλλάγδην τοὺς πόδας πρὸς ἴξιν περιβεβηκότας. Ἐναλλαγή, ἡ ἀμοίβωσις, περὶ τὰς πτώσεις πολλάκις γίνεται παρ' Ὁμήρῳ. δοτικὰς κλητικὰς ἐναλλάσσεσθαι ἐν θύραις. Αὐτὰρ ὁ αὖτε θύεσ' ἀγαμέμνονι λεῖπε φορῆναι. καὶ φίλος ὦ Μενέλαε. καὶ δῖος φίλος, γενικὴ καὶ δοτικὴ ἐν τοῖς ὀνόμασι. προσί μὲν προμάχιζεν, Ἀλέξανδρος θεοειδής. ἀντὶ τοῦ ἔμπροσθεν, κλητικὴ ἀντὶ τῆς εὐθείας. ἡ δ' αὖ τῆς τετάνυστο περὶ σπέος ἡμερὶς ἡβώωσα, ἀντὶ τοῦ περὶ σπέος. Ἐναλλαγῆναι, τὸ ἀπὸ φιλίας εἰς φιλίαν ἄλλην μεταπηδῆσαι ἢ τοῦ ἐχθροῦ εἰς τὸ πρότερον. διαλλαγῆναι δὲ, τὸ διὰ αὐτοῦ τοῦ ἐχθροῦ καταλλαγῆναι, καὶ φιλιωθῆναι.

Ἐναλλάξ, ὡς πολλὰ τὸ μίσγω γίνεται μίξ, καὶ ἐπιμίξ. οὕτω καὶ παρὰ τὸ ἀλλάξω μέλλοντα, γίνεται ἀλλὰξ καὶ ἐναλλάξ, ὅπερ ἐνηλλαγμένως. Ἐναλλάττειν, τὸ μεταλλάττειν τὴν τάξιν ἐναντία. ἀφ' οὗ ἐναλλάξ, ἐπὶ τοῦ ὑπεναντίου ἐναντία λέγεται. Ἐναλόντος, ἐμπεσόντος, ἢ ἐγκαλοῦντος. Ἐν ἄλφ [illegible], τοῖσι κρότοις. ἐπὶ τῶν ἀλωσίμων λέγεται. Ἐναλῶντα, συλληφθέντα, κρατηθέντα. Ἐν ἀμηχανίᾳ, ἐν ἀπορίᾳ. Ἐναμμένος, ἐγκεκαμμένος. Ἐναμπυκίσαι, ἐγχαλινῶσαι. Ἐναντῆσαι, κατὰ ἀνδρῶν. Ἔναντα, φανερῶς. Ἐναντίβιος, ἐναντίαν δύναμιν ἔχων. Ἐναντίοι ἀλλήλοισιν, ἐρίζοντες πρὸς ἀλλήλους. Ἐναντίον, τὸ ἐξ ἐναντίας μάχεσθαι, δοτικῇ. ἐναντίον δὲ, τὸ ἐνώπιον, γενικῇ. ἢ ἐναντίον, εἰ μὲν σημαίνει ἐναντίωσιν καὶ μάχην, δοτικῇ συντάσσεται. ὡς τὸ ἐναντίος ἦν ὁ δεῖνα τῷ δεῖνι. εἰ δὲ

τὸ ἔμπροσθεν

τοῦ περὶ [illegible] ... Ἐμπρῆσαι, ἐπιπρῆσαι, [illegible] ... [illegible]

Ἔμπαιος, ὁ ἐμπειρικός, παρὰ Μενάνδρῳ. ... [illegible]

[illegible]

Ἐμφορηθέντες, κορεσθέντες, χορτασθέντες, πληρωθέντες. Ἐμφοροῦμαι, κορέννυμαι.

Ἐμφράξις, ... [illegible] ... Ἔμφρονι, ἐχέφρονι, συνετῷ, φρονίμῳ. Ἐμφύλιον, συγγενικόν, ἢ τῆς αὐτῆς φυλῆς. Ἔμφυλος πόλεμος, ὁ ἐκ τοῦ αὐτοῦ ἔθνους καὶ γένους. ... [illegible]

[illegible]

ΤΟ Ε, ΜΕΤΑ ΤΟΥ Ν.

Ἐν ... [illegible]

[illegible]

βον, κόιτον. Ἐμπιστεύω, ἐνεχυριάζω. Χρυσόστομος, οὕτω καὶ ὁ ἡμέτερος Διονύσιος πάντα τὰ εἰρημένα ἐμπιστεύσας ὑπὸ ἀνθρώπου. παθητικῶς ὡς ἐπὶ πλεῖστον χρᾶται. Ἐμπλακείς, περιπαρείς, περιπλακείς. Ἐμπλανώμενοι, προσπαροινοῦντες, προσπλαζόμενοι. οἱ δὲ Καλχηδόνιοι ἀλλήλοις ἐμπλανώμενοι, καὶ περιπίπτοντες ταῖς ἐνέδραις, ἀπέθνησκον. ἢ ἀντὶ τοῦ ἐμπεριβαλόντες, συμπλεκόμενοι. Αἰλιανός, Τοῖς φίλοις καὶ οἰκείοις ἐμπλακέντας, ἀπέστρεψε αὐτοὺς ὡς πολεμίους. καὶ ἐμπλασάμενοι, ἐμπίπτοντες ποταμῷ. οἱ δὲ ἐμπλασάμενοι κατέβησαν εἰς τὰ ἐπιβατήρια τοῦ ποταμοῦ. καὶ ἀντὶ τοῦ μολυνόμενοι. πλάσσω γὰρ τὸ μολύνω. Ἐμπλαστικά ἐστι, φαρμακώδη. Ἐμπλεα, μεστά, πλήρη. Ἐμπλείμην, κορεσθείην. εἰκεκλέως ἐγκλίσεως τέχναι τὸ ἐμπλείμην. ἔστι γὰρ ἐμπιπλῶ, ὃ κατὰ ἀναδιπλασιασμὸν κινεῖται. ἀφ' οὗ παράγωγον τὸ ἐμπίπλημι. ἀπὸ τούτου γίνεται τὸ, περιπλᾶσι μυχοὺς λιμένος ὄρμου. τὸ δὲ, ἑτέρα παραγωγή, ἀφ' οὗ τὸ πλῶ. ὡς ἀπὸ τοῦ τιθῶ. ἀπὸ δὲ τοῦ πλῶ πλείμην, ὡς ἀπὸ τοῦ βλῶ βλείμην. οὗ τὸ δεύτερον, ἔπεστι βαρύ. Ἐμπλευρον, τὸ ἀλλο, εἰς τὰς πλευράς. Σοφοκλῆς αἰχμαλωτίσιν. Ἐμπληγδην κατὰ τοὺς παλαιούς, τὸ ἄκριτος. παρὰ τὸ ἐμπλήσσειν. ὃ ἐμπλήσσων, ὅτι ἐμπίπτων, ὅπως ἂν τύχοι τοῖς πράγμασιν. ἢ ὡς ἄλλοις, ἐμπληγδην, τὸ λίαν ἐμπλήκτως. ἐμπληκτος δὲ, ὁ ἄκρατος, καὶ οἱονεὶ ἔσω πεπληγμένος, καὶ οὐ κατὰ φύσιν φρονῶν. ὥσπερ ἔκπληκτος, ὁ ἔξωθεν πεπληγμένος, κατὰ τοὺς ἐμβροντήτους, καὶ ἐμπεπατημένους. καὶ ἐκθαμβος κατὰ τὴν κοινὴν λεγομένην ἔκπληξιν. ὁ μέν τι παραπλήξ, τὸ μὲν ἐμπληκτον δηλοῖ, τὸ δὲ παράφορον καὶ ἀπειλητικόν, καὶ ὡς εἶπεν ὁ πολὺς. Ἰωάννης καὶ παρὰ τῷ Ἰωαννῇ κεῖται. Ἐμπλεοντι, ἐμπλέοντι, ἐμπεριπλέοντι. Ἐμπλευστος, ἀπόπλευστος. ἐπὶ τοῦ πλεῖστον, ἢ ἀπὸ τοῦ πλέω, οὐ λέγεται ἐπὶ τοῦ πλεόντων τῶν γνωμῶν, καὶ ἐκπλαγέντων. οἱ δὲ οὐ, οἱονεὶ μὲν ἐσφαγμένα. οἷον βουπλήξ, τὸ αἴτιον τὸ ἐν βοῦν πλῆξαν. οἱονεὶ δὲ παθητικά. οἷον παραπλήξ, ὁ φθαρεὶς τὰς φρένας. καταπλήξ, ὁ γυναικὶ πεπληγμένος καὶ κατάπληξ ἐλείθυια, ὁ πληγὰς συνεχεῖς ἔχων. Ἐμπληκτος, ὁ μετὰ ῥώμης καὶ σφοδρότητος μαινόμενος. καὶ ἀπὸ τούτου ἐμπληξία, ἡ σφοδρὰ μανία. καὶ παραπλήξ, τὸ αὐτὸ καὶ παραπληξία. Ἐμπλεόμενος, πεπληρωμένος. Ἀριστοφάνης, ἐν τῷ τῶν τοίχων ὅλον, φιλόσοφον πλεόμενος.

Ἐμπλην, πλησίον, ἐγγύς, ὅμως, ἢ τὸ ἐμπαλαλιν. ἢ τὸ χωρίς. ὡς καὶ τοῦτό φασιν οἱ παλαιοί. Ἐμπλήξαι τάφρω, τὸ ἐμπελάσαι, ἢ τὸ ἀκουσίως ἐγκρούσαι. καὶ ὡς εἶπεν, ἐμπαίσαι. ἢ ὥσπερ πολλαχοῦ ὁ ποιητὴς, ἐμπεσεῖν. Ἐμπλασμένην, πεπλασμένην. Ἐμπλεος, πλήρης ἀπόλειψον. ἐμπίπλημι, καὶ ἀποπίμπλημι, ἢ ἐκπίμπλημι ταυτόν. Ἐμπλοκία, ἑορτὴ παρὰ ἀθηναίοις. ὡς τὸ σὺν ταῖς θριξὶ πλεκόμενον γυναιξίν. Ἐμπνεῖ μοι, ἐρᾷ μου, ποθεῖ με. Ἐμπνέω θεὸν φρεσίν. φιλοσόφως δὲ δεῖ, τὸ κατὰ ἀνθρώπους θειότερον γίνεσθαι, Ὅμηρος. Ἐμπνεύσαιν, ἀναπνεῦσαι. Ἐμπνευσιν, εἰκόνα θεοῦ. καὶ ψυχὴ εἶδον ὁ θεὸς χαρά. Ἐμπνεύστος, ἄρρην, ὁ φρονῶν. Ἐμπνοια, ἀναπνοή. Ἔμπνους, ὁ ζῶν καὶ πνοὴν ἔχων, ἤγουν ψυχήν. ἔμπνους, καὶ ὁ ὑπὸ θείου ἐμπνεόμενος. καὶ ἔστι τριγενές, ὁ ἔμπνους, ἡ ἔμπνους, τὸ ἔμπνουν. ἢ ἔμπνους, ἐκ τοῦ ἐμπνέω, ὁ ἔνθεος καὶ κάτοχος λέγεται. ὁ ἔμπνους, ἄνθρωπος ὁ ζῶν. καὶ ἔμπνους αὐλός, ὁ ὑφ' ἑτέρου ἐμπνεόμενος. Ἐμποιῆσαι, ἐν ἑαυτῷ ἔχειν, καὶ ἐγγράφειν. Ἐμπνοῶ, ἀναβιώσειν. Ἐμπολᾶσθαι, ἐμπορεύεσθαι. Ἐμπολίζειν, μεταδοῦναι. οἱ δὲ ἐκ δόλου μετιέναι ταῖς μελίτταις, ἃ θλίβειν ἔδει περὶ τὰς ἰχθύας. τοῦτο δέ φασι λέγειν, εἶδος εἶναι παιδιᾶς. Ἐμπολίζω, κωλύω, ἀπείργω, ἐπικωλύω, ἀντιβάλλω, ἀνθίστημι, ἐπέχω, ἀνθίσταμαι, ἐναντιοῦμαι, ἀντιτάττω. Ἐμπολιζουσι, καὶ ος.

Ἐμπολὴν ὁ λῦσαι ὑπὸ λύσιν ἐξάντων ἀριθμόν, ἢ ἐμπολὴν τοῦ λύτρου. ἢ ἐμπολὴν ὁ λῦσαι ὑπὸ λύσιν γίνεται, ἀντὶ τοῦ εἰς ἐμπόλιον. εἴρηται δὲ ἀπὸ τοῦ ἐν ποσὶ κειμένου κατὰ ὁδόν, καὶ οὕτω ἰόντων βαδίζειν. καὶ ἐστὶν ἐπίρρημα ἀντὶ τοῦ ἐμποδών, καὶ ἀπὸ τούτου ἐπὶ παντὸς ἐμπολιζόντων λέγεται. Ἐμπολοῦσθαι, βεβαιοῦσθαι, ἀσφαλίζεσθαι. καὶ ἐμπολὴν, Θουκυδίδης ἀντὶ τοῦ προχείρως, Τὰς ἐμπολῶν αἰτίας μόνον ὀκνῶν ἦν. Δημοσθένης ἀντὶ τοῦ φανερόν. Πλάτων ἀντὶ τοῦ ἐν μέσῳ, Ἰσαῖος ἀντὶ τοῦ ἐπ' ἐγγύς, καὶ ἐν χρήσει. Ἐμποιεῖ, κτᾶται. Ἐμποίημα, εἶμα, τὸ ἔνδυμα. ἀπὸ τοῦ ἐμποιοῦμαι. Ἐμποίνιμος, ἐπίζημιος, ἔνοχος. ὁ ἔνοχος ποινῆς. οἷον ἐφ' οἷς ἥμαρτε δίκας ἐκτίσων. καὶ ποινὴ λέγεται, ἡ ἐπὶ φόνῳ ἀφαιρεθεῖσα κόλασις. ὅμως οὐκ ἐμποίνιμος ἡγησάμενοι εἶναι. Ἐμπολᾷ, ἀντὶ τοῦ πωλεῖ, περιέρχεται, πραγματεύεται. πολλάκις δὲ ἐπὶ τοῦ ἀγοράζειν, ὡς τὸ ἐμπολήσαντες τὸ χρυσὸν εἰς ἀγρόν. Ἐμπολαί, ἐμπορίαι, πραγματεῖαι. Ἀριστοφάνης, Ἑρμῆ ἐμπολαῖε. τὸ πλῆρες, Ἑρμᾶ, λείπει δὲ τὸ γένος.

Ἐμπόλαιον λέγουσι, τὸ πραγματευτικόν. ἢ τὸ ἀγοραῖον, καὶ τῆς καπηλείας προεστῶτα. Ἐμπολᾶσθαι Ὅμηρος παθητικῶς ἔφη, ἀντὶ τοῦ ἐμπορεύεσθαι. οἱ δὲ ὕστερον καὶ παθητικῶς λέγουσιν, ἀντὶ τοῦ ἁπλῶς πραγματεύεσθαι. ὡς δηλοῖ καὶ τὸ, κερδαίνειν ἐμπολᾶν. Ἐμπολέμια, τὰ εἰς πόλεμον ἐπιτήδεια καὶ εὔχρηστα.

Ἐμπολεμοῦνται, τὸ ἐχθροὺς ποιῆσαι, καὶ ἐπὶ πόλεμον ἑαυτοὺς παροξῦναι. ἐμπολεμῶσαι δέ ἐστι, τὸ ἐκπορθῆσαι. Ἐμπολή, φορτίον. ἢ τὸ τῆς πραγματείας κέρδος, ἢ συναγωγὴ τοῦ κέρδους τὸ δὲ ῥῆμα ἐμπολᾶν. Ἐμπόλημα, τὸ τῆς πραγματείας κέρδος. ἢ τὰ φορτία, καὶ τὰ ἀργυρίου ἠγορασμένα. Ἐμπολήσαντες, πριάμενοι, ὠνησάμενοι. Ἐμπολησόμεθα, ἐμπορευσόμεθα. συναξόμεθα πωλήσαντες τὸν καρπόν. Ἔμπολιν, ἐν τῇ αὐτῇ πόλει ὄντα. ἄνθρωπος μὲν ἔμπολιν, οὐκ ὄντα συγγενῆ δέ.

Ἔμπολις, ὁ πατρίδα ἔχων. Ἐμπολεύοντο, ἐνεπόλευον, περιπολεύοντο. Ἐμπολοῦντο, ἐνεβάλλοντο. Ἐμπομπεύων, ἐπιφαίνων, θριαμβεύων, καυχώμενος. Ἐμπόρευμα, πραγματεία, ἐμπορία. Ἐμπορεύεσθαι, τὸ πραγματεύεσθαι. καὶ ἔμπορος παρ' Ὁμήρῳ, ὁ ἐπ' ἀλλοτρίας νεὼς ἐν πλοῦν πορευόμενος. Ἐμπορευόμενοι, ἐν οἰκείᾳ πραγματεύονται. Ἐμπόριον, ἐπιτήδειον εἰς ἐμπορίαν. Ἐμπορίτευσις, μέτοχοι, ἐπιβάται. Ἔμποροι, οἱ ὑπὸ μισθοῦ κάπηλοι, οἱ πωλοῦντες. Ἔμπορος, κυρίως παρ' Ὁμήρῳ, ὁ ἐπ' ἀλλοτρίας νεὼς ἐπιβάτης. φησὶ γάρ που, Καὶ ἐμπορευομένου ἄγαγεν. ὁ ἔμπορος ἐλεύθερος νεὼς ἐπ' ἀλλοτρίας, οἱ δ' ἐπιβάται τὸν ἴδιον βίον ἔχουσιν. ἔνθα καὶ τὸ οἱ δέ, ἀντὶ τοῦ οἱ ναῦται ναυτιλλόμενοι, αὐτοὶ ἐκ τῆς νεώς. καὶ ὅτι βοσκόμενοι, τὸ ἀναπλεύσαντες. ἐκβαίνουσι δέ, ὃ ἐξαγαγεῖν τῆς νεώς. ἢ ἔμπορος, ὁ πραγματευτὴς ἄνθρωπος. κυρίως δὲ ὁ πλέων θάλασσαν. παρὰ τὸ πόρος. πόρος δὲ κυρίως ἐπὶ ὑγρῶν λέγεται. καὶ εὔπορος, ὁ ἔχων ὅθεν ἐπιρρέοντα πλοῦτον. ἐκ μεταφορᾶς τοῦ θαλασσίου πόρου. Ἐμπορπῶ, τὸ συμβάλλω. καὶ ἐμπορποῦσθαι, τὸ συμβάλλεσθαι. Ἔμπροσθεν, ἀντὶ τοῦ ἔμπροσθεν λέγουσι Δωριεῖς. Ἔμπουσα, φάντασμα δαιμονιῶδες, ὑπὸ Ἑκάτης ἐπιπεμπόμενον, καὶ φαινόμενον τοῖς δυστυχοῦσιν, ὃ δοκεῖ πολλὰς μορφὰς ἀλλάσσειν. καὶ οἱ μέν φασιν αὐτὴν μονοσκελῆ εἶναι. καὶ ἐπονομάζουσιν οἰονεὶ ὀνοκώλην, διὰ τὸ ἑνὶ σκέλει κεχρῆσθαι. οἱ δέ, ὅτι ἐξαλλάττει τὰς μορφάς. δοκεῖ ᾗ ταῖς μεσημβρίαις φαντάζεσθαι, ὅταν τοῖς κατοιχομένοις ἐναγίζωσιν. ἔστι δὲ αὐτὴ ἡ Ἑκάτη, ὡς Ἀριστοφάνης ἐν Ταγηνισταῖς. Χθόνιαι Ἑκάτη σπείρας ὄφεων ἐλελιζομένη. εἶτα ἐπιφέρει. τί καλεῖς τὴν Ἔμπουσαν, καὶ σανδάλω χαλκοῦν ἔχει. ἐπεὶ δὲ ὄνου σκέλος λέγουσι. διὸ παρέστησε καλεῖσθαι ὀνόκωλον. τὸ δὲ εἶδος φησὶ Κράτης. ἔοικε τὸ εἶναι φάντασμα παντοδαπὸν γινόμενον. βολίτινον δὲ ὅπερ. βόλιτος γὰρ κυρίως, ὁ τῶν ὄνων ἀποπάτημα. τὸ αὐτὸ δὲ καὶ βόλβιτος. Ἔμπροσθεν, ἔμπροσθεν. Ἔμπροσθε τις ἐστί, ἀντὶ

τοῦ

ἐμπάζεται, σέβεται. Ἐμπάζομαι, σημαίνει τὸ ἐπιστρέφομαι, φροντίζω, ἐντίθεμαι, λόγον ποιοῦμαι. Ἐμπαθεῖς, ψιδῶς ὀργίλως. Ἐμπαιγμάτων, ἐπιθυμίαν ἐμπαθοῦς. Ἔμπαιος, ὁ ἔμπειρος, καὶ ἐντριβής. παρὰ τὸ παίω, ὁ πολλοῖς δηλαδὴ προσπταίσας πράγμασιν. Ἔμπαις, ἐγκύμων. Ἐμπαίσσῃ, ἐμπαίξωσιν. Ἐμπαλασσόμενοι, ἐμπιπλέντες εἰς τὸ ὕδωρ.

Ἐμπαλάξαι, ἐμπλέξαι. Ἔμπαλιν αἴσιος, εἰς ὀπίσω ὁρμῶν. Ἐμπαλαγμάτα, αἱ ἐπιπλοκαί. Ἔμπαν, πάντως, ὅμως. Ἐμπανόλιθος, κέρχνη τοῦ πάλιος. Ἐμπάρει, παρεκάλει. Ἐμπαροινῶ, ῶ, δοτικῇ συντάσσεται. Λουκιανὸς, οἷον μέμνημαι εἰς μὲ ἐμπαροινήσας διὰ τοῦτον τὸν οἰνοχόον. Ἐμπαροινοῦντος, ἐνυβρίζοντος. Ἔμπαρος, ἐμπλανητος. Ἔμπας, καὶ ἔμπα ἀττικῶς. ἔμπας δὲ ἰωνικῶς, δηλοῖ δὲ τὸ ὅμως. Ἐμπάσσεις, ἐγκάτες. Ἐμπαστάσας, ἀρχῆς δὲ ἐν λακεδαίμονι.

Ἐμπασσάμενος μῦθον, πιστεύσας μάρτυρας. Ἐμπαστήρια, μελίτια. Ἔμπατον, καταθέμενον. Ἔμπεδα, βέβαια, ἀσφαλῆ, ἀληθῆ, ἰσχυρὰ, καὶ τὰ κτήματα. Ὅμηρος, πείθεσθαί τι γέροντι, καὶ ἔμπεδα πάντα φυλάσσειν. Ἐμπεδὴς γάμορος μακρὰν αἴδος. ἔμπεδον λέγουσι τὴν αἰδῶ, ὡς ἐν τοσαύτῃ αἰτίᾳ τῇ ἐμπέδῳ κείμενος. οἱ δὲ, οὕτως. ὁ αἰδῶς ἐπιμελὴς ἐστι γάμορος ἢ ἀσφαλὴς, οὐκ ἀμελῶν οὐδενός, ἀλλ' εἰς τὴν γῆν λαμβάνων τὴν μερίδα, οἷον τὴν γῆν μερίζόμενος. Ἐμπεδοῖ, βεβαιοῖ, ἀσφαλίζεται, διδάσκει. Ἔμπεδον, οὐ τὸ ἐν πέδῳ, τουτέστιν ἐν γῇ, ὡς ἡ κυριολογία ἐδήλου, ἀλλ' ἄλλως κατὰ τροπὴν ἀντὶ τοῦ ἀσφαλῶς, κατὰ ἔννοιαν ἐπιῤῥηματικὴν. καὶ ἔμπεδον, ἑδραῖον, ἰσχυρόν. ἐκ τοῦ πέδον ἡ γῆ, πρὸς ἀντιδιαστολὴν τοῦ ἐν τῇ θαλάσσῃ. ἔστι δὲ ἐμπεδῶς, ἐπίῤῥημα. Ἐμπεδορκεῖν, ἐμπέδως τηρεῖν τὰ ὅρκια. ἕως ἂν ἐμπεδόρκησε, ἢ ἔλαχεν εἰς τὴν πόλιν, ἢ ἐμπεδορκεῖν, εὐορκεῖν. παίζει δὲ Ἀριστοφάνης παρὰ τὰς πέδας. Ἔμπεδος, ἑδραῖος καὶ βέβαιος σημαίνει. ὡς τὰ ἐν τῷ πέδῳ βεβηκότα, τὸ ἐρηρεισμένον ἀσφαλέστερα, ὅτι καὶ καθαρώτερα. Ἐμπεδῶσαι, ἀντὶ τοῦ βεβαιῶσαι, ἐνισχῦσαι, ἀσφαλίσασθαι, ἑδραιῶσαι. καὶ ἔμπεδον, τὸ βέβαιον. Ἐμπειρεῖν, πεπειραμένως ἔχειν. φιλόσοφος γενέσθαι πλείω χρόνον ἐν ταῖς σαρξὶ ὄντων, ἢ τὴν τέχνην ἐμπειρεῖν.

Ἐμπειρία ἐστι, τήρησις καὶ μνήμη τοῦ πολλάκις ὀφθέντων.

Ἔμπειρος, ἐπιστήμων, εἰδὼς, τρίβων, γεγυμνασμένος, περὶ ταῦτα ἀκριβής. τὸ δὲ περίφρασμα, λοιδορία. ὁ δὲ εἰδήμων, ἰωνικόν. ὁ δὲ ἴδμων, ποιητικόν. βέλτιον δὲ τὸ εἰδώς. Ἐμπεῖσαι, ἐμπίπτειν. Ἐμπέλα, ἐμπέλαζε, πρόσελθε, ἔγγιζε. Ἐμπελαδὸν, πλησίον, ἢ τῶν γονέων. Ἐμπέλασε, πέλασε. Ἐμπελάσαι, προσεγγίσαι. Ἐμπελάτειρα, ἡ ἑταίρα. ἀπὸ τοῦ ἐμπελάζειν πᾶσι. Καλλίμαχος. τὸς αὐτοῦ σφετέρας ἐμπελάτειρα τίκτε γυνή.

Ἐμπέλωρος, ἀγοραῖος, λάκωνος. Ἐμπέπαικε, ἐνέπαιξε, ἐχλεύασε. Ἐμπέπασθαι, ἐγκατέχειν, κεκτῆσθαι. Ἐμπεπαρμένον, ἐμπεπηγμένον, ἐμπεπλησμένον. Ἐμπεπείρακται, ἐμπεποίηται. Ἐμπέπηγεν, ἤγουν κίνησαι. Ἐμπεπυρωμένας. παρὰ τῷ Ἀριστοφάνει ἀντὶ τοῦ ἐμπεφυσημένας. πρῆσαι γὰρ τὸ φυσῆσαι, ἐξ οὗ ὁ πρηστήρ. καὶ Ὅμηρος, ἔπρησεν ἄνεμος ἐν μέσῳ ἱστίου. Ἐμπέραμος. παρὰ τὸ πεῖρα ἐμπείραμος, ὁ ἐμπέραμος. σημαίνει δὲ, τὸν ἔμπειρον. Ἐμπεριχάζοντας, ὑποβάλλοντας, μελανίζοντας. Ἐμπερόνητρις, ἱμάτιον διπλοῦν. Ἐμπερονῆσαι, διαφῦσαι, διαφυλάξαι. Ἐμπερονᾶσθαι, καὶ ἐμπερονήσασθαι, ἀπὸ τοῦ περόνας γίνεται περονῶ, ἀντὶ τοῦ πόρπῃ, βελόνῃ συλλαβεῖν. Ἐμπέσονται, ἐμποιήσουσι. Ἐμπεσεῖν, ἐπικρατέως παρ' Ὁμήρῳ ἐν τῷ π' τῆς ἰλιάδος, προσαλέων καὶ τὸν ἐξ ἀναλογίας. εἰ καὶ ἄλλως ἔδει συγκατιόντων κρατεῖ τὸ ἐμπεσὸν καὶ τὸ πίπτειν. ἐξ ὧν τὸ ἐμπεσών, καὶ πεσών. φασὶ γὰρ ἐμπεσὼν ἐπικρατέως. τουτέστι, γενναίως προσέβαλλε τοῖς ἐχθροῖς. σημαίνει δὲ καὶ ἡ βιαίως τοῦ ἐμπεσεῖν σημασία τῷ ποιητῇ. Ἐμπεσεῖν, τὸ ἐμπεπτωκέναι τὸν ἀλθῆναι. Ἐμπεσεῖται. τὸ εἶμα, πίπτω, τὸ πέπτω, ἄχρηστον, ἐξ οὗ πάντα τὰ ἐνεργητικά. ὁ μέλλων πέσω, καὶ δωρικῶς πεσῶ. καὶ ὁ μέσος μέλλων, πεσοῦμαι πεσῇ πεσεῖται, καὶ ἐμπεσεῖται. Ἐμπεσὼν τοῖς πράγμασιν, ἀντὶ τοῦ ἀρξάμενος τῶν πραγμάτων. Ἐμπετάλις, εἶδος μὴν διὰ τυροῦ σκευαζόμενον.

Ἐμπεφορβειωμένον παρὰ τῷ Ἀριστοφάνει, φορβειά ἐστιν ὁ χαλινός. Ἡρωδιανὸς ἐν τῇ βίβλῳ φησὶ τῆς ὀδυσσειακῆς προσῳδίας, τὸ φορβειὰ διὰ τοῦ εἰ διφθόγγου γράφεσθαι, καὶ ὀξυτόνως.

Ἐμπεφύασι, κυριώτερον ἐστὶν ἐπὶ τριχῶν ἐκπεφυκυιῶν τῇ κεφαλῇ. ἐξ αὐτοῦ δὲ τροπικῶς κεῖται τὸ, ἐν τ' ἄρα οἱ φῦ χειρί, καὶ ἄλλα τοιαῦτα. ἀπὸ τοῦ φύω, τὸ προσπελάζω, ὁ μέλλων φύσω. ὁ παρακείμενος, πέφυκα. ἡ μετοχὴ, πεφυκώς. ἀποβολῇ τοῦ συμφώνου πεφυώς. καὶ τὸ θηλυκὸν, πεφυῖα. Ἐμπεφυῖα, ἀντὶ τοῦ ἐμπλέξασα, τὰς χεῖρας ἰσχυρῶς κρατοῦσα, καὶ ἐχετ' ἐμπεφυῖα. Ἐμπεφυυῖα. ἐμφύομαι, τὸ δυσαποσπάστως προσπλέκομαι. οὗ μέλλων ἐμφύσομαι, μέσος παρακείμενος ἐμπέφυκα. ἀφ' οὗ ἐμπεφυὼς καὶ ἐμπεφυῖα. Ἐμπεφυκέναι, καὶ ἐμφῦναι, τὸ ἐγκρατῶς καὶ δυσαποσπάστως ἅπτεσθαι. οὕτω καὶ πολύποδες ἐμφύεσθαι τῇ πέτρᾳ λέγονται. καὶ ὄντως τοῖς γόνασι τοῦ Διὸς ἐμπεφυκυῖα εἶναι. καὶ χερσὶ δὲ λέγεται ἐμπεφυκέναι, ὅταν χειρὸς χειρὶ δράξηται. καὶ τοῖς χείλεσι δὲ ὀδὰξ ἐμφύεται, ὅταν τοῖς ὀδοῦσιν ἐνδάκῃ τὸ χεῖλος. ἰστέον δὲ, ὅτι μέσος παρακείμενός ἐστι τὸ ἐμπέφυκα, κατὰ τὴν ἔννοιαν, ὃν ἐκτίθεται Ἡρωδιανὸς λέγων, καθαρεύοντα τοῦ ἐνεργεῖν, συγκαθαιρέσθαι καὶ τὸν μέσον παρακείμενον. οἷον φύω πέφυκα, ἀκούω ἀκήκοα. ἐτυμολογία δὲ τοῦ ἐμφῦναι, ὁμοία τῷ συμφῦναι. δεκτέον δὲ ἐμφῦναι εἶναι, τὸ εἰς ἓν φῦναι καὶ μίαν, οἷον φυλώ. Ἐμπέωτας, ὁ τὰ δικαστικὰ γραμματεῖα παρὰ τοῦ θεσμοθέτου λαμβάνων ὑποψήτης, καὶ πάλιν εἰς τὴν κατωτίδα. ὁ ἐμπέωτας, ὁ θεσμοθέτης. Ἐμπηνίς, εἶδος. Ἔμπηρα, πεπηρωμένα. αἱ γυναῖκες ἔτικτον ἔμπηρα καὶ τέρατα, ἢ ἀνάξοχα. Ἐμπήρες, Δημήτριος ἐν στηλίτῃ. Λακεδαιμόνιοι καθ' ἡμῶν τὰ τείχη κατέβαλον, καὶ τὰς τριήρεις ἔλαβον ἐμπήρεις, ὅπως μηκέτι θαλαττοκρατεῖν ἐν πελοποννήσῳ. ἔμπηροι οὖν αἱ ἐν ἀμηρείᾳ ὄντες, τοὺς γὰρ ἐπὶ συμβιβάσει διδαμένας ὥσπερ ἐπίχειρα τῶν ὁμολογημένων, ἐν θεῖν ὁμήρεις λέγεσθαι. Ἔμπης, μεταληπτικοῦ εἶδος ἐστὶ, καὶ σημαίνει τὸ ὅμως, πάντως, ὁμοίως. εὕρηται δὲ παρ' Ὁμήρῳ ἀντὶ τοῦ ἴσως, καὶ οὐ διαλεκτικὸν, ἀλλ' ἴδιον ὁμοιωματικῶς, τῷ ἐπίσης.

Ἐμπίδος, εἶδος κώνωπος. Ἐμπίνειν, πίνειν. Ἔμπινα, πλάγια τὰ πέριξ, εἰς ἃ ἐντίθενται τὰ διὰ τυροῦ, ῥόδιοι.

Ἐμπίπλαται, πληροῦται, χορτάζεται. Ἐμπίπλη, ἀπαρέμφατον. ἦν γὰρ κοινὸν ἀπὸ τοῦ πίπλημι πίπλαθι, ὡς ἵσταθι. ὅμοιον δὲ ἐστι καὶ τὸ, κέκλυθι τῇ κιὲ οἶνον, ἐπὶ φάσθω ἀπὸ ὁμοιοχρίας, παρὰ τῷ ποιητῇ. ἀττικοὶ γὰρ τὸ τρίχρονον ἐπὶ τῶν εἰς μι ... εἰς ... ἐν τοῖς προστακτικοῖς. καὶ συστέλλουσι τὴν παραλήγουσαν. ὡς τὸ κοινὸν ἵστημι ἵσταθι, καὶ πίμπλημι πίμπλαθι, ἀπὸ τελείαν ἀποβολὴν τοῦ μι ποιούμενοι, πίμπλη δὲ ἴσα λέγουσιν. ὥσπερ καὶ ἀπὸ τοῦ τίθημι, τίθει. Ἐμπίπλαθι, ἢ πλεονασμὸν ἔχει τὸ θι συλλαβῆς κατὰ τὸ ῥῆμα. ἢ ἐκ τοῦ ἐμπιπλάς ἐμπιπλάντος γίνεται, κατὰ τὸ στάς στάντος στῆθι. Ἐμπίπλημι, καὶ ἐκπίπλημι. καὶ ἐκπίμπλημι, τὸ αὐτόν. Ἐμπιπλῶ, τὸ πληρῶ. καὶ ἐμπιπρῶ, τὸ καίω. Ἐμπιπρᾶται τῶν οἰκιῶν παρὰ Ἀριστοφάνει, ἀντὶ τοῦ καίειν, ἐκ τοῦ ἐμπίπρημι.

Ἐμπιπρᾶται, καίεται, ἐμπυρίζεται. καὶ ἐμπιπλᾶται, πληροῦται, χορτάζεται. Ἐμπίπτω. λέγεται καὶ τὸ περιπίπτω, ὅτε τὸ εἰς πράγματα καλινδοῦμαι. λέγεται ἐμπίπτω, καὶ τὸ ἐπιτίθεμαι ἐπὶ κακῷ τινι, ὡς παρὰ Σοφοκλεῖ. τί δῆτα ποίμναις τήνδ' ἐπεμπίπτει βάσιν. καὶ ἐμπίπτειν, ἀστρῶν. Ἐμπὶς, ζῷον ἐστιν ἐν ὕδασι γινόμενον, ὅμοιον τῷ κώνωπι, γινόμενον ἐν τοῖς ὕδασι. μεῖζον δὲ τῇ περιοχῇ, καὶ κατὰ τὸ μέσον λεπτῷ περιεζωσμένον.

Ἔμπισον, καὶ τὸ βραχὺ, καὶ τὸ δασέως πεῖν. Ἔμπι-

 σον,

Ἐμμανῶς, ὀργίλως, ἐκθύμως. Ἐμμαπέως ἐσθ' ὅτε παρ' Ὁμήρῳ. λέξις ἐστὶν αἰολική, δηλοῦσα τὸ ὀξυτελέως. εἰσὶ δ' ἀμαπέως, ἤγουν ἐπεὶ ὁ λόγῳ, κατὰ φιλόξενον. καὶ κατὰ μετάθεσιν ἐμμαπέως. ἵνα λέγῃ, ὅτι κατέβη τοῦ ἅρματος ὁ Θήνδος ἅμα τῷ καλοῦντος αἰσθέσθαι τοῦ ἀθλεῶς. Ἐμμάσαι, ἐνθέσθαι. Ἐμματαιάζων, ματαιολογῶν. Ἐμματεύεται, ἐνεβαίνεται, ἐλλαμβάνεται, ζητεῖ κατὰ μέρος. Ἐμματεύων, ψηλαφῶν, φιλονεικῶν, ἐρευνῶν. Ἐμμελεῖναι, τοῖς φροντίζουσιν. Ἐμμέλεια ἐστὶν εἶδος πάσα τῆς ὕστερον, εἶδος ὀρχήσεως ἐμμέλεια. φασὶ γοῦν ὁ Πανσανίας, ὅτι ὀρχήσεις ἦν τραγικὴ λεγομένη ἐμμέλεια. Αἴλιος δὲ Διονύσιός φησι καὶ αὐτός, ὅτι ἡ ἐμμέλεια τραγικὴ ὄρχησις, ὥσπερ κωμικὸς κόρδαξ. ὁ δὲ σατυρικὴ, σίκιννις. ἐκαλεῖτο δέ, φασὶν ἐμμέλεια, ἢ τὸ ὑπὸ τῶν τραγικῶν ὀρχηστῶν ᾀδόμενον αὔλημα. ὁ δὲ Πανσανίας λέγει, καὶ ὅτι ὀρχήσεως εἶδος καὶ ὁ ξιφισμός, ἃ ἐχρῶντο ἐμμελείᾳ. ὅθεν ἐπιξιφίσαι, τὸ ἐξορχήσασθαι. ὥσπερ ἀκροφοιτᾶν πάλιν λυσίᾳ, τὸ παύσασθαι φοιτᾶν, ὅ ἐστι μανθάνειν. σημείωσαι, ὅτι τῆς ὀρχήσεως εἰς δύο εἴδη διῃρημένης, εἴς τε τὸ ἐνόπλιον, ὃ τῇ πυρρίχῃ καὶ ἐμμελείᾳ κινήσει ὑπείκασαι. ὡς τὸ ἵλεων, ὃ πρῶτον ἐστὶν εἰς λῶς. κατὰ τὰ βακχικὰ σχήματα ὁ ποιητὴς ἀμφότερα παραδείκνυσιν, γράφων οὕτως. ἐν δὲ χορὸν ποίκιλλε περικλυτὸς ἀμφιγυήεις, καὶ τὰ λοιπά. ἐν τῷ σ τῆς ἰλιάδος. Ἐμμελές, ἐπιμελές, ἐμμεῖβον. ὁ ἐμμελής, τὸ ἐνδόμενον, καὶ κατ' ἐκεῖνον ῥυθμὸν ἐκφερόμενον. ἔστι δὲ εὔρυθμον, ὃ ἐναντίον τὸ ἐμμελές, ἔχον δηλοῖ τὸ ἔξω τοῦ μέλους εἶναι, ὅτι ἡ μουσικὴ χαλαρά ἐστιν, ὅθεν τὸ ἄμουσον. Ἐμμελέστατος, καλλιμάχου. Ἐμμελὲς ῥυθμόν, συντόνως, εὔρυθμον. Ἐμμελῶς, συντόνως, ὀλίγως, εὐρύθμως. Ἐμμελής, καθῆκον, πρεπωδής. Ἐμμεμαώς, πρόθυμος καὶ μεμαώς, οἷα καὶ πῦρ. κατὰ τό, ὡς δ' ἀναμαιμάει θεσπιδαὲς πῦρ. Ἐμμεμηνυῖα, μαινόμενον. Ἐμμέμονεν, κατεμέμικται, ἢ ἐπικέκληται, πάλα τὸ μεμανημένον. ἐδίς δὲ, ἐμμέμηνεν. Ἔμμεναι δωρικῶς, ἀπὸ τοῦ εἶναι, τὸ ὑπάρχειν. ζέουσα διάμεναι. ἡ ἔμμεναι παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ἦν, κατὰ δύο παλαιούς. ἵνα λέγῃ, ὅτι γέλοιον ἂν δὶς ἄλλοις, τὸ περὶ ἐκεῖνο ἀναλαβόν. ἢ παράλληλον κεῖται ὁ ἀργόν. διότι δ' καὶ τὸ ἐκὼν εἶναι οὐκ ἂν τέλος πεῖσον, ὁμοίως παράλληλον. ὡς καὶ τὸ ἀμέλει οἶσθα, καὶ τὸ ἔχων ἐν τῷ πίσυνος ἔχων, καὶ τὸ τίς τὸ ἔχων. ἢ τὸ εἰσατο, τῷ, εἰ ἔγει μεῖζον ματόν, εἴτ' ἀπεχθάνει. καὶ τὸ ποτὶ, ἐν τῷ τί δαί ποτε εἶπας. ἢ τὸ τι, ἐν τῷ ὁμοῦ ἦ, χθιζόν ἦ, μᾶλλον ἦ, οὕτω, οὕτως ἦ, μάλα ἦ, ἐγὼ εἰμι. καὶ ὡς δέ ποτε, καὶ ἔμμεναι, μέγιστον τεκμήριον ἐν ἀμφισβητήσει τόνων βαρυτόνων, τὸ περισπᾶται τὰ περισπώμενα ῥήματα. ὅτι τὸ ἀπαρέμφατον διὰ προπαραλήγοντος τοῦ ε λέγεται. τὸ γὰρ κοινὸν περισπᾶται, ἐστὶ κινῆμεναι, τὸ ἀπιθῆ μ' ἄγων. εἰ δὲ ἦν κύω βαρύτονος, κυίμεναι ἂν ἦν, κατὰ τὸ εὑρίμεναι. οὕτω καὶ φιλῶ φιλεῖν φιλήμεναι, ἢ νοήμεναι, ἢ φρονήμεναι. ἢ τὸ ἀίμεναι δέ, μάρτυρι τῷ ἀεὶ περισπωμένου. δῆλον οὖν φησι καὶ τὸ ἔμμεναι, ἀπὸ τοῦ εἶναι περισπωμένου, τῆς πρώτης συζυγίας. οὐ γὰρ αὐτὸ περισπᾶται, αἰολεῖς φαμὲν ἔμμεναι. καθότι αἰολεῖς καὶ ἐν θέμασι τὸ προηγούμενον τοῦ μ, εἰς τὸ μ μεταβάλλοντες, διπλοῦσι τὸ μ. οἷον τίθημι τίθεμμι, φίλημι φίλεμμι, οὐκ ἔστιν ὁ ἩΡΑΚΛΕΊΔΗΣ φαίνεται εἰδὼς τὸ ἔμμεναι, ἀπὸ τοῦ εἶναι γενέσθαι, τοῦ παραληγομένου τῷ ε. οὐ θέμα μὲν τὸ ὦ, ἤγουν ὑπάρχω, περισπωμένως. παρατατικὸς δὲ, ἦν, κατὰ τὸ φιλῶ ἐφίλουν, ποιῶ ἐποίουν, καὶ τὰ ὅμοια αἰολικά. Ἐμμενές, προθυμεῖται. Ἐμμενές, αἰεί, συνεχῶς, ἀδιαλείπτως, ἐπιμόνως. μένω καὶ ἐμμένω, ἐμμενές. Ἐμμενέως, προθύμως, βιαίως. ἐξ ἐμμένειν. Ἐμμενόστροφος, μέτριος. Ἔμμεντο, ἀντὶ τοῦ εἵμαντο. ἐμέρξων, ἀντὶ τοῦ ἐμείρουν. ὤτελλε, ἀντὶ τοῦ ὤτειλε. αἰολεῖς ὄντες διὰ τοῦ σ διφθόγγου παρ' ἡμῖν λέγεται, διὰ μόνου προφέρουσι, διπλασιάζοντες τὰ ἀμετάβολα. Ἔμμεται, ὀρχεῖται. Ἐμμελάδες αἶγες, τὰς μετὰ τῶν προβάτων γενομένας. Ἔμμεσοι δέκαι, αἱ ἐμπορικαί, καὶ ἐρανικαί. Ἔμμηνον, ὃ καθ' ἕκαστον μῆνα, τὸ κατὰ μῆνα πλεονάζον αἷμα ταῖς γυναιξί. προφανῶς δὲ τὸ αἷμα γίνεται τοῖς βρέφεσιν. Ἔμμοροι, οἱ ἐπὶ ἰσχυρᾷ διαθήκῃ φιλίας διάμενοι, ἐν οἰκείοις. Ἐμμόροις, ἐν ὁμοροῦσι ὄντας, παρὰ τό, ὁμοροῦ, τοὺς ἐπὶ συμβάσει διακειμένους.

Ἔμμισθοι, οἱ ὀφείλοντες λαβεῖν μισθόν. οἱ δὲ ὄντες, οὐδένα ἕκαστον ἔμμισθοι ἐγίνοντο, λαμβάνοντες τὰ ῥωμαίων. Ἐμμοπάσα, συνθέσαι. Ἔμμορον, πάθημα ὄντα, ἐμμοιρημένον. ἐκ τοῦ μείρω, τὸ μερίζω, ὁ μέλλων μερῶ, ὁ παρακείμενος μέμαρκα, ὁ μέσος μέμορα, καὶ κατὰ ὑπερβιβασμὸν ἔμμορα. ἐκ τοῦ μερῶ, τὸ τυγχάνω, ὁ μέλλων μορήσω, ὁ παρακείμενος μεμόρηκα, ὁ μέσος μέμορα. ὁ δεύτερος ἀόριστος, ἔμορον καὶ πλεονασμῷ ἔμμορον, ἔμμορον, ἔτυχον, σημαίνει τὸ τυχεῖν, ἔλαχον. ὁ ἔμμορον, ἔλαχον, ἔτυχον. ἔστι δὲ δεύτερος ἀόριστος, ἀπὸ τοῦ μορῶ, ὃ σημαίνει τὸ τυγχάνω. ὅτι δὲ δεύτερος ἀόριστος, δῆλον ἐκ τοῦ ὄντων πρόσωπον τῶν πληθυντικῶν, ἔμμορον εὑρίσκομεν. Ἔμμορον, εἱμαρμένον. Ἔμμορος, τυχικός. Ἐμμόρμωσιν, ἐκπλήσσειν.

Ἐμμορίδαι, μέτοικοι. Ἔμμοτε, χασματίας, κοῖλος.

Ἐμπάθεσιν, εἰς ὑπόμνησιν ἄγειν. Ἐμπεσών, γυναῖκα συντόνως. τοιοῦτον δὲ τὸ ἀνίμησεν, ἄγουσιν εἰς μάχην ἄγαγε. δῆλον ὅτι ἐκ τοῦ ἐμπεσὼν γίνεται αἰτιατικῶς, τὸ ἐμπεσάμενος, ὡς μάρτυρ αἰτίασις, ἢ μεγάλη μισούμενος. Ἐμιάνθη, ἐκ τοῦ μιαίνω παρακείμενον. ὁ φιλεῖν εἶναι ἐμιάνθην κατὰ συγκοπὴν τοῦ παρακειμένου, λέγοντα, ὅτι ὁ ἀόριστος φυλάσσει τῶν παραλήγοντα τοῦ παρακειμένου. ἀλλὰ οὕτως προσέλαβε τὸ σ. Ἐμίσθου, μάλιστα ἐκπιέζεσθαι, ἢ ἐμισθοῦντο. Ἐμέγαρος, ἐκαμεν, ἐκοπίασε, ἐκ τοῦ μογέω. Ἐμοὶ δοκεῖν, κατὰ τὸ δοκοῦν ἐμοί. Ἐμοὶ μέλει φίλον εἶναι. ἀττικῶς εἶπεν, οἷον ἐμοὶ ὡς ἐστι φίλον εἶναι. ἀντὶ τοῦ τὸ μεταφέρεσθαι, οὕτως ἐγὼ θέλω. Ἐμοῖο δὲ λῦσιν ἄρης ἀλλοτρίαν γενέσθαι, παρ' Ὁμήρῳ, ἐν τῷ σ τῆς ἰλιάδος, στρεβλὸν ἐστὶ σχῆμα, καὶ διάφορον τῇ χρείᾳ, καὶ ἀποφράδας. καὶ οἱ μὲν οὕτω φασίν, ἐμοῦ δὲ λῦσιν ὁ ἄρης. ποθεῖν, ἔλυσε καὶ ἐκώλυσε τὸ ἀλκτῆρα γενέσθαι, ὅπερ ἀμύντορα τοῦ πατρὸς ἐκεῖ. ἄλλοι δὲ περισπῶντες ἀρῶ. λέγουσιν οὕτως. ἐμοῦ δὲ λῦσιν, ὃ ἐστιν ὀδύνην τοῦ πατρόκλου, τὰς ἀρὰς ἐκείνου γενέσθαι. οἱ δὲ παλαιοὶ παραγράφουσιν ἐν ταῦθα τὸν ῥηθέντα στίχον. ἢ οὕτω προσθέντες, ἐμοῦ δέ φασι τῇ πράξει ἔδησεν ἄρης. ὅ ἐστιν ἐμοῦ βοηθείας ἐνδεέστερον. ὃ τῇ βλάβῃ αὐτοῦ ἐνδέησε. τὴν δ' ἀρίσταρχος φασὶ γράφειν, ἀρῆς ἀλκτῆρα. ἵνα λέγῃ, ὅτι ἐμοῦ ἐδέησεν εἰς τὸ ἀλκτῆρα γενέσθαι τῶν ἀρῶν. ὡς ἀπὸ τοῦ συνήθους εὐθείας τοῦ ἄρης, ὡς ἀκμῆς. Ἔμελεν, ἔδει. Ἐμὸν πρᾶγμα, ἤγουν τὸ πρᾶγμά μου, ὅταν μόνος ἔχω. ἐμὸν δέ φασι τὸ πρᾶγμα, ἤγουν τὸ ἐμόν. Ἐμορμολυττοῦ, ἐδεδίττετο. Ἐμοῦ, καὶ σοῦ, καὶ οὗ, πεντεχῶς κλίνεται. τὰ μὲν γὰρ πρωτότυπα ἐμοῦ, σοῦ, οὗ. ἡ δὲ διάλυσις τρισυλλάβως ἐμέο, σέο, ἕο. ταῦτα μὲν συναίρεσις ἰωνική, συναλοιφὴ εἰς τὸ ἐμεῦ, σεῦ, εὗ. ἐκτάσει δὲ τοῦ ι, μετάγουσιν αἰολεῖς. τὸ ἐμεῖο, σεῖο, εἷο. παράγωγα δὲ μεταποιοῦσιν αὐτὰ εἰς τὸ ἐμέθεν, σέθεν, ἕθεν. καὶ εἰσὶ πέντε πολλῶν χύσις παρὰ τῷ ποιητῇ. ἢ δὲ μετὰ ἀναβολὴν τῶν ὀρχηστῶν ἐγκλίνεται. ἤγουν τὴν οἰκείαν τόνον ἀποκλίνει εἰς τῶν ἐπιθετικῶν. οἷον, κλῦθί μευ ἀργυρότοξε. Ἐμόχλευσε, προετέτοπόν ἐστι τοῦ μοχλεύω. ἑρμηνεία δὲ αὐτοῦ, τὸ ἐρεῖσαι. Ἔμπα, ἀντὶ τοῦ ἔμπης. ὅμως ἢ ἔμπα, σημαίνει τὸ ὅμως. καὶ ἔμπης, τὸ αὐτό. τὸ δὲ ἔμπης, ποτὲ μὲν σημαίνει ὅμως, ὡς τό, σὺ δὲ χαῖρε καὶ ἔμπης. ποτὲ δὲ ὁμοίως, ἢ ἐπίσης. ὡς τὸ ἔμπης ἐς γαῖάν τι, καὶ οὐρανὸν ἱκετ' ἀϋτμή. Ἐμπαγμῷ, πατάσσω. Ἐμπάζεσθαι παρ' Ὁμήρῳ, ἀντὶ τοῦ διὰ ἐπιστροφῆς ἔχειν, ἐνίοτε αἰτιατικῇ συντάσσεται. ὡς τὰ πολλὰ δὲ μετὰ γενικῆς. εἶπον, καὶ τὸ ὃ δὲ οὐκ ἐμπάζεσθαι ἱερῶν. ἤγουν ἐπιστρέφειν, καὶ οὕτω ἐπιστροφῆς ἐμπάζομαι. Ἐμπάζεται, ἀναβάλλεται, ἐνθυμεῖται, ἢ ἐντρέπεται, ἢ φροντίζει. ἢ ἐμπάζεται.

βαῦσι παρὰ τῷ Ἀπολλωνίῳ, μεθ' ὃ ἀντὶ ῥήματος κεῖται τὸ ἐμβεβήκαμεν. Ἐμβεβηκώς, ἐπιβεβηκώς. Ἐμβεβίωκε, τέθνηκεν. Ἐμβεβλημμένα, ἀντὶ τοῦ ἐγκεχειρισμένα. Δημοσθένης ἐν τῷ πρὸς Λεπτίνην. ὁ Ἀριστοκλῆς δὲ ἐμβεβλημμένα ἀπαιτεῖ τὰς βιβλίας. Ἐμβεβρεγμένα, μάταια γενόμενα, ἢ ἀναίσθητα, ἢ ἐμβρόντητα. Ἐμβέω, ἀντὶ τοῦ ἐμβῶ, ἐμβαδίσω, κυρίως. Ἐμβιάζεται, ἐμπίπλαται. Ἐμβάω. οὐ μακρὰν μὲν ἐστι τὸ ἐμβαίνειν, ὃ ἀρχαῖον ἐρρέθη. δηλοῖ μάλιστα τὸ ἐπιβῆναι. ὡς τὸ δηλοῖ ὁ βαφεὺς ἐν τῷ, καὶ προσεμβῆναι σκηνῇ. ἐσχημάτισται δὲ τὸ ἐμβάω, κατὰ τὸ πάσχειν ὁμοφώνως τῷ στημῶ. φασὶ δὲ οἱ ποιηταὶ τὸ ἐμβῆ, ἀνὰ φαιδίμῳ ὤμῳ. καὶ τὸ, φάος ἐν νήεσσι θῆκε. Ἐμβαθὺ, ἐμβαθὺ λέγεται κωμικῶς. καθὰ καὶ τὸ κατάβαθι καταβαίνε. Ἐμβάω, ἐμπεδοῦν, ἐμπεδοῦν γίνεται. Ἐμβαθὴς, ἐμπλήθης. Ἔμβια, οἱ εἰς βάθος διαβεβηκυῖαι ῥίζαι, καὶ μεμβραγχα. Ἐμβιὰ σος, ἄρας. Ἐμβιβάζοντος, παρ' ἐπιστολαῖς τὸ, ἀλλ' αἰτιατικὴ ἀλλὰ λύσιν ἐμβιβάζοντος, ἀπὸ τοῦ ἐμβιβάζω ἐμβιβάξω ἐμβιβάζοντος. σημαίνει δὲ, τὸ ἐμβιβάζοντος. Ἐμβαλὲς, ἐπιβαλὼν ἢ λίνοις ἢ ἐμβαλὼν, τὸ ταῖς χερσὶ κρατοῦσαι, ἢ ταῖς κώπαις. Ἔμβιον, ἀφορμὴ ζωῆς καὶ μὴ ξηρανθὲν, μὴ δὲ συνεσταλμένον. ὡς τὸ, ἔμβιον ἢ ψυχῆς πάθος ἐπὶ σαρκὶ μοι κομίζουσα. Ἔμβιος καλεῖται ὁ συμπεδῶν τὸ ζῶον. ὁ δὲ συμπεδῶν, ὁ συνέχων ὅτι ἐν αὐτῷ. καὶ οἱ μὲν οὖν ἔχει, τὸ ἰχθύων καὶ αἴτιον γίνεται. οἱ δὲ λέγουσιν, τὸ καταβαλλόμενον. Ἐμβλὼ, πέπλεκται τὸ παρὰ τὸ ἐμβλέπω. ὡς ὁ δορὺ, ἐν ἀγρῷ. Ἐμβλωθῆναι, ἐν τῷ ἀνθρώπῳ ἢ νοσοῦσι. Ἔμβολα, μοχλοὶ, ἀσφάλειαι. Ἐμβολάδην, ἐν ἐγκεχειρισμένοις. Ἀριστοφάνης, ἐμβολάδην ἀπαιτεῖ. Ἐμβολὰς, ὁρμὰς, ἐπιδρομάς.

Ἐμβολὴ, κλεῖθρα, ὕβολος στρατιά. ἐμβολὴ καὶ τὸ ἄκρον τοῦ ἱερεῦ, τοῦ μηχανικοῦ ὀργάνου. τὸ περιφερῶς ἄχθος ἀποκαλεῖ ρεῖν τὸ προέχον τῆς ἐμβολῆς. Ἐμβολῶν, πλευρῶν, ὁρμῶν, ἐπιθέσιν, ἐπέθετο χρῆμα. Ἐμβολίζεται, αἱ περίθεσαι. Ἐμβόλιμα ἐστι, τὰ ὑπὸ τῶν χρηματιζόντων ἀκρόγεια καὶ τέλη, ἀναθέματα.

Ἐμβόλιμον, τὸν μῆνα, καὶ τὴν ἡμέραν, καὶ ἀνθυποβαλλόμενον.

Ἐμβόλιμος, ἀπλῶς. παῖδες ἐμβόλιμοι λέγονται, ἐπιπεμφθέντες.

Ἔμβολον, τὸ χάλκωμα τὸ προστιθέμενον κατὰ πρῷραν ταῖς ναυσὶ, λέγεται ἔμβολον. Ἔμβολος, παρὰ τὸ ἐμβαλεῖν ἐμβαίνειν. ὁ σίδηρος θηρίον ἐν λαχάνοις. Ἐμβολὸς ὀξὺς, τὸ τοῦ νεὼς ἐμπρόσθιον. ἀφ' οὗ καὶ τὸ ἀνθρώπειον αἰδοῖον παρὰ τοῖς κωμικοῖς ἔμβολον. καὶ τρίεμβολον ἐκεῖθεν, καὶ ὑπέμβολον, οὐ μόνον τὸ παρὰ τοῖς νομικοῖς, ἀλλὰ καὶ τὸ ὑποβεβλημένον. ἤγουν ὑποκείμενον πρὸς δάνειον ἢ τόκον, εἴτε ἀγρὸς, εἴτε οἶκος, εἴτε ἄλλο. ἀποφαίνεται, οὐχ ὅρα τὴν οἰκίαν τοῦ κεκτημένου κειμένην ὑπέμβολον. ἔμβολον δέ φασι χρημάτων ἔχειν αὐτόν. ἔμβολον τὸ παρατάξεως ἔσται. ἐστι δὲ τὸ ὄπισθεν τοῦ ῥόμβου, ἐσχηματίσθαι δὲ καὶ σφενδόνης. ῥομβοειδὲς δὲ παράταξις, κατὰ τὸ πολεμικὸν σχῆμα. Ἐμβραμμένα παρὰ Σώφρονι, ἡ εἱμαρμένη. ὑποφθείρεται τῷ καὶ διὰ τὴν ἐπανάταξιν πλεονασμὸς τοῦ β. καὶ Λάκωνες οὕτω λέγουσιν. Ἐμβρατὴ, ἐμβατὴ. Ἔμβραχυ, καθόλου, ἢ συντάχα. τὸ ἐμβραχυ ἀττικῇ συνηθείᾳ, οὐδὲν πλέον δηλοῦσι, ἢ τὸ βραχὺ ὅ ἐστιν ὀλίγον, τὸ φασὶν ὅλως, συντόμως ὡς τό, Οἶδα ἐν τῷ ἔνα ἔμβραχυ ἀγαθὸν, ὃ μὴ ἐκεῖνοι κατέτεμον τὴν ψυχήν. ἀντὶ τοῦ ἐλάχιστον. Ἐμβρίμεται, ἐμπίπτει, ἐμβριθεῖ. Ἔμβριος, ἐνεός, μωρός. Ἐμβρίθεια, ἐμβρίθεια. καὶ φρόντις στερεά.

Ἐμβριθὴς, στιβαρὸν, βαθὺ, φοβερὸν, πλατύ. Ἐμβριθεστάτω, σπουδαιοτάτω. Ἐμβριθὴς, στιβαρὸς, ἐμβριθής. Ἐμβρίμημα, μετ' ὀργῆς λάλημα. Ἐμβριμήματα, κινήματα. Ἐμβριμᾶται, ἐπιτιμᾶσθαι, κολάζεσθαι, προσκάζειν μετ' ὀργῆς. Ἐμβριμήσεις, ψυχῆς λογικοῦ τοῦ θυμικοῦ μέρους ἐνέργεια. Ἐμβριμώμενος, μετὰ αὐστηρότητος ἐπιτιμῶν, ἐπιπληκτικὸς, ὁ μετ' ὀργῆς λαλῶν. καὶ ἐμβριμᾶται. Ἔμβριον, θεῖον. Ἐμβρύειον, μικρόν. καὶ

συγγραφόμενον ἱμάτιον λεπτικόν. Ἐμβροντηθέντος, ὅπως γινόμενοι, μωρανθέντος. Ἐμβροντησίας μανίας, φρενοβλαβείας, θάμβους. Ἐμβρόντητος, ἀπεσβλημμένος τὴν γνώμην, κωφὸς τὴν διάνοιαν, ἀνόητος, ληρῶν, λῆρος, ὁ μωρὸς. ὁ ἐμβρόντητος, παραλλακτὸς. ἄφρων, ματαιόφρων. Ἔμβρυον, τὸ κυοφορούμενον, καὶ ἔτι διαπεπλασμένον βρέφος. παρὰ τὸ ἔσω βρύειν, ὅ ἐστιν αὔξεσθαι. Ὅμηρος δὲ λέγει ἔμβρυον, τὸ νεογνὸν τέκνον καὶ νεογιλὸν, καὶ γαλαθηνόν. ὁ δὲ σωματικὸς τὸ ἐντὸς τῆς γαστρὸς βρέφος. ὅ ἐστι ζῶον, καὶ θάλλον. βρέφος δὲ, τὸ ἐκκύψαν τῆς γαστρός.

Ἐμβρύσαι, τὸ ἐνδεῖναι. τροπῇ τοῦ δ εἰς β. ἀπὸ τοῦ ἐνδῦσαι.

Ἔμβυθοι, ἐγγὺς ἡμέρας, καὶ γυμνάσια. Ἐμεγαλύνθη, ὑψώθη. Ἐμέγαιρον, ἐφθόνουν. Ἐμέθεν, ἀντὶ τοῦ ἐμοῦ.

Ἔμεσα, πόλις, ἐκ τοῦ ἐμεῖν, διὰ τὴν ὅσοι ἔφυγον ἄμετροι, φαγὼν ἐξ ἐπιβουλῆς ἀγρίως, τὰ σιτία πέσσα. ὡς ἡ ἱστορία φησίν. Ἐμέθυσκος, ἐξέλαος. Ἐμεῖον, καὶ ἔμεινον. Ἐμεῖο, ἐμοῦ διαφέρει. ἐμεῖο μὲν γὰρ ἀσύναρθρον. ὡς Ὅμηρος, ἐμεῖο δὲ σύνθετον μῦθον. τὸ δὲ μεῖο συνάρθρον, τὸ ἐμεῖο πάλιν. καὶ μεῖον παρὰ Θεοκρίτῳ ἐπὶ κείνῳ ἀχιλλεῖ, ἀντὶ τοῦ ἐμοῦ πατρός. γίνεται δὲ ἐκ τοῦ ἐμοῦ. τὸ δὲ ἐμοῦ ποιητικῶς, τρισυλλάβως. κατὰ ποσὸν τρόπον διαφέρει τὸ παραγωγὸς κατὰ τρεῖς. ὅτι τὸ μὲν ἐμοῦ τὸ πρωτότυπον, γίνεται κατὰ διάλυσιν ἐμεο, ἐμεῖο καὶ ἐμεῦ, καὶ ἐμέθεν. τὸ δὲ παράγωγον οὐδ' ὅλως, καὶ ὅτι τὸ μὲν πρωτότυπον ἐγκλίνεται τὸ κατ' ἀρχὰς φωνῆεν ἀποβαλόν, οἷον ἐκεῖ σύ με. τὸ δὲ παράγωγον οὔτε ἐγκλίνεται, οὔτε τὸ κατ' ἀρχὰς φωνῆεν ἀποβάλλει. Ἐμείρατο, ἐπεθύμει. Ἐμείωσεν, ἠλάττωσεν, ἐφθείρεν.

Ἐμέλασεν, ἀπεφθέγξατο, ἐβρόντησεν, ἐφρόνησεν, ἐφρόντισεν.

Ἔμελλον, ἐφαίνετο, ἐπίαζε, ἑώρα. ὁ ἔμελλον, ἀντὶ τοῦ ἔοικα, κεῖται παρ' Ὁμήρῳ. μέλλει μὲν που εἰκὸς ὅδε ἀργυρὸς καὶ ἀνθρώπων εἶναι. ἰστέον δὲ, ὅτι τὸ τοιοῦτον μέλλειν σολοικισμὸν οὐ ῥήματός οὐ μόνον ἐπὶ γενησομένου λέγεται πράγματος, οἷον μέλλω ἔσεσθαι τὸ δεῖν, ἀλλὰ καὶ ἐπὶ πεπραγμένου μὲν ἀδήλου. Ἔμελλον γράψαι, ἰχάνως βάρβαρος ἡ σύνταξις αὕτη. ἀόριστον γὰρ μετὰ τὸ ἔμελλον οὐ συντάττουσιν οἱ ἀττικοὶ, ἀλλ' ἐνεστῶτι, οἷον ἔμελλον γράφειν. ἢ μέλλοντι, οἷον ἔμελλον γράψειν. Φρύνιχος.

Ἔμελλον ἐν ἀνθρώποισιν ὄλβιος εἶναι, εἴρηται παρ' Ὁμήρῳ ἀντὶ τοῦ ἔοικα. καὶ ἔμελλον που ἐπεφράσσεσθαι, παύσασθαι δ' οὔ. Ἐμεμακὼς, ἐμέσας. Ἐμεμνήκεσαν, ἐπέξεσαν. Ἔμεν, ἀντὶ τοῦ ἐσμέν. ἀναλογώτερον δὲ τὸ ἐμὲν τοῦ ἐσμέν. ἀπὸ τούτου γὰρ γίνεται τὸ ἐσμέν, πλεονασμῷ τοῦ σ. Ἔμεναι, ὄρεσι πέμπειν. ἐκ τοῦ εἶναι ἐστι διασωσμένον, καὶ δηλοῦντος τὸ ἀφιέναι. εὖ σύνθετον τὸ ἀφιέναι. Ἔμετος, ἡ τοῦ ἀφιεμένου κένωσις. Ἐμετὸς, ἐξέραμα.

Ἐμεῦ, ἀντὶ τοῦ ἐμοῦ. Ἐμέων, ἀντὶ τοῦ ἐμῶν. Ἐμεώτον, ἀπημειώσατο. ὁ ἐμιώτον, ὠργίζετο. Ἐμηδύσθη, ἐγχαθεῖν, ἐγχάσειν. Ἐμῇ σὺν τόχῃ, τῇ ἐμῇ χειρί. Ἐμήσαντο κακῶς, ἐβουλεύσαντο κακῶς. Ἐμήσατο, ἐτεκτήνατο, ἐπράξεν. ἐμηχανήσατο, ἐβουλεύσατο, ἐποίησεν. Ἐμηχανήσασθε, ἐμηχανήσαντο, δολίως. Ἐμηχανᾶτο, ἐτεχνάζετο. ἀνέβαινε τὰ ὄρη ἐμηχανᾶτο φιλοσοφῶν. Ἔμιαι, ἐμετικῶς. παρὰ τῷ ἐπιστρέψαι.

Ἐμίγνυτο, ὡμίλει. Ἐμίσησεν, ἐκ μίσους διέφθειρεν. Ἐμιμήσαντο, ἀπεμιμήσαντο. Ἐμὶν, ἀντὶ τοῦ ἐμοί. Ἔμισα, πόλις, ὁ ἐμισαῖος ὁ πολίτης. Ἔμισγον, ἐν κρατῆρσιν οἶνον καὶ ὕδωρ. ἀφορμὴ ἐστι τῷ τοῦ κρατῆρος ἐτυμολογίας, ὡς οὕτω καλουμένου διὰ τὸ ἐν αὐτῷ τὰ ἐναντία συγκεράννυσθαι, ἤγουν μίσγεσθαι. Ἐμισγόμην, ἐμιγνύμην. Ἐμίσυλλεν, εἰς ὀλίγον διῄρει. Ἐμισθώσαντο, ἐμισθώσαντο, καὶ ἐμισθοφόρουν, ἀντὶ τοῦ μισθίαν, ἔτι ζῶντος δεσπότου. Ἔμιχθεν, ἐμίχθησαν, πληθυντικῶς. Ἔμμα, ἀντὶ τοῦ εἷμα λέγουσιν αἰολεῖς. καὶ ἔμματα ἀντὶ τοῦ εἵματα. ὁ ἔμμα, ἱμάτιον, ὃ κατακείμενον, καὶ ἀσημαινόμενον. Ἐμματαλογίζεσθαι, χλευάσαι. Ἐμμαλάξαι, ἐμμαλάξαι, τῇ χειρὶ ἐπιλαβέσθαι.

λον, ἀκήλια. Ἐλώρα, πελώρα. Ἐλώρια. ὥσπερ τοῦ πελώριον προϋπόκειται τὸ πέλωρ, οὕτω καὶ τοῦ ἐλώριον, τὸ ἔλωρα. γινόμενον ἢ ἐκ τοῦ ἕλκω, ἢ ἐκ τοῦ ἕλω, τὸ φονεύω. Ἐλώριος ἀγὼν, ὁ τελούμενος ἐπὶ ἐλώρου ποταμοῦ. Ἔλωρος, πόλις σικελίας.

Ἐλῶος, ἐλαύνος. Ἐλώαθε, ἐφοβεῖτο, ἐμαλακίσθη. Ἔλωσι, καταλάβωσιν. Ἐλώφησεν, ἐπαύσατο, ἐχαλάσθη, ἔληξεν.

ΤΟ Ε ΜΕΤΑ ΤΟΥ Μ.

Ἐμὰ δάκρυα, ἀντὶ τοῦ τῶν ἐμῶν δακρύων. Ἔμαθον, δεύτερος ἀόριστος, ἐκ τοῦ μαθῶ ἀχρήστου ῥήματος. ἔμαθον παρὰ τοῦτο πολλὰ, καὶ ἔτι ἔμαθον πάντα, ἃ ἔμαθον. Ἐμαί, δωρικῶς τὸ αἱ ἄρθρον. ἵνα ἦ αἱ ἐμαὶ πόλεις. Ἐμαίμασε, προεθυμήθη, ἐκλονεῖτο, ἐνθάδε ἦν. Ἐμακάρισαν, ἐμνημόνευσαν.

Ἐμαλάκισαν, μαλακὸν ἐποίησαν. Ἐμαλάχθη, ἐσείσθη. Ἐμάλθαξαν, κατεπράϋναν, κατημάλισαν. ὡς τὸ, ἐν δὲ τῷ σμαρφ καὶ ὀλισθηρῷ τόπῳ ξύλα στορνύντες τῇ ἐμβάσει, καὶ τὸ μίσυ ἄλλοις ἐγκαρσίοις σφηνοῦντες, καὶ φορμοὺς ἐπιβάλλοντες ὕλης, ἐμάλθαξαν τὸ πᾶν πρανὲς τι, καὶ ὀλισθηρόν.

Ἐμαράνθη, ἐσβέσθη. Ἐμαθάνθη φλὸξ, λέγεται ἐπὶ σβέσεως φλογός. καὶ σημαίνει ὅτι τὸ μαίρειν, ἐξ οὗ τὸ μαραίνειν καὶ τὸ ἐμαράνθη, ὑφέλκει λοιπὸν πρὸς τὸ φλέγειν, ἢ τὴν φλόγα. εἴρηται φλογὸς μαρανθείσης ὑπομένει ἀνθρακιά. ἐντεῦθεν καὶ ἐπὶ νόσων, τὸ μαραίνεσθαι λέγεται, καὶ ἐπὶ ἀνθρώπων. τὸ δὲ πυρκαϊά, ἀναλόγως ἔχει παρὰ μυρμηκιά, ἀχυρμιά. ἔστι γὰρ τύπος περιεκτικοῦ. ὡς γὰρ ἡ ἀχυρμιὰ περιέχει ἄχυρα, καὶ μύρμηκας ἡ μυρμηκιά. οὕτω καὶ ἄνθρακας ἡ ἀνθρακιά. Ἐμαργίμαντο, ἐπεφόβησαν.

Ἐμαρτιάθην, ἐμάχοντο, δυνατῶς. Ἐμαρυκᾶτο, ἐμασᾶτο.

Ἔμαρψε, ἐκράτησε, κατέλαβον. Ἐμάσσετο, ἔψησεν.

Ἔμασεν, ἠνώχλει. Ἐμάστιξεν, ἐμαστίγωσεν. Ἐματαίωσε, μάταια ἐλάλησεν. Ἐματαιώθησαν, ἐπλανήθησαν, τὸ παρεῖσιν(?). Ἐμάτευσεν. Ὅμηρος, οὐδ' ἐμάτησε θέλοντος. ἐνταῦθα τὸ ματᾶν, σαφῶς δηλοῖ νωθείαν καὶ βραδύτητα ματαίαν. ἴσον, διότι δύναται τὸ οὐκ ἐμάτησε, καὶ ἄλλως οὐκ ἀπὸ τοῦ ματαίαν γίνεσθαι, ἀλλ' ἀπὸ τοῦ μῶ μάσσω, τὸ ζητῶ. ἵνα λέγῃ, ὡς οὐκ ἐζήτησε τὸ ποιητέον, ἀλλ' εὐθὺς ἧψατο τοῦ πράγματος. ὥστε καὶ ματᾶν κατὰ τοῦτον τὸν λόγον, τὸ οἱονεὶ ζητεῖν, καὶ ἐσκέφθαι, καὶ μὴ θέλειν ἐγχειρεῖν ἔργῳ. ὃ ἐμάτησεν, ἠμέλησεν, ἐματαιοπόνησεν, ἐματαιοπράγησεν. Ἐμαυτὸν ὠφελῶ. οὕτω λέγεται κατὰ τὴν αὐτοπάθειαν, ἤγουν ὅταν ὡς αὐτὸς ὁ ἐνεργῶν καὶ πάσχων, σὺ ὠφελῶ, ἐκεῖνον ἀγαπῶ, τοῦτο κατὰ τὴν ἑτεροπάθειαν, ἤγουν ἀλλοπάθειαν. ἐπὶ ὅταν ὡς εἰς ἄλλον ἐκτελῶ τὴν ἐνέργειαν, σεαυτὸν ὠφελεῖς, ἑαυτὸν ὠφελεῖ, κατὰ τὴν αὐτοπάθειαν. ὅτι αὐτοὶ ἐνεργοῦσι καὶ πάσχουσιν. Ἐμαυτοῦ, ἀντωνυμία. ἡ ἡ σεαυτοῦ, καὶ ἡ ἑαυτοῦ, εὐθεῖαν οὐκ ἔχουσι. καὶ λέγομεν οὕτω. τύπτω ἐμαυτὸν, ἢ κατηγορῶ ἐμαυτοῦ. καὶ οὐ λέγομεν, τύπτω σεαυτὸν, οὔτε σὺ τύπτεις ἐμαυτὸν, ἢ ἑαυτὸν, ἀλλ' ἐγὼ ἐμαυτὸν τύπτω, σὺ σεαυτὸν τύπτεις, ἐκεῖνος ἑαυτὸν τύπτει. ὁμοίως ἐμαυτοῦ κέλομαι, ἐμαυτοῦ δοῦλος, σεαυτοῦ δοῦλον, σὺ καλεῖς ἑαυτοῦ δοῦλον, ἐκεῖνος καλεῖται. ἑαυτῷ χαρίζομαι ἐγὼ, σεαυτῷ σὺ χαρίζῃ, ἑαυτῷ ἐκεῖνος χαρίζεται.

Ἐμαυτῷ βαλανεύσω, οἱονεὶ ἐμαυτοῦ διακονήσω. λέγεται δὲ, ὅταν ὁ βαλανεὺς νωθρεύηται, καὶ ἑαυτῷ λαμβάνων τὴν ἀρύταιναν διακονῇ. ἀπὸ τοῦ τοὺς βαλάνους ἐγκεφυβόντων εἰς πῦρ.

Ἐμαυτῷ συναπίσκομαι, ἐν ἑαυτῷ ἐπίσομαι. Ἐμβάδες, καὶ ἐμβάτα καὶ ἐμβάδια καὶ ἐμβάται, τὰ τῶν ἀνδρῶν ὑποδήματα.

Γωνία, τὸ ΟΙ, ἰῶτα, δοτικῇ, Ἐκεῖ. Τὰ διὰ τοῦ ωνία θηλυκὰ μονογενῆ, πρὸ μιᾶς τὸν τόνον ἔχοντα ὑπὲρ δύο συλλαβὰς, μὴ ὄντα ἀπὸ τῶν εἰς ΩΝ ὀνομάτων, ἢ ἀπὸ τῶν διὰ τοῦ ων ῥημάτων, μήτι σύνθετα ἀφ' ἁπλοῦ ἔχοντα τὴν ΩΙ δίφθογγον, μήτι λεγόμενα καὶ εἰς ΩΝ συλλαβὴν, μήτι ἀπὸ παροξυτόνων κατὰ κρᾶσιν γινόμενα, μήτι κατὰ διάστασιν εὑρισκόμενα, μήτι ἀττικῶς ἐκτείνοντα τὸ Ο καὶ πλεοναζόμενα, διὰ τοῦ Ι γράφεται. οἷον, ὠνία, ἀξία, μανία, ἐρημία. πρόσκειται μονογενῆ, διὰ τὸ πολυδεκανία κυρ, ἐγκωμιαζόμενος. ὁ ἐγκωμιαζόμενος γάρ, καὶ τὸ ἐγκωμιαζόμενον. πρόσκειται πρὸ μιᾶς τὸν τόνον ἔχοντα, διὰ τὸ ἐνέκεια. πρόσκειται ὑπὲρ δύο συλλαβὰς, διὰ τὸ μνεία, καὶ χρεία. πρόσκειται μὴ ἀπὸ τῶν εἰς ΩΝ ὀνομάτων, ἢ ἀπὸ τῶν ΩΝ ῥημάτων, διὰ τὸ ταχύς ταχεία. δουλεία, δουλεία. πρόσκειται μὴ σύνθετα ἀφ' ἁπλοῦ ἔχοντα τὴν ΩΙ δίφθογγον, ἐπειδὴ ἀπὸ τοῦ, δεία τὸ σημαίνουσα τὴν ἔνδειαν, γίγνεται ἔνδεια. πρόσκειται μὴ λεγόμενα εἰς ΩΝ συλλαβὴν, διὰ τὸ ἐλιγύειον, ἐλιγύεια. πρόσκειται μὴ κατὰ διάστασιν, διὰ τὸ ἀνδρεία, ἀνδρία, τὸ ἐπὶ ἀρετῆς. ὅτε ὁ μὲν Ἀπολλώνιος, διὰ τοῦ ει γράφει, ὁ δὲ Ἡρωδιανὸς, διὰ διφθόγγου. γράφεται γὰρ κατὰ διάστασιν ἀνδρεία. πρόσκειται μὴ ἀττικῶς ἐκτείνοντα τὸ Ο καὶ πλεοναζόμενα, ἐπειδὴ τὸ ἱερεῖα, καὶ εὐκλεία, ἀττικῶς κατασείσουσι τὸν τόνον καὶ τὸ ει ἐκτείνουσι. γινοῦν, καὶ τὸ θεία, ὁ σημαίνει τὴν ἱερείαν, ἀττικῶς. οἱ γὰρ ἀττικοὶ ἐκτείνοντες τὸ Ο καὶ κατασείσουσι τὸν τόνον, καὶ τὴν αὐτὴν γραφὴν ἐφύλαξαν. τὸ δὲ πενθεία ἢ ἀγγεία, οὐκ ἔστιν ἀπὸ τοῦ πενθῶν, ἐκεῖνο γὰρ διὰ τοῦ Ο μικροῦ, ἀλλ' ἴσως ἀπὸ τοῦ πενθεῖον, πενθεία. καὶ κατὰ ἀποβολὴν τοῦ Ρ, γωνία. καὶ γωνία, ὁ τοῦ οἴκου, καὶ γωνιασμός. Γωνία περιθμοῦσαι, τὸ ἐν γωνίᾳ ὑπὸ ξύλου περιεθεῖσαι. γωνία παρὰ τὸ γόνυ, τὸ ἀγκῶνα, γωνία. ἐκ τὰ ἐκτεινομένῃ τὸ ο, εἰς ω. ἐπεὶ ἐπικαμπῆ τι, καὶ κεκλασμένην σχήματι μετανοιεῖται. Γωνιασμοὺς, ἀστραγάλους, ἀπαγωγὰς. δῆλαξα τε ποιοῖ, λιθίνων κανόνων εἰς βολὰς, ἐκ τῶν τι γωνιασμοὺς. καὶ γωνιασμοὺς, πλαγιασμοὺς ἀπαιτεῖν. Γῶνον, γωνία. Λαμπικῶς. Γωνορίσματα, γωρίσματα, ταπεινοί. Γῶνος, γωνὸς, ἰδεῖν, καὶ παιδιά τις παλαιστική. οἱ δὲ, κώπη. Γώνυμος, ὁ φθόνιμος. Γῶος, μνημεῖον. Γῶπαι, κολοιοὺς μακεδόνες. Γωρυοῦται, ζηραίνει, λάκκοι. Γωρυτὸς, ὁ τοῦ τόξου θήκη, ὡς χορὸν ἐκ τὸ ἐρύειν. ὁ ἐστιν ἐλκυσὸν τόξον, ἐπεὶ ὁ χωρυτός. καὶ μεταλλάξει τοῦ Χ γωρυτός. καὶ γωρυτὸς καλεῖται τὸ ὅπλον, ἐν ᾧ ἐμβάλλεται τὸ τόξον. ἀπὸ τοῦ γῶ τὸ χωρῶ καὶ τὸ ῥῦμα τὸ ἐλκυσὸν, τὸ χωρεῖν διαδέχεται τὸ ἐλκυσὸν, ἤγουν τὸ τόξον.

Τέλος, τοῦ Γ Στοιχείου.

ΑΡΧΗ ΤΟΥ Δ ΣΤΟΙΧΕΙΟΥ.

ΤΟ ΑΥΤΟ, ΜΕΤΑ ΤΟΥ Α.

Δαβαιτὶς, ἐκ Δαβαίνης, τόπου. Δαβοῦ, καλεῖται λάκκος. Δάβιλος, δαλός. λάκκος. Δαβὴρ, τὰ ἅγια τῶν ἁγίων ὀνομάζεται. Δαβὶδ, ὁ βασιλεὺς Ἰσραὴλ, ὁ προφήτης καὶ προπάτωρ τοῦ Κυρίου ἡμῶν Χριστοῦ, καὶ θεοῦ. ὃς μετὰ τὸ βασιλεῦσαι, ἐπορεύετο μεγαλωνύμως, καὶ κύριος ὁ παντοκράτωρ,

Γρῖπος, τὸ δίκτυον, παρὰ τὸ ἀγρεῖον, ἐνδεία τοῦ α. τὸ αὐτὸ δὲ καὶ γρῖφος καλεῖται, ἐκ τοῦ γράφειν, ὅ ἐστι ζητεῖν. ὁ τὴν γῆν ζητῶν, γρῖφος, καὶ γρῖφος. Γριπίσματα, συμπλέγματα, καὶ ἀσαφῶς συμπεπλεγμένα. οἱ δὲ συμπλέκοντα. Γρίσων, ὁ χοῖρος.

Γρισών, ὗς. Ἀριστοφάνης δὲ, ὄνομα δρομέως νενικηκότος ἐν ὀλυμπίᾳ στάδιον. Γριφᾶσθαι, γράφειν. οἱ δὲ ζητεῖν. καὶ ἀμυδρὸν λέγειν. Γριφεύειν, αἰνίττεσθαι. Γριφοειδῆς, δυσεύρετον. Γρῖφοι λέγονται, τὰ ἐν τοῖς συμποσίοις προβαλλόμενα αἰνιγματώδη ζητήματα. ἐπεὶ δὲ ὑπογέγραφεν αὐτοῦ γένη ὁ Κλέαρχος ἐν τῷ περὶ γρίφων συντάγματι. ἐν τοῖς συμποσίοις δὲ προεβάλλοντο οἱ γρῖφοι, πρὸς λύσιν. Γριφώμενα, γραφόμενα. ἢ ἐκποικιλλόμενα. Γρῖφος, δύσκολον. ἢ ζήτημα αἰνιγματῶδες, ὅθεν καὶ ὁ αἶνος γρίπισμά φασι, παρὰ τὸ ἀγρεύειν ὅ ἐστι ζητεῖν, ὅπερ παρακολουθεῖ τῇ ἄγρᾳ. λέγεται οὖν καὶ γρῖφος ἀσυνετῶς, τὸ δύσκολον αἴνιγμα. ἴσον γὰρ φιάλην γέμουσαν οἴνου, καὶ ἔλεγον αἰνίγματα ἐν τοῖς συμποσίοις ἀλλήλοις, καὶ ὁ ἐπιλαθόμενος ὁ ἀναγνοὺς ἔπινε τὴν φιάλην. καὶ γρῖφος, ὁ ἀσαφὴς λόγος. καὶ γριφώμενα, ἐκποικιλλόμενα παρὰ τῷ Ἱπποκράτει. Γρομφάδες, οἱ ζευγῖται. Γρόμφις, ἡ γρομφὶς, ὗς, ἡ παλαιὰ σκρόφα. τὰς ὗς δὲ χλευαστικῶς. Γρονθονίζεται, θυμοῦται. Γρόνθον, ἀναφύσησις, ἣν πρώτην μανθάνουσιν αὐληταὶ, ἢ κιθαρισταί.

Γροῦμος, τρόφιλος. Γρυνοὶ, κορμοὶ, φρυγανοὶ ἴσως ὄντες κατὰ ἐναλλαγὴν τοῦ δ εἰς γ, οἷον, γρυνοὶ μὲν δαίοντο, μέγας δὲ ὕφαιος ἀνέσχεν. ἢ γρυνοὶ τὰ τῶν γεγηρακότων ξύλα, ὡς τὸ γέροντα γέγηρα, κλάσται τόριον. Γρυμὸς, σίλλυβος, λαλός. Γρυάζονται, μαρμαίρουσι, ἤγουν ἐκτείνονται. Γρόσωπον, τέραζον.

Γρῦ. Ἀριστοφάνης, οὐδὲ γρῦ, βραχύ. ἔστι δὲ ὄνυχος ῥύπος ἴσως δὲ παρὰ τὸν γρυλισμὸν, τουτέστι τὴν φωνὴν τῶν χοίρων. ἢ εἶδος μικροῦ νομίσματος, γρῦ γὰρ τὸ μικρὸν καὶ βραχύτατον. ὅθεν καὶ γρύτη, τὰ λεπτὰ σκεύη. καὶ γρυτοπώλης, ὅπερ οὐκ εἴρηται παρὰ τοῖς παλαιοῖς, ἀλλ᾽ ἀντὶ τούτου, ῥωποπώλης καὶ γρυτάριος. κέχρηται δὲ τῇ λέξει, ἐπιτείνων τὸ ἀγροῖκον τῆς ἀποχρήσεως. ἀπὸ τοῦ πρὸς τοῖς ὄνυξι ῥύπου, ὃς μικρὸς καὶ εὐτελής. ὅταν δὲ θέλωμεν ἐμφανίσαι τι, φαμὲν, οὐ γρῦ φθέγγεται, ἀντὶ τοῦ οὐδὲ τὸ τυχόν. Γροβὸς, γρύξ. Γρύζειν, κυρίως ἐπὶ τοὺς μικροὺς χοίρους φωνὴν προΐεσθαι. Ἀριστοφάνης, μὴ γρύξῃς, ἤγουν μὴ φθέγγῃ. Γρύζειν, τὸ θρηνεῖν, ἢ τὸ τῇ φωνῇ ὑποκλέπτειν καὶ λαλεῖν. Γρυλλίων, ῥυπαρῶν φωνή. Γρυλίζειν. καὶ γρυλισμὸς συνῶν, διὰ ἑνὸς λ, οὐ γρυλλισμὸς διὰ δύο, ὡς Φρύνιχος. Γρυλλίζειν, τονθορύζειν.

Γρύλλη, ὑῶν φωνή. Γρυλίζειν ἐπὶ χοίρων ἀττικοὶ διὰ ἑνὸς λ. Ἀριστοφάνης, ὑμεῖς δὲ γρυλίζοντες ὑπὸ φιληδίας. Γρυλλίζειν, διττὴν ἔχει τὴν ἁμαρτίαν. ἔν τε τῇ προφορᾷ, καὶ τῷ σημαινομένῳ. ἐν μὲν τῇ προφορᾷ, διὰ τὸ γράφεσθαι διὰ δύο λλ, ἐν δὲ τῷ σημαινομένῳ, ὅτι παρὰ τοῖς ἀρχαίοις τὸ γρυλλίζειν, ἐπὶ λείπομεν ἐπὶ τῆς τῶν ὑῶν φωνῆς. οἱ δὲ νῦν τάττουσιν ἐπὶ τῶν φορτικῶς καὶ ἀσχημόνως ὀρχουμένων. Γρυλλίων, ὁ χοῖρος. Γρυμαία, ἡ σκευοθήκη. Γρυμαία, ἰδίως καὶ ἀγγεῖον, σκευοθήκη, ἐν ᾗ ὁ γρῦ, τουτέστι ἄλλα δὲ καὶ τὰ λεπτὰ σκεύαρια, ἃ καὶ γρύτην λέγομεν.

Γρύμαια, ἄγγος. Γρυμαίνειν, γρυπαίνεσθαι, συγκάμπτειν.

Γρυνοὶ, κορμοὶ φρύγανοι, κατὰ ἐναλλαγὴν τοῦ δ εἰς γ. ἢ τὰ τῶν γεγηρακότων ξύλα. Γροῦνος, ὁ γρύψ. Γρὺξ, ὁ ῥύπος τοῦ ὄνυχος. Γρύξαι, ἀντὶ τοῦ κράξαι. Γρυπαὶ, αἱ νεοσσιαὶ τῶν γυπῶν. οἱ δὲ γυπαί. Γρυπαίνειν, τὸ γρυποῦσθαι, εἶον ἐπὶ τῶν ἀπαλῶν ξυλαρίων, ὅταν κάμψαντες ἀφῶμεν αὐτά. Γρυπάλιον, γαμψώνυχον, ἢ γρυπαίνειον. Γρύπας, μέρος τι τῆς νηὸς σκαφῶν. ἢ ἄγκυραι. ἢ εἶδος ζώου πτερωτοῦ, ὃ καλοῦσι γρῦπα. Γρυπανίζειν, σείεσθαι τῶν γῆν βαλλομένων. καὶ ὥσπερ ῥυτιδοῦσθαι ὑπὸ σπασμοῦ.

Γρυπωθῇ, συγκαμφθῇ. γρυπαίνειν γὰρ τὸ ῥυτιδοῦσθαι λέγεται.

Γρυπὸν, στρεβλὸν, καταφερές. Γρυπὸν, καμπυλόρρινον, ἐξῆρον. Γρυπὸν καὶ γρυπὸς, τὸ ἐπικαμπὲς παρ᾽ αἰολεῦσιν, ὅτι ῥοιβός. καὶ τροπῇ τοῦ β εἰς π καὶ πλεονασμῷ τοῦ γ, γρυπός. ἢ παρὰ τὸ ῥέπω, ῥυπὸς καὶ γρυπὸς. ἡ ἐφ᾽ ἓν μέρει ῥέπουσα ῥίς. Γρυπὸς λέγεται, ὅστις ἔχει τὴν ῥῖνα ἐπικεκαμμένην. Γρυποῦσθαι, συγκάμπτεσθαι, καὶ γρύπτειν ὁμοίως. Γρῦται, σκεύη. Γρυτίζεται, πλεονεκτεῖται. Γρύτη, ἡ θήκη τῶν πεπλεγμένων, τὸ γὰρ τοιοῦτον ἅπαν, γρυμέαν συμβέβηκε καλεῖσθαι. Γρύψαι, ἤγουν κράξαι, ἢ ἠρέμα φθέγξασθαι, ἢ ὑλακτῆσαι. Γρύπτειν, ἐξαλεῖψαι παρὰ τῷ Ἀριστοφάνει, οἱ μὲν ἀντὶ τοῦ τυχὸν τῆς παροιμίας ἐξαλεῖψαι. παρὰ τὸ ἐν τοῖς ὄνυξι ῥύπον, ὃν λέγουσι γρῦ. οἱ δὲ, γρύτην ἐνταῦθα ἐπὶ κακολογίᾳ διαβάλλουσι, τοῦ ἐπὶ μαλακίᾳ γὰρ διαβαλλομένων ἦν ὁ γρύτης. Γρυῶ, προσφωνῶ. Γρῦ, τὸ ἰδίως.

Γρωθύλοι, γυαλοὶ, σπήλαια. Γρωθύνα, σκεύη γραῶν. οἱ δὲ τὴν παλαιὰν ὄνον. Γρωνάδα, θύλακα σύβα. Γρῶνες, καὶ λας πέτρας, παρὰ τὸ γρῶ, τὸ ξύω καὶ ἐσθίω, γρῶνα καὶ γρώνη.

Γρῶνες, τὰς ἀπηνόστας καὶ μὴ λελυθυῖας. ἢ παλαιὸν ἀγγεῖον σκάφιον. καὶ τὸ κενὸν τοῦ δίφρου, οὗ αἱ λόγχαι κεῖνται. ἄλλοι δὲ, τὰς ἐχούσας πέτρας, δι᾽ ἧς τὰ χοινίκια πρὸς τὴν τοῦ ναοῦ κλεῖσιν ἠσφαλίζοντο.

ΤΟ Γ, ΜΕΤΑ ΤΟΥ Υ.

Γύαλα, ἢ τὰ μῆλα λέγονται. ὅθεν ἐγγυαλίζειν τὸ εἰς χεῖρας διδόναι. ἢ τὰ κοιλώματα τοῦ θώρακος. ἢ γύαλα, τὰ ἄκρα καὶ τὰ τέρματα, ζῶνα, τόμαι, περιφύτεια, πυτάρια, πτυχὰς, κολπισμοὺς, περιβόλας. ἢ γύαλα, θησαυροὶ, ταμεῖα.

Γυάλας, εἶδος ποτηρίου παρὰ Μακεδόσι. Γύαλον θώρακος λέγει Ὅμηρος, τὸ περὶ τοὺς ὤμους ἢ τὰ στήθη κοίλωμα, πρὸς ἐπιδοχὴν τῶν περιφερεῶν τῶν χειλέων κοιλότητος. οὐ θώρακι δὲ μόνον ὑπάρχει τὸ γύαλον, ἀλλὰ καὶ ἑτέροις ἄλλοις, ὡς δῆλον ἐκ τοῦ, ὑπὸ κοίλας πέτρας γύαλον. Ἀππίων δὲ ἢ Ἡρόδωρός φασιν γύαλον μὲν θώρακος, προπαροξύνεσθαι, γυαλὸν δὲ λίθον, ὀξυτόνως λέγεσθαι, οἷον γυαλὸν λίθον ἀγκάσασθαι. Γύαλος, κύβος, τετράγωνος λίθος. Γυῖα δὲ θῆκεν ἐλαφρὰ πόδας, καὶ χεῖρας ὕπερθεν. προσυπακουστέον δὲ εἰς τὸ πόδας, τὸ ἔνερθεν, ἑλληνικῶς δὲ εἴρηται διὰ συντομίαν. δῆλον δὲ ὅτι παρὰ τὰ γυῖα, ὃ τὰς χεῖρας ἰδίᾳ δηλοῖ, πολλαχοῦ γίνεται καὶ ἐγγύα, ἡ ἀσφαλὴς ἐν χερσὶ τεθεῖσα τὸ κατεγγυηθέν. καὶ τὸ ἐγγυαλίζω, ἤγουν ἐν χερσὶ τίθημι, καὶ γὰρ ὑπόγυον ὃ καὶ ἐξ ὑπογυίου λέγεται, τὸ ἐγγὺς φασὶ προσδόκιμον. ἢ παραυτίκα γεγονὸς, ἢ ὥς εἰπεῖν, πρόχειρον μᾶλλον ἢ ὑποχείριον, ὅπερ ἐν ὀδυσσείᾳ κεῖται. ἢ γυῖα ἐπ᾽ ἀνθρώπων, αἱ χεῖρες καὶ οἱ πόδες. ἀφ᾽ οὗ παρ᾽ Ὁμήρῳ ἀμφιγυήεις, ὁ περὶ τοὺς πόδας βεβλαμμένος, ἐπεὶ δὲ κυλλοπόδιον οἱ πόδες. Ἄλλως. Γυῖα παρ᾽ Ὁμήρῳ, αἱ χεῖρες καὶ οἱ πόδες, καὶ ἀπὸ θέσει ἁπλῶς τὰ μέλη. ἀφ᾽ οὗ γυιοκόροι μελεδῶναι παρ᾽ Ἡσιόδῳ, ἤγουν αἱ κορεννοῦσαι τὰ μέλη. κορεῖν γὰρ, τὸ κοσμεῖν. ἀφ᾽ οὗ νεωκόρος, ὁ τὸν ναὸν κοσμῶν. ἢ γυῖα κυρίως, αἱ χεῖρες, παρὰ τὸ γῶ, τὸ χωρῶ ἢ ὑποδέχομαι καταχρηστικῶς δὲ, καὶ τὰ λοιπὰ μέρη τοῦ σώματος, γυῖα καλοῦνται. Γυιαὶ μοῖραι, αἱ χωλαί. καὶ κατ᾽ ἐμὲ χωλοποιοὶ, καὶ βλαπτικαί. Γυιοῦν, τὸ τὰ σκέλη βλάπτειν, ἀπὸ τοῦ γυῖα.

Γύαι, ὁλοὶ, κλίθρα, ἀχόγια. Χοινία τὰ προμήκεια, περίγυα, ποτήρια, πτυχαί. Γύαλον θώρακος, τὸ κατ᾽ αὐτὸ κύτος λέγει, καθὰ τὰ κεκοιλωμένα ἄντρα, γύαλα καλοῦνται. ὡς παρὰ Σοφοκλεῖ, ὑπὸ κοίλας πέτρας γύαλον. ἢ φασί τινες τὴν κοιλότητα τοῦ θώρακος καὶ πλατεῖαν κοιλότητα οὕτω καλεῖσθαι, πρὸς διαστολὴν τῆς ἐν ταῖς χερσὶ ἐν τῷ ψαλίδι κοιλότητος. Γύαρος, νῆσος μία τῶν σποράδων. λέγεται δὲ ὅτι ἐν ταύτῃ οἱ μύες κατατρώγουσι τὸν σίδηρον. Γύας, γῆς. Γυβᾶ, κολυμβᾶ. Γυγαῖα λίμνη, ἐν Χώνιος. Γυγαὶ, πάππαι. Γυγαίη, λιμὴν ἐν Λυδίᾳ. ἢ γυγαίη νὺξ, ἡ σκοτεινὴ γῆ. Γύγης, κύριον ὄνομα, ὃν οἱ ἕλληνες

θαί φασιν ἐκ μέρους οἱ παλαιοί. διότι δὲ ἱκετεύοντες οἱ καὶ μὴ κεφαλῆς ἢ χειρὸς ἐπιλαβέσθαι, τὸ μὲν ἔμελλον τυχεῖν συγγνωμονοῦντος, τὸ δὲ κρατησαμένους. ἀλλὰ γόνατος γοῦν οὐ πάντα δυνατὸν ἅπτεσθαι. οἱ δὲ μετὰ Ὅμηρον, τὴν τῆς γονυπετεῖν λέξιν ἐποίησαν ἐφεῦρον συντεθεῖσαν ἐκ τοῦ γόνυ καὶ τοῦ πίπτειν. ἐξ οὗ τὸ πίπτειν παράγεται, ὡς τὸ ῥίπτειν ἀπὸ τοῦ ῥίπτω. Γούνατα ἔλυσεν, περίφρασίς ἐστι θανάτου. ὅλον δὲ τό, πολλῶν δυσμενέων ὑπὸ γούνατα. ὅμοιον τῷ, πολλῶν κατέλυσε κάρηνα, ἠδ᾽ ἔτι λύσει. Γουνὸς, οὗτος ἐπίθετόν ἐστι, πλὴν τὸν ἐν τῷ Λυκόφρονι ἐργάτην. Τῆς δίκης γουνός, ἔτι τὸν δίκαιον. ἐκεῖνος γὰρ Ἄρεως τὸ γένος, προσηγορίαν ἔχων τὸ δίκαιος, ὡς καὶ ὁ Ἀριστείδης παρ᾽ Ἕλλησι, τοῦ Ὁμηρικοῦ γουνός. Γουνοῖσιν Ἐλαιοῦντος. ἤγουν, τοῖς γονιμωτάτοις τόποις τοῦ Ἐλαιοῦντος. ὁ δὲ Ἐλαιοῦς, ὄνομα πόλεώς ἐστι τῆς Βοιωτίας, ἀπό τινος βασιλέως αὐτῆς τῆς πόλεως οὕτως ὀνομασμένη, ἢ ἀπὸ Ἀπόλλωνος, ἢ αἰθαλόεντος τοῦ ποιουμένου. ἔστι καὶ ὄρος, ὥς φασιν, ἐπὶ ὀνόματι τοῦ ἥρωος. οὕτω δὲ λέγεται, ὅτι ἐκεῖ ὁ Διόνυσος τὴν μανίαν ἐπαύσατο, καὶ ἐλαιοφύτευσε.

Γουνὸς, ὁ γόνιμος τόπος καὶ κάρπιμος, ἀπὸ τοῦ γονὸς ὀξυτόνου ὀνόματος, Ἰωνικῇ ἐπενθέσει τοῦ υ. γόνος μὲν γὰρ βαρυτόνως, ὁ γεννώμενος. γονὸς δὲ πρὸς διάφορον σημασίαν ὀξυτόνως, ὁ γόνιμος. Γουνοῦμαι, καὶ γουνάζω, κυρίως τὸ γονάτων ἅπτομαι. καὶ γουνάζω, τὸ ἱκετεύω. καί μιν γουνάσομαι, ἤγουν γονυπετήσω, λιτανεύσω αὐτόν. λαβεῖν γούνων Ὅμηρος λέγει, τὸ ἅψασθαι, ἢ ὑπολαβέσθαι. Γουνουμένη, σύμψυχος. Γοῦτθος, ὁ ἄρχων Σκυθῶν τῶν καλουμένων Γούτθων. ἔοικε γὰρ ἀπὸ τοῦ ἡγεμόνος αὐτῶν κληθῆναι, τὰ γὰρ πολλὰ ἔθνη, ἀπὸ τῶν ἡγεμόνων καλοῦνται, οὕτως Ὦρος. Γοῦτος, λακύθου εἶδος, πλὴν τὸ γοῖδον, ὅ ἐστι ῥῶπος. Γουνὸν ἀλωῆς, ἐν τῷ γονιμωτάτῳ καὶ καρπίμῳ χωρίῳ τῆς γῆς. λέγεται δὲ γουνὸς, ὁ ὑψηλὸς τόπος, ἀπὸ μεταφορᾶς τοῦ ἐν τῷ σώματι γονάτων, ἃ ἐξέχει. ὡς δὲ λέγεται, ὁ φαχύτατος τόπος, ὁμοίως ἀπὸ τοῦ γονάτων, ὁ σκολιῶν καὶ φαχίων ὄντων. πλείων γὰρ ἐν τοῖς ὀρεινοῖς καὶ πετρώδεσι τόποις, τὰ φυτὰ αὔξεται. παρὰ τὸ γέω ῥῆμα, γίνεται γόνος βαρύτονον. ὡς λέγω λόγος, ὅπερ σημαίνει τὸ γεγεννημένον. ὁ δὲ γεννητικὸς, γονὸς ὀξυτόνως πλεονασμῷ τοῦ υ γουνός. ὁ γεννητικὸς τόπος, ὁ γόνιμος, καὶ κάρπιμος, Ἡρωδιανός. Γοῦ, τὸ ὀρνιθοῦ ἀμεταβάτως, καὶ γολίζω ἀμεταβάτως.

ΤΟ Γ ΜΕΤΑ ΤΟΥ Ρ.

Γρὰ, φάγε, Κύπριοι. Γραβὰν, σκαφίον, βόθρον. Γράβδην, ἐπίῤῥημα ἀπὸ τοῦ γράφω. καὶ γεγλυμμέναι αἱ τῶν μελῶν γραφαί, τουτέστιν, ἀμυχαί, ξυσμοί. Γραβλὶς, ἡ λαμπὰς, παρὰ τὸ γράφω τὸ ξύω, ἡ κατεξυσμένη καὶ διεσχισμένη, ἢ παρὰ τὸ γράφεσθαι τὸ ξύεσθαι γράβδις, ἡ κατεξυσμένη λαμπάς. Γραῖα ἐστι κατὰ Ἴωνας, ἣ καὶ τάναγρα. οἱ πολῖται, γραῖος καὶ ταναγραῖος, κατὰ Ἴωνας οὐκ εἰσὶν αἱ αὐταί. ὅτι τάναγρα πόλις Βοιωτίας, ἣν Ὅμηρος γραῖαν καλεῖ, διὰ τὸ πλησίον εἶναι. Στράβων δέ φησιν ὅτι γραῖα τόπος πλησίον Ὠρωποῦ. ἔνθα ἱερὸν Ἀμφιαράου καὶ μνῆμα Ναρκίσσου τοῦ Ἐρετριέως, ὃ καλεῖται σιγηλοῦ, ἐπεὶ σιγῶσιν οἱ παριόντες ἐκεῖ, τὴν δ᾽ αἰτίαν οὐ λέγει. Γραῖα, ἡ παλαιά, καὶ πόλις, γῆ, καὶ Δημήτηρ. γραῖαν κάρδοπον.

Γραιβία, ἡ γραϊκὴ πανήγυρις, Ταραντῖνοι. Γραικῶν ἀρχὸς, ὁ πρωτεσίλαος, παρὰ Λυκόφρονι. Γραικοὶ δὲ πρότερον οἱ τῆς Ἑλλάδος ἐκαλοῦντο, ὕστερον δ᾽ ἀφ᾽ Ἕλληνος, ἐκλήθησαν Ἕλληνες. Γραίνειν, ἐσθίειν. Γραιολίας, πιναρᾶς. ἡ ὀλεθρίας γραίας. Γραιοσόβαι, οἱ ἀπὸ τῶν ἰχθύων ἀποσοβοῦντες τὰς γραίας, ὡς μὴ ἀγοράζειν. ἢ οἱ γραῦσι συγκοιμώμενοι πόρναις. σοβὰς γὰρ ἡ πόρνη. Γραιοῦλαι, οἱ παρ᾽ ἡμῖν ἐφθοὶ ὀμφακίαι.

Γραικτίας, γραίᾳ ἐμφερής. Γράμμα, ὁ τόνος, ὁ χαρακτὴρ, ἡ ἐπιστολή. αὐτὸ τὸ γράμμα, τὸ σύγγραμμα, τὸ ζωγράφημα, καὶ ἡ τοῦ παιδίου ἀγωγὴ, ἥτις περὶ ψῆφον καὶ χαρακτῆρας τῶν στοιχείων γίνεται. καὶ γράμμα πικρὸν, τὸ ἰουδαϊκὸν καὶ σκυθικὸν, ὡς μὴ ἐπαγγελλόμενον βασιλείαν οὐρανῶν. Γραμματείαστα, φροντίσματα. Γραμματικὸς, πεπαιδευμένος. Γράμματα, οἱ χαρακτῆρες τῶν στοιχείων, παρὰ τὸ γράφεσθαι, ὅ ἐστι ξύεσθαι. γράμματα δ᾽ ὅτι γράφονται, διὰ τὸ τυποῦσθαι γραμμαῖς, καὶ ξυσμοῖς. στοιχεῖα δὲ, ὅτι ἀναγινώσκονται. Γραμματεῖον, ἐξηριθμημένως. γραμματεῦσι δὲ, τοῖς γραμματικοῖς, ω. Γραμματίδιον, καὶ γραμματεῖον, τὸ συμβόλαιον. Γραμματεὺς, ὁ διὰ τῆς ἐπιμόνου ἀναγνώσεως τῶν γραφῶν, θησαυρὸν γνώσεως ἑαυτῷ ἀποθέμενος. καὶ γραμματεὺς, ὁ νοτάριος, τὴν τῶν ἀποῤῥήτων γραμματείαν. οὐδένες δὲ ἦσαν οἱ γραμματεῖς κύριοι οὗτοι, ἀλλ᾽ ἢ τοῦ γράφειν καὶ ἀναγνῶναι. Γραμματικὴ, λέξις διδάσκουσα ἡμᾶς, τὰ νοούμενα γράφειν, καὶ τὰ ὡς πρὸς ἴσα ἐμμέτρως ἢ εὐρύθμως πραγματευθέντα, μετὰ κρίσεως διηγημένα. ἡ τέχνη θεωρητικὴ καὶ λογικὴ, τὸ εὖ λέγειν, καὶ τὸ εὖ πράττειν, ἤγουν γράφειν, διδάσκουσα ἡμᾶς. οὐ γὰρ πᾶς ὁ γράφων, ἢ ὁ ἀναγινώσκων λέγεται γραμματικὸς, ἀλλ᾽ ὁ τὸν κανόνα καὶ τὸν ὅρον ἀποδιδούς. ἡ τέχνη λογικὴ, περὶ τὰ ὀκτὼ μέρη τοῦ λόγου καταγινομένη. ὀκτὼ δὲ μέρη τοῦ λόγου εἰσὶ, ταῦτα, ὄνομα, ῥῆμα, μετοχὴ, ἄρθρον, ἀντωνυμία, πρόθεσις, ἐπίῤῥημα, καὶ σύνδεσμος. ἡ τέχνη τεχνῶν, καὶ ἐπιστήμη ἐπιστημῶν, ἢ ἐμπειρία τῶν παρὰ ποιηταῖς τε καὶ συγγραφεῦσιν, ὡς ἐπὶ τὸ πλεῖστον λεγομένων. τέλος δὲ τῆς γραμματικῆς, τὸ μηδέποτε ἁμαρτάνειν, μήτε περὶ μίαν λέξιν, μήτε περὶ πλείονας. τὸ γὰρ ἁμαρτάνειν περὶ μίαν λέξιν, βαρβαρισμός ἐστι, τὸ δὲ περὶ πλείονας, σολοικισμός. Γραμμάτιον, τὸ μικρὸν γράμμα, ἰῶτα. Γραμματεῖς, οἱ πράκτορες, διὰ τὸ ἔχειν σημαντικὰ τῆς αὐτῶν πολιτείας. ῥοΐσκους γὰρ ἴσως ἐπὶ τὰ διὰ στήθη περιέθεσαν τοῦ φίβωνος εἶχον, ἐξ αὐτοῦ τοῦ σήματος κατατεθειμένους, ἐν ᾧ χρόνῳ ὑπηρετοῦσιν, ἢ πλαισίων γράμματα. ἐπετηδεύοντο δὲ ταῦτα, ὅτι ἐμφαίνειν τοῖς ἀνθρώποις, τὰ παρ᾽ αὐτῶν ἐπαγγελλόμενα, ἵνα μηδεὶς ἅψηται δῆθεν τοῦ ἡγιασμένων. φυλάττουσι δὲ καὶ ξεστῶν βαπτισμοὺς, καὶ ποτηρίων καὶ τῶν ἄλλων σκευῶν, τὴν ἀπαρτισίας. καὶ τοὔνομα εἰσὶ λατρευταὶ, ὡς γραμματικῶν ἴσως ἐπιστήμων ὑφηγούμενοι, καὶ περιττὴν δῆθεν σοφιστικὴν εἰσηγούμενοι. Γραμματιστὴς, ὁ τὰ πρῶτα στοιχεῖα διδάσκων. Γραμματοφόρος, ὁ βιβλιοφόρος, καὶ οὐχὶ ὁ βιβλιοφόρος. Γραμματοκύφων, ἀντὶ τοῦ, ὦ ταπεινὲ γραμματεῦ, διότι οἱ γραμματεῖς προσκεκυφότες γράφουσιν. ἢ ὁ ἐν ἀγορᾷ γραμματεὺς, οἱ γὰρ ἀγοραῖοι τῷ κύφωνι μαστιγοῦνται, κυρίως δὲ κύφων, τὸ ξύλον καλεῖται. Γραμμὴ, ἐφ᾽ ἧς εἰστήκεισαν οἱ καταδρομοῦντες, ἕως ἂν ἀποσημανθῇ ὁ δρόμος αὐτῶν. ἡ γραμμὴ, μῆκος ἀπλατές. καὶ ἡ λεγομένη βαλβίς. Ἀριστοφάνης, Γρόβεσιν (?) δῆτ᾽ ὦ θυμὲ, γραμμὴ δ᾽ αὕτη. ἀντὶ τοῦ ἀρχή. Γραοβίωνα, γέροντα. Γραὸς, γραῦς, γηραιὸς. Γράπιν, γῆρας τέττιγος, ἢ ὄφεως, καὶ τὸ ἐκ δυομένων. καὶ εἶδος ὄρνιθος, καὶ ῥυσσὸν, ἀπὸ τοῦ γραμμὰς ἔχειν τὰς ῥυτίδας. ὅθεν καὶ ἡ γραῦς ἐτυμολογεῖται, πλὴν τὸ εἰς γῆν ῥέπειν. Γραπίας οἶνος, τραχύς.

Γραπὶς, ἡ ἐῤῥυτιδωμένη. ἀπὸ τοῦ καταγεγράφθαι ταῖς ῥυτίσι. Γραπτέον ἡμῖν, καὶ ἡμᾶς λεκτέον, καὶ ἀναγνωστέον ὑμῖν καὶ ἡμᾶς τὰ ἐπιγράμματα. τὰ θεϊκὰ ἐπιῤῥήματα πρὸς δοτικὴν καὶ αἰτιατικὴν συντάσσονται. ἰδοὺ ὅτι ἐν χωρὶς ἐπιφορᾶς πλῶσιν λαγόμενα ἀπολύτως. αἱρεῖσθαι, ἀντὶ τοῦ δεῖ εἰδέναι. Γραπτῦς, ἐν συναιρέσει γραπτῦς, λέγει Ὅμηρος ἐν ὀδυσσεία, τὰς ἐξ ἀκανθῶν, ἢ ἀκανθωδῶν ἴσων γραφὰς, ἤγουν ξύσεις, καὶ ἀμυχὰς, ἀπὸ τοῦ γράφω τὸ ξύω, ὃ ἐν ἀμύσσειν λέγεται. ὅθεν καὶ ἀμυχή. πολλῶν δὲ πεπλησμένων ἐκ τοῦ γράφειν, ὡς τὸ γράμμα, ὃ καὶ στοιχεῖον σημαίνει συνήθως, ἔτι δὲ καὶ σύγγραμμα. ἐξ οὗ καὶ πολλὰ γράμματα εἰδέναι φαμέν, καὶ γραμματικὸν εἶναι, τὸν τῶν πολλῶν συγγραμμάτων ἔμπειρον. Γραῦς καλεῖται, ὁ ἀφρὸς ὁ ἐπιπολάζων. ἢ τὸ πεπηγμένον

γνωρίμοις ἔχει πλείους, ἢ ἐξαγνοίη. τὸ δὲ γνώριμος, παρὰ τὸ γνῶσω μέλλοντα γίνεται γνώσιμος. ὡς ἰάσω, ἰάσιμος. καὶ τροπῇ τοῦ σ εἰς ρ, γνώριμος. Γνωριμώτερον, τὸ διχῶς λέγεται. ὁ ἁπλῶς, οἷον τὸ πρότερον τῆς ὕλης, ἢ ἡμῶν. ὃ ἐστι τῇ φύσει ἔχαθεν, τουτέστι τὸ αἰσθητόν, ὅσον τὸ καθ᾽ ἑκάστου. Γνωρίσαι, φανερῶσαι.

Γνώσεσθαι ἰωνικῶς, ἐκ τοῦ τρίτου προσώπου γνώσεται, ἀποβολῇ τοῦ τ, γίνεται γνώσεαι. οὕτω καὶ βούλεται βούλεαι. καὶ τὰ ἄλλα ταῦτα, ἐπὶ τῶν παθητικῶν. Γνωσιμαχῆσαί ἐστι, τὸ γνῶναι ὅτι πρὸς κρείττονα αὐτοῦ ἡ μάχη, ἐνδοῦναι. ἢ γνωσιμαχεῖν, τὸ ἐπίστασθαι πρὸς κρείττονα μάχην. Γνωσιμαχῶ, τὸ διὰ τὸ προεγνωκὸς ἐμαυτῷ μάχομαι. καὶ ὅτι τοῦτο εἰργασάμην. λέγει οὖν γνωσιμαχῶ, καὶ μὴ ἐμαυτῷ κατὰ νοῦν μάχομαι. Γνωρίσματα, τὰ συντιθέμενα τοῖς παισὶν, ἤγουν τὰ περιδέραια. Γνῶσις ἑνοποιός ἐστι τῶν γραμματικῶν. ἔστι δὲ γνῶσις, τὸ προεγνωκέναι, καὶ οὐ κατὰ συμβεβηκὸς γεγονότων ὑπὸ θεοῦ. Ἄλλως. Γνῶσις, ἡ διὰ τοῦ ἁγίου πνεύματος χάριτος ἐν ταῖς καρδίαις τὴν ἕξιν γινομένη ἔλλαμψις. γνῶσις, καὶ ἡ διὰ τῶν ἐντολῶν πράξεως ἐγγινομένη ὑπὸ πνεύματος πεῖρα. γνῶσις, καὶ ἡ τῶν θείων γραφῶν διὰ λόγων ψιλὴ κατανόησις. γνῶσις, ἡ ἐκ τοῦ πρώτου μὴ ὄντος ἐν ὑπὸ τοῦ νοὸς κινήσεως ἔμφασις. γνῶσις, καὶ ἡ τῶν καταλαμβανομένων περί τινος συγκατάθεσις, ὡς ὁρωμένων ἔλεγχος. γνῶσις, καὶ ἡ θεωρία τῆς ἁγίας τριάδος. γνῶσις, καὶ ἡ κρίσις. γνῶσίς ἐστιν ἀληθὴς, τὸ διακρίνειν ἀκριβῶς τὸ κακὸν ἐκ τοῦ καλοῦ. γνῶσίς ἐστι, καθαρωτάτης ψυχῆς θέα, τῶν ἀσωμάτων ἐξ αὐτῶν διανοημάτων. γνῶσίς ἐστι, τοῦ καθαροῦ, καὶ τελείως μὲν πάντα οὐδεν διανόημα, καὶ φανότατα ὁρατικῶς τι, καὶ καταφανῆ πάντων τῶν ὄντων πραγμάτων. γνῶσίς ἐστι, πάντων τῶν ἀρχαιοτάτων καὶ τῶν παλαιοτάτων, ὧν αὐτὸ ὁ κόσμος τὰ σύμβολα καὶ τὰς εἰκόνας περιέχει. σκοπὸς γὰρ τῆς γνώσεως, οὐ τὰ αἰσθητὰ γνῶναι, ἀλλὰ τί ταῦτα σημαίνουσι.

Γνωσόμεθα ἀλλήλων, γενικῇ συνταχθὲν παρ᾽ Ὁμήρῳ. ὡς καὶ τὸ, Τρώων γνώτην ἀλλήλων. Γνωστικὰ ῥήματα, μετὰ γενικῆς συντάσσονται. οἷον, οἶδα τὸν Δία τιμῶντα τὴν πόλιν. Γνωστικός ἐστιν, ὁ ἐνθυμηματικὸς μάθησις. ἢ ὁ τῇ ἀληθείᾳ παιδείας τέλειος.

Γνωτὸς, ὁ γνωστὸς καὶ γνώριμος. καὶ γνωτοί, καὶ γνωτά, οὐκ ἄγνωστα. ἐκβολῇ τοῦ ἡμιφώνου γνωτά γὰρ, οὐκ ἄγνωστα. οὕτω δὲ καὶ τὸ πέρισσον ὄρος κατὰ τὸ ἀμφήριστον, ἐκφορῇ τοῦ σ τήριστον. Γνῶτο, ἐκ τοῦ γνῶμι, γνώτω. ὁ δεύτερος ἀόριστος, ἔγνων. ἡ μετοχὴ, ὁ γνοὺς τοῦ γνόντος. καὶ τὸ προστακτικὸν γνῶθι, γνώτω γνῶτον, γνώτων γνῶτε γνώτωσαν. Γνώτην ἀλλήλων παρ᾽ Ὁμήρῳ. τὰ τῶν ἀμφοτέρων ἀκριβέστερα κατὰ πᾶσιν γενικὴν τὴν πληθυντικῶν χρόνων. ἀλλήλων ἵνα, λέγει ὅτι γνῶσιν ἔχων ὁ εἷς τοῦ ἑτέρου. οὕτω καὶ τὸ εἰδέναι γενικῇ συντάσσεται μετὰ τοῦ εὖ. οἷον τόξων εὖ εἰδώς.

Γνωτοὶ οἱ ἀδελφοί, δίχα τοῦ σ καλῶς. οὕτω φασὶ καὶ ἀπάγουσι αἱ γνωταί εἰσι. καὶ πλάζουσι. καθ᾽ ὁμοιότητα δὲ καὶ τὸ γνωτὰ οὐκ ἄγνωστά μοι τὸ πρᾶγμα. τὸ γὰρ μετὰ τοῦ σ λέγειν γνωστὸς, καὶ τὰ κατ᾽ αὐτὸ, οὐκ ἀπὸ τοῦ γνῶ γνώσω γίνεται ἀπαθῶς, ἀλλὰ ἐπένθεσιν ἔχει τοῦ σ. ἢ καὶ ἀπὸ ἐνεργητικοῦ ἀρρήτου δεῖ γίνεσθαι τὸ γνώσω, ἢ γνώσω, ἢ γνωτοί. καὶ γνωταί, οὐκ ἐξ ἐνεργείας ἔλλειψιν ἔχουσι τοῦ σ, ἐκ τοῦ γνωστοὶ καὶ γνωσταί. ἀλλὰ δύναται εἶναι καὶ ἀπὸ τοῦ τρίτου συζυγίας τῶν περισπωμένων, ὁμοίως ὑπὸ δύνανται καὶ τὰς τοιαύτας. ἴσως δὲ καὶ ὥσπερ ἀπὸ τοῦ γενῶ γενέσθαι, συγκέκοπται ὁ ἀπὸ γένους, οὕτως ἐντεῦθεν καὶ ὁ γνωτὸς καὶ ἡ γνωτή. ἐξ ὧν τῷ σ εἰς ω τρεπομένου, οἱ γνωτοί, καὶ αἱ γνωταί. καὶ γνωσοί, οἱ συγγενεῖς.

Γνώωσιν. ἔστι γνῶμι, ἔστι συζυγίας τῶν περισπωμένων. ἐξ οὗ, γνῶ γνῶμι, ὁ δεύτερος ἀόριστος ἔγνων. ἡ μετοχὴ ὁ γνοὺς, τοῦ γνόντος. καὶ τὸ ὑποτακτικὸν, ἐὰν γνῶ. τὸ τρίτον τῶν πληθυντικῶν, ἐὰν γνῶσι. καὶ ἐὰν γνώωσι, προσθέσει τοῦ ω μεγάλου. τὰ γὰρ διὰ τοῦ καθαροῦ λειτουργοῦντα, διὰ τοῦ ω μεγάλου γράφεται. οἷον. σώω, ζώω, χώω, ῥώω, πλώω. οὕτω καὶ γνώω. ἐκ δὲ τοῦ γνώω, ὁ πληθυντικὸς...

νόμιμος ἔγνωκα. ὁ παθητικὸς, ἔγνωσμαι. ἐξ οὗ καὶ τὸ ἐγνώσθην.

ΤΟ Γ ΜΕΤΑ ΤΟΥ Ο.

Γοβρίαι, φασὶ, λαμπυρίδες. Γογγίζειν, ἐπὶ περιστερᾶς λέγεται. σημαίνει δὲ τὸ τονθορίζειν. Γογγίζω, τονθορίζω, ψιθυρίζω. Γόγγρος, εἶδος ἰχθύος, παρὰ τὸ γρῶ, τὸ ἐσθίω. Καλλίμαχος, δς ἤγαι καλυμμένα, ἀντὶ τοῦ ἔσθιεν. ἀφ᾽ οὗ ῥήματος, ὁ γραμματικός. καὶ ἐν διπλασιασμῷ, γόγγρος. ἰδίως δὲ τῶν πολυκόλλων τῆς πλοκαμίδος. Γογγρῦσαι, ὡς χοῖρος φωνῆσαι. γόγγρωνα, βρογχοκήλη, παρὰ τὸ ἐπικεῖσθαι.

Γογγρώνη, ἀπόστημα ἐν φάρυγγι. Γογγύζω, ἀπὸ τοῦ γρύζω, τὸ τῇ φωνῇ ὑποκλίνειν, καὶ καλῶ. καὶ κατὰ ἀναδιπλασιασμὸν, γογγύζω, καὶ γογγύζω. Γογγύλαι, εἶδος λαχάνου εἰσί. καὶ γογγυλίζειν, τὸ μεταστρέφειν. ἔστι δὲ καὶ γογγύλος λίθος. Γογγύλη, καὶ ἐντεῦθεν ἁμάρτημα. οἱ γὰρ παλαιοὶ ἐπὶ τοῦ στρογγύλου ἔθεντο. οἱ δὲ νῦν ἐπὶ τῆς ὑπὸ τῶν Ἑλλήνων γογγυλίδος καλουμένης. λέγει οὖν ἐπὶ τοῦ λαχάνου γογγυλίς. ἀλλὰ μὴ γογγύλη.

Γογγύλαι, σφαιρία ἐστὶ ὥσπερ κατεσκεύασται, παρὰ τὸ ἐπικεῖσθαι. Γογγύλιον, στρογγύλον. Γογγυλόστομος, ὁ στρογγύλον τὸ στόμα ἔχων. Γογγυλωτὰ, στρογγύλα, εὔτονα, γοργά.

Γόγγων, μωρός. Γογγύζειν, τονθορύζειν. τὸ ταῖς ὑσὶ φωνεῖν. ὅπερ ἔστι γογγυλίζειν. τὸ αὐτὸ καὶ γρυλίζειν λέγεται.

Γόδα, ἔντερα. μακεδόνες. Γοδᾶν, κλαίειν, πενθεῖν.

Γόδοτος, θύρα. Γοδὸν, γόητα. Γοερὸν, θρηνῶδες, λυπηρὸν, κατανυκτικόν. Γοήμενοι, ἀπὸ τοῦ γοῶ γοείμην. ὡς ἀπὸ τοῦ φορῶ, φορείμην. ἴσως δὲ καὶ ἀπὸ τοῦ γοῶ γόημι. ὡς ἵσημι ἵστημι. Γόης, ὁ πλάνος, ὁ ἀπατεών, ὁ φαρμακὸς, ὁ μάγος, ὁ ψεύστης. Γοητεία, φαρμακεία. καὶ μαγεία, ἡ δι᾽ ἐπικλήσεως δαιμόνων ἐπὶ κακῷ. εἴρηται δὲ, ἀπὸ τῶν γόων καὶ τῶν θρήνων, τῶν περὶ τοὺς τάφους γινομένων. Γοητεία δέ, ἀλλοία δὲ ἄλλως κατὰ ἀπάτην. Γόητες κυρίως, οἱ ἐπῳδαῖς εἰσὶ χρώμενοι, ἐπὶ ἀνακλήσει τῶν κατοιχομένων. καὶ γοητεία, ἡ ἐπὶ ἀναγωγῇ τῶν νεκρῶν γινομένη. ἀπὸ τοῦ γόος ὁ θρῆνος. ὥσπερ καὶ μαγγανεία, ἡ ἐπίκλησις δαιμόνων ἐστὶ ἀγαθοποιῶν, πρὸς ἀγαθοῦ τινος σύστασιν. Γοητεύω, τὸ ἀπατῶμαι, καὶ ἀπατῶ καὶ φενακίζω, αἰτιατικῇ συντάσσεται. καὶ γοητεύω τὸ διὰ μαγγανείας ἐπᾴδω δοτικῇ συντάσσεται. Γοιαῦτις, οἰνοχόη. Γοιαστὰ, φάρος.

Γοῖδα, οὐκ οἶδα. Γοίδημι, ἐπίσταμαι. Γοιλάδες, ῥυτοί. Γοίνακες, βλασοί. Γοινὸς, ἀφανής. Γοῖνος, οἶνος. Γοῖσος, μέλαν, πλατύ. Γοῦβεται, πλατύνεται, ἐλαύνεται, χαλαστεῖται, κάμπτεται, κηλαίνεται, μαλαίνεται. Γοῖτα, οἷς.

Γοιταὶ, κριθαὶ, χυλοί. Γοῖτος, ῥύπος, πάθος. Γονόσυρον, τὴν ἀπόδοσιν. σκῦλα. Γόλαμος, διωγμός. Γόλαμοι, ἀγκάλαι, ἀντιλαβίδες. Γόλαστις, καθολακωσία. Γόλθακαι, λίκνον. Γόλμις, ψάρ, τὸ ὄρνεον. Γολμοί, σολμοί.

Γολονὰ, χώρα, ἡ γολωνά. Γολόμιον, βοτάνη. Γολόριον, κίλλυρος, οἰκεῖον ταραντίνοις. Γόμος, ὄρτυγον. Γόμος, φορτίον. Γομὸς, εἶδος μέτρου ἑβραϊκοῦ. Γομφιασμὸς, συγκλαυμός. Γομφίος, ὀδόντος, κλαυθμῶσι. οἱ ἰατροὶ δὲ οὐ διὰ τοῦ φ λέγουσι. Γόμφοις, ταῖς τῶν ξύλων ἁρμογαῖς. Γομφοπαγῆ ῥήματα παρὰ τῷ Ἀριστοφάνει, ἀκριβῶς συντεθειμένα, σκληρὰ, καὶ ὄγκον ποιοῦντα. ὥσπερ αἱ καθηρμοσμέναι σανίδες.

Γόμφος κυρίως, τὸ ξύλινον καρφίον. Γομφώσασθαι, σφηνώσασθαι. γόμφοι γὰρ οἱ σφῆνες, οἱ συνείροντες τὰς σανίδας, καὶ συναρμόζοντες, καὶ συνέχοντες. Γομφῶσαι, συμπῆξαι. Γομφωτῆρες, ἧλοι. Γονᾶ, κόπτει, γεννᾶ, φθέγγεται. καὶ γυναικεῖον αἰδοῖον.

Γονάλλος, μητέρος. Γόνας, μητέρα. λάκωνες. Γονὰς, γόνυ. Γονὴς, νέρμασος τὸ φυτόν. Γονιασμὸν, γονορροίαν, τὸ πεπυκνωμένον ὑπὸ γονῆς. τέλεον δὲ λέγουσιν, ἃ ἡμεῖς γελοῖ ματα.

Γονίας,

Γλύκκα, ἡ γλυκύτης. Γλυκυθυμία, ἡ ἐπὶ τὸ χαίρειν ἡδονή, ἣ οἷον φιλοψυχία λέγεται. ἁπλῶς καὶ πᾶσα ἡδονή. Γλυκὺ ὕδωρ καὶ ὑπέχεται. Τὸ γλυκὺ πᾶσαν ἁπαλότητα, καὶ λειότητα πρὸς τὴν ἁφὴν, βαλὼν τις εἰς τὴν φάρυγγα οὗτινος, ἀπέχει. Γλυκυλάκις, ὁ ἡδὺ ἐν τῷ ὁρᾶν. Γλυκύθυμος, ἁπαλόψυχος.

Γλυκύς, παρὰ τὸ γλεῦκος, ὅ ἐστιν, ὁ νέος ἀπὸ σταφυλῆς ἀποσταζόμενος οἶνος. τὰ δὲ εἰς υς ὀξύτονα ποιοῦσι συγκριτικὰ καὶ ὑπερθετικά, οἷον, ὁ βραδύς, ἡ βραδεῖα, τὸ βραδύ. τὸ συγκριτικὸν, βραδύτερος, βραδίων, βράδιστος, οὕτως οὖν καὶ γλυκύς, γλυκεῖα, τὸ γλυκύ, τὸ συγκριτικὸν, γλυκύτερος, γλυκίων, γλύκιστος. ὅθεν τὸ πρεσβύτερος, καὶ νεώτερος παραλόγως, ἀπαραχηματίσαι γὰρ τῆς τρίτης γένοιτο. ἀλλὰ μή ἐστι ὁμοτονικὰ συγκριτικῶν ταῦτα ὑπάγονται. ἐξ οὗ γλυκαίνω, καὶ γλυκαινόμεθα. Γλυκέρα ἑταίρα τις, καὶ γλυκέριος, ὄνομα κύριον. Γλυκυσίδη, ἥτις καὶ παιωνία καλεῖται. ἔστι δὲ ῥίζα φαρμακώδης, κατὰ ἰατροὺς χαλαστική, συντελοῦσα πρὸς ἀπόκαρσιν τῶν γυναικῶν. Γλυκύφαιον, τὸ ἐρυθρόδανον, ἐρυθρόν. Γλυκύφρονες, οἱ τὰ ἐν οἴνῳ στραφέντα, καὶ ἥδιον μέλιτος ὄντα. Γλυκὺς ἀπείρῳ πόλεμος, ἐπὶ τῶν ὑπὸ ἀπειρίας πρὸς τὰ ἐπικίνδυνα προθυμουμένων. Γλύξις, ὁ ἀναμεμιγμένος οἶνος, καὶ ἄγονος. ὃν ἔνιοι μὲν, ἀπαλόχρουν, οἱ δὲ, γλεῦξιν. Γλυπτὸν, παρὰ τῷ Δαβὶδ, τὸ εἴδωλον. ἡ γλυπτὸν ἐστὶν ἄψυχον κατασκεύασμα, ἀπὸ γλύψεως τεχνίτου μιμορφωμένον. ὃ καὶ ὡς προσκαθεζόμενον ἐν αὐτῷ δαίμονα. Γλυφίδες, τὸ γλύμμα τοῦ ὀϊστοῦ, τὸ ἐμβαλλόμενον τῇ νευρᾷ. ἢ γλυφίδες, αἱ ἐντομαὶ τοῦ οἰστοῦ, αἷς ἐνίεται, ἡ νευρὰ οὕτω καλουμένη ἀρχαιολογικῶς. ὕστερον δὲ ἐκ δερμάτων βοὸς, οὐ μὴν ἐκ νεύρων, αἱ τῶν τόξων νευραί.

Γλυφίδεσσι χαλινίσας, γλύμμασι χαλινοῖς. Γλυφίς, ἡ χηλὴ τοῦ ἀκίδος, ἤγουν ἡ ἐκβολὴ τοῦ βέλους, ἡ ἐμβαλλομένη ἐν τῇ νευρᾷ τοῦ τόξου, παρὰ τὸ ἐγγεγλύφθαι, ὅ ἐστι κοιλᾶσθαι. καὶ ἡ κεφαλὴ τοῦ κίστου, γλύπτου γλυφίς. καὶ τὸ γλυφικὸν ἐγγλάφειν. Γλύφειν, ἀνάγειν, καὶ ἔργον. ὅθεν ἡ τύμφαι γλυφίαι. Γλάψαι, ξύσαι, χαράξαι. Γλώνιον, εὐώνυμον ἄξιον. Γλωρὸν, χλωρὸν. Γλωρὸν, νέμον. Γλῶσσα, ἐνίοτε καὶ διάλεκτον δηλοῖ, ὡς παρ' Ὁμήρῳ ἐν τῷ, ἄλλη δ' ἄλλων γλῶσσα, τὴν διάλεκτον γλῶσσαν λέγει, ἐξ ὀργάνου αὐτῆς. Γλῶσσα, τὸ τῆς φωνῆς ὄργανον. δηλοῖ δὲ ἔτι καὶ ἐπεξηγουμένην διάλεκτον, ὡς τὸ γλῶσσαι ἐμέμικτο. καὶ ἰστέον, ὅτι σημαίνει, ὅτι τὸ μὲν, λοιμοῖο καὶ λίμοιο καὶ ἵπποιο ἐπιπολῶν γλώσσης ἐστί. στρατιωτικὸν δὲ γλῶσσα τὸ ἀπίσω. κριτῶν γλώσσης, τὸ θηράτειον. Γλῶς, ὄνομα αἰγυπτιακόν. Γλῶσσα τεμεῖν, ἣν ἔχει Κορῖνθος ὁ σοφιστὴς ἐκ Βασιλείας. Γλωσσαλγία, ἡ φλυαρία, καὶ τὸ διὰ κενῆς λαλεῖν. Γλώσσαργον ἔθος, ἀντὶ τοῦ στωμύλον, καὶ ταχύ. Γλώσσας θύειν Ἑρμῇ. ἔθος ἦν τοῖς παλαιοῖς κρατῆρα κιρνᾶν, ὅτε μέλλοιεν καθεύδειν, καὶ τὰς γλώσσας τῶν ἱερείων ἐπιθύειν τῷ Ἑρμῇ. καὶ ἐπισπένδειν οἶνον, καὶ τοῦτο φασίν· ἐπεὶ γὰρ Ἑρμᾶς λόγος εἶναι παραδίδοται, ὄργανον δὲ αὐτοῦ, ἥτις ὑπὸ ἐπισκοπεύοντος Ἑρμοῦ, εἰκότως τῷ Ἑρμῇ αὐτὴν ἔνεσι. καὶ Ὅμηρος, γλώσσας δ' ἐν πυρὶ βάλλον. Φιλόχορος δὲ ἐν τῷ περὶ θυσιῶν φασίν, ὅτι τὸ κάλλιστον τοῦ σώματος καὶ πρωτεῦόν ἐστι. καὶ Ὅμηρος, ἐπ' ἄρα τάμνετε γλώσσας, ἀντὶ τοῦ παύσατε τοὺς λόγους. καὶ γλώσσας οὐκ ἐμπάξεται, οὐκ ἂν διαφάγοιεν, οὐκ ἂν γένοιτο. Γλῶσσ' ἐμέμικτο, ἡ πληθυντικῶς ῥητέον ἀντὶ τοῦ γλῶσσαι πολλαὶ μεμιγμέναι ἦσαν, ὡς τοὺς ἀπὸ διφθόγγου ἐκθλιβείσης, ἵνα ᾖ τὸ πλῆρες. ὅτι γλῶσσαι ἐμέμικτο, ἀντὶ τοῦ ἐμέμικτο, ὥσπερ πολλάκις, ἑνικοῦ ῥήματος ἐπαγομένου πληθυντικῷ ὀνόματι. ἀλλὰ χάριν τοῦ πλεονάζειν μᾶλλον ὁ Πίνδαρος. ἢ καὶ ἄλλως λόγω προσηγορίας ἑνικῶς ῥητέον, γλῶσσ' ἐμέμικτο. Γλωσσαστής, ὁ τῇ γλώσσῃ οἷον δαπανίδας καὶ προσβολῇ κεχρημένος, ἀπὸ μεταφορᾶς τῶν πολεμούντων. Γλωσσόκομον, τὸ μὲν τύπον καὶ ἡ θέσιν ὑπὸ ἀρχαίων ἔχει. διαφθαρμένως δὲ λέγεται ὑπὸ τῶν πολλῶν, ἡμῶν γὰρ γλωττοκομεῖον λέγομεν, ὥσπερ ἐμίλησαν καὶ οἱ ἀρχαῖοι. Γλωσσόκομον, βαλάντιον, ἡ ξυλίνη θήκη λειψάνων. Γλωσσοστροφεῖν, στωμυλεύειν, καὶ στομύλλεσθαι. Γλωσσώδης, ὃς ἦν ὁ λοίδορος ἄνθρωπος. ἀνὴρ τις γλωσσώδης, οὐ κατευθυνθήσεται ἐπὶ τῆς γῆς. Γλωσσίδας αὐλῶν, ἡ ὑποδημάτων, μὴ λέγε. ἀλλ' ὡς οἱ Δόκιμοι, γλώττας αὐλῶν, καὶ γλώττας ὑποδημάτων. Γλῶττα τοῦ κήρυκι, παρὰ τῷ Ἀριστοφάνει δίδωσιν ὅτι ἐστι. ἡ γλῶττα τοῦ θυομένου τῷ Ἑρμῇ δίδοται, ἐπειδὴ τοῦ θυομένου διαστέλλεται θῦμα. ἢ τῶν καταρωμένων, ἐπὶ αὐτῶν ἡ ἀρχή. Καλλίστρατος, διὰ τῶν θυομένων φασὶ τὰς γλώττας τοῖς κήρυξιν ἀπονέμεσθαι, διό καὶ τὴν ποιητὴν ὥσπερ τῷ Ἑρμῇ τιμωμένας αὐτάς, καὶ ταῦτα δὲ πρὸς τὴν Ἑρμῆν λέγει Νικόστρατος Διός. Νεάνθης δὲ αὐτόν φασιν, ὅτι τῶν ἱερείων ἡ γλῶττα τῷ Ἑρμῇ δίδοται, ἐν ταῖς δημοτελέσι θυσίαις. Γλώττης ἐστί γεῦσις, γεῦσις, καὶ φωνή, καὶ λόγος. καὶ ὀνόματα ἀπὸ γλώττης, εὔγλωττος, εὐγλωττία, θρασυγλωττία, καὶ γλωσσαλγία, καὶ δίγλωττος, πολύγλωττος, ἀλλόγλωσσος, ὁμόγλωσσος. ἐστι δὲ καὶ ὑπογλωσσὶς κεφαλαίου. καὶ γλωσσοτομεῖσθαι μάλιστα οἱ κωμικοί, τοὺς ἀπὸ τῆς γλώττης βιοῦντας. καὶ αὐλοῦ γλώττας. καὶ γλωττοκομεῖον τὸ τὰς γλώττας ὑποδεχόμενον ἀγγεῖον. καὶ γλωττοποιός, ὁ τεχνίτης. καὶ αὐλὸς ἄγλωττος. Ἀριστοφάνης δὲ ἄγλωττον, τὸν ἀπαίδευτον ἔφη. Σοφοκλῆς δὲ ἄγλωττον, τὸν βάρβαρον. ἀγλωττίαν δὲ Αἰσχύλος εἴρηκε. παρὰ δὲ Εὐριπίδῃ, ὁ χρυσόγλωσσος, οἱ δὲ κωμικοί, καταγλωττίζειν ἐν φιλήματι. καὶ καταγλωττισμός. καὶ καταγλωττισμένον. καὶ ἐπιγλωττισμένον, οἷον λοιδορημένον. καὶ παλίγλωσσον, τὸν δύσφημον. καὶ οὐκ ἐπιγλωττίσομαι, οὐ λοιδορήσομαι. καὶ γλώττας δὲ, τὰς τῶν ὑποδημάτων ἐλέγομεν, ὡς Πλάτων ὁ σοφώτατος. Γλώττῃ πολεμίζων, οὐκ αὐτῇ τῇ γλώττῃ πολεμῶν, ἀλλὰ τῇ γλώττῃ, καθάπερ ὅπλῳ χρώμενος. Γλωττοδηψεῖν, αἰσχρολογεῖν. Γλωττοποιός, ὁ τὰς αὐλητικὰς γλώττας ποιῶν. Γλωττοστροφεῖν, φλυαρεῖν, καὶ στωμύλλεσθαι.

Γλωττοκομεῖον, ἐν ᾧ οἱ αὐληταὶ ἀπετίθεσαν τὰς γλώττας. εἴρηται δὲ καὶ τὸ γυναικεῖον αἰδοῖον ὑπὸ Εὐβούλου, φασὶ κωμικῶν σκώπτοντος. Γλωχίν, ἡ γωνία. ὅθεν εἴκω τριγλώχινι, τρεῖς ἀκίδας ἔχοντι, τουτέστι, τριγώνῳ, παρὰ τὸ γλύψαι καὶ κοιλᾶναι. ἢ παρὰ τὸ γωνίας ἔχειν. ἢ παρὰ τὸ γλάφω, γλωχίν. ἡ γλωχῖνα τὴν ἄκραν γωνίαν λέγουσιν, ἤγουν, τὸ τῆς αἰχμῆς τμηματικόν, τουτέστι τὸ ἐμπροσθεν ὀξύ. ὡς τὸ, μελίαν χαλκογλώχινα. Γλωχῖνας, γωνίας ὑπὸ τὴν ἔνδον παρατεινομένην τοῦ θαλάσσης γλωχῖνα, εἰς ὕστερον. καὶ καλεῖ τὸν τριγλώχινι, ὅ ἐστι τριγώνῳ, παρὰ τὸ γλύψαι, ἢ γλάψαι τὸ κοιλᾶναι.

ΤΟῪ Γ, ΜΕΤᾺ ΤΟῪ Ν.

Γνάθος, καὶ γναθμός, καὶ σιαγών, καὶ γαμφηλαὶ ταυτὰ ἴσα, κατὰ πλεονασμὸν τοῦ ν. ἢ γνάθος, ἡ παρειὰ παρὰ τὴν γνάμψιν καὶ κάμψιν, ὃ κλάσιν, ὁ καμπτόμενον σιαγών εἶδος, φυσιογνωμονικὸν ἐντεῦθεν. Γνάθοι, βόθροι, κοιλώματα, σπήλαια, θαλάμαι. καὶ τὰ ἐν τῷ βαδίζειν προσκόμματα, ἀπὸ γναθμοῦ. Γνάθων, θαλερὸς, ὁ γυναικεῖος. Γναθμὸν, τοῖς γναθμοῖς τύπτειν. Γνάθων, παράσιτος. Γναθμόν, τμῆμα, καὶ σιαγόνα. παρὰ τὸ γνάπτω, γέγναπται, γναπτός, καὶ γναθμός. Γναθμοί, γνάθοι, σιαγόνες. ὡς τὸ γναθμοῖ ἐγέλασσαν, ἀντὶ τοῦ ἐπαλλοτρίωσαν, οἱ πρὸ τούτου διαλαλοῦντες. παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας υ. Γναθμοῖσιν γελῶν ἀλλοτρίοις. παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας υ. λέγει δὲ, ὅτι, τὸ γναθμοῖς γελᾶν ἀλλοτρίοις, ὃ νῦν ἐπιπολάζει λέγεσθαι παροιμιακῶς. τοὺς γάρ τοι, ἐφ' οἷς μὴ ἄξιον γελῶντας ἐκ θυμοῦ, ἢ ἀμηχανίας ὑπὸ, ξένας φαμὲν γελᾶν παρειαῖς. ὥσπερ καὶ τοὺς πρὸς βίαν ἐσθίοντας, ἀλλοτρίοις ἐσθίειν γναθμοῖς, ὡς τῶν οἰκείων λήθην ἐχόντων. καὶ ἔστιν ὁ τοιοῦτος γέλως, ὁ τηλόσε, ὡς παρὰ τὴν συνήθειαν. καὶ ἄλλως δὲ φράσαι,

ἀέριον, ἔχει πῶς συγγενῶ, καὶ αὐτὸ καὶ τὰ παραγόμενα ἐξ αὐτ. διὸ τὸ γλαυκώπην ἐπιθετικῶς τῇ ἀθηνᾷ ὡς ἀέριον. τὸ βλοσυρόν, διὰ ὅτι δὲ καὶ ἡ γλαυξ. εἴκαζε τῇ ἀθηνᾷ, οὐ μόνον ὡς [illegible] ἡ σύνεσις, κατὰ τὸ [illegible] [illegible] ταῖς βουλαῖς [illegible], ἀλλὰ καὶ διὰ [illegible] [illegible] γλαυκὸν [illegible]. Γλαφυρόν, σπηλαῖον.

Γλάφυ [illegible]

[illegible]

κίδιον, καὶ κοῖτος κύριον, καὶ φαιδρὸς, καὶ φαῖδος ὁ παρὰ Πλάτωνι. καὶ λαγὼς δὲ ὁ ἀδόκιμος ἰταλὸς λαγὰς, τοῦ Λεωνίδου χ τ κακοῦ. ὁμοίως καὶ λαγὸς ὁ ἀλεξανδρεύς, τ ζώου λαγοῦ. εὕρηται γὰρ καὶ διπλῆ ἡ κλίσις ἡ ζώα. οὕτως ἄργας εἰς τὸν παρ' Ἡσιόδῳ κύκλωπα, τοῦ ἀργῆς ὁ κεραυνὸς. καὶ λάρος τὸ ζῶον, ὅν λαρὸς ὁ εὐθυκτὸς. ἀργὸς ἄπειρος, τὸ οὐρανοῦ τὰς τύπας, ὡς τὸ σιγαλὸς ἐμπαιδομενον. καὶ ὅμοιον δὲ πρῶτον καὶ ὁ ἄραβος τὸ κύριον, τ ἀραβὸς τ ὑπ' ἀρὰν ὅτι ἐκάρατος. ἡ τῶν ἀρπαγῶν δέ, ὅτι διὰ πάντων, ὁ ἁρπάγη. σκιὸς αὐτὸ, ὁ τὸς κάθυς ἀπολλυμένων ὁμοίως καὶ θαλάμαι μὲν βαρυτόνως, γυναῖκα καταδεδεγμένος. θαλαμαὶ δέ, τόποι ἱεροὶ Διοσκούρων, ὡς Αἴλιος Διονύσιος παρασημειοῦται, ἔχει δὲ παρασημειώσεις τιαύτας, καὶ ὁ Φιλόξενος, ἐν αἷς καὶ ὅτι γέλοιος μὲν, ὁ καταγέλαστος προπαροξυτόνως. γελοῖος δὲ ὀξυτόνως ὁ γελωτοποιός. καὶ δόλιχος μὲν, πόλις ἐπίρριον. δολιχὴ δὲ, ἡ μακρὰ, καὶ ζωὴ μὲν ἡ τ ζώου ὕπαρξις. ζώη δὲ, τὸ ἐπάνω τ μέλιτος φασὶν ἐφιστάμενον, ἢ γάλακτος, ὃ καλεῖται γραῦς, καὶ θάμβος μὲν ἡ ἔκπληξις. θαμβὸς δὲ κατὰ ἐξέφραστιν ὁ ἐκπληκτικός. ὁ μύλλος μὲν κύριον, μυλλὸς δὲ εἰ Ἀντεγραμμένος τὸν ὄφιν. καὶ ῥίπη μὲν, πόλις, ῥιπὴ δὲ, ἡ πνοή. καὶ ῥόδιος μὲν τὸ ἐθνικὸν, ῥοδίος δὲ, ποταμὸς φυλάσσος κατὰ Ὅμηρον. καὶ σίμος μὲν, ἰχθύς, σιμὸς δὲ, τὸ ἐπίθετον. καὶ σαφύλα μὲν, τεκτονικὸν σκεῦος βαρυτόνως. σαφυλὴ δὲ, ὁ κλῆρος, καὶ ἡ περὶ τὸ σῶμα, ἡ ἀπὸ ... καὶ ἅλις μὲν, ἐπίρρημα, ἀλὶς δὲ, ἡ ἀλμυρίς. ἔθιμ ἰσίως γίνεσθαι καὶ ἅλις. καὶ ἄκρις μὲν, πόλεως ὄνομα, καὶ ὄρος ἐξοχή. ἀκρὶς δὲ ζωύφιον, τιούτῳ δὲ παντὸς τρόπου. ὁ ἀσφόδελος μὲν, ὁ φυτὸν, ἀσφοδελὸς δὲ, ὁ τόπος αὐτοῦ. καὶ ὀρὸς ὀξυτόνως δὲ λέγεται τοῦ γάλακτος ὑποστάθμη κατὰ Ὅμηρον, οὕτω γὰρ ἐπιστρέφει. ὄρος δὲ, οὐ μόνον τοῦ ὑψηλοῦ τόπου ἐπιδεικτικόν, ἀλλὰ καὶ ὁ παρὰ τὰς γλουτούς τόπος ὁ λεγόμενος ταῦρον φασίν, ὅς φασιν Ἐρίνιος ... ἐν τῷ περὶ διαφόρων σημαινομένων. ὅθεν καὶ τοῦ ὀρνίθων ὁ τόπος φασὶν οὗτος, οὐροπύγιον καλεῖται. ὡς ὄρος ὀρτυγος πτερὰ, καὶ εἰς ὀροπύγιον, ὅπερ ὑποστέλλουσι τὰ ἄλογα ζῶα ἐν τῷ ὑλακτεῖν. ἔστι ἐκ τ παρακολουθοῦντος ὀρωλὴν, τὸ φοβεῖσθαι, καὶ ἐπὶ ἀνθρώπων. ἐπεὶ καὶ αὐτὸν οἱ ὑλακτοῦμεν, περὶ ἃ ὑποστᾶσα ὑπάθωσι τὸ κέλαιον. ὁμοίως δ' ἄλλον, ἢ ὅτι τὸ ἔρρωλον καὶ ἐρρωλὸν γράφω, πρὸς ὁμοιότητα τ ἀκαρὶς ἡ ἀκρίς. ὁ δὲ ῥηθεὶς Ἐρίνιος ἄλλα λέγων φησὶν ὅτι, ἄρρωλον κατὰ σίγησιν λέγεται τὸ μὴ ὄρρωδον, περιπλέκεσθαι, ἀλλὰ καταφρονεῖν καὶ τεθαρρηκέναι. ἔτι τῶν διαφόρως τονουμένων ἐστὶ, καὶ ὁ ἐπὶ τῶν ὑγρῶν ἀφρὸς. καὶ ἄκρος τὸ ἐθνικόν. καὶ ὁ ἐπὶ οἰκημάτων θόλος, καὶ ὁ τῆς σηπίας θολός. καὶ ὁ κατὰ πάθος λυγμὸς, καὶ ὁ τῶν ἀλιέων κύρτος. καὶ ὁ τροχὸς γῦρος, ὁ ἀπλῶς κύκλος, καὶ ὁ τοὺς ὤμους γυρός. καὶ μὴν καὶ ἡ κατ' ἐπέργασιν πρωτότυπος ... καὶ ἡ παρασυνθέτων τόνων, πρωτότυπος παῖς, καὶ ὅσα τ συστοιχεῖ τούτῳ. εἰσὶν ἔτι διαφόρως τονούμενα σημαίνοντα, οὕτω καὶ τόσ ὁ ... τὸ κύριον, καὶ ὁ τῆς χειρὸς πολ ... ὁ ἰδιόμορφος. καὶ πόρφη ὁ ... καὶ ὁ τ ἐκ ἄλλους, ... πρὸς ὁ ... καὶ μυρία μὲν, τὰ ἁπλῶς πολλά. μυρία δὲ, τὰ ἐν δέκα χιλιάσι. καὶ ἴλλος μὲν, ὁ ὀφθαλμὸς, ἰλλὸς δὲ, ὁ στραβὸς. καὶ ξάνθος μὲν, τὸ κύριον καὶ ποταμός, ξανθὸς δὲ, ὁ κατὰ τὰς τρίχας πυρρός. καὶ βρότος μὲν ὁ ἄνθρωπος, βροτὸς δὲ ὁ μολυσμὸς ὁ ἐξ αἵματος. καὶ τύρος μὲν πόλις, τυρὸς δὲ ὁ πηκτὸς γάλα. καὶ λευκός μὲν κύριον, λευκὸς δὲ, τὸ ἐπίθετον, οὐ θηλυκὸν, λευκὴ ἄλλως ὀνομάζεται παρὰ τῶν λοιπῶν ἡ φυτόν. καὶ βοσκός μὲν κύριον, βοσκὸς δὲ, ὁ σύμμαχος. καὶ φροντὶς μὲν, ἡ μέριμνα, φρόντις δὲ, κύριον θηλυκὸν ἐν Ἰλιάδι, ... δὲ ἐν Ὀδυσσείᾳ. οὕτω δὲ καὶ ἐπὶ χρόνου μὲν ὀξύνονται, ὁ καιρὸς. ἄλλως δὲ προπαροξυνόμενα καῖρος, ὁ μίτωμα. καὶ τόρος μὲν, ἐργαλεῖον τεκτονικόν, ὁ καὶ τέρετρος, τορὸς δὲ, ὁ σαφής. ἐξ οὗ καὶ διάτορος, καὶ ταῦτα μὲν οὕτω βραχέα μὲν ἐκ πολλῶν μυρίων.

Γλάξ, βοτάνη γάλακτος ποιητική. παρὰ τὸ γάλακτος εἶναι αὐξητικὴ ταῖς θηλαζούσαις, γάλαξ, καὶ γλάξ.

Γλαῦξ. ἰστέον ὅτι οὐ μόνον γλαῦξ εἴρηται ἀθηνᾶ, ὡς καὶ ἀλλαχοῦ εἴρηται, ἀλλὰ καὶ τὸ εἶδος ἐρωδιοῦ, καθὰ δηλοῖ καὶ ὁ ποιητὴς ἐν Ι, τοῖσι δὲ δεξιὸν ἧκεν ἐρωδιὸν ἐγγὺς ὁδοῖο, Παλλὰς Ἀθηναίη. εἰ καὶ ἄλλως ἀφροδίσιον ὄρνεον ὁ ἐρωδιὸς εἶναι δοκεῖ, κατ' ἄλλο εἶδος ἐρωδιοῦ. διὸ οὐ μόνον ἀπὸ τ ἕλος γίνεται ἑλωδιὸς, καὶ ἐπτάσσει τ ε εἰς ω, καὶ τροπῇ τοῦ λ εἰς ρ. κατὰ δὲ ἑλῶ ἐλαύνω καὶ ἐρῶ, ἐρωδιὸς μετὰ προσγεγραμμένου τοῦ ι, ὡς ἐν ἄλλοις εἴρηται. εἰ καὶ καλλιδιανός φησιν ὁ φιλόσοφος ἀναλέγει, ἐν οἷς καταλέγει τ ὀρθογραφίας. ἀλλὰ καὶ ἀπὸ τοῦ ἔρως ἔρωτος ἐρωτιδιος. καὶ ἀποβολῇ τ τ, ἐρωΐδιος καὶ συναιρέσει ἐρωδιος. καὶ κατὰ ἀκολουθίαν τῶν ἐπὶ ὀρνίθων τ αἰγυπιὸς, χαραδριὸς, οὕτω καὶ ἐρωδιὸς κατὰ τόνον ὀξύν.

Γλαὺξ, π. ταινὸν πετεινὸν, ὃ καὶ τῇ ἀθηνᾷ προσανατίθεται. παρὰ τὸ γλαύσσω τὸ λάμπω, γλαύσσω, κατὰ ἀφαίρεσιν τοῦ υ, γλαὺξ. ὡς θώσσω, θώξ, θῶσσω, αἴξ. ἔστι γὰρ ὀξυωπέστατον τὸ ζῶον, ἐν νυκτὶ ὁρᾶν δυνάμενον. Δαμόκριτος δὲ ἱστορεῖ ὅτι μόνον τῶν γαμψωνύχων καὶ σαρκοφάγων, μὴ τυφλὰ τίκτειν, ὅτι πολὺ πυρῶδες καὶ θερμὸν περὶ τοὺς ὀφθαλμοὺς ἔχει, ὃ σφοδρῶς ὀξὺ καὶ τμητικὸν ὑπάρχον, διαιρεῖ καὶ ἀναμίγνυσι τὴν ὅρασιν. διὸ καὶ ἐν ταῖς σκοτεινοτάταις ὁρᾷ, ἐξ ὧν τὸ περὶ αὐτοῦ τῶν ὄψεων. Γλαὺξ, ἱερὸν ὄρνεον ἀθηνᾶς, ἐπιχωριάζον ἐν Λαυρίῳ τῆς ἀττικῆς, ὅπου γίνεται χρυσᾶ μέταλλα. τοῦτο ἡ πίστις εἰς εἶναι σύμβολον ἐλογίζετο. ὅθεν καὶ παροιμίαι, γλαῦκας εἰς ἀθήνας. γλαῦκες λαυρειωτικαὶ, καὶ γλαὺξ ἵπταται, ... δὲ τῷ ἀττικῷ χρυσῷ νομίσματι, καὶ γλαὺξ ὄνομα. Εὐφρόνιός φησιν, ἀττικοὶ μὲν παροξύνουσιν, οἱ δὲ λοιποὶ ὀξύνουσι. γλαῦκα δὲ τὴν ἀθηνᾶν, φασὶ δὲ κατὰ τὸ ἀληθές. γλαῦκα διακεῖσθαι, τὴν νίκην τοῖς ἀθηναίοις ἀπαγγέλλουσαν.

Ἄλλως. Γλαὺξ ἵπταται παροιμία, ὅτι ἡ πίστις τῆς γλαυκὸς εἰς νίκης σύμβολον ἐλογίζετο. Καὶ ἑτέρα παροιμία, γλαῦκες λαυρειωτικαὶ, ἐπὶ τῶν πολλὰ χρήματα ἐχόντων. παρ' ὅσον ἐν Λαυρίῳ τ ἀττικῆς, γίνεται χρύσεα μέταλλα. ἐνεχάραττον δὲ γλαῦκας ἐν τοῖς χρυσοῖς νομίσμασι. Καὶ ἑτέρα παροιμία, γλαύκου τέχνη, ἐπὶ τῶν ῥᾳδίως κατεργαζομένων, ἀπὸ γλαύκου τινὸς σαμίου, ὃς πρῶτος σιδήρου κόλλησιν εὗρεν. λέγεται δὲ ἡ γλαὺξ καὶ χαλαίς.

Γλαυκώπιον, τὴν ἀκρόπολιν οἱ ἀρχαῖοι, ἢ τὸ ἐν ἀκροπόλει τ ἀθηνᾶς ἱερὸν, ἀπὸ γλαύκου τινὸς αὐτόχθονος, ἐν ᾧ τόπῳ τοῦτο κατιδρύσαντος.

Γλαύσσειν, ἀντὶ τ λάμπειν, ὡς τὸ, ὅτι γλαύσσει δ' ἀνθεῖ. ἐξ οὗ γλαυκῶπις, καὶ γλαύσσειν, φαύσσειν καὶ γλαυκὸς τὸ ἐπίθετον, σημαίνει τὴν ἔχουσαν πυρώδη τὰ ὄμματα, παρὰ τὸ γλαύσσω λαμπὸς, ὡς λεύσσω λευκός. παρὰ δὲ τὸ γλαυκὸς, γίνεται ῥῆμα παράγωγον, γλαυκῶ, καὶ γλαυκιῶ. γλαυκιῶσα, ἡ κόρη, ἡ λευκή. γλαυκὸν γὰρ λαμπρὸν, θρασὺ, ἱταμόν.

Γλαυκῶπις, ἤτοι γλαυκόφθαλμος, καλὴ, ἢ γλαυκηὸς, ἢ καταπληκτικὸς τοὺς ὦπας, ὅ ἐστι τοὺς ὀφθαλμοὺς ἔχουσα, ἢ ἀπὸ τοῦ λευκὴν γλαύσσειν τοῖς ὀφθαλμοῖς, ὅ ἐστιν ἀπαυγάζειν. ἢ ἀπὸ τ γλαυκὰ ὁρᾶσθαι, τουτέστιν ἐνηγύπτεσθαι. ἢ ἀπὸ τοῦ γλαυκώπιου ὄρους, ὅ λυκαβηττὸς καλεῖται, ἢ παρὰ τὸ γλαύσσω γλαύξω. ἐξ οὗ καὶ ἡ γλαὺξ, καὶ γλαυκῶπις ἀθηνᾶ, οὐ μόνον γραφικὸς ὡς ἁπλῶς γλαυκὸς ἔχουσα τοὺς ὀφθαλμοὺς, ἀλλὰ καὶ ... εἰ ... τὴν ὄψιν καὶ ἐκπληκτικὴν, κατὰ τὰ γλαυκωπὰ τ θηρίων. γλαυκοὶ γάρ εἰσι λέοντες οἱ βασιλικοὶ, καὶ λέοντες ... ἀφαίνεσθαι δὲ ὡς τῶν ... τῶν γλαυκῶπα καλεῖ. γλαυκῶπις οὖν καὶ ἡ φοβερά. τὸ δὲ γλαυκὸν, ἀπὸ τοῦ γλαύσσω ... τὸ θεωρῶ. καὶ δηλοῖ τὸ ὑπόλευκον καὶ εὐόρατον. ἡ τοίνυν κατὰ τὸ γλαύσσειν καὶ τὸ

θαι, καὶ μὴ ἀντίῤῥησιν ἔχειν πεπαῦσθαι. Γίνομαι, ἀμεταβάτως, καὶ συγγίνομαι ἐπὶ δέ(?)... περιγίνομαι τοῦδε, ἀντὶ τοῦ νικῶ, μεταβατικῶς. Γενόμενα, καὶ γινόμενα, διαφέρει. τὰ μὲν γὰρ γενόμενα ἢ ἀπέβη, ἢ οὔ, τὰ δὲ γινόμενα, πάντως ἀπέβη. Γίνονται, ἀντὶ τοῦ ὑπάρχουσι, καὶ τελοῦσιν ἀμεταβάτως. οἷον, πάντες οἱ τὴν ὁδὸν συμβαίνουσι καὶ ἀκούουσι καὶ γίνονται τέλειοι. Γινώσκω, καὶ ἁπλῶς τὸ γινώσκειν. οἱ μὲν ὕστερον Ἀττικοὶ μετὰ καὶ δευτέρου τοῦ γ γιγνώσκειν φασίν, ὡς καὶ ὁ κωμικὸς δηλοῖ καθὰ καὶ τὸ γίγνεσθαι. Ὅμηρος μὲν ὡς ἀρχαιικώτερος ἀγνοεῖ καὶ ἐν ἀμφοῖν τὸ δεύτερον γ. ἔστι δὲ ὅμως ἀκριβέστερον τὸ τοῦ ὕστερον, εἰ καὶ εὐφωνότερον τὸ τοῦ Ὁμήρου. ὡς γάρ φησιν Ἡρακλείδης, καθάπερ τελῶ τελέσκω(?) ἱκνοῦς(?), καὶ θορῶ θορίσκω, καὶ μελῶ μελίσκω, ἐξ ὧν τὸ θρώσκω, ἔτι δὲ καὶ βλώσκω. οὕτω καὶ ἐκ τοῦ νοῶ, γίνεται νοίσκω, καὶ καθὰ συναίρεσιν, νώσκω, καὶ προσθέσει τοῦ γ αἰολικῶς, γνώσκω. ἐπεὶ καὶ τὸ νοῶ, γνοῶ φασὶν οἱ αἰολεῖς, ὅθεν καὶ ἡ χρῆσις ἀγνοῶ. ἐκ δὲ τοῦ γνώσκω πάντως κατὰ ἀναδιπλασιασμὸν, τὸ γινώσκω. λέγεται δὲ ὁ αὐτὸς, καὶ ὡς οἱ ὑπερῶται(?) προ... λεβίνοι(?) καὶ αὐτοὶ τὸ γ ταῖς λέξεσι, τὸ δοῦπον, γδοῦπον λέγοντες, ὅθεν καὶ ἐρίγδουπος πόσις Ἥρης. καὶ ἀπὸ τοῦ νόφος νόφος καὶ γνόφος. λέγει δὲ καὶ ἐν τῇ γνώμῃ πλεονάζειν τὸ γ, ὡς ἀπὸ τοῦ νοῶ, νοήσω, νώμη καὶ γνώμη, οὕτω δέ πως καὶ ὁ παρὰ τῷ κωμικῷ γλάμων, πλεονασμὸν ἔχει τοῦ γ. λήμη γὰρ, καὶ ἐπιθετικῶς(?), λήμων, ὁ λημῶν τοὺς ὀφθαλμοὺς, καὶ πλεονασμῷ τοῦ γ καὶ συστολῇ, γλάμων. Γινώσκω γινώσκεις γινώσκει. τὰ δυϊκά, ἴστον, ἴστον κατὰ συγκοπήν. τὰ πληθυντικά, ἴσμεν, ἴστε, ἴσασι. γινώσκω ἐνεστώς, ἐγίνωσκον παρατατικὸς, γνώσομαι μέλλων, καὶ εἰδήσω, καὶ εἴσομαι, καὶ ἔγνων ἀόριστος, ἔγνωκα παρακείμενος, καὶ οἶδα, τὸ δεύτερον οἶδας, καὶ πλεονασμῷ τῆς συλλαβῆς, οἴδαθα(?), καὶ συγκοπῇ, οἶσθα. γινώσκω τὸ νοῶ. διαγινώσκω δὲ, τὸ διακρίνω, καὶ καταγινώσκω, ἐπὶ κατηγορίας, καὶ γινώσκω ἐγὼ ... καὶ γίνωσκε τὸ καλὸν τὰ ἀξιώματα(?), ἀντὶ τοῦ πράττε καλά. γνωρίζω ἕτερον ἑτέρῳ, ἀντὶ τοῦ γνώριμον ποιῶ. καὶ γνωρίζει ὁ ὗς τὴν τοῦ συβώτου φωνήν, ἤγουν ἀναγνωρίζει, ὅπερ κυρίως ἐπὶ τῶν ἀπὸ νόσου ἀνασφαλλόντων λέγεται, ἢ ἀναγινωσκόντων τοὺς γνωρίμους, οὓς ἐν τῇ νόσῳ ἠγνόουν. Γινώσκω σοι χάριν, ὁμοίως καὶ οἶδα, καὶ ἐπίσταμαι, ἀντὶ τοῦ χάριν ἔχω, καὶ γινώσκω γράφειν. ὅταν δὲ ἁπλῶς σημαίνῃ τὸ εἰδέναι, πρὸς μετοχὴν ἡ σύνταξις γίνεται. οἷον, οἶδά σε γράφοντα, γινώσκω σε χαίροντα(?) ὄντα. καὶ γινώσκω τὴν γραφὴν, καὶ οἶδα, καὶ ἐπίσταμαι, ἀντὶ τοῦ γνῶσιν ἔχω, ἢ γινώσκω, ἐπίσταμαι, δαΐω, καταμανθάνω, οἶδα. Γίξαι, χωροῦσαι(?). Γιο, αὐτοῦ. Γίπη, εἴπη. Γίς, ἱμὰς, καὶ γῦ, καὶ ἰσχύς. Γισάμενοι, εἰδότες(?). Γίσσα(?), φθείρας. Γιστὴρ, ἴδρις(?). Γίστερ(?), μικρὸν τεῖχος. Γισία, ἰσχία(?) τα. Γισίαι, ἰσουργεί(?). Γισῶ, παύσομαι. Γιχὼρ, ἰχώρ. Γιτέα, ἰτέα. Γίτ...(?), τὰ δύο αἰδοῖα.

ΤΟ Γ ΜΕΤΑ ΤΟΥ Α.

Γλάγος, τὸ γάλα, ἐκ δὲ τοῦ γάλακτος γενικῆς γίνεται γλάκος, καὶ γλάγος, ἀντὶ τοῦ λευκός. Γλαγόεσσα(?), γεγαλακτωμένας. Γλαγκιάζει(?), κράζει, πρίζει(?). Γλάξει, πρίζεται(?), κέκραγε. Γλαινοί, τὰ λαμπρύσματα τῶν περικεφαλαιῶν, οἷον ἀστέρες. Γλακισμοί(?), λόφοι. Γλακτοί(?), λευκὸς, ἐκ τοῦ γάλακτος γενικῆς. γλάκος, καὶ γλάγος. ἄρνειοί τε γλαγερῶν λαιμαξέδαν(?) ... Γλακκόν(?), γαλαθηνόν. Γλακκῶντες, μεστοὶ γάλακτος. Γλάμματα, ἀστράγαλοι.

Γλάμυξα(?), ὄμματα, ὧν οἱ κανθοὶ φυρώδεις(?) καὶ γλαμυρὰν, τὸ γλαμῶν, ὅπερ ἐστὶ λημῶν. Γλαμία, πόλις Κρήτης. Γλαμὸς, μῶρα(?). Γλάμπτειν(?), πίνειν. Γλαμυρὸν, καὶ γλαμυῶδες, ὑγρὸν καὶ κεκλιμένον(?) δακρύοις ὄμμα. καὶ γλαμυροὺς, ὑγροβλεφάρους(?).

Γλαμφοί, χαλινοὶ στόματος. Γλάμων, ὁ ἔχων λήμας, ὁ ἀκάθαρτος. Καλλίστρατός φησιν, ὅτι οὕτως ἐκάλει(?) γλάμων, ὁ σ... χάρων(?). ἄλλοι δὲ τὸν λημῶντα καὶ δίυγρον τοὺς ὀφθαλμούς. Σοφοκλῆς ἐν μάντεσιν, ἐπὶ ... ὀρνίθων(?) ὄψεις γλαμυροὺς καὶ ... φορβόν(?).

Γλάνος, ποταμὸς Ἰταλίας, καὶ κώμης. ἔνθα καὶ ὁ ὁμώνυμος ἰχθὺς ὁ γλάνος, εἶδος ἰχθύος. Γλανοί, ἄγριοι. Γλάξ, βοτάνης εἶδος γαλακτοποιητικῆς(?), παρὰ τὸ γάλακτος εἶναι αὐξητικὴν ταῖς θηλαζούσαις. γάλαξ, καὶ γλάξ. Γλάπτω, τὸ κολάπτω, ὁ μέλλων γλάψω, ὁ παρακείμενος γέγλαφα, ὁ παθητικὸς γέγλαμμαι. Γλαφίς(?), λιθοξοϊκὸν ἐργαλεῖον, παρὰ τὸ γλάπτω τὸ κολάπτω, καὶ γλαφίς, ὁ ... Γλάσσων(?), μωρὸς, ἀπαίδευτος. Γλαῦκας εἰς Ἀθήνας, περὶ γλαυκὸς φασὶν οἱ παλαιοί, ὡς ὄρνεος. διὰ σκότους εἶδε(?), ἤγουν ἐν σκότει καὶ νυκτὶ ὡς ἡμέραν, ἤγουν κατὰ τὴν τῶν ἡμέραν ἀποτυφλοῦται, ξηρότητι καὶ λεπτότητι τοῦ περὶ τὸν ὀφθαλμὸν ὑγροτάτου, μὴ φέροντος τὴν πρὸς τὸ φῶς σύγκρισιν(?). ἡ δὲ περὶ Γλαυκὸς παροιμία λέγεται, γλαῦξ εἰς Ἀθήνας, ἐμφαίνει μὲν καὶ ἱστορίαν καὶ αὐτὴ, φίλον εἶναι πλεῖστον(?), Ἀθηνᾶς τὴν γλαῦκα. λαμβάνεται δὲ, ἐπὶ τῶν συμβαλλόντων, ἔνθα μὴ χρεία συμβολῆς, ἢ ἐπὶ τῶν θαμιζόντων, ἔνθα πολὺ τοῦτο πλῆθος. οἱ δὲ παλαιοί φασι, καὶ ὅτι τὸ γλαῦκας Ἀθήναζε, ἁρμοστέον ἐπὶ τῶν ἀλλαχόθεν μέτρων(?), ὡς ἐκεῖνα ... ἐμπορευμένων(?), ὃ καὶ εἶναι ὅμοιον τῷ, ὕδωρ(?) ἐς κρουνὸν ἤγαγε, ἢ ἰχθὺν εἰς θάλασσαν. ἔτι δὲ ἡ γλαῦξ οὐ μόνον ὁρᾶται κακεῖ(?)..., ἀλλὰ καὶ περιττεύεται(?) ἀθηναϊκῶς, δηλοῦται ... Γλαῦκες, ἀντὶ τοῦ νομίσματα εἴρηται παρὰ τῷ Ἀριστοφάνει, ἡ γὰρ γλαῦξ ὄρνεόν ἐστιν Ἀθηνᾶς, ὅπερ πάντες ... Ἀθηναῖοι διὰ τὴν θεὸν, ἐν δὲ τοῖς τετραδράχμοις ἐνεχάραξαν νομίσμασι. Γλαυκὰ, ἰσχυρά, φοβερά, λευκά. Γλαυκὴν θάλασσαν λέγει Ὅμηρος. σημειοῦνται οἱ παλαιοί, ὅτι ἅπαξ γλαυκὴν εἶπε τὴν θάλασσαν ὁ ποιητὴς, ἐπιθετικῶς. Γλαυκία, ἡ γλαύκιον, βοτάνη τις. Γλαυκίζον, τὸ ἀμβλυῶττον. Γλαύκιος, ὁ τὸ γλαυκὸν ἔχων ἐν τῷ ὀφθαλμῷ, παρὰ τὸ γλαύσσω, ὃ ἐστι λάμπω. Γλαυκιόων, ἀντὶ τοῦ ἔμπυρον βλέπων, κατὰ τοὺς παλαιούς, παρὰ τὸ γλαύσσω. ἀφ᾽ οὗ καὶ γλαῦξ, ἣν μόνην τῶν γαμψωνύχων καὶ σαρκοφάγων, φασὶ μὴ τίκτειν τυφλά, διὰ τὸ περὶ τοὺς ὀφθαλμοὺς πυρῶδες. ὅ γε λευκὸν ὂν, διαιρεῖ τὴν θέαν, διὸ καὶ ἐν ταῖς σκοτομήναις ὁρᾷ. ἔνιοι δὲ γλαυκιᾶν φασι, τὸ στρέφειν τοὺς ὀφθαλμούς. καὶ τὸ γλαυκὸν αὐτὸ ἀποφαίνειν(?). Γλαυκώπιον, τὴν ἀκρόπολιν οἱ ἀρχαῖοι, ἢ τὸ ἐν ἀκροπόλει τῆς Ἀθηνᾶς ἱερὸν, ἀπὸ Γλαυκώπου τινὸς αὐτόχθονος, ἐν τῷ τόπῳ τούτῳ κατοικήσαντος. Γλαῦκος, πρὸς διάφορον σημασίαν βαρύνεται, πρὸς διαφορὰν γὰρ τοῦ γλαυκὸς ἐπιθέτου. οὕτω δὲ ἐγνώσθη καὶ τὸ λεῦκος πρὸς τὸ λευκός, ὁμοίως καὶ ἄργος, καὶ ἀργός, καὶ ἄλλα μυρία. ἐν οἷς καὶ τὸ Διένεκος(?), κύριον κατὰ Ἡρόδοτον, ... ἄριστος γενόμενος ἐν τῇ μάχῃ τῶν Θερμοπυλῶν. καὶ ἐρημὸς δὲ ὁ ἔρημος τόπος. καὶ ἔρημος πόλις. διάφορος δὲ εὐλόγως τονώσεως καὶ ὁ πυρρὸς, ὁ πυρσόθριξ, καὶ Πύρρος κύριον. καὶ γόργος(?), ὁ κατὰ κόλπον(?), καὶ ὁ γυρὸς ὅμοιος, ἀπὸ ... ὅθεν καὶ ... γυραί. καὶ κυρτὸς ὁ κατὰ πάθος. καὶ κύρτος ὁ ζωγρευτικός. Γλαῦκος, παρὰ τοῖς Ἴβηρσι(?) ... γένος καλούμενος. καὶ γλαῦκος, τὸ γένος ... καὶ ὄνομα κύριον. κατὰ δὲ ..., ὁ γλαῦκος, Ἀθηναῖος ἦν, καὶ ἁλιεὺς, ὃς ἐμμανὴς γενόμενος, ἥλατο εἰς τὴν θάλασσαν. ἰχθὺν γὰρ ἀλιευόμενον(?) καὶ ῥίψας νεκρὸν εἰς γῆν, εἶδε προσεγγίσαντα βοτάνῃ καὶ ἀναζήσαντα, φαγὼν δὲ καὶ αὐτὸς, γέγονεν ἀθάνατος, καὶ οὐκ ἀγήρως, καὶ ἥλατο εἰς τὴν θάλασσαν. μαντεύεται δὲ, ὡς παρ᾽ Ὁμήρῳ, Πρωτεύς, καὶ παρὰ Πινδάρῳ, Τρίτων, τοῖς ἀργοναύταις. τὴν δὲ βοτάνην, ἣν ἐγεύσατο, φασὶ ..., ἀείζωον εἶναι. καὶ γλαυκὰ, ὅτε μικρὰ ... λέγεται, διὰ τὴν ὄψιν τοῦ ὕδατος. Γλαῦκος, τὸ κύριον διασεσωσμένον(?) τοῦ ἐπιθετικῶς λεγομένου γλαυκοῦ κατὰ τὸ προπερισπᾶσθαι. ἀκόλουθον δὲ παρὰ γλαυκοῦ, καὶ παρὰ γλαύσσω καὶ ἡ γλαυκὴ θάλασσα. καὶ ὁ γλαῦκος τὸ κύριον. ὅμοιον καὶ κυνὸς τὸ ἐπίθετον.

μένω. ἰδιάζουσιν, οἱ λάμιοι. Γεύσια, εἶδος ἐκ τῆς ἀφίλιμα. Γεύεσθαι, κατέχεσθαι. Γεοῦχος, ὁ τὴν γῆν συνέχων.

Γετίπαιδες, οἱ λεγόμενοι ἀγγελιῶται, οἱονεὶ γετίπαιδες, οἱ γειτόνων παῖδες. Γεπέδων, Δείναρχος ἐν τῷ περὶ στεφάνων, γεπέδων ἔφορος καὶ χορίων. Πλάτων γοῦν ἐν τῷ ἐνάτῳ τῶν νόμων φησὶν, ὧν ἔλαχεν οἰκοπέδων, ἢ γηπέδων. Γεπόνος, γεωργὸς, γεωμόρος. Γέραι, παρὰ γέρα. Γεραιὸς, ἀπὸ ἐτῶν πεντηκονταπέντε, ἕως τῶν ἑξηκονταπέντε. Γεραιρία, ἡ γραῦς. καὶ γεραλαῖος ὁ γέρων. καὶ γεράλιον, οἱ δ' ἀστέρας. Γεράλιον, φιμὸν, μέλαν. Γεράμων, γραῖα. Γεράντεσι, γηράσι. διαλεκτικόν ἐστι τῆς καὶ ἐκ τῆς γηρῶ γενικῆς, τὸ γέρημι. οὗ μετοχὴ γηράντες, καὶ γηράντεσι. γηρὰς, γηράω, γηρῶ, γηράσω, ἐγήρασα, ὁ γηράσας, τοῦ γηράσαντος. καὶ κατὰ συγκοπὴν, γηράντος. ἀφ' οὗ γηράντι, εὐθεῖα καὶ αἰτιατικὴ τῶν δυικῶν. καὶ γηράντεσιν, αἰολικὴ τῶν πληθυντικῶν. Γέρανος αὐλὸν, ἢ τὸν ὅλον λέγει. ἢ ὡς ἐπὶ οἴκου γέρανος αὐλὸς, ἢ εἰς τὸ γῆρας ἐσταλμένος. Γῆρας, ὄφεως δέρμα. Γεράς, κεῖται παρ' Ἡσιόδῳ ἐν τῷ, γηράντεσι παισί. γίνεται δὲ τὸ γηρὰς ἐκ τοῦ γηράσας κατὰ ἀποκοπὴν, ὁμοίως τῷ ἐπικλώσας ἐπίκλως. ἢ ἀπὸ ἀρρήτου ἐνεστῶτος τοῦ γέρημι. ἐξ οὗ ἴσως καὶ τὸ ἐν ἐντεῦθεν πατρὸς ἐγήρα. ὡς γὰρ ἵστημι, ας, η, οὕτω γήρημι, ἐγήρην, ας, α, καὶ τροπῇ ἐγήρα, εἰ δ' ἀπὸ τοῦ γηράω, ῶ, τὸ ἐγήρα. ὅρα καὶ εἰκοστῷ κεῖται, καὶ κανόνα τὸ γηράς, καὶ τὸ κοινὸν, τὸ ἐγήρα. Γῆρας λεπτὸν, τὸ δέρμα ὅσα καὶ τὸ ἐκδυόμενον τοῦ ὄφεως. Ἢ ἄλλως, τὸ ἐσχάτιμον, τὸ ἐναντίον τὸ χαλεπόν. καὶ γῆρας, ἡ παρακμὴ τοῦ σώματος, ἡ φθίσις σώματος, φυσικῶς ὑπὸ χρόνου γινομένη. παρὰ τὸ γέρας, ἕπεται γὰρ τοῖς γέρουσιν, ἡ τιμή. Γῆρας γαλεώτου, τὸ δέρμα ὀνομαστὸν, ἔοικε δὲ τὸ ζῶον κατὰ τοὺς ὄφεις εἶναι. καὶ γὰρ ἐπὶ τούτων φαμὲν γῆρας ὄφεων, γηράσκουσι γὰρ οἱ ὄφεις, ἀποξύουσι τὸ τῆς λεβηρίδος πάχος. Γεράσκει, φθίνει, λήγει. Γηράσκοντα, κομίζοντα, γηροκομοῦντα. Γηράω, ῶ, γηράσω, ἐγήρασα, ὁ γηράσας τοῦ γηράσαντος. καὶ κατὰ συγκοπὴν. γήραντος, ἀφ' οὗ γήραντι, εὐθεῖα καὶ αἰτιατικὴ τῶν δυικῶν. καὶ γηράντεσι, αἰολικὴ τῶν πληθυντικῶν. Γηράω, ῶ, ἀντὶ τοῦ γέρων εἰμί. γηράσκομαι, ἀντὶ τοῦ γήρως ἅπτομαι, γηράναι, καὶ καταγηράναι, ἀρχαιότερον. οἱ δ' ὕστερον, γηράσαι καὶ καταγηράσαι. Γέρα, τὰ τῶν μικρῶν ἆθλα. Γέρασμα, τόπος. καὶ γήρασμα, ἐπὶ τὸ παλαιόν. Γέρης, τὰ τοῦ ἀπαλοῦ ἐμφυόμενα, ἅπερ ἔνιοι πάππους λέγουσι. Γερίτας, βοῦς. Γερεὶ, γεωλόφοι. Γηροτροφεῖν, προσήκει παρὰ γήρᾳ. ὁμοίως γηροτροφεῖσθαι, γηροκομεῖν, γηροτροφηθῆναι. καὶ γηροτρόφοι. καὶ ἐγγηρᾶναι, καὶ καταγηρᾶναι. τὸ πρῶτον, γηροβοσκεῖν εἴρηκε. Ξενοφῶν, τὴν ἀγήρων δόξαν. τὸ πρῶτον δὲ, τὴν ἀγήρων χρόνον. Σοφοκλῆς, τὴν ἀγήρω καὶ Πλάτων τὴν ἀγήρω κόσμον. Εὐριπίδης δὲ κόσμον ἀγήρω, καὶ ἄλλοι πολλοί. Θουκυδίδης, τὴν ἀγήρων. ὡς καὶ Εὐριπίδης τὸν ἀγήρων ἀριθμὸν. καὶ Δημοσθένης, τὰς ἀγήρως ἡμᾶς.

Γηροχεῖται, ὑπὸ γήρως ὀχεῖται. ἢ γῆρας τῆς ἀρχῆς ἔχει.

Γηρύεσθαι, φθέγγεσθαι, λέγειν. Γηρυόνης, γίνεται μὲν βόσκημα παῖς, καὶ ὁ πατρὸς ὠκεανοῦ καλλιρόης, λέω δ' ὑπερ περὶ τὴν τάφον ἐκεῖσε ἐσῶτα κατακλείεται αἷμα τὸ ἦν καὶ τρικέφαλος τὸ σῶμα, ὁ γηρυόνης. Γῆρυς, ἡ φωνή. καὶ γηρύω, τὸ φωνῶ. γῆρυς δὲ, παρὰ τὸ γέρας, ὃ τοῖς γέρουσιν ἕπεται. Γηρυόντας, φωνοῦντας, λέγοντας. Γηρυὼν, ὁ ἥρως ὁ ἐν ἐρυθείᾳ τὰς βοῦς ἔχων. Γηρυόνειον δένδρον. καὶ γηρυόνειον μνῆμα.

Γηρύω, τὸ φωνῶ, ὅθεν γῆρυς, ἡ φωνή. Γηρῶ, γηράσκω. γηρῶ, καὶ γηράσκω, ἀμεταβάτως. Γηροβοσκεῖ, γηροτροφεῖ, γηράσαι, καὶ γηράσω. Γηροκομῶ, τὸ τοῦ γήρως ἐπιμελοῦμαι. ὅθεν γηροκομεῖον. Γηροκομῶ, τὸ γῶ, μετὰ. ἐκ τοῦ γῆρας γέρασον, γήρως, καὶ τοῦ κομῶ, τὸ ἐπιμελοῦμαι. τὰ δὲ παρὰ ἀπλῶν γινόμενα σύνθετα, διὰ τοῦ ω μεγάλου γράφεται, οἷον ἀμφιφόρος γηροκόμος, καὶ παιδαγωγὸς, καὶ ἰατρός. Γηροκομεῖν, μετὰ. γηροτροφεῖν, μετὰ ἀρόν. Γηρωκόμεται, γηροτροφεῖται. Γηροτροφῶ, τὸ ἐν γήρᾳ τρέφω ἑαυτόν. καὶ γηροβοσκὸς, τὸ αὐτό. ἀπὸ μεταφορᾶς τῶν βοσκημάτων ζώων, γηροτροφῶ, γηροβοσκῶ, γηροκομῶ. Γῆς βάρος, ἐπὶ τοὺς μηδὲν ὠφελοῦντων. Γῆς ἄγαλμα, γυναῖκα πλούτουσι ἢ ἐσίαν, οἱονεὶ ἡ γῆν, τόμησον βασάνισον, ἐπειδὴ τοὺς ἀγαθοὺς ἡ γῆ ὑφ' ἑαυτὴν συγκλείει. Γῆς ὀμφαλὸς, ὁ ναὸς τοῦ Ἀπόλλωνος. Γῆς, ἄλλως ἄχθη. ἀγχὰ δεῖ ἐπιλαμβάνειν αὐτῆς φυσικὸν ἀμαρτάνειν, ἐπεὶ ὅσον ἄχθος ἀρούρης. τὸ γὰρ φυσικὸν βάρος, καλὸν, τὸ δ' ἄλλως, μάταιον, κακόν. Γῆς μαντεῖον, τῇ κωμῳδίᾳ, παρὰ τῷ Ἱπποκράτει. Γήτεια, εἶδος λαχάνων ἀγρίων, παροιμιώδους τοῖς λακωνικοῖς πράξεις. καὶ τοῦ ἀνάλυσμα, ὡς τὸ ἀμπελόπρασον.

Γήτειον, τὸ χλωρὸν κρόμμυον. Γηγενῆ στέρια, αἱ παρὰ Ἀλεξάνδρῳ ἐπὶ στολαί, οὕτω καλούμεναι. Γηφάγοι, πένητες, ἄπορα, ὡς τὰς ἐκ τῆς βοτάνης σιτίζεσθαι, τροφῆς ἀπορούντων.

Γῆ χύτρη, τὸ ἔμβρυον μέρος τῆς γῆς, τὸ μαλακὸν καὶ εὐδιάλυτον, παρὰ τῷ Ἱπποκράτει. Γηῶσαι, ἐπίμικτον, γεωργεῖν τόπον.

Γηώρας, ὁ ἀπόξενος, τοῦ φιλήσαι, καὶ γέρας ὁ ὀψίτης.

ΤΟΥ Γ ΜΕΤΑ ΤΟΥ Ι.

Βελωβίνα, πόλις λακεδαιμονίων. Βελφεγὼρ, βεελ, ὁ κρόνος. φεγὼρ, ὁ τόπος ἐν ᾧ ἐλάτρευον. Βεμβεῖσθαι, δινεῖσθαι. Βεμβικιῶσι, δινευόντων. βέμβιξ δὲ ὁ ξύλινος στρόμβος. ὡς ἐν ἐπιγράμματι, Οἱ δ' ἄρ' ὑπὸ πληγῇσι θοὰς βέμβικας ἔχοντες, εὔστροφον εὐρείῃ παῖδες ἐνὶ τριόδῳ. καὶ Ἀριστοφάνης, βέμβικος οὐδὲν διαφέρειν δεῖ. ἀντὶ τοῦ, εὐκίνητον καὶ εὔστροφον εἶναι δεῖ. ἔστι δὲ βέμβιξ ἐργαλεῖον, ὃν μάστιγι στρέφουσιν οἱ παῖδες. ἢ παίγνιον τῶν παίδων, ὡς τροχὸς, ὃς μάστιγι δερόμενος στρέφεται. καὶ βεμβικιᾶν, τὸ περιστρέφεσθαι. Βέμβικες, περιφοραὶ, περιαγωγαί. Βέμβικος δίκην, ῥόμβου δίκην. ἐπὶ τοῦ τὸν φεύγοντα μὴ ἐπ' εὐθείας τὴν φυγὴν ποιεῖσθαι, ἀλλ' εἱλεῖσθαι. Βέμβιξ, ὁ στρόμβος, ὃν οἱ παῖδες στρέφοντες καὶ παίοντες ἱμᾶσι, παίζουσι. βέμβηξ τις ὤν, παρὰ τὸ πέμπεσθαι καὶ ἐλαύνεσθαι. Βεμβίδιον, ἰχθύδιον λεπτόν. Βέμβλευ, ἐφρόντισεν. Βέμβλυκον, ἐν τοῖς χείλεσι, ἄγων, πάρισι. Βεμβράνα, ῥωμαϊκώτερον τὰ εἰλητὰ ἐκάλεσαν. ὡς ἀπὸ τῆς ἐν ῥώμῃ συνηθείας, ἀδιαφόρως τῇ λέξει συγκεχρημένος. ἀφ' ἧς δὴ καὶ ἔγραφε τῇ ἐπιστολῇ. Βεμβράς, εἶδος ἰχθύος εὐτελοῦς καὶ βράδεος. ὁμοίως καὶ βράδεις καὶ χλαί. Βεμβρὸς, τετυφωμένος, πάροινος. Βεμξ, δεσξ.

Βεμόριξ, κοῖτος, συστροφὴ ἀνέμων, ῥόμβος, στρόβιλος, τροχός.

Βένδις, ἡ ἄρτεμις, θρᾳκιστί. παρὰ δὲ ἀθηναίοις, ἑορτὴ βενδίδεια. Βενεβεντὸν λέγουσι, τὴν τῶν πνευμάτων βίαν. Βενεβεντὸς, πόλις καλαβρίων, ἣν ἔκτισε Διομήδης. Βενεφίκιον, ὄνομα εἶδος χάριτός τι καὶ δωρεᾶς. τὸ γὰρ τῶν λατίνων διάλεκτον οὕτως ἡ λέξις, εὐεργεσίαν δηλοῖ, πρὸς ἑλληνίδα μεθερμηνευομένη διάλεκτον. Βένθος, τὸ βάθος. καὶ οὐ μόνον ἐπὶ θαλάσσης λέγεται, ἀλλὰ καὶ ἐπὶ ξυλόχου ὕλης, καὶ σπηλαίου λάβος. ἔστι δὲ καὶ ἐπὶ στρατιωτικῆς τάξεως τὸ βάθος. ὑπονοεῖται δὲ καὶ ἐπὶ μεγέθους πόλεως, ὡς δηλοῖ τὸ, κατ' ἄστυ φῶν πόλιν. ἐπὶ βάθος γὰρ οὐ καταδῦναι. Βένδιον, ἀντὶ τοῦ βέλτιον κρῆτες λέγουσι. Βέομαι, ὃ δὴ οὐκ ἂν χωρισθείη τῆς χώρας. τὸ θέμα τὸ βίω, ἐξ οὗ ἡ βία παράγεται. δηλοῖ γὰρ τὸ βιάζομαι, ἢ βιωθήσομαι. δύναται δὲ δηλοῦν καὶ τὸ βαίνω. ἵνα λέγῃ παρ' Ὁμήρῳ ἐν τῷ ο τῆς ἰλιάδος ὁ ποσειδῶν, ὅτι οὐκ ὀφείλω βαίνειν ὑπὸ ταῖς διὸς φρεσίν. Βέρκαλον, ξύλον. Βέρβινα, ξύλα κατακλώμενα. ἐξ ὧν τὰς λαμπάδας ἐποίουν. οἱ δὲ, γένος τι ἀρωματικὸν τὰς βερβεινας. Βεργαῖος, ὁ ἀπὸ πόλεως βέργης. Βέρεδον, τὸ καβάλλιον. Βέρεθρον, βάθος, βάραθρον κατώτατον, ἔσχατον. ἢ σπηλαίου τόπος, ἢ κοίλωμα καταχθόνιον. ἢ βέρεθρον, κοινῶς μὲν βάραθρον. κατὰ μακεδόνας δέ φασι, ἢ ζέρεθρον λέγεται. πολλὰ δὲ τὸ βέρεθρον ἔχει ἐκ τοῦ βάθρον, ὥσπερ καὶ τὸ πένθος ἐκ τοῦ πάθους, καὶ βένθος ἐκ τοῦ βάθους, οἷον ἀνάλογον κατά γε φωνήν. ἢ τὸ βένθος ἐπὶ ὑπερβολῆς παρὰ τὸ κοιμηθῆναι. ἐξ οὗ τὸ βρένθειον, μύρον ἐν ἐκείνῳ περικλειόμενον. ἐξ ὧν ῥῆμα τὸ βρενθύεσθαι, ἤγουν καταστρυφᾶν ἀλαζονικῶς. Βερεκύνδαι, δαίμονές τινες, καὶ ῥόμβοι. Βερεκύνται, φρυγῶν τι γένος. πρότερον γὰρ βερεκυντία ἡ φρυγία, καὶ αὐλὸς βερεκύνθιος. καὶ βερεκυντίας, ἄνεμος οὕτω καλούμενος. Βερενίκη, ἡ γυνὴ τοῦ πατρὸς πτολεμαίου.

Βερίχιθος, οἱ ἀνέμοι. πέπλασται δὲ ἡ λέξις. Βέρνα, τόπος. Βέρνος, ὁ φρατρίας. καὶ βερνάδαι, φρατρίδαι. Βέρνος, ἡ ἔλαφος, ὑπὸ λακώνων. Βερνὶς, ἀκρίς. Βέρνεται, φυσιοῦται. Βερνώμεθα, κληρωσόμεθα, λάκωνες. Βεροία, πόλις, καὶ ἑτέρα διὰ τοῦ ι ψιλοῦ γράφεται. Βερονικίδαι, δῆμος πτολεμαΐδος φυλῆς. Βερσονικίδες, εἶδος ὑποδήματος γυναικείου. Βερονίκης πλόκαμος. τοῦτον κατηστερίσθη φησὶ Κόνων. καὶ βάθος δὲ ὡς ἀρχαιάδων οὕτω καλεῖται. καὶ βερονίκη, πόλις. Βερονίκιον, εἶδος βοτάνης. Βερρίαι, κληρῶσαι. Βερρίδες, φρατρίδες. Βέρρης, φρατέρες. Βέρροια, πόλις μακεδονίας. ἄλλοι δὲ διὰ τοῦ ι βέροια, πόλις μακεδόνων. Βερρὸν, δασύ. Βέσκεροι, ἄρτοι ὑπὸ λακώνων.

Βεσὸν, εἶδος, καὶ ὁ τῶν ἰχθύων ἔμπορος. λάκωνες δὲ, βιοτικόν.

Βεσία, τὰ θηρία κατὰ τὴν ῥωμαίων διάλεκτον. Βεσῖνος, εἶδος ἐν ἰταλίᾳ, θηριώδεις τὸν τρόπον. Βέσον, τὸ ἱμάτιον ὑπὸ λακώνων. Βεστιαρίτης, ὁ ῥάπτης. βέστια γὰρ παρὰ ῥωμαίοις τὰ ἱμάτια. Βεστιάριον κυρίως, ἐν ᾧ τὰ βασιλικὰ ἐνδύματα φυλάσσονται, ἢ ἡ ἱματιοθήκη. Βέτης, τὸ ἐπίκαρσον μέρος τοῦ ἱεροῦ. Βέτιθρον, βάθος. Βετερανὸς, ὁ ἀπολυθεὶς τῆς στρατείας. ἐπὶ εὐγενείας δὲ οὐδεὶς ἐδούλευον. Βέτων, ὁ πάνυ εὐτελής. Βεύδιον, τὸ γυναικεῖον ἱμάτιον, ἢ τὸ πορφυροῦν.

Βεχὶς, εἶδος σταφίδος.

ΤῸ Β ΜΕΤᾺ ΤΟΥ͂ Η.

Βῆλ' ὁ γέρων, ἀντὶ τοῦ ἔβα δὲ, ἐπορεύθη. οἱ γὰρ δωριεῖς ἔθος ἔχουσιν τὰ συνηρημένα συστέλλειν εἰς βραχὺ τὸ η. οἷον τόσσα ἀντὶ τοῦ ἔστησε, δῶκεν ἀντὶ τοῦ ἔδωκε, δίδωκεν ἀντὶ τοῦ ἔδωκε, καὶ ἄλλα πολλὰ παραπλησίως. Βῆβαλος, εἶδος ὄρνεως, λέγεται ὑπό τινων. τρέπεται δὲ τὸ δ εἰς β. ὥστε, δελφοὶ βελφοί, ὀδελίσκοι ὀβελίσκοι. Βήζω, φωνεῖ. Βῆκα, ἀναδελφούς. Βῆσι, βάδιζε, μίμνε. Βηθλεεμίτης, ὁ ἀπὸ τῆς βηθλεὲμ πόλεως. Βήκη, χίμαιρα. Βηκέσις, προβάτοις, παρὰ τῷ ἱπποκράτει. Βηκάσιον, εἶδος βοτάνης. Βῆλα, βληχᾶται, ἡ θύει. Βῆλθος, ἡ ἥρα. ἢ ἡ ἀφροδίτη. Βηλὸς συνήθως, ὁ τῆς οἰκίας βατὴρ, παρὰ τὸ βαίνεσθαι. ὡς καὶ οὐδὸς, παρὰ τὸ ὁδεύεσθαι. ἔνθεν καὶ τόπος ἀβέβηλος μὲν, οἱ ἱεροὶ καὶ ἄβατοι. βέβηλοι δὲ, οἱ βατοὶ καὶ τοῖς τυχοῦσι. Βηλὸν δέ φασι τὸν ἀρχαῖον, τὸν περίοδον τοῦ αἰθέρος, καὶ τῶν ἄστρων. ἔνιοι δὲ, τὸν ἄνω τόπον καὶ πάντα περιέχοντα ἀέρα. τινὲς δέ φασι τὴν βάσιν τὴν βηλὸν κατὰ ἀθηναίους μὲν ἔλαχεν εἶναι, κατὰ δὲ χαλδαίους οὐρανόν. εἴρηται δὲ ὁ ῥητὸς βηλός. τὸ δὲ κύριον καὶ τὸ ποταμοῦ, περισπᾶται. βαρυτόνως δὲ βηλὸς εἴρηται πρὸς διακολλητὴν μὲν θείων, ἀλλὰ βεβήλων. Βηλοῦ. δηλοῖ ὅτι ὁ Κράτης (ὡς φασιν οἱ παλαιοί) τὸ βηλοῦ ὁ ἐστι βαθμοῦ, ὀξυτόνως ἀναγινώσκει βήλα, ὡς ὅλον. καινὸν δέ φασιν οὐδὲν ἐν οὐρανῷ βηλὸν εἶναι, ὅπου καὶ πάλαι δῆλον δὲ, ὡς ἀπὸ τοῦ βῶ βήσω, παράγεται ὁ βηλός. ἐξ οὗ καὶ βέβηλος κυρίως, ὁ καὶ ὑπὸ τυχόντος βάσιμος. καὶ ἀνάπαλιν ἀβέβηλος, ὁ μὴ πατητός. Βηλῷ, βαθμῷ, βατῆρι, οὐδῷ. Βῆ, περισπᾶται. βῆ δ' ἀκέων, ἀντὶ τοῦ ἐπορεύθη. παρὰ τὸ βῶ βῆμι, ὁ δεύτερος ἀόριστος ἔβην. Βῆμα, παράγεται ἀπὸ τοῦ βῶ βέβηκα βέβαμαι, βῆμα. ὁ λίθος τοῦ δικαστηρίου, ἐν ᾧ ὁ τόπος ἐν ᾧ κάθεται βασιλεὺς ἢ κριτὴς, τοῦ πλήθους παριστάμενον. καὶ ἡ τοῦ ποδὸς βάσις.

Βῆμα, πρόβατα. Βῆμα, δικαστικὴ τράπεζα. οὐ μακρὰν δὲ τοῦ πυλῶν, τὸ δικαστικὸν βῆμα προσέταξε δοθῆναι. Βηματίζει, τὸ βῆς ποσὶ μετρεῖν. ἔστι δέ πως ἡ λέξις μακεδονική. Βήμεναι, ἀντὶ τοῦ βῆναι λέγουσι δωριεῖς. Βῆ, ἐπορεύθη. Βῆν. ἰστέον ὅτι τὸ βῆν ἡ μονοσυλλαβία περιέσπασθαι. ἄλλως γὰρ τὸ πλῆθος αὐτοῦ, ἤγουν τὸ ἔβην παραδέχεται. ἀμέλει κατὰ Ἡρακλείδην, ὁριστικὸν ὑπάρχει τοῦτο λῆγον, μὴ πάντως συστελλόμενον ἐν πρώτῳ προσώπῳ, εἰ μὴ μονοσύλλαβον εἴη, μονοσύλλαβον μέν τοι περισπᾶται. οἷον βῆν ἔβην, στῆν ἔστην. οὐκοῦν ὡς εἰκὸς καὶ τὸ χρῆν προσλήψει τοῦ ν, ἢν ἀπὸ τοῦ χρῶ, εἴη ἂν ὁριστικὸν ῥῆμα. ἔστι δὲ οὐ τοιοῦτο κατὰ αὐτὸν, ἀλλὰ δωρικὸν ἀπαρέμφατον κατὰ τὸ ζῆν, καὶ τὰ ὅμοια. πᾶν γάρ φασι ῥῆμα εἰς ην λῆγον, καὶ περισπώμενον, οὐκ ἄλλο τί ἐστιν ἢ ἀπαρέμφατον. καὶ βοᾶν παρὰ δωριεῦσιν, εἰ φιλεῖν καὶ νοεῖν διὰ τοῦ η φασίν. οὐκ οὖν φασιν καὶ ἐχρῆν. Βῆσος, κακοτός. Βηῶδης, ἡ φωνὴ τῶν προβάτων. Βὴξ, ἡ λύγξ, ἢ βρόγχος, τόσημα τῶν ἔσω τοῦ σώματος. ἢ βρογχῶν, ἡ ἀλγησις, ἡ φλεγμονὴ

Βείνειν, παρὰ Σόλωνι, τὸ βίᾳ μίγνυσθαι. τὸ δὲ κατὰ νόμον, γαμεῖν. Βεμβικᾶν, τὸ παχυλικᾶν, καὶ τὸ ὀρχεῖν ἐπὶ συνουσίαν ἔχειν. Βείομαι, γίνεται ἀπὸ τοῦ βῶ βείω, ὡς κῶ κείω, θῶ θείω. ἢ ἄλλως ἀπὸ τοῦ βίω, πλεονασμῷ τοῦ ε βείω. ὁμοίως γὰρ εἰμὶ σείω. ὡς τὸ, οὔτι Διὸς βέομαι φρεσίν. ἀντὶ τοῦ οὐδαμῶς κατὰ τὴν αὐτοῦ γνώμην βιώσομαι, ἀλλὰ κατὰ τὴν ἐμαυτοῦ. διὸ οὐδαμῶς ὑπὸ Διὸς ἐπιταγὰς ποιήσομαι. Βείομαι. Ὅμηρος, τί νύ μοι ἐγὼ δειλὴ ἀντί του βείομαι. ζήσω, τί δὲ βιώσομαι αἰνὰ παθοῦσα, σεῦ ἀποτεθνηῶτος. Βείονται, καταπαύονται. Βείρακες, ἵρακες.

Βεραῖαι, ἡ ἀρχαϊκή. Βείριξ, ἰλλιγγος. Βειρὸν, δασύ. Βείω, ποιητικόν. ὅ ἐστι τοῦ πορίζομαι καὶ ζῶ, λαμβάνεσθαι. ἀπὸ τοῦ βῶ παράγεται κατὰ πλεονασμὸν τῆς ει διφθόγγου, βῶ βείω.

Βεκὰς, μακράν. Βεκκεσέληνε, ζήτει ἐν τῷ ἔχουσι. καὶ βεκκεσέληνα, ἀνοητότατα. ἢ ἀρχαῖα, πτίσιν ἀνοητότατα.

Βέκκος, ἄρτον. Βεκὸς, ἄρτος, ἢ ἄδηλος. φρύγες. Βεκσίλληνος, σεληνοπληκτος. Βέκιλος πρόβατον. Βέλα, ἥλιος καὶ αὐγή. Βελαῖνα, κώμη Λακωνική. Βελᾶς, οὖρον, καὶ καταγελαστέε. Βελγαῖος, ἀπὸ πόλεως Βέλγης.

Βέλγιος, ποταμὸς ἐν Λιβύῃ. Βέλεα, βέλη. Βελέβατος, ὁ τοῦ πυρὸς ἀήρ. Βαβυλώνιοι. Βελιβέλια, βελόνα. Βέλει, ἀντὶ τοῦ βέλει. καὶ ἔγχει, ἀντὶ τοῦ ἔγχει ἰωνικῶς λέγουσιν. οἱ γὰρ διαιροῦντες τὴν ει λεγόντων ἐκεῖνοι διαλεκτον, ἰώνων εἰσί.

Βέλικος, ζώνιον. ἔοικε δὲ τοῖς λαθύροις. Βέλεμνα, τὰ βέλη. παρὰ τὸ βέλος βέλεμνος, ὡς ἔχω ἔχεμος. Βέλη φησὶν Ὅμηρος. οἷκος, λίθος, δόρατα. ἢ εἴ τι ἄλλο ἀφίεται μακρόθεν. ὁ δὲ Πίνδαρος φρονικῶς, βέλη τοὺς λόγους εἴρηκε, διὰ τὸ ὀξὺ καὶ καίριον τῆς ἑρμηνείας. φθέγγομαι δὲ τὸ Διονύσου. καὶ λέγει βέλη, τὰ ποιήματα. καὶ βέλος, πᾶν ὃ κατὰ ἰσχὺς βαλλόμενον. παρὰ τὸ βάλλω βέλος. καὶ τραῦμα παρ' Ὁμήρῳ. πᾶν γὰρ τὸ ἀπὸ διαστήματος πεμπόμενον, βέλος καλεῖται. Βέλεμα, κώλυμα, φράγμα ἐν ποταμῷ. Λάκωνες. Βελίδ, φάκον. καὶ βελίδ τῇ ἑρμηνείᾳ φωτὸς τὴν ἀπαισίαν δηλοῖ. ὡς ὁ Ἀριστοτέλης, Τίς δὲ συμφωνεῖς χρυσῷ πρὸς βελίαν; Βέλλαι, ῥαφίδες ταλασίαι. Βελλαίονται, ἀλειφθήσονται. Βέλλειν, μέλλειν. Βελλεροφόντην, τὸν προεστάμενον παθεῖν τὰ κακά. βέλλερα γὰρ, τὰ κακά. τὰ εἰς της ὀρθωτικὰ μὴ ὄντα σύνθετα παρὰ τὸ κρατῶ, ἢ κράτος, μὴ ἔχοντα ὑποτέρων εἰς το, εἰς ου ἔχει τὴν γενικήν. οἷον πολίτης πολίτου, μελέτης μελέτου, Βελλεροφόντης Βελλεροφόντου. πρόσκειται ὀρθωτικά, διὰ τὸ κακότης φιλότης. μὴ ὄντα δὲ σύνθετα παρὰ τὸ κρατῶ ἢ κράτος, διὰ τὸ ἱπποκράτης ἱπποκράτους. πρόσκειται μὴ ἔχοντα ὑποτέρων εἰς δα, διὰ τὸ ἐννεάτης ἐννεάτης ἐννεάτου. οὗτος δὲ εἰ μὲν σημαίνει τὴν συμπαθητικὴν ἡλικίαν, ἐννεάτης ἐννεάτου. εἰ δὲ κύριος, ἐννεάτης ὀξύνεται. καὶ Βελλεροφόντην, ἐπειδὴ τὰ πρῶτα κυριολεκτεῖσθαι, ὁ Λεωφόντην. ἀπολέσαντα δὲ Βέλλερον Λυκίων κορίνθιον, μεταθέσθαι τὸ ὄνομα καὶ φυγεῖν εἰς Ἄργος. καὶ τυχεῖν παρὰ τοῦ Προίτου τοῦ σωθῆναι καθάρσεως. εἶτα παθεῖν ἔνεκα τῆς τοῦ Ἀντείας διαβολῆς. ἰστέον δὲ, ὅτι τὴν παρ' Ὁμήρῳ τούτου ἄντειαν, Σθενέβοιαν ἄλλοι καλοῦσιν, ὡς καὶ Εὐριπίδης. καθὰ καὶ μέμνηται καὶ ὁ κωμικός. ὅτι δὲ ὁ Βελλεροφόντης καὶ Βελλεροφῶν τετρασυλλάβως λέγεται, ποιητὴς ἕτερος δηλοῖ. δῆλον δὲ, ὡς ἐκ τοῦ Βελλεροφόντης κατὰ συγκοπὴν, ὡς ζωοφόρων ζωοφῶν. δῆλον δὲ, ὅτι καὶ Ἐλλεροφόντην τοῦτον ἐκόμισαν καλεῖσθαι. ἐν δὲ Ἀρημβρικῷ, εὕρηται καὶ Βέλλορος λεγόμενος. Βελλεροφόντης, εἰκότως ὁ συνεργὸς ἀνὴρ, καὶ ὡς εἶχεν παθόντα, καὶ ὡς ἂν λέγοι Βελλεροφόντης, ὡς φονεὺς κακῶν. βέλλερα γάρ φασι κατὰ διάλεκτον, τὰ κακά. ζήτει εἰς τὸ χίμαιραν.

Ἄλλως. Βελλεροφόντης ὁ κορίνθιος, ὁ καὶ ἱππόνους πρότερον καλούμενος, ἀνὴρ ὑπάρχων γενναῖος, ἄκων ἀπέκτεινεν Βέλλερον, ἢ τὸν ἴδιον ἀδελφὸν ἤλαινον, ἢ Πειρῆνα, ἢ Ἀλκίμενον, ἐλθὼν εἰς Ἄργος πρὸς Προῖτον καθαίρεται. ἄντεια δὲ ἡ Σθενέβοια γυνὴ Προίτου ἐρωτικῶς ἐπεμαίνετο Βελλεροφόντη. ὡς δὲ οὐκ ἐπείθετο συγγενέσθαι αὐτῇ, διαβάλλεται παρ' αὐτῆς Προίτῳ ὡς πειράζων αὐτήν. Προῖτος δὲ αὐτοχειρίᾳ τοῦτον ἀπολέσαι οὐκ ἠθέλησε, κατά τι παλαιὸν ἔθος ἐπικρατοῦν, τὸ μὴ συμφαγόντας ἀλλήλοις παρ' ἀλλήλων ἀναιρεῖσθαι, εἰ μὴ οὕτως ἀκουσίως συμβῇ. διὰ τοῦτο καὶ Προῖτος ἀπολέσαι Βελλεροφόντην οὐκ ἠθέλησε. πέμπει δὲ αὐτὸν εἰς Λυκίαν πρὸς Ἰοβάτην τὸν πενθερὸν αὐτοῦ, γράμματα δοὺς κατ' αὐτοῦ περιέχοντα τὴν τῆς αἰτίας διαβολήν. καὶ Ἰοβάτης ὁμοίως ἡμέρας ἐννέα συνεσθιασάμενος αὐτῷ, τῇ δεκάτῃ τὰ γράμματα ἀναγνοὺς, ἐπεὶ μηδ' αὐτὸς εἶχεν αὐτὸν ἀπολεῖν διὰ τὸ συμφαγεῖν μετ' αὐτοῦ, κελεύει τοῦτον ἀπελθεῖν, καὶ πολεμῆσαι Χίμαιραν, εἶτα Σολύμοις, εἶτα Ἀμαζόσιν. οἱ θεοὶ δὲ τούτῳ ἐπτερωμένον ἵππον (ὃν φασι Πήγασον) ἀπέστειλαν. ὃ ἐποχηθεὶς, τὴν Χίμαιραν μὲν ἀνεῖλε, μόλιβδον γὰρ αὐτοῦ δόρατι ἐπιθεὶς, καὶ ἐμβαλὼν ἐπὶ τοῦ στόματος αὐτῆς. ἀφ' οὗ πυρὸς ὁ μόλιβδος συντακεὶς, ἐκείνην ἀπέκτεινεν. ἦν γὰρ πνέουσα ὥστε τὸ πῦρ τῆς Χιμαίρας φυλάξαι, καθά φησι Λυσίας ὁ ῥήτωρ. μυθικῶς οὕτως οὖν ἐκείνην ἀνεῖλε. νικᾷ δὲ Σολύμους, καὶ τὰς Ἀμαζόνας πολέμῳ. ὑποστρέφοντα δὲ ἐνέδρα Λυκίων ἔμελλεν αὐτὸν ἀπολεῖν. ὡς δὲ καὶ τοὺς ἐνέδρα ἀνεῖλεν, Ἰοβάτης γαμβρὸν ἔχειν ἐπὶ φιλογονίᾳ τῇ θυγατρὶ αὐτοῦ, ᾗ τελευτῶν αὐτῷ τὴν βασιλείαν καταλιμπάνει. Βελλεροφόντης δὲ (ὥς φασί τινες) ἐπαρθεὶς τοῖς κατορθώμασιν, ἠθέλησεν οὖν διὰ Πηγάσου τὸν οὐρανὸν περιπλεῦσαι. Ζεὺς δὲ οἶστρον ἐπὶ Πήγασον βαλὼν, ἐποίησεν Βελλεροφόντην ἀποστραφῆναι τοῦ ἱππικοῦ νώτου, καὶ καταβαλεῖν αὐτὸν εἰς γῆν. καὶ δὴ περὶ τὸ Ἀλήϊον πεδίον κατενεχθεὶς ὁ Βελλεροφόντης, καὶ περιπλανώμενος χωλὸς ἀπὸ τῆς πτώσεως, ὁ πήγασος ἄνω περιεπτάτο καὶ κάτω. ἢ γοῦν ἡμέρᾳ τῶν παρὰ τοῦ Διὸς αἰτεῖται, ὡς ἂν ἐγχρήσαι αὐτῷ τὸν ἀμβρόσιον πῶλον βαδίζειν. ταῦτα δέ εἰσι τὰ λογικὰ καὶ μυθικά. Εὐριπίδης δὲ ἐν δράματι, χωλὸν εἰσάγει τὸν Βελλεροφόντην, διὰ τὸ πεπτωκέναι ὑπὸ τοῦ Πηγάσου. Βέλλεται, ὀκνεῖται. Βέλλιον, ἀτυχέστερον. Βέλλις, τρυφαλία. Λάκωνες. Βελλόνης, τριόρχης. Λάκωνες. Βελόνη, τὸ σιδήριον, δι' οὗ ῥάπτουσι τὰ ἐνδύματα. παρὰ τὸ βέλος ἐν ᾧ ὥσπερ ὀξύτατα. ἢ παρὰ τὸ ὅλα βάλλεσθαι. τὰ διὰ τοῦ ονη, εἰ μὲν ὄργανον σημαίνει, πάντα βαρύνεται. οἷον βελόνη, περόνη, ἀγχόνη, τὸ χοινίον. ἐπὶ δὲ τοῦ πράγματος ὀξύνεται. οἷον, ἡ λευκή, καλλονή, ἀγχονή, ἡ ἄγχις. βελόνα μὲν καὶ βελοπωλάκες, ἀρχαῖα. ἡ δὲ ῥαφὶς νεώτερον, οὐκ ἄλλως γνώριμον. Βελονοπωλάτης, ὁ τὰ ῥαφίδια πωλῶν, καὶ ζωγραφῶν. Βέλος, καὶ τὸ βέλεμνον, καὶ ἡ βολή, καὶ τὸ ἐκ τῆς βολῆς τραῦμα. καὶ βέλεμνον ποιητικῶς τὸ βέλος. καὶ βελοθήκη, ἔνθα τὰ βέλη τίθενται. βέλος τὸ βαλλόμενον. καὶ ἡ βολή, καὶ τὸ ἐκ τῆς βολῆς τραῦμα. καταχρηστικῶς δὲ παρ' Ὁμήρῳ, καὶ τὴν ὠδῖνα ὀξὺ βέλος ἔχειν λέγουσι. Βέλτερος, καὶ φέρτερος, οὐκ εἰσὶ συγκριτικά. ὀνόματα δέ εἰσι συνεμπεπτωκότα τύποις συγκριτικῶν. οὐδὲ γὰρ πάντα τὰ εἰς ρος παρασχηματισμένα, οὐδὲ πάντα τὰ εἰς κος κτητικά. καὶ δῆλον ἐκ τούτου. οὐδὲν εἰς ρος λήγει συγκριτικὸν μετὰ προθέσεως λεγόμενον. εἰ οὖν ἀβέλτερος φαμὲν, δῆλον ὅτι οὐ συγκριτικόν. τὸ γὰρ ἀτυχέστερος, οὐκ ἐκ τοῦ συγκριτικοῦ εἴληφε τὴν σύνθεσιν. Βέλτε, χωρίον φρυγιακόν. Βέλτιον ἐπὶ ψυχῆς, ἄμεινον ἐπὶ σώματος. λέγεται πολλάκις καὶ ἄμεινον ἐπὶ ψυχῆς, κρεῖττον δὲ καὶ ἐπὶ σώματος, ἀντὶ τοῦ ἐπικρατέστερος. Θουκυδίδης, οἷον τὸ στράτευμα τῶν Λακεδαιμονίων κρεῖττον τῶν Ἀθηναίων ἐγένετο. τουτέστιν, ἐπικρατέστερον καὶ ἰσχυρότερον. Βελτίω, ἐκ τοῦ βελτίονα. ἐκβολῇ τοῦ ν βελτίοα, καὶ κατὰ κρᾶσιν βελτίω, ἀττικῶς. λέγομεν ὁμοίως βελτίους κατὰ τοὺς ἀττικούς. βελτίονας δὲ καὶ βελτίονες, κατὰ τοὺς κοινούς. Βελτίων, γλυκίων, κακίων, ἅπαντα τὰ διὰ τοῦ ιων συγκριτικὰ παρὰ τοῖς ποιηταῖς τὸ δίχρονον τῇ φύσει μακρὸν ἔχουσι.

Βδελύττεσθαι, μισεῖσθαι. Βδελύττεται, ποιεῖ μισεῖ, Ἀριστοφάνης. Βδέννυσθαι, ἐκκενοῦσθαι τὴν κοιλίαν. οὐχὶ τὸ πέρδειν. Βδύλλει, φοβεῖται, τρέμει. ὅ, τι παῖς βδύλλει λύκος. καὶ βδύλλει, καταπέπληγε.

ΤΟ Β ΜΕΤΑ ΤΟΥ Ε.

Βεβάασιν, ἀπὸ τοῦ βῶ, βῶμι, βήσω, βέβηκα. τὸ τρίτον τῶν πληθυντικῶν, βεβήκασι. καὶ τροπῇ τοῦ η εἰς α, καὶ ἀποβολῇ τοῦ κ, βεβάασιν, ἑστήκασι, παρεληλύθασι. Βεβαία, πηγή, οὕτω καλουμένη, ἐν Εὐβοίᾳ. Βέβαιος, ἐπὶ θηλυκοῦ χρῆται, ἢ βεβαία. Ἀριστείδης, βέβαιον τὴν αἰτίαν ἔχειν ἔν. Βεβαιῶ, τὸ στερεῶ. καὶ βέβαιον, τὸ στερεόν, καὶ ἄπτωτον. ἢ βεβαιῶ, διισχυρίζομαι, κυρῶ, ἰσχυροποιοῦμαι, ἐπιψηφίζω, ἐπικρίνω, ἐμπεδῶ, διατείνομαι, διαμαρτύρομαι. Βεβαιώσεως δίκη, ἣν ἐδικάζοντο οἱ ὠνησάμενοί τι, ὅταν οἱ πεπρακότες ἀρραβῶνα λαβόντες, ἀμφισβητῶσιν. Βέβακεν, οἴχεται, ἀπέβαιν. Βέβακται, ἐκ τοῦ βάζω, οὐχ ἁπλῶς, ἀντὶ τοῦ εἴρηται, ἀλλὰ κατὰ τοὺς παλαιούς, ἀντὶ τοῦ πεφλυάρηται. ἐξ οὗ καὶ ὁ παρὰ Λυκόφρονι βάβαξ γίνεται. Βεβαλάνωκεν, ἐκλείδωσεν. βάλανος γὰρ τὸ εἰς τὸν μοχλὸν σιδήριον, ὃ καλοῦμεν μάγγανον. Βεβαλάνωται, ἀντὶ τοῦ ἐκκεκλείδωται. ὅτι βάλανοι λέγονται τὰ μάγγανα τῆς κλειδώσεως. Ἀριστοφάνης. Βεβαλωμένον, κατεχόμενον ὑπὸ τοῦ κόπρου. Βέβαμεν, ἐκ τοῦ βεβήκαμεν κατὰ συγκοπήν, εἰ μὲν προπαροξυτόνως. εἰ δὲ παροξυτόνως, ἀπαρέμφατον. Βεβαρηότα, βεβαρημένον. Βεβᾶσι, βεβάασιν, ἰωνικὴν ἀποβολὴν ἔχει τοῦ κ, καὶ συστολὴν τοῦ η εἰς α. καὶ γίνεται κατὰ κρᾶσιν τὸ βεβᾶσι, κατὰ τὸ ἑστήκασιν ἑστάασιν, ἑστάασιν ἑστᾶσιν. Βέβασις, τὸ ὑψούμενον. Βεβαὼς βεβαῶτος, ἐκ τοῦ βέβηκα βέβαα, ὁ βεβαὼς τοῦ βεβαῶτος. Βεβαυῖα, βεβηκυῖα, ἢ παραβεβηκυῖα. Βεβίηκας, ὁ ὑψηλανός, ὑπὸ τῶν ἰατρῶν. Βεβίηκε, ἐτρίψεν, ἤθησε, ἐπηρέασεν. Βέβηκεν, ἕστηκεν, ἐπέπηκεν. Βεβηλός, ἀσφαλής. Βεβηλοῦσθαι, μιαίνεσθαι. Βέβηλον, τὸ πᾶσι βατόν. ἀφ᾽ οὗ βέβηλον, τὸ ἀκάθαρτον. καὶ βεβηλῶ, τὸ ἀκάθαρτον ποιῶ. ἀβέβηλον δέ, τὸ ὅσιον, καὶ παντελῶς ἄλυτον. ὡσαύτως καὶ ἄβατον, τὸ μὴ πρότερον πατηθέν, καὶ ὃ οὐ δεῖ λαβεῖν τις. καὶ ὃ οὐ δύναταί τις διελθεῖν, ἤγουν τὸ ἀδιεξίτητον. Βέβηλος, ὁ μὴ ἱερὸς τόπος. ἀκάθαρτος, καὶ βατὸς πᾶσι. βέβηλος δὲ ὁ βάσιμος παντί, πρὸς ἀντιδιαστολὴν τοῦ ἀδύτου. λέγεται βέβηλος ἀνήρ, ὁ μιαρὸς καὶ ἀκάθαρτος, ἢ καὶ ἀμύητος. Βεβηλοῦνται, μιαίνονται, ἁμαρτάνουσιν.

Βεβίασαι ἡ κόρη λεκτέον, ἀλλ᾽ οὐχ ὡς ἐπὶ τῶν φυτῶν, ἔφθαρται. Βεβίηκε, ἐκ τοῦ βιῶ, οὗ παράγωγον τὸ βιάζω. μέλλων δὲ τοῦ βιοῦντος, βιῶ βιώσω, πρὸς διαστολὴν τοῦ βιώσω, ἤγουν ζήσω. βεβίηκα, τροπῇ τοῦ α εἰς η βεβίηκα, τὸ τρίτον βεβίηκε. τὸ δὲ ὅμοιον ἄχος βεβίηκεν Ἀχαιούς. σημείωσαι τὸ δὲ τίον, ἐστὶ μὲν θαυμαστικόν. εἴληπται δὲ ἢ ὡς ὄνομα οὐδέτερον, ἢ ἐπιρρηματικῶς ἀντὶ τοῦ οὕτω λίαν, διαφέρει δὲ τῆς τοιαύτης βίας. Βεβίωκα, ἔζησα.

Βεβιωμένα, ἃ ἐπράξαμεν. Βέβλεσθαι, μέλλειν, φροντίζειν, ἢ μέμβλεσθαι. Βεβλήαται, κεῖται παρ᾽ Ὁμήρῳ ἐν τῷ ε̄ τῆς Ἰλιάδος, ἀντὶ τοῦ ἔκειντο, ἔτυψαν, ἐτρώθησαν. οὐ γὰρ πόρρωθεν, ἀλλ᾽ ἐγγὺς ἔβαλλον κατὰ τοὺς οὐτάζοντας. Βεβλημένος, τετρωμένος. καὶ βεβλημένος πόρρωθεν, οὐτασμένος ἐγγύθεν λέγεται.

Βεβλῆσθαι, τὸ ἐκ βολῆς τετρῶσθαι, καὶ ἐπὶ τοῦ ἐναντίου, κυρίως. ἐνταῦθα δέ, ἐκ χειρὸς τετρῶσθαι. Βεβλυχασμένον, μεμολυσμένον. Βέβληκεν, ἠρεμεῖ, φεύγει. Βεβορημένα, διαβεβρῶτα.

Βεβοῆν, βοάω βοήσω, βεβόηκα, βεβόημαι. τὸ συνηθὲς βεβοήμην βεβοῆσο βεβοῆτο. Βεβολήατο, τῇ ψυχῇ τετρωμένοι ἦσαν, ἐλυποῦντο. παρὰ τὸ βάλλω γίνεται βλῶ βλήσω, βέβληκα, βέβλημαι, ἐβεβλήμην ἐβέβλητο. πρόθεσις τοῦ ο, ἐβεβόλητο, αἰολικῶς ἐβεβολήατο, καὶ τροπῇ τοῦ ε εἰς α βεβολήατο. ἢ βεβολήατο, ἐκ τοῦ ἐνεστῶτος τοῦ βολῶ βολήσω, τὸ βάλλω. καὶ ἔστι πρωτότυπον αὐτὸ καὶ τοῦ βλῶ βλήσω, καὶ τὸ βεβολήατο, ἤγουν βέβληντο. καθὰ καὶ τὸ βεβολημένος τοῦ βεβλημένος. καὶ πιστοῦται μὲν τὸ ἁπλοῦν βολεῖν. τὸ δὲ ἀμβολάδην, ἰσθμιον γνωστὸν εἶναι, ὡς καὶ ἐπὶ τῶν βολίων, ἐπὶ βολίζειν, ὃ βάθος θαλάσσης δηλοῖ μέτρημα, διὰ καθιεμένης βολίδος. Βεβολημένον, πληγέντα. Βεβολημένος, βεβλημένος, βεβολημένος, ἀστερημένος, τεταραγμένος, ὁ τετρωμένος. Βεβόληντο, τέθραυντο. Βεβολῆσθαι, ἤγουν βεβλῆσθαι, ἡ χρῆσις ἐν Ἰλιάδι. Βεβουκόλημαι, ἀποδεδίωγμαι, πεπλάνημαι, πέπαιγμαι. Βέβουλα, προείρηκα, προτετίμηκα. ἀπὸ τοῦ βουλῶ βαρυτόνου, ὁ μέλλων βουλήσω. ὡς μέλω μελήσω, θέλω θελήσω. ὁ παρακείμενος βεβούληκα, ὁ μέσος βέβουλα καὶ προβέβουλα.

Βέβραδα, ἀθαρίνα. Βεβρεγμένον, μεμεθυσμένον, τεθωρηγμένον. Βεβράσαντα, ὁμοτίμως κεκραγότα. λέγουσι γὰρ δὴ εἶδος τῶν σιτηρῶν μέρος βέβρακας. Βεβρεγμένος, ὑπομεθύων. Βεβριμωμένον, ὀργιζόμενον. Βέβρακα, τὸ εἶδος τοῦ σιτηρῶν μέρος. Βέβριθε, μέσος παρακείμενος. ἐκ τοῦ βρίθω, δωρικῇ συστάσει. Ἡσίοδος, καταβεβρίθασι.

Βέβρος, ἀγαθός, χρηστός, καλός. Βεβρός, ψυχρός, ἐστερημένος. Βεβροτωμένα τεύχεα, τὰ δοκοῦντα βεβροτῶσθαι. ὅ ἐστιν αἵματι μεμολύνθαι. ἢ βεβροτωμένα, αἱματωμένα, μεμολυσμένα. Βεβρυχέναι λέγεται, κατὰ ὀνοματοποιΐαν, καὶ ἐπὶ θαλάσσης ἀντὶ τοῦ βλύζειν, ἢ βρύειν, κατὰ τὸ ἀναβέβρυχεν ὕδωρ, ἐκ πηγῆς διαλαλεῖ. Βέβρυχεν, ἠχεῖ. Βεβρυχότα, θυμοφθοροῦντα. Βεβρώθοις, τὸ θέμα βεβρώθω. γινόμενον κατὰ ἀναδιπλασιασμὸν ἐκ τοῦ βρῶ, καθὰ ἐκ τοῦ κλῶ τὸ κλώθω. ἢ βεβρώθοις, φάγοις. βρῶ βρώσω, βέβρωκα, ἐκ τούτου ῥῆμα βεβρώθω. τροπῇ τοῦ α εἰς ο, βεβρώθω. ἡ μετοχὴ ὁ βεβρώθων, τοῦ βεβρώθοντος. τὸ εὐκτικόν, βεβρώθοιμι, οις, οι. Βεβρωκὼς βοός, ἀττικόν ἐστι παρ᾽ Ὁμήρῳ. Βεβρώσεται, ἐκ τοῦ βρῶ βρώσω, βέβρωκα, βέβρωμαι, βεβρώσομαι. ὁ μετ᾽ ὀλίγον μέλλων. βεβρώθημαι, βεβρώσω, βεβρώσεται. Βεβυλλῶσθαι, βεβύσθαι. Βεβυσμένα, λαθραῖα, ἀπεσφραγισμένα, ἢ καὶ τὰ πεφραγμένα. καὶ βεβυσμένον, πεπληρωμένον, ἐκκεκλεισμένον. Βεβυσμένος, ὁ γέμων, καὶ κατὰ ἀθροισμὸν ξένος μεστός, παρὰ τὸ βύω. ὥσπερ ὁ κωμικός φησι, τὸ σῶμα ἐκβεβυσμένος κέρμασι τῶν ῥητόρων. καὶ βύσμα δὲ οὕτω παραβύω, ὥσπερ εἰσωμ... ἐντεῦθεν καὶ παράβυστος, ὅς ἐστιν παρέβυσε, τόπῳ ... ἐπικρύψας. καὶ τὸ ἐν παραβύστῳ, ἀντὶ τοῦ ἐν τόπῳ καὶ γωνίᾳ, ὡς ἐν συγκεκρυμμένῳ. Βέβυσο, ἐμπλήρωσο. Βεβὼς ἀττικοὶ λέγουσιν, οὐ βεβηκώς. Βεβᾶσιν, οὐ βεβήκασι. Βῆλος, σῆμά τι, καὶ ἱμάτιον γυναικεῖον, καὶ πόλις, καὶ ἄγαλμα. Βελφεγώρ, ἐστὶν ὄνομα εἰδώλου, τὸ λεγόμενον βαάλ. καὶ λέγεται παρὰ ἑβραίοις βάλ. καὶ φεγώρ, ὄνομα τόπου. καὶ διαλύουσι τοῦ α εἰς δύο αα, καὶ τροπῇ τοῦ α εἰς ε, γίνεται σύνθετον βελφεγώρ, ἤγουν τὸ βαὰλ ἐν φεγώρ. Βεζίκ, ἀρχηγός τις, ἰσραηλ. Βέῃ. Ὅμηρος, οὐδ᾽ αὐτὸς δηρὸν βέῃ. ἀντὶ τοῦ ἐπὶ πολὺ ζήσεις, βιώσῃ. παραγωγικὴ δὲ λέξις ἀσυνήθης, ἐκ τοῦ βέω βῶ, βίομαι. ἐξ οὗ ἴσως κατὰ πλεονασμὸν γίνεται τὸ βιῶ, ὡς μαδῶ μαδιῶ. ἐκ δὲ καὶ κατὰ φύσιν, καὶ ἐκτοφιῶ, ὧν αἱ χύσεις πρόδηλοι. οὕτω δὲ καὶ ἐκ τοῦ λῶ τὸ θέλω. οὗ δεύτερον λῷς, καὶ λῇς, καὶ ἐπενθέσει τοῦ ι γίνεται λιῶ. ἀφ᾽ οὗ λελιημένος, ὁ θέλων, ὅπερ ἐστὶν ὁ ἐπιθυμῶν. ἐκ δὲ τοῦ βέω, γίνεται καὶ τὸ βείω. οἷον, τέκνον ἐμὸν τίεν βείομαι αἰνὰ παθοῦσα.

Βέθηλον, οἶκος θεοῦ. Βέλιος, ὁ ἥλιος. Βείλαρος, ἱμάντες, οἷς ἀναδοῦσι λακεδαιμόνιοι τοὺς καρφόρους.

Βείλοψ, ὁ λῦπος, καὶ ἶθος. Βεῖν, ῥίψας, βιώσας, ζήσας, πορεύσει. Βεκάλδα, λέμματα θρεμμάτων, ὅσον θακτύλων λάκκοιο. Βείκεσ, μακρόν. Βεκαλάθων, καὶ ὀλίγον πρεσβύς. Βείκαλ, εἴκοσι. Βεκκηλάτου, χιλῆ ἄχυρα, λάκκοιο.

Βεζκός, τὸς πίθος. Βελθμάσαι, βυλάρχαι, σάλπιγγαι.

Βείσορ.

[illegible]

ΤΟ Β΄ ΜΕΤΑ ΤΟΥ Δ΄.

[illegible]

ἀρχήν. καὶ βασιλεῦς, τοῦ λαοῦ. κοίρανος δὲ, ὁ πρὸς καιρὸν τὸ τοῦ βασιλέως ἔργον ποιῶν. ἡγεμὼν, ὁ τάξεως στρατιωτικῆς ἐχόμενος. τὸ δὲ ἄρχων, ἐπὶ τριῶν λαμβάνεται. τὸ μέντοι κρατῶν, ἐπὶ μόνου τοῦ βασιλεύοντος. δεσπότης, τοῦ δούλου. κύριος, τοῦ αὐτοῦ πραγμάτων. τὰ ἐξουσιαστικὰ ὀνόματα πρὸς γενικὴν συντάσσονται. τοῦ βασιλεὺς τὸ θηλυκὸν, οὐ μόνον βασίλεια, ὡς εἴρηται, ἀλλὰ καὶ βασίλισσα, καὶ τὸ δεύτερον διαιρούσιν ἀττικῶς. βασιλίννα δέ φασι μόνον τὸν ἑταῖρον. ἐλέγοντο δὲ καὶ ὑποκοριστικὰ ὄντα βασιλίδες, καὶ ἡ μόνη εἶδος. ἐπὶ τὰ βασίλεια, ἢ βασιλίσκα, ἄκαιρά εἰσι, βασιλίδος ὄντος ἀποφαινόμενος. καὶ βασιλεύων, καὶ διαβασιλίζεσθαι, τὸ βασιλεῖος ὢν ἐπαίρεσθαι. ἔν δέ φασι καὶ βασιλεὺς, ἀρχὴ ὡς ἀθηναῖοι, καὶ ὁ ἐκεῖνος βασιλίς. καὶ βασίλειος ἐπὶ στοᾶς, πλησίον τοῦ τοῦ ἐλευθερίου διὸς στοᾶς. Βασίλειος στοὰ, δύο εἰσὶν ἀθήνησι βασίλειοι στοαί. ἡ, τε τοῦ λεγομένου βασιλέως διὸς, καὶ ἡ τοῦ ἐλευθερίου. Βασιλῆες, οἱ δικασταὶ, παρὰ ἡσιόδῳ. Βασιλεύτατος, ὁμοιόχημεν ἐπὶ τοῦ δεύτατος, περὶ οὗ ἀλλαχοῦ εἴρηται. Βασιλεύτερον, ἐν δήμῳ ἰθάκης, παρ' ὁμήρῳ συγκριτικῶς λεχθὲν, δηλοῖ ὡς καὶ ἄλλοι μέν εἰσι βασιλεῖς ἐν ἰθάκῃ. καθὰ που καὶ ὁ τηλέμαχος εἶπεν, ὅμηρος δὲ πάντων βασιλεύτερον τὸ γένος τοῦ ὀδυσσέως ἐν δήμῳ ἰθάκης, πρὸς ἀκρίβειαν εἴρηται. οὐ γὰρ οὐδαμοῦ γῆς οὐκ ἔστι βασιλεύτερον γένος ἄλλο ἐν ἰθάκῃ. Βασιλεύω, τὸ ἄρχω. βασιλεύω δὲ τὸ βασιλεὺς εἰμὶ, αἰτιατικῇ συντάσσεται. βασιλεύομαι παθητικῶς ὑπὸ δεῖνι, ἤγουν ὑπὸ τοῦ δεῖνος. καὶ βασιλεύω, ὅταν σημαίνῃ τὸ ποιῶ βασιλέα, αἰτιατικῇ. Βασιλέως ἔπαινος, πατὴρ ἤπιος, πρᾷος, ἥμερος, προνοητικὸς, ἐπιεικὴς, φιλάνθρωπος, μεγαλόφρων, ἐλεύθερος, χρημάτων κρείττων, ἔξω παθῶν, ἑαυτοῦ κρατῶν, ἄρχων ἡδονῶν, λογισμοῦ χρώμενος, ὀξὺς, ἀγχίνους, εὔβουλος, δίκαιος, σώφρων, θεῶν ἐπιμελητὴς, ἀνθρώπων κηδεμὼν, σάσιμος, βέβαιος, φροντιστὴς τῶν ἀρχομένων, σωτὴρ, πρόχειρος εἰς εὐεργεσίαν, βραδὺς εἰς τιμωρίαν, καὶ ἄλλα πολλά.

Βασιλῆας λέγει ἡσίοδος, τοὺς δικαστὰς, καὶ τοὺς ἄρχοντας. οὕτω γὰρ αὐτοὺς ἐκάλουν οἱ παλαιοί. ὡς ὅμηρος, ἀλλ' ἤτοι βασιλῆες ἀχαιῶν εἰσι καὶ ἄλλοι. Βασιλίδες, ὑπόδημα γυναικεῖον, καὶ αὐλητικόν. Βασιλίζω, τὰ τοῦ βασιλέως φρονῶ.

Βασιλικὴ διαθήκη. ἔστιν ἡ λεγομένη διαθήκη τοῦ βασιλέως πλάσιος. οὐχ ὅτι, εἰς ἐστὶ τῶν ἀθήνησιν ἐννέα ἀρχόντων βασιλικὴ διαθήκη ἐκαλεῖσθαι. δείναρχος κατὰ πυθέου. Βασιλικὸς λόγος. τὰ εἰς κος, τινὰ μὲν κτητικά, οἷον βασιλικὸς λόγος, ὃν ὁ ἔγραψε βασιλεὺς, ὃν ἔγραψέ τις πρὸς βασιλέα. καὶ πλατωνικὸν βιβλίον. τινὰ δὲ δηλοῦσιν ἐπιτηδειότητα τινὸς εἰς τι. οἷον δρομικὸς, ὁ ἐπιτηδειότητα ἔχων εἰς δρόμον, κἂν μὴ δέ πω ἐδραμεν. καὶ πυκτικὸς, ὁ ἐπιτηδειότητα ἔχων εἰς τὸ πυκτεύειν. τὰ δὲ, λέγονται ἐνεργείᾳ. οἷον μουσικὸς, ὁ εἰδὼς μουσικήν. ὁ γραμματικὸς, ὁ εἰδὼς γραμματικήν. τὰ δὲ, φύσει. λογικὸς, ὁ λόγῳ χρώμενος. Βασιλίνδα, τὴν βασιλείαν. Βασιλὶς, ἡ τοῦ βασιλέως γυνή. Βασίλισσα, οὐδεὶς τῶν ἀρχαίων εἶπεν. ἀλλὰ βασίλεια, ἢ βασιλίς. Βάσιμα, περιβάσιμα, ἐπίβατα. Βάσιμον, ἐδραῖον, βέβαιον, στάσιμον, ἢ πορευτικόν. Βάσις, ὁ ῥυθμός. δηλοῖ δὲ καὶ τὴν πορείαν, καὶ βῆμα, καὶ ὁδὸν, καὶ στήριγμα, καὶ ἕδραν, καὶ στάσιν. Βάσκα, μαγίδα, βασκανία.

Βασκαίνει, φθονεῖ, ζηλοῖ, μέμφεται, συκοφαντεῖ. Βασκαίνειν, οὐχὶ τὸ φθονεῖν δηλοῖ, ἀλλὰ τὸ λοιδορεῖν, καὶ αἰτιᾶσθαι, καὶ διαφθείρειν. ἐὰν δὲ δύσκολον συμβῇ, τοῦτο βασκαίνει. φερεκράτης, ὃ λαγὼς με βασκαίνει τιθέμενος. διὰ τοῦτο οὐ δὲ τῇ δοτικῇ συντάσσεται, ἀλλὰ τῇ αἰτιατικῇ. τὸ γὰρ βασκαίνειν με, βάρβαρον. καὶ βάσκανον, τὸν λοιπὸν, καὶ βλάσφημον λέγουσι. Βασκαίνω, οὐ μόνον ἀντὶ τοῦ φθονῶ, ὃ πρὸς δοτικὴν συντάσσεται, ἀλλὰ καὶ ἀντὶ τοῦ μέμφομαι, ἢ διαβάλλω παρὰ τοῖς παλαιοῖς εὕρηται. καὶ αἰτιατικῇ συντάσσεται. Βασκανία, καὶ βάσκανος. τὸ βάσκανος, ἁπλῶς ἐπὶ λοιδορίας τιθέασι. Βασκαίνειν λέγουσιν οἱ ἀρχαῖοι, οὐ προσβασκαίνειν μετὰ τῆς προς. Βάσκανον, τὸν λυπηρὸν. καὶ βλάσφημον λέγουσι. Βάσκανος, ὁ καπίζων, καὶ μεμφόμενος ἅπαντα, καὶ πειρώμενος εἰς ἀπέχθειαν ἄγειν. ὁ φθονερὸς, καὶ βλάσφημος. οὕτως ἀριστοφάνης. καὶ βάσκανος ἁπλῶς, ἐπὶ λοιδορίᾳ τίθεται. Βασκάζειν, τὸ σαλίζειν, ἀρατός. Βάσκε, ἀντὶ τοῦ ἄπιθι. βάσκω, ὡς φάσκω φάσκε, τὸ μὲν ἀπὸ τοῦ βῶ ἀχόσα, τὸ δὲ ἀπὸ τοῦ φῶ. Βάσκε, τρέχε, λέγε, ἀπάγου. Βάσκειν, λέγειν, κακολογεῖν, ἢ ἀπιέναι. Βασκίμιν, ἐκ τοῦ βάσκω. τὸ ἀπαρέμφατον, βάσκειν, δωρικῶς βασκέμεν. δωρίς. τὰ εἰς ειν ἀπαρέμφατα διὰ τοῦ ν προφέρουσι, προσθέντες τὸ μι. οἷον τύπτειν, τύπτειν, τυπτέμεν. βάσκειν, βάσκειν, βασκέμεν. Βασκαυλαί, φακίδες, ἀγκάλαι. Βάσκ' ἴθι, σ' ἴθι τὸ ἄγε καὶ τὸ φέρε. ἐνίοτε μὲν ῥήματα εἰσὶ προστακτικὰ, ἐνίοτε δὲ ἐπιρρήματα παρακελευσματικά. ταυτολογεῖν δὲ τοῦτ' ἔχει κατὰ τὸ σχῆμα τὸ ἐκ παραλλήλου λεγόμενον. εἰσὶ γὰρ ἰσοδυναμοῦσαι λέξεις τό, τε βάσκε, καὶ τὸ ἴθι. ἢ καὶ ἄλλως, τὸ μὲν βάσκε ἀντὶ τοῦ πορεύθητι. τὸ δὲ ἴθι κατὰ τοὺς παλαιοὺς, ἐπίρρημα παρακελεύσεως. Βάσκυλος, ὁ ... Βάσκιοι, δέσμαι φρυγάνων. Βάσκων, χωρῶν.

Βάσκα, τρέχε. Βασμοί, βαθμοί. Βασσάρα, ὁ λαός. καὶ τῶν βακχῶν, εἶδος ἀλώπεκος, καὶ ἡ βάκχη. Βασσάραι, αἱ τοῦ διονύσου τροφοί. διὰ τὸ βάσιν ἐν ἄρα ποιεῖσθαι μανιώδη, καὶ λυσσᾷ, καὶ μαίνεται, καὶ μιμαλλόνες, λαμπάναι ἐκ ἐπίτασει διονύσου. εἰς ἀμπέλους δὲ ἀλληγορικῶς μεταλαμβάνουσι, τὰς φύσεις καταχυμένας, καὶ ἄλλα ἐκ ποιοῦσαι, φίλα τοῦ διονύσου. κισσῷ φασι στεφανούμεναι, καὶ ἀμπέλῳ, καὶ κατέχουσαι χερσὶν αἱ μὲν ἐγχειρίδια, αἱ δὲ ὄφεις. τοῦτο δὲ πρὸς αἴνιγμα τοῦ καὶ θηριώδεις καὶ φονικοὺς εἶναι τοὺς μεθύοντας. σημείωσαι, ὅτι εἰς εἶδος ἀνηγορεύεται ὁ διόνυσος. ἀφ' οὗ καὶ τὸ διονυσιάζειν, συμποτικὴ λέξις παρὰ πλάτωνι. οἷον πάντα τὸν βίον διονυσιάζειν, ἤγουν περὶ οἶνον σχολάζειν. Βασσάρια, τὰ ἀλωπέκια οἱ λίβυες λέγουσιν.

Βασσαρίδες, αἱ πόρναι, ἢ αἱ βάκχαι. παρὰ τὸ διατρίβειν ἐν βάσσαις, ὅ ἐστιν ὀρεινοῖς τόποις. ἢ παρὰ τὸ βασσάρα, τὸ λεγόμενον ὑπὸ δωριέων ὑπὸ ἑταίρης, παρὰ τὸ τῇ βάσει ἀρηρέναι. λέγονται βασσάραι, αἱ θρᾴκιαι βάκχαι. χιτῶνας οὖν ἐφόρουν ἀπὸ τοῦ βάκχου διονύσου. Βάσσαρος, ἡ ἀλώπηξ, κατὰ ἡρόδοτον. Βάσσαι, τὰς ἐν βάθει γεγονυίας. ἔλεγον δὲ βάσσας, τοὺς κοίλους καὶ δενδρώδεις τόπους. ἐπεὶ ὡς βασίμους τῶν ὀρῶν. Βάσος εὐδιαίρετος, ἡ βῆσα. Βάσσον, ἐπίθετον βάσσον χωρίον, ἀντὶ τοῦ βαθύτερον, εὐγεών. ἀπὸ τοῦ βαθὺς, βαθύτερος, βάθιον, βάσσον, ὁ βαθύτερος. Βαστὰ, τὰ ὑποδήματα, ἰταλιῶται. Βασταγὴ, βάρος. Βαστάζω, ἀνέχω, ἐπαίρομαι, ἐντείνομαι, ἄγω, φέρω.

Βασσαλίκας, ἐπὶ τοῦ παχέος, καὶ δυνατῶν, δύο ταῦτα ὀνόματα. ἐπιγέγραπται δὲ ἐπὶ ἀναθήματος ἐν σχήματι, ἐν ὑπὸ τοῦ ἥρας ἱερῷ οὕτω, βασσαλίκας σῶμα, ἤρα τὴν δὲ ἐλευθερίαν ἰδοῦ. κατὰ διαστολὴν δὲ ἀναγνωστέον. Βασταῖς, τοὺς πλουσίους ἢ εὐγενεῖς. Βασιλεὺς, ἀντὶ τοῦ δεσπότης. Βασαχθεῖν, ἀρθεῖν, ἀλλάξειν. Βασιζαυρέλια, θᾶττον ἔρχου. λυδιστί. Βατραχιοῦσαι, τραχηλιάσαι. βάτραχας γὰρ τοὺς τραχήλους λέγουσι.

Βατά, βάσιμα. Βατάνη, κακή. Βαταῖς, τραγούσιν, ἢ δόλοι. Βάταλος, ἀσελγὴς, αἰσχρός. οὕτως ἐκλήθη δημοσθένης εἴρων ὤν, γράψας δὲ, ἀργός. ἀπὸ ὀργίας οἴνου καλουμένου. εὔπολις δὲ τὸν πρωκτὸν βάταλον λέγει. μὴ ποτε οὖν ἴσως τοὺς κιναίδους, βατάλους καλοῦσιν. ἢ βάταλος κατὰ ἰωνας, ὁ καταπίνων καὶ ἀνθρώπινος, κίναιδος, ἰκάνος. Βατανία, τὰ λοπάδια. ἡ δὲ λέξις σικελική. Βαταρίσαι, τοῖς βαταρίζουσι. Βατᾶς, ὁ κατάγελως. ταραντῖνοι. Βάτειαν, τινές φασι πόλιν τρωϊκὴν, παρονομαζομένην ἐκ τῶν περὶ αὐτὴν βάτων, οἴκησι καὶ βάτεια τρισυλλάβως λέγεται. ὡς καὶ ὁ πίνδαρος δηλοῖ,

ἐν τῷ

τα τὰ ἐκ βαθέων, ὀρυκτὰ ὄντα. καὶ βάραθρον, ὄρυγμα ἦν, εἰς ὃ τοὺς κακούργους ἐνέβαλλον. ἀρρενικῶς δὲ βάραθρος, ὁ βαράθρου ἄξιος. κρεῖττον δὲ λέγειν, βαράθρου ἄξιος, ὁ ὀλέθριος. ἢ βάραθρον, χάσμα ἦν φρεατῶδες, καὶ σκοτεινόν, ἐν τῇ ἀττικῇ. ἐν ᾧ τοὺς κακούργους ἐνέβαλλον. Βαθακάκαι, αἵ εἰσι διφθέραι, ἢ σκηνίς.

Βάγα, τὸ σῶμα ἦν καθολικόν, ἢ θρέμματα, λάκκοι. Βάρακες, τὰ προφερόμενα τῆς μάζης. ἀττικοὶ δὲ βάριακας, λυδοὶ δὲ καὶ τὸν λύκον. Βαρακίτας, ἐκάστοις, σκόλοψι. Βαρακίς, γλαφυρὸν ἱμάτιον. Βάραξον, τὴν ὄψιν καὶ βάρβαρον.

Βάραχος, ἰχθῦς ποιός. Βάραχνα, τὰ βράγχια τῶν ἰχθύων.

Βάρβαξ, ἱέραξ παρὰ λίβυσι. καὶ φάρμακον στρογγύλον, ἀφ' οὗ αἱ μάζαι γίνονται, καὶ ὕδωρ πλύνεται. Βάρβαλα, ἀσύνετα, ἄτακτα. Βαρβαλίζω, ἀμαθαίνω, βαττολογῶ. Βαρβαροκτόνος, ὁ κτείνων τοὺς βαρβάρους. ὁ δὲ ὑπὸ τῶν βαρβάρων κτανθείς, βαρβαρόκτονος. Βαρβαρισμός, παράπτωσις διάλεξις. ἡ λέξις, ἤτοι περὶ τὰ στοιχεῖα, ἢ περὶ τὰς προσῳδίας ἡμαρτημένη, ἢ ἡ περὶ μίαν λέξιν ἁμαρτάνων. Βάρβαροι, οἱ ἀπαίδευτοι. Βάρβαρος, ὀνοματοπεποίηται ἡ λέξις κατὰ μίμησιν τῆς γινομένης αὐτῷ βραγχότητος ἐν τῇ φωνῇ. ἀφ' οὗ καὶ βράγχος λέγεται, δι' οὗ ἀναφέρεται ἡ φωνή. καὶ αὐτὸ τὸ βραγχιᾶν, καὶ τὸ βαρβαρίζειν τῇ φωνῇ καὶ βραχεῖα χρῆσθαι. Βαρβαρόφωνοι, οἱ ἀλλοῖοι, καὶ οἱ κάρβαροι, ὡς τραχύφωνοι, καὶ ἄσημον τὴν φωνὴν ἔχοντες. Βαρβαρίζειν, βαρβαρίζων.

Βαρβιτίλλεσθαι, εἴτε βαρβαλικῶς τις λέγει, σημαίνει τὸ μάγιννος. Βάρβιτον, ψαλτήριον, κιθάρα. εἶδος ὀργάνου μουσικοῦ, ἢ λύρα. οὕτω καὶ βάρβιτος. Βαρβός, μύστρον, ἐν ἑκατομβαῖς ῥοφήσεις. Βαρδίνης, ποταμός. παρὰ τὸ βαρεῖαν καὶ ἰταλικῆς δίνας ἔχειν, βαρυδίνης τις ὤν. Βαρδίστος, ὁ τὰς γυναῖκας βιαζόμενος, ὁ μοιχεύων. Βάρδισαι, ἀντὶ τοῦ βράδισαι, φασὶ Δωριεῖς. Βαρδίστοι ἐκ τοῦ βράδιστοι μετατιθεμένου. ἐκ μέτρον. ἀνάπαλιν ὅπου τὸ φθαρτὰ σώματα, ὅπερ δαρτά, γυμνὰ δέρματος. καὶ βάρδιστοι, τουτέστι βραδύτατοι εἶπον. Βαρδοί, οἱ ὠδοί, παρὰ Γαλάταις. Βαρέα, ποιότης συλλαβῆς ὑφειμένον ἔχουσα φθόγγον. εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν τὰ φορτία βασταζόντων, καὶ εὐθεῖαν τρίβον ἀνιόντων. Βαρείας χεῖρας, ἰσχυράς, φονικάς, ὅπλα βεβαρημένας. οἱ κοῖλας παρὰ τοῖς βαρείας χεῖρας, παρὰ τὸ βίᾳ αἴρεσθαι, ὥσπερ καὶ τὸ βάρος. Βαρεῖ, βριθεῖ, βαρύνει. Βαρεῖον, τρίκαρον. καὶ τὸ βαρὺ καὶ τὸ βραδύτερον. Βάρεις, τὰ πλοῖα, οἱ πύργοι, αἱ ναοί, τὰ τείχη, αὐλαί, σφαῖραι. ἢ αἱ μεγάλαι καὶ ὑπέδαθροι πέτραι. καὶ βάρεις, τὰς ναῦς λέγουσιν οἱ ἴωνες. ἢ βάρεις ἐλεφάντινοι, αἱ πανταχοῦ τῆς γῆς ἐκκλησίαι. μία δὲ τῇ πίστει, ἐν αἷς γεραίρεται ὁ θεός. καὶ βάριον, ἡ γενικὴ τῶν πληθυντικῶν. Βάρακες, τὰ οὖλα τῶν ὀλυρῶν. οἱ δὲ στεφάνας. οἱ δὲ τὰ ἐν τοῖς ὀδοῦσι ἀπὸ τῆς τροφῆς ἐνεχόμενα. σημαίνει δὲ καὶ τὸν πλάστην. Βαρβαζειῶν, ἰβαζειῶν. Βαρεννίδα, τὴν Λυδίαν ἵππον. Βαριστικοί, οἱ μὴ γεννῶντες.

Βάρις, παρὰ τὸ βάρος, τροπῇ τοῦ βραχέος. σημαίνει δὲ τὸν πύργον, καὶ τὴν πλοῖον, καὶ ναόν, καὶ πόλιν. παρὰ τὸ μεταβῆναι πολλοὺς ἀμφορεῖς. Βάριχοι, ἄρνες. Βάρκα, αἰδοῖον, καὶ ἄρσεν.

Βαρκάζειν, τὸ βαρβαρίζειν. Βαρκαίοις ὄχοις, λιβυκοῖς. οὗτοι γὰρ ἐπετήδευσαν περὶ ἱπποτροφίαν. φασὶ δὲ αὐτοὺς καὶ πρώτους ἁρματεῦσαι, διδαχθέντας ὑπὸ Ποσειδῶνος. τὸ δὲ ἡνιοχεῖν, ὑπὸ Ἀθηνᾶς. ὡς Μνασέας ἐν τοῖς περὶ Λιβύης. Βαρμέγαλλος, ὑπέρμαχος. Βάρκη, πόλις Λιβύης. Βαρίον, βοτάνη τις ἐν αἰγύπτῳ. Βάρος, τὸ ἄχθος, καὶ τὸ φορτίον. βάρος καὶ ἡ ἐμβριθεια, καὶ ὁ ὄγκος. ὅθεν Σοφοκλῆς, ἢ μακροῦ πλούτου βάρος. καὶ Βάρος, ὄνομα κύριον. Βαρουχ, εὐλογημένος.

Βὰρ, μικρόν. καὶ βὰρ, ὁ υἱός. ὅθεν τό, βὰρ ἰωνᾶ. Βαρραχίν, ἡ χεὶρ, σκιρτῶν. Βαρρί, ἀπαλεῖ. Βαρύ, λέγεται μὲν φασι θυμίαμα τι ὥσπερ, ἢ βαρεῖον, δηλοῖ δὲ καὶ τὸ μέγα, καὶ χαλεπόν, καὶ ἰσχυρόν, καὶ ἀπαιδες καὶ βαρύ, τὸ σκληρόν. Βαρύαχον, ἰσχυρόν, ἐρίμυκον. Βαρυβρομέων, βαρυηχῶν, καὶ βαρυηχέων.

Βαρυγίτονες, βάρος μὲν ἔχοντας, γείτονας δὲ ὄντας. Βαρυδαίμων, μεγαλοφώνως. Βαρύθω, λυποῦμαι. Βαρυαλγὴς ὑπεκκαυθείς, τὸ μέγα ἀλγοῦντος. οἱ γὰρ βαρεῖς πνεῦμα ῥέοντες, μέγαν ἦχον ἀποτελοῦσι. Βαρύθει, ἀντὶ τοῦ βαρύνεται, παρ' Ἡσιόδῳ. οἷον, βαρύθει δέ οἱ ὑπὸ φυτοῦ ἰσχυρὰ ὄντα. Βαρυθυμεῖ, ὀλιγωρεῖ. Βαρύθω, ἀπὸ τοῦ βάρος. βαρύω, βαρύθω, πλεονασμῷ τοῦ θ. Βαρύκαρ, ἀφύρων. Βαρυκέφαλοι, ἀσύνετοι, μωροί. Βαρυάκουστος λέγεται ὁ μὴ ὀξὺς, οὐχ ὅτι αὐτῆς ἀκούει, ἀλλ' ὅτι αἴτιός ἐστι τοῦ βαρυηχῶν βροντῶν. Βαρ ὀμφαῖς, μουσικαῖς.

Βαρὺ ἀγγελίον, δυσκίνητον. Βαρὺν θυμὸν λέγει ὁ Θεόκριτος, τὸν βαρεῖαν ὀργήν, ἣν οὐκ εὐκόλως ῥᾳδίως ἐνέγκαι. Βαρύνειν, χαίρειν. βαρεῖν δὲ, ὀχεῖν, παρὰ τοῖς δοκιμωτάτοις τῶν παλαιῶν. πλὴν ἐπὶ τοῦ παρακειμένου οὐ βεβάρυγκα, ἀλλὰ βεβάρηκα, εἰς παθητικὴν σημασίαν. καὶ, ἐβάρυναν τὸ κενὸν εἰς ἰδίοις ἀναλώμασιν. Ἀριστείδης, ὥσπερ οἷον βεβαρημένοι οἱ ἐπίσημοι.

Βαρύνομαι τέσσαρες λέγουσιν οἱ ἀττικοί, καὶ βαρύνομαι τὰ δε. βαρύνομαι καὶ βαρύνω τὰ δὲ τὰ πράγματα, καὶ βαρέω ὁμοίως. οἷον βεβαρημένος οἴνῳ ἰκέτω ἦλθον. καὶ βαρυνόμενος, κατανούμενος. Βαρυνοῦντα, ἀντὶ τοῦ βαρύνοντα, παρὰ Θεοκρίτῳ, λυποῦντα, μᾶλλον ἀντὶ ἐπαινοῦντος. Βαρύνων ὀδυνηρόν, κωλύων.

Βαρύνει, ἐπὶ τοῦ φέρει. Βαρυτελὴς, πολυτελὴς, καὶ τὸ μισθὸν τὸν ὑπέρογκον. Εὐνικία πρῶτον ἐκέλευσε βαρυτελὴς διὰ λίθων, καὶ πρὸς ἑαυτὸν ἐκάλει. Βαρὺς τὸν ὀργὴν κάλλιον, ὁ σκυθρωπός. καὶ βαρὺς ἐπὶ ψυχῆς, ὁ δύσκολος καὶ ἀγανάκτησιν ἔχων. καὶ βαρὺς ἐπὶ σώματος, ὁ βεβαρημένος καὶ δυσκίνητος. ἐνίοτε μὲν βεβαρημένον δηλοῖ (καὶ ἰσχυρὸς λέγεται) βρίθοντα, καὶ ἐνδεέστερον τοῦ ἀλαλάζειν. Βαρύστονος, κακοδαίμων. Βαρυσυμφορώτατος, δυστυχής, βαρέως φέρων τὰς συμφοράς.

Βασαγοί, ἀδολεσχεῖ. Βασανιστής, ὁ ἕκαστον συνετίζων, παρὰ ἐπιστήμῃ. Βάσανος, αἰσχύνη, ἢ πειρία. ὅθεν παραπορευόμενος, ὅ ἐστι παρορμώμενος. Βασανισθείς, διελέγχεται ἢ ἀνακρίνεται, βασανίζεται. Βασανίζειν λέγεται, καὶ τὸ χωρὶς πληγῶν ἀνακρίνειν, ἀπὸ τοῦ βασάνου. καὶ βασανίζειν, ἐπὶ δοκιμασίαν λαμβάνειν. καὶ τὸ διὰ λόγων, καὶ τὸ διὰ τιμωρητικῶν ὀργάνων. μὴ λέγε οὖν βεβασάνισται ὑπὸ νόσου. πλὴν δὲ τοῖς ἀττικοῖς, οὐ τὸ αἰκίζεσθαι καὶ τιμωρίαις ἢ μαστιγοῦν σημαίνει, ἀλλὰ τὸ χωρὶς πληγῶν ἀνακρίνειν, καὶ ἐλέγχειν τἀληθὲς διὰ λόγων. Βασανίζω, τὸ ἀκριβῶς ἐξετάζω. Ἀριστοφάνης, τὸ πρῶτον τῆς τραγῳδίας μέρος ἀπὸ τοῦ βασανιῶ. Βασανίζεις, ἀντὶ τοῦ δοκιμάσεις. Δεινὸς εὐθὺς ἐν τῷ κατὰ περίστασιν. πολὺ δὲ ἐστι σύνορμα ἐπὶ τούτου τοῦ σημαινομένου, παρ' ἀττικοῖς. Βασανιστής, ὁ δημόκοινος. πολλάκις δὲ ὁ δικαστής, καὶ ὁ παρὰ τὸν ἀνακρίνοντα, ἢ ἀλήθειαν πυνθανόμενος. Βάσανος, ἡ τιμωρία. καὶ βάσανος λίθος, ἐν ᾧ τὸ χρυσίον περιτριβόμενον δοκιμάζεται. οὕτως Ἀλκαῖος καὶ Πίνδαρος. Βασανιστικά, ὅθεν δοκιμαστικά. Βασεῦντι, δωρικῶς, ἀντὶ τοῦ βάδιζε, πορεύεσθαι. καὶ βασεῦμαι, ἀντὶ τοῦ βήσομαι. Βασίλεια γυνή, καὶ βασιλὶς μέντοι, βασίλειος πόλις, καὶ οἰκία, καὶ ναός. οὐ μὴν καὶ βασίλισσα. βασίλειος δὲ οὐ μόνον, δημηγορία καὶ ἐκκλησία. Βασιλεία, τὸ ἀξίωμα, καὶ τὸ εἶδος τὸ βασιλεύεσθαι. οἷον περσῶν, ἰνδῶν, ἀράβων. βασιλεία ἐστίν, ἀνυπεύθυνος ἀρχή. οἱ μόνον δὲ ἐλευθέρους εἶναι τοὺς σοφοὺς, ἀλλὰ καὶ βασιλέας. ἡ γὰρ βασιλεία, ἀρχὴ ἀνυπεύθυνος. ἥτις περὶ μόνους ἂν τοὺς σοφοὺς συσταίη.

Βασίλεια, γένος ἰχθύων. Βασιλείδης, ὁ τοῦ βασιλέως υἱός. Βασίλειον ἱεράτευμα, τοὺς ὀρθοδόξους ἐκεῖ λέγει.

Βασίλειον, εἶδος τυροῦ καὶ μύρου. Βασιλεύοντα, ἐπιθυμοῦντα βασιλεῦσαι. Βασιλειᾶ, τὸ ἐπιθυμῶ βασιλείας.

Βασιλεὺς κυρίως, ὁ πατρόθεν ἢ ἄλλως ἐκ γένους ἔχων τὴν ἀρχήν.

ρα, τοὺς ἐπιβόλους. παρὰ δὲ τοῖς ὕστερον κατ᾽ ἐξοχὴν, ὁ σκοπὸς. οἰονεὶ, ὁ τῆς κυριωτάτης ἐπιτυχίας τῆς φροντίδος. ἐκ τοῦ βελῶ· δὲ καὶ ὁ βολαῖος λίθος, καὶ ἡ βελόνη, ἐκτάσει τοῦ ο. καὶ ἡ συμβολὴ, τὸ ἐπιτυχὲς σύμμα. τρία δὲ σημαινόμενα τοῦ βέλους, ὁ τόξος, οἱ βελοσταὶ, καὶ αὐτὸ τὸ περὶ οὗ ἡ σκέψις. βελὸς δὲ σύνθεσις ἐστι καὶ μεταβολὴ, καὶ ὑπερβολή. καὶ βάλλειν, ἐν ἁπλότητι μέν ἐστιν, ἐπὶ δὲ καὶ τὸ ἀπάγειν σημαίνειν. ὡς ἐν τῷ, βάλλ᾽ ἐς κόρακας, ἤγουν ἄπαγε εἰς ὄρη καὶ κρημνούς. καὶ βάλλ᾽ ἐς μακαρίαν, ἤγουν ἄπαγε εἰς ὄλεθρον, ἢ εἰς ᾅδου. ἐπειδὴ οἱ νεκροὶ μακαρῖται λέγονται. ἢ καὶ ἄλλως, ἐπεὶ μακαρία ἡ Ἡρακλέους θυγάτηρ, ὅτε Ἀθηναίοις Εὐρυσθεὺς ἐπεστράτευσεν, ἑκοῦσα ἐπιδέδωκεν εἰς σφαγὴν ὑπὲρ σωτηρίας τῶν πατρῴων. ἐκ τοῦ βάλλω, καὶ ἐν συγκοπῇ βλῶ, ὃ κατὰ παραγωγὴν βλάξω, γίνεται βλὰξ βλακὸς, ὁ καταβεβλημένος, οἷον καὶ μὴ δυνάμενος ὀρθοῦσθαι διὰ τρυφὴν, ὃ ἐστιν ἥδεσθαι. ἔστιν καὶ βλὰξ ἰχθὺς τέλειον ἄχρειος, ὡς μηδὲν ἔχειν ζῶον ἴδιον αὐτοῦ. καὶ βλακεῦσαι, τὸ μωραίνειν. καὶ βλακεύματα, αἱ ἡδοναί. Ξενοφῶν δὲ βλακεύεσθαι ἔφη, τὸ ῥᾳθυμεῖσθαι. Βάλλ᾽ ἐς κόρακας, παρὰ τῷ Ἀριστοφάνει ἐν Νεφέλαις, ῥῖψον σεαυτὸν εἰς φθοράν. τοιοῦτον γάρ ἐστι τὸ ἐς κόρακας.

Ἄλλως. Ἄπιθι ἐς κόρακας. ἔστι δὲ παροιμία, ἐπὶ καταράσει λεγομένη, ἀντὶ τοῦ εἰς ἀπώλειαν καὶ εἰς φθοράν. Βοιωτοὺς γὰρ ἀναστάντας ὑπὸ Θρᾳκῶν γενομένους, εἶπεν ὁ θεὸς ἐκεῖ κατοικεῖν, ἔνθα ἂν ἴδωσι λευκοὺς κόρακας. οἱ δὲ ἐν Θετταλίᾳ περὶ τὴν Παγασαίων πόλιν εἶδον περιεπτισμένους τοὺς τῆς ἡλικίας ἀφελεῖς κόρακας. οὓς παιδία ἀφῆκαν γυψώσαντες ὑπὸ μέθης. καὶ νομίσαντες τὸν χρησμὸν τετελέσθαι, ἐνταῦθα κατῴκησαν. οἱ δὲ ἐκ τοῦ ζῴου λέγεσθαι τὴν παροιμίαν. ἐν δὲ τοῖς ἐρημοτέροις τόποις ἐπιτηρεῖ τὰ πτώματα. Συνείλοχος δὲ ὁ τὰς Ταρραίων καὶ Λεσβίων παροιμίας ἀθροίσας, Βοιωτοῖς φησιν Ἀρναίων ποτὲ οἰκοῦσι, προειρῆσθαι ὑπὸ τοῦ θεοῦ ἐκπεσεῖσθαι, λευκῶν κοράκων φανέντων. παῖδας δὲ τινας μεθυσθέντας, καὶ συλλαβόντας κόρακας, γυψώσαντας ἀφεῖναι πέτεσθαι. ἰδόντας δὲ οἱ Βοιωτοὶ, ἐταράχθησαν, ὡς τῆς μαντείας λαβούσης τὸ τέλος. καὶ φοβηθέντας τὸν θόρυβον, φυγόντας ὤκησαν τὸν τόπον, ὃν ἐκάλεσαν κόρακας. μετὰ δὲ ταῦτα ἐκβαλόντας τοὺς Βοιωτοὺς οἱ Αἰολεῖς, ἔχειν τὴν Ἀρναίων οἰκίαν αὐτῶν. καὶ τοὺς ἁμαρτάνοντας μυθιάζειν, εἰς τοὺς κόρακας καλουμένους. Βάλλ᾽ ἐς μακαρίαν, οἷον εἰς ᾅδου. ἐπὶ τῶν ἑαυτοὺς εἰς κίνδυνον κατ᾽ ὀργὴν διδόντων. Μακαρία γὰρ ἡ Ἡρακλέους, ἐπειδὴ ἐπεστράτευσεν ὁ Εὐρυσθεὺς τοῖς Ἀθηναίοις, ἑαυτὴν ἐπιδέδωκε σφάγιον ὑπὲρ τῆς τῶν λοιπῶν σωτηρίας. τὸ δ᾽ αὐτὸ τοῦτο καὶ οὕτω λέγεται, εἰς μακαρίαν, καὶ εἰς Μακαρίαν. Βάλλ᾽ ἐς ὄλεθρον, ἀντὶ τοῦ καταπέμπεσθαι, ἐπὶ τοῦ ὀλέθρου ἀξίων. Βαλλίζειν, τὸ κύμβαλα κρούειν, καὶ πρὸς τὴν ἐκείνων ἠχὴν ὀρχεῖσθαι. Βαλλὶς, εἶδος ἐστὶν ἄνθους, ὅ φασι ποιεῖν ἀναζῆν τοὺς τεθνεῶτας, ὁμοίως τῇ ἀρούρῃ, οἱονεὶ βιοβαλλὶς τις οὖσα. ἐπειδὴ φασὶ βίον ἄλλον ποιεῖν, διὸ καὶ βάλλις καλεῖται. Βαλλὴν, βασιλεὺς, Φρυγιστί. Βαλλόμεθα, βαλοῦμεν. Βαλλητὺς, ἑορτὴ Ἀθήνησιν, ἐπὶ Δημοφῶντι. Βαλλίαι, οἱ ἀκροβολισμοί. Βάλλομαι, παθητικῶς τὸ νοῶ. ὡς τὸ βαλλόμενος εἰς νοῦν, ἤγουν νοήσας, καὶ βεβλημένος εἰς νοῦν. Βαλλομένοιο, ἀντὶ δοτικῆς κεῖται παρ᾽ Ὁμήρῳ ἐν Ὀδυσσείας ρ̄, ὀρθότερον βαλλομένῳ εἶναι. ὡς τὸ, πολλὰ οἱ ἀμφὶ κάρη σφέλα πλευραὶ ἀποτρίψουσι. περιφράζεται δὲ οὕτω διά τι τῶν τῆς δοτικῆς συγγένειαν καὶ γενικῆς. καὶ διό, ὡς καὶ ἐν ἄλλοις φαίνεται, οὐκ οἶδε σολοικισμὸν ποιεῖν γενική. Βάλλω, σημαίνει φίλα. ἐπὶ τοῦ προϊέμενον ἐπιτυχεῖν, ὡς τὸ, βέλος ἐχεπευκὲς ἐφιεὶς βάλλε. καὶ ἐπὶ τοῦ ἐκτεῖναι, Τὴν ἡ μὲν ἔβαλλε δέμας ἐν ῥήγεα καλά. καὶ ἐπὶ τοῦ ἐν ἡμῖν συνήθους, Τὸν μὲν παρ ποδ᾽ ἐόντα χαμάδις βάλε. Βαλαντιοτόμον, παρὰ τὸ διεσχισμένον εἶναι τοὺς πόδας. Βέλος, ὀξὺς ὑφαλή. Βαλὸν, οὐλὸν, καὶ οὐρανὸν. καὶ Βαλός. Βαλμὸς, σάθος. Βαλσαμον, ἀρωματικὸν ἄνθος. Βαλών. αἱ εἰς ων λήγουσαι μετοχαὶ δευτέρου ἀορίστου ὀξύνονται, φυγών, ἐλθών, πιών. οὕτως οὖν καὶ βαλὼν, ἀντίκειται τὸ πίφων. εἰ γὰρ εἰς ων λήγουσαι μετοχαὶ, ὁπότε ἐν ἐπιπλοκῇ ἔχουσι δύο σύμφωνα, ὧν τὸ δεύτερον ἐστὶν ἀμετάβολον, πάντως βαρύνονται· τέμνων, δάκνων. τούτοις ὅμοιον, καὶ τὸ πίφων.

Βάμα, βάσις, βῆμα. Βάμβα, τὸ χῶμα, καὶ μύρον τι μέρος. καὶ τὸ ἔμβαμμα, στραγγίζουσι. Βαμβαίνω, διαλέγω, τρέμω τοῖς ποσίν. καὶ τῇ γλώττῃ ἀσήμως φθέγγεται, ὑπὸ τρόμου ἠχεῖ τοὺς ὀδόντας. Βαμβαίνειν, ὅ ἐστι συγκρούειν τοὺς ὀδόντας. ἀπὸ τοῦ κατὰ τὸ σῶμα ψόφου κατὰ τοὺς παλαιοὺς ἐσχημάτισται. καὶ ἔστι φασὶ οἱ διερμηνεύοντες. συμβαίνει γὰρ τοῖς ῥιγοῦσι καὶ τοῖς ὑποπτεύουσι, καὶ θάλπουσι μὲν λαλοῦσι, ἀγρυπνοῦσι δὲ καὶ ὑποτρέμουσι, καὶ οὕτω τοὺς ὀδόντας συγκρούουσιν. ἴσον δὲ, ὅτι ἐν τοῖς ῥητορικοῖς λεξικοῖς φέρεται βαμβαλίζειν, τὸ τρέμειν ὑπὸ ψύχους. ἐν δὲ ἑτέροις, ὅτι βαμβαίνειν μὲν βήματα βάλλειν, κατὰ βῆμα τραυλιζόμενος, καὶ παφλάζειν. βαμβαλίζειν δὲ, ῥιγῶν ἀπολλύμενος. ὁ δὲ Ἄραβος, καὶ αὐτὸς τὸ βαμβαίνειν ἐπὶ ἀσθενείᾳ. Βαμβακεύτρια, μαγγανεύτρια. οἱ δὲ φαρμακεῖαι, οἱ δὲ λαλοῦσαι. τὸ δὲ βαμβακίας χάριν, ἀντὶ τοῦ φαρμακείας χάριν. Βόμβαλα, χαμαιφινὰ ἱμάτια. ἐν βάμβαλον, τὸ αἰδοῖον. Βαμβάλειν, τρέμειν, ψοφεῖν τοῖς χείλεσι. Βαμβαξ, ὁ κάμβαξ, καὶ πομβακὶς. τὸ παρὰ πολλοῖς λεγόμενον βαμβάκιον. ὡς ἐν ἐπιγράμματι, Καὶ τὴν τρυφαλίαν κεπίδα παρ᾽ αἰγαλόν. Βάμμα Σαρδιανικὸν, ἀντὶ τοῦ ἐρυθρὸν, φοινικοῦν. Σάρδεις γὰρ τόπος ἐστὶ τῆς Ἰωνίας, καθ᾽ ἣν ἐξήνεγκεν ὁ Λυδῶν βασιλεύς. ἐν ταύτῃ δὲ γίνονται πορφύραι διάφοροι καὶ ὀξύταται. ἢ ὅτι εἰς τὴν Σάρδην τῆς Λυδίας, πυρρὰ βάμματα γίνεται. Βάζειν, κατάγειν. Βάμμα κυζικηνὸν, τὴν ἀνάστασιν ἀχρημοσύνην Ἀττικοὶ λέγουσι.

Βὰν, ἐπορεύθη. ἐκ τοῦ βῆμι, ὁ παρατατικὸς ἔβην. καὶ ἀφαιρέσει τοῦ ε, βῆν, ὡς, ὁ, Βάτην βάτην, βάμεν βάτε βάσαν, καὶ συγκοπῇ βάν. Βὰν, εἶδος ἄνθους. Βανᾶ κεκμηκὸς. καὶ βανβὰν, ἐπαινοῦσιν. Βαναυσάριον, πλακοῦς. Βάναυσοι, οἱ ἐργαζόμενοι τέχνην. παρὰ τὸ βαύνος, ὅ ἐστι κάμινος εἰς ἔργον διαλαβόμενοι. οἱ δὲ βάναυσον, τὴν ἀπάνθρωπον ἐν ὑπερφέρειν. Βάναυσος, πᾶς τεχνίτης διὰ πυρός. βαῦνος γὰρ ἡ κάμινος, παρὰ τὸ τὰς βαύσεις αὔειν, ὅ ἐστι καίειν. Βανανσίας, ἰδιωτείας, ἀλογίας. Βανία, τὰ ὄρνεα. καὶ βάννικα, τὸ αὐτό. Βανῖκες, γυναῖκες. Βοιωτοί.

Βανθάζειν, σκυτοδεψάσαι. Βανίδης, ποταμὸς ἐν Λακωνικῇ. Βάνιος, εἶδος θυμιάματος. Βανὸν, μυρόν.

Βανοῦν, ξηρὸν δὲ λίμνης τόπος. σημαίνει δὲ καὶ κοιλίον, ὡς παρὰ Ἐπιχαρμῳ. Βάννα, γυνή, ὑπὸ Βοιωτῶν. Βάνας, βασιλεὺς, παρὰ Ἰταλιώταις. οἱ δὲ, μέγιστος ἄρχων. Βανάται, οἱ ξηροὶ καὶ μὴ ἐν ταῖς ὁδοῖς. τὸ δὲ αὐτὸ, καὶ βάναυσοι. Βανοὶ, τέχναι. Βανὸν, λευκόν. Βάνος, κλάσμα, μέγος, καὶ τεφλός. Βαυσὸς, ὄρη στρογγύλα. Βανύσει, μαραίνει, ἐκμαίνεται. Βαΐξις, ὁ λόγος, ἡ φήμη. παρὰ τὸ βάζω, βάξω, βάξις. Βακαίνει, παρακαλεῖ. Βάπτειν, ἀντλοῦσι, ξαντόν. Βάπτισμα, ἄφεσις ἁμαρτιῶν διὰ ὕδατος καὶ πνεύματος, ἢ ἐκούσιος συνταγὴ πρὸς θεὸν δευτέρου βίου, ἢ ἀνάληψις ψυχῆς ἐπὶ τὸ κρεῖττον. ἡ λύσις δεσμοῦ ἐκ φιλανθρωπίας δεδωρημένη, ἡ ἀνακλήσις ἄφεσις ἁμαρτιῶν. ἢ βάπτισμα, ἐν ᾧ βαπτίζεται, ἤγουν πίστις καὶ πταῖσμα. Βάρβιτος, εἶδος μουσικοῦ ὀργάνου, ψαλτήριον, ἢ κιθάρα. εἴρηται δὲ, οἱονεὶ βαρύμιτός τις ὤν, ὁ βαρεῖαν τὴν φωνὴν καὶ τὸν φθόγγον ἀφιείς. μίτος γὰρ τὰς χορδὰς ἔλεγον. ἐπειδὴ πρὸ τῆς χρήσεως τῶν νευρῶν, λινοῖς ἐχρῶντο. ὅθεν καὶ οἱ Αἰολεῖς βάρμιτον αὐτὸ, διὰ τοῦ μ φασί. Βάπτουσι, πλύνουσιν. Βάπτω, μιαίνω, φονεύω, χύνω, χρωματίζω.

Βάπτω. τὰ χείλη σου βέβαπται ὑπὸ τοῦ ῥοδίνου αἵματος.

Βάραγχος, ἰχθύος μάλιστα πλεονασμῷ τοῦ α. οἱ γὰρ ἄλλοι βράγχος. καὶ βαραγχιᾶν, ἀντὶ τοῦ βραγχιᾶν. Βάραθρον, τόπος Ἀθήνησι βαθὺς, ὅπου καὶ τοὺς δημίους πρόσβας ἔβαλον. πάντα τὰ

ὰς, ἀθλῶσι. Βάκτρον, ἡ ῥάβδος, καὶ φλέγανον, καὶ ὁ κάμαξ.

Βάκχαι, καὶ σάτυροι, καὶ Πᾶνες, καὶ σιληνοί, ὄχλοι Διονύσου.

Βακχᾶν, ἐνθουσιᾶν. Βακχέβακχον ᾆσαι, ἀντὶ τοῦ εὐφημῆσαι τὸν Διόνυσον. βάκχος γὰρ ὁ Διόνυσος. Βακχεῖον, τελεστήριον, νάρθηξ. Βακχεῖος, ὁ ἐκ βραχείας καὶ δύο μακρῶν, πεντάχρονος, οἷον τοὐκμόν. καλεῖται δὲ οὕτως, ἐπειδὴ οἱ ὕμνοι τῶν διθυραμβοποιῶν, πρὸς Διόνυσον, ὡς ἐπιτοπλεῖστον ἐκ τούτων σύγκεινται τῶν ποδῶν. παλιμβάκχειος, ὅτι ἀνάπαλιν τοῦ βακχείου διάκειται.

Βακχευθεῖσα, ἐξοιστρηθεῖσα, ἐκβακχευθεῖσα. Βακχεύω, σημαίνει τὸ μεθύσκομαι. ὁ βακχευτής, ὁ μεθυστής. καὶ βακχεύω, τὸ μαίνομαι. ἐκβακχεύω δὲ ἕτερον, ἀντὶ τοῦ μαίνεσθαι ποιῶ, μεταβατικῶς.

Βακχικόν, βακχικὸν ὕμνον ᾄδει. Βάκχη, γένος ἀκτῆς, ἢ μία τῶν βακχῶν, ἢ τοῦ Διονύσου. Βακχιάζουσι, οὐ μόνον οἱ μεθύοντες, ἀλλὰ καὶ χορεύοντες, ἀπὸ βάκχης. Βακχεία, μανία. Βακχιάδης, ὁ τοῦ Διονύσου υἱός. Βακχέον, βόθρον, αὐλίς. Βάκχον, οὐ μόνον τὸν Διόνυσον ἐκάλουν, ἀλλὰ καὶ πάντας τοὺς τελοῦντας τὰ ὄργια, βάκχους ἐκάλουν. οὐ μὴν ἀλλὰ καὶ τοὺς κλάδους, οὓς οἱ μύσται φέρουσι. μέμνηται δὲ Ξενοφάνης ἐν σίλλοις οὕτως, ἑστᾶσι δ' ἐλάται πυκινὸν περὶ δῶμα. ἔστι δὲ καὶ στεφάνης εἶδος, ὡς Νίκανδρος ἐν τῷ περὶ τῶν γλωσσῶν ἱστορεῖ. φησὶ γὰρ οὕτω, βάκχοισι κεφαλὰς περιθεῖσιν ἑὰς αὐτῶν. καὶ βάκχον ἐλαυνομένη, φοινικοῦν. Βάκχυλον, σποδίτην ἄρτον. Ἠλεῖοι. Βάλαυκον, δεσμωτήριον, ἢ βαλανικάρφος. Βαλιόν, μέγα, πολύ. οἱ δέ, ταχύ. Βαλανάγρα, ἡ κλεῖς, παρὰ τὸ ἀγρεύειν τὴν βάλανον. βάλανος δέ ἐστι, τὸ εἰς τὸν μοχλὸν σιδήριον, ὃ καλοῦμεν μάγγανον. Βαλανόμφαλος, τὰς φιάλας οἱ κωμικοὶ καλοῦσι. βαλανεῖον δὲ ἐκλήθη, διὰ τὰς βαλάνους ὑποτιθέναι τὰ καλύθρα ἔχουσιν. λέγουσι δέ, ὅτι οἱ παλαιοὶ ἐλατεύουσι τὴν αἴγα, ὑπὸ λουτροῖς ἑαυτοὺς αὐτὴν ἐλαύνοντες. ὁ βαλανίτης, ὁ παρὰ τοῖς σιλλοῖς καλούμενος περιχύτης. ἔστι δὲ τὸ βαλανεῖον, ὁδὸς ἐπιτρυφῶν. ὅτι τὸ κατ' ἀρχὰς μὴ ὄντων βαλανείων, ἐν ταῖς σκάφαις ἢ πυέλοις οἱ ἀρχαῖοι ἐλούοντο. Βαλανεῖον, ὁ τόπος, ὁ περιέχων λουτρά. λουτρὸν δὲ λέγεται, τὸ θερμὸν ὕδωρ πρὸς τὸ λούειν ἐνιματθέν. Βαλανεύειν, λαμπροφωνεῖσθαι. παρόσον οἱ βαλανεῖς, ὅταν παρέχωσι τὸ ὕδωρ, κραυγάζουσι.

Βαλανεὺς πολυπράγμων, περίεργος καὶ περιχύτης. Βαλανεύσω παρὰ Ἀριστοφάνει, διακονήσω, ὑπουργήσω. Βαλανομφάλους, οὕτω Κρατῖνος ὀνόμασε τὰς ἰχθῦς ὀμφαλούς, ἀπὸ προσώπου. ὅτι οἱ ὄφθαλμοι, ἐπὶ τῶν ὀφθαλμῶν τῶν ἐν ταῖς πυέλοις, ἐν ταῖς βαλανείοις. Βαλανίς, ἡ τοῦ βαλανέως γυνή. Βάλανοι, φλέβες, φησί. αἱ βάλανοι, τὰ ἐξηρτημένα τῶν ὅρμων περὶ τὸν τράχηλον, καὶ τῶν φοινίκων ὁ καρπός, καὶ ὁ τῶν φοινίκων. ἢ κλεῖθρα. καὶ ἰατροὶ τὰ ἐμβαλλόμενα τῇ ἕδρᾳ, βαλάνους λέγουσι. Βάλανον τὸν μοχλὸν λέγει Ἀριστοφάνης. κυρίως δέ, τὸ εἰς τὸν μοχλὸν σιδήριον, ὃ καλοῦμεν μάγγανον. καὶ βάλανοι, τὰ μάγγανα τῆς κλειδώσεως. καὶ βεβαλάνωται, ἀντὶ τοῦ κεκλείδωται. καὶ βαλανάγρα, ἡ κλείς, παρὰ τὸ ἀγρεύειν τὴν βάλανον. Βάλανος, τὸ αἰδοῖον, καὶ τὸ ξύλον. Βάλανος φοινίκων, οἶνον ἐκπιεῖν ἀπὸ τῆς βαλάνου τοῦ φοίνικος. καὶ βάλανος, ὁ τῶν δρυῶν καρπός. Βαλάνους Διός, τὰ κάρυα τοῦ ψαλιδίου, Διὸς βαλάνους λέγουσι. Βαλανηφάγους, ὅτι τὰς βαλάνους ἐσθίουσιν. ἃ ἐν ταῖς ζώναις ἀπεσφραγισμένα φέρουσιν ἄνθρωποι. καὶ βαλάντιον, τὸ μαρσύπιον. Βαλάντιον, τὸ ἀκάτιον, διὰ τὸ βάλλειν εἰς ... τὸ ...

Βαλαντιοκλέπτος, καὶ βαλαντοκλέπτης. καὶ βαλαντιοτόμος, καὶ βαλαντιστής. Βάλαρες, οἱ βλάκες. βαλάρα δὲ γωνή, παρὰ Βοιωτοῖς. Βάλαυστις, βοτάνη τρίφυλλος. Βαλάττειν, ἀγροικίζειν. Βαλαύστιον, λίθος ξανθός, φέρων ὕδωρ, ἁρμόζειν πρὸς θεραπείαν. Βαλβῖδες, ἀπὸ τοῦ βάλλειν, οὐ μόνον οἱ ἐπὶ ἀγῶνος δρόμου ἐγκεχαραγμέναι κατὰ λίθον διεσπαρμέναι, ἀλλὰ καὶ ὅσαι ἐν φρέασι καὶ ἄλλοις βαθέσιν ἐγκοπαί φασι καὶ ἐξοχαί. δι' ὧν κατιέναι εἰς αὐτά, αἷς βαλβῖσιν ὁμοίως καθ' ἑκάτερον. καὶ ὁ βατήρ, ὅν ἐν ἀρχῇ φασι τοῦ πεντάθλου ἀποκείμενον. ὅθεν παροιμία, αὐτὴν ἀνέρξαντα τὴν βατῆρα τοῦ λόγου. ὡς οἷον εἰπεῖν, τὸ πρῶτον καὶ καιριώτατον. Βαλβιδοῦχον, τὸν ἀγωνοθέτην. Βαλβίς, ἡ γραμμή, καὶ ὕσπληξ, καὶ ἄφεσις, ὅθεν ἀφίενται οἱ δρομεῖς. ἡ βαλβίς, κυλλότης περιμήκης, παρὰ τοῖς στρατηγοῖς. Ἄλλως. Βαλβὶς καλεῖται, τὸ ἐν τῇ ἀρχῇ τοῦ δρόμου κείμενον ἐγκάρσιον ξύλον, ὃ καὶ ὕσπληγα καλοῦσιν. ἐπεὶ μετὰ τὸ ἐνιμεῖναι τοὺς δρομεῖς εἰς τὸ δραμεῖν, ἀφαιρούμενοι ἀφίεσαν τρέχειν. βαλβὶς καλεῖται, ἀπὸ τοῦ ἐπιβαλεῖν βάδην. πρῶτον γὰρ εἰσέρχονται βάδην, εἶτα τοῦ δρόμου ἄρχονται. ἢ ἀπὸ τοῦ ἅλλομαι, ἁλμίς, ἀλβίς. καὶ ἐν πλεονασμῷ, βαλβίς. ἢ ἀπὸ τοῦ βαίνω. τίθεται δὲ ἀπὸ βαλβίδων, ἐπ' ἀρχῆς εὐθέως, ἀπὸ μεταφορᾶς τῶν καλλιδρομούντων. βαλβὶς γάρ ἐστιν ἡ ἀφετηρία. Βάλε, ῥίψαι. ὥσπερ ἀπὸ τοῦ ἄγε προστακτικοῦ ῥήματος μετατίθεται, καὶ λέγεται ἐπίρρημα παρακελευστικῶς ἄγε. οἷον, ἄγε δή μοι ὦ Μοῦσα. καὶ ἀπὸ τοῦ φέρε προστακτικοῦ ῥήματος, φέρε. οὕτω καὶ ἀπὸ τοῦ ἔβαλον ἔβαλε ἔβαλε, οὐ τὸ προστακτικὸν βάλε, μεταληφθὲν λέγεται εὐκτικὸν ἐπίρρημα ἀντὶ τοῦ εἴθε. οἷον, βάλε βάλε κηρύλος εἴην. τῶν πλεονασμῷ τοῦ α ἀντὶ εὐκτικοῦ ἐπιρρήματος, ὡς παρὰ τῷ ποιητῇ, ὃ δὴ λέγεται ἄβαλε. ἀμφότερα μίαν σημασίαν ἔχουσι. τὸ ἄ καὶ τὸ βάλε, καὶ τὸ ἄβαλε. ἐπὶ δὲ ἰδίᾳ, ἄ, καὶ ἰδίᾳ τὸ βάλε. καὶ ἐν συνθέσει τὸ ἄβαλε, ἢ κατὰ ἀφαίρεσιν βάλε. Βαλεῖν, πόρρωθεν πέμψαι, εὕρηται παρ' Ὁμήρῳ ἢ ἀντὶ τοῦ θεῖναι. ὡς τό, βαλεῖν ἐν χερσὶν ἑταίρων, ἀντὶ τοῦ ἐνθεῖναι. ἢ ἀντὶ τοῦ ἐρρῖφθαι. ὅθεν καὶ τό, βάλε σαυτὸν κάτω. καὶ τό, βαλεῖν δὲ ἐλόντας. Βαλία, δεσμωτήριον. Βάλιος, ὁ ἀπὸ βαλιῶν πώλων μακεδονικῶν, παρὰ τῷ ποιητῇ. Βάλιον, δεσμωτήριον. Βάλιε Ὅμηρος, ἡ βάλιε ἡ ἐλάφω (ἐν ὀδυσσείᾳ τῷ) ... ἐγγὺς τόξον. διαφορὰν συνέθη δηλοῦσι. δῆλον δέ, ὅτι τὸ βαλεῖν οὐ μόνον τοῦ ἐλάσαι διαφέρει, ἀλλὰ καὶ περιβολὴ τοῦ τύψαι, καὶ τρῶσαι, ἢ οὐτάσαι, καὶ πλῆξαι. Βαλῆρα, ἀγρία. Βαλία, ὀφθαλμία. καὶ τὴν βάλιον, πτερόν. κρήτες. Βαλίαδος, μονόφθαλμος. Βαλίαι, αἱ ταχεῖαι, παρὰ τὸ βάλλειν καὶ ταχέως φέρεσθαι τὸ βαλλόμενον. ἢ παρὰ τὸ πάλλεσθαι διὰ τὸ τάχος. ἢ παρὰ τὸ βαίνειν ἄλις. ἡ βαλιά, διαποικίλος. καὶ τὸν Διόνυσον θρᾷκες. Βαλίαν ἔλαφον, κατάστικτον. ἡ βαλίων ἀνέμων, τουτέστι σφοδρῶς πνεόντων. Βαλιθίδων ἡνιῶν, ἐν αἷς κατεκοσμοῦσι χρυσοῖς τοῖς ἀγῶσι. Βαλίον. ὄνομα τοῦ Ἀχιλλέως ἵππου. σημαίνει δὲ τὸ ποικίλον. Εὐριπίδης, βαλιὰν ἔλαφον φησίν. ἢ φαλιός, ὁ λευκομέτωπος, καὶ ὁ λευκός. Βαλιωτής, στρατηγός. κρῆτες. Βάλιος ἵππος, ποικίλος. Βαλιῶται, πρόγονοι. Βάλλαι, βασιλεῖς, ὑπὸ κυνηγῶν. Βάλλε κημούς, παρὰ τῷ Ἀριστοφάνει. βάλλε ἐς κόρακας, τὰ δικαστικὰ σκεύη. Βάλλειν, ἀντὶ τοῦ βάλλε, τίθεσο. ὡς τό, ἐνὶ θυμῷ βάλλεαι, παρ' Ὁμήρῳ. Βάλλω λίθον, ὅταν πέμπω. βάλλεται ὑπὸ λίθου, ἢ βέλει. ἡ βέλη ὅλως εἰς ἀγρούς. βάλλεται λίθος. βάλλεται ὑπὸ λίθου. βάλλω βέλος, ἀντὶ τοῦ πέμπω. καὶ βάλλεται βέλος, ἀντὶ τοῦ πέμπεται. καὶ βαλῶ σε τῇ ῥάβδῳ. Βάλλειν, οὐ τὸ ἀφιέναι βέλος, ἀλλὰ τὸ ἐπιτυχεῖν. ὡς ἐπὶ τὸ πλεῖστον εὑρίσκεται παρὰ τῷ ποιητῇ. δηλοῖ δέ ποτε, καὶ τὸ καταρρῖψαι. λαμβάνεται δὲ καὶ ἀντὶ τοῦ θεῖναι. ὡς τό, φιλότητα μετ' ἀμφοτέροισι βάλωμεν, ἤγουν θῶμεν. καὶ ἐν ὀρσοβαλλεῖν, ἤγουν ἀπὸ θέσεως. ἐξ οὗ σύνθετον τὸ εὐθετεῖν καὶ βάλλειν, παρὰ τῷ ποιητῇ ὡς ἐπιπολύ, τὸ μὴ κοινὸν ἀφιέναι βέλος τυχὸν τοῦ σκοποῦ. ἄλλως μὲν γὰρ ἀφιεὶς ἐστι, καὶ μὴ ἐπιτυγχάνων, οὐκ ἂν εἴη κυρίως βάλλειν λεχθείη. καὶ βάλλειν ἁπλῶς, τὸ ἐπιτυγχάνειν. ὅθεν καὶ ἐπίβολος, ὁ ἐπιτυχὴς λογισμοῦ. καὶ βολή, ὥσπερ βολή, ἡ ἐπιτυχὴς σκέψις. σημαίνει δὲ τρία, τὸ προϊέσθαι, τὸ ῥίψαι, τὸ τρῶσαι. καὶ τὰ ἄλλα, ἐκ τῶν σημαινομένων τοῦ βάλλειν γίνεται, τὸ βέλος, καὶ ἡ βολίς. καὶ ἡ βολή, ἡ ἐπιτυχὴς δηλαδὴ καὶ εὔστοχος. ἀφ' ἧς καὶ ἐπίβολος, ὁ τυχὼν πράγματος ... ὅθεν παρ' Ὁμή-

Βαδίζω, ἀνυσία, χαμαὶ, λέγουσιν οἱ ἀττικοί. Βαδιστέον, ἀνυσίον, χαμαὶ, οἱ κοινοί. ὁμοίως καὶ ἐν ἄλλοις. Βαδιστικοῦ, ὀξύτερος. Βαδιῶ, περιπατήσω, ἐκ μέλλοντος. Βαδὸς παρασχηματισμὸς ὡς ἀπὸ τοῦ πατὴρ πάτος, οὕτω καὶ ἀπὸ τοῦ βαδίζειν βάδος. Ὅμηρος, πάρ ἀτραπὸν ὁδοιπόρον. Βάζω, τὸ λέγω. παρὰ τὸ βῶ βάζω, ὥσπερ καὶ παρὰ τὸ φῶ φράζω. ἢ ἀπὸ τοῦ βαάζω κατὰ συγκοπήν. οἷον, τὸ μὲν βάζουσι, κακῶς δ' ὄπιθεν φρονέουσι. Βαθανεῦσαι, ζῆσαι. Βαθακίζων, κακῶς ἔχων.

Βαθάλη, κρήνη, ἀμφίον. Βαθαῖον, σκοτεινὸν. κρυπτόν.

Βαθεῖα κόμη, ὅτι δασεῖα. Ἀνακείρατε τὴν κόμην, ἣν δὲ πολλὰ καὶ ξανθὰ καὶ δασεῖα. Βαθεῖαν αὔλακα, ὅπερ ἐστὶ σίελος γῆς ὑπὸ ἀρότρου. καὶ βαθεῖαν, κεχρωμένην, ὑψηλήν, μελανήν.

Βαθείας βένθεσιν ὕλης, δασεῖ περιέχεται ἐκ τοῦ βαθείας βένθεσι λίμνης. ὡς μὴ μόνον ἐπὶ ὕδατος τὸ βένθος λέγεσθαι, καὶ τὸ βάθος, ἀλλὰ ἐστὶ ἐπὶ φλοιοῦ ὕλης, καὶ πολλοῦ δάσους.

Βαθηλ, ἑβραϊκόν. Βάθιστον, βαθύτατον. Βαθμίδες, ἀρχαὶ λέγουσι. Βαθμοὶ, ἴχνη, πόδες. ἢ δίφροι παρὰ φαρμακοῖς. Βαθμὸς παρὰ τοῖς στρατηγικοῖς, ὁ τῆς ἐκ τῆς φάλαγγος τάξεως. καὶ βαθμὸς ἰωνικὸν, διὰ τοῦ θ. διὰ δὲ τοῦ σ, ἀττικὸν, βασμός. Βάθος ὡς εἰ ἔφη, τὴν γένεσιν ὀνομάζει. οὕτω ὕψωμα οὕτω βάθος. ὕψος δὲ τὴν βασιλείαν, καὶ πρὸς τούτοις τὴν αἰώνιον ζωὴν, καὶ τὸν αἰώνιον θάνατον. ἢ βάθος ἐστὶ, φάλαγγος τὸ κατὰ τὸ μέτωπον ἄκρον. καὶ ἐστὶ ἐκ λοχαγοῦ ἐπὶ οὐραγὸν στίχος, κατὰ βάθος λέγεται. καὶ βάθος, τὸ ἐπὶ τρία συνεχὲς παρὰ τὸ μετὰ βάθος ἴσον. Βάθρον, θεμέλιον. καὶ βάθρα, ἀγάλματα καὶ βῆμα, βάσις, ὑποπόδιον. Βαθύγλωσσοι, ἀλόγιμοι, εὔγλωττοι.

Βαθυδίνας, δίνας βαθυτάτας ἔχων. Βαθυζώνους, βαθεῖαν γυναικῶν τὸ ἐπίθετον, ἀπὸ τοῦ βαθέως ζώννυσθαι. Βαθυκαμποῦ, ἐπὶ πολὺ κεκαμμένου. καὶ βαθυκάμπτου κλιτύος στοῦν.

Βαθυκόλπων πέπλος, τὸ ἱμάτιον καλεῖται ἑλληνικῶς, βάρβαρον. καὶ τὸ βαθυκόλπους, ἀπὸ τοῦ ἐκ τῆς ζώνης κολπώματος. Βαθυλήιον, τὸ σιτοφόρον πεδίον. καὶ βαθυλήϊος, ἀντὶ τοῦ πολυλήϊος, πολύσπορος. Βαθύλιμνον, βαθὺν λιμένα ἔχον. Βαθύμαλλον, κυνουροῦ τὸ μάλλον ἢ χάρις, ἀπὸ ἱστορίας. ἀπὸ κυνουροῦ φυτοῦ, ὃ ἔχουσι πρὸς κάθαρσιν. ἀπὸ δὲ τοῦ αὐτοῦ, αὐλωνοειδοῦς. Βαθυμάλλας, γένος ἐπὶ Λυδίας. Βαθυπέπλων, καλὰ ἱμάτια ἐχόντων. καὶ βαθυπέπλων, μεγάλων, ἐκ τοῦ κατακαλύπτεσθαι. καὶ γυναικῶν βαθυπέπλων. Βαθύπλουτος, πολὺν πλοῦτον ἔχων, ἢ εὐδαίμων. Βαθυῤῥείτης, ὁ βαθέα ῥεύματα ἔχων. Βαθυῤῥόοιο, βαθείας. Βαθυῤῥίζῳ πέτρᾳ, τῷ ὑψηλῷ. Βαθυῤῥόου, βαθέως, ἢ ταχέως ῥέοντος. Βαθὺς, βαθύτερος, καὶ βαθύτατος, ὁ ἤτοι τέλειος τῶν συγκριτικῶν, βάθιον. καὶ βαθὺς, ἀντὶ τοῦ πυκνός.

Βαθύσπορος, βαθεῖαν ἔχων σπορὰν γῆν. Βαθύστρωτος κοίτη, ἡ πολυτελής. Βαθύχαιτον, ὑψηλὰς χαίτας φέρον. Βαθύτατα, παχέα. Βαιαὶ αἱ ἐν ἰταλίᾳ, ἀπὸ Βαίου τοῦ ὀδυσσέως κυβερνήτου ἐκλήθη. Βαιάζει, ἑορτὴ παρὰ ἀσσυρίοις. Βαίδιον, ὄνομα μικρόν. Βαίδυμον, δρυγμὸν. βρυτοί. Βαίνει, βάσιν ποιεῖ. Βαίκαλος, ὁ ἀνάγκη κλίνεσθαι, πλησίον ἔχων. Βαιοῖς, μικροῖς. Βαιβαλὴν, οἶκος θεοῦ. Βαίκυλος, προβατώδης. Βαιμάζειν, βασιλεύειν, ἢ βασάζειν. Βαίνεται, καὶ ὅσον. βαίνειν λέγεται, τὸ ἁπλῶς διὰ ποδῶν βαδίζειν. ἀναβαίνειν, ἡ ἐκ τοῦ κάτω πρὸς τὰ ἄνω ἀνάβασις. ὁ μέλλων βήσω. καὶ μετάγεται εἰς ἐνεστῶτα, καὶ μέλλοντα οὐκ ἔχει. τὰ γὰρ τοιαῦτα, ἀπὸ μελλόντων εἰς ἐνεστῶτα κατηγόμενα, οὐκ ἔχει τοῦ ὁριστικοῦ κλίνεσθαι. καὶ βαίνειν, φιλεῖν, κελεύειν. Βαῖνον, ἐπιβαῖνον. Βαίνω, τὸ πορεύομαι, καὶ τὸ ἵσταμαι. ἀφ' οὗ βάσις ἐπὶ τρίποδος. Βαίομαι, βιοῦμαι. Βαῖον, παρὰ τὸ βίῳ τέλλεσθαι, σημαίνει τὸν κλάδον τοῦ φοίνικος. Βαιὸν, τὸ μικρόν. Βαίνω, τὸ ἵσταμαι, καὶ τὸ πορεύομαι. ἀφ' οὗ βάσις, ἡ στάσις, καὶ ἡ πορεία. καὶ βαῖν, ἐνικόν.

Βαιὸς, κυβερνήτης ἦν ὀδυσσέως, ὃς τελευτήσας ἐτάφη περὶ σικελίαν, ἀφ' οὗ κληθῆναί φασι Βαιὰς, τὰς νήσους. καὶ πόλις περὶ τὴν ἰταλίαν, ὥσπερ καὶ βαιὸς, ἐπὶ ἀριθμοῦ καὶ ἐπὶ μεγέθους. Βαϊοφόρος φοίνικος, καὶ βαΐων. Βασιλεὺς παρ' ἰνδοῖς, ὁ στρατιώτης. Βαϊσίλεω δὲ, ὁ στρατός. Βαιτὸν, βαίτη. Βαίτην, τὴν μηλωτὴν, ἢ τὴν διφθέραν, τὴν σισύραν. βαίτην δὲ λέγουσι τὰ ἐκ κωδίων συνεῤῥαμμένα περιβόλαια. ἀττικοὶ δὲ ταύτην, καὶ σισύραν φασίν. ὡς Ἀριστοφάνης, ἐν Ὄρνισι σισύρας ἐγκεκρυμμένος. ὑμεῖς δὲ αὐτὰ σισύρινα φαμέν, καὶ βαίτην ἑλληνικῶς. Βαιτὰς, εὐτελὴς, γυμνή. ἀρχαία δὲ ἡ λέξις. καὶ βαιτάλα, εὐτελὴς, γυμνή.

Βαιτάῤῥηνοι, ἀπὸ Βαιτάῤῥης, κώμης παλαιστίνης. Βαίτην, τὴν διφθέραν λέγουσιν οἱ δωριεῖς, καὶ τὴν γούναν. Βαιτὴρ, ὁ ἀρχὴ τοῦ πεντάθλου σκαμμάτων. λυτὴρ εἰρημένος, τὴν βατῆρα τοῦ λόγου, ὅθεν τὸ ἐπὶ καρόταθρον καὶ τὸ πρῶτον. οὐ παρὰ τὸ βαίνω γὰρ ἐγένετο βατὴρ, ἀλλὰ παρὰ τὸ βίβημι βατήρ. Βαίτιον, βεταλον ἐμφερὲς δικτάμνῳ, ἤγουν γλήχωνι. Βαίτις, πόλις κατὰ τὴν ἰβηρίαν. Βαιτύλα, τὸ τύμπανον. Βαίτυλος λίθος, γενόμενος κατὰ τὴν λίβανον τὸ ὄρος τῆς ἡλίου πόλεως. οὕτως ἐκάλει ὁ δὲ ἐδόθη λίθος ὑπὸ κρόνου, ἀντὶ Διός. Βαίτυξ, βδέλλα. Βαιτρύειν, ὀρεστρῶν. Βαιτώνα, τὴν εὐτελῆ ἐσθῆτα. Βαιωμφας, αἱ αἶγες ἐν ἑβραϊκοῖς. Βαιὼν, ἰχθύδιον. καὶ ἐν αἰχμαλωτισμῷ βαίων ἐν βδηλύγμασι ὄχλος λιβυκός. Βαίων, ἰχθῦς, ὁ καὶ βλέννος, πολλαπλάσιος ἐκβολή. ἐπεὶ χαμαιπετὴς ἡ βαίων λέγεται. καὶ ἡ παροιμία, Μή μοι βαιὼν κακὸς ἰχθῦς. ἐπὶ φιλοδόξου τέρατος. Βακαῦδες, ὁ ἀφροδίτη, παρὰ συρακουσίοις. Βακαῖον, μέτρον τι.

Βακάρτης, ὁ χυτλιαστής. Βακάσιλος, κακὸς ἰχθῦς, ἐπὶ φιλοδόξου τέρατος. χελωνὴς, μὴ παρομοίων ὑπὸ πράγματος αὐτοῦ.

Βακήλιμος, ὁ μὴ παρομοίων ὑπὸ πράγματος αὐτοῦ, ἀλλὰ χαλάζων. Βακίω, τὸ μεθύσκομαι. καὶ βακχατὴς, ὁ μεθυστὴς. γίνεται παρὰ τὸ βάκχος, ὃ σημαίνει τὸν οἶνον. νῦν δὲ παρὰ τὸ ἄχος, καὶ τὸ βῶ τὸ βαίνω. ὁ κατέχων λύπην, ἢ εἰς μέθην ἐμπεσὼν, ὁ φιλοποτῶν τὴν λύπην ἀποβάλλει τῇ λήθῃ ἢ μέθῃ. Βάκηλος, ὁ μέγας, ἢ ἀνόητος. ἢ ὁ ἀπόκοπος, ὁ ὑπὸ οἴνου γαῦρος. οἱ δὲ, ἀπόκοπος, ἄλλοι παρειμένος γυναικώδης. παρὰ Μενάνδρῳ ὑμεῖς, τὸ σύνηθες ἡμῖν. ἢ ὁ τετμημένος τὰ αἰδοῖα, οἷον διαλελυμένος ὤν. ἄλλως. Βάκηλος, ὁ μεγαλόσωμος εἰς τὸ ἐκλῦσαι, ἀντὶ τοῦ κατατετμημένον τὰ αἰδοῖα, ὃν βέλω εἴ τι καὶ ὀσιώσει, γάλλον καλοῦσι. λέγε οὖν βλὰξ καὶ βλακεῖον, ὡς οἱ ἀρχαῖοι.

Βακίας, βέβηλος, πηλὸς, ὑπὸ ταραντίνων. Βάκιδος, φωνὴ ἴγλωσσος. εἰς ἀττικὸς, ἢ μάντις, οὗ μέμνηται Ἀριστοφάνης. ὁ δὲ, λοκρὸς. ὁ δὲ, βοιωτός. Βάκινος, καὶ βαβάνιος, εἶδος λαχάνου. Βάκις, χρησμολόγος γέγονε. βάκιδες δὲ, τρεῖς. ὧν ὁ πρεσβύτατος ἐξ ἐλεῶνος τῆς βοιωτίας. ὁ δὲ δεύτερος, ἀττικός. ὁ τρίτος, ἀρκὰς, ἐκ πόλεως καφύας, ὃς καὶ κύδαν ἐκαλεῖτο, καὶ ἀλήτης, ὅσον ἐν φιλίταις ὁ ἴσιος. Θεοπομπος ἐν τῇ ἐνάτῃ τῶν φιλιππικῶν, ἄλλα τε πολλὰ περὶ τούτου τοῦ βάκιδος ἱστορεῖ παράδοξα, καὶ ὅτι ποτὲ τὰς λακεδαιμονίων γυναῖκας μανείσας ἐκάθηρεν, ἀπόλλωνος δόντος τοῦτον καθαρτὴν αὐτοῖς. ἐστὶ δὲ καὶ ἐπίθετον παρὰ στωϊκοῖς, βακίζειν. Βάκκαρις, μύρον ποιὸν, ἀπὸ βοτάνης ἐπώνυμον. ἔνιοι δὲ ἀπὸ μυρσίνης, ἄλλοι δὲ μύρον λύδιον. ἐστὶ δὲ ξηρὸν διάπασμα, τὸ ἀπὸ τῆς ῥίζης. Βακκίλλα, εἶδος ὑπολαμπάδων. Βάκλα, βάθρον. Βάκσιον, πολύς. Βακόν, σκοτόν. κρυπτόν. Βακτηρεῖον, ἐπερείδεται. Βακτηρίαν λέγουσι, τὴν βάσιν ποιοῦσαν ἐφ' αὑτήν. ἢ βακτηρία τίς ἐστιν, οἱονεὶ βάσεως αἰτία. καὶ ἐν πλεονασμῷ τοῦ κ. ἐπειδὴ οἱ γέροντες ἐν ταῖς ἀθήναις, διὰ βακτηρίας ἐβάδιζον. βακτηρίαν ἐδίδοσαν τοῖς δικασταῖς, ὁμοίως τοῖς δικαστηρίοις, ἵνα ὅταν ἀπέλθωσιν δικάζειν ἐκεῖ, ἵνα τὴν διαμαρτάνουσαν ἐπιλέγῃ τὸ χῦμα. βακτηρία ἐστὶ χῦμα, καὶ τρίβων, ἢ τρίβολον. τὸ ἐπὶ τῶν πλείστων τοῖς δικασταῖς.

ποὺς ἄγω, καὶ πλεονασμῷ τοῦ ω, ἀωτῶ. ὡς εἶτα, εἶτεν. ὅθεν λέγεται σημαῖνον, τὸ ἐξαίρετον. γίνεται ἐκ τοῦ αἴρω τὸ κορίζω, καὶ ἀρεμῶ. ὁ μέλλων ἀρῶ, ὁ παρακείμενος ἦρκα ἦρμαι, ἤρμην ἦρτο ἦρτο. τροπῇ τοῦ μακροῦ εἰς μακρόν, ὦρτο. καὶ πλεονασμῷ τοῦ α, ἄωρτο ποιητικῶς. Ἀωτεῖν. οὐκ εἴληπται τὸ ὡς ὦτα κατακλίνειν, ἀλλὰ τὸ τοὺς κοιμωμένους μὴ χεῖσθαι ὤτοις εἰς ἀκοήν. ἀλλὰ τὸ ἄωτον, ὅπερ ἐστὶν ἄνθος. ἔστιν ὁ ἄωτος ὕπνος, τὸ ἐξαίρετον. νῦν δὲ ἀντὶ τοῦ καθ' ὕπνος ἀδύ. καὶ οἷον ἀνθηρόν. αὐτὸ δὲ ἀντὶ τοῦ λευκὴν ἀνθὴν καθ' ὑγείαν, τοὺς παῖδας ὕπνον εὕδοντας. ὥστε ὁ μὴ τοιοῦτος ὕπνος, ἀλλὰ περισπασμένος καὶ ἰλιγγώδης, οὐκ ἀωτεῖσθαι κυρίως λέγεται. Ἀωτεῖς, ἀντὶ τοῦ τὸ κάλλιστον τοῦ ὕπνου ἀπανθίζεις, ἢ συλλέγεις. καὶ ἀωτεῖς καθεύδεις. Ἀωτέοντες, ἀωτεύοντες. Ἀωτεῖται, ἀπανθίζεται τὸν ὕπνον. Ἀωτεύειν, ὑφαίνειν, ἀπανθίζεσθαι.

Ἄωτοι, οἱ ὦτα μὴ ἔχοντες, ἢ οἱ μικροί. ὅπερ εἴληπται ἐκ τοῦ, καὶ γὰρ δὴ γαῖαν ἀωτίζουσι. ἐκ δὲ ἄξεται, καὶ ὅτι ἀωτεῖν τὸ ὑφαίνειν ἢ ὑπνοῦν. οὕτω μὲν ἐκ τοῦ πάντοχον ὕπνον ἀωτεῖς. ἐκεῖνο δὲ ἐκ τοῦ, ὑφασμένου αὐτοῦ ἐρίοις φαλαδί, ἢ λίνοι. Ἄωτος οἶος, τὸ ἐξ ἐρίων ὕφασμα, οὐ τὸ ἁπλῶς, ἀλλὰ τὸ ἀνθηρόν, ἐκ μεταφορᾶς. ἄωτον γὰρ κυρίως τὸ ἄνθος, παρὰ τὸ ἄω τὸ πνέω, ὃ ἀλλὰ ἀπαχνοί. ὡς γὰρ εἴδω εἴδωλον κατὰ πρόσληψιν συλλαβῆς, οὕτω καὶ ἄω ἄωτον. ἐκ δὲ τούτου, τὰ ἀπὸ τῶν πραγμάτων καλοῦνται. οἷον, τὸ ἀπὸ λίνου κάλλιστον ἔργον, λίνου λεπτὸν ἄωτον λέγεται, ἤγουν λίνου ἄνθισμα. καὶ οἶος ἄωτον ὁμοίως, τὸ ἐξ ἐρίων ἐπανθισθέν. οὕτω καὶ ὕπνου ἄωτον, τὸ ἀπὸ τοῦ ὕπνου ἡδύ, ὃ φροντίδα ὡς εἶχεν ἀνθηρόν. καὶ τὶς δὲ τῶν συγγραφέων ἄκρον ἄωτον ἐν λόγοις φησί, τὸ ἐν λόγοις ἄνθος. καὶ Θεόκριτος τοὺς ἀργονάυτας, ἥρων ἄωτον ἡρώων φησί. ὁ Παλλάδας δὲ τῆς μουσικῆς ἐπιστήμης, ὥσει λυρικῶν, μουσικῶν ἄωτον λέγει. καὶ πατέρων δὲ ἄωτον φησί, ὃ ἄλλα τοιαῦτα. ἴδιον δέ, ὅτι ὁ ποιητὴς αὐτὸ τὸ ἁπλῶς ἔριον ἄωτον λέγει. φασὶ δέ, αὐτὸ ἐπιπολῆς εἰλημμένον. καὶ τοῦτο εὐλόγως. ἔστι δὲ ὃ τὸ ἔριον λέγεται, οἷον ἄνθος. εὕρηται δὲ ἔν τισι τῶν ἀλλαχοῦ καὶ ποτήριον ἄωτον, τὸ ὦτα οὐκ ἔχον. Ἄωτον, ἀπὸ τοῦ μὴ ἔχειν ὦτα. καὶ ἄωτον, λεπτόν, λίνου σύνεσμα ἢ φονικόν. ἔστι δὲ ἄωτον, τὸ οἰονεὶ ἀπάνθισμα ὁ κάλλιστον. ἄωτος καὶ οἷος ἄωτον, ἄνθος τοῦ ἐρίου ἐκκριθέν, ἢ ἄωτον, ἄνθος, κάλλος, ἄριστος, περιβόλαιον ἐξ ἁπλῶν ἐρίων. Ἀωτῶ, ἀπανθίζω.

Πῶς συνέστη ἡ τῶν ἑλληνικῶν γραμμάτων εὕρεσις, καὶ ἐκ τίνων καὶ τίνων ἀνδρῶν, ἡ τῶν παρ' ἕλλησι στοιχείων εἰσαγωγή.

Ἄλφα ἀπὸ τοῦ ἄλεφ γέγονεν, ἑβραϊκοῦ πρώτου στοιχείου, ὃ ἑρμηνεύεται μάθησις, ἐσταλμένον ὑπὸ εἰσαγομένου παιδίου, ἢ λέγεται, μάθε. ἀφ' οὗ ἄλεφ λέγεσθαι, καὶ αὐτοὶ οἱ ἕλληνες μιμησάμενοι, ὁμοίως τὸ ἄλφα κεκλήκασι. καὶ συμφωνεῖ ἡ φράσις τῆς ἑβραΐδος, τῇ ἑλληνίδι διαλέκτῳ. ἵνα εἴπω ὑπὸ παιδίου ἀντὶ τοῦ μάθε, ζήτει. τοῦτο γὰρ ἑρμηνεύεται τὸ ἄλφα. τὸ γὰρ ἀλφεῖν, ζητεῖν λέγεται τῇ ἑλληνικῇ διαλέκτῳ. ἀλλὰ καὶ ὡς πρῶτον ὂν στοιχεῖον τὸ ἄλφα, ἐκ θεοῦ δεδομένον ὑπὸ γένους τῶν ἀνθρώπων, τοῦ ἀνοίξαντος στόμα εἰς σύνεσιν τῶν γραμμάτων, διὰ μεγάλου ἀνοίγματος, ἐκφωνεῖται τὸ αὐτὸ ἄλφα. τὰ δὲ ἄλλα, διὰ βραχείας ἀνοίξεως ἐκφωνεῖται, καὶ ἀπαγγέλλεται. οὔτε γὰρ γράμματα εἶχον οἱ ἕλληνες, ἀλλὰ διὰ φοινίκων γραμμάτων ἔγραφον, τὰ αὐτῶν ἑλληνικὰ ὀνόματα. Παλαμήδης δὲ ὕστερον ἐλθών, πρῶτος ἀπὸ τοῦ ἄλφα καὶ βῆτα, ἑκκαίδεκα μόνα στοιχεῖα τοῖς ἕλλησιν εὗρεν. οἷον, α β γ δ ε ι κ λ μ ν ο π ρ σ τ υ. Κάδμος δὲ ὁ μιλήσιος προστέθεικεν αὐτοῖς γράμματα τρία. οἷον, θ φ καὶ χ. διὸ πολλοὶ ὑπὸ χεῖρα τῆς ἑκκαίδεκα στοιχείοις ἐχρῶντο. ὅθεν οἱ ἀρχαῖοι μὴ ἔχοντες τὸ ψ, ἀντὶ ψακάδα, πσακάδα ἔγραφον, καὶ ἔλεγον. ἀλλὰ καὶ ἄλλα πολλὰ ῥήματα ἄλλως ἐξεφώνησαν, καὶ ἔγραψαν. πρὸς ταῦτα καὶ Σιμωνίδης ὁ κεῖος ὕστερον, προσέθηκε γράμματα δύο. οἷον, η καὶ ω

μέγα. Ἐπίχαρμος δὲ ὁ συρακούσιος, τρία ἐφεῦρε γράμματα, οἷον ζ ξ ψ. καὶ οὕτως ἐπληρώθη τὰ εἰκοσιτέσσαρα στοιχεῖα τῶν ἑλληνικῶν γραμμάτων. ὅθεν οὐκ ἐξηκολούθησεν Ὅμηρος, ὑπὸ ἀριθμῷ τῶν εἴκοσι δύο στοιχείων τῶν παρ' ἑβραίοις, ἀλλὰ καὶ αὐτὸς τὴν ἰδίαν ποίησιν τῆς ἰλιάδος, διὰ τῶν εἴκοσι τεσσάρων στοιχείων τῶν ἑλληνικῶν γραμμάτων ἐνέταξεν. ὡσαύτως δὲ καὶ ὀδύσσειαν. αἳ καὶ ῥαψῳδίαι προσαγορεύονται.

Τέλος, τοῦ α στοιχείου.

ΑΡΧΗ ΤΟΥ Β
ΣΤΟΙΧΕΙΟΥ. ΤΟ ΑΥΤΟ
μετὰ τοῦ α.

ΒΗΤΑ τὸ στοιχεῖον, ὅτι δευτέραν ἔχον τάξιν, ἐπιβέβηκε τῶν λοιπῶν. Βάαλ, τορίων ὁ θεός. Βάαξ, μαλακός. Βαβάζειν, τὸ μὴ διηρθρωμένα λέγειν. ἔνιοι δὲ βοᾶν.

Βαβαί, ἐπίρρημα θαυμαστικόν, πρὸς γινομένοις τέτακται. οἷον, βαβαὶ τῆς εὐδαιμονίας. καὶ ἔστι ἀπὸ γραφικόν, βαβαιὰξ δὲ κωμικόν. καὶ γίνεται ἀπὸ τοῦ βαβαί, ὥσπερ ἀπὸ τοῦ ἰατταταί, ἰατταταιάξ. καὶ βαβαὶ βαβαιάξ, χυδαϊστικόν. ἀντὶ τοῦ φεῦ φεῦ κεῖται παρὰ τῷ Ἀριστοφάνει. Βαβάκα, τὸν γάμον. Βαβάκτης, εἶδος χύτρας. Βάβακοι, ὑπὸ ἠλείων τέττιγες. ὑπὸ ποιητῶν δέ, βάτραχοι. Βαβάκτης, ὀρχηστής. λάλος, μανιώδης. Βακχαστής, παρὰ τὸ βάζω ὁ λαλῶ, βάξω, βέβακται, βάκτης καὶ βαβάκτης, ὁ πολλὰ λαλῶν, φλύαρος. Βάβαλον, αἰδοῖον. καὶ βάβαλον, αρπάγαλον, λάκωνες.

Βάβαξ, ὁ ῥήτωρ, παρὰ τὸ βάζω ὁ λέγω. καὶ βάβαξ, ὁ ματαιολόγος, ἀναιδής. καὶ βάβαξ, λάλος, φλύαρος. παρὰ τὸ βάζω, βάξω, βάξ. καὶ κατὰ ἀναδιπλασιασμόν, βάβαξ. Βαβάζει, ὀρχεῖται.

Βαβὴρ, ὁ ἄρης. Βαβοῦς, ὄνομα γυναικός. Βαβράζειν, κεκραγῶς σιωπᾶν. Βαβρίκες, τὰ φῦλα τῶν ὀδόντων. οἱ δέ, σιαγόνας. οἱ δέ, τοὺς ἐξ ὧν ὀλισθαίνειν ἀπὸ τῆς τροφῆς κατεχόμενα.

Βαβρῶν, ὑπόστασις ἐλαίου, κατὰ μακεδόνας. Βαβύας, βόρβορος, πηλός. Βαβύκα, χείμαρρος. οἱ δὲ πόλις. Βαβύκτα, γέφυρα. Βαβύλας, πηλός, βάθρον, βῆμα, καὶ ὄνομα κύριον.

Βαβυλὼν, σύγχυσις, καὶ πόλις οὕτω καλουμένη. Βαβυλωνία, κάμινος. καὶ βαβυλώνιοι παῖδες. Βαβύρτας, ὁ παράμωρος. Βαγαία, ματαία. ὁ ζεὺς φρύγιος, μέγας, πολύς, ταχύς.

Βαγδόν, χλιαρόν, λάκωνες. Βαγδαλωνία, μοῖρα καταλοχίας τελευταία. Βαγία, πλεονεξία. Βαγεῦται, εἰσαλθοῦσαι. Βάγιον, μέγα. Βάγος, κλάσμα ἄρτου μάζης. καὶ βασιλεύς, καὶ στρατιῶται, λάκωνες. Βαδάς, κίναιδος, ὡς Ἀμερίας. Βαδδίν, κολὰ ἰσχά, ὄνομα ἑταιρικὸν καὶ βίαιον.

Βάδδομαι, ἀγαπῶ. Βαδιλαρεῖ, ἀμέλγει. Βάδαλοι, ὄχλοι. Βάδην, βαδιστικῶς, ῥῆμα παραγόμενον, βαδίζω.

Βαδιεῖται, καὶ φασὶ ἔστι, οὐ μόνον αἰολικὰ εἶτε δωρικά, ἀλλὰ καὶ ἀττικά. Βαδίζω πρὸς τὴν οἰκίαν, καὶ βαδίζομαι, μέλλων βαδίσομαι. ἐκ τούτου βαδιοῦμαι, ἀττικῶς. ὁ βαδιεῖται, ἀντὶ τοῦ βαδίσει. Βαδίζω, τὸ ἁπλῶς περιπατῶ. βαδίζω δὲ πρὸς τὴν πόλιν, μεταβατικῶς, αἰτιατικῇ συντάσσεται. καὶ βαδίζω τὴν ὁδόν. γίνεται δὲ παρὰ τὸ βάδος, ὃ σημαίνει τὴν ὁδόν. Ἀριστοφάνης, ὡς τὰς δεκαίας ὁδὸν βαδίζεις. καὶ βαδίζει ὁ ἄνθρωπος, ἀντὶ τοῦ διέρχεται ἀμετάβατον. Βαδίζειν ἐπιτεταμένως οἱ λέγοντες ἁμαρτάνουσι, δέον λέγειν συνεσταλμένως βαδίζον, ὃ ἐβάδιζον, λέγω τοιοῦτο. τριῶν ὄντων διπλῶν, ζ ξ ψ, καὶ τριῶν διχρόνων, α ι υ, πᾶν δίχρονον διπλοῦ ἐπιφερομένου συστέλλεται, μάλιστα δὲ τοῦ ζ ἐπιφερομένου. οἷον, φροντίζω, αὐγάζω, κεφίζω, ἀκοντίζω. οὕτως ἄρα καὶ βαδίζω ἐβάδιζον συνεσταλμένως, ὡς καὶ φροντίζω ἐφρόντιζον.

καὶ ἐνταῦθα, τόπος ἀλωῆς, ἐν ᾧ πίπτει τὸ ἄχυρον, λικμώντων τῶν ἀνδρῶν. ὡς ἔχει τὸ πε̄ ἀπὸ πληθυσμοῦ. τὸ δὲ ἄχυρον, ἄχνην, οὕτως καλεῖ διὰ τὸ εἰς λεπτὰ ἐμπίπτειν, λέγων, ὡς δ' ἄνεμος ἄχνας φορέει ἱερὰς κατ' ἀλωάς, ἀνδρῶν λικμώντων. Ἀχυροδόκη, ἀποθήκη τῶν ἀχύρων. Ἄχυρον, καὶ ἡ κατὰ τὰς ἀράχνας ..., τὰ ἐκ δραγμάτων λεπτά, ῥίψει τῶν βοῶν. καὶ ..., λέγει ἄχυρον εἶναι, μέλαν ἔχον. Ἄχυρος, ὁ ἀχυρών.

Ἄχω, ἀντὶ τοῦ ἀΐχω. Ἀχώρ, ἡ ἄμπελος. Ἀχώνευτον, ἄκαυστον. Ἀχῶρα, τὰ πίτυρα. ἔνιοι δὲ κρανίον. καὶ ἀχώρ, τὸ ἐν τῇ κεφαλῇ καὶ περὶ γενείων πιτυρῶδες. πάλιν τὸ ἄχνα ἀχώρ, καὶ ἀποβολῇ τοῦ ο ἀχώρ. καὶ κλίνεται ἀχῶρος, ὡς ἰχὼρ ἰχῶρος. τοῦ συνεστηκότος αἵματος. Ἀχώριστον, τὸ πάντα μὲν περιγεγραμμένον, οὐδαμῶς δὲ περιγραφόμενον. Ἀχώρητος, ὁ μὴ χωρούμενος. Ἀχώριστος, ὁ μὴ χωριζόμενος. Ἄχωρος, ἐν ἑταίρῳ λέγεται. ὁ μήτε τάξιν βίου, μήτε κατάστασιν οἰκείαν ἔχων.

Ἀχῶρες, κακοχώρες.

ΤΟ Α ΜΕΤΑ ΤΟΥ Ψ.

Αψ, ἤγουν ὀπίσω. γίνεται ἀπὸ τοῦ ὀπίσω, κατὰ ἔκθλιψιν τοῦ ο μικροῦ, καὶ τροπῇ δασεῖᾳ τοῦ ω μεγάλου εἰς α, καὶ πρόσθεσιν τοῦ π καὶ τοῦ σ εἰς ψ. Ἅψαι, προσεγγίσαι.

Ἄψαρον, τὸ μὴ ψαῦον. Ἀψαύειν, ἀποτυχεῖν. Ἀψαλῶ, ἀφανεῖ ... Ἀψάλακτον, τὸ ἄθικτον. Ἀψάλακτος, ἀπαθής, ἀδιάφθορος, ἀνίκητος, ἀψηλάφητος, ἀκράτητος. Ἀψάμαθον, ἄψον. Ἀψαμένω, ἐφάψασθαι, ἢ ἡ ἀπὸ μέσου. Ἅψασθαι, ἀναφθῆναι. ὡς τό, ἅψασθαι κληρὸς περὶ ἱερῶν. Ἀψάσθω, ἐπελάβοντο χειρῶν. Ἀψαυστεῖν, ἀπαθῶς ἔχειν.

Ἄψαυστον, ἀπροσπέλαστον. ψαύω δὲ τὸ προσεγγίζω. Ἀψαυρίας, αἱ συναφαὶ τῶν μελῶν. καταχρηστικῶς δὲ, καὶ τὰ μέλη. παρὰ τὸ ἅπτω, ἅψω, ἅψος. καὶ ἅψεα, ἀπὸ τοῦ ἐφάπτεσθαι ἀλλήλων.

Ἄψεον, τέκνος. Ἄψευστον, ἄμωμον, ἀμίμητον, ἀψευδές. Ἀψελής, ὑγιής. Ἄψερον, ὕστερον, πάλιν. Ἀψεύδεια, ἡ ἀλήθεια. Ἀψεφές, ἀφρόντιστον. Ἀψεφεῖν, ἀμελεῖν.

Ἀψευδής, ἀληθής, οὐ ψευδής. Ἀψήκτῳ, καθάρῳ, σκληρῷ, ἀμαλάκτῳ. Ἀψηλάφητον, ἀνέπαφον. Ἄψηκτος, ἀνεκτήτος. Ἀψήφιστον, τὸ μὴ ἰσοῦσθαι ἑαυτόν ἐστι, καὶ τὸ μὴ εἰπεῖν περὶ καλοῦ ἔργου, ὅτι κἀγὼ τοῦτο ἐποίησα. ὁ κατέχων τὸ ἀψήφιστον, ἐν πᾶσιν ἐπιτελεῖ πᾶσαν τὴν χρείαν. Ἄψορον, πλύ, μέγα, ἰσχυρόν. Ἀψίαι, ἑορταί. Λάκωνες. Ἀψίδες, περιφερεῖς, αἱ συναφαί, περιστροφαί, περίδρομοι. Ἀψίκορος, ὁ ταχέως εὐμετάβλητος, ἢ ὁ συντόμως κορεννύμενος. Ἄψιδον, ἄπληστον ἢ παλίστροφον. Ἀψιμαχία, συναφή, ἢ ἀρχὴ μάχης. Ἀψίμαχος, ἐπίμαχος, ἐπίφορος μάχης. Ἀψιμισία, ἡ πρὸς ὀλίγον διαφορά. Ἀψίνθιον, εἶδος βοτάνης. ἔνιοι δὲ τῶν κωμικῶν, λέγουσιν αὐτὸ ἀπίνθιον, ὃ οὐκ ἄλλος πίνει ἢ ἅπτει, ἅψω. οὐ οὐδεὶς ἅπτεται. Ἄψινθος, πόλις Θρᾴκης. ἀψινθὶς δὲ, ἡ χώρα.

Ἄψιον, τὸ πρόσωπον. Ἄψιος, μέγα, πλατύ, πλύ, ἰσχυρόν.

Ἀψίρροον, εἰς τοὐπίσω ῥέον, παρὰ τὸ ἰ πλεονάζει. Ἀψίς, ἐπὶ τροχοῦ. Παυσανίας δέ φησιν, ὅτι ἀψὶς ξύλινος κύκλος τροχοῦ. τὸ δ' αὐτοῦ κύκλον σιδήριον, ἐπίσωτρον. Ὅμηρος μὲν τὸν τροχὸν ὅλον κύκλον ὀνομάζει. τὴν δὲ ἀψῖδα, ἴτυν. λέγονται καὶ ἀψῖδες, λεκτοὶ αἱ καμπαὶ καὶ ἀγκάλαι. ὡς τό, ἀψῖσι λίνου ἁπάγηο ἁλίσκεσθαι. ὁμοίως δὲ ἴσως ἐπὶ εἴδει ἔχεται, τὸ εἰπεῖν σχηματισθῆναι ἴσως ἀπὸ τῶν πολεμίων. φασὶ τὰ χόλικα, δεῖν εἶναι βάλλεσθαι τὴν εὐθεῖαν τὴν ἀψίσιν, ἵνα λέγηται ἀψίς. ἢ ὡς αἰολικόν. καθὰ καὶ Ἡσίοδός φησι, τρισπίθαμον ἄψιν. ἢ καὶ ἀναλόγως, ὡς ἀπὸ μέλλοντος. καθάπερ τὸ μέμψις, καὶ ἄψις. ὥστε εἶναι τὴν δοτικὴν τῶν πληθυντικῶν ἄψισι, προπαροξυτόνως. λέγουσι δέ, ἢ ὅτι ψιλοῦνται. Ἄψισι, συναφαῖς, ἢ λίνου ἅμμασιν.

Ἀψίτω, ἱκανέτω. Ἀψογίως, ἀμέμπτως. Ἄψος ἐν ἰσοτί, κατιθεῖν τὰς ἀμπέλους. Ἄψορρον, ὀπισθορμήτως. ἐπίδε ἐπίρρημα μεσότητος, παρὰ τὸ ἄψ, καὶ τὸ ὀρῶ, τὸ ὁρμῶ. πλεονασμῷ τοῦ ρ αἰολικῶς. καὶ ἄψορρον, παλινόρμητον, ἐξ ὑποστροφῆς.

Ἄψορρος ὠκεανός, ὁ κύκλῳ τῆς γῆς περιρρέων. καὶ ἄψ πάλιν ἐπὶ τὸ αὐτὸ ἐπανερχόμενος. κατὰ τὸ, περιτελλομένων ἐνιαυτῶν. οἱ δὲ παλαιοί, φράζουσι καὶ οὕτως. ἄψορρος, ὁ εἰς ἑαυτὸν ἀνακάμπτων ἐν τῷ εἰλεῖσθαι κύκλῳ περὶ τὴν γῆν. ἔνιοι δέ φασιν ἄψορρον, τὸν ταχὺ ῥέοντα, ὡς οἷον ἀψόρροον. Ἀψοφητί, ἠρέμα, ἡσύχως. καὶ ἀψόφητος, ἄνευ κρότου. Ἀψυρσεῦσιν, εἶδος ἀπὸ ἀψύρτου εἰρημένον. Ἄψυρθι, εἶδος στατικόν. Ἀψυχίᾳ, λειποθυμίᾳ.

Ἄψυχον, ἄζωον, μὴ ἔχον ψυχήν. Ἄψυχος, δειλός, καὶ ὁ τῶν πυθαγορικῶν βίος. Ἀψῶ, προσεγγίσω, θύσω. Κρατῖνος.

ΤΟ Α ΜΕΤΑ ΤΟΥ Ω.

Αωαλωτόν, εἰς τὸ μέγα κεράτιον, οἷον κριῶν κερῶν. Ἀώ, ὑγιῆ, ἡμέρα. Ἄω, τὸ πνέω. Ἀωδωνεῖν, ἀωτεῖν, ὑγιαίνειν. Ἀώιον, πρωϊνός, ὄρθριος.

Ἀώλεστον, τὸ οὐκ ἀπολλύμενον. Ἀῶν, ἰχθῦς ποιός.

Ἀωσιῶται, οἱ ἐν δρόμῳ μεταχειρισθέντες εἰς ... λέγονται. καὶ κίλλαβοι ἀπὸ τοῦ κεφάλου, τοῦ περιρρέοντος ποταμοῦ.

Ἀῶος, ποταμὸς ἐν Κύπρῳ. Ἄωρος, ὁ παρὰ καιρὸν ἀπαθής. ἢ ὁ ἄφροντις. ὥρα γὰρ ἡ φροντίς. Ἄωρα, τὰ παρὰ καιρὸν γενόμενα. Ἀριστοφάνης, ἀωρίαν κακοῦται, ἀντὶ τοῦ ἀωρίᾳ. ἐναίμως, καὶ παρὰ τὴν δέουσαν καιρόν. Ἀωρεῖν, ὀλιγωρεῖν, ἀπειθεῖν, φυλάσσειν. Ἄωροι, αἱ γυναῖκες. παρὰ τὸ ὁμοῦ ὀαρίζειν, καὶ συνευνᾶσθαι τῷ ἀνδρί. Ἀώρησις, ἡ κρέμασις. Ἄωρι, παράκαιρον, ὃ ἀντὶ τοῦ ἀκαίρως, καὶ παρὰ τὴν δέουσαν καιρόν.

Ἀωρινυκτί, ἔτι νυκτῶν, οὐκ ἀωρίᾳ. ἐν Δημοσθένους ἐγκωμίῳ. ἄωρι τῶν νυκτῶν. Ἀωρία, τὸ μέσον τῆς νυκτός. ἀφ' οὗ καὶ ἄωρον, τὸ παρακαιρὸν γινόμενον. Ἀωρίσας, κρεμάσας. Ἄωροι, ὠμοί, ἄγριοι, σκληροί. Ἄωροι πόδες κατὰ τοὺς παλαιούς, οἱ λεπτοί, ἢ παραιωρούμενοι, ἢ ἀσθενεῖς. ἢ δυσφύλακτοι, οὓς οὐδεὶς ἂν ὁρᾶσθαι, ἤ ἐστι φυλάξεται, διὰ τὴν ἐν αὐτοῖς δεινότητα. ὀρεῖν γάρ φασι, τὸ φυλάσσειν. ὅθεν καὶ ὁ πυλωρός. καὶ δυσωρεῖν ἐν Ἰλιάδι, τὸ δυσχερῶς φυλάσσειν. ἔνιοι δέ φασι, δασέως ἀναγινώσκειν. ἵνα εἶπεν ἄωροι, οἱ ὠμοί, καὶ σκληροί, καὶ ἄγριοι. ἐκ μεταφορᾶς τῶν ἀώρων, καὶ μὴ πεπόνων, ἀντὶ πεπείρων καρπῶν. ὧν πολλὴ φροντίς, κατὰ ἐπίτασιν τοῦ α. τινὲς δὲ οἱ τοὺς ὑπερεθίζοντας πόδας ἀώρους φασί, στρογγύλους καὶ χρῆσιν τοῦ κωμικοῦ εἰπόντος, οὐ τοὺς ἀώρους εἶχον πόδας κομίζειν, οὐδὲ φέρειν ἐπιθέντες. δοκεῖ δέ τισιν, ὡς καὶ Ἀριστάρχῳ ἀώρους εἰρῆσθαι, καὶ τοὺς πλεκτανώδεις, καὶ διὰ τὸ κοίλους μὴ ἔχοντας. ὥρα γὰρ ἡ ὀρὴ ὀξυτόνως, ὁ κωλὴν κατὰ Ἴωνας. εἰσὶ δέ, οἳ τὸ ἄωροι ταύτην εἶπεν εἶναι τὸ ἀόριστοι, διὰ μέγεθος, ἤγουν μεγάλοι, ἐπιτάσει τοῦ α. Ἀπολλώνιος δέ φασιν ὁ ῥόδιος, ἀώρους τοὺς συνεσκαλμένους εἶναι. ἄμεινον δέ φασιν ἀπὸ δέους ἀώρους, τοὺς χαλεποὺς καὶ δυσφυλάκτους, ἢ τοὺς ἀκινήτους καὶ δυσερμήνευτους. ἢ μὴ ὁρῶσιν δυναμένους, ἐκταθέντος δηλαδὴ τοῦ ο εἰς ω. Ἀωρόλειος, ὁ φαλακρός, ὁ παρὰ τὴν ὥραν καὶ ἡλικίαν λεαινόμενος. τὸ αὐτὸ καὶ ἀωρόγερων, ὁ πρὸ ἡλικίας γεραιός.

Ἄωρον, ἄμορφον, ἀπρεπές, ἐχθίστην, ἀειδές, ἀσύμφορον.

Ἀωρῶ, τὸ ἀλογῶ, καὶ οὐ φροντίζω. Ἄωρτο, παρ' Ὁμήρῳ, ἤγουν ἠώρητο καὶ ἐκρέματο. καὶ κατὰ συγκοπὴν καὶ συναλοιφὴν ἄωρτο. εἰ δὲ συναλείφεται κατὰ ἴωνας τὸ ο τοῦ παρακειμένου, δῆλοι μὲν καὶ οὕτως τὸ ἐκρέματο. ὅθεν καὶ ὁ ἀορτήρ, ὁ δηλοῖ τὸν κραμαστῆρα τοῦ ξίφους, ἀπὸ τοῦ ἀείρω τὸ κρεμάζω. ἐξ οὗ καὶ τὸ ἠέθω, τὸ κρεμῶ. Ἄλλως. Ἄωρτο. ὁ Ἡρωδιανὸς λέγει, ὅτι σημαίνει τὸ ἥρμοσο, τουτέστι περὶ τοῦ ξίφους. καὶ γίνεται παρὰ τὸ ἄρω τὸ ἁρμόζω, ὁ μέλλων ἀρῶ. ὁ παρακείμενος ἦρκα ἤρμαι ἠρμένος, καὶ ἦρτο. ἐπειτῶς

Ἀχλυρὸν, ἀπαθές. Ἀχλυδῶδες, θρηνῶδες. Ἀχλυθίαις, σκοτωμένως. Ἀχλύμενος, λυπούμενος. Ἀχλὺς, σκότος, ὁμίχλη, ζόφος. ἢ ἄτερ ἀλύτως, καὶ ἀναμερίστως, παρὰ τὸ ἀλύω, τὸ α ἐπιτατικοῦ ὄντος. ἢ παρὰ τὸ ἰὰς ὄψεις ἡμῶν ἐκλύειν, ἢ λυπεῖν. Ἀχλύωτος, σκοτωθεὶς. Ἀχνάζει, ἄχθεται, μισεῖ, ψέγει. Ἄχνα, λεπτὰ ἄχυρα, ἢ ἀκαθαρσίαι. καὶ ἄχνη ἁλὸς, τὸ λεπτότατον τοῦ ὕδατος. ὁ ἀφρὸς τῆς θαλάσσης. Ἄχναι, τῶν σίτων, καὶ τῶν ἐπὶ τοῦ σίτου λεπτῶν καλάμων. Ἀχνάσδημι. ἀχνῶ, ῥῆμα παράγωγον, ἀχνάζω, ἀχνάζημι τροπῇ τοῦ ζ εἰς δ, καὶ πλεονασμῷ τοῦ σ, ἀχνάσδημι. Ἄχνη, γίνεται παρὰ τὸ α στερητικὸν, καὶ τὸ ἔχω τὸ κρατῶ. ἡ ἀκράτητος διὰ λεπτότητα. ὡς γὰρ ἀχνῶδες οἱ πτωχοὶ, παρὰ τὸ μὴ ἔχειν, οἱονεὶ ἀχνῶδες, ἢ κατὰ κρᾶσιν ἀχνῶδες. οὕτω καὶ ἄχνη, καὶ κράσει ἄχνη, ἡ μὴ ἐχομένη ἄχνη. καὶ πλεονασμῷ τοῦ σ ἄχνη, ὡς τεύχη τέχνη, καὶ [illegible] οὐκ ὀλίγα. [illegible] καὶ ἡ μυσάχνη, σημαίνει πόρνης, ἐκ τῆς μυσάχνης. ὁ παρακείμενος μεμύσαχα, ὅθεν μυσάχνη. ἐκ τούτων δὲ φαίνεται, ὅτι οὐχ ἁπλῶς ἄχυρον, ἀλλὰ τὸ ἀχύρου λεπτότατον νῦν ἡ ἄχνη δηλοῖ. [illegible] ἄλλον δὲ λόγον, τετηρηται ἀμφότερα. καὶ ἡ ἄχνη γὰρ παρὰ τὸ μὴ ἴσχεσθαι εἴρηται. καὶ τὸ ἄχυρον δὲ, αἴχυρον [illegible] ὅτι καὶ ἐπὶ ὕδατος ἡ ἄχνη λέγεται. κύματος γὰρ ἄχνην φησὶν, ἀκολούθως δὲ ἁλὸς ἄχνη. Ἄχνη, τὸ λεπτότατον τοῦ κύματος, ἤγουν ἀφρὸς. ἐκ τοῦ α στερητικοῦ μορίου, καὶ τοῦ ἴσχειν, ἡ μὴ συνεχὴς. [illegible] ὡς δηλοῖ τὸ ὑφέν ἄχνη [illegible] πρὸς τὸ ἄχνη ἡ [illegible], ἡ λάχνη, [illegible] ὁ μυσάχνη. ταῦτην εἰπεῖν ἡ [illegible] ὡς ἀπὸ τοῦ μυσάχνη. οὗ ὁ παρακείμενος, μεμύσαχα. Ἄχνην λέγει Ὅμηρος, τὸ λεπτότατον τοῦ κύματος, ὅπερ ἐν ταῖς [illegible] ἀποφρίζεται. Σοφοκλῆς ἄλλως τὴν λύπην [illegible], ἄχνην τὴν [illegible]. Θάλλει δ' οὔρα [illegible] ἄχνας ὁ καλλίβοτρυς [illegible] [illegible] [illegible] τοῦ [illegible] ὅθεν καὶ ἡ ἄχνη ὀνόμασαι, ἄχνη τὶς οὖσα, καὶ κατὰ κρᾶσιν, καὶ πλεονασμῷ τοῦ ν. Εὐριπίδης δὲ καὶ αὐτὸς μιμησάμενος [illegible] ἁλὸς ἄχνη, εἰπὼν ἄχνην λέγει, τὴν ἐν λοιβαῖς καταχεομένην τῆς γῆς. Ἀχνηρὴν, λαμπρὰν, ἄσπρην, πολὺ, ἀφρώδη. Ἀχνοὺς, ἀγένειος, ἢ ὁ μὴ ἔχων χνοῦν, ἤδε χνοῦν. Ἄχνυλα, τὰ κάρυα κρύφια. Ἄχνυμαι, λυποῦμαι, καὶ ἀλγῶ, ταυτὸν. τὸ μὲν παρὰ [illegible]. τὸ δὲ λυποῦμαι, καὶ ἀλγῶ, [illegible] ὀνόματα, τὸ ἄχος ἡ λύπη, καὶ τὸ ἄλγος. [illegible] ἐπιτατικὸν τὸ ἄχνυμαι, καὶ [illegible] τῆς ἀγανακτεῖν, ἄχθεσθαι λέγεται, ἢ βαρέως [illegible] ὀχλεῖν [illegible]. ὃ ἡ προσεχθίζειν λέγεται παρὰ τοῖς κοινοῖς, ὧν τὸ μὲν, παρὰ τῶν ἐκ [illegible] γίνεται. τὸ δὲ παρὰ τὸ ἄχος, ὃ βάρος. Ἀχνύμενος. ἄχω τὸ λυποῦμαι, καὶ προσλήψει τοῦ ν, ἄχνω. καὶ παραγώγως, ἀχνύω, καὶ ἐξ αὐτοῦ ἄχνυμι, καὶ ἄχνυμαι, ἡ μετοχὴ ἀχνύμενος. Ἄχνυμι, ἄχω, ἀχύνω, καὶ δωρικῶς ἀχνύω, μεταθέσει. ἐξ οὗ τὸ ἄχνυμι. ὁμοίως καὶ δίκω, λικῶ, λικνέω, καὶ μεταθέσει καὶ παραγωγῇ λικνῶ λίκνυμι. Ἀχνὺς, ἡ λύπη. Ἀχνῶδες, ἄχνη ὅμοιον. Ἀχολαὶ, ἡ λιθώδης καὶ ψαμμώδης ἄμμος. ἢ ὁ μικρὸς λίθος. Ἄχολον, τὸ ἄοργον. ἄχολα ξύλα, τὰ μὴ ἔχοντα συμπαθῆ χολὴν. καὶ ἄχολον, ἀπὸ [illegible] τὴν ὀργὴν, ἢ λυπηρὸν [illegible] δύναμιν ἔχον. [illegible] ἄχολον [illegible] ἀπάγον. Ἀχόρτασος, ἄπληστος. Ἀχὸς κατὰ τοὺς παλαιοὺς, ἡ ἄχνη [illegible] παρὰ τὸ α στερητικὸν μόριον, καὶ τὸ χαίνειν. ἢ ἄχος [illegible], σύγχυσις ψυχῆς, λύπη ἐπιτεταμένη. Ἀχραδόμυλλος, ὁ κοχλίας. Ἄχραντον σῶμα, ἁγνὸν, ἀμόλυντον. γίνεται ἀπὸ τοῦ α στερητικοῦ μορίου, καὶ τοῦ χραίνω, τὸ μολύνω. χραίνω χραντὸς, καὶ ἄχραντος. ὁ ἄχραντον, οὐ μεσιτεύει [illegible] χραινομένου [illegible] γεννητὸς. σῶμα δὲ λέγεται, διὰ τὸ σῆμα εἶναι τῆς ψυχῆς, ἤγουν τάφον. ἢ διότι τοῦτο σημαίνει ἡ ψυχὴ, ἃ ἐν σωμάτι. Ἀχράς, εἶδος ἀπίου, ὃ καλοῦσιν ἐν χρείᾳ οὖσα. καὶ ἀχρὰς, ὁ ἀχρεῖος.

Ἀχράδας, τὰς ἀπίους. Ἀχραδῶναι, ξύλα ἐπὶ ξηροφάγα. Ἀχραεὶς, ἄχραντον, ἀμόλυντον, καθαρὸν, ἀμίαντον. χραίνειν γὰρ ἐπὶ τοῦ μιαίνειν. Ἀχραῖοι, οἱ σαλάμινοι. Ἀχρεῖος, ὁ ἄχρηστος, ὁ ἐκτὸς, ἐκ τοῦ χρεία. καὶ ὠφέλιμον εἶναι ἄχρεος. [illegible] γάρ ἐστιν ὁ [illegible], ἔστι [illegible] καὶ τὶς α, θελητικὰ σημαινόμενα, προσπαθέστεραι, ὅσον πόλιν, ἐφίπτουσα. οὕτως οὖν χρεία, ἄχρεος. ὡς οὖν [illegible] ἐκ τοῦ χρεία μετὰ τοῦ στερητικοῦ α ἀχρεῖος, οὐ μὴ ἔχει τινὸς χρείαν, καὶ ἐξ αὐτοῦ ἄχρειον, τὸ οὐδέτερον. ἀπὸ δὲ ἐνόματος μετοχικῶς ἐπίρρημα. Ἀχρεῖον γελάσας, ὁ ἐπὶ τοῖς ἀχρείοις καὶ μὴ συντελοῦσι γελῶν, καὶ χαίρων. Ἀχρεῖα, βλάσφημον, ἄμορφον, ἀχρεῖον, λυπηρόν. Ἀχρεῖον ἐγέλασεν, ἀντὶ τοῦ ἀκαίρον, καὶ πρὸς οὐδεμίαν χρείαν. Ἀττικοὶ δέ φασι τὴν λέξιν ταύτην προσπαθεστέραν, ἄχρειον λέγοντες. Ἀχρεῖον ἰδὼν, οὐχ ὅμοιον δὲ, τῷ παρ᾽ Ἀλεξάνδρῳ ἀχρεῖον γελάσαι. ἐκεῖ μὲν ἀχρεῖον, τὸ ἐπίπλαστον καὶ ὑποκεκρυμμένον. ἐνταῦθα δὲ ἀχρεῖον ἰδεῖν, τὸ ἀκαίρως βλέψαι, καὶ ἐπ' οὐδεμιᾷ χρείᾳ, ὃ ἀντὶ τοῦ μιμεῖσθαι, καὶ ἀχρειοστιδὸν, ὡς ἀμορφωθέντος τοῦ προσώπου τοῖς [illegible]. τὸ δὲ ἀχρεῖον φασιν οἱ παλαιοὶ, παρὰ μὲν τοῖς Ἀττικοῖς προπαθεστέρως, ἀναβιβασμῷ τόνου ὡς σύνθετον. παρὰ δὲ τῷ ποιητῇ προπερισπᾶται, καίτοι σύνθετον. τὰ ἔχοντα τὸ α ἐν τῇ πρώτῃ συλλαβῇ, ἐπιφερομένην δύο συμφώνων μετὰ διφθόγγου, προπαροξύνεται. οἷον ἀχρεῖος, ἀργεῖος, ἀχρεῖος. ὅτε δὲ ἄλλως προπερισπῶνται τὸ ἀχρεῖος, ἐπεὶ ἀχρεῖος λέγεται παρὰ Ησιόδῳ. ὁ δὲ ὀξυνεῖ φασι καὶ ὁ [illegible] σημαίνει [illegible], αἰτιᾶται Ἡρωδιανὸς, λέγων ὡς οὐκ ἀεὶ ὄν, καθὸ δῆλον ἐκ τοῦ ἀρεῖος ἄρειος, βασιλεῖος βασίλειος. Διό φασι τὸ ἀχρεῖος, ἔστι παρὰ τὴν χρείαν, εἴτε παρὰ τὸ χρέος, προπαροξυνθὲν ὀφειλε, ὁ δηλαδὴ ἐπὶ [illegible] οἱ Ἀττικοί. ὅς ἐν δὲ ἐχρήσατο [illegible] τοῖς ὁμηρικοῖς. καὶ αὐτὸ γὰρ οἱ ποιηταὶ Ἀττικοὶ, ἀναλόγως παρῴξυναν, ὥς φασιν Ἡρωδιανός. Ἀχρεῖος, μάταιος, ἐλαφρὸς, ἄχρηστος. Ἀχρεῖον, ὄλεθρον, μικρὶ τοῦ ἐχθὸν, καὶ ἀπόθετα. Ἀχρήματα, ἀδάπανον. Ἀχρημοσύνα, πενία, ἔνδεια, ἀπορία. Ἀχρήμων, πένης, καὶ αὐτάρκης. Ἄχρις ἀπαλλοίωτος, παντελῶς ἀπίκαφον. Ἀχρεῖος ἐκ διαφόρου ἐπαινοῦν, ἤγουν μὲν λαβεῖν χρηστὸν, μὴ δὲ χρησιμεύσιμος. Ἄχρι, καὶ τὸ μέχρι, καὶ τὸ ἕως σημαντικὸν ὄν, ἔχουσι τὸ σ. ἄχρι Χερῶν προσέρχονται τὸ πρᾶγμα, καὶ ἄχρι μὲν ἐν [illegible] μὲν ἐν [illegible]. ὁμοίως δὲ ἄχρι μὲν ἐν [illegible], καὶ ἐπὶ δὲ εἰς ἀντὶ τελευτῆς ἀρξάμενον, συναπέσαι παντὸς τοῦ ἄν. καὶ ἄχρι, χρονικόν. ἄχρις δὲ, ἀντὶ τοῦ ἀκριβῶς. Ἀχρίνα, βαθύτατα. Ἄχριον, ἄχριον. Ἀχριβῶς, ἀληθῶς.

Ἄχρις οἱ παλαιοὶ, ἀντὶ τοῦ διόλου φασί. βλάπτεται δὲ τὸ ἄχρις κατὰ πλοκὴν, τὰ εἰς ἰς ἐπιρρήματα διοῦρα, βλάπτονται. ἄλις, μάτις, μόγις, ὄψις. τὸ χωρὶς δὲ καὶ ἀμφὶς ὀξύνεται, διότι φασὶ μακρᾷ παραλήγεται. διὸ ὁ αὐθὶς [illegible] φαίνεται βαρυνόμενον. Ἀττικοὶ δέ φασιν ἀποφεύγειν τὴν ὀξεῖαν, ἐπεὶ καὶ τριχῶς ἐλέγετο [illegible] τὸ τέλος, αὖθις, καὶ αὖθι, καὶ αὖθιν μετὰ τοῦ ν. [illegible] φασι, καὶ πάρεστιν. γίνεται δέ φασι τὸ ἄχρις, ἀπὸ τοῦ μέχρις, ἀποβολῇ τοῦ μ, καὶ τροπῇ τοῦ φωνήεντος. ὁ ἄχρις καὶ μέχρι, μετὰ τοῦ σ καὶ χωρὶς τοῦ σ. εἰσὶ δὲ χρονικὰ ἐπιρρήματα. καὶ ἄχρις, ἀντὶ τοῦ ἕως οὗ. καὶ ἄχρις, ἀντὶ τοῦ διόλου. Ὅμηρος, ἀμφοτέρων τίθησι καὶ ὅστια λᾶαν ἀναιδὴς, ἄχρις ἀπηλοίησεν, ἤγουν διόλου συνηλόησεν. Ἀχροίαν, ὁμόχροιαν, ἢ συγχρωματίζον. Ἄχρονον, τὸ ἄχλεον. ἄλλα γὰρ τὰ ἐν χρόνῳ, ἢ τὸ μὴ ἀρξάμενον ἐπὶ χρόνου. καὶ ἄχρονον φῶς, ὁ Χριστός. Ἀχρονοτριβεῖς, σύντομον, ταχὺ. παρὰ τὸ μὴ τετριφθαι ἐν χρόνῳ, ἃ χρόνον τὴν λύπην διατρίβειν.

Ἄχροοι, πορφύραι ἠμίονοι. Ἄχροον, πορφυρὸν, λάκκινον [illegible]. Ἄχρωμον, ἀπαλλές. ἐν δὲ τῷ ἔγγραφον εἶναι ἄχρωμον, ἢ ἀχρώματος. Ἀχύνητον, παλίχυτον. ἵνα, πῦρ μὲν ἀεὶζωον ἢ ἀχύνητον, ἐπιρρέον ὕδωρ. Ἀχυρμιά, ὀρυτόσως κατὰ [illegible]

ἀμείβεσθαι, ἀντιστρέφειν, ἀντιπαρέχειν, ἀντιπαρέχεσθαι, ἀντιπαραβάλλεσθαι, ἀντικαταλλάσσεσθαι, ἀντιλαμβάνεσθαι, ἀντιφιλεῖν, ἀντιποιεῖν, ἀντιφιλοτιμεῖν, ἀντιφιλοτιμεῖσθαι. Ἀχθίστον, τὸ ἀηδέστατον. οὐ ὁ τύπος, ὡς τὸ λαλίστερον, καὶ κλεπτίστερον. δῆλον δὲ, ὅτι ἀντίκειται τὸ ἡδὺ, τουτέστι τὸ χαρίεν, πρὸς τὸ ἄχθι. Ἀχθὲς, λυπηρόν. Ἀχθίστον, ἀχαριστότατον. Δόρπου δ' οὐκ ἄν πως ἀχθίστον. οἱ δὲ, λυπηρότερον. Ἀχάρνα, εἶδος ἰχθύος. Ἀχάρνα, δῆμος τῆς ἀττικῆς. Ἀχθηναὶ πόλαι, ἀθηνῶν. Ἀχθηναὶ ὄνοι, ἐπὶ τῶν μεγάλων οὕτως ἔλεγον.

Ἄχαρι, χαλεπὸν, κακὸν, λυπηρόν. Ἀχάτης λίθος, καὶ λυχνίτης, καὶ αἰτίτης. Ἀχαχημένη, ἡ ἀκαχημένη, καὶ ἀκαχημένη διὰ χεῖρα μήτηρ, ἤγουν βλαπτομένη, λυπουμένη. Ἄχεα, λύπη.

Ἀχλύδος, ἡ ἀχλὺς ἀπὸ τοῦ, ἀχλύος ἐκ τοῦ, ἡ δυσχερὴς ταῖς χερσὶ λαβέσθαι, καὶ πλεονασμῷ τοῦ δ ἄχρηδος. ὡς δύω δύδω. οἷον μοχθηρὸς ὤν. καὶ τὴν γνώμην ἀχρεῖος, ἀντὶ τοῦ σκληρός. ἐστι δὲ εἶδος ἀκάνθης. ἡ ἄχερδος, ἄκανθα ποιά. ὡς τὸ, ἐθρίγκωσεν ἀχέρδῳ. Ἀχεῖ προσφωνῆσαι, τῇ λύπῃ ὑπεῖξαι, καὶ οἷον ὑποχωρῆσαι. Ἀχείμαστον, ἀτάραχον. Ἀχείμονα, ἄνεμον. Ἀχαρὶς, ἀχεῖον. Ἀχερὼ, ἡ ἀχερωῒς, καὶ αἵγειρος, καὶ ὕλη, γῆρυς, καὶ γῆ, καὶ δημήτηρ, ἡ αὐτή. Ἀχείρωτος, ἀνίκητος, ἀκράτητος, ἄμωμος, ἀπόρθητος. Ἄχειρ, ὁ χειρῶν ἐστερημένος. Ἄχρηα, ἰχθῦς ποιός. Ἀχίλλειον, τὸ λαμπρόν. Ἀχίλλειος, τοῦ ἀχέρων ποταμοῦ τις, παρὰ τὸ λαντίον.

Ἀχελῷος ποταμὸς μεγάλως, καὶ ἀχελῷος πηγαστικῶς λέγεται. οὕτω δὲ καὶ πατρῷος καὶ μοσχεῖος, ποιητικώτερον. καινὰ δὲ τὸ πατρῷον καὶ μητρῷον ἀχελῷον, ποταμὸς ἐστίν. εἰ μὴ ἄρα τις ἀχελῷον ἁπλῶς τὸ ὕδωρ εἰπεῖν βούλεται. καὶ ἀχελῷος ποταμὸς μεταξὺ αἰτωλίας καὶ ἀκαρνανίας. καὶ πᾶν δὲ ὕδωρ, ἀχελῷος καλεῖται. λοιπὸν δὲ τὸ ἐν τῇ ἑλλάδι ποταμῶν, μέγιστος ἐστιν ὁ ἀχελῷος. διὸ καὶ πᾶν ὕδωρ, τῇ τούτου προσηγορίᾳ καλεῖται. Ὅμηρος, Τῷ οὐδὲ κρείων ἀχελώϊος ἰσοφαρίζει. Ἀχελῳάδας, τὰς ἰσχυρὰς καὶ μεγάλας, παρὰ τὸ ἐπικρατές.

Ἄχος ἡ φίλη, περιφραστικῶς ἡ λύπη. Ἀχερουσία, λιμὴν ἐστιν ἡρακλείας τῆς πόντου. ὡς καὶ ποταμὸς ἀχέρων, ὅς τὴν καλεῖται συνωνύμως μυθικῶς. καὶ ἀχερουσία, καὶ ἀχέρων, λίμνη καὶ ποταμὸς τοῦ ᾅδου. παρὰ τὸ ἄχη καὶ θλίψεις φέρειν, τοῖς τῶν τεθνηκότων συγγενέσι. Ἀχερουσίας, λίμνη τῆς πλησίον ἡρακλείας πόντου. ὡς τὸ, ἔνθα μὲν εἰς ἀΐδαο καταιβάτις ἐστὶ κέλευθος, ἀκτή τε προβλὴς ἀχερουσιὰς ὑψόθι τείνει. Ἀχερωΐδα, τὴν λευκὴν καλεῖ Ὅμηρος, ὡς ἀπὸ τοῦ ἀχέρων. ὅς ἦν ἐν ᾅδου ποταμὸς κατὰ τὴν ἐν θνητοῖς κείμενον μῦθον. φασὶ γὰρ ἡρακλέα ἐκεῖ διὰ τὴν κέρβερον κατελθόντα, καὶ ἰδόντα τὸ φυτὸν, ἐν τῷ φυτῷ θαυμάσαντα, στεφανώσασθαί τι καὶ ἀναγαγεῖν, καὶ ἐκεῖ φυτεῦσαι. ὡς ἄλλος δὲ ἡ ἀχερωΐς, παρὰ τὸ ἄδην ὀνόμασται, διὸ καὶ δεῖται καὶ αἴγειροι τὴν τοῦ περσεφόνης πληροῦσι λειμῶνα. ἕτεροι δὲ, ἀντὶ τοῦ ἀχερωΐς χρῆσθαι ἀχελωΐς, ὡς ἄν εἰς ὕδατι ὑλαι τρέφεσθαι. ὡς ἀχελῷον λεγομένου παντὸς ὕδατος. καὶ ποιοῦσιν, ὡς αὐτοὶ βούλονται, ἀχελωΐδα, τὴν αἴγειρον, ὡς ὕδασι χαίρουσαν. ἣ καλῶς εἰρήσεται καθ' Ὅμηρον, μὴ γὰρ ἄπιος. Ἀχέρων, ὁ ἐν ᾅδη ποταμὸς, παρὰ τὸ ἰσχύσασθαι χαρᾶς τοὺς ἐκεῖ κατιόντας. καὶ καθ' ὑπέρθεσιν ἀχέρων. Ἄχεται, λυπεῖ, μέμφεται. Ἀχέτας, ὁ τέττιξ καὶ φωνήεις. Ἀχέτας, ὁ ἄρρην τέττιξ, ὁ λαλίστατος. Ἀχεύων, καὶ ἀχέων, λυπούμενος. παρὰ τὸ ἄχος, ἀχέω, ἀχεύω δὲ, ἀπὸ τοῦ ἀχέω. Ἀχέων, δυσφορῶν. Ἀχηνία, ἀπορία, πενία, ἀπουσία. ἡ ἀχὴν, ὁ πτωχός. καὶ ἀχῆνες, οἱ μηδὲν ἔχοντες. παρὰ τὸ γὰρ ποιοῦ τοῦ σκεῦος ἔχειν.

Ἀχηνίς, πενεί. Ἀχηρὴς, ὁ λυπηρός. ἐκτάσει τοῦ α εἰς η. Ἄχυρον, ἀκρίδα, κρητικόν. Ἄχης, ὁ πένης. καὶ ἀχῆνες, οἱ πένητες. Ἀχητὶς, ἀρέτων, ἀσθενῶν, ἀπόρων. Ἀχθαί, λυπηθεῖ. Ἀχθεία, ἡ δημήτηρ, μυστικῶς. Ἀχθεινὸν, ἐπίπονον, ὀδυνηρόν. Ἀχθέσομαι καὶ βάλλουσαν ἡ ἀχθεσθήσομαι, ἤγουν βαρυνθήσομαι. Ἄχθεται, λυπεῖται, βαρεῖται. Ἀχθεσθείς, λυπηθεὶς. ὁ ἀχθέσας, ὁμοίως. Ἄχθη, ἀναθαρσία, ἀγρὸς ἐκλάσας. Ἀχθεινῶν, βάρος. λύπη. καὶ κλίνεται ἀχθεινοῦ.

Ἀχθηρὸς, λυπηρός. Ἀχθίσας, γομώσας, ἤγουν πληρώσας. Ἀχθομένη, βαρυνομένη, λυπουμένη. Ἄχθος, βάρος. ἄχθος τί ἐστι, καὶ πλεονασμῷ τοῦ θ, ἄχθος. Ἀχθοφορεῖ, ἀμφορευφορεῖ, ἀμφορεῖς. ἀμφορεῖς λέγονται, οἱ ἐξ ἀγορᾶς ἢ λιμένος κομίζοντες. καὶ τὰ ῥήματα, ἀχθοφορεῖν, καὶ ἀμφορεαφορεῖν, ἀφορεῖν, ἀμφορεῖν. ὑδροφόροι, ξυλοφόροι, σκευοφόροι, ὑλοφόροι καὶ ὑλοφορεῖν. πλινθοφόροι πλινθοφορεῖν, πηλοφόροι καὶ πηλοφορεῖν, ξυλευτοί. ἀφ' ὧν τὸ ξυλαγωγὸν εἴρηκε Δημοσθένης. φρυγανοφόροι, ὄνομα ἐν τῇ Λυσίου ἐπισκολῇ. καὶ ξυλοφορίαν εἴρηκε Λυσίας. τὸ δὲ σῶμα αὐτοῦ, μισθωτὸν. καὶ ὡς φορμικὸς, μισθώσαι γυναικός. Ἀχθοφοροῦντας, βαστάζοντας καὶ φέροντας βάρος. Ἀχθομαι θέλω, ἤγουν τὸ βάρυνομαι, δεινῇ συντάσσονται. Ἄχθος ἀρούρης, ἀνθρώπινον ἤγουν μάταιον. ὑπὸ δὲ τὸ ἄχθος τὸ βρωτόν. Ἀχθών, κοσμὸς ἐν λιπαδοῦ λαλεῖν, λάπαθον.

Ἄχι, ἀντὶ τοῦ ῥᾳδίως. Ἀχία, ἔριον μαλακόν. Ἀχίλλειος εἰς τὸ κάλλιστον πεδίον παραγενόμενος, ἤγουν μέλιταν. καὶ ὅτι προσδώσεις ὑπερήσχεν, καὶ σιμωσίδης. διὰ τὸ ἀχιλλεῖ κεκοσμημένον ὤν, ἢ τὸ πολυχρόνιον γενέσθαι, ἢ ἄμεινον, ἢ ὀλιγοχρόνιον, ἢ ἔνδοξον.

Ἀχίλλειος ἐγένετο τὸν τοῦ πριάμου θυγατρὸς, φασὶν οἱ παλαιοί ὅτι ἐπῆλθον διὰ πριάμῳ συμμαχήσαι αὐτῷ, οἱ λέγεσι τὸν κόρην. ὁ δὲ σωτῆρ λοιπεῖ. καὶ ἐλθόντων ἐν τῷ θυμβραίου ἀπόλλωνος ἱερῷ, ἀλέξανδρος λάθρᾳ ὥρμησεν τὴν ἀχιλλέα, καὶ οὕτω σωθεὶς ἀπέθανεν τὴν ἥρωα. οἱ δὲ τρῶες τὸ σῶμα αὐτοῦ ὥστε ἐλευθεροῦν οὐκ ἠθέλησαν, ἕως ἔλαβον πάλιν τὰ λῦτρα, ἃ πρίαμος σταθμῷ ταλάντῳ, ὑπὸ ἀκριβεῖ ζυγοστατήσαντα ὑπὸ τὸν χρυσοῦ.

Ἄλλως. Ἀχιλλεὺς μετὰ θάνατον (ὥς λεγουσιν) ἔγημε μήδειαν τὴν αἰήτου παῖδα. αἰήτης δὲ, καὶ κίρκη, καὶ πασιφάη, ἡλίου παῖδες, καὶ πέρσης τοῦ ὠκεανοῦ. αἰήτου μὲν παῖδες καὶ μήδεια, μήδεια καὶ ἄψυρτος. κίρκης τε καὶ ὀδυσσέως, τηλέγονος καὶ πασιφάη. πασιφάης καὶ μίνω, ἀριάδνη, φαίδρα καὶ γλαῦκος, ὅν λυκόφρων γλαύκικον φησιν. ἱστορεῖ τε Ἴβυκος δὲ καὶ ἡ σχαρα τὸ ἀχιλλεὺς. φασὶ γὰρ, ἀπὸ τοῦ ἄχος ἐμποιεῖν τοῖς ἰλιεῦσιν ἐτυμολογεῖται, ἢ παρὰ τὸ μὴ θιγεῖν χείλεσι θηλῆς. ὅλως γὰρ οὐ μετέχει γάλακτος. ἢ παρὰ τοῦ ἄχη λύειν. ἰατρὸς δὲ ἦν. ἢ παρὰ τὸ χιλὸν ἄμοιρος εἶναι. ἢ παρὰ τὸ ἀγέρειν τὴν λαὸν, ὡς στρατηγὸς. τὸν ἀχιλλέα κατὰ δύο παλαιοὺς Ὅμηρος, οὐκ ὑπὸ χείρωνος οἶδε τραφῆναι, εἰ μὴ ἄρα ἴσως μόνον μόνην καταδείξαι τὴν ἰατρικήν. Ἄλλος. Ἀχιλλεὺς, παρὰ τὸ ἄχος λύειν. ἰατρὸς γὰρ ἦν. ἢ διὰ τὸ ἄχος, ὅ ἐστι λύπην ἐμποιῆσαι τῇ μητρί, καὶ εἰς ἰλιεῦσιν. ἢ διὰ τὸ μὴ θιγεῖν χείλεσι θηλῆς, ὅ ἐστι τροφῆς. ὅλως γὰρ οὐ μετέχει γάλακτος, ἀλλὰ μυελοῖς ἐλάφων ἐτρέφετο ὑπὸ χείρωνος. ὑπὸ μυρμιδόνων δὲ κέκληται, καθά φησιν Εὐφορίων, ἐς φίλον Αἰακίδαο κατελθὼν πάμπαν ἄπαιδος, Τοὔνεκα μυρμιδόνεσσι μὲν ἀχιλλεῖα φημίξαντο. Ἀχίλλειον, τουτέστι κριθῶν καθαρῶν, καὶ εὐγενῶν, οὕτω καλούμενον. Ἀχίλλεια μάζα περιλαλεῖται, οὐκείτε τροφὴ δὲ ἐκ ξ, ἐν ἄρτῳ μόνῃ διαρτημένη. οὐ σημεῖον τὸ διαπέμπεσθαι, ὅ ἐστι σύνθεσιν κατὰ Αἴλιον Διονύσιον. ὅς φησιν, ὅτι διὰ τῶν ἀττικῶν λέγουσι, τὸ σῖτον. καὶ διαπεπλασμένον, τὸ συνεσπειραμένον.

Ἀχιλλείδας, ἐκ τοῦ ἀχιλλεὺς. οὕτω καὶ αἰτίας, αἰτιάδας, ὁ υἱὸς τοῦ αἰτίου. Ἀχίλλειος στίχος, ἔχων τι ἐξαίρετον πρὸς τοὺς λοιπούς. ὑποκείμενος ἅπασι ταῖς περικεφαλίαις. καὶ εὕρησιν ἴσως ἀχιλλεὺς, ἵνα καὶ σίδηρος τρίβοι τῶν κεφαλῶν.

Ἄχιλλος, ὑπεργυνεῖον τὸν δὲ ἴσως, διὰ τὸ μέτρον. Ἄχιλον, ἄφοβον, γλύκερον. Ἀχίναι, σκυτάλη. Ἀχινῶν, τὸν ἀχιλλέων. Ἀχιτοῦ, χόρτου χλωροῦ. Ἀχλὺς, ἡ λεπτὸς καὶ ψαμμώδης ἄμμος, ἢ ὁ μικρὸς λίθος.

Ἀχλυρόν.

Ἀφύξεις, ἀρπάσεις. Ἀφύων λιμὴν τὸ ἔλαιον, ἐπεὶ ἐν αὐτῷ ἕψονται. λέγουσι δὲ ἀττικοὶ πληθυντικῶς τὰς ἀφύας, ἑνικῶς δὲ οὐδέποτε. Ἀφῶ, ἀντὶ τοῦ ἀφ' οὗ. Δωρικῶς. Ἄφωνα ἐννέα, β, γ, δ, κ, π, τ, θ, φ, χ. τούτων τρεῖς εἰσὶ συγγένειαι, ἡ μὲν μία καὶ πρώτη ἐστὶ, γ κ χ. ἅτινα τρία σχηματίζονται ἐν τῷ λάρυγγι. ἡ δὲ δευτέρα συγγένειά ἐστι, δ θ τ, καὶ ταῦτα σχηματίζονται ἐν τῷ οὐρανίσκῳ. ἡ δὲ τρίτη συγγένειά ἐστι, β π φ. ἅτινα ἐν τοῖς χείλεσι σχηματίζονται. τούτων δὲ λέγονται ψιλά. οἷον, κ π τ. τρία δασέα, ἤγουν θ φ χ. τρία δὲ μέσα, οἷον, β γ δ. τὸ γὰρ β μέσον ἐστὶ τοῦ π καὶ φ. τὸ δὲ γ, μέσον τοῦ κ καὶ τοῦ χ. τὸ δὲ δ, μέσον τοῦ τ καὶ τοῦ θ. λέγονται δὲ μέσα ταῦτα τὰ τρία, ὅτι τῶν δασέων εἰσὶ ψιλότερα, τῶν δὲ ψιλῶν δασύτερα. καὶ ταῦτα διὰ τῶν ὁμοιοτάτων ἑαυτῶν τῶν κατὰ φύσιν, εὐκόλως καὶ πολλάκις ἀντ' ἀλλήλων λαμβάνονται. τὰ μὲν γὰρ ψιλὰ μεταβάλλονται καὶ μεταβαίνουσιν εἰς δασέα, ὁπότε ἐπὶ τῆς τελευταίας συλλαβῆς εὑρεθέντων αὐτῶν, τῆς ἑπομένης λέξεως ἀρχομένης ἀπὸ φωνήεντος δασυνομένου, γίνεται ἔκθλιψις. ὡς ἐν τῷ κατὰ ἡμῶν, ἐκθλίψει καὶ ἐκβολῇ τοῦ α, καὶ τροπῇ τοῦ τ εἰς θ, γίνεται καθ' ἡμῶν. ὁμοίως ἐν τῷ ἐπὶ ἡμᾶς, ἐφ' ἡμᾶς, ἐκθλίψει τοῦ ι καὶ τροπῇ τοῦ π εἰς φ, γίνεται ἐφ' ἡμᾶς. τὸ αὐτὸ ἐν τῷ πλὴν ἑαυτὴν εἰ τύχη, ἐκβολῇ τοῦ ι καὶ τροπῇ τοῦ κ εἰς χ, πλὴν ἑαυτήν. Σημείωσαι, ὅτι τὸ θ δασὺ, ἀντίστοιχόν ἐστι τῷ ἑαυτοῦ ψιλῷ τῷ τ. τὸ δὲ φ, τῷ ἑαυτοῦ ψιλῷ, ἤγουν τῷ π. τὸ χ δὲ, τῷ κ. ὡς δῆλον ἐν τοῖς προειρημένοις τῶν παραδείγμασι. γίνωσκε, ὅτι ἡ μία συγγένεια τῶν προειρημένων ἀφώνων, οἷον β π φ, ποιεῖ τὴν πρώτην συζυγίαν τῶν βαρυτόνων ῥημάτων. ἡ δὲ ἄλλη συγγένεια, ἤγουν, γ κ χ, ποιεῖ τὴν δευτέραν συζυγίαν. ἡ δὲ ἄλλη συγγένεια, ἤγουν δ θ τ, ποιεῖ τὴν τρίτην συζυγίαν. ὁμοίως δὲ τὸ ζ, καὶ δισσὸν σ, ποιεῖ τὴν τετάρτην συζυγίαν. τὰ δὲ τέσσαρα ἀμετάβολα, ἤγουν λ μ ν ρ, ποιεῖ τὴν πέμπτην. ἡ δὲ ἕκτη συζυγία τῶν αὐτῶν βαρυτόνων ῥημάτων, διὰ καθαροῦ τοῦ ω γίνεται. Ἰστέον τοίνυν, ὅτι τὰ δεκαεπτὰ προειρημένα γράμματα, λέγονται σύμφωνα, διὰ τὸ συμφωνεῖν τοῖς ἑπτὰ φωνήεσιν, ἤγουν τὰς συλλαβὰς ἀποτελεῖν. τὰ δὲ ἐννέα νῦν ῥηθέντα λέγονται ἄφωνα, οὐ διὰ τὸ μηδεμίαν μηδαμῶς ἔχειν φωνὴν, ἀλλὰ διὰ τὸ κατὰ τὸ τέλειον τῆς φωνῆς τούτων ἀναλόγως ἐλαττοῦσθαι ἀπὸ τῶν ἡμιφώνων, ὥσπερ τὰ ἡμίφωνα ἀπὸ τῶν φωνηέντων. Ἔτι ἰστέον, ὅτι τὸ κ μετὰ τὸ ν, ἢ τὸ γ, προσλαμβάνει τὸν φθόγγον τοῦ γ, εἴτε ἐν τῇ αὐτῇ λέξει, οἷον ἐνέγκαι, ἀνάγκη. εἴτε ἐν διαφόροις, ἀμέσως ἢ ἀδιαστάτως ἐκφερομένοις, οἷον τὸν κύριον, τὸν καιρόν. ἔτι τὸ γ πρὸ τοῦ κ, ἢ πρὸ ἑτέρου γ, ἔχει οἷον τὸ ν, οἷον ἐνεγκεῖν, ἄγγελος. ἔτι τὸ π μετὰ τοῦ μ, ἢ μετὰ τοῦ ν, εἴτε ἐν τῇ αὐτῇ, εἴτε ἐν διαφόροις λέξεσιν ἀμέσως ἐκφερομέναις, ἔχει τὸν ἦχον τοῦ β γράμματος λατινικοῦ, ὃν οὐκ ἄλλως ἂν εἶχεν, οἷον ἄμπελος. ἐν τῇ αὐτῇ λέξει, ἔμπορος. ἐν διαφόροις δὲ λέξεσιν ἀμέσως καὶ ἀδιαστάτως ἐκφερομέναις, οἷον τὸν πόθον, τὸν πόνον. ὁμοίως τὸ τ μετὰ τοῦ μ, ἢ μετὰ τοῦ ν, κρατεῖ τὸν ἦχον τοῦ δ συμφώνου λατινικοῦ, ὃν οὐκ ἄλλως ἂν εἶχεν. οἷον, ἀντέχεσθε. πλατανιστέον, διὰ τὰ αὐτὰ καὶ στοιχεῖα καὶ γράμματα καλοῦνται. ὅτι μὲν γράφονται, γράμματα καλοῦνται. ὅτι δὲ ἀναστοιχειοῦνται, λέγονται στοιχεῖα. Ἄφωνος, ἄφθογγος. Ἀφῶντα, ψηλαφῶντα. Ἀφώρισαι, παρεβράττεται. Ἀφωρισμένος, ἐκλελεγμένος, διακεκριμένος. Ἀφωρισμένη, ἀπὸ τοῦ ὁσία ἀφωρισμένη.

ΤΟ Α ΜΕΤΑ ΤΟΥ Χ.

Ἀχαΐα, ἡ Πελοπόννησος, ἢ ἡ Ἑλλάς, ὅθεν καὶ Ἀχαιοί. ὑπαρχία δὲ ἐστὶν ἡ Ἀχαΐα, ἐφ' ἧς ἦν ὁ κόρινθος.

Ἀχαΐα ἐπίθετον Δήμητρος, ἀπὸ τοῦ περὶ τὴν κόρην ἄχους, ὅπερ ἐποίει ἀναζητοῦσα αὐτήν. λέγονται δὲ, ἀγαθά. οἱ δὲ, ἔρια μαλακά. Ἀχαιὰν, λύπην. Ἀχαΐζειν, ἑλληνίζειν.

Ἀχαιΐδα, ὅπλα δὲ ἔχει, καθὰ καὶ τὸ ἀχαϊκός. τὸ δέ γε ἀχαιΐδα καὶ ἀχαϊκὸν, ὥσπερ καὶ ἀχαΐα, πολλὰ τί; ὕστερον ἀπέλαυσιν ἔπαθε, τὴν κατὰ ἀκολουθίαν αἰτιατικὴν, οἷ ὑπερβάλλουσιν αὐτό. Ἀχαιάδαι, ταῖς θεσσαλαῖς, ἀπὸ Ἀχαιοῦ τοῦ φθίου. Ὅμηρος, Μυρμιδόνες δὲ καλεῦντο καὶ Ἕλληνες καὶ Ἀχαιοί. καὶ Ἀχαιΐδες, οὐκ ἔτ' Ἀχαιοί. δηλοῖ μὲν τὸ γυναῖκες, οὐκ ἔτι ἄνδρες. λέγεται δὲ παρωνομασία ὑπὸ τῶν παλαιῶν. ὅμοιον τῷ, οὐ φίλιππος, ἀλλὰ φιλίππιον κεκράτηκε τῆς Ἑλλάδος. ἔχει δέ τινα ὁμοιότητα πρὸς τὸν τοῦ Θερσίτου λόγον, καὶ τὸ παρ' Ἡροδότῳ ἐν τοῖς περὶ Ἀρτεμισίας. ὡς οἱ μὲν ἄνδρες γυναῖκες, αἱ δὲ γυναῖκες ἄνδρες γεγόνασιν. Ἀχαιινέαι, παρὰ τῷ Ἀπολλωνίῳ. Ἀχαΐα ἐστὶ τῆς Κρήτης πόλις, ἐν ᾗ γίνονται ἀχαιΐναι λεγόμεναι ἔλαφοι, αἳ καὶ στεμβίαι (?) καλοῦνται. οἱ δὲ κέρατα μεγάλα ἔχοντες ἔλαφοι, κεράσαι. Ἀχαιΐνη, ἡ ἔλαφος, καὶ σπεῖρα ἀμφιδούρη κυνέην Ἀχαιΐνην. Ἀχαιμένης, ὁ ἥρως, ἀφ' οὗ καὶ οἱ Πέρσαι Ἀχαιμενίδαι. γέγονεν ὑπὸ Περσέως. ἐνόμισαν δὲ, ἐπὶ τὸ εἶναι τὸν προπάτορα αὐτῶν ἀπὸ τῆς Ἀχαΐας. οὕτω Νικόλαος. Ἀχαιῒ νεβρῶν, ἐλάφων ἡλικίαι.

Ἀχαιΐνειν, σαίνειν, παίζειν. τοῦ ψιλοῦ ὑ ἄνθωμες, ἤγουν οἱ αὐτάδελφοι, ἀχαιΐνουσιν. Ἀχαιὸς πέλαγος, τὸ λίαν πελάγιος.

Ἀχαρὲς, μὴ τερπνὸν, ἀλλὰ λυπηρόν. Ἀχαιοῖς, τοῖς Ἕλλησιν. Ἱστορία. Ξοῦθος ὁ Αἰόλου παῖς ἀγόμενος Κρέουσαν τὴν Ἐρεχθέως θυγατέρα, ἔσχεν ἐξ αὐτῆς δύο παῖδας, Ἴωνα καὶ Ἀχαιόν. ὧν ὁ μὲν Ἴων ᾤκησεν Ἀθήνας, ὁ δὲ Ἀχαιὸς φόνον ἀκούσιον δράσας, παρεγένετο εἰς Θεσσαλίαν. καὶ ἀνερρύσατο τὴν χώραν, τοὺς ὑπεστεγμένους ἀφ' ἑαυτοῦ προσηγόρευσεν. Ἀχαιμάντεις, οἱ τὴν τῶν θεῶν ἔχοντες ἱερωσύνην ἐν Κύπρῳ. Ἀχαιὸς, ἐθνικόν. τετραχῶς λαμβάνονται τὰ ἐθνικά; τετραχῶς. ἐκ πόλεως, ἐξ ἔθνους, ἐκ χώρας, ἐκ βασιλέως. τὸ δὲ Ἀχαιὸς, ἀπὸ Ἀχαιοῦ βασιλέως. τὰ διὰ τοῦ αιος εἰ ἔχουσι πρὸ τῆς αι διφθόγγου τὸ χ, προπερισπῶνται. οἷον, ἀρχαῖος, τροχαῖος. σεσημείωται τὸ αἰχμαιὸς, καὶ τὸ εὐρυσχμαιός.

Ἀχαιοὺς ἄρξαντας, ἔλλειψις προθέσεως ἐνταῦθα. τὸ γὰρ Ἀχαιοὺς ἄρξαντας, ταυτόν ἐστι τῷ ἀρχὴν ποιήσαντας εἰς τοὺς Ἀχαιοὺς, καὶ Ἀχαιούς. Ἕλληνες δὲ κοινῶς, πάντες οἱ τῆς Ἑλλάδος ἐκλήθησαν, ἀπὸ Ἕλληνος τοῦ Διός. πρῶτον τε οὕτως ἐλέγοντο οἱ ἐν Θεσσαλίᾳ ἄνθρωποι. οὐ μὴν ἅπαντες, ἀλλὰ μόνοι οἱ ἐν Ἑλλάδι τῇ πόλει. ἔπειτα μεγάλα δυνηθέντος τοῦ Ἕλληνος, καὶ τῶν τούτου παίδων, ἀπ' αὐτοῦ πάντες ἐκλήθησαν Ἕλληνες. Ἀχαιὸς, Συρακούσιος τραγικὸς ποιητής. ἔγραψε δὲ τραγῳδίας δέκα. Ἀχάλκωτα φύλακα, τὰ φρύγια πυρία. Ἀχανῆ, κλήματα. Ἀχάναι, κίσται, περσικὰ μέτρα ἦσαν, ἐν οἷς ἀπετίθεντο ἐπισιτισμοὺς τοῖς θεωροῖς. λέγονται καὶ ἀχανίδες παρὰ τῷ κωμικῷ ἐν Ἀχαρνεῦσιν. οὕτω καὶ ἀρτάβη, μέτρον ἐφέρετο περσικόν. Ἀχανὴ, ἀνανοίκτῳ.

Ἀχανὲς, ἀχλαινιαῖον (?). Ἀχάνη, μέτρον ἐστὶ περσικὸν, ὥσπερ ἡ ἀρτάβη παρ' Αἰγυπτίοις. ἐχώρει δὲ μεδίμνους μ' καὶ τεσσαράκοντα πέντε, ὡς μαρτυρεῖ Ἀριστοτέλης. ἄλλοι δέ φασιν, ὅτι κίστη ἐστὶν, εἰς ἣν κατετίθεντο τοὺς ἐπισιτισμοὺς, οἱ ἐπὶ τὰς θεωρίας στελλόμενοι. Ἀχανὴς, ἄφωνος, μὴ κεχηνώς. παρὰ τὸ χαίνω χανὴς, καὶ ἀχανής. Ἄχαξ, κατάχυσις. Ἀχαιὸς, δίχα τοῦ ι κατὰ τὴν δίφθογγον προφέρουσιν οἱ αἰολεῖς. Ἀχαρνεῖς, ἐπιθυμοῦσιν. Ἀχάρεις ὁσμὴ, ἡ δυσοσμία. Ἀχαριστεῖν, ἀντὶ τοῦ μὴ χαρίζεσθαι. οὕτως Ἀλεξῶν. Ἀχάριστος λέγεται, ὁ ἀντιδιδοὺς χάριν. καὶ ἄχθεσθαι ῥαδίως, καὶ ἀπάνθρωπος, ἀπαίδευτος, ἄδικος, ἀγνώμων, ἀμνήμων, ἐπιλήσμων, ἔνοχος τοῖς ἀχαριστίας ἐγκλήμασι. καὶ τὸ πρᾶγμα, ἀναισθησία, ἀχαριστία, ἀδικία, ἀγνωμοσύνη. ὡς Ἀλεξῶν, ἀποστέρησις. ὡσαύτως καὶ τὰ ἐπιρρήματα, ἀχαρίστως, ἀναισθήτως, ἀδίκως, ἀγνωμόνως, ἐπιλησμόνως. τὸ δὲ δίκαιον εἶναι, περὶ τοὺς εὐεργέτας εἰδέναι χάριν, ἐκτίσασθαι χάριν, ἔχειν. ὡς Ξενοφῶν τε, καὶ Λυσίας, διαλύειν χάριν, ἀποδιδόναι, ἀποτίνειν, ἐκτίνειν, ἀπομνημονεύειν, ἀντιτιμωρεῖν,

τὴν τριττὺν, ὃ δηλοῖ τὴν τριττὺν, τουτέστι, τὸ τρίτον τῆς φυλῆς. ἢ παρὰ τὴν φρατρίαν, καὶ τοὺς φράτορας. σύστημα δὲ τοῦτο ἐν Ἀθήναις, τοὺς ἐκ τοῦ γένους ἀπογραφόμενον, ὥστε φανεροὺς εἶναι ὅτι πολῖταί εἰσι. καὶ ἔστι παρὰ τὸ λέγω τοῦτο ἀφρήτωρ, ὡς καὶ ἀνέστιος γέγραπται, ὁ ἄπολις. ἦν δὲ κατὰ τὴν ἱστορίαν καὶ φράτριον τόπος ὡρισμένος, ἐν ᾧ οἱ τῆς αὐτῆς φρατρίας συνῄεσαν. καὶ φρατριάζειν εὐφυέστερον ἔλεγον παρὰ τοῖς Ἀττικοῖς, τὸ εἰς ταυτὸ συνιέναι. ἔχομεν δὲ καὶ φράτηρ διὰ τοῦ η, καὶ φράτωρ διὰ τοῦ ω, ὁ ἐκ τῆς αὐτῆς φρατρίας. Ἀφριόν, ἀφρῶδες. ὡς τὸ, ἀφριὸν κονισαλὸν ἐπιπρέπον γένειον. Ἀφρίζε, ἀθύρας. Ἀφρῖτον, τάλλον, τὸ ἐκ τῶν ἐλευσμάτων τοῦ ἐρίου. Ἀφρὶς, μύρτον.

Ἀφρογένεια, ἡ παρὰ τὸν ἀφρὸν, ἢ παρὰ τὸ ἀφραίνειν. ὡς Εὐριπίδης, Τὰ μῶρα γὰρ πάντα γίνεται ἀφροσύνη βροτοῖσιν.

Ἀφροδισία ἄγρα, Σοφοκλῆς Φαίδρᾳ. Γένοιτο μᾶλλον, ἀφροδισίαν ἄγραν. οἱ μὲν τοὺς πέρδικας, οἱ δὲ πρὸς τὴν ἐκθυμὸν ἁρμόζουσι. τῇ δὲ θηλείᾳ κελεύοντος, αἱρεῖν αὐτούς. κακῶς δέ· Χοῖρον ἐκθαίρουσι καὶ ἀγρεῖν, ἀλλ᾿ οὐ πέρδικας. λέγει οὖν τὴν τῶν συῶν, διὰ τὸ καταφερὲς εἶναι τὸ ζῷον πρὸς συνουσίαν, κάπρον γέ τι καὶ καπραίνειν, ἀπὸ τούτου. δύναται δὲ καὶ τὴν τῶν αἰγῶν τοῦ λόγου δηλοῦν. καὶ γὰρ καὶ τοῦτο τὸ ζῷον, λίαν ἐπτόηται. Ἀφροδισιάζουσι, τὰ τῆς Ἀφροδίτης πράττουσιν. Ἀφροδισιάζω, συνουσιάζω, βινῶ, συνουσιῶ, [illegible], ὀχεύω. Ἀφρόδιον, ἡ ἀκαθαρσία, καὶ τὸ ἄξιον ἀπελασίας. παρὰ τὸ ἀφορίζω, ἀφορίζιον, καὶ ἀφορίδιον. ἢ κατὰ συγκοπὴν, ἀφρόδιον, τὸ ἀφορισμοῦ ἄξιον.

Ἀφροδίσιον ἰδίως, τὸ τῆς Ἀφροδίτης ἱερόν. Ἀφροδίσιος ὅρκος οὐ δάκνει, παροιμία. ἐπὶ τῶν δι᾿ ἔρωτα ὀμνυόντων πολλάκις, καὶ ἐπιορκούντων. πρῶτος δὲ ταύτης Ἡσίοδος ἐμνήσθη.

Ἀφροδίτη Μενελάῳ τὸν Ἀλέξανδρον εἰκασθεῖσα, παρήγαγεν, ἥτις ἐκράτησε τὴν Ἑλένην παραλογισαμένη τῇ ὁμοιότητι. νῦν δὲ φαίνεται παρ᾿ Ὁμήρῳ ἐν Ὀδυσσείας δ, ὅπη ἀλλοδαπῷ ἐμίγη. Ἀφροδίτη, ἡ ἐξ ἀφροῦ ἀναδυεῖσα, τροπῇ διχρόνου. οὕτω καὶ ὁ χιτὼν ἐκ τοῦ χθὼν γίνεται, καὶ ὁ φίτυς ἐπὶ πατρὸς, καὶ ὁ φιτρὸς (ὅ ἐστι κορμὸς) ἐκ τοῦ φύω. καὶ ἐκ τοῦ δύω δύσω, δίασις, ἡ ὑγρασία. Ἀφροδίτη, ψίθυρος. Ἀφρόδιτος. Θεόφραστος μὲν τὸν ἑρμαφρόδιτον φησίν. ὁ δὲ τὰ περὶ Ἀμαθοῦντα γεγραφὼς, Παίων, ἄνδρα, τὴν θεὸν ἐσχηματίσθαι ἐν Κύπρῳ λέγει. Ἄφροι, ἀσύνετοι. καὶ Ἄφροι, οἱ Καρχηδόνιοι. ἀπὸ Ἄφρου τοῦ τῆς Λιβύης βασιλεύσαντος. Ἀφρολόγητον, τὸ φόρον μὴ τελοῦν. Ἀφροῦνται, ἄφρονα γίνονται. Ἄφρον κυρίως, θάλλον. καὶ ἀφρῶδες δὲ διακέχυμα, ὡς Ἀριστοφάνης, πολὺς λίμνας κατέτεινεν ἀφρός.

Ἀφροντιστεῖν, καὶ ἀφροντίστως οἱ δόκιμοι, οὐκ ἀμερίμνως, οὐδὲ ἀμερίμνως ἔχειν. ἀπεριμερίμνως δὲ, ἀντὶ τοῦ ἀσκόπως. Ἀριστοφάνης, ἀπεριμερίμνως τὴν θύραν λελάκτικας. Ἀφροντιστήσας, ἀμεριμνήσας, ἢ ἀμελήσας. ἀπὸ τοῦ ἀφροντιστῶ. τοῦτο παρὰ τὸ φροντίζω, φροντίσω. καὶ πλεονασμῷ τοῦ τ μετὰ περισπωμένης, φροντιστῶ καὶ ἀφροντιστῶ. Ἀφροντιστῶ, ἀλογῶ. Ἀφρὸς, ἄφρων, μωρὸς, ἄνους, ἀπὸ τοῦ συγκρούεσθαι καὶ κρούεσθαι τῶν ὑδάτων, ἐν τῇ ἐπιφορᾷ ἐκ λευκόν. φρὶξ δὲ, ἀφ᾿ οὗ τὸ φρίττειν, ἐπὶ τῆς ἐπιφανείας τῆς θαλάττης, ὅταν ὑπὸ τῶν κυμάτων τραχύνηται. διαφέρει δὲ τοῦ ἀφροῦ, τῷ τὸν μὲν ἀφρὸν εἶναι λευκὸν, τὴν φρίκα δὲ μέλαιναν. ὡς παρ᾿ Ὁμήρῳ, μελαίνῃ φρικὶ καλυφθείς. Ἀφρυσὸς, πταισμὸς μαγγανείας. Ἄφρων οἴεται, ἀντὶ τοῦ φαίνεται, νομίζεται. ἄφρων δὲ καὶ ἄνους διαφέρει. ἄφρων μέν ἐστιν, ὁ μὴ εἰδὼς τὸν ὄντως θεὸν, ἀμύητος τῆς θείας. ἄνους δὲ, ὁ μὴ θέλων συνιέναι τὸ δέον. ὁ εἰδὼς μὲν τὸν θεὸν, περὶ τὰ γήϊνα δὲ μόνον ἐπτοημένος, καὶ μηδὲν οὐράνιον ἐννοῶν. ὡς τὸ, ἐπὶ ταυτὸ ἄφρων καὶ ἄνους ἀπολοῦνται. Ἀφύα, εἶδος ἰχθύων, ὧν ὁ πηλὸς γένεσις, ὅταν κάτω ἰλυώδης. συνεχῶς καὶ γίνεται μέλας, φύσει λευκοὶ ἀποβάπτονται εἰς χρῶα μεταβάλλεται πάμπολλα. οὐδὲν δὲ δέονται ψεφῶς, ἀπέχει γεμισθῶν ἀγέλας περιλιχμώμεναι. ἄγρα δὲ αὐτῶν, εἴμασι λεπτοῖς. εἰς δὲ ἄλλων ἰχθύων θήραν, ἄχρεια. συμβαίνει δὲ τὴν ἀφύαν τάχιστα ἕψεσθαι. ὅθεν παροιμία, ἀφύα εἰς πῦρ. ἐπὶ τῶν τέλος ὀξὺ λαμβανόντων. Ἰωνικῶς ἀφύα, πληθυντικῶς τὰς ἀφύας λέγομεν. λέγεται δὲ καὶ ἀφρὸς διὰ τὴν λευκότητα. ἔστι δὲ καὶ ἡ παρὰ πολλοῖς λεγομένη ἐγγραυλίς. Ὁ ἀφύων ζωμὸς, τὸ ἔλαιον, ἐπεὶ ἐν αὐτῷ ἕψονται. καὶ ἀφύας φαληρικὰς, τὰς μεγάλας. φαληρεὺς δὲ, λιμὴν τῆς Ἀττικῆς. ἔστι δὲ γένη πλεῖστα, ἡ μὲν ἀφρῖτις λεγομένη, ἥτις οὐ γίνεται ἀπὸ γόνου, ἀλλ᾿ ἐκ τοῦ ἐπιπολάζοντος τῇ θαλάσσῃ ἀφροῦ, ἢ πηλοῦ ἐλυσθέντος. ἑτέρα δέ ἐστιν ἡ λεγομένη κωβῖτις, ἣ γίνεται ἐκ τῶν μικρῶν καὶ φαύλων τῶν ἐν τῇ ἄμμῳ φθειρομένων κωβιῶν. ἐξ αὐτῆς δὲ ἕτεραι αἱ ἐγκρασίχολοι καλοῦνται. καὶ ἄλλη, ἥτις ἐστὶ γόνος μαινίδων. καὶ ἄλλη ἐκ τῆς μεμβράδος. καὶ ἄλλη, ἐκ τῶν μικρῶν κεστρίων. καὶ ἀφύα, μεμβράς. Ἀφυῶδες, τὸ ἀφύης χρῶμα λευκὸς, παρὰ τῷ Ἐπικράτει. Ἀφύαι, αἱ ἐγγραύλεις. Ἀφύας. Ὑπερείδης κατ᾿ Ἀρισταγόρας. ἔστι δὲ καὶ ὀνόματα ἑταιρῶν γυναικῶν ἀδελφῶν δύο. Ἀφύη, ἀπολακίνται, παρὰ τῷ Ἐπικράτει. Ἀφύω, ἰχθύδιον μικρόν. Ἀφυὴς, ἀμαθὴς, ἄπειρος, δυσχερής. ἐκ τοῦ φυὴ, ὃ σημαίνει τὸν τρόπον καὶ τὴν θέσιν. καὶ ἀφυὴς, ὁ κακότροπος. καὶ ἀφυὴς, ὁ ἀμαθὴς, ἄπειρος, δυσχερής.

Ἀφυΐα, ἡ πρὸς τὰ προκείμενα μαθήματα σκληρότης.

Ἄφυκα, ἀκαλλώπιστα, παρὰ τὸ μὴ ἔχειν φυκάριον. ὃ βάλλουσιν αἱ γυναῖκες πρὸς φιλοκαλίαν, ῥοιδάριον. Ἀφύκτως, ἀναποδράστως, οὗ οὐκ ἔστιν ἐκφυγεῖν. Ἀφύλλοις, ξηροῖς.

Ἀφύλλου στόματος, ἄνευ ἱκετηρίας. Εὐριπίδης. Ἄφυλλον, λεῖον, ξηρὸν, ἄνεξον, ψιλόν. Ἄφυλλος, αὐχμώδης. οἱ δὲ ἄτρακτον. Ἀφύλλωτον πέτραν, ἄφορον, ἄδενδρον, οἷον λειπετρίαν.

Ἄφυξιν, ἀπάντησιν. Ἀφυσσάμενοι. βούλεται ἀφυσσάμενοι, ὅ ἐστιν ἀρυσάμενοι, ἢ ἀντλήσαντες. ἔστι καὶ ἐν Ἰλιάδι χρῆσις ἐν τῷ ἤφυσε χαλκὸς, καὶ ἐν τῷ πλοῦτον ἀφύξειν. ἐκ δὲ τούτων δῆλον, ὅτι λέγοιτο ὁ μέλλων τοῦ ἀφύσσω, ἀφύξω. καὶ γὰρ ὡς ἁρπάξω. ἢ ἀφύσω, ὡς ἁρπάσω. ἐξ ὧν τὸ ἀφύξειν, καὶ ἤφυσε, καὶ τὸ ἀφυσσάμενος. Ἀφύσσαν, τὴν κοτύλην. Ταραντῖνοι. Ἀφύσγετον, τὸ ἰλυῶδες καὶ συρφετῶδες. παρὰ τὸ ἀφύω (ἀφ᾿ οὗ τὸ ἀφύσσω, ὡς ὑλάω ὑλάσσω, ὀλύω ὀλύσσω) γίνεται ἀφύγετος (ὡς πάγω πηγετὸς) καὶ πλεονασμῷ τοῦ σ, ἀφύσγετος. ἢ παρὰ τὸ φύγω φυκτὸς, ὡς ἴκω ἰκτός. καὶ κατ᾿ ἔνδειαν τοῦ σ, φυκτὸς καὶ ἄφυκτος. Ἀφύσσει, ἀπόλαυε. Ἀφύσσειν, ἐκ τοῦ ὕειν γίνεσθαι δοκεῖ. ἀφ᾿ οὗ καὶ ὁ ὑετός. ὕει μὲν γάρ τις εἰς πίθον, ἢ ἀμφιφορέα, ὁ πληρῶν ὑγροῦ. ἀφύει δὲ, καὶ ἀφύσσει, παραγωγῶς ὁ ἐκκενῶν, ἤγουν ἐξαντλῶν, ὅτε μέν τι ἐκ πηγῆς ἀφύσσονταί τινα ἢ ἕτερα. ἐπεὶ καὶ ἀπὸ τοῦ χωρίζεσθαι τῆς συμφυΐας αὐτὰ, ἡ λέξις ἐτυμολογεῖσθαι λέγεται. ἢ ἀφύσσειν, τὸ ἐκ πηγῶν τι ἀντλεῖν. Ἀφυσμὸς, ἀπάντλησις. Ἀφύσκα, κοτύλη, γάμος. Ἀφυσβρίσαι, βρεχθῆναι. Ἀφύσσεσθαι, ἐπὶ ὕδατος ἀντλουμένου κυριολεκτεῖται. ὡς δηλοῖ τὸ, ἀφυσσάμενοι μέλαν ὕδωρ. ἀλλὰ ἐν τῷ φύλλα ἀφύσσεσθαι, ἡ τροπὴ οὐκ ἔστιν ἔξω λόγου. τίθησι τὴν λέξιν καὶ ἐπὶ ἐντέρων ὁ ποιητὴς, ἐκπιπτόντων τῆς κοιλίας διὰ πληγῆς. οἷον ἔντερα ἤφυσεν ὁ χαλκός. καὶ φασὶν οἱ παλαιοὶ, γίνεσθαι αὐτὸ ἀπὸ τοῦ α στερητικοῦ μορίου, καὶ τοῦ φύω, φύσω, ἀφύσω, τὸ τῆς συμφυΐας ἀποστερῶ. Ἀφύσσειν, τὸ ἀπαντλεῖν καὶ ἐκκενοῦν. ἐξ οὗ φησὶ καὶ τὸ λαφύσσειν. γίνεται δὲ ἤδη ἐκ τοῦ ὕω τὸ βρέχω, οὗ εἴρηνται τὸ ἀφύσσειν κυρίως, τὸ ἐᾶν τὸ ἐπιρρέον. ἢ ἐκ τοῦ φυσῶ. ἐξ οὗ καὶ ἡ φύσις, ὡς οἷον φύσησις. ἵνα ᾖ ἀφύσσειν, τὸ ἀφύσητον καὶ κενὸν ἐᾶν τὸ ὑποκείμενον, ἐκ μεταφορᾶς τῶν ἀσκῶν, ἢ διὰ τὸ στερεῖν τοῦ κατὰ φύσιν ἔχειν. ἀλλ᾿ ὅμως ὁ ποιητὴς τὴν ἐκ κοιλίας χύσιν τῶν ἐντέρων, ἐξαντλῆσαι ἀπείκασεν. οὕτω δὲ καὶ πλοῦτον ἀφύσσειν [illegible] εἶπε, τὸ ὡς ἐκ [illegible] ὑγρὸν [illegible] ἐξαντλεῖν. Ἀφυσσόμενοι, ἐκ τοῦ ἀφύσσω, μέλλων ἀφύξω. ἀφύσσω δὲ σημαίνει, τὸ ἀπὸ τόπου ἐπιρρέοντος ἀπαντλεῖν, καὶ ἀπαρύεσθαι.

Ἀφώριο

τὸ ἐξίσταμαι, καὶ τὸ παραχωρῶ, συντασσόμενον ἀπὸ δοτικῆς εἰς τὸ νικῶ. οἷον ἀφίσταμαί σοι τοῦ ἀγροῦ, ἀντὶ τοῦ παραχωρῶ σοι. καὶ ἀφίσταμαι τοῦ δεῖν τοῦδε καλλίον, ἢ παραχωρῶ. Ἀφίσταμαι, τὸ μακρὰν καὶ πόῤῥω γίνομαι. Ἀφίσταται, τὸ ὑπομένει καὶ ἀνέχεται, καὶ δέχεται. καθὸ καὶ Πίνδαρος, Χρυσέαν ὑποστᾶσα τεύχει θαλάμῳ κίονα. ὑφίσταται καὶ τὸ ὑπισχνεῖται καὶ ἐπαγγέλλεται. καὶ ἀφίστασθαι, οὐ λέγεται ὡρισμένον διαστήματος, ἀλλὰ τὸ μὴ ἀπηρτημένον ἑνός, εἴτε πολὺ κεχώρισται τότε, εἴτε ὀλίγον. Ἀφίστασι, ἀθρόως παραδιδόασιν. Ἀφίστων, ἀπήγαγον, ἀπεκώλυον. Τοὺς δὲ βαρβάρους τῆς πολιορκίας ἀφίστων οἱ Ῥωμαῖοι. Ἀφλάσαι, ἀπολέσαι. Ἄφλαστόν φασιν, οὐχὶ τὸ ἀκροστόλιον. διαφέρουσι γὰρ αἱ λέξεις. ἀλλὰ κατὰ Δίδυμον, ὥς φησι Παυσανίας, τὸ ἐπὶ πρύμνης ἀνατεταμένον εἰς ὕψος, ἐκ κανονίων πλατέων ἐπικεκαμμένων, διήκοντος διὰ τούτων πλατέος κανονίου ὑπηρεισμένου τούτῳ στηλίσκου, ἐπειδὴ τοῦ κοσμήματος. κρέμανται δὲ ἐκ τοῦ κανονίου καὶ τοῦ θρανίου ταινίαι, εἰς πλάσματα δηλαδὴ τῆς νεώς. καὶ τοιοῦτον μὲν τὸ ἄφλαστον, ἐτυμολογούμενον ἀπὸ τοῦ μὴ ῥᾳδίως φλᾶσθαι, ἤγουν θλᾶσθαι, κατὰ διάλεκτον Αἰολικήν. ἀκροστόλιον δέ φασι, τὸ ἀπὸ τοῦ πτυχοῦς ἀνατεῖνον ξύλον, ἐπὶ τῆς πρώρας. περὶ οὗ καὶ αὐτοῦ φησιν ὁ Δίδυμος, ὅτι τὸ λεγόμενον ἀκροστόλιόν ἐστιν, ἄκρος στόλος. στόλος δὲ ἐστι, τὸ ἀπὸ τοῦ λεγομένου πτυχοῦς ξύλον πλατύ. πτυχὴ δέ ἐστιν, ὅπου οἱ ὀφθαλμοὶ ζωγραφοῦνται. καὶ τὸ τῆς νεὼς ὄνομα ἐπιγράφεται. ἔνιοι δὲ, καὶ τὸ ἔμβολον καὶ εἰς ὀξὺ λῆγον, στόλον φασίν. Ἄλλως. Ἄφλαστον. Ἀπολλώνιος ἐν ταῖς λέξεσιν ἀποδέδωκεν ἄφλαστον, τὸ ἀκροστόλιον, οὐκ εὖ. ἐπειδὴ τὸ ἀκροστόλιόν ἐστι τοῦ στόλου. στόλος δὲ λέγεται, τὸ ἐξέχον ἀπὸ τοῦ πτυχοῦς, καὶ διῆκον ἄχρι τῆς πρώρας ξύλον. πτυχὸς δὲ λέγεται, ὅπου τὸ τῆς νεὼς ἐπιγράφεται ὄνομα. ἔστιν οὖν ἀκροστόλιον τὸ ἄφλαστον, κατὰ τὴν πρώραν. ἀλλ' ὁ ποιητὴς αὐτὸ παραδέδωκεν ἐπὶ τῆς πρύμνης λέγων, Ἕκτωρ δὲ πρύμνηθεν ἐπεὶ λάβεν, οὔτι μεθίει ἄφλαστον μετὰ χερσὶν ἔχων. καὶ εἴρηται ἄφλαστον κατὰ συγγένειαν τοῦ φ πρὸς τὸ β, ἄβλαστον, κατὰ ἀντίφρασιν, ἐπεὶ εὔβλαστόν ἐστιν. ἔστιν οὖν ἄφλαστον, σανίδιον κατὰ τὴν πρύμνην. καὶ ἄφλαστον, οἷον ἄφλαστα καὶ φύσαντα ὀργανωμένης, τὰ ἀκροστόλια τῆς νεώς, κατὰ ἀντίφρασιν. εὔθλαστα δὲ κατὰ μετάθεσιν τοῦ θ εἰς φ. ὅπερ λέγεται καὶ κορωνίς, καὶ τὸ ἐπὶ τοῦ κρικίου τῆς θύρας. καὶ τὸ ἐν τοῖς βιβλίοις ἐπικαμπὲς σχῆμα, ὅτι σημεῖον ποιοῦμεν. διαφέρει δὲ τῶν κορύμβων. ἄφλαστα μὲν λέγονται, τὰ πρυμνήσια. κόρυμβα δὲ, τὰ πρῳρήσια. Ἀφλαυρότεροι, μικροί, θηλεῖς. Ἀφλοισμός, ὁ ἀφρός, κατὰ Αἰτωλούς. γίνεται δὲ κατὰ τοὺς παλαιούς, ἢ ἀπὸ τοῦ ἀφρισμός ὁ μεταβολῇ τοῦ ρ, μεταβολῇ καὶ πλεονασμῷ τοῦ ο. ἢ παρὰ τὸ φλίω φλοισμός, καὶ ἀφλοισμός. ὀξύνεται δὲ, ὅτι τὰ εἰς μος ὑπὲρ δύο συλλαβὰς ἔχοντα πρὸ τοῦ μ τὸ σ, ὀξύνονται. μερισμός, ὀκλισμός. Ἀφλοῦς, ἀφλοίου. Ἀφλυσμός, ἀφρός.

Ἀφνειός, πλούσιος. δύναται καὶ ἀφνειότερος λέγεσθαι ὁ δοῦλος ἐκ τοῦ, χερσὶν ἀφνειοτέραις παρὰ Σοφοκλεῖ. οὕτω καὶ ὁ θεράπων θεράποντος, ἐν τῷ παραγωγῷ. Ἀφνάμων, πλούσιος. παρὰ τὸ ἄφενος γίνεται ἄφνος, κατὰ συγκοπήν. ἐκ τούτου γίνεται ῥῆμα ἀφνῶ, καὶ ἀφνάμων. Ἀφνιδίως, αἰφνιδίως, ἄφνω. Ἀφνεὸν, ἀξιμέτρον. Ἀφνύει, ἀφνειοῖ, ὀλβίζει. Ἄφνω. παρὰ τὸ ἀφανὲς ὄνομα, γίνεται ἐπίῤῥημα ἀφανῶς, καὶ κατὰ συγκοπὴν καὶ ἀποβολὴν ἄφνω. καὶ ἄφνω, ἐξαίφνης, ἐξαπίνης, αἰφνίδιον, ἐξαπιναῖον, ἐξαπιναίως, ταὐτὸν σημαίνουσι. κεῖται δὲ ἐπὶ τοῖς καὶ τῶν ἀπροσδοκήτως. τάχα δὲ καὶ τοῦ ἀνελπίστως, καὶ ἐξαπροσδοκήτως, καὶ ἀνελπίστως. ἢ ἄφνω χωρὶς προθέσεως, ἐξαίφνης μετὰ προθέσεως.

Ἀφοβία, ἕξις καθ' ἣν ἀνέκπληκτοι ἐσμὲν πρὸς φόβον. Ἀφοβόσπλαγχνος, ἄφοβος, τολμηρός. ἐπειδὴ περὶ ὁ φόβος (ὥς φασιν) ἐν τοῖς σπλάγχνοις ἐστίν. ἢ ὅτι ἡ καρδία ἐν τοῖς σπλάγχνοις, περὶ ἣν ὁ φόβος γίνεται. Ἀφόδοι, ἐχθροί. Ἀφοδεῦσαι, ἀποχωρῆσαι. Ἄφοδος, ὁ ἐξ ἐναντίας ὁδοῦ γινόμενος. ἔστι δὲ καὶ ἡ ἀποχώρησις θηλυκόν. ἔφοδος δὲ, ἡ ἐπέλευσις. Ἀφοίβαντον, ἀκάθαρτον. Ἀφοιτῆν, μὴ φροντίζειν. Ἀφοίτως, ἀφόντως, ὕπτιος. Ἀφοισμός, ἀφρός. Ἀφόρητον, τελείως ἐξίτηλον καὶ ἀδόκιμον. καὶ οὖν λίτρον λέγειν, ἢ λίτρον ἀφρόν. νίτρον τὸν Αἰολεὺς μὲν ἂν εἴποι. ὥσπερ οὖν ἡ Σαπφὼ διὰ τοῦ ν. Ἀθηναῖος δὲ διὰ τοῦ λ λίτρον. Ἀφόπλιζον, ἀπόπλιζον.

Ἀφοπλίζεσθαι, ἀφαιρεῖσθαι. Ἀφοπλίσονται, ἀπολύονται στρατείας. Ἀφόρβιον, ἡ ἀκαθαρσία, καὶ τὸ ἄξιον. Ἀφόρητον, ἀβάστακτον, δεινόν. Ἀφορία, βλάβη τῶν καρπῶν τῆς γῆς, ἀκαρπία. Ἀφόριος, θρασύς, ἄπιστος. Ἀφορίσθητι, μονώθητι, ἐρημίαν. καὶ ἀφορίσθητι λέγει κύριος. Ἀφορμή, ὅταν τις ἀργύριον δῷ ἐν δίκῃ, ἀφορμὴ καλεῖται ἰδίως παρὰ τοῖς Ἀττικοῖς. Ἀφορμὴ ἐμοὶ τῶν λόγων ἐκεῖνος γέγονεν. Ἀφορολόγητον, τὸ μὴ τελοῦν φόρον. Ἀφορῶντες, ἀποβλέποντες.

Ἀφόρτον, ἄχαρον. Ἄφορτος, οὐκ ἠρεμῶν τῶν λυκουργίων ἀγωγῶν. Ἄφος, ἡ τραγάκανθα. Ἀφοσιούμεθα, τὸ ὅσιον ποιούμεθα. Ἀφοσιοῦν, καθαίρειν. Ἀφοσιοῦνται, πληροῦνται. ὅσιος, ὁσιῶ, ἀφοσιῶ. Ἀφοσιοῦται, τὸ πληροῦται, ἀπὸ τοῦ ὅσιος, ὁσιῶ. καὶ ἀφοσιῶ, τὸ τὰ νενομισμένα ἐπὶ τῷ νεκρῷ πληροῦσθαι. καὶ ἀφοσιοῦμαί σοι τὸ χρέος. Ἀφοσιώσασθαι, καθάρασθαι, ἢ ζητῆσαι, ἢ τὴν ὁσίαν τιμῶν, ἢ τὴν καθαρσίαν, ἢ τὴν ἐπὶ τῷ θανάτῳ ποινήν. ὅσιον λέγεται τὸ καθαρὸν, τὸ ὀφειλόμενον, ἢ ὁ μᾶλλον ἀφοσιούμενοι ζημιοῦντες. ἢ τὸ ὅσιον καὶ τὸ καθαρὸν καὶ τὸ ὀφειλόμενον ποιοῦντες. καὶ ἀφοσιοῖ, τὸ καθαίρει. Ἀφοσιώσασθαι, τὸ ὅπως δή ποτε ἀποδοῦναι, καὶ θρησκεῦσαι τὸ ὀφειλόμενον.

Ἀφοσιούμενοι, ἐν ὑπερορίᾳ θανατοῦντες, ζημιοῦντες. Ἀφοσιωμένοι, ἀνόσιοι, ἄπωθεν τοῦ ὁσίου γεγενημένοι. Ἀφοσιώσονται, ἀπάρξονται ὁσίαν χάριν. Ἀφοσίωσις, θυσία, καθιέρωσις. Ἀφοσιωσάμεθα, τὸ ὅσιον καὶ νόμιμον ἐποιησάμεθα.

Ἀφόωντα, ψηλαφῶντα. ἀπὸ τοῦ ἀφῶ, ἀφάω ἀφῶ, ἀφῶντα. καὶ πλεονασμῷ τοῦ ο, ἀφόωντα. Ἀφραδέας μνηστῆρας, ἤτοι κακοφράδμονας, καὶ κακοβούλους. ὅρα ὅτι ἀφραδέας ὀνομάζει, τοὺς μὴ τολμῶντας, μὴ δὲ δυναμένους, ἑπομένην τῇ φρονήσει τὴν δικαιοσύνην ἀκολουθεῖν. Ἀφραδέες κοῦροι κατὰ τοὺς παλαιούς, οἱ ἄφρονες, καὶ ἀνόητοι. ἢ οἱ ἀσώματοι, τουτέστι φρένας μὴ ἔχοντες, αἵ εἰσι κρεμαστῆρες τοῦ ἥπατος. ἢ ἄλλως, ἀφραδέες, νεαροί. ὡς πρὸς σύγκρισιν τοῦ γέροντος, ὃς μόνος ἐκίνησεν.

Ἀφραδία, ἐχθρά, πολέμια, ἀδιακρίλητα, μωρά. Ἀφραδίως, κακοβούλως, καὶ ἀνοήτως. Ἀφραδία, ἡ ἀπαιδευσία ἔχθρα. παρὰ τὴν ἀπὸ πρόθεσιν, καὶ τὸ ἀδρὸν ἡ ἀπορία, ἀμηχανία. Ἀφραδίαν φησὶν ὁ Ἀπολλώνιος, τὴν ἀβουλίαν. Ἀφραδίῃσιν, ἀβουλίαις, ἀφροσύναις. καὶ ἀφραδέοντα, ἀσυνετοῦντα. καὶ ἀφραδέως, ἀνοήτως, ἀσυνέτως, ἀπείρως. Ἀφράδμων, ἀσύνετος, ἀμαθής. Ἀφράζει, ἀφραίνει, ἀσυνετεῖ. παρὰ τὸ ἐπικρατεῖν. Ἀφραίνω, μωραίνω, παρανομῶ, παραφρονῶ. ἐκ τοῦ φρὴν φρενὸς φρένω, καὶ ἀφραίνω. καὶ ἀφραίνοντα, ἀφρονοῦντα, ἀνοηταίνοντα. Ἄφρακτος φίλων, οὐ πεφραγμένος καὶ τετειχισμένος τοῖς φίλοις, διὰ τὸ ἀπαχθέντας καταλιπεῖν.

Ἄφρακτος, ἀφύλακτος. Ἀφράκτους οἰκίας, τὰς μὴ ἐχούσας περιβολάς. Ἄφρασον, ἀνεκδιήγητον, ἄῤῥητον. Ἀφράσει, ἀσυνετεῖ. Ἄφραστον, ἀπερινόητον. ὥστε μηδένα νοῆσαι, ἀνεκλάλητον, ἀνεκδιήγητον, ὃ μὴ φράζομεν, ἄλεκτον. Ἀφρασίαις, ἀσυνεσίαις, χίλια ἀνθρώπων. Ἀφρατίαν, ἰσχυρός. κρυφῶν. Ἀφρητός, ἡ ἀκάτα παρὰ Ταραντίνοις. Ἄφριζον, ἤφριζον, ἀφρὸν ἐποίουν. Ἀφρήτωρ, ὁ συγγενῶν ἐστερημένος. καὶ ἀφρήτωρ, ἀθέμιστος, ἀνέστιός ἐστιν ἐκεῖνος, ὃς πολέμου ἔραται ἐπιδημίου. τουτέστιν, ἄπολις ἐστὶ, καὶ μήτε θέμιν ὅλως, μήτε οἶκον ἔχων, ὃς ἐμφυλίου πολέμου ἐρᾷ. γίνεται δὲ κατὰ τοὺς παλαιοὺς ὁ ἀφρήτωρ, ἢ παρὰ τὴν

τὴν

καὶ λιάζουσιν ἀττικῶς. λιαζοῦμαι δὲ κοινῶς. ἀφέγγομαι δὲ καὶ λιάζομαι, ἀμφότερα κοινῶς γράφονται. Ἀφεγγοῦς, μετεωροῦς. Ἀφῆκα, ἀόριστος πάντα τι διὰ τοῦ κ γράφεται. ἐκ τοῦ ἵημι, μέλλων ἥσω, ἀόριστος πρῶτος ἧκα. καὶ μετὰ τῆς ἀπὸ προθέσεως, ἀφῆκα. οὕτω τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν, ἀφῆκαν.

Ἀφῆκε βέλος, ἀντὶ τοῦ ἐξέπεμψεν. φωνὴν δὲ ἀφῆκεν, ἀντὶ τοῦ ἐξέφηνε. μέλος δὲ ἀφῆκεν, ἐπὶ κιθάρας, ἀντὶ τοῦ ἤχησεν. καὶ ἀφῆκεν εἰς τὸ πέλαγος, οὐχ ἐφῆκεν. Ἀφηνὸς, εὔπορος. Ἀφήλαστον, ἐπήλυσιν, ἐκ τοῦ ἅλλομαι. Ἀφηλικέστερον, ἀντὶ τοῦ πρεσβύτερον λέγουσιν ἴωνες. Ἀφήλικα, τὸν πρεσβύτην. ἴωνες δὲ χρῶνται τῇ λέξει, ἐπὶ τοῦ μηδέπω τοῦ ἐννόμου ἡλικίαν παιδός. ὅπερ δεῖ φυλάττεσθαι. Ἀφήλικες, οἱ τὴν ἥβην μὲν ὑπερβαίνοντες, οὔπω δὲ τοῦ εἴκοσι πέντε ἐνιαυτῶν, ὧν προΐστανται οἱ κουράτορες.

Ἀφῆλιξ, λέγουσιν οἱ ῥήτορες. τοὐναντίον γὰρ, ἢ δεῖ χρῶνται. τὸν μὲν γὰρ πρεσβύτερον, ῥητέον ἀφήλικα. οἱ δὲ ἐπὶ τοῦ μηδέπω τοῦ ἔννομον ἡλικίαν χρῶνται. Ἀφημαρτεῖν, ἀποτυχεῖν. Ἀφ' ἡμείων, ἀφ' ἡμῶν. Ἀφήμενος, πόρρω καθήμενος. Ἀφημιάσας, ἀχρειώσας. Ἀφημίζεσθαι, ἀθροίζεσθαι. Ἄφημοι, ἀνώνυμοι, ἀκλεεῖς. Ἀφήμονες, ἄρρητοι, οὐκ ὀνομαζόμενοι. Ἀφημοῦντας, ἀχρειοῦντας. Ἀφ' ἡμῶν, ἄποθεν ἡμῶν. Ἀφήμως, ἐν κόσμῳ, ἡσυχῇ. Ἀφίωσι, ἰκέται. Ἀφῦσαι, τὸ τὰς ἐπτισμένας κριθὰς ταῖς χερσὶ τρῖψαι. Ἀφωνιάζειν δὲ, τὸ σκληρύνεσθαι, καὶ ἄποθεν τοῦ εὐθείας ὁδοῦ εἶναι. γίνεται ἐκ τοῦ ὠνίον, ὁ σημαίνει τὸν λῶρον, ὠνιάζω, καὶ ἀφωνιάζω. Ἀφωνιάζειν, ἐχωρίζετο. Ἀφωνιασθεὶς, ἀνυπότακτος, ὑπερήφανος. Ἀφυράων, μακράν. Ἀφυρέθη, ἐκ τοῦ ἀφύρομαι παθητικοῦ ὤφειλεν εἶναι, ἀφυρέθη. φύσει τὴν κλίσιν ἐν τῷ καθυρέθη. Ἀφύρομαι, ἐκείρομαι. Ἀφύρονται οἱ ὀφθαλμοὶ ἐκεῖνοι, καὶ ἐκεῖνο.

Ἀφ' ὅτου, ἀπ' ὅτε, ἀλλὰ καὶ ἄλλως, ἐξ οὗ. Ἀφύσσεσθαι, ἄψασθαι.

Ἀφύσσειν ἐς τὸ αἰγαῖον ἡμᾶς φασίν. οὕτως ἀμεταβάτως, ἀντὶ τοῦ ἁπλῶς πλεῦσαι ἡμᾶς εἰς τὸ αἰγαῖον. καὶ μεταβατικῶς, ἀφύσσω τὴν ναῦν εἰς τὴν θάλασσαν. Ἀφήτωρ, ὁ ἀπόλλων, ὅτι ὁμοφήτωρ. ὁμοίως πᾶσι προφητεύων, ἢ μαντευόμενος διὰ τοῦ βέλους, καὶ τῆς τέχνης. ἢ τοξικὸς, ἀπὸ τοῦ τῶν βελῶν ἀφέσεως. Ἀφήτορος, προφητεύοντος, ἢ τοῦ τοξότου. Ἄφθα, ἡ ἐν στόματι ἕλκωσις, τὸ δὲ αὐτὸ καὶ φθόη. Ἀφθίβορος, ὁ βορᾶς ἐσθίων. Ἄφθιτον, ἄφθαρτον, θεῖον, ποιητικῶς τὸν πέπλον. τὸ μὲν ἀθάνατον, ἐπὶ ἐμψύχων οἱ φιλόσοφοι τάσσουσι. τὸ δὲ ἄφθιτον, ἐπὶ ἀψύχων.

Ἄφθιτος γνώμας, ἀμετάτρεπτος. Ἀφθονία, πλοῦτος, καὶ εὐπορία. Ἄφθονον, πολύ, καὶ πλούσιον. Ἀφθόνως, δαψιλῶς. Ἀφιᾶσι, τὸ ἐλευθεροῦσι, καὶ πέμπουσιν. ἐκ τοῦ ἵημι, τὸ τρίτον τῶν πληθυντικῶν, ἱεῖσι, καὶ ἱᾶσι. καὶ ἀττικῇ συναιρέσει, ἱᾶσι. καὶ ἀφιᾶσι, καταλιμπάνουσιν. Ἀφίγμεθα, ἵκω, ἵξω, ἷχα, ἷγμαι. καὶ τὸ πρῶτον τῶν πληθυντικῶν ἵγμεθα, καὶ ἀφίγμεθα.

Ἀφιγμένος, παραγενόμενος, παραγενόμενος. Ἀφιδρύσας, ἀφοσιώσας. Ἀφίδνα, δῆμος αἰαντίδος φυλῆς. ὅθεν ἀφιδναῖος. Ἀφίδρυμα, ἱδρύω, τὸ εἰς τὸν ναὸν εἴδωλον. Ἀφιδρύματα, τὰ τῶν θεῶν ἀγάλματα. Ἀφίει, ἐκ τοῦ ἱῶ περισπωμένου ῥήματος. ὁ παρατατικὸς, ἵην ἵεις ἵει. καὶ συνθέσει, ἀφίει. Ἀφίει παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ἀφίει, ἐκ τοῦ ἀφίημι, ὁ παρατατικὸς ἀφίην, ὡς ἐτίθην. τὸ τρίτον, ἀφίει. λέγεται μὲν οὖν ἀφίει, ἐπὶ φωνῆς, καὶ βέλους, καὶ τοῦ ἀπολύειν, καὶ τοῦ καταλιμπάνειν τι ἐν διαθήκαις. ἀφίει, ἀνεκήρυξεν. ὤφειλε γὰρ ἀφίει εἶναι, ἀντὶ τοῦ ἀπέπεμπεν.

Ἀφίεμαί σε τῆς δίκης, ἀντὶ τοῦ ἀπολύω. ἀπὸ αἰτιατικῆς εἰς γενικήν. Ἀφίεμαί σε, ἀντὶ τοῦ ἐλευθεροῦμαι διὰ σοῦ. ἀφίεμαί σου, ἀντὶ τοῦ ἀφίσαμαί σου. Ἀφίεμεν, ἀφίετε. ἐκ τοῦ ἵημι, τὸ πρῶτον τῶν πληθυντικῶν, ἵεμεν ἵετε, καὶ ἀφίεμεν ἀφίετε. Ἀφίεναι, ἀπὸ τοῦ ἵημι τὸ πέμπω καὶ ἀπολύω, κατὰ μετάθεσιν καὶ συναίρεσιν ἀφιέναι. Ἀφ' ἱδρῶς. οὕτως ἔλεγον χρεμμῆ ἱδρῶ, παρὰ τοὺς πατέρας. Ἀφιδρυμένα, περικεκαθαρμένα. Ἀφιδρῶσαι, καὶ οὕτω θεοφορίαν, οὐ δὲ καθιδρῶσαι. Ἀφιδρυμένοι, οἱ διὰ θεῷ ἀνακείμενοι. Ἀφιέρωσιν, ἀνέθηκε διὰ θεῷ. Ἀφιζάνει, ἀπανίσταται τοῦ καθέζεσθαι. Ἀφίζειν, ἀποκαθίζειν. Ἀφίημι λέγεται, ἀντὶ τοῦ ἐῶ, καὶ ἀπολύω. οἷον ἀφίημί σε ἐλεύθερον. καὶ ἀντὶ τοῦ καταλείπω. οἷον, ἀφίησι τις υἱοῖς ἑαυτοῦ ἐν διαθήκαις τόδε. καὶ ἀντὶ τοῦ πέμπω, οἷον ἀφίημι βέλος. καὶ ἀντὶ τοῦ καταγινώσκω τι ἰδίας, ἢ εἰργόμενος ὑπό τινος καταλιμπάνω αὐτό, οἷον ἀφίημι τὴν τοῦ λόγου συνέλευσιν, εἴργουσι γάρ με τὰ πράγματα. καὶ ἀφίημι τὴν ἐπιθυμίαν τῆς τροφῆς. Ἀφίημι, παραιτοῦμαι, παραλιμπάνω, ἐῶ, παρίημι, προΐημι, λείπω, ἀπολείπω, καταλιμπάνω. Ἄφθαρτον, κυρίως τὸ ἀπαθὲς καὶ ἄϋλον, καὶ ἀψηλάφητον. ἄφθαρτόν ἐστι, τὸ ὑφ' ἑτέρας οὐσίας βλαβῆναι μὴ δυνάμενον. ὃ καὶ κατὰ πάντα ἄρρευστον. καὶ ἀναλλοίωτον, καὶ ἄτρεπτον. τὸ δὲ κυριακὸν σῶμα τοῦ Χριστοῦ καὶ πέπονθε καὶ ἐτρώθη τοῖς ἥλοις καὶ τῇ λόγχῃ. καὶ αἷμα καὶ ὕδωρ ἐξέβλυσε, καὶ ἐκ ζωῆς νεκρὸν γέγονε. ὥσπερ ἡνίκα ἀκούσῃς διδασκάλου λέγοντος ἄφθαρτον τὸ σῶμα τοῦ Χριστοῦ ὑπάρχειν πρὸ τοῦ σταυροῦ, νόησον ὅτι κατὰ τὴν φθορὰν τῆς ἁμαρτίας λέγει τὸ ἄφθαρτον, ἤγουν ἀμίαντον. καὶ οὐ κατὰ λείποντα ἰδίᾳ καὶ ἀλλοτριότητα τῶν ἡμετέρων σωμάτων. Ἀφθὰς, ὁ διεθνοῦς. τὸ α ἐπιτατικόν. Ἄφθιτον, τὸ ἄφθαρτον. Ἄφθονα, τὰ μὴ φθονούμενα, καὶ τὰ πολλά. Ἀφικάνει, παραγίνεται.

Ἀφικέσθαι, ἀντὶ τοῦ ἐλθεῖν. ἀφικέσθαι δὲ, ἀντὶ τοῦ φθάσαι. Ἀριστοφάνης, ὡς τάχιστ' ἀφικόμεθα πρὸς τὸν θεόν. Ἀφ' ἱκετηρίας, ἐπὶ τῶν καταπροσδοκωμένων, καὶ λόγου τυγχανόντων, οὕτως ἔλεγον.

Ἀφίκετο, παρεγένετο. Ἀφικλῶντες, ἀποστρέφοντες, ἢ ἀποκλίνοντες.

Ἀφικνεῖται, ἐνεστώς. ὡς τὸ ὑπισχνεῖται. ἀφικνεῖται δὲ, καὶ ὑπόσχεται, ὑποτακτικά. οὐ γὰρ εὑρίσκεται ἐπὶ ἐνεστῶτος ἀφίκεται ἢ ὑπόσχεται, οὐδὲ ἀφίκομαι καὶ ὑπόσχομαι, ἀλλὰ ἀφικνοῦμαι καὶ ὑπισχνοῦμαι. Ἀφικνοῦμαι, ἐπὶ ἐνεστῶτος. καὶ ἱκνοῦμαι, ὡς ὑπισχνοῦμαι. καθικνοῦμαι δὲ γενικῇ συντάσσεται. οἷον, καθικνοῦμαι τῆς κεφαλῆς τῇ ῥάβδῳ. καὶ ἐπὶ ἀορίστου, ἀφικόμην. ἀλλὰ μετὰ τοῦ ἄν, ἐὰν ἀφίκωμαι. καὶ ἐπὶ μέλλοντος ἀφίξομαι, καὶ ἐφίξομαι. ἀφίξομαι, ἀντὶ τοῦ ἐλεύσομαι. ἐφίξομαι δὲ, ἀντὶ τοῦ ἅψομαι, καὶ ἀφικνοῦμαι, καὶ βαδίζω πρὸς τὴν πόλιν, καὶ ὅσα τῆς αὐτῆς σημασίας ἔχονται, οἷον πορεύομαι, ἔρχομαι, φοιτῶ, παραγίνομαι, στείχω, ὁρμῶ. Ἀφικνούμενος, παραγινόμενος. Ἀφικομένου, παραγενομένου. Ἀφικόμην, ἀφίγμαι. Ἀφίκεται, παραγίνεται. καὶ ἀφικόμενος, παραγενόμενος. Ἀφικτὸν, ἀκάθαρτον, μιαρόν.

Ἄφικτρα, τὴν ἱκέσιον δίκαν. Ἀφικτρὸς, ἀκάθαρτος, μιαρός. Ἀφίκευ, παραγίνου. ἵκω, ὁ παθητικὸς δεύτερος ἀόριστος ἱκόμην, ἵκου, καὶ ἀφίκου. Ἀφιλέταιρος, ὁ ἐχθρωδῶς πρὸς ἑταίρους διακείμενος. Ἀφιλὴς, καθαρὸς, ὑγιὴς, ὁλόκληρος. Ἀφιλία, καρτερία. Ἀφιλοπτολέμους, ἀπολεμίστους. Ἀφιλότιμος, ταπεινός. ἢ ὁ μὴ ἐπὶ τοῖς καλοῖς, οἷς πράττει, τιμᾶσθαι βουλόμενος. Ἀφιματῶσαι, ἀπολῦσαι. Ἀφιππάζει, ἀφίππευσε, παραγίνεται. Ἀφῖξαι, μετοχῇ συντάσσεται, οἷον ἀφῖξαι γελῶν, ἀφῖξαι γελάσων. ἢ δοτικῇ δέ ὅτι συντάσσεται, οἷον, ἀφῖξαι ἡμῖν, ἢ ἀφίκετο ἡμῖν τὸ δεινόν. καὶ δὲ μετὰ τῆς πρὸς προθέσεως. οἷον, ἀφίκετο πρὸς ἡμᾶς ὁ ἄνθρωπος. καὶ ἀφίκετο εἰς τὸν θεόν, ἠδυνήθη διὰ τῆς ἀχέτας πρὸς τὸν θεόν. Ἄφιξις, ἔλευσις, ἔφοδος, παρουσία. Ἀφίξομαι καὶ ἥκω ἢ μετ' ἄριστον, μαθησόμενος τὴν τέχνην. Ἀφίππως, ἀπείρως ἔχοντας ἱππικῆς. Ἀφ' ἵππων μάρνασθαι, καὶ ὅτι χρὴ πεζὸν ἐόντα, παρασημειωτέον ἐστι παραφραστικὸν δὲ ἱππεύεται, καὶ πεζεῖ. δῆλον δὲ, ὡς ὁ ἀφ' ἵππων μαρνάμενος, ἱπποχάρμης λέγεται. ἤγουν, ὁ ἐφ' ἵππων μαχόμενος, ἢ καὶ ἵπποις χαίρων. Ἀφίσαμαι, ἀπάγω, ἀπαλλάττομαι.

Ἀφίσαμαι, τὸ ἀπέχω. συντάσσεται γενικῇ. οἷον ἀφίσαμαι τοῦ ἔργου τῶν πραγμάτων, ἀντὶ τοῦ μακρὰν εἰμί. ἀφίσαμαι, καὶ τὸ ἐφ-

ἀπαλλάξας. Ἀφεὶς, καὶ ἀπαλλάξας. τὸ μὲν ἀφεὶς, ὅταν ἀπολύσῃ τῶν ἐγκλημάτων ὧν ἐνεκάλει αὐτῷ. τὸ δὲ ἀπαλλάξας, ὅταν πείσῃ τὸν ἐγκαλοῦντα ἀποστῆναι, καὶ μηκέτι ἐγκαλεῖν. Δημοσθένης ἐν τῇ τρίτῃ περὶ Φορμίωνος παραγραφῇ. ἔστι δὲ καὶ οὕτως εἰπεῖν, ὅτι ἀφίησι μὲν δι' αὐτὸν μόνον, ὧν ἐνεκάλει. ἀπαλλάττειν δὲ, ὅταν μηδὲ ἄλλον διὰ λόγον ὑπολείπηται ἑαυτῷ πρὸς τὸν ἐγκαλούμενον. Δημοσθένης ἐν τῇ ὑπὲρ Φορμίωνος παραγραφῇ. ἵν' ἀπαλλαγὴ ἕως αὐτῷ γένηται παρ' ἡμῶν κυρία.

Ἀφέωνται, ἐκ τοῦ ἵημι, ὁ μέλλων, ἥσω, ὁ παρακείμενος. εἶκα, ὁ παθητικὸς, εἷμαι, εἷσαι, εἷται. καὶ μετὰ τῆς ἀπὸ προθέσεως, ἀφεῖσαι. Ἀφέσθαι, ἀφίημι, ὁ μέλλων ἀφήσω. ὁ παρακείμενος ἀφεῖκα, ὁ παθητικὸς, ἀφεῖμαι, σαι, ται, καὶ τὸ ἀπαρέμφατον, ἀφεῖσθαι. Ἄφετος, ἱερὸς, τοῖς ἀνέμοις ἀκατάσχετος. Ἀφιλάγαθος, κακοῦργος. Ἀφῆλιξ, οὐ μόνον ἐπὶ ἀφηλικέστερος οἱ παλαιοὶ ἐτίθεσαν, ἀλλὰ καὶ ἐπὶ μειρακίου ἑνὸς, καὶ ἐνδεέστερος, ὡς ἐν ῥητορικοῖς δηλοῦται λεξικοῖς. Ἀφελεῖν, συναγαγεῖν, κινεῖν. Ἀφελὴς τόκος, ὁ ὁμαλός. Ἀφελέσθαι, λέγεται ἀπὸ αἰτιατικῆς εἰς αἰτιατικὴν, καὶ ἀπὸ αἰτιατικῆς εἰς γενικήν. Ἀφέλεσθε, ἀπὸ τοῦ ἕλω τὸ λαμβάνω, ἐν συνθέσει ἀφέλω. ὁ παθητικὸς ἀφέλομαι, τὸ πληθυντικὸν ἀφελόμεθα, τὸ δεύτερον ἀφέλεσθε.

Ἀφελὴς, ὁ εὔκολος, ὁ ἄπο δὲ διὰ τὴν εὐκολίαν. σημαίνει καὶ τὸν ὑγιῆ τὸ σῶμα, παρὰ τὸ μηδὲν ἀφαιρεῖσθαι τοῦ σώματος. Ἀφελλία, μελανὸς ἀλφός. Ἄφελμα, τὸ κάλλιστον. Ἀφελομένου, ἐπάρχου. Ἀφελοῦνται, ἀποστεροῦνται. Ἀφελοῦμαι τὰ σὰ βέλη, ἤγουν ἀπὸ σοῦ λήψομαι. Ἀφελχθεῖσα, κλανθεῖσα, ξυμβαλεῖν εὐλόως, εἶπε. Ἀφελῶν πεδίον, ἀντὶ τοῦ ὁλοκλήρων, κατὰ κρᾶσιν. Ἄφεμα. ἐκ τοῦ ἵημι, ἧκα, εἷμαι, εἷσαι, ἧμα. καὶ συνθέσει, ἄφεμα, τὸ ἀπέσταλμα. Ἀφέμενον, ἀποστάντα, ἀντιλέγοντα. Ἀφίμενος, ἰασμένος, συντάσσεται δὲ μετὰ γενικῆς. Ἄφενος, ὁ ἀπὸ τῆς ὥρας τοῦ ἐνιαυτοῦ ἀθροιζόμενος πλοῦτος, τὸ αὐτὸ καὶ βίος. ἀφ' οὗ βιοῖ τις δηλονότι. λέγεται δὲ καὶ ὁ ἄφενος ἀρσενικῶς. καὶ τὸ ἄφενος, οὐδετέρως, ἀφ' οὗ ἀφνειὸς, ὁ πλούσιος. καὶ ἄφενος κατὰ τοὺς παλαιοὺς, ὁ δι' ὀλίγου συναγόμενος. πλοῦτος δὲ, ὁ διὰ πολλῶν ἐτῶν, οἷον πολυετὸς τις ὤν. γίνεται δὲ ἄφενος, ὡς τοῖς πλείοσι δοκεῖ, ἀπὸ τοῦ ἔνος, ὅ ἐστι χρόνος. ὅς τι καὶ παρ' ἡμῖν ψιλοῦται, ἀλλὰ παρὰ τοῖς παλαιοῖς δασύνεσθαι λέγεται. τοῦτο δὲ ἢ παρὰ τὸ ἕω τὸ πληρῶ, ἤγουν τελειῶ, ἐξ οὗ καὶ ὁ ὅλος. τελεσφόρος γὰρ κατὰ τοὺς παλαιοὺς ὁ ἐνιαυτός. ἢ παρὰ τὴν ἕνωσιν τῶν τεσσάρων ὡρῶν, καὶ τῶν κατ' αὐτὰς ἔργων. ἢ καὶ ἄλλως, παρὰ τὸ εἷς ἑνὸς, ἵνα κατὰ τὴν ὑφὴν καὶ αὐτὸς εἴη βοῦς, μόσχος, μονόκερως. βοῦς μὲν, διὰ τὸ κατὰ βόας ἔργα [illegible] γίνεσθαι. μόσχος δὲ, διὰ τὸ ἀεὶ νεάζειν, ἐφ' οἷς ποιεῖ. μονόκερως, διὰ τὸ μοναδικὸν καὶ ἐπικρατέστατον κατ' ἐνέργειαν τοῖς μερικοῖς καιροῖς. ἔτι ἰστέον, καὶ ὡς διαιρεῖται ἄφενος κατὰ τὸ γένος. καὶ Ὅμηρος μὲν, οὐδετέρως προσάγει αὐτὸ, λέγων ἄφενος πλοῦτόν τ' ἀφύξειν. εὕρηται δὲ παρά τισι καὶ ἀρσενικῶς ὁ ἄφενος.

Ἀφέξω, ἀποκωλύσω, ὀπίσω, παύσω. ἐκ τοῦ ἔχω, ἀπέχω, ἀφέξω. Ἀφέξομαι, παύσομαι. Ἀφέξονται, παύσονται. Ἄφενος, ἄφνειος. Ἀφέξω χεῖρας, ἀντὶ τοῦ κωλύσω. ἀπ' ἐναντίου τὸ ἀπέχειν ἐστὶ, πρὸς τὸ προσέχειν. εἴπερ ἀπέχειν μὲν, τὸ πόρρω ἔχειν. προσέχειν δὲ, τὸ ἐγγὺς ἔχειν. Ἀφέψημα, ἀνάθημα, δῶρον, ξένιον. Ἀφέψησα, ἕψησα. Ἀφέριστος τόκος, ὁ ἀπάλλακτος. Ἀφερπύσαι, βαδίσαι. Ἀφερτὴ, οἷον ἀφερτὴ δ' ἀρετή. ἀπὸ τοῦ φέρω, γίνεται φερτὸς, καὶ φερτὴ, καὶ ἀφερτή. ἐκ δὲ τοῦ φερτὸς, προφερέστερος, τὸ συγκριτικὸν, καὶ προφερέστατος.

Ἀφέρτερον, ἥσσονα. Ἀφερτίερες, πολυφερτέρες, ταχυτέρες. Ἀφέρτερος, ἀφόρητος. Ἄφες. ἵημι, ὁ μέλλων ἥσω. ὁ δεύτερος ἀόριστος ἧν, ἡ μετοχὴ εἷς ἕντος. καὶ τὸ προστακτικὸν ἕς. ὁ κανών. πᾶσα μετοχὴ εἰς ς ὀξύτονος διὰ τοῦ ντ κλινομένη, τὸ τέλος τῆς γενικῆς τρέπουσα εἰς ει, τὸ προστακτικὸν ποιεῖ. χωρὶς τοῦ ἕς, θὲς, καὶ δός. Ἀφέσθη, ἀπέχεσθαι. Ἄφεσις, ἀπόλαυσις, συγχώρησις. καὶ ἄφεσις, καὶ ὕσπληγξ, ὅθεν ἀφίενται οἱ ἵπποι εἰς τὸν δρόμον. λέγεται καὶ γραμμὴ, καὶ βαλβὶς, περὶ ὃ κάμπτουσι, καὶ καμπτήρ. ἵνα δὲ παύονται, τέλος, καὶ τέρμα, καὶ βατήρ. ἔνιοι δὲ καὶ βαλβίς. Ἀφέσιος Ζεὺς, ἐν Ἄργει τιμᾶται.

Ἀφεσταίη, καινότερον ἐσχημάτισται. καὶ ἔστι μὲν κοινὴ ἡ σύνθεσις ἀπ' αὐτοῦ, τὸ ἀποσταίη. τὸ μὲν τὸ ἀφεσταίη, φίλτερον Ὁμήρῳ, οἷα ποιητικώτερον. ἰστέον δὲ, ὥσπερ τὸ τέτλαθι, καὶ τὸ τετλαίη, σύνοιδα. ὡς τὸ οὐδ' ἂν ἐμοί γε τετλαίη, καὶ κόνις περὶ ἰῶν, καὶ τὰς ὄπας ἰδέσθαι, οὕτω καὶ ἕσταθι ἑσταίη, καὶ ἀφεσταίη. ὧν τὸ μὲν ἕσταθι χρῆσις ἐκ τῆς ὀδυσσείας. τὸ δὲ ἀφεσταίη, ἐκ τῆς ὀδυσσείας. Ἀφεσκαίνεται, ἀποσκελλαίνεται. Ἀφεστάναι, τοῦ διεστάναι διαφέρει. ἀφεστάναι μὲν λέγεται, ὅταν πλεῖστον ἀπέχωσι. διεστάναι δὲ, τὸ κεχωρίσθαι τῇ γνώμῃ πλησίον ὄντας. Ἀφεστᾶσιν, ἑστήκασιν. καὶ ἐν συγκοπῇ, ἑστᾶσιν, καὶ ἀφεστᾶσιν.

Ἀφέστατε, ὡς ἀπὸ τοῦ ἀφεστήκατε, διὸ καὶ δασύνεται. καὶ ἀφέστατε, ἀμφότερα καὶ χωρίς. ἑστήκατε οὖν, καὶ κατὰ συγκοπὴν, ἕστατε. καὶ μετὰ τῆς ἀπὸ προθέσεως, ἀφέστατε. Ἀφέστηκας, ἐμακρύνθης. Ἀφεστὸς, ἀγαθός. Ἀφ' ἑστίας ἀρχόμενος, ἤγουν ἐκ τῶν κρειττόνων, ἢ ἐκ τῶν οἰκείων. μετῆκται δέ φασιν ὁ λόγος, ἐκ τῶν ἱερῶν. ἔθος γὰρ ἑστίᾳ πρώτῃ ἀπάρχεσθαι, ἀπὸ τῆς ἑστίας δὲ γίνεται ἑστιᾶν. ὅπερ κατὰ τοὺς παλαιοὺς οἱ Δωριεῖς ἱστιᾶν λέγουσιν.

Ἀφ' ἑστίας ἀρχόμενος. ἐν ταῖς ἀποδημίαις ἀφ' ἑστίας ἄρχονται, καὶ οὕτως ἐκ τῶν θεῶν. ὡς ἐν κωμῳδίᾳ εἶπεν ὁ θεράπων, φίλος, ἐπιτρέψω. ἐπεὶ γὰρ τῆς χειροτονίας μέλλει δικάζειν, ὁ φιλοδικεῖν καταδικάζειν ὡς φιλόδικος. ἔστι δὲ παροιμία, τὸ ἀφ' ἑστίας ἄρχου. μετενήνεκται δὲ, ἀπὸ τῶν τὰ ἱερὰ καθισμένων. τῇ γὰρ ἑστίᾳ τὰς ἀπαρχὰς ἔθος ἦν ποιεῖσθαι. μῦθον δὲ συντίθησιν Ἀριστόκριτος, οὕτως ἔχοντα. μετὰ γὰρ τὸ κυλισθῆναι τὴν τῶν Τιτάνων ἀρχὴν, τὸν Δία δεξάμενον τὴν βασιλείαν ἐπιτρέψαι ἑστίᾳ λαβεῖν, ὅτι βούλοιτο. τὴν δὲ, πρῶτον μὲν παρθενίαν αἰτεῖσθαι. μετὰ δὲ παρθενίαν, ἀπαρχὰς θυομένων αὐτῇ δίδοσθαι πρώτῃ παρὰ τῶν ἀνθρώπων. κέχρηται δὲ τῇ παροιμίᾳ καὶ Πλάτων ἐν Εὐθύφρονι, βουλοίμην ἂν ὦ Σώκρατες, ἀλλ' ὀρρωδῶ, μὴ τοὐναντίον γένηται. ἀτεχνῶς γάρ μοι ἀφ' ἑστίας δοκεῖ μοι ἄρχεσθαι κακουργεῖν τὴν πόλιν, ἐπιχειρῶν ἀδικεῖν. Ἀφέστιος, ὁ ἔξωθεν τῆς οἰκίας. καὶ ἀφ' ἑστίας, ἀπὸ τῆς οἰκίας. Ἀφετὸς, ἀφειμένος. Ἀφέται, τόπος ἐν Ἀθήναις. ἔνθα ὁ στόλος τοῦ Ξέρξου ἐναυάγησε, διὰ λιμένων ἀναπεπλευκότα. Ἀφετέω, ἀφήκασιν. Ἀφετηρία, ἀρχὴ, ἡγεμονία. ἡ ἀρχὴ τοῦ ἱπποδρόμου. καὶ ἁπλῶς, πᾶσα ἀρχὴ, ἢ τὸ κάγκελον.

Ἀφετήριον, τὸ πετροβόλον ὄργανον. Ἄφετοι, οἱ ἱερόδουλοι, καὶ ἀπολελυμένοι. Ἀφευθεὶς τὴν ψυχὴν, Ἀριστοφάνης. ἀντὶ τοῦ φλογισθείς. Ἀφεύξομαι, παύσομαι. Ἀφεὺς, ἀλύπως.

Ἀφέψαλον, ὥσπερ ἀποθύσας λαμπροῦ. Ἀφεψεῖν, βλάπτων ῥίζα. Ἀφεψιανάλωσ, ἀφειμένος. Ἀφέωκα, ἀφεῖκα, ἐνδείᾳ τοῦ ι, καὶ πλεονασμῷ τοῦ ω. Ἀφέωνται, ἐκ τοῦ ἀφεῖνται ἀφέωνται. καὶ πλεονασμῷ τοῦ ω ἀφέωνται. ἀφίημι, ἀφήσω. ὁ παρακείμενος, ἀφεῖκα, ὁ Ἀττικὸς ἀφέωκα. οἱ γὰρ Ἀττικοὶ πολλάκις πλεονάζουσι τὸ ε κατὰ τὸν παρακείμενον, τότε καὶ τὸ ἐπαγόμενον φωνῆεν τρέπουσιν εἰς ω. ὁ παθητικὸς ἀφέωμαι, τὸ τρίτον τῶν πληθυντικῶν ἀφέωνται. Ἀφὴ, ψηλάφησις, ἡ χεὶρ, καὶ ἡ χεία τοῦ λίπτας. καὶ αὐτὴ ἡ αἴσθησις. Ἀφηβῆσαι, γηράσαι.

Ἄφηβος, ἄπαις. Ἀφηγεῖσθαι, ἡγεῖσθαι, προηγεῖσθαι, ταυτόν. ἐπὶ προλεγόντων ἡ ὁδηγίας λαμβάνεται, παρὰ τοῖς ὕστερον. Ἀφηγοῦ, ἄρχε. Ἀφηγούμενον, ὁ ἀφηγούμενος ὁδοῦ, ὁδηγός. Ἀφηγητὴς, ὁμοίως. Ἀφήγησις, διήγησις, τὸ αὐτὸ ἢ ἀφηγοῦμαι, ἢ διηγοῦμαι. ἀντὶ τοῦ ἐξέρχομαι. ἀφήγημα, ἢ διήγημα. ἁπλῶς μῦθοι δεῖ γράφειν, ἀφηγοῦμαι. ἀφήγησιν δὲ κοινῶς, καὶ διήγησιν.

Ἀφανὴς οὐσία, καὶ φανερά. ἀφανὴς μὲν, ἡ ἐν χρήμασι καὶ σώμασι καὶ σκεύεσι. φανερὰ δὲ, ἡ ἔγγειος. Λυσίας ἐν τῷ πρὸς ἐπιστολήν. Ἀφανισμὸς, σιωπηρῶν ἐκτάσεως. Ἀφανίζεται, ἀντὶ τοῦ ἀπόλλυται, καὶ φθείρεται διόλου. καὶ ἀφανίζεται τὸ κρυπτόμενον, καὶ μὴ φαινόμενον. καὶ ἀφανίζεται, ἀντὶ τοῦ ἀφανὴς ἐπὶ καιρὸν γίνεται. Φιλόστρατος ἐν εἰκόσιν, Οὐκ ἁπλῶς ἀπόλλυντο, ἀλλ' ἀφανισθεῖεν μίαν ἡμέραν. καὶ ἀφανίζει τις τόδε, ἐπὶ τῶν δύο τούτων σημαινομένων. Ἀφανίζω, κρύπτω, ἐξαλείφω, ἀμαυρῶ, ἀπολῶ, ἀπόλλυμαι, ἀποκόπτω, φθείρω, λυμαίνομαι, καταλύω, ὀλλύω, ὀλύω καὶ ἀπολύω, κατασείω, καταστρέφομαι, τέμνω, κρύπτω. καὶ ἀφανίζω, αἰτιατικῇ. Ἀριστοφάνης, ὁ θεὸς δ' εὐθέως ἀφανίσας αὐτὴν, ἐγγράφαντα ἐποίησεν. Ἀφανίσαι οἱ παλαιοὶ, οὐχὶ τὸ μολῦναι ὡς οἱ νῦν, ἀλλὰ τὸ τελείως ἀφανῆ ποιῆσαι. Ἀφάνται, χωρίον τῆς Δαμαρίδος φυλῆς, πόρρωθεν. Ἄφαντον, ἀφανὲς, ἀθεώρητον, μὴ φαινόμενον. ἀφαντὸν, μὴ ὁρώμενον. καὶ ἄφαντον φῶς, τὸ ἐκ πυρίτου λίθου. ὡς τὸ, ἀλλ' ἐν πέτραισι πέτρον ἐκθλίβων, μόλις ἔφηνεν ἄφαντον φῶς. Ἀφανατίζομαι, στρατεύομαι. ἐν ἀράχνη. Ἀριστοφάνης, Τοὺς ἀροτῆρας ἁμῶν ταχὺ πάνυ ἐν ξύλῳ δήσαντες ἀραχνίων, κάτω λαθεῖν βούλεται. τουτέστιν, ὁ κλέων.

Ἀφάπτειν, προσκολλᾶν. Ἄφαρ, ἐπίρρημα μεσότονον, παρὰ τὸ ἅπτω ῥῆμα. σημαίνει τὸ ταχέως, ἢ εὐθέως, καὶ ἅμα τῷ ἅψασθαι γινόμενον. ἀφ' οὗ καὶ Ἰωνικῶς οἱ φίσεις ἀφαρεὶ λέγουσι, τὸ ἀσπίστως· ἢ ἀπὸ τῆς φωνῆς, ὁ φθέγγεσθαι. ὅσα ἐπικῶς φιλοῦσι τῶν σημαίνει τὸ ταχέως, οἷον ἄφαρ δ' ἐν σπαλλάς· αὐτὸς, ἔγχει ἐμῷ. τὸ πρόχειρον, καὶ παραχρῆμα. ὡς τὸ, ἄφαρ δὲ χεῖρ ἀμόσσειν αἰτεῖ. τὸ αἰφνίδιον, ὡς τὸ, ἄφαρ δ' ἐκ τρώων ἐλασσαμένου μῶνυχας ἵππους. τὸ ῥᾳδίως, ὡς τὸ, ἄφαρ δ' ὁ πάγγελος ἦλθεν.

Ἄλλως. Ἄφαρ, αἰολικὸν ἐπίρρημα, καὶ τὸ αἶψα. ὧν μία ἡ παραγωγή. καὶ ταυτὸν σημαίνουσι. τὸ μὲν γὰρ ἐκ τοῦ ἅπτω ἄψω, τὸ δὲ, ἐκ τοῦ ἅψω ἦρα παρακειμένου. ἔστι γὰρ αἶψα καὶ ἄφαρ, τὸ ταχὺ καὶ ἐξαίφνης σημαίνοντα. ἄφαρ, ὅ ἐστι ταχὺ καὶ εὐθέως. οὕτως ἐτρίβη πρὸς κοινότητα τῶν ἀπὸ συνηθείας. ὥς τι λέγει τῶν πολλῶν, τὴν αὐτοσχέδιον ζωμὸν ἀφαρέζομεν φασίν. ὡς εἴ τις εἴποι ταχύζωμον, εὐθέζωμον. καὶ ἄφαρ κορυφὴν τελέθουσιν, ἀντὶ τοῦ εὐθύς. ἅμα τῷ γεννηθῆναι, κεράτων φύσιν προβάλλουσι, παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ.

Ἄφθεγον, ἐλεύθερον. Ἀφθαί, αἱ ἀπολεπίσεις, καὶ ἀπογεύσεις τι ποιεῖν. Ἄφθη, ἐφθεὶ, ἀνεπάτει. Ἀφθιὸς, ὄρος ἐστὶν ἐν ἠπείρῳ. ὀνομάζεται δὲ Βυζάντιος. καὶ ἀφθιὸς, ὁ ἥρως. καὶ ἀφθιὸς, ὁ ὄχλος ὅθεν τὸ ὑπὸ τῇ γαστρὶ περίζωμα. Ἀφθιδαλον, ἄχαρτον, ἀθυσίαστον. Ἄφαρκτος, ἀφύλακτος.

Ἀφάρμακον χῶμα, τὸ ἄνευ ἄνθους. ἄνθη γὰρ τὰ φάρμακα, καὶ τὰ βάμματα φαρμακεῦσαι Σοφοκλῆς ἔφη. Ἀφάρματον, ἀπόντων. αὐτοῦ ἁμαρτῶν. Ἄφθαι, ἀνέματι, ἀνέλυσι. Ἄφθον, ἀνήροτον. Ἀφαρόωσιν, ἀντὶ τοῦ ἀροτριῶσιν. Ἀφάροτος, ὁ ἀναροτρίαστος γῆ. φάρος γὰρ ἡ ἀροτρίασις. ἢ παρὰ τὸ φάρσαι, ὅ ἐστι σχίσαι. καὶ γὰρ δύο εἰς δύο μέρη κεχωρισμένους χιτῶνας, διχοφάρους φαμέν. Ἀφάρτεροι ἵπποι, τουτέστι ταχύτεροι, ἀπὸ τοῦ ἄφαρ τὸ εὐθέως. Ἄφαρτος, πολὺς, ἄριστος βοηθός. Ἀφάριμος, ἄτιμος. Ἀφάρυντος, ἀνιδρύτατος. Ἀφὰς λύχνον, ὑπὸ λόλλου λέγει. Ἀφάσσειν, ψηλαφᾶν, παρὰ τὴν ἀφήν.

Ἀφάσσε, ψηλαφήσας, παρὰ τὸ ἅπτω ἀφῶ. ἀφῶ ἀφάσσω, τοῦ τῆς ἀφῆς ὑποβάλλω. ὡς μάθω μαθλάσσω. καὶ ἀφάσσειν ὁμοίως.

Ἀφασία, ἀφωνία, ἔκστασις, ἀγνωσία, σιωπὴ, ἀπαυδία, ἀμηχανία.

Ἀφασσόμενος, ψηλαφῶν. Ἀφάσσων κεῖται παρὰ Λυκόφρονι, ψηλαφῶν. Ἀφατέλλει, μακροὶ, θηλαί. Ἄφατον, τὸ ἀμέτρητον καὶ ὑπὲρ τὸ μέτρον, ἤγουν πλεῖστον, ἄφατον, καὶ ἄρρητον, καὶ ἄλεκτον. περὶ οὗ οὐ δύναταί τις εἰπεῖν, ἀλέκτου.

Ἄφατος, ὡς φρόνιμος, παρὰ τῷ Ἀριστοφάνει, ἀφάτως φασὶ καὶ μεγάλως φρονῶν, ἢ ἀντὶ τοῦ μεγάλως. Ἀφαυαίνομαι, ξηραίνομαι. Ἀφαυρὰ, ἀσθενῆ, ἀμαυρότερα, ἢ κουφότερα.

Ἀφαυρὸς, ἀσθενὴς, ἄγαν παῦρος. ὀλίγος κατὰ διάλεκτον. ἢ παρὰ τὸ φῶ τὸ λέγω, ὁ μέλλων φήσω, γίνεται φαῦρος. καὶ μετὰ τοῦ στερητικοῦ α, ἀφαυρὸς, ὁ μὴ δυνάμενος διὰ ἀσθένειαν λέξαι. ἢ παρὰ τὸ φῶ τὸ φαίνω, γίνεται παράγωγον φάος, ἐξ οὗ φὰρ δὲ χρυσόθρονος. καὶ ἐξ αὐτοῦ, φαυρὸς ὄνομα, καὶ κατὰ στέρησιν, ἀφαυρός. ἐν πλεονασμῷ τοῦ υ, ἀφαυρὸς, ὁ ἀτελὴς καὶ ἀλαμπής. Ἀφαυρότατος. Ὅμηρος, ἐπεί οὐ μὲν ἀφαυρότατος βάλεν ἀχαιῶν. νοητέον ἐξ ἐναντίου τὸ ἀλλ' ὁ ἰσχυρότατος. εἰώθει γὰρ ὁ ποιητὴς ἐν πολλοῖς τῇ ἀποφάσει, ἀντὶ καταφάσεως χρῆσθαι τὸ ἐναντίον. ὥσπερ καὶ τὸ, Οὐδ' ἄρα τώγε ἰδὼν γήθησεν Ἀχιλλεύς, ἀλλὰ δηλαδὴ ἐλυπήθη, διὸ καὶ ἐδάκρυσε. τοιοῦτον καὶ τὸ, οὐκ ἐκ λύθη θυμῷ Ζεύς, ἀλλὰ δηλονότι ἐχάρη. Ἀφάψας, ἐφάψας, ἁρμόσας. Ἀφάψαι, προσκολλῆσαι, συνδῆσαι, μῖξαι.

Ἀφέλιτος ἡμέρα παρὰ Λάκωσιν, ἐν ᾗ θύουσιν. Ἀφεδρῶ, ἀποπατῶ. Ἀφειδῶν, ἀφειδῶς. Ἀφεδρεῦσαι, ἐπὶ δίφρῳ καθῖσαι. Ἄφεδρος, ἀκαθαρσία. Ἀφεδρών, σίλλαι, σιλλαρία, σωτηρία, ἀποχώρησις. Ἀφέη, ἐκ τοῦ ἀφῶ, ἀντὶ τοῦ πέμψῃ, κατὰ πλεονασμὸν συνέβη τοῦ ε, ὁ καὶ Ἡσίοδος ἐχρήσατο ὁ ποιητής. οὕτως ἐν τῷ ἀφίενται πλεονάζει τὸ ε. Ἀφεθῆναι, ἀπολυθῆναι. Ἀφέθοσαν. ἀφίημι τὸ συγχωρῶ. ὁ μέλλων ἀφήσω, ὁ παρακείμενος ἀφῆκα, ὁ παθητικὸς ἀφεῖμαι, ὁ ἀόριστος ἀφείθην. καὶ ἀποβολῇ τοῦ ε ἀφέθην, ὡς παρέθην. Ἀφειδὴς, ὁ ἀνελεήμων. Ἀφειδέως, μὴ φεισάμενος, ἢ παριδὼν, ἢ καταφρονήσας. Ἀφειδήσαντος, ἀφροντιστήσαντος. Ἀφειδία, καρτερία. Ἀφεῖεν, συγχωρήσαιεν. Ἀφεῖκα, τὸ ἀττικόν. τὸ δὲ ἀφῆκα, δώρισον.

Ἀφεικὸς, μετοχή. καὶ ἀφεικέναι, ἀπαρέμφατον, ἐκ τοῦ εἶκα παρακειμένου. τὸ δὲ εἶκα, ἐκ τοῦ ἵημι τὸ πέμπω. Ἀφειλόμην, καὶ ἀφείλατο, οἱ λέγοντες ἁμαρτάνουσιν. δέον λέγειν διὰ τοῦ ο ἀφειλόμην, καὶ διὰ τοῦ ο ἀφείλετο. τοῦ γὰρ ἀπλοῦ ῥήματος ὄντος εἱλόμην εἵλου, ἐξ ἀνάγκης ὁ σύνθετος ἐφύλαξε τὰ βραχέα, τό, τὸ ε, καὶ τὸ ο. μόνως οὖν ῥητέον, ἀφειλόμην ἀφείλετο. Ἀφείλατο. ὅσοι διὰ τοῦ α λέγουσιν, ἀχθονεύουσι. δέον διὰ τοῦ ε λέγειν, ἀφείλετο. καὶ ἀφείλομεν δεῖ λέγειν διὰ τοῦ ο, καὶ μὴ διὰ τοῦ α. Ἀφεῖλεν, ἦρεν, ἐκλεψεν. Ἀφείλετο, οὐκ ἀφείλατο. καὶ προεῖτο, καὶ πάντα τὰ ὅμοια. ἐφ' ὧν καὶ τὸ δεύτερον πρόσωπον διὰ τοῦ ου συλλαβῆς, καὶ τὸ τρίτον διὰ τοῦ ο. ἐφ' ὧν δὲ τὸ πρῶτον διὰ τοῦ α, τὸ μὲν δεύτερον διὰ τοῦ ω, τὸ δὲ τρίτον πάλιν διὰ τοῦ α. οἷον, ἐποιησάμην ἐποιήσω ἐποιήσατο, ἐγραψάμην ἐγράψω ἐγράψατο. ἐπὶ δὲ τῶν πρώτων, εἱλόμην εἵλου εἵλετο, ὠνόμην ὤνου ὤνετο. Ἀφείλοντο, ἀπαίρουσιν, ἥρπασαν, ἀνέσπασαν. Ἀφεῖμαι, ἀντὶ τοῦ ἀπολέλυμαι. καὶ ἀφεῖσαι, καὶ ἀφεῖται, καὶ ἀφειμένος, καὶ ἀφεῖσθαι γράφεται, καὶ γίνεται συστάσεται. κοντίζεται δὲ τὸ ἀφεῖμαι, εἰ μὲν ἐστιν ἐπὶ ἐνεστῶτος, οὕτως. ἵημι τὸ πέμπω, καὶ ἀπολύω. καὶ ἀφίημι, τὸ παθητικὸν ἀφίεμαι. καὶ κατὰ μετάθεσιν καὶ συναίρεσιν τοῦ ε καὶ ι εἰς τὸν ει δίφθογγον, ἀφεῖμαι. εἰ δέ ἐστιν ἐπὶ παρακειμένου, οὕτως. ἵω τὸ ὑπάγω. ὁ μέλλων ἥσω, ἄχρις. ὁ παρακείμενος εἶκα, καὶ αὐτὸς ἄχρηστος. ὁ παθητικὸς, εἶμαι καὶ ἀφεῖμαι. ἡ μετοχὴ ἀφειμένος. καὶ ὁ ἀόριστος ἀφείθην ἀφείθης ἀφείθη, ὡς τὸ ἐρρίθη, καὶ ἐλείχθη. Ἀφειμένοι πόνων, ἤγουν ἀπηλλαγμένοι. Ἀφειμένος, καὶ ἐπὶ πάθους καὶ ἐπὶ ἐνεργείας λαμβάνεται. οἷον ἀφεῖμαι, ἀντὶ τοῦ ἀφείθην. καὶ ἀφεῖμαι, ἀντὶ τοῦ ἀφῆκα. καὶ ἀφεῖσαι, ὡς θεῖναι.

Ἀφεῖναι τὸ ἀπολῦσαι ἐγκλήματος. καὶ ἀφεῖναι, τὸ τὰς ἐπιτιμίας κριθὰς ταῖς χερσὶ τρίβειν. Ἀφείτη, προείτη, ἐμέλετη. τί φέρομαι, πάντα δὲ φρουρῶν οἱ ἀφείτη. Ἀφεὶς ἣν ὑπέρᾳ, τὸν πόδα διώκεις, ὑπὲρ λόγος ἐν τῷ περὶ τοῦ τερὶς πρώτῳ. παροιμία ἐπὶ τῶν παριέντων τὰ ἀναλαμβάνειν, καὶ περὶ τὰ φαῦλα διατριβόντων. ὑπέρα δ' ἐστι, σχοινίον χοῖνον, εἰς μετάγεται τὸ κέρας. καὶ ἀφείθε, ἀπαλλάξεσθαι

Αὐτόφλοιον, αὐτόλεπον. Αὐτοφόνῳ, ἑαυτὸν ἀνελόντι.

Αὐτοφορβός, ὁ αὐτοφάγος. εἴρηται δὲ ὑπὸ βδύναται διὰ τὴν αὐτῆς ἀπεχθημίαν, ἥτις βδύναται ταῖς σε λέγεσθαι ἐν τῇ συνθέσει. ὡς τὸ, αὐτόνομος εἶναι βούλομαι καὶ αὐτόμαχος. Αὐτοφορβεῖ, αὐτοδιαιτᾶται. Αὐτοφοίτητον, μὴ ἐπιπλακὲν ἐχιδνῶν κάλλος, ἀλλ᾽ αὐτοφυές. Αὐτόφορος, ὁ ὑφ᾽ ἑαυτοῦ φωραθεὶς χόμινος, καὶ πεφωραμένος ὤν. Αὐτόχειρ, καὶ ὁ ἑαυτὸν ἀνελὼν, καὶ ἕτερον, καὶ μὴ δι᾽ ἄλλου φονεύσας. καὶ αὐτοχειρία, τὸ τῇ ἑαυτοῦ χειρὶ ποιῆσαί τι. Αὐτόχειρος, ὁ ἑαυτὸν ἐγχειρίσας. Αὐτόχειρες, οἱ ἑαυτοὺς φονεύσαντες αὐτοχειρία, ἡ ἰσχὺς. Αὐτόχθονον, αὐθιγενὲς. Αὐτόχθονες, πολῖται, γνήσιοι. λέγονται δὲ καὶ οἱ ἀθηναῖοι. ἐπεὶ τὴν χθόνα, ἐξ ἧς τὴν γῆν ἀργὴν οὖσαν πρῶτοι εἰργάσαντο, διὰ τὸ μὴ εἶναι αὐτοὺς ἐπήλυδας. Αὐτόχθονοι, αὐθιγενεῖς. Αὐτόχρημα, χιλὸν αἰχμήν. ἢ αὐτὸ τὸ πρᾶγμα, ὅμοιον παντελῶς. Αὐτοχύτλον, πρὸς τὴν χύτραν. Αὐτόχρεως, τὰ τίμια. Αὐτόχυτον, αὐτοχώνευτον. Αὐτώδης, ὑπερήφανον, ἰδιογνώμων. Αὐτώλης, ὑβριστὴς, αὐτόχειρ. Αὔτως, ποιητικὸν ἀπὸ τοῦ αὐτὰ. οὕτως κακόν, ταυτὸν ἐστὶν οὕτως. καὶ αὔτως, ἀντὶ τοῦ μάτην. σημαίνει καὶ τὸ ὁμοίως. ἔστιν ὅτε ὁ ἀληθῶς. καὶ μετὰ τοῦ ψιλοῦ α, αὐτός. οἱ ἀναβιβάσαντες τὸν τόνον. τὰ δὲ εἰς τὸ διοικὰ ἀναβιβάζουσι τὸν τόνον ἐν τῇ συνθέσει, καὶ κλίνεται αὕτω. ἐντεῦθεν τὸ ψιλὸν ἐπίρρημα, οἱ αὐτοὶ, τὸ αὖτως. καὶ ἐξ αὐτοῦ ἐπίρρημα μεσότητος, αὔτως. καὶ τροπῇ τοῦ ε εἰς υ αὔτως. τὸ γὰρ α καὶ υ εἰς τὴν αυ δίφθογγον τρέπεται, τὸ ὁμοίως, ἀπὸ τοῦ οὕτως. Ὡς δ᾽ αὔτως μενέλαος. Αὐτῷ στεφάνῳ, σὺν αὐτῷ τῷ στεφάνῳ.

Αὐχαλέοι, σεμνοί. Αὐχὰν, καύχησιν. Αὐχάτην, ἀπὸ χορδῶν. καὶ τὸ ἡμιόνων. χάλκεον. Αὐχεῦσι, καυχώμενοι. Αὐχεῖν, ἀλαζονεύεσθαι, κομπάζειν, σεμνύνεσθαι, σεμνολογεῖσθαι, μεγαληγορεῖν, μεγαλορρημονεῖν, μεγαλύνεσθαι, αἴρεσθαι, μετεωρίζεσθαι, πεφυσῆσθαι, ὑψηλοφρονεῖν. ὑπερφρονεῖν, ὑπεροπτεύειν, τυφοῦσθαι. ἐπὶ δὲ τὸ καυχᾶσθαι πράγματα, αὔχημα, ἀλαζονεία, κόμπος, σεμνολογία, μεγαλορρημοσύνη, μεγαληγορία, ὑπερφρόνησις, ὑπεροψία, τύφος, ὑπερηφανία. τὸ δὲ ῥῆμα, ὑπερφρονεῖν. ἀλλὰ ταῦτα εἰκότως. τὰ δὲ ὀνόματα, ἀπὸ μὲν τοῦ αὐχεῖν κατὰ μετοχὴν ῥητέον αὐχῶν. ὁ γὰρ αὐχήτης βάρβαρον. ἀπὸ δὲ τῶν ἄλλων, κομπαστικός, κομπαστικὸς, κομπόλακος, ὑπέρκομπος, σεμνολόγος, μεγαλήγορος, μεγαλορρήμων, μεγαλαυχούμενος. καὶ αἰρόμενος καὶ μετεωριζόμενος. πεφυσημένος. καὶ μετὰ καὶ, ὑψηλόφρων. καὶ ὑπέρφρων, καὶ ὑπερόπτης, καὶ ὑπεροπτικὸς, καὶ ὑπερορῶν, καὶ ὑπερήφανος, καὶ μετέωρος. ἀλλὰ τὰ ἐπιρρήματα, ἀλαζονικῶς, κομπαστικῶς, μεγαληγόρως, μεγαλορρημόνως, ἠρμένως, μετεώρως, πεφυσημένως, ὑπερφρόνως, ὑπεροπτικῶς, ὑπεροπτικῶς, καὶ ὑπερηφάνως. Αὐχῶν, καυχᾶσθαι. Αὐχένιοι, χιτῶνος εἶδος, ὑπὸ ἀριστοφάνους. Αὐχῶ, εὔχομαι. αὐχήεις, σεμνός. Αὐχήματα, σεμνολογήματα, καυχήματα, κομπάσματα, ὑψώματα.

Αὐχὴν, ὁ τράχηλος. παρὰ τὸ ἀχμὴν αὐχὴν, ὁ κατάξηρος τόπος τοῦ σώματος. ἢ παρὰ τὸ ἔχω, ἐχῶν, καὶ αὐχὴν, ὑφ᾽ οὗ ἔχεται ἡ κεφαλή. ἢ παρὰ τὸ αὐχεῖν καὶ γαυριᾶν, γίνεται αὐχήν. γαυριῶντες γὰρ καὶ ἐπαιρόμενοι, ἀνατείνομεν αὐτόν. καὶ αὐχὴν, οὐ μόνον ἐπὶ ζώων λέγεται, ἀλλὰ καὶ ἐπὶ τόπων. ὡς δηλοῖ ὁ σύντομον γράψας, Ἔσμα φησὶν Ἀριστοτέλης, Θεόφραστος δὲ μόχον. ἔστι δὲ, αὐχὴν τοῦ πλευροῦ τῶν ἀρσενικῶν. Αὐχήσασθαι, καυχήσασθαι. Αὐχθεῖ, αὐχμώδει. Αὐχμοὶ καπνοῖς, ὁ ῥύπον ἔχων κατὰ τὴν Δαίρειαν, καὶ ἀλούτων. γίνεται δὲ τὸ αὐχμεῖν, ὥσπερ καὶ ὁ αὐχμός, παρὰ τὸ ἄγω τὸ ξηραίνω, πλεονασμῷ τοῦ δασέος. καὶ αὐχμεῖν, ξηραίνεσθαι. Ἀριστοφάνης, πεινῶν, διψῶν, αὐχμεῖν, ῥυποῦν. Αὐχμηρὰ τράπεζα, ἡ ξηρά, καὶ πενιχρά. καὶ αὐχμηρὸν, σκληρὸν, ἢ σκοτεινόν. Αὐχμός, ξηρασία, ἀνομβρία. παρὰ τὸ αὔω αὐχμὸς, κατὰ ἀντίφρασιν, ὁ μὴ ποιῶν τι αὔξεσθαι. αὐχοῦντας γὰρ φέρει. ὁ παρὰ τὸ αὖον τὸ ξηραίνω. ἐξ οὗ αὖος, καὶ αὐαλέος γίνεται αὐχμὸς.

Αὐχμῶντα, ῥυπῶντα. Αὖχος, τὸ καύχημα, ἀρσενικῶς.

Αὔω τὸ ῥῆμα, ἐστὶ ἐλάσσω. ἐξ οὗ τὸ αὖον, οὐ μόνον τὸ ξηραίνειν δηλοῖ, ἀλλὰ καὶ τὸ λάμπειν καὶ φαίνειν. ὅθεν αὔως αἰολικῶς ἡ ἡμέρα. ἡ καὶ ἀὼς λεγομένη δωρικῶς, καὶ ἕως ἀττικῶς τὸ κοινὸν. ἐκ δὲ τὸ αὔειν, καὶ πυραύστης ζωΰφιον, ἐπιβαλλόμενον τῷ τοῦ λαμπάδος φωτί, ὑφ᾽ οὗ καὶ ὄλλυται. ἀφ᾽ οὗ ἡ παροιμία τὸ, πυραύστου μόρος, ἐπὶ τοῦ ταχὺ θνησκόντων. Αὔω, τὸ βοῶ. Ὅμηρος μακρὸν ἄϋσε. ἐν ᾧ δηλοῦται, δεῖν εἶναι μεγαλοφώνους τοὺς ἡγεμόνας, ὥς φησιν, βοὴν ἀγαθοί. καὶ αὔω, ἀντὶ τοῦ ἀνάπτω. καὶ αὔω, διαλύω, θερμαίνω. τὰ γὰρ πρόσωπα, τοῖς θερμοῖς πλύνεσθαι. Αὔως αἰολικῶς, ἀντὶ τοῦ ἀὼς, ἡ ἡμέρα. μετὰ δὲ τὸ α ἐπαγομένου φωνήεντος προστίθεται τὸ υ.

ΤΟ Α ΜΕΤΑ ΤΟΥ Φ.

Ἀφαγνίσαι, καθιδρῦσαι. λέγεται δὲ καὶ τὸ συλλῦσαι. Ἀφαλίαν, τῶν πολεμικῶν νεῶν. διὰ τὸ ἀφανίζειν. Ἀφάλιος, ὁ μὴ ἀρίσκων. ἁλεῖν γὰρ τὸ ἀρέσκειν.

Ἀφαλὸς, ἐχθρός. παρὰ τὸ ἀφαλίζειν. καὶ ἀφαλία, ἡ ἀπαρέσκουσα ἔχθρα. Ἀφαλίζει, ἀναλίσκεται, ἀπὸ τοῦ ἀφῶς. Ἀφάλα, ὄστρεον. Ἀφαία, ἡ δικτύννα, καὶ ἄρτεμις. Ἀφαμαρτῆσαι, ἀπαλγῆσαι, ἀπολαπτῆσαι, καὶ ἀπολέσαι. Ἀφαιμάξας, τουτέστι σφάξας. Ἀφαμοὶ, ἀπέχονται, εὐγενεῖς. Ἀφανερὸν παρὰ τῷ Ἀριστοφάνει, κοῖλον, ἢ διαφερὸν, ἢ κλίνειον.

Ἀφαιρεῖται, ἀποσπᾷ. Ἀφαιρέματα, τὰ ἀπὸ τῶν ἱερῶν ἀφαιρούμενα μέρη. οἷον ὁ κωλῆν, τὸν δεξιὸν βραχίονα, καὶ τὸν λοβὸν τοῦ ἥπατος. ὁ Θεολόγος, ὅσα τε περὶ θυσιῶν καὶ καθαρσίων καὶ ἀφαιρημάτων νομοθετεῖται, θυσίας τὰς τὰ πρόβατα τοὺς μόσχους, τὰς τρυγόνας, καὶ τὰς περιστεράς. καθάρσια δὲ, τὰ διὰ τοῦ αἵματος, ἢ τοῦ σποδοῦ καθαρτήρια. Ἀφαίρεμα, ἀνάθεμα, δῶρον, ἢ ῥίνημα. καὶ ἀφαίρεσις. τὸ περὶ Λυσιάδης τὴν ἐξ ἀπαθερίαν λέγει. Ἀφαίρεσις, ἡ ἐκ τῆς ἀρχῆς ἄρσις. οἷον, ἐμὲ, με.

Ἀφαιροῦμαι, τὸ ἀπ᾽ ἐκεῖνου καὶ ζημιῶ, διπλῶς συντάσσεται, οἷον ἀφαιρεῖται τὸν ἄνθρωπον τὴν οὐσίαν. καὶ ἀφαιρεῖται τὴν οὐσίαν τὸν ἄνθρωπον. ὁ παρακείμενος, ἀφῄρημαι ἀφῄρησαι ἀφῄρηται, ἐπὶ τοῦ θυσίας καὶ ἱερουργίας λαμβανόμενον, ὥσπερ τὸ εἴργασμαι, καὶ ἐώνημαι, καὶ ἐφύλαξα. μέσοι δὲ ὄντες παρακείμενοι. ἀφῄρημαι δὲ καὶ ἀντὶ τοῦ ἐστερήθην, καὶ ἀντὶ τοῦ ἐστέρημαι. καὶ συντάσσεται μετὰ γενικῆς καὶ αἰτιατικῆς. μετὰ γενικῆς μὲν, ὅταν μὴ ἔχων τι πρᾶγμα, ἀφῄρημαι ἢ τὸ κτήσασθαι, καὶ ἀμελήσας οὐ λάβω. οἷον, ἀφῄρημαι λέγων, ἀφῄρημαι παιδείας. ταῦτα δὲ οὐκ εἶχον, τὸν λόγον φημὶ καὶ τὴν παιδείαν. δυνατὸν δὲ μοι ἦν κτήσασθαι. καὶ διότι ἠμέλησα, οὐκ ἔλαβον. ὅταν δὲ ἔχω τι καὶ στερηθῶ τούτου, τότε τὸ ἀφῄρημαι συντάσσω αἰτιατικῇ. ἀφῄρημαι τὸ ἱμάτιον, ἀφῄρημαι τὰ χρήματα. ὁ ἀφαιροῦμαι ἐκεῖνον τὰ ὅπλα, ἀντὶ τοῦ ἀπ᾽ ἐκείνου λαμβάνω. Ἀφαιρῶ, ἀφαιροῦμαι, παραιροῦμαι. Ἀφαιρῶ, τὸ μέρος τι τοῦ παντὸς λαμβάνειν. ἀφαιροῦμαι δὲ, τὸ πᾶν. ἀφαιρῶ μὲν, συντάσσεται ἀπὸ γενικῆς εἰς αἰτιατικήν, οἷον ἀφαιρῶ σου τόδε. καὶ ἀπὸ αἰτιατικῆς εἰς γενικὴν, οἷον ἀφαιρῶ σε τοῦδε. καὶ ἀπὸ αἰτιατικῆς εἰς αἰτιατικὴν, οἷον ἀφαιρῶ σε τόδε. καὶ ἀπὸ δοτικῆς εἰς αἰτιατικὴν, οἷον ἀφαιρῶ σοι τόδε. Ἀφαὶς, πλοκαῖς, ἢ χερσίν. Ἀφακεῖ, ὠνεῖται. Ἄφαλον, τὸ φάλον μὴ ἔχον, μέτωπον περικεφαλαίας.

Ἄφαλος περικεφαλαία, ἡ μὴ ἔχουσα φάλους. φάλοι δέ εἰσιν οἱ λαμπροὶ ἧλοι, ἢ τὰ ποικίλματα. Ἀφαλτι, αἱ ἀναπαύοντες. Ἀφάμαρτιν, ἀπέτυχεν, ἀπὸ τοῦ ἁμαρτῶ. καὶ ἀφάμαρτεν, ἀόριστος δεύτερος. ἁμαρτῶ, ἥμαρτον ἥμαρτες ἥμαρτεν.

Ἀφαμαρτοεπὴς, ὁ ἁμαρτάνων ἐν τῷ λέγειν. Ἀφαμαρτοῦσα, ἀποτυχοῦσα, στερηθεῖσα. Ἀφανδάνει, εἴκεται, ἀχθεῖται, καὶ ἀρέσκει. Ἀφανάξαι, ἀπαρέσκειν. Ἀφανὴς, σκοτεινόν.

ἀλφίτων εἴρηται. τὸ γὰρ ὡς ἔτυχε φυραθὲν ἄλευρον, αὐτοκάβδαλον λέγεται. Αὐτοκαλὲς, ἐπιτυχὸν, συμβεβηκός. Αὐτόκαρος, αὐτοζήμιος. κάρα γὰρ ἡ ζημία. Αὐτοκασίγνητος, γνήσιος ἀδελφὸς, ὁ ἐκ τῶν αὐτῶν γονέων. Αὐτοκέλευστος, αὐτόματος. Κρότος τε ἀθρόος, οὐκ ἐκ παραγγέλματος, ἀλλ' αὐτοκελεύστως ὡρμήθη. Αὐτοκέρασον, οἷον ἰσοκέρασον, συμμέτρως κεκραμμένον. Αὐτοκίνητον, αὐτοφυές. τῷ δὲ Ἑρμείᾳ τοῦ φιλοσόφου, τὸ αὐτοκίνητον οὐ προσιέσθαι τῇ πολυμαθείᾳ. Αὐτοκλείδης. Αἰσχίνης κατὰ Τιμάρχου, κυλοιδιδῶν. καὶ αὐτοκλείδης, καὶ εὐσταθῶν. οὗτοι παιδερασταὶ σφοδροί. ὡς καὶ Ἀριστογείτων κατὰ Τιμάρχου. Αὐτόκρανα, αὐτόδηλα, αὐτάρκαστα. Αὐτοκράτορ, ἀντὶ τοῦ τῶν δογμάτων κρατοῦντος. Ἀριστοφάνης. Τούτων πέρι πάντων αὐτοκράτορες ἥκομεν. Αὐτοκράτωρ, δεσπότης, ἄρχων, Ἑλληνικὴ ἡ φωνή. τάττεται δὲ ἐπὶ παντὸς τοῦ κατατολμήσαντος, καὶ κρατοῦντος τῶν ἐναντίων. αὐτοκράτορα πάντα τὸν ἀνυπεύθυνον. παρὰ τὸ κρατῶ, κράτωρ, καὶ αὐτοκράτωρ. ἢ παρὰ τὸ κραίνω κραίντωρ, καὶ ἐν συνθέσει αὐτοκραίντωρ. Αὐτοκτίστους δόμους, οὐ κατεσκευασμένους, ἀλλ' ἐκ ταὐτομάτου γεγενημένους, ἢ τοὺς οἰκουμένους. Αὐτόλαβον, τὸ ἑαυτοῦ λαβεῖν ἔχον. Αὐτόλαμον, λιτόν. Αὐτολήκυθος, ὁ πένης. παρὰ τὸ φέρειν ἑαυτῷ τὰς ληκύθους εἰς τὰ βαλανεῖα. καὶ ἀντὶ τοῦ εὐζώνους ἑτοίμους καὶ ἑτοίμους πᾶν ὁτιοῦν ποιεῖν καὶ ὑπομένειν λέγουσιν. ἢ ἀντὶ τοῦ εἰς πληγὰς ἑτοίμους καὶ οἷον τύπτοντας, καὶ μαστιγοῦντας, καὶ ὑβρίζοντας. ἢ ἀντὶ τοῦ ἐκ προχείρου διδόντας ἀργύριον, καὶ ἑτοίμους πρὸς τὰς μίξεις. καὶ γὰρ εἶχον ἐν ταῖς ληκύθοις ἀργύριον. καὶ τὸ ὄνομα παρὰ Μενάνδρῳ, ἐστὶ ὑπόχρῳ καὶ Δακτυλίῳ. Αὐτολόχευτος, αὐτογέννητος. ὁ θεὸς, ἀγέννητος. Αὐτόλυσις, λύσις. ἐφ' ἧ ἀγγέλλει ἐφεῖσθαι, καὶ οὐχ ἅμα γίνεσιν. Αὐτόμορος, μονόμοιρος. Σοφοκλῆς. Αὐτομάρτυς, ὁ ἑαυτῷ μαρτυρῶν. Αὐτομάτευθον, αὐτόφυμα ἄνθος. Αὐτοματίζουσιν, αὐτόματοι παραγίνονται. Αὐτόματον, αἰτία κατὰ συμβεβηκὸς ἀόριστος, ἐν τοῖς ἕνεκά του κατὰ προαίρεσιν γινομένοις συμβαίνουσα. τὸν γὰρ λίθον πεσόντα, γενέσθαι καθέδραν ἔτυχεν. Αὐτόματος, αὐτόκλητος, παρὰ τὸ μάω τὸ ζητῶ, ματός. καὶ αὐτόματος, ὁ αὐτοπρόαιρετος, καὶ μὴ παρ' ἑτέρου ζητηθείς. ἢ παρὰ τὸ μέω, τὸ προθυμοῦμαι, μέμαμαι μέμαται, ματὸς καὶ αὐτόματος. Αὐτομαχεῖν, τὸ δι' αὐτοῦ, ἀλλὰ μὴ δι' ἑτέρου μάχεσθαι. Αὐτομέδων, ὁ αὐτοκράτωρ. οὐ μακρὰν ἀπέχων κεῖται. ὁ μέδων καὶ ἄρχων καὶ κρατῶν, ταὐτὸ δηλοῦσιν. Αὐτομένης, ὄνομα κύριον παρὰ τῷ Ἀριστοφάνει. ἔχει τρεῖς υἱοὺς, τὸν μὲν κιθαρῳδὸν, τὸν δ' ὑποκριτὴν, τὸν δὲ τῷ στόματι αἰσχρουργοῦντα. Αὐτομολοῦσι ἐπὶ, τὸ προδοῦναι τοὺς ἰδίους, καὶ ἑαυτοὺς καὶ ἀπελθεῖν πρὸς τοὺς ἐναντίους ἐπὶ συμμαχίᾳ. καὶ αὐτομολεῖν, τὸ πρὸς τοὺς πολεμίους ἀπελθεῖν. Αὐτόμολος, πρόσφυξ. Αὐτομολῶ, πρὸς τοὺς πολεμίους ἔρχομαι. ταὐτὸν τῷ ταὐτομολεῖν. Αὐτόνομος, ὁ αὐθαίρετος, ὁ αὐτόβουλος. Αὐτονομουμένη πόλις, ἡ τοῖς αὐτῆς νόμοις χρωμένη καὶ οὐχ ὑποκειμένη ἑτέροις. Αὐτονυχὶ, αὐτῇ τῇ νυκτί. ἐν τοῖς Ἀπίωνος μὲν καὶ Ἡροδώρου, διὰ τοῦ ι γράφεται. ἄλλοι δὲ διὰ διφθόγγου αὐτὸ ἔγραψαν. Αὐτοξενεῖν, ἐν ἴσῳ τῷ προξενεῖν. Αὐτόξυλον, αὐτοδημιούργητον ξύλον. ἢ ξύλινα. Αὐτοπαθῶς, οἰκόθεν, ἐξ ἰδίας προαιρέσεως. Αὐτόπαιδα, αὐτὸν τρέφω ἐπὶ παῖδα ὄντα. Αὐτόπαισι πόλαι, παιδάδας ἔχουσαι, ποικίλαι. Αὐτόπεδον, καὶ αὐτοποδητὶ, τὸ ἑαυτοῖς βαδίζειν. Αὐτόπιλις, κλίμαξ. Αὐτοποίητον, εὐτελές.

Αὐτοπόκιον, μὴ κναφθέν. οἱ δὲ, εὐτελὲς ἱμάτιον. Αὐτόπτωμα, ἐπίκληρον. Αὐτοπρέμνοις, δισπάδοις, προρρίζοις, ἢ μεγάλοις. Ἀριστοφάνης. Αὐτόπτης, θεατής. Αὐτεργότερον βάριν, αὐτοσχέδιον πλοῖον. βάρις δὲ τὸ μὲν παρὰ Λυκόφρονι, τὸ πλοῖον. σημαίνει δὲ καὶ βρόχους, καὶ πύργους, αὐλὰς, ναούς. Αὐτορέγμονος πότμος, ὅταν ἑαυτὸν ἔρξῃ. καὶ καταθὺς ἑαυτορέγμονος, παρὰ τὸ ἔρξαι τὴν χεῖρα. Αἰσχύλος. Αὐτοέργημον, ἑαυτῷ εἰργασμένος. Αὐτόρεκτον, οἷον τὸν ἑαυτὸν ἀποκτείναντα. Αὐτὸς, οὐκ αὐτότατος. κέχρηται γὰρ τούτῳ παρ' Ἀριστοφάνει ἐν Πλούτῳ, ὥσπερ καὶ τὸ μονώτατος. Αὐτὸς ἀντωνυμία, ἐπιτασσομένη τοῖς πρωτοτύποις, ἣν καὶ ἐπιταγματικὴν οἱ τεχνικοὶ καλοῦσιν. ἐπιτάσσεται δὲ τοῖς τρισὶ προσώποις τῶν ἀντωνυμιῶν, ἐγὼ αὐτὸς εἰργασάμην τόδε. σὺ αὐτὸς, ἐκεῖνος αὐτός. καὶ ἔστιν ἄρθρον. αἱ γὰρ ἀντωνυμίαι ἄρθρα οὐκ ἐπιδέχονται. ὅταν δὲ ἀπαράλλακτον παραληφθῇ, δηλοῦσα ἴσα ὁμοίωσιν καὶ ταυτότητα, τότε ἤδη καὶ μετὰ τοῦ ἄρθρου προφέρεται. οἷον ὁ πόλεμος ὁ αὐτός ἐστι τῷ Κωνσταντίνῳ, ἀντὶ τοῦ ὅμοιός ἐστιν, ἀπαράλλακτος. καὶ οἱ αὐτοὶ κίνδυνοι τοῖς προτέροις ἡμᾶς ἐκδέχονται. καὶ ἡ αὐτὴ φιλία ἔτι παρ' ἐμοὶ μένει, καὶ ἐπὶ οὐδετέρου τὸ αὐτό. ταὐτὰ τοῖς προτέροις εἰργάσατο. καὶ αὐτὸς, ἐπὶ τῶν τριῶν προσώπων λαμβάνεται. οἷον, αὐτὸς ἐγὼ, αὐτὸς σὺ, καὶ αὐτὸς ἐκεῖνος. οὕτω καὶ τὸ αὐτοῦ ἐπίρρημα, ἐπὶ τριῶν λαμβάνεται. οἷον τὸ αὐτοῦ, αὐτόθι, καὶ τὸ ἐκεῖ. καὶ, Αὐτὸς μὲν ἐγὼ μένω, ἀλλ' ἑταῖρον πέμπω, ἀντὶ τοῦ ἐγὼ μὲν δὲ, ἐνταῦθα συνδιάγω, καὶ ἐνταῦθα. Αὐτὸς ἔφα, παροιμιακὸν ἐπὶ Πυθαγόρου τοῦ φιλοσόφου εἰσηνέχθη εἰς τὸν βίον. οὗτος γὰρ ἀποσεμνύνων τὸν ἑαυτοῦ λόγον καὶ βίον ἐν ταῖς ὁμιλίαις, ἔλεγεν, αὐτὸς ἔφα, ἀντὶ τοῦ εἶπεν. οὐκ ἐμὸς ὁ λόγος φησὶν, ἀλλὰ τοῦ θεοῦ. καὶ πολλαχοῦ αὐτὸς, κατ' ἐξοχὴν ὁ Σωκράτης.

Αὐτόσιτον, τὸν ἑαυτὸν τρέφοντα. ἢ τὸν σὺν ἑτέρῳ δειπνοῦντα, καὶ ἑαυτῷ φέροντα τὰ ἐπιτήδεια πρὸς τὸ δεῖπνον. Αὐτοσκιδὲς, ὑποδήματος εἶδος γυναικεῖον. Αὐτόσε, ἐκεῖσε. λέγεται καὶ αὐτοῦσε. Διάβασις δὲ οὐκ ἔστιν αὐτοῦσε, ὅτι μὴ τῷ ζήτημαι. Αὐτοσίριφον, ἰσχυρὸν, αὐτοφυές. Αὐτόστοιχος, αὐτὸς ἑαυτῷ προσέχων. Ὁ βουλόμενος ἐν τῷ δὲ τῷ βίῳ ἀβέβηλον βίον πολιτεύεσθαι, αὐτόστοιχος ἐθέλει εἶναι. Αὐτόσχεδον, αὐτοσκεύαστον. Αὐτοσφαγῆ, τὸν ὑφ' ἑαυτοῦ ἀναιρούμενον.

Αὐτοσχεδὰ ἐπόρουσεν, ἀντὶ τοῦ αὐτοσχεδόν. ὥσπερ καὶ τὸ ἀμφαδὸν, ἀμφαδά. μεταβληθέντος τοῦ ἐπιρρηματικοῦ ἑνικοῦ οὐδετέρου, εἰς πληθυντικὸν ὅμοιον. ἰστέον δὲ, ὅτι ὥσπερ ἀπὸ τοῦ σχεδὸν, ὃ δηλοῖ τὸ ἐγγὺς, καὶ ὡς εἰπεῖν ἐχομένως, ὡς ἀπὸ τοῦ ἔχω σχῶ, γίνεται σχέδιος προπαροξυτόνως, ὁ ἐγγύς. καὶ πλησιέστερον λέγεται ἀνθρωπὸν, ἔτι δὲ καὶ σχέδιος παροξυτόνως, τῷ κανόνι τῶν τριβραχέων, τὸ κύριον ὄνομα. οὕτω καὶ ἐκ τοῦ αὐτοσχεδὸν, ὁ αὐτοσχέδιος. οὐ ῥῆμα τὸ αὐτοσχεδιάζειν, παρὰ τοῖς μεθ' Ὅμηρον. ἰστέον, ὅτι τὸ τοιοῦτον ῥῆμα οὐκ ἐν ἐπαίνῳ τίθεασιν, ἀλλὰ σημειοῦν ὑπ' αὐτὸ τὸ ψεύδεσθαι παραδηλοῦν, αὐτοσχεδιάζειν λέγοντες, τὸ ἀσκέπτως καὶ ἀμελετήτως λαλεῖν, ὃ γράφειν παρὰ τὸ ἀληθὲς, ἢ καὶ ἄλλως ἀκριβές. Αὐτοσχεδιάζει, παίζοντα λέγει. Αὐτοσχέδιον, τὸ εὐθὺς ῥηθὲν, ἢ ὑπογραφθὲν, ἢ γενόμενον. Αὐτοσχεδίως, αὐτομάτως. Αὐτοσχεδίη, ἐκ χειρὸς, ἐκ τοῦ σύνεγγυς. Αὐτοσχεδὸν γενέσθαι, ἀντίκειται πρὸς τὸ διακριθῆναι. καθὰ καὶ τὸ συνελθεῖν, πρὸς τὸ διαστῆναι. σημαίνει δὲ, τὸ ἐγγύς. Αὐτότατα μέλη, ὡς ἂν εἴπῃ, ἀδίδακτα, οὐκ ἔχοντα τοὺς ἐπιτάξοντας. Αὐτότοκον, ἀπηρτισμένον, πλῆρες, ὅθεν δεῖ. Αὐτοτελὴς, ἱκανὸς, τέλειος. Πολύβιος. Αὐτοτελὲς ψήφισμα, τὸ μὴ προβεβουλευμένον. Αὐτοτελὴς δίκη, ἀφ' ἧς μὴ ἔστιν ἐφεῖναι. Αὐτοῦ ἐπίρρημα, ἐπὶ τριῶν λαμβάνεται. ἤτοι τοῦ ἐνταῦθα, καὶ αὐτόθι, καὶ ἐκεῖ. ὥσπερ καὶ τὸ αὐτὸς, ἐπὶ τριῶν προσώπων. ὅπερ οὐχ ἁπλῶς κεῖται ἀντὶ τοῦ ἐκεῖ, ἀλλὰ κατὰ ἔλλειψιν ἀττικῶν, ἀντὶ τοῦ ἐπ' αὐτοῦ τοῦ τόπου. ὁμοίως εὕρηται παρὰ τοῖς ποιηταῖς ἐν ἄλλαις σημασίαις. ἐνταῦθα μὲν, ὡς τὸ, Οἴομ' ἐμὲ φθίσεσθαι ἀπ' Ἄργεος ἱπποβότοιο, αὐτοῦ ἐνὶ Τροίῃ. Αὐτούργητον, αὐτοφυές. Αὐτουργῶ, τὸ οἰκείαις χερσὶν ἐργάζομαι. Αὐτοφωρίζειν, αὐτοματεῖν. Αὐτόφιν. Ὅμηρος, ἄμφω παρ' αὐτόφιν, ἤγουν παρ' αὐτά.

Αὐτόφλοιον.

μετεωριζόμενος. Αὐταῖς ἀμάλαις, ἐπὶ τῶν παντελῶς διαφθειρομένων· ἤγουν, αὐταῖς βάθραις, αὐταῖς ῥίζαις. ἀμάλη γὰρ ὁ ἄσταχυς. Αὐτάλαν, ἑσπέρα. Αὐτάλκης ζωμὸς, ὁ αὐτάρκης. Αὐτανδρον, σὺν αὐτοῖς τοῖς ἀνδράσιν. Αὐτανίδας, αὖθις, πάλιν. Αὐτάνεπς, ὁ πρακτικὸς ἴσος πράγματος, καὶ αὐθέντης. Αὐτὰρ ποιητικῶς, ἀτὰρ κοινῶς. καὶ αὐτὰρ καὶ ἀτὰρ οἱ σύνδεσμοι, ἀδιάφοροι πάντα εἰσὶ πρός τε ἀλλήλους, καὶ πρὸς τὸν δὲ σύνδεσμον. διαφέρουσι δὲ ἀμφότεροι τοῦ δὲ συνδέσμου, ὅτι αὐτοὶ μὲν ποιητικώτεροί εἰσιν, ἐκεῖνος δὲ κοινός. καὶ αὐτοὶ μὲν ἀεὶ προτάσσονται τοῦ τοῦ λόγου μερῶν. ἐκεῖνος δὲ, ἀεὶ ὑποτάσσεται. τὸ δ᾽ ὅμοιον πάσχει περὶ τὸ ἵνα, καὶ μέν. δῆλον δὲ ὅτι καὶ ὁ καὶ σύνδεσμος, καὶ ὅτι, εἰ μὴ παραπληρωματικῶς ἁπλῶς οὕτω τίθενται, ἰδιωμάτως ἔχουσι. διαφέρουσι δὲ, ὅτι ὁ καὶ μὲν προκατάρχει τῆς λέξεων, οἷον καὶ ἐγὼ καὶ σύ. ἐπὶ καὶ αὐτὰρ ἐγὼ, ἀτὰρ σύ. ὁ δὲ τὲ ὑποτάττεται, οἷον, ἐγώ τε σύ τε, ὡς καὶ τὸ ἐγὼ δὲ σὺ δέ. τὸν δὲ τόνον τοῦ ἀτὰρ καὶ αὐτὰρ παρασημειοῦνται οἱ παλαιοί, ὡς μὴ ἂν ἄλλως ἔχοντα λέγοντες. αἱ γὰρ λήγουσαι βραχυκαταληκτοι λέξεις βαρύνονται. πλὴν ἄλλοθεν ποθεν εἰς ὀξὺν τόνον βιάζονται, οἷον πάτερ, σῶτερ, θύγατερ, ὕπαρ, ὄναρ, ἧπαρ, φρέαρ. χωρὶς τῶν ὑπὲρ προθέσεως, καὶ χωρὶς τοῦ ἀτὰρ καὶ αὐτάρ. Αὐτὰρ ἐμοὶ δὲ, ἐμοὶ δὲ, μετὰ ταῦτα. Αὐτὰρ δὴ, ἐν τάχει, ὁ ἐπειδή. Αὐτὰρ δὲ, ἐγὼ δέ. Αὐτάρεσκος, ὁ ἐφ᾽ ἑαυτῷ ἀγαλλόμενος. Αὐτὰρ ὑπὸ, χθών. ὑπὸ δὲ τῶν ποδῶν αὐτῶν, ἡ γῆ.

Αὐτὰρ ἔπειτα, μετὰ δὲ ταῦτα. Αὐταρκεῖ, τὸ ἱκανῶς ἔχειν. Αὐτάρκης, αὐθέκαστος. κλῆμα τὸ αὐτὸς, καὶ τὸ ἀρκῶ τὸ βοηθῶ. ὁ ἑαυτῷ ἐπαρκῶν, καὶ βοηθῶν. Αὖτε, ἀπὸ τοῦ α τοῦ σημαίνοντος τὸ ὀπίσω, γίνεται ἄτε, καὶ πλεονασμῷ τοῦ υ αὖτε. αὖτις δ᾽ ἐξ ὀπίσω πλῆτο χθονί. σημαίνει τὸ ἐξ ὑστέρου, ἢ τὸ ἐκ δευτέρου. ἐκ τοῦ τὶς καὶ μετὰ τοῦ α τοῦ σημαίνοντος τὸ εἰς τὸ ὀπίσω, γίνεται ἄτις. ὥσπερ ὡς καὶ τὸ ἔφθασε γίνεται ἄψορρος καὶ αὔψορρος, οὕτω καὶ ἄτις, ὃ σημαίνει τὸ πάλιν. Αὖτε, ἀντὶ τοῦ πάλιν. καὶ αὖτε, ἀντὶ τοῦ μετὰ ταῦτα. Αὐτὲν, τὸ τὸ ἄνευ προστεθείσα ἔχεται. ἄτμα γὰρ, καὶ διαλύσει αὐτῶν. ἐξ οὗ αὐτή, ἤτοι τὸ αὐτοῦ. Ὅμηρος, μακρὸν ἄυσε, ἤτοι ἐφώνει. Αὐτεξούσιον, ψυχῆς φρόνησις ἔχουσα ἐπιτηδειότητα πᾶσαν, πρὸς ἃς βούλεται τρέπεσθαι. ἢ αὐτεξούσιον, τὸ ἀδιάστροφον. τὸ γὰρ ὑπὸ διαστροφῆς ὂν, οὐκ ἔστιν αὐτεξούσιον. εἴη δ᾽ αὐτεξούσιος ψυχῆς ῥοπαῖς ἐστὶν ἢ ἀκώλυτος πρὸς ἀρετὴν, ἢ κακίαν τῆς ἐπιθυμητικοῦ ἡμῶν ῥοπή τε καὶ κίνησις. ἵνα δὲ κακίας ἢ ἀρετῆς προσβολὴ οὐ γίνεται, ἐκεῖ οὐδὲ ἡ αὐτεξουσιότης τῆς ψυχῆς γνωρίζεσθαι δύναται. πῶς γὰρ ἂν καὶ φανείσεται ἡ αὐτεξουσίου προαίρεσις, ἔνθα προσβολὴ ἐναντία οὐ γίνεται. μόνος εἶναι ὁ τοῦ Χριστοῦ νοῦς καὶ ἡ παναγία αὐτοῦ ψυχή, ἄγνωστος καὶ ἄδεκτος πάσης προσβολῆς πονηρᾶς γέγονε. μορφὴ γὰρ δούλου ἦν χαλινουμένη μὲν καὶ διακρατουμένη, ὑπὸ τοῦ καθ᾽ ὑπόστασιν ἡνωμένου αὐτῇ θεοῦ λόγου. διόπερ καὶ ἔλεγεν ὁ κατὰ τὴν σάρκα νοούμενος ἄνθρωπος, Οὐ δύναμαι ἐγὼ ποιεῖν ἀπ᾽ ἐμαυτοῦ οὐδέν. ὑπὲρ γὰρ τοὺς ὅρους καὶ νόμους τῆς ἡμετέρας φύσεως ὑποστὰς ἀπορρήτως ὡς θεὸς, σῶμα ἔμψυχον ὢν, τῷ τοῦ δεσπότου νεύματι ἐπέμενεν ὑποτασσόμενος ὡς ἀνθρώπινος.

Αὐτεπάγγελτος, ὁ αὐτόκλητος. Αὐτεπίβολος, αὐτοφυής. Αὐτῆφιν, ἐν αὐτοῖς ἰστίοις αὐτοῖς. Αὐτεῖον. εἶχε μὲν αὖτε εἶναι κοινότερον, ὡς τὸ ἐτῆσιον. προελαμβάνει δὲ ὅμως δι᾽ ὄγκον φωνῆς, τὸ ποιητικώτερον. καὶ αὐτεῖον, ἐφ᾽ ὧν τινων, ἰδίων. Αὐτή, ἡ βοή, παρὰ τὸ αὔω τὸ φωνῶ. λαμβάνεται δὲ καὶ ἀμφοτέρα ἐπὶ πολέμου. αὐτὴ γὰρ καὶ βοή, πολλαχοῦ ἡ μάχη, ἐκ τοῦ παρακολουθοῦντος. παρακολουθεῖ γὰρ ἡ μεγάλη βοὴ τῇ μάχῃ. διὸ καὶ φύλοπις λέγεται, ἐκ τοῦ τὴν φίλην ὄπα. καὶ ἐνοπὴ δὲ, ἀπὸ τοῦ ἐνίσπω τὸ φωνῶ.

Αὐτὴ, ἐκείνη. αὕτη δὲ, δεικτικῶς ὡς τὸ, αὕτη ἡ ἀμάρτημα ἐπίστατο ὁ πάτερ. Αὐτῇ, βίᾳ, τῇ δυνάμει. καὶ αὐτῇ, κραυγῇ, φωνῇ, βοῇ. Αὐτὴ κάμινος αὐτῆς εἴληχεν κακὸς, ὁ τροχός.

ἐπὶ τῶν ὁμοίων καὶ παραπλήσια διαπραττομένων. Αὐτῇ κεν γαίῃ, σὺν αὐτῇ ἂν τῇ γῇ. Αὐτάνκαι, εἰ μὴ ἐπιτηδευμένοι, ἀλλὰ δι᾽ ἑαυτῶν ἀκουόντων. Αὐτῆμαρ, αὐτῇ τῇ ἡμέρᾳ. Αὐτῆσι ῥίζῃσι, σὺν αὐταῖς ταῖς ῥίζαις. Αὖτε νῦν, δίκη ἐστὶ θεοῦ παρ᾽ Ὁμήρῳ ἐν Ὀδυσσείας τῷ . . . , αὕτη θέμις ἐστὶ θεοῦ ἐν τῷ ἐπιφαίνεσθαι πενίαν οὕτω, κατὰ δακαλιάν βλέπετε. ὡς δὲ μάρτυρ, αὐτὴ νῦν δίκη ἐστὶ θεοῦ, ὅν τινα, οὐκ ἄλλος τις ὁ ἐπὶ τὸν ἄρχοντα θεός. ἡ αὐτὴ δίκη ἐθέμιζε σὺν ἡμῖν, ἡ καὶ εἰσὶν πόλις. Αὐτίκα, ἐπίρρημα μεσότητος χρόνου δηλωτικόν. ὥσπερ ἀλλὰ τὸ πολλὰ γίνεται, πολλάκις. οὕτω καὶ παρὰ τὸ αὐτὰ, αὐτίκα. καὶ κατὰ ἀντίθεσιν αὐτίκα. καὶ αὐτίκα μάλα, ἀντὶ τοῦ τάχιστα. ὁ γὰρ δύναται τὸ τάχιστα, τοῦτο καὶ τὸ αὐτίκα μάλα. ὅμως τὸ τάχιστα μὲν, γενικῇ τῶν πληθυντικῶν συντάσσεται, ὡς τὸ τάχιστα πάντων. ὡς καὶ τὰ μάλιστα καὶ τὸ ἥκιστα πάντων. τὸ δὲ αὐτίκα, κἂν ἰσοδυναμῇ, οὐκ ἔστι πρὸς ὃ, ἢ παραλαμβανόμενον συντάσσεται. καὶ αὐτίκα ἐπὶ τοῦ παρὰ Θεῷ, παρ᾽ Ὁμήρῳ ἐν Ὀδυσσείας, ἤγουν διὰ πυρὸς θερμανθῶ. ἄλλοι δὲ γίνεται, ἡ ἐκ τοῦ ἡλίου δηλοῦσι. Αὖτις, ἰωνικόν. τὸ δὲ αὖθις κοινόν. ταυτὸν δὲ αὖτις, τὸ πάλιν. αὐτὰ δὲ ἐμοῦ τὰ φίλα δηλοῦσι. τὸ εἰς τὸ ὀπίσω, οὗ δὴ δευτερεύματος ὄντος, εἴληπται παρὰ δὶς ὕστερον τὸ πάλιν ἁπλῶς, ἀντὶ τοῦ ἐκ δευτέρου.

Αὐτίτης, ὁ χωρὶς παραχύματος οἶνος, οἷον ἐφήμερος. ἢ ὁ ἐπιχώριος, ἢ ὁ ἀμιγὴς ἃ ὡς ἐνεί, ὁ δευτερίας. ὁ ἐπίτειος.

Αὐτίτιον, τὸν αὐτοετήσιον, τὸν ἐκ τοῦ ἐνιαυτοῦ ἔτους, παρὰ Ἱπποκράτει. Αὐτμένα, τὸν ἀναπνοὴν πνεύματος, ἢ καὶ καφουμένα. τὴν αὐτμένα, ποιητικῶς ἐκτείνουσιν. ἡ αὐτμὴ γὰρ ἐν χρόνῳ πλείονι. Αὐτμενόπης, πεφυσημένος, πεπνευσμένος. Αὐτμὴ πυρὸς, ὁ καπνὸς εἰς ἀναθυμίασις. παρὰ τὸ ἄω καὶ ἄημι, τὸ πνέω. ἐπεὶ πνεύματος ἡ ἀναθυμίασις γεννητική. Αὐτμὴν, κλίνεται μὲν ὡς ὁ ποιμὴν, ὁ αὐτὸς δὲ ἐστὶ τῷ αὐτμῷ, ὅ ἐστι τῷ πνεύματι. καὶ γίνεται ἀπὸ τοῦ ἄω τὸ πνέω. καὶ παραγώγως αὔω, καθ᾽ ὁμοιότητα τοῦ αὔω, τὸ φωνῶ. ἐκ τοῦ προρρηθέντος ἄω, καὶ τὸ ἆσθμα γίνεται. Αὐτό. ὅταν λάβῃ ἄρθρον καὶ γίνηται ταὐτὸν, μετὰ τοῦ ν γράφεται ὡς τὸ ξύλον. τὸ γὰρ ἄρθρον δηλοῖ αὐτὸ ἀπὸ τοῦ αὐτικοῦ τοῦ ἀρσενικοῦ. εἰ δὲ σύμφωνον ἐπάγεται, ἀποβάλλει. ὡς τὸ τοιοῦτο.

Αὐτοβοεὶ, αὐτὸς ἑαυτῷ μαρτυρεῖ. Αὐτοβοεὶ, αὐτῇ τῇ βοῇ, τὸ παραχρῆμα συντελεσθῆναι ἐν πολεμικοῖς ἔργοις. οἷον ταχέως, καὶ ἅμα τῷ πολεμικῷ ἀλαλάγματι. Αὐτογένεθλον, τὸ αὐτογέννητον. Αὐτό γε, ἐπ᾽ ἐκεῖνον τὸν τόπον. Αὐτόγνωτος. σὲ δ᾽ αὐτόγνωτος ὤλεσεν ὀργά, ἀντὶ τοῦ αὐθαίρετος, καὶ ἰδιογνώμων τρόπος. Αὐτόγυον. μέρος ἀρότρου ἐστὶν ὁ γύης, καὶ τὸ γύον. γίνεται δὲ παρὰ τὸ γαῖα, γύα, εἶτα ἡ γύη, ὁ γύης. καὶ μεταχθείσης τῆς γενικῆς εἰς εὐθεῖαν, ὁ γύης. Αὐτοδαῆ, καὶ αὐτομαθῆ, τὰ ἐκ φύσεως, καὶ μὴ ἐκ διδαχῆς. καὶ τὰ ὀρχήματα, εἶπεν αὐτοδαῆ.

Αὐτοδάικτος, ὁ ἑαυτὸν φονεύσας, ἢ καὶ κατακτείνας. Αὐτοδακὴς μῦς, μικρά. Αὐτοδαξὸν τρόπον, αὐτάδη καὶ ὀργίλον. ἐπεὶ οἱ ὀργίλοι δάκνουσι τοὺς ὁμιλοῦντας. Αὐτόδετος, ὅταν ἐκ κεκλημένος ἑαυτῷ φέρητε ἐπὶ τὸ δεῖπνον. Αὐτοδικεῖν λέγει, οὐκ αὐθεντεῖν. κοινότατον γάρ. Αὐτόδιον, ἤγουν κατὰ τὴν ὁδὸν, καὶ αὐτόδιον οἱ μὲν ἀντὶ τοῦ παραχρῆμα φασὶν, ἐξ αὐτῆς τῆς ὁδοῦ. οἱ δὲ ἀντὶ τοῦ αὐτίκα. καὶ ἐνταῦθα ἐγράφη. κοινῶς δὲ αὐτόδιον γράφεται. Αὐτοδικεῖν, ἀντὶ τοῦ ἑαυτοῖς τὰ δίκαια ὁρίζειν. Διὸ καὶ ἔχουσιν τῷ κατὰ τοῦ κλεομίδους. Αὐτοθείρας, κόμας, ἢ ἀκόσμως. Αὐτόθεν, αὐτόχειρ. Αὐτοθεν ἦρα παρ᾽ Ὁμήρῳ, ἡ ἁμαρτάνοντος ἐν τῷ λέγειν. Αὐτόθεν, σὺν αὐτοῦ τῷ ἐπί. Αὐτόθεν, ἤγουν ἀπ᾽ αὐτοῦ. Αὐτόθι, ἐν αὐτῷ τῷ τόπῳ.

Αὐτοῖ θέομεν, ἀντὶ δὲ αὐτοὶ πίνομεν. Αὐτοῖς ἀνδράσιν ὑλεῖ ναῦς, ἀντὶ τοῦ σὺν αὐτοῖς ἀνδράσιν. Αὐτοῖσιν ὄχεσφιν, ἀττικὸν, ἀντὶ τοῦ σὺν αὐτοῖς τοῖς ἅρμασιν. Αὐτοκάβδαλος παῖς, ὁ αὐτοκάβδαλον σκαῖος, αὐτοσχέδιον. κυρίως δὲ ἡ λέξις, ἐπὶ τῶν

ὄργανα ἐπιτηδεύμενα. ὡς καὶ Ἀριστοφάνης, καλαμίδων σύριγγα. καὶ ἀπὸ μὲν τοῦ αὐλῶν, αὐλεῖν, ὑπαυλεῖν, καταυλεῖσθαι, προσαυλεῖν, αὔλημα, ἔναυλον, ἔξαυλον, ἐξηυλημένον. ἐρεῖς δὲ καὶ πολύφθογγος αὐλός. καὶ πολύκαμπτος, πολυκαμπής, πολύφωνος, πλημμελής, πολεμιστής, πολεμικός. Πλάτων δὲ καὶ πολύχορδον εἴρηκε τὸν αὐλόν. ἐπὶ δὲ αὐλῶν φαίης ἄν, ἐμφυσᾶν, ἐμπνεῖν, ἢ καταπνεῖν. καὶ καταπέμπειν τὸ πνεῦμα εἰς τὸν αὐλόν, ὑποπιμπλάναι ταῖς γνάθοις, ὑπογλωττίσαι, ὑποδιδόναι, καὶ ἄλλα πολλά.

Αὐλοῖσι διδύμοισιν Ὅμηρος ἐν ὀδυσσείας τ. αὐλοὶ δὲ ἐνταῦθά φασι, ῥαβδώσεις ἀπὸ ἀρκτώσεως εὐθεῖαι, εἰς ἃς κατακλείονται αἱ περόναι. ἃς διὰ τοῦτο καὶ κλεῖδας ἐγχαράττουσι πρὸ μικροῦ. δίδυμοι δὲ οἱ τοιοῦτοι, ἀντὶ τοῦ διπλοῖ, ἢ συμφυεῖς ταῖς περόναις. Αὐλός. τὸ φωνητικὸν ὄργανον. σημαίνει καὶ τὸν εἰς ὕψος ἀνακοντισμὸν τοῦ αἵματος. ὡς τό, αὐτίκα δ' αὐλὸς ἀνὰ ῥῖνας παχὺς ἦλθεν αἵματος. σημαίνει καὶ περόνης μέρος. ὡς τό, αὐλοῖσιν διδύμοισι πάροιθεν δαιδάλα ἦεν. καὶ τὸ σάλιον.

Ἄλλως. Αὐλὸς, ἡ ὀπὴ τῆς αἰχμῆς, ἣ τὸ ξύλον ἐμβάλλεται. ὅθεν λέγομεν, τὸ δολιχαύλους αἰγανέας. ἢ αὐλὸς ἐν ὀδυσσείας χ. κατὰ τοὺς παλαιούς, κρουνὸς, ἐξακόντισμα, αἵματος ἐξω ἀναφορά. αὐλὸς γάρ φασι πᾶν κενόν. ὅθεν καὶ ἔναυλοι, οἱ κενοὶ ποταμοί. τοιοῦτον δὲ καὶ οἱ αὐλῶνες. ὅθεν καὶ τὰ διαυλωνίζοντα πνεύματα, καὶ διαυλώνια, ταπεινὰ ὄντα καθ' ἃ ὄρνυνται, ἢ ἁπλῶς, ἄγριοι ὄρνιθες ἀγρεύονται. ἢ κατὰ ἴσον αὐλὸς, τὸ ὀξὺ τοῦ δόρατος. ἐπεὶ καὶ αἰγανέας δολιχαύλους τὰς λέγει Ὅμηρος, τὰς μακροξύλους. ὁ τὸ τρῆμα τῆς κώπης, τὸ διὰ τοῦ ἔγχους. ἄλλως δὲ, αὐλὸν τὸν ἐξακοντισμόν φησιν Ὅμηρος, καὶ τὴν ἐπιμήκη φορὰν τοῦ αἵματος. αὐλὸς γὰρ πᾶν τὸ ἐπίμηκες καὶ πλατύ. ὅθεν καὶ οἱ αὐλῶνες, καὶ ὁ τῶν σταδίων ἀνακαμπτικὸς διαυλωνισμός. καὶ αὐλὸς ὁ δίαυλος τὸ στάδιον. καὶ ἐξ αὐτοῦ μεταφορικῶς καὶ ἡ ἁπλῶς συνεχὴς τῶν ἀνακάμψεις. ὡς τό, Πολλοῖς διαύλοις κυμάτων φερομένους. καὶ ἐν χορδαῖς χεῖρα καμψιδίαυλον ἀναστρέφων τάχος, ὅπερ ταχὺ ἀναστρέφων. ἐν τῷ πλῆττειν τὰς χορδὰς, εἰς ὃ καλλίων φράσις ἡ τῆς σὺν Φιλοστράτῳ. ἐν τῷ οἱ δάκτυλοι δὲ, δὶς μόνις ὑποτάσσων. Αὖλαξ, ἀρουραίας. Αὐλωρὸς, οἰκοφύλαξ.

Αὐλῶ (καταυλῶ δὲ, ἔτερον) μεταβολικῶς αἰτιατικῇ συντάσσεται. Αὐλοδαίζειν, τὸ σύρειν διὰ τοῦ δακτύλων. Αὐλὼν, κοιλὰς ἀναφορὰ τοῦ ὕδατος. καὶ λειμὼν, ὁ ἐφυδρος τόπος. Αὐλῶνες, οἱ ἐπ' εὐθείας τόποι. Αἰσχύλος, καὶ τὴν τάφρον ἐν τῇ πυρᾷ. Σοφοκλῆς δέ, τὴν λόγχην τὴν μακρὰν, αὐλῶπιν εἶπεν. ἡ φάραγγες, ἢ τόποι πλατεῖς. οἱ αὐλῶνες, τὰ μεταξὺ τῶν φθόγγων κενὰ, καὶ ἐπὶ μῆκος φερόμενα. Αὐλωνία πόλις, ἀπὸ προτομάτων κληθεῖσα. Αὐλωνίζει, ἐν αὐλῶνι διάγει. Αὐλωπίας, κοιλόφθαλμος. Αὐλῶπις, ἡ περικεφαλαία, ἡ περιτεταμένως ἔχουσα τοὺς ὤπας. καὶ αὐλῶπις, ἡ εἰς αὐλὸν ἀνήκουσα. ὅ ἐστιν, εἰς κενὸν καὶ μακρὸν ἀπολήγουσα. κεῖται γὰρ ποτε καὶ ἐπὶ βιβλίου αὐλός. ὡς ἐν τῷ, αὐλὸς ἀνὰ ῥῖνας παχὺς ἦλθε. πάνυ δὲ κατακέχρηται, εἰ καὶ τροπικῶς ὁ αὐλὸς ἐνταῦθα, καθὰ καὶ ἐν τῷ αὖλαξ. καὶ αὐτὸ ἦν διὰ τὸ κεκοσμημένον, ἐκ τοῦ αὐλοῦ πεποιημένον, καὶ μὴν αὐτὴ ἔχει τι καὶ κοιλότατον τὸ τῆς ἀροφῆς ὅμως. καί πως ἐγγύζει τῷ αὐλῷ, διὰ τοῦτο μᾶλλον, ἐπεὶ ἡ αὐλῶπις τρυφάλεια. εἰ μὴ ἄρα καὶ αὐτῇ βοηθεῖ εἰς τροπὴν ὁ κατὰ αὐτὴν κοιλότης. ὁ μέντοι ῥηθεὶς παχὺς αὐλὸς ἀνὰ ῥῖνας, σκληρότερον τετρόπωται. ἢ, Αὐλῶπις, ἡ λεπτὸς εἰς ὀξὺ τῷ αὐλίσκῳ, εἰς ὃν ὁ λόφος ἐνίεται. Αὐλωτοὶ φιμοὶ λέγονται, διὰ τὸ κώδωνας ἔχειν, ἢ κατατετρημένους. οἷς ἐγχρεμετίζοντες οἱ ἵπποι, ἦχον ἐποίουν προσόμοιον αὐλῷ. Αὖμα, ἄλμη, ἀπὸ κρητῶν. Αὐξάνομαι, ἐπιδίδωμι, αὔξω, ἐπιτείνω. Αὔξας, ὁρμήσας. Αὔξει, ἐπὶ ἐνεργητικοῦ. οἷον αὔξει ὁ ἥλιος καὶ ὁ ὑετὸς τὰ φυτά. καὶ αὔξει, ἀντὶ τοῦ αὐξάνεται. Ἀριστείδης ἐν τῷ εἰς ῥώμην. ἀφ' οὗ καὶ εἰκότως αὔξησιν ἀρχὴ

αὐξάνει ἐπὶ παθητικῆς σημασίας. οἷον αὐξάνει τὰ φυτὰ, ἤγουν αὔξησιν δέχεται. καὶ αὐξάνομαι, ἐπὶ τοῦ αὐτοῦ σημαινομένου.

Αὐξῶ, ὡς αὐλῶ, καὶ αὐλῶ. ζητεῖται παρὰ φωτί τινι καλεῖται περισπωμένως, ἢ βαρυτόνως; οἱ μὲν ἀξιοῦσι καλεῖν καὶ περισπᾶν. ἡμεῖς δὲ λέγομεν ὅτι οὐ δύναται. οὐδὲ γὰρ τὸ ῥῆμά ἐστιν, αὐξῶ. λέγομεν οὖν, ὅτι τρία ταῦτα ὁμοίως λέγεται, αὔξω, καὶ βλάστω, καὶ ἄνθω. ἐπεὶ παρασχηματίζεται αὐτοῖς, αὔξησις, βλάστησις, ἄνθησις. τὴν αὐτὴν οὖν ἕξει καὶ ταῦτα τόνον, οὐ περισπώμενα. ἀλλὰ ἀναβιβαζόμενα, αὔξω, βλάστω, ἄνθω. Αὔξησις, ἐπὶ ἀνθρώπων, ἢ ζώων, ἢ ἑτέρων ἐμψύχων. αὔξη δὲ καὶ βλάστη, ἐπὶ μόνων τῶν φυτῶν. καὶ αὔξησις κίνησις περὶ τὸ τέλειον μέγεθος. Αὐξίδιμος ἑρμῆς, ἐπὶ τοῦ ἐφόδου. Αὔξω, τὸ αὐξάνω, ὅτι τὸ αὔξησιν λαμβάνει. ἤνυσεν δὲ ὡς τὴν πόλιν μεταβολικῶς. αἰτιατικῇ συντάσσεται.

Αὖον βοῶν, διαστέλλεται τὸ τοῦ ξηροῦ βοῦς. ἐκεῖνο γὰρ ἐν περισπωμένῳ ἐστί. γενικῶς δὲ κορεσίαν ἔχει τὸ βοῶν αὖον, δηλοῦν τὸ κτυπεῖν, δυπεῖν, βομβεῖν, καὶ τοιαῦτά τινα. μᾶλλον δὲ καὶ τὸ τοῦτον τραχύτερον παρ' Ὁμήρῳ. καὶ αὖον, ξηρόν. Ἡσίοδος, αὖον ἀπὸ χλωροῦ τέμνει. καὶ αὖον κοινῶς μὲν ψιλοῦται. ἐν δὲ τοῖς Ἀππίωνος καὶ Ἡρωδιανοῦ φέρεται, ὅτι δασυντέον τὸ αὖον. καὶ ἔστιν ἀττικὸς ὁ πλεονασμὸς οὗτος. καὶ ἐν τῷ αὐτῷ, ὡς δηλοῖ τὸ ἀφανίζειν παρὰ τῷ κωμικῷ. προπαροξυτόνως δὲ τοῦτον τὸ αὖον. Αὐόνη, ἡ ξηρότης, παρὰ τὸ αὔω τὸ ξηραίνω. καὶ ἡ λύπη, κραυγὴ, αὐχμὸς, φθορά, κακοπάθεια, ξηρασία. Αὖος, ξηρός. ἔστιν ἓν ῥῆμα, τὸ βρέχω. καὶ ἐπενθέσει τοῦ α, ἀύω, καὶ ἐν συναιρέσει, αὔω, ἐξ οὗ αὖος. Αὖ πάλιν, πάλιν αὖθις. Αὔπνους νύκτας ἴαυον, καὶ πολλὰς διανύκτας ἀσκαρδαμυκτὶ ἐπὶ κοίτῃ ἄυπνα. Αὔρα, ἡ πνοή, τὸ α. ἄβρα δὲ ἡ δούλη, τὸ α καὶ β. Αὐρηλιανὸς, βασιλεὺς ῥωμαίων, τὰ πολλὰ μὲν ἀφανὴς ὢν μᾶλλον, ἀπαίδευτος δὲ τῶν γραμμάτων, καὶ ἀμός.

Αὐριβάτης, Αἰσχύλος τὸ αὔριον, ἐπὶ τοῦ ταχέως τίθησι. καὶ ὁ σοφιστὴς ψυχοπομποὺς οὕτω φησὶ τὸ ὄνομα ταχυβάμον. Αὐρίζειν, φεύγειν, ἢ καὶ τὸ εἰς αὔριον ὑπερβάλλεσθαι. Αὔριον ἐπίρρημα, τῷ μέλλοντι μόνῳ συντάσσεται. οἷον, αὔριον ποιήσω. ποτὲ δὲ καὶ ἐνεστῶτι. ἡνίκα ἂν ἐκ τοῦ βεβαίου γνῶθαι δηλοῦν βουλόμεθα. αὔριον ἔρχομαι. Αὔριον, παρὰ τὸ αὖον αἰολικὸν, ὃ σημαίνει τὴν ἡμέραν. αὔριον, καὶ αὔριον, τὸ χρονικόν. Αὖροι, οἱ λαγωοί.

Αὐροὶ λόγοι, ἴσαυροι. Αὐρόχη, ἡ ἄμπελος. Αὐρότερον, ἀσθενέστερον. Αὖς, αὐτός. κρητικῶς, καὶ λακωνικῶς. Αὐσάντων, βοησάντων, φωνησάντων, κηρυξάντων, κραυγασάντων. Αὐσεβὲς, φωνήεσσα, βοήεσσα. Αὐσίδα, πόλις λιβύης. ἣν παραρρεῖ ὁ κίνυφος ποταμός. Αὐσίτης, ἰσχύς, ἰσχυρότης. καὶ ὑπερβιβασμῷ αὐσίτης. ἰσχὺς γὰρ, χώρα ἐστίν. Αὐσόν, ξηρόν. Αὐσονία, ἡ ἰταλία, κέκληται ἀπὸ Αὔσονος τοῦ ὀδυσσέως καὶ καλυψοῦς υἱοῦ.

Αὔσονες, οἱ βασιλεῖς. παρὰ τὸ αὔσω τὸ πληρῶ. οἱ πάντα ἐκπληροῦντες τοῖς προστάγμασιν. Αὐσαλέος, καὶ κατὰ διάλυσιν, αὐσαλέος ὁ αὐχμῶν, ἀπὸ τοῦ αὔω. ἐξ οὗ καὶ ὁ αὐχμὸς, καὶ ὁ αὐχμηρός. ἔστι δὲ ἀπὸ τοῦ τοιούτου αὔω, προϋπάρχειν διεσάλευσεν καὶ ὁ αὐτὸς (ἐξ οὗ αὖθις) ὁ αὐχηρός. καὶ αὐσαλέος, ὁ αὐχμῶν. αὐσαλέος, ὁ μὴ λουσάμενος. καὶ αὐσαλέος, ὁ κατάξηρος, καὶ ἀκατημέλητος. ἀπὸ τοῦ αὔω αὔσω, τὸ φλογίζω, αὐσαλέα, καὶ αὐσαλέα. τροπῇ δωρικῇ τοῦ ε εἰς α. Αὐσὴρ, μέτρου ὄνομα. Αὐσηρὸς, σημαίνει τὸν στρυφνόν, ξηρόν, αὐχμηρόν, σκυθρωπόν. Αὔσω, τὸ θλιβῶ. Αὐτάγγελος, ἡ ἀφ' ἑαυτῆς ἀπαγγέλλουσα. ὡς τό, αὐτάγγελος γὰρ θεοῦ αὐτὴ ἐπὶ φράσει. Αὐτάγρετοι, αἱ ἑαυτὰς ἀγρεύουσαι. Αὐτάγρετα, τουτέστιν αὐθαίρετα. ἢ μᾶλλον αὐτόθεν ἀγρευόμενα, ἄπερ ἀγρευόμενα. καὶ παρ' αὐτὰ γινόμενα ἦν τοῖς ἀνθρώποις, πάντα τὰ πράγματα παρ' Ὁμήρῳ ἐν ὀδυσσείᾳ. Αὐτάγρετον, τὸ αὐθαίρετον. Αὐτὰ κέλευθα, τὰς αὐτὰς ὁδοὺς, τὴν αὐτὴν ὁδόν. Αὐτάδας, αὐτὸς ἀφ' ἑαυτοῦ. Αὐταῖς βουλαῖς, ἀντὶ τοῦ σὺν αὐταῖς ταῖς βουλαῖς, ἀττικῶς. Αὐτανύρετος, ὑφ' ἑαυτοῦ

γιν τῶν αὐέρυσαν, ἐν πλεονασμῷ δὲ λέξεων. ἢ ἀναρύειν, ἐν συνθέσει κατὰ ὀρθίν, τουτέστιν ὀπίσω ἕλκειν, καὶ ἀνασύρειν ἐν τῷ ἀνακλᾶν. ὃ καὶ ἑρμηνεύων Σοφοκλῆς ἐν τῷ, ἄνω ῥίπτειν ἔσφαζον. ἐπεὶ μὲν οὖν ἔμελλον ἢ ἄλλως τοῖς κατεχομένοις ἔθυον, κάτω τὸ ξίφος ἀπέκλινον ἐσφαζον. τοῦ σφάζειν πρωτότυπον, φῶ φάζω. καὶ πλεονασμῷ τοῦ σ σφάζω, κατὰ τὸ, μικρὸν σμικρὸν, καὶ μερίδω σμερίδω, καὶ μῶ σμῶ. ὅθεν τὸ σμήχω. ἢ ἐκ τοῦ ἔρυω, καὶ μετὰ τοῦ α αὔρυον, καὶ πλεονασμῷ τοῦ υ αὐέρυσαν, τουτέστιν εἰς τοὐπίσω ἀνέκλασαν τὸν τράχηλον τῶν θυομένων ἱερείων, ὡς προσέχειν εἰς οὐρανόν.

Ἄλλως. Αὐέρυσαν παρὰ τῷ ποιητῇ, ἀνέστρεψαν τὸν τράχηλον τῶν ἱερείων, ἵνα ἡ κεφαλὴ ἄνω ἀφορᾷ. τοῖς γὰρ οὐρανίοις θεοῖς ὑπό τε τὴν ἕω ἔθυον, ἀνατέλλοντος τοῦ ἡλίου, καὶ ἀνατρέποντος τὰς κεφαλὰς τῶν θυομένων. τοῖς δὲ καταχθονίοις, τὸ ἔμπαλιν, περί τε δυσμὰς ἡλίου, καὶ τὰς κεφαλὰς κάτω κλίνοντος τῶν ἱερείων. τὸ δὲ αὐέρυσαν ὁμοῦ δεῖ ἀναγινώσκειν, ἀπὸ τῆς ἀνὰ προθέσεως, καὶ τοῦ ἐρύειν τοῦ συνεσταλμένου, κατὰ ἀποκοπὴν, καὶ πλεονασμῷ τοῦ υ, ἵνα μακρὸν τὸ α γένηται. ὡς ἀπὸ τῆς κατὰ προθέσεως καὶ τοῦ ἄξαι, τὸ καυάξαις παρ' Ἡσιόδῳ. Αὐτῶ, τῷ αὐθέντῃ. Αὐαίνω, ξηραίνω. Αὐὴρ, αἰολικῶς, ἀντὶ τοῦ ἀήρ. Αὐῆλαι, ἄσαι.

Αὔκτωρ, ἐπίτωρ. Αὐθάδεια, θρασύτης, ἀλαζονεία, αὐτοδίκεια. Αὐθάδης, ἐξουσιαστικόν. Αὐθάδης, ὑπερήφανος, θυμώδης. καὶ κλίνεται αὐθάδους. ἡ κλητικὴ, αὐθάδες. πλάσσεται δὲ τὸ αὐθάδες. Αὐθαδία, ἡ προπέτεια. Αὐθαδιάζεται, ὑπερηφανεύεται. Αὔθαιμοι, οἱ ἀδελφοί, ἀπὸ τοῦ αὐτοῦ αἵματος. Αὐθαίρετος, αὐτόβουλος, ἢ αὐτεπάγγελτος. Αὐθιγενῆ, αὐτὰ καθ' ἑαυτὰ γινόμενα. ἢ αὐτὰ τὰ γνήσια, ἀκριβῶς καὶ συντόμως καὶ ἀποτόμως. ἢ τὸ ἁπλοῦν καὶ ἀληθὲς, αὐταρκῶς.

Αὐθέκαστος, ὁ ἄπιστος, καὶ ἐν τοῖς καθ' ἕνα θέλων ἀριθμεῖσθαι. ἢ ὡς ἀπαξιῶν πάντας, διὰ τὸ νομίζειν αὐτὸν ἑαυτῷ δεῖσθαι ἀντὶ πάντων ἀρκεῖν. ἢ ὡς ἀνεπιτηδείως ἔχων πρὸς τὰς ἐπιμιξίας, δι' ἁπλότητα γνώμης. καὶ αὐθέκαστος, ἀκριβὴς, καὶ σύντομος. ὅθεν καὶ λόγους αὐθεκάστους, τοὺς σαφεῖς καὶ συντόμους λέγομεν. ἐνίοτε δὲ, καὶ τὸν παρρησιαστικὸν καὶ αὐθάδη. ἢ αὐστηρὸς, ὁ τῷ λόγῳ ἀπαρακάλυπτος. ἢ τῷ τρόπῳ ἁπλοῦς, ἐλεύθερος, ἀξιόπιστος. αὐτάρκης. Αὐθεκαστότης, ἀπέχθεια. τὸ μὲν οὖν αὐθέκαστος, κάλλιστον ὄνομα. τὸ δὲ παρὰ τὸν πεποιημένον αὐθεκαστότης, βδελυρόν. Αὐθεντεῖν, ἐξουσιάζειν. Αὐθέντης, ὁ ἐστὶν αὐτοφόντης. αὐθέντης λέγεται, ὁ ἐξ ἑαυτοῦ ἐπί τινος φόνον ἱέμενος, οἷον αὐθέντης τις ὤν. Αὐθεντήσαντα, κύριον γενόμενον. Μὴ ἀφεῖλεν αὐτὴν αὐθεντήσαντα, τοὺς ὑπὸ ξύλον συνέχειν. Αὐθιπασάσω, αἰθαιρέτω. Αὐθημερὸν, αὐτῇ τῇ ἡμέρᾳ. Αὖθι ἐπὶ τόπου, ἀντὶ τοῦ αὐτόθι, καὶ ἀντὶ τοῦ πάλιν. Αὐθιγενὴς, ἐγγενὴς, ἐπίγειον. Αὐθιγενὴς, γνήσιος, αὐτόχθων, ἰθαγενής.

Αὖθι μένων, τοπικὸν ἐπίρρημα αὐτόθι, ἐπὶ τόπου. ἐν γενικῇ δὲ καὶ ἐν τοπικῇ χρήσει λαμβάνεται. Ὅμηρος, αὖθι οἱ καὶ μοῖρα τετεύχαται. Διαφέρει τοῦ αὖθις. τὸ μὲν αὖθι τοπικὸν ἐπίρρημα, ἀπὸ τοῦ αὐτόθι. τὸ δὲ αὖθις σημαίνει τὸ πάλιν, καὶ μετὰ ταῦτα. τὰ εἰς ις ἐπιρρήματα, πεφυκότα λέγεσθαι καὶ ἄνευ τοῦ σ, διὰ τοῦ ι γράφεται, αὖθις, καὶ αὖθι. ἢ τὰ βαρυνόμενα ἐπιρρήματα, ἀποβάλλουσι τὸ σ δίφθογγον. οἷον, αὖθι, νόσφι, ἀντὶ τοῦ χωρίς. ἄγχι, ἀντὶ τοῦ ἐγγύς. ἶφι, ἀντὶ τοῦ ἰσχυρῶς. ναίχι, ἀντὶ τοῦ ναί. ἦχι, ἀντὶ τοῦ ὅπου. ὕψι, ἀντὶ τοῦ εἰς ὕψος. τετράκι, ἑξάκι, πλειστάκι, πολλάκι, ὀλιγάκι. Αὖθι μένων, ἐπὶ τόπῳ μένων. Αὐθίξας, κινήσας. Αὖθις μετὰ τοῦ σ, τὸ πάλιν. αὖθι, ἀντὶ τοῦ αὐτόθι, χωρὶς τοῦ σ. καὶ αὖτις μετὰ τοῦ τ, τὸ ὕστερον. αὖτις μὲν Ὅμηρος χρῆται, καὶ Ἴωνες. αὖθις δὲ, Ἀττικοί. αὖθι δὲ καὶ τὸ αὐτόθι φησὶν Ὅμηρος τοπικὸν, ὃ καὶ αὖθι, καὶ αὐτόθι εἰσὶ, μέτρου χάριν γράφουσι. καὶ αὖθις ἐξ ἀρχῆς, ἐκ δευτέρου. καὶ αὖθις, μόνον τῷ μέλλοντι συντάσσεται. αὖθις ὑποστροφῆς, ἤγουν μεταστροφῆς. Αὐθομαίμων, τῶν συγγενῶν. Αὐθίζειν, ῥιγοῦν, κωφοῦσι. Αὐθύπαρκτον, τὸ ἐν ἑαυτῷ καὶ μὴ ἐν ἑτέρῳ ἔχον τὴν ὕπαρξιν. Αὐθώρης, ὁ αὐτὴν βλέπων. Αὐθωρεὶ δὲ, συντόμως. Αὐθωρὸν, αὐτῇ τῇ ὥρᾳ. Αὐίαχοι, ἄβρομοι, πολύαχοι. ἢ παρὰ τὴν ἰὰν, ὃ σημαίνει τὴν φωνήν, ἢ παρὰ τὸ ἰαχὴ, ἰαχὸς, καὶ ἐν συνθέσει αὐίαχος, ἵνα σημαίνῃ τὴν θορυβοῦσαν. Αὐκλίδη, ἀφανοῦς, ἀοράτου. Αὐκὰν, ἀλαὼν, κρυπτόν.

Αὐκάλως, ἕως, ὑπὸ τυρρηνῶν. Αὐκηρεσία, ἀφθαρτία.

Αὐκάδουσα, ἀλκυόνα. κρητικῶς. Αὐλὰ, πανδέκτης. Αὐλαία, τὸ τῆς σκηνῆς παραπέτασμα. Αὐλαὶ, ἐπίπεδον κλισίας, πλησίον τοῦ οἴκου. οἱ οἰκοῦντες, αὐλαμεῦσαι. Αὔλακες, κοίλους τόπους.

Αὖλαξ, ἡ ἐπιμήκης τομὴ τῆς γῆς ἐξ ἀρότρου, καὶ ἐπίπεδον κοῖλον.

Αὔλαρχος, αὐλωρὸς, οἰκοφύλαξ. Αὔλαχα, ἡ ὕνις.

Αὔλειος, ἡ ἀπὸ τῆς ὁδοῦ πρώτη θύρα τῆς οἰκίας. καὶ αὐλείης, θύρας. Αὐλείτης, ὁ ἀπὸ τῆς ἐπαύλεως, ὁ ἄγροικος. ἐστὶ δὲ παρὰ τὴν αὐλὴν τὸ ὄνομα. Αὐλὴ, ὁ περιτετειχισμένος καὶ ὕπαιθρος τόπος. καὶ αὐλὴ, τὸ νῦν ἀρχαῖον λεγόμενον. ὅπου ἀπάγονται οἱ ἑκατάρχοι. καὶ τοὺς ἐκεῖσε ὑπουργέτας, αὐλικοὺς ὠνόμαζον. Αὐλὼν, κοίτην, ἐπαυλισμόν. καὶ αὐλῶν, καὶ αὐλὶν παλαιοὺς καὶ ἔπαυλιν ἐστὶν εἰπεῖν. Αὐλήρα, ἡνία, μάσθλα. Αὐληρὸν, χαλινὸν, χοινίον. οἱ δὲ σπεῖραν. Αὐλῆς, ἐπαύλεως. καὶ αὐλῆς ἐν χόρτῳ, ἐν τῷ περιφράγματι τῆς αὐλῆς περιωρισμένῳ. καὶ γὰρ τὰ ὅμορα, σύγχορτα λέγουσι. καὶ αὐλῆς, τῆς κατ' ἀγροὺς ἐπαύλεως λέγει. Αὐλησεῦντι δωρικῶς, ἀντὶ τοῦ αὐλήσουσιν. αὐλεῖν δὲ, τὸ διὰ αὐλοῦ μέλπειν. Αὐληταὶ, ἀκροαταὶ, αὐλοῦντες.

Αὐλήτην, τὸν τῆς κώμης ἐπιμελούμενον τῶν προβάτων. Αὐλοταρία, αὐλῶν θήκη. Αὐλητήριον, τόπος παρὰ ταραντίνοις.

Αὐλητὴς, εἶδος σφηκός. Αὐλία, ἀντὶ τοῦ ἔπαυλις. οὕτω Διονύσιος, καὶ Αἰσχίνης. Αὐλίδα, λιμένα. Αὐλίζεται, κατασκηνοῖ, φυλάττεται, παρεμβάλλει, κοιμᾶται. Αὐλίζομαι, τὸ ἀναστρέφομαι ἐν τῷ δι' τῷ τόπῳ. καὶ αὐλίζομαι, μένω, ἐνδιατρίβω. Αὐλιζομενάων, εἰς κοίτην ἐλαυνομένων. Αὐλιζόμενοι ἀντὶ τοῦ κοιμώμενοι. οὕτως Ἀντιφῶν. Αὐλίκωροι, φύλακες.

Αὐλικοὶ, κιθαρῳδοί. Αὐλίξαι, σκηνῶσαι, διαμεῖναι.

Αὐλὶξ, φλέψ. Αὔλιον ἄντρον, παρὰ τὸ ἐν αὐτῷ αὐλισθῆναι τὸν Διόνυσον. Αὔλιον ἀοίρα λέγει ὁ Ἀπολλώνιος, τὸν ἑσπέρον. ἢ παρὰ τὸ αὐλίζεσθαι, ὅ ἐστι κοιμᾶσθαι. ἢ παρὰ τὸ ἐν αὐλαῖς διατρίβειν, καθ' ἣν ὥραν ὁ ἕσπερος ἀνατέλλει. Αὐλὶς, ἀντιπέραν Εὐβοίας κεῖται, φυλάσσουσα μέχρι καὶ νῦν τοὔνομα. ἐκλήθη δὲ οὕτω, παρὰ τὸ ἐκεῖ αὐλισθῆναι τὰς τῶν Ἀχαιῶν νῆας πρὸ τοῦ ἀπόπλου. ἢ ἁλισθῆναι, ἤγουν συναθροισθῆναι. ἢ ἀπὸ Αὐλίδος φασὶ, θυγατρὸς Εὐρυδάμου, υἱοῦ Κηφέως. ἔχει δέ φασι λιμένας ἡ Αὐλὶς, τοὺς μὲν βλέποντας ἐπὶ τὴν Ἴλιον, τοὺς δὲ κατανεύοντας ἀπὸ πάσης Ἑλλάδος. διὸ ἀθροισθέντες οἱ Ἀχαιοὶ αὐτόθι, ἀνέπλευσαν. ὁ Στράβων δέ φησιν, ὅτι Αὐλὶς πετρῶδες χωρίον, ἔνθα λιμὴν πεντήκοντα πλοίοις. ὥστε εἰκὸς τὸν ναύσταθμον τῶν Ἑλλήνων, ἐν τῷ μεγάλῳ ὑπάρξαι λιμένι. πλησίον δ' αὐτῆς Εὔριπος, ὁ χαλκιδικός. εἰς ὃν ἀπὸ Θερμίου στάδια ἑβδομήκοντα. ὀξύνεται δὲ ἡ Αὐλὶς, ἀναλόγως διὰ τὴν παρωνυμίαν. ὡς πύλη, πυλὶς, τὸ δὲ βαρύτονον, ἐξ οὗ καὶ ἡ ἔπαυλις, αἰολικόν φασιν εἶναι. βαρυτονικοὶ γὰρ οἱ αἰολεῖς. καὶ ἄλλως δὲ, ἡ μὲν αὐλὶς, ὡς ἐκ τοῦ αὐλίζω αὐλίσω, ἔχει ἂν εἰκότως τὴν ὀξεῖαν τάσιν. ἡ δὲ αὖλις τὴν βαρεῖαν, πρὸς διαστολήν. οἷον, ἀτραπὶς δ' αὖλιν ἵκοντο. καὶ ἔστιν ἡ τοῦ ὑποδειγμα, κατὰ τὸ θέτιδα θέτιν, θέμιδα θέμιν, κόπριδα κόπριν. ἃ δὴ πάντα βαρύνονται. Αὐλὶς, πόλις Βοιωτίας κατ' ἀντικρὺ τῆς Εὐβοίας κειμένη. Αὖλις, ἀπὸ τῆς αὐλῆς αἰολικῶς, ἡ κοίτη, καὶ ἡ κατασκήνωσις. ὅθεν καὶ ἡ ἔπαυλις, καὶ τὸ αὔλιον. Αὐλίσκοι, σωλῆνες, σίφωνες. Αὐλισμὸς, διανυκτέρευσις. Αὐλὰς, Λυσίας ἐν τῷ κατὰ Διοδότου, καὶ Αἰσχίνης κατὰ Κτησιφῶντος, ὅτι ἀντὶ τοῦ ἐπαύλεις, ἢ ἀντὶ τοῦ τὰς μακρὰς αὐλάς. Αὐλοὶ καὶ σύριγγες,

δὲ κατεκλάσθη φίλον ἦτορ, δεισάντων φθόγγον τε βαρύν. ἀντὶ τοῦ φοβηθέντων. Ἀττικοῖς γράμμασι, Δημοσθένης κατὰ Νεαίρας, ἀντὶ τοῦ παλαιοῖς. τὰ γὰρ τῶν κδ΄ στοιχείων γράμματα ὀψέ ποτε παρὰ τοῖς Ἴωσιν εὑρέθη, Θεόπομπος δὲ ἐν τῇ κε΄ τῶν Φιλιππικῶν ἐσκευωρῆσθαι λέγει τὰς πρὸς τὸν βάρβαρον συνθήκας, ἃς οὐκ Ἀττικοῖς γράμμασιν ἐστηλιτεῦσθαι, ἀλλὰ τοῖς τῶν Ἰώνων. Ἀττικόν, ἐγχώριον παρὰ τῷ Ἰσοκράτει. Ἀττικουργούμενον, τὸ κατὰ Ἀττικὸν τρόπον εἰργασμένον. Ἀττικωνικοί. οὕτως ἔλεγον τοὺς λακωνίζοντας, καὶ ἐνυβρίζοντας τοὺς Ἀθηναίους. ὃ πρὸς τὸ λακωνικὸν ἔπαιξεν Ἀριστοφάνης ἐν Εἰρήνῃ. Ἀττικῶς, Ἀθηναϊκῶς.

Ἀττίς, Ἀθῆναι. Ἄττοντες, ὁρμῶντες, πηδῶντες. λέγεται δὲ ὡς ἀπὸ τοῦ σκορπίου. Ἀττύζει, ἐκπλήσσει, ταράσσει, ἀπολλύει, φοβεῖται. Ἀτύζηλον, φοβερόν, ἀφανές, ἄσημον. Ἀτύλλα, ἀγγέλλω. Ἀτύζεσθαι κατὰ τοὺς παλαιούς, τὸ ἐκπλήττεσθαι. Πλάτων γάρ φησιν εἰς τὸ φοβεῖσθαι. παράγεται δὲ ἐκ τοῦ ἄτω, κατὰ τὸ κλῶ κλύω, καὶ τὰ τοιαῦτα. Ἀτυζηλῶ, ἐκπληκτικῶ. περισσὸν δὲ τὸ ἀτυζηλῶ. ἔστι δὲ ἀπὸ θετικοῦ τοῦ ἀτυζηλός. ὡς Ἡρωδιανός, ἐν τῷ ἰατρῷ ἐκβάλλει. Ἀτυζόμενοι, ταρασσόμενοι, λυπούμενοι, θορυβούμενοι. ἐκ τοῦ ἀτύζω. παρ' Ὁμήρῳ, ἀτυζόμενοι ἤμεθα, τουτέστι ταρασσόμενοι. Ἀτύζω. παρὰ τὸ ἄτω γίνεται ῥῆμα ἀτῶ. οὗ παράγωγον ἀτύω, ὡς ἐλῶ ἐλύω. πλεονασμῷ δὲ τοῦ ζ, ἀτύζω. ὡς καὶ παρὰ τὸ ἀτίω, ἀτίζω. Ἄτυκτον, ἄμορφον, σκληρόν, ἀκατασκεύαστον. Ἀτυλόν, μικρόν, ἀγενές. Ἀτυπῶδες, κριθαὶ ἀκίτυροι, λεγόμεναι ἀλίτυροι. Ἄτυπος νοῦς, ὁ μηδὲν σωματικὸν κατὰ τὴν καιρὸν τῆς προσευχῆς φανταζόμενος. οὐ γάρ ἐστι σῶμα θεός. Ἀτυφία, ταπεινοφροσύνη. Ἄτυφος, ἀκενόδοξος.

Ἀτυχῆσαι, ἀντὶ τοῦ ἀποτυχεῖν. οὕτω Πλάτων. Ἀτυχήσας, ἀποτυχών. Ἀτύχημα, ταλαιπωρία. Ἀτυχθείς, ἀμηχανήσας, ἐκπλαγείς, καὶ ὁ μὴ βουλόμενος τυχεῖν, ἀλλ' ἀποστρεφόμενος εἰς τὸ διαμαρτεῖν. σημαίνει δὲ καὶ τὸ καταπλαγείς, φοβηθείς, ὄψιν ἀτυχθείς. ἐκ τοῦ τυχῶ, λείπει ἡ κατὰ πρόθεσις, ἢ ἡ διά. ἵνα λέγῃ, ὅτι ταραχθεὶς καὶ ἐκπλαγεὶς διὰ τὴν ὄψιν, ἢ πρὸς τὴν ὄψιν. διὸ καὶ ἐν τῷ, ἵπποι ἀτυζόμενοι πεδίοιο, λείπει τὸ τοιοῦτον. ἵνα λέγῃ, ὅτι ταρασσόμενοι ἐπὶ πεδιάδος, διὰ κόρυσιν ἐκείνην.

Ἀτυχόν, μέτριον. Ἀτύω, τὸ ταράσσω, ἢ ἀτύσσω. ἢ κατὰ παραγωγήν, ἀτύζω αἰολικῶς. Ἀτυμένη, ἔτη συνεχομένη, βλαπτομένη. Ἄτυρ, ὁ μήν, ὑπὸ Αἰγυπτίων.

ΤΟ Α ΜΕΤΑ ΤΟΥ Υ.

Αὖ δίφθογγος πρὸ συμφώνου, ψιλοῦται. οἷον αὐτός, αὔρα, αὔριον. ἀμέλει κατὰ τοὺς παλαιούς, αὔω τὸ ξηραίνω δασύνεται, καθὰ καὶ τὸ αὐαίνω παρὰ τῷ κωμικῷ διὰ τὸ μὴ ἐπιφέρεσθαι τῇ διφθόγγῳ σύμφωνον. αὔω δέ φασι, τὸ φωνῶ, ψιλοῦται, πρὸς διάφορον σημασίαν. Αὖ, πάλιν, αὖθις. ἀττικοὶ πολλάκις κατὰ πλεονασμὸν προφέρουσιν. ὡς πολλαχοῦ ἐστιν εὑρεῖν παρὰ Ἀριστοφάνει. Αὖ αὖ λέγει Ἀριστοφάνης, μιμούμενος τὴν φωνὴν τοῦ κυνός. Αὖα αὖα, πάλαι πεφίκηλα. ταύτην μὲν ἐκ παραλλήλου δηλοῦσι. λέγει δὲ τὰ ξηρὰ ξύλα. τὸ δὲ χρήσιμον αὐτῶν, ἵνα κατὰ τὴν ποιητὴν πλείστην ἐλαφρῶς. καὶ βόας αὔας, τὰς ξηρὰς βύρσας. Αὐαίνη λίθον ἔπλασεν ὁ Ἀριστοφάνης, ἐν τῷ ᾅδῃ. ἀπὸ τοῦ αὐαίνεσθαι τοὺς νεκρούς, καὶ ἀλίβαντας εἶναι. ἢ ἀπὸ τοῦ αὐχμηροὺς εἶναι, ὡς ὄντος τινὸς ἐν ᾅδῃ οὕτω λεγομένου, αὐαίνη λίθου. φασὶ δὲ αὐαίνη λίθον τινὰ λέγεσθαι Ἀθήνησι, παρ' ἣν αἰκίας ἀπὸ τοῦ αὐαίνειν παρῆχθαι. ἐπειδὴ οἱ πολὺν χρόνον παραμείναντες τεθνάναι λέγονται, αὐτοῦ γίνονται παραμένων. ἔοικε δὲ θρυλλούμενον τοῦτο ἤδη. ἀναπλάττει δὲ τοῦτο, ἀπὸ τοῦ τοὺς νεκροὺς ξηροὺς εἶναι, καὶ ἀλίβαντας. τὸ δὲ ἀληθές, οὕτως ἔχει, παρὰ τὴν λίθον αὐαίνην, ἤγουν ξηραίνει, ὅπου ξηραίνονται οἱ νεκροί. Αὐαίνεται, ξηραίνεται. Αὐαλέας, καταξήρας, καὶ τὰς ξηρὰς βύρσας.

Αὐαλέος, κατάξηρος. παρὰ τὸ αὔω τὸ ξηραίνω, αὖος καὶ αὐαλέος. Αὐαλέος, ὁ λεπτός. Αὐανθείς, ξηρανθείς.

Αὐαντή, ξηρασία νόσος. παρὰ τῷ Ἱπποκράτει. Αὔαρα, τὰ ποικίλα κάρφη. Αὔας, ξηράς. Αὐάτα, τὴν βλάβην αἰολικῶς, ἀντὶ τοῦ ἀάτην. Αὐγάζομαι, βλέπω, θεωρῶ. Αὐγαζόμενος, ὁρῶν. Αὔγαρος, ὁ ἄσωτος, ὑπὸ Σύρων. Αὐγάσασθαι, ἰδεῖν. Αὐγεαί, οὐ μόνον Λοκρικαί, ὧν ὁ πολίτης Αὐγεάτης, ἀλλὰ καὶ Λακωνικὴ πόλις τῆς ὁμώνυμος. Αὐγέας. Ἡρακλῆς τὴν τοῦ Αὐγέου βοῶν κόπρον καθάρας οὐκ ἐδίδου ἀπαιτοῦντι τὸν μισθόν, ὅς ἐστι δεκάτη τῶν βοῶν, λέγων οὐχ ἑκόντα ποιῆσαι τὸ ἔργον, ἀλλ' ἐπιταγέντα ὑπὸ Εὐρυσθέως. καθίζουσιν οὖν κριτὴν αὐτοῖς τῆς δίκης εἰς ἄρ φιλίαν, τὸν τοῦ Αὐγέου υἱόν. ὁ δὲ καταψηφίζεται τοῦ πατρός. ὀργισθεὶς ἐπὶ τούτοις Αὐγέας, καὶ ἐκβάλλει τὸν υἱόν. Ἡρακλῆς δὲ ἐπιστρατευσάμενος, πορθεῖ τὴν Ἦλιν, καὶ μεταπεμψάμενος ἐκ Δουλιχίου Φυλέα, δίδωσιν αὐτῷ τὴν τοῦ πατρὸς βασιλείαν. καὶ τὴν θυγατέρα διὰ τὴν ἐκ πολέμου ὀλιγανθρωπίαν, συγκατακλίνει ταῖς τῶν τετελευτηκότων γυναιξί. καὶ τὸν Ὀλυμπιακὸν διαθέμενος ἀγῶνα, πρῶτος αὐτὸς τῶν ἀγωνισμάτων ἅπτεται. πρὸς δὲ τούτοις ἱστορεῖται, καὶ ὅτι τὴν ἀρχὴν πιστεύεται τοῦ ἀγῶνος ἐπιμελεῖσθαι. ἐπεὶ δὲ τοῖς Μεσσηνίοις αὐτοὶ κατὰ Λακεδαιμονίων συνεμάχησαν, καθελόντες ὕστερον αὐτοὺς οἱ Λακεδαιμόνιοι, παρέχουσι τὴν τοῦ ἀγῶνος ἀρχὴν τοῖς Ἠλείοις, οἱ κατὰ Μεσσηνίων τοῖς Λάκωσι συνεμάχησαν. Αὐγέας, Ἀθηναῖος κωμικός, τῶν δραμάτων αὐτοῦ Ἄγροικος. Αὐγεῖν, ἀλγεῖν. Αὐγή, ἡ λαμπρότης, παρὰ τὸ ἄγω, ἀγῶ. καὶ αὐγή, δι' ἧς ἀγόμεθα. σκότος γὰρ παρὰ τὸ ἐπέχειν ἡμᾶς. Αὐγίας, Ἠλεῖος τύραννος. Αὐγοειδές, ἀστεροειδὲς καὶ ἀΐδιον. ὡς τό, ἐφαίνετο ἐκεῖνο ἀκήρατον, ὡς ἔχειν ἡ ψυχὴ αὐγοειδὲς ὄχημα. Αὐγηκόον, ἐξοχώτερον. Αὐγῶ, αὐγάζομαι.

Αὔδα. ἐστὶν αὐδάω, ῶ, ὅθεν ηὔδων, ηὔδαες, ηὔδα ηὔδα. καὶ τὸ προστακτικόν, αὔδαε αὔδα. Ὅμηρος, ἐξαύδα, μὴ κεῦθε νόῳ. καὶ αὐδᾷ, λέγει. καὶ αὐδήεις. βοῶσα, φωνοῦσα. Αὐδὴν λέγεται, τὸ ἀνθρωπίνως λαλεῖν. αὐδὴ γὰρ οὐχ ἁπλῶς ἡ τυχοῦσα φωνή, ἀλλ' ἡ ἀνθρωπίνη. ὅθεν καὶ αὐδήεσσα, ἡ χρωμένη φωνῇ ἀνθρωπίνῃ. καὶ αὐδήεις ὁμοίως, γίνεται παρὰ τὸ αὔω τὸ φωνῶ, καὶ τὸ δῶ τὸ δεσμῶ αὐδή. ἡ συνδεδεμένη, ἢ ἐναρμόνιος αὐδή. Αὐδοναῖος, ὄνομα μηνὸς παρὰ Μακεδόσιν, ὁ Ἰαννουάριος. Αὐδήεσσα, ἡ διαβόητος κατὰ τοὺς παλαιούς. ὅ ἐστιν ἀοίδιμος διὰ τὰ ἐπ' αὐτῇ συμβάντα. ἢ ἔνδοξος, εὐγενής. ἢ κατὰ Ἀρίσταρχον, ἡ χρωμένη ἀνθρωπίνῃ φωνῇ. οὕτω γὰρ αὐδήεντες οἱ ἄνθρωποι, πρὸς διαστολὴν τῶν λοιπῶν ζώων. καὶ αὐδήεσσα, ὀνομαστή, ἔνδοξος. Αὐδηέντων, τῶν λόγον καὶ φωνὴν ἐχόντων. Αὐδῶ, φωνῶ, λέγω, λαλῶ, ἀνθρωπίνως. Αὖε, ψιλοῦμεν, ἐφώνει, ἐβόα. δασύνας δέ, ἐξέκαε, καὶ ἀνῆπτε πῦρ.

Αὔειν κυρίως, τὸ καίειν. ὅθεν καὶ βάλανος, ὁ αὔων τὴν ἐν ἄλλοις ῥυέντα βάλανον. ἐξ οὗ καὶ ὁ κρίβανος, ἵν' ᾖ ὁ βαίανος, καὶ δι' εὐφωνίαν βάλανος. ἐκ δὲ τοῦ γίνεται αὔειν. καὶ αὔειν φασὶ τὸ καίειν καὶ ὀρθὸν ξύλον. ἢ τὸ ὀπτῆσαι, ἰαῦσαι. Αὐαίζει, σφακελίζει, κάθηται. Αὐέλλαι, ἄελλαι, παρὰ τὸ ἀέλλαι. Αὐερός, σκιά. Αὐερύοντα, εἰς τοὐπίσω ἕλκοντα. Αὐέρυσαν. ἔστιν ἴσως τὸ α οὐ μόνον τὸ ὁμοῦ σημαίνει, ὡς ἐπὶ τοῦ ἄλοχος, ἀλλὰ καὶ τὸ ὀπίσω, ὡς ἐπὶ τοῦ ἀκόλουθος. οὐ μόνον γὰρ τὸν ὁμοκέλευθον σημαίνει, ἀλλὰ καὶ τὸν ὀπίσω τὴν κέλευθον ἔχοντα. ὁ γὰρ ἀκολουθῶν ὄπισθεν ἀκολουθεῖ. ἔστιν οὖν ὁμοκέλευθος, ἢ ὁ ὀπίσω ἔχων τὴν ὁδόν. εἰ δὲ α τὸ σημαῖνον τὸ ὀπίσω, ἀπὸ τοῦ ἄψ γίνεται κατὰ ἀποβολήν. ὥστε κατὰ τὸ ἔρυσαν ἄψ ἔρυσαν, καὶ πλεονασμῷ τοῦ υ αὐέρυσαν, τουτέστιν εἰς τοὐπίσω ἀνείλκυσαν τὸν τράχηλον τοῦ θυομένου ἱερείου, ὡς προσέχειν εἰς οὐρανόν. Ἄλλως. Αὐέρυσαν, ὁ ἀνέρυσαν μὲν πρῶτα. ἔθος Ἑλληνικὸν εἰ μὲν θεοῖς ἄνω ἔθυον, ἀνακλᾶν ὀπίσω τὸν τῶν ἱερείων τράχηλον. ὥστε ἀφορᾶν ὡς εἰς οὐρανόν. ἢ ἐλέ-

βαις, δωρικὸν τὸ πλεοναστικῶν. ἔχουσι δὲ τὸ ῑ προσγεγραμμένον, ὡς τὰ τῶν παραλήγουσαν. ἢ κατὰ ἐπέκτασιν τοῦ ῑ γίνεται ἀτρείδαισι, θήβαισι. καὶ κατὰ τροπὴν τοῦ ᾱ εἰς η̄, ἀτρείδῃσι, θήβῃσι, ἰωνικῶς. Ἀτρεκὲς, ἀληθὲς, ἀκριβές. καὶ ἀτρεκέως, ἀληθῶς, ἀκριβῶς. καὶ ἀτρεκὲς αἷμα, τὸ ἀληθὲς καὶ μὴ φαῦλον τὴν ὄψιν, κατὰ τὰ ἐρυθροβαφῆ, ἃ φαρμάκοις ὅσων λακκῶν, ἐπικρύπτοντα τὴν ἐν πελίμῳ ῥύσιν τοῦ αἵματος. Ἀτρεκέστατος, ἀκριβεστάτη. Εὐριπίδης. Ἀτρέμας, ἐπίῤῥημα, δηλοῖ τὸ ἡσύχως. οἱ δὲ μεθ' Ὅμηρον, καὶ δίχα τοῦ σ λέγουσιν αὐτό. ὡς τὸ, ἀτρέμ' ἧξεις παρὰ τοῦ κωμικοῦ. καὶ τὸ εὐθὺς δὲ καὶ ἰθὺς τὰ ἐπιῤῥήματα, ὁμοίως ἀπαγγέλλουσι τὸ σ, ἐν τῷ εὐθὺ καὶ ἰθύ. ὅθεν καὶ τὸ κατ' εὐθὺ, καὶ τὸ κατ' ἰθὺ αὐτοῦ. ἐπεὶ ἐκ παραλλήλου ἴσως δηλοῦσι τὸ αὐτόθι. ἢ ἀτρέμας ἑστὰς παρὰ τῷ ποιητῇ, ἀντὶ τοῦ βεβαίως μένων. Ἀτρέμα, ἡσυχία.

Ἀτρεμοῦσαι, ἡσυχάσαι. Ἀτρέμιστον, ἀσάλευτον. Ἀτρεμία, ἡσυχία. Ἄτρεπτον, ἀκίνητον. Ἀτρέπτως, ὁμοίως.

Ἀτρέπτοις, ὀξυβλέπτοις. Ἄτρεστος, καὶ ἄτρητος, ὁ ἄφοβος.

Ἀτρεύς, παρὰ τὸ τρέω τὸ φοβεῖσθαι, ὥσπερ παρὰ τὸ τρέφω τροφεύς, οὕτω καὶ παρὰ τὸ τρέω γίνεται τρεύς, καὶ μετὰ τοῦ στερητικοῦ ᾱ ἀτρεύς. ὃς βασιλεύων τῆς πελοποννήσου, ηὔξατο πάντα, ὃ, τι ἂν κάλλιστον ἐν ταῖς ποίμναις αὐτοῦ γεννηθῇ, τοῦτο ἀρτέμιδι θῦσαι. γεννηθείσης δὲ αὐτῷ χρυσῆς ἀρνὸς, τῆς εὐχῆς μετεμέλησε. καὶ καθείρξας αὐτὴν εἰς λάρνακα, ἐφύλαττε. μέγα δὲ ἐφρόνει ἐπὶ τῷ κτήματι, κομπάζων κατὰ τὴν ἀγοράν. ἀνιώμενος δὲ ἐπὶ τούτῳ θυέστης, ὑπελθόντα ὡς ἐρῶντα ἀερόπην, ἐκδοῦναι αὐτῷ τὸ κτῆμα. λαβόντα δὲ ἀντέκρυψε τοῦ ἀδελφοῦ, ὡς οὐ δέοντος περὶ τοῦ βιοῦντος κομπάζειν. αὐτὸς δὲ ἔλεγεν, ἐν τῷ πλήθει δεῖν καὶ τὴν βασιλείαν ἔχειν τὸν τὴν χρυσῆν ἄρνα ἔχοντα. τοῦ δὲ ὁμολογοῦντος καὶ ἀτρέως, ζεὺς ἑρμῆν πέμπει πρὸς ἀτρέα, συνθέσθαι λέγων περὶ τῆς βασιλείας, καὶ δηλοῦν τὰ περὶ τῆς ἀνατολῆς, διότι μέλλει ποιεῖσθαι τὴν ἐναντίαν ὁδὸν ὁ ἥλιος. συνθεμένου δὲ περὶ τούτων, ὁ ἥλιος τὴν δύσιν εἰς ἀνατολὰς ἐποιήσατο. ὅθεν ἐκμαρτυρήσαντος τοῦ δαιμονίου τὴν θυέστου πλεονεξίαν, τὴν βασιλείαν ἀτρεὺς παρέλαβε, καὶ τὸν θυέστην ἐφυγάδευσεν. Ἀτρέχως, ἀκριβῶς.

Ἀτριάκαστοι, οἱ μὴ μετέχοντες τριακάδος. ἀθηναῖοι.

Ἀτρία, πόλις τυῤῥηνίας. Ἀτριβὲς, χωρὶς τριβῆς. Ἀτρίβεται, δόνεται. Ἄτριον, ὕφος λεπτόν. καὶ εὐάτριοι εὐυφεῖς.

Ἀτρίπτους χεῖρας ἔχων, παρ' Ὁμήρῳ ἐν ὀδυσσείας φ, ἀγυμνάστου ἀνδρὸς δήλωσις. λυκόφρων δὲ τὸ ἀτρίπτους, τὸ ἁπαλάς. καὶ ἄνθρωπον ἄτριπτον, ἁπαλόν. Ἄτριψ, ἀμαθὴς, ἀτριβής.

Ἀτρόμητος, ἄφοβος. οὐδ' ὀλύμπιος ζεὺς ἀτρόμητος εἶδεν.

Ἄτρον, τὸ μέλαν, παρὰ ῥωμαίοις. Ἀτροπία, ἡ ἀνεπιστροφία, ἀβουλία. Ἀτροπίη, ἀπορία, μετάβολον. Ἄτροπος, ἀμετάστρεπτος. Ἀτροφῆσαι, μὴ τραφῆν. Ἄτροφος τροφὸς, ὁ ἀνεσάμενος, ὑπὸ λακώνων. Ἀτρύγετος πόντος, ὁμοίως δὲ ἡ θάλασσα, ἐξ ἧς οὐδὲ τρυγῶμεν. ἢ ἄπλαστος, παρὰ τὴν τρύγην. ἡ παρὰ τὴν τρύγα, ὃ δηλοῖ τὸν δημητριακὸν καρπόν. ὡς δηλοῖ τὸ, ἀδηφάγος κάλαμος, ὁ τρυγηφάγος. διὸ καὶ Εὐριπίδης ἀκάρπιστα λέγει πεδία, τὰ θαλάσσια. ἔτι δὲ ἀτρύγετος, καὶ ἡ βαθυτάτη, καὶ ἄβυσσος. ἧς τρύγα οὐκ ἔστιν εὑρεῖν. εἰ δέ τις εἴποι, ὡς κατὰ τὴν πρώτην ἐτυμολογίαν προσθετέον τὸ ἐπίθετον, ἢ ἀέρι καὶ αἰθέρι, καλῶς ἐρεῖ. καὶ εὑρίσκεις τοῦτο πολλαχοῦ κείμενον. τὸ γὰρ τρυγᾶν, τῇ γῇ ἀφώρισται. τὰ δὲ λοιπὰ στοιχεῖα, ἀτρύγετα. Ἀτρυγηφάγος, πολυφάγος. τρύγη γὰρ, ὁ δημητριακὸς καρπός. Ἄτρυγον, καθαρὸν, μὴ ἔχον τρύγα. Ἀτρύνειν, ἐγείρειν. Ἀτρύμονος, πολύπονος. Ἄτρυτα, ἀκάματα, σκληρὰ καὶ ἰσχυρά. σημαίνει δὲ καὶ τὰ ἀβλαβῆ, οἷον ἄτρωτα, παρὰ τὸ τρῶ τρώσω. Ἄτρυτος. ἐκ τοῦ τρύω λέγεται τρυτός. καὶ ἄτρυτος, ὃν οἱ πόνοι οὐ τείρουσιν. Ἄτρυφος, ἀνίκητος, ἄπληκτος, ἀσινὴς, ἀπαθής.

Ἀτρυτώνη, ἀθηνᾶ, ἡ ἄτρυτος, ὅ ἐστιν ἀτειρής. ὡς ἀπὸ τοῦ τρύω τρῶ, ἐξ οὗ καὶ τὸ τείρω, καὶ τὸ τρύω. ἀφ' οὗ καὶ τρυτάνη ἐπὶ ζυγοῦ, ἡ ταρομένη ὑπὸ βάρους τοῦ ὄγκου. ἀπ' αὐτοῦ καὶ τρύμη, παρὰ τῷ κωμικῷ, ὁ πανοῦργος καὶ ἰταλικός. καὶ κατ' ἐκεῖνον ἴτης, ὅ ἐστιν ἰταμός. Ἄττα, πρόσφθεγμα ἀδελφικόν. ἄττα, πολλαχοῦ κείμενόν ἐστι προσφώνησις ἀδελφοῦ νέου πρὸς πρεσβύτερον. καὶ ὅτι ἡ λέξις ἀπαθὴς, ἀκίνητος, ἢ τὸ ὅλον εἰπεῖν πρωτόθετος. οὐ γάρ ἐστιν ἀρχὴν τοῦ ἄττα εὑρεῖν, οὐδὲ ἑρμηνείαν ἔχει. διὸ καὶ ἀκατάληπτος, ἤγουν ἀνερμήνευτος, ἀπὸ τῶν παλαιῶν λέγεται.

Ἄττα, γλώττης φασὶν ἐκ τῶν παλαιοὶ προσφώνημα ἐπὶ νέως πατέρα, ὡς πρὸς τροφέα, πρωτόθετον, ἄκλιτον. Ἄττα, ἄτινα, ὁ ὅς, Ἀντιφῶν ἐν τῷ περὶ τῶν λυδίων φέρει. ἀντὶ δὲ τοῦ τινὰ ἢ ποῖα ἅττα Δημοσθένης φιλιππικοῖς. ἐνιαχοῦ δὲ παρέλκει τὸ ἄττα. ὡς τὸ, Χιονίδης πόλει χιλίων πλοῖα ἄττα φαίνεται. Ἄττα, ψιλούμενον μὲν τινὰ σημαίνει, δασυνόμενον δὲ ἅτινα, ὡς Δημοσθένης δηλοῖ ἐν τῷ περὶ παραπρεσβείας. ὁ δὲ πρεσβευτὴς Αἰσχίνης οὗτος ἐλθὼν, πῶς μὲν καὶ ἄττα τινὰ διαλέγοι. ἐνίοτε δὲ ἐκ τοῦ περιττοῦ προστίθεται. ὡς ἐν τῷ Χείρωνι Φερεκράτης, ὅς δεῖνα τὰ λοιπὰ ἄλλα προσθεὶς ἔφη, ἄττα κιντύησιτα. οὐδὲν γὰρ σημαίνει ἐνταῦθα τὸ ἄττα. Ἀτταβυγᾶς, εἶδος ὀρνέου, καὶ τὸ ἀτταγᾶς.

Ἀτταγᾶς παρ' ἀττικοῖς, ὄρνεόν ἐστι τρεφόμενον ἐν ἕλεσι καὶ πολώδεσι τόποις, καὶ τέλμασιν, ὃν ἡμεῖς φαμὲν ἀτταγῆνα. ὁ ὄρνις κατάστικτός ἐστι, ποικίλοις πτεροῖς. Ἀττάγαθα, ἄθαιρα, παρὰ τῷ ξάνθῳ. Ἀτταλαγώνεται, μελανθήσεται. Ἀτταλασῖξαι, ἐμέσαι. Ἀττάλη, φάρυγξ, ὑπὸ φρυγῶν. Ἀτταλίζομαι, πλανῶμαι. σικελοί. Ἀτταλίδαι, πλανηθέντες ἄνθρωποι. Ἄττακα, τέγγανα, ἢ πλακοῦς, οἱ ἐξ αὐτῶν σκαρζόμενοι.

Ἀττανίτας, τηγανίτας. Ἀττάραχος, τὸ ἐλάχιστον. οἱ δὲ τὰς ἐπὶ τοῦ ἄρτου φλυκταίνας, οἱ δὲ τὰς καλουμένας ψίχας. Ἀττάρυμα, πόμα, σόφισμα κρητικόν. Ἀτταρία, ἀνάστασις. Ἀτταταὶ, βαβαὶ, φεῦ, μόνον κωμικόν. Ἄττει, πηδᾷ, ἅλλεται, βαδίζει, ὁρμᾷ. Ἀττέλαβος, εἶδος κονδύλου. Ἀττελάβας, ἀκρίδας.

Ἄττεσθαι, τὸ ἄλλεσθαι, καὶ πηδᾶν. παρὰ τὸ ἀΐσσω, τὸ ὁρμῶ, γίνεται ἄσσω, καὶ ἀττικῶς ἄττω. καὶ ἄττεσθαι, διάζεσθαι στήμονα.

Ἄττης, τὸν ἄττην φασὶ λάκωνες. Ἀττικεῖος. Δημοσθένης ὑπὲρ κτησιφῶντος, ὁ ἄττης παρὰ φρυξὶ μάλιστα τιμᾶται, ὡς πρόπολος τῆς μητρὸς τῶν θεῶν. τὰ δὲ περὶ αὐτὸν δεδήλωκε Νεάνθης, μυστικὸς δὲ ὁ λόγος. Ἀττικὴ γῆ, ἡ ἀπὸ τῶν ἀθηνῶν. καὶ ἀττικὴ, ἡ χώρα αὐτῶν. Ἀττικὴν χύτραν, τὸν καλούμενον ἐχῖνον παρὰ τῷ ἱπποκράτει. Ἀττικοὶ τῇ εὐθείᾳ ἀντὶ γενικῆς χρῶνται. οἷον, δύο σκόπελοι, ὁ μὲν εἰς οὐρανὸν ἱκάνει. ἀντὶ τοῦ, τῶν δύο σκοπέλων. καὶ κορίνθιοι δ' ὁ μὲν οὕτως ἀτόμητον, ἀντὶ τοῦ τῶν κορινθίων. ἢ πάλιν, ἐλθόντες δ' ἤομεν ἐκ σπείου γλαφυροῖο, πρῶτος ὑπ' ... ἐλευσίνιον, ἀντὶ τοῦ, ἐλθόντων δὲ ἡμῶν. τῶν δ' αὐτῶν ἐστι καὶ τὸ ἀντὶ πλαγίων συντάξεων ὀρθαῖς χρῆσθαι. οἷον, ἀλκιβιάδης ὀφθεὶς ἀνέστρεψεν λακεδαιμόνιοι, ἀντὶ τοῦ, ἀλκιβιάδου ὀφθέντος. καὶ τὸ συντάσσειν τοῖς ὑποτακτικοῖς μορίοις εὐκτικὰ ῥήματα. φασὶ γὰρ, ἵνα εὕροιμεν, ἵνα ποιήσομεν, καὶ Ὅμηρος, ἵνα μή τις ἄλλοθεν ἔλθοι. καὶ πάλιν, ἐς ἀθανάτους φορέοιεν. καὶ τὸ, γνόντων, βοώντων, καὶ ποιούντων, ἀντὶ τοῦ γνώτωσαν, βοάτωσαν, καὶ ποιείτωσαν. καὶ τὸ μέμφομαι, καὶ ἐνδίδω, καὶ ἐνοχλῶ, καὶ λοιδοροῦμαι, δοτικῇ συντάσσουσι. καὶ τὰ συντασσόμενα δὲ ῥήματα μετὰ δοτικῆς, γενικῇ συντάσσουσι, τοῦ ἕνεκα προστιθέντες. μετὰ αἰτιατικῆς δὲ ταῦτα συντάσσουσιν. οἷον ἐπιλύπησέ με, ἀντὶ τοῦ ἐμοῦ. ὡς καὶ Ἀριστοφάνης ὁ κωμικός, ἀρέσκει με λέγων. καὶ ἔτι τὰ μετὰ γενικῆς συντασσόμενα ῥήματα, αἰτιατικῇ συντάσσουσιν, οἷον αὐτός με ὕβρισε. ἢ ἀφαιρεῖταί με, ἀντὶ τοῦ ἐμοῦ. καὶ Ὅμηρος, ἐπεί μ' ἀφέλεσθέ γε δόντες. καὶ ὅτι δὲ τῶν ἀττικῶν ἐστι, τὸ δοτικῆς πτώσεως προηγουμένης, τῆς γενικῆς ἀνταποδίδοσθαι. φασὶ γὰρ, οὐκ ἂν οὖν ἡμῖν συνέβη τοῦ παιδὸς εὐσεβῶν ὄντων. καὶ Ὅμηρος, ἡμῖν

ἀτικανὸς ἐν Διαλόγῳ μνήμων, καὶ ἀτιλλὲς πόνων πάντων ἰσμήν.

Ἀτελεύτητον, οὐ πᾶν ἀτελεύτητον πάντως καὶ ἄπειρον. οἱ γὰρ ἄγγελοι καὶ αἱ ψυχαὶ, ἀτελεύτητοι μὲν, οὐκ ἄπειροι δέ. Ἀτελευτήτῳ ἐπὶ ἔργῳ, τουτέστιν ὑπὸ ἀτελ. ὅπερ ἐστὶ μὴ εἰληφότι τέλος. οἱ δὲ οἱ μεθ' Ὅμηρον ἀτελεύτητόν φασι, τὸ μὴ πέρας τέλος ἔχον. Ἀτιλᾶ, ἀλλάσσει. ὡς καλυτιλᾶ, τὰ πολυειδῆ ἔχοντα.

Ἀτέμβων, οἱ νεώτεροι, οὐκ ἐπὶ τοῦ στερίσκεσθαι ἔχουσιν, ἀλλὰ ἐπὶ τοῦ μέμφεσθαι. καὶ ἀτεμβόμενος παρὰ τῷ Ἀπολλωνίῳ κεῖται, ἀντὶ τοῦ δυσχεραίνων, καὶ μεμφόμενος. Ἀτέμβεσθαι, ἔχει πάντως γῶν τοῖς ἄτιω ἐμβαίνειν. Ἀτεμβόμενος, εἰρεσίην ζοιᾳ βλαβὴν δηλοῖ. ἀτέμβει θυμὸν, ἤγουν εἰς βλάβην ἐμβιβάζει, στερίσκει. Ἀτέμβιος, μεμψίμοιρος. Ἀτέμβω, τὸ στερῶ. εἴρηται παρὰ τὸ τέμω ἀτέμω. καὶ πλεονασμῷ τοῦ β, ἀτέμβω. Ἀτενὲς καὶ ἀτενῶς, ἐπιῤῥήματα ἀντὶ τοῦ ἀτρέπτως, καὶ λιάν. ἀτενικῶς, ἀτενὲς ὁρᾶν εἰς ἐμέ. καὶ ἀτενὴς, εὐθὺ, συνεχὲς, παντελῶς, ἀκέλευ, παραμόνως, ἰσχυρῶς, ἀφιλῶς, ὁ πάνυ προσεχές. Ἀτενὲς δὲ ἀτενὴς ἔθος λέγειν, ἢ σκληρὸν, καὶ ἀκαμπές. Ἀτενὴς, ἄκαν δ' ἀτενὴς ἐπ' οἶκον. Εὐστάθιος ἐλκυσμῶν, τὸ στερεὸν σφιδνῶς συντείνεσθαι. καὶ ἀτενίζειν λέγουσι, τοὺς συντείνοντας, καὶ ἐπιβλέποντας τῇ ὄψει. Ἀτενίζει, ἄκρως προσέχει. Ἀτενίζουσι κατίσαρ εἰς ὅλον, ἤγουν ἀφορῶσι. Ἀτενίζω, τὸ λίαν καὶ ἐπιτεταμένως βλέπω, τοῦ α ἐπίτασιν σημαίνοντος. Ἀτενῶς, ἀμεταστάτως.

Ἀτέοντα λέγει Ὅμηρος, τὸν βεβλαμμένον εἰς φρόνησιν. ὡς ἀπὸ τοῦ ἄτης. οἱ μέν τοι μεθ' Ὅμηρον, οὐκ οἴδασι τὸ ἀτέω αὐτοῦ ἐν πρώτῃ συζυγίᾳ, ἀλλ' ἐν Ἀντιφῶντι κατὰ τὸ βοῶ. ἀτέοντα δὲ, ἀντὶ τοῦ τολμάζοντα. Ἀτερ, ἐκτὸς, χωρίς. καὶ ἄτερ ἤματος, χωρὶς ἑκάστου. Ἀτέραμνον κῆρ, σκληρὸν τὸ ἀτερὲς καὶ σκληρὸν, καὶ μὴ τέρην. ἔθεν καὶ ἀτέραμνα σπέρματα, τὰ περιβόλα. περὶ ὧν λόγος, ὡς ἐὰν τὰ σπέρματα ὑπὸ καταπέσῃ εἰς γῆν καιροῦ σπόρου πυλώτα κεφαλὰς ἀπολέσει βοὸς, σκληρὸν γίνεται καὶ δυσέψητον. περιβόλα δὲ τὰ φυέντα λέγεται, ἀπὸ τὸ κατὰ κέρατων βλαβῆναι. ἐντεῦθεν σημειοῦται, ὅτι συνήθως μὲν ἀτέραμνον, τὸ μὴ τέρεν. ἀλλὰ δηλαδὴ ἀποβεβλημένον. οὐ μὴν τέραμνον ἀσυνήθως τὸ τέρεν καὶ ἁπαλὸν, ἀλλὰ ἐκ τοῦ οἴκου ὄντα. καθὰ σὺν ἄλλοις καὶ ὁ Λυκόφρων δηλοῖ. καὶ ἀτέραμνα, τὰ ἀνεκπύρωτα ἢ σκληρὰ, παρὰ τὸ ἐπικρατεῖν, ἢ τὰ μὴ ἑψόμενα ὄσπρια. Ἀτεράμων, οὐχὶ ἀτέραμνος. Ὅμηρος, κῆρ ἀτέραμνον εἶπεν, παρὰ τὸ τέρω, τὸ ἁπαλὸν, τεράμων ὁ ἁπαλὸς, καὶ ἀτεράμων ὁ σκληρός. τὸ οὐδέτερον, ἀτέραμον. καὶ πλεονασμῷ τοῦ ν, ἀτέραμνον. Ἀτεράμονος, σκληροῦ, μὴ τεραμένου, ἀνυλευθέρου. κυρίως δὲ τὰ μὴ ἑψόμενα τῶν ὀσπρίων, ἀτεράμονα λέγεται. οἷον οὐχ ἁπαλά. Ἀτερίας ὄρος, τερρὸν, ξηρόν. Ἀτερίζειν, ἀθετεῖν. Ἀτερμάστον, ἀπεριόριστον, ἀδιέξοδον, ἀτελεύτητον. Ἀτερθε, χωρίς.

Ἀτέρμονα, ἄπειρα. Ἀτέροθεν, τὸ ἑτέρωθεν, καὶ χωρίς.

Ἄτερος, οὐ θάτερος. βάρβαρον γάρ εἰ καὶ Λυκόφρων καὶ ἄλλοι ἄλλοι τοῦ γέγραπται. ὁ ἕτερος γάρ ἐστι, καὶ κατὰ κρᾶσιν ἅτερος. οὐκ ἔχει οὖν χώραν ἐνταῦθα τὸ θ', ὥσπερ ἐπὶ τῶν ἄλλων πλείστων ἵνα μὴ συνθῇ δασὺ ἔχει σύμφωνον, τὸ λέγω δὴ τὸ τ, οὐ γίνεται ἢ πάθος συναλοιφῆ. οἷον τὸ ἕτερον, τὴν ἑτέραν, τῆς ἑτέρας, τοῖς ἑτέροις, τοὺς ἑτέρους. ὡσαύτως ἐπὶ θηλυκοῦ. ὁ αὐτὸς δὲ λόγος καὶ ἐπὶ οὐδετέρου, ὅς ἐστιν ἐπὶ τοῦ ἀρσενικοῦ. Ἀτέρπνος, ὁ ἄχαρις, παρὰ ῥεγένεις. παρὰ τὸ ἄτερ ἢ τὸ ὅπλος γίνεται ἀτέρμονος, ὁ χωρὶς ὅπλων. καὶ συγκοπῇ τοῦ υ, ἀτέρπνος. Ἀτερπὴς, καὶ ἀτερπὸς λέγεται. ὡς τὸ, φαίνειν φρένα ἀτερπὴς ὀϊζὺς ἐκλελάθεσθαι. τουτέστιν, εἴτε μοι ἔφη μνήσει ποτὲ παθεῖν ἀτερπὲς καὶ ἀσεβῆ κατεπέλθοιεν. Χῶρος ἀτερπέα λέγομεν, καὶ ἀτερπέα δὲ ἄλιμον ἐκπρέπον. Ἀτερπὴ, λαμπρόν. Ἀτέρως, ἀφροντίστως. Ἀτέσωστος, ἀπηνάσαι, ἀτύφωτος. Ἀτευχῆ, ἄνοπλον. Ἀτέχνης, παρατέχνης, ἢ ἀπειρότεχνης. Ἄτεχνον, τὸ μὴ μετὰ τέχνης ἢ μεθοδικῶς λεγόμενον. ὅ ἐναντίον τὸ τεχνικὸν, καὶ ἐντέχνως ἐπίῤῥημα. ἄτεχνος, καὶ ὁ μὴ εἰδὼς τέχνην. ἢ ὁ εἰδὼς μὲν, οὐ μὴν καλῶς. ὧν ἐναντίον, ὁ τεχνικός. καὶ ἄτεχνος ζωὴ, ἡ χωρὶς τεχνῶν συνισταμένη. Ἀτεχνῶς, ἀντὶ τοῦ ἁπλῶς. καὶ ἅπαξ, ὅ ἐστιν ἐν λόγῳ, ἀληθῶς. τέχνη γάρ, ὁ δόλος παρὰ τοῖς ἀττικοῖς. τὸ δὲ ἄνευ δόλου, ἀληθῶς. ὁ γὰρ τοιοῦτος διαστέλλει τὸ σημαινόμενον, τῷ τε τῆς τέχνης σύρειν, ἢ τὸ ἀδιάφορον τοῦ χρόνου. ἀτεχνῶς. εἴσω ἀτενῶς, μετὰ περισπωμένου τοῦ χ. ἢ ἁπλῶς, ἄνευ τέχνης. ἐκ μεταφορᾶς τῶν μὴ τέχνῃ νικώντων, ἀλλὰ δυνάμει. ἢ καθάπαξ, ἢ ἀδόλως. ἐὰν δέ ἐστι παρὰ τῶν τεχνῶν λέγεται, ὃ μὴ, οὐκ ἔστι περισπωμένως, ἀλλὰ βαρυτόνως. ἀτέχνως παῖζε, ἢ ἀτέχνως λέγεις. καὶ ἀτεχνῶς ἐκπλαγεὶς, ἀντὶ τοῦ ἄγαν ἀκαθῶς. Ἀριστοφάνης. ἢ ἀτεχνῶς, ἀντὶ τοῦ ἀκριβῶς. ἀτέχνως, ἀνεπιστημόνως. καὶ ἀντὶ τοῦ ὅλως, καὶ συνόλως, καὶ ἔστιν οἷον ἀδόλως. τέχνας γὰρ ἔλεγον τοὺς δόλους. οἷον, ἀμφὶ δὲ δόλου τεχνήεντα ἔχοντι. Ἀτευχέες, ἄγαν ἀσθενεῖς. Ἀτω, παρὰ τὸ τῶ, ὁ δηλοῖ τὸ λαμβάνω. οἷον, τῷ κέκλωψ πῖε οἶνον. ἐξ οὗ ῥηματικὸν ὄνομα, τέα. καὶ μετὰ τοῦ στερητικοῦ α, ἄτη. ἣν ὁ ἀνθρώποις δίδει λαβεῖν. ἢ παρὰ τὸ ἄω, τὸ βλάπτω, ἄσω, ἄσις, ἢ βλάπτουσα τὰς ψυχάς. καὶ τροπῇ τοῦ σ εἰς τ, ἄτη. Ἀτηακῶς, Ὅμηρος λέγει, ἐγέρθη οὕτως. ὅπερ κατὰ κίνησιν εἰσίν, ἢ δ' ἀτέω ἀπῆς, κατὰ τὸ βλάπτω ἐβαλλεν, καὶ λόγον ἐλέξας. ἐκ τοῦ ἀάτος, κατὰ κρᾶσιν, ἀτῆς. ὡς ὅταν μοι ἀάσατο μοῖρα κακὴ γένηται ἄτη, ἢ ἄτη κατὰ κρᾶσιν. Ἀτημέλεια, ὀλιγωρία. Ἀτημελήτως, ἀφροντίστως, καταφρονητικῶς. Ἀτήμενον, βλαπτόμενον. παρὰ τὴν ἄτην. Ἀτῆσαι συνήθως λέγει καὶ ἀρτίως, ἤγουν ἐνεῖναι τοὺς πόλας. ἐπεὶ οἱ βλαπτόμενοι, ὡσαύτως τὰ ἔχουσι καθ' ὁ βλάπτουσι καὶ ἐπιταράττουσι τὸν καιρόν. ἐν ἄλλοις δὲ καὶ ἀπαλοὺς εἶναι πόλας τῇ ἄτῃ εἶπε, ὡς ἀπαιδεύτους τὰ πολλὰ εἰρῆν βλαπτομένων ἀφορμή. οἷον τὰς ἄτας ἐπερχομένας αὐτοῖς. Ἀτήναρ, μοχθηρόν. Ἀτηρὸς, ἀνατεταμένος. Ἀτηρὸν, βλαβερὸν, ἀπόλεσον, ὀλεθρικὸν, χαλεπὸν, κακόν. Ἄτης ὁ Διόνυσος, ἐπειδὴ αὐτὸς τοῦ γινομένης ἐν τῷ ἐπιμελέσι αὐτὸν ἄτης καὶ φθορᾶς.

Ἀτθὶς, ἀπὸ ἀτθίδος τοῦ κρανοῦ θυγατρὸς, ἢ ἐγχώριος Λεωσφαίνης. Ἀτθίδιον, ἀθηναῖον. Ἀτίβαλος, ἀτίμητος, ἄχρειος. ἀθηναῖον γὰρ λέγεται, τὰ ἄγρια θηρία ἀμφιβόεν, καὶ χερσαῖα ἄγρια. Ἀτίζω, εἰ μὲν σημαίνει τὸ ὑποφέρω, γίνεται παρὰ τὸ τίω τὸ τιμῶ. καὶ ἀτίζω καὶ πλεονασμῷ τοῦ ζ. εἰ δὲ σημαίνει τὸ βλάπτω, παρὰ τὸ ἄτη ἀτίζω. καὶ ἀτίζω, τὸ ἀφροντιστῶ, ἀτιμάζω, παραφέρομαι, ἢ πάσχω. Ἀτιματίλαιος, ὁ μὴ συγκαταλεγόμενος.

Ἀτιμαγελοῦντα, μὴ ἄτιμα πράσσοντα τὰς ἀγέλας, μὴ καταλείποντα τὴν ἀγέλην. τοὺς γὰρ καταλείποντας τὸν ταῦρον τῆς ἀγέλης, καὶ καθ' ἑαυτοὺς νεμομένους οὕτω καλοῦσιν. Ἀτιμάζω, τὸ ὑβρίζω, τὸ παραβλέπω, τὸ ἄτιμον ἡγοῦμαι, παρὰ τὸ ἀτιμῶ. ἀτιμῶ δὲ τοὺς πλείω καλεῖσθαι. σημείωσαι δὲ ὅτι τὸ μὲν ἀτιμάζω παρὰ ἀττικοῖς ἐπὶ ἀψύχων λέγεται. τὸ δὲ ἀτιμῶ, ἐπὶ ἐμψύχων.

Ἀτιμάζειν λέγεις, ἀτίμως λέγεις, ἐν ἀδικίᾳ φησί. Ἀτιμαλφοῦσι, τιμὴν οὐκ εὑρίσκουσιν. Ἀτιμᾶν, πρωτότυπον τοῦ ἀτιμάζειν. ἐξ οὗ τὸ ἀτίμητον, καὶ ἀτίμητος. Ἀτιμασίων, περιφρονητέον. Ἀτιμάω ἀτιμῶ, καὶ ἀτιμέω ἀτιμῶ, τὸ ἄτιμον ποιῶ. Ὅμηρος, Οὔτινα γὰρ χρήεσκεν ἀτίμασον ἀρητῆρα. ἤγουν, ἄτιμον ἐποίησε. Ἀτίμητον μετανάστην λέγει Ὅμηρος, τὸν ἀτίμητον μέτοικον. οἷον τοῦ μετοίκου ὡς τὰ πολλὰ οὐκ ἐντιμότερον ὄντα. ὡς τύπον πολιτῶν, καθὰ καὶ ὁ ἀττικὸς ἰδιώτην, ὡς φύσει μὲν τὸ μετὰ ὧν χειλῶν ἴσως μεταλαμβανόμενοι, ὅμως τῶν ἰδιωτῶν ἀτιμότερον. σημείωσαι δὲ, ὅτι τὸ ἡμῖν ἐντίμους Ὅμηρος λέγει τὸ ἀτίμητος. οὐ γὰρ τὸν πολλῆς τιμῆς ἄξιον κατὰ τοὺς ὕστερον, ἀλλὰ τὸν αὐτὸν τοῖς ἀτίμητον, ἀλλὰ τὸν οὐ δαιμονᾶς. ἢ ὅτι ἐκ τοῦ ἀτιμῶ ἀτιμήσω, τὴν λέξιν παράγει. Ἀτίμητος ἀγών, καὶ τιμητός. ὁ μὲν τιμητὸς, ἐφ' ᾧ τίμημα ὡρισμένως ἐν τῷ νόμῳ οὐκ ἔστιν, ἀλλὰ τοὺς

... ὄρεον, ταλάωρος, καὶ ταλαίπωρος. κυρίως δὲ λέγεται, ὁ περὶ τὸν πόρον τλῶν, τουτέστι καρτερῶν, οἷον ταλάπορος, καὶ πλεονασμῷ τοῦ ι, ταλαίπωρος. οἱ γὰρ ἀρχαῖοι τοὺς ... ταλαιπώρους ὠνόμαζον τοὺς τλῶντας περὶ τὸν πόρον. ἢ παρὰ τὸ πῶρος, ὃ δηλοῖ τὸ πάθος. Ἀταλαιπώρως, ἀκοπιάστως, ἄνευ κόπου.

Ἀτάλαντος, ὁ οἷον ἰσόσταθμος. τὸ α μὲν γὰρ ἐνταῦθα ἰσότητα δηλοῖ κατὰ τοὺς παλαιοὺς, ὃ ὁμοιότητα, ὡς καὶ ἐν τῷ ἀδελφός. τάλαντον δὲ φαμὲν, τὸν σταθμόν. ἴσμεν γὰρ, ὅτι ὥσπερ μέδιμνος τό, τε σκεῦος τὸ μετροῦν, καὶ τὸ ὑπ' αὐτοῦ μετρούμενον, οὕτω καὶ χοῖνιξ ὁμοίως. λέγομεν γὰρ μισθὸν καὶ χοίνικα. καὶ πῆχυς δὲ αὐτός τε ὁ μετρῶν, καὶ τὸ ὑπ' αὐτοῦ μετρούμενον. οὕτω καὶ τάλαντον, οὐ μόνον σταθμὸς, δι' οὗ τὰ βάρη διακρίνεται τῶν σωμάτων ἐντιθεμένων ταῖς πλάστιγξιν, ἀλλὰ καὶ αὐτὸ τὸ βάρος τὸ σταθμώμενον. ἔστιν οὖν ἀτάλαντος, ὁ τὸν ἴσον ἕλκων σταθμὸν, ἐὰν ταλαντῷ μέλλῃ κρίνεσθαι. ὁ δὲ Πορφύριος ἢ αὐτός, ἀτάλαντον λέγων τὸν ἴσον, ἄλλως τὴν λέξιν ἐκδίδωσι, λακωνικὸν ἴσον μὲν εἶναι παρὰ τοῖς παλαιοῖς τὸ τάλαντον. ἀτάλαντον δὲ ἐντεῦθεν νοεῖσθαι, τὸν μὴ κατὰ τὸ τάλαντον ἴσον, ἀλλὰ τὸ ἐπίσης ἐσταθμισμένον ἀνισότητος(?). γίνεται τὸ τάλαντον ὁ σταθμὸς, παρὰ τὸ τάλας, ὃ δηλοῖ τὸ καρτερικόν, τοιοῦτον γὰρ ὁ σταθμός. ὡς φορτιζόμενος, καὶ διὰ τὰ βάρη ἐπιτιθεὶς. μάλιστα δὲ παρὰ τὸ ταλάσσειν, τὸ καρτερεῖν. ἐξ οὗ καὶ ὁ ἄτλας, καὶ ὁ τάλας, τὸ ῥῆμα τάλαντον γίνεται. ἀχθοφορεῖ γὰρ ἀεί. ὅθεν καὶ φυτάνα(?) παρὰ τοῖς ὕστερον λέγεται, διότι τοῖς ὄγκοις τρέπεται, ἤγουν κατακλίνεται. κυρίως μέσος τοῦ ζυγοῦ ἡ τρυτάνη. οὕτω δὲ καὶ πλάστιγξ λέγεται ὁ σταθμὸς ἐκ μέρους, ὅτι ἐκ τῶν πλαστίγγων. τουτέστι, τῶν κάτω πλατειῶν, οἷς τὰ βάρη ἐπίκειται. καὶ ζυγὸς δὲ ὁ αὐτὸς ἀπὸ μέρους, οὗ αἱ ῥαβδίσαι(?) πλάστιγγες ἐξήρτηνται. πρὸς ὃν παροιμιάζεται ζυγὸς δόλιος, ὡς ἀντίκειται τὸ δίκαιος. στάθμιον, τὸ παρόμοιον τοῦ ζυγοῦ. Ἀτάλαντος, ἀρτιμοτάλαντος(?), οἱονεὶ ἰσοτάλαντος, ἰσόρροπος, ἰσόσταθμος. τάλαντον γὰρ τὴν ζυγὸν φασιν. καὶ ταλαντεύομαι, ἐπὶ τὸ ζυγοστατεῖν. Ἀταλάς(?) λέγει τὰς παῖδας Ὅμηρος. ὡς τῆς ἤδη τελείαν ἵππων ταλάντων ὄντων. διὰ τὸ ἀχθοφορεῖν. ἐξ οὗ καὶ οἱ ἡμίονοι, ταλαεργοὶ λέγονται. Ἀταλάφρονα, ἁπαλὸν φρόνημα ἔχοντα. Ἀταλόφρων δὲ, ὁ νήπιος, ὁ μὴ τάλαν, ὁ τλήμων, ἀλλ' ἔτι φρονεῖν ἁπαλός. Ἀταλός, ὁ ἁπαλός, ὁ νήπιος. παρὰ τὸ τλῆναι ταλός, ὁ μηδέπω δυνάμενος κακοπαθῆσαι(?). ἐξ αὐτοῦ, ἀτάλλειν καὶ ἀτιτάλλειν, κατὰ ἀναδιπλασιασμόν. Ἀτάλλων, ὁ ἀπαθὴς καὶ μὴ κακοπαθῶν. παρὰ τὸ τλῶ, τὸ καρτερῶ καὶ ὑπομένω, γίνεται τλάς. καὶ ἄτλας, ὁ μὴ δυνάμενος τλῆναι, ἢ ἐκ τοῦ τάλλω, τὸ κακοπαθῶ. καὶ ἀτάλλω, τὸ τρέφω καὶ νηπιάζω. Ἀτάλματα, ἀντὶ τοῦ ἅλματα, παίγνια. Ἀτομίαστον(?), ἀφύλακτον, ἀδιοίκητον, ἀνεπιμέλητον(?). Ἀτακτῶ, χαλεπῶ.

Ἀτὰρ λογογράφοι, ἀντὶ τοῦ δὲ, αὐτὰρ ποιηταί. σημαίνει δὲ τὸ ὅμως, ἀτὰρ καὶ αὐτὰρ ἀρχαϊκοὶ λόγοι, καὶ ἐπὶ τοῦ δὲ, ἰσοδυναμοῦντα. οἷον, αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο. καὶ ἀτὰρ, ἀντὶ τοῦ ἄν ποτε, ἤν ποτε, ἐὰν δὲ ποτε. Ἀτὰρ, μενοῦν γε, καὶ δὴ, καὶ ἄρα. Ἀτάρμην(?), νῦν γε, νῦν δὲ αὐτόν. Ἀτὰρ οὖν, λοιπὸν οὖν, ἀτὰρ οὐ τέλος ἵκεο μύθων. Ἀταρβὴς, ἀκατάπληκτος, καὶ ἄφοβος, ἀτρόμητος, παρὰ τὸ τάρβος, ὁ ἀδειλίαστος, ὁ μὴ θαρρῶν βελῶν ἐπομένων(?). Ἀτὰρ δὴ, λοιπὸν δὴ, ὁμοίως, πλὴν, ὅμως. καὶ ἀντὶ τοῦ δὴ, ἢ λοιπόν. Ἀταρπὸς, ἡ εὐθεῖα ὁδός. παρὰ τὸ τρίβω(?), ὁ δι' αὐτοῦ ὁδὸς(?), ἡ ἀτραπός(?). Ἀταρβίζεται, ἀταρβὴς φαίνεται. Ἀτάρβητον, ἄφοβον, θρασὺν, ἄθικτον, ἄψαυστον.

Ἀτάρμυκτον, τὸ ἄφοβον. κυρίως δὲ τὸ μὴ μύον. Εὐφορίων, ἀτάρμυκτον ... ὄμμα. παρὰ τὸ ἄτερ καὶ τὸ μύειν τὸ ἀτενές. ἢ παρὰ τὸ τάρβος, ἀταρβέστατον, καὶ ἀτάρμυκτον. καὶ γὰρ ταρμύσσειν, τὸ φοβεῖν, ὡς Λυκόφρων. σημαίνει καὶ τὸν θρασύν. Ἀταρπός, ... καταδεικνὺς(?) ... κείμενον. Ἀταρπιτὸς, στενὴ ὁδὸς, καὶ δύσβατος, καὶ μὴ ... καὶ ... τετριμμένη. Ἀταρτᾶται, βλάπτει, φθείρει, λυπεῖ. Ἀταρτηροῖς ἐπέεσσι παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ὑβριστικοῖς, βλασφήμοις. δῆλον ὅτι ἀτηρὸς λόγος ... καὶ ὁ χολωτὸς. καὶ ἡ ἄτη. οὐ μόνον ἐν ἔργοις, ἀλλὰ καὶ ἐν λόγοις. ἐνίοτε καὶ οἱ κατὰ χόλον ὑβριστικοί, καὶ ἔχει πλεονασμὸν φανερῶς τῆς ταρ συλλαβῆς, ὁ ἀταρτηρός. ἢ ἀπὸ τοῦ ἄτη, ἀτηρόν. καὶ κατὰ ἀναδίπλωσιν τῶν γραμμάτων, ἀτατηρόν, καὶ προσθήκῃ τοῦ ρ διὰ τὸ μέτρον, ἀταρτηρόν. ἔστι μὲν οὖν ἀταρτηρὸν, τὸ βλαπτικόν. ἐνταῦθα δέ φασιν ἀταρτηροῖς ἐπέεσσιν Ὅμηρος, κατὰ μεταφορὰν, ἀντὶ τοῦ ὑβριστικοῖς. Ἀτάρχον, ἀχείμαστον. Ἀτάρχυτος, ἄταφος. Ἀτάω(?), εἰκαιολογίαν, ἀπάτην. καὶ ... τὸ μάταια νικᾶν(?), ἢ ἤχειν. Ἀτασθαλία, ἡ ἐν θαλίαις ἁμαρτία. ἀτασθαλία, οὐ μόνον ἡ ταῖς ἄταις θάλλουσα ἀφροσύνη, ἀλλὰ καὶ ἡ ἐν θαλίαις εἰδυῖα συνέχειν ἄτη ἐκ παροινίας, ὥς φησιν Ἀθήναιος. καὶ ἀτασθαλία, ἡ φρενοβλάβεια, ἡ ἁμαρτία, καὶ ἀδικία. Ἀτάσθαλον ἔοργεν παρ' Ὁμήρῳ, ... ἐστὶ τοῦ ῥέζειν ἐξαίρετον(?). ταὐτὸν γὰρ ἐργάζεσθαι(?) τὸ ῥέζειν, καὶ ἀτάσθαλον ἐοργέναι. ἀρχαϊκὸν δὲ τὸ οὔ τινα ἀτάσθαλον οὐδὲ ἐώργει. λείπει γὰρ πρόθεσις ... ὡς οὐκ ἐποίησε κακὸν εἰς ἀνθρώπων.

Ἀτάσθαλος. μιαρὸς, φλύαρος, ἁμαρτωλὸς, ἄδικος, παράνομος. ἀπὸ τοῦ θάλλειν ἄταις, παρὰ τὸ ἄτω, τὸ βλάπτω. ἢ παρὰ τὸ ἄτιω(?). ὡς οὖν δαίω δαίδαλος, καὶ παρὰ τὸ αἴθω αἴθαλος. οὕτω καὶ παρὰ τὸ ἄτω ἀτάζω, ἀτάλαρος(?). καὶ τροπῇ τοῦ ρ εἰς σ, ἀτάσθαλος. καὶ ἀτάσθαλον, ἀθέμιτον, παράνομον. ἀτάσθαλοι δὲ, οἱ τὰς θείας ἐξαμαρτάνοντες. καὶ ἀτάσθαλον ἔργον, δηλονότι τὸ ἀθέμιτον, καὶ παράνομον. Ἀταυρώτη, ἁγνή, ἄμικτος. ταῦρος γὰρ τὸ αἰδοῖον τοῦ ἀνδρός. Ἀτάφρυτος(?), ἄγαμος, καὶ παρθένος, παρ' ὅσον οὐκ ἐγεύσατο(?) γάμους, οἱ μὴ γεγαμημένοι λέγονται. Ἄτε ἐπίρρημά ἐστιν ἀντὶ τοῦ καθά, ὥσπερ καὶ ἀντὶ τοῦ ὥσπερ. οἷον, ἅτε μυρίαι. ἐκ τοῦ α ὑποτακτικοῦ οὐδετέρου ἄρθρου, καὶ τοῦ τε συνδέσμου. συντακτικῶς ... δὲ ἡ κατὰ πρόθεσις, διὸ καὶ ἀντὶ τοῦ καθά ἐστιν. Ἄτεγκτος, ἄκαμπτος, καὶ ἀπείθαστος. ὁ μήτε παρακαλοῦντι(?), μήτε τῶν πόρρωθεν καὶ τὸ τοῦ ἤθους σκληρὸν τεγγόμενος, καὶ μαλαττόμενος. κυρίως δὲ ὁ ἄβροχος. ἐξ οὗ ὁ μὴ δακρύων. καὶ ὁ μὴ ἱδρῶν. Ἄτεγκτος, ὁ μήτε δακρύων, μήτε ἱδρῶν, ἀνηλεής(?): καὶ γὰρ ὁ ἐλεῶν δακρύει. καὶ ἄτεγκτος, σκληρός, ἀμάλακτος, ἄβροχος, ἀσυμπαθὴς, ἄβρεκτος. Ἅτε μυρίαι ὅπως αἱ μοῦσαι(?), ἐφ' αἷς ... Ἀτειρέα χαλκὸν, ἰσχυρὸν ... καὶ γίνεται ἐκ τοῦ τείρω, καὶ αὐτὸ καὶ ὁ ἀτειράμενος(?). ἔστι δὲ ἀτειρὴς οὐ χαλκὸς, ἀτειρὴς δὲ καὶ αὐτός: ἀλλ' ὁ σκληρὸς ἄθραυστος, καὶ ἄτεγκτος. καὶ ... δὲ καθ' ἧς ἀνίσταται(?). ἀτέραμνα γάρ φασι διὰ τοῦ ε, ὅσπρια τὰ μὴ ἑψόμενα. Πλάτων δὲ διὰ τοῦ κηροβόλα(?) λέγει τὰ σκληρά, ἐκ μεταφορᾶς. τὰ γὰρ προσπεσόντα κέρασι βοῶν (ὥς φησι) ὄσπρια, οὐχ ἕψεται. ἀντίκειται δὲ πρὸς τὸ ἀτειρὲς καὶ τὸ τέρην, καὶ ὁ τέρενα. ἴσως δὲ καὶ τὰ ἐν ... τέραμνα διὰ τὰς περὶ αὐτὰ γλυφὰς, αἱ ... ἐγκολάπτονται. ... ἐτυμολογεῖ, καὶ τὰ τείρει ἐκ τοῦ τείρειν παρωνομάσθαι. Ἀτειρὴς, ὁ σκληρὸς, ὁ ἀδάμαστος. τείρω, ἀτειρὴς, καὶ ἀτειρὸς. ἢ παρὰ τὸ τείρω, ἀτειρὴς καὶ ἀτειρής. Ἀτέκμαρτος ὄρνις, ὁ σημεῖον διὰ τῆς πτήσεως οὐκ ἐμφαίνων. καὶ ἀτέκμαρτον, ἀτέλεστον, ἀκατανόητον, ἄγνωστον, ἄσημον. Ἀτεκνία, ἡ ἀπαιδία καὶ ἡ μόνωσις. Δαβίδ, καὶ ἀτεκνίαν τῇ ψυχῇ μου. ὡς διὰ τὸ τίκτειν φυλαττομένης τῆς μνήμης.

Ἀτέλεστος, ἀκριβής(?) τις. Ἀτέλεια, ἀλειτουργησία. Ἀτελὲς, ἐλλιπές. Ἀτελὲς, τὸ μήπω τετελεσμένον. τὸ μὲν δὲ τετελεσμένον λαμβάνεται παρ' Ὁμήρῳ, καὶ ἐπὶ τοῦ μήπω μὲν τελεσθέντος, φύσιν δὲ ἔχοντος τελεσθῆναι. οἷον εἰ δύναμαι τελέσαι γε, καὶ εἰ τετελεσμένον ἐστίν. Ἀτέλεστον, τὸ ἀδύνατον τελεσθῆναι. καὶ ἀτέλεστος, ἀμύητος, βέβηλος, ἀνοργίαστος, τελετὰς μὴ πεπαιδευμένος(?). Ἀτέλεστός ἐστιν, ὁ μὴ μυηθεὶς, καὶ ἀτελὴς, ὁ ἀμέτοχος.

καὶ αἰολικῶς, ἄσφαλος, ὁ ἀβλαβής, καὶ εἰς μακρὸν ἔρος. ἢ παρὰ τὸ ἄτω, ὅτι βλάψαι, καὶ τὸ φαλῶται. καὶ δηλοῖ τὸν βλαβέντα, καὶ ἀπατηθέντα. ὅτι δὲ τὸ ῥαδίως φαλῶσαι φαλῶται παρὰ τοῖς παλαιοῖς ἐλέγετο, κατὰ τρίτην συζυγίαν τῶν περισπωμένων, δηλοῖ ὁ ἀνακρέων εἰπών, φαλώσας πρόμον, ἔγνως ἐξαπατήσας τὸν ἄρχοντα. τὸ δὲ φαλῶ φαλῶσαι, τὸ ὕστερόν ἐστι, διὸ καὶ τὸ μέσον ὃ γε φαλώτωσιν, οὐ διὰ τοῦ α ἔχει τὴν ἄρχουσαν, ἐν ταῖς ἀναλόγοις ἀπογράφοις, ἀλλὰ διὰ τοῦ ε. καὶ οὐ δηλοῖ ἀπατῶσα, ἀλλὰ κλέπτειν, παρὰ τὸ φαλῶ. καὶ ἀσφαλόν, τὸ ἀπειλαθόν, καὶ βλαπτικόν, παρὰ τὸ ἄτω τὸ βλάψαι, καὶ τὸ φαλῶσαι. ἀσφαλόν, ἢ αἰολικῶς ἀσφαλον. ὡς ὄνομα, ὄνυμα. Ἀσφαλάσως, συνεχῶς. σφαλάζειν γὰρ λέγεται, τὸ σπᾶσθαι καὶ σφακελίζειν.

Ἀσφάξ, ἀντέχεται. Ἀσφακίλιστον, ἀπερίσκεπτον, οὐ μεμαθηκὼς ἀσφαλῶς. Ἀσφάλαξ. παρὰ τὸ σκῶ, γίνεται σπάλαξ. καὶ πλεονασμῷ τοῦ α, καὶ τροπῇ τοῦ ψιλοῦ εἰς τὸ ἀντίστοιχον δασύ, ἀσφάλαξ. Ἀσφάλεια, σωτηρία, ἢ ἔγγραφος βεβαίωσις.

Ἀσφαλής, ἑδραῖος, ἀπὸ τοῦ σφάλλω. Ἀσφαλίων, πλάστης ἑξαρός ἐστι· πολλάκις προσφυὲς ὄνομα, ἐν οὐ χρὴ σφάλλεσθαι τὸν δίοντος, πρὸς τὴν διασκευήν. ὥσπερ καὶ ἱστωτός, πρὸ αὐτοῦ, ἀπ' ἀληθείας χρή. Ἀσφαλτίτις, ἡ ἐρυθρὰ θάλασσα. καὶ ἀσφαλτώσας, χρίσας, πισσώσας. Ἄλλως. Ἀσφαλτῖτις λίμνη, ἔνθα ἡ ἄσφαλτος γίνεται. ἄσφαλτος δ' ἐστὶ ξυρίον εἶδος, πίσσῃ ὅμοιον. χρῶνται δὲ αὐτῇ καὶ οἱ ἰατροί. λέγουσι δὲ τὴν ἄσβεστον. Ἀσφάλτωσις, πίσσωσις. Ἀσφάραγος, ὁ λαιμός. παρὰ τὸ ἀσπαίρω ἀσπάραγος, καὶ ἀσφάραγος. τίθεται γὰρ ἐν τῷ λέγειν ὁ λάρυγξ. ὁ δὲ Ἡρωδιανός λέγει, παρὰ τὸ σφάραγον, ὃ ἐστιν ἦχον. δι' αὐτοῦ γὰρ ἡ φωνὴ φέρεται, καὶ κατὰ πλεονασμὸν τοῦ α ἀσφάραγος. λέγεται δέ, τὸ ἐξ ἀκανθῶν φυόμενον βλάστημα. ἔστι δὲ καὶ βοτάνης εἶδος ἀσφάραγος, πρὸς τὰς καθάρσεις ἐπιτήδειον. καὶ οἱ μὲν ἀττικοὶ διὰ τοῦ φ τὴν λέξιν προσφέρουσιν, οἱ δὲ λοιποὶ μὴ ἀκριβοῦντες, διὰ τοῦ π. Ἀσφοδελοί, ἀθέρες, σφυλὸν γένος, τὸ ἰσχυρόν. Ἀσφοδελὸν λειμῶνα. ὀξύνεται δὲ ὁ ὁμηρικός οὗτος ἀσφοδελός, πρὸς διαστολὴν, ὡς περισπωμένως ἀσφοδέλων. ἀσφόδελος μὲν γὰρ προπαροξυτόνως, τὸ φυτόν, κατὰ ἐρώτησιν φίλωνος. ἀσφοδελὸς δὲ ὀξυτόνως, ὁ αὐτοῦ τόπος. Τρύφων δὲ προπαροξύνει φασὶν ὁμοίως ἄμφω, ἐπεὶ πολλάκις ὁμοίως τοῖς περιέχουσι τὰ περιεχόμενα. σιδήρεον γοῦν καὶ ὁ τόπος, ἐν ᾧ τὸ φυτὸν ποιεῖται, καὶ αὐτὸ τὸ φυτόν. ὁμοίως καὶ ἰτέωνες ὁ τόπος, καὶ τὸ ἐν αὐτῷ πεφυκός. Ἀσφράγιστος, ἀσήμαντος. Ἀσφυσγίτην, τυραννίαν μὲν θέλουσι, ὡς τὸ ἀφρόγιτος. ἀριστάρχος δὲ ὀξύνει, ὡς τὸ ἱππωτός. δηλοῖ ἡ λέξις τὴν λευκὴν συγγενοτέραν. ὀνομαθεῖσα παρὰ τὸ ἄφυσσω, ὅ ἐστι φύσιν, ὡς ἀπὸ τοῦ ἀφύσσω, ὃ καὶ αὐτὸ ὀνοματοποιίας τρόπος.

Ἀσχαλίς, ὀλιγώρως, ἀκαταλήπτως, ἀναιρεῖ. Ἀσχαλάα, δυσανασχετεῖ. Ἀσχάλλει, λυπεῖται, ὀλιγοψυχεῖ, ἀδημονεῖ, ἀγανακτεῖ. Ἀσχάλλω, κοινῶς ἀσχαλάω, ῶ, συνωλετικῶς, καὶ πλεονασμῷ τοῦ α ἀσχαλάω. πλεονάζει δὲ ἐν τῷ εἰς τοὺς πεόνας ὥστε μὲν τὸ ο μικρόν, ὥστε δὲ τὸ ω μέγα. καὶ τὸ μὲν ο μικρόν, ὅταν ἡ προηγουμένη συλλαβὴ βραχεῖα ᾖ. τὸ ω μέγα, ὅταν μακρά. ἴσον δέ, ὅτι ἐξ οἷς τὸ ω μέγα νῦν προστίθεται κατὰ συζυγίαν δευτέραν, ἐπὶ τοῦ πρώτου προσώπου τῶν ἑνικῶν, καὶ τοῦ πρώτου τῶν πληθυντικῶν, καὶ ἐπὶ τοῦ τρίτου οὗ προστίθεται. ἵνα δηλοῦσι τὸ ω ὦν. ἐπὶ δὲ τοῦ δευτέρου καὶ τρίτου τῶν ἑνικῶν, καὶ τοῦ δευτέρου τῶν πληθυντικῶν, ἵνα τὸ ω ὦν, οὐκέτι τὸ ο προστίθησι, ἀλλὰ τὸ ω. οἷον ὁρῶ ὁρόω, ὁρῶμεν ὁρόωμεν, ὁρῶσιν ὁρόωσιν, ὁρᾶς ὁρόας, ὁρᾶ ὁράα. καὶ ὅτι ἐὸ ὧν ἡ προηγουμένη συλλαβὴ μακρά ἐστι, καὶ τὸ προστιθέμενον ω μακρὸν ἔσται. οἷον μαιμῶ μαιμόω. καὶ ὅτι ἐπὶ τῆς τρίτης συζυγίας τοιαῦτα ἐφ' ὧν οὕτω τὸ ω μέγα προστίθεται, προστιθέμενον δὲ αὐτοῦ βαρύτονα γίνεται, καὶ κατὰ τὰ βαρύτονα ὅλα κλίνεται. οἷον ἱδρῶ, ἱδρόω, ἱδρώεις. καὶ ἡ μετοχὴ ἱδρώοντος, ὡς πέποιθα. ζῶ, ζώω, ἀπὸ τοῦ ζώω, καὶ βιῶ βιώω. ὁμοίως, καὶ ἐπὶ τοῦ δευτέρου. καὶ μάλιστα ἐφ' ὧν οὐκ ἔχει χώραν ἐπὶ τῶν δευτέρων. καὶ προσθήκη τοῦ ω ὁμοίως προσλαμβάνοντα τὸ ω εἰς βαρύτονα μετατίθεται, καὶ κατὰ τὰ βαρύτονα κλίνεται. οἷον ζῶ, ζώω, ζώεις, ζώει, ζώοντος. καὶ ἐπὶ παρατατικοῦ, ἔζωον, ἔζωες, ἔζωε. ἡβῶ ἡβώω, ἀφ' οὗ τὸ ἡβώοιμι. ἀπὸ βαρυτόνου γὰρ τὸ ἡβώοιμι, κατὰ ταυτὸ τῷ λέγοιμι, οὐκ ἀπὸ περισπωμένου ἂν ἦν ἡβῷμι. τὰ δὲ τῆς πρώτης, ὁμοίως ἔχει τῇ τρίτῃ. εἴτε ἐξ αὐτῆς οὕτω γίνηται, εἰς βαρύτονον μετατίθεται συζυγίαν. Ἀσχαλέοντος, δυσφοροῦντος. Ἀσχάλλων, ἀδημονῶν, λυπούμενος. χαλεπαίνων, ἢ ἀγανακτῶν. καὶ ἀσχαλόων, ὁ λυπούμενος. ἀσχάλλειν δέ, τὸ ἄχος ἄλις ἔχειν. Ἀσχέδωρος, ὁ σῦς, παρὰ ἰταλοῖς. Ἀσχίλιον, ῥαχό, κρῖθος. Ἄσχιο, ἀνέχει. Ἄσχιτος, ἀφόρητος, παρὰ τὸ χέω. ἀφ' οὗ καὶ ἔχευα ὁ παρακείμενος, καὶ ἐχύθην ὁ ἀόριστος. ὁ μέλλων, χεύσω. ἐξ οὗ ἡ χύσις. καὶ ὡς παρὰ τὸ τίθημι γίνεται θετός, ἵημι ἑτός καὶ ἀφετός, δίδωμι δοτός, οὕτω καὶ χέω χυτός, καὶ ἄχυτος. καὶ ἄχυτον, ἀκρότητον. καὶ ἄχιτος, ἀμέτρως. Ἀσχημάτιστον, ὃ μὴ ἔχουσι χαρακτήρ, ἐν διατυπώσεως σχήματος. Ἀσχημονήσωμεν, ὑπὲρ τὸ μέτρον ἐκκαλυψώμεθα. πᾶν γὰρ τὸ περιττόν, εἴτε ἐν λόγῳ, εἴτε ἐν πράγματι, ἀσχημοσύνην καὶ φλυαρίαν καλεῖ ὁ Πλάτων. φησὶ καὶ ὁ Θεολόγος, Καὶ τοῖς μὲν ἀσχημονήσωμεν μᾶλλον, ὑπὲρ ἐμπρέπομεν. Ἀσχήμονι θανάτῳ, ἐπονειδίστῳ. Ἀσχήμονα, ἄμορφον, ἀπρεπές. Ἀσχημοσύνη, ἀκοσμία. Ἀσχολία, ἡ πολλὴ περὶ τὴν σχολήν, καὶ συνεχὴς ἐπιμέλεια. καὶ ἀσχολοῦμαι, ῥῆμα. καὶ ἄσχολος ὄνομα, ἀρσενικῶς καὶ θηλυκῶς ἐκφερόμενον. σχολάζω δέ, τὸ ἑαυτὸν ἐκτὸς τοῦ πράγματος. τουτέστιν, ἡσυχίαν ἄγω, καὶ τοῦ θορύβου ἑαυτὸν ἀφιστῶ. καὶ ἐκ τούτου σχολή, ἡ ἄδεια. καὶ σχολία, ἡ περὶ τὰ ἀνθρώπινα πράγματα διατριβή, καὶ τὸν θεωρητικὸν βίον περισσολογί. σχολή, ἡ ἀπόθεσις τούτων, καὶ ἀναβολὴ ἐπὶ τὸ σπουδαιότερον, καὶ καθαρώτερον. διὸ καὶ σχολαστικὸς λέγεται, κατὰ τοὺς εἰς ἑαυτὸν τρέφων, ἢ ἀπόθεσιν τῶν ἀνθρωπίνων. ὡς καὶ Ἀριστοτέλης φησίν. Ἄσχολος, ὁ μὴ εὐκαιρῶν. σχολὴ γάρ, ἡ λεγομένη συνήθως εὐκαιρία. Ἄσω, ψαλῶ, αἰνέσω, ὑμνήσω.

Ἀσώδης, ἀμμώδης. Ἀσώματον, τὸ μὲν ὑπὸ ἀριθμῷ, ὡς οἱ ἄγγελοι, μιχαὴλ καὶ γαβριήλ. ἀριθμοῦ γάρ. τὰ δὲ οὔ, ὡς τὰ καθόλου. Ἀσωμένη, λυπουμένη. Ἀσώπιον, τόπος ἀθηνῶν. Ἀσωπός, ποταμὸς θηβῶν, ἔχων τὰς πηγὰς ἐν ὀρεινῇ χώρᾳ. ἐπωνομάσθη δὲ ἀπὸ Διὸς Ἀσώπου αὐτόν, διὰ τὸ ἡρπακέναι τὴν θυγατέρα αὐτοῦ Αἴγιναν, ὡς καὶ Καλλίμαχός φησιν.

Ἄσωτος, ἀσωτεύομαι, ἀσωτία. καὶ ἄσωτος, ἀκόλαστος, ἀσελγής. παρὰ τὸ σώζω, σώσω, σέσωκα, σέσωσμαι, σέσωσαι, σωτός, καὶ ἄσωτος. Ἀσώτως, αἰσχρῶς, ἀπλήστως.

ΤΟ Α ΜΕΤΑ ΤΟΥ Τ.

Ἄτα, ὥρα, παρεστῖναι. Ἀταβίω, ἄφοβοι. Ἀταβυρία, ἡ ῥόδος πάλαι. Ἀταβύριον ὄρος, ἔνθα θηρία συνάγονται. Ἀταής, ἀγόμενος. Ἀταβώνιον, χαλκός, ἔλαττον. Ἄται, πληροῦται. Ἄταλα, ἁπαλά. Ἀταλόν, ἀπαλόν, ἀναλυθείς, τρέφονται. Ἀτάω, τὸ θαυμάζω, καὶ ἐπλήσσομαι. ἀτεκμήριτα κακὰ ἔργα. Ἀτάκτημα, ἀταξία. ὡς τὸ, Τοῦ μὲν ἀτάκτημα γίνεται περὶ τῶν ἀρχῶν. Ἀτακτῶ, ἀταξίᾳ, ἀτακτῶ, ἀτιμῶ. καὶ ἀτιμάζω, τὸ ὑβρίζω, ἀτιμῶ, ἀπεταβάτως πάντη. Ἀταλά, νήπια, ἁπαλά.

Ἀταλαί, παρθένοι, αἱ μεθ' ἡμῶν ἀλλαγόμεναι, διὰ τὸ τὰ ἁπαλὸν ἁπαλόν. τὸ δὲ διοῦτον, τῆς παλαιτικῆς ἀντίληψις. Ἀταλαίφρονα, ἁπαλὸν, ὀλίγωρον. Ἀταλοφρένες, ἀταλαιπώρως ἡ παιδαῖς λέγεται. σημαίνει δὲ τὸ νεανικόν, καὶ ἁπαλόν. ταλαίπωρος, ἐπίπονος, ἄθλιος. εἴρηται δὲ ὡς Διονυσιακός, παρὰ τὸ τάλαν καὶ

Ἀστράβδην, τὸν τεχνολόγον. ἤγουν τὸν συνεστραμμένον, ἢ διεστραμμένον. Ἀστροβίαν, ταχὺν, συνεστραμμένον, ἐσφιγμένον.

Ἀστροβοληθῆναι, τὸ ἰσχυρῶς κατακαυθῆναι, ἐπὶ τῶν παιδίων. κυρίως δὲ, τὰ τῶν ἀνθρώπων καταβληθέντα, ἐπὶ τῆς ἐπιβολῆς τοῦ κακοῦ.

Ἀστροβολήτους, τοὺς ὑπὸ τοῦ κακοῦ βαλλομένους. Ἀστροβολίας, ὀστρακῶς, Πλάτων. οἱ δὲ, ταχέως. Ἀστροβόλιον ἐν ἰταλίᾳ. ἔνιοι δὲ τὸ διαβεβρωμένον, ἢ ἀστράβηλον. Ἀστροῖς σημειοῦσθαι μακρὰν ὁδὸν, καὶ ἐρήμην βαδίζειν. ἡ μεταφορὰ, ἀπὸ τῶν πλεόντων.

Ἀστρολόγος, γενεθλιολόγος. Ἄστρον, σῶμα πύρινον. ἐκ τοῦ οὐρανοῦ πεσόντος, ἢ τῇ κύκλῳ φορᾷ στρεφόμενον. ἢ σύστημα πλειόνων ἀστέρων. ἢ τὸ ἐπὶ ἴσα χρόνον συνεστηκὸς ἐν μετεώρῳ, ὡς κομῆται. Ἀστρονομία, ἡ τῶν ἄστρων διανομή. πρῶτοι Βαβυλώνιοι ταύτην ἐφεῦρον, διὰ Ζωροάστρου. μεθ' ὃν καὶ Ὀστάνης. Ἀστρονομῶ, ἀχαλῶ. τὸ ἀδημονῶ, καὶ λυποῦμαι. ἀχαμονῶ, ἀμεταβάτως.

Ἀστροπολοῦντας, περὶ τὰ ἄστρα ἀναφέροντας τὴν διάνοιαν.

Ἀστροφαὴς, λαμπρὸν, λευκόν. Ἄστυ, κοινῶς μὲν πᾶσα πόλις. ὅθεν καὶ ἀστὸς κυρίως, ἀνὴρ ὁ ἐξ ἄστεος, καὶ μὴ ἀγρότης. ἀττικοὶ δὲ, ἰδίως οὕτω τὰς Ἀθήνας ὀνόμαζον, κατ' ἐξοχήν. ὥσπερ καὶ οἱ Ἀλεξανδρεῖς, πόλιν ἐξαιρέτως τὴν Ἀλεξάνδρειαν. ἔλεγον οὖν οἱ Ἀθηναῖοι ἀστοὺς καὶ ἀστὰς, ἄνδρας τε καὶ γυναῖκας τοὺς ἐξ Ἀθηνῶν. καὶ ἀστὴν ἐλαίαν, τὴν ἱερὰν, καὶ μάλιστα τὴν ἐξ ἀκροπόλεως τῶν ἱερῶν. ἄστυ, ἐτυμολογεῖ Εὔμολπος τὴν λέξιν, λέγων, παρὰ τὸ ἵστασθαι. ἐπὶ μετεώρου γὰρ κεῖνται αἱ πόλεις. καὶ ἄστυ, παρὰ τὸ ἄνω ἵστασθαι. οἱ γὰρ ἀρχαῖοι, ἐφ' ὑψηλοῦ τόπου ᾠκοδόμουν τὰς πόλεις. ἐκ δὲ τοῦ ἄστυ, ἀστός. σημαίνει δὲ τρία, τὸν ἐν ἄστει διατρίβοντα, τὸν διὰ χαρίεντος ἤθους ἐπαινούμενον (ὡς ὁ κωμικός) καὶ τὸν γελωτοποιόν. Ἀστύαναξ, ἰχθῦς τις. οὕτω καλεῖται, καὶ ὁ τοῦ Ἕκτορος παῖς. Ἀστυάναξ δὲ εἴρηται, διὰ τὸ φιλεῖν τὴν Τροίαν, ὡς ἔρυσμα τῆς Ἰλίου. ὠνόμαζον καὶ τὸν ἑαυτοῦ παῖδα, Ἀστυάνακτα. καὶ ἀστυάναξ, οὐχ ὡς ἁπλῶς βασιλέως ὄντος τοῦ πατρὸς, ἀλλ' ὡς ἐρυομένου τὸ ἄστυ. τουτέστι φυλάσσοντος, ὃ ἔργον ἄνακτος, ὃς ἀπὸ τοῦ ἀνακῶς ἔχειν, ὅ ἐστιν ἐπιμελῶς. ἐτυμολογούμενος, πόλεων ἐστὶν ἐπιμελητὴς, καὶ ὡς οὕτως εἰπεῖν, ἐρυσίπτολις. τοῦτο γὰρ δηλοῖ τὸ ἔρυμα πόλεως. καὶ τείχεα μακρά. Ἀστυάνασσα, Ἑλένης θεράπαινα. ἥτις πρώτη ἐξεῦρεν ἀφροδίσια, καὶ ἀκόλαστα σχήματα. Ἀστυνασὸς, πόλις, καὶ ὁ πολίτης. Ἀστυβον, ἀλαλάζειν. Ἀστυβοῶντας, παρὰ τὸ κατὰ ἄστυ βοᾶν. ὥσπερ καὶ ἀπὸ τοῦ ἀπύειν, ὃ δηλοῖ τὸ φωνεῖν. ὃ: ὁ, ἠπύτα κῆρυξ, ὁ φωνακός. Ἀστυγειτον, πλησιόχωρον. ὁ ἀστυγείτων, τῇ πόλει γειτνιῶν. Ἀστυδάμεια, ὄνομα γυναικός.

Ἀστυλάζει, λυπεῖ μετὰ κλαυθμοῦ. Ἀστυλὶς, φυτὸν, ἤτοι ὁ ἱξός. Ἀστυλὸν, τὸ τραχὺ ἱμάτιον καὶ φαῦλον, μηλωτὴν, καὶ ποικιλίας. Ἀστυνόμια, ἡ χρυσὶς, ὑπὸ τῶν ποιητῶν. Ἀστυνόμος, ὁ διοικῶν κατὰ τὸ ἄστυ. καὶ ἀστυνόμους, Δημοσθένης κατὰ Τιμοκράτους. δέκα φασὶν εἶναι τοὺς ἀστυνόμους. Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ, πέντε μὲν ἐν Πειραιεῖ, πέντε δ' ἐν ἄστει. καὶ τούτοις μέλλειν περί τε τῶν αὐλητρίδων καὶ ψαλτριῶν, καὶ τῶν κοπρολόγων, καὶ τῶν τοιούτων. Ἀστυνυμφίων, τῶν συλλόγων, Ἀνακρέων. ἐπεὶ ὕστερον νυμφίος ἐγίνετο. Ἀστυξένοι, οἱ μὴ ἔχοντες ἐν τῇ πόλει τὴν ἰδίαν οἰκίαν. τῷ ἀστυξένῳ. Ἀστυόχη, κατὰ Ὅμηρον ἀστυόχεια, ὡς καὶ Πηνελόπη Πηνελόπεια. Φύλαντος ἦν θυγάτηρ. ταύτην Ἡρακλῆς ἄγεται, ἀνελὼν τὸν Φύλαντα, ὅτι κατὰ Ἐφύρην αἰτηθεὶς ἐστράτευσε. γεννᾷ δὲ ἐξ αὐτῆς Τληπόλεμον, ὃς ἐκφυγεῖν περιπέπτωκεν ἀκουσίῳ φόνῳ. ἰδὼν γὰρ τὸν ἑαυτοῦ μὲν πάππον, τοῦ δὲ πατρὶ μήτρωον, ἤτοι τὸν πρὸς μητρὸς θεῖον τοῦ Ἡρακλέους, τουτέστι τὸν Λικύμνιον (ἀδελφὸς γὰρ ἦν Ἀλκμήνης, ὡς φασιν, ὁ Λικύμνιος) τοῦτον οὖν ἰδὼν ὁμαλῶς φασιν ὑπὸ τοῦ γήρως χαραγωγούμενον, καὶ ἀφεὶς βακτηρίαν ἐπὶ τὸν οἰκέτην, τοῦ μὲν οἰκέτου ἥμαρτεν, κατασχέσας, τὸν δὲ γέροντα πλήξας ἔκτεινεν οὐχ ἑκών. διὸ καὶ ἔφυγεν εἰς Ῥόδον σὺν ἀγαθῷ λαῷ. καὶ κατασχόντες τὰς Ῥοδίους τόπους, καὶ ἐπὶ προσεχόμενος μέρη, ἐκράτησε. καὶ δυναστὴς γενόμενος, ἐστράτευσε κατὰ τῆς Τροίας καὶ αὐτός. Ἀστυπάλαια, καὶ ἀστυπαλαία, μοῖρα τῆς νήσου. εἴρηται ὅτι Πάτροκλος καὶ Ταμβρίων ἀπωκίσθησαν ἀπὸ Κυνουρίων, συλλεγέντες εἰς στόλον, πρὸς τοὺς ἐνοικοῦντας κόρας πτωχίαν θέμενοι, ὤκησαν πρὸς τὸν Χάρισιν ποταμὸν, καὶ εἰς δύο φυλὰς τὴν πόλιν διένειμαν. ὧν τὴν μὲν Χαρίαν ὠνόμασαν, τὴν δὲ Ἀστυπάλαιαν, ἀπὸ τοῦ παλαιοῦ ἐκείνου ὄντος ἄστεος.

Ἀστυπολεῖ, ἀγγελοφορεῖ, ἰχθυοφορεῖ. Ἀστυφεῖ, σιλλογραφεῖ, τερατολογεῖ. Ἄστυρον, πόλισμα. Ἀστύφιλος, ἐν ἄστει διατρίβων, ὁ ἐν πόλει ἀναστρεφόμενος. Ἀσυφήλικτον, ἀκίνητον, ἄσφαλτον, ἀπρόσβατον. Ἀσυφία, ἀσυνεσία. Ἀσύγγνωστος, ὁ οὐκ ἔχων συγγνώμην. Ἀσύγκριτον, ἀνόμοιον, ὑπερέχον.

Ἀσύγχυτον, ἀσυγχώρητον, ἤγουν μὴ συγκεχυμένον. Ἀσυλλόγιστον, τὸ μὴ καλῶς γεγονός. Ἄσυλον, ἱερὸν, ἢ τίμιον. καὶ ἄσυλον, ἀβλαβές. Ἀσύμβατον, ἀφιλίωτον, πολέμιον, ἀνεπίβατον. Ἀσύμβλητον, ἀσύγκριτον. Ἀσύμφορον, τὸ μὴ συμφέρον, ἢ ὀχληρὸν, καὶ ἀπρόσφορον. Ἀσυμφυὴς τῇ κτίσει, ἐκτὸς κτίσεως. Ἀσυμφυὲς, ἄδηλον περικεκαλυμμένον.

Ἀσύνακτος, ὁ μὴ συναγόμενος ἐκβλητος. Ἀσύνδετον χωρίον γίνεται, ὁπόταν ἐξαίρωνται οἱ σύνδεσμοι, οἱ συνδέοντες τὴν φράσιν. ὅπερ οὐ μόνον τάχους, ἀλλὰ καὶ ἐμφάσεως παθολογικὴ χάριν γίνεται. οἷόν ἐστι τὸ, Ἔσαν, ἵεμεν ὡς ἐκέλευες ἀνὰ δρυμὰ φαίδιμ' Ὀδυσσεῦ. εὕρομεν ἐν βήσσῃσι τετυγμένα δώματα καλά. ἐν Ὀδυσσείᾳ γὰρ, ὃ κεῖται ἐξήρηται. Ἀσυνδύαστος, μὴ συνδυασθείς. Ἀσυνδύαστος, ἀσύζυγος, ἀσύμπλοκος, ὁ ἀσυνδύαστος. συνδυάζω δὲ, τὸ συνεγκλίνομαι. ὡς τὸ, Οὐ μὴ συνδυασθῶ μετὰ τῶν ἐκλεκτῶν αὐτοῦ. Ἀσύνετος, ἄφρων. Ἀσυνετῶ, μωραίνω. Ἀσυνήθεις, τοὺς ἀσυνηθεστάτους λέγει ὁ Ἀπόστολος. ὑπερβολὴν ἀφροσύνης δηλοῦν. Ἀσυνθεσία, παράβασις συνθηκῶν.

Ἀσύνθετος, ὁ ἀσύμφωνος, ὁ ταῖς συνθήκαις μὴ ἐμμένων.

Ἀσυνάρτητον, ἀσυνάρμοστον. Ἀσύνθετον, τὸ μὴ ἐκ μερῶν συμπληρούντων τὴν οὐσίαν καθ' ὑπόστασιν ἔχον. Ἀσυνθετώτατον. Δημοσθένης ἐν τῷ περὶ παραπρεσβείας, ἐκ' ὄχλου ἐστὶ τοῦ πνεύματος. ἤτοι ἀντὶ τοῦ ἀπιστότατον, καὶ ἀβεβαιότατον, καὶ πίστει οὐ χρώμενον διὰ τὸ ἀβέβαιον. ἢ ἀνομολόγητον, καὶ ἀσύμφωνον. ὁμολογίαι γὰρ αἱ συνθῆκαι. ἢ ἀντὶ τοῦ ἀσυνετώτατον, ὅπερ ἐστὶν ἀνοητότατον. ἢ ἀντὶ τοῦ ὃν μάλιστα οὐκ ἂν δύναιτό τις συνιέναι, τί ποτε φρονεῖ. Ὅμηρος, Σὺ δὲ σύνθεο, καί μοι ὄμοσσον. Ἀσύντακτον, τὸ μὴ τεταγμένον, τὸ μὴ ἡνωμένον καὶ σύμμικτον, ἀλλὰ διεσπαρμένον καὶ διῃρημένον. τὸ ἀσύντακτον δὲ, ὃ καὶ ἀλλοίωσις καλεῖται, ἐστὶν, ὅταν ἡ συνήθης τάξις ἀλλοία γένηται, καὶ ἐπὶ πολὺ ἂν, ἕνεκα τοῦ κόσμου ἢ χάριν ἐμφαίνειν τοῖς λόγοις. τῆς μὲν συνήθους τάξεως οὐ δοκούσης ἀκολουθεῖν, ἐπὶ δὲ ἰδίαν ἀναφορὰς ἐχούσης ἀκολουθίαν. συμβαίνει δὲ πολλαχοῦ ἐπὶ τὰ γένη τῶν ὀνομάτων ἐναλλασσομένων. οἷόν ἐστι τὸ κλυτὸς ἱπποδάμεια, ἀντὶ τοῦ κλυτή. καὶ θῆλυς ἐέρση, ἀντὶ τοῦ θήλεια. σύνηθες γὰρ ἦν τοῖς παλαιοῖς, χρῆσθαι τοῖς ἀρσενικοῖς ἀντὶ τῶν θηλυκῶν, ὡς κρείττοσι καὶ δυνατωτέροις. οὐκ ἀμέτρως μέντοι, οὐδ' ἀλόγως, ἀλλ' ὅταν δέοι χρῆσθαι ὀνόματι ἐπιθέτῳ, ἐκτὸς ὄντος τοῦ σώματος, περὶ οὗ ἐστιν ὁ λόγος, ἐκεῖνο μέν ἐστι περὶ τὸ σῶμα. ὁ μέγας ἢ μεγάλη, ὁ καλὸς ἢ καλὴ, καὶ τὰ τοιαῦτα. ἐκτὸς δὲ, οἷον ἔνδοξος, εὐτυχής. καὶ ἀσυντελὲς, τὸ ἐκτὸς τοῦ τεταγμένου. Ἀσυντελὴς, ἀχρήσιμος, ἀσύμφορος. Ἀσυρὲς, βδελυρὸν, ἀσελγὲς, βλασφημὸν, θρασύ. Ἀσυρῆ, ἀπαίδευτα. Ἀσύστατον τὸ Αἰσχίνου λέγει Δημοσθένης, οἷον ἀδιάθετον, ἀπιθάνως συνεστῶτα τοὺς μύθους, οὐ συνεστῶτα, οὐδὲ πιθανὸν ἐν τῇ πίστει. Ἀσύφηλος, οὐ πρὸς, ἀλλὰ φαύλη ἡ λέξις. γίνεται δὲ ἐκ τοῦ σοφός· ἄσοφος, κατὰ πλεονασμὸν ἀσύφηλος, καὶ σίφλος.

Ἀστηνοὶ, οἱ δύστυχοι, οἱ πένητες, οἱ κάστιν καὶ οἶκον μὴ ἔχοντες. Ἀστέρα ἐπώνυμον λέγει Ὅμηρος, τὸν κύνα. ὃν ἡ κοινὴ λαλιὰ διὰ τὸ ζωίζειν κύνα ἄστρον λέγει. Ἰσορία. Ἀστερία φυγοῦσα τὴν μίξιν τοῦ Διὸς, μετέβαλεν ἑαυτὴν εἰς ὄρτυγα, καὶ ἥλατο εἰς τὴν θάλασσαν, ὅθεν ἐγένετο νῆσος, ἥτις Ἀστερία ἢ Ὀρτυγία ἐκαλεῖτο. ὕστερον δὲ τοῦ Διὸς συγγενομένου Λητοῖ, καὶ μέλλουσα τίκτειν αὐτῶν ἔγγονον, Ἄρτεμιν καὶ Ἀπόλλωνα, ζήλῳ τῆς Ἥρας μήτε ἐν τῇ γῇ μήτε ἐν θαλάσσῃ ὑπολαμβανούσης τὴν Λητὼ πρὸς ἀποτέξιν, κελεύει διὸ ποσειδῶνι ζηνὸς, καὶ ἀνέδωκε ταύτην τὴν νῆσον τὴν ὄρτυγα ἢ Ἀστερίαν λεγομένην, πρότερον κρυπτομένην τοῖς κύμασιν, ἔτι δὲ καὶ [illegible]. καὶ διὰ τὸ φανῆναι αὐτὴν, Δῆλον ὠνόμασαν. ἐφ' οὗ ἐλθοῦσα ἡ Λητὼ, καὶ δάφνης καὶ φοίνικος πρῶτον ἐκεῖ φανέντων ἀψαμένη, τὴν Ἄρτεμιν γεννᾷ. ἡ δὲ ταύτην μαιωθεῖσα, καὶ τίκτει τὸν Ἀπόλλωνα, καὶ Ἄρτεμιν. καὶ Ἄρτεμις δὲ τὴν Δῆλον κατέλαβεν, Ἀπόλλων δὲ εἰς Λυκίαν ἀπῆλθεν. Ἀστερία, ἡ Κρήτη, καὶ ἡ Δῆλος, οὕτως ἐκαλοῦντο. Ἀστέρι ὀπωρινῷ, ἤγουν τῷ κυνί. Ἀστέριον, πόλις ἐν Θεσσαλίᾳ. Ἀστέριος, ὄνομα κυρίου. Ἀστερίσκον ἐκάλουν οἱ παλαιοὶ, ὅς ἐστιν ἀστέρος σημεῖον χιαστὸν, ἔχον ἐν ταῖς τέσσαρσι γωνίαις στιγμάς. οὕτω ※ ᾗ τίθεται ἐπὶ τῶν ἄριστα ἐχόντων ἐπῶν. καὶ ἀστεροειδῶς, οἱονεὶ λαμπόντων, ὡς ἐν καλῷ κειμένων. καὶ λέγουσιν ὅτι ἐνταῦθα μὲν καλῶς ταῦτα λέγει, ἢ κατὰ καιρὸν ὁ ποιητής. Ἄσφακτα, τὰ οὐ δυνάμενα κατασχεθῆναι. Ἀστερόεν, λαμπρὸν, ποικίλον. Ἀστερόεντα, ἀστέρας ἔχοντι. Ἀστεροπὴ, ἡ ἀστραπή. παρὰ τὸ στερίσκειν τοὺς ὦπας διὰ τῆς ἀπολαμπούσης λαμπηδόνος. ἢ παρὰ τὸ ὄψω, ὀπή. καὶ μετὰ τοῦ ἀστέρος ἀστεροπὴ, καὶ ἀποβολῇ τοῦ ε ἀστροπή. Ἀστεροπητὴς, ἀστραπαῖος, ἀστραπὰς ποιῶν, ἤγουν ὁ Ζεὺς, ἀπὸ τῆς ἀστραπῆς. ἡ αὐτὴ γὰρ ἀναστρέφειν τοὺς ὦπας. Ἀστέρι ὀπωρινῷ, παρὰ τὸ κατὰ τὸν καιρὸν τῆς ὀπώρας ἀνατέλλοντι ἀστέρι. λέγει δὲ, τῷ κυνὶ, ἢ Σειρίῳ.

Ἀστέρων τέθριππος, τὸ ἅρμα ἡλίου. Ἀστερωπὸς, λαμπρὸς.

Ἄστεσι, πόλεσιν. Ἄστεος, πόλεως. Ἄστη, ἡ Ἀθηνᾶ ἐν ἀκροπόλει. ἡ καλουμένη Πάλλας, διὰ χθαμαλώτερα. Ἀστὴρ, ἀλωπεκῆ. Ἄστηνος, ὁ δυστυχὴς, ὁ πένης. ἀπὸ τοῦ κάστιν καὶ ἵδρυσιν μὴ ἔχειν. Ἀστὴρ, ἕν ἐστι σῶμα. ἄστρον δὲ, ζώδιόν ἐστιν ἐκ πολλῶν ἀστέρων συγκείμενον. ἀστὴρ ἀπὸ τοῦ αἰθὴρ, κίνησις, καὶ ἀπολαύσει τοῦ λαχόντι ἀήρ. καὶ ἀστὴρ ἀπέλαμπεν, ἐτυμολογίαν ἀστέρος ὑποβάλλει τοῖς, ὅς ἀπὸ τοῦ αἰθέρος, ὅπερ ἐστὶ λαμπρὸν λέγεται. ὅθεν καὶ ἐν Ἀδώνιδι ἐκεῖνο ἐπεὶ εἶπον τὸν καλὸν Μελέαγρον, ἀστέρα φοίνικα Ἀδώνιον. διαφέρει δὲ ὁ ἀστὴρ τοῦ ἄστρου. ἀστὴρ μὲν γὰρ, ὁ μονομερής. ἄστρον δὲ, τὸ ἐκ πολλῶν συγκείμενον. Ἄστιρ, ἡ φαρέτρα, ἤγουν ἡ βελοθήκη. Ἀστίκτου, ἄπιστον. Ἀστιβίστης, ἀθρόος. Ἀστιβῆ, ἄβατα. Ἀστιβεῖ οἴκει, τὰ ἄλυτα. Ἀστιβὲς ἔδαφος, ἀτριβὲς, ἀπάτητος, ἄβατος. στίβος γὰρ ἡ ὁδός.

Ἀστίβας, ἀπατήτους. Ἄστιγγας αἶγας, ἤγουν ἄστιγγας.

Ἀστικοὶ νόμοι, οἱ κατὰ τῶν ἀθηναίων πόλιν. ἴσαν δὲ καὶ ἐμπορικοί. Ἀστικὸν χωρίον, τὸ μὴ ὑποκείμενον δανειστῇ. ὅταν γὰρ ὑπόκειται, εἴωθεν ὁ δανειστὴς αὐτὸ τοῦτο δηλοῦν διὰ γραμμάτων ἐπόντων τῷ χωρίῳ. τὸ δ' αὐτὸ καὶ ἐπὶ οἰκιῶν γίνεται. Λυσίας ἐν τῷ πρὸς Αἰσχίνην τὸν σωκρατικόν. Ἀστικὸς, πολιτικός.

Ἄστικτον, τὸ ἐλεύθερον χωρίον ἀθηναῖοι ἐκάλουν, καὶ μὴ ὑποκείμενον χρέει. εἴρηται, ὅτι τοῖς ὑποκειμένοις χωρίοις ἔθεσαν ἐπιγεγραμμένην στήλην, ἐν ᾗ ἐδηλοῦτο ὅσον ἦν τὸ χρέος ἐφ' ᾧ ὑποκεῖται τὸ χωρίον, καὶ ὁ χρήστης. ἵνα μὴ πλανηθεὶς ἕτερος, ὡς ἀνεπαχθὲς ὂν αὐτῷ δανείσῃ. Ἀστικῶς, ἀστείως, ἐμφρόνως. Ἀστικά, συναπαρτιστοῦ. Ἀσπισμὸς, πιθανολογία. ὁ δὲ ὑπὸ τοῖς ῥηθησομένοις καὶ πολιτικοῖς καὶ ἀστισμῶν. γράφεται δὲ ἀστεϊσμός. Ἀστίοχος, ἄγγος σφαιροειδὲς, εἰς ὃ ἐγχέοντες πίσσαν καὶ θεῖον καὶ στυππεῖον, ἅψαντες, καὶ ἐκεῖ ἐμβάλλοντες, ἵνα τὰ προστυγχάνοντα. ἔστι δὲ καὶ τόπος λίθοις καὶ ξηροῦ ξύλου πεπληρωμένος. Ἀστιμος, ἄτιμον.

ἐκλελυμένας. Ἀστοῖσι, πολίταις. Ἀστοχώτατα, μὴ ἔχοντα ἀρχάς. Ἄστομοι ἵπποι, σκληρόστομοι. ὡς τὸ, ἄστομοι πῶλοι βίᾳ φέρουσιν. Ἄστομος, ὁ μὴ δυνάμενος λέγειν, Σοφοκλῆς. Ἀστὸν, πολίτην, ἢ πυκνόν. Ἄστονον, ἀμυδρὸν, μεγαλόστονον. Ἀστόξενοι, οἱ γένει μὲν προσήκοντες, ἐπὶ δὲ τῆς ἀπολαύσεως γεγονότες. οἱ δὲ τὰς ξένους μὲν ὄντας, ἐπὶ τιμῇ δὲ ἀστοὺς γενομένους. Ἀστόργους, ἀσπλάγχνους, ἀπαθεῖς, ἀφίλους. Ἀστόμιον, μέγα καὶ διακεχυμένον. Ἀστὸς, θαυμαστὸς, πολίτης. Ἀστοχεῖ, ἀποτυγχάνει, ἁμαρτάνει. Ἀστοχῶ τοῦ σκοποῦ, γενικῇ. Ἄστρα, ἀπλῶς τοὺς ἀστέρας. ὡς τὸ, ἄστρα δὲ δὴ προβέβηκε, παρώχηκε δὲ πλέων νὺξ τῶν δύο μοιράων, τριτάτη δ' ἔτι μοῖρα λέλειπται. ὅτι εἰς τρεῖς μοίρας διαμερίζων, καὶ τὸ πλεῖον ἀντὶ τοῦ πλήρες ἀκουστέον. ἵνα ᾖ, ὅτι πλήρης τῶν δύο μοιρῶν ἡ νὺξ παρελήλυθεν. Ἀστραβαλίζειν, ὁμαλίζειν, ἀπαθύνειν. Ἀστραβὲς, ἀστήρικτον, ἀσφαλές.

Ἀστραβῆ κίονα, παρὰ Πινδάρῳ. ἀστραβὴς δὲ λέγεται ὁ ἰσχυρὸς, καὶ μὴ ῥᾳδίως συστρεφόμενος. ἀστήρικτον καὶ ἀκίνητον. καὶ ἔστι κατὰ μετάθεσιν τοῦ σ εἰς α, καὶ ἀποβολῇ τοῦ λ. ἔστι γὰρ ἀστρεβλὴς, οἱονεὶ ἀστήρικτον καὶ ἀστραβῆ. Ἀστράβη, τὸ σαγμοσέλλιον. καὶ ἀστράβη, ἡμίονος. Δημοσθένης ἐν τῷ κατὰ Μειδίου. μέ ποτε δὲ καὶ πᾶν ὑποζύγιον ἐφ' οὗ ἄνθρωποι ὀχοῦνται, οὕτως ἐκάλουν. Ἀστραβιστὴρ, ὄργανόν ἐστιν, ὡς δίοπτρον. Ἀστραγάλας, τὰς τοῦ τραχήλου κάμψεις, λακωνικῶς κύνας. Ἀστραγάλη, ἡ τῆς ἰσφύος ῥίζα. Ἀστραγαλίζειν, τὸ παίζειν κατ' Ὅμηρον ἀστραγάλοις λέγεται. Ἀστράγαλον, τὸν σφόνδυλον. καὶ τὸ ὑποκάτω τοῦ σφυροῦ. Ἀστράγαλος, τρία σημαίνει. τὸν ἐν σφυρῷ, καὶ τὸν σφόνδυλον ἁπλῶς, καὶ τὸν παιδικὸν, ἢ παικτικὸν βόλον. Ἀστραγαλωτῶν, ἀλωπεκιῶν. Ἀστραλίαν, τὴν θρᾷκα, ἀηδόνι. Ἀστραλὸς, ὁ ψαρὸς, ὑπὸ θετταλῶν. Ἀστραπαῖοι, ἄνεμοι πνέοντες, ἀφ' ὧν ἀστραπαὶ γίνονται. Ἀστραπὴ ἐξέλαμψεν, ἐξέρραγεν, ἐξήστραψεν, ἐξεπλάγη, ἐπέσχε, τὰ ὄμματα ἐνέφραξε, συνετάραξεν, ἐξέπληξε, τὰς ψυχὰς ἐθορύβησεν, ἐξεθορύβησε, θόρυβον ἐνέθηκε ταῖς γνώμαις. λαμπρὰ, ὑπέρλαμπρος, διάπυρος, φλογώδης, ἐκπληκτικὴ, βλοσυρὰ, ἀπρόβλεπτος, δυσαντίβλεπτος, ἀπρόσωπος, δυσπρόσωπος, δυσαντίβλεπτος, δύσβλεπτος, ἀντίτυπος, ὡς συγκλείεσθαι τοὺς ὀφθαλμούς. ἢ ἀστραπὴ δι' ἅρματος ἀθηναῖοι, ἀστραπὴ δὲ ῥῆξις πυρὸς ἐκ νεφῶν περιβληθείσης. τὸ γὰρ πνεῦμα, μετὰ βίας ἐκραγέντων νεφῶν, καὶ τὸν ψόφον ποιοῦσαν, ἐκπυρωθὲν διὰ κίνησιν, φλογῶδες γίνεται. ἴσμεν δὲ, ὡς ἡ αὐτὴ φύσις τοῦ πνεύματος, ἐν μὲν τῇ γῇ ἐστι σεισμός. ἐν δὲ τοῖς νέφεσι, βροντή. περὶ δὲ τὸ πῦρ, ἄνεμος. πάντα γὰρ ταῦτα ἀναθυμίασίς ἐστι ξηρά. Ἀστράπτων ἐπιδέξια, οὕτως ἂν εἴχε φημι κατανοῆσαι τὸν Δία, ἀστράπτοντα ἐπιδέξια. ὁ δὲ ποιητὴς οὐχ οὕτως ἐποίησεν, ἀλλὰ τελείαν λέγων θέμενος ἐν τῷ πόνοις φέρων ἢ κῆρα φέροντες. εἶτα ὡς ἀπ' ἄλλης ἀρχῆς ἀσυνδέτως ἀρχόμενός φησιν, ἀστράπτων ἐπιδέξια, λείποντος τοῦ ἦν ὑπαρκτικοῦ ῥήματος. ἵνα λέγῃ, ὅτι ἀστράπτων ἦν ὁ Ζεὺς ἐπιδέξια. Ὅρα ὅτι ἐν ταῖς ἀστραπαῖς τὰ ἐκ δεξιῶν ἐστιν αἴσια, ὡς τῶν ἑώων μὲν οὐ γινομένων, ἀλλ' ἐνταῦθα νομιζομένων. σημείωσαι ὅτι ἐπιδέξια πάλιν ὕστερον ἀπεικάζει, καὶ τὰ δεξιὰ, καὶ ἐκ τοῦ δεξιοῦ μέρους τοῦ σώματος. παρ' ἡμῖν οὖν ἕως λέγει, τὰ ἐπιδέξια. ἴσως δὲ καὶ τὸ ἐν δεξιᾷ, ταυτόν ἐστι τῷ ἐπιδέξια. τιθεὶς γάρ ἐστι, τὸ ἐπιδέξια πᾶσιν εἰσακούειν. καὶ ἀστράπτων, ὑπολάμπων. Ἀστραπαία, ὁ κεραυνὸς, ἐπεὶ ἐπὶ τῆς γῆς οὐ σφενδονᾶται. Ἀστραφὲς, ἀστήρικτον, ἀσφαλές. Ἀσφαρὴς, σκληρός. Σοφοκλῆς.

Ἀστράψας διὰ πυκνὸς, ἀντὶ τοῦ δι' ἅρματος. Ἀστρεῖαι, ἀστροφαεῖς. Ἄστρεπτον, ἄκαμπτον, ὀρθόν. Ἀστρηνὲς, λόθινον, στιφρὸν, ὀξύ. Ἄστρια, οἱ ἀστράγαλοι, Καλλίμαχος, δὲ καὶ δ' ἄστρια αἰνοῦ λόφον. Ἀστρόβλης, ὁ ἀστρονόμος.

ἄῤῥενα ὑπάρχων. καὶ ἀσπὶς [illegible] δόξαν μεγάλην. [illegible] περιφερικοῦ [illegible] ὅ ἐστι [illegible]

Ἀσπὶς ὁ Ἀχιλλεύς, [illegible] φησὶν ὁ [illegible]

Ἀσπίδας εὐκύκλους ἔχων, φασὶν οἱ παλαιοί, ὡς [illegible] περιφερεῖς αἱ ἀσπίδες, ὅ ἐστι κατὰ τὴν [illegible] εὐκύκλους. [illegible] ἐπιμήκεις. [illegible]

[illegible]

μένην. Ἀσκοφορεῖν, ἐν ταῖς Διονυσιακαῖς πομπαῖς τὰ μὲν ὑπὸ τῶν ἀστῶν πράττεται, τὰ δὲ τοῖς μετοίκοις ταῦτα ὑπὸ τῶν νομοθετησάντων προστέτακται. οἱ μὲν οὖν μέτοικοι, χιτῶνας ἐνδεδυμένοι, χρῶμα ἔχοντας φοινικοῦν, τὰς σκάφας φέρουσιν, ὅθεν καὶ σκαφηφόροι λέγονται. οἱ δὲ ἀστοί, ἐσθῆτα ἔχουσιν ἣν βούλονται, καὶ ἀσκοὺς κατὰ τῶν ὤμων φέρουσι, καὶ διὰ τοῦτο ἀσκοφόροι καλοῦνται. Ἄσκρα, δρῦς ἄκαρπος. Ἀσκραῖος, ὁ Ἡσίοδος.

Ἀσκυρος, βοτάνη τις. Ἀσκῶ καὶ ἀσκοῦμαι, τὸ αὐτὸ σημαίνει τῷ καλλωπίζομαι καὶ τῷ μετέρχομαι. καὶ ἠσκημένος καὶ ἀσκούμενος. Ἀσκῶ θρίαν, ἀντὶ τοῦ καλλωπίζομαι, ἢ ἰατρικῶς, ἢ ἄλλην τινὰ ταύτην γυμνασίαν, αἰδοίων συντάσσεται. Αἰσχίνης, ἔχουσιν οἱ ἀθληταὶ τοὺς ἰδίους πόνους, τὰς ἰδίας ἀγωνίας, ἐν ὅσαις μὲν αὐτοὺς ἤσκησαν μάλιστα. καὶ ἀσκῶ ἐσθῆτα, ἀντὶ τοῦ καλλύνω, κυρίως ἐπὶ γυμνασίας λέγεται. ἀσκεῖται δὲ παῖς. καὶ ἀσκεῖ τὸν υἱόν, ἤγουν καλλύνει. ἀσκεῖ ἢ ἀργείην ἐξ ἀπαλῶν ὀνύχων, ὥς φασιν. Ἀσκωλιάζω, ἐπὶ ἀσκοῦ πηδῶ. Ἀριστοφάνης, ἀσκωλίαζ᾽ ἐνταυθοῖ πρὸς τὴν αἰθρίαν. Ἀσκωλιάζω, τὸ ἵστασθαι ἐφ᾽ ἑνὸς ποδὸς ἐφαλλόμενον, ἢ συστρεφόμενον τῶν κατὰ φύσιν. κυρίως δὲ ἀσκωλιάζειν, τὸ ἐπὶ ἀσκῶν ἅλλεσθαι. ἑορτὴν δὲ οἱ Ἀθηναῖοι ἦγον τὰ ἀσκώλια, ἐν ᾗ ἥλλοντο ἐπὶ ἀσκοὺς αἰγείους εἰς τιμὴν τοῦ Διονύσου. δοκεῖ δὲ ἐχθρὸν εἶναι ἀμπέλῳ τὸ ζῷον. ἀμέλει καὶ ἐπίγραμμα φέρεται τῆς ἀμπέλου πρὸς τὴν αἶγα, οὕτω λέγον. Κἤν με φάγῃς ἐπὶ ῥίζαν, ὅμως δ᾽ ἔτι καρποφορήσω, ὅσσον ἐπισπεῖσαι σοί, τράγε, θυομένῳ. ἢ ἀσκωλίαζε, ἀντὶ τοῦ ἅλλου. κυρίως δὲ ἀσκωλιάζειν ἔλεγον, τὸ ἐπὶ τῶν ἀσκῶν ἅλλεσθαι, ἕνεκα τοῦ γέλωτα ποιεῖν. ἐν μέσῳ δὲ τοῦ θεάτρου ἐτίθεντο ἀσκοὺς πεφυσημένους καὶ ἀληλιμμένους, εἰς οὓς ἐφαλλόμενοι ὠλίσθανον. καθάπερ Εὔβουλός φησι, Καὶ πρός γε τούτοις ἀσκὸν εἰς μέσον καταθέντες, εἰσάλλεσθε, καὶ καγχάζετε ἐπὶ τοῖς καταρρέουσιν. οὕτω καὶ Δίδυμος. ἢ ἀσκωλιάζειν ἔλεγον, τὸ ἐνάλλεσθαι τοῖς ἀσκοῖς, ἢ ἐπὶ ἑνὸς ποδὸς ἅλλεσθαι. ἦν δὲ τὰ ἀσκώλια, ἑορτὴ Διονύσου. ἀσκὸν γὰρ οἴνου πληρουμένου, ἐπὶ τοῦτον ἐπήδων. καὶ ὁ περιγενόμενος, ἆθλον εἶχε τὸν οἶνον. Ἄλλως. Ἀσκωλιάζειν. ἀσκωλιάζειν ἐστί, τὸ ἵστασθαι ἐφ᾽ ἑνὸς ποδὸς ἐφαλλόμενον, ἢ συστρεφόμενον τῶν κατὰ φύσιν. εἴρηται παρὰ τὸ σκέλος, ὅ ἐστι σκέλεσι τοῖς ἑνὶ ποδὶ ἅλλεσθαι, ἀπὸ τῶν πηδώντων σκέλεσι, καὶ χωλευόντων. ὅπερ Ἐπίχαρμος ἐν ταῖς Σειρῆσι σκελοβατίζειν φησί. σκωλιάζειν οὖν, καὶ κατὰ πλεονασμὸν ἀσκωλιάζειν. τινὲς δὲ οὐ πλεονασμὸν ἡγοῦνται τὸ α, ἀλλὰ παρὰ τὸν ἀσκὸν γέγονε. κυρίως γὰρ ἀσκωλιάζειν λέγεται, τὸ ἐπὶ ἀσκῶν ἅλλεσθαι. Ἀσκωλιάζοντες, ἐφ᾽ ἑνὸς ποδὸς ἀλλόμενοι. Ἄσκωμα, δέρμα ἀσκοῦ, ᾧ ἐν ταῖς τριήρεσι χρῶνται. καθ᾽ ὃ ἡ κώπη ἐμβάλλεται. ἢ ἄσκωμα λέγεται, ὁ ἱμὰς ὁ συνέχων τὴν κώπην πρὸς τῷ σκαλμῷ. Ἀσκῶστε, ἐχθέσθε. Ἀσμα, ὕμνος, ᾠδή, καὶ μέλος ᾠδῆς. Ἀσματα μηδὲν λέγει Ἀριστοφάνης, τὰς πλείονας καμπὰς ἔχοντας ἐν ἑαυτοῖς, ἃς οἱ μουσικοὶ καλοῦσι στροφάς, καὶ ἀντιστρόφους, καὶ ἐπῳδούς. Ἀσμενίσαντα, χαίροντα. Ἀσμενίζω, χαίρω. καὶ ἄσμενος, ὁ χαίρων. ἥδω, τὸ εὐφραίνομαι, ἧσμαι, ἡσμένος ὁ μετοχή, καὶ ἄσμενος.

Ἀσμενίζω, ἀσμενίζεις, τὸ σαίνω ἐφραίνομαι ἐκ τοῦ ἥδω, τὸ εὐφραίνω. Ἀσμένῳ μοι εἴη, περιφραστικῶς εἴρηται ἀντὶ τοῦ χαίρω. ἀσμένως ἔχω, ποιοῦ ἣν καὶ τὸ ἐμοὶ βουλομένῳ εἴη, καὶ τὸ ἐμοὶ χαιρομένῳ ἐστὶ τὸ δῖον, καὶ ἴσα δοκοῦντα. Ἀσμένως, μετὰ χαρᾶς, ἡδέως, εὐκτικῶς, προθύμως, ἑκουσίως. Ἀσμικτον, τὸ ἀπόλαυσον.

Ἀσμύστη, ἀγρυπνῆ, ἀσχημονεῖ. Ἀσμυλή, ὀλίγη ἀναπνοή. οἶμαι δὲ ἀθμυλὴ γράφεται. Ἀσόλοικον, ἄμεμπτον, προσηνές, οὐ βάρβαρον. Σοφοκλῆς. Ἀσον, ἄλωσον. Ἀσορ, ὁ κρατήρ, ὑπὸ φοινίκων. Ἄσπα, ὕπνος, ἡ ἐγγύς. Ἀσπάζει, συμπαθεῖ. Ἀσπάζεσθαι, καὶ τὸ φιλεῖν, ταῦτα μὲν δηλοῦσι τὴν φιλικὴν διάθεσιν, καὶ ἔχουσιν ἐναντίον τὸ μισεῖν. ταῦτα δὲ τὴν συμπάθειαν ὑπάρχουσαν, ὅπερ οὐκ ἔχει οὐδὲν ἐναντίον. καὶ ἀσπάζεσθαι λέγεται καὶ ἔπεσι μειλιχίοισιν, ἐπὶ πάσης ἐπιθυμητικῆς ἐπαινέσεως προσάγεται λέγεσθαι. καὶ ὅρα, ὅτι τὸ περιπλέκεσθαι καὶ ὅσοις ἂν τὴν σπᾶσθαι, ἀσπάζεσθαι λέγεται. Ἀσπαζόμεθα, ἤγουν ἀγαπῶμεν, φιλοῦμεν, καὶ χαιρετίζομεν. Ἀριστοφάνης, αὐτὴν ἠσπάζοντο, ἤγουν ἐχαιρέτιζον. Ἀσπάζω, ἔστι ῥῆμα σπῶ, καὶ σημαίνει τὸ διαχωρίζω. ἐξ αὐτοῦ γίνεται σπάζω κατὰ παραγωγήν, ὡς φρῶ φράζω. Ἀσπαθῆ, τὰ μὴ κεκρουσμένα τῇ σπάθῃ ἱμάτια.

Ἀσπάθητον κλαῖναν, τὴν δορὰν, παρ᾽ ὅσον οὐχ ὕφανται.

Ἀσπαίροντες, σκαρίζοντες, κινοῦντες, ψυχορραγοῦντες.

Ἀσπαλάζομαι, τὸ ἀσπάζομαι, πίπτουσι. Ἀσπαλῶς, φιλοφρόνως. Ἀσπάλαθος, εἶδος ἀκάνθης. Κινύρης, ἐκ δὲ ὀρειγόμενοι τὰ καὶ ἀσπάλαθοι. εἴρηται δὲ παρὰ τὸ σπῶ, σπάλαθος, καὶ ἀσπάλαθος. ἢ διὰ τὸ μὴ ῥᾳδίως ἀπὸ τῶν πλησίον ἀποσπᾶσθαι, ἤγουν ἀφαιρεῖσθαι. Ἀσπάλαξ, ζῶον ἐστερημένον ὄψεως.

Ἀσπαλιεύω, τὸ ἁλιεύω. παρὰ τὸ ἀσπᾶν τοὺς ἰχθῦς ἐκ τῆς θαλάσσης. ὅθεν ἀσπαλιευτής, ὁ ἁλιεύς. Ἀσπαλία, ἡ τοῦ ἁλιέως ἐργασία, ὁρμιά, ἁλιεία. Ἀσπαλιεύς, ὁ ἁλιεύς. ἄσπαλος γὰρ ὁ ἰχθύς.

Ἀσπαλιευτής, ὁ τῇ ὁρμιᾷ χρώμενος. Ἄσπαλον, σκῦτος.

Ἀσπάνιον, πάσσαλον. Ἀσπάραγος, ὁ ἐκ τῶν ἀκανθῶν φυόμενον τρυφερόν. κυρίως δὲ ἐπὶ τοῦ ὀρνέου λέγεται. ἤγουν ἄσπαρτος, ὁ μὴ σπειρόμενος. Ἀσπάσασθαι κυρίως ἐστί, τὸ περιπλέκεσθαι, διὰ τὸ ἄγαν σπᾶσθαι εἰς ἑαυτὸν τὸν ἕτερον, καὶ περιβάλλειν τὰς χεῖρας ἐν τῷ φιλοφρονεῖσθαι. Ἀσπασία, θαυμαστή, χαριέστατη. Ἀσπάσιος γῆ, ἀττικόν ἐστι. τὸ δὲ κοινόν, ἀσπασία ἐξ οὗ καὶ κύριον, ἣ παρὰ ταῖς ἱστορίαις φέρεται γυνὴ Ἀσπασία. Ἀσπασίως, ἡδέως, περιχαρῶς, ἀσμένως. Ἀσπασμός, ἡ εὐχή, παρὰ τῷ Ἀποστόλῳ, ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρί. Ἀσπασμός, πρόσρησις, προσηγορία, προσαγόρευσις. προσαγορεῦσαι. καὶ προσρηθῆναι, ἀσπάζεσθαι. καὶ προσειπεῖν, προσαγορευθῆναι, προσειρῆσθαι, προσειρημένος. καὶ ἀντιπροσειπεῖν, καὶ ἀντιπροσαγορεῦσαι, καὶ ἀντασπάζεσθαι. καὶ ἡ μὲν ἡμέρα ἐν ᾗ γίνεται ἀσπασμός, προσρητή, καὶ προσρησία, καὶ πρόσρημα. ἐν ᾗ δὲ μὴ γίνεται, ἀπρόσρητος. καὶ ὁ μὲν δεξιὸς ἐν τούτοις, εὐπροσήγορος, φιλοπροσήγορος. οὐ γὰρ εὐπρόσρητος σκληρότερον. ἐφαρμόσει δὲ τῶν κατὰ ἄλλην χρείαν, εὐπρόσοδος, εὐπρόσιτος, εὐέντευκτος, εὐεπίμικτος, εὐξύμβολος, μειλίχιος, ἵλεως, φιλάνθρωπος, ἥμερος, εὐμενής, πρᾶος. ὁ δὲ ἐναντίος ἐκείνῳ, δυσπροσήγορος, δυσπρόσιτος, δυσξύμβολος, μισοπροσήγορος, ἀπρόσρητος. τὰς δὲ ἐφεξῆς δυσπροσίας. δυσπρόσοδος, ἄμικτος, δυσμικτος, δυσέντευκτος, σκυθρωπός, σκαιός, ἀγριωπός, ἄγριος, σκληρός, τραχύς. ἀπάνθρωπος, ἀνήμερος, δυσμενής. ὁ γὰρ ἀμείλικτος, ποιητικώτερον. καὶ τὰ ἐπιρρήματα ἐκ μὲν τοῦ εὐπροσηγόρου, εὐπροσηγόρως, καὶ φιλοπροσηγόρως. καὶ τὰ ἐναντία, δυσπροσηγόρως, καὶ μισοπροσηγόρως, καὶ ἄλλα τὰ ὅμοια. Ἀσπαστοί, ἀσμενοι, ἐπιπόθητοι. παρὰ δὲ Καλλιμάχῳ, ἀσπαστής, ἀσπαστύς, τὸ ἔστι, προσηγορία, φιλία. καὶ ἀσπαστοί, ἡδεῖς, χαροί. Ἀσπαστόν, ἐπιθυμητόν, καὶ ἡδύ. Ἀσπαστῶς, ἡδέως. Ἄσπειστος, ἄσπονδος ἔχθρα, μῖσος. Ἄσπερμος, ἄγονος, ὀρχίς.

Ἀσπερχές, ἀδιαλείπτως, τοῦ α κατ᾽ ἐπίτασιν λαμβανομένου, τουτέστιν, ἄγαν ἐσπευσμένον. παρὰ τὸ σπέρχω, συνεχῶς, ἰσχυρῶς, ταχέως. ἢ ἀσπερχές, τὸ πλεονάζον, ὃ περισπερχὲς λέγει ὁ Σοφοκλῆς. κατὰ ἐπίτασιν καὶ αὐτός. ἁπλοῦν δὲ αὐτοῦ ῥητὸν οὐ τὸ σπερχές, ἀλλὰ τὸ σπερχνόν, ὅμοιον ὂν τῷ τερπνόν. Ἄσπιλα, δυσπαρακολούθητα, σαλά. Ἄσπετον, πολύν, μέγαν. ὡς τό, ἀμφὶ δ᾽ ἄσπετον χέας παμμιγῆ βοῶν. ἔστι ῥῆμα σπῶ, ὥσπερ παρὰ τὸ ἕπω τὸ ἀκόλουθον, σπῶ. ἐξ οὗ τὸ σπᾶσθαι, καὶ ἐνίσπω. ἐκ τοῦ ῥήματος ὄνομα σπετός, καὶ ἄσπετος. οἷον, ἄσπετος αἰθήρ. οἱ δὲ παρὰ τὸ ἕπω τὸ λέγω, φασὶν εἶναι ἄσπετα, τὰ οὕτω πολλὰ καὶ μεγάλα, ὥστε

δὲ ἐπὶ τῆς ψαμμώδους. ὅθεν καὶ ἀσπίς καλεῖται, αἱ κίνησιν καὶ ἀνακαθαρσίαν. καὶ ἄσις κατὰ ἰατρούς, ἡ ἀποφλεγμαίνουσα ποιότης, ὁ προσγεγμένος τῷ ἰλύι. ἡ ἄσις, ὁ ἐν ὕδασι ξηρὸς συρφετὸς, ἀπὸ τοῦ ἄγειν. οἱ δὲ τὴν ἐκ τοῦ ποταμοῦ λέγουσιν. ὅθεν καὶ ἄσιον, τὸν λειμῶνα καλοῦσιν. Ἀσιτία, ἡ ἀνορεξία. Ἀσιτῶ, ἄρτον οὐκ ἐσθίω.

Ἀσιχὴρ, λευκός. Ἄσιφ, ἄστρ ἰχοῦς καὶ ἰλύν. Ἀσιωτάν, ἀσιάν. ἐστὶ κώμη ἀρκαδίας, ὅθεν ὁ ἀλφειὸς ῥεῖ, τὰς πηγὰς ἔχων. Ἀσίῳ ἐν λειμῶνι, ἰωνὶς λέγουσιν. ἀντὶ τοῦ ἀσίω, κατὰ γενικὴν πτῶσιν. καὶ φασὶν, ὅτι ἀπὸ Ἀσίου ἐπιφανὴς ὁ λειμὼν ἐπωνόμασται. οὗ εὐθεῖα ὁ ἄσιος, ἡ γενικὴ ἀσίου, καὶ ἰωνικῶς ἀσίοιο, ὡς ἑρμείαο, ἑρμείω. καὶ ἐν συγκοπῇ, ἀσίω, ὡς ἑρμείω, ἑρμείω. καὶ ὅτι φασὶ λειμὼν ἀσίη, περὶ ὃν κεῖται καὶ τὰ τοιαῦτα συνάγονται. ὁ ἀσίῳ ἐν λειμῶνι πλὴν γὰρ ποιητὴ, ἐν γὰρ τοῦ ἀσίου συμφώνῳ τόπῳ, ἢ ἐν γὰρ ἰλυώδει τόπῳ. ἄσις γὰρ κατὰ διάλεκτόν ἐστιν, ὁ ἰλύς. ἄλλοι δὲ ἀσίῳ ὀνομαστικῶς, ἀπὸ ἀσίη τοῦ λυδοῦ. ἄλλοι παρὰ τὸ ἄσιν. ἀπὸ τῆς ἀσίας τοῦ πρώτου τὴν [illegible] ἐστιν, ὅς ἦρξε λυδίας. κατὰ δὲ τὰς προχοὰς τοῦ Καΰστρου ποταμοῦ ἐγγέγραπται. οὐ δὲ ἕλος καὶ βοτάνη, ἀφθονία ὁρῶσιν, τὸν ἀσίῳ ἐνταῦθα γενικῆς πτώσεώς ἐστιν. ὅθεν οὐκ ἔχει τὸ ι. ἐν γὰρ τοῖς ἀσίαις ἥρως, οὗ ὁ μόνος ὁ ἀσίας λειμών. εἶτα ἀσίῳ, ὡς ἀφιλάω. καὶ ἀσίω κατὰ συγκοπὴν, ὡς ἑρμείαο ἑρμείω προσλαμβανόμενος, ὁ αἰτίας ἑταῖρον, καὶ βορίας τινα τὸ ε. οὕτως ὡρος ἐν τῇ ὀρθογραφίᾳ. Ἀσκάλαφος, ὄνομα τοῦ ἄρεος. Ἀσκὲς κατὰ τὸ ἀσκαλάφου πλάγιον, πλεονασμῷ τοῦ σ. ἵνα ᾖ πλὴν τὸν ἀσκαλοῦ καὶ τὴν ἀρθρωσιν, ἀσκαλαφος, ὁ τύπος τῆς χρόας, καὶ ὑγρότης. ἀσκαλὸν δὲ φασι τὸν ἀγρὸν, μαλθακὸν, ἄφορον, ἄγρον. ὅθεν καὶ ἀσκαλάφεις τὸ ποταμός. Ἀσκαλαβώτης, ζωΐφιον, ἐοικὸς σαύρᾳ, ἐν τοῖς τοίχοις τῶν οἰκημάτων ἀνέρπον. πλὴν ἀπὸ τοῦ σκάλλω, τὸ ἀείχνευε, καὶ τοῦ βαίνω ῥήματος, ἀσκαλαβώτης, καὶ πλεονασμῷ τοῦ σ ἀσκαλαβώτης.

Ἄσκαλα, ἀσκάλτα. Ἀσκαλλιάζοντες, χωλαίνοντες, ἐφ' ἑνὸς ποδὸς βαλίζοντες. Ἀσκαλεῖ, κακῶς εἰργασμένοι, ἀτόνως τι. Ἀσκαμωνία, βοτάνης ἰατρικῆς. Ἀσκάντης, σκίμπους, δίφρον τινὰ ἄλλον, ἢ κραβάττιον λέγουσιν. Ἀσκαυλὴς, ἄγγελος. Ἀσκεῖν, ἐγκαρτερεῖν. Ἀσκεῖν, τέλος φρονεῖν.

Ἀσκάντας, κλιντήριον εὐτελές. ὁ παρ' ἀττικοῖς σκίμπους ὀνομάζεται. Ἀσκεθαμμενεῖ ἐς ἱερὸν βλέψαι. ἀντὶ τοῦ χωρὶς τοῦ βλάβης. Ἀσκεθλαμβάνοντες, ἀκαμπτεῖς. Ἀσκηθὴς, ἀσίνης, καὶ ἀσκηθέμεν. Ἀσκερίσκοι, εἶδος ὑποδημάτων, ὁ ἔλαυνε ἔχραι καὶ μακροῖς, ἐν γὰρ ἀπεῖρισιν ἀθλοῖσι, πλὴν γὰρ ἐπιγεγραμμένου.

Ἀσκαλίζειν, σημαίνει τὸ κινεῖσθαι. σκαίρειν, σκαρίζειν, καὶ ἀσκαρίζειν. Ἄσκαρμοι, ἀκίνητοι. Ἀσφοι, γένος ὑποδημάτων, ὁ διαδήματων. οἱ δὲ κρόταλα. Ἀσκελίσκος, φορτηγόν. Ἀσκητὸς. οἱ μὲν ἀπὸ τοῦ ἀσκοῦ ἀσκέω γίνεται, συστελλόμενος τὸ προπαραλήγουσαν τῆς ε εἰς ι. ὁμοίως γὰρ ξηρὸν, ξηρόν. οἷον κατὰ ξηρὸν ὑπείρου. οἱ δὲ ἀπὸ τοῦ χέω ἐτυμολογοῦνται, φασικῶς ἔχει τὸ ε. λέγονται δὲ καὶ ἐκ τοῦ ἀσκοῦ, ἀσκείον γενέσθαι. ἀσκηθὴς, καθ' ὁμοιότητα τοῦ πεδοῦ ποιεῖσθαι, ἢ σχῆμα σχίσσειν. Ἀσκεῖ, μελετᾷ, γυμνάζεται, φιλοπονεῖ. Ἀσκεία, θρησκεία, εὐσέβεια, κόσμησις. Ἀσκεῖν, ἐπὶ ἐπιμελείας τῆς διὰ χειρῶν ποιήσεως τίθεσιν. οἷον, ἤσκησε εἶναι, καὶ πλέξας καὶ ἀσκήσας χιτῶνα. καὶ τῆμα δὲ πᾶν ἀσκητὸν λέγει. ταῦτα δὲ γὰρ κασμεῖν, καὶ γὰρ ἀσκεῖν. ὅθεν ὡσαύτως χωρίον ὑφασμένον, ἴσως τὰ ὑφασμένα, εἶδε πλέκων πρὸς τρίχας φασίν. ἢ οἱ τὸ σκεῖπον ἔδει πάλαι, ὡς τοῦ ἀσκεῖν ἔπειτα κασμεῖν καὶ ἀσκεῖν. ἢ σκεῖπον, ὅτι τὸ σκέπειν εἰσα πάντα τοῦ σ γράφουσιν οἱ παλαιοὶ, καὶ μετὰ τὴν συναίρεσιν τοῦ σκηνή. λέγει δὲ ἰωνικῶς οὕτω λέγεσθαι. Ἀσκαλὶς, ἡ ἀντὶ τοῦ πάνυ σκληρὸν, ἀπὸ τοῦ σκέλλω τὸ ξηραίνω. ἐξ οὗ καὶ τὸ σκέλλος. καὶ ὁ κατάσκελετος, καὶ ὁ σκελετός. ἢ καὶ ἄλλως ἀσκελὲς, τὸ ἀμετάβατον καὶ ἀμετανάστατον, ἀπὸ σχέσεως τοῦ σκέλους. ἴσως δὲ καὶ ἀντὶ τοῦ κατατεθλασμένον καὶ πολυσπερχὲς, καὶ οἷον πολυσκελὲς, κατὰ τὸ ἔξω καὶ σκέλους καὶ σκέλη, καὶ ἀντὶ τοῦ ἀδιαλείπτως.

Ἀσκελέες, κατεσκελετευμένοι, ἄγαν ξηροί. Ἀσκελέως, ἀντὶ τοῦ σκληρῶς, ἢ ἀμεταβάτως. Ἀσκέπαστον, ἄφρουρον, ἀκάλυπτον, οὐκ ὑφορώμενον. Ἀσκεύοις, ψιλοῖς, ἀπαρασκευοῖς. Αἰσχύλος. ἀγαπώμενοι. Ἄσκεπον, ἀντὶ τοῦ ἀπαράσκευον, ἄπλον. χλωρὸς ὁ θεολόγος, ἥσκει ἄσκεπον καὶ ἀπέραστον. Ἀσκηθὴς, τουτέστιν ἀβλαβὴς ἔστιν, οἱονεὶ τεθεραπευμένος, ἢ ἀβλαβὴς. ἢ ἀσκεθὴς, λέξις σιτοδεῖν κατὰ τοὺς παλαιούς. λέγεται δὲ ἀπὸ τοῦ ἀσκεῖν γενέσθαι, καὶ σημαίνει τὸν ὑγιῆ. τοιοῦτοι γάρ οἱ ἀσκηταί. οἱ δὲ καὶ ἀπὸ τοῦ α στερητικοῦ καὶ τὸ χῆθος ἐτυμολογοῦνται, ἵνα ἢ ἀχηθὴς. καὶ ἰωνικῶς ἀσκηθὴς, ἢ κατὰ μετάθεσιν ἀντιλείαν ἐκτανεῖν ἀσκηθὴς, ὁ πολὺς τὸν ῥῆμα, καὶ ὃν οὐκ ἐστὶν ἐπέχειν. οὐδὲ αὐτὸ συντάττεται. εὕρηται δέ τι καὶ ἀσκηθὴς διὰ τοῦ ε, πλὴν γὰρ ποιητοῦ.

Ἀσκήματα, κατασκευάσματα, ἀπὸ τοῦ ἀσκεῖσθαι. Ἄσκημα, εἶδος τι τοῦ ἱματίου. Ἀσκήσεως, καὶ ἐπιμελείας ὑφαίνεις. Ἀσκῆσαι, τὸ θεραπεῦσαι, ἐπιμεληθῆναι, ἀθλῆσαι. καὶ ἀσκῆσαι, τὸ ἐπιμέλειαν ἀρῆσαι. πλὴν γὰρ ἀσκεῖσθαι, ἤγουν θεραπεῦσαι, πλεονασμῷ τοῦ ε. ὅθεν καὶ ἄσκησις, ἡ τοῦ σώματος ἐξ κείας ἐν ταῖς τροφαῖς. τοιοῦτοι γὰρ οἱ παρ' ἕλλησιν ἀθληταί, συμπτωρ ἀσκηταί. Ἀσκάλλε, ἀντὶ τοῦ καλλωπίζε λέγουσιν ἐκάλει. Ἀσκάζοντο, ἀντὶ τοῦ μαθόντες, καὶ ἀντὶ τοῦ κοσμηθέντες.

Ἄσκησις, ἐπιμέλεια. Ἀσκητὰ πέπλου τὸ καὶ ἀσκητὸν, ἀντὶ τὸ κατασκευασμένον πέπλου, ποτίσιν ὑελόφαιε καὶ πεποικιλμένον. ὅθεν γὰρ τὸ ἄμπυξ σημαίνει. ἡ ἄμπυξ, γὰρ συνδεῖσθαι τὰς τρίχας, ἀπὸ τοῦ ἀμπέχειν. Ἀσκοὶ ἀς, οἷον τὸ ὡς ἀσκὸν κεκολλῆσθαι τὸ ἀσκεῖν. ὅς δὲ αὐτοῦ, ὁ πάθος τοῦ ἀσκίτου. καὶ ὁ ἀσκῶν τὰς, ἀπὸ τοῦ ἀσκεῖν. ἐκ τοῦ ἀσκὸς, ὁ ἀσκίτης, ὁ ἐν γὰρ κοιλίᾳ διαλλιαι καὶ λιμνοίως ἀναστρεφόμενος. Ἀσκοπὴν λίχον, τὸ μὴ σὺν χείλεσιν ἐκπιεῖν, ὅθεν ἐπιμελεῖ ἀμείβειν ἢ συναλαλεῖσθαι. οὕτω καὶ ἀσκοπεῖν, τὸ ἐπιμελεῖσθαι καὶ ὁ ἄσκοπος. Ἄσκιον, τὸ μὴ ἔχον σκιάν. Ἀσκός ὕλη, ἡ λασία ὕλη. Ἀσκοφορὸν, ἐν ᾧ δοκεῖ πλὴν Δημόκριτος. Ἀσκολαστός. Ἀσκληπιάδου μέλος γένος, ὑπὸ τῆς ἀσκήσεως, οὗ τὸ λαπιθῶν γένος φασὶ γενέσθαι. σίδηρ γὰρ ἢ ἀπόλλωνος ὁ λαπίθος. οὗ ἀπόγονος ἀσκληπιὸς, ὃς καὶ αὐτὸς ἀπόλλωνος ὁ σίμερας κεραυνωθέντος. ἀσκληπιοῦ δὲ οἱ γενόμενοι δύο ἰατροί. Ἀσκληπιὸς, ὁ ἰατρὸς. παρὰ τὸ ἀσκεῖν τὸ σωματῶν ἤπια ποιεῖν. τὸ δὲ ἀσκελὲς, παρὰ τὸ σκέλλω, τὸ ἄγαν σκληρὸν. ὅθεν καὶ σκέλος. ὀργίζεται δὲ, ὡς Δημοσθένης προπαροξυτόνως προφέρειν ἠξίωσεν, ὡς ἱστορεῖ Πλούταρχος. ἢ ἀσκληπιὸς, διὰ τὸ ἀσκεῖν τὴν ἐπὶ δέρμα ἰὸν ὀφθαλμοῖς, ἤπιος ἐπιεικὴς φασίν, πλεονασμῷ τοῦ λ. ἢ παρὰ τὸ ἀσκεῖν ἠπίως ἤτοι σώζοντας, ἢ ἐπὶ ἐπιμελείᾳ ἀρτοῦν. ἢ παρὰ τὸ μὴ σκελετεύεσθαι αὐτοῦ. ἤπιος προσφωνούμενος. Ἀσκληπιὸς, ὁ λόφος. Ἀσκληπιοῦ παῖδες, πεπλασμένοι, μαχάων, ἰασώ, πανάκεια, ὑγιεία. ἀναπέπλασται δὲ τὰ ὀνόματα, παρὰ τὸ ἰᾶσθαι, καὶ πάντα ἀκεῖσθαι, καὶ παρὰ τὸ ὑγιεινὸν περιέχειν. Ἀσκόλαχα, ἀσκαλαβώτης.

Ἀσκὸν λύεσθαι. ἀσκὸς ἐκπετάμενον ἐστὶν, καὶ μετὰ σάλπιγγος ἔχειν, μεστὸν ἀνέμων. Ἀσκὸν δέρειν πλὴν γὰρ λέγουσιν, ἀντὶ τοῦ σῶμα ἐκδέρειν. Ἀσκοπήρα, τὸ μαρσύπιον. ἀπὸ τὸ σκοπάω. Ἄσκοπος, ὅθεν Σοφοκλῆς. ἄσκοπα δὲ, ἀνόητα, ἀπροόρατα. Ἀσκοφόρους, ἀσκοὺς μὲν οἴνου τὰ μάλα. οἷον ἀσκὸς γὰρ λέγουσι, ἢ πλὴν φαῦλοι εἰσὶν. ὅθεν γίνεται τοῖς ἐπομένοις ἐξ ὕπνου. Ἀσκὸς, ἐσθία, ἢ ὁ ἀβλαβὴς, ἢ ὑγιὴς, ἢ μὴ ἐχόμενος. ὅθεν καὶ ἄσκυς, ὁ ἀβλαβὴς, ἀπὸ μεταφορᾶς τοῦ ἀσκοῦ. Ἀσκόνευε, μελετῶσιν, μελετῶντες. Ἀσκούμενοι, γυμναζόμενοι, παιδευόμενοι. Ἀσκυρώδες, ἄρκτου μικρά. Ἀσκυφλωνίζει, οὐδαμοῦ καταπλῆξαι, τῇ σκιᾷ μορμόνος.

...προσευχόμενοι. Ἀρχώνης, ὁ ἄρχων τῆς ὠνῆς, οὕτως ... Ἀρχυτέλλας ... Πλάτων. Ἀρῶ, ἱκετεύω. Ἀρωγή, ἡ βοήθεια. Ἀρωγός, βοηθός, λυσιτελής, ὠφέλιμος.

Ἄρωμα, θυμίαμα. καὶ ἄρωμα, τὸ κόρισμα, καὶ ... μέγα. ... μικρόν. Ἀρῶμαί ... Χαίρισε. ἀρῶμαι ... εὔχομαι ... θεῶν ... γενέσθαι.

Ἀρώμενος, καταρώμενος. Ἀρώς, ἀριθμοῦ ὄνομα παρὰ πέρσαις.

ΤΟ Α ΜΕΤΑ ΤΟΥ Σ.

Ἀς, ἕως, ὅπως, μέχρις, οὗ. Ἀσάζειν, ἀσχάλλειν. Ἆσαι, κορέσαι, χορτάσαι, θρέψαι, πληρῶσαι, βλάψαι. λέγεται καὶ ... ὑμνῆσαι, ψάλλαι. καὶ παρ' Ὁμήρῳ ... αἵματος ἆσαι Ἄρηα ... Ἄσαιμι, πληρώσαιμι, κορέσαιμι ...

[illegible]

ἀρύειν καὶ βάπτειν. παρὰ τῷ Ἀριστοφάνει. Ἀρύβας, ὄνομα κύριον. μολοττῶν βασιλεύς. Δημοσθένης. Ἀρυβάλλον, κοτύλη, ἢ φάσκωλον. φάσκωλον δέ ἐστιν εἶδος πτυχίου. Ἀρυστῶ, ἀντλῶ. Ἀρύω, ἀνελκύω, βοῶ. Ἄρυθμος, ἄμουσος. Ἀρύθμως, ἀσυμφώνως. Ἀρύομαι, τὸ ἀντλῶ. Ἄρυον, εἵλκυσα.

Ἀρύσασθαι, λέγεται, κελεύσασθαι. Ἀρυκὶς, φιάλη. λέγονται δὲ οἱ ἀχαιοὶ κατὰ πλεονασμὸν τοῦ α, ἄρυκες. Ἀρύσαντος, παρὰ τῷ Ἀπολλωνίῳ, ἀντὶ τοῦ ἀφελομένου, ἀποσπάσαντος, ἢ ἐκποιήσαντος. Ἀρύσασθαι, ἐπιχλίεσθαι. Ἀρυσάμενος, ἀντλήσας. Ἀρυσμοί, ἀχεμοί, ἀκουσμοί. Ἀρυσῖς, τὰς ἀπνοαὶ πόλεις. τὰ δὲ αὐτὰ, καὶ ἀρυστῆρας καὶ ἀρυσίχους ἐκάλουν. Ἀρύστιχος, καὶ ἄρυστις, καὶ ἀρυστὴρ, ἀγγεῖόν ἐστιν, οἷον ἀρύσασθαι. κοτύλη, ἢ κύαθος. εἶχον δέ φασιν αὐτοὺς πρὸς τὴν διαφάνειαν, ἀρυσίχας δὲ, οὓς ἐνίοτε κοχλίσκους. Ἄλλως. Ἀρυσίχους τοὺς οἰνοχόους λέγουσιν, ἀπὸ τοῦ ἀρύειν, ὅθεν καὶ ἀρύταινα. ὕστερον δὲ καὶ ἐφορεῖν τὸν τοιοῦτον σκεῦος. ἔθος γὰρ οἱ παλαιοὶ τὸ τέρπεσθαι τὰς ἐνεχύρων προσφέρειν. καὶ ὁ ποιητὴς τίνων, ἀπὸ ταύτης τῆς αἰτίας τοῦ ἔθους ὑπαχθέντος, καὶ ταῦτα τοῖς θεοῖς οἰνοχοεῖσθαι παρεισήγαγεν, οἷον ἐπὶ τῷ τεταγμένῳ ὑπουργίᾳ λειτουργίαν αὐτῷ προσανάψειν. Ἀρύταινα, χαλκοῦν σκεῦος, ὃ τὸ ἔλαιον ἐγχέουσιν εἰς τὸν λύχνον. Ἀρυφῆ, ῥυτίδα, ἀρυφή. Ἀρύω, τὸ ἀντλῶ. Ἀρφα, ἀφραδῶν. Ἀρφὶς, ἱμὰς μακρὸς.

Ἀρφύταινον, ὁ λίθος, ὑπὸ λυδῶν. Ἀρχαία φύσις, ἡ πρὸ τοῦ νοσεῖν κατάστασις, παρὰ τῷ Ἱπποκράτει. Ἀρχαῖα, τὰ κεφάλαια τῶν χρημάτων. Ἀριστοφάνης πρόθλαις, αὐτό τε καὶ ἀρχαῖα, καὶ τόκον τόκων. καὶ ἀρχαῖα, τὰ χρέα. καὶ παλαιὰ, παμπάλαια, ἄσημα, παλαιά, ἀφανῆ, συγκεχυμένα, ἀμυδρά, ἀμαυρά, ἐξίτηλα, ἄδηλα, δύσγνωστα, ἄγνωστα, δυσγνώριστα, ἀγνώριστα, ἀτέκμαρτα, δυσόρατα, ἀόρατα, ἀδιόρατα, κατερρυηκότα, διερρυηκότα, δυσσύμβολα, δυσείκαστα, δυσεύμβολα, ἀσύμβολα. Ἀρχαϊκὸν, ἁπλοῦν, ἀφελὲς, ἄλογον. Ἀρχαιομελισιδωνοφρυνιχήρατα, παρὰ τῷ Ἀριστοφάνει, παρὰ τὸ μέλι, ἐπεὶ ὥσπερ εἰπεῖν, ἃ τὰ μέλη καὶ τὸν σιδῶνα, καὶ τὸν φρύνιχον, καὶ τὰ ἐρατὰ ἐποίησεν. οἷον ἀρχαῖα μέλη φρυνίχου, ἐρατὰ καὶ ἡδέα, καθάπερ μέλι πεφυκότα τὸ τοῦ σιδῶνος ὄνομα. Φρύνιχος δὲ ἦν τραγῳδίας ποιητὴς, ὃς ἔγραψε δρᾶμα φοινίσσας, ἐν ᾧ μέμνηται σιδωνίων. τὰ δὲ μέλη εἶπε, διὰ τὸν γλυκύτατον τοῦ ποιητοῦ. ἡ καὶ ἄλλως συντίθεται ἡ λέξις, παρὰ τὸ ἀρχαῖον, καὶ τὸ μέλος, καὶ τὸ σιδῶν, καὶ τὸ φρύνιχος, καὶ τὸ ἐρατόν. Ἀρίσταρχος δέ φησι γεγονέναι, ἀπὸ τοῦ μέλι καὶ τοῦ σιδῶνος, καὶ τοῦ φρυνίχου, καὶ τοῦ ἐρατοῦ. Ἀρχαῖον, ἀντὶ τοῦ μωρὸν λέγουσιν, καὶ ἀρχαῖον τὸ κεφάλαιον, λυρῶδες, ἀνόητον, εὐήθη, οὐδενὸς λόγου ἄξιον. Ἀρχαιογονος, ὄντινα ὁ ἀρχαιότερος ὀνόματι χρώμενος. Ἀρχαιότροπος, ὁ παλαιὸς τρόπος. Ἀρχαιρεσιάζειν, τὸ ἀναψηφίζειν καὶ ἀναιρεθῆναι ἄρχοντα. Διόδωρος ἐν τῷ πλουτῷ, ἡ ἀρχαιρεσιάζειν, τὸ πρὸς χάριν τοὺς πολλοὺς ζῆν. Ἀρχαίως, ἀντὶ τοῦ ἀνοήτως, καὶ ἀντὶ τοῦ παλαιοῦ, ἁπλῶς, καὶ ἀκάκως. Ἀρχὰς, ὑποθέσεις, βαθμίδας.

Ἄρχει τῆς ἵππου, συντακτικῶς ἀντὶ τοῦ τῶν ἱππέων στρατηγῶν. Θουκυδίδης, στρατηγὸς μὲν τοῦ παντὸς πεζοῦ, οἱ σύμμαχοι ἕξουσι τὸν ἀμφοῖν τῆς ἵππου Φιλίππου. Ἄρχειν, τὸ προηγεῖσθαι ὅλου. ἢ ἔργου, ὁ πρὸ βραχέων ἦρξεν πολλὰς ἄθλων. ἐκ ἀρχῆς ἀνθρώπων. πρωτεῦσι δὲ, καὶ ἀνθρώπων καὶ θηρίων. ἐκ ἀρχῆς, λόγων. Ἀρχεῖον, τὸ χλωροφυλάκιον, ἔνθα οἱ δημόσιοι χάρται κεῖνται, ἢ παλαίον. Ἀρχέκακοι νῆες, ὡς κατάρξασαι κακῶν μάλιστα τοῖς Φρυξίν. ἐθλίψων μὲν γὰρ πολλοὶ δι' αὐτὰς ἦλθον. Χαμαίουσα, ὅτι ταῦτην εἶπεν συνθέτως ἀρχέκακον, ἡ διαλελυμένως ἀρχὴν κακοῦ, κατὰ Ὅμηρον. φασὶ γοῦν Ἡρόδοτος, αἱ νῆες αὗται, αἱ τοῖς ἴωσι τιμωρήσουσαι βοηθεῖν, ἀρχὴ κακῶν ἐγένοντο ἑλλησί τε καὶ βαρβάροις. τοιοῦτον παρ' αὐτῷ Ὁμήρῳ, αἱ γενόμεναι εἰς ἀρχήν. ἀφ' οὗ ὕστερον τὸ ἀρχαιρεσιάζειν συνετίθεντο. καὶ τὸ ἔτος ἄρξαι, ἀντὶ τοῦ ἀρχιεβίασε, καὶ ἔτερα. Ἀρχίκακος, ἀρχὴ τῶν κακῶν. Ἀρχέλαος, ἄρχων τοῦ λαοῦ, ἡγεμὼν, ἔξαρχος. Λακεδαιμόνιος. Ἀρχέπλουτον, ἄρχοντα πλούτου. Ἀρχέτυπος, ὁ τῶν ἀρχῶν διάδοχος. Ἀρχέτυπον, πρωτότυπον, ἀφ' οὗ πάντη ὁ τύπος. Ἀρχέω, ἦγε, ἄρχου. Ἀρχεῖον τρώειν, ἡγεῖσθαι τρώειν. Ἄρχει ἀργύρειον, δοτικῇ συντάττει ὁ διαφορούμενον διαλέγεσθαι, ὅθεν δοτικῶς ἐστι λέγειν. καὶ ἄρχει καὶ ἀρχεῖ, ποιεῖ, βασιλεύει. ὅθεν δὲ διαφορά ἐστι τοῦ ἄρχειν πρὸς τὸ βασιλεύειν, ὡς μείζονος ὄντος τοῦ βασιλεύειν, δηλοῖ εὐτυχίδας. ὡς δημάρατον ἐκπεσόντα τῆς βασιλείας, εἶτα εἰς ἀρχὴν αἱρεθέντα, ἐρωτᾶν γελῶν, ὅτι οἶδε εἶναι τὸ ἄρχειν μετὰ τὸ βασιλεύειν. Ἀρχὴ, τελέως. ἀκριβῶς, εἰδικῶς, καὶ τελεία. καὶ ἀρχὴ, ὁ λόγος μαλάκιος ἀνέκρατος. καὶ ἀρχὴ, ἡ ἐξουσία, ἡ δυναστεία. ὡς τὸ, οὗ ἡ ἀρχὴ ἐστι τοῦ ἄρχει αὐτοῦ. ἀρχὴ, ἡ μὲν φυσικὴ, ὡς λέοντος ἐν ζώοις, καὶ αἰετοῦ ἐν ὀρνέοις. ἡ δὲ χειροθετικὴ, ὡς ἐπ' ἀνθρώπων. ἡ ἀρχὴ βασιλείας, ἡ πρώτη αἰτία ὡς ἀρχὴ δὲ οὗ ἀγαθός, τὸ πρὶν διακινεῖν. ἀπὸ γὰρ τοῦ διακινεῖν τρέφειν τὴν ἡμῶν ἐκτιμούμεθα, ὡς τὴν ματαίαν βίον. Ἀρχῶν ἰᾶσθαι παλαιὰν νόσον, ἢ τελευτᾷ. παροιμία, δηλοῖ δὲ ὡς ἀρχόμενα τὰ κακὰ, δεῖ μᾶλλον παρῆσθαι κωλύειν, ἢ αὐξηθέντα, καὶ τελεωθέντα. Ἀρχηγέτας, ἄρχοντας.

Ἀρχηγέται, ἥρωες ἐπώνυμοι τῶν φυλῶν, ἢ θεοὶ ἐν ἀθήναις.

Ἀρχήθεν, σημαίνει λέγει, τὸ δὲ καταλογάδην δοκίμων ὄντων, καὶ ἐξ ἀρχῆς. Ἀρχὴ σωτηρίας, παροιμία ἐπὶ τὸ ἐκ καλῶν καὶ μακρῶν λεγομένων ἐχόντων. ἐπεὶ γὰρ ἀνάγκη καὶ πιττώδεις ἡ σωτηρία. Ἀρχίδιον, ὑποκοριστικῶς τὴν ἀρχὴν λέγει Ἀριστοφάνης. Ἀρχιεροσύνη, ἱερωσύνη. Ἀρχιθέωρος, ὁ ἡγούμενος τῶν θεωρῶν. θεωροὶ δέ εἰσιν, οἱ τὴν θεωρίαν φέροντες τοῖς θεοῖς εἰς δόξα ἀπαλῶς τοὺς ἀγῶνας, ἢ οἱ ὑπὲρ τῆς πατρίδος θύοντες. Ἀρχίκλωπος, ὁ ἀρχαῖος κλέπτης. Ἀρχιλλέαν, ἀρχιπωντης, ὁ τε τούτων. Ἀρχιμάγειρος, ὁ μάγειρος τοῦ βασιλικοῦ τραπέζης. Ἀρχισωματοφύλαξ, ὁ ἀρχηγός. Ἀρχιτέκτων, σημαίνει μὲν τὸν ἐπὶ τῶν ἔργων ἐπιστάτην. κυρίως δὲ, τὸν ἄρχοντα τεκτόνων. τὸν τῶν δαπανῶν τοῦ κατασκευάσματος ἐπιστάτην, καὶ τὸν κατασκευάσαντα, καὶ συναρμόζοντα σχῆμα. παρὰ τὸ ἀρχὴ, καὶ τὸ τέκτων.

Ἀρχίμορος. ἄρχων ἀρχὰς, ἀρχόμενος, καὶ ἐν συνεργῷ ἀρχηγέτης. Ἀρχιγλώφων, ὁ ὑπεξαιρῶν γλύφειν τὰς ἀρχάς.

Ἀρχέδαμος πόλεμος. Λυσίας ἐν τῷ κατὰ ἐνδεέστερον καὶ πάθει ἰδίων, τὰ πρῶτα ἔτη τοῦ πελοποννησιακοῦ πολέμου ἀρχιδάμειος ἐκλήθη πόλεμος, ὡς εἰσβαλόντος Ἀρχιδάμου εἰς τὴν ἀττικὴν ἐμβαλεῖν. καθὰ Θουκυδίδης καὶ Ἔφορος, ἐν Δημοσθένους φασίν. Ἀρχολάζων, ἐργολάζων. Ἀρχέλιπος, ὁ λιπὼν ἐπ' ἀρχῆς τύχης. ὁ ἐκ τῆς ἀρχῆς ἀπελαυνόμενος.

Ἄρχομαι, ὅτι ἀρχῶν τινὸς, ὡς τοῦ μόνου ποιοῦντος. ἄρχομαι δὲ τῆς, ὡς τοῦ μόνου ποιοῦντος, καὶ ἐφ' ἑτέρου ὑπακούοντος. ἄρχομαι, τὸ ἀρχὴν λαμβάνω. ὡς ἐν τῷ, ἄρχεται ὁ πόλεμος. ἄρχομαι δὲ καὶ τὸ ἐξουσιάζομαι. καὶ ἄρχομαι τοῦ γράφειν, καὶ ἄρχομαι γράφειν. καὶ τοῦ γράφειν ἄρχομαι τὸ βιβλίον, καὶ ἄρχομαι λόγου, καὶ ἄρχομαι λέγειν. Ἄρχων, ἐκεῖνος Ὅμηρος ἐπὶ παιδὸς, οὐ μὴν Ὅμηρον συνεθίσθαι παῖδα ἐλέγειν. Ἄρχοντα δὲ λέγομεν, τὸν ἐπ' ἔργον, ἡγεμόνα, προηγούμενον, προστάτην, διοικητὴν, βασιλέα, ἐπιμελητὴν, ἁρμοστὴν, ὕπαρχον, στρατηγὸν, προηγούμενον, αὐτοκράτορα, τύραννον, δυνάστην, μόναρχον, ἔφορον, ἐπίσκοπον, ἐπισκοπεῖν, ἢ τὰ ὅμοια. καὶ τὸ ἄρχειν, ἡγεῖσθαι, πρωτεύειν, δυναστεύειν, προστατεῖν. Ἀρχὸς ἀχιλλεὺς, πρόσφατος ἐπὶ τοῦ ἀρχηγὸς. ὁ ἡγεμὼν. σημαίνει δὲ καὶ τὸ ἔντερον τὸ προσκείμενον τῷ καλουμένῳ στόλῳ, δι' οὗ τὸ ἔτερον πάντων εἰσελθόντων. ἔτσι τὸ ἀρχὸν τὸ ἔντερον καλουμένον. Ἀρχύσαι, θάψειν. Ἀρχῶ, διοικῶ, ἐξουσιάζω, ἐπιστατῶ, κρατῶ, βασιλεύω, κατέχω, δυναστεύω, στρατηγοῦμαι.

Σοφοκλῆς δὲ, ἐπὶ Λημνοῦ ἐν ἀρτύτῃ. ἔπεστι μήτηρ καὶ γυνὴ λιπαρὰ ἀπλοῦν πάθος, πλεκταῖσιν ἀρτάναισι λυθῆται βίον. Ἀρτάσαι, παρ' ὁμήρῳ οἱ τῶν ποδῶν πίλοι. Ἀρτεχόλαι, τὰ χίμετλα, τὰ χεῖλη. Ἀρτὰς, μέγας καὶ λαμπρός. Ἀρτιλὸς, ὑγιής.

Ἀρτεμία, ἀντὶ τοῦ ὑγιῆ, οἷον ἡ ἀρτεμία ἐστὶ, καὶ σῶον, ἢ ἄρτιον. ὅθεν ἡ ἄρτεμις φασὶν, ἡ περιποιουμένη ὑγίειαν. ὡς καὶ ἀπόλλων ὄνομα, ὁ σωτὴρ οὖλος, ἀντὶ ὑγιαίνειν. κατὰ τὸ, οὖλέ τε καὶ μέγα χαῖρε. ἀρτέμεας μέν τι ἐδυνασίας, ὁ εἰς ἄρτια τέμνων καὶ διαιρῶν, ὅ ἐστι κρειττὸς, μάγειρος, φονεύς. οὕτως ἡ παρὰ Λυκόφρονι.

Ἀρτεμέοντα, ὑγιαίνοντα, ἰσχύοντα. Ἀρτεμὴς, ὁλόκληρος, σῶος, ὑγιής. ἄρτεμις δὲ, ἡ θεός. Ἀρτεμίδωρος, Δαλδιανὸς φιλόσοφος. ἔγραψεν ὀνειροκριτικὰ ἐν βιβλίοις πέντε. Ἄρτεμις, ἡ σελήνη. παρὰ τὸ τὸν ἀέρα τέμνειν. καὶ ἄρτεμις ἁρμονία, ἥγουν ἡ σωτηρία. ἁρμονία γὰρ ἡ ἔρωσις καλεῖται. Ἀρτεμισία. δύο γεγόνασιν ἀρτεμισίαι, καρικαὶ τὸ γένος, καὶ βασιλίδες ἀμφότεραι. ἡ μὲν πρώτη κατὰ τὰ περσικὰ, θυγάτηρ ἦν Λυγδάμιδος. ἡ δὲ ὑστέρα, θυγάτηρ μὲν ἦν ἑκατόμνω, γυνὴ δὲ καὶ ἀδελφὴ μαυσώλου. καὶ ἀρτεμισία, βοτάνη τις. Ἀρτεμίσιος, ὁ μάϊος. τὰ διὰ τοῦ ἴσιος ἀρσενικὰ ἐπὶ ἐθνικῶν θηλυκὰ, ἐπὶ ἰσιον οὐδέτερα, ἀποτρέπονται τὴν ει δίφθογγον. οἷον ἀφροδίσιος, ἀφροδισία, ἀφροδίσιον. σεσημείωται, τὸ ἀρχαῖος, σιμωνίσιος. διὸ καὶ ἀπορεῖται τὸ ι ἐν τῷ ἀρχαίσιος, καὶ σιμώνιος, καὶ ἀκρίσιος, καὶ ἀπηρίσιος. ἀλείσιον, ὄνομα πεδιάδος, ἀπὸ τοῦ ἀλῶ, ἀλίσω, τὸ πλανῶ. ἀνθεμοίσιος, ἀπὸ τοῦ ἀνθεμιοῦς. τὸ δὲ ἀμβρόσιος, οἱ μὲν ἄλλοι διὰ τῆς ει διφθόγγου, καὶ ἴσως ἀπὸ τοῦ ἀμβροσία, ἡ παράλογος. διὰ δὲ τοῦ ι, ὡς ἰθάκη ἰθακήσιος. Ἀρτέονται, ὁπλίζονται. Ἄρτημα, διαθήκη, δίκη ἀρτήματος. Ἀρτήματα, ἕρματα τοῖς ἀγάλμασι προσδεόμενα, καὶ κοσμία ἐστί. Ἀρτηρ, ὁ τελαμὼν, ὅς ἐστι λῶρος, ἐξ οὗ ἠρτηται τὸ βαλάντιον, ἢ τὸ σκευοτάριον, ἢ ἕτερόν τι. Ἀρτηρηκυίαν, ἠρτηκυῖαν, ἐξηρτημένην. Ἀρτὴρ, ὑπόδημα, οἱ δὲ ῥίσκον. Ἀρτηρία, παρὰ τὸ τὸν ἀέρα τηρεῖν, ὅτι ἐστὶ τὸ πνεῦμα, ἀρτηρία τις οὖσα. πνεύματος γάρ ἐστι δεκτική. ἡ ἀρτηρίαι, τὰ ἀγγεῖα. Ἀρτῆσαι, δῆσαι, ἀναρτῆσαι. Ἀρτησάμενος, κρεμάσας. Ἀρτητὰ, θαυμαστὰ, κρεμαστά. Ἄρτι, οὐ μόνον ἀντὶ τοῦ πρὸ ὀλίγου, ἀλλὰ καὶ ἀντὶ τοῦ νῦν. Λουκιανὸς οὕτως συντάσσει. ἄρτι μὲν πρὸς τὰς πράξεις, ἄρτι μὲν πρὸς τὸν πλοῦτον συλλέξεις. καὶ νῦν μὲν εἰς συνοδίαν, νῦν δὲ εἰς ἠλυσίαν ἀποκλίνεις. ἄρτι ἦσαν οὐκ ἴσοις, ἀλλ' ἄρτι ἔρχομαι, καὶ ἄρτι ἀφικόμην. καὶ ἀπαρτὶ, δηλοῖ τὸ ἀπὸ τοῦ νῦν. καὶ ἄρτι, ἀντὶ τοῦ νῦν. οἷον ἄρτι μὲν εἰς τὸ κάλλος βλέπων, ἄρτι δὲ εἰς τὴν ἀγχίνοιαν. ἡ ἄρτι σημαίνει, τὸ πάλαι καὶ ὑπόγυον, καὶ τὸ παραυτίκα μέλλον γίνεσθαι. Ἄρτια βάζειν, ταυτὸν τῷ ἀπαλλάττειν. καὶ παρ' Ἡροδότῳ ἀπαλλαγὴ, ὁ ἀπηλλαγμένος λόγος. καὶ ἄρτια, ἡρμοσμένα, τέλεια, ὑγιῆ. λέγεται ταῦτα καὶ ἄρμια. ἡ ἀρτιάζειν, τὸ παιδικῶς παίζειν. Ἄρτια φρεσὶν ἤδη, ἤγουν, τὰς φρένας ἀρθῶς ἔχων, ὅ ἐστιν συνετὸς ὤν. φρονῶν. Ἀρτιάζομεν, τὰ ἄρτια καὶ περιττὰ παίζομεν. Ἀριστοφάνης, στατῆρσι δ' οἱ θεράποντες ἀρτιάζομεν χρυσοῖς. Ἀρτιγαμοι, νεόγαμοι. Ἀρτίγονος, νέος, νεώτερος. Ἀρτιδαεῖς, ἀρτιμαθεῖς. δαίω γὰρ, τὸ μανθάνω. Ἀρτιδάκρυς, εὐχερὴς πρὸς δάκρυα. Ἀρτίδιον, μικρὸς ἄρτος. Ἀρτιέπειαι μοῦσαι, αἱ ἀπηρτισμένα καὶ τέλεια καὶ ὑγιῆ λέγουσαι. ἡ ἀρτίεπις ἐπίσταται χείρωνα. Ἀρτιεπὴς, παρὰ τῷ ποιητῇ, ὡς δὲ, ἀντὶ τοῦ ἀρτιεπὴς καὶ ἐπίκλοπος ἔπλετο μῦθος. ἡ μῦθος κατὰ Ἀττικοὺς σύνηθες, ἢ μῦθον κατὰ γενικὴν πλεονασμόν. λέγει δὲ ἀρτιεπῆ, τὸν γλαφυρὸν, καὶ εὔεπῆ, καὶ ἀπηρτισμένον ἐν τῷ παραλογίζεσθαι. ἡ μὲν οὖν ὑπάρχουσα, εἰ ἐναντίον τῷ ἀμφότερα, καὶ ἀκατάλληλον τὴν λέξιν λαμβάνουσα, ἀρτιεπῆ λέγει τὸν κατὰ τὴν ποίησιν ἄρτια βάζοντα. ἴσως γε μὴν παρὰ τῷ ποιητῇ, οὐ τοιοῦτον τὸ ἀρτιεπῆ νενόηκα, ὡς τὸ ἄρτια βάζειν. καθάπερ οὐδὲ τὸ λογίζεσθαι ταυτὸν, τῷ παραλογίζεσθαι.

Ἀρτίζυμα, ὀλιγοζύμια, παρὰ τῷ Ἱπποκράτει. Ἀρτίη, ἀγαθῇ. Ἀρτιθαλῆ, νέφυτα. Ἀρτίκολλα, ἡρμοσμένα. Ἀρτικροτεῖν, συμφωνεῖν, ἀπὸ τῶν ἐρεσσόντων. Ἀρτικροτεῖσθαι, συμφωνεῖσθαι. ἀρτικροτοῦνθ' οἱ γάμοι, φησὶ Μένανδρος. Ἀρτιμαχὶς, τίον. Ἀρτιμάχειον, ἀφροδίσιον ἱερεῖαν ὑπὸ σκυθῶν. Ἀρτιμάτας, νάξ. Ἄρτιον, τὸ ὁλόκληρον, τέλειον, καὶ ὑγιές.

Ἀρτίπαις, ὁ ἐκβεβηκὼς τὴν παιδικὴν ἡλικίαν. βούπαις, ὁ μέγας παῖς. Ἀρτιπλουτίδος, καινοῦ τοῦ. Ἀρτίπουν, ὀρθόπουν.

Ἄρτιπος, ἀντὶ τοῦ ἀρτίπους, διὰ τὸ μέτρον ἐξέκοψε τὸ υ. καθὰ καὶ τὸ ἴπος ἀθλέτος. Ἀρτίπους, ὁ ὑγιὴς καὶ ἄρτιος τοὺς πόδας.

Ἄρτιρια πεῖα τις, ἣν καὶ βραχεῖαν καλοῦσιν, καὶ λευκὴν ἀγρίαν. παρὰ τῷ Ἱπποκράτει. Ἀρτίσαι, ἁρμόσαι, συναγαγεῖν, πλέξαι. Ἀρτίζεσθαι, παρασκευάζεσθαι. Ἀρτίστομος, σαφὴς, καὶ ὀρθὸν φθεγγόμενος. οὕτω Διόνυσος, ὁ δὲ ἦν κάβιος ἄλλη, καὶ οὐκ ἀρτίστομος ἦν. Ἀρτίστομα, πανταχόθεν ὁμαλὰ, παρὰ τῷ Ἱπποκράτει. Ἀρτίτμητος, ὁ νεωστὶ τετμημένος.

Ἀρτίως, ὑγιῶς, ὁλοκλήρως. καὶ ἄρτι, διαφέρουσι παρ' ἀττικοῖς. ἄρτι μὲν γὰρ ἀντὶ τοῦ νῦν, ἀρτίως δὲ πρὸ ὀλίγου. Ἀρτίωτα, τὰ βραχυτάτῳ χρόνῳ συντετελεσμένα. Ἄρτοι, τροφὴ, κρέα, ἄλφιτα, μάζα, ὄψα, σῖτα, σιτία, ἐδέσματα, βρώματα. καὶ ἀπὸ μὲν τροφῆς, θρέψαι, ἐκθρέψαι, τροφεὺς, ἔντροφος, σύντροφος, τροφὸς, τρόφιμος. παρατρέφεσθαι, συντρέφεσθαι, ἀντιτρέφεσθαι, ὑποτρέφεσθαι. ἀπὸ δὲ ἄρτων, ἀρτίδιον, ἀρτοπόπος, καινοῦν ἀρτοφόρον, ἀρτοσιτεῖν, ἄρτοι ζυμῖται, καὶ ἄζυμοι ἄρτοι, ὀβελίαι ἄρτοι, κριβανῖται ἄρτοι, καγχρυλίαι ἄρτοι, οἱ ψωμοὶ καλοῦνται, ἐνθρύπτεις. καὶ τὸ ψωμίζειν δὲ, ἀπὸ τοῦ ψωμῶν, ὡς Ἀριστοφάνης φησίν. εἴδη δὲ τοῦ ἄρτου ταῦτα. οἱ μὲν κριβανῖται, οἱ δὲ ὀβελίαι λέγονται. κόλλικες, κόλλαβοι, πάσοι, ἄμυλοι, κολλύραι, τομῖται, συγκομιστοὶ, χλίσιοι, καγχρύλαι. οἱ δὲ εἰσὶ φασηλίτοροι, πιτυρίαι. εἴποι δ' ἄν τις καὶ ἄρτον πίτυρον, πρὸς τὸν ἐκ καθαρῶν διακρίνων. οἱ δὲ σητάνειοι ἄρτοι, ἐκ τοῦ σητανίου πυρῶν, οἱ νέοι, οἱ τετράμηνοι. τετινὸν γὰρ, τὸ ἐπέτειον. τὴν μὲν δὲ χαρίσιον πλακοῦντα εἶναι λέγουσιν. ἄρτος δὲ ἄρτος, ἐγγυητικὸν πλακοῦντος. αἰγύπτιοι δὲ τοὺς ὑπὸ ὀξὺ ὑποκαιομένους ἄρτους, καλλαστεῖς ὠνόμαζον. ὡς ὀβελίαν τινὰ ἄρτον αἰθιοπικὸν, τὸν ἐξ ὀβελίου γενόμενον. ὅ ἐστι σπέρμα ἐπιχώριον, ὅμοιον σησάμῳ. ὁ δὲ ὀρθοστάτης, εἶδος ἄρτου ἐστί. Ἀρτοπώλιον, ὁ τόπος ἔνθα οἱ ἄρτοι πιπράσκονται. καὶ ἀρτοπώλιον δὲ, τὸ μαγειρεῖον, ἔνθα οἱ ἄρτοι γίνονται, μικρὸν καὶ δίφθογγον. Ἀρτοπῶλαι, ἀρτοπώλιδες, ἀρτοπώλιδος, ἀρτοπωλεῖν, ἀρτοπώλιον, σιτουργοὶ, ἀρτοποιοὶ, ἀρτοκόποι. Ξενοφῶν, ἀρτοκόπους λέγει. Ἄρτος, ὁ ψωμός. ἔστι δὲ καὶ ὄνομα τυράννου. Ἀρτοσιτεῖ, ἄρτον ἐσθίει. Ξενοφῶν. Ἀρτῦ, ἀρτίζει, ἑτοιμάζει. Ἀρτυθῆναι, παρασκευασθῆναι. Ἀρτυλία, διαθήκη. Ἀρτύλλαν, λόγχην ἀγκύλην. Ἄρτυμα, διαθήκη, δίκη. Ἀρτύμασι, τοῖς πρὸς τὴν θυσίαν εὐτρεπιζομένοις. Ἀρτύν, φιλίαν καὶ σύμβασιν, ἢ κρίσιν. Ἀρτύνατος, παρασκευαστός. Ἀρτύνη, ἡ δίκη. Ἀρτύνειν, ἀπὸ τοῦ ἀρτύω γίνεται, πλεονασμῷ τοῦ ν. ὥσπερ δύω δύνω, καὶ θύω θύνω τὸ ὁρμῶ. καὶ χέω χύνω. καὶ ἀρτύνεσθαι ὁμοίως, ἀπὸ τοῦ ἀρτύω ἀρτύνομαι, δωρικῶς πλεονασμῷ τοῦ ν. Ἀρτύνεσθαι πλεονασμὸν ἔχει τοῦ ν, δωρικῶς. ὡς ἀπὸ τοῦ χέω χύνω, τὸ ἐκλύειν. δηλοῖ δὲ τὸ ἀπαρτισμένον τι ποιεῖν.

Ἀρτύνοντας, ὥσπερ ἀρτύοντας, εὐτρεπίζοντας. Ἄρτυνος, ἄρχων. Ἀρτύω, ἁρμόζω, ἢ εὐτρεπίζω. Γινώσκω ἢ τίνω τὸ βυθίω. παρὰ τὸ ἀρῶ τὸ ἁρμόζω, ἤρμαι, ἦρται, ἀρτὸς. καὶ ἀρτῶ ἀρτύω. καὶ πλεονασμῷ τοῦ υ ἀρτύω. ὡς ἐρῶ ἐρύω. Ἀρτύομαι, κάλλιον ἢ ἄρδομαι. Ἄρτυς, σύνταξις. Ἀρτῶ, τὸ κρεμῶ. Ἀρτῶμαι, ἀρτίζω, ἐξαπτῶν κρέμαμαι. Ἀρτωμένῃ βρόχῳ, ἀπαγχομένῃ. Ἄρυα, τὰ ἡρακλεωτικὰ κάρυα. Ἀρύβαλλοι, τὰ μαρσύπια. ἀπὸ τοῦ ἀρύειν καὶ βάλλειν εἰς αὐτούς. Ἀρύβαλλον, πλατὺ τό τι βαλάντιον, ὅπερ ἑλκόμενον κλείεται, καὶ ἀνοίγεται. παρὰ τὸ

καὶ κιλίσσω, ἴσκλος ἀδελφοί, θυγατέρες θαύμαντος καὶ ἠλέκτρας, τῆς ὠκεανοῦ θυγατρός. ἅρπυιαι λέγονται, καὶ ὀρνιθώδεις ἀναπλάττονται. ἐμυθεύθησαν καὶ τὰς τοῦ φινέως θυγατέρας, ἐράσθαι καὶ ἁρπάζειν, ὄρνιθας εἶναι, ἁρπάζουσαι τῶν τροφῶν αὐτοῦ τοῦ σώματος τοῦ γέροντος. ἅρπυιαι γὰρ ἀλληγορικῶς οἱ ἄνεμοι, ὡς καὶ παρὰ [illegible]. Ἄρπυς, ὁ ἔρως, παρὰ τὸ ἁρπάζειν τὰς φρένας.

Ἁρπῶμαι, ἁρπάζω, [illegible]. Ἀῤῥαβάσσειν, ὀρχεῖσθαι. αὐτὸ ἀῤῥαβάσσειν, ὅ ἐστιν ὀρχεῖσθαι. οἱ δὲ, τὴν βλασφημίαν.

Ἄῤῥαβος, ἴουλος. Ἀῤῥάβη, θύρα. οἷον γέῤῥον. Ἀῤῥαβὼν, πρόδομα, ἢ ἐγγύησιν. ἢ ἡ ἐπὶ ταῖς ὠναῖς παρὰ τῶν ὠνουμένων διδομένη προκαταβολὴ ὑπὲρ ἀσφαλείας. Ἀῤῥαβωνίζω, ἐκ τοῦ ἀῤῥαβὼν ἀῤῥαβῶνος, ἀῤῥαβῶνα σίφνιον, διαβεβλημένον. ὡς τῶν σιφνίων ἀσελγῶν ὄντων. Ἀῤῥαγὲς ὄμμα, οὐ δακρύον. ὁ τρόπος φασίν, κατεῤῥαγμένον δάκρυον. Σοφοκλῆς. Ἀῤῥαγίσι, σκληροῖς, ἀκατακάμπτοις. Ἀῤῥαγὲς, ἀπαθὲς, μὴ ῥηγνύμενον.

Ἀῤῥαγίζει, εὐμοιρεῖ, ἀρέσκει. Ἀῤῥαθάγγυσιν, ἐξέφυσαν.

Ἀῤῥαιστος, ἄφθαρτος. Ἀῤῥάζει, κρατεῖ, ἀῤῥάζονται. Ἄῤῥατον, ἰσχυρὸν, σκληρόν. οὕτω Πλάτων. Ἄρατον δὲ, ἀντὶ τοῦ ἀρούμενον, πλήρων. Ἄῤῥατος, οἷον ἄφθαρτος, ὁ μὴ ῥαιόμενος. ἢ ὁ ἀκατάγνυστος, ἢ ὁ ἀνέκφραστος, ἄῤῥητος ὤν, ὁ ἰσχυρὸς, ὁ δυσαίνετος. Ἀῤῥαχθὲς, ἀσινές. Ἄῤῥεκτον, ἀπαθὲς, ἄθετον, ἀτελείωτον. Ἄῤῥενα, οὐκ ἄρσενα λέγουσιν ἀττικοί, ἀλλὰ καὶ τῶν κοιλάδων τὰ ἐξέχοντα. καὶ τὰ εἰς κοιλότητα ἐμπίπτοντα. Ἀῤῥενοκοῖται, ἀνδρόγυνοι. Ἀῤῥενωπὸς, ἐκ τοῦ ἄῤῥην ἄῤῥενος, καὶ τοῦ ὢψ ὠπὸς, ὃ σημαίνει τὸ πρόσωπον, ἀῤῥενωπὸς, ὁ ἀῤῥενος πρόσωπον ἔχων, κατὰ συγκοπήν. ἤγουν, ὁ ἀνδρεῖος, ἢ ἰσχυρὸς, ἢ δυνάμενος. Ἀῤῥεπὲς, ἀμετάκλιτον. Ἀῤῥεπὴς, κοῦφος. Ἀῤῥεπῶς, ἀκλινῶς. Ἀῤῥήγω, τὸ βοηθῶ. Ἀῤῥήκτοις, οὐ καταλυθησομένοις τῇ ῥύσει. Ἄῤῥηκτοι δεσμοὶ παρ' Ὁμήρῳ ἐν ὀδυσσείᾳ, καὶ ἄλυτοι, εἰ πάνυ σκληροί, οὓς οὔτε ἀνακάμψαι τις ὁρμήσας λύσαι, οὔτε πρὸς βίαν ῥῆξαι. Ἀῤῥήκτοις, ἀσχίστοις.

Ἄῤῥηκτος, ἀδιάῤῥηκτος, σκληρὰ, παρὰ τὸ ῥήσσω. Ἀῤῥὴν, καὶ ἄρσην, ἀττικώτερον δὲ τὸ ἀῤῥήν. Ἀῤῥηνεῖν, διαλοιδορεῖν, καὶ γυναικὶ πρὸς ἄνδρα διαφέρεσθαι. Ἀῤῥηνὴς, ἄγριον, δυσχερής.

Ἀῤῥηνοῦσι, ἀσελγοῦσι, ἀπαγορεύουσι. Ἄῤῥητον, τὸ μὴ δυνατὸν ῥηθῆναι. καὶ ἄῤῥητον, τὸ μὴ ἄξιον ῥηθῆναι. καὶ τοῦτο τριχῶς. ἢ ὡς ἀπόῤῥητον ἐστιν ἄῤῥητον καὶ ὡς αἰσχρὸν, ἢ ὡς μυστικὸν λέγεται. ἄῤῥητον ὑπερβολικῶς, καὶ τὸ μέγα ἢ τὸ πολύ. Ἄῤῥητον λέγεται μὲν, τὸ ἄφατον καὶ ἄλεκτον, καὶ ἀμύητον, ὃ οὐ δύναται ἔξω στομίσαι τις μὴ εἰδόσιν. ὡς Σοφοκλῆς, [illegible], καὶ σεβάσμιον λέγεται ἄῤῥητον, καὶ τὸ πλεῖστον καὶ ὑπὲρ τὸ μέτρον. οἷον, ἄῤῥητον ἡ δοῦλος ἐσπείσατο ἡμῖν, ἀγαθῶν ἀγγελίας ἐλθών. λέγεται ἄῤῥητον, καὶ τὸ μὴ δίκαιον ἐστὶ λεχθῆναι, καὶ ὃ οὐ θεμιτὸν ἐκφέρειν, ὡς αἰσχρὸν καὶ βδελυκτόν. ὡς καὶ παρὰ Σοφοκλεῖ, Πῶς δῆτα λέγων ἄῤῥητον. ἀντὶ τοῦ οὐκ ἄξιον ὄντα δηλωθῆναι ὑμῖν. Ἄῤῥητον, ἄφραστον, ἄλεκτον, ἀπόῤῥητον, ἀπόῤῥυτον, ἄφωνον, αἰσχρόν. Σοφοκλῆς.

Ἀῤῥητοποιία, ἀσέλγεια, αἰσχρουργία. Ἄῤῥητος κόρη, ἡ περσεφόνη. Εὐριπίδης. Ἀῤῥητουργία, ἡ αἰσχρουργία, κακουργία. τὸ ἄῤῥητα ἐξεργάζεσθαι. Ἀῤῥήτως, ἀλέκτως. Ἀῤῥηφορεῖν, τὸ χρυσᾶ ἐσθῆτα φορεῖν. ὅθεν ἀῤῥηφόρος, καὶ ἀῤῥηφορία, ἑορτὴ ἐπιτελουμένη τῇ ἀθηνᾷ. Ἀῤῥηφορία, θυσία, ἑκατέρως λέγουσιν οἱ συγγραφεῖς. ἐὰν μὲν διὰ τοῦ ε, ἐρσηφορία, διὰ τὸ τῆς ἔρσης ἐγκαταλεῖφθαι τῶν [illegible]. ἐὰν δὲ διὰ τοῦ α, ἐπεὶ ἐν ἀῤῥήτοις συνέσει. Ἀῤῥηφόρος, μυστηριώδης. Ἀῤῥιχᾶσθαι, εἰς ὕψος ἀναβαίνειν, χερσὶ καὶ ποσίν. Ἀῤῥίχη ἐξαγουῦνται ἔνιοι, κόφινον. ἀγγεῖον οὖν ἐκ μὲν τοῦ αὐτοῦ γένους εἶναι, διάφορον δὲ ἐ. λέγουσι δὲ καὶ τὸν σάργανον τινὲς ἀῤῥίχην. Ἄῤῥιχος, κόφινος, ἢ ἀγγεῖον λύγινον. Ἀῤῥοθος, ἀρωγὸς, βοηθός.

Ἀῤῥόγης μόρα, τὸ ἀπέχειν ξύλον, οὗ ἔχεται ὁ ἀρότης, καλεῖται

ἐχέτλη. ὁ δὲ ὁ γυρὸς σπάρματα, ἔλυμα. τὸ δὲ σιδήριον, ὕνις.

Ἀῤῥύθμος, ἀδιατύπωτος, ἀσχημάτιστος, μὴ ἔχων ῥυθμόν. ῥυθμὸς γὰρ, ὁ τύπος. Ἀῤῥὶ, ἐπίφθεγμα καταληκτικόν, ὡς τὸ στῆναι [illegible]. Ἀῤῥυσμοί, ἀπορίαι, ἀχαμοσύναι. Ἀῤῥυσίασον, ἄσυλον, ἀνεχυρίαστον. Ἀῤῥυτίδωτον, τὸ μὴ ἔχον ῥυτίδας, ἅτινα γηράματα. αἱ εἰσι γραμμαὶ γὰρ πρόσωπα. Ἀῤῥωδεῖν, διὰ τοῦ ω, σφαλερῶς ἄγεται κατὰ ἐρώτησιν. δεδιέναι. δέδοικα τὸ μὴ ἐῤῥωδεῖν, ἀλλὰ καταφρονεῖν. ἢ τεθαῤῥηκέναι, ἐκ τοῦ ἐῤῥωσθαι τὸ εὐλαβεῖσθαι. Ἀῤῥωδία, φόβος. Ἄῤῥωδος, ὄνομα πόλεως. Ἀῤῥωστία, νόσος, ἀσθένεια. Ἀῤῥὼξ, οὐκ ἐῤῥωγώς.

Ἀῤῥωστί, ἀμεταβάτως, ὑπὸ σύμμαχον [illegible] ὁ κλιδόνιον. Ἀρσίνθος, ὁ ἐσφαγμένος τῆς ὑγιείας. Ἀρσάβαι, οἱ βασιλεῖς περσῶν. Ἀσάμινθα, ἀλειφάλεισσα, πισσοῦσα. Ἀρσάντοθι, ἁρμόζοντες. παρὰ τὸ ἀρῶ τὸ ἁρμόζω. ἀρῶ ἄρσω, αἰολικῶς, καὶ ἄρσαντες. ἢ παρὰ τὸ ἁρμόζω, ἁρμόσω, ἥρμοσα. ὁ μετοχὴ ὁ ἁρμόσας. ἁρμόσαντες, καὶ συγκοπῇ ἄρσαντες. ὁ ἄρσαντες κατὰ θυμὸν, ἀρχὴ ἐστὶ καὶ ἀφορμὴ τοῦ θυμήρης στιχίσασθαι. πάντως γὰρ ὅπερ τις ἄρσει κατὰ θυμὸν, ὅ ἐστιν ἁρμόσει, ἢ ἀρέσει, θυμήρης ἐκεῖνό ἐστι. φασὶ δὲ οἱ παλαιοί, ὅτι Ἀρίσταρχος μὲν δασύνει τὸ ἄρσαντες, λέγων, ἐξ αὐτοῦ γενέσθαι τὸ ἅρμα. Ἡρωδιανὸς δὲ ψιλοῖ, ὡς ἀπὸ τοῦ ἀρῶ ἄρσω, αἰολικοῦ. Ἄρσαι, μέμψεις, κατηγορεῖ. Ἄρσεις, ἀροφιάσεις, βασάνισμα. Ἄρσαι βοῆ, δουλείᾳ, τῇ δαιμονίᾳ φωνῇ διαλεγομένη. Ἄρσιον, βασανισμένον, φορτίον. Ἄρσενα. ἰστέον ὡς οἱ μετ' Ὅμηρον οὐ θέλουσιν ἄρσενα γράφειν διὰ τοῦ σ, ἀλλὰ διὰ τοῦ ρ, ἄῤῥενα λέγοντες, ὅτι ὑποτεταγμένον ὑπὸ ρ οἱ ἀττικοὶ ρ ποιοῦσιν. οἷον ἄρσην ἄῤῥην. οὕτω δὲ καὶ θαῤῥεῖν, καὶ πόῤῥω ἐκ τοῦ πόρσω, καὶ κόῤῥη καὶ ἐπὶ κόῤῥης ὑπὸ κόρσης, ἢ ταρσὸς ἐκ τοῦ ταλοῦ, ὡς τὸ, ταρσὸν μὲν τυρῶν βρίθον, Αἴλιος Διονύσιος λέγει. καὶ ὅτι ἀττικὸν οὐχὶ ἀρσενικὸν ἐστὶ τῶν γραφῶν, ἀλλὰ ἀττικῶς φάρμακον. ὁ μέντοι Στράβων ἀρσενικὸν ὀνομάζει αὐτὸ, ἱστορῶν καὶ ὄρος εἶναι, ἀφ' οὗ λαμβάνονται τοιοῦτον ἀρσενικόν, ὅπερ ἀρσενικόν λέγεται. Ἀρσήν, ἀπὸ τοῦ ἄρδω ἄρσω, ἀρσήν. ὁ ἄρδων τὴν θήλειαν. καὶ γὰρ διὰ τοῦτο πόσις λέγεται ὁ ἀνὴρ, παρὰ τὸ ποτίζειν τῇ γονῇ. ἢ παρὰ τὸ ἄρδω τὸ ποτίζω, ὁ μέλλων ἄρσω. καὶ ἀρσὴν ἐξ αὐτοῦ. Ἄρσιν, ἀφανισμόν. Ἀρσινόη, πόλις ἐν συρίᾳ ἐπὶ βουνοῦ κειμένη. ἐπὶ δὲ τοῦ βουνοῦ πηγὰς ἐκρήγνυται πλείονας, καὶ ποταμοὺς γίνεσθαι μεγάλους, ἀφ' ὧν ἡ πόλις ὠνόμασθαι. ἄρσαι γὰρ τὸ ποτίσαι, ἀφ' οὗ καὶ ἀρσὴν, ὁ τὴν γυναῖκα ποτίζων τῇ σπορᾷ. Ἄρσις, ἡ ἀκὶς τοῦ βέλους. ἢ τὰ ἐκ χειρὸς ὅπλα. καὶ ἄρδις πληθυντικὸν τὰς φαρέτρας. παρὰ τὸ ἀρῶ τὸ ἁρμόζω, ἧρμαι, ἧρται, ἄρτις. οὕτως ἄρτις, ἢ ἄρδις. ἢ παρὰ τὸ ἄρος, ὃ σημαίνει τὴν σίδηρον ἀρδὶς, καὶ ἄρδις, καὶ ἄρδα. Ἄρσιον, δίκαιον. Ἄρσις, ζύμη. Ἀρσῖτις, ἡ ἀλεκτρίς. Ἀρσομέλας, ὑπόδημα γυναικεῖον. Ἄρσω, ἁρμόσω. Ἀρτάβα, μέτρον μηδικὸν οὕτω, ἀττικὸς μέδιμνος. Ἀρτάλαι, οἱ δίκαιοι ὑπὸ μάγων. Ἀρτάκης, αὐτάρκης. ἀρτακία, ἀρχή.

Ἀρταῖοι, οἱ ἥρωες, παρὰ πέρσαις. Ἀρτακία, Ἡρωδιανὸς βαρυτονεῖ τὸ ὄνομα, ἐν τῷ τρίτῳ τῆς καθόλου. ἀρτάκης γάρ.

Ἀρτᾶ, ἐπικρέμαται, ἢ ἀρτῶ ὁμοίως. Ἀρτακία, κρήνη περὶ κύζικον. ἧς καὶ Ἀλκαῖος μέμνηται, καὶ Καλλίμαχος. ἡ ἀρτακία, παρ' Ὁμήρῳ μὲν, κρήνη περὶ λαιστρυγόνων. ἴσως μὲν ἐσφαλμένως περιφερομένη. τυχὸν δὲ καὶ πεπλασμένη. διὰ τὸ ὄνομα, παρὰ τὸ ἀρτακεῖον, ὅ ἐστιν ἀναπαύεσθαι, καὶ προσιέναι, καὶ ἀναπαύειν, πρὸς ὁμοιότητα τοῦ ἀεὶ, οἷον ἐρχομένων. Ἀρτάνη, κρίκος(?) κάλλον. Ἀρτανῶσαι, ἁρμόσαι. Ἄρταμις, ἄρτεμις. τράπεζα φέρει, ῥάκει τρίχα, αἴκα αἶκι, πιάζει πῖρε, δωρικῶς φασι τρέπονται. Ἄρταμος, ὁ μάγειρος, παρὰ τὸ διατέμνειν, ὅ ἐστι μερίσαι, ἢ συναθροίσαι. Ἀρτάμουσιν, ἐσθίουσιν. Ἀρτάνας, βασιλέως, καὶ σάτυρος. Ἀρτάνη, ἡ ἐκ τῶν καλωδίων ἀγχόνη.

Σοφοκλῆς

μονοσυλλάβου οὐδέτερα κλίνεται (ἄρρητον γὰρ ἡ ποιότης) ἀλλ' ἰσως οὗ θέμα ἐλεύθερον ἀρήν, ἀρῆνος. καὶ ἐξ αὐτοῦ κατὰ συγκοπὴν ἀρνός, ἀρνί, καὶ ἡ λοιπὴ κλίσις. ἐτυμολογεῖται δὲ ἡ λέξις, παρὰ τὸν ὄρνον, ὅ ἐστι τὸν ὄχλον. ἔτι ἐν εὐχαῖς παραλαμβάνεται τὸ ζῶον ἐνόμενον. καὶ ἄλλως καὶ ἄλλως εὐκταῖος ἦν, τῶν τετραπόδων πρῶτος ἐνὶς παλαιοῖς. καὶ ἀρνῶν, φυλισμός. Ἄρξαι, ἄρχειν, κατακρατεῖν. Ἄρξαι καὶ πρότερον κακὸν εἶναι παρ' Ὁμήρῳ, ἀντὶ τῆς ἀρχῆς αὐτῆς τῶν κακῶν εἰς τὸ πρεσβύτερον, καὶ ἐπὶ τὰ ἑξῆς κακώσαι ἡμᾶς. Ἀρξόμεθα Ἀττικῶς, ἀντὶ τοῦ ἄρξομαι. ἄρξω, ἀρξοῦμαι, ἀρξεῦμαι. Ἄρξιππος, ὁ αὐτός, παρὰ πέρσαις. Ἀρραβώνως, ἀβέβαιος, καὶ ἀπαθοῦς. Ἀρσακικὸν νόμισμα, ὃ χρῶνται αἰγύπτιοι, ἀπὸ ἀρσακίδου. Ἀρόη, κώμη πάλαι τῶν ἀχαιῶν. τὴν δὲ πόλιν ἡ πολλήκρως πάτρα. ἀρόη τρίπυργος ἵσταται. Ἄροινος, δοχὰς ἰσμαίων, παρὰ τῷ μὲν ἱπποκράτει. Ἀρσίμεθα, ἀπηνηθείημεθα. Ἄροιο, λάβοιο, ἀπενέγκοιο. Ἄρομα μὲν, τὸ ἀρορισμένον, διὰ τοῦ ο μικροῦ. ἄρωμα δὲ, διὰ τοῦ ω μεγάλου τὸ μυρεψικόν. καὶ ἀρώσιμον κλῆμα, τὸ ἀροτριούμενον. Ἀρόμενος, ἀναλαβών. Ἀρόμενοι, ποιητικὸς οὗτος ὁ τρόπος· τῶν ἀπαρεμφάτων, ἀποβάλλων τὸ ἀντιστοιχικὸν φωνῆεν δίφθογγον παραγόντες, καὶ προστιθέασι τὴν μι συλλαβήν, ἵνα καὶ τὴν αι δίφθογγον εἰ μὴ πάρεστι. δεῖ γὰρ ἐν ἀπαρεμφάτῳ δίφθογγον ἐπὶ τέλει εἶναι. αὕτη γάρ ἐστι τὸ ἐπίσημον αὐτῷ, καὶ χαρακτηριστικόν.

Ἄρον, τρίβολον μέγα, ἢ βοτάνης ῥίζα. Ἄρον. ἆρον, ὁ μὲν λαμπρῶς ὁ ἀόριστος, ἦρα ἦρας ἦρε. καὶ τὸ προστακτικόν, ἆρον.

Ἀροτρεύειν ἐθέλω ποτὶρ, ὅτου ἐπεσθαι ἔχοντα. καὶ καθ' Ὅμηρον αὐτὸ πολυπειρείαν εἶπεν, ἐπίσκοπον, πατὴρ ὁ γεωργός. ἄφθιτον δὲ φασι, ἄφθονον. εἰς ταύτην τὴν ἄρουραν. οἱ δὲ ποιηταί, καὶ φασὶ πλὴν ζείδωρον. παλαιοτάτου δὲ παλαιοῦ χρόνου ἄρουραν, ἴσως δὲ, καὶ μέθυ ἀορίστου λαμπρόν. οὐ πρῶτος, ὃ ἠράμεθα μέγα κῦδος. Ἀροῦνται, ποιοῦνται. πρῶτος. Ἆρος, ὄφελος, καὶ πολλάκις ἐν αἷς ὕδωρ ἀθροίζεται ὁμοίως, καὶ βλάβος ἀπολύτως. Ἀρόω, ἀρῶ (παρὰ τὸ ἄρος ὁ ὄλβος). οὕτως γὰρ τίμηται ἡ γῆ ἀρουμένη. ἡ τρίτη συζυγία τῶν περισπωμένων, ὅταν ἔχῃ τὸ ω μέγα, ἐν τῷ ο μικρόν. καὶ πάντα διὰ τοῦ ω μεγάλου, πλὴν τεσσάρων. οἷον ἀρόω, ἀρῶ. ἀρόω, ὀμῶ ὀμόσω, ἐνῶ ἐνόσω, καὶ βῶ βόσω, τὸ τρέφω. Ἀροτὴρ ποιητικῶς, ἀροτὴρ κοινῶς. Ἀροτῆρσι, οἱ ἀροτριῶσι. Ἀροτρίζω. ἐκ τοῦ ἀρῶ τὸ ἁρμόζω, γίνεται ἀροτρίζω. καὶ συνηγμένη, ἀρτίζω καὶ καταρτίζω, ὃ ἐκ τοῦ ἄρθρον γίνεται. Ἄροτον, τὴν ὅλην τοῦ ἔτους. ἢ τὸν νίφετον. Αἰσχύλος φησίν. Ἄροτρα, γῆ. Χώρα, πλέθρα.

Ἀροτρεὺς, ὁ ἀροτριῶν, ἐκ τοῦ ἄροτρα. Ἄροτρον, παρὰ τὸ ἀρῶ, τὸ ἀροφῶ. ὁ μέλλων, ἀρόσω. καὶ ἐξ αὐτοῦ ἄροτρον. Ἀροτὸς, ἐκ ποτός. Σοφοκλῆς τραχινίαις. Ἀροῦ, ἐπίρρημα πανδέκτου.

Ἀροῦν αὐτοί, οὐκ ἀροφιοῦν, καὶ ἀροτριᾶ τὸ Χωρίον, αἰτιατικῇ. Ἄρουρα ἡ γῆ, κυρίως ἡ ἀροφουμένη. ἡ ἡ πρὸς σποράν ἢ ἄροσιν ἐπιτήδειος. παρὰ τὸ ἀρῶ, ἀρόσω. ἄρουρα. καὶ ἄρουρα κατὰ Αἰγυπτίους, ὅρος οὗτος σὺν ἀκόροις. Ἀρουραία θεός, δυσφημοῦσα· σπόριμον ἐπονομάζουσα, τὴν μητέραν αὐτοῦ λαχανάκιν οὖσαν, ἀρουραίαν θεὸν ὀνόμασαν. Ἀρουραῖοι μῦες, οἱ κατὰ ἀγρούς, καὶ οἱ ἐργάται. ἀλλ δὲ καὶ βίος ἀρουραῖος, ὁ ἀγροικικὸς χρυσός. καὶ ἀρουραῖος οἰνόμαος. Δημοσθένης Αἰσχίνην οὕτως ἔφη. ἐπεὶ κατὰ τὴν Χώραν περιενόστει, ὑπεκρίνετο Σοφοκλέους τραγῳδίαν οἰνόμαον. Ἀρσύρας, γῆ· ἀρώσιμος χωρίον, ἢ κῆπος.

Ἀροῦσιν, ὑφαίνουσι. καὶ ἀρύουσι φίαι, ἐπὶ οἴνου λέγεται. ἐπὶ τὸ παλαιὸν ἐκέρασε φία ὕδατος λαμβάνειν, καὶ τὸ τέταρτον οἴνου. Ἀρόχεται, γλίχεται, ἐπιθυμεῖ. Ἀρόωσι παρ' Ὁμήρῳ, ἴσως λαμπρὰν εἶναι συζυγίαν τῶν περισπωμένων. ἦν δ' ἂν κιδαίως τρίτης, εἴπερ ἐχρῆν ἀρόουσιν. Ἀρόωσιν, ἀροτριοῦσι. Ἀρπάγδην, ἀπὸ τοῦ ἁρπάζειν. ὡς φορβάδην, ἀπὸ τοῦ φέρειν. καὶ ἀλάδην, ἀπὸ τοῦ ἄλκειν. Ἁρπαγὴ μὲν κυρίως, ἡ μετὰ βίας ἀφαίρεσις. ἁρπαγὴ δὲ, φησὶν ἡ ἄγκιστρον. ἔστι δὲ σκεῦος ἔχον ὀγκίνους, ᾧ τοὺς καδίσκους ἀνασπῶσιν ἐκ τῶν φρεάτων. καὶ ὁ λύκος. Ἁρπαγὴ τὰ κέρδη, παροιμία. διὰ οὕτως ἐπροσδοκοῦσιν, καὶ πανικοῖς εἰς συλλαμβάνειν σύνεστιν ἐνδυομένοις, ἐφ' ἃ ὅτι προσῆκεν εἰς ἁρπαγήν. Ἁρπάζω, συναλλακτεύεται ἐπὶ κλέπτειν, καὶ παιδῶν, καὶ λύκων, καὶ τῶν τοιούτων. ἁρπάζω λέγεται, καὶ τὸ βιαίως λαμβάνω, μὴ βουλομένου λέγοντι τοῦ ἀφαιρουμένου. καὶ ἁρπάζω, τὸ ὀξέως τοιῶ. ἁρπάζω, διαρπάζω, ἐμπίμπλημι, αἰτιατικῇ συντάσσονται. Ἁρπακτῆρες, ποιητικῶς φίλη λέξις, καθὰ καὶ τὸ φυλακτῆρες. καὶ τὸ πρακτὴρ, καὶ ῥέκτηρ, καὶ θηρατήρ. Ἁρπαλέον, ὁ ἐπιθυμητικός. καὶ ἁρπάλεα χρήματα. Ἁρπαλίσαι, ὁμιλῆσαι. Ἁρπαλέως, ἁρπαλεωτέρως, ἀσμένως, ἡδέως, προσφιλῶς, ἐπιθυμητικῶς. καὶ ἁρπαλέων ἀπὸ παλαιῶν, τῶν ἐπιθυμητῶν. Ἁρπαλίζομαι, ἀσμένως δέχομαι. Ἁρπάλιμα, ἁρπακτά, προσφιλῆ. Ἁρπάσαι, μαλθάσαι βοσκομένων. Ἅρπασος, ποταμὸς καρίας, πρότερον λεγόμενος καλούμενος. Ἔρπεται δὲ διὰ τὸ ὀξύτατον τοῦ ῥοῦ, καὶ ὅτι ἁρπάζει τοὺς πλησιάζοντας αὐτῷ. οὕτως ἱστορεῖ ὁ Ἀπολλώνιος.

Ἁρπαστὸν καὶ σφαῖρα, εἶδος παιδιᾶς. Ἁρπεδίσαι, ὁμαλίσαι, ἰλαρῶσαι. Ἁρπεδόνα, ἡ ἄγαν πολιτεία, κατὰ συγκοπήν, παρὰ τὸ ἄει συνημμένον. πίστεις δὲ, ἵνα μὴ σημαίνονται ἡ ἄγαν ὁμαλὴ ὁδός. ὅλου γὰρ ἐστὶν ἐπίπεδον. πίστεις δὲ, ὁμοίως διὰ ἐρθίως αἰολικῶς. ἐρίθνος γὰρ, ἡ μεγάλη ἔρις.

Ἁρπεδόνη, ἡ τῶν ἀμανῶν ἀσέμων σύγχυσις. ἢ διὰ σπαρτίων ἀσήμων. Ἁρπεδόνι, τὰ χοινία. Ἁρπεδονίζειν, λακτίζειν, καὶ διὰ σπαρτίων δεσμεῖν. Ἁρπίζειν, τοὺς αἱμασιώδεις τόπους. οἱ δὲ τείχη, καὶ περιβόλους. οἱ δὲ, τὰ κλιματώδη χωρία. Ἅρπιγον, τὸ ἐκ χαλινῶν ἐκπεφυκὸς ἐκδελομένον τειχίον.

Ἁρπινόν, ἀνέμιον, ἢ τὸ ἐπιπέδον, πρῶτος. Ἅρπυ, ὁ ἐκ τινος, ἢ ζῶον ἄλλο ἀπὸ τοῦ ἄλλου. ὅτι ἐπὶ ὄρνιν, ὥσπερ ἔσω εἶδος κατέλαβε. οἱ δὲ, ζῶον θαλάσσιον λέγουσι πολεμούν. φιλεῖ δὲ τρέφων συναύγειν καὶ φυλάσσειν ἐπὶ τοὺς καλλίστους, εἰς Χοραγίαν δὲ καὶ τὰς ἑορτάς. παρέρχεται δὲ φασι τὴν μεγαλοπτέρυγον. ἡ ἅρπη, εἶδος ὄρνεον. ἢ ἅρπυια ὁμοίως. ἢ οἱ ἄνεμοι ἅρπυιαι λέγονται. ἢ ὀνόματα θηλέων πτερωτῶν δαιμόνων. ἄνωθεν δὲ λέγεται τὰς ἁρπυίας, ἁρπαγούσας. οἷον ὀρνιθογόνους. πτέρωται δὲ ὥσπερ. τὰ δὲ κάτω μέρη ὀρνίθων ἔχουσαι. ὡς αἱ μοῦσαι πείσασαι μιμαλλόνες, τοῖς πτεροῖς ἐκείνων ἐστεφανώθησαν. πλὴν τρὶς φιληδέρας, ὅτι μόνον ἦν στεφάνων. πλεῖ δὲ πρῶτον ταῦτα γεγόνασιν. ὅθεν καὶ πόλις ἀπεῖρα τὰς ἀρετάς, παρὰ τὸ ἐκεῖ τὰ πλεῖστα ἐκπέπτωκε ἀποβαλέσθαι τὰς σειρῆνας. ὅταν δὲ ὡς ἔφαμεν αἱ σειρῆνες, τὰ κάτω μέρη ὀρνίθων ἔχουσαι, τὰ δὲ ἄνω ἀνθρώπων, οἰκοῦσαι περὶ τὴν τυρσηνίαν. καὶ ἅρπη ἔτι, εἶδος δρεπάνου. παρὰ τὸ ἁρπάζειν. Ἅρπη, πελεκοειδὲς ἄκαρον λέγει τὴν φασιανὴν ὅσον, τὴν κέραν τὴν λεγομένην. ἐν ᾗ ἦν κεκαμμένον τὸ δρέπανον, ἐν ᾧ ὁ Ζεὺς Κρόνον ἐξέτεμεν. ἢ ἔτι ἐκ τὸ δρέπανον ἡ Δήμητρα ἔλαβε παρ' Ἡφαίστου, πρὸς τὸ τέμνειν τοὺς ἀσταχύας. καὶ οὕτω μὲν ἡ κέρκυρα δρέπανον λέγεται. ἔστι δὲ καὶ σιδηροῦν χωρίον, δρέπανον καλούμενον. ἀπὸ τοῦ ἐκεῖ πεσεῖν ἐκ τὸ δρέπανον, μεθ' οὗ ὁ Κρόνος ἀπέτεμεν τὰ παιδογόνα. Ἅρπιζον, τὸ ἐκ χαλινῶν ἐκπεφυκὸς τειχίον ἀπὸ πηλοῦ, παρὰ Ἡροδότῳ. ὁ λύκος ἄπειρον ἐκδιδόασιν. Ἅρπις, εἶδος ἀκάνθης, κέστριον.

Ἁρπὶς, καὶ ἀρπίδες, τὰ ὑποδήματα, ἃ δὴ καὶ κρηπίδας καλοῦσι, καὶ ῥαπίδας. παλλάκις φησὶ τὰ ὑποδήματα. καὶ κατὰ μετάθεσιν, κρηπῖδες. Ἅρπισος, ὁ φοίνιξ, καὶ ἀρπίσαλος.

Ἅρπισαι, αἱμασιαί, ἢ τάφροι. Ἅρπυς, ἀρπυὸς ἡ διὰ τείχους. Ἅρπυιαι, αἱ τῶν ἀνέμων συστροφαί. ἐσθλαί. καὶ ἅρπυιαι μυθικῶς, δαίμονές τινες, ἀελλὼ καὶ ὠκυπέτη καὶ κελαινώ.

ἀντὶ τοῦ ἀρτίως, ἡσυχῆ, ἐξαίφνης, προσφάτως. Ἁρμονία, ἡ ἅμιλλα, συμφωνία. καὶ ἁρμονία, ἡ ἕνωσις. ὡς ἐν τῷ συνάπτειν τὰ μέρη ἁρμόζεσθαι, ἢ ἐπειδὴ συνίησιν εἰς ἓν συνιέναι, ἤγουν συμβαίνειν. ὅθεν καὶ συναρμοσύνη λέγεται ἡ αὐτή, ἀπὸ τοῦ συνίημι. ὡς ἀπὸ τοῦ συμβαίνειν σύμβασις, καὶ συμβίβασις. φησὶ γοῦν Ἀχιλλεὺς παρὰ τῷ ποιητῇ, μή μοι συναρμοσύνας ἀγόρευε. δηλῶν ὡς ταύτην ἁρμονίαν τινὰ καὶ συναρμοσίαν, ὅ ἐστι συνθήκας, δι' ἀμαχοῦ συνουσίας φησί. ἢ ἁρμονίαν λέγομεν τὴν τῶν ποιημάτων σύνθεσιν. καὶ ἁρμονία, εἴρηνη, [illegible]. ὡς καὶ ἄρειος ἁρμαξάου εἶναι φησι Φερεκύδης, ὁ ἐπίκλην Ἀπολλώνιος. Ἁρμονίαι πλείονες, Λύδιος, Αἰόλιος, Φρύγιος. ἁρμονία Λυδικὴ ἥρμοσεν παρὰ Πινδάρῳ, ἡ λύρα. Ἁρμονιάων, ἁρμονιῶν. Ἁρμονίας, συζυγίας. Ἁρμός, παρὰ τὸ ἄρω, ὁ μέλλων ἀρῶ, ὁ παρακείμενος ἦρκα. ὁ παθητικὸς, ἦρμαι. ἁρμός, τῆς Δωρίδος προσλαβούσης. ὡς εἱρμὸς, ἁρμός. ἁρμὸς δὲ, ἡ ἁρμογὴ καὶ συνάφεια. καὶ ἁρμὸς, εἰρήνη, συνθήκη, φιλία. Ἁρμοσταί, οἱ ἀπὸ βασιλέως πεμπόμενοι εἰς ἔθνη. ἢ ἁρμοσταί, οἱ ὑπὸ Λακεδαιμονίων εἰς τὰς ὑπηκόους πόλεις ἄρχοντες ἐκπεμπόμενοι. ὡς Ξενοφῶν ἐν τοῖς περὶ ἀγαθῶν καὶ κακῶν φησί, καὶ Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. Ἁρμόσυνοι, ἀρχαί τις ἐν Λακεδαίμονι, ἐπὶ τῆς εὐκοσμίας τῶν γυναικῶν. Ἁρμόττο, καὶ ἁρμόζω λέγεται ἁρμόζει, ἀντὶ τοῦ ἁρμόδιός εἰμι. ἁρμόττω δὲ ξύλον ξύλῳ, ἀντὶ τοῦ εἰς ἁρμονίαν συνάγω. Ἁρμύματα, ἀρτύματα. Ἁρμολα, ὑπολείμματα. Κύπριοι. Ἁρμοῖ, σημαίνει τὸ ἀρτίως. Ἁρμώμενος, συναρμός. Κύπριοι. Ἁρμαλα, ἀρτύματα. ἀρκαλίδες, καὶ ἁρμύμαλα. Ἁρμῶν, ἁρμονιῶν. Ἀρναῖος παρ' Ὁμήρῳ, ὃ ὁ πότνια μήτηρ, τῷ καὶ θέμενος αὐτῷ τοὔνομα. ὡς ἀπὸ τοῦ ἀρῶ ἡ εὐχὴ, πλεονασμῷ τοῦ ν, πρὸς διαστολὴν τοῦ ἐπιθετικοῦ ἀρχαίου. ἢ βοσκηματώδης, καὶ προβατώδης, κατὰ τὸ εἶδος. ἢ παρὰ τὸ ἄρνυσθαι, καὶ ἀντιλαμβάνειν, καὶ ἐντεῦθεν ζῆν.

Ἀρνακὶς λέγεται, τὸ τοῦ ἀρνὸς κώδιον, καὶ τὸ μετὰ τοῦ ἐρίου δέρμα. Ἀρνεῖν, τὴν ὅρκον, πληρωμένοι. ὅθεν καὶ τὸ ὅρθιον.

Ἀρνα προβάλλων. νόμος ἦν Ἀθήνησι μὴ πρότερον συμβάλλειν, πρὶν ἢ τὴν ἄρνα προσκυνεῖν τις, λαβεῖν τοῦ πολεμίου. Ἀρνα σον, τὴν ἄρνα. Ἀρνας, πρόβατα. Ἀρνε δύο φέροντες, ἕτερον μὲν λευκὸν, ἑτέραν δὲ μέλαιναν, παρ' Ὁμήρῳ. ὡς θυσίαν τῇ γῇ καὶ ἡλίῳ, τῷ μὲν τὸν λευκὸν, τῇ δὲ τὴν μέλαιναν. οὐ μόνον κατὰ ὁμοιότητα τοῦ χρώματος, ἀλλὰ καὶ ἐναντιότητα. ἄῤῥεν μὲν γὰρ θύεται ἡλίῳ, ὡς οἷον ἀνδρί. τὸ ἕτερον δὲ γυναῖ, ὅπερ ἐν τῇ γῇ. ὡς οἷα γυνή. καὶ θῆλυ δὲ τῇ γῇ, ὡς οἷα μητρὶ τῆς ἐξ αὐτῆς καὶ ἡλίου. εἰ δὲ ἕτερον λευκὸν, ἑτέραν δὲ μέλαιναν. ἐπὶ δὲ τῷ τρίτῳ ἄλλος ἔθυσαν.

Ἀρνεῖα, τὰ κρεωπώλια τῶν προβάτων. Ἀρνειὸς ὁ ἐξ ἔτους, τὸ ζῷον. ἀρνεῖος δὲ μᾶλλον, προπερισπωμένως. ἴσμεν, ὅτι ἀρνειὸς θύεται Ποσειδῶνι, διὰ τὸ τραχὺ τῆς θαλάσσης, ὅτι πορφύρει γαλήνην. ταῦρος, διὰ τὸ τὰ κατὰ σφοδρότητα κινήσεως πλευστικόν. διὸ δὲ, διὰ τὸ μυκητικὸν, καὶ διὰ τὰς ἐν τοῖς ὕδασι καμπὰς δίκην κεράτων. κάπρος δὲ, διὰ τὸ τοῦ ὑγροῦ γόνιμον. σπερματικὸν γὰρ ὁ ἄῤῥην κάπρος. ὅθεν καὶ καπρᾷν, τὸ οὕτως ὀρέγεσθαι. ἢ κάπριος γυνή. ἔτι σημείωσαι, ὅτι ὥσπερ ὁ τράγος ὄνομα ἐστὶν ἄρρενος αἰγὸς, οὕτω καὶ ὁ ἀρνειὸς προβάτου τοῦ ἄῤῥενος. ἴσως ἐν Ἀττικαῖς λέξεσι, λέγει ἄρνα, εἶτα ἀμνὸν, εἶτα ἀρνειὸν, εἶτα λέγεται ὁ μὲν ἐλέγετο δὲ ἢ μοσχίον, ὁ ζητητικὸς. ἴσμεν δὲ, καὶ ὅτι οὐ μόνον ἐπὶ προβάτων λεκτέον, ἀλλὰ κυρίως ἐπὶ τῶν ἐνιαυτιζόντων ἀρνειῶν, οἱ μακέλαι διὰ τὸ ὀλίγων γενηθῆναι δεδομένοι. γνώμην γὰρ ὀλιγὸς, ἀφ' οὗ ἡ ἡλικία γνωρίζεται πώλων τε, καὶ μόσχων. ἐν οἷς ὀδόντας, ὁ μαλίστα ἐκβεβληκὼς τοὺς ὀδόντας. καὶ ἀρνειὸς, οὐ τὸ ἀρνίον, ἀλλὰ ὁ τέλειος ἤδη κριός. καὶ δῆλον ἐκ τοῦ τὸν Ὀδυσσέα σώζοντος. ἐκεῖνος γὰρ ἀρνειὸς, ὃν κριὸς πάντων ὑπὸ τοῦ Κύκλωπος προσφωνεῖται. γίνεται δὲ ἀπὸ τοῦ ἀρνὸς, ὁ ἀρνειός. ὁμοίως τῷ ἀδελφειὸς, καὶ ἀδελφὸς, ξενεὸς, καὶ τοῖς ὁμοίοις.

Ἄρνυσθαι, ἀπὸ τοῦ αἴρειν τὰς χεῖρας. παρὰ τὸ αἴρω, ἀρῶ. καὶ πλεονασμῷ τοῦ ν, ἀρνῶ. Ἀρνεῖται, καὶ ὁ λέγων μὴ πεποιηκέναι τὸ δίκαιον, ἀρνεῖται. ἢ ὁ μὴ θέλων ποιῆσαι τὸ δίκαιον. οἷον διασώμενος διαπτῦσαι. ὁ δὲ ἀρνεῖν ἀντιχέζειν, ἀντὶ τοῦ ἀποχέζειν. Ἄρνες, οἱ νεογνοὶ ἀρνειοὶ, οἱ πρόβατοι, οἱ ἐπιλεύσθαι διδόντες κατὰ χρόνον. καὶ ἀρνοὶ, οὐ μόνον ἄρνες λέγονται, ἀλλὰ καὶ ἀρνεῖοι. ὅθεν οἱ ἄρνες ἐν συνηθείᾳ. διὸ καὶ ἀρνοβοσκὸς, ὁ προβατοβοσκὸς κατὰ Παυσανίαν, ἐκ μέρους δηλαδή. ὁ ἀρνοβοσκὸς ὁ αὐτὸς, ἄρνεται διὰ τοῦ ν. Ἀρνευτὴς, ὁ κυβιστητὴς εἴρηται μεταφορικῶς, ἀπὸ τῶν ἀρνῶν, οἳ ἔθος εἰώθασιν ἐπὶ κεφαλὴν ἅλλεσθαι, ὥσπερ τὴν ἀγρὰν κυρίττοντες. Ἀρνευτῆρες δύται, οἱ δύοντες. Ἀρνευτήρ, ὀρχηστὴς βασίλειος. Ἄρνη, νύμφη, ἡ τροφὸς Ποσειδῶνος. λέγεται δὲ ἄρνη, καὶ ἡ νύμφη Σινώπη καλουμένη. διὰ τὴν Ποσειδῶνα λαβοῦσα παρὰ τοῦ Κρόνου ἐκτρέφειν, πρὸς τὸν Κρόνον ζητοῦντα ἀπηρνήσατο, καὶ ἐντεῦθεν ἄρνη ὠνομάσθη. Ἄλλως. Ἄρνη, πόλις Βοιωτίας. ἔστι δὲ καὶ Θεσσαλίας. ἡ ἄρνη, ὁμώνυμος ἐστὶ τῇ Ἡρακλείᾳ. αὕτη δὲ ἀπὸ τῶν περιουσιασμένων ἀρνῶν, ἢ ὥσπερ ὑπὸ τοῦ πατρὸς ἄρνῃ κληθεῖσα. καθὰ ἡ αὐτὴ παῖδα ὑπὸ Ποσειδῶνος τεκοῦσα, Βοιωτὸν ἐκ τοῦ βοῶν ἐκάλεσε. φησὶ γοῦν Εὐφορίων, Βοιωτὸν δ' ὀνόμασε, τὸ γὰρ καλέεσθαι νομίζω, ὅτι ῥα πατρώοισι βοῶν ἀπετέκετο κόπροις. ὡς οὖν ὁ υἱὸς αὐτῆς ἐκλήθη Βοιωτὸς ἐκ τοῦ βοῶν, οὕτω καὶ αὐτὴ ὡς εἰκὸς ἄρνη ἐκ περιουσίας ἀρνῶν ζώων φιλουμένη ὑπὸ τοῖς παλαιοῖς. ἐν αἷς καὶ Θεσσαλικὴ ἄρνη, Βοιωτίας, περὶ ἧς εἰρῆσθαι οὕτως. ἄρνη Χαιρωνείᾳ μέσσα Βοιώτιον ἄνδρα. τὰ δὲ χείλεα χαλκόφωνοι, καὶ διὰ ἄρνη τὴν Χαιρωνείαν, καὶ ὅτι ἦν καὶ ἑτέρα πόλις Ἀχαΐας. ἡ δὲ παρ' ἑτέροις Λευκτάρνη, κώμη καὶ αὐτὴ περὶ τὴν Ἀλαλκομενὰν ἢ κρίων, κληθεῖσα οὕτως. διὰ τὸ ἀσφαλῶς ἐκεῖ φασὶ τὴν ἐκεῖ λίαν τὴν ἄρνα ἔχουσι. τῶν παρ' Ὁμήρῳ ἀρχαιοτάτην, Ζηνόδοτος ἄσκρην γράφει. οὐ δύναται δέ φασι πολυστάφυλος ἄσκρη λέγεσθαι. ἀξιοπιστότερος γὰρ κῦρος Ἡσίοδος λέγων, ἄσκρη χεῖμα κακὴ, θέρει ἀργαλέη, οὐδέ ποτ' ἐσθλή. φασὶ δὲ καὶ τῶν ὁμηρικῶν ταύτην ἄρνην ὑπὸ τῆς Κωπαΐδος λίμνης καταποθῆναι, καὶ τὴν Μίδειαν. Μίδεια δὲ οὐ μόνον αὕτη, ἀλλὰ καὶ Ἀργεία, ἡ καὶ πόλις Περσέως, κληθεῖσα οὕτως, ἀπὸ Μιδείας θυγατρὸς Ἀλωέως. λεγομένη καὶ Μίδεα χωρὶς τοῦ ι, ὅθεν καὶ Μιδεάτιδα Ἀλκμήνην. φασὶ δὲ, ὅτι ἡ μὲν Βοιωτικὴ Μίδεια, λέγεται προπαροξυτόνως, ὡς πρότερον. ἡ δὲ περὶ Τίρυνθα, Μιδέα ὡς τεγέα. Ἀρνακὸν, χρώματος εἶδος χλωρὸν, ὅπερ ἡμεῖς ἀρσενικὸν λέγομεν. Ἀρνίον, πρόβατον, ἀμνός. Ἀρνόγλωσσον, βοτάνη τις. Ἀρνοφόρος, ὁ μετὰ τοῦ ἀρνὸς περιιὼν τὰ τείχη, γεγραμμένος ὅρκος. Ἀρνόφυλλον, κύτισος. ἔστι δὲ πόα θαμνώδης. Ἀρνοῦμαι, ἀπαρνοῦμαι, ἀναίνομαι. Ἀρνεῖν, ὁμονοεῖν, εὐεργετεῖν. Ἀρνύμεθα, ἀντὶ τοῦ καταλλασσόμεθα. ἐπειδὴ διὰ τῶν ἀρνῶν καὶ τῶν ἄλλων ζώων, τὰς ἀμοιβὰς ἐποιοῦντο οἱ ἀρχαῖοι. ὅθεν ἀρνύμενος, ἀντικαταλλασσόμενος. σημαίνει δὲ καὶ τὸ φυλάττειν, ἢ φυλαττόμενον, ἢ τυγχάνειν, ἢ τὸ ἀντιλαμβάνειν ἐκ τοῦ ἐπιτηδείου. Ἀρνύμενοι, ἀπὸ τοῦ αἴρω, ἄρνυμαι, τὸ λαμβάνω. ἀφ' οὗ ἡ μετοχὴ ἀρνύμενος. Ἀρνύμενος μέγα κλέος, ἤγουν ἀντικαταλλασσόμενος. ἐστὶ δὲ τὸ ἀρνύμενος κλέος ὅμοιον, τῷ ἡμῖν ἀρνύμενοι πολλάκις. ἐπεὶ μὲν οὐ κλέος τῶν ἡμῶν ἐθέλει τις τῆς ψυχῆς, ἀλλὰ τῶν ποιῶν, ὡς ἐκ τοῦ γένους τὸ ζητούμενον. ὁ ἀρνύμενος ἦν τε ψυχὴν, ἤγουν τὴν ἰδίαν. ὅ ἐστιν ἀντικαταλλασσόμενος, ἀπὸ μεταφορᾶς τῶν παλαιῶν ποτε μεταδιδόντων ζώων τοῖς συναλλάγμασι, τοιοῦτον ἀπὸ τῶν ἀρνῶν ὡς εἰδότες τῶν τετρασκελῶν. καὶ ἐστι κυρίως μὲν ἄρνυσθαι, τὸ ἄρνα διδόντα ὡς ἐν καταλλαγῇ ἀντιλαμβάνειν τι ἕτερον χρήσιμον. καταχρηστικῶς δὲ, καὶ τὸ ἁπλῶς ἀντικαταλλάσσεσθαι. καὶ ἄρνυσθαι, σημαίνει τὸ ἀντικαταλλάττεσθαι. Ἄρνυται, λαμβάνει, ἀντικαταλλάττεται. Ἀρνωτὸς, εὐπαγὴς, εὔσαρκος. Ἀρνωδοὶ, οἱ ῥαψωδοὶ, διὰ ἄρνα ἐλάμβανον. Ἀρνῶν, παρ' Ὁμήρῳ κατὰ ἔθος παλαιὸς, οὐκ ἀπὸ μονοσυλ-

χωρὶς ἐπακτοῦ τροφῆς. ἄρκος δὲ, ὅτι ἀπὸ τῆς ἄρκου ἐγένετο. ἀρκτοῦρος, καὶ ὁ ἐπὶ τῆς ζώνης τοῦ ἀρκτοφύλακος λαμπρὸς ἀστὴρ, ἀπὸ τοῦ κατὰ τὴν οὐρὰν τῆς ἄρκτου. Ἀρκούντως ἔχειν, καὶ μετρίως ἔχειν λέγομεν. καὶ ἀποχρώντως, ἱκανῶς, αὐτάρκως, μεμετρημένως. τὸ δὲ ἀμέτρως λέγειν, οἱ μὲν κατὰ τὸ πλέον, ἐκμέτρως, καὶ ὑπερμέτρως, καὶ περιττῶς. οἱ δὲ κατὰ τὸ ἔλαττον, ἐνδεῶς, ἐλλιπῶς, ἐλαττόνως. Ἀρκτεία, ἡ τῶν ἀρκτευομένων παρθένων τελετή. Ἀρκτέον, δεῖ ἄρχεσθαι, ἢ ἄξιον ἀρχὴν λαμβάνειν τὸ πρᾶγμα. ἔστι γὰρ ὄνομα ἐπίθετον, ἀλλ' οὐκ ἐπίρρημα. τὰ γὰρ οὕτω προφερόμενα ἐπιρρήματα συντακτικὴν ἔχει τὴν σημασίαν, τὰ δὲ ὀνόματα παθητικήν. Ἀρκτεῦσαι. Λυσίας ἐν τῷ ὑπὲρ Φρυνίχου θυγατρὸς (εἰ γνήσιος) τὸ καθιερωθῆναι πρὸ γάμου τὰς παρθένους τῇ Ἀρτέμιδι τῇ Μουνυχίᾳ, ἢ τῇ Βραυρωνίᾳ. τὰ δὲ συντείνοντα εἰς τὸ προκείμενον, εἴρηται παρά τε ἄλλοις καὶ Κρατερῷ, ἐν τοῖς ψηφίσμασιν. ὅτι δὲ αἱ ἀρκτευόμεναι παρθένοι ἄρκτοι καλοῦνται, Εὐριπίδης ὑψιπύλῃ, καὶ Ἀριστοφάνης Λημνίαις καὶ Λυσιστράτῃ.

Ἀρκτῆ, ἡ τῆς ἄρκτου δορά. Ἄρκτων ὄρος, κυρίως οὕτω λεγόμενον. ἐπειδή φασι τὰς τροφοὺς τοῦ Διὸς ἐκεῖ διαφυγούσας, εἰς ἄρκτους μεταβληθῆναι. ἢ ὅτι ὁ τόπος ἔνθηρος, καὶ ἀπὸ τοῦ θηρίου τῆς ἄρκτου ὠνομάσθη. ἢ διὰ τὸ ὑψηλὸν τοῦ ὄρους, ἀπὸ τοῦ δοκεῖν ταῖς ἄρκτοις προσπελάζειν ταῖς οὐρανίαις. νῦν δὲ ἄχρι τινὸς γηγενεῖς ᾤκουν. Ἄρκτος. ὅτι λόγος ἐστὶ, Καλλιστὼ τὴν Λυκάονος χόλῳ Ἥρας διὰ τὸν Διὸς ἔρωτα, μεταπεσεῖν εἰς ἄρκτον. καὶ τοξευθῆναι μὲν ὑπὸ Ἀρτέμιδος, ἀναχθῆναι δὲ εἰς ἀστέρας ὑπὸ τοῦ Διός. ἔχουσι δὲ καὶ περὶ αὐτῆς τὸ ἀρκοῦν, οἱ τοῦ Ἀράτου ὑπομνηματισμοί. ἴσιον δὲ, καὶ ἐπεὶ ἄρκτον ὁ μῦθος κατὰ συνωνυμίαν τὸ τῆς Καλλιστοῦς ὄνομα ἀσφαλίζεται. ὁ δὲ ὠρίων, κυνηγέτης ὑπόκειται. χαριέντως εἶπεν ὁ ποιητὴς τὸ, ἥ τ' αὐτοῦ στρέφεται, καί τ' ὠρίωνα δοκεύει. ἀληθῶς μὲν, διὰ τὴν αἰτίαν ἡ ἄρκτος περὶ ὠρίωνα ποιεῖται κίνησιν. ἀστείως δὲ, ὡς πρὸς τὸν μῦθον. διότι δέδοικεν ἡ ἄρκτος τὸν κυνηγέτην, καὶ διὰ τοῦτο πρὸς τὸ τοῦ ὠρίωνος ἀντωπὸν ἄγει. λέγει δὲ καὶ κύριον μὲν αὐτῆς εἶναι τὸ ἄρκτος, διὰ τὴν τοῦ μύθου ἱστορίαν. ἢ ὡς αὐτὴν ἐξ ἄρκτου κατηστερισμένην. ἐπίκλησιν δὲ τὸ ἄμαξα, διὰ ὁμοιότητα τῆς τῶν ἀμαξοειδῶς αὐτὴν συμπληρούντων ἀστέρων θέσεως. ἡ δὲ ἄρκτος, δὶς μετὰ τοῦ τ λέγεται, δηλοῖ ὁ γράφων οὕτως ἄρκτον, οὐχὶ ἄρκον. τὴν μὲν ἄπειρον ἀπὸ τοῦ τ ἀπαθείαν, διὰ τὸ εὔφωνον, καὶ τὴν ἐπίθετον ποιῶν ἄρκιον. εἰς ὃ καὶ φέρει ἐκεῖνος χρῆσιν ταύτην. Καὶ μὴν πελάζει καὶ καταψύχει πνεῦμ' ἄρκιος, ὡς παίγνιον ἀσπίδος μολών. τὸ δὲ ἄμαξα, οἱ παλαιοὶ μὲν ψιλοῦσι, καὶ φέρουσι καὶ συναλοιφαὶ τοῦτο δηλοῦσαι, οἷον, τὴν λίθον ἐπάμαξαν, καὶ αἱ δ' ἐφ' ἀμαξιτὸν, καὶ κατημαξευμένον. οἱ μὲν νεώτεροι Ἀττικοὶ δασύνουσι. καὶ διὰ δασέος συνάλειψαν, καθαμαξευόμενον εἰπόντες, ὥς φασιν οἱ παλαιοί. καὶ ἄρκτος τὸ ζῶον, καὶ τὸ ἀπλανὲς ἀστροθέτημα. Ἀρκτοῦρος, ὁ ἐπὶ τῆς ζώνης τοῦ ἀρκτοφύλακος λαμπρὸς ἀστὴρ, ἀπὸ τοῦ κατὰ τὴν οὐρὰν ἄρκτου. ἔστι καὶ εἶδος βοτάνης, καὶ ὅλος ὁ βοώτης. Ἀρκτῷος τόπος, ἐν ᾧ οἱ ἀπλανεῖς ἀστέρες. καὶ ἀρκτώων τόπων, τῶν βορείων. Ἄρκυα, δίκτυα, λίνα. Ἄρκυες, δίκτυα πρὸς θήραν, θηρατικά. Ἀρκύσματα, ἀπάτας, ὑπὸ περαίων. Ἄρκιον, μεσάγκυλον, καὶ γυναικεῖον κεκρύφαλον. Ἄρκυς κυρίως, δίκτυον πρὸς ἄγρευτον θήραν ἁρμόδιον. καὶ ἀρκυωρεῖσθαι, τὸ φυλάσσειν τὰς ἄρκυς. Ἀρκυωρὸς, ὁ τὰς ἄρκυς φυλάσσων. ἄρκυς δὲ, πάντα τὰ θηρατικὰ λίνα. Ξενοφῶν κυνηγετικῷ. Ἀρκύστατα, οἱ τόποι ἔνθα αἱ ἄρκυες πήγνυνται. Ἀρκούντως, ἀρκετῶς, ἱκανῶς. Ἀρκῶ, τὸ βοηθῶ, ἀρκέσω, ἤρκεσα. καὶ ἀρκῶ, τὸ ἐπαρκῶ τοῖς πένησι. καὶ ἀρκῶ, ἀντὶ τοῦ ἱκανός εἰμι. καὶ ἀρκεῖ μοι τόδε τὸ πρᾶγμα, ἀντὶ τοῦ ἱκανόν ἐστιν. ἐπαρκῶ δὲ, τὸ βοηθῶ τοῖς χρείαν ἔχουσιν, ἀρκετὰ δίδωμι. καὶ ἀπαρκῶ, τὸ ἀποδιδῶ. Ἅρμα, κώμη τις πλησίον [illegible]. καὶ ὄνομα ἔχον φρούριον ὀχυρὸν, ὅμορόν φασι τῇ Ταναγρικῇ. οὗ ὁ πολίτης, ἁρματεύς. ἐκλήθη δέ φασιν οὕτως, ἢ διὰ τὸ ἐκεῖ καταδῦναι τὸ τοῦ Ἀμφιαράου ἅρμα, ἢ ἀπὸ τοῦ ἅρματος Ἀμφιαράου, καταφυγόντος ἐκεῖ, καὶ μὴ ἐκπεσόντος εἰς Διώνυσον. ἐκαλεῖτο ἀπὸ τοῦ αὐτοῦ καὶ Ἀμφιάρειον. ἔστι δέ φασι καὶ τῆς Ἀττικῆς τόπος ἐν Πάρνηθι ἅρμα καλούμενος, κείμενος περὶ τὴν οὕτω καλουμένην φυλήν. τὸ δὲ παροιμιῶδες τὸ ὁπόταν ἀστράψῃ δι' ἅρματος, ἔνιοι ἀφ' οὗ καὶ διὰ χρόνου ἀδήλου, τοῦ Ἀττικοῦ ἅρματος μέμνηνται. ἢ μᾶλλον τοῦ Βοιωτικοῦ. φασὶ δὲ καὶ ὡς ἀστραπῆς γενομένης κατά τινα χρησμὸν οἱ Πυθαϊσταὶ, βλέποντες ἐπὶ τὸ Πύθιον ἅρμα, καὶ ὅτε ἀστράψειεν, ἔπεμπον θυσίαν εἰς Δελφούς. ἐτήρουν δὲ ἐπὶ τρεῖς μῆνας, καὶ καθ' ἕκαστον μῆνα ἐπὶ τρεῖς ἡμέρας καὶ νύκτας ἀπὸ τῆς ἐσχάρας τοῦ ἀστραπαίου Διός. τὸ ἅρμα ἑνικῶς, τέθριππον. πληθυντικῶς δὲ παρὰ λατίνοις, τὰ ὅπλα. καὶ ἅρμα, ὄχημα, καρροῦχα, δίφρος, καὶ πόλις Βοιωτίας. Ἁρμαθὴμ, ὄνομα τόπου. Ἁρμακίας, σοφός. Ἁρμαλιὰ, ἡ τροφὴ, παρὰ τὸ τῇ ψυχῇ ἁρμόζειν. ἀπὸ γὰρ τοῦ ἁρμόζω, ἢ παρὰ τὸ αἴρειν τὰ σώματα, γίνεται ἁρμός. καὶ ὡς καθαίρω καθαρμὸς, οὕτως αἴρω ἁρμός. ἀφ' οὗ καὶ παρώνυμον ἁρμιά, καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς, γίνεται ἁρμαλιά, ἢ διὰ τὸ δίκην ἅρματος φέρειν τὰ σώματα. Ἁρμαλίας ὄχος, ὁ τὴν τροφὴν τῇ στρατιᾷ ἐμπεριφερόμενος. ἢ τροφίτος, καὶ θρεπτικός. Ἁρμάμαξα, ἡ πρὸς ἀνθρώπων καθέδραν κατεσκευασμένη ἅμαξα. οἷον, ἅρμα καὶ ἅμαξα. ἢ ἀνδράμαξα ὡς οὗτος, ἢ ἀγωγὸς δὶς ἔφασαν. Ἁρμάτιον, ὅτι τὰ λεγόμενα παρ' ἡμῖν ἁρμάτια, ἑρμάτια ὀφείλουσι λέγεσθαι, ὡς εὗρον ἐν τοῖς σχολίοις τοῦ ἁγίου Διονυσίου, ἐν ἀρχῇ τοῦ ς κεφαλαίου περὶ τῶν θείων ὀνομάτων. οἱ γὰρ Ἕλληνες οἷα λίθους ἀνδριάντας ἐποίουν μήτε χεῖρας, μήτε πόδας ἔχοντας, οὓς δὲ ἑρμᾶς ἐκάλουν. οὗ ὑποκοριστικὸν ἑρμάτιον. ἐποίουν δὲ αὐτοὺς λιθίνους θύρας ἔχοντας, καθάπερ [illegible]. καὶ ἔσωθεν αὐτῶν ἐτίθεσαν ἀγάλματα, ὧν ἐσέβον θεῶν. ἔξωθεν δὲ ἀπέκλειον τοὺς ἑρμᾶς. Ἁρματηλασία, ἡ τῶν ἁρμάτων ἡνιοχεία. Ἁρμάτειον μέλος παρ' Εὐριπίδῃ, ἐξηγοῦνται οἱ παλαιοί. φασὶ δὲ εἶναι αὐτὸ καὶ τὸ ἐπὶ τῷ ἑλκυσμῷ τοῦ Ἕκτορος γενόμενον μέλος, ἀπὸ τοῦ θρηνεῖν τῶν [illegible]. Ἁρματηλάτης, ὁ ἡνίοχος, ἀπὸ τοῦ ἐλαύνειν τὸ ἅρμα.

Ἁρματροχία, καὶ ἁρματροχιὰ, ὁ τύπος καὶ ἡ ἐγχάραξις τοῦ τροχοῦ. Ἁρμεῖς, οἱ εὐκατηρίδες, ἐν κύκλῳ. Ἅρμενα, ἰδιωτικώτερον μὲν, ὅμως δὲ οὐκ ἀλόγως τὰ ἱστία καλεῖν.

Ἅρμενον, φιάλιον ἐστι. παρὰ τὸ ἀρῶ τὸ ἁρμόζω, καὶ ἀραρὼς ἀραρόμενον, καὶ κατὰ συγκοπὴν ἅρμενον. σημαίνει καὶ τὸ ἐν τῷ πλοίῳ, καὶ τὸ ἁρμόζον, καὶ προσφυές. Ἁρμὴ, λαβὴ, καὶ σύνδεσμος σώματος, ἁρμογὴ, ἦχος τόνου, καὶ φωνῆς. Ἁρμίως, παραχρῆμα, παρὰ τὸ ἄρτι ἐσκεμμένα. Ἁρμόγαλα, τὰ ἀρτύματα, τὰ [illegible]. Ἁρμογὴ, ἡ σύνταξις. Μακεδόνες δὲ τὴν τῶν πολεμίων ἁρμογήν. Ἁρμογλώσσα, ἅπαντα πάντα. Ἁρμόδιοι, οἰκεῖοι, συγγενεῖς, φίλοι. Ἁρμοδιωτικῶς, ὁμοίως, ἢ ἴσως [illegible]. Ἁρμόδιον ᾄσεται, λέγει Ἀριστοφάνης, ἐν ταῖς τῶν πότων συνόδοις ᾐδέσθη μέλος ἁρμόδιον καλούμενον, οὗ ἡ ἀρχὴ, φίλταθ' Ἁρμόδιε οὔ τί που τέθνηκας. ᾖδον δὲ αὐτὸ εἰς Ἁρμόδιον καὶ Ἀριστογείτονα, ὡς καθελόντας τὴν τῶν Πεισιστρατιδῶν τυραννίδα. ἦν δὲ ἕτερα μέλη τὸ μὲν Ἀδμήτου λεγόμενον, τὸ δὲ Λαμίου. Ἁρμόζει μοι δεσποτεία, καὶ ἁρμόζει μοι δεσπόζειν.

Ἁρμόζονται, συζεύγνυνται, συνάπτονται. Ἁρμοζόντως, ἀσφαλῶς. ὅθεν καὶ τὸ ἀρθρῶσαι, κυρίως δὲ Λευκή. Ἁρμόζουσα, συμφωνοῦσα, συναπτομένη, ἡ κοσμοῦσα. Ἁρμοῖ, ἐπίρρημα ὃ δηλοῖ τὸ νεωστί. δασύνεται μὲν κατὰ τοὺς παλαιούς. ἡ δὲ πλείων χρῆσις ψιλοῖ αὐτὸ, σφαλερώτερον ὂν κατὰ τὸ τεχνικόν. ἁρμός γάρ φασιν, ἁρμοῖ ἁρμῶ, καὶ συνελόντι ἁρμοῖ. κατὰ τὸ ἔσω ἐξοῖ, καὶ ἔνδον ἐνδοῖ. σημαίνει δὲ τὸ νεωστὶ, ταχέως. ἀπὸ τοῦ ἅρμα ἁρμοῖ. καὶ Αἰσχύλος ἐν Προμηθεῖ, ἁρμοῖ πέπαυμαι τοὺς ἐμοὺς θρηνῶν πόνους. καὶ ἁρμοῖ,

ἀντὶ

τεύεσθαι, τὸ ὀλιγοκρατεῖσθαι. ὅθεν ἴσως ἀριστοκράτης ἔχει τὸ ὄνομα. ἐπεβούλευσε γὰρ κατάλυσιν τοῦ δήμου. ὡς τὸ μισοῦ ἀριστοκρατίαν, ὅτι καὶ ἀριστοκράτης κέκληται νῦν. ἀριστοκρατεῖσθαι, κεῖται παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ ὀλιγαρχεῖσθαι. Ἀριστοκράτης δὲ Σκελλίου υἱὸς, ἐπιβουλεύσας εἰς κατάλυσιν τοῦ δήμου. Ἀριστοκρατούμενοι, ὑπὸ ἀρίστων κρατούμενοι, ὁ δῆμος, ἢ ἑτέρων λοιπῶν καλλίστων. Ἀριστολοχία, βοτάνη τις. Ἀριστομήκιον, βοτάνη.

Ἀριστοτέχνης, ὁ ἐν τῇ τέχνῃ χρήσιμος. Ἀριστοτόκεια, ἡ ἄριστα γεννῶσα. Ἄριστος, μέγιστος, ἔξαρχος, ἐξοχώτατος. καὶ ἄριστος ἐπὶ σώματος, βέλτιστος ἐπὶ ψυχῆς. ἢ ἄριστος, ὁ ἐν πολέμοις ἀνδραγαθῶν, ἢ ὁ ὑπερέχων ἐν παντὶ πράγματι, καὶ τοὺς ἄλλους ὑπερβαλλόμενος. Ἄριστον, τὸ ἀκράτισμα, ἤγουν τὸ πρωϊνὸν ἔμβρωμα. ὃ ἡμεῖς ἀκρατισμὸν καλοῦμεν, διὰ τὸ ἐν ἀκράτῳ βρέχειν καὶ προσίεσθαι ψωμούς. Φιλήμων, τροφαῖς τέσσαρσι χρῆσθαί φησι τοὺς παλαιοὺς, ἀκρατίσματι, ἀρίστῳ, ἑσπερίσματι, δείπνῳ. καὶ ὅτι τὸ μὲν ἀκρατισμὸν, διανηστισμὸν ἰατροὶ ἔλεγον. τὸ δὲ ἄριστον, δορπηστόν. τὸ δὲ δεῖπνον, ἐπιδορπίδα. ἐστὶ δέ φησιν ἡ τάξις τῶν ὀνομάτων παρ' Αἰσχύλῳ, ἐν οἷς εἰσάγει τὸν Παλαμήδην λέγοντα οὕτω, σῖτον δ' εἰδέναι διώρισα, ἄριστα, δεῖπνα, δόρπα θ' αἱρεῖσθαι τρία. τὸ δὲ τέταρτον οὕτω μέμνηται Ὅμηρος, ἔρχεο δειελιήσας, ὃ καλοῦσί τινες δειλινὸν βρῶμα, μεταξὺ ὂν τοῦ ὑφ' ἡμῶν λεγομένου ἀρίστου καὶ δείπνου. ὅτι δὲ τοῦτο, ἤγουν τὸ δειελιήσας ἀνακλίνεται, ὡς μὴ δηλοῦν τετάρτην τροφήν. ἐπεὶ μὴ δὲ οἶδεν Ὅμηρος τροφὰς ἐφ' ἑκάστῃ ἡμέρᾳ τέσσαρας. ὁ δὲ Ἀθήναιος, ὡς ἄριστον μέν ἐστι, τὸ ὑπὸ τὴν ἕω λαμβανόμενον. δεῖπνον, τὸ μεσημβρινὸν, ὃ ἡμεῖς ἄριστον φαμέν. δόρπον δὲ, τὸ ἑσπερινόν. ἐπεὶ δὲ τοῖς ἐπικρίνεσι συνωνυμεῖν τὸ ἄριστον τῷ δείπνῳ, ἐξ Ὁμηρικῆς χρήσεως ὡρμημένος. ἄριστον λέγομεν, καὶ ἀριστῶμεν, ἄριστος, συνάριστος, ἀριστοποιούμενοι. καὶ τὸ Μενάνδρου δρᾶμα συναριστῶσαι, ὃ παρὰ Ξενοφῶντι συνάριστος. Ἀριστονομία, ἡ εὐνομία, ἢ τῶν ἀρίστων διανομή. Ἀριστόχειρ, ὁ γενναῖος περὶ τὰ ἀριστεῖα, ἢ ἀριστόχειρ ἀγών. Ἀρύβαλλος, κλειστὸν ἢ βαλάντιον, ἢ μηδωνάτιον, παρὰ τὸ ἀρύειν καὶ βάλλειν. Ἀρίσυλλος, κύριον ὄνομα, αἰσχρὸς παρὰ τῷ Ἀριστοφάνει. καὶ ἐν ἐκκλησιαζούσαις μέμνηται αὐτοῦ, ὡς αἰσχροποιοῦ. Ἀρισωτὸς, ἀρίστη ὥρα. Ἀρισφαλῆ οὐδὸν λέγει Ὅμηρος, τὴν τραχεῖαν καὶ πάντα σφάλλουσαν, ὡς κατολισθαίνοντα πίπτειν τὸν ὁδεύοντα. Ἀρίφρων, ὁ καλῶς φρονῶν.

Ἀριφραδέα, δῆλα, εὔσημα, εὐεπίγνωστα, ἢ φανερά. Ἀρισφαλεῖς, εὐχερῶς ἀπατώμενοι. Ἀρισφαλεῖς, ἰσχυρῶς σφαλεροί. Ἀριφραδὲς, ἄγαν φανερόν. Ἀρίκα, ἄρρην πρόβατον.

Ἀρίχεται, γλίχεται, ἐπιθυμεῖ. Ἀριχευτῶν, ἐκλεῖθεν ζητ.

Ἀρνάθ, ἡ λίμνη, ὑπὸ σύρων. Ἀρίων, ὁ ἵππος τοῦ Ποσειδῶνος υἱὸς, καὶ μία τῶν ἐρινύων. Ἄρκαλα, λευκά, καὶ ἐνώτια ἐξ ὤμων περίεχον. οἱ δὲ, ξύλα ξηρά. Ἀρκαλῶν, περιχαλῶν, μέτρων. Ἀρκάνη, τὸ ῥάμμα, ᾧ τὴν κρόκην ἐγκαταπλέκουσιν αἱ διαζόμεναι. Ἀρκαλέον, ξηρὸν, γονιμόν. Ἀρκαδικὸν, ἀρκαδικὸς πῖλος, Σοφοκλῆς Ἰνάχῳ. Ἀρκάς. ἰστέον ὅτι ἀρκάς, κυνῆ ἐλέγετο. ὅτι ἀρκαδικὴ πῖλος, διὰ τὸ ἔχειν ὡς εἰκὸς τι διάφορον πρὸς τὰ ὁμοειδῆ, καὶ ὅτι φιλόσκιος ἐφόρουν ἀρκάς. καὶ ὅτι ἐξελαθέντες παρὰ ἀρκάσι φασὶ φαλλὸν, μίσθον τι ... ἢ ψόος, ὃ ἰδίως θαλάσσιον καλεῖν. καὶ ὅτι παροιμία ἦν τὸ ἀρκάδας μιμούμενος, ἐπὶ τῶν ἄλλοις ταλαιπωρούντων. μαχιμώτατοι γὰρ ὄντες, αὐτοὶ μὲν οὐδέποτε ἐνίκησαν, πολλοῖς δὲ ἄλλοις αἴτιοι τοῦ νικᾶν ἦσαν. ὅθεν ὁ Πλάτων ὁ κωμικὸς, διὰ τὸ τὰς κωμῳδίας φησὶν αὐτὸς ἑτέροις ἄλλοις ἐκδιδόναι διὰ πενίαν, ἀρκάδας μιμεῖσθαι. ἕτερος δὲ ῥήτωρ ἐπιφανὴς τὰ πολλά φησιν, ἀρκάδας μιμούμενος, ἄγαν ἄλλοις ταλαιπωρῶν. οἱ γὰρ ἀρκάδες, ὑπὲρ ἑτέρων ἐκστρατεύεσθαί φασιν, ὃ δὴ καὶ Ἡρακλῆς ἐπεῖχεν. ἐξ οὗ καὶ παροιμία ἐπὶ τῶν ἄλλως μοχθούντων, τὸ ἐν τῇ ψάλει γενηθῆ-

σαι. κατὰ τὴν ἀρκαδίαν δέδαλε, ὃς μικρὸς τετάρτῃ γενηθεὶς, ἄλλως ἄλλα. Ἀρκάδες, ἀπὸ Ἀρκάδος υἱοῦ Διός. καὶ ἡ χώρα αὐτῶν ἀρκαδία, κληθεῖσα πρότερον καὶ πελασγία, καὶ παρρασία, καὶ λυκαονία, καὶ γιγαντὶς, καὶ ἀζανία. ὅτι δὲ ἀρκάς τό, τι κάλλιον καὶ τὸ ἐθνικὸν συστέλλει τὸ ἄλφα, καὶ ὀξύνεται, καὶ διὰ τοῦ δος κλίνεται, κατὰ τὸ φυγὰς φυγάδος, καὶ τὰ ὅμοια, ἐκ τῶν Ἡρωδιανοῦ δῆλον. ὃς παραδίδωσι τὸ ἱμὰς καὶ ἀνδριὰς, ἰατρικώτατα ἐν τῇ λογγίνῃ, κατὰ τὰς μοσχὰς μιμεῖσθαί φασιν αὐτὰ, καὶ τὴν τῶν μακρῶν κλίσιν, τοῦ ἱμὰς ἱμάντος καὶ βιβὰς βιβάντος. δοκεῖ δέ φασι, παλαιότατα ἔθνη ἑλλήνων εἶναι τὰ ἀρκαδικά. διὸ καὶ προσέληνοι ἐλέγοντο οἱ ἀρκάδες. ἄλλοι φασὶν ὅτι ὁ ὑγιεινὸς πρῶτον αὐτοὺς ἐκάλεσεν. ὅθεν δὲ ὁ Λυκόφρων παραφράζων, πρόσθε μέντοι τοὺς ἀρκάδας, βαλανηφάγους εἶπεν. Ἀρκεῖν, βοηθεῖν, προσθεῖν. Ἄρκιος κρίκαν, ὁ τῆς ἀρχῆς καὶ ἄρκιον κρίον, διάφθογγον. ἄρκιον δὲ τὸ ἱκανὸν καὶ ὠφέλιμον, ἴσως. Ἀρκεσιτέλης, λαίστης, ὁ υἱὸς ἀρκεσίλα. ὃς ἦν παρὰ τὸ ἀρκεῖν ἀρκέσαι ἐφρίθη, ὡς οἷον ἐπιθυμεῖν χαλοῦ διατιμώμενος, ὅθεν καὶ ὁ σατάρχης. ὁ διότι ἄρκος αὐτὴν, ὅτι ἄρκτος, θηλάζει, καθὰ καὶ Ἱστορεῖται, ὁ αἴξ, καὶ ἄλλοι τινὲς λέγουσιν. ἐν οἷς καὶ οἱ τῶν ῥωμαίων ἔβδομοι κατὰ δίκην, ῥῶμος δαιδαλὴ καὶ ῥώμυλος, οὓς ἐθήλασε λύκαινα, ἣν παρὰ τοῖς ἰταλιώταις λοῦπα καλεῖται. ὁ δὲ ὄνομα μετῆκται ἀπαιτείως εἰς ἑταιρίδων προσηγορίαν. τὸ γὰρ ζῶον ἁρπακτικὸν ἡ λοῦπα, ὅπερ λύκαινα. καὶ αἱ ἑταιρίδες δὲ, ὁμοιότροποι. οἱ δὲ καὶ μῦθος περιφέρεται, ὡς ἀρκτίνῃ αὐτὴν ἄρτος, ἢ ἰσορία θηρατικὰ τὸ βιοῦν βρέφος ἀνθρωπίνως μαθεῖν. φασὶ γὰρ αἰφαλὸν τὴν Λυκόνησον, ἢ Λαΐου, ἐξ ἄρκτου γυναικὸς τεκεῖν τὴν ἀρκείσιον. Ἀρκεσίλαος, ἀμυντικὸν, ὅτι βοηθητικόν. δηλοῖ δὲ τὴν ἐπαρκοῦσαν λαοῖς. ὥσπερ δὲ μισῶ μίσους, μισοσίλαος. οὕτως ἀρκῶ ἀρκέσω, ἀρκεσίλαος. διὸ καὶ εὐρυσθενίαν γεννῶντος ὁ τούτῳ ἀρκεσίλαον. αὐτοῦ δὲ καὶ χαλκοκαρδίους, λαέρτου. διὰ τοῦ δὲ καὶ ἀνδρείου, ὀλυσσέα. οὗ καὶ πηνελόπης, τηλέμαχον. αὐτοῦ δὲ πολυπόρθης τοῦ νέστορος, περσέπολιν, ὡς Ἡσίοδος. Ἀριστοτέλης καὶ ἑλλάνικος, τηλέμαχόν φασι ναυσικάαν γῆμαι τὴν ἀλκινόου, καὶ γεννῆσαι τὴν περσέπολιν. ἔνιοι δὲ καὶ τοιούτους λόγους ἀποκρίνουσιν. ἐκ κίρκης υἱοὶ κατὰ Ἡσίοδον ὀδυσσεῖ, ἄγριος καὶ λατῖνος. ἐκ δὲ καλυψοῦς, ναυσίθοος. ὁ δὲ τηλεγόνειαν γράψας Κυρηναῖος, ἐκ μὲν καλυψοῦς τηλέγονον, υἱὸν ὀδυσσεῖ ἀναγράφει, ἢ τηλέδαμον. ἐκ δὲ πηνελόπης, τηλέμαχον καὶ ἀρκεσίλαον. κατὰ δὲ Λυσίμαχον, υἱὸς αὐτοῦ ἐξ εὐίππης θεσπρωτίδος, λεοντόφρων, ὃν ἄλλοι δόρυκλον φασί. Σοφοκλῆς ἐκ τῆς αὐτῆς εὐρύαλον ἱστορεῖ, ὃν ἀπέκτεινε τηλέμαχος. Ἀρκεῖσθαι, πληροῦσθαι, ἀντὶ τοῦ ἀρκοῦ. ἴδιον τῶν ἰώνων χρῆσθαι τῆς ἀποθηραφαῖς, ἀντὶ προσαγωγικῶν. Ἀρκείσιος, ὁ πάππος ὀδυσσέως. Ἄρκευθος, φυτὸν ἢ δένδρον ὅμοιον ἀκανθώδει, ἀπόλλωνος ἱερόν, ὡς ἱστορεῖ Μνασέας. Θεόφραστος δέ φασιν, ὅτι τῶν ἀγρίων ὅσα, ἐλάτη, πεύκη, ἄρκευθος, μελία, οἶα καὶ ἀναρύκα, ἣν καλοῦσι φιλάδελφον. Ἄλλως. Ἄρκευθος, εἶδος φυτοῦ ἀκανθώδους, ἀπὸ τῶν ἀρῶν, ὅτι τὰς βλάβας πάυειν, ἀράκευθος, καὶ ἄρκευθος. ἢ διὰ τὸ ἔχειν ἀκάνθας κεκρυμμένας, οὗ τὰς ὀσμὰς πάντα τὰ ἑρπετὰ ἀποστρέφεται. Ἀρκέσαι παρ' Ὁμήρῳ, ὅ ἐστιν ἄρκιος φανήσεται, βοηθήσει. Ἀρκέσιον, οὕτω καλούμενον ἔστιν ἐν τῷ ἱερῷ κειμένης ἰδέας. παρὰ τὸ ἀρκεῖται, τὸ βοηθοῦσι. Ἄρκυλα, τὸ ὕδωρ. κρύσταλλον, τὴν ὕσγινα. Ἀρκὺς, ταχύς. Ἄρκιος, ἀρχαῖος ἐρασεὺς, ἀγαθὸς, πολεμικός. Ἄρκιον, ἀρκετὸν, αἱρετώτερον, ἱκανὸν, ἕτοιμον. Ἀρκὸν, χολλύ. μακεδόνες. Ἄρκος. ἄρκτος, βοήθεια. ἢ τὸ παιόνιον, καὶ τὸ ζῶον, καὶ ἱερὰ τοῦ ἀρτέμιδος. Ἀρκοῦμαι, ἀγαπῶ, ἀρκεῖ. ἐπιθυμητικόν, βοηθῶ. Ἀρκεῖ ἡμῖν ἀρκεσθῆναι, καὶ δηλοῖ ἡμῖν ἀριστῆσαι. ἢ ἄρκος, παρὰ τὸ ἀρκῶ. ἄρκος ἡ ἐπιθυμίᾳ ἑαυτῆς, φασὶ γὰρ αὐτὴν διαζῆν τὴν χειμῶνα,

χωρὶς

ταχέως ἐγλυόμενον γινομένου. παρὰ τῷ Ἱπποκράτει. Ἀρίγνωτος, διάδηλος, φανερός, ἀπὸ τοῦ ἀρι ἐπιτατικοῦ μορίου, καὶ τοῦ γνωτοῦ, ὃ δηλοῖ τὸ γνώριμον. Ἀρίδακρυε, ταχέως.

Ἀριδάκρυοι, πολυδάκρυτοι. Ἀριδείκετος, ὁ ἄγαν ἔνδοξος. παρὰ τὸ δείκω τὸ δεικνύω, ἐξ οὗ παράγωγον δεικνύω. καὶ δείκελον, τὸ δεικτικὸν τῶν ὁμοιότητα. ὡς οὖν ἀπὸ τοῦ ἔχω ἔχετος, ἐμῶ ἔμετος, οὕτως ἀπὸ τοῦ δείκω δείκετος, καὶ ἀριδείκετος.

Ἀρίδες, τὰ τεκτονικὰ ἐργαλεῖα. καὶ ἀρίδες, αἱ κατὰ κεστροδῶν ποαί. Ἀριδήλων, τῶν ἀριδήλων, κρυπτῶν. Ἀρίδηλον, ἔνδηλον, φανερόν. Ἀριδηλότατα, φανερώτατα. Ἀριζήλη, θαυμαστή, ἄγαν ἐνδηλοτάτη, ὅπερ θηλυκόν ἐστι τοῦ ἀρίζηλος. οἷον ἀστὴρ ἀρίζηλος, καὶ ὅτι ἔτρεψε τὸ δ εἰς ζ συνήθως, δῆλόν ἐστι. καὶ ὅτι κυρία λέξις ὡς ἐν ποιήσει τὸ ἀριζήλη, ἐπὶ φωνῆς περιφανευούσης τὰς ἀκοάς, φασὶν οἱ παλαιοί. καὶ ἀρίζηλον λέγει παρ' Ὁμήρῳ, ἀρίδηλον δηλοῖ, τραπέντος τοῦ δ εἰς ζ, κατὰ συγγένειαν τοῦ δ καὶ ζ. Ἀρίζηλος, ὁ περιφανής. δωρικῶς ἀρι. καὶ τὸ δῆλος ὁ φανερός, ἀρίδηλος. ἐκ τοῦ δηλός, ὃ σημαίνει τὸν πεφανερωμένον τὸν δῆλον. ἀναδόσει τοῦ τόνου, καὶ τροπῇ τοῦ α εἰς η, δῆλος. πλεονασμῷ γίνεται ἀρίσδηλος. καὶ ἐπειδὴ τὸ ζ ἐκ τοῦ σ καὶ δ σύγκειται, τρέπει τὸ σ καὶ δ εἰς ζ, καὶ γίνεται ἀρίζηλος, ὁ ἄγαν ἔνδηλος. καὶ ὁ ἀρίζηλος, πολυτίμητος. καὶ ἀριζήλη, ἡ διάδηλος καὶ φανερά. Ἄριχος, τάφος. κύπριοι.

Ἀρία, ἀπειλή. Ἀριήκοον, ὀξυήκοον, ὑπακοῦ. Ἀρίηκος, λίαν ἐπήκοος. Ἀριά, λίαν. Ἀριπρέστερον, χαλεπώτερον. Ἀριθάτων, τῶν πλείστων. Ἀριθμεῖν, ἐπὶ ψήφου. μετρεῖν, ἐπὶ μεδίμνου. σταθμεῖν, ἐπὶ ζυγοῦ. καὶ ἀριθμεῖται, ἐξετάζεται. Ἀριθμηθήκωμεν, εἰς φιλίαν ἔλθωμεν. Ἀριθμητά, τὰ ὀλίγα. Ἄρθμια, φίλια ※ Ἀριθμός. παρατηρητέον, ὅτι τό τε τὰ φωνήεντα, τό τε τὰ σύμφωνα συντελοῦσιν εἰς ψηφισμὸν καὶ ἀριθμόν, ὡς παρὰ τοῖς ἐπικειμένοις λατίνοις ὁ λογαριασμός. συντελοῦσι καὶ εἰς τοῦτο τρία σχήματα, ἅπερ κυρίως οὐκ εἰσὶ γράμματα, τὸ ἐπίσημον δηλονότι ϛ, σκόπτα, καὶ ἡ χαρακτήρ. πάντα δὲ τὰ γράμματα ἀριθμὸν δηλοῦσιν. τὸ γὰρ α σημαίνει ἕν, τὸ β δύο, τὸ γ τρία, καὶ τὰ ἑξῆς. καὶ τὸ ἐπίσημον τὸ οὕτω γραφόμενον ϛ, ὅπερ ἕκτον ἐν τοῖς γράμμασι τίθεται, ἓξ ποιεῖ. καὶ οὕτως ἀκολούθως ἕως τοῦ ι, ὅπερ ποιεῖ δέκα. καὶ ἕκαστον ἀκολουθούμενον γράμμα, δέκα προστίθησιν ἐπὶ τὸ προηγούμενον, ἕως τοῦ π, ὅπερ ποιεῖ ὀγδοήκοντα, ἔπειτα ἀκολουθεῖ ἡ σκόπτα, ὅπερ ποιεῖ ἐννενήκοντα. καὶ μετὰ ταῦτα ἀκολουθεῖ τὸ ρ, ὅπερ ποιεῖ ἑκατόν. εἶτα ἕως τοῦ ω, τὸ καθέκαστον γράμμα προστίθησιν ἑκατὸν ἐπὶ τὸ προηγούμενον. τὸ δὲ ω, ὀκτακόσια ποιεῖ, καὶ ἀκολούθως ἐπάγεται χαρακτήρ, ἥτις ποιεῖ ἐννακόσια. τὰ δὲ χίλια γίνεται διὰ τοῦ α μετὰ τοῦ σήμαδος. δισχίλια δὲ οὕτω, β. καὶ τὸ αὐτὸ διὰ τῶν ἑξῆς γραμμάτων ἐφεξῆς γίνεσθαι. Ἀριθμός, σημεῖον γνωριστικὸν ὂν παντὸς τῶν ὑποκειμένων. ὁ ἀριθμὸς ὁρίζεται, σωρεία μονάδων, ἢ μονάδος σύνθεσις, ἢ χύμα μονάδων, οὐχὶ διαιρέσεις μονάδων. Ἀριθμῶ, καὶ ἀπαριθμῶ, καὶ ἐξαριθμοῦμαι, καὶ ἀπηριθμῶ, καὶ ἀπηριθμοῦμαι. ὡς Ξενοφῶν, καὶ ἀπηριθμησάμενος ἅπαν τὸ στράτευμα παρθυμέσαν, εὐθὺς τὴν ἐπιτείην ἐλαύνειν. Ἀριθέωνες, ἡνίοχοι. Ἀρίκωοι, χαλινοῖς. Ἀρικέμων, εὐσύλληπτος.

Ἄριμα, ὄνομα ὄρους. Ἀριμάζειν, ἁρμάζειν. Ἀριμάθαιοι, ἑρμηνεύεται αἶρον. Ἀριμαίνουε, γαλὴν σὺν πόντῳ. Ἀρι, μεγάλως. ὅθεν καὶ ἀρίζηλος, ὁ μεγάλως ζηλωτός. καὶ σὺν βλάμας ἐβλάναμος, τὸ ἀριδήλος. Ἄριμος, πίθηκος, ἄριμα. οἱ δὲ, ὄρος Κιλικίας. Ἄριον, τὸ νάπυ, οὗ φύλλον ἡ μίνθη, ὃ ἡδύοσμον. ἄριον δὲ, τὸ νάπυ. Ἀρίξαι, ὑποσπρίξαι. Ἀριοβαρζάνης, σατράπης φρυγίας ἀπαλλαχθεὶς οὗτος παρὰ Ξέρξου, ἀπέστη. ὃς καὶ συνεπείλασε λαόν, τοὺς πολεμήσαντας αὐτῷ καὶ καρυσάμενος ἐκπέμψων. Ἀρίπικρον, μεγάλως πικρόν.

Ἀριπρεπέα ἄστρα, τὰ λίαν ἐκπρεπῆ τῇ λαμπρότητι. καὶ ἐπὶ ταύτης παρὰ ἐκπρεπέα βασιλῆα εἰπεῖν Ὁμηρικῶς, καὶ ἀριπρεπέα ἄστρον, διὰ τὸ ἐν ἀμφοῖν ὡς εἰπεῖν περιφανές. ὡς γὰρ ἐπιτείνει τὸ ἀρι ἐπιτατικὸν μόριον, οὕτω πολλαχοῦ ἡ ἐκ πρόθεσις καὶ ἡ περί. ἐναντίον δὲ παρὰ ἐκπρεπεῖ, καὶ ἀριπρεπεῖ, τὸ ἀπρεπές, ὡς ἀπὸ εἰδητὸς περιπεπτωμένον. τὸ δὲ μεγαλοπρεπές, ἀρετὴν δηλοῖ λαμπράν. Ἀριπρεπέα, ταυτὸν ἐστὶ παρὰ ἐκπρεπέα ἐν πολλοῖς. ἐπιτείνειν γὰρ σημαίνει καὶ ἡ ἐκ πρόθεσις, καὶ τὸ ἀρι ἐπίρρημα.

Ἀρίσβα πόλις, ἀπὸ Ἀρίσβης θυγατρὸς μὲν Μάκαρος, ἢ Μέροπος, ἣν πρώτην ὁ Πάρις ἔσχε γυναῖκα. Ἀριπρεπής, μεγαλοπρεπής. Ἀριπρεπής, ἐπίσημος, ἔνδοξος καὶ διάδηλος. Ἆρις, οὐ μόνον τὸ ὄργανον, ἀλλὰ καὶ βοτάνη τις, οὕτω καλουμένη παρὰ τῷ Ἱπποκράτει. Ἀρίσημος, φανερὸς ἐν πολλοῖς. Ἀρισκυδής, ἡ ἄγαν ὀργιζομένη. σκύζω γὰρ, τὸ ὀργίζομαι. Ἀρίσκος, ὄφιος. Ἀρίσβη, πόλις θρᾴκης, μιτυληναίων ἀποικία. Ἀριεπής, εὔλαλος, ἄριστος τοῖς ἔπεσιν. Ἀρισκύλας, ἀρισῶντας. Ἄριστα. τρεῖς εἰσὶν τροφαί, ἄριστα, δεῖπνα, δόρπα τε, κατ' Αἰσχύλον. Ἄριστα, κάλλιστα. Ἀρισταῖος, ὁ Ἀπόλλωνος καὶ Κυρήνης, πρῶτον τῶν ἐργασιῶν τοῦ σιλφίου ἐξεῦρεν, ὥσπερ καὶ τοῦ μέλιτος. Ἀριστᾶν, εὐωχεῖσθαι, ἐμφαγεῖν. Ἀριστοφάγος, ἀριστᾶν ἐπιθυμεῖς. Ἀρίσταρχος, μηδὲν ἐν τῷ Ὁμήρῳ ἀλληγορεῖν ἀξιῶν, οὐ μόνον ὑπερβολικόν ἐστι λέγειν, ἀλλὰ καὶ σοφίας μεγάλης ἀφαιρεῖται τὴν ποιητικήν. Ἀριστάω, ἀριστῶ, τὸ γευματίζω. ἐξ οὗ ἄριστον, τὸ γεῦμα. ἀριστᾶν δὲ, ὁ ἀνθρακευτοῦ.

Ἀριστεία, ἡ ἀνδραγαθία. Ἀριστείδης, ὁ ἐπικαλούμενος δίκαιος. καὶ Ἀριστείδης ἀνδριαντοποιός, Θηβαῖος. Ἀριστεῖον, τὸ τοῖς ἀριστεῦσι διδόμενον ἔπαθλον, ἢ τὸ δῶρον τὸ ἐπὶ τῇ νίκῃ.

Ἀριστερά, τὰ μωρά. δεξιὰ δὲ, τὰ συνετά. ἀπὸ τοῦ ἄριστος, ἀριστερός, ἀριστερά, ὡς φαῦλος φαυλερὸς φαυλερά. ἔτι δὲ κατ' εὐφημισμόν, ὥσπερ καὶ εὐώνυμος λέγεται ἡ αὐτή. καὶ ἀριστεραὶ χεῖρες παρὰ τῷ εὐαγγελίῳ, οἱ σαρκικοὶ λογισμοί. δεξιὰ δὲ χείρ, τὸ ἅγιον πνεῦμα. ὡς τὸ, μὴ γνώτω ἡ ἀριστερά, τί ποιεῖ ἡ δεξιά σου. τὰ γὰρ δεξιὰ μέρη τοῦ ἀριστεροῦ πνεύματος οὐ φροντίζουσι, πειθόμενα τῇ δεσποτικῇ φωνῇ, ζητεῖτε πρῶτον τὴν βασιλείαν τοῦ θεοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. Ἀριστεροστάτης, ὁ πρωτοστάτης τοῦ χοροῦ. Ἀριστεύς, πρόμαχος ἄριστος, καὶ ὁ πολέμῳ νικῶν. Ἀριστεῦσιν, ἱππεῦσιν, ἐπὶ δοτικῆς τῶν πληθυντικῶν. μόνα γὰρ τὰ διὰ τοῦ ευ διφθόγγου ἐκφερόμενα ἐπὶ τῶν ὀνομαστικῶν, τηροῦσι τὸν ευ δίφθογγον καὶ ἐπὶ τῆς δοτικῆς τῶν πληθυντικῶν. οἷον, ἀριστεὺς ἀριστεῦσιν, ἱππεὺς ἱππεῦσιν. ὁμοίως καὶ αἱ ἀπὸ τῶν εἰς μι ῥημάτων γινόμεναι μετοχαί. οἷον, τίθημι τιθεὶς, ὁ τιθεὶς τοῖς τιθεῖσι. συνίημι, ὁ συνιεὶς τοῖς συνιεῖσιν. ὅσα δὲ εἰσὶ τῶν ὀνομάτων σύνθετα παρ' οὐδετέρων, ἢ αὐτῶν φυλάττουσι τοῖς οὐδετέροις κλίσιν. οἷον, ὁ εὐγενής, τοῦ εὐγενέος εὐγενοῦς, τοῖς εὐγενέσιν, ὡς ἀπὸ τοῦ γένος συγκείμενον. καὶ Δημοσθένης, Δημοσθένεος Δημοσθένους, Δημοσθένεσιν ὁμοίως, ὡς ἀπὸ τοῦ σθένος. Ἀριστεύω, μετὰ προθέσεως συντάσσεται. οἷον, ἠρίστευσεν ἐν τῇ μάχῃ. ὅθεν ἀριστεὺς καὶ ἀριστεία. Ἀριστήσασθαι, γεύσασθαι. Ἀριστίνδην, ἀντὶ τοῦ κατ' ἐκλογήν. ὡς τὸ πλουτίνδην, ἀντὶ τοῦ πλουσίως. Ἀριστόβουλος, ὁ ἐκ τῶν ἀρίστων ἐκλελεγμένος. Ἀριστῦραι, δοῦλαι. Ἀριστίων. Ὑπερίδης κατὰ Δημοσθένους, οὗτος Σάμιος μὲν ἦν, ἢ Πλαταιεύς. ὡς δ' ἄλλος φησίν, ἐκ μειρακυλλίου, ἑταῖρος Δημοσθένους. ἐπέμφθη δ' ὑπ' αὐτοῦ πρὸς Ἀφαισίωνα, ἕνεκα διαλλαγῶν, ὥς φησι Μαρσύας ἐν πέμπτῳ τῶν περὶ Ἀλέξανδρον. Ἀρισκύδας, ἡ ὀργίλη, παρὰ τὸ ἀρι καὶ τὸ σκύζεσθαι, ἡ ἄγαν σκυζομένη. οὕτως Ἀρτεμίδωρος. Ἀριστόδημον, ἀρχαιότερον οἱ κωμικοί, τὸν πρωκτόν, καὶ θύλακον, καὶ ἡμιστάμνια λέγουσιν. ἀπὸ τοῦ ἑταιρικοῦ. φορμισίους δὲ τὰ γυναικεῖα αἰδοῖα, καὶ βασιλίδας, καὶ λαχάρας. Ἀριστοκρα-

διωχθῆναι. ὅτι δὲ αὐτὴ ἡ οἶκος ὀρνίθων εἶχε πρόσοδον τοῖς πτεροῖς, ἱστορεῖ καὶ Εὐφορίων ἐν Θρᾳξί. Ἀρατὸν, βλαπτικὸν, ἀπὸ τοῦ ἀρά, ὁ βλάβη. καὶ ἀρητὸν, τὸ πολυεύχετον. Ἄρατος, ὀρχηστὴς παρὰ Μακεδόσιν. ὁ ἀρατὸς μὲν ἐπίθετον ὤν, ἐξήνεγκε κατὰ ἀναλογίαν. κύριον δὲ τυγχάνον, προπαροξύνεται. ὡς δηλοῖ τὸ χρόνος. καὶ ἄρατος, εὐκταῖος. ἐξ οὗ κατὰ παρωνυμίαν καὶ ὁ ἄρατος γίνεται. ἔνθεν δὲ καὶ ὁ παρὰ τοῖς ὕστερον Ἄρατος, καὶ τὸ σύνθετον ὁ Δαμάρατος, καὶ ὅσα κατ' αὐτό. πολλῶν δὲ ὄντων, ὥσπερ διαφόρως τονοῦνται πρὸς διάφορον σημασίαν κατὰ τὸ ἀρατὸς καὶ ἄρατος, μηνύον ἐν αὐτοῖς καὶ τοῦ μαλακοῦ ὀξυτόνου ἐπιθέτου, καὶ τὸ Μάλακος προπαροξυτόνου κυρίου. ἱστορικὸς δὲ ἦν ἐκεῖνος, ὡς ἱστορεῖ ὁ Δειπνοσοφιστής. ὅτι δὲ τὸ ἀρατὸν πλεῖστος ἄρρητον ἐστὶ γράφουσι, δῆλον. καὶ ὡς οὐκ εὐθὺς χαίρουσιν οἱ παλαιοὶ τῇ τοιαύτῃ γραφῇ, πάντως δὲ παῖς μὲν ἀρατὸς, ὁ εὐκταῖος. γόνος δὲ ἀρατὸς, ὁ ἀπευκταῖος, καὶ ὡς εἰπεῖν ἐπάρατος. μέση δὲ λέξις ἡ ἀρὰ καὶ τὸ ἀρᾶσθαι, ἀφ' ὧν τὰ τοιαῦτα γίνονται. Ἄρβιος, πράγος.

Ἀρθὶς, μετεωρισθείς. Ἄρθεν, συνηρμόσθησαν. Ἀρθῆναι, ἀπελθεῖν, ἢ ἀπολέσθαι. Ἀρθήσεται, ἐκ τοῦ αἴρω ἀρῶ ἦρκα ἦρμαι ἤρθην, ἀρθήσομαι ἀρθήσῃ ἀρθήσεται. Ἀρθμηθέντες, φιλιωθέντες. Ἀρθμήσαντε, ὅτι φιλωθέντες, καὶ διὰ τὴν φιλότητα διετμήγησαν εἰς ἀρθμὸν, ἤγουν εἰς ἁρμονίαν φιλικὴν ἐλθόντες ἀλλήλοις. ὡς γάρ ἐστι συμπλοκὴ μάχης, οὕτω καὶ φιλικὴ διάρμοσις. Ἄρθμιοι, οἱ κατὰ φιλίαν ἡρμοσμένοι. ἀρθμὸς γὰρ ἡ φιλία. καὶ Ἄρθμιος, κύριον ὄνομα. δοῦλος ἐστὶ βασιλέως. παρὰ τὸ ἀρῶ τὸ ἁρμόζω, ἦρμαι, ἁρμός. ὡς κείρω, κορμός. καὶ πλεονασμῷ τοῦ θ ἀρθμός. ὡς πείρω, πορμὸς, καὶ πορθμός. ἢ ἀπὸ τοῦ ἐρῶ τὸ λέγω. οἱ γὰρ ἐν φιλίᾳ ὄντες, διαλέγονται ἀλλήλοις. Ἀρθμὸν, προτμησίαν, ἢ μετάφρενον, ἢ αἰδοῖον ἀνδρὸς καὶ γυναικός. Ἄρθρα λαμβάνεται κατ' ἐξοχήν. οἷον ὁ ποιητὴς, ἀντὶ τοῦ ὁ Ὅμηρος. λαμβάνονται καὶ εἰς μοναδικὴν κτῆσιν. οἷον ἐὰν εἴπω χωρὶς ἄρθρου, ὅτι συγγενής σου ἦλθε, δηλῶ ὅτι εἰσί σοι πλείους συγγενεῖς. εἰ δὲ προσθεὶς ἄρθρον εἴπω, ὁ συγγενής σου ἦλθεν, ἐμφαίνω διὰ τοῦ λόγου, ἕνα σοι εἶναι συγγενῆ. καὶ εἰς δευτέραν γνῶσιν, οἷον, παῖς ἦλθεν ἐὰν εἴπω, οὐκ οἶδα ποῖα παῖς ἐστί. μετὰ δὲ τοῦ ἄρθρου, εἰς γνῶσιν ἔρχεταί σοι ποῖα ἐστί. λέγεται δὲ καὶ εἰς ἀοριστίαν, οἷον ὁ παίσας μαθητὴς τυπτέσθω. καὶ οὐ λέγω τὸν προπαίσαντα, ἀλλὰ ὅς ἐὰν μέλλῃ παίσειν. Ἄλλως.

Ἄρθρα, μέλη, ἄκρα. τίθεται δὲ τὰ ἄρθρα μετὰ τῶν ἀπαρεμφάτων ἀντὶ τῶν συνδέσμων, καὶ τελικῶν αἰτιολογικῶν, εἴσω δέ ποτε πλέοντες. ὡς ὅτε λέγω, ἔρχομαι ἕνεκα τοῦ ἀναγινώσκειν, ἐπιτήδειός εἰμι πρὸς τὸ ἀναγινώσκειν, τρέχω εἰς τὸ ἀναγινώσκειν, χαίρομαι ἐπὶ τῷ ἀναγινώσκειν. οὐ γὰρ ἔχει ἡ ἑλληνικὴ γραμματικὴ τελικὰ ἢ συνδετικὰ, καθ' ὅτι ἔχουσιν ἐπιρρήματα θελητικὰ, ἀντὶ τῶν τελικῶν καὶ συνδέσμων, παραλαμβάνεται ἀπὸ τῶν ἄρθρων προσώπων τῶν ἐπὶ τῶν παθητικῶν παρακειμένων. οἷον, ἀπὸ τοῦ γέγραπται, γραπτέον, ἀντὶ τοῦ σπουδαστέον. οὕτω καὶ περὶ τῶν λοιπῶν. ἀφ' ὧν ἐπιρρήματα καὶ ὀνόματα παρασχηματίζονται, τούτοις τοῖς ἐπιρρήμασι παρεπόμενα, οἷον γραπτέος, γραπτέα, γραπτέον. ἀντὶ τοῦ σπουδαστέος, σπουδαστέα, σπουδαστέον, ἐφ' ὅσον ἐστὶν ὄνομα, οὐκ ἐφ' ὅσον ἐστὶ παθητικὴ μετοχὴ μέλλοντος χρόνου. ἔχει γὰρ ἡ ἑλληνικὴ γραμματικὴ μετοχὰς παθητικὰς, ἰδίας μέλλοντος χρόνου, ἐνδιαλλαμβανομένας ταῖς λατινικαῖς μετοχαῖς, ἐν δαός, δας, δουμ λεγούσαις. Τῶν παραγώγων ἀντωνυμιῶν τὰ ἄρθρα προτίθενται, ὥσπερ καὶ τῶν ἐπιθέτων ὀνομάτων. οἷον, ὁ ἐμὸς οἶκος, ἡ ἐμὴ οἰκία, τὸ ἐμὸν οἴκημα. ὁ ἡμέτερος πατὴρ, ἡ ἡμετέρα μήτηρ, τὸ ἡμέτερον τέκνον. ἰστέον, ὅτι ὅταν δύο ὀνόματα ᾖ, τὸ ἓν καθολικώτερον τοῦ ἑτέρου, εἰ μὲν προτάσσεται τὸ καθολικώτερον, δυσὶν ἐπιφέρονται. οἷον, ὁ ἰχθὺς ὁ κέφαλος. εἰ δὲ τὸ ἕτερον, καὶ δυσὶ καὶ ἐνὶ, οἷον κέφαλος ὁ ἰχθὺς, καὶ ὁ κέφαλος ὁ ἰχθύς. εἰ δὲ ἐπίθετον καὶ προσηγορικὸν ὦσιν, εἰ μὲν προτάττηται τὸ προσηγορικὸν, μετὰ τοῦ ἄρθρου ἀμφότερα λέγονται, οἷον οἱ ἵπποι οἱ μέλανες ἀγαθοί. εἰ δὲ τὸ ἐπίθετον, τὸ ἄρθρον ἔχει ἀεὶ, τοῦ ἑτέρου χωρὶς ἄρθρου λεγομένου. οἷον, οἱ μέλανες ἵπποι. ἐπὶ δὲ τῶν κτητικῶν καὶ κτημάτων, εἰ καὶ δοκεῖ τὸ κτητικὸν ἄρθρον ἔχειν, ἀλλ' οὐδέποτε ἔχει. σημαίνει γὰρ τοῦ κτητικοῦ προτασσομένου τὸ ἄρθρον εἶναι αὐτοῖς μετὰ τοῦ κτητικοῦ λεγόμενον, καὶ διαφέρον πρὸς τὸ κτῆμα. οἷον, ὁ ἐμὸς οἶκος. εἰ δὲ τὸ κτῆμα προτάττηται, καὶ τὸ κτῆμα ἄρθρον ἔχει, καὶ τὸ κτητικόν. ὅμως καὶ τὸ τοῦ κτητικοῦ πρὸς τὸ κτῆμα ἀναφέρει. δύο δὲ ἄρθρα καθ' ἑνὸς ὀνόματος λέγονται. οἷον ὁ οἶκος ὁ ἐμὸς, ὥσπερ ἂν ἦν ὁ οἶκος ὁ τοῦ γεωργίου. τὸ μὲν γὰρ ἓν ἔχει ἀναφορὰν τοῦ κτήματος, τὸ δὲ ἕτερον τοῦ κεκτημένου. ἐπειδὰν δὲ ὄντος καὶ κυρίου, τὸ ἐπίθετον ἔχει τὸ ἄρθρον ἀεὶ, ὁπότερον ἂν προτάττοιτο, τὸ δὲ κύριον οὐδαμῶς. οἷον Πλάτων ὁ σοφὸς εἴρηκε τάδε. καὶ ἀνάπαλιν, ὁ σοφὸς Πλάτων εἴρηκεν. εἰ μὴ ποιητὴς παραχρῆται. ὡς Ὅμηρος ἐν χρυσέῳ ἀορτῆρα λέγει, ὀφείλων εἰπεῖν τὸν ἀορτῆρα χρύσεον. εἰ δὲ πρὸς ἀγνοοῦντα, λέγω ὅτι ὁ κέφαλος ἰχθὺς, καὶ ὁ οἶκος ἐμὸς, καὶ ὁ Πλάτων σοφός. καὶ θέλων διδάσκειν ταῦτα αὐτὸν μετὰ τοῦ μανθάνοντος καὶ τοῦ κτήματος καὶ τοῦ κυρίου, ὀφείλω λέγειν ἀεὶ τὸ ἄρθρον, ὁπότερον ἂν προτάττοιτο, καὶ ἐπιφέρειν ἐκεῖνα μετὰ τοῦ ὑπαρκτικοῦ ῥήματος, οἷον ὁ κέφαλος ἰχθύς ἐστι, καὶ ὁ οἶκος ἐμὸς, καὶ ὁ Πλάτων σοφός. Ἄρθρον, δευτέραν γνῶσιν τοῦ προϋποκειμένου πραγμάτων σημαῖνον. ἂν μὲν γὰρ εἴπω, ὅτι ἄνθρωπος ἦλθεν, πρώτην γνῶσιν σημαίνω. ἂν δὲ, ὁ ἄνθρωπος ἦλθε, δευτέραν. τὰ μὲν οὖν προτακτικὰ τῶν ἄρθρων, πάντων τῶν ὀνομάτων προτίθενται. τὰ δὲ ὑποτακτικὰ, ἑνὸς μὲν ὀνόματος ἀορίστου τοῦ συγκειμένου. οἷον, ὅστις καὶ ὅ, τι. καὶ ἔτι συνδέσμου δύο παραπληρωματικοῦ, οἷον ὥσπερ. ἐνίοτε δὲ καὶ τοῦ γε, καὶ περ, οἷον ὅς γε, ὅσπερ. ἀλλ' ὅταν μὲν ἀναφορικῶς λαμβάνηται, ἁπλῶς τὸ ὅς καὶ μόνον συντάσσεται, ἢ τοῖς ἄλλοις δυσὶ ῥηθεῖσιν, οἷον ἦλθεν ὁ ἄνθρωπος ὅστις ἐμοὶ φίλος. ὅταν δὲ βούλωμαι δηλῶσαι τὸ ὑποκείμενον ἀγνοοῦντα ἐμαυτὸν, τὸ τίς ὁμοῦ καὶ τὸ ποτὲ ἐγκλινόμενον καὶ αὐτό. οἷον, εἰ δεῖ τινα βαδίζοντα, ὅστις ποτὲ ἦν ἐκεῖνος. ἐν τοῖς μερισμοῖς, ἢ τοῖς προτακτικοῖς ἄρθροις, χρώμεθα τῷ μὲν, καὶ δὲ συνδέσμῳ. οἷον, τῶν ἀνθρώπων οἱ μὲν εἰσὶν ἀγαθοί, οἱ δὲ πονηροί. καὶ τῶν χιτώνων ἕτερος μὲν σκληρός, ἕτερος δὲ λευκός. ἰστέον οὖν, ὡς ἐν ταῖς τοιαύταις συντάξεσι τῶν μερισμῶν, εἰ μὲν προτίθεται ῥῆμα πληθυντικὸν τὸ ἑπόμενον πρὸς ἑκάτερον, κατὰ πρόσληψιν δεῖ εὐθεῖαν προηγεῖσθαι, οἷον ἦσαν δύο ἵπποι, ὁ μὲν ἀπ' ἀνατολῶν, ὁ δὲ ἀπὸ δυσμῶν. εἰ δὲ ἑνικῶς πρὸς τὰ μεριζόμενα ῥήματα, δύναται προηγεῖσθαι γενικὴ πληθυντική. οἷον, δυοῖν ἵππων ὁ μὲν ἀπ' ἀνατολῶν, ὁ δὲ ἀπὸ δυσμῶν ἦλθε. δύναται μέντοι καὶ τὸ ἑνικὸν διαιρεῖσθαι, ὁτὲ μὲν εἰς ἑνικὰ, ὁτὲ δὲ εἰς πληθυντικά. ἑνικὰ μὲν, οἷον τὸ ἀνθρώπινον γένος ἐστὶν ἐν μέρει μὲν ἀγαθὸν, ἐν μέρει δὲ πονηρόν. πληθυντικὰ δὲ, οἷον τὸ ἀνθρώπινον γένος οἱ μὲν εἰσὶν ἀγαθοί, οἱ δὲ πονηροί. καὶ τὸ πληθυντικὸν ὡσαύτως, ὁτὲ μὲν εἰς πληθυντικὰ, οἷον τῶν ἀνθρώπων οἱ μὲν εἰσὶ πονηροί, οἱ δὲ ἀγαθοί. ὁτὲ δὲ εἰς ἑνικὰ, οἷον αὐτῶν δυοῖν ὁ μὲν ἀπ' ἀνατολῶν ἦλθε, ὁ δὲ ἀπὸ δυσμῶν. εἰ μὲν εὐθεῖα προηγεῖται ἐν τῇ ἀθροίσει, καὶ τὸ ῥῆμα σὺν ἀθροίσει ἔξεστι κεῖσθαι. εἰ δὲ γενικὴ ἐν τῇ μεριζομένῃ, μόνον ἔξεστι κεῖσθαι τὸ ῥῆμα, ὡς δεδήλωται, καὶ ἑκάστοτε. τὸ γὰρ ῥῆμα εἴ τι προηγούμενον εἴη, ἐστὶν ἑπόμενον, εὐθεῖαν ἀπαιτεῖ. Ἀρθρώσεσι, ἀποχήματα, καὶ ἀποβλαστήματα.

Ἀρθῶμεν, ὑψωθῶμεν, ἀπὸ τοῦ αἴρω ἀρῶ, ἦρκα, ἦρμαι, ἤρθην. τὸ ὑποτακτικὸν, ἐὰν ἀρθῶ. τὸ τρίτον τῶν πληθυντικῶν, ἀρθῶμεν.

Ἄρια, φυτὸν ἢ ἄρια. Ἀριβάστακος, πεποίηται ὡς ἀριστεῖος. Ἀριβαλίδα, λήκυθος, λῶρον. Ἀριγνώμων, ὁ ταχέως

Ὀφρ' ἀρετὴν πολέχωσι θεοί. καὶ τὴν εὐδοξίαν, ὡς Θουκυδίδης ἐν πρώτῃ. καὶ ἀρετὴν, τὴν εὐδαιμονίαν καὶ εὐθηνίαν τοῦ βίου. ὃν ἔχων ὁ ἄνθρωπος, λέγει μὲν ἂν ὑπείξεσθαι εἴ τι καὶ πάθοι κακόν. ἀλλ' ὅταν καὶ αὐτὸ πάθοι, φέρει ἀνακαζόμενος, τετλήστην αἶνον. ὃν τὸ εἶμαι προτιτένομαι, τὸ αἶνον. Ἀρετῶσιν, ἀντὶ τοῦ εὐδαιμονοῦσι. Ὡς ἀρετῶσι λαοί, ἀντὶ τοῦ εὐδαιμόνως ζῶσιν. οὐδὲν γὰρ εὐδαιμονία ἴσχυον, ἣ συγκρότησις ἀρετῶν. οὐκ ἀρετᾷ κακὰ ἔργα, κατὰ τοὺς παλαιούς, ἀντὶ τοῦ οὐκ ἀρετὴν καὶ εὐθένειαν ἄγουσιν. ἵνα γένηται τὸ ἀρετᾷν ἐκ τῆς κατὰ ἀνδρείαν ἀρετῆς. τὸ δὲ ἀρετᾷ σύστοιχον, καὶ τὸ ἀρετῶσι δὲ λαοὶ ὑπ' αὐτοῦ. ἄδηλον δὲ ὡς καὶ τὸ ἀρεταίνειν ἐκ τοῦ θεούτι πολάγεται. Ἀρζανὰ, ὄνομα τόπου. Ἄρεα λέγουσι τὸν πόλεμον. τετυχηκὼς γὰρ τούτου τοῦ ὀνόματος κέχρηται ὁ ποιητής. ἐπὶ μὲν τοῦ πολέμου, ὡς ἐνταῦθα, νῦν δὲ ὀρχεῦ' ἐπὶ δίφρον, ἵνα ξυνάγωμεν ἄρηα. ἐπὶ δὲ τοῦ σιδήρου, ὡς ἐκεῖ. Αἵματος ἆσαι ἄρηα ταλαύρινον πολεμιστήν. καὶ, ἔνθα δ' ἐπεὶ τ' ἀριμένος ὅμβρος ἄρης. ἐπὶ δ' αὐτοῦ τοῦ θεοῦ οὕτως, Καὶ δ' αὐτῷ πωνόμοια ἄγει βροτολοιγὸν ἄρηα. ἢ πάλιν, ἐς δ' ἤλυθεν ἄρης κορυθαίολος. ἐπὶ δὲ τὸ πληθυντικὸν, ἐνθυμαλισμὰ γίγνητ' ἄρης ἀλεγεινὸς, οἷς ξυνοῖσι βροτοῖσιν. Ἀρῆ, σημαίνει δύο. τὴν εὐχὴν, καὶ τὴν βλάβην. Ἀρῆσαι. αἴρω τὸ ἐκαίρω, ὁ μέλλων ἀρῶ. ὁ ἀόριστος ἦρα, ὁ μέσος ἠράμην. καὶ τὸ ὑποτακτικὸν, ἐὰν ἄρωμαι, ἄρῃ, ἄρηται. καὶ ἐκ τούτου τοῦ ῥήτου γίνεται τὸ ἄρησαι, ἀποβολῇ τοῦ τ.

Ἀρήγω, τὸ βοηθῶ. Ἀρηγὼν, λέγεται μὲν καὶ ἀρηγός. γίνεται δὲ ἀπὸ τοῦ ἄρης, ὥσπερ ὁ βοηθῶ ἀπὸ τοῦ βοῆς, ὁ καὶ αὐτὸ τὴν μάχην ἐστὶν ὅτι δηλοῖ, καθὰ καὶ ὁ ἄρης. Ἀρήγων ἡ μητρὶ, πολεμεῖν πρὸς τὸ ἀρηγὼν, δεύτερον ὄνομα, ὁ δηλοῖ τὸν βοηθόν. παράγει δ' ἀπὸ τοῦ ἀρηγῶ, ἀπὸ ἀρηγόν. Ἀρηϊκτεῖχος, πρὸς ἄρεα τέ ὧν ἄλλως τείχεσι. δηλοῖ καὶ ἀρήϊα, πολεμικά.

Ἀρηΐφιλος, ὁ φανερὸς καὶ ἀρήϊος ὁ ἐν πολέμῳ ταχύς.

Ἀρήϊος, γίνεται ἀπὸ τοῦ ἄρης. ἄρειος, ἀρήϊος, καὶ τροπῇ τοῦ ε εἰς η, ἀρήϊος. Ἀρήϊος, ὁ πολεμικός. Ὡς ἀρήϊοι. Ἀλλὰ ὅσοι πόλεως πύργοι ἀρήϊοι. Ἀρηΐφατος, ὁ ἐν πολέμῳ ἀναιρημένος.

Ἀρηϊθόων, γυναίων, πολεμικῶν. Ἀρηΐφατος, ὁ ἐν τῷ πολέμῳ πεφονευμένος, ἐκ τοῦ φῶ τὸ φονεύω, πολύγωνον φασί, σημαίνον τὸ αὐτό. καὶ ἔστι Λατινίοις συνζυγίαις. Ἀρηΐφιλος, ὑπὸ τοῦ ἄρεος φιλούμενος, ἢ ὁ φιλῶν τὸν ἄρεα. δι' ἀμφοτέρων δὲ ὁ πολεμικὸς δηλοῦται. Ἀρηΐθοον κεραυνόθεν, δῆλον ὅτι κόσμον τὸ ἀρηΐθοος. ἐπίθετον δὲ τὸ κεραυνούτης. ὡς ἱστορεῖ ὁ ποιητὴς, διὸ ὑπὲρ μετίθετον νίὸν ἀρηΐθοον. ἐπάγει κατὰ ἐπανάληψιν, ὃν κορυνήτης γίνεται ἀρηΐθοος. καὶ ἀρηΐθοον, πολεμικὸν, τὸν ἐν τῷ πολέμῳ ταχύν. παρὰ τὸ ἄρης, καὶ τὸ θοός. Ἀρήμεναι, ἐκ τοῦ ἀραίρω προσιέναι, ὁ ἀρήμη, ἐκ τοῦ ἀρῶ. οἷα καὶ ἄλλα λέγοντα παροιμιώδεσιν παρ' Ὁμήρῳ. ἀρήμεναι, ἀντὶ τοῦ εὔχεσθαι.

Ἀρημένον, κεκαρωμένον. αἴρω αἰρήσω, ἄρηκα ἤρημαι. ἠρημένον καὶ ἀρημένον. Ὅμηρος, ὕπνῳ καὶ καμάτῳ ἀρημένος, ἤγουν κεκαρωμένος. Ἀρημένον δύο, ἤγουν βεβλαμμένον παρὰ τὸ ἀρνουσι, λίαν πεπονημένον. ὃ παρὰ τὸ ὀξύνονται ἀρημένον, ὡς ἀναχρόνιον. Ἀρημένον, τὸ ἐκκεχαυνωμένον, ἢ πεπονημένον. Ἄρην ἢ ἀθηνᾶν ὁ ποιητὴς λέγει τὴν μάχην τὸν λαμπίρ, ὃν ἄρης μὲν μάχος, ἀθηνᾶ δὲ βουλὰς ἐπιστατεῖ. Ἀρὴν ἐστὶν ἀρὰ ἡ εὐχή. ἐκ τούτου γίνεται ἀρὴν, τὸ ἐπικαλέσω εἰς εὐχὴν πρόβατον. ἢ κλίνεται ἀρὴν, ἀρνός. ἐξ οὗ τὸ ἀρνὸς κατὰ συγκοπὴν, καὶ ἀποβολῇ τοῦ ε, ῥῶν. Ἀρήνη, τὴν πόλιν αὐτοῦ ἀρηναίαν παράγει. ἀρνεῖα δὲ παρ' Ὁμήρῳ λέγεται, διότι ἀρήνη αὐτὴν ποταμός. φασὶ γὰρ ὁ Γεωγράφος, ὅτι ἀρήνη ἐστὶ ποταμὸς ἄνυδρος καλούμενος προστρεψαμένος, ὡς ὁ ποιητής. ἔστι δὲ ὡς ποταμὸς μινύειος εἰς ἅλα βάλλων, ἐγγύθεν ἀρήνης. ἀπὸ μινυῶν δὲ φασὶν ἐκλήθη ὁ ποταμὸς, ὅτι χειμῶνι ἐλθόντων ἐκεῖ. δύο δέ φασι πόλεις ἀρήνας, μεσσηνίας μία, καὶ τριφυλίδος ἑτέρα. καὶ ἀρήνη, ὄνομα πηγῆς. καὶ ἀρήνη πόλις πελοποννήσου. νῦν δὲ ἱέραια λέγεται, ὥς φασι Γεώργιος. Ἀρησιβοσκός, προβατοβοσκός, Σοφοκλῆς ὡς τινες. γράφεται δὲ καὶ ἱερησιβοσκός. Ἀρῆξαι, τὸ βοηθῆσαι. κυρίως δὲ, τὸ πρὸς καιρὸν ὠφελῆσαι. ἰδίως δὲ, τὸ πικτικῶς ὠφελῆσαι.

Ἀρηξίμορα, τὸν τὴν ἀνδρείαν φύουσα. Ἄρης, θρασύς, ἀγαθός, πολεμικός. Ἀρήσασθαι, εὔξασθαι. Ἀρήρω, συναρμοσθέν. ἄρω τὸ ἁρμόζω, ὁ μέλλων ἀρῶ, ὁ παρακείμενος ἦρκα, ὁ μέσος ἦρα, καὶ ἀττικῶς ἄρηρα. καὶ ὁ ὑπερσυντέλικος, ἠρήρειν, καὶ ἀρήρειν πακοπαῖς. τὸ τρίτον, ἀρήρει. ὁμοίως ἀραρὼς, ἐκ τοῦ ἄραρα. καὶ ἀραρυῖα καὶ ἀραρυῖς, καὶ ἀραρυῖα τὸ θηλυκόν. Ἀρηρώς, ἰσχυρῶς ἡρμοσμένος. Ἀρήρω, διὰ τοῦ ω ἔχει τὸν λόγον, ὡς ὑποστατικὸς μέσος παρακείμενος τοῦ ἄραρα. οὕτως καὶ τὸ ἐλήλω, ἐκ τοῦ ἔλω. Ἀρημονίη, προτιμωμένη. Ἀρηρέναι, ἡρμοσμένοι.

Ἀρηρεγμένη, ἀπεσκαλισμένη. Ἄρης κυρίως, ὁ σίδηρος. παραφαίνεται καὶ λέγομεν αὐτὸς ἄρεα γένος. σημαίνει δὲ καὶ τὸν πόλεμον, παρὰ τὸ ῥῶ τὸ λέγω, ὁ μέλλων ῥήσω, ῥὴς, καὶ μετὰ τοῦ στερητικοῦ α ἄρης. ἐν γὰρ τῷ πολέμῳ πρὸς οὐ λόγων χρεία. καὶ Ὅμηρος, ἐν γὰρ χερσὶ τέλος πολέμου, ἐπέων δὲ ἐνὶ βουλῇ. ἢ α, καὶ μακρὸν ἢ βραχύ. Ὅμηρος, ἄρες ἄρες βροτολοιγέ. κλίνεται δὲ ἄρης ἄρεος, καὶ ἄρης ἄρητος, καὶ ἄρης ἄρεως. ἄρης γάρ ἐστι, καὶ τοῦτο τῶν κλίσεων. Ἄρης ἄρης, καὶ ἄρης ἄρεος, καὶ ἄρης ἄρεος ἄρες, καὶ ἄρεως ἄρεος κοινῶς, καὶ ἄρεος ἰωνικῶς, καὶ ἄρεως ἀττικῶς, καὶ ἄρεος αἰολικῶς. ἡ ἄρης ὥς φησιν Ἡρωδιανὸς, πλείοσι κλίσεσι κέχρηται. καὶ γὰρ ὡς ἰαμβικὸν μὲν ἔχον ἐπ' εὐθείᾳ τὸ α, παρ' ἑκάστην ἔχει τὴν γενικὴν, ἄρης ἄρεος. ὅθεν ἀρεϊκόλλας παρ' Ἡσιόδῳ παρασυνθέμενον, καὶ ἀρεϊων ὑποκοριστικόν. κλίνεται ὡς ποδανικόν, ἄρος ἄρης. ὅθεν κατὰ ἰάδα διάλεκτον ἐπιγέγραπται Ἀρχίλοχος, ἐστὶ ἐν τοῖς τρισὶ μέτρεσι, παιδὸς ἄρεα μιαιφόνου. ἐπὶ δὲ φωνὴν καὶ ἄλλα πλάγια παρ' Ὁμήρῳ, ἄρεος ἀνδροφόνοιο, καθ' ὁμοιότητα τῶν ὑπὲρ δύο συλλαβάς. ὡς οὖν συγγράτης συγγράτου οὕτως ἄρης ἄρεος ἄρου. ἔστι δὲ καὶ ἄρεως γενικὸν, ἣν καὶ γενικοῦμεν ἀπὸ τοῦ ἄρης, ἀλλ' ἀπὸ τοῦ ἄρεος εὐθείας. ἡ χρῆσις παρ' Ὁμήρῳ οὐκ ἔστι, παρὰ δὲ Ἀλκαίῳ εὑρέθη. ἐκ ταύτης τῆς εὐθείας ἄρεος αὐξήσεως καὶ ἄρηος, καὶ ἄρηι, καὶ ἄρεα. παρ' Ὁμήρῳ, ἄρης βιβάντων μόνον, ἐκ πάντων τῶν εἰς ης, ὡς αἰολικόν. αἰολίων γὰρ ἴδιον, βαρυτόνησις. κλίνεται καὶ ἄρεως ἄρεω, ὡς μενέλεω, κατὰ ἀρίστιχον. καὶ σημαίνει ποτὲ μὲν τὸν πόλεμον, ποτὲ δὲ τὴν ἐπιστάτην τοῦ πολέμου θεόν. ἔστι δ' ὅτε τὸ ἔγχος, ἢ τὸ ξίφος, οἷς χρῶνται ἐν τοῖς πολέμοις. ἐνίοτε δὲ τὴν πληθυντικὴν ἄρεος τὸν ἀνδρεῖον, ἀνδρείαν. Ἀρέσθαι, εὔξασθαι. Ἀρῆσαι, εὖξαι.

Ἀρήση, εὐχῆ. Ἀρήθητιν, ἐπίδοσιν. Ἄρηται, ἀπήνεκται. Ἀρητὴρ, εὐχέτης, ἱερεύς, ἀπὸ τοῦ τὴν ἀρὰν καὶ τὴν εὐχὴν τηρεῖν. ἔστι δὲ καὶ ἀρὰ ἡ κατάρα, ὁ παρὰ τὸ τὰς ἀρὰς ποιεῖν, ὁ ἐπὶ τὰς εὐχάς. ὁ παρὰ τὸ αἴρειν εἰς ὕψος τὰς χεῖρας, ὁ παρὰ τὸ ἀρέσκειν θεῷ. Ἀρητήριον, πεδίον. καὶ ἀρητήριον, τόπος ὁ θύουσιν οὕτω καλούμενος, ὅτι θεσπὶς μετὰ τὸ ὑποστρέψαι ἐκ τοῦ ἅδου, ἐπικρούσα θεῶν, ἐκέλευσε τὰς κατὰ τῶν ἐχθρῶν ἀρὰς ἐπιθεῖναι. παρὰ τὰς ἀρὰς οὖν, ἀρητήριον ὁ τόπος ἐκλήθη. οὕτω φιλόχορος, ἐν τῷ λατινίῳ τῶν ἀτθίδων. Ἀρητάρα, ἱέρεια.

Ἀρήτη, παρὰ τὴν ἀρὰν, ὃ ἐστι τὴν εὐχὴν, ἡ εὐκταία γεννηθεῖσα τοῖς γονεῦσιν. οὕτως ἀρητὸς τὸ κόσμον. ἐξ οὗ καὶ ὁ παρὰ Ἡροδότῳ λαμπρὸς, κατὰ λόγον ὄφεων καὶ αὐτὸς γεννηθείς. ὁ μὲν τε ἀρητὸς τὸ ἐπίλογον, ὁ δηλοῖ τὸν δυνατόν. καὶ ὡς εἶπεν ἐκ παρέδων. ὡς τὸ, ἀρητὸν δὲ τοκεῦσι πένθος. παρὰ τὴν ἄτην, τὴν βλάβην ὠνόμασαι. ἀπὸ δὲ τοῦ ἀρητοῦ ἀρείων, οἱ μετὰ Ὅμηρον ἀρετή. ὁ καλὸς ποιητής, ὁ ὑπὸ σωματοφύλαξ στρατηγός, καὶ οἱ τινὲς καὶ ἕτεροι. Ἀρητιάδης. δῆλον ὡς γέγονε καὶ ἄρατος, οὐ τὸ πατρωνυμικὸν, ὁ ἀρητιάδης. Ἀρκλῖνος, παρὰ τὸ συμφέλειον ὄρος, ἀπὸ τοῦ συμφάλου τοῦ ἀρκαλείου πόλεως, ὑπὸ ἡρακλείους

θεῖ, Ἡσίοδος. Ἀργὼ ἡ ναῦς, ἀφ' ἧς καὶ οἱ Ἀργοναῦται. εἴρηται δὲ ὅτι Ἄργος αὐτὴν κατεσκεύασεν, ἢ ὅτι ἐν Ἄργει τῇ πόλει κατεσκευάσθη. Ἀργώ. ὁ Ἀπολλώνιος καλεῖ τὴν Ἀργὼ, ἀπὸ Ἄργου τοῦ κατασκευάσαντος. Φερεκύδης δὲ ἀπὸ Ἄργου τοῦ Φρίξου υἱοῦ. ταύτην δέ φασι πρώτην ναῦν γενέσθαι μακράν. ἄλλοι δὲ λέγουσι, Δαναὸν διωκόμενον ὑπὸ Αἰγύπτου, πρῶτον κατασκευάσαι. ὅθεν καὶ Δαναῒς ἐκλήθη. ἢ ὅτι ἐν Ἄργει ἐναυπηγήθη, ὥς φησιν Ἡγήσανδρος ὁ Σαλαμίνιος, ὑπὸ Ἄργου. Ἀργῷος λιμήν. περὶ τῇ Τριτωνίδι λίμνῃ ἐστὶν, Ἀργῷος καλούμενος.

Ἄρδα, μολυσμός. Ἀρδαλίδες, αἱ Μοῦσαι. Ἄρδαλος, μόλυσμα. Ἀρδάλης, εἰκαῖος. Ἀρδαλωμένης, τεθολωμένης. Ἀρδαλῶσαι, μολῦναι. τὸ οἷον ἐμπλῆσαι τὴν ἄρδαλον. Ἀρδάνιον, κεράμιον, τάγγα, ὅθεν τὰ θρέμματα πίνει. Ἄρδας, ῥύπος τις, καὶ ἀκαθαρσία παρὰ τῷ Ἱπποκράτει.

Ἀρδεύεσθαι, ποτίζεσθαι. Ἀρδευμός, ὁ ποτισμός. καὶ ἀρδευμοῖον, μισθωτικόν. Ἄρδην, φοράδην, ἢ σφόδρα, ἢ παντελῶς, ὁ ἀθρόως, ἢ ἐξ ὁλοκλήρου. Ἄρδην, ἀπὸ τοῦ αἴρω γίνεται. καὶ ἐπὶ τὸ αἴρειν δηλοῖ τὸ ὑψοῦ καὶ ἀφανίζω, ἢ τὸ ἄρδην δύο δηλοῖ. ἐνίοτε μὲν τὸ μετεώρως καὶ κούφως, ἐνίοτε δὲ τὸ ἀφανιστικῶς. καὶ ἄρδην ἐπίρρημα, σημαίνει τὸ ἄνω. Ἀρδηττός. τόπος ἐν ᾧ πρὸς Ἰλισσῷ, τόπος Ἀθήνησιν ὑπὲρ τὸ στάδιον τὸ Παναθηναϊκὸν, πρὸς τῷ δήμῳ τῷ ὑπένερθεν Ἀγρυλῆς. ἐν τούτῳ φασὶ δημοσίᾳ πάντες ὤμνυον Ἀθηναῖοι, τὸν ὅρκον τὸν ἡλιαστικόν. ὠνομάσθη δὲ ἀπὸ Ἀρδήττου ἥρωος ἀρχαίου, ὃς Ἀθηναίους πρῶτος ἐξώρκισε. Θεόφραστος δ' ἐν τοῖς περὶ νόμων δηλοῖ, ὡς κατελέλυτο τὸ ἔθος τοῦτο. Ἀρδήττης, τοὺς ἡλιαστὰς ἐπὶ τοὺς ὅρκους ἰόντας. Ἀρδηττὸς ἐκαλεῖτο τόπος περὶ τὸν Ἰλισσὸν, ἐγγὺς τοῦ Παναθηναϊκοῦ σταδίου, ἐν ᾧ τοὺς ὅρκους ἐποιοῦντο. Ἄρδια, τὰ ἐκ χειρὸς ὅπλα. Ἀρδικὸς, φαρέτρα. Ἄρδις, ἀκὶς βέλους, ἢ τὰ ἐκ χειρὸς ὅπλα. καὶ ἄρδις πληθυντικῶς, ἀντὶ τοῦ φαρέτραι. ἢ ἄρδις, ἀκίς. Αἰσχύλος Προμηθεῖ Δεσμώτῃ. Ἀρδμὸς, ποτισμός. καὶ ἄρδεια, ὁ ποτισμός. Ἀρδομένων, πληρουμένων.

Ἄρδων, ποτίζων. Ἀρέθουσα, ὄνομα πηγῆς, παρὰ τὸ ἄρδειν τὸ ποτίζειν. Ἀρειανοί. οὗτοι ἔλεγον κτίσμα τὸν υἱὸν τοῦ θεοῦ, καὶ οὐχὶ ὁμοούσιον τῷ πατρὶ πεφυκότα. ὅ ἐστιν αἵρεσις. Ἀρειὰς, ἀπειλάς. καὶ ἀρείων πόλεος, πολεμικός. Ἀρειή, ἡ ἀπειλή, ἢ ἀθῳότης, ὃ καὶ δαπάνεται. ἢ βλάβη. Ἀρειὴν λέγει Ὅμηρος, τὴν ἀρὰν, ἤτοι ἀπειλήν. πλεονασμῷ τοῦ ε διφθόγγου. ἀντίκειται τῇ ἀρειῇ πάντως οἱ μειλίχιοι λόγοι. Ἀρειμάνιος, ὁ πολεμικός. ὥσπερ παρὰ τὴν ἄρειν δηλαδὴ γίνεται ἀρείφατος ὁ πολεμικός, τουτέστιν ὁ ἐν πολέμοις ὀνομαζόμενος, ἢ ὁ ἀπεφασμένος. κρείττων φόνον καὶ ἀρειμάνιος, διὰ τοῦ ει διφθόγγου, παρὰ τὴν ἄρειν δηλαδή. Ἀρειμανὴς, ὁ αἴδιος, παρὰ Πέρσαις. Ἄρειος πάγος, δικαστήριον Ἀθήνησιν, οὕτω καλούμενον. οἱ δικασταὶ, Ἀρεοπαγῖται. ἐκλήθη δὲ Ἄρειος πάγος, ἢ ὅτι αἱ Ἀμαζόνες ἐπὶ τὸν τόπον ἐστρατεύσαντο Ἄρεως οὖσαι, ἢ ὅτι ἐν πάγῳ ἐστὶ καὶ ἐν ὕψει τὸ δικαστήριον. Ἄρειος δὲ, ἐπεὶ δικάζει ὁ Ἄρης τὸν φόνον. πάγος δὲ, ὁ λόφος. ὡς καὶ Ὅμηρος, πάγοι δὲ οἱ ἀντεβόλησαν. ἢ ὅτι ἔπηξεν ἐκεῖ τὸ δόρυ ὁ Ἄρης, Ποσειδῶνος κατηγοροῦντος διὰ τὸν φόνον τοῦ υἱοῦ αὐτοῦ Ἀλιρροθίου, ὅτι ἀπέκτεινεν αὐτὸν, βιαζόμενον Ἀλκίππην. Ἀρειοθεῖ, αὔξοντι. Ἀρείσι, ἔθνος Σκυθικόν. Ἀρείφατον λῦμα, ἰσχυρόν. ἀντὶ τοῦ ἄρει ἐοικός. Αἰσχύλος Νιόβῃ. Ἀρείων, ὅτι κρείττων καὶ βελτίων.

Ἀρθμὸς, ἡ φιλία, καὶ ἡ ἁρμονία τῆς ψυχῆς. Ἄρην οὖν, ἄρα οὖν. Ἀρεοβοσκὸς, προβατοβοσκός. Ἀρεοπαγίτης, ὁ Διονύσιος καὶ σοφὸς διὰ ὅλου, κατὰ ἀνάγκην. Ἀρέσαι, κεῖται παρ' Ὁμήρῳ, καὶ ἀντὶ τοῦ ἁρμοσθῆναι, εἰς ἀρθμὸν καὶ φιλίαν ἐλθεῖν. τελικῶς δὲ τὰ πλεῖστα τὸ ῥῆμα τοῦτο προφέρεται. λέγεται δὲ καὶ παθητικῶς ἀρέσασθαι καὶ ἀπαρέσασθαι. δηλοῦται δὲ διὰ τούτου τὸ εἰς φιλίαν συναρμοσθῆναι. οὕτω δὲ καὶ πορίσαι ἐνεργητικῶς, καὶ πορίσασθαι παθητικῶς. ὅρα δὲ καὶ τὸ ἀπαρέσασθαι. αὐτὸ μὲν γὰρ ἐλλιπὲς ἔχον λόγον. τὸ δὲ ἀπαρέσασθαι δύρεις καὶ δεινὰ, ὁ πεσὼν ἐστὶν ἐν τελείᾳ εἶναι καὶ ἀπελείπεις. ἴσθι δὲ, καὶ ὅτι ἐκ τοῦ Ὁμηρικοῦ ἀρέσασθαι καὶ πέμματά τινα ἱερὰ λέγεσθαί φησιν Αἴλιος Διονύσιος ἀρεστῆρας, δι' ὧν δηλαδὴ ἐστι πρὸς τὸ θεῖον ἀρέσασθαι. Ἀρέσασθαι, τὸ φιλικῶς θεραπεῦσαι, ἤγουν φιλοφρονήσασθαι. ὅθεν καὶ ἐρίηρες, οἱ πρὸς φιλίαν ἡρμοσμένοι ἑταῖροι. καὶ ἀρθμὸς ἡ φιλία. συντάσσεται δὲ μετὰ αἰτιατικῆς, ὡς δηλοῖ τὸ αὐτὴν ἀρέσασθαι, καὶ τὴν ζεῖσιν ἀρέσασθαι. καὶ παρ' Ὁμήρῳ ἀρέσασθαι, τὸ εἰς φιλίαν ἁρμόσασθαι. ὅθεν καὶ ἀρθμὸς ἡ φιλία. καὶ ἑταῖροι ἐρίηρες, οἱ ἀλλήλοις ἀρεστοί, ὅ ἐστιν ἡρμοσμένοι. καὶ προσέτι δὲ, ἡ τῷ σώματι προσφυὴς φορά. καὶ ἀρέσαι, ἐνεργητικῶς φησὶ τὸ φιλοφρονήσασθαι. καὶ τὸ ἀρέσασθαι δὲ, ἀντὶ τοῦ εὔξασθαι, ὁμοίως ἐστὶ δυνάμενος. καὶ γὰρ καὶ τὸ ἀρᾶσθαι ἁρμονία τίς ἐστι πρὸς τὸν θεὸν, ὥσπερ ἡ εὐχή, ἣν ὁ Αἴλιος πρέσβιν φησὶ πρὸς θεὸν ἀδελφότατην. Ἀρεσάσθω, εὐτρεπὲς κατασκευασάτω. Ἀρέσθεσιν, ἐπέδωκεν. Ἀρέσαιτ', εὐφράνατε. Ἀρέσασθαι, ὅτι συναρμοσθῆναι φιλικῶς, καὶ εἰς ἀρθμὸν, ὅ ἐστιν ἁρμονίαν φιλίας, ἐλθεῖν. Ἀρεσίστατον, σύμμετρον, ἀρεστόν. Ἀρεσκὸς, ὁ πρᾴος, καὶ ἡ δεδομένη ῥάβδος τοῖς κωμικοῖς. Ἀρεσκεύεσθαι, φιλοφρονεῖσθαι. Ἀρέσκει μοι περιγενομένῳ θαυμάζειν, καὶ ἀρέσκει μοι ἐκεῖνα θαυμάζειν.

Ἀρέσκω δὲ, ἀντὶ τοῦ ἀρεστὸς αὐτῷ φαίνομαι, δοτικῶς. μετὰ αἰτιατικῆς συντάσσεται, ὡς παρὰ Πλάτωνι, ἀλλ' εἰ μὴ σύ γε ταῦτα ἀρέσκει. ἀρέσκομαι δὲ, ἀντὶ τοῦ ἀποδέχομαι αὐτόν. καὶ ἀπαρέσκομαι, τὸ οὐκ ἀποδέχομαι. γίνεται δὲ ἐκ τοῦ ἀρῶ ἀρῶ, ὁ μέλλων ἀρέσω, καὶ πλεονασμῷ τοῦ κ ἀρέσκω, καὶ μετάγεται εἰς ἐνεστῶτα. ἴσμεν δὲ τὰ εἰς σκω λήγοντα ῥήματα βαρύτονα, μέχρι τοῦ παρατατικοῦ κλίνονται. χωρὶς τοῦ εὑρίσκω εὕρισκον, καὶ ἁλίσκω ἥλωκα. τὸ δὲ διδάξω, οὐκ ἀπὸ τοῦ διδάσκω, ἀλλ' ἀπὸ τοῦ διδάχω παράγεται. Ἀρεσόμεθα, ἐξιλασόμεθα, θεραπεύσομεν, φιλοφρονησόμεθα. ἀπὸ τοῦ ἀρῶ, ἀρᾶς. Ἄλλως. Ἀρεσόμεθα. Ὅμηρος, ταῦτ' ὄπισθεν ἀρεσσόμεθα, ἤγουν ὕστερον φιλιωσόμεθα. ἐκ τοῦ ἀρῶ ἀρέσω, τὸ εἰς φιλίαν συναρμόζω. ἐξ οὗ καὶ ἀρεστὴρ εἶδος πέμματος, ἀρέσκοντος ὡς εἰκός. καὶ ἀρθμὸς, ἡ φιλία. καὶ ἄρθμιος, ὁ φιλικός. ἀφ' ἧς λέξεως καὶ ἀρέσαι παρά τισιν ὕστερον, τὸ συγκαταθέσθαι. ὅθεν καὶ τὸ εὐάρεστον, καὶ τὸ ἀρέσκον. Ἀρεστήριον, ἱερεῖον, θῦμα, καὶ πέμμα πρὸς θυσίαν. Ἀρεστὴρ, εἶδος πλακοῦντος, τοῖς θεοῖς ἀφιερωμένος. καὶ πόπανον, τὸ ἐν ταῖς θυσίαις ἐπιτιθέμενον, παρὰ τὸ ἀρέσκειν. Ἀρεσσῶν, ὁ ὑπερέχων τὰς ἄλλας, καὶ βελτίων τῶν ἄλλων. Ἀρέχαι, κλήματα, βόστρυχα. Ἀρετὰν, ποταμὸς Βρεττανικὸς Χώρας. Ἀρετᾷ, ἐν ἀρετῇ ἐστιν. οὐκ ἀρετᾷ κακὰ ἔργα, τουτέστιν, οὐκ ἀπαλλάττει εἰς ἀρετήν. ἀναγνωσθῆ δὲ περισπωμένως. Ἀρετή, διάθεσις ὁμολογουμένη. καὶ αὐτὴ δι' αὑτὴν οὖσα αἱρετή. οὐ διὰ φόβον ἢ ἐλπίδα, ἤ τι τῶν ἔξωθεν ἐν αὐτῇ. ἡ ἀρετή ἐστιν, ἡ τῶν ἀγαθῶν ἐν ἡμῖν παρὰ θεοῦ φυσικῶν καρπῶν, καὶ ὑπαλλαγὴ καὶ ἀξίωσιν αὐτῶν χρῆσις. ἡ ἀρετὴ ἐστι διάθεσις βελτίστη, ἢ ἕξις ἀρίστη ψυχῆς λογικῆς, καθ' ἣν ἀνενόχλητος γίνεται πρὸς καιρόν. εἴρηται δὲ παρὰ τὸ ἀρέσκειν τῇ ἀληθείᾳ τὸ γινόμενον. ἢ παρὰ τὸ αἱρῶ τὸ ἐπιθυμῶ, αἱρετή. καὶ κατὰ μετάθεσιν τοῦ στοιχείου, ἀρετή, ἡ ἐπίρατος κτῆσις, ἣν αἱροῦνται πάντες. ἢ παρὰ τὸ ἀρῶ ἀρέσω, ἀρεστή, καὶ ἀρετή. λέγεται ἀρετή, καὶ ἡ κατὰ πόλεμον δύναμις. παρὰ τὸν Ἄρην, ὃ σημαίνει τὸν πόλεμον. ἡ ἀρετή, ὁ πᾶσιν ἀρέσκουσα, καὶ τῶν καλῶν νομιζομένων ἐμπειρία, ὁ θεία δύναμις. διάθεσις ἀγαθή, καὶ βίος ἐνάρετος. Ἄλλως. Ἀρετὴν οὐ μόνον τὴν ἀνδρείαν, ἀλλὰ καὶ τὴν δεξιότητα τὴν περὶ τοὺς ἄθλους δηλοῖ παρά τισιν ὕστερον. δηλοῖ δέ ποτε καὶ τὴν εὐδαιμονίαν, ὡς τό.

ἐπιχείρημα, ὃ προσῆκε τὸ ο εἰς τ γίνεσθαι ἐκ τοῦ ἀργόν. Ἀργιόδους, ὁ μεγαλόδους. Ἄργιος, λευκὸς, ταχύς. Ἀργίοπος, αἰετὸς, μακεδόνες. Ἄργισα, τὰ ἐκ τῶν σωμάτων μέρη, ὡς διαπεπλεγμένων δίκτυον. Ἀργιφόντα, κακοφόνε. Ἄργματα, τὰ εἰς τὴν ἀπαρχὰς, ἔθυον θεοῖς λέγει Ὅμηρος. Ἀργοὶ βόες. ἰωνικῶς παρ' Ὁμήρῳ ἀπαγορεύει, λέγονται ἀργοὶ βόες, οἱ ταχεῖς. καὶ μάλιστα λευκοί. ἀλλ' οἱ λευκοὶ καὶ μὴ μέλανες τοῖς τεθνεῶσι θύονται. ἔνιοι λύοντές φασιν, ὅτι ἀργοὶ βόες οἱ μετὰ τὸ σφαγῆναι, ἀπολυθέντες, λευκοὶ τῇ ποιότητι. ὅπου καὶ παρὰ Πινδάρῳ ἀργάεντα. Ἀργέλαι, εἶδος ὄφεων. οὓς ἤγαγε Μακεδὼν ὁ Ἀλέξανδρος ἐκ τοῦ Ἄργους τοῦ πελασγικοῦ εἰς Ἀλεξάνδρειαν. καὶ ἐνέβαλεν εἰς τὸν ποταμὸν πρὸς ἀναίρεσιν τῶν ἀσπίδων, ὅτι μετέθηκε τὰ ὀστᾶ Ἱερεμίου τοῦ προφήτου, ἐξ Αἰγύπτου εἰς Ἀλεξάνδρειαν, οὓς αὐτὸς ὁ προφήτης ἀπέκτεινεν. ἀργέλαι οὖν, ἐκ τοῦ Ἄργους. Ἀργὸν, τὸ λευκὸν, ἐξ οὗ καὶ ἄργυρος. ἀργύφεον ποιητικῶς, τὸ αὐτό. Ἄργον φασὶν εἰς ταῦτα μεταβεβλῆσθαι. διὰ τοῦτο λέγει Ἀριστοφάνης, πότερον ὅπως εἰ σὺ, ὁ λεγόμενος τυρός. παρὰ τὸ τυρεῖν τὴν ἰὼ, ἡ ταῶς. Ἄργος, τὰ περὶ τὰς μυκήνας χωρία, καὶ αὐταὶ αἱ μυκῆναι. μυκῆναι δὲ, ἡ προκαθεζομένη τοῦ Ἄργους πόλις, ὥσπερ σπάρτη ἡ προκαθεζομένη πόλις τῆς Λακεδαιμονίας. Λακεδαιμονία δὲ, τὰ περὶ αὐτὴν χωρία. εἰσὶ δὲ τὸ Ἄργος καὶ ἡ Λακεδαιμονία, ἐντὸς τῆς Πελοποννήσου. Ἄργος, φασὶν Ἑλλάνικος πολλάκις τρεῖς φορονέως γενέσθαι. οὗ τοῦ πατρὸς θανόντος, διανέμεσθαι τὴν ἀρχὴν. καὶ ὁ μὲν πρὸς ἐρασινῷ τῷ ποταμῷ, πελασγὸς ἔλαχε, τὸ δὲ καὶ τὴν ἐκεῖ Λάρισσαν κτίσαι. ἴασος δὲ, τὰ πρὸς ἦλιν. ἀγήνωρ δὲ, ἀπαλλαγείσης τῆς γῆς, τὴν πατρικὴν εἴληφεν ἵππον. ὅθεν ἐν τῷ αὐτῷ χώρῳ ὠνομάσθη τὸ Ἄργος τριχῶς, ἴασον, πελασγικὸν, καὶ ἱππόβοτον. ἄλλοι δὲ μετὰ τὴν θάνατον τοῦ Διὸς ἀδελφῶν ἐπιστρατεῦσαι φασὶ τὴν ἀγήνορα πολλὴν ἐπαγόμενον ἵππον, ἀφ' ἧς κληθῆναι τὸ Ἄργος ἱππόβοτον. Ἄργος, ἀποθυμοσύνεσθαι τῶν ἀθηνᾶς πεποιηκέναι τὴν ἀργὼ, ἀλλ' οὐχ ὥσπερ αὐτῷ ἐκέλευσεν ὁ Πελίας ὀχυροῖς γόμφοις πηγνῦναι, ἵνα ταχέως ἀπολέσῃ τοὺς ἀργοναύτας. διὰ τοῦτο ὁ Ἀπολλώνιός φησιν ἀθηνᾶς ἀποθεμοσύνῃσιν γενέσθαι αὐτήν. Ἄργος, εἷς τῶν φρίξου παίδων. οὓς Ἡρόδωρός φησιν ἐκ Χαλκιόπης τῆς αἰήτου θυγατρός. Ἀκουσίλαος δὲ καὶ Ἡσίοδος, ἐν ταῖς μεγάλαις ἠοίαις φασὶν, ἐξ ἰοφώσσης τῆς αἰήτου. καὶ οὗτος μὲν φησὶν αὐτοὺς τέσσαρας, ἄργον, φρόντιν, μέλανα, κυτίσωρον. Ἐπιμενίδης δὲ, καὶ πέμπτον προστίθησι πρέσβωνα.

Ἀργὸς ἡμέρα, καὶ ἀργὸς γυνὴ, κρεῖττον ἡ ἀργή. ἀττικῶς.

Ἀργὸς, ὁ νωθρὸς, καὶ Λυσίστρατος, μᾶλλον δὲ ἀπόργυρος. εἰ δὲ σημαίνει τὸν καθαρὸν καὶ λευκὸν, γίνεται παρὰ τὸ ἀὴρ, ἀερός, ὁ ἀργός. διειδὴς γὰρ ὁ ἀὴρ καὶ διαφανὴς, καὶ δίαυγος, ἅτε λεπτομερέστατος ὤν. Ἄργουρα, πόλις τῆς Εὐβοίας ἐν τῇ Χαλκιδικῇ κειμένη. Ἀργοὺς κύνας, ἤγουν λευκοὺς, παρ' Ὁμήρῳ, ὡς τῶν λευκῶν φασι σωμάτων, διὰ τὸ ἀραιότερον. εὐπαθέστερον ὄντων ἤπερ τὰ μέλανα. πρωτοπαθεῖς μὲν οὖν ὀρῶσι καὶ κύνες ἰκανώθησαν. λοιπὸν δὲ καὶ ἄλλα ζῶα, εἰ καὶ Ὅμηρος ἐκεῖνα σιγᾷ, διὰ τὸ ποιητικὸν, ἐκ μέρους δηλώσας τὸ πᾶν. εἶτα καὶ ἀνθρώπους ἐπιλάμψαι τὸ κακὸν ὀξὺ ὄντα ταῖς νόσοις ἐπιχωριάζον. διά τε τὸ ἀναφορεῖσθαι αὐτοῖς τὸ τῆς ἀναπνοῆς αἰσθητικόν, καὶ διὰ τὸ ἀφυλάκτως τὸν τόπον, ἐν οἷς οἱ φαῦλοι αὐχμοὶ τὴν ἀέρα ἔχουσι, καὶ ἄλλα πολλά. Ἀργυραμοιβὸς, ὁ κολλυβιστής. δηλοῖ δὲ τὸν ἰδιωτικῶς λεγόμενον καταλλάκτην. ὃν καὶ ἀργυρογνώμονα λέγουσιν. ἤγουν τὸν τὸ ἀργύριον σκοποῦντα, καὶ δοκιμάζοντα. καὶ ἀργυραμοιβὸς, χρυσοχόος, ἢ καὶ ὁ καταλλάκτης. Ἀργυράσπιδες, τάγμα ἦν στρατιωτικὸν, ὑπὸ Ἀλεξάνδρου. Ἀργυρία, λιμὸς, ἀργυρίου σπάνις. καὶ ἀργυρία νόσος, ἡ ἀργυρίου αὔλαξ, παρὰ Θουκυδίδῃ. Ἀργυρίου λόγχαι, οἱ μισθοφόροι. Ἀργύριον, λαμπρὸν καὶ καθαρόν. Ἀργυραλάτης, ἀργυροκόπος.

Ἀργυρίδιον, διὰ τοῦ ι γράφεται διὰ τοιαύτην αἰτίαν. ἐπειδὴ θέομεν, ὅτι εἰσὶ παραγωγαὶ διὰ τοῦ διον, καὶ ίδιον. καὶ εἰ μὲν ἡ τελευταία συλλαβὴ τῆς γενικῆς τῶν πρωτοτύπων ἀπὸ συμφώνου ἄρχεται, διὰ τοῦ ιδιον γίνεται ἡ παραγωγὴ, καὶ φυλάττονται αἱ τρίται συλλαβαὶ αἱ τελευταῖαι σωζόμεναι. οἷον, γνώμη, γνώμης, γνωμίδιον. ψυχὴ, ψυχῆς, ψυχίδιον. ξίφος, ξίφους, ξιφίδιον. εἰ δὲ ἀπὸ φωνήεντος ἄρχεται, διὰ τοῦ διον γίνεται ἡ παραγωγὴ, καὶ ἐκτείνεται ἡ τρίτη ἀπὸ τέλους συλλαβή. οἷον, χαρίεν χαριίδιον, ἀγγεῖον ἀγγείδιον. καὶ εἰ μὲν εὑρεθῇ τὸ ι, ἢ τὸ ο, τὸ ι προσέρχεται, πόλεως πολίδιον, ὄφεως ὀφίδιον, βοὸς βοΐδιον. Ἀργύνειον, γραμματεῖον, ὃ καὶ βοιωτικὸν καὶ ἐκκλησίδιον λέγεται. Ἀργυροθήκη. Δείναρχος ἐν τῷ κατὰ προξένου λαβεῖν. δῆλα ἦν γραμματίδια, οἷς ἐχρῶντο ἀθηναῖοι. τὰ μὲν ὥστε γράφειν μόνον τι ἐν αὐτοῖς, τὰ δὲ ὥστε καὶ ἀργυρίδιον κατατίθεσθαι, ἅπερ καὶ κιβώτια ἐκάλουν. τὰ δ' ἄλλα μαρτύρια.

Ἀργύρανθος παρὰ Ἀριστοφάνει, ἀθηναῖος ἐπὶ μαλακίᾳ τὸν τρόπον διαβεβλημένος, ὡς καὶ παρδὰς ἀφιέναι. καὶ εἰς θρασύτατα δὲ τὸν ἀργύρανθον κωμῳδοῦσι. πέρδεται δὲ, τρίτην ἠλατῶν, καὶ ἀργύρανθος εἶδος βοτάνης. Ἄργυρας, λιθάργυρος. Ἀργυρίτας, ὁ ἐν ἀργυρίῳ τὴν οὐσίαν ἔχων. καὶ ὁ ἐκ τῶν ἐναργύρων μετάλλων γῆ. Ἀργυρογνώμονα λέγουσι, τὸν καταλλάκτην.

Ἀργυρογνώμων, δοκιμαστής. Ἀργυροδίνης, οὐ πλουσιοῦ μόνον ἐπίθετον, ἀλλὰ διαυγοῦς παντὸς ποταμοῦ. καὶ ἀργυροδίνας δίνας, ὅ ἐστι καθαρὰ ῥεύματα διοικουμένας, ἢ λευκόρροος, ἀπὸ τοῦ ἄργυρος καὶ τοῦ δίνη. καὶ ἀργυρὶς, ἡ ἀργυρᾶ φιάλη, τὸ δὲ ης, ἐπειδὴ τὰ διὰ τοῦ ευ, ἢ διὰ τοῦ ειη, ἀποστρέφονται τὴν ει δίφθογγον. οἷον αἰχίνης, λυσίνης. τὸ δὲ ποικίνης, ἀπὸ τοῦ ποίκα. ἀργυροδίνης δὲ, παρὰ τὸ ἄργυρος, ὃ σημαίνει τὸ λευκόν. Ἀργυρόηλον, τὸ ἀργυροῦς ἥλους ἔχον, ἐκ τοῦ ἀργυροῦ τοῦ κτητικοῦ, καὶ τοῦ ἧλος.

Ἀργύριον, πᾶν νόμισμα εἴτ' ἐν χαλκῷ, εἴτ' ἐν ἀργύρῳ, εἴτ' ἐν χρυσῷ. εἰώθασιν ἀργύρεον καλεῖν, καὶ οἱ μὲν ἀττικοὶ ἑνικῶς. οἱ δὲ κοινικοὶ ἀργύρια, πληθυντικῶς. Ἀργυροκοπεῖον, ἐν ᾧ κόπτεται τὸ νόμισμα. ὃ νῦν ἰδιωτικῶς σημαντήριον καλοῦσιν. Ἀργυροκόπον, τραπεζίτης, ἢ ὁ τὰ ἀργύρια ἐργαζόμενος. Ἀργυρολόγος, τελώνης. Ἀργυρολόγους ναῦς, τὰς συλλεγούσας ἀργύριον, καὶ λήμματα ποιούσας, λέγει Ἀριστοφάνης. Ἀργυρόπεζα, ἡ ἀργυροῦς πόδας ἔχουσα. πέζα γὰρ, ὁ πούς. καὶ ἀργυρόπεζα θέτις λέγεται, διότι αἱ ἀφραὶ πέζαι τῆς θαλάσσης, τουτέστι τὰ ἔσχατα ὄντα πρὸς τῷ αἰγιαλῷ ἀργύρια εἰσὶν, ὡς διαλευκά. μελάντερα δὲ, τὰ ἐνδοτέρα. διὸ ὁ ποιητὴς ἐπὶ μὲν αἰγιαλοῦ φησι, θῖν' ἐφ' ἁλὸς πολιῆς, ἢ τὸ λευκῆς. ἐπὶ δὲ τοῦ ἐμβυθίου, μέλανά τε πόντον λέγει, καὶ οἴνοπα. συμβολικῶς δὲ ἢ κατὰ μῦθον, ἀργυρόπεζα ἡ λαμπρόπους. ὁποία τίς ἐστι καὶ καλλίσφυρος. καὶ ἡ παρ' Εὐριπίδῃ ἀβρὰ βαίνουσα παλλεύκῳ ποδί. τινὲς δὲ λέγουσι πέζαν, τὸν κόσμον τοῦ ἱματίου ὄντα κάτω δέρματι. ἵνα εἴη ἀργυρόπεζα, ἡ κόσμον λαμπρὸν περὶ τὰς ὤας τοῦ ἱματίου ἔχουσα. Ἀργυρώνητος δίφρος, ὁ ξέρξης, ὃς αἰχμαλώτους ἐπεκαλεῖτο. ἐξ οὗ καθεζόμενος, ἐθεώρει τὴν ναυμαχίαν. ἀνίαται δὲ, ὡς τὴν παρθενῶνα τῆς ἀθηνᾶς. Ἄργυρος μὲν λέγεται καὶ χρυσὸς, ἡ οὐσία τοῦ ἀργύρου καὶ τοῦ χρυσοῦ. ἀργύριον δὲ καὶ χρυσίον, τὰ ἐξ αὐτῶν νομίσματα. ἀργυροῦν δὲ ἢ χρυσοῦν, σκεῦος. Ἄργυρος, ὁ κατήρ. ἦσαν δὲ Κέβολοι. Ἀργυρόεξος, τουτέστι λαμπρότατος. οὐ γάρ ἐστι πλάσαι τόξον ὅλον ἀργύρεον. Ἀργυροσκόπος, ἀργυρολόγος, ἐκ τοῦ παρεπομένου.

Ἀργυρώνητος, ὁ ἀργύρῳ ἀγορασθεὶς οἰκέτης. Ἀργῦταρ, τὴν λάμιαν. φρύγες. Ἄργυφα, μῆλον ἐπίθετον, διὰ τὴν τοῦ ἐρίου λευκότητα. ἀργύφεον δὲ, ἐπὶ ἱματίου τίθεται. Ἀργύφεον, μῆλον, ὃ λαμπρόν. Ἀργυφέοισι, λαμπροῖς, καθαροῖς. καὶ ἀργύφεον, ἄργυφον. πλεονάζοντος ἀπὸ τοῦ ἀργόν. καὶ ἀργύφεον πλεονασμός. σημαίνει δὲ τὸ μέγα φάρος, ἢ λαμπρόν. ἀργυφέοιο ἐ-

ἄρασθαι φορτίον. καὶ ἄρασθαι, ἑλεῖν, λαμβάνειν. Ἀράσιμος, ὁ καταθέσιμος. Ἀράχνιον, γίνεται ἀπὸ τοῦ ἄρης, ὁ σίδηρος. δηλοῖ δὲ τὴν ῥαθυμίαν καὶ ἀπὸ τοῦ ἀπορίαν ἐμποιεῖν. καὶ ἀράσσει, συντρίβει, τύπτει, ἀμέλγει. Ἀρασσόμενα, προσρηγνύμενα, πλησσόμενα, θορυβούμενα. Ἀρασσομένων, ἀντὶ τοῦ συντριβομένων ἀμελλῶς. Ἀράσσω κυρίως, τὸ διὰ σιδήρου τέμνω. Ἀραχάδες, τὰ περιστικὰ κλάσματα. Ἀρᾶται, καταρᾶται, εὔχεται, ἐπευχάζει τῷ πατρί. Ἀραταχύειν, καταρᾶσθαι. οἱ δὲ, στενάζεσθαι. Ἀράττον, κροῦον. Ἀραφὶλ, τόφος, ὀμίχλη. ἢ ὄνομα σχήματος. Ἀραφιώτης, δῆμός ἐστι φυλῆς τῆς αἰγηΐδος. Ἀραχθείς, διωχθείς. Ἀράχνειον σῶμα, καὶ ἀραχναῖος μῦς, ὁ λεπτότατος. Ἀράχνη θηλυκῶς, τὸ ὕφασμα. ἀράχνης δὲ ἀρσενικῶς, τὸ ζωΰφιον τὸ ποιοῦν ἐν αὐτῷ σήματα. καὶ ἀράχνιον δὲ, τὸ σῶμα. Ἀράχνιος, ἀράχνια. Ἀράχνος, εἶδος θηρίου. Ἀραχνία, ἀράχνη, ἀττικοί. Ἀραχνοϋφεῖς, ὡς ὑπὸ ἀράχνης ὑφασμένοι. Ἀραχωσία, χώρα.

Ἀράων, τῶν εὐχῶν, ἢ ἐχθρῶν. Ἀρβάκης, ὄλιγάκις.

Ἀρβαῖλα, τέγανον ὀστράκινον, ταραντῖνοι. Ἀρβάλα, ὄνομα τόπου. καὶ ἀρβάλοις, ἀθηναίοις. Ἄρβαλον, σμιλίον σκυτοτόμον περιφερές, ἔστι δὲ καὶ ὅπλον. Ἀρβίννη, κρέας, σικελοί.

Ἀρβὸν, ἀραιὸς, ἀραιὸν, τὸ ἐλαφρὸν τοῦ ὑποδήματος.

Ἀρβύλαι, αἱ καὶ ἀρβυλίδες, ἀσπίδες, ναυτικαί. ὧν χρῶνται καὶ παρὰ τοῖς κωμικοῖς. Ἀρβύλη, εἶδος ὑποδήματος. παρὰ τὸ ἁρμόζεσθαι τοῖς ποσίν. ἁρμύλη, καὶ ἀρβύλη. Ἀρβύσα, λάσιον, λάσιος. Ἀργάδες, εἶδος φυτοῦ. καὶ ἀργαὶ γυναῖκες. Ἀργαίνειν, λευκαίνειν. εὐμαχίδης ἀλκμαίωνι, διὰ θαμίνος ἀργαίνοντα, λευκαίνοντα, φοινοῦντα. Ἀργαῖον, τὸ καθαρίου ὄρος. καὶ ἀργαῖον, τὸν ἀγγέλιον καλοῦσιν, ἀργαῖον καὶ παναγαῖον. Ἀργαλέον, χαλεπὸν, δύσκολον. εἴρηται δὲ παρὰ τὸ ἄλγος, ἀλγαλέον. καὶ κατὰ τροπὴν τοῦ λ εἰς ρ. ὡς πλαλγία, πλαργία. ἢ ἔργον παρὰ τοῖς παλαιοῖς, τὸ δυσχερές. ἐκ δὲ τοῦ καμάτου ἐργαλέον ταυτὸ χαλεπὸν παρὰ ἄλγος, καὶ πόνος. καὶ κάματος. Ἀργαλέος, ὁ δὲ Διὸς νοῦς τοῖς ἀνθρώποις κατανοῆσαι. ταυτὸ λέγων ὥσπερ εἰ ἔλεγε, τὸν δὲ τοῦ Διὸς νοῦν πολλὰ ἂν ἐκεῖνοι ἄνθρωποι κατανοῆσαι ζητοῦντες, καὶ ὅμως οὐ κατανοοῦσι. καὶ ἀργαλέος, χαλεπὸς, δεινὸς, παρὰ τὸ τὸν ἄρην τὸν πόλεμον, ἀραλέος. καὶ πλεονασμῷ τοῦ γ, ἀργαλέος. ἢ παρὰ τὸ ἄλγος, ὁ κόπος καὶ κακὰ ἐμποιῶν. παράγονται δὲ τὰ τοιαῦτα ὀνόματα ἀπὸ τριῶν μερῶν τοῦ λόγου, ἀπὸ ὀνόματος, ἀπὸ ῥήματος, ἀπὸ ἐπιῤῥήματος. ἀπὸ ὀνόματος, ὡς τὸ δίψα, διψαλέος. ἀπὸ ῥήματος, ὡς τὸ ἐδοῦ, ἐδωδαλέος. ἀπὸ ἐπιῤῥήματος, ῥίμφα ῥιμφαλέος. τὸ δὲ ἀργαλέος, παρὰ τὸ ἄλγος, μεταθέσει τοῦ λ εἰς ρ. ὅμοιον τῷ ὑψηρὸς ὑψηλὸς, ὑψηρὸς ὑψηλός. Ἀργαλέω, ἀργῶ. Ἀργαλεώτερος, δυνατώτερος. Ἀργανθώνιον, ὄρος τῆς κίου. Ἀργανθώνιος, ἰδίως. Ἀργὰς, δυνάστης, βασιλεύς τῶν τρώων. ἀργᾶν γὰρ τὸν ὄφιν ἐκάλουν οἱ ἀργεῖοι. καὶ ἀργὰς, ὄνομα τυράννου.

Ἀργαφίας, οἷον κεφάλαιον κρίνοντες ἔφασαν ἀργαφίας. ἴσως δὲ διὰ τοῦ ι, ἀπὸ γεωργίας τοῦ Ποσειδῶνος. τὸ δὲ ὄντα τοῖς ἐν τῷ ἑρμῇ, κρίνουσ ἀργαφίας. Ἀργεία, ἡ ἥρα, ἡ τῶν ἀργείων γῆ. καὶ ἀργεία μὲν ἑλένη, ἡ πολυστονασία, ἡ ἐξ ἄργους δηλαδή. ὅθεν τὰ ῥυθέντα κτήματα, ἦγεν ὁ ἀλέξανδρος. Ἀργεαστρασέα. ὡς φιλοδίκους καὶ συκοφάντας ἀργείους κωμῳδοῦσιν. Ἀργεῖαι, ὑποδήματα πολυτελῆ γυναικεῖα. Ἀργειφόντην ἔχοντα. παρ᾽ Ὁμήρῳ προσηγορίας διὰ διφθόγγου, πλεονάζει μέντοι ἡ διὰ τοῦ ι καὶ τῶν δύο αὐτῶν γραφή. τινὲς δὲ λέγουσι ἀργεϊφόντην. κεῖται δὲ φασι, ἐπὶ τοῦ κυνὸς, κληθεὶς ὑπὸ τῶν παίδων λιθάσαντος. κατὰ δὲ τὴν ἀναδεξάμενον τὰ ἐθνικὰ, ἢ ἄργον τὸν φόνον ἐκλάβετε. ὃν δή φασι καὶ τέκος εὐβοίας ἄργον. ὅπου δοκεῖ τὴν πανόπτην ὁ ἑρμῆς φονεῦσαι. ἀργεῖα δὲ ὀνομάσθη, ἢ ἀπὸ ἀργείων. ἢ διὰ τὸ προσκυ-

ρεῖν τῆς πολίας τῆς βασιλείας, ἣν πολλαχοῦ κατ᾽ ἄργος Ὅμηρος εἶπεν. ἐκαλοῦντο δέ φασιν οἱ ἐκεῖ καὶ λεοντῖνοι, ἀπὸ λεοντίνας.

Ἀργείων ἑλένην, ἀντὶ τοῦ τὴν ἑλληνίδα. ἀπὸ τοῦ ἄργους, ἀφ᾽ οὗ καὶ πάντες οἱ ἕλληνες ἀργεῖοι λέγονται. ὡς ἀπὸ τοῦ δαναοῦ δαναοί. Ἀργείας, κυβευτικοῦ βόλου ὄνομα. Ἀργέλη, πολυστασία, λευκὸν δὲ Ἡσίοδος. Ἀργεῖοι, οἱ ἕλληνες, καὶ ἐκ τοῦ εἱλώτων οἱ πεισάμενοι οὕτως ἐλέγοντο, ἢ λαμπροί. ἀργείους ὁρῶ, παρασημειωτέον. Ἀργεῖοι, ἀντὶ τοῦ ἀργεῖοι αἰολεῖς λέγουσιν. τούτων γὰρ αἱ διαιρέσεις εἰσί, καὶ συναιρέσεις. οἷον βασιλεῖ καὶ βασιλῆϊ, ἄργει καὶ ἄργεϊ. Ἀργεϊφόντης λέγεται, οἷον ἀργοφόντης. καὶ φονῇ τοῦ ο εἰς ε, καὶ πλεονασμῷ τοῦ ι ἀργειφόντης. ὥσπερ καὶ ἀνδροφόντης, ἀνδρεφόντης, ἀνδρειφόντης. ἢ ἀργεϊφόντης, ὁ ἑρμῆς, ἀργοφόντης. κατὰ θραύσεως, λευκοφόντης. ἢ ἐν ἄργει πρῶτον περιφανείς, ἢ καταργῶν τοὺς φόνους. Ἀργειώνων, τοὺς ἀργείους. Ἀργέλλα, οἴκημα μακεδονικόν. ὅθεν βαίνοντες, ἐν αὐτῷ λούονται. Ἀργέματα, τὰ ἐπὶ τῶν ὀφθαλμῶν λευκώματα. Ἄργεμον, τὸ κατὰ κύκλον γινόμενον λεύκωμα ἐν τῷ ὀφθαλμῷ. παρὰ τὸ ἀργὸν, ὃ σημαίνει τὸ λευκόν. Ἀργεμώνη, εἶδος βοτάνης. Ἀργεμον, τὸ ἐν τοῖς ὀφθαλμοῖς λευκότατον, οἱ δὲ ὀφθαλμῶν. Ἀργεννὸς, ὁ λαμπρός. Ἀργεννόν, τὸ λευκὸν, ἐκ τοῦ ἀργός. ὅμοιον τῷ φαῖος φαεινὸν, ἔρεβος ἐρεβεννόν. Ἀργεννοῦσαι, ἀργιλώδεις. εἰσὶ δὲ αἱ τοιοῦται εἰς πλῆθος φαῦλαι, καὶ ὡς ἐπίβουλοι μολίβουσι. καθάπερ ὁ σπόρος, καὶ αἱ λεγόμεναι ἀργεννοῦσαι. Ἀργεννάων, λευκῶν, ἢ λαμπρῶν. Ἀργεννοῖσι, λαμπραῖς, λευκαῖς. Ἀργέσται, οἱ ἐτήσιοι. Ἀργέστης, ὁ μέν ἐστι ἄνεμος ἀνώμαλος, προσαγορεύεται, ὡς τὸ ἀφύλαξον, ἀπὸ αἰθρίας τοῦ ἀργέστου. οἱ δὲ ἐπὶ δεξιὸν ὄντα ἐστί, προσαγορεύεται. οἱ ἀπὸ τοῦ ἀργεινὸς ἀργεστοῦ, δηλοῖ τὸν ταχὺν, ἢ τὸν λευκὸν ὄντα. ὃν καὶ συνθέτως ζέφυρον λευκόνοτον φασίν.

Ἀργέτα δημὸν, τὸ λευκὸν λίπος λέγει. δημὸς μὲν γὰρ, τὸ λίπος. παρὰ τὸ δαίω. ἀργῆτος δὲ, ἀργῆτος, ὁ λευκός. ἢ οὖν τὸ ἀργέτα κατὰ συγκοπήν. τοῦτο δὲ, καὶ ἐπιφέρει δημὸν ἀμαχοῦ δεῖ γὰρ ὁ ποιητής. Ἀργέτι δημῷ, τούτεστι λευκῇ πιμελῇ. ἀπὸ τοῦ ἀργὴς ἀργῆτος ἀργέτι, κατὰ συγκοπὴν τῆς παραληγούσης. ἢ ἴσως πρὸς διαστολὴν τοῦ, ἀργῆτι κεραυνῷ, ἤγουν λαμπρῷ. Ἀργηΐδες, ἢ ἄρχαιος, πρῶτος. Ἀργὴ, ἡ πόλις καὶ αἰόλου λευκή.

Ἀργὴν ἔστειλαν ὄφιν, ἐστὶ δὲ ἰοβόλον θηρίον. Ἀργὴν δὲ χῆνα λέγει Ὅμηρος, τὴν εἰληφυῖαν. ὡς καὶ αὐτός φησιν, ἥμερον καὶ ἀτιταλλομένην ἐν οἴκῳ. Ἀργὴς κεραυνὸς, ὀξυτόνως πρὸς διαστολὴν βαρυτόνου κυρίου μυθικοῦ τοῦ ἄργης. ὅσπερ ἀδελφὸς ἦν βρόντης, καθ᾽ Ἡσίοδον. καὶ ἀργὴς, ὁ λευκὸς, ἢ λαμπρὸς. ἢ ὄφις τις, οὕτως ὀνομαζόμενος παρὰ τῷ Ἱπποκράτει. Ἀργηστὴς, ἀργῆτα, λευκὸν, λαμπρόν. Ἀργῆτα, κεραυνὸν, τὸν λαμπρὸν, ἢ ταχύν. Ἀργία, οὐ μόνον ἡ κοινῶς λεγομένη ἀργία, ἡ ἐκ τοῦ ἀθυμίας καμαρμένη, ἀλλὰ καὶ ἡ εἰς ἔργον ἀπειρία, διαφέρουσα τῆς ἐπικουρίας. διὰ ταύτης μὲν ἐκείνης δηλοῖ ψυχῆς. ὡς ἐν τῷ ἐπικουρίας, εὐφραίνει μετ᾽ ἀμείνων, ὅστις δὲ, ἀπαισιομορφίας.

Ἀργηλόφης, ὁ ἀπαρχόμενος τοῦ λόγου. Ἀργίλαια, δῆμος τῆς ἀττικῆς. Ἀργιλλώδης, ὁ χρηστός. Ἄργιλλός ἐστιν, ἡ λευκὴ γῆ. Ἀργίλληψιν, γῆν μὴ βλαστάνουσαν. Ἀργίνη, ὄνομα πόλεως. Ἀργῖνος, ὄνομα κύριον. Ἀργίλοφοι, λευκόρραχοι. οἱ δὲ τραχεῖς, καὶ μελανταί. Ἀργικέραυνος ταῦρος, τὰ χρώματα, ὁ λευκὸς, παρὰ γένος. λέγεται δὲ ἐπὶ τοῦ διακεκομισμένου τῶν αἰγῶν. Ἀργινόεντα, λευκὸν, λευκότερον, αἰγιαλώδη.

Ἀργίνουσα, πόλις τῆς αἰολίδος. ἐν ἄκρᾳ δὲ λέσβου κειμένη, καὶ μανίας καλουμένης ἄκρας. Ἀργινοῦσαι, αὗται κεῖνται ἐγγὺς τῆς λέσβου, ἀπὸ ἀργίνου τινός. Ἀργιόδοντες, οἱ ὀξυόδοντες. οἷον ἀργοὶ ὀδόντες, ὅ ἐστι ταχεῖς, θοοί. καὶ μεταληπτικῶς, ὀξεῖς, παρ᾽ Ὁμήρῳ. Ἀργιόδοντες σύες, ἢ πλεονασμῷ τοῦ ι, ὡς καὶ ἐν τῷ ἱστοκάρ-

ΤΟ Α ΜΕΤΑ ΤΟΥ Ρ.

Ἆρα; ἐρωτηματικῶς προπερισπᾶται. οἷον ἆρά γε ἀλόγως δεδοικέναι δοκῶ; καὶ Ἀριστοφάνης, ἆρ' ἐκδιδάξαιτ' ἂν τὸ σοφός; Ἄρα σύνδεσμος παροξύνεται. οἷον, εἰ φῶς ἐστιν, ἡμέρα ἐστί. φῶς ἐστιν, ἄρα ἡμέρα ἐστίν. ἔστιν ὅτε σημαίνει, ὅπερ σημαίνει τὸ αὖ. Ἄρα, οἱ ἀττικοὶ ὅταν μὲν ἐρωτηματικὸν ᾖ, τροχαϊκῶς γράφουσιν. ὅταν δὲ ὡς σύνδεσμος συλλογιστικὸς λέγηται, ἀδιαφόρως. ποτὲ μὲν τροχαϊκῶς, ποτὲ δὲ πυρριχιακῶς. Ἄρα, λαμβάνεται καὶ ἀντὶ τοῦ ὡς ἔοικεν, ὡς παρὰ Ἀριστοφάνει, Σάλπιγξ ὁ πρωκτός ἐστιν ἄρα τῶν ἐμπίδων. καὶ παρὰ Λιβανίῳ, Οὐκ ἄρα εἰ μάθοι τῇ βιθυνίδι, τῇ χείρω τέχνῃ ἀδάμαντι γενέσθαι. Ἄρα, συλλογιστικὸς σύνδεσμος, ἐτ ἀντὶ τοῦ δή, καὶ ὡς ἔοικε, καὶ ὡς φαίνεται. οὕτω Πλάτων. Ἄρα, συμπερασματικὸν ὄν, καὶ ἀντὶ μακροῦ εὕρηται, ἔστι δὲ τὸ μὲν ἀπορρηματικὸν ἄρα, μακρὸν ἀεί. τὸ δὲ, συμπερασματικὸν οὐκ ἀεὶ βραχύ. Ἄρα, ἔστιν ὅτε καὶ ἀντὶ τοῦ ἀληθῶς λαμβάνεται. Ἄρα, ἀντὶ τοῦ ὡς ἔοικεν εὕρηται. Ἡσίοδος, Οὐκ ἄρα μοῦνον ἔην ἐρίδων γένος. οὐκ ἦν ὡς ἔοικε μία ἔρις. καὶ Ὅμηρος ἐν Ὀδυσσείᾳ, Οὐκ ἄρα σοί γ' ἐπὶ εἴδει καὶ φρένες ἦσαν. καὶ Ἀπολλώνιος, ἦ ἄρα δείλης. ἢ ἦ ἄρα ἱκανῶς, ἀντὶ τοῦ ὡς ἔοικεν. Ἀρά, οὐ μόνον ἡ κατάρα, ἀλλὰ καὶ ἡ εὐχὴ καὶ ἡ βλάβη. ὥσπερ καὶ ἡ τύχη, ποτὲ μέν, ἡ εὐτυχία, καὶ δαίμων. ὁμοίως καὶ τὸ ἀρᾶν.

Ἀραβάσσειν, ὅ ἐστιν ὀρχεῖσθαι, ἰωνικὴ λέξις. Ἀραβεῖν, ἠχεῖν, ἐκ τοῦ ἀραβῶ, ὠτός. κυρίως ἡ ἐπὶ τῶν ἱερῶν πνοή, ἄραβος. καταχρηστικῶς δέ, καὶ ἐπὶ τοῦ σιδήρου. παρὰ τὴν ἄραν, καὶ τὴν βοήν.

Ἀραβία, τέχνη συρίαν, καὶ κόσμος γυναικός. Ἀραβίδες, αἱ μετὰ κόπου πνοαί. καὶ ἀραβικὴ πνοή, ἡ γυναικική.

Ἀράβιος ἄγγελος, παροιμία. παρὰ τὸ ἀράβιος αὐλητής, παραλαμβανομένη ἐπὶ τῶν ἀπαύστως διαλεγομένων, μέμνηται δὲ ἀπὸ τοῦ ἀραβίου αὐλητοῦ, ὃς ηὔλει μὲν δραχμῆς, ἐπαύετο δὲ τεττάρων. Ἄραβος, κτύπος, κυρίως ἡ ἐν ἄρει βοή, ἀράβος ὁ ἄρεβος. ἡ κυρίως ἡ ἐν ἄρει βοή, ἄραβος καὶ ἄραβος. ἡ κυρίως, ἡ ἐπὶ τῶν ἱερῶν βοή, ἄραβος καὶ ἄραβος. ἐξ οὗ τὸ ἀραβῶ. καὶ ἀράβησεν, ἤχησεν, ἐψόφησεν. Ἀραβύλαι, ὑποδήματος διαφορά, καὶ βαρβαρικά. Ἀράζω, ψοφῶ, ἐν κλυσμηνῶσι. Ἀραγέμ, στεγάσειν. Ἀραγμός, ψόφος. Ἀράσσει, θορυβεῖ, ταράττει. Ἀράδυνται, κινοῦνται, συγχέονται. Ἄραδος, ἡ ἀπὸ τῶν γυμνασίων τοῦ καρδίου κίνησις, καὶ πόλις. Ἀράδες, βλαβεραί, λεπταί. Ἀραιαὶ κνῆμαι, αἱ ἀσθενεῖς καὶ βεβλαμμέναι. ὡς γὰρ γέρων γεραιός, πλεονασμῷ τοῦ ι, οὕτω καὶ ἀρὰ ἀραιός. ἡ δὲ ἱστορία, οἷδε καὶ ἴσως τίθεσθαι ἱστομαζομένας ἀραιάς. Ἀραιὰς γλώσσας, τῶν λύκων φησὶν ὁ ποιητής. ἢ κατὰ Διονύσιον ἀντὶ τοῦ λεπτὰς καὶ ἰσχνάς, ἢ μετὰ ψιλοῦ, ἀντὶ τοῦ βλαπτικάς. ἄμεινον δὲ λεπτῇσιν ὕδωρ, διότι κατὰ δύο πάλαι οὐ καθιᾶσι τὴν γλῶσσαν εἰς τὸ ὕδωρ, ὡς οἱ βόες. οἱ δὲ κατὰ λοιπὰ ὅπως τὸ ἥμισυ τῆς ὄψεως, ἀλλὰ τὸ ἐπιπολῆς ὕδατος πίνουσιν, ὡς ὀλίγον καὶ ἔλαττον. Ἀραιάς, τὰς βλαπτικὰς εἶπεν. παρὰ τὸ ῥαίω, ὅ ἐστι φθείρω. ὅθεν καὶ ψιλοῦται, ἵν' ᾖ τὰς πολεμικάς, καὶ οὐ φροντίδας. Ἀραιὴ γαστήρ, τὰ λεπτὰ ἔντερα. Ἀραιῶ, ἀσθενῶ, ἀδυνατῶ. ἀραιὴν χεῖρα, παρὰ τὸ ῥαίω τὸ φθείρω, καὶ μετὰ τοῦ ἐπιταλικοῦ α, ἀραιά. ὅθεν καὶ δασύνεται. ἀπὸ οὖν τοῦ ῥαίω γίνεται ῥαιός, καὶ πλεονασμῷ τοῦ α ἀραιός. καὶ ἀραιὴ μεταθεῖσα τῆς δασείας τοῦ ρ εἰς τὸ α. ὡς καὶ ἐπὶ τοῦ ῥέζω, ἔρδω. Ἀραιώσει, χρηστὸν ποιήσει. Ἀραιοῖσι, λεπτοῖς, καὶ μακροῖς. Ἀραιόν, ψιλόν. Ἄραιθος, ποταμὸς Ἠπείρου, ὡς καὶ Καλλίμαχος λέγει. Ἀραιθυρέα, ἡ ἀραιθυρέη, καὶ φλιοῦς, ὄνομα πόλεως. ἐκλήθη δέ φασιν ἀπὸ φλιοῦντος τοῦ Διονύσου, ὡς φέρεται ἐν τοῖς τοῦ ἱστοριογράφου. ὅτι Ἄραντος ἥρωος ἦν ἐγένετο ἄσσα, καὶ θυγάτηρ ἀραιθυρέα, τούτους φιλοῦντι θηρατὰς φασὶ καὶ πολεμικούς. προαποθανούσης δὲ τῆς ἀδελφῆς, ἀπ' αὐτῆς ἡ χώρα ἐκλήθη. τὸ ὅπλον αὐτῆς, ἀραιθυρέας. ἡ δὲ τοῦ γεωγράφου ἱστορία φασίν, ὅτι ἀραιθυρέα, ἡ νῦν φλιασία πόλις φλιοῦντος, κειμένη μέσην συνοικίαν ἀργείων κλεωνῶν, καὶ κομφάλων. πόλιν δ' εἶχεν ὁμώνυμον τῇ χώρᾳ πρὸς ὄρει ὀνομαζομένῳ κελόσσῃ. εἰ δ' ὕστερον ἀνασταντες ἔκτισαν, πρὸ τριάκοντα σταδίων ἔκτισαν τὴν φλιοῦντα.

Ἄραιος, ὄνομα ποταμοῦ. Ἀραιόν, οὗ τὰ μόρια διάστασιν ἔχει πρὸς ἄλληλα. πυκνὸν δέ, οὗ τὰ μόρια ἐγγὺς ἀλλήλων κεῖται. τὸ δ' ἀραιόν, οἱ πλείους ψιλοῦσιν. οὐ γὰρ δασύνεται.

Ἀραῖον, κατάρατον. ὡς τό, ὁ πρόσθεν ἐλθών, ἣν ἀραῖος μοι γένοιτο. οἷον, ἀρὰν προσεμβάλλειν, καὶ κατευχάς. Σοφοκλῆς πολυείδῳ. Ἀραιότατος, βαρύτατος. ἀραιός, δυστυχής, ἄθλιος.

Ἄραιτ', λάβοι, κομίσειεν. ὡς τό, τίς οὐκ ἂν ἄραιτ' ἄχθος ἀνθρώπων φύσις. Ἀραίνω, φιάλῃ, ὁ ἀράκτης. Ἀρακίδας, εἶδος ὀσπρίου, παρὰ τῷ Ξενοκράτει. Ἄρακοι, ὄσπριον. τὸ δὲ αὐτό, καὶ λάθυρον. Ἄρακος, ἱέραξ, τρίορχοι. Ἀρακτῆρα, ἀμελατῆρα. Ἀράμ, ματίμιος. Ἄραμα, βόρβορος. Ἀράμαρ, μένειν. Ἀράμαια, τὰ ἀπόχυτα ὕδατα. Ἀράμεναι, ἐπιχάζειν. Ἀράμενοι, ἐπάραντες. καὶ ἀραμένη, ὡς τό, ἐπαράμενοι τῶν ὕβρεων. Ἄραμος, ἐμφαλιός. Ἀραίη, μισάγκυλον.

Ἀράνιλις, ὁ νῦν αἰγύπτιος. Ἄρανον, τὴν οὐσίαν, καὶ τὸ λακκόν. Ἀράντες, ἐπιγκλιάμενοι. καὶ παρὰ Θουκυδίδῃ, ἐπὶ θαλάσσης εἴρηται. ἔστι δ' ὅτε καὶ ἐπὶ γῆς. Ἀραντίσιν, ἐπακοῦσι, μακεδόνες. ἀρανίς, ἔλαφος. Ἀράξαι, συντρίψαι. Ἀράξης, ἀράξει, ὄνομα ποταμοῦ, παρὰ τὸ ἀράσσειν, ἐπεὶ ἀπὸ Καυκάσου καταρρήγνυται. καὶ ἀραξός, βοτάνη τις. Ἀράρισιν, ἠρεδίνυσιν.

Ἄραρ, ποταμὸς τῆς κελτικῆς, ἀπὸ τοῦ ἀραρίσκω ὑπὸ Ῥοδανοῦ ποταμοῦ. Ἀραρεῖν, ἁρμόσαι, πλέξαι. Ἄραρε, διάκειται, κεῖται. ἀρῶ, τὸ ἁρμόζω. ὁ μέλλων αἰολικῶς, ἄρσω. ὁ παρακείμενος ἦρκα. ὁ μέσος, ἦρα. καὶ κατὰ ἀναδιπλασιασμὸν ἀττικόν, ἄραρα. ἡ μετοχή, ἀραρώς. ὅτι φρεσὶν ἦσιν ἀραρώς. δωρικῇ τροπῇ τοῦ η, ἄραρα, καὶ ἄραρεν. Ἄραρε γὰρ ὅρκος ἐκ θεῶν μέγας. Ἀράρισκε, ἤρεσέ μοι ταῖς φρεσίν, ἢ ἥρμοσαι. καὶ ἄραρεν, ἡρμόσθη. τὸ πλαγίως δέδεκται, ἢ κέκριται. Ἀράρη, καὶ ἄραρον, ἐκ τοῦ ἀρῶ ῥήματος γίνονται. ἀραρὼς δέ, ἀπὸ τοῦ ἄραρα παρακειμένου. ὡς ἐκ τοῦ πέπληγα τὸ πεπλήγω, καὶ πέφυκα πεφύκω, καὶ τὰ ὅμοια.

Ἀραρίζειν, ἐπὶ τῶν κυνῶν παρ' ἀθηναίοις, ἀπὸ τῆς ἂρ φωνῆς. παρ' ἡμῖν δὲ ὑλακτεῖν. Ἄραριν, ἀράχνην. Ἀραρισαί, ὅς παραφυλάσσονται λιθίναι εἰς τὰς ῥαγάδας. Ἄραρες, ἔστιν ἄκος. Ἀραρίσκειν, ἐκ τοῦ ἀρῶ ῥήματος παρῆκται. ὁμοίως καὶ τιτύσκω, ῥύσκω, καὶ τὸ βιβρώσκω. Ἀραρίσκω, τὸ ἁρμόζω. Ἀρηρέμεν, ἁρμοσθῆναι. Ἀραρόν, πλήσιον, βέβαιον, κατάλληλον. Ἀρήρεται, δέχρυσον εἰς ῥάβδον. τουτέστι, τετεχνασμένοι τεκτονικῶς. λέξις γὰρ τεκτονική, ὡς καὶ Ἀντίπατρος ἀσφαλῶς, ἐκ τοῦ ἄραρον γάρ, ἡ μετοχὴ ἀραρώς. τουτέστι, τεχνασμένος. Ἀραρότως, ἁρμοζόντως, ἢ παγίως, καὶ ἀσφαλῶς.

Ἀρᾶσθαι, συστολὴν ἔχει τοῦ α εἰς α. ἀρηρῶ γάρ, τὸ ἐντελὲς οὕτως ἀρῶ, ἀρῶ. ὁ μέλλων ἀράσω, ὁ μέσος παρακείμενος ἦρα, καὶ ἄραρα ἀττικῶς. ἡ μετοχὴ ὁ ἀραρώς. καὶ τὸ θηλυκὸν ἀραρυῖα.

Ἀραρυῖαν, ἡρμοσμένην. Ἀραρυῖας, σανίδας, ἢ κολλητάς, τὰς θύρας φασὶ περιφραστικώτερον. Ἄρας, ἰδὼν ἄρας ἀθλῶντα. Ἀριστοφάνης ὥρμει. ἔνιοι δὲ τὴν βλάβην λέγειν αὐτὴν ἐσὸ μίσει. Ἄρας, ἐπάρας, ὡς τό, ἔρδειν ἄραντα Ἀχαιούς. ἀείρω, ὁ μέλλων ἀερῶ. ὁ ἀόριστος ἦειρα, ὥσπερ ἤγειρα. ἡ μετοχή, ὁ ἀείρας. καὶ κράσει τοῦ ε καὶ α, εἰς α μακρόν, γίνεται ἄρας. καὶ μένει τὸ ι προσγεγραμμένον, καὶ μὴ ἐκφωνούμενον, διὰ τὸ μέγεθος τοῦ ι. Ἀρὰς ἐκπονῶσι, ἰδίως κυρίως ἀναφέροντες παῖδας μετ' ἄλλης καταράσθαι ἴσως. Ἀράσαι, ἐμόσαι, διῶξαι.

Ἀρασάμενοι, ἀλλαξάμενοι, ποιοῦσαι ἀράς. Ἄρασθαι, ἀπολαύεσθαι, ἢ λαβεῖν. φροντίζεσθαι μεῖζόν τι ὄν, ἢ καθ' ἑαυτὸν

Ἀποχρώμενος, ἀπολυόμενος. Ἀποχρωμένοις, ἀπολυομένοις. Ἀπόχρη, σημαίνει τὸ ἀρκεῖ. ἀπὸ τοῦ χρῶ, χρῶμι, χρῆς, χρῆσι. καὶ κατὰ συγκοπὴν χρῆ, καὶ ἀπόχρη. Λουκιανός. οὐκ ἀπόχρη αὐτῷ τοσαῦτα ἔχειν; Ἀποχρημφθέντα, ἀποχωρισθέντα. Ἀποχρῶν, ἀπηλλαγμένος πρὸς τὰς πράξεις. Ἀποχρῶσα, ἀρκοῦσα.

Ἀποχρώντως, ἱκανῶς, ἀρκούντως, αὐτάρκως. Ἀποχωρεῖ, ἀντὶ τοῦ ἀφίσταται. καὶ ὑποχωρεῖ, ἀντὶ τοῦ ὑποχωρίζεται. Ἀποχώρησις, ἡ ἀποστροφή. Ἀποχωρῶ, τὸ ἀπέρχομαι, καὶ ἀπαλλάττομαι. ὡς καὶ Δημοσθένης, ἀποχωρῶν δὲ Κιλίκιος, τί αὐτὸ ἡμῖν ἀπαγγέλλει. Ἀποψάλλειν τὰς τρίχας, τίλλειν. ἐκ μεταφορᾶς τῶν χορδῶν. Ἀπόψηστον, τὸ ἀπόμακτρον τῶν μετρημένων σίτων.

Ἀποψηφίζονται, ἀντὶ τοῦ καταδικάζουσι. Δείναρχος, ἀποψηφίζονται αὐτὸν μὴ εἶναι πολίτην. καὶ τὸ πρᾶγμα Δημοσθένους ἀποψήφισιν καλεῖ. καὶ μετοχὴ, ἀποψηφισμένος. Ἀποψηφίζειν, τὸ περιελθεῖν εὐχομένους. εὐχαριστεῖσθαι δὲ λέγειν, ἀποπαίειν. Ἀποψύχειν, τὸ ἐκ ψυχῆς γίνεσθαι λειποθυμοῦντα, ὃ ἐστὶ θνήσκοντα. τάχα ἀπεψύχειν, ὡς οὐκ εὔφημόν ἐστιν, οἷον Ἡσίοδος. ἢ τὸ ἀναπνεῖν. οὐ τὸ ἀνέκαθεν, ἐμπνεῖσθαι. καὶ ἀναπνεῖν, ἤγουν ἐπανέρχεσθαι εἰς ἑαυτόν. Ἡσίοδος μὲν οὖν ἐπὶ ζωῆς, τὸ ἀποψύχειν σημεῖον τίθησιν, ὡς δῆλόν ἐστιν. ἐν δὲ τῷ ἐγρήγορσε θυμὸς ἀγέρθη, ὡς οἷά ἐστι τόπον καὶ ἰδίαν ψυχῆς· καὶ τὰς φρένας εἶναι δοξάζει. Ἀποψώμεθα, ἤγουν καθαίρομεν τὴν πνοήν. ἀποπτύομεν διὰ πτυκτῆς. Ἀριστοφάνης ἐν Πλούτῳ, ἀποψώμεθα δ' οὐ λίθοις ἔτι, ἀλλὰ σκορόδοις. ἤγουν, φύλλοις τοῦ σκορόδου. Ἄππας, ὁ βρεφικός. Ἀππελλάζειν, ἐκκλησιάζειν. Ἰωνικῶς. Ἄπρακτος, ἀεργαστος. Ἄπιος, ἀπόλαυσις. Λακωνικῶς. Ἀπία ὁδός. οὕτω καλεῖται, ἐπὶ ἀπιέναι φασίν, ὅς λαθόμενος ταύτην κατίσχουσι, καὶ ἄλλοτε ὄχεσιν κατοικοῦσιν.

Ἀπράγμονα λέγει Ἀριστοφάνης, τὸν ἰδιώτην, καὶ μέτριον τοὺς τρόπους. Ἀπράγμων, ἄπονος. ὡς τό, ἀπράγμονας δεῖ εἶναι τοὺς εὐδαίμονας. ὁ ἀπράγμων κατὰ ἕνα σημαίνει δύο. λέγεται γὰρ καὶ εἰς πρόσωπον, καὶ εἰς πρᾶγμα. ὡς ὅταν εἴπῃς ἀπράγμονα δοῦλον, δηλοῖ τὸν ἀνοικονόμητον, καὶ ἀπαιτοῦντα πρὸς τὰ δεόντα. ὅταν δὲ εἴπῃς ἀπράγμονα ζωήν, τοῦτο λέγεται ἀντὶ τοῦ ἀπραγματευτον, καὶ ἀκίνδυνον. Ἀπραγμονέστατος, ὁ μάλιστα πάντων ἔχουσα, ἀπολυπραγμονοῦντος. Ἀπραγμόνως, ἐλευθέρως. ὡς ζῶντες ἐπιτάσσοντες. Ἰάμβλιχος, εἶτα ὑμεῖς οὕτως ἀπραγμόνως ἀποθανεῖν; Ἀπραγμοσύνη, ἡ καταφρόνησις καὶ ἀμέλεια. ἡ ἀπραγμοσύνη, ἡ ἀργία. ἡ φυτόν, ὡς Ἀριστοφάνης ὁ γραμματικός, ἐν Ἀκαδημίᾳ φυόμενον. ἢ ἄλλως. Ἀπραγμοσύνη, ὑδροτος ἄνθος, οἷον πάντας εὐπαθεῖν δόξαν καὶ ἀσφάλειαν. ἡ ἀπραγμοσύνης, ἀντὶ τοῦ πολυπραγμοσύνης. Ἀριστοφάνης. Ἀπράκτως, ἀζημίως. Ἄπρακτα, ἀνεκλάλητα, ἀδιεξέργαστα. ἀλλὰ ταῦτα μὲν οὐχ οἷά τε εἶναι ἄπρακτα γενέσθαι. καὶ ἄπρακτα λέγεται, τὰ μέχρι πεπραγμένα. ὡς ἄπρακτος ἀνήρ, ὁ μὴ πιπράσκων ἑαυτόν.

Ἄπρακτος, ἀδιάπρακτος. Δυσφρης, δυσκατόρθωτος.

Ἀπρέπτως ὀλέσθαι λέγει Ὅμηρος, ἐφ' ὧν οὐκ ἔστιν ἰδεῖν. αἱ καὶ μαψιδίως λέγοιεν ἂν γίνεσθαι. κατὰ τὸ ἐλλειπτικόν, πίστιν τι αἴτημα εἶναι μαψιδίως. ἄγειν ἐφ' οἷς οὐκ ἔστι τίσις, ἢ ἐστιν ἀπόλαυσις. Ἄπρακτα, ἀνωφελῆ. Ἄπρατον, ἀφθόνητον. Ἀπριάτην, ἄνευ λύτρων. ἀπὸ τοῦ πρίαμαι. τὸ παθητικόν, πρίαμαι. τὸ ἐπίρρημα, ἀπριάτην, καὶ τροπῇ τοῦ δ εἰς τ, ἀπριάτην. ἡ ἀπριάτην, ἀνάποινον, ἐπιρρήματά φασιν οἱ παλαιοί, ἀντὶ τοῦ ἀπριάτως καὶ ἀναποίνως. ἤγουν δίχα τοῦ πρίασθαι, καὶ δίχα ἀποίνων. Ἀπρὶξ, τὸ ἰσχυρῶς κρατεῖν, καὶ μὴ ἀπολύειν. ἀπρὶξ ἐλάβετο λέγει, ἀλλὰ μὴ ἀμφοτέραις χερσί. καὶ παρὰ Πλάτωνι, ἀπρὶξ προσπεφυκότων ἐχυρῶς. ὁ οὐχ οἷόν τε πρίσαι, διὰ τὴν σύμφυσιν. Ἀπροβούλευτον, τὸ μὴ πρότερον εἰς βουλὴν, ἀλλ' εὐθὺς εἰς τὸν δῆμον εἰσφερόμενον ψήφισμα. ἐν δὲ καὶ ἀπροβουλεύτου, οἷος παράκειται ταῦτα δηλῶν. Ἀπροδιορίστως, ἀορίστως, μὴ πρὸς τὰ διωρισμένως. Ἀπροθέτως, ἄνευ προθέσεως. Ἀπροϊδὴς, ἀπροόρατος. ὁ ἄδηλος. Ἀπροΐτως, ἀνεξόδως. Ἀπροῖτος, ὁ τοῦ οἰκίου μὴ ἐξερχόμενος. Ἀπροϊδῶ, ἀφανῆ. Ἀπρονόμευτος, οὐ περιληφθείς. ἀπρονόμευτος γάρ, ἡ ἐκ τῆς χώρας ἁρπαγή. Ἀπρονόητος, καὶ ὁ μὴ προνοῶν, καὶ ὁ μὴ προνοούμενος. Ἀπροόπτως φέρεται λέξις, ὅταν οὐ προορᾷ τῶν ὅλων, καὶ ἀμφιβόλως ταύτην λέγεται. καὶ ἄπροπτος, ἀπροόρατος, λαθραῖος. Ἄπροπον, ἄπρεπον, ἀχρεῖον. Ἀπροσβόλευτον, γενναῖον. Ἀπροσβούλευτον, τὸ μὴ πρότερον εἰς τὴν βουλὴν, ἀλλ' εὐθὺς εἰς τὸν δῆμον εἰσαχθὲν ψήφισμα. οὕτω Δημοσθένης. Ἀπροσδεής, ὁ μηδενὸς ἐνδεής. Ἀπροσδιορίστως, ἀορίστως, μὴ πρὸς τὰ διωρισμένως. Ἀπροσίκετος, ἀπροσπέλαστος, ὁ ἀνεξίτατος. Ἀπροσεξία, ῥαθυμία. παρὰ τὸ μὴ προσέχειν ἑαυτῷ, ἢ τοῖς πρακταίοις. Ἀπροσήκει, ἄθεα.

Ἀπρόσκλητον, ὃ οὐδεὶς προσκαλεῖται, ἀλλ' εὐθέως πίπτει. ἢ ἀκουμάτιστον ἀπὸ τοῦ εἴλους. Ἀπρόσιτος, ἀπροσπέλαστος, ἀπάθητος, ἀχώρητος, ἀπροσέγγιστος, ἀδαχθὴς, μοχθηρὸς ἰδεῖν.

Ἀπρόσιτον, ἀθεώρητον. Ἀπρόσκλητος δίκη, ὁ μὴ τυχοῦσα τῶν κεκλημένων κλητόρων κατὰ τὸν νόμον, καὶ διὰ τοῦτο οὐκ ἂν εἰσαγώγιμος. Ἀπροσκοπεῖν, μὴ προορᾶν. Ἀπρόσκοπον, ἀπαρεμπόδιστον. Ἀπρόσμαχος, ἀπρόσβατος, ἄψαυστος. μαχέσασθαι γὰρ τὸ ἅψασθαι. ἀπρόσβατος. Ἀπρόσμαχοι, ἀκαταγώνιστοι. ὡς τό, Καὶ ῥωμαίοις ἐν πλείοσιν ἀναπεπτωκόσι, καὶ ἐν τῇ ἐκείνων οἰκείᾳ γῇ αἰσθέσθαι, ὅτι οὐκ ἀπρόσμαχοι εἶεν παρθένοι.

Ἀπρόσβατος, ἀνεπιβάτητος. Ἀπροσπέλαστος, ἀπροσέγγιστος. Ἀπροσπλάστως, ὃ οὐκ ἄν τις προσπλάσειεν. ἀπροσποίητον, ἀσυμπαθές. Ἀπροσποιήτως δίκην ἔλεγον, ὁπότε μιᾶς τινος ἐγκαλοῖεν, ὡς μὴ ἔχον προστάτην. Ἀπροστάτητος, ὁ μὴ ἔχων προστασίαν τινός. Ἀπροσίμαστον, ἀπροσδόκητον.

Ἀπρόσφορον, ἀνάρμοστον. Ἀπρόσωπον, κακόμορφον, ἀπειλής. Ἀπρόσωπος, οὐκ εὐπρόσωπος, ἢ ὁ προσωπείῳ μὴ χρώμενος, ὁ λαμβάνων. Ἀπροτίμαστος, ἄψαυστος, ἄθικτος. ὁ μὴ ἐπιβεβηκυῖα γυνή, ἀλλ' ἄθικτος διαμείνας. ἀλλ' ἵνα ἀπροτίμαστος ᾖ μαγείροισι. παρὰ τὸ μαίω, τὸ ζητῶ, ἡ μὴ ἐπιζητουμένη πρὸς μίξιν. ἢ παρὰ τὸ μάσσειν, τὸ ζητῶ, ὅθεν καὶ μαστός. καὶ ἀπερινόητος, ἀνεπιλάβητος, ἀψαυστος. ἢ ἀντὶ τοῦ ἀπρόσψαυστος, παρὰ τὸ μάσσεσθαι, τὸ ἅψασθαι. ἀφ' οὗ καὶ τὸ μασσᾶσθαι, καὶ μαστός, ὃ δεῖ βρέφεσι μαστεύειν. καὶ τὸ νεανικὸν θυμὸν, ὅτι ἔπαψεν. ἢ οὐ δυσχερὲς ἐφάψασθαι τοῦ Διομήδους. Ἀπροτίοπτα, κρύφα, λάθρα. ἀπὸ τοῦ ὄπτω, τὸ βλέπω. Ἀπροφάσιστος, ἀπροφασίστως.

Ἀπροτίοπτον, ἄφαντον. Ἀπρόφατι, κεῖται παρὰ τῷ Ἀπολλωνίῳ, ἀντὶ τοῦ ἀπροόρατι, ἀπροφάσιστοι. οἷον ἄνευ προφάσεως, ἢ ἐπιοχῆς, καὶ ὑποψίας. παρ' ὅθεν τοῖς προφασιζομένοις παρέχεται ὑπόθεσις. Ἀπροφάτως, ἀπροφασίστως, ἀπροφασίστως. Ἀπροφάτως, ἀθρόως, παρὰ τῷ Ἀπολλωνίῳ. ἢ ὁλοσχερῶς, ἀλιακτίτως. Ἄπτα, φάρμακα. Ἀπταίστως, ἀπρονοήτως. Ἀπτὰρ, ἀναχωρήσιον. Ἀπτάλιος, ὁ ἀπὸ κράτους. ἄπτα γάρ, πόλις κρήτης. Ἀπτεριάζεται, πίπτεται. Ἀπτερόεντας, νῦν ἐν συνηθείᾳ λέγεται. σημαίνει δὲ ἀπλῶς πίστιν, λέγων, ἀπαλλάξαι. Ἅπτει βρόχον, ἢ ἅπτεται, καὶ ἅπτει πῦρ. Ἀριστοφάνης νεφέλαις, ἅπτε καὶ τὸν λύχνον. ἢ ἅπτε, συνάπτε. Ἀπτὲς λόγους, λέγει. Ἄπτερα, ἀπτέρως, ταχέα, ἥδεα. καὶ ἄπτερα, πόδας κρήτης. Παῖ συφῶς ποτὲ πρὸς τὰς μούσας εἰς ὥραν ἐλθοῦσαι, καὶ ἐπτερωθεῖσαι, ἐκεῖ τὰ πτερὰ ἀπέβαλον. Ἀπτερέως παρ' Ἡσιόδῳ. οἱ δὲ τὸ ἀφορήτως. σημαίνει τὸ ἔτερον ἀκριβέστερον. οὕτως Ἡρωδιανός. ἐκ ταχέως, ἐβίμω, ἀφροντίστως. οἱ δὲ, ἀπροθύμως, ἐλαφρῶς, ἡλίως. ὅτι δὲ, ἠμελημένως. Ἄπτερος ἔπλετο μῦθος, παρ' Ὁμήρῳ. κεῖται δὲ τὸ ἄπτερος ἔπλετο μῦθος, εἰς ἰδεῖν παρὰ ταχέως

προθέσεως καὶ τοῦ ἄργος, τὸ ἀργεῖν. ὁ ἀναπαυόμενος, οἱ πρὸς λίβα ... φυλάττῃ. ὡς τὸ εὔκαλος, ἀπὸ τοῦ ἕκαλος, ὁ ἥσυχος. ὁ μὲν λόγος ἀπεργίσω. ἄλλοι γὰρ, οἱ ἀπεργίζουσιν ἀρούρας. Ἀπεργίσαι ἀρούρας, τὸ ἀφορίσαι καὶ ἀφελέσθαι. καὶ ἔστι παλαιοτάτη λέξις, λεγομένη καὶ ἐπὶ ὁρισμοῦ. ἐκ δὲ τοῦ τοιούτου ῥήματος, καὶ τὸ ἀπουρᾶς. ἤγουν μᾶλλον τοῦ προτέρου, τοῦ ἀπεργίζειν. ὁμοίως ἐρέθω ἐρεθίζω, καὶ ἐπλέω ἐπλοΐζω, ἀφρέω ἀφρίζω, καὶ τὸ τοιοῦτον ἀπεργίζειν. κατεργίζειν δὲ, τὸ κατ' οὖρον πλέειν. Ἀπεργίασεν, ἀφαιρήσονται. Ἄπις, ὁ μὴ ἔχων πόλιν. Ἀπουσία, ὅταν τις ἀπῇ. ἢ ὅταν τις ἀπέχῃ, καὶ ἡ ἀπόλαυσις. Ἀπουσίασα, τῆς οὐσίας μέρος δοῦσα. ὁ δὲ νεὶς τῇ αὐτοῦ θυγατρὶ ἀπουσιάσας. Ἀποφαίνειν λέγεται μὲν καὶ τὸ δεικνύειν, καὶ ἐξελέγχειν ἐπ' ἀληθείᾳ, βεβαίως ἐστὶ κακοῦργον ἢ φονέα, ἢ μοιχὸν, ἢ ἕτερον τι τοιοῦτον. λέγεται δὲ ἀποφαίνειν, καὶ τὸ πλουτεῖν. οἷον, ὑπὸ τιμωρίᾳ τῆς ἀποφαίνεως; καὶ ὡς παρ' Ἀντιφῶντι ἐν τετραλογίαις, καταφανῶ γενέσθαι, ὡς ἐνδίκως ἔπραξεν. καὶ ἐν πλούτῳ, Κἂν μὲν ἀποφήνω μόνον ἀγαθῶν ἁπάντων αἰτίαν ἐμὲ, ἀντὶ τοῦ δείξω καὶ παρασχῶ.

Ἀποφαίνομαι, τουτέστιν ἀποφαντικῶς λέγω. λαμβάνεται ὅπου, καὶ μὴ ὄντος. οἷον ἀποφαίνομαι ὅτι οὐκ ἔστιν ἐν ἐμοὶ μῖσος πρὸς τὸν ... ἢ ἀποφαίνομαι ἐλέησι. ... ἀπεφήναντο οἱ ... ψῆφον καταδικάζουσαν, ἢ σώζουσαν. καὶ τὸ πρᾶγμα, ἀπόφασις.

Ἀποφαίνουσιν, ἀποδεικνύουσιν. Ἀποφαντικὲς, ἐκ τοῦ φανερῶς κατασκευ... Ἀποφαντικὸν κυρίως, τὸ ἐκφαίνοντα ... νόημα. εἴτε διὰ ἀποφάσεως, εἴτε διὰ καταφάσεως. σημαίνει δὲ ... καὶ τὸν μὴ συγκαταθέμενον. Ἀποφαίνω, τὸ δείκνυμι. Ἀποφαίνας, κἂν μὲν ἀποφήνω μόνον ἀγαθῶν ἁπάντων οὖσαν αἰτίαν ἐμέ. Ἀπόφασις λέγεται μιᾶς τίθεται, ὅπου τῶν ἀντιφάσεων ἐστιν. ὡς τὸ, μοιχὸς δὲ οὗτος προσδιαλέγεται οὐδέν.

Ἀπόφαρσις, ἡ ἐντέρα, ὡς ... Ἀπόφασιν. φημί, τὸ λέγω, φάσω, πέφακα, πέφασμαι, ἐφάνθην ἐφάνθη. ἐκ δὲ τοῦ ἐφάνθη τὸ προστακτικὸν φάσω, φάσθω, φάσθε, καὶ ἀπόφασθε. φιλόθεος λέξις, καὶ δηλοῖ τὴν ἀντὶ τοῦ ἀπαγγέλλειν ἀποφαντικὸν λόγον. Ὅμηρος. ἴσχεσθε καὶ ἀπόφασθε, ἀπαγγείλατε, εἴπατε. Ἀπόφασις ἔσεσθαι, ἐξ Ὁμήρου εἴληπται, ὑποφήτης, ... γυναῖκα μὲν οὐκ ἀπολύσω. τὸ δὲ γυναῖκα οὐκ ἀπολύσω, ἀπόφασίς ἐστιν. ὥσπερ καὶ κατάφασις, τὸ ἀπολύσω γυναῖκα. ἀπὸ τοῦ Ὁμηρικοῦ ἀπόφημι, ἐδήλου τὴν ἀπόφασιν, καὶ ἡ ἀπόφασις. ἡ ἀπόφασις λόγος, ἐν ᾧ τὸ ἀληθεύειν ἢ ψεύδεσθαι ὑπάρχει. ὁ λόγος ἀποφαντικὸς ... ἀπόφασις ... οἷον ὁ ποταμὸς οὐκ ἀναρρεῖ ... ὁ δὲ ἄρχων, εἰσέρχεται. ὁ λόγος, σημαίνων τί ὅτι τινὶ μὴ ὑπάρχει. τὸ γὰρ τινὶ ὑπάρχει δηλοῖ ἡ κατάφασις, τὸ δὲ τινὶ μὴ ὑπάρχει, σημαίνει τὴν ἀπόφασιν. ἀπόφασις δὲ, καὶ πρότασις, καὶ πρόβλημα, καὶ ἔνστασις, καὶ συμπέρασμα, τὰ πάντα ταῦτα οὐδὲν κατὰ τὴν ὑπόστασιν ἀλλήλων διαφέρουσιν. ἡ δὲ διαφορὰ τούτων, κατ' ἐπίνοιαν, ἢ κατὰ ἴσον γίνεται χρῆσιν. ὅταν μὲν γὰρ ἁπλῶς ἀποφαίνωμαι, ὅτι ἡ ψυχὴ ἀθάνατός ἐστιν, ἀπόφασις λέγεται. ὅταν δὲ ὡς μέρος συλλογισμοῦ λαμβάνω, ὅτι ἡ ψυχὴ ἀθάνατός ἐστι, τὸ ἀθάνατον ... τότε πρότασις ἐστὶ τὸ λέγειν, ἡ ψυχὴ ἀθάνατος. ὅταν δὲ ἐνίσταταί τις πρὸς τὴν πρότασιν, ζητῶν πόθεν δῆλον ὅτι ἡ ψυχὴ ἀθάνατός ἐστι, τὸ τοιοῦτον ἔνστασις προσαγορεύεται. ὅταν δὲ πάλιν προτείνομεν ὡς ζητοῦντες, ἆρά γε ἡ ψυχὴ ἀθάνατός ἐστιν; καλεῖται πρόβλημα. ὅτι δὲ ἐκ προτάσεως συνάγεται, καλεῖται συμπέρασμα. Ἀπόφασις. Δημοσθένης τὸ ἀποφαίνειν διὰ γραμμάτων κατὰ μέρος ὁπόσην οὐσίαν ἔχει, ὅπερ ἐν ταῖς ἀντιδόσεσι μάλιστα γίνεται. καλεῖ δὲ αὐτὸ καὶ ἀπογραφήν. Ἀποφάσκει, ἀπαγορεύει. Ἀποφασμένον, ἀντὶ τοῦ ἀπολελογημένον. Δημοσθένης κατὰ Νεαίρας. ἀποφασμένως πολλοῦνται, ἀντὶ τοῦ φανερῶς. Ἀποφαυλίζοντες, ἐξευτελίζοντες, ἐξουθενίζοντες. ἢ ὡς πονηρὸν ἀποσκορακί-σαι. ἀεὶ τὸν ... φαῦλον ἐπὶ τῶν πονηρῶν τάττεται. Ἀποφέρεσθαι, οὐ μόνον τὸ πόῤῥω φέρεσθαι, ἀλλὰ καὶ τὸ ἀφελαύνειν, ἀποφέρειν. καὶ ἀποφορὰ, τὰ παρὰ τῶν δούλων δὶς μείζοσι παρεχόμενα χρήματα. λέγεται μέν τι ἀποφορά, καὶ ἡ δυσώδης ὀσμή. Ἀποφεύγων δὲ, τὸ ἀναχωρήσαντα ἔστι, μὴ δύνασθαι ὅπως ... ἐπιλαβέσθαι. Ἀποφηλικίζω, βιάζεται. Ἀπόφημι, ἀποφαίνομαι. καὶ ἀποφῆναι, ἀποδεῖξαι. Ἀπόφημος, δύσφημος.

Ἀπόφημαι τοῦτ' ἐμοί, ἀντὶ τοῦ εἶπε. προστακτικόν. Ἀποφῆσαι, ἀρνήσασθαι. καὶ ἀπόφημι, τὸ ἀπολέγω. Ἀποφθαράξασθαι, τὸ τὰς μυστηρίων εἰς τὸ ἔξω ἄγειν ... Ἀποφθαρείη μοι λόγος ... οὐκ ἀπαλλάγη ... δηλοῖ δὲ, τὸ μετὰ φθορᾶς ἀπόλοιτο μοι. Ἀποφθεγγόμενος, μαντευόμενος. Ἀποφθέγγεσθαι, τὸ σοφῶς ἀποτείνειν. Ἀπόφθεγμα, σύντομος λόγος, μάντευμα. Ἀποφθίμενον δύσιν εἰς ἅλας, πρὸς δυσμὰς ἐκεῖται τὴν δίκα φθορᾶς μεθιστάμενον δύσει εἰς ἅλα. ὡσαύτως ὁ παρίδης, καὶ ὁ ὀδυσσεὺς, καὶ ὁ ἡρακλῆς. συγκέκοπται δὲ τὸ ἀποφθίμενον ποιητικῶς. τὸ γὰρ ἐντελὲς, ἀποφθιόμενον, ἐκ τοῦ φθίω.

Ἀποφθίμενος. φθίω, φθίσω. τὸ παθητικὸν φθίσομαι. φθίμενος κατὰ συγκοπὴν, καὶ ἀποφθίμενος. Ἀποφθίμην, ἀπὸ τοῦ φθίω ῥήματος. ἐξ οὗ καὶ ὁ φθίσις, καὶ ὁ φθισίκος. καὶ ἀποφθίμην, ἀπολοίμην, ἀποθάνοιμι. Ἀπόφθιμον, φθαρέντα, ἀπολέσαντα. ἀπὸ τοῦ φθίω. Ἀποφθινύθουσι, φθείρονται. ἀπὸ τοῦ φθίνω φθινύθω. ὡς ἀπὸ τοῦ νέμω, τὸ νεμέθω. Ἀποφθίσθω. φθίω φθίσω, ἔφθικα, ἔφθιμαι, ἐφθίμην, ἔφθισο. τὸ προστακτικὸν, φθίσο φθίσθω, καὶ ἀποφθίσθω, ἀντὶ τοῦ ἀποθανέτω. Ἀποφλαύσω, ῥογχάσω, ψηφίσω καὶ σύρω. Ἀποφλαυρίζοντες, ἐξευτελίζοντες, ἐξουθενίζοντες. ἢ ὡς πονηρὸν ἀποσκορακίζοντες. Ἀποφλοιῶν, ἀπολεπίζεσθαι. Ἀποφοιβάζειν, ἀπομαντεύειν, ἢ χρησμωδῶν, μαντευόμενος. Ἀποφοιτᾶν, ἀποπηδᾶν, ἀναχωρεῖν. Ἀποφοίτησις, χωρισμός, ἡ ἀναχώρησις. Ἀποφοιτήσομαι μᾶλλον, ἢ ἀποφοιτήσω. οὕτως ἀπελεύσομαι, ἢ ἀπελεύσω. Ἀποφορὰ, ὀσμή. καὶ ἀποφορὰ λέγεται, τὰ μὴ φέροντα καρπόν. Ἀποφορᾶν, ἀντὶ τοῦ ἀπενεγκεῖν ... Ἀποφράδα ... τὰς ἀποφράδας ταύτας τῶν πολλῶν, ἀλλότριον εἶναι τὸ χωρίον. Ἀποφρὲς, ἀθεμιστός. Ἀποφορτίζεσθαι, ἀποῤῥίψασθαι, ἀποβαλεῖν τὸ φορτίον. Ἀποφράδες, κακαί, ἀποτρόπαιοι. Ἀποφράδες, αἱ ἀπηγορευμέναι ἡμέραι. ὡς οἱ παλαιοὶ ... φθίνοντος τοῦ μηνὸς, τετράδα ... ἐν αἷς τὰς φονικὰς δίκας ἐδίκαζον, διὰ τὸ οἷον ἀποφράττεσθαι τὸ τῆς πόλεως φῶς ἐν αὐταῖς. καὶ τοὺς πονηροὺς δὲ, ἀποφράδας ἐκάλουν, οἷον ἄνθρωπος ἀποφρὰς, καὶ βλέπων ἀηδίαν. παρὰ τὸ φῶ ῥῆμα, φράξω. ὁ μέλλων, φράσω. ἀποβολὴ τοῦ σ, ... καὶ ἀποφράς. Ἀποφυλακίζω, βιάζεται. Ἀποφώλιοι, ξένοι οἱ μὴ ἔχοντες φωλεόν. Αἰσχύλος. Ἀποφῶσαι ... Ἀποφυσήσας ... Ἀποφώλιοι, ξένοι, οἱ φωλεὸν μὴ ἔχοντες. οὕτως Αἰσχύλος. ἢ ἀπαίδευτοι. φωλεοὶ γὰρ τὰ παιδευτήρια ... οὐ μὴν πᾶς ἀπαίδευτος, ἀλλὰ κατὰ ψυχὴν μόνον. Ἀποφῶρας, κλέπτας. Ἀποχάζων, ἀποχωρῶν. Ἀποχαδῶ, ἀποθανεῖν, ἀπεῖχε. Ἀποχειρόβιοι, οἱ ἁλιεῖς, καὶ χειροτέχναι, οἱ τεχνῖται. Ἀποχειροβίων, τῶν ἐκ χειρῶν ζώντων, καὶ ταῖς τέχναις προσκειμένων. Ἀποχειροτονοῦσι, ἀποψηφοῦσι, ἀποδοκιμάζουσι. Ἀποχετεύσεται, μεταφέρεται. Ἀποχλωρίας, οὐκ ἀπ' αἰσχύνης, ἢ μανίας, ἢ χρὼς τῆς ὄψεως ἠλλοίωται.

Ἀποχηριάζειν, ἀπωθεῖν, ὡς χεῖρον ἐξελαύνειν. Ἄποχον, ἀπότοκον. οἱ δὲ ἄγριον, οἱ δὲ μάταιον. Ἀποχρᾶν, τὸ ἀπολαβεῖν τῶν χρημάτων παρὰ τοῖς ... Ἀποχρῶν, ἐξαρκῶν. Ἀπόχρεως, ... ἀπροφάσιστος.

Ἀποχύμ-

Ἀποτάδην, ἐκτεταμένως. Ἀποταμνόμεναι, ἀποκλείς.

Ἀποτάξιον, ἀπόπεμπτον. Ἀπόταξις, τὸ χωρὶς τετάχθαι τοὺς πρότερον ἀλλήλοις συντεταγμένους, εἰς τὸ ἀποτελεῖν τὸν ὡρισμένον φόρον. Δεινάρχος ἐν τῷ περὶ τῆς συμμοριῶν φορᾶς. Ἀποτάσσομαί σοι, ἐκποδὼν ποιῶ. καὶ δὲ λέγομεν, ἀσπάζομαί σε. οὕτω γὰρ οἱ ἀρχαῖοι εὑρίσκονται λέγοντες, ἐπειδὰν ἀπαλλάττωνται ἀλλήλων. Ἀπὸ ταυδιᾶτο, ἐξαίφνης. Ἀποταυρούμενος, θρασυνόμενος. Ἄποταφοι, οἱ συναριθμηθέντες ἢ ἐλευθέραν λοῦδον, καὶ μὴ συνταφέντες αὐτοῖς. Ἄποταφος, ἀντὶ τοῦ ἐκβεβλημένος τῶν προγονικῶν τάφων. Δείναρχος ἐν τῷ κατ' Ἀγασικλέους εἰσαγγελίᾳ. Ἀποτεθρίακεν, ἀντὶ τοῦ ἐνιλλον, ὃ ψιλὸν εἰργάσατο. κυρίως δὲ συκῆς ἀποφύλλισιν. θρῖα γὰρ τὰ φύλλα τῆς συκῆς. καὶ ἀποτεθρίακεν, ἀποπεφύλλακεν, ἀπεκάθαρεν. Ἀποτεθαυμένοι, ἀπηγριωμένοι. Ἀποτεθυμένοι, ἐκκαυμένοι. Ἀποτείνει, τὸ εἰς ταυτὸ τείνει, καὶ φέρει. ἀποτείνει καὶ τὸ ἐπεκτείνει μῆκος. οἷον, ἀπέτεινε τὸν λόγον μακρόν. ὅθεν καὶ χωρὶς τῆς προθέσεως γράφεται. ὡς παρὰ Σοφοκλεῖ, μὴ τεῖνε μακράν, ἀντὶ τοῦ μὴ ἀπότεινε. Ἀποτειχίσαι, τὸ βαλεῖν τεῖχος, καὶ ἀποκλεῖσαι τῆς ἐξόδου. ἀποτετειχισμένος δὲ, ὁ ἀπειλημμένος, καὶ ἀποκεκλεισμένος ὑπὸ τείχους. Δεινάρχος, καὶ Θουκυδίδης. καὶ ἀποτειχίζω, τὸ ἀποφράσσω. καὶ ἀποτείχισις, ἡ τῶν τειχῶν ἀφαίρεσις. Ἀποτέλεσμοι, οἱ κατὰ πόλεις ἡγεμόνες τῶν ἐκλείπων. Ἀποτεμεῖσαι, ἀποχωρήσειν. Ἀποτέμνω, τὸ ἀποκόπτω, αἰδοῖα. Ἀποτεφματίζω, τὸ ἀποτελῶ. οἷον ἐνταῦθα οἱ γραμματικοὶ ἀποτεφματίζουσιν. Ἀποτετίλλακα, καὶ ἀποτετίλμαι, οὐκ ἀπήρτηκα, οὐδὲ ἀπήρξωμαι. Ἀποτεθεῖσαι, ἀπολοῦσαι. Ἀποτετίνακται, ἀπέρριψαν. Ἀποτέτμηται, ἀποκέκοπται. Ἀπότευγμα, ἀποτυχία. Ἀποτεύξασθαι, ἀποτυχεῖν. Ἀποτηλόθεν, μακρόθεν. Ἀποτίθεμαι, παθητικῶς ἀεί. τὸ εἰς φυλακὴν καὶ τήρησιν τίθεμαι. οἷον ἀποτίθεμαι σῖτον. Ἀποτίθεται, συντάττει εἰς τὰς ἀποθήκας. Ἀποτίθεσιν, ἀποθήσουσι. Ἀποτίμαστος, ἀνύβριστος. Ἀποτιμήματα, αἱ πρὸς τὰς φερνὰς ὑποθῆκαι. Ἀποτιμήσασθαι, τὸ λαβεῖν εἰς ὑποθήκην. Ἀποτίμησις, τὸ ἀποτίμημα, καὶ τὸ τέλος, καὶ ὁ φόρος. Ἀποτιμηταί, καὶ ἀποτίμημα, καὶ ἀποτιμᾶν, ἢ τὰ ἀπ' αὐτῶν. οἱ μισθούμενοι τὰς τῶν ὀρφανῶν οἰκίας παρὰ τοῦ ἄρχοντος, ἐνέχυρα τῆς μισθώσεως παρεῖχον. ἔπεμπε δὲ ὁ ἄρχων ἐπιπέμπων τινὰς τιμησομένους τὰ ἐνέχυρα. τὰ μὲν οὖν ἐνέχυρα τὰ ἀποτιμώμενα, ἐλέγοντο ἀποτιμήματα. οἱ δὲ πεμπόμενοι ἐπὶ τῷ ἀποτιμήσασθαι, ἀποτιμηταί. τὸ δὲ πρᾶγμα, ἀποτιμᾶν. εἰώθεσαν δὲ καὶ οἱ τότε, εἰ γυναικὶ γαμουμένῃ προῖκα διδοῖεν οἱ προσήκοντες, αἰτεῖν παρὰ τοῦ ἀνδρὸς ὥσπερ ἐνέχυρόν τι τῆς προικὸς ἄξιον. οἷον οἰκίαν, ἢ χωρίον. ἐλέγετο δὲ ὁ μὲν διδοὺς τὸ ἀποτίμημα ἐνεργητικῶς, ἀποτιμᾶν. ὁ δὲ λαβὼν, ἀποτιμᾶσθαι. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἄλλων ὀφλημάτων. ὡς ἡ Δημοσθένης ἐν τῷ κατὰ ὀνήτορος λατίρο, ἢ Λυσίας ἐν τῷ πρὸς Διογείτονα ὑπὲρ μισθώσεως οἴκου, εἰ γνήσιος.

Ἀποτιμᾶ, ἀποτίθησιν. Ἀπότιμος, ἄτιμος. Ἀποτιμοτέρους, τοὺς ἀτιμοτέρους λέγουσιν Ἴωνες. Ἀποτινύτη, ἀπολύσαιτο.

Ἀποτίνω, τιμωρίαν ὑπέχω. Ἀποτίνυται, τιμωρεῖται. Ἡσίοδος, ἢ ὅγε τεῖχος ἢ ὄλεσεν ἐν πόντῳ Κρονίδης ἀποτίνυται αὐτῶν.

Ἀποτίπλασον, ἀποτίπλασον. Ἀπολῦσαι, ἀπολῦσαι.

Ἀποτίσεις χοῖρε γίγαντα, ὃ κατίφωτο. οἷον, ὧν κατέφαγες ἀποδώσεις πλείονα. ἐπὶ τῶν μείζονα τιμωρίαν ὧν ἡμαρτον διδόντων. Ἀποτίσειν, τιμωρήσειν. Ἀποτμάγουσι χαράδραι, ἀποτέμνουσιν αἱ ὑφορρέουσαι. Ἀπότμημα, ἐκκεκομμένον.

Ἀποτμήξαντος, ἀποτεμόντος, ἀποχωρισθέντος. Ἀποτμότατος, ὁ δυστυχής. πότμος γὰρ οὐ μόνον ὁ θάνατος, ἀλλὰ καὶ ἡ τύχη. παρὰ τὸ πίπτειν, ὅ ἐστι πεσεῖν. ἀφ' οὗ καὶ ἡ συμπτωσις. τὰ δὲ ἐν τύχῃ συμπίπτειν λέγεται, ἤγουν συμβαίνειν. ὅθεν εὔποτμος μὲν ὁ εὐτυχής. κακόποτμος δὲ, καὶ ἀποτμότατος, ὁ κακοτυχής. Ἄποτμε, δυστυχέστατε. Ἀπὸ τοῦ, ἀπὸ τίνος.

Ἀποτόκους, τὰς ἀπογεννήσεις τῶν γεννημάτων. Ἀποτμηθῆναι, τέξαι, καὶ ἀπόλοιπον πενταέθλου. Ἀποτομή, ἀπόλοιπον μικρόν, ἀποτετμημένον. Ἀπότομοι, οὐκ εὔεργοι. Ἀπότομον, τὸν μὴ ἄξιον προσόψεως. Ἀποτόμως, αὐστηρῶς, σκληρῶς.

Ἀπὸ τοῦ πράγματος, ἀντὶ τοῦ ἀπόδοσιν. Δημοσθένης κατὰ Ἀνδροτίωνος. Ἀποτραγεῖν, ἤγουν φαγεῖν. Ἀποτράγημα, λείψανον, βρῶμα. Ἀποτραχηλίζοντες, ἀπάγχοντες. Ἀποτραχύνεται, θρασύνεται. Ἀποτρέπει, ὁ κωλύων ὁδοῦ. Ἀποτρίπτεσθαι δεῖ τὰς ἐξ ὀνείρων λύματα, ποτάμῳ ἀπονίπτεσθαι, ἀπολυμαίνεσθαι. Ἀποτριχῶσαι, χώραν. Ἀποτρίχει, ἀντὶ τοῦ ἐκφεύγει. Καὶ ἀποτρίχω, ἀντὶ τοῦ καταφεύγω, ἢ προστρέχω. ὡς ὁ μέγας Βασίλειος, δέον ἡμᾶς ἰατροὺς ἀδελφοὺς ἐν καιρῷ παρασμοῦ, μὴ πρὸς ἀνθρωπίνην ἐλπίδα ἀποτρέχειν. Ἀποτρίψαι, διαλῦσαι φιλονεικίας. Ἀποτριάσαι, πληγὰς τρεῖς δοῦναι. Ἀποτριβόμενος, ἀποπαλύζων, ἀπείργων. Ἀπότριχα, οἱ ἄκοοι. τῆς ἀπὸ προθέσεως ἀντὶ τοῦ α στερήσεως κειμένης. ὡς ἐν τῷ ἀποκηδεύσαντα ἀντὶ τοῦ ἀκηδεύσαντα, καὶ ἀφροδισιαστικά. καὶ ἀπόλεμον ἔθος, ἀντὶ τοῦ ἄτιμον. Ἀποτριψάμενοι, ἀπορριψάμενοι. Ἀπὸ τρίψις, μάλαξις, ἀπόλυσις, ἀρίστευσις, προάγγελσις, τήρησις, κάθαρσις, κλάσις, διάφαξις, ἐφόρμησις, ὅπλισις, ῥίγωσις, κόσμησις, βλάψις, ἐπαίνεσις, ψόφησις, διάρησις, γυμνάσις, λάλησις. ὁμοιοκατάληκτα ὀνόματα. καὶ ἀποτριβόμενος, ἀντὶ τοῦ ἀποπαλύζων. ὁ δὲ ἀποτρίβεσθαι ἐν ἱκανοῖς ὤν, ἦν εἰς τοὺς πολεμίους ἀποτριβόμενος. Ἀποτρόπαιος, φαῦλος, μίσους ἄξιος.

Ἀποτρυπᾶσθαι, ἀποτρέπεσθαι. Ἀποτροπιαζόμενοι, ἀποφευγόμενοι, καὶ ἀποστρεφόμενοι, καὶ μισοῦντες. Ἀποτροπιάσματα, ἐξιλασμάτα ἀποτρέποντα τὸ φαῦλον. Ἀπότροπον, ὃ δεῖ ἀποτρέπειν. Σοφοκλῆς Οἰδίποδι. ὁ ἀπόστροφον, τὸ οὐκ ἐπιστρέφον εἰς τὴν πόλιν. ἀποτετραμμένον τοῦ ἄστεος ὑποστροφῆς.

Ἀπότροπος, ὁ κεχωρισμένος, καὶ οἷον ἐξόριστος. φησὶ γὰρ Εὔμαιος ἐν Ὀδυσσείᾳ, αὐτὰρ ἐγὼ παρ' ὕεσσιν ἀπότροπος. ἐφ' οἷς ἑρμηνεύων τί ἐστιν ἀπότροπος, ἐπάγει, οὐδὲ πόλινδε ἔρχομαι. Ἀπὸ τρόπου, ἔξω τοῦ τρόπου. Ἀπότροφος, μακρὰν τεθραμμένος. Ἀποτρόφους, τοὺς μὴ ὄντας τροφίμους τῆς φιλοσοφίας. Ἀπὸ τροχοῦ, ἐξ ἅρματος δρόμου. Ἀποτρυγᾶν, λάθρα ἀμᾶν. Ἀπότρυγον, ἄλφιτον. Ἀποτρῦσαι, ἀπογράψαι.

Ἀποτρυπᾶσθαι, ἀποτρέπεσθαι. Ἀποτυγχάνω, ἁμαρτάνω, ἀμηχανῶ, διαψεύδομαι. Ἀποτυλῶσαι, ἐκτῖψαι ὅπλον.

Ἀποτυμπανίσαι, οὐχ ἁπλῶς τὸ ἀποκτεῖναι, ἀλλὰ τυμπάνῳ πλῆξαι. ἔστι δὲ ξύλον, ὅπερ σκυτάλην καλοῦσι. τὸ γὰρ παλαιόν, ξύλοις ἀνῄρουν τοὺς πολεμίους. ὕστερον δὲ τῷ ξίφει, πᾶν τι δ' ὕλος εἶς πᾶν τι ἐλεύθερος. Ἀποτυμπανισθῆναι, ταυτόν ἐστι τῷ τὰς κεφαλὰς ἀποκοπῆναι. Ἀποτυχισθεὶς, ἀντὶ τοῦ ἀπολιθωθείς. καὶ ἀποτυχισθὲν, ἐπὶ τοῦ ἀποσπλαγχνῶσαι τὸν λίθον ἀποτόχῳ. ἔστι δὲ λιθοξοϊκὸν σιδήριον. Ἀποτύψονται, παύσονται τοῦ τύψασθαι. Ἀπ' οὔατος ἄγγελοι ἦλθον, παρὰ Καλλιμάχῳ, τουτέστι λόσφημοι, μὴ ἄξιοι τοῦ ἀκουσθῆναι, ἢ μακρὰν τῆς ἀκοῆς. Ἀπ' οὔλιος, ἀπὸ τοῦ ἰουλοφόρος. Ἀπουραγός, ἀπὸ τῆς κεφαλαίας. Ἀπὸ Ἀπουσίας, ἀπὸ δορός, ἀπὸ δόρατος βολῆς, ὁ μέγιστος βολῆς διαστάσεως. Ἀπούρας. ἀπουρίζω ἐστιν, ἀντὶ τοῦ ἀφορίζω, καὶ ἀποστερῶ. ὁ μέλλων, ἀπουρίσω. ὁ ἀόριστος, ἀπούρισα. ἀφ' οὗ μετοχὴ ἀπουρίσας, καὶ κατὰ συγκοπὴν ἀπούρας. ἀπούρας ἐλεύθερον ἦμαρ, παρὰ τῷ ποιητῇ. ὁ ἐστι δουλεύσας. καὶ ἀπούρας, ἀφελόμενος, ἢ ἀφαιρήσας. Ἀπουργοί, γωνίαι εὐτελεῖς, εἰς ἃς τὰ σαρώματα σωρεῦον. Ἀπορία, ἡ ἐξ ἐναντίων γνωμῶν ἰσορροπία. οἷον ἀπὸ δεδμῆς ἡ ἀκολουθῶν γινομένη. Ἀπορίζω, ἀντὶ τοῦ ἀφορίζω, καὶ ἀποστερῶ ἀπὸ τῆς ἀπὸ προθέσεως

ἄλλα δὲ, λοιπῷ. κατακλεὶς δὲ τοῦ χόρου, γωνιῷ. Ἀποπνίσαι, ἀπομάξασθαι. Ἀπόπλειθρον, ἀπόῤῥιπτον, ἀπόβλητον, κατάπτυστον, ἔκβλητον. Ἀπόπτυστον, μισητόν. Ἀπόπτιον, ἀντὶ τοῦ πέπτω πατῶν, καὶ συντακτῶ πάση, τὸ ἀπαπειστόμενον. Ἄπυρος ἀνθρωπος, ὁ ἐκ ἀνθράκων πυρώμενος. Ἀπυχυρίζων, ἀπεσπασμένος ἔθος. Ἀπορῖται, προπτέσθαι, παρὰ τῷ ἱπποκράτει. Ἀπορρεῖ, ἀλαμεῖ, ἀγωνᾷ. Ἀπορημαλικὰ πάντα, ἅ τινα ἀπορίαν ἔχοντα, κατὰ ἀποστασιακὸν λέγεται. οἷον, ὦ ζεῦ τί χάσομαι, τίς γένωμαι, καὶ ποῖ τράπωμαι. Ἀπορῆσαι, ἀφορῆσαι. Ἀπόρ θεῖν, διακόσιοι, ἀναιχμάλωτοι. Ἀπ' ὀρθῆς, ἐπὶ ὑψηλοῦ.

Ἀπορία, ἀπονοία, ἡ ἡ καθ' ὑπεροχὴν λέγεται ἀδυναμία, ὑπόθεσις. Ἀπορούμενοι, ὁρμῶντες. Ἀπόρεις, ἀμηχάνοις. Ἄπορον λέγεται, οὗ πόρον καὶ λύσιν οὐκ ἔστιν εὑρεῖν. Ἄπορος χώρα, ἀπόρατος. καὶ ἄπορος, ἀχρήματος, ἀκτήμων. Ἄκληρος, πένης, τοῦτον ὁ ἐνδεῶς πράττων, ἀπόρως πράττων, ἐν πενίᾳ καθεστηκὼς, στενάζων. ἐξ ὧν πενία, ἀκληρία, ἀπορία, ἀχρημοσύνη, ἀχρηματία, ἀκτημοσύνη, σπάνις, ἔνδεια, ἐπίλειψις. καὶ ἄπορος κορίνθιος, ὁ ἀδιεξίτητος. πόρος γὰρ, ὁ περάσιμος τόπος. Ἀπορουμένοι, πενόμενοι. Ἀπορούντως, ἀμηχανοῦντως. Ἀπορρῦλαι, ἐρωτᾷν. ἀπορούντος δὲ αὐτοῦ τίνι μηχανῇ ἀνέλθῃ· τὴν δὲ φάναι.

Ἀπόρυσι, κεῖται ἐν ἐθνικοῖς χ', ἀντὶ τοῦ ὄρυξι. ὁ ἀπέρυσαν, ἀφείλκυσε. Ἀποῤῥαγοί, οἱ καθαρμοί. Ἀποῤῥαγεὺς, ἀποκομιστής. Ἀποῤῥαίνειν, τὸ ἐκ πολλῶν ὀλίγα διδόναι. Ἀποῤῥαίσαι κτήματα, λέγεται τὸ φθεῖραι καταναλῶσαι. γίνεται δὲ, ἀπὸ τοῦ ῥαίω, ἀφ' οὗ καὶ ῥαιστὴρ, ἡ σφῦρα. Ἀποῤῥᾳκίω, ἐξ ἀποχέω.

Ἀπόῤῥαξιν, παιδιὰν διὰ σφαίρας. Ἀποῤῥὼξ, ἀποῤῥώγματα, ἀπόσπασμα, ἀπότμημα. Ἀποῤῥάσαι, ἀφελέσθαι, κόψαι. Ἀποῤῥίψαντες, ἀπομυξάμενος, ἀπόμοιραν λαβεῖν. Ἀποῤῥεῖν, ἀποτρεπεῖν. Ἀποῤῥεῦσι, ἀντὶ τοῦ ἀποπτυσθῇ. οὕτω πλάτων. Ἀπόῤῥημα, ἀπαγόρευσις. Ἀποῤῥῆσαι, τῶν ἐπιχωρίων ἀποῤῥεῖσθαι. Ἀποῤῥήσω, λυμάνω. Ἀποῤῥησία, ἀντὶ τοῦ ἀπορία. οὕτως εὔβουλος. Ἀπόῤῥησις, ἡ ἀπαγόρευσις. ὁ δὲ οὐκ ἤνεγκε τὴν ἀπόῤῥησιν, ἀλλὰ θυμοῦ πληρωθεὶς ἔφη. σημαίνει δὲ καὶ τὴν ἀποκήρυξιν. Ἀποῤῥήσομαι, ἀποῤῥήξομαι, ἀπέρρωγα, ἀπέῤῥηγα. Ἀπόῤῥητα, τὰ ἀπορρήματα ἐν τοῖς νόμοις, ἀκατάληπτα, ἀπόκρυφα, ἀνεκλάλητα. Ἀπόῤῥητον, ἄφρασον. μὴ δυνάμενον ῥηθῆναι. Ἀπόῤῥητος εὐμορφία, ἡ μεγάλη.

Ἀπόῤῥητος, ἀπηγορευμένος. καὶ ἀπόῤῥητως, ἀφράστως.

Ἀποῤῥῖψαι, ἀποβαλεῖν. Ἀποῤῥίψας, ἀποσείσας. Ἀποῤῥοὴ, τὸ κατὰ ἀποκοπὴν ῥέον, ἢ ὁ λεγόμενος σιαλισμὸς, ὁ πτυελισμὸς ἀποῤῥὼξ λέγεται. Ὅμηρος, Στυγὸς ὕδατος ἐστὶν ἀποῤῥώξ.

Ἀποῤῥοὺς, σαπρός. Ἀπόῤῥοια, ἡ ἀπόῤῥευσις τοῦ ὕδατος.

Ἀπόῤῥον, πάλιν. Ἀποῤῥύω, ἀποῤῥίπτω, ἀποξύω. καὶ ἀποῤῥυέντων, ἀντὶ τοῦ ἀποπεσόντων. Ἀποῤῥυέντα, ῥέω, καὶ πλεονασμῷ τοῦ υ ῥεύω. ὁ μέλλων, ῥεύσω. ὁ ἀόριστος, ἔῤῥευσα. ὁ ἀντὶ τοῦ ἀόριστος, ἔῤῥυον. ὁ παθητικὸς, ἐῤῥύην, ης, η. ὁ μέλλων, ῥυήσομαι, ῃ, ηται, καὶ ἀποῤῥυήσεται. Ἀποῤῥυπαίνω, ἀποσμήχω. Ἀποῤῥυφθεὶς, ἀντὶ τοῦ ἀποσμηχθείς. Ἀποῤῥῶγες, αἱ ῥαγάδες καὶ σχισμαί. Ἀποῤῥῶγες, εἰς χαὶ ἀπεσχισμένοι, ἀπεῤῥηγμένοι, ἀπεσπασμένοι ἀπ' ἀλλήλων. ἀπὸ τοῦ ῥὴξ, καὶ τροπῇ ῥώξ. ἀφ' οὗ κλίνεται ῥωγὸς, καὶ μετὰ τῆς ἀπὸ προθέσεως, ἀποῤῥώξ.

Ἀποῤῥὼξ, ὅ ἐστιν ἀπόῤῥοια. κεῖται δὲ ἡ λέξις ἐν ὀδυσσείᾳ. λαμβάνεται δέ ποτε, καὶ ἐπὶ πετρῶν ἀποκεχωρισμένων ἐξ ἀλλήλων. οὕτω γὰρ ἀποῤῥὼξ πέτρα ποταμῷ προσβάλλων λέγεται. χρῆσις δὲ πλείστη τῆς μιᾶς πολλαχοῦ. ἔστι καὶ καταῤῥὼξ λεχθεῖσα ἂν κατὰ τὴν συνεκδοχήν. παρ' ᾧ προσβάλλει μὲν, ὡς καὶ παρ' Ὁμήρῳ, οἱ καὶ πρόσθε. καταῤῥῶγες δὲ, καὶ διὰ τὸ μὴ ἀντέχειν κάμνειν, ἀποῤῥηγνύσαι πέτραις εἰς ῥύχμους. ἡ ἀποῤῥὼξ, καὶ ἐπὶ ποταμῶν τίθεται ποτέ. καὶ ἀποῤῥῶγες πέτραι, αἱ ἀπ' ἀλλήλων ἀπερρηγμέναι. διόρ

δὲ, ὅτι τὸ ἀπλοῦν τοῦ ἀποῤῥὼξ, ἤγουν τὸ ῥὼξ, οἱ κύνες ἄλλοι λέγουσι ἀπόῤῥοιαν, ἀλλὰ φαλαγγίου εἶδός ἐστι. καὶ ἐπὶ βότρυος ῥῶγα ῥώγιον, βορβορόν ἐστι. ῥῶγες γὰρ, μετὰ τῆς μίξεως. καὶ Ὅμηρον ἐπὶ δὲ τῆς σκολιᾶς ῥᾶον φαμέν. πάντων δὲ τῶν ὄντων προσηγορίαι εἰσὶ ἃ ῥίζαι, ἃ μὲν συστέλλονται τὸ ω εἰς ο, ἃ δὲ φθόνον τὸ ω εἰς ου. καὶ ἀποῤῥὼξ, τὸ ἀπόῤῥημα καὶ ἀπόσπασμα.

Ἀπαρῶ, ἀμελετῶ, χρῶμαι, παραβάλλομαι, λογίζομαι. ἀποβλέπω. καὶ ἀπο, ὁ πρὸς ἐμαυτὸν, ὁ δὲ διακρίνομαι καλὸν ἀντικαλῶ. καὶ ἀπο, ὁ πρὸς τὸν. καὶ ἀπορῶ καὶ εὐπορῶ, γενικῇ συντάσσεται. Ἀπορίαι, ἀντὶ τοῦ πρὸς ἓν σύνδεσμα πόρον ἐχόντων. ἴσως ἐν τῷ ἐπὶ μνηστῆρι θυγατρὶ. Ἀποβάς, ἀποβατικῶς, παρὰ τῷ ἱπποκράτει. Ἀποβλυκάσασα, ἐπισχεθεῖσα, ἀποφυγοῦσα τὸν λιμένα. Ἀποσπάσας, διαδραμὼν, ἀντὶ τοῦ φράξαντα τὸ τρῆμα. Ἀποσβέω, παύω. Ἀποσβέω, σιωπάω. Ἀποσβεννύμεναι ἀποφαινεῖσθαι λύχνοι ἀποσβεσθῶσι. ὁ μέλλων σβέσω, καὶ ἀποσβέσω. Ἀποσείομαι βάρος, ἤγουν ἀποσείσομαι, ἀπωθοῦμαι καὶ διωθοῦμαι, τὸ διώκομαι καὶ ἀποσφάζομαι.

Ἀποσεσεισμένοι, ἀποῤῥιφέντες. Ἀποσεμνύνει, μεγαλύνει. Ἀποσημαίνεται, παρὰ τῷ δευτέρῳ, ἀντὶ τοῦ ἀποσημαίνεται σημεῖον, ἀποσφραγισθεῖσα λίθους, ἐν τοῖς θησαυροῖς σιτίων. Ἀποσιωπᾶσαι, τὰ σῖτα ἀποσβέσονται βρωθέντα.

Ἀποσκευάζεται, κατακλείεται ἐν σηκῷ. Ἀποσημαίνω, ἀποδιώκω. Ἀποσημαίνεσθαι, ἀφομοιοῦσθαι. καὶ ἀποσημαίνεσθαι, φανερῶσαι, ἐξαπατῆσαι. Ἀποσιτεῖν, ἀποδιώκειν. Ἀποσιτεῖν, ἀποσιμοῦν, πρὸς τὸ σιμὸν. σιμὰ δὲ καλοῦσι, τὰ ποιαῦτα χωρία. λέγεται καὶ ἐπὶ πάντων τὰ ἐκ διασήματος ἐκβάλλειν. καὶ ἐπιπορευθεὶς τὸ ἀποσιμοῦν τῶν ἐκεῖ. Ἀποσιμῶσαι, τὸ ἐπικύψαι, καὶ τῶν ποδῶν προσθεῖναι γυμνώσαι. οὕτω φίλιππος. Θουκυδίδης δὲ, τὸ μετεωρίσαι τὰς ναῦς. Ἀποσιτία, ἀποσιτίαν καὶ ἀνορεξίαν ποιοῦσα, παρὰ τῷ ἱπποκράτει. Ἀπόσιτος, ξένος. καὶ κακόσιτος, ὁ ἀπεσχημένος ἀπὸ σιτίων, καὶ ὁ ἄσιτος.

Ἀποσιώπησις, σχῆμα λόγου. Ἀποσκαρίζοντα, τὸ σκαίρειν τὰ ἀνθρώποις ἄκρα, σκιρτῶν. Ἀποσκεδαννύειν, ἀπομυκτηρίζειν. Ἀποσκαρίζειν, διακεχυμένως γελᾶν.

Ἀποσκηνοῦσθαι, παιδιὰν ἔρχεσθαι ἐρχέσθαι. Ἀποσκεδασθεὶς, ἀπόρως ἐποίει. Ἀποσκευάζομαι, τὸ ἀποβάλλω καὶ ἀποτίθεμαι. Ἀποσκευασάμενος, ἀποχωρισάμενος, ἀποβαλόμενος, ἀποῤῥιψάμενος. Ἀποσκευάζονται, ἀποφέρονται.

Ἀποσκευάσαι, ῥυπῶσαι. Ἀποσκευὴ, ἡ ἐπισκευὴ μικρὰ. τὸ παρ' ἡμῖν λεγόμενον τοῦτο, τὰ ὑπομήρια. συνέταξε δὲ φύσις καὶ τῶν ἀποσκευῶν. Ἀπόσκηψις, ἀπόχασις, παρὰ τῷ ἱπποκράτει. Ἀπόσκημα, ἀπέσκημα. λίθος ἀργός. Ἀποσκληρυνθέντος, σκληροτυνθέντος, σκίῤῥος γὰρ ὁ γόνος. Ἀποσκληροῦται, ἀποσκληρύνεται. καὶ ἀποσκλῆναι, ἀποθανεῖν. Ἀποσκληρύνω, σκληρύνω, παρὰ τῷ ἱπποκράτει. Ἀποσκόλυθι, ἀπολύειν. καὶ ἀποσκόλυπτον. φασὶ καὶ τὸν ἀπεστερημένον τὸ αἰδοῖον, ἐπεσκολυμμένον. Ἀποσκοπεῖν, ἀποσκοπεῖν, ἀπὸ σκοπιᾶς σκοπεῖν, ἃ ἀποσκοπεῖν. Ἀποσκυθεῦσαι, κάλλιον, ἢ ἀποσκυθεῦσαι.

Ἀπόσκηνος, ἀποικος σκηνῶν. Ἀποσκυθίζειν, ἀπολυμαίνεσθαι. Ἀποσκυθισμὸς, ἐξυβρίσεως. Ἀποσκόλμεσαι, ὀργίζω, χολοῦ, μισῶ. Ἀποσκυλίζομαι, ἀπομέμφομαι.

Ἀποσκυθίσαι κυρίως, τὸ ἐκτεμεῖν τὸ ἐπὶ κεφαλῆς δέρμα σὺν θριξί. καταχρηστικῶς, τὸ ἀποκεῖραι. Ἀποσκώμματα, μυκτηρίσματα. Ἀποσμήχω, αἰσχυλεῖ. ἀποκαθαίρειν. Ἀποσμήχουσι, τῇ σμίλῃ ῥίζαι, καὶ ἐκκαθαίρουσι. Ἀποσοβεῖ, ἀπελαύνει, ἐκδιώκει. Ἀποσοβῶ, οὐ μόνον τὸ ἀποδιώκω, ἀλλὰ καὶ τὸ σοβαρῶς καὶ θρασέως ἀπέρχομαι. ὡς τὸ, Καὶ ὡς ὁρᾶς, ὅλα ἀποσοβῶ παρ' αὐτόν. Ἀποσον, τὸ ποσότητι ἢ μέτρῳ οὐχ ὑποπίπτον. Ἀποσπαλάττων, ἀποκτείνων.

[illegible]

ὑπὸ ἐκείνων χειρόμακτρον. ὃ μετὰ τὴν ἐργασίαν ἀπέῤῥιπτον ταῖς κυσίν. ἢ ἡ τῶν κυνῶν φορβή. Ἀπομάκτης, παρακανθαριστής. Ἀπομάκτρα, ξύλα, τὰς σκυτάλας, ἐν αἷς ἀποψῶσι τὰ μέτρα. Ἀπομάσσειν, τὸ ἁπλῶς ἀποσπογγίζειν. ἀπομάσσειν δὲ, τὸ ἄνω ποιεῖν, τὸ περὶ κεφαλήν. ἐκμάσσειν καὶ ἐκμάσσεσθαι, τὸ ἀποσπογγίζειν. μάλιστα δὲ τοῦ ἱδρῶτος τόπον αἴρειν λευκόν. ὅθεν καὶ ἐκμαγεῖον κατὰ τοὺς παλαιοὺς, τὸ ἀντίτυπον, σφραγὶς, εἰκών. τὸ δ' αὐτὸ, καὶ ἔκμαγμα. ἐκ δὲ τοῦ διεύτου μάσσειν, καὶ ἀπομάγματα, καὶ ἀπόμακτρα, τὰ ἀποκαθάρματα. ἡ μαγδαλιὰ παρὰ τὸ κυμαῖ. παρὰ δὲ καὶ ἄλλοις ἀπομαγδαλιά. καὶ ἀπομαγδαλὶς, ψωμὸς εἰς ὃν ἐκματτόμενοι τὰς χεῖρας μετὰ τὸ δεῖπνον, ἐῤῥίπτον κυσί. Παυσανίας δέ φησιν, ὅτι ἀπομαγδαλιά ἐστι σιτὸς, ὃ ἐσθίειν ἐπὶ τὸ δεῖπνον, εἰς ὃ τὰς χεῖρας ἀποματτόμενοι, εἶτα τοῖς κυσὶν ἔβαλλον. Ἀπομαστιάσαι, ἐξαπατῆσαι. Ἀπομάττεσθαι, ἀναλαβεῖν, μιμεῖσθαι, καὶ ἀποτυποῦν. Ἀπομάττεται, ἀποτυποῖ. Ἀπομάττειν, οἱ μὲν ἁπλοῖ κυριώτερον ἀκούουσιν, ἀντὶ τοῦ ἀποψᾶν καὶ ἀπολυμαινόμενος. ἄλλοι δὲ περιεργότερον. οἷον, περιπλάττειν τὸν πηλὸν, καὶ τὰ πίτυρα τοῖς τελουμένοις. ὡς λέγομεν ἀπομάττεσθαι τὸν ἀνδριάντα τοῦ πηλοῦ. ἤλειφον γὰρ τῷ πηλῷ, καὶ τῷ πιτύρῳ, τοὺς μυουμένους, ἐκμιμούμενοι τὰ μυθολογούμενα παρ' ἐνίοις. ὡς ἄρα οἱ Τιτᾶνες τὸν Διόνυσον ἐλυμήναντο, καταπλασάμενοι ἐπὶ τῷ μὴ γνώριμοι γενέσθαι. τοῦτο μὲν τὸ ἔθος ἐκλιπεῖν, πηλῷ δὲ ὕστερον ἀναπλάττεσθαι νομίμου χάριν. Σοφοκλῆς ἐν αἰχμαλώτισιν, ἐγὼ καθαρτὴς, καὶ ἀπομακτὴς πραγμάτων ἔφυν. Ἀπομάχομαι, δοκιμώτερον λέγειν, ἢ μάχομαι. καὶ ἀποκνῶ, ἢ ὀκνῶ. καὶ ἀποδειλιῶ, ἢ δειλιῶ. Ἀπόμαχος, ὁ ἐκτὸς τοῦ πολέμου γεγονώς. Ἀπομφαρίσαι παρὰ τοῖς παλαιοῖς, τὸ ἀπολαβεῖν, ὡς τοῦ κειμένου μαστοῦ μφαριῶντος. εἰ δέ τις τόλμαν ἔχει θεῖναι τὸ ἀπομφαρίζειν καὶ ἐπὶ τοῦ λαβεῖν, ἀσφαλῶς ἂν ἐτόλμησεν. ἐπεὶ καὶ ἡ κοινὴ γλῶσσα ἐντεῦθεν ἴσως λαβοῦσα, λέγει ἀπομφαρίζειν τὸ θηλάζειν. Ἄλλως. Ἀπομφαρίσαι. μέρμερα, ἃ εἰς ὕπνον καταφορὰ περὶ τὴν ἕω. λέγεται δὲ μέρμερα καὶ φροντίς. ἐκ δὲ τούτου, τὸ καθεύδειν. οἱ γὰρ καθεύδοντες ἀποτίθενται τὰς φροντίδας. καὶ πρὸς ἕω ὕθλον δὲ γίνεταί πως ὕπνος ἐν ταῖς ἐπιτάσεσιν ἐλαφρὸς, ὃν τοῦτο τῷ ὀνόματι καλοῦσιν. Ἀπομηνίειν, τὴν μῆνιν ἀπαγγέλλειν.

Ἀπομηνίζω, περιττὴν ἔχει τὴν ἀπὸ πρόθεσιν, ὃ καὶ ἐπ' ἄλλων μορίων γίνεται. ἢ ἐστὶ μὲν ποτὲ ἀπομηνίσαι, καὶ τὸ ἀποθέσθαι μῆνιν. Ἀπομηνίσας, ὀργισθείς. μηνίω, ἰῶ, ἐμήνισα, μηνίσας, καὶ ἀπομηνίσας. ἡ ἀπομηνίσας, ἀποχωρίσας διὰ ὀργὴν, ἢ παυσάμενος τῆς ὀργῆς. Ἀπομηνίσαι, ἢ περιττὴν ἔχει τὴν πρόθεσιν. ἢ κυρίως ἀπομηνίσαι, τὸ ἀποθέσθαι μῆνιν. ἀλλὰ ἐκεῖνο μὲν τὸ ἀπομηνίσας ἀγαμέμνονι, τὴν ἐπίμονον δηλοῖ τῆς μήνιδος. κεῖται γὰρ ἡ ἀπὸ πρόθεσις ἀργὴ, ὡς καὶ ὅτε φησὶ λέγει ἀπομεμηνιόν χάριτος. ἐξ οὗ τὸ ἀπομεμηνίωκα. οὕτω δὲ καὶ τὸ ἀπαντᾶν ἀδιάφορον, πρὸς τὸ ἀντᾶν. καὶ τὸ ἄνθρα ἀπαμύνεσθαι, ἀντὶ τοῦ ἀμύνεσθαι, ὅμοιον. καὶ τὸ ἀπέχεσθαι. περιττὴ δὲ ὁμοίως ἡ πρόθεσις, καὶ ἐν τῷ ἀπ' οὐρανόθεν, καὶ ἀπὸ νόσφι. Ἀπόμισθοι, οἱ μισθὸν μὴ λαμβάνοντες. Δημοσθένης φιλιππικοῖς. Ἀπόμισθος, ἄμισθος. ἢ ὁ μισθοῦ ἔργον τι διαπραξάμενος. καὶ ἄμισθος, ἀφειμένος.

Ἀπομιθώματα, τὰς δημοσίας οὐσίας οἱ ἀττικοὶ ἔλεγον.

Ἀπομνύμενοι, ἀποβάλλοντες διὰ ὅρκων. Ἀπομυλλῶσαι, προβαλὼν τὰ χείλη συνημμένως, παρὰ τῷ Ἱπποκράτει.

Ἀπομνημονεύω, ἀντὶ τοῦ μνείαν ἔχω τινὸς, γενικῇ συντάσσεται. ἀπομνημονεύω δὲ, ἀντὶ τοῦ ἀποῤῥίπτω τῆς μνήμης, αἰτιατικῇ.

Ἀπόμοιρα, μέρος, κλῆρος. καὶ ἀπόμοιρα, τὸ ἐκ τῶν οἰκείων κτημάτων ἀφιερωθὲν εἰς ἐκκλησίαν, ἢ εἰς μοναστήριον, ἢ εἰς γηροκομεῖα. Ἀπομόργματα, σφραγίδων ἐκτυπώματα.

Ἀπομόργνυσθαι, οὐκ ἐπὶ δακρύων μόνον, ἢ ὅλως ὑγρῶν, ἀλλ' ἰδοὺ παρ' Ὁμήρῳ οἱ ἥρωες ἀπομόρξαντο. ποταμοῦ δὲ κόνιν ἀποψήσαντο κνίσην, ἢ ἱμάσσοντο. ὅθεν καὶ παροιμία ἐκ τῶν παλαιοτέρων ἐφ' οἷς ἐκάκωσαν, τὸ τὴν κνίσην ἀποψησάμενος ἠγανάκτει. Ἀπομόρξαντο. ἀπομόργνυμαι ἐνεστὼς, ἀπομόρξομαι μέλλων ἐνεστηκότος, ἀπομορξάμην ἀόριστος ἀναδεχθεὶς, κατὰ Ἰώνων. τὸ τρίτον, ἀπομόρξατο. λέγεται ἐπὶ τοῦ ἐκθλίβειν τινὰ, ἢ ἀποσμήχειν τὶ ἀφ' ἑαυτοῦ. Ἄλλως. Ἀπομόρξαν, ἐκ τοῦ μόργω ῥήματος γίνεται, ὅπερ κατὰ ὁμοιότητα τοῦ ἄχνυμαι, προσλήψει τοῦ ν, γίνεται μόργνυω, ἐξ οὗ μοργνύω, ἀφ' οὗ μόργνυμι, ἐξ οὗ ἀπομόργνυται, καὶ τὰ ὅμοια. ἐκ δὲ τοῦ μόργω, γίνεται σὺν τῇ ἀπὸ ἀπομόργω. ἐξ οὗ τὸ ἀπόμοργμα. τὸ δὲ μόργω, ἐκ τοῦ ἀμέργω, τὸ πιέζω, κατὰ τοὺς παλαιούς. ἐξ οὗ ἀμόργη, ὁ τοῦ ἐλαίου ὑποστάθμη. καὶ τὸ ἀμέλγω, κατ' ἐναλλαγὴν ἀμεταβόλου τοῦ ρ εἰς ἀμετάβολον τὸ λ. ὡς ὑδραργία ὑδραλγία, κεφαλαργία κεφαλαλγία. εἴη ἂν οὖν ἀπομόργνυσθαι καὶ ἀπομόργνυσθαι κυρίως, τὸ ἐκπιέζειν. ὅθεν ἀπομόρξαι δάκρυον, ἀντὶ τοῦ ἐκθλίψαι. ἐξ οὗ ἐκπιέσας ἀπὸ τοῦ ὀφθαλμοῦ. τὸ δὲ μόργω καὶ μόργνυμι, κυριώτερον ἐκ πλεονασμοῦ τοῦ ο παρὰ τοῖς μεθ' Ὅμηρον, τὸ ὀμόργω, καὶ ὀμόργνυμι. Ἀπομορξάμενοι, ἀπομαξάμενοι. Ἀπόμπιμοι, αἱ ἀποφράδες ἡμέραι.

Ἀπομύσσω, καὶ ἐκμύσσω, τὸ μὲν ἀρσενικὸν, τὸ δὲ καταφατικόν. Ἀπομυρίζω, ἀποσμίζω. Ἀπόμυιος, οὕτως ὁ Ζεὺς παρὰ τοῖς Ἠλείοις τιμᾶται, Ἡρακλέους ἱδρυσαμένου ἐπὶ ἀποτροπῇ τῶν μυιῶν. Ἀπομυξία, ἀποκαθαρσία. Ἀπομύττειν, ἐξαπατᾶν, γοητεύειν. Ἀπομώμοκα, ἀντὶ τοῦ ὀρκωμοσίαν πρὸς γυναῖκα πεποίηκα. Ἀπὸν, ἀπορητικόν. σημαίνει καὶ τὸ μὴ παρόν.

Ἀπόναιο, ἀπολαύσαιο, ὄναιο. Ἀπονῆσαι. ὀνάω, ῶ, τὸ ὠφελῶ. ὁ μέλλων ὀνήσω, ὁ ἀόριστος ὤνησα, ἡ μετοχὴ ὁ ὀνήσας τοῦ ὀνήσαντος, καὶ ὁ ἐνεστὼς ὀνήσομαι, καὶ συγκοπῇ ὄνημι. καὶ μετὰ τῆς ἀπὸ προθέσεως, ἀπόνημι. καὶ τὸ παθητικὸν τρίτον πρόσωπον, ὤνατο καὶ ἀπόνατο, καὶ ἰωνικῶς κατὰ τροπὴν τοῦ α εἰς η ἀπονήσατο.

Ἀπονηφάλισαντες, ὀνήσαντες. Ἀπόνασθαι, ἀπολαῦσαι, κατατρυφᾶν, ἢ ὠφελεῖσθαι. Ἀπονέεσθαι κνέφας παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ἀποστρέφεσθαι. ὡς ἐκ τοῦ νέω, οὗ ἐστὶν ἄλλος τὸ νέω, ἐξ οὗ ὁ νόστος. ποιητικὴ δὲ ἡ λέξις. ὅθεν καὶ ἐπὶ ματικῶν τὸ νέεσθαι, καὶ ἀπονάσσασθαι, καὶ ὁ μετανάστης. Ἀπονίεσθαι, ταυτὸν ἐστὶ τῷ ἀπονοστῆσαι. ἀπὸ γὰρ τοῦ νέω ὄντος ῥήματος, ὁ νόστος γίνεται, κυρία λέξις ἐν ποιήσει. καὶ ἀπονίεσθαι, ἓν ὑφ' ἓν σημαίνει, ἢ ἀποθανεῖν, ἢ ἀποκομίζεσθαι, ἢ ἐπανελθεῖν. Ἀπονίνεται, ἀποστρέφεται. Ἀπόνημαι, ἀπόλλυμαι. Ἀπονίζειν, ἀντὶ τοῦ ἀποκλύζειν. Ἀπονίψαν, περὶ χεῖρας, λέλουσιν. Ἀπονέμω, εἰσενεγκεῖν καὶ ὁρίζω, ὡς τὸ ἀπένειμεν ὁ θεὸς τῇ ἡμέρᾳ τὸν ἥλιον, καὶ τῇ νυκτὶ τὴν σελήνην. Ἀπονίσσοντο, ἀπήρχοντο. Ἀπονόσφιν, ἐκκλίνειν, τρέπεσθαι. Ἀπονοσφισάμενος, τὰ ὅπλα κατατεθέμενος.

Ἀπονήμενος ἐμῆς ἐν ἀλυσκαίνων ὅσπερ ἄνευθε. εἴρηται, ἀντὶ τοῦ χωρίσας, καὶ ὀνειδίζων χωρὶς, τῆς βασιλείας διὰ τὸ ἀσχολεῖσθαι, ἢ ὡς ἑκὼν ἀποστάς. οὐ γὰρ ἐμοῦ ἀνέχεται τις, ἀλλὰ χαίρειν, ἢ ἑκὼν ἐμοῦ. καὶ ἀπονημένος, ὄνησιν εἰληφώς. Ἀπονοσφίσασα, ἀποστερήσασα. Ἀπονέστασθαι, ἀφίστασθαι, ἀπελθεῖν. Ἀπονέονται, ὄνησιν λήψεται. Ἀποσπάσασθαι, τὸ ἀπὸ νεανίας ἐπὶ πρόσωπον ἐλθεῖν. Ἀπόνητο οὐδὲν πατὴρ ἐξ ἐμοῦ, ἤγουν ὠφελήθη, ὡς εἰκὸς ὠφελεῖσθαι πατέρας ὑπὸ τέκνων. ἔστι ἀπὸ τοῦ, σύνηθες τοῖς παλαιοῖς. τὸ δὲ ἀπόνητο καὶ ἀπονήμενος, οἱ μεθ' Ὅμηρον λέγουσιν. Ἀπονητὶ, ἄνευ πόνου, ἀπταισὶ, ἀκινδυνὶ, ἀκμητὶ, ἀμεταστρεπτί. Ἀπονίζεσθαι, ὃ καὶ νίπτεσθαι λέγεται, ὡς δηλοῖ τὸ νίψον ἀπὸ χειρός. φασὶν οἱ παλαιοὶ, ὡς οἱ Ταραντῖνοι, τὰ διὰ τοῦ σ λέγοντα ῥήματα βαρύτονα, διὰ τοῦ ζ προφέρουσιν. οἷον, βλαπίζω βλαπίσω, λακτίζω λακτίσω, φράζω φράσω. ὃ καὶ Κόριννα φράσθαι λέγει βοιωτικῶς. πάλιν δὲ τὰ παρ' ἡμῖν διὰ τοῦ σ, αὐτοὶ διὰ τοῦ ζ προφέρουσι, τὸ πλάζω πλάσω λέγοντες, καὶ τὸ

ἀπέλαυσ' οὐδὲν αὐτοῦ πώποτε. καὶ Ξενίσιος, πλείω καλὰ τῆς Σιμωνίδου συνουσίας ὁ Ἱέρων ἀπέλαυσε. τίθεται δὲ τὸ ἀπολαύειν καὶ ἐπὶ κακοῦ. Ἀπαλέγει, παραγγέλλει. Ἀπαλέγειν, ἀπαλέγεσθαι, ἀπανδᾶν. Ἀπαλεγόμενος, ἀντὶ τοῦ παραιτούμενος. Πολύβιος. Ὁ δὲ παρῄτει τοὺς ἀχαιούς, ἀπαλεγόμενος τὴν ἀρχήν.

Ἀπαλέγοντα, ἀποκρίνοντα, ἀπαγορεύοντα. ὡς τό, Πράγματά τι δύσκαρτος ἀπαλέγοντα, τοῖς πρέσβεσιν ἔγραψεν. Ἀπαλείφεται ὑγρὸν ἔλαιον, παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας γ. ἢ τὸ τῶν ὑφασμάτων φορβὸν κατὰ τοὺς παλαιοὺς δηλοῖ, ὡς λοιπὸν ἔλαιον ἀπορρεῖν. ἢ τὸ πυκνόν, ὡς μὴ δεῖν διὰ αὐτῶν ἐλθεῖν. ἢ καὶ τὸ στίλβον διὰ λευκότητα. ἴσως δὲ στίλβειν καὶ τοιαῦτα λέγει τὰ ἐσθήματα, ὡς εἶχεν ἔλαιον αὐτῶν ἀπολείβειν, διὰ τὸ στιλπνὸν χρῶμα τῶν νεοφάντων, καὶ ἔτι ἀπλύτων ὑφασμάτων. ὅτι καὶ θρόνοι λίθινοι οὕτω στίλβοντες, ἐκ τῆς κατὰ συνήθειαν παράτριψιν λαμπρύνοντες.

Ἀπαλείβοντες, ἀποστάζοντες, ἀποσπένδοντες. Ἀπαλοιβρᾶψαι, ἀπαλεῖψαι, ἐκτεῖσαι. ἄλλοι, ὀρθότερον ἀπαλθεῖν. Ἀπαλείπειν, ἀντὶ τοῦ ἀρίστασθαι. Ἀπαλείπεται, ὀνομάζεται. Ἀπάλειπε, αἰτιατικῇ συντάσσεται. οἷον δέομαί σου μή με ἀπολείπῃς. καί, τὰ χρήματά με ἀπέλιπεν. Ἀπαλείφεται, ἰάσεται.

Ἀπόλειψις, ἡ ἀπὸ γυναικῶν ἐγκατάλειψις. Ἀπολείψομεν, ἀποκρύψομεν. λεῖψαι γάρ, τὸ ἀπολῦσαι. Ἀπόλεκτον, ἐκλεκτόν. καὶ ἀπόλεκτον, οὐχὶ τὸ φαῦλον καὶ ἀπόβλητον, ἀλλὰ τὸ ἐκλεκτόν. καὶ ἐκλελεγμένον, ἐκ πλειόνων ἐξειλεγμένον. καὶ στρατιωτῶν ἀπολέκτων. Ἀπολελαμμένοι, κοινοί, παρὰ Ἰσοκράτει.

Ἀπολελουμένον, ἀπολελευθερωμένον. Ἀπολέλαυσαι, ἀπολέλαυται. Ἀπολελάχνωται, εἰς λαχνίαν ἀνάλωται. Ἀπολελειμμένοι, ἀποκεκριμένοι. ἀπολελειμμένοι τὰ καλά. Ἀπολιδόντων, ἀφῆκεν, ἔδωκεν. Ἀπολελοιπότες, ἀντὶ τοῦ νενικηκότες. ἡ μεταφορὰ ἀπὸ τῶν δρομέων. οἱ γὰρ νικῶντες ἀπολείπουσι τοὺς ὑπομένοντας. Ἰσοκράτης Παναθηναϊκῷ καὶ Πανηγυρικῷ.

Ἀπολέμητον, ἀνανταγώνιστον. ὡς τό, Κατάρξοντες εἰς χώραν εὐδαίμονα, καὶ πολλῶν χρόνων ἀπολέμητον. Ἀπόλεμον, ἀπροπόλεμον. Ἀπόλεμος, ὁ μὴ ἰσχύων, ἢ ὁ μὴ εἰδὼς πολεμεῖν. ἀπόλεμος γὰρ ἦν. Ἀπολέξαι, ἀπὸ λεπτοῦ μέσου τὸ ζῆν ἀρτῆσθαι.

Ἀπολέξαο, ἐκλεξάμενος. Ἀπολέξω, ἐρῶ, διαλύσω.

Ἀπολέσθαι, ἀποθανεῖν. Ἀπόληγε, παῦε. Ἀπόληξις, εἶδος τῶν συγγραφέων, ὃν Πλάτων κωμῳδεῖ ἐν Θρίξῃ. Ἀπόληρος, ἡ τῆς ὠνάτε γραφή. ταραντῖνοι. Ἀπολῆσαι, ἀποκτεῖναι.

Ἀπολησθῆναι, ἀπογραφῆναι. Ἀπολιβάζειν, ἀπελθεῖν, ἀφανισθῆναι, παρὰ τὴν λιβάδα. ἢ τὸ ἀπορρεῖν. Ἀπολιβάξας, συντόμως ἀποχωρήσας. λιβὰς γάρ, ἡ σταγών. ἧς οὐδὲν ταχύτερον ἐκ τῶν αἰθρίων. Ἀπολιγαίνει, θορυβεῖ, ὀξέως βοᾷ. παρὰ τὸ λιγύ. Ἀπολιγαίνειν, ἀφανίζειν. ἢ παραφθέγγεσθαι, ἢ βοᾶσθαι. Ἀπόλιδας, ἀγρούς, ὡς μὴ οἰκοῦντας ἐν πόλει, ἀπολίδας. Ἀπολῖσαι, ἀποξέσειν. λάκωνες. Ἀπόλιτον, θαῦμα. Ἀπολιταργίσας (λιταργισμοὺς ἐκάλουν τὰ σκιρτήματα) ἀποδραμών, ἀποσκιρτήσας. κατάλειψον ἀπὸ τῆς θύρας, ὅ τί ἐστιν ὃ λέγει. ἢ ἀπὸ τοῦ ἀργοῦ, ὃ δηλοῖ τὸ ταχύ, καὶ τὸ λιτόν. οὐ ταχέως οὖν φασιν ἀποδραμών; Ἀπολιταργίζω, σημαίνει τὸ ταχέως ἀπέρχομαι, ἢ ὑποχωρῶ. ἀπὸ τοῦ λίαν, καὶ τοῦ ἀργοῦ. κατὰ ἀντίφρασιν, ἀντὶ τοῦ ταχέως ὁρμᾶν. Ἀριστοφάνης, Οὐκουν ἀνύσας τι θᾶττον ἀπολιταργιεῖς ἀπὸ τῆς θύρας. Ἀπολιχμήσονται, διὰ μόνου λιχανοῦ τοῦ ι, ἔχει τὴν ἄρχουσαν. διὰ τὸ δύο σύμφωνα ἐπάγεσθαι, εἰ καὶ ἄλλως ὤφειλε δίφθογγον ἔχειν, ὡς ἀπὸ τοῦ λείχω. ἀπολιχμήσονται δέ, ἀπολείξουσιν. Ἀπολλά, ἀ λίαν, πολλά.

Ἀπολλύειν, καὶ ἀπολλύναι, Ἀττικῶς λέγουσι, καὶ ἀπολλύουσιν καὶ ἀπολλύασι, καὶ πάντα τὰ ὅμοια. Ἀπόλλυμι, ἔχει θέματα τέσσαρα. ὄλω ἄχρηστον, ὁ μέλλων ὀλῶ. καὶ γράφεται μετὰ τῆς ἀπὸ προθέσεως, οἷον ἀπολῶ. ἐξ οὗ ὤλεσα, καὶ ἀπώλεσα, καὶ ἀπολέσω. καὶ ὀλέω, ἄχρηστον. ἐξ οὗ ὀλέσω, καὶ ἀπολέσω, καὶ ἀπολώλεκα, καὶ ἀπώλεσα. ὀλλύω, ἄχρηστον. ὄλλυμι, καὶ ἀπόλλυμι, καὶ ὄλλυμαι καὶ ὀλλύμην. μετὰ τῆς ἀπὸ προθέσεως καὶ ταῦτα. Ἀπαλύμη, δαίμων, ὁ ἐνσκιάζοντες ἐργασίας.

Ἀπόλειν, φόνον εἰς ἀπώλειαν. Ἀπολλώς, τοῦ Ἀπολλώ.

Ἀπόλλων πατρῷος, ὁ Πύθιος, προσηγορία ἐστὶ τοῦ θεοῦ πολλῶν τε καὶ ἄλλων οὐσῶν. τὸν δὲ Ἀπόλλωνα κοινῶς πατρῷον τιμῶσιν Ἀθηναῖοι ἀπὸ Ἴωνος. τούτου γὰρ οἰκήσαντος τὴν Ἀττικήν, ὡς Ἀριστοτέλης φησί, τοὺς Ἀθηναίους Ἴωνας κληθῆναι, καὶ Ἀπόλλωνα πατρῷον αὐτοῖς ὀνομασθῆναι. Ἀπολλωνιάς, ἡ Δάφνη.

Ἀπολλωνίς, δῆμος φυλῆς τῆς Ἀττικῆς. Ἀπόλλωνες ἀττικοί, οὐκ Ἀπόλλωνα. Ἀπόλλων. δεῖ δὲ εἰδέναι, ὅτι ὁ Ἀπόλλων μόρος τι εἱμαρμένης λαμβάνεται μυθικῶς παρὰ τοῖς ποιηταῖς. καὶ ὡς ἔρριξε, μορφικῶς φαίνεται ζεὺς καὶ οἷον μακρὸν ἐκ χρόνου, τουτέστι μακρὰ ἐκ εἱμαρμένης. διὸ καὶ Διὸς υἱὸς λέγεται, οὐ μόνον ὡς περὶ ἀέρα καὶ οὐρανὸν φθάνων, ἐκεῖθεν ζεὺς λέγεται, ἀλλ' ὡς εἱμαρμένης τις ἔστιν μορίδιον. καὶ τὰ μὲν μόνος αὐτός, τὰ δὲ σὺν τῷ Διὶ κατασκευάζεται. ἥλιος γάρ ἐστιν αἰτίαν ἔχων τῶν γινομένων, κατὰ τὴν Ἑλληνικὴν δόξαν, καθὰ καὶ ὁ ζεύς. διὸ παρ' Ὁμήρῳ τὰ κατὰ τὴν μῆνιν τοῦ Ἀχιλλέως, βουλῇ τε Διὸς καὶ χόλῳ Ἀπόλλωνος πράττεται. χόλος δὲ Ἀπόλλωνος ὁ λοιμός, ὅτι ὁ Ἀπόλλων αἴτιος. Ἀπόλλων, υἱὸς λέγεται Λητοῦς, τουτέστι νυκτός. δοκεῖ γὰρ ἐξ αὐτῆς οἷα μητρὸς ὁ ἥλιος γεννᾶσθαι. ὥσπερ καὶ Σοφοκλῆς ἐν Τραχινίαις λέγει. καὶ ζητητέον τὴν ἐκεῖ ἀλληγορίαν, ἔνθα φησίν, ὃν αἰόλα νὺξ ἐναριζομένα τίκτει, κατευνάζει τε τὸν ἥλιον. παρθένε δὲ πάντως τῷ νοήματι τοῦ Σοφοκλέους ἐννοίᾳ, καὶ τὸ Αἰσχύλου ἐν Ἀγαμέμνονι, Εὐάγγελος ὥσπερ γένοιτο μητρὸς εὐφρόνης πάρα. ὡς γὰρ ἐκ νυκτὸς ἥλιος, οὕτω καὶ ἠὼς ἐξ εὐφρόνης. ἀλλὰ δὲ καὶ εὖ διὰ τὴν παρ' Εὐριπίδῃ σοφίαν καὶ πεῖραν λέξιν. ὑπονοοῦντες γὰρ τοὺς παῖδας ἀποθανούμεθα.

Ἀπολογεῖται, ὁ κατηγορούμενος. Ἀπολογισμός, ἀπολογία. Ἀπόλογος, ἀπολογισμός. Ἀπολογεῖσθαί ἐστι, τὸ ἐπὶ τῷ λόγῳ τὴν κατηγορίαν ἀνασκευάζειν. ἡ δὲ κατηγορία, πρὸς τὴν ἀπολογίαν ἀντίκειται, καὶ ὁ κατηγορούμενος πρὸς τὸν ἀπολογούμενον. οἷον ἀδικώτατόν ἐστιν ὦ ἄνδρες Ἀθηναῖοι, τὸ τὸν κατηγοροῦντα ἔχειν παρ' ὑμῖν πρὸς τὸν φεύγοντα ἀπολογίαν χώραν.

Ἀπολογία λέγεται, ὅταν ἑνὸς κατηγορῇ τις. καὶ ἀπολογεῖται ὁ κατηγορούμενος. καὶ ἀπολογία, ἡ πληροφορία. Ἀπολογίζεσθαί ἐστι, τὸ ἀποδοῦναι λόγον τῶν διοικημάτων. Ἀπολοίμην ἐξώλης, καὶ ἀπόλοιτο. ὡς, ἀπόλοιτο ἡ κακία. Ἀπολοιγὸν ἀμῦναι, ἀποσοβῆσαι τὸν θάνατον. Ἀπόλοιτο, ἀπόλοιτο.

Ἀπολοίμιον, φανερὸν ἐπὶ δόλῳ. Ἀπολόν, ἀφανές. βαρύ. ἀκίνητον. Ἀπολοφύρεσθαι, ἀποδύρεσθαι. Ἀπολύομαι μέμψεως. καὶ ἀπολύομαι τὴν μέμψιν, ἢ ἀπολύω καὶ τὸ ἀπολυμαίνεσθαι. Ἀπολύων, ὑπὸ θανάτου παρεστηκώς. Ἀπολυμαίνεσθαι, ἀποκαθαίρεσθαι. λύματα γὰρ λέγουσι τὰ καθάρσια. ὅθεν καὶ ὁ ῥύπος, παρὰ τὸ λυμαίνειν τὸ ἀπολεπτόμενον. ἀπὸ γοῦν τοῦ λῦμα, λυμαίνω, καὶ ἀπολυμαίνω. Ἀπολούσω, ἀποτρίψω, ἀποκόψω. Ἀπολύγματος, ἀπογυμνώσεις. εὐθυρίαι. Ἀπολυμάντηρα δαιτῶν, τὸν τὰ λείψανα λυμαινόμενον. Ἀπόλωλα ἐστιν, ἀντὶ τοῦ ἐφθάρην, ἀμετάβατον. Ἀριστοφάνης, ἀπόλωλα δείλαιος ἐκ τοῦ σκίμποδος. Ἀπολυσάμενος, ἀπολογησάμενος.

Ἀπολύτρωσιν, ἀποφυγήν, ἀπόλυσιν. Ἀπόλωλα, καὶ οὐκ ἔτι σώσιμός εἰμι. ἅπερ ἐκ παραλλήλου ταῦτα δηλοῦσιν.

Ἀπολώλεκα ἕτερον, αἰτιατικῇ συντάσσεται. Ἀριστοφάνης, ἀπολώλεκας ἅπαντα τὰ τῆς οἰκίας. καὶ Ἄδαμος, ὦ θεοί, ἀπολώλεκας τὴν ἑαυτοῦ παῖδα ἀλιτήριον. Ἀπολῶ, ἀπολέσω, ἀφανίσω. Ἀπόλαυσιν, ἀπολαυσ. Ἀπομάγματα, παραθεωρήματα. Ἀπομαγδαλιά, τὸ ψωμίον, ὃ ἀπομάττονται οἱ μάγειροι,

ἅπερ

μιζομένων, ἀπαιτεῖν ταῖς τέχναις. Ἀπόκινον φεύγων, ἀποχώρησιν λέγουσιν. ἔστι δὲ καὶ εἶδος ὀρχήσεως φορτικῆς. οἱ δὲ μόθων, καὶ ὁ βαυκισμός. Ἀποκλαίω, κλαίω. Ἀποκλάνει, ἀπολείπεται. Ἀπόκλεισμα, φυλακή. Ἀποκλείσαντος, φυλακίσαντος. Ἀπόκλητοι, οἱ ἐκκλημένοι. οὐ τῶν κοινῶν προσδεξάμενοι οὐδένα, οὔτε τοῖς ἀποκλήτοις συμμεταδόντες τῆς αὐτῶν κρίσεως. Ἀποκλύζεσθαι, ἀποκαθαίρεσθαι. Ἀπόκλισμα, ἀποκλισία, ἐπὶ τὸ χεῖρον. Ἀπόκολος, ἀποστροφή. ταραντῖνοι.

Ἀποκλήρωσις, διανομή, μερισμός, μέρος τῆς ἀμείνονα. λῆξις δὲ ἐστι μοῖρα, κληρονομία. Ἀπόκλιμα, τὸ ἔκταμα τοῦ ὄρους.

Ἀποκναίειν, ἐνοχλεῖν, ταλαιπωρεῖν. Ἀποκναίεις, ἀναιρεῖς.

Ἀποκναίσας, λυπήσας, ὀχλήσας, ἀποθλίψας, ἀποκνίσας. Ἀποκναισθέντος, λυπηθέντος. Ἀπόκναισις, ἡ κατὰ βραχὺ ἀναιροῦσα λύπη. Ἀποκνῆ, ἀποκαίμουσα. Ἀποκνισάμενοι, ἀπορύξαντες. Ἀπόκνησιν, ὄκνον, ἀποκάκησιν. Ἀπόκνιψε, ἀπόστιλβε, ἢ ἀπόστιλβε. Ἀποκνίζει, λυπεῖ, ὀχλεῖ. Ἀποκνίψας, σπαράξας, προδούς. ὡς τὸ, μὴ ἀποσκορακίσῃς με, μὴ ἀπολείπῃς με, μὴ ἀπορρίψῃς με. Ἀπόκοιτος, πόρρω τῆς κοίτης.

Ἀποκολυμβήσεις, παρ᾽ ἰνδοῖς ἡ συνουσία. ἡ δὲ παρὰ παφλαγόσι ἴσων χρωμένων τὰ αἰδοῖα δεινὴν παρέχει. Ἀποκολυμβήσαντες, κολυμβήσαντες. Ἀποκομίζεσθαι, ἀποφέρεσθαι. Ἀποκοπή ἐστιν ἀφαίρεσις συλλαβῆς κατὰ τὸ τέλος. οἷον δῶ, ἀντὶ τοῦ δῶμα. ἀπόλλω, ἀντὶ τοῦ ἀπόλλωνα. ποσειδῶ, ἀντὶ τοῦ ποσειδῶνα.

Ἀποκοπῆναι, κυρίως λέγεται, ὅταν ἡ κύων μηκέτι εὑρίσκῃ τὰ ἴχνη, καὶ ἐπὶ τῶν ἰχνευτῶν. Ἀποκοπτόμενοι, ἐκκοπτόμενοι. Ἀποκορεῖν, ἀποκαθαίρειν, ἀποσπαίρειν. Ἀποκορωνισμένας, ἀποκεκορυφωμένας. κόρυς γὰρ τὰς τρίχας Αἰσχύλος.

Ἀποκόπους, ἐκτομίας, καὶ ἀντὶ τοῦ ἀθυμίας. Ἀποκοτταβίζειν, τὸ λειπόμενον πόμα τοῦ πόματος τοῦ ποτηρίου ἐκχεῖν, ὥστε ψόφον ποιεῖν. κότταβος γὰρ, ὁ ἦχος. Ἀποκοψέμεν οὔατα χαλκῷ. ἰωνικῶς ἀπολιψέμεν χρῆστιν, ἐπὶ σιδήρῳ τεμεῖν. ὁμοίως τῷ πρὶ γὰρ ἦν ὁ χαλκὸς ἔλειψεν. ὁ βαρυτόνως κλίσις, τὸ λείπω. λείψω ὁ μέλλων. ἀφ᾽ οὗ κατὰ ἴωνας καὶ μόλεψ, ὁ ἐκβεβλημένος ἐλωμάτων, οἷον ὁ βόλεψ. ἐκ δὲ τοῦ λέπειν, καὶ τῶν αὐτοῦ κτησέων, καὶ τὸ λεπτὸν γίνεται. ὡς οἷον λεπιδόν, καὶ ἡ ὀρνιώδης λεπὶς, καὶ ὁ λεπρός, καὶ ἡ λεπρὰς πέτρα. αἱ λεπάδες, καὶ τὸ ἐρετὸν λέπας, καὶ ὁ τοῦ κραμβίου λοπός. ἴσως δὲ καὶ ὁ κατὰ ὄρος λόφος, ἐκ τοῦ λέλειφα παρακειμένου ἀττικοῦ, καὶ ἐκ τοῦ μέσου ἡ λοπάς. ὡς καὶ λεπτὴ, καὶ τραχεῖα. ἐκεῖθεν δὲ καὶ ἡ ἐλαχὶς, τὸ λέπαδνον. ἴσως δὲ καὶ ἡ παρὰ τῷ Λακεδαιμονίῳ λεπτὴ ὀξυτόνως κύλιξ, καὶ τὸ καλὸν ἢ ὑπερτατικῶς, ὡς τὸ μεγάλα. τάχα δὲ καὶ τὸ λεπτὸν, καὶ τὸ ἐκπέταλον δὲ, κατὰ τὰς λεπάδας ἔχει τὸ καλεῖσθαι λεπτόν. οἱ μὲν τε παλαιοὶ, διὰ τὸ μεγάλην αὐτῶν εἶναι, ἀπὸ τοῦ λέπειν ὀνομάσθαι φασὶ, διὰ τοὺς ἐπὶ μέθῃ ἀναλίσκοντας πολλά. οὓς λαφύκτας ἐκάλουν. χρῆσις δὲ τοῦ λεπτοῦ, παρὰ ἑρμιππῷ ἐν εἰρήνῃ. ἔστι δὲ Δολόπων λέξις, λεπτή. Ἀποκραιπαλισμὸς, κραιπάλης ἀπαλλαγὴ καὶ μέθης. καὶ ἀποκραιπαλισμὸς, ἀποκαρωσμός.

Ἀποκρεῖν, ἀπὸ τοῦ κεφαλῆς. ἀπὸ γὰρ τοῦ κρατὸς κρᾶς, γίνεται κρᾶθεν, καὶ τροπῇ τοῦ α εἰς ε κρῆθεν. Ἀποκριθῆναι, χωρισθῆναι.

Ἀπόκριμα, κατάκριμα, ψῆφον. Ἀποκρίνεσθαι, τὸ ἀπολογεῖσθαι, τὸ χωρισθῆναι, ἀποκριθῆναι, τὸ ἀποχωρισθῆναι. καὶ ἀποκρίνεσθαι, τὸ ἐρωτηθέντα λόγον δοῦναι. Ἀπόκριναι, ἀντὶ τοῦ ἀπολογήθητι. Δημοσθένης, ἀπόκριναι γάρ δεῦρο παρελθών μοι.

Ἀποκρίνειν ἀττικῶς, τὸ ἀποκτείνειν. ἔχουσι τὸ τὰ περιττὰ τῆς γαστρὸς ὑπεξάγειν, ὃ καὶ ἐκκρίνειν λέγεται. ἀποκρίνεται δὲ ὡς παθητικῶς, ἐρωτώμενος. ἀπολογεῖται δὲ, κατηγορούμενος. κρίνω παρ᾽ ἀττικοῖς τὸ χωρίζω. Ἀποκριθῆναι, ἀποχωρισθῆναι. ἢ ἀποκρίνεσθαι, τὸ ἀπολογεῖσθαι, οὐκ οἶδεν ὁ ποιητὴς, ἀλλὰ ὑποκρίνεσθαι λέγει αὐτὸ, καθὰ φαίνεται ἀλλαχοῦ. συνεκδέχεσθαι δὲ τὸ ἀποκριθέντος μετὰ τοῦ ε. ἡ μὲν κοινὴ φράσις, ἀποκριθῆναι λέγει. καὶ ἀποκριθέντος, ὥσπερ κλιθῆναι κλιθέντος. οἱ ποιηταὶ δὲ φυλάττουσι τὸ ε τοῦ θέματος ἐν τούτῳ τῷ νόμῳ τῶν ἀμεταβόλων. Ἀποκρίνω, ἀποφαίνω. Ἀποκρίνω τὸ διαχωρίζω. παρὰ τῷ λουκιανῷ, τέτταρας ἡμῶν αὐτῶν ἀποκρίναντες. καὶ ἀποκρίνω ἐπὶ γαστρὸς, τὸ ἀφοδεύω, καὶ ἐκπατῶ, καὶ ἀποψοφῶ. οἷον, ἀπεκρίθη δ᾽ ἄρα γαστὴρ ὀπίσω λαγκανίῳ ἐλίξας πλακοῦς. ἀποκρίνομαι δὲ παθητικῶς, ἐπὶ λόγων. καὶ συντάσσεται δοτικῇ. Ἀποκρουσάμενοι, ἀπολυσάμενοι, ἀποπλυνάμενοι.

Ἀπόκρισις λέγεται, ὅταν ἐρωτᾷ τις τινὰ, καὶ ἐκεῖνος ἀποκρίνεται. ἰστέον ὅτι ἀπόκρισιν ἀπολογίας, ἴσως διαφέρειν λέγουσιν. ἀπολογία μὲν γάρ ἐστιν, ὅταν κατηγορούμενός τις ποιῆται ἀπολογίαν ὑπὲρ τῶν ἐγκλημάτων. ἀπόκρισις δὲ, ὅταν ἐρωτώμενός τις ἁπλῶς περί τινος, ἀπόκρισιν διδῷ. ὁμοίως καὶ τὸ ἀπολογεῖται, ὅταν κατηγορῆται. καὶ ἀποκρίνεται, ὅτι ἁπλῶς ἐρωτᾶται. παρὰ δὲ τοῖς ῥήτορσι, τίθεται καὶ ὡς οὐδὲν ἀλλήλων διαφέροντα. οἷον ἀπολογία ἀντὶ ἀποκρίσεως, καὶ ἀντὶ ἀπολογίας ἀπόκρισις. καὶ ἀποκρίνομαι ἀντὶ τοῦ ἀπολογοῦμαι, ὡς καὶ Δημοσθένης ἐν τῷ κατ᾽ αἰσχίνου, ἀπόκριναι γάρ δεῦρο παρελθών μοι. Ἀπόκροτον, σκληρόν. Ἀποκρούεσθαι, τὸ ἀποβάλλεσθαι, αἰτιατικῇ. Ἀποκρύπτειν λέγεται κυρίως, ἀντὶ τοῦ συγκρύπτειν. λέγεται καὶ ἀντὶ τοῦ νικᾶν, καὶ ἀντὶ τοῦ ὑπερβαίνειν, καὶ διαβαίνειν. ὡς καὶ Σιμωνίδης, ταχὺ μὲν τὴν γῆν ἀπεκρύψαμεν.

Ἀποκτᾶσθαι, τὸ ἀποβάλλεσθαι. Ἀποκτείνω, αἰτιατικῇ, τὸ φονεύω. καὶ ἀποκτείνομαι, τὸ φονεύομαι. καὶ ἀποκτείνας, αὐθέντης. Ἀποκτείνειν μᾶλλον λέγουσιν οἱ ἀττικοί, ἢ ἀποκτιννύναι. Ἀποκτείνω, αἰτιατικῇ συντάσσεται. οἷον, δύο τυράννους ἀπέκτεινα μιᾶς ἡμέρας. καὶ Ἀριστοφάνης, ἀποκτείνειν τὸν πατέρα. Ἀποκτεῖναι βέλτιον ἢ ἀποκτεννύειν. Ἀπὸ κυανέων, ἀπὸ τοῦ κυανὸς κύανος. ἀποβολῇ τοῦ ι κυάνεος, τὸ κυάνεον, τὰ κυάνεα, τῶν κυανέων. Ἀποκυηθῆναι, ἀποτεχθῆναι. Ἀποκυάζειν, ἀποκακεῖν, ἀποφεύγειν. Ἀποκυηθεὶς, τεχθείς. καὶ ἀποκυΐσκω, τὸ γεννῶ. καὶ ἀποκυΐσκω, τίκτω. Ἀπόκωμον, μᾶζα μεμαγμένη φαρμάκῳ, πρὸς ἀναίρεσιν κυνῶν, ἢ εἶδος βοτάνης. Ἀπολαβόντες, ἐναποκλείσαντες. Οἱ δὲ τῶν στρατιωτῶν κώμαις κεναῖς καὶ δυσεμβόλοις ἀπολαβόντες, εἰς διαλλαγὰς ἐλθεῖν αἰσχρὰς ἠνάγκασαν. Ἀπόλαυμα, ῥάπισμα ἀπὸ τοῦ ψοφεῖν. Ἀπολακτίζω, καὶ ἀπολάκτισεν ὁ ἠγαπημένος, πτῆσιν ἀπέλαυσεν. Ἀπολαχεῖν, τὸ διανέμεσθαι τὰ πατρῷα, καὶ ἄλλα τινὰ δόντα πρὸς ἴσας. διαλαχεῖν δὲ, τὸ διανεμεῖσθαι οἱ ῥήτορες εἰρήκασιν. Ἀντιφῶν, ὁπόταν ἄνθρωποι βούλωνται χρήματα διαλαγχάνειν. καὶ ἀπολαμβάνω, τὸ κεχρεωστημένον κυρίως λαμβάνω. ἀφ᾽ οὗ καὶ ἀπείληφα καὶ ἀπέλαβον. καὶ ἀπολαχεῖν, ἀντὶ τοῦ ἁπλοῦ τοῦ λαχεῖν. Ἀντιφῶν ἐν τῷ κατὰ φιλίνου, Λυσίας κατὰ Ποσειδίππου, καὶ Ἀριστοφάνης Ταγηνισταῖς. οὐ μὴν ὅγε τοὺς ἀδελφοὺς οὐ ἀπολέλαχεν.

Ἀπολαχόντος, ἀποκληρώσαντος. Ἀπολαύει, τρυφᾷ.

Ἀπολαύω, συντάσσεται γενικῇ. ὡς καὶ Λιβάνιος, βουλοίμην ἂν τῆς σῆς ἀρχῆς ἀπολαῦσαι τὸν ἄνθρωπον εἰς ἐπίδοσιν. ἔστι δ᾽ ὅτε λέγεται καὶ μετὰ αἰτιατικῆς, ἐμφαινομένης ἐκεῖ γενικῆς. καὶ ἡ μὲν γενικὴ τότε λαμβάνεται ὡς αἰτία, ἡ δὲ αἰτιατικὴ ὡς πρᾶγμα. ὡς Λιβάνιος, τοιαῦτα τοῦ παρόντος ἀπολαύσομεν καιροῦ. ἰδοὺ δὴ τῆς καιροῦ γενικῆς ὡς αἰτίας ληφθείσης, τὸ ῥῆμα ὡς πράγματι τῇ αἰτιατικῇ συνετάχθη. λέγεται δὲ ἀπολαύω, τὸ τρυφῶ. καὶ ἀπολαύω τοῦ πλούτου, ἀντὶ τοῦ εὐδαιμονῶ. καὶ ἀπολαύω ὑμῶν, ἀντὶ τοῦ εὐτυχῶ. καὶ ἀπολαύω τὸ καθ᾽ ὑπερβολὴν, καὶ ὑπὲρ χρείαν ἐμφοροῦμαί τινος, ὡς λέγεται χέομαι καὶ καταχέομαι, καὶ ἀναλίσκω καὶ καταλίσκω. οἶμαι δὲ κάλλιον εἶναι κατὰ ἀττικοὺς συντάσσεσθαι τῇ αἰτιατικῇ, ὡς Ἀριστοφάνης, ἀγαθὸν γὰρ

ἐπὶ ἀχιλλέως οὕτως ἔφρασε. χάλκεος ἦν ἐν χειρὶ, παχεῖα ἔχουσα ταρβήσασα, [illegible] μεταλαβών. τὸ δὲ ἀνέχειν [illegible] [illegible] ταρβήσασα.

Ἀπέσσυτο, [illegible] βραχυκατάληκτον [illegible] [illegible] Ὅμηρος [illegible] [illegible] Ἀπεχθάνεσθαι [illegible] Ὅμηρος [illegible]

[illegible]

θυμίαν, τὸ καταθύμιον. Ἀποθαυμάζω, τὸ ἀποτέρχομαι καὶ παραλογίζομαι. Ἀπειρούμενος, ἀποκεκλεισμένος. Ἀπεῖσαι, ἀποχωρῆσαι, [illegible] Ἀπείσομαι, [illegible] Ἀπεῖπον, ἀπηγορευκέναι. Ἀπείκασις, ἡ μείωσις. Ἀποικίσαι, τὸ κτίσαι πόλιν ἐν ἐρήμῳ. Ἀποικικός, κατοικικός. Ἄποικοι, οἱ ἐν ἐρήμῳ τόπῳ [illegible] [illegible] Ἄποινα, τὰ δῶρα, καὶ τὰ λύτρα, [illegible] [illegible]

Ἄπειρον, [illegible] Ἄπειρον, [illegible] [illegible]

[illegible]

Ἀπόδασμος, ἀπομερισμός. Ἀπόδαστοι, μερισθέντες. Ἀποδάψαι, ἀποκόψαι. Ἀποδεία, λεῖψις. Ἀποδεδειγμένοι, ἀποκεκριμένοι. Ἀποδεῖν, ἀποδεδεμένην. Ἀποδείξασθαι, τὰ ἐν διδασκαλίᾳ μαθήματα, ἅ τις ἔμαθε, λέγειν.

Ἀπόδεκτος, ἄληπτος. Ἀποδειροτομήσω, ἀποτεμῶ τοὺς τραχήλους. Ἀποδεχθέντα, ἀποδεκτά, ἀμειφθέντα. Ἀποδέκται. ἀρχή τις ἐστὶ παρ' Ἀθηναίοις οἱ ἀποδέκται, ἧς πολλάκις μνημονεύουσιν οἱ ῥήτορες, καὶ οἱ κωμικοί. Ἀνδροτίων δὲ, ἐν τῇ Ἀθηναίων πολιτείᾳ διδάσκει, ὡς δέκα τε ἦσαν, καὶ ὅτι, παραλαβόντες τὰ γραμματεῖα, ἀπήλειφον τὰ καταβαλλόμενα χρήματα τῆς βουλῆς, ἐναντίον ἐν τῷ βουλευτηρίῳ. καὶ πάλιν ἀπεδίδοσαν τὰ γραμματεῖα τῷ δημοσίῳ, καὶ ἁπλῶς ἃ πράττουσι διηγεῖ. ὅτι δὲ ἀντὶ τῶν κωλακρετῶν οἱ ἀποδέκται ὑπὸ Κλεισθένους ἀπεδείχθησαν, Ἀνδροτίων ἐν τῇ δευτέρᾳ. Ἀποδεκτόν, ἐπαινετόν. Ἀπόδεξις, ἀντὶ τοῦ ἀπόδειξις, ἰωνικῶς. Ἴωνες γὰρ πολλάκις ὑφαιροῦσι τὸ ι. Ἀποδέον, τὸ ἀχάριστον. καὶ ἀποδεόντων, λειπόντων, ἀπολειπομένων. καὶ ἀποδεῖν, τὸ ἀπολείπεσθαι. Ἀποδέουσα, λείπουσα, ὑστεροῦσα. Ἀπόδεσμος, κόσμιόν τι γυναικεῖον περικεφάλαιον. Ἀπὸ δὲ χλαῖναν βάλεν, ἀπέβαλε δὲ τὸ ἱμάτιον. Ἀποδέχομαι, ὁμολογῶ. αἰτιατικῇ καὶ γενικῇ συντάσσεται. Δημοσθένης ἐν τῷ πρὸς Ἀλέξανδρον περὶ τῶν συνθηκῶν, ἄξιον ἀποδέξασθαι ὦ Ἀθηναῖοι σφόδρα τῶν τοὺς ὅρκους καὶ τὰς συνθήκας διακελευομένων ἐμμένειν. Πλάτων ἐν Φαίδωνι, οὐκ ἀποδέχομαι ἐμαυτοῦ. καὶ Ξενοφῶν, καὶ ὑμεῖς ἀποδεχόμεθα λέγοντος. Ἀποδέων, λείπων. Ἀποδημεῖ, ἀποχωρεῖ. καὶ ἀποδημεῖν, τὸ μακρὰν εἶναι. Ἀποδημία, καὶ ἐκδημία, τὸ αὐτό. ὅταν τις ἐκ τῆς πατρίδος εἰς ἀλλοδαπὴν ἀπέρχηται. ἐπιδημία δὲ καὶ ἐνδημία, τοὐναντίον, ἐπὶ τοῦ ἐναντίου. Ἀποδιδρασκόμενος τὴν ἵππον τὴν ὁδὸν, ἀντὶ τοῦ πεπρασμένον. ὁμοίως δὲ ἔστι καὶ ἀποδίδωμι, ὃ λυτροῦμαι σημαίνει. Ἀποδίδωμι, ἀφοσιοῦμαι, ἀφιερῶ. τὸ μὲν ἀφοσιοῦμαι, καὶ τὸ ἀφιερῶ, ἐπὶ τῶν θείων ἁρμόττει. τὸ δὲ ἀποδίδωμι, καὶ ἐπὶ θείων, καὶ ἐπὶ τῶν καθ' ἡμᾶς λέγεται. οἷον, ἀντὶ τῶν ἀγαθῶν ἁπάντων τῶν ἐμοὶ γεγονότων παρὰ θεοῦ, ἀποδίδωμι χάριν τῷ θεῷ. καὶ ἀποδίδωμι τὸ λαβεῖν ἢ πωλοῦντος ἐπὶ χρέα. εἶτ' αὖθις ἀποδίδωμι τὸ ὀφειλόμενον. λέγεται δὲ καὶ παθητικῶς, ὡς τὸ ἀποδίδοται τὰ χρήματα. ἀποδίδομαι καὶ ἐπὶ ἐνεργητικῆς σημασίας, ἀντὶ τοῦ πωλῶ. καὶ ἀποδίδωμι τὸ προδίδωμι Λυκοῦργος. καὶ Ξενοφῶν, εἰς οὐσίαν τι καὶ τοὺς ἀπέδοτο. καὶ Δημοσθένης, γίνεται τῶν πριαμένων εἷς καὶ οὗτος, οὐχ ὡς τῶν ἀποδομένων τὰ ὑμέτερα, οὐδὲ τῶν πεπρακότων παρὰ Φιλίππῳ. Ἀποδιδράσκουσι τὰς φυλακάς, ὅταν ἀφύλακτος ᾖ. Ἀποδιδράσκων, ἀποφεύγων, δραπετεύων. Ἀποδίομαι, ἀπελεύσομαι. Ἀποδιοπεῖν, ἀντὶ τοῦ ἀπολογεῖσθαι λίαν. Ἀποδιώκουσιν, ἐδίωξαν.

Ἀποδιϊστῶνται, χωρίζονται. Ἀποδιοπομπεῖσθαι, ἀποτρέπεσθαι, τὴν ἀποτρόπαιον ἱκετείαν ποιεῖσθαι μακρὰν, ἀποκαθαίρεσθαι.

Ἀποδιοπομποῦ, ἀποστρέφομαι. Ἀποδιοπομπεῖσθαι, τὸ ἀποτρέπεσθαι τὸν προστρόπαιον Δία, καὶ οἱονεὶ καθαίρεσθαι τὰ δεινά. Ἀποδιατρίψουσιν, ἐγχρονίζουσι, κατατριβήσουσιν. Ἀποδοῖεν, καὶ ἀποδοῖτε, συγκεκομμένον ἔχει τὸ δοίη, καὶ δοίητε. ὡς τρίβω, τὸ ἀποδοῦναι καὶ ἐπιδοῦναι. Ἀποδόσθαι, πωλῆσαι. Ἀποδοκιμάζεις, ὡς ἄχρηστον, ἐκφαυλίσας. Ἀπὸ δόξης, ἀπὸ εἰκασμοῦ. Ἀποδράναι δεῖ, τὸ ἀναχωρήσαντα λαθεῖν ἄδηλον εἶναι, ὅπου εἰσίν. Ἀποδρᾶν, φεύγειν, τὸ ἔξω τῆς ἐξουσίας γίνεσθαι τοῦ δεσπότου. Ἀπόδραγμα, ἀπομερισμός. Ἀπέδρας, οὐκ ἀπέδρασας. ὡσαύτως ἀπέδραν, ἐπὶ πρώτου τοῦ ἑνικοῦ. καὶ ἐπὶ τρίτου τῶν πληθυντικῶν οὐκ ἀπέδρασαν. Ἀποδρύψεσθε, ἀποσπαράξετε.

Ἀποδρύπτειν, ἀφαιρεῖν. Ἀποδραθεῖν, παρὰ τὸ φρέαρ τὸ ὑπόγειον. τὸ κρημνοῦσθαι, ὅτι ῥῆμα φρέατος. ὁ λάκκος αὐτὸς, ἔφαλον. φρέαρ γὰρ, τὸ ὀρυκτόν. οὐ φρέαρ παλαίτερον. οἱ γὰρ κρημνώμενοι, οὐδὲν ὑπογράφουσιν. Ἀποδρέψω, ἐκδρέψω. Ἀποδρέψαι, ἀποσπάσαι, ἀποτρυγῆσαι. Ἀποδρέψαι, ξαίνειν, ἢ ἀποξέσαι. Ἀποδρύψουσι, καταξέουσι. Ἀποδοθῇ, πραθῇ. Ἀποδοκιμάζω, ἀποβάλλω. Ἀπόδημος, πλάνητος. Ἄπολον, βραδὺ, ἢ ἀπαγόρευσις. Ἀπέδοτο, ἐπώλησε. Ἀποδόσθαι, πεπρᾶσθαι.

Ἀπὸ δόξης, ἀπὸ δοξασμοῦ. Ἀπολοῦ, ἀπόλυσον. Ἀπολοῦ, ἀπολούσαι. Ἀποδοχμώσας, πλαγιάσας, ἢ πλατὺς ἀνακλιθείς. Ἀπὸ δ' οὔατα ἄχρις ἄμερσεν, ἄχρι τοῦ ὀστοῦ τὰ οὔατα ἀπέκοψεν. Ἀπόδρομος λέγεται, ὁ πεπαυμένος ἀπὸ τοῦ δρόμου, πρὸς ὁμοιότητα ἴσως τοῦ ἀπόμαχος. ἑτέρως ἄλλως χρῶνται τῷ ἀπόδρομος, φαμὲν ἴσως ἐν Κρήτῃ μὲν τοὺς ἐφήβους τριακάδας καλοῦσιν. ἐν δὲ Κρήτῃ ἀποδρόμους, διὰ τὸ μηδέπω τῶν κοινῶν δρόμων μετέχειν. οὕτω δὲ ὁ Καλλίμαχος, ἀπόδριχα τὴν ἄωρον ἔφη.

Ἀπὸ δρυὸς, ἢ ἀπὸ πέτρας. παροιμιώδης ὁ λόγος. καὶ ὅτι καταφατικῶς μὲν ἀπὸ δρυὸς, ἢ ἀπὸ πέτρας εἶναί τις λέγεται, ὅτι οὐκ ἔστι γένος αὐτοῦ εἰπεῖν. ἀποφατικῶς δὲ φαμὲν, ὡς οὐκ ἔστι τις ἀπὸ δρυὸς παλαιφάτου, ἢ ἀπὸ πέτρας, ὅτι οὐκ ἂν ἔχοι συγγενεῖς πόθεν εἰπεῖν. εἰ γὰρ καὶ τἆλλα μὴ ἀκριβῶς οἶδέ τις καταλέγειν. γένος γοῦν ἔχειν οἶδεν ὡς εἰκὸς, ἢ καὶ ποίου γοῦν ἐστι γῆς. εἴληπται δὲ ἡ παροιμία, ἐκ τοῦ παλαιοῦ βίου, ὅτι ἐν παλαιοῖς καὶ δρυῶν, ἀνθρώπων κυούσας, ταύτην δὲ εἶναι γεραιτέρων, ἐξετίθεσαν τὰ τέκνα, ὑπὸ τῶν γινομένων κατὰ ἀπορίαν βίου. οἷς ἐγκατελείφθησαν, καὶ κατεθραμμένοι δρυῶν, τουτέστι δένδρα κοῦφα εἰς μητέρας ἐνεγράφοντο, κατὰ τὰς μελιῶν, οὓς φησιν Ἡσίοδος. ἢ καὶ συμβολικῶς. ὅτι τινὲς οἱ τοιοῦτοι οὐκ εἶχον γονεῖς ἀνθρώπους λέγειν, ὡς ἐκ δρυῶν ἢ ψυχρῶν ἑτέρων ἐκκλαπέντες, ἐξέπεσεν ἐκ τῶν ἀγενεαλογήτων, τὸ ἐκ δρυὸς αὐτοὺς εἶναι, ἢ ἀπὸ πέτρας. εἰς δὲ τὸ ἀπὸ δρυὸς εἶναι προσενθυμητέον ἐκ τῶν παλαιῶν, καὶ τὸν (ὥς φασιν ἰαζόντων) βαλανίτην βίον. ὃς ὕστερον ἐξ ἐπιμελείας καὶ εὑρήσεως ἀλιτοῦ, ἐξέβη γε τὴν παροιμίαν, τῶν ἀλλασσομένων βίον ζῆν, ἐξ ἀρχῆς καὶ ἀνανεώσεις τοῦ προτέρου. ὃ δηλοῖ τό, οὐ γὰρ ἄκαιρα ὑπομιμνήσκειν τῶν τοῦ παλαιοῦ βίου μεταβολῶν. ἐντεῦθεν δὲ καὶ τὸ ἅλις δρυὸς, ἐπὶ τῶν λυχνῶν φασὶ καὶ ἀσθενῶς ἰδόντων. ἔστι δὲ καὶ ἄλλως εὑρεῖν τὴν φωνὴν οὕτως ἀπλούστερον, παρ' Ὁμήρῳ. εἰπὲ μοι τὰ κατὰ σέ, οὐ γὰρ ἂν εἴποις χρόνῳ μακρῷ ἀπαλλάξαι τῶν περὶ αὐτὸν μύθων, ὡς τὰ ἐκ δρυὸς καὶ πέτρας παλαιὰ διηγήματα. νοεῖται δὲ τὸ παροιμιῶδες τοῦ ἐνταῦθα ἐπὶ ἀρχαιότητος, οὐχ ὁμηρικόν ἐστι. παραγεγραμμένος δ' ἄλλως εὑρεῖν ποτε εἰπεῖν, καὶ ἐπὶ ἀρχὰς ἔθους, ἵνα τὴν μὲν τοιοῦτον ἐξ ἀπὸ δρυὸς εἶναι, ἢ ἀπὸ πέτρας. τουτέστι ξύλινον, ἢ λίθινον, ἢ καὶ ἄλλως δρυὸς, εἴτε καὶ πέτρας ἀτθάμενον ἀπόκομμα. Ἀποδύ, ἀπόδυσαι, ἀποδοῦ. Ἀποδύεσθαι καὶ ἐνδύεσθαι, ἐναντία εἰσίν. ἀποδύεσθαι μὲν λέγεται, ἐπὶ τῶν γυμνουμένων ἁπλῶς ἢ ὅλως. οἷον ἀπεδύσατο τὴν λευκήν, καὶ ἐνεδύσατο τὴν ἁλουργίδα. τὸ δὲ καταδύεσθαι, λέγεται ἐπὶ τῶν ἀποδυομένων, καὶ εἰς ἀγῶνα ἁρμοζόντων. εἶτα διὰ δειλίαν ὑποφυγόντων τὸν ἀγῶνα, καὶ ἐνδυομένων λέγεται τὸ ἀποδῦναι. ἔστι καὶ ἐπὶ τῶν ἀναδυομένων ἐκ τῆς θαλάττης. ὧν ἐναντίον τὸ καταδύεσθαι. οἷον, καταδύεταί τις εἰς τὸν βυθόν, καὶ ἀναδύεται ἐκ τοῦ βυθοῦ. Ἀποδυσάμενοι, ἀντὶ τοῦ ἀπολυσάμενοι. Ἀποδυρόμενος, θρηνῶν, πενθῶν. Ἀποδύει, ἀπολύει. Ἀποδυσπετεῖ, ἀπολέγεται, καὶ δυσθυμοῦσι τοῖς συμβαίνουσιν, ἀποδυσπετεῖν ἀναγκάζονται. καὶ ἀποδυσπετεῖν, τὸ μὴ ῥᾳδίως πίπτειν. Ἀποδύομαι, ἀφαιροῦμαι τὰ ἱμάτια. Ἀριστοφάνης, οἴμοι τάλας, ἀποδύομαι μοι ἡμέραν.

Ἀποδυσάμενος, οἰκειωθείς. οἷον, ἀποδυσάμενος τὴν πλεονεξίαν καὶ πάντα τἀγαθά. Ἀπόθυμαι, ἀπέχομαι, ἐπιθυμῶ. τὸν ὑπέρτερον ἔθαλον εἰς ... ἐπὶ τοῦ Ἀντίγονος ... σιωπῶν ἀναβιβάζει τὸν τόνον. ὡς θῦμαι, ἐπιθυμῶ. Ἀπ' εἶπεν ἀσπίδ' ἔχει δ' εἶπεν. ἀντὶ τοῦ ἀφ' ἑαυτοῦ ... τὴν ἀσπίδα.

Ἀπλήγιος, ἁπλοῦς. Ἀπληγὶς, σύμμετρος χλαῖνα, οὐ δυναμένη διπλωθῆναι. ὅπερ Ὅμηρος ἁπλοΐδα καλεῖ. Ἀπλοΐδες, ἱμάτιον μικρόν. Ἀπλοϊκὸς, ἁπλοῦς. Ἀπλοϊκώτερος, ἁπλούστερος. Ἄπλοοι, οἱ μὴ δυνάμενοι πλέειν.

Ἁπλοῦν. εἰ μὲν ἐπὶ ἄλλου τινὸς λέγεται, δηλοῖ τὸ ἀσύνθετον, καὶ οὐ πολύτροπον. οἷον ἁπλοῦν ἦθος, καὶ ἁπλοῦς. ὡς ἐναντίον τὸ ποικίλον καὶ πολύτροπον. ἀπὸ τούτου ἐπίῤῥημα τὸ ἁπλῶς. ὃ λέγεται καὶ ἀντὶ τοῦ καθόλου, τουτέστιν, ἐν ἑνὶ λόγῳ πάντα δηλῶσαι. ἢ ἁπλοῦν, ἀκριβίζοντα. καὶ ἁπλότης, ἕξις ἀκριβείας ἢ τὸ ποιὸν ἐνίμως ἔχουσα. ἢ τὸ μαθεῖν μὴ ἐπινοίας ἐξ ἑαυτοῦ πλάττειν, ἢ λαλοῦν. λέγεται δὲ τὸ μὴ συντεθειμένον, καὶ τὸ ἀκατασκεύαστον. Ἁπλοῦς, ἄκακος, ἄδολος, ἄπλαστος, ἐμφανὴς, ἀκαίριος, εὐκατάσκευος, ἐλεύθερος, εὐθύῤῥημον, εὐήθης. τὰ δὲ πράγματα, ἁπλότης, ἀκακία, ἐλευθερία, εὐθυῤῥημοσύνη, εὐήθεια. τὰ ἐπιῤῥήματα, ἁπλῶς, ἀκάκως, ἀπλάστως, ἐμφανῶς, ἐλευθέρως, εὐθυῤῥημόνως, εὐήθως. τὰ ἐναντία, δύστροπος, κακόηθες, εἴρων, ἐπίβουλος, δολερὸς, ὕπουλος, ἐπίσκιος. τὰ δὲ πράγματα, δυστροπία, κακοήθεια, εἰρωνεία, ἐπιβουλὴ, δόλος. τὰ δὲ ἐπιῤῥήματα, δυστρόπως, κακοήθως, εἰρωνικῶς, ἐπιβούλως, δολερῶς, ὑπούλως, ἐπισκίως. καὶ ἁπλοῦς νοῦς, καὶ ἁπλᾶ νοήματα. ἁπλοϊκὰ δὲ, τὰ συμβαίνοντα πράγματα, καὶ δηλοῦντα τὰ νοήματα. ἢ ἁπλοῦς, ὁ μαθὼν μὴ ἐπινοίας ἐξ ἑαυτοῦ λαλεῖν. ὥσπερ παρὰ τὸ πέλω καὶ τὸ δὶς γίνεται διπλόος διπλοῦς, οὕτω καὶ παρὰ τὸ ἃ, τὸ σημαῖνον τὸ ἓν, καὶ τὸ πέλω, γίνεται ἁπλοῦν, τὸ ἐν ὑποδήχον. Ἀπλησίρως Θουκυδίδης λέγει οὕτως, οὐ τὰς ἅπλας παντελῶς, ἀλλὰ τὰ διὰ πληρώματος ἐνδεᾶ, καὶ ἀπλόως ἐσκευασμένας. Ἄπλυτοι ῥαφανίδες, αὗται ἴσως, καὶ οὐ πεπλυμέναι. ὅ, τε θαλασσίαν ἐσθῆτα ἔλεγον. Ἄπλυτον πώγωνα, σκώπτων εἶπε.

Ἁπλῶς, συντόμως, καθόλου. καὶ ἁπλῶς χωρὶς προσθήκης, ἀντὶ τοῦ ἐξαπατήσας. ἤγουν, πρώτως. Ἀπνευστὶ, ἀπνευστί. Ἄπνοος, οὐκ ἀναπνέων κατὰ φύσιν. Ἀπνίγμενον, οὐ πεπνιγμένον. καὶ ἀπνίγμα, κινδύνους. Ἄπνους, ἄψυχος, νεκρὸς, ἄφωνος.

Ἀπὸ πρόθεσις, ἐν γενικῇ συντάσσεται, καὶ τίθεται ἐπὶ ἀρχῆς. οἷον ἀπ' ἀθηνῶν, ἀπὸ λιμένος, ἀφ' ἑτέρου. καὶ ἐν συνθέσει, ἀπόφασιν δηλοῖ. οἷον ἀπόφημι, ἀπαγορεύω. καὶ στέρησιν, οἷον ἀπόμαθον, ἀπολιμπάνω. καὶ αὔξησιν, οἷον ἀποχαρίζομαι. σημαίνει καὶ αἰτίαν. ἰώνως. Ὅ μὲν οὖν ὄφις εὐθὺς δακὼν, ἀπέκτεινεν ἀπὸ τοῦ ἰοῦ. καὶ ἄπω, πόῤῥω, μακράν. Ἀπὸ, ἀντὶ τοῦ μετὰ τίθεται. Ὅμηρος, Δεῖπνον ἕλοντ', ἀπὸ δ' αὐτοῦ θωρήσσοντο. ἤγουν, μετὰ τὸ δεῖπνον. Ἀποαγνοῖς, ἀποκαθαίρεις. Ἀπαιόρμαι, ἀφαιροῦμαι. Ἀπαίρει, ἀποκαθαίρει. κόπρισι. Ἀπαυρίσθαι, τὸ ἁρπάζειν, ὅ ἐστιν ἀφαιρεῖσθαι. κατὰ τὸ πλῆρες τὸ ἀπὸ προθέσεως μὴ συγκοπείσης. Ἀποβαδίζειν, οὐδὲν πλέον τοῦ βαδίζειν δηλοῖ. Ἀποβάθρα, ἀποβατηρία, ἡ κλίμαξ νηός. Σοφοκλῆς.

Ἀποβάθρας, τὰ λάσανα, ἃ λέγουσι χυτροπόδας, καὶ τὰ μαγειρεῖα. ὅπου τῇ βουλῇ συναγείρεται μετὰ τὰς θυσίας κρέα.

Ἀποβαίνει τὸ νοὸς, γενικῇ συντάσσεται. ἀποβαίνω, καὶ τὸ ἀπέρχεται. Ἀποβαίνοντος, ἀναβαίνοντος. Ἀποβαλβίδος, ἀπ' ἀρχῆς, ἀπὸ τῆς ἀφετηρίας. Ἀποβάλλειν, τὸ ῥίπτειν καὶ ἀφιέναι χιτῶνα, ἢ ἕτερόν τι. ἀποβάλλεσθαι δὲ, καὶ τὸ κατὰ βίαν αἱρεῖσθαί τινος. οἷον, ἀπέβαλλε τὸν πατέρα θανάτῳ. Ἀποβάλλειν, ἀποτίλλειν, τὰς τρίχας τίλλειν. Ἀποβάλλω, τὸ ῥίπτω, καὶ ἀφίημι. αἰτιατικῇ συντάσσεται, οἷον ἀπέβαλλον τῶν περὶ τοὺς λόγους τέχνην. καὶ ἐπιβάλλομαι, ἐπὶ τοῦ αὐτοῦ πολλάκις. Ἀποβαλομένη διὰ ἑνὸς λ, ἀντὶ τοῦ ἀποβαλοῦσα. Ἀπόβασις, κυρίως ἡ ἀπὸ τῆς νεὸς πρὸς χέρσον μετάβασις. ὡς καὶ παρὰ Θουκυδίδῃ, Καὶ ἀποβατήριος νομικὸν ποιησάμενος. ἀποβαίνει, καὶ τὸ ἀπέρχεται. ὡς παρ' Ὁμήρῳ, Ὣς ἄρα φωνήσας, ἀπέβη κορυθαίολος Ἕκτωρ. ἀντὶ τοῦ ἀπῆλθεν. Ἀποβατὸς, ἱππικὸν ἀγώνισμα. καὶ ἀποβαίνει, τὸ ἀγωνίσασθαι τὴν ἀποβατικήν. καὶ ἀποβατικοὶ τροχοὶ, οἱ ἐπὶ τούτου τοῦ ἀγωνίσματος. τὰ δὲ ἐν αὐτῷ γινόμενα, δηλοῖ Θεόφραστος. χρῶνται δέ φασι τούτῳ μόνοι τῶν Ἑλλήνων Ἀθηναῖοι καὶ Βοιωτοί.

Ἀποβιβασκέμεν, ἀποβαίνειν. ὡς τὸ, ἀνώγει μὲ ἀποπρόσθεν, ὡς ἂν μὴ ἀπαίνεσθαι γένοιτό σφισι, τοῦ ἀποβιβασκέμεν αὐτήν. Ἀποβιβάσαντες, ἐκβάντες. οἱ ἀναπηδήσαντες. Ἀποβήσεται, γένηται.

Ἀπὸ βωμοῦ, ἀπὸ τοῦ οὐδοῦ. Ἀποβῆναι, τὸ ἀγωνίζεσθαι τὴν ἀποβατικήν. ἀποβάτης δέ ἐστιν, ἱππικὸν ἀγώνισμα. Ἀποβλεπόμενοι, ἀντὶ τοῦ θαυμαζόμενοι. Ἀπόβλητον, ἔκλεκτον, ἀπόβλητον. Ἀποβλίττειν, ἀποπιέσαι, ἀποθλῖψαι. Ἀποβλύζω, ἀπεμῶ. τὸ βλύζω ἐκ τοῦ βάλλω, βλῶ, βλύζω. Ἀποβολὴ, ἡ πρόσπαρουσίας. ὡς ὁ Ἀπόστολος, εἰ γὰρ ἡ ἀποβολὴ αὐτῶν. Ἀποβολιμαῖος, ἀπὸ μὲν καὶ διὰ τὸ ἀποβαλεῖν τὰ ὅπλα, καὶ ἔπειτα τὸ ὑποβολιμαῖος εἶναι. Ἀπόβολον, ἀποβεβλημένον. Ἀποβουκολῆσαι, ἐκβαλεῖν, ἀπατῆσαι, ἀποπλανῆσαι, ἀποδιῶξαι. Ἀποβουκολῶ, ἀντὶ τοῦ πλανῶ ἐτέρωσε, μεταφορικῶς. καὶ ἀποβουκολεῖν, τὸ ἀποπλανᾶν. ὡς ἔφη τις τῶν σοφῶν, φθάνει ταῖς ἐλπίσιν ἡμᾶς ἀποβουκολῶν. Ἀποβράσαι, τὸ ἀποπτίσαι πυρούς, ἢ ἄλευρα, ὀθόνῃ. ἔνθεν καὶ ἀποβράσματα, τὰ σκύβαλα τῶν πυρῶν. Ἀπόβρασμα, κάθαρμα. Ἀποβράσματα, τὰ χείρονα, παρὰ Καλλιμάχῳ. οὐδὲν ἀπόβρασον φαῦλον ἀλετρίς. Ἀποβρίζειν, ἀποκοιμᾶσθαι. καὶ ἀποβρίξαι, ἀποκοιμῆσαι. Ἀποβρόχθισον, κατάπιε. Ἀποβύσαντες, ἀποκλείσαντες. Ἀπόβωμος, ἄθεος. καὶ θυσίαι ἀπόβωμοι, αἱ μὴ ἐπὶ τοῖς βωμοῖς. Ἀπογαλακτίζω, γενικῇ. ἀντὶ τοῦ ἀφαιρῶ τοῦ γάλακτος, ἢ ἀποπαύω. Ἀπὸ γὰρ ἐλοῦμαι, ὑπερβατόν.

Ἀπογεῦσαι, καὶ ἀπογευματίσαι, τὸ ἀποθρυλλῆσαι. Ἀπόγεια, ἀφελκυστήρια. Ἀπογενέσθαι, ἢ τὸ ἀναχωρῆσαι σημαίνει, ἢ τὸ ἀποθανεῖν. Ἀπογενόμενοι, ἀποθανόντες. Ἀπογιγνώσκω, τὸ ἀπελπίζω, αἰτιατικῇ συντάσσεται. οἷον, ἀπογνόντες τὴν σωτηρίαν τοῦ ἔργου. Ἀπόγνοια, ἀπόγνωσις. Ἀπογνόντες τοῦ ἐλπίδος, ἀντὶ τοῦ εἰς ἀπόγνωσιν ἐλθόντες. Ἀπογνούς, ἀντὶ τοῦ ἀπελπίσας, καὶ ἀντὶ τοῦ ἀποψηφισάμενος. Ἀπόγνωσις, ἐλπίδος αἴρεσις. Ἀπογινώσκειν, διὰ ἀπογνῶναι. Ἀπογνώσεως, ἀνέλπιστος. Ἀπόγονα, τὰ γόνιμα. ἔκγονα δὲ ἄγονα, παρὰ τῷ Ἱπποκράτει. Ἀπόγονοι, οἱ ἔκγονοι. Ἀπόγονος, υἱὸς, ὁ ἔγγονος, ὁ συγγενής. Ἀπὸ γραμμῆς, οἷον ἀπ' ἀρχῆς. ἐκ μεταφορᾶς τῶν τρεχόντων ἀφετηρίων, καὶ γραμμῆς, ἣν ἄφεσιν καὶ βαλβῖδα καλοῦσιν. Ἀπογραφὴ, ἐκ τοῦ ἂν λέγοι τις ἴσως, ἐκ χειρὶ τοῦ τελέως, ὁ ἀπογραφόμενος ἀπογραφῶν ποιεῖται, δηλῶν ὅσα τε ἔχει καὶ ὅθεν τὰ χρήματα, καὶ πόσα ταῦτά εἰσιν. ἡ ἀπογραφὴ, ἡ ἀρίθμησις, ἡ γινομένη κλήσεσι. Ἀπογράψαι, ἢ τὸ ὑπογράψασθαι, ἢ οἷον σημειώσασθαι δηλοῖ. Ἀπόγυιοι τύχαι, σιωπώμεναι. Ἀπογυμνῶ, φανερὸν ποιῶ. Ἀπογυμνώσας, ἀντὶ τοῦ εἰς ἄκρον ἀναγαγὼν, ἢ ὡς οἷον εἰπεῖν ἀπομελίσας. γυῖα γὰρ τὰ μέλη. ὥστε, οὐ μόνον λειπομελὴς ἐστὶν ὁ θάνατος, ἀλλὰ καὶ ὁ παρὰ καιρὸν ἀτέλεστος. καὶ οὕτω μὲν ὁ κακότης. κρεῖττον δέ ἐστιν εἰπεῖν, ὅτι Ὅμηρος εἰπὼν, γυμνοῖ μὲν σφῶιν ὑφ' ἅρμασιν ὠκέας ἵππους. ἤγουν χαλκοῦ βλάψω γυῖα. δύναται καὶ τὸ ἀπογυμνῶσαι αὐτῆς τὸν σημασίαν. ἐπεὶ, ὥσπερ μάχομαι καὶ ἀπομάχομαι, καρτερῶ καὶ ἀποκαρτερῶ, ἀμύνω καὶ ἀπαμύνω, καὶ ἄλλα μυρία τοιαῦτα τετυπωμένα. οὕτω καὶ γυῶ, καὶ ἀπογυῶ, τὴν αὐτὴν ἑρμηνείαν ἔχουσι, καὶ ἐν προθέσει, καὶ δίχα προθέσεως. Ἀπογυιώσῃς, ἀσθενῆ ἢ χωλὸν ποιήσῃς. καὶ ἀπογυιώσεις, βλάψεις, τὰ μέλη ἐκλύσεις. κυρίως, ἐκ τὰ γυῖα, τουτέστι τὰ μέλη βλάπτειν. Ἀποδαμνείζει, ἀποκαρτερεῖ, ἐκδέχεται. Ἀποδαρθεῖν, τουτέστι κοιμηθῆναι. ἐκ δὲ τοῦ ῥῆμα, τὸ κοιμῶμαι. ὁ δεύτερος ἀόριστος, ἔδραθον, καὶ ἐν ὑπερθέσει τοῦ α, ἔδαρθον. ὁ μέλλων, δαρθῶ. ὁ ἀπαρέμφατος, δαρθεῖν. Ἀποδάσμιοι, ἀποδιῃρημένοι.

Ἀποδασμὸς, μοῖρα. Ἀποδάσομαι, ἀπομερίσομαι.

Ἀποδιασκε.

Ἀπέρχονται, ἀντὶ τοῦ προσανέρχονται. ὡς ὁ Θεολόγος, ὡς αὐτὸς ἀπήρξατο. καὶ ἀπάρχονται, ἀντὶ τοῦ ἀπαρχὰς ἐποίουν. Λιβάνιος, ὥσπερ ἐπὶ τῶν καλῶν καὶ φρενῶν κόμας ἀπάρχονται. Ἀπέστραψεν, ἀπέλαμψεν. Ἀπέτει, ἐζήτει. Ἀπετίμησε, περιττὴν ἔκρινε τὴν προσθήκην, ὡς τὸ ἀπομείναν, ἢ ἕτερα πολλά. ἐν οἷς τὸ ἀπηλαύσθη παρὰ Σοφοκλεῖ. Ἀπέτρια, ἀπέτρια. Ἀπευθύνουσιν, ἀπέγνωσαν, ἀπαγόρευσαν. Ἀπεύρα θυμὸν, ὃ ἐστιν ἀφείλετο, ἀπέλαυσεν. ἀπηύρα ἔγχει θυμὸν, παρὰ τῷ ποιητῇ, περίφρασις τοῦ ἀπεῖλε. καὶ ἀπηύρας αὖλος, ἤγουν ἀφείλου. ἐναντίον πρὸς τὸ ἐπαυρεῖν, ὃ γενικῇ συντάσσεται. Ἀπηύρων. ἀπηύρω, ἀπηυράμην. ὁ λωτίσθος ἀόριστος, ἀπηῦρον. ἀφειλόμην, ἀφείλοντο. Ἀπευθυμόλησε, προσαπέφαγε τὰς ἐπαυλίσεις.

Ἀπέχθεια, δυσμενισμός, ἔχθρα, μῖσος, ὃ ἐστι τὸ ἀπεχθάνεσθαι. οὕτω Λυσίας, καὶ Δείναρχος. Ἀπηλὶς κυρίως, τὸ σκληρὸν καὶ φαῦλον, ἀδιάφορον, ἀπηλές, ἐχθρόν. Ἀπηχήσατο, αὐλὶς, οὗ καὶ αὐτὴν τὴν ἠχὼν ἀπεσφράγισμεθα. Ἀπηχήματα, ὑλαὶ ἀπηχολαί. Ἀπηχημένον, ἀπόβλητον, ξένον τοῦ κατὰ πάντων ἤχους. Ἀπηχὴς, ἡ λέξις ἀττική. εἴρηται κατὰ ἔνδειαν τοῦ ε. ἀπηχθὴς ὤν, οὐδ' ἂν ὡς ἀπέχοιτο. ὁ ἀπὸ τοῦ ἤχου, ὁ μὴ συνάδων ἀπὸ μεταφορᾶς τῶν μουσικῶν ὀργάνων. ὁ ἄμουσος, καὶ ἐχθρός. Ἀπολλώνιος, Καί σε θεοὶ σὺν ἀπηχέϊ αὖθις ἐπήγειρεν. Ἀπήχησις ἤχου, ὁ ἦχος, ἢ ἡ προφορὰ, ἢ ἡ ἐκφώνησις. ὁ δὲ ὁμαλισμὸς, ὁ κατὰ τόνος, ἢ ὁ ὑποβολισμός. ἡ δὲ ὀξεῖα, τοιούτης συλλαβῆς ἀναμένον ἔχουσα φθόγγον. ἡ δὲ βαρεῖα, τοιούτης ὑφειμένον ἔχουσα φθόγγον. ἡ δὲ περισπωμένη, τοιαύτης συλλαβῆς ἀνειμένον ἢ κεκλασμένον ἔχουσα φθόγγον. ἢ ταῦτα κατὰ τοὺς γραμματικούς. Ἀπήχθετο, ἐμισεῖτο. ἔχω ἔχθω, ἔχθομαι, ἠχθόμην ἤχθου ἤχθετο, καὶ ἀπήχθετο.

Ἀπήχθη, ἀπεκομίσθη, ἢ παρετράπη. ὡς τὸ, Ὁ δὲ ἀπολλώνιος τὴν γλῶσσαν ἀττικῶς εἶχεν, οὐδὲ ἀπήχθη τὴν φωνὴν ὑπὸ τοῦ ἔθνους. Ἀπηχθημένον, ἀπόβλητον. ἀπηχθισμένον δὲ, βεβαρημένον. καὶ ἀπηχθημένος, μεμισημένος. Ἀπηχῶς, σκληρῶς, ἀπηχθῶς. Ἀπῃωρεῖσθαι, κρεμᾶσθαι. ἐκ τοῦ αἰωρῶ. αἰωρῶ, ᾐώρηκα, ᾐώρημαι ᾐώρησαι ᾐώρηται, καὶ τὸ ἀπῃωρῆσθαι, καὶ ἀπηωρῆσθαι. Ἀπῃωροῦντο, τὸ θέμα, αἰωρῶ τὸ κρεμῶ. τὸ παθητικὸν, αἰωροῦμαι. ὁ παρατατικὸς, ᾐωρούμην. τὸ τρίτον τῶν πληθυντικῶν, ᾐωροῦντο, καὶ ᾐωροῦντο αἰολικῶς, καὶ ἀπῃωροῦντο. Ἀπήωροι ὄζοι, οἱ κλάδοι οἱ ἀπῃωρημένοι, τουτέστιν ἀπηρτημένοι, καὶ πόῤῥω τῆς ῥίζης ὄντες. κατὰ δὲ τίνας, ἀφεστῶτες, παρεκτεταμένοι. ἐκτείνουσι τὴν παραλήγουσαν, ὡς μὴ γινόμενοι ἀπὸ τοῦ ἀείρω, ἀλλὰ ἀπὸ τοῦ αἰωρῶ. Ἀπία γῆ, ἡ Πελοπόννησος. ὡς τὸ, ἐξ ἀπίης γαίης, ἀπὸ τῆς Πελοποννήσου. τὸ γὰρ παλαιὸν, ἐκαλεῖτο αἰγιάλεια, ἀπὸ αἰγιαλέως τοῦ ἥρωος ἰνάχου, τοῦ ἐν ἄργει τυραννοῦντος, καὶ μελίας τῆς ὠκεανοῦ. ὕστερον δὲ ἀπία ἐκλήθη, ἀπὸ ἄπιδος τοῦ φορωνέως παιδὸς, ἢ παρὰ τὸ ἄπιον, ὃ σημαίνει τὴν ἀπιδέαν, ἡ ἐν καταξήροις τόποις ὑπάρχουσα. ἐκ τοῦ πίω. γὰρ γίνεται, ὃ σημαίνει τὸ πίνω, ἀποβολῇ τοῦ ν. ἐκ τούτου γίνεται ἄπιος, καὶ τὸ θηλυκὸν, ἀπία, ἡ ἐν πολλοῖς ἔτεσι διψήσασα. ὡς Ὅμηρος, πολυδίψιον ἄργος φησίν. ἡ γὰρ πόλις ἐστὶν ἡ ἑλλάς. ἡ δὲ χώρα, ἀπία. ἢ ἀπὸ τῆς ἐκεῖ πρώτην πεφυτεῦσθαι ἀπίους, τὰς ὄγχνας, τὰς ἀπιδέας. ἄργος δὲ, ἀπὸ ἄργου τοῦ πανόπτου. πελασγικὸν δὲ, ἀπὸ πελασγοῦ. Πελοπόννησος, ἀπὸ τοῦ πέλοπος καὶ τοῦ νήσου. διὰ τὸ κρατῆσαι τῆς χώρας τὸν τάνταλον, υἱὸν πέλοπος.

Ἄλλως. Ἀπία γῆ, ἐκλήθη ποτὲ ἡ Πελοπόννησος, ἀπὸ ἄπιδος λαοῦ. ἐνταῦθα δὲ θετέον, καὶ ὅτι ἀπία ἐκείνη διχθῶς ἱστορεῖται, διὰ τὸ ἐπιδαψιλεύειν ἐν αὐτῇ τὸ φυτὸν, ὃ τὰς ἀπίους φέρει.

Ἀπιακὸς, ἄρτος ὁ μεμφιτικός. Ἀπιαλοῖς, ἀπειλαῖς.

Ἀπίαλος, ῥῖγος. Ἀπίασι, τὸ ἀπέρχονται, μετὰ προθέσεως. Ἀπιγμένοι, καὶ ἀπίκατον, ἀντὶ τοῦ ἀφιγμένοι καὶ ἀφίκοντο, λέγουσιν ἴωνες. ἀποσβέννυται γὰρ τὰ ψιλὰ, ὡσεὶ δασέων.

Ἀπ' ἰδαίων ὀρέων, ἀπὸ τῶν τῆς ἴδης ὀρέων. Ἀπιδανὸς, ποταμὸς θεσσαλίας. Ἄπιδες, θεοὶ ἦσαν τιμώμενοι παρὰ αἰγυπτίοις. σημεῖον ἔχοντες περὶ τὴν οὐρὰν καὶ τὴν γλῶσσαν, δηλοῦν εἶναι αὐτοὺς ἄπιδας. οἷς γεννωμένοις, μετὰ χρόνον ὀλίγον ἐκ τοῦ σύλλου τῆς σελήνης, ἑορτὴν μεγάλην ἦγον, καὶ ἱερεῖς ὄντες περὶ τὴν τεχθεῖσαν βοῦν ἱδρῶντες, παρεδίδοντο πανδημοσίαν, ὡς εὐωχοῦντο αὐτοῖς. Ἀπίδω, θεάσωμαι. Ἄπιε, ἀπέρχου, ἀπίθι, ἀπέρχεσθε. ἀπὸ τοῦ εἶμι ψιλουμένου. ὁ παρατατικὸς, ἤιον, ἤεις, ἤει. ἡ μετοχὴ ὁ ἰὼν, τοῦ ἰόντος. καὶ τὸ ἀπαρέμφατον, ἰέναι. ὡς τιθέναι, ὁμοίως καὶ μιλῶναι. Ἀπία, ἀλλοδαπὴ, ἀλλοτρία. Ἀπίης γῆς, τῆς πολὺ ἀφεστώσης γῆς. καὶ ἀπίας, ξένης, ἐξ ἀπίας γαίης, ἢ τῆς Πελοποννήσου. Ἀπίθανον, ἄπιστον. Ἀπιθεῖν, ἀεὶ παρ' Ὁμήρῳ γράφεται διὰ τοῦ ι. ἐπεὶ ἀπὸ τοῦ πιθῶ, δευτέρου μέλλοντος γινόμενον. παρ' ἡμῖν δὲ διὰ τῆς ει διφθόγγου γράφεται, ἐκ τοῦ ἀπειθὴς ὀνόματος. Ἀπιθοῦ, ἀπειθοῦσιν. Ἀπιθὴς, ὁ δυσχερὴς καὶ δυσανάσχετος. Ἄπιθι, ἀπέρχου, ἐκ τοῦ εἶμι. καὶ ἀπίασι, τὸ ἀπέρχονται, μετὰ προθέσεως. Ἀπιθοῦντι, ἀνυποτάκτῳ. Ἀπίκια, εἶδος πλακοῦντος. Ἀπίκιος, ὀψοφάγος. Ἀπικμάδα, ἀπηξηράναν. Ἀπ' ἰκριόφιν, ἀπὸ τῶν ἰκρίων. λέγεται δὲ καὶ ἡ τοῦ κυβερνήτου καθέδρα, ἴκριον. Ἀπικρόχολον, τὸ οὐκ ἔχον ξανθὴν χολήν. Ἀπίλλειν, Λυσίας ἐν τῇ κατὰ θεομνήστου (εἰ γνήσιος) ἀποκλείειν νομίζεται. Ἄπιμι, ἀπέρχομαι. Ἀπίμελος, ὁ μὴ ἔχων πιμελήν. Ἀπιμμένοι, πραΰνονται. Ἀπίναι, προσίναι, ἐξίναι, εκτίναι, πάντα ἀδόκιμα ἄνευ τοῦ ε λεγόμενα. χρὴ δὲ σὺν τῷ ε, ἀπιέναι, προσιέναι, ἐξιέναι, λέγεσθαι. Ἀπίνακον, ἄρτος. Ἀπινὸς, ὁ καθαρός.

Ἀπινοῦται, ἀπορυπαίνεται. πῖνος γὰρ, ὁ ῥύπος. Ἀπινύσσω, ἀπινύσσεις ἔχω, οὐ σωφρονῶ. πινυτὸς γὰρ, ὁ σωφρονῶν. καὶ ἀπινύσσω, τὸ ἀσυνετῶ, καὶ ἐκλύομαι. Ἀπίονος, πραϋνόμενος.

Ἄπιος, ἡ ὄχνη ἐκλήθη γενικῶς, ὅτι πρῶτον ἐν ἀπίᾳ γέγονεν. ἢ παρὰ τὸ ἐν ἀξηροῖς τόποις φύεσθαι, ἢ παρὰ τὴν ποιότητα τοῦ χυλοῦ αὐτῆς. καὶ ἄπιος, ἡ ἀχράς. καὶ ἄπιον. καὶ ἄπιος ἔξω τοῦ δένδρου καὶ τοῦ καρποῦ, βοτάνη τις. Ἄπις, βασιλεὺς αἰγυπτίων, καὶ ὁ παρ' αὐτοῖς ἄπις θεός. καὶ ἄπις, υἱὸς χαμίσου πρὸ τῆς κρίσεως. Ἀπισεῖν, τὸ ἀπειθεῖν. οὕτω Πλάτων.

Ἀπιστία, ἡ ἀσέβεια, καὶ ἡ ἀπείθεια. οὕτω Πλάτων. Ἄπιστος, ἀπαράπειστος, ἀπειθὴς, ἀσεβής. λέγεται δὲ καὶ ὁ μὴ πειθόμενος, ὡς φησι Πλάτων. Ἀπισῶ, καὶ πιστεύω, δοτικῇ συντάσσονται. Ἄπιτε κατὰ τάχος ἐς τὴν πόλιν, ἤγουν βαδίζετε, ἔρχεσθε. Ἀπιχειρίζεται, τὸ διὰ χειρῶν τι βιαίως κατέχειν, καὶ ἀμεταπαιτήτως ἐπ' ἐκείνῳ ἐσχηκέναι. Συνέσιος, Ὅπερ ἐκεῖ δὴ λάβοιεν πίσσαν, ἀπιχειρίζεται. Ἀπιχθὺς παρὰ Ἀριστοφάνει, ὁ ἰχθύων ἄγευστος, ἢ ὁ μὴ ἐσθίων ἰχθύν. οὕτως δὲ καὶ τὴν ἀσιτίαν, ἀπασίαν ὀνόμαζον. Ἀπιὼν, ἄπιτε. φεύγων, ἀπολισθαίνων, καὶ ἀπιὼν, πορευόμενος, ἀπερχόμενος. Ἀπλᾷ, εὐθέα. ἐκ τοῦ ἀπλῶ, ὃ σημαίνει τὸ ἐξ εὐθείας ταῖς παλάμαις ἐκτείνω. ἐξ οὗ τὸ, Ὁ δέ ἐμὲ παλάμαις ἐν τῷ σταυρῷ ἥπλωσας. Ἀπλᾶς, ὑπολύματος εἶδος. Ἀπλάκητον, ἀναμάρτητον. Σοφοκλῆς Τραχινίαις. Ἀπλακοῦ, πολλοί. κύησις. Ἄπλαστα, ῥυπαρά.

Ἀπλᾶς, φασὶ Καλλίστρατος, τὰ μονόπελμα τῶν ὑποδημάτων. Ἄπλαστον, ἀληθινὸν, ἄδολον. Ἄπλετοι, ἀπροσπέλαστοι, μεγάλοι διαπαιρόμενοι, καὶ διακεχυμένοι. Ἄπλετον, πολὺ μέγα, ἀπλήρωτον, ἄπειρον, ἀχώρητον, ἀμέτρητον. οἷον ἄπλεθρον, ἢ τὸ μὴ πλεόμενον. Ἄπλαρος, ὁ μὴ ἔχων βουλὴν, ἢ πλάνην. Ἀπλῆ, μονοειδής. Ἀπληκεύω, μένω. Ἀπλήκτον, τὸ κατάλυμα. Ἀπλήμων, ἄπληστος. Ἀπλῆν, ἁπλοῦν γνώριμον. Ἄπληξ, ὁ μὴ πεπληγμένος. Ἄπληστος, ἀχόρταστος. Ἀπληστία, ἡ ἀδηφαγία. Ἄπλητα, ἄπειρα, πολλά. παρὰ τὸ πλῶ, πλάσω, τὸ πελάζω, πλητὸς, καὶ ἄπλητος, ὁ ἀπρόσιτος.

Ἀπλέτῳ.

ζεῦγος ἀπέχω τὸν μισθὸν ἔχοντα διὰ τὴν ἀπαιτίαν. καὶ ἀντὶ τοῦ διίστω. Ἡσίοδος, χεῖρα γὰρ ἀτάλαντον οὐκ ἠδύναντο ἀλλήλων ἀπέχειν. καὶ ἀπέχω ἀντὶ τοῦ ἀπολαμβάνω. Σωσίστρατος, ἀπέχω τὴν χάριν.

Ἀπέψα, ἀπέπαυσεν. Ἀπεψησάμην, κατεμαξάμην. ἀποψῆν λέγουσι, τὸ ἐκμάσσειν. ὡς Ἀριστοφάνης ἐν Πλούτῳ, ἀποψώμεθα δ' οὐ λίθοις ἔτι, ἀλλὰ σκοροδίοις ὑπὸ τρυφῆς ἑκάστοτε.

Ἀπεψηφίσαντο, τουτέστι κατεδίκασαν. Ἄπεφθον, οἱ πολλοὶ λέγουσι, τὸ μὴ πεφθῆναι τὰ σιτία. σὺ δὲ, ἐξειργασμένον ἂν λέγοις. Ἄπεφον, τὸ ξίφος, διὰ τοῦ ο μικροῦ. ἄπεφων δὲ τὸ ἀπεκτόνιζον, διὰ τοῦ ω μεγάλου. Ἀπέψυχε, ἀπεκαρτερήθη. Ἀπέψυχον, ταυτόν ἐστι τῷ ἀνέψυχον. ὡς τὸ, ἱδρῶ ἀπεψύχοντο, ἀντὶ τοῦ ἀνεψύξαντο. τὸ μέντοι ἀποψύχειν, ἐπὶ τοῦ ἐναντίως λειποψυχίαν ἢ θάνατον δηλοῖ, παρὰ τοῖς μεθ' Ὅμηρον. ἀποψύχων δέ γε, Λυσιμάχης παρ' Ἡσιόδῳ ἔχει. εὕρηται δὲ καὶ ψύχειν παρ' Ὁμήρῳ. καὶ ἀπέψυχον, πρὸς τὸ πνεῦμα ἐξηραίνοντο.

Ἀπεψωλημένοι. Ἀριστοφάνης Πλούτῳ, ἐπεὶ ἀπεψωλημένοι. ῥαίνοι δ' ἀκραλέφθαι. Ἀπεώρητον, ἀμετεώριστον. Ἀπεωρούμενον, κρεμάμενον. Ἀπεώσατο, ἀπεσείσατο, ἀπετινάξατο.

Ἀπέωσεν, λέξις Ἀττική, καθὰ καὶ τὸ ἐξέωσε, καὶ συνέωσεν. ἔστι δὲ ταυτὸν τῷ ἐξῶσεν. ἐξ οὗ, ἀπεῶσαι ἐξῶσαι καὶ ὦσαι λέγονται.

Ἀπήασι, ἀπῆλθον. Ἀπηβηκώς, τὴν ἀκμὴν παρελθών.

Ἀπηγγέλθη, ἐμηνύθη. Ἀπηγῆν, ἰσχυρὸν, ἀπότομον. καὶ ἀπηνῶς ἰσχυρῶς, σκληρῶς. Ἀπηγωνισμένοι, ἀπηγωνισμένοι.

Ἀπηγωνισμένος, ἐν χρόνῳ τὸν ἀγῶνα ἀντιτάξας.

Ἀπηγμένος, ἀπαγόμενος. Ἀπήγξατο, βρόχον ἥψατο.

Ἀπηγόρευκα, ἀπαλόγημαι. Ἀπηγορευμένα ὀνόματα οὐκ ἐρεῖς, ἀλλὰ ἀπόρρητα μόνον. εὕρηται δὲ καὶ ἐπὶ ἀρσενικοῦ, παρὰ Συνεσίῳ ἐν ἐπιστολῇ. ἀπορρὴς ἄνθρωπος, ὅτι ἀπηγόρευται, ἢ ἀπηγορευμένος. Ἀπηγορευμένα, ἄρρητα. Ἀπηγορευμένος, ἀποβεβλημένος. Ἀπηγόρευον, ἀπέκαμνον, ἐταλαιπώρουν.

Ἀπηγόρευται, κεκώλυται. Ἀπηγορεύσομαι, ἀντὶ τοῦ ἀπολογήσομαι. Ἀπῆεν, ἀντὶ τοῦ μακρὰν ἦλθεν. κατονομάζεται δὲ οὕτως. εἶμι τὸ πορεύομαι, ἐνεστώς. ὁ μέλλων εἴσω, καὶ αὐτὸς ἄχρηστος. ὁ μέσος παρακείμενος, εἶα. καὶ διαλύσει ἤια. καὶ τροπῇ τοῦ ι εἰς η ἦα. μένοντος τοῦ ι προσγεγραμμένου. ὁ ὑπερσυντέλικος, ᾔειν ᾔεις ᾔει, ὥσπερ ἐτύπειν, ὥσπερ ἄρτι ἔλεγον. καὶ ἐκβολῇ τοῦ ι, ᾔεσαν, καὶ ἐξῄεσαν, καὶ μετῄεσαν. Ἀπήεσαν, παρῆλθον, παρέδραμον. Ἀπηθάδησαν, ἐξηπάτησαν, ἢ ἀπέσβεσαν.

Ἀπήκει, ἀπέχει, εἰς ὀξὺ συνήγει. Ἀπηκολλήριστον, ἐν τῷ παραβεβλημένῳ ἀπεστράφθαι. λέκυθε. Ἀπήκοοι, οἱ μὴ ὑπήκοοι.

Ἀπῆκται, ἀπηνέχθη. καὶ ἀπῆκται, ἀπῆλθε. καὶ ἀπηκτὸς, ὁ πεφασμένος. Ἀπηλεγὴς, σκληρός. Ἀπήλασεν, ἐδίωξεν.

Ἀπήλαυσε, μετέσχεν. οὔτε Κλέων, οὔτε Βρασίδας ὁ τῆς συμφορᾶς αἴτιος, ἀπήλαυσεν. Ἀπηλγηκὼς, ἀναίσθητος, παρὰ τὸ ἄλγος. καὶ ἀπηλγηκότες, μηκέτι θέλοντες πονεῖν, ἀναίσθητοι γενόμενοι, ἀποκαμόντες. Ἀπηλεγέως, ἀπολελεγμένως. ἢ τὸ ἀφροντίστως, καὶ προφανῶς. ἀπὸ τοῦ ἀλέγω. σημαίνει καὶ τὸ ἀληθῶς καὶ ἁπλῶς. ἔστι δὲ καὶ τὸ σαφῶς. τίθεται δὲ καὶ ἀντὶ τοῦ ἀποτόμως, καὶ συντόμως. Ἀπηλιαστὴς, μισόδικος, παρὰ Ἀριστοφάνει.

Ἀπηλιώτης, ὁ ἄνεμος, καὶ ἀπήλιος, καὶ ἔπηλυς, καὶ πάντα τὰ ὅμοια, ψιλῶς. Ποσείδιππος ἐν τῷ ἐκλογῷ. Ἀπηλλάγη, ἐχωρίσθη. ἐκ τοῦ ἀπαλλάττω, ὁ μέλλων ἀπαλλάξω. ὁ ἀόριστος, ἀπήλλαξα. ὁ δεύτερος, ἀπήλλαγον. ὁ παθητικὸς ἀπηλλάγην. ης. η. καὶ ἀπηλλάγησαν, ἐτελεύτησαν, ἢ ἰδίως ἐσώθησαν. Ἀπήλλαξο, ἀπηλλαγμένος ἴσθι. Ἀπαλλάξειν, ἀντὶ τοῦ ἐλευθερώσειν. ἀπαλλάξει με δίκης, καὶ ἀπαλλάξειν ἡμᾶς πραγμάτων. ἐκ τοῦ ἀπαλλάττω. καὶ ἀπαλλάξειν ὁ δεῖνα τῶν κακῶν, κάλλιον ἢ ἀπαλλάγη. καὶ ἀπαλλαξείοντες, ἤγουν ἀπαλλάξειν μέλλοντες. ἢ ἀπαλλάξειν, ἀντὶ τοῦ ἀπελθεῖν. ὁ μὲν δὴ πρῶτος σόλος Λακεδαιμονίων οὕτως ἀπήλλαξεν. Ἀπηλοίησεν, ἀπέκοψεν. ἀπὸ τοῦ ἀλοιῶ, ἀλοιῶ, ἠλοίησα. ὅθεν καὶ πατραλοίας, ὁ τὸν πατέρα τύπτων. Ἀπηλωμένος, ὁ ἀπὸ τῆς ἅλω συγκεκομισμένος, μετὰ τὸ ἀλοηθῆναι, ὅ ἐστι πατηθῆναι. Ἀπημάλδυνον, ἤμβλυνον, ἠφάνισαν.

Ἀπαλότροφος φόρβη, ἱερὸν ἐν τῷ πήχει. Ἀπαμβλύνει, ἐκκαθαίρει σκότους καὶ ἀλλοιώσεως. Ἀπαμβλύνεσθαι, ἀμβλύζειν, ἐμπόριον. Ἀπάμεια, πόλις συρίας. ἀπὸ ἀπαμίας, τῆς σελεύκου μητρός. ὁ πολίτης, ἀπαμεύς. Ἀπαμείβομαι, ἀνταποκρίνομαι. Ἀπαμείρεται, ἀποχωρίζεται, ἀποστερεῖ, ἀφαιρεῖται. ἐκ τοῦ μείρω, τὸ μερίζω. καὶ μετὰ τοῦ ἐπιταλικοῦ α, ἀμείρω. καὶ ἐν συνθέσει, ἀπαμείρω. Ἀπαμύνετε χηροῖ φίλοισιν, ἀντὶ τοῦ συλλέξειν. ἐκ μεταφορᾶς τῶν ἀμυνόντων. οὕτω καὶ κύων τις ἐπαμῦναι χηροῖ, καὶ τέσσαρα. Ἀπαμύνονται, ἀντεβοήθουν. Ἀπαμυνοῖ, ἀποτρέψει. Ἀπαμυνεῖ, βοηθεῖ. Ἀπαμφιάζουσι, γυμνοῦσι. Ἀπαμφιάσαντες, ἐκδύσαντες. καὶ ἀπαμφιεῖ, ἀποκαλύψει. ὡς τὸ, ἀπαμφιεῖ γὰρ

τὸ κα-

ρίθην. ἀφήρημαι, ἀφηρέθην. καὶ ἡ χωρὶς τοῦ ἔχοντος τὸ ρ̄ μετὰ ἐπιπλοκῆς συμφώνου, ἢ μεταβάλλουσι τὸ ᾱ εἰς ε̄ ἐν τῷ ἀορίστῳ. οἷον ἔγραμμαι, ἀπὸ τοῦ ἐγράφην ἐγράφθην, τέτραμμαι ἐτρέφθην.

Ἀόριστος δεύτερος παθητικὸς, γίνεται ἀπὸ τοῦ δευτέρου ἀορίστου ἐνεργητικοῦ. οἷον, ἔτυπον ἐτύπην, τροπῇ τοῦ ο̄ εἰς η̄. Ἀόριστος μέσος πρῶτος, γίνεται ἀπὸ τοῦ ἀορίστου πρώτου ἐνεργητικοῦ, προσθήκῃ τῆς μην συλλαβῆς. οἷον ἔτυψα ἐτυψάμην, ἔλεξα ἐλεξάμην, ἐνόησα ἐνοησάμην. Ἀόριστος μέσος δεύτερος, γίνεται ἀπὸ τοῦ δευτέρου ἐνεργητικοῦ, ἐπενθέσει τῆς μην συλλαβῆς. οἷον ἔτυπον ἐτυπόμην. Ἀορίστως, ἀπολύτως. Ἀόρατος, ἀμυδρῶς.

Ἄορνις, λίμνη περὶ Κύμην. ἐπεκλήθη δὲ οὕτως, διὰ τὸ μηδὲν ὄρνεον δύνασθαι ὑπερίπτασθαι. καὶ ὁ μὲν Λυκόφρων, λίμνην λέγει τὴν ἄορνιν, καὶ ἕτεροι δὲ, περὶ τὴν [illegible]. θερμὴν, ἐζέετο, ὡς οὐδὲν ζῶον γίνεται. πολλὰ γάρ. Ἄορνις. περὶ τὴν ἐν Βαΐαις πόλιν κόλπος ἐστὶν ἰσθμὸς, ποιῶν Χερρόνησον, ἔχουσαν ἰσθμὸν ὀλιγοστάδιον, ἀγχιβαθὴς φασὶ, καὶ ἀρτίστομος, περικεκλεισμένος ὀφρύσιν ὀρθαῖς, συνηρεφὴς ἀγρίᾳ ὕλῃ μεγαλοδένδρῳ, καὶ ἀβάτῳ. ἐν ᾧ μῦθος, τὰς ὄρνις ὑπερπετεῖς γινομένας, καταπίπτειν εἰς τὸ ὕδωρ, φθειρομένας ὑπὸ τῶν ἀναφερομένων ἀέρων, ὡς ἐν τοῖς πλουτωνίοις. διὸ καὶ τοῦτο τὸ χωρίον, πλουτώνιον ὑπελάμβανον. Ἄορνος πέτρα, ἐν τῇ ἰνδικῇ. ἀρχαϊκός. μέγα γὰρ ἦν χωρίον πέτρας ἐν ταύτῃ εἶναι. ἔστι δὲ καὶ λίμνη οὕτω καλουμένη. ταύτην ἀλίσκεσθαι εἶναι, ἣν τοῦ Ἡρακλέους ἄπορος ἐγένετο ἡ πεῖρα.

Ἄορον, μοχλὸν, πελῶρα, θυρωρόν. Κύπριοι. Ἀορτὴν, ἣν λέγουσιν οἱ πολλοὶ νῦν, ἀρτηρίαν. μακεδονικὸν δὲ καὶ τὸ σακκίον, καὶ ὄνομα. καὶ ἀορτὴ φλὲψ, ἡ μεγάλη. Ἀορτὴρ, ὁ λῶρος, ἐν ᾧ τὸ ξίφος κρέμαται. παρὰ τὸ αἴρω, ἀρτήρ. καὶ πλεονασμῷ τοῦ ο̄, ἀορτήρ. αὐτὰρ περὶ κουλεὸν ἦν, ἐν χρυσέοις ἀορτῆρσιν.

Ἀορτήρεσσι χρυσείοις ἀργυρέος, ὅ ἐστι χρυσοῦς εἶχον ἀορτῆρας, ἤγουν ἀναφορεῖς. καὶ ὡς ἄοις εἴσω διαπεπαρμένος, βαστάζεται. ἢ παρὰ τὸ ἀείρω. ἐξ οὗ καὶ πήρα, ἀορτήρ. Ἄορτρον, τὸ ἀπηρτημένον τοῦ πνεύμονος μέρος, παρὰ τῷ Ἱπποκράτει. Ἄος, πνεῦμα, ἢ ἄσμα. Ἀοσσητὴρ, ὁ δίχα ὄσσης βοηθῶν. τουτέστιν, ὁ ἴδιμος καὶ ἀπροφάσιστος ἐπίκουρος. καὶ ἀοσσητῆρα λέγει ὁ ποιητὴς, τὸν ἀσυνδίαστον βοηθὸν, καὶ δίχα ὄσσης ἀρήγοντα. Ἄοσον, ἄμισον. Ἀόσματα, τὰ τῶν [illegible] κοιτῶν ἄχυρα. Κύπριοι. Ἄουτον, ἀνίκητον, ἄτρωτον.

Ἄοψ, ἀνόφθαλμος.

ΤΟ Α ΜΕΤΑ ΤΟΥ Π.

Ἀπαβεῖδον, ἐμμελῶς. λάκωνες. Ἄπαγε, παῦσαι, μὴ γίνεσθαι. ἢ ἀντὶ τοῦ χρῆ ἢ ἀπάγου. οὕτω Δημοσθένης. καὶ παροιμία, ἄπαγε ξένον ἐν Κεραμεικῷ, ἐπὶ τῶν ὀχληρῶν. καὶ ἄπαγε, ἀντὶ τοῦ ἀπαγωγῆς χρῆ. ἀπαγωγὴ δὲ, εἶδός ἐστι δίκης, ἢ δόξης, ἐν τῷ κατὰ κοινόν. ὠνόμασαι δὲ, ἀπὸ τοῦ ἀπάγειν ἀπάγεσθαι δὲ, ἐπὶ τῶν κακούργων. ἀπήγετο δὲ, πρὸς τοὺς ἕνδεκα. Ἄλλως. Ἄπαγ' εἰς μακαρίαν, δυσφημία. γράφεται δὲ καὶ ἔρρ' εἰς μακαρίαν, κατ' εὐφημισμὸν, ἀντὶ τοῦ εἰς ὄλεθρον. ἐπεὶ καὶ οἱ τεθνεῶτες μακαρῖται λέγονται. ἦν δὲ ἡ μακαρία, Ἡρακλέους θυγάτηρ, ἣν Ἀθηναῖοι ὑπὲρ αὐτῶν ἀποθανοῦσαν, πολυτελῶς ἔθαψαν. Ἄλλως. Παροιμιῶδες, τὸ βάλλ' εἰς μακαρίαν. ὅπερ οἱ μὲν κατ' εὐφημισμὸν εἰρῆσθαι λέγουσιν, ἀντὶ τοῦ βάλλ' εἰς δυσδαιμονίαν. μακαρίαν γὰρ, ἐν ᾅδου χωρίον ὑπονοοῦσιν. οἱ δὲ τὴν μακαρίαν, θυγατέρα φασὶ τοῦ Ἡρακλέους. ἥτις κατὰ τὴν ἐπὶ τὰς Ἀθήνας Εὐρυσθέως στρατείαν, τῶν Ἀθηναίων μὴ ἐκδιδόντων αὐτῷ τοὺς Ἡρακλείδας, πρὸς τὸν τοῦ ἐλέου βωμὸν καταφυγόντας, χρησμοῦ δοθέντος τοῖς Ἀθηναίοις νικήσειν, εἴ τις τῶν Ἡρακλειδῶν πρὸς θάνατον ἑκούσιον ἐκδῷ ἑαυτὴν, κατέσφαξεν ἑαυτήν, ὡς ἐν Ἡρακλείδαις Εὐριπίδης. ἧς τὸν τάφον ἄνθεσι καὶ στεφάνοις ἐτίμησαν οἱ Ἀθηναῖοι, ὅθεν τῶν ὀργιζομένων πολλοί τινων, ἐπίλεγον, τὸ βάλλ' εἰς μακαρίαν. Ἀπαγγέλλειν. ὅτι ταύτην τὴν λέξιν, παρ' Ὁμήρῳ δηλοῦται σαφῶς. ἐν τῷ, ἢ οἱ ἀπαγγέλλουσι, καὶ εὖ οἱ ἴδμεν. Ἀπαγγέλλω, τὸ μηνύω, καὶ διηγοῦμαι, δοτικῇ συντάσσεται. καὶ ἀπαγγέλλω, τὸ τὰ παρ' ἑτέρου εἰρημένα ἢ γεγραμμένα ἀπὸ στόματος λέγω. καὶ τὸ λέγω, ἢ φράζω, ἅπερ ἐγὼ εἶδον καὶ γινώσκω. Ἀπάγξ, γενικῇ συντάσσεται. οἷον, ἀπάγω τοῦ ἄλσους, δηλονότι ἐμαυτόν. σημαίνει δὲ τὸ μακρὰν ἄγειν, καὶ εἰς τοὐπίσω κομίζειν, καὶ ἀναφέρω. δικανικῶς, ἄπαγε τὴν ἵππον ἐξ ἀγορᾶς εἰς ἀγρόν(?). καὶ ἀπάγει μετὰ γενικῆς ἐλλειπτικῶς, τῆς αἰτιατικῆς λαμβανομένης. οἷον, ἀπάγω τοῦ ἄλσους, ἐμαυτὸν δηλονότι. ἀντὶ τοῦ ἐκτρέπομαι, καὶ τὴν ὁδὸν ποιοῦμαι. καὶ παρὰ Συνεσίῳ, ἄπαγε τοῦ νόμου, ἀντὶ τοῦ κατάλειψον καὶ ἄφες. Ἀπάγειν, ἐφορμᾶσθαι, χωρίζεσθαι, δικάζεσθαι. τοῦτο ἰδίως ἐπὶ τῶν ἐπ' αὐτοφώρῳ κατηγορούντων λέγεται. ἐὰν μὲν πρὸς δικαστὴν ἡ διαδικασία γίνεται, καλεῖται δικάζεσθαι. Ἀπάγιλος, ὁ μηδέπω συναγελαζόμενος παῖς, ὁ μέχρις ἐτῶν ἑπτακαίδεκα κρητῶν. Ἀπαγκωνισάμενοι, ὀπίσω τὰς ἀγκῶνας. Ἀπάγχονται, δι' ἀγχόνης κατάγονται. Ἀπάγεται ἐπὶ αἰχμαλωσίαν, ἤγουν περιαγμένος τὰς χεῖρας. καὶ ἐπὶ καταδίκην. οἷον, ἀπάγεται τὴν ἐπὶ θάνατον, ἢ ἀπάγεται ὁ λῃστὴς, καὶ ἦγεν περιαγμένος τὰς χεῖρας. περιάγω γὰρ τὰς χεῖρας, ὅπερ εἰς τοὐπίσω δεσμοῦ. περιάγω, καὶ τὸ πᾶσι καταφανὲς ποιῶ. καὶ περιενήνεκται παρὰ τῷ Συνεσίῳ, ἐς τοιαύτην σημασίαν.

Ἀπάγοντες, ἀποκτείνοντες, ἀπελαύνοντες, τὴν ψυχὴν ὑπάγοντες.

Ἀπαγορεύω, ἀποφαίνει, ἀποκρίνεται, ἀρνεῖται. ἀπαγορεύω τοῦ φιλίππου. Ἀπαγόρευσις, ἀπόφασις. Ἀπαγορεύω, μὴ λέγω, καὶ ἀπαγορεύω λέγειν. καὶ ἀπαγορεύω, τὸ ἀρνοῦμαι, αἰτιατικῇ συντάσσεται. οἷον, ἀπαγορεύουσι τὴν εἴσοδον, ἤγουν ἀποκλείουσι. καὶ ἀπαγορεύω, τὸ ἀποκάμνω. οἷον, ἀπαγορεύοντες τὴν πρὸς στρατείαν ἀπέπλευσαν. καὶ ἀπαγορεύω ἀμεταβάτως, ἀντὶ τοῦ ἐκδίδωμι. καὶ ἀπαγορεύω τὴν νοσοῦντα, ἤγουν ἀπελπίζω. καὶ ἀπαγορεύω τὴν ἁμαρτίαν, ἤγουν ἀποτίθεμαι. καὶ ἀπαγορευθὲν, μὴ ποιεῖν τόδε. Ἀπάγουσιν, ἀντὶ τοῦ ἄγουσι, καὶ περιττὴ κεῖται ἡ πρόθεσις. σημαίνει δὲ αὕτη ἡ λέξις, καὶ τὸ ἀποσπᾶν, καὶ λαμβάνεσθαι. ὡς τό, ἀπάγουσι βόας. Ἀπαγραφεὶς, ἀφαιρεθείς. Ἄπαγχος, ὀχυρὸς περὶ τὰς ἄγχας. Ἀπαγωγάς, αἰχμαλωσίας, ἀδικοπραγίας. καὶ ἀπαγωγὴ, μήνυσις ἔγγραφος. λεγομένη τοῦ ἄρχοντος περὶ τοῦ δεῖν ἀπαχθῆναι τὴν δεῖνα. ὡς τό, ἐνταῦθα ὁ λῃστὴς, κατὰ πρόφασιν ἀπαγωγῆς ἀφικόμενος. τὸ νῦν ἀπαγωγὴ, δίκης εἶδος. ὠνόμασαι δὲ ἀπὸ τοῦ ἀπάγειν. ἀπήγοντο δὲ οἱ κακοῦργοι πρὸς τοὺς ἕνδεκα. Ἀπαγωγὴ δ' ἐστιν, ὅταν μετὰ τὴν ἀπόφασιν ἐξέρχηταί τις, ὡς καταδίκης τοῦ δικαστηρίου. Ἀπάγω, τὸ μακρὰν ποιῶ ἵστασθαι. καὶ ἀπάγει τοῦ δείπνου τὴν δεῖνα, ἀντὶ τοῦ δειπνεῖν. καὶ ἀπάγει τὴν δεῖνα τοῦ δεῖνος, ἀντὶ τοῦ κομίζει. ἢ ἀπάγει τὴν δεῖνα, παρὰ τοῦ δεῖνα. ἢ ῥᾷστα συλλαβόντες ἀπήγαγον παρ' ἐμέ. Ἀπαγὼν, ἀφελών. Ἀπᾷδει, ἀπᾴδουσιν, οὐ συμφωνεῖ. ἢ ἀπᾴδει ἀπηχεῖ(?). ἢ ἀπᾷδον, οὐ συνῳδόν. Ἀπᾴδοντα, ἀλλότρια. Ἀπᾴδοντες, ἀπαρέσκοντες.

Ἀπαιωρούμενον, ἀπαιροῦντα. Ἀπαιδεία τοῦ νοῦ, ἢ ἀπὸ τοῦ κτίσεως ἀναλγησία(?). Ἀπαθὴς, ὁ πάσης ὕλης χωρὶς, καὶ ὑπὸ ταύτης οὐδαμῶς τυπωθῆναι δυνάμενον. ἢ τὸ πάθους χωρὶς, ὃ πάσης ἀφῆς ἀνώτερον. καὶ ἀπαθὴς, τὸ ὑγιαῖνον ἐν τῷ τεθνάναι μᾶλλον, ἢ ἐν τῷ ζῆν. Ἀπαθῆ, ἀντὶ τοῦ τὰ μὴ ὡς ἀληθῶς γεγονότα πάθη. καὶ ἀπαθῆ, ἄλυπον. Ἀπαθὴς παρὰ τοῖς ἀθλητικοῖς οὐ λέγεται ὁ ἀσθενὴς καὶ κατ' ἀρετὴν ζῶν, ἀλλ' οἱ ἔξω πάθους παντὸς σωματικοῦ, καὶ δυσχερείας ἄλλας δυνάμενος φθορὰν ἐμποιῆσαι τῷ σώματι. καὶ ἀπαθὴς, ἀνάλγητος, ἀβλαβὴς, ἄτρωτος, σκληρός. Ἀπαίζειν, κορύσσεσθαι, παραλαλεῖσθαι. Ἀπ' αἰγείρων,

μενα, καὶ ἐπιλεθόμην τῇ ἀφροδίτῃ. Ἄοιγον, τὸ ἀλέθριον.

Ἀοιδάων, ᾠδῶν, φωνῶν. Ἀοιδὴ, ἡ ᾠδή. Ἀοιδιάει, ᾄδει, ὑμνεῖ. Ἀοίδιμον, μέση λέξις ἐστί. καὶ οὐκ ἀεὶ ἐπὶ ἐπαίνου λαμβάνεται. Ἀοίδιμος, ὁ ᾀδόμενος. ἢ ἀοίδιμος, ὁ ἀοίδιμος. παρὰ τὴν ἀοιδὴν, ἀοίδιμος. ὡς φορὰ τρόφιμος. σημαίνει τὸν ἐν ᾠδαῖς ἀεὶ μνημονευόμενον, ἢ ὀνομαζόμενον. ἢ ἀοίδιμος, ὑμνητός. Ἀοιδοὶ, περιβόητοι, ὀνομαστοί. ἢ ἐντεῦχοι.

Ἀοιδοπόλος, ὁ περὶ τὰς ᾠδὰς ἀναστρεφόμενος. Ἀοιδὸς, κιθαρῳδός. προϋπάρχει ῥῆμα, τὸ ἀείδω. ἔφαμεν δὲ, ὅτι ἔθος ἔχουσιν οἱ ποιηταὶ, παραλαμβάνειν τὰ ὀνόματα τοῖς ἀφ' ὧν γεγόνασι. πτόλιος, πόλις. μάχη, ἐμάχοντο. βοῦς, βοηλάτην. οὕτω καὶ ἀοιδὴ, ἀοιδὸς, ἀοιδιάουσα. ἀείδω, ἀοιδός. καὶ Ὅμηρος, ἀνδρ' ἀοιδιάει. καὶ ἀοιδὸς, φαντασίας. Ἀοιδοὺς, ἐμμέτρους.

Ἄοικος, ἀπόρως. οἶκος γὰρ ὁ πλοῦτος. ἢ ἄοικος, ὁ ἄπορος, ἢ ἀλήτης, ἢ ἀπρόσοιχος. καὶ ἄοικον, ἄπορον. Ἄοιπα, ἐπεὶ τὰ κεφάλαια. Ἀοίνοι, αἵμασι. Ἄοινος, ἐπὶ τοῦ μὴ γευσαμένου οἴνου, καὶ ἐπὶ τοῦ μὴ ἐχόντων οἶνον. Ἀοιρεὺς, τὰς μακράς τε τὰς πέτρας. οἱ δὲ μεγίστας. ἄλλοι ἀφυλάκτους. Ἀολλέες, ὁμοῦ συνηγμένοι, παρὰ τὸ ὁμοῦ εἰλεῖσθαι. ἀπὸ γὰρ τοῦ εἰλῶ ῥήματος, τοῦ σημαίνοντος τὸ συστρέφω. ἢ ἀπὸ τοῦ εἰλῶ ῥήματος, ὄνομα ἰλλὰς, καὶ μετὰ τοῦ ἐπιτατικοῦ α, ἢ τοῦ ἀθροιστικοῦ, ἤγουν τοῦ σημαίνοντος τὸ ὁμοῦ, ἀολλὰς. καὶ τροπῇ τοῦ ι εἰς ο ἀολλὰς. ἡ εὐθεῖα τῶν πληθυντικῶν, ἀολλέες. ἐκ δὲ τοῦ ἀολλὰς, γίνεται ἀολλίζω. Ἀολλὲς, συνάγει, συναθροίζει. καὶ ἀολλίσασα, ἀθροίσασα. Ἀολλισθῆναι, συναθροισθῆναι.

Ἀολλίζειν, φίλη λέξις ποιηταῖς. Ὅμηρος, αἳ δ' ἄρ' ἀόλλισσαν κατὰ ἄστυ γεραιάς. καὶ ἀολλίσασα γεραιάς. Ἀολλέων, ταχέως πόλιν ἔχων. Ἀονίεσσα Φαίακοις, ἀντὶ τοῦ Βοιωτικοῦ. ἀονία γὰρ, τὸ πρότερον ἡ Βοιωτία. Ἄορον, ἰσθμαίαν. Ἀορίστου, διακονήσου, ὑπηρετοῦ. Ἄοροι, μάγειροι, ὑπηρέται, θεράποντες, ἀκόλουθοι. Καλλίμαχος. Ἄορος, ἀδιάτροφος.

Ἄοπνος, ἄυπνος, ὁ ἀόρατος. Ἀοπῆα, ἀντὶ τοῦ ἀέρατα, καὶ οὐχ ὁρῶντα, ἀλλὰ δόξαντα ὁρᾶσθαι. Ἀλφεῦν ἀληθείας ὑπάρχω. Ἄορ, τὸ ξίφος. κυρίως δὲ, ἡ σπάθη. ἐτυμολογεῖται δ' ἄν, ἀπὸ τοῦ αἴρω τὸ φονεύω. ἢ ἀπὸ τοῦ α στερητικοῦ, καὶ τοῦ ὁρῶ τὸ ποιοῦν τὸν ἄνθρωπον μὴ ὁρᾶν. ἀορασίας γὰρ αἴτιον ἐκπεμπτικόν πᾶν ξίφος. καὶ κλίνεται, ἄορος ἄορι. ὑπαλλάξαντα δὲ μετὰ τὸ εἶπε, κατὰ σύμβολον ἄορ ἀνασχομένη. Ἄορας, Ὅμηρος ἐν τῇ ὀδυσσείᾳ, τὰς γυναῖκας λέγει, παρὰ τὸ αἴρω, τὸ συζεύγνυμι. ὡς καὶ ἡ ἰλιὰς ἀλόχους, ἐκ τοῦ ἁμιλλωμένους ὥρισε. τουτέστι ταῖς γυναιξίν. ἄορ γὰρ ἐκ τοῦ αἴρω, τὸ συζευγνύω. ἡ γενικὴ ἄορος, καὶ πληθυντικὴ αἰτιατικὴ, ἄορας. μετατεθέντος ἡ ἄορ, ἐποίησε τὸ ἄορ ἄορος, ὅθεν ἀορίζειν, καὶ ἄοικος. ἔγραψε δὲ ἄορα γράφουσι χωρὶς τοῦ σ, ἤγουν ξίφη. ὡς ἂν λέγοι κατὰ μὲν πρώτην γραφὴν, αὐτοὶ μεγάλα, τινά. οἷον γυναῖκας δμωὰς, ἢ λέβητας, ἅπερ τις ἀξίως μεγάλους δίδωσι. ἀλλὰ ἀπόλλυσι, τοὺς ῥαθέντας. κατὰ δὲ τὴν ἑτέραν γραφὴν, αὐτῶν οὐ ξίφη, καὶ τάδε τινὰ τιμῆς ἄξια, ἀλλὰ ψωμοὺς βραχεῖς τινάς. Ἀόρατον, τὸ καθάπαξ ἀδύνατον ὁραθῆναι. οἷον, ἡ φωνή. ἢ ὁ τῇ φύσει ὁρατὸν, μὴ ὁρώμενον δέ. ὅπερ ἐστὶ, τὸ ἐν σφαίρᾳ. ἢ ὃ μὴ πέφυκεν ὀφθαλμοῖς σαρκὸς ὑποπεσεῖν. ὡς ὁ νοῦς ὁ ἡμέτερος. ἢ ὡς ὁ ἐν τῷ βυθῷ σίδηρος. ὃς ὁρατὸς φύσει ὑπάρχων, ἀποκέκρυπται διὰ τὴν ἐπιπρόσθεσιν τοῦ ἐπικειμένου αὐτῷ σώματος. Ἀόρατος, ὥσπερ τὸ καλύπτεσθαι τὴν γῆν ὑπὸ τοῦ ὕδατος. ὡς τὸ, Ἡ δὲ γῆ ἦν ἀόρατος. φύσει γὰρ ὁρατή. διὰ δὲ τὴν ἐπιπρόσθεσιν τοῦ ἐπικειμένου αὐτῇ ὕδατος, ἦν ἀόρατος. Ἀόργητος, ὁ μὴ ὀργιζόμενος. Ἄορας, αἱ γυναῖκες λέγονται, καὶ τρίποδες.

Ἄορι, τῷ ξίφει. Ἄορνος, λιμὴν, ἢ λίμνη. Ἀόριστον, τὸ ὅρον μὴ ὑποβεβλημένον, καὶ κατεχόμενον. οἷον, τὸ κατ' οὐσίαν θεὸς, τὸ μόνον ἄπειρον. ζητεῖ περὶ ἀορίστου, ὡς τὸ τί ἦν εἶναι περὶ ὁρισμοῦ. Ἀόριστος πρῶτος, ποτὲ μὲν φύσει μακρῷ παραλήγεται, ὡς ἐπὶ τοῦ ἐποίησα, ἐνόησα, ἐποίησα. ποτὲ δὲ θέσει, ὡς ἐπὶ τοῦ ἔγραψα, ἔγραψα. ποτὲ δὲ φύσει καὶ θέσει, ὡς ἐπὶ τοῦ ἤλειψα. ποτὲ δὲ βραχεῖᾳ, ὡς ἐπὶ τοῦ ἐτέλεσα, ἐπόρισα, ἐγέλασα. ὅθεν καὶ ἀπαλειπτέον εἶπον οἱ ποιηταὶ διπλασιάζοντες τὸ σ, ἵνα μακρᾷ παραλήγηται. ἐτέλεσσα γὰρ, καὶ ἐπόρισσα, καὶ ἐγέλασσα λέγεσιν. Ἄλλως. Ἀόριστος πρῶτος ὁριστικὸς, εἴτε παραλίγεται ἀπὸ τοῦ βαρυτόνων ῥημάτων, εἴτε ἀπὸ τῶν περισπωμένων, εἴτε ἀπὸ τῶν εἰς μι. ἀεὶ γίνεται ἀπὸ τοῦ μέλλοντος, τροπῇ τοῦ ω εἰς α, καὶ προσλήψει κατὰ τὴν ἀρχὴν τῆς αὐξήσεως συλλαβικῆς, ἢ χρονικῆς. καὶ ἀεὶ φυλάττει τὸ τοῦ μέλλοντος σύμφωνον. οἷον τύψω, ἔτυψα, λέξω ἔλεξα, ποιήσω ἐποίησα, φράσω ἔφρασα, φανῶ ἔφηνα, θύσω ἔθυσα, τείσω ἔτεισα, βοήσω ἐβόησα, χρυσώσω ἐχρύσωσα. ἔθηκα ὤφειλεν εἶναι, ἀλλὰ ἔθηκα ποιεῖ. ἔδωσα ἔδωσα ὤφειλεν εἶναι, ἀλλὰ ἔδωκα ποιεῖ. ἄξω ἦξα, ἀγερῶ ἤγειρα, ὀρύξω ὤρυξα. χωρὶς τοῦ ἦκα, ἀπὸ τοῦ ἵημι. ἤνεγκα ἀπὸ τοῦ ἐνέγκω. ἔθηκα, ἀπὸ τοῦ τίθημι. ἔδωκα, ἀπὸ τοῦ δίδωμι. καὶ ἧκα, ἀπὸ τοῦ ἵημι, τὸ πέμπω. ἀντὶ τοῦ ἧψα, ἤνεγξα, ἔθησα, ἔδωσα, ἧσα. Ἀόριστος δεύτερος, ἐπὶ τῶν βαρυτόνων ῥημάτων ἀεὶ συστέλλει τὴν παραλήγουσαν, χωρὶς τοῦ εἶπον, καὶ ἦλθον, ἦκον, εἶδον, εἶδαρ, ἔλιπον, ἦγον, εἶτ' ἤγαγον. ἔπαρδον, ἔδαρκον, καὶ ἔδρακον κατὰ μετάθεσιν. ἔκραξον, ἤνεγκον, καὶ ἔπεφνον. ἐπὶ δὲ τῶν περισπωμένων κατὰ μὲν φυλάττει μακρά. ὅτι τὰ ἔχοντα δύο σύμφωνα, φυλάττουσι μακρὰν τὴν παραλήγουσαν τοῦ δευτέρου ἀορίστου, ἐπὶ τῶν περισπωμένων. οἷον χθεμῶ ἔχθεμον, ὀλισθῶ ὤλισθον, βλαστῶ ἔβλαστον, ἀλαλκῶ ἤλαλκον, ἁμαρτῶ ἥμαρτον. τὰ δὲ μὴ ἔχοντα δύο σύμφωνα, συστέλλουσι τὴν παραλήγουσαν τοῦ δευτέρου ἀορίστου. οἷον, λακῶ ἔλακον. χωρὶς τοῦ δουπῶ ἔδουπον, κτυπῶ ἔκτυπον, καὶ ἐνίοτε ἔκτυπον. Ἄλλως. Ἀόριστος δεύτερος, ὁριστικὸς, ἀπὸ τοῦ πρώτου γίνεται, τροπῇ τοῦ τελευταίου εἰς ον βραχύ, καὶ τῆς ἐντιθεμένης τοῦ συζυγίου τοῦ χαρακτηριστικοῦ συμφώνου. οἷον, τύπτω ἔτυπον, γράφω ἔγραφον. καὶ φιλεῖ ἐν τῇ παραληγούσῃ ἔχειν τὸ δίχρονον φωνῆεν. ὅθεν ἐὰν μὲν ἐν δισυλλάβῳ ῥήματι γίνηται τὸ η, γινομένη τῆς ἐκφορᾶς ἀμετάβολος, ὡς ἐπὶ τοῦ πλεῖστον φυλάττει εἰς α ἐν τῷ δευτέρῳ ἀορίστῳ. οἷον δέρω ἔδαρον, πέρθω ἔπραθον, πλέκω ἔπλακον, τέλλω ἔταλον. τὸ δὲ λέγω καὶ φλέγω, ἔλεγον καὶ ἔφλεγον ποιοῦσιν. ἐὰν δὲ η, τρέπεται εἰς α βραχύ. ὡς ἐν τῷ λήθω ἔλαθον, λήθω ἔλαθον. ἐὰν δὲ ω, εἰς α ὁμοίως. οἷον τρώγω ἔτραγον. ἐὰν δὲ δύο δίχρονα γίνηται, τὸ δεύτερον ἐκβάλλεται. οἷον καίω ἔκαον, φαίνω ἔφανον, παύω ἔπαυον. ἐὰν δὲ ει δίφθογγος, ἐκβάλλεται τὸ ι. οἷον πείθω ἔπιθον, λείπω ἔλιπον. χωρὶς τῶν δισυλλάβων ῥημάτων τῆς πέμπτης συζυγίας, ἐφ' ὧν τὸ ι ἐκβάλλεται, καὶ τὸ ε εἰς α τρέπεται. ὡς ἐν τῷ σπείρω ἔσπαρον, φθείρω ἔφθαρον. ὀφείλω δὲ ὤφελον, διὰ τοῦ ε. καὶ ἐγείρω ἤγρον, καὶ αἴρω ἦρον. τρισύλλαβα γὰρ εἰσίν. ἐὰν δὲ ευ, ἐκβάλλεται τὸ υ. οἷον φεύγω ἔφυγον, τεύχω ἔτυχον. ἐὰν δὲ ου, ἐκβάλλεται τὸ ο. οἷον, ἀκούω ἤκουον. Ἀόριστος πρῶτος παθητικὸς, ἀπὸ τοῦ τρίτου προσώπου τοῦ παθητικοῦ παρακειμένου γίνεται, τροπῇ τοῦ τελευταίου εἰς ην, καὶ ἐκβολῇ τοῦ συμφώνου κατὰ τὴν ἀρχὴν, καὶ τροπῇ τῶν ψιλῶν εἰς δασέα. οἷον, τέτυπται ἐτύφθην, λέλεκται ἐλέχθην, πέπεισται ἐπείσθην, πέφρασται ἐφράσθην, κέκλιται ἐκλίθην. ἐκρίθην δὲ καὶ ἐκλίνθην, ποιητικά. πεποίηται ἐποιήθην, βεβόηται ἐβοήθην. ἐμνάσθην, προσέλαβε τὸ σ. ὤφειλε γὰρ εἶναι ἐμνήθην, ἀπὸ τοῦ μέμνηται. ὁμοίως ἐρρώσθην, ἀπὸ τοῦ ἔρρωται. ἀλλ' ἐσώθην ἀπὸ τοῦ σέσωσαι, ἀντὶ τοῦ ἐσώθην, ἀπέβαλεν τὸ σ. ἐσπάρται ἐσπάρθην, μεμίανται ἐμιάνθην, καὶ πέφανται ἐφάνθην. καὶ τὴν παραλήγουσαν τοῦ παρακειμένου φυλάττει. ὡς τέτυμμαι ἐτύφθην, λέλεγμαι ἐλέχθην. χωρὶς τοῦ εὕρημαι, εὑρέθην, καὶ οὐχ εὑρήθην. καὶ ἐπλύνομαι ἐπλύνθην. καὶ χωρὶς τῶν συντιθεμένων ἀπὸ τοῦ αἱρῶ περισπωμένου ῥήματος, οἷον καθῄρημαι καθῃρέθην,

Ἄνωμος, ὁ μὴ ἔχων ὦμον. Ἀνωμολογῆσθαι, σαφῶς ἢ γενναίως γνωσθῆναι. Ἀνωμαλαδιάζειν, ἀνωμάλως μερίζειν.

Ἀνωμαλοκρεῖς, ἀνωμάλως κινούμενα. οἱ δὲ, διαλύμενα.

Ἄνων, ἀνόνων. Ἀνώνυμος, ἄδοξος. Ἀνωνίμως, ἀδόξως. Ἄνωξις, βούλευσις. Ἀνώπιστον, ἀόρατον, ἀπαθάνατον, ἀνεπίστρεφον. Ἀνωργισμένον, τὸ ἀνακεκμαλαγμένον. οὕτως Ἱπποκράτης. Ἀνωρίας, οὐκ ἀπαλλομένος. Ἀνωρθίαζεν, ἀντὶ τοῦ ὀρθίοις βοῶντος ἔλεγεν. οὕτως Ἀντιφανίδης. Ἀνωρθιασμένον, τὸ ὀρθότατον. Ἀνορθοσαίμην, ἀνορθίαζον. Ἀνώσαντες, ἀνακρίναντες πλοῦν ἐς πόλιν. τουτέστιν ἀποθέμενοι τὴν ναῦν ὑψοῦ ἐν νοτίῳ, ὥστε πλεῖν. κυρίως δὲ ὠθεῖν τὸ ἀπὸ χθαμαλωτέρων ἀνατείνειν εἰς ὑψηλότερον. Ἀνωσόν, ἐγκλητόν.

Ἀνωφέλητος, ὁ μὴ ὠφελημένος. ἀνωφελὴς δὲ, ὁ μὴ ὠφελῶν. Ἀνώφλιον, τὸ ὑπέρθυρον. Ἀνωφύεσθαι, ἀναβλαστάνουσα. Ἄνωχθι, κέλευσον. κατεπλάσθη ἐκ τοῦ ἄνωγε, ἢ παρὰ τὸ ἀνώγημι, τὸ προστακτικὸν ἀνώγηθι. τροπῇ οὖν τοῦ γ εἰς χ, καὶ συγκοπῇ, ἄνωχθι. ἢ ἄνωχθι, ἐκ τοῦ ἀνωγῶ παρεσπασμένον γενέσθαι φασίν. οὐ παρατατικὸς, ὁ ἀνώγεον. ἀνωγῶ γὰρ, ἀνώγημι, ὅθεν ἀνώγηθι, καὶ ἐν συγκοπῇ ἄνωχθι. τραπέντος τοῦ γ συνήθως εἰς χ. ὡς καὶ ἐπὶ τοῦ βρέγμα βρεχμὸς, καὶ τοῖς ὁμοίοις. ὅτι δὲ δοκεῖ καὶ μεταπλάζεσθαι ἐκ τοῦ ἄνωγε καθ' ἕτερον προστακτικὸν, διελέγχεται καὶ αὐτό. Ἀνωχμον, κελευστικόν.

ΤΟ Α ΜΕΤΑ ΤΟΥ Ξ.

Ἄξαι, κόλασαι. προστακτικόν. Ἀξάντων, κατεάξαντος. Ἄξαν γυναῖκας, ἐπὶ αἰχμαλωσίᾳ κεῖται παρ' Ὁμήρῳ. ὅθεν καὶ ἡ ἀπαγωγὴ, παρὰ τὶς ἕτερον. ἔτι δὲ καὶ τὸ ταυτικὸν ἀγώγιμον. οὐ περὶ ἐνθαλικόν ἐστι, τὸ ἄξων ἐν εἴναις γυναῖκας. Ἄξενον, τὸν εὔξεινον πόντον φησὶν ὁ Ἀπολλώνιος. οἱονεὶ, κακόξενον, τοῦ α σημαίνοντος τὸ κακόν. πρότερον μὲν γὰρ ὑπὸ λῃστῶν περιοικούμενος, ἄξενος ἐκαλεῖτο. ὕστερον δὲ, εὔξεινος τὸ μετὰ ταῦτα ἐκλήθη. Ἀξίαινε, ἐνεγκεῖν. Ἀξενοι, οἱ μὴ ἔχοντες τὴν ξενοδοσίαν. Ἄξενος, ἀπαξίωτος.

Ἀξιῶσαι, ἀγαγεῖν, ἀφίεσθαι, παραγενέσθαι. Ἀξίσας, τραχεῖαν. Σοφοκλῆς Σίνωνι. Ἀξία, τιμὴ, καθῆκον, ἀξίωμα.

Ἀξιάγαστος, ἀξιοθαύμαστος. Ἀξιαπογενότατα, ἄξια ἀφηγήσεως, ἄξια τοῦ ἀφηγεῖσθαι. Ἀξιεῖ, ἀντὶ τοῦ ἀναλύεται. ὁ ἄξω μέλλων ἀντίφασιν εἰς ἐκεῖνα. καὶ τὸ προστακτικὸν, ἄξον ἀξάτω, ἄξατον ἀξάτων, ἄξατε ἀξάτωσαν. Ἀξιεπιθύμητον, ἐπέραστον. Ἀξιέπαινος, ὁ ἄξιος ἐπαίνου. Ἀξιέραστος, ὁ ἀξιεπιθύμητος, ὁ ἄξιος ἐπιθυμεῖσθαι. Ἀξίνη, δίστομος πέλεκυς.

Ἀξιοῖ, ἀντὶ τοῦ δικαιοῖ. Ἀριστοφάνης, σὺ δ' ἀξιοῖς ἴσως με θεῖν. περὶ ταῦτα καὶ φρόνει. καὶ Ἀρκεσίλαος, οὐ γὰρ ἠξίωσαν οὐδὲ ἐν τῷ πρῶτον ἐκθήσεσθαι. καὶ ἀξιοῖ, ἀντὶ τοῦ καθικετεύει. Λιβάνιος, ἀξιῶ δέ σε μὴ ἀνιαρῶς ἀκούειν, μετὰ πολλάκις καὶ κλαυσαμένου. καὶ ἀξιοῖ, ἀντὶ τοῦ νομίζει, ὡς Αἰσχύλος. Ἄξιον παρ' Ἀττικοῖς, τὸ εὔωνον. Ἀριστοφάνης, οὐ πώποτ' ἀφύας εἶδον ἀξιωτέρας. ἤγουν εὐωνοτέρας τῆς ἀξίας τιμῆς. ἀξιωτέρα, εὐωνοτέρα.

Ἄξιον, τὸ ἄτιμον. Ἀξιόλογον, ἱκανόν. Ἀξιομαχεῖς, δυνατώτεροι. Ἀξιόμαχοι, ἱκανοὶ μάχεσθαι. Ἀξιομνημόνευτος, ἄξιος μνημονεύεσθαι. Ἄξιον, εὔωνον. Ἀξιόπιστος, ἀξιόχρεως. Ἄξιον ἀλφεῖ, παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ. ἡ εὐτελέστερον, ἀντὶ τοῦ εὑρίσκει τὸ ἄξιον, ἤγουν τὴν ἀξίαν τιμὴν, ἢ κατὰ γένος ἀρσενικὸν, ἑλληνιστικῶς. τὸ γὰρ τέλειον, ὦνον ἀλφεῖ. ὡς καὶ ἀλλαχοῦ κεῖται. Ὅτι δὲ τὸ ἄξιον καὶ ἐπὶ τοῦ εὐώνου ἔκειτο παρὰ τοῖς ὕστερον Ἀττικοῖς, δηλοῖ σαφῶς καὶ ὁ κωμικὸς, ἔν τε ἄλλοις, καὶ ἐν τῷ ἀξιωτέρας ἀφύας. Ἄξιον. ὅτι ἀντάξιον Ὅμηρος λέγει, διελέγχεται ἀλλαχοῦ. οἱ δὲ ὕστερον Ἀττικοί, ἄξιον καὶ τὸ εὔωνον εἶπον. σημαίνει δέ ποτε ἡ λέξις καὶ τιμιώτατα, ὡς δῆλον καὶ ἐκ τῶν ἐν ἀξίαις, ὅ ἐστι τῶν ἐν ἀξιώμασιν. τοιοῦτον δέ ἐστι, καὶ τὸ ἐξ παλαιοτέρων. τὸ ἐξ ἀξίας γοῦν ξένον ἀπάγξασθαι. γίνεται δὲ τὸ ἄξιον, ἐκ τοῦ ἄγω ἄξω. οἱονεὶ τὸ ἐπαγωγὸν, ὡς δηλοῖ. ὡς δὲ καὶ ὄνομα ποταμοῦ, ὁ ἄξιος, οὐκ ἄδηλόν ἐστιν. Ἀξιάγαστος, ἀξιομνημόνευτος. συλλεκτικόν, ἄξιος λόγου, ἄξιος μνήμης. Ἀξιοπρεπέστατον, ἀξιολογώτατον, ἄξιον ὑφηγήσεως. Ἀξιοπιστία, ἡ πίστωσις. καὶ ἀξιόπιστος, οὐχὶ ὁ καταπλαστος λέγεται. Ἄξιος τριοβόλου ἄνθρωπος. καὶ ἄξιος, οὐχ ὁ περὶ πολλοῦ. καὶ ἄξιός ἐστι μισεῖσθαι ὑπὸ τῆς πόλεως ἐχθρὸς. καὶ ἄξιος, ποτνιμὸς παιδείας. Ἀξιούμενος, παρακαλούμενος τυγχάνων. Ἀξιόχρεως, ἀξιόπιστος. ἀξιοχρέως, ἱκανῶς. ἐπὶ μάρτυρος ταυτὸν δέ ἐστι τῷ ἀξιοπίστῳ. ὡς ἐνταῦθα καὶ παρ' Ἀριστείδῃ. ἀξιόχρεως μάρτυρας τοὺς κωμικοὺς ὀνομάζοντες. ἔτι δὲ λαμβάνεται ἀντὶ τοῦ ἁπλῶς ἀνθρώπων, ἤγουν τὸ δηλοῦται τὸ ἀξιοπίστου. τίθεται γὰρ τότε, ἀντὶ τοῦ ἁπλῶς ἀξίου. Ἀξιόμαχος, ἰσοδύναμος. ἦν δὲ ἔχων πατὴρ ἀξιόμαχον. Ἀξιοζήλως, ἐπαινετῶς. ὁ δὲ ἐν ὀφθαλμοῖς τῶν ἑκατέρων ἑαυτὸν ἀξιοζήλου δεικνύς. Ἀξιοχος. Αἰσχίνης ὑπὸ συμμαχικοῦ διαλόγου ἔγραψεν, ἀξίοχος καλούμενος. Ἀξιομνημόνευτος, ὁ ἄξιος μνημοσύνου. Ἀξιῶ, τὸ παρακαλῶ. αἰτιατικῇ συντάσσεται μόνῃ. οἷον, ἀξιῶ ὑμᾶς ὦ ἄνδρες, ἀντὶ τοῦ παρακαλῶ ὑμᾶς. Ἀξιῶ, ὅταν γενικῇ συντάσσηται, σημαίνει ἄξιον κρίνω. οἷον, ἀξιῶ σε τοῦ δῶρου. καὶ ἀξιῶ σε τιμῆς, ἤγουν ἄξιον κρίνω. καὶ ἀξιῶ σε ἐλέους. καὶ πῶς ἀξιώσει τὴν γεννομένην τῆς ἀθανασίας. Ἀξιῶ, τὸ ὑπολαμβάνω, σημαίνει καὶ τὸ ἱκετεύω, καὶ τὸ νομίζω. ἢ ἀξιῶ σε ποιεῖν τόδε. καὶ ἀξιῶ σε τοῦδε, ἢ ἀμφότερα ἀντὶ τοῦ ἄξιον κρίνω. Ἀξιῶ τὸ παρακαλῶ, τὸ ἄξιον κρίνω, καὶ τὸ τιμῶ. ἀφ' οὗ ἀξιούμενος, ὁ τιμώμενος. καὶ ἀξίωμα, ἡ τιμὴ, καὶ ἡ παράκλησις παρὰ τῇ θείᾳ γραφῇ, καὶ τὸ μέγεθος. Ἀριστείδης ἐν τῷ παναθηναϊκῷ, τὸ μὲν οὖν ἀξίωμα τοῦ παντὸς ἀγῶνος, ἤγουν μέγεθος ὡς αὐτὸς, καὶ τὴν ἀξίωσιν τῆς ἀρετῆς, ὡς ἐλάττω τῶν ἐλπίδων. φέρεται καὶ ἡ ἀξιωματικὴ παρὰ φιλοσόφοις, ἡ λεγομένη κοινὴ ἔννοια. οἷον ἀξιοῦσί τινες τὸν οὐρανὸν σφαιροειδῆ εἶναι. Ἀξίωσιν, τιμήν. ὡς τὸ, τὸν δὲ βασιλέα ὄντα κατ' ἀξίωσιν τῆς τρίτης μοίρας, καταλιπεῖν τὴν χώραν, καὶ πλῆθος τῶν ὑπηκόων. Ἀξίωμα, ἡ ἱκετεία. ὡς ὁ Δαβὶδ, εἰσέλθοι τὸ ἀξίωμά μου ἐνώπιόν σου κύριε. καὶ ἀξίωμα, βούλημα. Ἀξιῶται, εἶδος τρυβλίου. Ἄξομαι, κάλλιον τοῦ ἄξω.

Ἄξον. ἄγω, τὸ κλῶ. ὁ μέλλων ἄξω, ἀόριστος ἦξα, καὶ τὸ προστακτικὸν ἆξον. Ἄξεον, τὸ ἄτιμον. Ἄξονες, ἐν οἷς οἱ Σόλωνος νόμοι ἐγεγράφοντο. οἱ δὲ πρόγονοι ὑπῆρχον πίνακες. ἄξονες, καὶ αἱ πράξεις τῶν ἀρετῶν. Ἄξος, ὕλη παρὰ Μακεδόσι, καὶ πόλις Κρήτης. Ἄξων, ξύλον τὸ τοὺς τροχοὺς φέρον. Ἀξύλευτον, ἄκοπον. Ἄξυλον, πολύ. ὅθεν οὐδεὶς ξυλοφορεῖ, ἢ ἐκκοπὴν νέμον. Ἀξυγγενὴς, ἀλλότριον κατὰ γένος. Ἀξυρὸς, ἄξυρον, ἄτομον, ἄτιμον, ἀμβλύ. Ἀξύμβλητος, ἀπαράβατος. ἢ δυσνόητος. Ἀξύστατον, οὐ συνεστῶτα, οὐδὲ πυκνὸν, ἀλλ' ἀραιόν.

Ἀξυλία, ἡ ἔνδεια τῶν ξύλων. Ἄξυλος, ἀκαθάριστος, πολύξυλος. Ἀξύμμετρον, τὸ ὑπὲρ τὸ μέτρον. Ἄξυλος ὕλη. ἡ δασεῖα καὶ πολύξυλος, κατὰ ἐπίτασιν. ἢ κατὰ Πορφύριον, ἀφ' ἧς οὐδεὶς ἐξυλεύσατο. ἣν ξύλοχον λέγει Ὅμηρος. Ἄξω, ἀγάγω, φέρω. καὶ ἄξω ἐνταῦθα, καὶ ἐκεῖσε. ἀπάξω δὲ, τὸ ὀπίσω ἄξω.

Ἄξων, ὁ διάμετρος τοῦ κόσμου εὐθεῖα, διὰ τῶν πόλων ἐκβαλλομένη, μέσην μὲν ἔχουσα τὴν γῆν, τοὺς δὲ δύο πόλους πέρατα. καὶ περὶ τοῦτον μέσον ἡ σφαῖρα στρέφεται. καὶ ἄξων, τὸ διὰ τῶν τροχῶν διῆκον ξύλον, περὶ ὃ στρέφονται.

ΤΟ Α ΜΕΤΑ ΤΟΥ Ο.

Ἀοζάνω, διακονέω, ὑπηρετέω, ὑπουργέω. Ἄοζοι, πολύοζοι, πολλὰ ξύλα καὶ κλάδους. λέγει δὲ τοὺς μαγείρους. ὄζος γὰρ, ὁ κλάδος. Ἀοία, δένδρα κοπτόμενα.

μος, ἢ λόγος, ἢ δίκη θεοῦ. Ἄντυγος, ἶσος, ὅμοιος. ἢ ἐναντίος.

Ἀντωδὴ ἢ ἀντιστροφὴ παρὰ τῷ Ἀριστοφάνει, ὁμοία οὖσα τῇ ᾠδῇ καὶ στροφῇ, κατά τε τὰ κῶλα, καὶ τὰ μέτρα. ὡς τὸ παρὰ τῷ Ἀριστοφάνει, Ἀμφί μοι αὖτε φοῖβ' ἄναξ Δήλιε κυνθίαν ἔχων. Ἀντωμένη, ὑπαντῶσα, συναντῶσα, ἐντυχοῦσα, ἱκετεύουσα. Ἀντώμενοι, συμβαλόντες. Ἀντωμοσίαν λέγει Ἀριστοφάνης, γράμματα ἃ ἀντεγράφοντο περὶ ὧν ἡ δίκη, ὅ, τε κατηγορούμενος, καὶ ὁ κατηγορῶν ἀναφέρουσι πρὸς τὴν ἀρχήν. καλεῖται δὲ οὕτως, ἐπειδὴ ἑκάτερος αὐτῶν ἀντώμνυσιν. ὁ μὲν τἀληθῆ κατηγορήσειν, ὁ δὲ τἀληθῆ ἀπολογήσεσθαι. ἄλλως. ἀντωμοσία, γραφὴ καθ' ἣν ἑκάτερος ὤμνυε, περὶ ὧν ἠδικῆσθαί φησι. ἀντωμοσία δὲ, ὁ ἑκατέρωθεν γενόμενος ὅρκος ὑπὸ τῶν δικαζομένων. τοῦ μὲν ὡς πράξαντα διώκειν, τοῦ δὲ ὡς οὐκ ἔπραξεν ἀποφάσκειν. ἐξωμοσία δὲ, ἄρνησις σὺν ὅρκῳ, ὡς ἀδυνατοῦντος, ἢ παρὰ καιρὸν ὄντος αὐτῷ τοῦ λειτουργεῖν.

Ἀντονομασία ἐστὶ, λέξις ἐπιθέτων ἢ συνωνύμων ὀνομάτων, ἴδιον σημαίνουσα. ὡς ἐν τούτῳ, Πηλείδης δ' ἐξαῦτις ἀταρτηροῖς ἐπέεσσιν Ἀτρείδην προσέειπε. δηλοῖ γὰρ διὰ τούτων τόν τε Ἀχιλλέα, καὶ τὸν Ἀγαμέμνονα. καὶ πάλιν, Θάρσει τριτογένεια φίλον τέκος. ἔστι ἐν ἄλλοις, φοῖβος ἀκερσεκόμης. τὸ μὲν γὰρ τὴν Ἀθηνᾶν, τὸ δὲ τὸν Ἀπόλλωνα δηλοῖ. Ἄλλως. Ἀντονομασία ἐστὶ, λέξις ἢ φράσις, διὰ τῶν ὁμωνύμων ὀνομάτων τὸ κύριον παριστῶσα. ὡς ὅταν δύο ὄντων ἐγνωσμένων ἀνθρώπων τὸ αὐτὸ κύριον ἐχόντων, θέλωμεν ἐξ αὐτῶν ἑνὸς μνήμην ποιήσασθαι, καὶ οὐ λέγομεν κύριον ὄνομα διὰ τὴν ὁμωνυμίαν, ἀλλὰ ἐκ τῶν συμβεβηκότων ὀνομάτων τὸν Καλλίαν, ἢ τὸν νίκτην λέγοντες. εἰ δὲ σημεῖα ἔχει πάθη, τὸν χωλὸν, ἢ τὸν φαλακρὸν λέγοντες. καὶ πάλιν διὰ μὲν λέξεως φοῖβος λέγε, ἀντὶ τοῦ Ἀπόλλων. καὶ ἐννοσίγαιος, ἀντὶ τοῦ Ποσειδῶν. διὰ δὲ φράσεως, οἷον, λητοῦς καὶ Διὸς υἱὸς, ἀντὶ τοῦ Ἀπόλλων. ἔνιοι δὲ τὴν ἔλλειψιν καὶ τὴν ἀντονομασίαν ὑποτάττουσι τῇ συνεκδοχῇ. Ἀντωνυμίαι πρωτότυποι, οἷον, ἐγὼ, σὺ, ἓ, σφεῖς, αὐτὸς, ἐκεῖνος, καὶ τὸ σφὶ, ἄρθροις οὐ συντάσσονται. παραγόμεναι δὲ συντάσσονται. οἷον, ὁ ἐμὸς, ὁ σὸς, ὁ ἑὸς, ὁ ἡμέτερος, καὶ ὁ σφέτερος. ὅταν μὲν οὖν φῶμεν ὁ αὐτὸς, οὐκ ἔτι ἀντωνυμίαν φαμὲν, ἀλλὰ ὄνομα. δηλοῦμεν δὲ τὸ ὅμοιον. οὐχὶ δεῖξιν προσώπου τινός. Ἀντωπὴ, ἀντοφθαλμεῖ. ἐξ οὗ καὶ ἀντώπιον οἱ ὀφθαλμοί. καὶ ἀντωπὸν, ἀντὶ τοῦ κατὰ πρόσωπον, ἐπίσαλε. Ἀντωπίσαι, ἀντοφθαλμῆσαι. Ἀντωπὸς, λαμπρὸς, ἀντίος τοῖς ὄμμασιν.

Ἀνυδραινόμενος, ἐκ φρέατος ἀντλῶν. Ἀνυδρεύεσθαι, ἀντλεῖσθαι. Ἄνυδρος, ἄταφος, οὐ λελουμένος, οὐδὲ τὸ νομιζόμενον τυχών. Ἀνύει, πληροῖ, ἀπαιτεῖ. Ἀνυλάκτητα, κατὰ τὸν ὑλάκτο. Ἀνυμένος, ὁ μὴ ἔχων ἄνθρα. Ἄνυμφον, κακόνυμφον. ἢ τὴν μὴ δεόντως νυμφευθεῖσαν. Ἄνυμφος, ὁ μὴ ἔχων γυναῖκα. Ἀνύμνιον, ἄυμνον. Εὐκλείδης. Ἀνυπαίτιος, ὁ ἀναίτιος. Ἀνύπαρκτον, τὸ μὴ ὑπάρχον. Ἀνυπέρβλητος, πρώτος. Ἀνυπέρθετον, ἀνυπέρβλητον. Ἀνύπεικτον, τὸ ἀνένδοτον, ἀνυποχώρητον. Ἀνύπνιος, ἄγρυπνος. Ἀνυσσάμενος, ταχύπλοος. ἀπὸ τοῦ ὕσης ποσὶν ἀνύειν. Ἀνυπόδητος, οὐκ ἀνυποδήτως, ὁ γυμνόπους. Ἀνύποιστον, ἀφόρητον, ἀνυπομόνητον. Ἀνυπομόνητον, προύχον, ἢ βέλτιον τίς. Ἀνυπόκριτος, ἄδολος, ἀπροσωπόληπτος, καὶ μὴ ἐν πλάσματι περιπατῶν. ὡς ὁ Ἀπόστολος, ἡ ἀγάπη ἀνυπόκριτος, καὶ μὴ πλάσμα ἀγάπης ἔστω. Ἀνυπόστατον, τὸ μὴ ἔχον ὕπαρξιν ἤτοι οὐσίαν, οἷον τὸ ἐνύπνιον. ἀνυπόστατον, καὶ ἀνύπαρκτον, καὶ φανταστικὸν. ἢ ἀνυπόστατον, πᾶν τὸ μὴ ἐκ θεοῦ γεγονὸς, ἀλλ' ἐν ἀπουσίᾳ τοῦ κρείττονος ὑφιστάμενον, ὡς σκότος, νόσος, ἁμαρτία, θάνατος. καὶ ἀντὶ τοῦ ἀφόρητον. Ἀνυπόσταλτος, ἀνυπόπτως.

Ἀνύποπτος, ἀνύποπτος. Ἄνυρις, ἄδικος, ἀσεβὴς. Ἀνύσας, συντελῶν. Ἄνυσις, τελείωσις, κατόρθωσις, δύναμις, πρᾶξιν ἀποτελεστική. ἢ ἄνυσις, αὔξησις, πρᾶξις, αὔξησις, ἐπίδοσις, προβίβασις, κατόρθωμα. Ἀνυσίμως, ἐνεργῶς, πρακτικῶς, τελείως. Ἄνυσαι, ἤνυσαι. καὶ ἀνυσίον, διάνυσον. Ἀνύσιμον αὐτὸς, ἀνύσιμον καινῶς. ἀνύω τὸ τελειῶ, καὶ ἀνύω τὸ μετὰ σπουδῆς τρέχω. Ἀριστοφάνης, Οὐ μέλλειν χρῆναι, ἀλλ' ἀνύειν. ἀνύω δὲ ἀλλὸν, ἀντὶ τοῦ τελειῶ. καὶ ἀνύω τὸ βραβεῖον, ἤγουν σπουδάσας λαμβάνω.

Ἀνυφιζῶντα, ἀνθυποκαθιζῶντα. Ἀνύω, παρὰ τὸ ἄνω τὸ πράττω γίνεται. οἷον μάλα τοῖς ἄντεαι. καὶ οὐκ ἀνύω φθονέουσα, ἀντὶ τοῦ οὐδὲν ὠφελῶ πράττουσα. ἰστέον ὅτι τὸ ἀνύτω, καὶ ἀρύτω, ἀπὸ τοῦ ἀνύω καὶ ἀρύω γίνονται, κατὰ πλεονασμὸν τοῦ τ. τὸ μὲν ἀνύω ἀεὶ ἐν συστολῇ. τὸ δὲ ἄνω, διαφορεῖται κατὰ τὸν χρόνον. καὶ ἀνύω, τὸ πληρῶ. ἢ ἄνω, τὸ ἀπέχον πλέον τοῦ μέσου. Ἄνω, καὶ ἀνωτέρω, ἐπιρρήματα. ἀνώτερος συγκριτικὸν, ἀνώτατος ὑπερθετικόν. ἄνω κάτω, ἔξω, πόρρω, δεῦρο, ὧδε, τῆλε, εἴσω, ποτὲ μὲν ἐπὶ στάσεως, ποτὲ δὲ ἐπὶ κινήσεως τίθεται. τὸ δὲ αὐτόθι, ἀεὶ ἐπὶ στάσεως. τὸ δὲ ἐκτὸς, ἐπὶ κινήσεως ἀεί. Ἄνωγα, μέσος παρακείμενος τοῦ ἀνώγω ἐνεστῶτος. καθὰ ἐκ τοῦ ἀνοίγω, τὸ ἔῳγα. Ἀνώγαιον, τὸ οἴκημα, ἀνώγαιον καὶ κατώγαιον διὰ διφθόγγου καὶ μικροῦ.

Ἄνωγε. ἀνδὸς δ' Ἀτρείδης ἀπὸ λιμαίνεσθαι ἄνωγεν. ἐκέλευσε, παρακελεύεται. τὸ θέμα, ἀνάγω, συζυγίας πρώτης τῶν περισπωμένων. ἐξ οὗ γέγονεν ἄνωγε. τοῦτο παρὰ τὸ ἄνω, τὸ ἐγκελευσματικὸν ἐπίρρημα. ἢ παρὰ τὸ ἄρω ἀγῶ, ἄγε. καὶ ἀνωγὴ ἡ ἐγκέλευσις, δι' ἧς ἀγόμεθα καὶ φερόμεθα. ὁ παρατατικὸς, ἠνώγουν. τὸ τρίτον ἠνώγει. δεῖξαι δὲ ἀνώγει ὦ πένθει. ὁ μέλλων, ἀνώξω. ὁ ἀόριστος, ἤνωξα. ὁ δεύτερος, ἄνωγον ἠνώγεις ἤνωγε, καὶ κατὰ συγκοπὴν ἰωνικὴν ἄνωγε. ἢ ἐκ τοῦ ἀνώξω μέλλοντος, ὁ μέσος παρακείμενος ἄνωγα. καὶ ὥσπερ ἐκ τοῦ πέπληγα μέσου παρακειμένου ἐγένετο ῥῆμα πεπλήγω, οὕτω καὶ ἀπὸ τοῦ ἄνωγα μέσου παρακειμένου, γίνεται ῥῆμα ἀνώγω. τροπῇ τοῦ μακροῦ εἰς μακρὸν, τὸ ἄνωγα. ὡς τὸ, Πλαθὲν δὲ ποτὶ νῆας ἀνώξομεν. ἢ ἄνωγε μέν τι, ἀντὶ τοῦ ἐκέλευσε προστακτικῶς. οἷον, Παιῶνα ἄνωγεν ἰήσασθαι. ὃ καὶ ἀνώγει γράφεται, ἀπὸ τοῦ ἀνώγω ῥήματος. οὗ μέλλων, ἀνώξω. ἐπὶ δὲ τοῦ ἤνεγκε προστακτικῶς. οἷον, Οὔτις θεὸς ἄλλος ἀνώγειν. ἐκ τοῦ ἄγειν. ὡς ἄγειν ἀνώγειν, κατεῖχε, ἀπὸ λόγου τῶν τιούτων προχαιρῶν.

Ἀνωγὴ, ἡ παρακέλευσις. Ἀνώγω, καὶ ἀνωγέω ἀνωγῶ, γράφεται διπλῶς. Ἀνωδόρκας, βρίγχος ὁ ἰχθὺς, ὑπὸ θαλασσῶν.

Ἀνωδόρκοι, ἱδρῶες, ὕελκαρ. Ἄνωθεν οἱ φίλοι εἰμὶ, ἀλλ' οὐκ ἀνέκαθεν ἐρεῖς. τὸ γὰρ ἀνέκαθεν, ἐπὶ τόπου λαμβάνουσιν οἱ ἀττικοί. ἄνωθεν τόπου ἔσονται, καὶ κάτωθεν τοῦδε κίκρονται. ἔστι δ' ὅτου καὶ τὸ πόρρωθεν λαμβάνεται ἀντὶ τοῦ ἄνωθεν. ἐπεὶ τὸ πόρρωθεν διπλῶς λαμβάνεται παρὰ τοῖς ῥήτορσι. λέγεται μὲν γὰρ πόρρωθεν, καὶ ἀντὶ τοῦ πρὸ πολλοῦ, καὶ ἔκπαλαι, νῦν ὅπερ ἁρμόττει τὸ ἄνωθεν. λέγεται δὲ πόρρωθεν, ἀντὶ τοῦ μακρὰν ἐπὶ κινήσεως. καὶ ἄνωθεν ἐκ τόπου, ἢ χρόνου. Ἀνωθοῦσιν, ἐπὶ τὰ ἄνω κινοῦσιν. Ἄνωθεν, ὀξύν. Ἄνω ποταμῶν, παροιμία ἐστὶ λεγομένη, ὅταν τἀναντία ὧν ἐλπίζει τις ἀποβῇ. καὶ ἐπὶ τῶν σκεπτομένων διαπράξασθαί τι ἀγαθὸν μὲν δοκοῦν, εἶτ' αὐτὸ τοὐναντίον πρὸς κακὸν ἀποβῇ. παρῆκται δὲ ἡ παροιμία, ἀπὸ τοῦ τῆς φαίδρας Εὐριπίδου, φάσκοντος, Ἄνω ποταμῶν χωροῦσι παγαί. ἀντὶ τοῦ, ἅπαντα τἀναντία γεγόνασι τῶν ἐλπιζομένων.

Ἀνώϊστον, τὸ ἀνέλπιστον. καὶ γίνεται ἐκ τοῦ οἴω τὸ ὑπολαμβάνω, καὶ οἴσω. ἐκτασιν δὲ ἔχει διὰ τὸ μέτρον. Ἀνώϊστος, ἀπροσδόκητος. καὶ ἀγνώστως, ἢ ἐξαίφνης. Ἀνωκισμένος, ἐν τῷ ἀνωτάτω γενέσθαι, ἄνω οἰκῶν. Ἀνώλαται, ἐλαύνεται.

Ἄνω κάτω, τὸ πάντα λίθον κινεῖν. ἢ ἐπὶ τῶν τὴν τάξιν μεταστρεφόντων. Ἄνω κοιλία. παρὰ τοῖς ἰατροῖς λέγεται, ἡ τὰ ποτὰ καὶ τὰ σιτία δεχομένη. Ἀνωκωλάμπειν, ἐλάειν.

Ἀνωλίσθανε, ἀντὶ τοῦ ἀπωλίσθανε. καὶ ἀνεχώρησαν, παρὰ τῷ Ἀριστοφάνει. Ἀνωλόφυρτον, ἀδάκρυτον. Ἀνώλεθρον, ἀθάνατον, ἀκίνδυνον. ὄλεθρος γὰρ ὁ θάνατος, καὶ ὁ κίνδυνος. Ἀνώλιος, ἰσχυρός. Ἀνώμαξεν, ἐσώρευσεν.

Ἀνώμοτος, χωρὶς ὅρκου. Ἀνωμαλία, ἡ τραχύτης.

Ἀνώμο-

σαι, ἀντικαθῆσαι. Ἀντιτυπία, ἐναντίωσις, σκληρότης. λαμβάνεται δὲ καὶ ἐπὶ ὁμοιότητος ἐν ἐγγεγραμμένοις, καὶ λίθον ἀντιτύπῳ προσώπῳ προσεοικότα. Ἀντίτυπον, τὸ σκληρόν, καὶ τὸ ἐκκρούειν ἀντιβαῖνον τῇ ἁφῇ. καὶ ἀντίτυπα, τὰ μετακεχαραγμένα, καὶ τὸν αὐτὸν τύπον ἔχοντα. ἀπὸ τοῦ τύπος. Ἀντιφάρη, ὁ ζέλη παρὰ στρατιώταις. παρὰ τὸ φέρω, ὃ Λυκαὶ φάρω λέγουσιν. ὡς τίμιον τι μέν, καὶ τρίτον φάκω. οἱ δὲ παλλακήν, ἄλλοι μητρυιάν. Ἀντιφαδίς, ἐναντίον. Ἀντίφασις, ἀντικείμενον, κατάφασις καὶ ἀπόφασις. ἡ μάχη καταφάσεως. μέσον γὰρ λαμβανομένου τῆς καταφάσεως καὶ ἀποφάσεως, μίαν ἀληθεύειν δεῖ, τὴν δὲ ἄλλην ψεύδεσθαι.

Ἀντιφάτης, καὶ ἀντιφατικὸς λέγεται, ὁμοίως δὲ γηρυόνης καὶ γηρυονικός. καὶ ἀντιφάτης, ἐκαλεῖτο ὁ τῶν λαιστρυγόνων βασιλεύς.

Ἀντιφέρισθαι, ἐναντιοῦσθαι. ὁ ἐνεστὼς λέγεται ἀντιφερίζειν. γίνεται δὲ παρὰ τὸ ἀντιφέρεσθαι. Ἀντιφερίζειν, ἐρίζειν, ἀντιτείνειν, ἐρίζειν, ἐναντιοῦσθαι. οἱ δὲ ἀντιλέγειν. Ἀντιφής, ἀντὶ τοῦ ἀντιλέγεις. Ἀντιφιλοτιμούμενος, πρὸς τὴν οἰκείαν ἕκαστος ὁ, ὑπὲρ φιλοτιμίαν, καὶ δόξαν. Ἀντιφονικός. μέρος τοῦ πολεμικοῦ κοσμικός. Ἀντίφρασίς ἐστι, λέξις διὰ τοῦ ἐναντίου τὸ ἐναντίον σημαίνουσα. ὡς ὅταν τὸν τυφλὸν πολυβλέποντα εἴπῃ, ἢ τὸν αἰθίοπα μαργαρίτην καλεῖν. καὶ πάλιν διὰ τῆς ἐναντίας ἀντιφράζεται οὕτως, ἐπεὶ οὐ μὲν ἀφαυρότατος βάλ᾽ ἀχαιῶν, ἀλλ᾽ ἰσχυρὸς λέγεται. καὶ, Οὐδ᾽ ἄρα τώγε ἰδὼν γήθησεν ἀχιλλεύς. ἀντὶ τοῦ συνεχύθη, καὶ ἐλυπήθη. ἐνίοτε καὶ αὐτὸ προσίεται τὸ ἐκ τοῦ ἐναντίου. οἷον, οὐχ ὁ κάκιστος τὸν καλὸν πρῶτον. ἐντεῦθεν λέγεται, ὅτι ὁ ἄριστος· οὐκ ὀλίγον καιρὸν ἐγίνετο. τὸ δὲ λέγεται, διὰ πολύν. διὰ δὲ τοῦ προκειμένου, τὰ κατ᾽ εὐφημισμὸν λεγόμενα. ὡς ὅταν λέγωμεν τὸ μαδᾶν κλάοντα, ἀλλ᾽ ἀκλαυόμενον, καὶ τὰς ἐριννύας, εὐμενίδας. καὶ τὸν Χάρωνα τὸν λόγος πολεμικόν, καὶ τὸν δυσειδῆ, καλλίονα, ἢ ὡραιότατον. ἢ τὴν σκοτεινὴν, εὐφρόνην. καὶ τὸ πάνυ θερμὸν, ἄγαν ψυχρὸν, καὶ τὰ ὅμοια. Ἄλλως. Ἀντίφρασίς ἐστι, λέξις τὸ ἐναντίον καὶ τὸ παρακείμενον σημαίνουσα. ὡς ἐν τούτῳ, Οὐδ᾽ ἄρα τώγ᾽ ἰδὼν γήθησεν ἀχιλλεύς. βούλεται γὰρ εἰπεῖν τὸ ἐναντίον, διὰ ἰδὼν αὐτοὺς ἐλυπήθη. διὰ ἐναντίου τὸ ἐναντίον σημαίνουσα οὖν ἀντίφρασις, ὡς ὅταν τὸν τυφλὸν εἴπῃ τις, πολὺ βλέποντα, ἢ τὸ δριμύ. Ἀντίφρουροι, οἱ τὴν ἴσην ἔχοντες φρουράν. Ἀντιφιλοτιμεῖται, ἐφάπτεται. Ἀντιφῶν, εἷς τῶν δέκα ῥητόρων. φιλοσόφου μὲν υἱός, ἀπὸ τῆς φυλῆς δὲ ῥαμνούσιος. Ἀντιφωνῶ σοι, ἐγγυῶμαί σοι. σημαίνει καὶ τὸ ἀντιλέγω. Ἀντίφωνα, ἐναντιόφωνα. Ἀντίχειρ, ὁ μέγας τῆς χειρὸς δάκτυλος, ἢ ὅτι ἀντίκειται τοῖς ἄλλοις, ἢ ὅτι τὸ ἴσον δύναται τῇ ὅλῃ χειρί. Ἀντιχεῖ, πρὸς εἶναι, ἀντιλαμβάνειν. Ἀντίχορδα, σύμφωνα, σύγχορδα, ἰσόχορδα. Ἀντίχειρες, ἔθνος τῶν βαρβάρων ἰσθμῶν, τοὺς ἀντίχειρας ἀποκόπτοντα τοῖς γενναίοις, καὶ τοὺς δακτύλους ἐκτέμνοντα, πρὸς τοὺς ἡττημένους αὐτῶν. Ἀντιχάλκωμα, μέρος τι τῆς μακρᾶς νεώς. Ἀντιχόρτις, σταυρώσεις. Ἀντιψάλλειν, ἀντὶ τοῦ ἀντᾴδειν. ψαλμὸς δὲ κυρίως, ὁ τῆς κιθάρας ἦχος. Ἀντίψαλμος, ἀντίφθογγος. Εὐριπίδης ἰφιγενείᾳ τῇ ἐν ταύροις. Ἀντίψυχοι. οὕτω καλοῦνται οἱ μέμνονος ὄρνιθες. Ἀντλῶσιν. ἐστι δευτέρας συζυγίας τῶν περισπωμένων, καὶ ἔστιν ὁμώνυμος ἡ λέξις. ὅτε μὲν δηλοῖ τὸ ἀπολαύω, γενικῇ συντάσσεται. οἷον, ἀντλῶ πόνον τε καὶ κινδύνων. ὅταν δὲ τὸ δεινοῦ καὶ λαμβάνω, αἰτιατικῇ. οἷον ὕδωρ λίχος ἀντλοῦσιν. ἔτι δὲ τὸ συναντῶ, δοτικῇ. ἔστι δὲ πλεονασμὸς τοῦ ο ἐπὶ τῆς δευτέρας συζυγίας τῶν περισπωμένων, κατὰ τινάς. οἷον ἀντλάω ἀντλῶ, καὶ ἀντλέω. Ἀντλεῖν, τὸ συνεχῶς ὀρύσσεσθαι. ἀντλῶ, ἀντμῶ, ἀρύομαι, καὶ ἀρύσσομαι. λέγεται καὶ τὸ ἀντλεῖν, καὶ ἐκχεῖν. οἷον, ἀντλεῖ λεξ ἀπὸ φρέατος ὕδωρ, ἤγουν συνεχῶς ὀρύσσεται καὶ ἀνάγει. ἐκ δὲ τοῦ ἀντλούμενον, ὅ, τι ταῦτα συνάγεται, δέρματος αἷμα καὶ λῦθρον. καὶ ἀντλεῖν ἀμφοτέραις, λείπε χερσί. παροιμία ἐπὶ τῶν ἀφθόνως ἐκπινόντων. Ἀντλεῖς ἐκ πίθου, πα-

ροιμία παρὰ Θεοκρίτῳ, ἐπὶ τῶν ἐν περιουσίᾳ ζώντων. ἀφθόνως γὰρ σοὶ καὶ πλεόνων ἀπολαύεις τῶν πραγμάτων. Ἀντλεῖται, ἐλκύεται. Ἀντλητήρ, κάδος ναυτικός. Ἀντλία, ἡ τοῦ πλοίου ἐκροή. τὸ σκαφίδιον ὃ κοιλότης ἐκ τῶν ἑκάστων τὰς δεξαμενὰς ἀντλίαν, καὶ ἀντλία, ἡ σκηνὴ, ἡ σκάφη, ἐν ᾗ μαστεύουσι, καὶ ὁ καλούμενος. Ἄντλον, κάδον, ἀντλητήριον. τινὲς δὲ καὶ τὴν θάλασσαν, καὶ τὸν σωρὸν τῶν δραγμάτων. Ἀντλεῖ, γινώσκεις. Ἀντλῇ, ἀνάντλει. Ἀντιάσωμεν, ἀντιπροσενέγκωμεν, ἀντιλαβώμεθα. Ἀντόμενοι, ὑπαντῶντες. παντοῖοι. ἀπὸ βαρυτόνου ῥήματος γίνεται τοῦ ἄντω, καὶ δηλοῖ τὸ συναντήσασθαι. οἶδεν Ὅμηρος καὶ περισπωμένου τὸ θεματικὸν ῥῆμα. ὡς δηλοῖ τὸ, καὶ κ᾽ ἐγὼ ἤντεον. πολλὰ δὲ καὶ ἄλλα οὕτω διαφοροῦνται. ὥσπερ δὴ καὶ τὸ, αἰδούμενον δὲ ἀνθρώπων. καὶ, οὐδέ τι μ᾽ αἰδεῖται. ἔστι τὸ κοινῶς μὲν λεγόμενον ὀφρυοῦσθαι, ἄλλως δὲ ὀφρυοῦσθαι. ὡς Ἰσοκράτους τὸ κορυφὰς ὀφρυοῦται, καὶ κυλίεται. Ἀντόμενος. ἐπειδὴ αὐτὸ συνεθίσατο Ὅμηρος, τὸ ἄντω βαρύτονον. ἐξ οὗ τὸ ἄντομαι, καὶ ἀντόμενος. οἱ μέντοι μεθ᾽ Ὅμηρον περισπῶσιν, ὡς τὸ βοῶ. Ἀντόμης, σκεδαστῶν. Ἀντομῶσαι, παρακαλέσαι. Ἀντοναί, αἱ τῶν χειρῶν φοραί. Ἄντος, ὕδατος. Εὐριπίδης. Ἀντοφθαλμεῖν, ἀντιβλέπειν, ἐξ ἐναντίας βλέπειν. Ἀντόφρυς. Βοιωτίας εἶδος. Ἄντρα, σκοτεινὰ σπήλαια. Ἀντρέας, ἀντροβάτης. Ἄντρον, τὸ σπήλαιον. κυρίως ἐπὶ τῆς ξηρᾶς, καὶ ἐφ᾽ ᾧ πηγή. ἐπὶ δὲ θαλάσσης, ὁ ἀποτετμημένος ὑπὸ τῶν κυμάτων, λέγεται σπιλάς. ὁ δὲ ἀποσκοπῶν, προβλής. ὁ ὑπὸ τοῖς κύμασι δὲ πέτρα, λέγεται ὕφαλος. ἄντρον δὲ λέγεται τὸ σπήλαιον, ἀπὸ τῶν ἄνω ἤγουν, τετρημένον εἶναι. Ἀντρώδη, σπηλαιώδη. Ἀντρώδεις, ἀνατεταμένον, ἢ σπήλαιον. Ἄντρωνα, τινὲς μὲν βαρυτονοῦσιν, ὡς τὴν ἄγκυρα. τινὲς δὲ, ἀντρῶνα φασὶν, ὡς πυθῶνα. ἡρωδιανὸς δέ φησιν, ὡς πλαγιῶνα. ὠνόμασται δὲ οὕτω, διὰ τὸ τὰς ἐκεῖ τόπους ἀντρώδεις, τουτέστι σπηλαιώδεις, καὶ ὑπονόμους εἶναι. ὁ δὲ τὰ ἐθνικὰ συλλέξας, καὶ τὴν ἐν πτολεμαίοις ἀντρῶνος ὄνομα, ἐντεῦθεν εὑρῆσθαι λέγει. εὐφυεῖς γάρ φησι πρὸς μύλους ἔχει λίθους. ὅθεν κατὰ τοῦτον τὸν λόγον ἀντρώνιος ὄνος, ὡς πρὸς ἀλετὸν δεξιός. καὶ ἀντρών, ἢ ἀντρῶνες, πόλις ἐν θετταλίᾳ. Ἄντυ, ἄντικρυ. ῥάδιον.

Ἄντυα, τὸ ὑποπόδιον. Ἄντυγος, τῆς περιφερείας τοῦ ἅρματος. Ἀντυγχόνειαι, οἱ τοῦ ἅρματος τροχοί. Ἄντυγες, αἱ περιφέρειαι τοῦ ἅρματος, οἱ τροχοί. Ἀντυγωτός, συνδεδεμένος, ἐπειδὴ αἱ ἄντυγες καταδέονται. παρὰ τὸ ἄντυγα ζεῦγμα. Ἄντυξ. λέξις λέγεται οὐ μόνον ἐπὶ ἅρματος, ἀλλὰ καὶ ἐπὶ ζυγοῦ κιθάρας, κατὰ τοὺς παλαιούς. ὁ πῆχυς. καθ᾽ ὃ σημαινόμενον ἄντυγα χορδῶν Εὐριπίδης φησὶν ἐν ὑψιπύλῃ. ἵνα κεῖται ἡ ὀρθότης οὐκ ἐπὶ ὑποδήματος. ἐν τῷ αὐταῖσιν ἀρβύλαισιν ἁρμόσας πόδας. αἱ δηλοῦσι τὸ περὶ τὴν ἄντυγα τοῦ ἅρματος μέρος. ἵνα φασὶν ἡ τοῦ ἡνιόχου βάσις ἐστί. δῆλον δὲ ὅτι καὶ τῆς ἐν ἄλλοις ἰσοῖον, ἄντυγα, καὶ ἴτυν, καὶ κύκλον, ὀρθῶς ἡ ὑδατίρης. καὶ σφίγξ, ἄψιν εἶπεν. καὶ ὡς οὐρανοῦ ἄντυξ, ὥσπερ καὶ ἁψίς, εὕρηται φερισαύτων. καὶ ἄντυξ, Ὅμηρος, ἀμφὶ δέ μιν σφυρὰ τύπτε καὶ αὐχένα, ἤγουν ἐκ τοῦ αὐχένος καθήκειν, ἕως ἄκρων ποδῶν. λέγεται δὲ καὶ ἄντυγα εἶναι ἐν τῇ τοῦ ἕκτορος ἀσπίδι δέρμα, οὐ πρὸς ἀσφάλειαν ἴσως, πρὸς τὸ ῥωπαρὸν δὲ μᾶλλον ἀφελείας, καὶ καινοπρεπῆ ἐν ὁπλισμοῦ. φησὶ γοῦν τὸ ὅλον οὕτως. ἀμφὶ δέ μιν, σφυρὰ τύπτε καὶ αὐχένα δέρμα κελαινὸν, ἄντυξ, ἣ πυμάτη θέεν ἀσπίδος ὀμφαλοέσσης. καὶ σημαίνουσα τὸ κενὸν τοῦ χώματος. ἔδει γὰρ εἰπεῖν ἄντυξ, ὁ πυμάτη, τουτέστιν ὅπῃ δέρμα ἔχεται ἡ ἄντυξ. ὁ δὲ πρὸς τὸ ἄντυξ, ἐποίησεν τὸν κατὰ γένος σχηματισμόν. διὰ τοῦτο ἐκεῖ καὶ τὸ ἐγίνετο τὰ δὲ ὥσπερ δὴ τρόπος οἰκονομίας θεοῦ. καὶ ἐκλάσθη ὁ καιρὸς, ὃ νῦν ἐστι δίκη θεοῦ. καὶ ὅσα τοιαῦτα, γινομένης τῆς ἀπολύσεως ἐν τοῖς τοιούτοις, οὐ πρός τι πρᾶγμα προηγούμενον, ἀλλὰ πρὸς τὸ ὕστερον ἐπαχθέν. ἤγουν πρὸς τὸ ἄντυξ, ἢ πρὸς τὸ τρόπος, ἢ νόμος.

μέγας ἰχθύς. ἢ ναῦς, ἤγουν πλοῖον. ἔστι δὲ καὶ φιάλη, ἴσως διὰ τὸ ἐοικέναι στρογγύλῳ πλοίῳ. Ἀντίθετα. οὐκ ἐναντιώτατα ἀεὶ σημαίνει, ἀλλὰ τὸ ἁπλῶς, ἐκ τοῦ ἐναντίου συνεστῶτα. Ἀντίφρων, ἐναντίον φρονῶν. Ἀντιοχεῖ, ἐναντιοῦται. Ἀντιοχίς, ὄνομα φυλῆς. Ἀντιόων, ὑπαντῶν, ἢ μεταλαμβάνων. Ἀντιόωσαν παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ἀμειβόμεναι ἀλλήλας, κατὰ μεταφοράν. [illegible] ... Ἀντιάνειρα [illegible] ... Ἀντίπαις, ὁ ἐγγὺς ὢν τοῦ ἴουλος γενέσθαι, ὁ τὴν ἡλικίαν [illegible]

[illegible]

γον διαδικασίαις ἀντιγραφὴ καλεῖται, ὅτι ὥσπερ ὁ ἐπιὼν ὥστε τὸν ἐγκαλοῦντα ἑαυτοῦ φάσκει προσήκειν τὸν κλῆρον κατὰ γένος λέγων. κοινῶς δ' ἐν ταῖς δίκαις ταῖς δημοσίαις, τὰ τῶν διωκομένων γράμματα, ἃ ἐδίδοσαν περὶ τοῦ πράγματος. καὶ τὰ τῶν διωκόντων, καὶ τὰ τῶν φευγόντων. ἀντιγραφὴ, καὶ τὰ ἀντωμοσία. Δημοσθένης ἐν τῷ περὶ στεφάνου, καὶ ὑπὲρ Κτησιφῶντος. Πλάτων δ' ἐν τῇ Σωκράτους ἀπολογίᾳ, τὸ αὐτὸ καλεῖ ἀντωμοσίαν, καὶ ἀντιγραφήν. Ἀντιγραφεὺς, ὁ καθιστάμενος ἐπὶ τῶν καταβαλλόντων τινὰ τῇ πόλει χρήματα, ὥστε ἀντιγράφεσθαι αὐτά. Διττοὶ δὲ ἦσαν ἀντιγραφεῖς. ὁ μὲν τῆς διοικήσεως, ὁ δὲ τῆς βουλῆς. Ἀντιδιαμείβεται, ἀντιμηχανᾶται. Ἀντιδιεκδίδωσι, ἀντιδιίστησιν, ἢ χωρίζει, καὶ ἀντιβάλλει. Ἀντιδίκησιν, τὸ ἐν δίκῃ ἀντιβαίνειν. Ἀντίδικός μοι κατέστης, καὶ ἀντεδίκησε πρὸς ἐμὲ καθίστασθαι. Ὁ ἀντίδικος ὑμῶν, κατὰ τὴν θείαν γραφὴν, ὁ διάβολος, καὶ ἡ συνείδησις ὑμῶν, ὁ ἀντικείμενος τῷ κακῷ ὑμῶν θελήματι κατὰ τὸν Ἀπόστολον, ἐὰν ἡ συνείδησις ὑμῶν μὴ καταγινώσκῃ ὑμῶν, παῤῥησίαν ἔχομεν πρὸς τὸν θεόν. Ἀντιδικοῦν, κατηγοροῦν, καὶ ἐναντιούμενος. Ἀριστοφάνης, ὅπως ἀποφύγοις ἂν ἀντιδικῶν δίκην μέλλων ὀφλήσειν; εἴ τις γραφομένοις καὶ μὴ ἀποδείξασιν ἐπιβάλλει χρηματικὴν ζημίαν, καὶ τιμὴ κατὰ τὸ ὡρισμένον ἐξέτασιν ὑπὲρ εὐφήμου γενόμενος, ἐξέτισαν τὰ χρήματα, οἱ δὲ μὴ ἔχοντες τίσαι, κατεγίνωσκον εἰς τὸ δικαστήριον. ὑπὲρ δὲ τοῦ ὑπέσχοντο. Ἀντίδοξος, ἐναντίος κατὰ τὴν δόξαν. Ἀντίδορον σὺν τῷ ο μικροῦ, τὸ τοῦ δόγματος δόγμα. ὡς ἐν ἐπιγράμμασι, καὶ πάρνον χλωροῦ; ἀντίδορον ἀντίδοτος. σὺν δὲ τῷ ω μεγάλῳ, ὁ δίδοται ἐν ταῖς ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις. Ἀντίδοσις, ἡ μετάληψις. Ἀντίζυγον, στρογγύλον, ἀστραγαλωτὸν, ἐν κύκλῳ. Ἀντίζυγα, ἰσόζυγα. Ἀντίθεον, καὶ ἀμύμονα, καὶ κρατερὸν λέγει Ὅμηρος τὸν πάνδαρον, ἐξ ὧν εὔχεται καλῶν. Ἀντιθεώτερον, ὑπεναντιώτερον. Ἀντίθεσις, σχῆμα λέξεώς ἐστι, καθ' ὃν ἐναντιοῦσιν ἀλλήλοις τὰ ἐναντία, ἢ κατὰ μέρος, ἢ ἀθρόως. οὕτως Ἰσοκράτης ἐν τῷ παναθηναϊκῷ. καὶ ἀντίθετος, ἀντιλογία, ἐρώτησις. Ἀντίθεσις, ἐναντία. Ἀντίθετον, γίνεται κατὰ δύο σχήματα· καθ' ἓν μὲν, ὅταν τὰ ἀντικείμενα ὀνόματα λαμβάνωνται. οἷον, μᾶλλον γὰρ ἐποίουν αἱ πόλεις τοὺς ἀδίκους πλουτοῦντας, ἢ τοὺς δικαίους πενομένους. καθ' ἕτερον δὲ, ὅταν ἀντιδιαστέλληται κατάφασις ἀποφάσει, ὡς τὸ, σὺ μὲν ἔλαβες λῦσαι, ἐγὼ δ' οὐκ ἔλαβον.

Ἀντίθετος, ὁ ἀντικαθιστάμενος. καὶ ἀντικαθιστάμενος, ὁ ἀντιτιθέμενος. ὁ ἀντιτεταγμένος. Ἀντίθυρον κλισίης, τὸ ἄντικρυ τῆς θύρας.

Ἀντικαθισταμένους, ἀντικαθημένους. Ἀντίκακον, ἰσόκακον.

Ἀντικατηγορεῖται, τὸ ἴδιον κατηγορεῖται τοῦ πράγματος. ὃ καὶ μόνῳ ὑπάρχει, καὶ ἀεὶ, ὡς τοῦ ἀνθρώπου τὸ γελαστικόν. καὶ τὸ ἴδιον ἀντικατηγορεῖται, ὃ μόνῳ καὶ παντὶ ὑπάρχον. Ἀντικαθεστῶτα, ἐναντιοῦνται. Ἀντικατέστησαν, ἀντέλαβον. Ἀντικαθίστατο, ἀντὶ τοῦ ἐναντιοῦνται. Ἀντικαταλλαττόμενος, οὐ μόνον ὅταν αὐτὸ λυτροῖ τις, ἢ εἰς φιλίαν ἔρχεται, πρὸς ὃν γίνεται αὐτῷ διαφορὰ τῷ καταλλαττόμενος, ἐχρῶντο οἱ ῥήτορες, ἀλλὰ καὶ ἐπὶ τοῦ ἀμείβοντος χρυσίον ἐν τῷ δήμῳ. πολλάκις Δημοσθένης. Ἀντικηδὲ, τόκος ὁ μετὰ τὸ κεφάλαιον. Ἀντικασίγνητος, ἴσος τῷ ἀδελφῷ. Ἀντικαταλαβεῖν, τὸ ἀντιλαχεῖν δίκην. Ἀντικάμπτειν, ἀντέχειν. λέγουσι.

Ἀντίκειται, τὸ ἐναντίως ἔχει τι πρὸς τὸ ἕτερον. οἷον τὸ πῦρ τῷ ὕδατι. καὶ τὸ ἁπλῶς, ἀντιπρόσωπον κεῖται. οἷον κάθισμα, τῷ προσώπῳ ἀντίκειται. καὶ ἀντίκειται πόρναις, κύβοις, συμποσίοις, ἀντὶ τοῦ πορνεύει, κυβεύει, συμποσιάζει. Ἀντικένωρ, ὁ τοὺς νόμους μεμαθηκώς. Ἀντίκλειαν εἶναι τὴν Ὀδυσσέως μητέρα, Σειληνὸς ὁ Χῖος φησί. καὶ ἐγκύμονα Λαερτίου οὖσαν τὸ τῆς Ἰθάκης ὄρος, ὅν τινες πολύγονον λέγουσι, ὑπ' ἀγωνίας καὶ φόβου καταπεσοῦσαν τεκεῖν Ὀδυσσέα. ὅθεν καὶ Ὀδυσσεὺς ἐκλήθη. Ἀντικνήμιον, τὸ σὺν τῷ κνήμῃ ἀντικείμενον. ὅπερ καὶ σιμόν καλεῖται παρὰ τοῖς ἰατροῖς. Ἀντίκοπος, ἐπίκοπος. οὕτως Ἀρχίλοχος.

Ἀντικρὺ, τὸ φανερῶς καὶ ὡς ἄλλος ἐρεῖ, ἐξ ἐναντίας, καὶ κατὰ ἀντιπρόσωπον. τὸ μέν τι ἄντικρυς, τὸ καθ' Ὅμηρον ἐστὶ καὶ διαφέρει σημασίαν ἔχει. ἀντικρὺ κατὰ τοὺς παλαιοὺς, ἀντὶ τοῦ διόλου. Θουκυδίδης ἀλλ' ἀντικρὺς ἐφαίνετο δὲ ἡ λέξις ἀντὶ ἐναντίον τοῦ ἰόντος. ὡς ἀντικρὺς ὄντων, καὶ οὕτω βλεπόντων τὸ πλοῖον. δεινὸν γὰρ ἐκ τοῦ ἀντικρὺ ὁρᾶν τὸ ἀντικρὺ γένεσθαι. καὶ δηλοῖ πλοῖον ἀντίπρῳρα.

Ἄντικρυς καὶ ἀντικρὺ, διαφέρει. ἄντικρυς μὲν γὰρ λέγεται, ἀντὶ τοῦ φανερῶς. ἀντικρὺ δὲ περισπωμένως χωρὶς τοῦ ς, λαμβάνεται ἀντὶ τοῦ ἐξεναντίας, καὶ ἀντιπρόσωπον. οἷον ἀντικρὺ καθῆσαι.

Ἄλλως. Ἀντικρὺ κατὰ τοὺς παλαιοὺς γίνεται πολλάκις ἀντὶ προθέσεως, καὶ τὸ κάρτα. ἔστι δὲ κυρίως ἀντικρὺ, καὶ ἐν συνηθείᾳ ἄντικρυ, τὸ κατένωπιν. οὐ πρὸς ὁμοιότητα ἐῤῥέθη τὸ ἀντιπρόσωπον. οὕτως δὲ ἀναλογίᾳ, ὡς οὕτως οὕτω, μέχρις μέχρι, αὖθις αὖθι. οὕτω καὶ ἀντικρὺς, ἀντικρύ. ὅμως ἐφυλάχθη τοῦ ἀναλόγως, κατὰ τὸ μεσηγὺ, καὶ μεταξὺ, καὶ ἅμα, διότι μὴ κατὰ τὸ οὕτως οὕτω, μέχρις μέχρι, ἐφύλαξε καὶ τὸ ἀντικρὺ τὴν αὐτὴν σημασίαν τῷ ἄντικρυς. Ἀντικαρίου τοῦ, ἀντὶ τοῦ ἐξεναντίας. Ἀντικόρυκος, ὁ ἐπιλίβορος. Ἀντικέων, ἡ ἀλώπηξ. Ἀντιλαμβάνομαι μὲν ἀττικῶς οὐχ εὕρηται. παθητικῶς δὲ ἀντιλαμβάνομαι, ἀντὶ τοῦ περιφέρω καὶ ἀντὶ τοῦ ἐπικουρῶ καὶ ὑπερμαχῶ, γενικῇ συντάσσεται. ὡς πολλὰ Δημοσθένει, Καὶ ἕως ἔτι καιρὸς, ἀντιλαμβάνεσθαι τῶν πραγμάτων.

Ἀντιλαοί, τὰ τῶν ἄστρων κλίματα. Ἀντιλαβαί, λογικαὶ ῥύσεις, ἐξ ἡμιστίχου λεγόμεναι, καὶ μικρὸν παρὰ φρασιν.

Ἀντιλαχεῖν, τὸ δίκην ἐκδικαίαν ἀνατρέψαι, ἐρήμην ὀφλῶν, καὶ πάλιν περὶ τὰ αὐτὰ δικάζεσθαι. Ἀντιλαβὶς, ὁ πόρπαξ τῆς τοῦ ἐπιλίβου ἀσπίδος. Ἀντιλάζυσθαι, ἀντιλαμβάνεσθαι.

Ἀντιλαμβάνεται, βοηθεῖ, ἢ κωλύει. Ἀντιλέγειν, τὸ τοῖς λόγοις ἐναντιοῦσθαι, δοτικῇ συντάσσεται. οἷον ἀντιλέγω σοι. λέγομεν καὶ ἀντιλέγω τοῦτό σοι, καὶ οὐ δύναμαι ἀντιλέγειν σοι ἐγώ. Ἀντίληψις, ἀντὶ τῆς ἐπίληψις. Ἀντιλήπτωρ, ὁ ἀντιλαμβανόμενος, ὑπερμαχητής, βοηθός. Ἀντιλογεῖν, ἀντειπεῖν. Ἀριστοφάνης, ἑτέρῳ λόγῳ ἀντιλογεῖσθαι. ἀντιλέγειν, ἀντειπεῖν. Ἀντιλογικὸς, ἀντιλογιστικός. Ἀντίλυτρον, ἀντίδοτον. Ἀντίμαχος, ὡς αἰσχρὸς καὶ δύσμορφος, καὶ θαλαμηγὸς κωμῳδεῖται παρὰ τῷ Ἀριστοφάνει. ἔστι δὲ καὶ ἕτερος ἐπὶ πονηρίᾳ κωμῳδούμενος. τρίτος ὁ ψακάδος λεγόμενος. καὶ τέταρτος ποιητής, οὗ μέμνηται Εὔπολις ἐν Δήμοις. Ἀντὶ μῶν, κατὰ μῶν. Ἀντιμισθὸς, ὁ ἀντ' αὐτοῦ ὑπηρετῶν. Ἀντιμόνιον παρὰ ῥωμαίοις, φάσκω πρὸ τοῦ δικαστηρίου κείμενον.

Ἀντίον πολλῶν, ἴσος πολλοῖς. Ἀντίξοοι, ἐναντίοι, ἀντίπαλοι. Ἀντίξοον, τὸ ἐναντίον, ἀσύμφορον. οἷον ἀντιξόως, ἀναγκαῖον τῷ ο εἰς ξ. οἱ γὰρ ἀττικοὶ τὸ σύμβολον, ξύμβολον λέγουσιν. Ἀντιόπη, νυκτέως ἡ θυγάτηρ. ἣν ὁ ζεὺς σατύρῳ ὁμοιωθεὶς φθείρει. καὶ φυγοῦσα τοῦ νυκτέως τὰς ἀπειλὰς, καταφεύγει εἰς σικυῶνα πρὸς ἐπωπέα. τεκοῦσα δὲ ἀμφίονα καὶ ζῆθον, ἐκθεῖσα ἐν τῷ κιθαιρῶνι παρὰ βουκόλῳ τινί. ὁ δὲ νυκτεὺς σὺν τὴν λύπην τοῦ παιδὸς λυκτεύς, τελευτᾷ. τῷ ἀδελφῷ λύκῳ διαθεὶς, μὴ περιιδεῖν τὴν παῖδα, ἀλλ' ἐλαύνειν. ἀπελθὼν δὲ ὡς σικυῶνα, στρατεύει ἐπὶ τὴν πόλιν λύκος, καὶ κτείνει τὸν ἐπωπέα. καὶ λαβὼν τὴν ἀντιόπην αἰχμάλωτον, παραδίδωσι φυλάττειν δίρκῃ τῇ ἑαυτοῦ γαμετῇ. ἡ δὲ, φυγοῦσα, καὶ λαθοῦσα, πάλιν τοῖς ἑαυτῆς παισὶν, ἐκδίδοται ἀμφίονι καὶ ζήθῳ. ἐνταῦθα δὲ ἐκκαλύπτει ὁ τροφεὺς βουκόλος τὸ γεγονός. οἱ δὲ, τὴν μὲν ἀντιόπην σώζουσιν. τὴν δὲ δίρκην, ἐξ ἀγρίου ταύρου προσδήσαντες, διαφθείρουσι. μεταψάμενοι δὲ τὸν λύκον ὡς ἐκδώσοντες τὴν ἀντιόπην, σφάττειν ἔμελλον, ἑρμῆς δὲ ἐκώλυσε. τῷ λύκῳ δὲ προσέταξε, παραχωρῆσαι τῆς βασιλείας αὐτοῖς. Ἀντίον, ἀντὶ τοῦ ἐξεναντίον. λέγεται δὲ ἀντίον, καὶ τὸ ἐν ἀγκτῆρι ἱστίον. ἢ ὁ διοπτήρ τὴν πόλιν ἄρχων, ἢ ὁ δικαστὴς, ἢ ὁ

μέγαν

ἀκέρατον, καθαρὸν, ὑγιαινὸν λέγομεν. ὁμοίως, εὔκρατον, εὐκρασίᾳ, εὐκεκραμένον ταῖς ὥραις, εὐ ὥρας ἔχον, ἄριστα κεκραμμένον, ἀναπνοὰς ἔχον, ἀνακεχυμένον, πνεύματα διαρρέοντα ἔχον, ἀνέμοις διαβίαστον, εὔπνουν, ἀναψύχον, αὔραις διακινούμενον, ὑδρηλὸν, ἐλεύθερον, εὔσκιον, σκιερὸν, καθ' ἥλιον, ψυχεινὸν, εὐχείμερον, ἀλεεινὸν, εὐθερμὸν, εὐήλιον, ταῖς ὥραις δίκαιον, καλῶς οὐρανοῦ κείμενον, εὖ ἔχον, εὔδιον ὂν, καλῶς ἔχον πνευμάτων, αἴθριον, ἀνέφελον. εἰς τἀναντίον, νοσηρὸν, νοσῶδες, νοσερὸν, ἐπίνοσον, ἐπίκηρον, ἐπισφαλὲς, σφαλερὸν, ἐπικίνδυνον, κινδυνῶδες, φλαῦρον, δύσκρατον, βαρὺ, ζοφῶδες, σκοτῶδες, δυσφυὲς, ἀνήλιον, ἄπνουν, ἄνυδρον ταῖς ὥραις, καυματηρὸν, δυσχείμερον, κρυῶδες, κρυμῶδες, πνιγῶδες, κάτομβρον, συννέφελον, διάνυγρον, ἔπομβρον, πηλῶδες, φλογῶδες, καυματῶδες, ζέον, πνιγηρὸν, πνιγαλέον, καῖον, ὑπερκαίον, κατάφλεκτον, αὐχμηρὸν, ὑδατῶδες, χιονῶδες, αὐχμῶδες, αὐχμηρὸν, ἀτμῶδες, ὁμιχλῶδες, φθοροποιὸν, ἔμφορον, λοιμῶδες, κακῶς ἔχον οὐρανοῦ, καὶ τὰ ἄλλα ὁμοίως. Ἀνεστίος, ὁ ἐκ [illegible]. Ἀνόσιος, πλὴν ὁ νόσος [illegible]. Ἄνοσοι, οἱ [illegible]. Ἀνοχὴ, [illegible]. Ἄντρον, [illegible]. Ἄντρα, [illegible]. Ἀνύω, [illegible]. Ἀνύσας λέγεται [illegible]. Ἀνυστί, [illegible]. Ἀνοχλίζω, [illegible]. Ἀνοχή, [illegible]. Ἀνοχλίζων, [illegible]. Ἀνοψία, [illegible]. Ἀνορθόω, [illegible]. Ἀνωρίῳ, [illegible]. Ἀνταῖος, [illegible]. Ἀντὶ ἀλεξάνδρου, ἀντὶ τοῦ ἀντί. κατὰ συγκοπήν. Ἀνταγορίδας, [illegible]. Ἀνταγωνίζομαι [illegible]. Ἀνταγωνιστὴς λέγεται δὲ ὁ κατὰ τὴν πάλην, καὶ ὁ κατὰ τὴν πόλιν ἐναντίος, [illegible]. Ἀνταδ[illegible]. Ἀντάλλαγμα, [illegible]. Ἄντα, ἄντικρυ.

Ἀνταία, ἐναντία, ἐχθρός. Αἰσχύλος σεμίλῃ. σημαίνει δὲ καὶ δαίμονα. καὶ τὴν ἑκάτην δὲ ἀνταίαν λέγουσιν, [illegible]. καὶ ἀνταίαν, ἐνδεῆ, χαλεπὴν. καὶ ἀνταῖος, πολέμιος, ἐχθρός. Σοφοκλῆς. Ἀνταῖα. ἡ ῥίζα οὕτω λέγεται, διότι ἐναντία εἰσὶ [illegible].

Ἀνταίρω, τὸ ἀνθίσταμαι καὶ ἀντιβαίνω, καὶ φιλονεικῶ. δοτικῇ συντάσσεται. [illegible]. Ἀνταῖος, ἐχθρός. Ἀνταπαῖος, σύμφορος. Ἀνταλλάττεται, [illegible]. Ἀντάλλαγμα, ἀντίδοσις. καὶ ἀντάλλαγμα, οἱ κατὰ [illegible] χρυσοῦ, [illegible].

καὶ ἀντάλλαγμα ἐκάλεσαν οἱ [illegible]. Ἀντάλλαγον καλοῦσι, τὸ ἀντὶ ἄλλου ἀλλαγμένον. [illegible]. Ἀνταλλάττειν, τὸ ἄλλο ἀντὶ ἄλλου εἰσφέρειν. Ἀνταλλ[illegible]. Ἀντ' ἄλλος ἀρχὸς [illegible], ἀντὶ τοῦ ἀρχὴν, [illegible]. Ἀνταμείβεσθαι, [illegible]. Ἀνταμιλλᾶσθαι, [illegible]. Ἀντάν, [illegible]. Ἀντανακλᾶται, [illegible]. Ἀντανάκλασις, [illegible]. Ἀντανακλάσεως, [illegible]. Ἀνταναπληρῶ, [illegible]. Ἀντανίστημι, [illegible]. Ἀνταπαιτῶ, [illegible]. Ἀνταπόδοσις, [illegible]. Ἀνταποδίδωμι, [illegible]. Ἀνταποκρίνομαι, [illegible]. Ἀντάρας, [illegible]. Ἀνταρκέω, [illegible]. Ἀνταρ, [illegible]. Ἀντάρτης, [illegible]. Ἀντάω, [illegible]. Ἀντεῖπεν, [illegible]. Ἀντέκρουσεν, [illegible]. Ἀντέρως, [illegible].

Ἀντεμβάλλειν, [illegible]. Ἀντεμβιβάζω, [illegible]. Ἀντεπεξάγω, [illegible]. Ἀντεπιθυμῶ, [illegible]. Ἀντέρα, [illegible].

Ἀντέχεσθαι, [illegible]. Ἀντεχνήσατο, [illegible].

Ἀντεξετάζω, [illegible]. Ἀντιβαίνω, [illegible].

Ἀντιβολῶ, πρὸς τὰ λεγόμενα [illegible].

ἰσορ. σημαίνει δὲ καὶ εἶδος βοτάνης. Ἀνθρωπίς, ἡ ἀνάμεσον.

Ἀνασάμενος, ἀντὶ τοῦ αἰχμαλωτισάμενος. Ἀνσάμενος, ἀνα-σάς. Ἀνίσατο, ἀντὶ τοῦ ἠγείρετο. Ἀνίσασι τις ἐκ νεκρῶν, καὶ ἀνίσασι τὸν φονεύσαντα, ἤγουν ἐκδικεῖ. καὶ ἀνίσασιν Ὅμηρος τὸν Ἀχιλλέα ἐπὶ τοῦ Πατρόκλου, ἤγουν λέγει αὐτῷ ὅτι ἀνίστω. Ἀνίσω, ἀντὶ τοῦ ἐφίστω. καὶ ἀνίσου, ἀντὶ τοῦ ἀνίσου.

Ἀνίσοι ἀπλικοί, οὐκ ἀνίσου. Ἀνίχαλον, τὸν ἄτακτον, καὶ ἀδίδακτον. Ἀνίχω καὶ ἀνέχω, ἀντὶ τοῦ ἀνακαλεῖ, ἀνατέλλει, ἀνέρχεται, ἀνατέλλει. Ἀνίχειν, ἐπὶ τῆς ἀνατολῆς λέγεται, ἀπὸ μεταφορᾶς τοῦ ἡλίου. οἷον, ἀνίχει ὁ ἥλιος, καὶ ἡ πηγή. καὶ ἐπὶ ἀναβλαστήσεως τῶν βοτανῶν. οἷον, ἀνίχει ἡ βοτάνη, ἤγουν ἀναδίδοται. λέγεται δὲ καὶ μεταφορικῶς. [illegible]

[illegible]

καὶ τὸ ἀνθοκρέκησι ποίαις, παρὰ Εὐπόλιδι. καὶ τὸ, Οὐ γάρ σοι μὴ γνῶσιν, ἀλλ' ἠνθισμένον, παρὰ Σοφοκλεῖ. ἀντὶ τοῦ κεχρωματισμένον. Ἀνθοσμίας οἶνος, νέκταρ, ὁ ἄνθος ἔχων. Ἀνθοσμίας, μέλανος, παρὰ τῷ Ἀριστοφάνει. μέλανος, ἐρυθροῦ. Ὅμηρος, μέλανος οἴνοιο. [illegible]

[illegible]

Ἀνθρακιά, [illegible] Ἀνθράκιον, τὸ μικρὸν [illegible] Ἄνθραξ, [illegible]

Ἀνθρήνη, [illegible]

[illegible]

τι. [illegible]

Ἀνία, ἐλέγχει, λύπη. [illegible]

[illegible]

Ἀνίεσαι, [illegible] λέξις Ὁμήρῳ συνήθης, πολλαχοῦ κειμένη. [illegible]

[illegible]

κεδονικά. οἱ ἀπ' αὐτῆς, ἀνθεμουσιῶται. καὶ ἀνθεμοῦς, χώρα, ποταμὸς, καὶ λίμνη τῆς μαριανδυνίας. Ἀνθεμουσία, τάγμα τι παρὰ μακεδόσιν. Ἀνθεμόεντα, ἄνθη ἔχοντα. Ἄνθεμον, ῥόδον. Ἀνθεσφόρος, ἔχων στέφανον ἀνθέμων. Ἀνθέξεται, ἀντιλήψεται, ἢ λήψει. Ἀνθίζομαι, [illegible]. Ἀνθερεὼν, ὁ ἐπὶ τοῦ γενείου τόπος, περὶ ὃν ἀνθεῖ τὸ γένειον. ἢ διὰ τὸ δι' αὐτοῦ θορεῖν τὸ πνεῦμα. λέγεται δὲ ὅτι καὶ ἐπὶ γυναικὸς καταχρηστικῶς. τόδε, ὑπ' ἀνθερεῶνος ἑλοῦσα. ἀντὶ τοῦ κάτωθεν τοῦ ἀνθερεῶνος, ὁ ἀντὶ τοῦ ὑψηλοῦσα καὶ ὑφαψαμένη ἀνθερεῶνος. ὁ ἀνθερεὼν φανερὸς, ὁ ὑπὸ τὸ πρυμνὸν τῆς γλώττης ὢν, οὗ ἥπτοντο οἱ ἱκέται. σαφέστερον δὲ εἰπεῖν, τὸ τέλος τῆς ὑπογενείου. ἀνθερεὼν δὲ ἐστὶν, ἔνθα τῆς περικεφαλαίας ὑποτείνεται ὀχεύς. ἴσον δὲ ἐστὶ τὸ ὑπ' ἀνθερεῶνος, ἤγουν ὑποκάτω τοῦ ἀνθερεῶνος, ὑπ' ἀνθερεῶνα ἢ καὶ τὰ φράγα. ὀχεὺς δὲ οὐ μόνον ἐπὶ μοχλοῦ θύρας, ἀλλὰ ἰδοὺ καὶ ἱμὰς ὁ συνεκτικὸς τῆς περικεφαλαίας, ἀπὸ τοῦ ἔχειν περιτεταμένος. ὅθεν καὶ τὸ τῆς ἀσπίδος ὄχανον. καὶ ἀνθερεὼν, βοτάνη τις.

Ἀναπλήσας, οὐχ ἁπλῶς δηλοῖ τὸ ἀναπληρῶσαι, ἀλλὰ τὸ παλαιότερος, καὶ ὡς ἐκεῖνο, πάλιν καὶ πάλιν. ἔστι γὰρ τὸ πιότερον σημαινόμενον, τῆς ἀνὰ προθέσεως. ὡς ἢ ἀνάκρισις δηλοῖ, καὶ ἀναβαπτισμός, ἢ τὰ τοιαῦτα. Ἀναπνέοντες, ἐν τῷ ἔχοντι. Ἀνάπνευσις, ἀνάπαυσις, ἀπὸ τοῦ πνέω, πνεύσω, πνεῦσις, καὶ ἀνάπνευσις. Ἀναπνεύσειν, ἐκ τοῦ πνέω, μέλλων πνεύσω καὶ ἀναπνεύσω, πλεονασμῷ τοῦ σ, κατὰ τὸν μέλλοντα. Ἀναπνῶ, ἀναψύ-

χω,

τος καὶ ἀκόρεστος, οὗ φησιν ὁ ποιητὴς ἐν ὀδυσσείᾳ, Ὅς οὐδὲν ἄλις, μετὰ δὲ ἔπρεπε γαστέρι μάργῃ, ἀζηχὲς φαγέμεν καὶ πιέμεν. καὶ ἐπιφέρει, Ὅς νῦν τὴν ἄναλτον ἀλητεύων ἐπὶ πάντας. ἀντὶ τοῦ πλανᾶσθαι, παρὰ τὸ ἅλις τὸ ἐπίρρημα, γίνεται ἄλτος. καὶ κατὰ στέρησιν, ἄναλτος. καὶ πλεονασμῷ τοῦ ν, ἄναλτος. ὁ τὴν ἀλιάδα μὴ δυνάμενον, βαρύν. Ἀναλύει, ἀντὶ τοῦ συμπλοκὰς τινῶν πραγμάτων ἐξ ἀρχῆς διαλύει. ὅθεν καὶ ἀναλυτικὰ παρὰ Ἀριστοτέλει. καὶ ἀναλύει, ἀντὶ τοῦ ἐπανέρχεται. Ξενοφῶν, Κῦρ αἰσχρὸν ἀνάλυσιν ἐπὶ κακίαν ἀλόγιστος. καὶ ἀναλύειν λέγεται, τὸ τοὺς συνθέτους συλλογισμοὺς ἀναγαγεῖν εἰς ἁπλοῦς, καὶ εἰς τὰς προτάσεις, ἐξ ὧν αὐτὸς τὸ εἶναι. Ἀναλύξων, ἀναπνῦσαι. Ἀναλυθῆναι, τὸ καθαρτικῷ τινὶ χρῆσθαι φαρμάκῳ. Μένανδρος ἤρωσιν. ἐπιφαρμακεύσει δύναται ἀναλυθεὶς μόλις. Ἀναλῦσαι, τὸ βεβλαμμένον τινὰ διὰ ἐπῳδῆς ἀπαλλάξαι. Ἀναλυσάμενος, ἀνακαλύψας. Ἀνάλυσις, ἐξάλυσις. ὅρος γάρ ἐστι, λόγος κατὰ ἀνάλυσιν ἀπαρτιζόντως, ἐκφερόμενος τοῦ ὁρισθέντος καθ' ἀπλῶς. ἢ ἀνάλυσις, ἡ ἀπὸ χάσματος ἐπὶ χάσμα τῶν ζητούντων ἀνακύκλησις. καὶ ἀνάλυσις ἰδίᾳ, ἡ ἀναχώρησις. Ἀναλύω, τὸ τὰ συντεθειμένα διαιρῶ, εἰς τὰ ἐξ ὧν συνετέθησαν. Ἀναλφάβητος, ἀμαθὴς γραμμάτων ἁπάντων. καὶ τὸ δὲ λεγόμενον, ἀναλφάβητος. Ἀναλῶ, ἐξ οὗ τὸ ἀναλίσκω παράγωγον. σημαίνει δὲ τὸ πρῶτον, καὶ δαπανῶ. καὶ ἐν ὑλώσειν, ἀντὶ τοῦ ἰσχύει. Προκόπιος, Ὡς δὲ τῶν ἐπιτολῶν ἀναλώσας, ἐσκόπουν. Ἀναλώσασθαι, ἠφανίσθαι. Οὐδὲ τῶν ἀναλωθέντων ἄλλως αἰτίαι. θηρίον γὰρ καὶ αὐτὸς, ὥσπερ καὶ ἐν τούτοις. ὅθεν ἀνάλωμα, καὶ προανάλωμα, καὶ ἰσχὺς. Ἀνάλωκε, καὶ ἀνάλως, ἀντὶ τοῦ. τὸ δὲ μετὰ αὐξήσεως ταῦτα λέγειν, οἷον ἀνάλωσε, κοινόν. ἀναλώσας καὶ ἐπὶ πάντων τῶν χρόνων τοῦ ῥήματος, τῶν διχρόνων αὐξάνεται. Ἀναλωτος, ἀπόρθητος, ἰσχυρός. Ἀναμαθεῖν, ἐξ ἀρχῆς μανθάνειν. Ἀναμαιμάει, ἀναφαίνεται, ἀναφλέγει, ἀναζεῖ. Ἀναμαλάττεσθαι, ἀναφυρᾶν. καὶ ἀναμάττεσθαι, ὁμοίως.

Ἀναμάξας, ἀντὶ τοῦ προσψήσας. ἀναμάσσω γὰρ, ἀντὶ τοῦ προσκολλῆσαι τῇ κεφαλῇ. ὡς Ὅμηρος ὁ Ἀναξιάδης. καὶ ἀναμάξας, ἀναμάξεις, ἀναλήψει. Ἀναμασώμενος, ἀντὶ τοῦ διαλογιζόμενος, νοούμενος, ἐπιφαινόμενος. ὡς τὸ, Μόλις τὸ πρᾶγμα ἐπιτυχὸν, ἀναμασώμενοι οἱ κατοικοῦντες. καὶ ἀναμασώμενοι, ἀναμασώμενοι, πρὸς τὸ χρῶμα τῶν λόγων ἀναμασώμενοι ἐν σφισίν. Ἀναμασσόμενος, ἀναλαμβάνων, Ἀναμάσσειν, ἀναψῆν.

Ἀναμαχαλίστην, εἶδος γυναικείου κόσμου. Ἀναμάττειν, ἀναφυρᾶν. Ἀμάτιοι, ἅμα τῷ μὴ ἔχοντες. Ἀναμάχεσθαι, τὸ πάλιν μάχεσθαι. καὶ ἀναπαλαίειν, ἐκ δευτέρου παλαίειν. καὶ ἄλλα μυρία. καὶ ἀναμαχεσάμενοι, ἐκ δευτέρου μαχεσάμενοι, ὡς τὸ, Ὁ δὲ κύκλῳ αὐτὸν αὖθις ἥκειν, ἀναμαχεσάμενον τῶν πρώτων ἥκειν. Ἀνάμεσον, ἀντὶ τοῦ ἀπὸ μέσου. καὶ ἔστι μεταβατικόν. Εὔπολις, ἀνάμεσον δὲ φαινόμενος. καὶ ἀνάμεσον, ἀντὶ τοῦ προσκαρτερεῖσθαι. Ἀριστοφάνης, ἀνάμεσον οὐ δυνάμενοι. Ἀναμιλλᾶσθαι, ἀναπαύεσθαι, ἀρνεῖσθαι. Ἀναμίλλητος, ἀνυπέρβλητος. μολπῇ γὰρ ὁ ὕμνος. Ἀναμίξ, ἐν μέρει.

Ἀναμίξας, ἐν μέσῳ. Ἀναμιμνήσκομαι, ἀναμνήσομαι. Μένανδρος, εἰς γέροντα κατελθεῖν μήτε τῶν συλλαβῶν ἀναμιμνήσκων.

Ἀναμιμνήσκεται, ἀντὶ τοῦ ὑφίσταται. Δίδυμος, Οἱ τῶν βαλαντίων δεόμενοι, οὐ μικροῦ κινδύνου ἐπιμιμνήσκονται. Ἀναμισθῶ, ἀντὶ τοῦ ἀναμισθῶ, ἀτελὴς συντάσσεται. ἀναμισθῶ, τὸ μισθὸν ἐξ ἀρχῆς ἀναλαμβάνειν πάλιν, ἐφ' ᾧ γε μισθοῦσι. Ἀναμολῦσαι, μὴ ἀναχωρῆσαι. Ἀναμορφῶσαι, ἀναπλάσαι. Ἀναμιλλᾶσθαι, ἐφιλονείκουν, καὶ ἀναμφίλλεσθαι.

Ἀναμιμνήσκομαι, τῷ ἑαυτοῦ ἀναμνήσκομαι δὲ ἑτέρου. Ἀριστοτέλης, ἀναμιμνήσκομαι τοῦ δὲ ὁ ἄλλου. καὶ ἀναμιμνήσκομαι τὸν ἄλλον. Ἀναμιμνήσκομαι ἐν τῶν δὲ, ἤγουν, ὁ ἀπέβαλον τῆς μνήμης, αὖθις πάλιν ἐν τῇ μνήμῃ ἄγω. ὁ αὐτὸς τὸ δὲ μιμνήσκω ἐν τῶν γεγενημένων. καὶ ἀναμιμνήσκω συνετὴν, εἰ τὸν ἐκεῖνον.

Ἀναμίξ, ἀναμιγνύω, ἀναμεμιγμένως. Ἄναμμα, τρίφεσθαι δὲ τὰ ἔμπυρα καὶ τὰ ἄλλα ἄστρα, τὴν μὲν ἥλιον ἐκ μεγάλης θαλάσσης νοερὸν ὄντα, ἄναμμα. τὴν δὲ σελήνην, ἐκ ποτίμων ὑδάτων, ἀέρμιγμ' ἐν τινὶ χάσματι, καὶ πρόσγειον οὖσαν. Ἀναμνήσεις, μνήμης ἐξίτηλον γενομένης ἀνάληψις, ἢ ὕφεσις φαντασμάτων. ἀρξάμενος γὰρ ἀπὸ τῆς ψυχῆς. διαβαίνει ἐπὶ τὸ ἐγνωσμένον. ἀναμνησθέντες γὰρ φοβεροῦ τινος ἡμῖν γενομένου, μέχρι φόβου τοῦ πλοῦ ἀναμνησθέντες, ἀπέσταμεν. Ἀναμονή, ὑπομονή. Ἀναμορμύρουσιν, ἀνήξει, ἀναταράσσει. Ἀναμοχλευόντων, ἀνορυσσόντων, ἀνακινούντων. Βιαζομένων δὲ αὐτῶν, καὶ τὰς θύρας ἀναμοχλευόντων. Ἀναμπλάκητοι, οἱ εἰς μηδὲν ἁμαρτάνοντες, ἀλλὰ πάντων κρατοῦσιν, ἢ ἄφυκτοι, ἀπλάνητοι, ὅπερ πέλας, ἀφανὲς. ὡς οὐκ ἔστιν ἀποφυγεῖν. Ἀναμύειν, ἀναβλέπειν. Ἀναμωμόρημένος, χρηματισμένος. Ἀναμφιλέκτως, ἀναμφιλέκτως, ἀναντιρρήτως. Ἀναμφήκειον, ἀναμφίβολον. καὶ ἀναμφίλεκτος, ὁ ἀναμφισβήτητος. Ἀναμ, ἄναστρ.

Ἀναν, οὐκ ἐν ἔργῳ, ἀληθές. Ἀνανδρον, χήραν.

Ἄνανδρος, ἄθυμος. Ἀνανέωσιν, ἴσον τῷ ἀνανεώσασθαι. οὕτως Ἐπίχαρμος. Ἡρόδοτος δὲ ἀνανεοῦσθαι, ἐπὶ τοῦ καταλύειν τὸ θυμὸν. Ἀνανεοῦμαι τῇ μνήμῃ τὸ δὲ κάλλιστον λέγων, ἢ εἰς μνήμην λαμβάνω. Αἰσχίνης, ἀνανεοῦμαι τῇ μνήμῃ τὴν ὀρθὴν τὴν ἐαυτοῦ. καὶ ἀνανεοῦμαι τῶν οἰκείων, ἤγουν ἀνακαινίζω, ἀνανεῶ ἐπὶ ἐπιτηδευτικοῦ ὀλέθρου. Ἀνανεύειν, παραπείθειν. Ἀνανεόσαντος, ἀνακαινίσας, καὶ ἀνεγείρας, ἢ ἀναμνησθεὶς εἰς ἐννοιαν ἐλθών. Ἀνανεύει, οὐ συντίθεται πρός τι. Ἀνανήφαι, διαπλεύσαι. Ἀνανήψασθαι, ἀνακαλυμμένως. Ἀνανῦσαι, σφαλῆναι. Ἀναίνειν, ἄλυπον, κατὰ στέρησιν τῆς ἀνίας, ἀβλαβές. καὶ ἀναιδὴς, ἀπρόσφορος, ἀλάλητος. καὶ ἀνανίνως, τὸ ἀλύπως.

Ἀνανομὴν, ἀναλυομένη. ἀναίνειν γὰρ τὸ μερίζειν, Εὐπολις. Ἀναντάπλεκτον, ἐστὶν ἴδιον τῶν ἀπλῶν. ὡς παρ' Ὁμήρῳ. τὸ, ὅτι οἱ μὲν δώσουσι γέρας μεγάθυμοι ἀχαιοί. λείπει δὲ, παλόσομαι, ἢ ἐνοχλήσω. Ἀναντα, τὰ προσάντη καὶ ἀνωφερῆ. κάταντα δὲ, τὰ κατωφερῆ. πάραντα δὲ, ὡς ἐν ῥητορικῷ κεῖται λέξει, τὰ πλάγια, ἐγκεκλιμένα, ἢ προσώμαλα, καὶ γήλοφα. λόχμια δὲ, τὰ πλάγια. τούτοις δὲ πᾶσιν ἢ πόλις ὁρίζεται τῆς ὀρεινῆς. ἱστέον δὲ, ὅτι τὸ ἄναντα ἐκ τοῦ ἀνάντης δοκεῖ συγκεκρίσθαι. ὡς γὰρ ἐξάντης ἀφανής, καὶ ἐξάντης οὐδέτερον, οὐ πλεονάζον ἐξάντη, οὕτω καὶ ἀνάντης, ἄναντα. ὅθεν τὸ ἄναντα τὸ δὲ αὐτὸ, καὶ τὸ κάταντα, καὶ πάραντα, πρὸς ὁμοιότητα τοῦ ἐναντίου, ἔναντα. Ἀνανταγώνιστος, ἀκαταμάχητος. ἀναντίληπτος ὁ ἐν ἃ ῥηματικὴν ὁρμὴν, καὶ δυσχερῆ τινα ἐντυχεῖν. Ἀνάντης τόπος, ἤγουν ἀνωφερής. ὁ ἐναντίον ἐστὶ τὸ καταντής, ἤγουν κατωφερής. λέγεται δὲ καὶ ἄναντα ξύλα, καὶ κάταντα, τὰ ἄνω φερόμενα καὶ κάτω. καὶ ἀνωφερῆ, καὶ κατωφερῆ, ἐπὶ τῶν αὐτῶν.

Ἀναντίρρητον, τὸ ἀντιλογίαν μὴ δεχόμενον. Ἄναξ, εἴρηται ὁ βασιλεὺς παρὰ τὸ τῶν ἄνω τάξιν ἔχειν. ἢ ὁ ἄνω ἄγων, κατὰ ἀνάγκην τοῦ κρατεῖν, ἢ πρὸς ὃν πάντα ἀναφέρομεν. δηλοῖ δὲ σημαινόμενα τῶν τῆς λέξεως δεόντων. ὑπὸρ ἐν φαίδρᾳ. ἄναξ. θεοὺς γὰρ ἀνακτάς καλεῖν ἔχομεν. καὶ ἄνακες, οἱ Διόσκουροι, ὡς φαμεν. τὸ δὲ ἄναξ ὄνομα, σημαίνει τρία. τὸν θεὸν, ὡς τὸ, ὁ φίλαρ ἄνακτα. τὸν βασιλέα, ὡς τὸ, Ἀτρείδης κρείων ἄναξ ἀνδρῶν. τὸν δεσπότην, ὡς τὸ, Αὐτὰρ ἐγὼν οἴκοιο ἄναξ ἔσομ' ἡμετέροιο. Ἄλλως. Ἄναξ γίνεται παρὰ τὸ ἀνάσσω, ὅ ἐστιν ἐπιμελεῖσθαι. ἔστι γὰρ ἐν χρήσει ἀνακῶς, ἀντὶ τοῦ φροντιστικῶς, ἐπιμελῶς, φυλακτικῶς. ἔστι δὲ θεία τις λέξις τὸ ἄναξ, ἀπὸ τῶν Διοσκούρων. Αἴλιος γοῦν Διονύσιος ἄνακας τοὺς Διοσκούρους φησὶ λέγεσθαι, ὡς ἀνακῶς. καὶ κατεχόντων φασὶν, ἀνάκειον Διοσκόρειον. Παυσανίας δὲ λέγων

πάντας αὐλοῦς. οἱ δὲ ἕτερον ἀνακράτορ. Ἀνακραδάω, σείω, ἐξελαύνω. Ἀνάκρατος, ἰσχυρὸς ἐν κεφαλαίῳ. ἢ κατὰ τὴν κεφαλὴν, ἢ κατελθών. Ἀνάκρασις, ἡ ἀνάκρασις ἡ. Ἀνακρίνειν, ἐξετάζειν, ἀναπυνθάνεσθαι, ἐπερωτᾶν, ἐλέγχειν, βασανίζειν, εἰς ταυτὸν φέρουσι. τὰ μὲν ἁπλῶς, σύντομοι, τὰ δὲ καὶ μετὰ βίας. Ἀνακρίνω, τὸ πρακτέον ἐξετάζω, εἰ καλῶς ἢ κακῶς ἐπράχθη. Ἀνάκρισις, ἡ ἐξέτασις. Ἀνακρούσασι, ἐπαινέσασι, ὑμνήσασι. ὁ δὲ πόλεμαρχος, πάντας ἐκέλευσεν ἀνακρούσασθαι, τὸ εὐφημεῖν αὐτὸν ἀποδεχόμενος. Ἀνακρούεσθαι, ἐπὶ τῶν κρουστῶν ὀργάνων. λέγεται καὶ ἀντὶ τοῦ μέλπειν ἁπλῶς. Ἀνακρούεται, ἀναχωρίζει. Ἀνακρουόμεθα, ἀναπροοιμιαζόμεθα. Ἀνακρούεσθαι, ἐπὶ ναυμαχίας, τὸ συμβάλλειν, καὶ πάλιν ἀναχωρεῖσθαι. Ἀνακρουσία, παιδιᾶς εἶδος ἐπὶ σφαίρας. Ἀνακτᾶσθαι, ἀντὶ τοῦ θεραπεύειν. Θουκυδίδης. τίθεται δὲ ἡ λέξις, καὶ ἐπὶ τοῦ, τὸ προαπολωλὸς αὖθις κτήσασθαι, καὶ ἀπολαβεῖν. Ἀνακτᾶται, ἀπ᾽ ἀρχῆς κτᾶται. Ἄνακτες, οἱ θεοί, καὶ οἱ βασιλεῖς. ἄναξ δὲ εἴρηται παρὰ τὸ τὴν ἄνω τάξιν ἔχειν. ἢ ὁ ἄνω αἰάσσων, ἢ πρὸς ὃν πάντα ἀναφέρομεν. σημαίνει δὲ, τὸν βασιλέα, καὶ τὸν οἰκοδεσπότην. ὡς τὸ, αὐτὰρ ἐγὼν οἴκοιο ἄναξ ἔσομ᾽ ἡμετέροιο. σημαίνει καὶ τὸν φύλακα. Ἄλλως. Ἀνακτες, καὶ ἀνάκτων, Ἀριστοτέλης ἐν τῇ Κυπρίων πολιτείᾳ φησί. καλοῦνται δὲ οἱ μὲν υἱοί, καὶ ἀδελφοὶ τοῦ βασιλέως, ἄνακτες. αἱ δὲ ἀδελφαὶ καὶ γυναῖκες, ἄνασσαι. καὶ ἀνάκτορα, τὰ ἱερά, ἢ τὰ βασίλεια. Ἀνακτιλεῖον, σῆκος. Ἀνακτίσασθαι, ἀνακτᾶσθαι. Ἀνακτορίαν, δεσποτείαν, βασιλείαν. Ἀνακτορίαι ὄαν παρ᾽ Ὁμήρῳ. ἀρίσταρχος μέν, τὰς δεσποτικὰς φησιν. δεσποτικὰς δὲ, ὧν ἐκράτει Βόσκων ἀνάσσων. ὅ ἐστιν, ἀρχὰς ἀπὸ τοῦ νικᾶν δὲ ἀνάσσειν, γίνεται καὶ κερώνης, ὅ τοῦ χειρός, ἢ τὸ ἐν χερσὶν ἀνάσσειν. Ἀνακτορίαις, ταῖς δεσποτικαῖς, ἢ βασιλικαῖς ἐξουσίαις. Ἡλιόδωρος. Γαῖς ἂν ἀνακτορίας διατελεῖ, ἀμείνων ἀνακτορικὸν ἐπιδεῖν.

Ἀνακτόρειον, ἱερόν. καὶ ἀνακτόρων, ἱερατεῖον. Ἀνάκτορον, ἀνάκειον. Δημοσθένης ἐν τῷ περὶ στεφάνου, ἱερὸν τῶν Διοσκούρων, λέγεται δὲ ἀνάκτορον. καὶ τὸ τῆς Δήμητρος ἱερόν, ὃ καὶ μέγαρον καλοῦσιν, ὅπου τὰ ἀνάκτορα τίθεται. Ἀνακτόρων, ναῶν. ἢ οἴκων βασιλέων. Ἄνακτος, γενικὴ, ἐκ τοῦ ἄναξ. ὃς πλεονάζον ἔχει τὸ τ, δηλοῖ τὸ ἄνακας Διόσκουροι. Ἀνακτοτελεῖται, οἱ τὰς τελετὰς ἐπιτελοῦντες τῶν ἱερῶν. Ἀνακτῶμαι παθητικῶς, τὸ λόγοις ἢ φαρμάκοις τὸν ἀσθενοῦντα ῥᾷον ἔχειν ποιῶ. Ἀνάκτωρ, θεός, βασιλεύς. Ἀνακυκλέειν, τὸ ὀρθόν. Ἀνακυμαίνειν, ῥέγχειν. Ἀνακυπτῶσαι, ἀνατρίψαι. Ἀνακυρτῶσαι, ἀνακυμαίνουσαι, ἀνακαθεῖσαι. Ἀνακῶς, ἀντὶ τοῦ ἐπιμελῶς λέγουσιν οἱ Ἴωνες, καὶ φυλακτικῶς, ἢ βασιλικῶς. Ἀνακωχεύειν, παρὰ Σοφοκλεῖ, τὸ ἀναστρέφειν. καὶ ἀνακωχεύειν, τὸ ἐν πελάγει χειμῶνος ὄντος, συστείλαντας τὰ ὀθόνια σαλεύειν. ἢ ἀνακωχεύειν κυρίως μὲν λέγεται, ὅταν χειμῶνος ὄντος, ἐν πελάγει στείλαντες τὰ ἄρμενα, σαλεύωσιν αὐτόθι μὴ διαμαχόμενοι τῷ ἀνέμῳ. μεταφορικῶς δέ, καὶ ἐπὶ ἅρματος λέγεται. ὡς τό, Οὐ διαμελλήσας, ἀλλ᾽ ἀφεὶς τὴν τῶν ἵππων κλάδωνα, καὶ ἠρέμα ἐλαύνων. σημαίνει καὶ τὸ ἐν πολέμῳ ἀμελεῖν, παρὰ τὸ ἄνω τὰς ἀκωκὰς ἔχειν. καὶ τὸ ἀναχωρεῖν. Ἀνακωχή, ἡ πρὸς καιρὸν ἀναβολὴ τοῦ πολέμου. ὅτι εἰρήνης ἔχοντα τὰ στρατεύματα, ἄνω τὰς ἀκωκὰς ἔχουσι, τουτέστι τὰς αἰχμάς. ἀνακωχεύειν, καὶ ἀνακωχή. ἀπὸ μεταφορᾶς τῆσδε λέγεται, καὶ ἐπὶ τοῦ ἀνέχεσθαι, εἶτα πρὸς καιρὸν διαλιπόντος. Ἀνακωχεύοντες, ἀναχωρίζοντες. ἢ μετεώρους κατέχοντες τὰς ναῦς. Ἀναλαβεῖν, ἀντὶ τοῦ ἀνακαλέσασθαι, καὶ εἰς ὀρθὸν στῆσαι. Ἀναλάμπα, τὰ ἐν πρὸς ἐλαφραίαν ἐργαζόμενα. Ἀναλαμβάνει, ἀντὶ τοῦ ἀναλίσκεται. καὶ ἀναλαμβάνει ἑαυτὸν ἐκ νόσου, ἢ ἀναλαμβάνει τὸ σῶμα ἐκ τοῦ νόσου, ἀντὶ τοῦ ἀνακουφίζει καὶ παλαμοῦται. ὅθεν ἀναληπτικὴ τροφή, παρὰ τοῦ μεγάλου Βασιλείου. καὶ ἀναλαμβάνων, τὸ ξένον διαπονίζων, φιλοφρονεῖσθαι. Ἀναλαμβάνομαι, τὸ ἀναλίσκομαι, καὶ ἐπανακτῶμαι, αἰτιατικῇ συντάσσεται. ἀναλαμβάνομαι δὲ ἐγώ, ἐπὶ πάθους. Ἀναλγεῖν, ἀναισθητεῖν, ἀναγινώσκειν. Ἀναλγής, ὁ μὴ κρατούμενος νοσήμασι. ἀνάλγητος δέ, ὁ τοῦ προσήκοντος μὴ ἐπιστρεφόμενος. καὶ ἀνάλγητος, δυσμετάβλητος, ἀναλγής, ἀπαθής, ἀναιδής, σκληρός, δυσανάλγητος. Ἀναλγησία, ἀναισθησία. Ἀνάλγητοι, ἀναιδεῖς, ἢ ἀμέριμνοι. Ἀναλδές, ἄτροφον, παρὰ τῷ Ἱπποκράτει. Ἀναλδήσκοντες, ἀναλδόμενοι, αὐξανόμενοι. Ἄναλδον, ἄναυξες, ἀνυγίαστον. Ἀναλέγομαι, ἀπολέγομαι, ἐκλέγω, ἀπολέγω. Παρθένος ἀπολέξας, καὶ ἐκλέξας. καὶ ἐπιλέγομαι, τὸ αὐτό, καὶ τὸ ἀναγινώσκω. Ἀκαμάς, Ἐπιλεγόμενος τῶν τεθνηξομένων τὰ ὀνόματα. Ἀναλέγειν κυρίως, τὸ τὰ διεσπαρμένα, καθ᾽ ἓν ἀναλέγειν τινά. οἷον ἀναλέγουσιν αἱ ὄρνιθες ἀπὸ γῆς τὰ σπέρματα. Ἀναλέγεται, αἰτιατικῇ. τὸ ἀναμφιβόλως ἔχει, ἐποίησε. Ἀναλεῖ, χολᾶται, ταράττεται. Ἀναλελάφθαι, ἀναλῦσαι. Ἀναλειφθησόμενος, ἀναγνούς, γνώσεις. Ὁ δὲ ἀναλειφθησόμενος τὴν ἐπιστολήν. Ἀνάλειμμα, ὕψωμα, κάθαρμα. Κατανοήσας τὸ βάθος τῶν ἀναλημμάτων, καὶ ὡς ἀδύνατόν ἐστι σαλεῦσαι τὰ τείχη, ἐκ χειρὸς τὴν μάχην ἐποίησεν. Ἀναλῆσαι, ἀνατρίψαι.

Ἀναλήψεσθαι, ἀνακτήσασθαι. Ὁ δὲ ἔλεγεν ἀναλήψεσθαι τὸ παρὸν πταῖσμα, τοῖς εἰς τὸ μέλλον ἀριστεῦσι. Ἀνάληψις, ἡ ἀνάρρωσις. Σπουδὴν ἐποιεῖτο, ὑπὲρ ἀναλήψεως καὶ θεραπείας τῶν ἀνδρῶν. Ἀναλθής, ἀνίατον, ἀνυγίαστον, ἀναίσθητον. Ἀναλιβόρα, τόπος. Ἀναλίγκιον, ἀνόμοιον. Ἀναλίσκω, τὸ φθείρω, καὶ δαπανῶ. Ἀναλκατάλλα, ἄνωθεν κάτω. Ἄναλκις, ἀσθενής, ἀδύνατον. Ἀναλκις, ἄνανδρος, ἀσθενής. Ἀναλκίδα, ἀσθενῆ. Ἀναλογεῖον ἐν ᾧ τίθενται τὰ βιβλία. Ἀναλλακτεῖν, καὶ ἀναλλάξ, ἐπὶ τῶν τἀναντία ποιούντων λέγεται. Ἀναλλοίωτος, ἄτρεπτος. Ἀναλλύζουσι, στενάζουσι, δυσχεραίνουσι. ἐστὶ δέ τι πάθος γινόμενον τοῖς μετὰ συμπαθείας πολλῆς κλαίουσιν.

Ἀναλογάδην, κατ᾽ ἀναλογίαν. Ἀναλογία, τὸ λέγειν, ὃν λόγον ἔχει ὁ δύο ἀριθμὸς πρὸς τὸν τέσσαρα, τοῦτον ὁ τρία πρὸς τὸν ἕξ. ἀμφότερα γὰρ διπλάσια, ἡ ἀναλογία ἐστίν, ἡ τὸ πολυσχιδὲς τοῦ ἀνθρώπων φθέγματος, συντόμως παραδίδουσα. ἢ ἀναλογία ἐστίν, ἡ τῶν λεγομένων ὁμοιότης. οἷον, ὡς τόδε, πρὸς τόδε, οὕτω καὶ τόδε πρὸς τόδε. ὡς ἀπὸ λόγων νόημα πρὸς τὴν ἁπλῆν φωνήν, οὕτω καὶ σύνθετον νόημα πρὸς τὴν σύνθετον φωνήν. ἢ ὁμοίωσις ἑτέρου πρὸς ἕτερον κατά τι. οἷον, ὡς ἔχει ἐπὶ ποιμένος πρόβατον, καὶ ἐπὶ ἐπισκόπου. καὶ ὡς ἐπὶ πολλῶν πρόβατα, καὶ ἐπὶ πολλῶν αὐτοῦ. ἀμφότεροι γὰρ ὅλον τὸ σῶμα βαστάζουσιν. γίνεται δὲ παρὰ τὸ λόγος, λογία, ἀλογία, καὶ ἀναλογία. αἱ γὰρ δύο στερήσεις ὁμοῦ οὖσαι, κατάφασιν ποιοῦσιν, ὡς πυσα, ἄπυσα, καὶ ἀνάπυσα, τὰ περιβόητα. καὶ πορόν, ἄπορον καὶ ἀνάπορον τὸν πεπορισμένον. Ἀναλογίζομαι, τὸ ἐνθυμοῦμαι, αἰτιατικῇ συντάσσεται. καὶ ἀναλογίζομαι, τὸ ἀναπεμπάζομαι, ἀναπολῶ, ἀναπυνθάνομαι. Ἀνάλογος, ἰσχυρός. Ἀναλόγως, ὁμοίως, ἴσως. Ἀναλογώτερον, τὸ ὑψηλότερον, τὸ σοφώτερον, τὸ ἀναλογιώτερον. Ἀναλοῦντες, ἀντὶ τοῦ ἀναιροῦντες. οὕτω Θουκυδίδης. καὶ ἀναλῶν, καὶ ἀναλοῦν.

Ἀναλῶ, ἐξ οὗ τὸ ἀναλίσκω παράγωγον. σημαίνει δὲ τὸ φθείρω, καὶ δαπανῶ, ἐξ οὗ καὶ ἀνάλωμα. Ἄναλτον, τὸ χωρὶς ἁλός, ὅπερ ἄχρεῖον, καὶ μὴ ἅλας ἔχον, καὶ ἀνάρτυτον, καὶ ἀηδές, ὡς ἐκ μεταφορᾶς ἐδεσμάτων τῶν οὐκ ἐχόντων ἅλας. σημαίνει ἔτι παρ᾽ Ὁμήρῳ καὶ τὸν ἀπλήρωτον, ἤγουν ἀκόρεστον. οἷον, ἄναλτος γαστήρ, ἢ ἀπλήρωτος, καὶ μηδέποτε ἅλις ἔχουσα. ἢ ἡ ἐν ταπεινώσει οὖσα, καὶ μὴ ἀλδαινομένη, ὅ ἐστιν, αὐξομένη ἐν τῷ κορέννυσθαι. Ἄναλτος, ὁ ἀπλοῦς, ἀπὸ τῶν ὄψων τῶν μὴ ἐχόντων ἅλας, καὶ ἀηδῶν ὄντων. σημαίνει δὲ καὶ τὸν ἄχρεῖον, ὁ δυνατίας ἐ. ἢ ἀναυξής, καὶ ἀτελής, παρὰ τὸ ἄλδω τὸ αὐξάνω. ἢ ὁ ἀπλήρω-

δὲ οὐδ' ἰδίους τῷ. περὶ τῆς αὐτῆς Δανιὴλ φησὶν, ὁ λογοθέτης ὡς ἐπὶ γράμμα, λέγων τοῦ κινήσεως αὐτοῦ. Ἀναίμων, ἀναιμάκτων.

Ἀναιμωτὶ λακρίζεσθαι, παροιμιῶδες γέγονε. λέλουν, τὸ λίχα μάχας λυθήσεσθαι. Ἀναίνεσθαι, κοινῶς μὲν τὸ ἀρνεῖσθαι. ἰδίως δὲ, ἐπὶ τῆς κατὰ τὸν γάμον καὶ τὰ ἀφροδίσια. ἢ ἀναίνομαι, ἀπαρνοῦμαι, παραιτοῦμαι. ἢ τὸ ἀναίνεσθαι, ταυτόν ἐστι τὸ μὴ αἰνεῖν, ὅπερ συναινεῖν, ἢ συγκατατίθεσθαι. παρὰ τὴν αἴνεσιν, καὶ τὸ αἰνεῖν, ὃ δηλοῖ συγκατάθεσιν. ἐξ οὗ καὶ ὑπεναντίως, καὶ τὸ συναινεῖν, καὶ συγκαταινεῖν. Ἀναίνεται, ἢ ἀναίνεσθε, ἀρνεῖται, παραιτεῖται. ἀρνεῖσθαι, καὶ παραιτεῖν. ἐκ τοῦ ἀρνῶ, ἐξ οὗ καὶ τὸ ἀρνοῦμαι, γίνεται ἀρναίνω. καὶ ἐν ἀφαιρέσει τοῦ ρ ἀναίνω, καὶ ἀναίνομαι. Ἀναιρεθεὶς, ἀντὶ τοῦ ἀναληφθείς. οὕτως Σωκράτης. Ἀναιρεῖ, ἀναφωνεῖ, ἀντὶ τοῦ φονεύει. ἢ ἀναιρεῖ, ἀντὶ τοῦ ἐκβάλλει, ἢ ἀφανίζει. Μάξιμος. Καὶ τὰ μαντεῖα ἀναιρεῖ, καὶ ταῖς φήμαις ἀπαντᾷ. ἢ ἀναιρεῖ, ἀντὶ τοῦ νικᾷ. Ἡρόδοτος, Ὀλυμπιάδα ἀναιρεῖ. ἀναιρεῖται δὲ παθητικῶς, ἀντὶ τοῦ φονεύεται, ἢ ἀντὶ τοῦ ἀναλαμβάνει, καὶ ἰδιοποιεῖται. Ἑρμογένης, ἐξετίθεσαν Ἀθηναῖοι τὰ γένη, μεγαρεῖς ἀναιρούμενοι ἔτρεφον. Ἄλλως. Ἀναιρεῖν, φονεύειν, κτείνειν, ἀποκτείνειν, ἀποσκευάζειν, ἀπολλύναι, σφάττειν, ἀποσφάττειν, δολοφονεῖν, μιαιφονεῖν, ἀποχειρίζεσθαι, ἢ διαχειρίσασθαι. καὶ τὰ ὅμοια, ταυτὸν σημαίνει. τὰ δὲ πράγματα, ἀναίρεσις, φόνος, σφαγὴ, μιαιφονία, ἀνδροφονία. ἐπίρρημα μόνον, φονικῶς. ὀνόματα δὲ ἀνδροφόνος, φονεὺς, φονικὸς, σφαγεὺς, μιαιφόνος. Ἀναίρεσις ἡ τοῦ νεκροῦ ἐκκομιδὴ, ἢ τὸ ἄλλως θανατοῦσθαι, καὶ ἡ λεὼς ἀφαίρεσις. λαμβάνεται δὲ καὶ ἐπὶ ἀνατροπῆς. Ἀναιρετὴς, φονευτὴς, ἐχθρικός. Ἀναιρεῖσθαι, ἀναλίσκεσθαι δηλοῖ, κάτω κείμενον. τοιοῦτον οὖν ἐστὶ, καὶ τὸ πρὸ ὀλίγου μικροψυχῶς. τὸ αἴδαλα πατρὸς, καλὰ ἀναλέσθαι. Ἀναίρεον, ἄδοξον, κρυπτόν. Ἀναιροῦ, οὐ μόνον τὸ φονεύω, ἀλλὰ καὶ τὸ μαντεύομαι. καὶ ἀναιροῦμαι, οὐ μόνον τὸ φονεύομαι, ἀλλὰ καὶ τὸ ἀναλαμβάνω, καὶ τὸ ἀνέλαβε. ὡς τὸ, ἀναιρεῖτε τὸν βωμὸν, Βαβυλωνίαζον. καὶ τὸ, πάντας εἰς ἐκεῖνον ἀνέφερε. καὶ ἀναιροῦμαι, τὸ μαντεύομαι λέγομαι. Λυσίας, Πῶς οὐκ εὔλογον, ἢ πρόχειρον, παρὰ τοῦ θεοῦ κατὰ Θρασύβουλον, ἀναιρεθῆναι μαντευθῆναι. καὶ τὰ πράγματα, ἀναίρεσις, ὁ φόνος. καὶ ἀναίρεσις, ἡ ἀνάληψις. οἷον, ἀναίρεσις τοῦ ὅπλου, καὶ ἀναίρεσις τῶν νεκρῶν. Ἀναισθητεύομαι, τὸ μὲν ὄνομα ἀναίσθητος. Δοκιμαστικόν. τὸ δὲ ῥῆμα, οὐκέτι. λέγει οὖν, οὐκ αἰσθάνομαι. διὸ ἀναισθητεύομαι μὴ εἴπῃς, ἀλλ' ἀναισθήτως ἔχω. Ἀναισιμοῦν, δαπανᾶν, ἀναλίσκειν. Ἀναισιμώματα, ἀναλώματα.

Ἀναίτιος, ἀθῶος, ἀνέγκλητος. Ἄναιδος, ἀβλαβὴς, ἀναίτιος. Σοφοκλῆς, Πόλις δὲ τοι κἀκεῖνος ἀναίτιος, τὸ δ' ἀπαλλαχθῇ χθονός. Ἀνακαγχάσαι λέγεται, τὸ ἀθρόως γελᾶν. Ἀνακαθαίρομαι, οὐ μόνον εἰς κάθαρσιν λέγομαι, ἀλλὰ τὸ καθαίρω. Λιβάνιος, Γαῖαν τὴν τρόπον ἐπῆλθεν ἀνακαθαιρόμενος γῆν τε καὶ θάλασσαν. Ἀνακάθαρσις, διάκρισις, διασάφησις, ἐπίλυσις, διακρίνησις. Ἀνακαινίζομαι, τὸ ἀνακαινίσω. Ἀνακαίνισις. δῆμος φυλῆς ἐπωνόμασται ἡ ἀνακαίνισις. Ἀνακαίειν, ἀνάπτειν. Ἀνακαίνωσις, ἡ ἀνακαίνισις. λέγεται δὲ καὶ ἀνακαίνισις. Ἀνάκαιον, τὸ δεσμωτήριον, εἰς ὃ κατετίθεντο τοὺς πονηροὺς δούλους, καὶ τοὺς ἀπειλουμένους ἀφιλομένους. Ἀνακαλεῖ τις ἑαυτὸν, ὑποστρέφων αὐτὸν προσαγόμενος. ἀνακαλεῖται δὲ ἑκὼν, ὁ ἀνακτώμενος. Ἀνακαλοῦμαι παθητικῶς προφερόμενος, ἀμφότερα ἔχει σημασίαν, καὶ τίθεται ἀντὶ τοῦ ἀναδέχομαι. καὶ ἀντὶ τοῦ ἀναλαμβάνω. οἷον, ὀργισθεὶς τῷ Δίωνι ὁ βασιλεὺς, εἶτα ἀνακαλεῖται αὐτόν. καὶ ἀντὶ τοῦ ἐπανακτῶμαι. οἷον, ἀνακαλεῖν τὴν ὄψιν. ἀντὶ τοῦ ἀπὸ ἀπωλείας ἐπελθεῖν τῶν ἐχθρῶν. εἶτ' αὖθις δὴ πολέμιον ταῦτα ἀνακαλεῖται. ἀντὶ τοῦ πολεμεῖν ἐπανακτᾶν καὶ ἐπανιέναι. Ἀνακαλούμενος, ἀνακτώμενος. Ὁ δὲ ἰσοκράτης ἀνακαλεῖσθαι, τάς τῶν ὑποτεταγμένων εὐνοίας καὶ προθυμίας. Ἀνακαλυπτήρια, τὰ διδόμενα δῶρα ταῖς νύμφαις, ὅταν πρῶτον ἀνακαλύπτωνται, ὅτι τὸ ὁρᾶσθαι τοῖς ἀνδράσι. καλεῖται δὲ αὐτὰ καὶ ἐπαύλια. ταῦτα δ' εἰσὶ τὰ παρ' ἡμῖν θεώρετρα. Ἀνακαμψίερως, φυτόν ἐστιν, ὃ ἐν ὄρεσιν ἀπὸ γῆς ζῇ. Ἀνακαμψίπλοος. ὁ κατ' αὖθις καλούμενος ἄνεμος. Ἀνάκανθα, ἐν τοῖς ἰχθύσι. λεπτοειδῆ.

Ἄνακες, οἱ Διόσκουροι. ὅ ἐστιν, ἐν ὕψει, ἄνω. Ἀνακάψαι, καταφαγεῖν, ὑποσπάψαι. Ἀνακείμενος, ὁ ἀνακεκλιμένος, ἢ ῥᾳθυμῶν. ἢ ἀνακείμενος, ὁ ἀνατεθειμένος. οἷον, ἀνακείμενος σοφίας. Ἀνάκεια, Διοσκούρων ἑορτὴ τὰ ἀνάκεια. Ἀνάκειον, ἱερὸν, ὃ ἦν τῶν Διοσκούρων ἱερόν. Ἀνακείρω, ἀντιτέμνω. Ἀνακεῖσθαι, λέγεται κυρίως ἐπὶ τῶν ἀναθημάτων, καὶ ἐπὶ τῶν ἀνδριάντων. κατακεῖσθαι δὲ καὶ κατακεκλίσθαι, ἐπὶ τραπέζης. καὶ ἀνακεῖσθαι πολλάκις, ἀντὶ τοῦ κατακεῖσθαι. Ἀνάκειται, λέγεται ἐπὶ ἱερῶν, ἀντὶ τοῦ ἀνατίθεται. οἷον, ἀνάκειται δῶρον τῷ θεῷ, τὸ τοῦ βασιλέως διάδημα. καὶ ἀνάκειται ἀνδριὰς τοῦ βασιλέως τῷ θεῷ. ἐξ οὗ, καὶ ἀνάθημα. ἀνάκειται καὶ τὸ ἐπὶ κλίνης κεῖσθαι. ἀνάκειται, καὶ ἐπὶ συμποσίου λέγεται. οἷον, ἀνάκειται ὁ εὐνοῦχος μετὰ σκιάσματος, ἀντὶ τοῦ σκιάζεται. καὶ ἀνάκειται λογοθέτης, καὶ ἀνάκειται πόρνοις, κύβοις, συμποσίοις, ἀντὶ τοῦ προσκεῖται ἐχθροῖς. Ἀνακεκαλυμμένως, ἀπαρακαλύπτως, φανερῶς.

Ἀνακεκύφασιν. Ἀριστοφάνης, Τὰς ἀγὰς ἡμῶν κεφαλὰς εἰς γάστρα, βοῦς ἀνακλίνοντες. Ἀνακεφαλαιοῖ, ἀνακαλύπτει, ἀνακαλεῖ, καὶ ἀνακεφαλαιοῦται, συμπληροῦται, ἐπαναλαμβάνει.

Ἀνακεφαλαίωσις, ἡ ἐξ ἀρχῆς ἔρευνα. Ἀνακεχυμένη, ἀνειμένη, κεχαυνωμένη. Ἀνακεχωρηκότων. ὁ ἐπὶ τοῦ βιβλίου μοναχῶν τρεῖς, καὶ δύτην σπήλαιον καὶ ἀνακεχωρηκότων. ἀντὶ τοῦ ἀποκρύφων. λέγω, περὶ ἐπαφροδίτου τοῦ χωρικοῦ. Ἀνακηκίει, ἀναφέρεται. καὶ ἀνακηκίον, τὸ ἀναπηδᾶν, ἀπὸ τοῦ κίω. κατὰ ἀναδιπλασιασμὸν, κικίω. καὶ τροπῇ κηκίω. ἄλλως γὰρ οὐκ ἔστιν εὑρεῖν ἀναδιπλασιασμὸν ἐκτεταμένον. τοῦτο δέ ἐστι γίνεται ἐπὶ τοῦ ὕδατος τὸ ἀναβλύζειν, καὶ ἐπὶ τοῦ ἱδρῶτος, καὶ ἐπὶ τοῦ καπνοῦ. Ἀνακῆσαι, ἡσυχάσαι. Ἀνακλαίουσα, ἐκ τροφῆς.

Ἀνακλινθῆσθαι, ἀναχωρεῖν. Ἀνάκλησις, ἡ προσφώνησις. διὰ δὲ τοῦ ι, ἡ ἀνάπαυσις, καὶ τόπος τις ἐν τῇ πόλει. Ἀνακλινοπάλη, μιλλῶ παλαίστρα, ἀνακλιθέντος τοῦ ἀθέμιτος εἰς πόλεμον. καὶ Μάρκος Ἀντωνῖνος φησὶν, ἔθος ἀνεμένων τὸ ἀνακλινικὸν, ἐκ τοῦ εἰς ὕλην ἐτῶν, μήτε ὄρχησιν δίκαιον, μήτε ἀνθρώπους ἐλέους μάρτυρος. Ἀνακλῖναι, τὸ ἀνοῖξαι. ἐπικλῖναι δὲ, τὸ κλεῖσαι. ἀνακλίνεται εἰς γῆν, καὶ ἀνακλίνεται πρὸς τῇ γῇ. ὅμοιόν ἐστι τῷ καταβαίνει εἰς γῆν, καὶ βαίνει εἰς γῆν. καὶ Ὅμηρος, Τὸ μὲν εὖ κατέθηκε τανυσσάμενος. ὃ καὶ τανύσαι λέγεται. ἀνακλῖναι, ἐπὶ θυρῶν ἀνοίγειν. ὡς Ὅμηρος ἐν Ἰλιάδι. ὧ ἀντίθετον, τὸ ἐπιθεῖναι. ὡς ἐν Ὀδυσσείᾳ, ἀλλ' ἴθι νῦν μοι, θύρας ἐπίθες θαλάμοιο. τουτέστι, κλεῖσον.

Ἀνακλιθὲν, ἀνακεκλιμένον. Ἀνακλώμενον, τὸ ἀνακλώμενον. Ἀνακλῶνται, κλῶνται, κατὰ ἐκβολάς. Ἀνακογχυλίσαι ὕδωρ, καὶ ὕλας. οἷον, ὕδωρ μοί τις δότω, ἀνακογχυλίσαι. καὶ πάλιν, ἀνακογχυλιάζων ὕδωρ. ἀνακογχυλιάζειν δὲ λέγει Ἀριστοφάνης, ἀντὶ τοῦ κλύζειν. καὶ ἀνακογχυλιάσαι, τὸ ἀνακλύσαι ἕως τὴν φάρυγγα, ὕδωρ λαβεῖν. Ἀνακολλητον, ἀναφαλον.

Ἀνακοινοῦσθαι μετὰ σοῦ, τὰ ἐμὰ πράγματα βούλομαι. Ἀριστοφάνης, Βουλομένους ἀνακοινοῦσθαί σοι πράγματα κάλλιστα, ἐγὼ λέγομαι ἀνακοινοῦμαι μετὰ σοῦ, καὶ σοί. Ἄνακοι, οἱ Διόσκουροι παρὰ Ἀττικοῖς. παρὰ τὸ ἀνάσσω, ἀνακός. ὡς φυλάσσω φυλακός, μαλάσσω μαλακός. ἢ ὅτι ἄνακος, ὅ ἐστι φιλανθρώπους, ἐχρῶντο τοῖς Ἀθηναίοις. ἢ διὰ τὸ πλέοντας σώζειν, ἀνωφελεῖς ὄντας. ἢ ἄνω καὶ ὑπὲρ ἡμῶν ὄντας. καὶ τὸ ἄνω δὲ, συνεθέντες εἰώθασιν Ἀττικοὶ ἀνακῶς λέγειν. Ἀνακομιδὴ, ἀναγωγὴ, ἐπάνοδος. Ἀνακομίσαι, θεραπεῦσαι, ἀνοίγαι. Ἀνακοπεῖν, ἀναστρέφειν. Ἀνακοπῶ, τὸ ἀναφύω. Ἀνακραγεῖν κάλλιον, καὶ ἐγκραγεῖν, ἢ ἀναφωνῆσαι. Ἀνακραδαίνω, ἀνακραδαίνω. Ἀνακραῖος, μετὰ

νας. Ἀναδίδωμι, ἀνίσχω, ἀναβλαστάνω, ἀνίημι, ἐκφύω. καὶ ἀναδίδωσιν, ἀντὶ τοῦ ἀναβλαστάνει, καὶ ἀναπέμπει. Ἀνάδικα, τὰ ἄλλως κριθέντα. ὡς τὸ, ἀνάδικα τὰ δεδικασμένα πάλιν, εἰ ψευδομαρτυρίας ὁ ἡττώμενος ἐπιλάβοιτο. Ἀναδικάζεσθαι, τὸ αὖθις δικάζεσθαι. Ἀνάδικοι κρίσεις, αἱ αὖθις δικαζόμεναι, ὅταν ἁλῶσιν οἱ μάρτυρες ψευδομαρτυριῶν. Ἄλλως. Ἀνάδικοι. οὕτως ἐλέγοντο, οἱ τὰ δίκαια εἰς ἀναψηλάφησιν ἐγκαλεσάμενοι. ὅτε διὰ παλινδικίαν αἰτίας, ἢ τῶν μαρτύρων ἁλόντων ψευδομαρτυριῶν. Ἀναδίκτης, εἶδος παγίδος. παρὰ τὸ δίκειν, τὸ βάλλειν. ἔστιν ὁ δίκτυς ὁ ῥιπτόμενος. Ἀναδιώξας, ἀνακινήσας.

Ἀναδονέω, περιστρέφω. Ἀναδιπλασιασμὸς, ὅταν τὸ ἐξῆς τῆς λέξεως σύμφωνον ἔχῃ. οἷον, τέτυφα. Ἀναδίπλωσις δὲ, πρότερον ἢ δευτέρων συλλαβῶν διὰ τὸ αὐτὸ ἀρχόμενον, ἢ ἀνάλογον, ἐκ παλλήλου ἐκφορά. γίνεται δὲ ἐπὶ ῥημάτων, καὶ μετοχῶν, καὶ ὀνομάτων. πλεονάζει παρά τε Ἴωσι καὶ Αἰολεῦσιν. οἷον κεκάμηκεν ἀντὶ τοῦ κέκμηκε, λελάχωσιν ἀντὶ τοῦ λάχωσιν, ἀταρτηρὸς ἀντὶ τοῦ ἀτηρὸς, ἐτήτυμον ἀντὶ τοῦ ἔτυμον. Ἄλλως.

Ἀναδίπλωσις, ἡ ἐπανάληψις, ἢ παλιλλογία ἐστὶν, ὅταν ἐπαναλαμβάνωμεν μέρος τι λόγου, ἢ πλείονας λέξεις. οἷόν ἐστι, τὸ φίλε ἐγὼ αἰδὼς εἶμι, καὶ εἰ περὶ Χείρων ἔσομαι, εἰ περὶ Χείρων ἔσομαι. τοῦ δὲ παρειλημμένου ἄλλων ἐκεῖν, ἢ τὸ αὐτῶν πάλιν ἀναλαμβάνομεν. ὡς ἐν τῷ, ἀλλ' ὁ μὲν αἰθίοπας μετεκίαθε τηλόθ' ἐόντας, αἰθίοπας, τοὶ διχθὰ δεδαίαται, ἔσχατοι ἀνδρῶν. Ἀναδοιδυκίσαι, ἀνατρέψαι. Ἀναδομὴ, ἀναδασμός. ἐγὼ δὲ λέγω, ἀνάκλησις. Ἀναδημένοι, στεφανούμενοι. ἀναδουμένη οὕτω μέγα, πρὸ πάντων ἀνθρώπων. Ἀναδούμενος, ἀναδεσμούμενος. δέω, δέομαι δεόμενος. κατὰ συναίρεσιν ἢ κρᾶσιν, ἀναδούμενος. Ἀναδῦναι, ἐκκλῖναι. Ἀνάδοχον, οὐκ ἀνάδοχον λέγουσιν. Ἀναδραμεῖν, ἀναδῦναι. Ἀναδρᾶσαι, ἀναπρᾶξαι. Ἀναδρομαὶ, αὐξήσεις, βλαστήσεις. Σοφοκλῆς ἐν Τριπτολέμῳ. Ἀναδρύμματα, θύματα. Ἀναδρέψαι, ἀναξηρᾶναι.

Ἀναδύξ, μεταβλητικόν. Ἀναδύεσθαι, κατὰ τοὺς παλαιοὺς, ἐπὶ τῶν εἴληπται. ἃ προθύμως μὲν ἔχοντα δύεται ὑπὸ ζυγόν. μὴ προθυμούμενα δὲ, ἀναδύεται. καὶ ἄλλως δὲ ἐπινοεῖν. ὡς δύεσθαι μὲν, καὶ καταδῦναι ὅμιλον, τὸ θαρρεῖν εἰς μάχην δηλοῖ, καὶ οὕτως εἰς βυθὸν αὐτὸ χωρεῖν. ἀναδύεσθαι δὲ, τὸ ἄλλως ἀναχωρεῖν, ὁμοίως τοῖς καθ' ὑδάτων δυομένοις φύσις. καὶ ἀναδύεσθαι λέγεται, ἐπὶ τῶν ἀπεκδυομένων, καὶ εἰς ἀγῶνα ὁρμησάντων, εἶτα διὰ δειλίαν ὑποφυγόντων τὸν ἀγῶνα, καὶ ἐκδυομένων. λέγεται τὸ ἀναδύεσθαι, καὶ ἐπὶ τῶν ἀνανεόντων ἐπὶ τῆς θαλάττης, ὃ ἐναντίον τοῦ καταδύεσθαι. οἷον, καταδύναι ἐκεῖς τὸν βυθὸν, καὶ ἀναδύεται ἐκ τοῦ βυθοῦ. Ἀναδύεται, ὑποστρέφεται, καὶ βραδύνεται. Ἀναδῦναι, ἀνάπαλιν ἐπιστροφὴ τὸ καταδῦναι εἰς πόλιν. ὃ εἰς ὅμιλον δηλοῦται. σημαίνει καὶ τὸ ἀναχωρῆσαι, ἀναφανῆναι, καὶ ὑποστρέψαι. Ἀναδυόμενος, φεύγων, ἀναβαλλόμενος. καὶ ἀναδύομαι, ἀντὶ τοῦ μεταβουλεύομαι. Ἀναδύεσθαι, ἀναβάλλεσθαι, ἀποκνεῖσθαι, μὴ βούλεσθαι. Ἄνα Δωδωναῖε, βασιλεῦ ἐν Δωδώνῃ κειμένῃ. Ἀνάεδνον, ἄπροικον, χωρὶς ἕδνων. ἕδνα δέ ἐστι, τὰ πρὸ τῶν γάμων ταῖς γαμεῖσθαι μελλούσαις, παρὰ τῶν μνηστήρων διδόμενα δῶρα. Ἀναεῖραι, τὸ ἀναφῆσαι, καὶ ἄνω ἆραι. δηλοῖ καὶ τὸ ἀναβαστάσαι. ἐμφατικωτάτη λέξις ἐστί. διὸ καὶ ἐπιμένει αὐτῇ ὁ ποιητὴς πολλαχοῦ. Ἀνάζαρβα, πόλις Κιλικίας, ἀπὸ Ἀναζάρβα τοῦ κτίσαντος αὐτήν. ὁ πολίτης, Ἀναζαρβεύς. ὡς Καρυστεύς. ἀφ' ἧς Διοσκουρίδης ἰατρὸς χρηματίζων, καὶ Ἀπολλωνιάδης ὁ Ἀναζαρβεύς. Ἀναζεύξας, ἀναστρατοπεδεύσας, ὑποστρέψας. Ἀναζυγαὶ, ἀναστροφαὶ, στρατοπεδεύσεις, ἀναλύσεις τοῦ στρατοπέδου. Πολύβιος, ὁ δὲ φίλιππος οὐδενὶ κόσμῳ ποιησάμενος τὴν ἀναζυγὴν, καὶ τὴν διάταξιν, διατρέψας εἰς Κεφαλληνίαν κατῆρεν. Ἀναζυγοῦν, τὸ ἀνοίγειν κιβωτὸν, ἢ τὴν ἐπὶ τῇ θύρᾳ κλεῖθρα. λέγεται δὲ καὶ ζύγαστρον ἀναζυγοῦντος, ἀντὶ τοῦ ἀνάγοντος εἰς τὸ ἄνω φῶς. Ἀναζωπυρῆσαι, ἀνεγεῖραι, ἀναπνῶσαι, ἀνάψαι. Ἀναζυγῶσαι, τὸ τὰς θύρας ἀναπετάσαι. Ἀνασοφάνες, τὰς θύρας ἀναζυγώσας. Ἀναθαρρήσαντες, θαρραλεώτεροι γενόμενοι. Ἀναθεὶς, βασιλεύσας. Ἀναθεῖναι τὸν φόρτον, οἷον ἐπιθεῖναι. Ἀναθεῖναι ἐστὶ τῇ τετάρτῃ τῶν ἰδίων, Μιλησίοις τινὸς τῶν ἀρχῶν ἀναθέντος. καὶ ἀναθεῖναι, ἀντὶ τοῦ ἀφιερῶσαι. ὁ δὲ τὸ ἐν ναῷ αὐτοῦ, ἔδοξε χάριν ἀναθεῖναι τρίποδα χρυσοῦν. καὶ ἀνατίθημι, ἐπὶ φορτίων καὶ ἀφιερωμάτων. ἀνατίθεμαι δὲ, τὸ ἀναβάλλομαι, καὶ ὑπερτίθεμαι. οἷον ἀνατίθεμαι τὰ κάτω γεγραμμένα, ἀναθεὶς τὴν καταδίκην, παρὰ Σοφοκλεῖ. οἷον, ὑπέρθεσιν πεποιημένος τοῦ θανάτου. Ἀναθεὶς, ἐπιτρέψας. ἐπὶ ἀψύχων τάττεται. ἐχρήσατο δὲ Ἀριστοφάνης καὶ ἐπὶ ἐμψύχων, ἀγαλῶν τὸν ἄνθρωπον ἐπὶ κρημνὸν ἐν ταῖς νεφέλαις. Ἀναθεματιζόμενος, ἐπάρατος, ἢ ἀκοινώνητος. Ἀναθέντας, ἀντὶ τοῦ ἐπιθέντας. οὕτω Ξενοφῶν.

Ἀναθέσθαι, ἀντὶ τοῦ ἀναβοῦναι. οὕτως Ἀλεξις. καὶ ἐπὶ τῶν πεσσῶν ἔλεγον οἱ παίζοντες. οὓς γὰρ μὴ κατὰ τὸ δέον ἐκίνησαν, τούτους ἀνετίθεσαν. καὶ ἀναθέσθαι, τὸ ἀναβάλλειν τὰ λελεγμένα, καὶ μηκέτι ταῦτα λέγειν. Ἀνάθεσις, ὑπέρθεσις. Τὰ χρήματα δώσειν ὑπέσχοντο, τριῶν ἡμερῶν ποιησάμενοι ἀνάθεσιν. Ἀναθήκη, ἀνάθεσις. Ἀναθηλήσει, παρὰ τὸ ἀναθηλῶ. ὃ παρὰ τὸ θάλλω. ὁ μέλλων θαλῶ, καὶ θαλήσω. καὶ ἀναθηλήσει, ἀναβλαστήσει.

Ἀνάθημα, ἄγαλμα, κόσμος. Ἀναθήματα, ὡς ἐπὶ τὸ πολὺ λέγονται στέφανοι, φιάλαι, ἐκπώματα, θυμιατήρια, κρατῆρες, ἀργυρίδες, οἰνοχόαι, ἀμφορίσκοι. καὶ ἀναθήματα λέγεται ἡ μολπὴ καὶ ἡ ὄρχησις. ὥσπερ γὰρ τοῖς ναοῖς ἀναθήματα, οὕτω καὶ αὐτὰ κόσμος τις ἀρεσκόμενος τῇ δαιτί. Ἀναθεῖναι, κεῖται ἀντὶ τοῦ ἀνάψω, ὅπως ἐκκρεμάσω, παρ' Ὁμήρῳ. ἐκ μεταφορᾶς τῶν ἀναθημάτων, ἀντὶ τοῦ ἐπιθεῖναι. ἀττικῶν δὲ ἡ λέξις. οἱ καὶ ἀναθεῖναι φορτίον φασὶ, τὸ ἐπιθεῖναι. τοῦτο δὲ καὶ τὸ τοῦ κωμικοῦ, ὃ ἐπὶ κρημνὸν ἀναθείς. Ἀναθολώσω, ἀνατάραξε, μολύνω. Ἀναθορεῖ, ἀνατεράσαι. Ἀναθορυβοῦντες, ἀνακελεύοντες. Ἀναθρεόμενα, ἀνασκοπούμενα. Ἀναθρήσας, ἀναβλέψας. Ἀναθρώσκων, ἀναπηδῶν. Ἀναθύειν, τὸ ἀναλαμβάνειν τὸ πρᾶγμα διὰ χρόνου. Φερεκράτης, Πάλιν αὖθις ἀναθύουσιν αἱ γεραίτεραι. καὶ ἀναθύειν, τὸ ἀνασκιρτᾶν, καὶ αὖθις ἐξ ἀρχῆς ἀνατιθάζειν.

Ἀναθυμιάσεις, ἀναδόσεις. καὶ ἐπὶ τῆς γῆς, καὶ ἐπὶ τῶν βρωμάτων. Ἀναθύοντες, ἀναρροῦντες, ἀναβαίνοντες. Ἀναίθω, προσφέρω. Ἀναΐξας, ἀναβεβηκώς. Ἄναια, χώρα, πόλις, καὶ τόπος, ἀντικρὺ Σάμου. ἐκλήθη δὲ Ἄναια, ἀπὸ γυναικὸς, μιᾶς οὔσης τῶν Ἀμαζόνων γυναικῶν. Ἀναίδεια, παρὰ τὸ ἀναιδής. τοῦτο παρὰ τὴν αἰδῶ, εἰ λὲξ ἀναιδής, καὶ ἀναιδής. Ἀναιδὲς, τὸ θρασύ. καὶ ἀναιδὲς βλέπων, ἀντὶ τοῦ θρασὺ, θρασέως. καὶ ἀναιδῶς, ἀθρόως, σφοδρῶς, ἀπροβουλεύτως. καὶ ἀναιδῶς, ἀναισχύντως. καὶ ἀναιδὴς, καὶ ἀναίδεια, ἡ ἀναισχυντία. Ἀναίδευτον, ἄπειρον, ἄλιμον. Ἀναιδεύομαι, ἀμεταβάτως. Ἀναιδέστερον, μακρὰ ἐσθιόμενον. Ἀναιδὴς λίθος, ἐκ τῶν λογικῶν παρῆκται εἰς τὸν λίθον. καθὰ καὶ τὸ ἀναιδὲς, εἰς τὸν σίδηρον. Ἀναιδῶς, ἀντὶ τοῦ λάβρως, καὶ ἀναισχύντως. ἀπὸ τοῦ ἀναιδὴς, ὁ ἀναίσχυντος, τῶν ἀναιδῶν, ἀφ' οὗ τὸ ἀναιδῶς. Ἀναιδὴ, τροφὸς, ἐσθίων. Ἀνὰ ἰθὺν, ἤγουν κατ' εὐθύ. ὁμοίως δὲ οἷς μάλιστα πεποίθασι πάντων ἐπ' ἰθύν. οἱ δὲ παλαιοὶ, ὡς ἓν μέρος λόγου λαμβάνοντες, οἷα ἐπίρρημά φασιν. Ἀναιθύσσω, ἀνασείω. Σοφοκλῆς οἶκον. Ἀναίκλεα, ἄλεκτα. Ἀναίλιπος, ἀνυπόδετος. Ἀναιμακτὶ, ἄνευ αἵματος. καὶ ἀναίμακτος, καὶ ἀναιμωτί. Ἀναιμὸν, χωρὶς αἵματος. Ἀναιμόδιτον, ἢ ἀνεκβάφατον. Ἀναίμονες, ἄναιμοι. καὶ ἄναιμος, ὁ μὴ ἔχων αἷμα, καὶ ἀναιμωτὶ, ἄνευ αἵματος, καὶ ἀναίμονα δίψαν, θυσίαν ἄσυλον. αἷμα γὰρ οὐκ ἔχουσιν οἱ ἄγγελοι. κα-

σκει τις τὴν βίβλον, ὅτι ἤδη ἔστιν αὐτῷ. ὁ ἀναγινώσκει τις τὴν βίβλον, ὅτι οὐ πρῶτον, ἀλλ' ἀρξάμενος καὶ ἀναγνοὺς μέρος αὐτῆς, μέλλει ἀναγνῶναι καὶ τὸ λοιπόν. Ἀναγινωσκόμενος λόγος, καὶ ἀναγινωσκόμενος ἄνθρωπος, ἀντὶ τοῦ ἀναπειθόμενος. ὡς παρ' Ἀντιφῶντι, καὶ Ἡροδότῳ. Ἀνάγνωθι, ἤγουν ἀναγίνωσκε.

Ἀναγινώσκω, τὸ βιβλίον διέρχομαι. καὶ ἀναγινώσκω, τὸ ἀναγνωρίζω. ἀφ' οὗ καὶ ἀνάγνωσις, ἡ τῶν πρώτων μαθημάτων τῆς ψυχῆς ἀναγνώρισις, ὡς προειδυίας ταῦτα. εὕρηται δὲ καὶ παρ' Ἡροδότῳ τὸ ἀναπείθω. καὶ ἀναγινώσκω ὅλην τὴν νύκτα, καὶ δι' ὅλης τῆς νυκτός. Ἀναγκάζω, ἐπὶ ἐμψύχου μόνον, βιάζειν ἐπὶ ἀψύχων. οἷον, ἐβιάσατο τὸ ῥεῦμα τοῦ ποταμοῦ τὴν ναῦν. ἀναγκάζω σε τὸ πιεῖν, καὶ ἀναγκάζω σε τρέχειν. ὡς καὶ ἡ τέχνη ἀναγκάζει τοὺς ἀνθρώπους πάντα ποιεῖν. Σημείωσαι δὲ τὸ ἀναγκάζω, ὁμοίως καὶ τὸ κατἀναγκάζω, ἀεὶ ἀπαρεμφάτῳ συντάσσεται, αἰτιατικῇ ἐφελκομένῳ. ὡς τό, ἀναγκάζω σε λαβεῖν βιβλίον μετὰ χεῖρας. ἀμφοτέρων τοῦ τε ῥήματος, καὶ τοῦ ἀπαρεμφάτου, τῆς αἰτιατικῆς ἐχομένης. οἷον, ἀναγκάζω σε λαβεῖν βιβλίον. Ἀναγκαία, ἐξ ἀνάγκης. καὶ ἀναγκαία τράπεζα, ἡ εὐτελὴς, καὶ πενιχρά. Ἀναγκαίῃ ἐπεί γε, ἀντὶ τοῦ ἀνάγκῃ. ὁμοίως λέγεται ἀλκαία, καὶ προνομαία ἐλέφαντος, ἀντὶ τοῦ ἀλκή, ἡ προνομή. Ἀναγκαίησομαι, ἀναγκάσομαι. Ἀναγκαῖοι δμῶες, κατὰ τὴν Ὁμηρικὴν ἑρμηνείαν, οἱ βίᾳ ἐργαζόμενοι. καὶ ἀναγκαῖοι πολεμισταί, οἱ κατὰ ἀνάγκην πολεμικοὶ γεγονότες, γέροντες ὄντες. ὅ, τι Λαέρτης καὶ Δολίων.

Ἀναγκαῖον ἦμαρ, τὸ τῆς ἁλώσεως ἢ δουλώσεως, ἐν ᾧ τις ἀνάγκην πάσχει. ὅθεν καὶ παρὰ Σοφοκλεῖ ἀναγκαία τύχη, ἡ δουλική, καθ' ἣν οὐ ζῇ τις ὡς βούλεται, ἀλλὰ δουλικῶς. διὸ καὶ ἀντιτέθη, τὸ ἐλεύθερον ἦμαρ, καὶ τὸ ἦμαρ ἀναγκαῖον. καὶ ἀναγκαῖον, τὸ δεσμωτήριον. Ἀναγκαίῳ μύθῳ παρ' Ὁμήρῳ, ἤγουν ἀναγκαστικῷ, καὶ βιαίῳ. Ἀνάγκη, διττή. ἡ μὲν πρὸς βίαν, ἡ δὲ κατὰ φύσιν. γίνεται παρὰ τὸ ἄγω, ἄγη. καὶ πλεονασμῷ τοῦ κ, ἄγκη, καὶ ἀνάγκη. ἢ παρὰ τὸ ἀνάσσω, ἡ πάντων ἀνάσσουσα. καὶ ἀνάγκη, ἡ δικαστικὴ κλεψύδρα. Ἀνάγκας, ὄρνεον ἰνδικόν, ὅμοιον ψαρῷ.

Ἀναγκομόναρχος, ὁ τύραννος. Ἀναγκοφαγεῖν, πρὸς ἀνάγκην ἐσθίειν. ὅπερ οἱ ἀθληταὶ πάσχουσιν. Ἀναγνεύσω, ἀναγνωρίσω. Ἀνάγνωσαι, ἀναπεῖσαι. Ἀναγνωρίζω, ἐπιγινώσκω, μιμνήσκομαι, ἐνθυμοῦμαι, ἀνακαλῶ, ἀναλογίζομαι, ἀναμιμνήσκομαι. ἐπὶ ἀναγνωρισμοῦ ταῦτα λέγεται. ἐκ τούτων παράγεται ἐπίγνωσις, καὶ μνήμη, καὶ ἐνθύμημα, καὶ ἀναπόλησις, καὶ ἀναλογισμός, καὶ ἀνάμνησις. Ἀναγνωσθείς, ἀντὶ τοῦ ἀναπεισθείς. ὁ δὲ ἀναγνωσθεὶς ὑπὸ τῆς γυναικὸς, ἔργον οὐχ ὅσιον ἐμηχανᾶτο ἐπὶ τῇ θυγατρί. Ἀνάγνωσις κατὰ φιλοσόφους, ἡ τῶν πρώτων μαθημάτων τῆς ψυχῆς ἀναγνώρισις· ἢ ἀνάπεισις, οὕτως Ἡρόδοτος. ἡ ἀνάγνωσις κατὰ τοὺς γραμματικοὺς ἐστὶ ποιημάτων, ἢ συγγραμμάτων ἀδιάπτωτος προφορά. ἀναγνωστέον δὲ καθ' ὑπόκρισιν, κατὰ προσῳδίαν, κατὰ διαστολήν. ἐκ μὲν γὰρ τῆς ὑποκρίσεως, τὴν ἀρετήν, ἐκ δὲ τῆς προσῳδίας τὴν τέχνην, ἐκ δὲ τῆς διαστολῆς τὸν περιεχόμενον νοῦν ὁρῶμεν. ἵνα τὴν μὲν τραγῳδίαν ἡρωικῶς ἀναγνῶμεν, τὴν δὲ κωμῳδίαν βιωτικῶς, τὰ δὲ ἐλεγεῖα λιγυρῶς, τὸ δὲ ἔπος εὐτόνως, τὴν δὲ λυρικὴν ποίησιν ἐμμελῶς, τοὺς δὲ οἴκτους ὑφειμένως καὶ γοερῶς. τὰ γὰρ μὴ παρὰ τὴν τούτων γινόμενα παρατήρησιν, καὶ τὰς τῶν ποιητῶν ἀρετὰς καταρριπτεῖ, καὶ τὰς ἕξεις τῶν ἀναγινωσκόντων καταγελάστους παρίστησιν. Ἀνάγεται ἡ ναῦς ἀπὸ λιμένος εἰς πέλαγος, κατάγεται δὲ καὶ καταίρει ἀπὸ πελάγους εἰς γῆν. κατάγονται οἱ φυγάδες, εἰς τὴν πατρίδα ἐπανιόντες. κατάγεται ὁ ὁδοιπόρος τις εἰς καταγώγιον.

Ἀνάγομαι παθητικῶς, τὸ ἀναπλέω. ἤγουν, ἐκ τοῦ λιμένος εἰς τὸ πέλαγος πλέω. οὗ τὸ ἐναντίον, κατάγομαι. Ἀναγνούς, διὰ μὲν τοῦ α, τὸ ἀνάγνωσις. διὰ δὲ τοῦ ε, τὸ εἰδότες ἄγει καὶ κατάσημα. οὕτως Αἰσχίνης. Ἀναγνωσίμιον, ἀναλόγιον. Ἄναγον. Ὅμηρος, ἐς μέσον ἄναγον. περισσὴ ἡ πρόθεσις ἐν τῷ ἄναγον. ἐκεῖνο δέ φασιν ἡ λέξις. ἔκκειται καὶ ἐν τῷ, Τάχα γάρ μιν ἀνάξομεν ἠπειρόνδε. τοιοῦτον καὶ τὸ, εἰς ἑλίκην τε καὶ αἰγὰς δῶρον ἀνάγουσιν, ἀντὶ τοῦ ἄγουσιν. Ἀνάγεστον, ἀνήλιον. Ἀνάγεω, ἀνάπλαστον. Ἀνάγεων, ἀπὸ τὴν γόνιμον γῆν. Ἀνάγουσιν, ἀντὶ τοῦ ἁπλῶς ἄγουσι. καὶ ἐν Ὀδυσσείᾳ πολλαχοῦ τοιοῦτος λόγος κεῖται. Ἀναγκαῖον δεῖν ἡμῖν ἐκεῖνην εὑρίσκειν, ἀντὶ τοῦ ἀναγκαῖον. Ἀνάγκαστος, ἀνάγκαστος, ἀναπλήρης. ὁ δὲ ὅλον πεπληρωμένος. Ἀναγκάψασθαι, ἀνηγκάσθαι. Ἀνάγγελον, τὸ ἀνακείμενον. Ἄναγγον ἢ ἄτηγον, ἐνακτίς. Ἀναγυράσιος. Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. δῆμός ἐστιν Ἀναγυρεὺς, τῆς Ἐρεχθηΐδος φυλῆς. ἔνθεν ὁ δημότης Ἀναγυράσιος. ἢ Ἀναγυροῦς, δῆμος Αἰαντίδος. ἀφ' οὗ Ἀναγυράσιος. Ἀναγκιτεῖν, τὸ μετὰ ἀνάγκης ἐπαινεῖν. Ἀνάγλυψις, ἀνάδοσις.

Ἀνάγω, τὸ παιδεύω καὶ διδάσκω, αἰτιατικῇ συντάσσεται. καὶ ἀνάγει ὁ κυβερνήτης τὴν ναῦν ἀπὸ λιμένος ἐπὶ τὸ πέλαγος. καὶ ἀνάγω τὴν ναῦν ἐπὶ ἀναπλεύσαντος. οὗ τὸ ἐναντίον, κατάγω. καὶ ἀνάγω, τὸ ἐρεθίζω, καὶ ἐμβιβάζω. οἷον, ἀνάγω σε πλέειν εἰς Πειραιᾶ. καὶ ἀνάγω σε εἰς τὴν κατάλεξιν τοῦ φίλου. τουτέστιν, ἐρεθίζω σε καταλέξασθαι αὐτόν. Ἄλλως. Ἀνάγω, τὸ ὑπομιμνήσκω, δοτικῇ καὶ αἰτιατικῇ συντάσσεται, οἷον, ἀνάγω τῷ βασιλεῖ τὰ περὶ αὐτοῦ. ἀνάγω καὶ τὸ εἰς ὕψος ἄγω, οἷον, ἀνάγω ταύτην τὴν ὑπόθεσιν, ἀντὶ τοῦ ἐφ' ἡμῶν ὑψοῖ. Ἀναγωγή, ὁ ἀνάπλους. καὶ ἀνάγεσθαι μέν, τὸ ἐξ ὅρμου ἀποπλεῖν. κατάγεσθαι δέ, τὸ καταπλεῖν καὶ προσορμίζεσθαι. ἡ ἀναγωγή, ἡ τῶν πραθέντων ἀνδραπόδων ἀπόδοσις, ἐχόντων αἰτίαν τινά. ἢ ὁ ἐκ τοῦ ἰδίου δὲ εἰς τὴν τραίαν ἀπέπλευσε. καὶ ὁ ἐκ τοῦ πεσόντος, ἐπὶ τὴν ἄλλα. Ἡλιόδωρος. Ἀναγωγία, ἡ ἀπαιδευσία. ὁ δὲ διὰ ἀναγωγίαν ταῦτα ἔπασχεν, ἔχων σῶμα ὑπὸ μέθης καὶ ἀναγωγίας ἠμελημένον, καὶ διεφθαρμένον. Ἀνάγωγος, ὁ ὑβριστής. ἢ ὁ μὴ τυχὼν τῆς δεούσης ἀναγωγῆς. ἢ ὁ φιλήδονος, καὶ ἐκλελυμένος.

Ἀναγωγότερον, ἁμαρτητικώτερον, ἀτακτότερον. Ἀναγώγως, ἀτάκτως. Ἀναγώνιστος, ὁ μὴ ἀγωνισάμενος.

Ἀναδαιμονίζειν, τὸ ἐκ δευτέρου κληρεῦσθαι. Ἀναδάσασθαι, οὐκ ἀναμερίζεσθαι. καὶ ἀναδασμός, ὁ μερισμός. Ἀναδάσως, ἀνωμάλως. ἔχων τι τοῦ σώματος ἀναδάσως. Ἀνὰ δέ, ἀνέστη δέ. καὶ ἄνα, ἀντὶ τοῦ ὦ ἄναξ. Ἀνὰ δ' ἐβόησ' ὁ λαός. ἀντὶ τοῦ, ἀνεβόησε δὲ ὁ λαός. Ἀναδέδραμεν, ἄνω ἔδραμεν. καὶ εἰς ὕψος ἀνῆλθεν, ἢ ἐχώρησεν εἰς τὸ πλάτος. Ἀναδείμασθαι, ἀνοικοδομῆσαι. Ἀναδέχομαι, μέσος παρακείμενος, ἀπὸ τοῦ ἀρσενικοῦ ἐνεστῶτος τοῦ δέχομαι. ἀφ' οὗ καὶ δέχιμος. Ἀναδεύματα, ... τὰς περὶ τραχήλους. καὶ τὰ ἐν ταῖς τραγικαῖς σκηναῖς εἴδωλα δεδεμένα. Ἀναδεῖ, ἀνέπλεκε, στέφει, καὶ ἀναδεῖσθαι, στεφανοῦσθαι. καὶ ἀναδεῖσθαι, στεφανοῦσθαι. καὶ ἀναδῆσαι, τὸ ταινιῶσαι νικῶντα, καὶ ἀναδούμενοι, στεφόμενοι. ὡς τό, ἀναδῆσαι στεφάνῳ, χρυσῷ πεποιημένῳ. ἢ τὸ ἀναδεῖν παρὰ τῷ Αἰσχύλῳ, τὸ στεφανοῦν. ἐξ οὗ ἀνάδεσμος, γυναικεῖος κόσμος. ὃς καὶ ἀναδέσμη λέγεται. ἔχει δὲ ἀντικείμενον πρὸς τὸ ἀναδεῖν, τὸ ὑποδεῖν. ἐξ οὗ ὑπόδημα. τὸ μέν τι διάδημα, ἐπὶ κόσμου βασιλικοῦ τοῦ περιδεδεμένου διὰ ὅλου τοῦ σώματος. Ἀναδενδράδα, καθολικῶς γῆ. οἱ δὲ τὴν ἀνάμιξιν οὕτω καλεῖσθαι. εὕρηται δὲ καὶ παρὰ Ἐπιχάρμῳ, καὶ Σαπφοῖ τὸ ὄνομα. Ἀναδέξασθαι, ὑποσχεῖν, ὑπομεῖναι, ἀναλαβεῖν, ἐκδέξασθαι. Ἀναδέρειν, γυμνοῦν. Ἀναδέχω, ὑποτίθεμαι, ἀναβάλλομαι. Ἀναδέσμη, ἦν δέ τις κόσμος τῆς κεφαλῆς, ὥσπερ κεκρύφαλος.

Ἀναδεύειν, φυρᾶν. καὶ ἀναδεύσας, φυράσας, μαλάξας. Ἀνὰ δ' ἔφλυεν, ἀνέβαλεν. Ἀναδέχομαι, τὸ ἐπ' ἐμοὶ δέχομαι.

Ἀναδήματα, στεφανώματα. Ἀναδέονται, στέφονται.

Ἀναδιδάξαι, ἀντὶ τοῦ πάνυ διδάξαι. ἐπιτατικὸν γὰρ ἡ ἀνά.

καὶ ἐπὶ ἀναβαίνειν ἐλέγετο, τὸ ἐπὶ τὸ λογεῖον εἰσιέναι. κατεβαίνειν δὲ, τὸ ἀπαλλάττεσθαι ἐντεῦθεν, ὅτε τοῦ παλαιοῦ ἔθος. Ἀνασεφάνας, ἀναπτύξας, λῦσον δ᾽ ὁ φίλτατε ἀναβάσα, σωτὴρ τῇ πόλει γενοῦ τῇ φανείς. Ἀναβαίνω, αἰτιατικῇ συντάσσεται. οἷον ἀναβαίνω τὸν ἵππον, καὶ ἀναβαίνω τὸ ὄρος. Ἀναβαλλογοργῷ, φάρμακον, ἢ λίθος ἐν στόματι. Ἀνέβαλλε, ἀναβολὴν ἐδίδου, καὶ ἀνεπάλλετο. Ἀναβάλλει ὕδωρ ἡ πηγὴ, ἀντὶ τοῦ ἀνάγει.

Ἀναβάλλειν, οὐ μόνον τὸ ἀνάγειν, ἐξ οὗ ἡ λέξις ἀμβολάδην γίνεται, καὶ ἀβλὰ λίαν γεγονὸς, καὶ ἀμβλίσκειν, καὶ ἀμβλῶσαι. ἀφ᾽ ὧν καὶ ἀμβλωθρίδιον καὶ ἄμβλωμα, τὸ οἷον ἀναβληθὲν ἐκ τῆς μήτρας. καὶ τὸ ἀναβάλλειν σφαῖραν ἄνω, καὶ ἡ αὐτὴ εἰς ὕψος ἀναβολή. καὶ τὸ εἰς ἵππον ἀνάγειν, ἢ ὄχημα τινῶν. ὅθεν ὁ ἀναβολεὺς, οὐ μόνον ὁ ὑπάλειπτος, ᾧ ἡ πάλαι ἐχρῶντο ἱππεῖς γίνεται λίθος. καὶ ἄνθρωπος, ὃς εἰς τὸ τοιοῦτον ἔργον κατετάχθη. οἷον, τὸν βασιλέα ἐπὶ τὸν ἵππον ἀνέβαλεν, ἤγουν ἀνεβίβασεν. ἀλλὰ καὶ τὸ ὑπερτίθεσθαι ἀναβάλλεσθαι λέγεται, καὶ ὄνομα ἐκ τούτου ἡ ἀναβολή. ἀναβάλλεσθαι δὲ τὸ ἀναλύειν τὸ ἔργον, ἀντὶ τοῦ ὀκνεῖν καὶ ἀναδύεσθαι. ὅθεν καὶ ἀναβολὴ ἡ ἀνάπαυσις. καὶ ἀμβολιεργὸς, ὁ ἀναπίπτων εἰς ἔργον. ἴσως δὲ καὶ ἀμβλὺ τὸ ἀνάπαλιν τοῦ βάλλοντος ὀξέος, ὃ δοκεῖ ἀναβάλλεσθαι. οἷον, τὴν ἐν Λατίνῳ τιμήν. Ἀναβάλλεσθαι, τὸ προΐεσθαι τὸν ἐπιτήδειον καιρὸν τῆς πράξεως. Ἀναβάλλεται δὲ ὕδωρ, διὰ σωλῆνος ἢ λίθος, ἢ οὕτω πῶς ἀναβαῖνον, ἢ ἄλλως ἀνατεθῦν. ὡς δηλοῖ παρὰ Καλλιμάχῳ, τὸ κρήνη λευκὸν ὕδωρ ἀνέβαλλεν. ἀνεπάλλετο δηλαδὴ, καὶ ἀνεβλύζεν. καὶ μύρμηκες δὲ ἀναβάλλουσιν κάτωθεν χοῦν. ὅπερ ἐναντίον τοῦ καταβάλλειν ἐστὶν, ἤτοι κάτω βάλλειν. πεσεῖν, ῥίπτειν. Καὶ ἀνεβάλλετο παρ᾽ Ὁμήρῳ ἐν τῇ Ὀδυσσείᾳ, ἀντὶ τοῦ προανεκρούετο ὡς ᾀσόμενος. ἤτοι προοιμιάζετο. ἀναβολὴ γὰρ, οὐ μόνον ἐπὶ ὀργάνου τίθεται καὶ ὑμνησμοῦ, ἀλλὰ καὶ ἐπὶ προοιμίου. καὶ δηλοῖ ὁ κωμικὸς ἐν ταῖς Ὄρνισιν. ἢ τὸ ἀνεβάλλετο, ἀντὶ τοῦ ἀνεῖμα συνεῖχεν, ὥς φασιν οἱ παλαιοί. ἢ μᾶλλον ἀντὶ τοῦ ἀνῆγεν. ἀναβάλλειν γὰρ καὶ τὸ ἀνάγειν. οἱ γοῦν ὀρύσσοντες ἀναβάλλειν γῆν λέγονται. καὶ ἡ τοιαύτη γῆ, ἀμβολὰς λέγεται. Ἀναβαλλίδες, ταινίαι. οἱ δὲ, σφαίρας ἀποδίδουσιν. Ἀναβάλλομαι τὸ πρᾶγμα, ἀντὶ τοῦ ῥᾳθυμῶν ὑπερτίθεμαι, αἰτιατικῇ συντάσσεται. καὶ ἀναβάλλομαι, τὸ ἐνδύομαι. ἐξ οὗ ἀναβολή. ἢ τὸ μέλπω. ὡς τὸ, ἀνεβάλλετο καλὸν ἀείδειν. καὶ ἀναβάλλομαι, τὸ ἀνακρούομαι ἐπὶ μέλους. ὡς τὸ, ἤπιον ἀναβάλλεται μέλος. Ἀναβαλόμενος, ἀντὶ τοῦ προοιμιασάμενος. Διὸ νέος δὲ ἀναβαλλόμενος σὺν ὕδατι ἑστιῶθε, βραχὺν διεξῆλθεν ὕμνον. καὶ ἀνεβάλλοντο, ἀντὶ τοῦ ἐχρημάτιζον. Ἀναβάλλω, σημαίνει τέσσαρα. τὸ προοιμιάζω. ὡς τὸ ἀνεβάλλετο καλὸν ἀείδειν. τὸ ἀνακρούω καὶ ἀναχέομαι, ὡς τὸ, καὶ οἱ μὲν τέττιγες μουσικὴν ἀνεβάλλοντο σύντονον. τὸ ἐνδύομαι, ὡς τὸ ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον. καὶ τὸ ἀπαρνοῦμαι. ὡς τὸ, ἀναβάλλομαι τὸ δηλοῦν τοῦ πράγματος. Ἀναβαλοῦ, περισπωμένως ἐν Λακωσί. Ἀναβάσεις καρδίας, αἱ προκοπαὶ, οἱ ὑψηλοὶ λογισμοὶ περὶ θεοῦ. ὡς ὁ προφήτης Δαβὶδ, Ἀναβάσεις ἐν τῇ καρδίᾳ αὐτοῦ διέθετο. εἰς δὲ τὸ ἐναντίον, καταβάσεις λέγονται. Ἀναβασμοὶ, ἀναβαθμοί. Ἀνάβατα, μετέωρα. Ἀναβάτης ἵππος, ὀχητής. Ἀναβεβαμένοι, ἀντὶ τοῦ ἀναβάτας ἔχοντες. οὕτω Ξενοφῶν. Ἀναβεβλημένος ἱμάτιον, καὶ ἱματίῳ. Ἀναβεβασμένα, ἀνακεκαυμένα. Ἀναβίβρωκεν, ἀναπέπτωκεν. Ἀναβίβροχεν, ὅπερ ὀνοματοποιεῖν, τὸ ἀνακατάγειν δηλοῖ. γράφεται καὶ ἀναβίβροχεν, ὃ ἐκπίπτεται. ὅθεν καὶ τὸ καταβρόξειν. δῆλον δὲ ὅτι τοῦ ἀναβεβρυχέναι λειότερον τὸ ἀναβλύζειν ἐστίν. αὐτὸ δὲ καὶ ἀναβυθισθὲν λέγεται. ὡς ἐν ῥητορικῷ εὕρηται λεξικῷ. Ἀναβαίνουσι. Ὅμηρος τὴν ἐπὶ τὴν Φοιβὰν πλοῦν, ἀνάβασιν λέγει. δηλοῖ δὲ, καὶ τὸ ἀναχωρῆσαι. Ἀναβῆναι, ἐνίοτε σημαίνει τὸ ἀναπλεῦσαι ἐκ τοῦ λιμένος. καὶ ἀναβῆναι εἰς τριήρη, τὸ ἀναπλεῦσαι.

ἄλλον δὲ, ὥστε καὶ βῆναι τὸ τοιοῦτον λέγεται. οὐχ ἁπλῶς μέν τι, ἀλλὰ μετὰ πνεύματος. ὡς δηλοῖ τὸ, Ἐνθάπερ ἄλλοι ἀργεῖοι οἱ ἄλλοι ἔβαν, κοίλας ἐπὶ νῆας. Ἀναβησάμενοι, ἀναβιβασθέντες ἐπὶ τὰς ναῦς. Ἀναβέβλημαι, ἐπανελεύσομαι ἐπὶ τὰ ἐξ ἀρχῆς.

Ἀναβιβάζω, αἰτιατικῇ. καὶ ἀναβιβάζων, ἀναφέρων. Ἀναβιβοῦμαι, ἀντὶ τοῦ ἀναβιβάσομαι. Ἀναβιώσκω, ἐκ τοῦ βιῶναι τοῦ τελευτήσαντος εἰς ζωὴν λαγοσκης, ἀττικῶς. Ἀναβιῶναι, ἀναζῆσαι. καὶ ἀναβίωτος ἐγὼ, ἀμεταβάτως. μεταβατικῶς δὲ Πλάτων ἅπαξ ἐν τῷ Φαίδωνι, ἐάνπερ γε ἡμῖν ὁ λόγος τελευτήσῃ, καὶ μὴ δυνάμεθα αὐτὸν ἀναβιώσασθαι. Ἀναβιώσονται, μᾶλλον λέγουσιν οἱ ἀττικοὶ, ἢ ἀναβιοῖ. Ἀναβίωσις, ἀνανέωσις ζωῆς. Ἀναβιώσκεσθαι, τὸ ἀναζῆν. Ἀνάβλησιν λέγει Ὅμηρος, τὴν ἀναβολὴν καὶ ὑπέρθεσιν. ἀπὸ τοῦ ἀναβάλλεσθαι, ὃ δηλοῖ τὸ ἀργεῖν. ὅθεν καὶ ὁ ἀμβολιεργός. ἴσον δὲ, ὡς εἴδασι μὲν ἀνάβλησιν, οἱ βλᾶσιν λέγοντες. ἀφ᾽ ἧς παρὰ αὐτοῖς, τὸ βλασίδιον. καὶ ἀνάβλησις, ὑπέρθεσις, καὶ ἀναβολή. Ἀναβλύει, ἀναζεῖ, ἀναβρύει. Ἀναβλύδες, πηγαί. Ἀναβλύζοντος, ἀναβρύοντος.

Ἀναβλυστάνουσι, τὸ ἀναβλῦσαι, καὶ τὸ ἀναβλαστῆσαι. Ἀναβοθρεύουσιν, ἀνασκάπτουσιν, ἀναμοχλεύουσιν. Ἀναβολαὶ, αἱ βραδυτῆτες λέγονται, καὶ τὰ προοίμια, καὶ αἱ ἀναπαύσεις, καὶ αἱ ἀρχαί. καὶ ἀναβολὰς, τὰς ἀρχὰς τῶν ᾀσμάτων λέγει Ὅμηρος, Ἤτοι ὁ φορμίζων, ἀνεβάλλετο καλὸν ἀείδειν.

Ἀναβολεὺς, ὁ ἐπὶ τὸν ἵππον ἀνάγων. Ὁ δὲ βασιλεὺς, τὸν ἀναβολέα προσκαλεσάμενος, καὶ ταχέως ἀναβὰς ἐπὶ τὸν ἵππον, ἤλαυνε πεδίον. καὶ ἀκράτῳ χρησάμενος πλειστάκις, ἐνέφαινεν ὡς νύμφη ἰδεῖν προσάξων ἀναβολεὺς, καὶ ἡ παρὰ ῥωμαίοις λεγομένη σκάλα. καὶ αὖθις, Ὁ δὲ μεγαλείως γεράσας, ἵππου χωρὶς ἀναβολέως ἐπέβαινεν. Ἀναβολὴ, ἀνοχή. Αἰλιανός, Λεξίας καὶ Ζεὺς πατὴρ, ἀναβολὴν θανάτου ἐψηφίσατο Φαλαρίδι, ἔτη δύο.

Ἀναβόλιμοι, δίκαιοι. οἱ διαπράξαντες, εἰς ὑπέρθεσιν ἐμπίπτουσιν. Ἀνάβρασα, ζεσά, ἑψημένα. Ἀριστοφάνης βατράχοις, Καὶ κρέα γε πρὸς τούτοις, ἀνάβραστ᾽ εἴκοσιν. Ἀνάβραχεν, ἤχησεν. τοιόνδ᾽ ἦχον ἀποτέλεσεν. Ἀναβρόξειν, ἀναῤῥοφεῖν. Ἀναβρόξειν, ἠχήσειν, ἀναῤῥοφήσειν. Ἀναβροχὴν, ἀναπνεῖν, ῥοφεῖν. Ἀνὰ βωμὸν, ἀνὰ τὸν βωμὸν, ἀνὰ ὄρος. Ἀναβύδην, βαθμοῦ εἶδος. Ἀναγαγὼν, ἀντὶ τοῦ ἀπαγαγών. οὕτω Ξενοφῶν. Ἀναγκάσαντες, ἀνέκραζον, ἀνεβόων. Ἀνὰ γαῖαν, ἀνὰ τὴν γῆν. Ἀναγαλλὶς, ἡ κερκυραία γραμματική. ἥτις τὴν τῆς σφαίρας εὕρεσιν Ναυσικάᾳ τῇ Ἀλκινόου θυγατρὶ ἀνατίθεσι. καὶ ἀναγαλλὶς, εἶδος βοτάνης, καὶ κόπτις.

Ἀναγάργαρον, ἀκρατόργυρον, ἀκρωτήριον. Ἀναγαργαρισμὸς, διάχυσις. Ἀναγγέλλει, κηρύσσει, λέγει. Ἀναγγελθέντες, διηγηθέντες. Ἀναγγέλλω, τὸ ἀναφέρειν ἀπὸ ἐλάττονος εἰς μεῖζον πρόσωπον λεγόμενον. οἷον, Ἀναγγέλλει ὁ δοῦλος τῷ δεσπότῃ. ὡς καὶ Ξενοφῶν, Ἀρταῖος δ᾽ ἐλθὼν Κύρῳ περὶ πάντων ἀνήγγελλε. Ἀνάγγελον. μὴ δὲ ἄγγελον καταλειφθῆναι ἔνθα μάχην ἔλαβεν ἀνάγγελον, ἄλλος ἐπ᾽ ἄλλον πέπτωκεν. Ἀνάγειν, τὸ μισθὸν τὸν πεπρακότα, καὶ ἐπ᾽ ἐκεῖνον ἰέναι. Λυσίας ἐν τῷ πρὸς Βοιωτὸν, εἰ γέροντος. καὶ ἀνάγειν, ἄγειν, πείθειν, ἀναγινώσκειν. καὶ ἄναγ᾽ ἐπὶ σκέλος, ἀντὶ τοῦ ἀναχώρει ὀλίγον ὑπὸ πόδα. παρὰ τὸ τόνον γονὴς ἀμείβων. Ἀναγεῖς. Αἰσχίνης κατὰ Κτησιφῶντος. διὰ μὲν τοῦ α, ἡ ἀνάγνευσις. ἐὰν δὲ ἐναγεῖς, ἡ ἐν τῷ ἄγει, τουτέστιν ἐν τῷ μιάσματι. Ἀναγείνας, ἀπαλλαξάμενος. Ἀνάγεσθαι, εἰσέρχεσθαι, ὑποπλεῖν ἐκ Βυζαντίου, ἢ ἀπ᾽ ἑτέρας πόλεως. Ἀναγεννὶς, μαῖα. Ταραντῖνοι. Ἀνάγεται, ὁλοφύρεται. Ἀναγέτρια, ἡ ταῖς λεχώσαις ὑπηρετοῦσα γυνή, παρὰ ταραντίνοις. ἣν ἀττικοὶ μαῖαν καλοῦσιν. Ἀναγὴς, ὁ ἐναγὴς, καὶ βέβηλος. καὶ ἀναγὴς, ὁ καθαρὸς, κατὰ σύνθεσιν τοῦ α λαμβανομένου. Ἀναγνώ-

σμα

μαλλάδος ἕνεκεν. Ἄμφρυσος, ὁ ἀμφρύσιος, ποταμὸς Θεσσαλίας, [illegible]. γράφεται δὲ καὶ διὰ τοῦ β, ὡς Διονύσιος.

Ἀμφὶ βάλλετο πήρην, παρ' Ὁμήρῳ, τὸ ἐνέδυσεν. οὐ γὰρ φορεῖται ἄλλως ἡ πήρα. ὡς ἐν Ὀδυσσείας ρ. Ἀμφίσκε τῇ χορί[illegible] κυρτωθείσῃ. Ἄμφω, ἀμφότεροι. τὸ ω μέγα. τὸ ἄμφω, καὶ δύο, δυϊκὰ, διότι οὐ γίνεται ἀπὸ ἑνικῶν. τὸ δὲ συμπεπτωκὸς καλοῦσι. καὶ τί διαφέρει τὸ ἄμφω τοῦ δύο; ὅτι τὸ δύο γράφεται καὶ διὰ τοῦ ο μικροῦ, καὶ διὰ τοῦ ω μεγάλου, ἀττικῶς. τὸ δὲ ἄμφω, διὰ τοῦ ω μεγάλου πάντοτε. καὶ ὅτι τὸ μὲν δύο, μετὰ τοῦ ἄρθρου συντάσσεται. οἷον, οἱ δύο. τὸ δὲ ἄμφω, ἄνευ τοῦ ἄρθρου, καὶ σημαίνει τὸ ἀμφοτέρους. ὡς τὸ, ἄμφω ὁμῶς φιλέουσα. καὶ ἄμφω ὁμῶς φιλέουσά τε, κηδομένη τε. Ἀμφὶ δ' ἑζομένω γεραρώτερος ἦεν Ὀδυσσεύς, Γλαυκῶπις. ὤφειλε μὲν γὰρ καὶ ἀθέτως ἐν [illegible] εἰπεῖν, ἀμφοῖν δ' ἑζομένοιιν. ὁ δὲ, οὕτως ἔφρασε κοινότερον, διὰ τὸ ἄρξασθαι μὲν, ὡς ἐν Κιλικισμῷ. ἀπὸ ἑνικῶν δυϊκῶς. εἶτα μὴ ἔχων ἐν κοινὸν ῥῆμα περὶ Ὀδυσσέως καὶ Μενελάου εἰπεῖν. οὐ δὲ γὰρ ἦσαν ὁμοίως ἄμφω γεραροί. βεβαίου καὶ τὸ, σύν τε δύ' ἐρχομένω. καὶ τὸ πρὸ ὃ, τοῦ ἐνόησεν. ὃ τὸ, οἱ δὲ δύο σκόπελοι, ὁ μὲν εἰς οὐρανὸν ἱκάνει. καὶ ἄλλα πολλά. Ἄμφω δ' ἔθελον, ἀμφότεροι ἐπεβάλλοντο. ἢ προεθυμοῦντο. Ἀμφώδοντα ζῷα. οἷον ἄνθρωπος, ἵππος, ὄνος, καὶ ὅσα οὐκ ἐνηλλαγμένως τοὺς ὀδόντας ἔχει. οἷς συμβέβηκε παραλλὰξ, οὐ σίαγ[illegible] ἔχειν. Ἀμφώδων, ὄνομα. καὶ ἐπὶ τοῦ ἄνω καὶ κάτω ὀδόντας ἐχόντων μερικῶς. Ἀμφῶες, ὁ ἀμφωτίδας, καὶ ἀμφωτίδων, τῶν δύο ὦτα ἐχόντων. καὶ παροιμία, μέχρι τῶν ἀμφωτίδων. ἐπὶ τῶν ἄγαν πεπληρωμένων. ἀντὶ τοῦ μέχρι τῶν ὤτων. ἄλλα ἦσαν χαλκᾶ σκεύη, ἃ περιετίθεσαν οἱ παλαιοὶ τοῖς ὠσίν. ἀμφῶες δὲ παρὰ τὸ οὖας, ἐκλείψει τοῦ υ οὖας. ὡς οὖδας οὖδος, καὶ ὡς γόνος εὐγενής. οὕτω καὶ ἄμφω, ἀμφῶες. Ἄμφω μὲν ἔχειν, ἀντὶ τοῦ ἀμφότεροι μὲν ὑπῆρχον. Ἀμφ' ὤμοισιν, ἀντὶ τοῦ περὶ τοῖς ὤμοις. Ἀμφώμοις, ἀναβλήμασιν, ἀναθέμασιν. Ἀμφώμιος, ἐν ταῖς ὀνομασίαις, ὁ λιβανωτός.

Ἀμφωμοσία, ὅταν τῶν δικαζομένων ὁ μὲν προομόσῃ, ὁ δὲ ἐπομόσῃ. λέγεται δὲ καὶ ἀμφορκία. Ἀμφώνυξ, γαμψώνυχος, ἁρπακτής. Ἄμφωξις, ἀμφίστομον ξύλισμα, ὡς ὁ ἀμέλγουσιν. Ἀμφώτιδας κατὰ Πausανίαν, ἃς οἱ παλαιοὶ περὶ τοῖς ὠσὶν εἶχον. ἄλλως δέ γε, καὶ ἐκπώματος εἶδος αἱ ἀμφώτιδες.

Ἄμφωτις, δίωτον, ἑκατέρωθεν ὦτα ἔχον. Ἀμφωτὸς, χιτῶνος εἶδος. Ἀμφὶ χεῖρε, ἀμφὶ τὰς χεῖρας. Ἀμῶν, ἀμώειν, θερίζειν. Ἀμώμητος, ἄμωμος, ἄψογος, ἀγαθός. ἢ σώματι, ἢ ψυχῇ. Ἀμώοντες, θερίζοντες, καὶ ἀμῶντες, ὁμοίως.

Ἄμωμος, ὁ καθαρὸς καὶ ἀνεύθυνος. ὡς τὸ, Τοῦ κατεψεύσω ἐν ἀθανάτοις ἄμωμον. Ἀμώμοις, τὰς ἀπημάντους. αἰολεῖς.

Ἀμωνὶς, ἡ τοῦ Ἄμμωνος ἱερὰ τριήρης, Δείναρχος ἐν τῷ κατὰ Πυθέου(?) παραινέσει. Ἀμώοντες, θερίζοντες. Ἀμωρίως, [illegible] ἦν. Ἄμωρος, πλανηθεὶς εἶδος. Ἀμὼς, προφήτης γένος. καὶ ἀμὼς ἑρμηνεύεται στερεωτὸς, ὁ ἰσχύς. Ἀμώτος, κατὰ [illegible] ταραντῖνοι. Ἀμωσγέπως, ὅπως δήποτε. καὶ ἀμωσγέπως, ἀντὶ τοῦ ἐνί γέ τῳ τρόπῳ. καὶ ἀμωσγέπως, ὅθεν δήποτε. ἔστι δὲ κυρία ἡ λέξις. παρὰ τὸ ἀμὸς ὄνομα, ὃ σημαίνει τὸ τὶς, δωρικῶς. ὡς φησὶν Ὅμηρος, τῶν ἀμόθεν γε θεὰ, ἀντὶ τοῦ ἀπό τινος μέρους. ὥσπερ τὸ καλὸς γίνεται ἐπίρρημα καλῶς, οὕτω καὶ ἀπὸ τοῦ ἀμὸς γίνεται ἐπίρρημα ἀμῶς. καὶ ἐν συνθέσει ἀμωσγέπως. ἐκ δὲ τοῦ ἀμὸς, γίνεται ἀμόθεν. ἐξ οὗ τὸ οὐδαμόθεν ἐπίρρημα. καὶ ὥσπερ ἀπὸ τοῦ καλὸς γίνεται ἐπίρρημα καλά, οὕτω καὶ ἀπὸ τοῦ οὐδαμῶς οὐδαμά, ἀντὶ τοῦ οὐδαμῶς.

ΤΟ Α ΜΕΤΑ ΤΟΥ Ν.

Ἂν, δυνητικὸς σύνδεσμος τοῖς ὁριστικοῖς κατὰ τὸν παρατατικὸν καὶ ὑπερσυντέλικον καὶ ἀόριστον συντάσσεται. τοῖς δὲ εὐκτικοῖς καὶ ὑποτακτικοῖς, κατὰ πάντα χρόνον. ἀλλὰ τῷ ὑποτακτικῷ προτάσσεται. μόνοις δὲ εὐκτικοῖς καὶ προστακτικοῖς προτάσσεται καὶ ὑποτάσσεται. Ἂν σύνδεσμος ἐπὶ τέλει λεγόμενος, μετὰ παρεληλυθότος ῥήματος, εἴτε μετὰ εὐκτικοῦ, εἴτε μετὰ μετοχῆς, μὴ γινόμενον πρᾶγμα, ἔχον δὲ γενέσθαι ὑποφαίνει. Ἂν σύνδεσμος, ἐνίοτε μὲν ἐπὶ πράγματος κεῖται, δύναμιν ἔχοντος γενέσθαι. καὶ διὰ τοῦτο δυνητικὸς ἐκλήθη. ἐνίοτε δὲ κεῖται ἀργός. καὶ διὰ τοῦτο οὐδὲν κωλύει δύο συνδέσμους τοιούτους ἐν ἑνὶ λόγῳ κεῖσθαι. διὸ καὶ ἀντὶ τοῦ δὴ, τὸ δεύτερον ἂν τίθεται. οἷον, ὥστ' οὐκ ἂν αὐτὸν γνωρίσαιμ' ἂν εἰσιδών. Ἂν σύνδεσμος, εἰ μὲν δύναται τεθῆναι πρῶτον τοῦ ῥήματος καὶ ὕστερον, συντάσσεται μετὰ εὐκτικοῦ. ὡς τὸ, οὐκ ἂν γένοιτο, καὶ οὐκ ἂν δυναίμην. εἰ δὲ οὐ δύναται τεθῆναι καὶ ὕστερον, ἀεὶ τότε μετὰ ὑποτακτικοῦ συντάσσεται. Ἂν σύνδεσμος ὑποτάσσει, ἀοριστολογικὸς ὤν. ὅσα ἂν λέγῃς, ὅσα ἂν εἴπῃς. δυνητικὸς δὲ, κατὰ μὲν ἐνεστῶτος καὶ μέλλοντος πρὸς εὐκτικόν. οἷον, οὐκ ἂν λέγοις, οὐκ ἂν φαίνοις, οὐκ ἂν λέξοις. εἴτε προτάσσεται, εἴτε ἐπιτάσσεται. καὶ πρὸς ὁριστικὸν, οὐκ ἂν ἔγραψε, ἀλλ' ἐναντίως ἔχον. κατὰ δὲ παρῳχημένου, πρὸς ὁριστικόν. οἷον, οὐκ ἂν εἶπες, οὐκ ἔλεγες. Ἂν σύνδεσμος ἀοριστολογικὸς ὤν, ὑποτάσσεται. οἷον, ὅσα ἂν λέγῃς, ὅσα ἂν εἴπῃς. δυνητικὸς δὲ, μετὰ ἐνεστῶτος, καὶ μέλλοντος τοῦ εὐκτικοῦ. οἷον, οὐκ ἂν λέγοις, οὐκ ἂν φαίνοις, οὐκ ἂν λέξοις. καὶ ὁριστικοῦ, παρῳχημένοις συντάσσεται, οἷον οὐκ ἂν εἶπε, οὐκ ἂν ἔλεγε. εἴτε ὑποτάσσεται, εἴτε προτάσσεται. καὶ ἀττικῶς ἐστι χρῆσθαι πολλάκις ἐν τῇ αὐτῇ περιόδῳ τῷ ἄν. Ἐὰν, ἤν, κἂν, σύνδεσμοι ὑποτακτικοὶ, οὐδέποτε συντάσσονται μέλλουσι. κἂν βασιλεὺς ἅπαξ συνέταξε λέγων, ἂν μεθυσθῶ ἀνθρώπων μεμνήσομαι. Ἀνὰ πρόθεσις, ἀναβιβασθέντος τοῦ τόνου, λαμβάνεται ἀντὶ ῥήματος τοῦ ἀνάστηθι. Σοφοκλῆς ἐν [illegible] μαστιγοφόρῳ. ἀλλ' ἄνα ἐξ ἑδράνων, ἀντὶ τοῦ ἀνάστηθι ἐκ τοῦ θρόνων. Ἄνα καὶ, ἐκ τοῦ ἀνὰ προθέσεως παρωνομάσθησαν δελφοὶ, τὸν ἄνω τόπον δηλοῦντες. οὕτω καὶ τὸ ἀνάγαιον ὠνόμαστο, τὸν ἄνω τόπον δηλοῦν, ὡς ἀναχθὲν ἐργάζεσθαι. πρὸς ὃν ἀπῄεσαν τὰ τῆς θυσίας. ὁμοίῳ λόγῳ καὶ ὁ ἀνακὸς, ἀθλοῦσι δαίδαλοι, ἀνέχεσθαι τὰ τοῦ δόλου τόξα. ὡς ἐκεῖνα ἀναθέσθαι αὐτά. Ἀνὰ πρόθεσις, ἀεὶ αἰτιατικῇ συντάσσεται. οἷον, ἀνά τε ἔστιν καὶ μέλαν αἷμα. δηλοῖ δὲ τὴν ἄνω φοράν. οἷον ἀνέρχομαι, ἀνίσταμαι. καὶ τὴν εἰς τὸ πίσω κάμψιν. ὡς ἀνέστρεψεν, ἀνεχώρησεν. καὶ τὴν δευτέραν ὑπόθεσιν, ἢ ἐνέργειαν. οἷον, ἀνεβίω τις, ἀντὶ τοῦ πάλιν ἦλθεν εἰς τὴν ζωήν. καὶ ἀνακίνησον τὸ πρᾶγμα, ἀντὶ τοῦ νέον αὐτὸ αὖθις ἐργάζου. Ἀνὰ, ἀντὶ τοῦ σὺν δωριεῖς λαμβάνουσιν. Ὅμηρος, χρυσέῳ ἀνὰ σκήπτρῳ. καὶ Πίνδαρος, χρυσέαις ἂν ἵπποις. Ἄνα, ἀλλ' ἄνα εἰ μέμονας, ἀντὶ τοῦ ἀνάστηθι. ὅλη ἡ λέξις ἀπηνεχθῆ. οὐκ ἔστιν ἀποκοπὴ ἐπὶ τοῦ τοιούτου. Ἀναβάλλω, τὸ ἀφ' ὑψηλοῦ ἄνω τοὺς πόδας ἔχειν, καὶ κοιμᾶσθαι. Ἀριστοφάνης πλούτῳ, Νῦν δὲ πεινῶν, ἀναβάλλω κατακείμενος. ἢ ἐφ' ὑψηλοῦ τόπου κείμενος. ἢ κατὰ ἄλλους λέγει, νῦν δὲ πεινῶν, ἄνω ἔχω τοὺς πόδας κοιμώμενος. οἱ γὰρ διάκονοι τοὺς πόδας ἄνω εἶχον, πρὸς τὸ μὴ βαρεῖσθαι ὑπὸ τοῦ ὕπνου. Ἀναβαθμοὶ, αἱ ἀναβάσεις. λέγονται δὲ τὴν ἀπὸ Βαβυλῶνος εἰς [illegible] ἐπάνοδον. Ἀνέβαινε παρ' Ὁμήρῳ, ἤγουν ἀνέπλεε, ἐν Ὀδυσσείας υ. Ἀναβαίνω, ἐπὶ διαφόρους τόπους, καὶ μετὰ προθέσεως λέγεται. οἷον ἀναβαίνω πρὸς δικαστήριον, καὶ ἐπὶ βῆμα, λέγεται ἀναβαίνει, καὶ ἐπὶ ὀχείας ἀλόγων ζώων. καὶ ὥσπερ ἀναβαίνειν, οὕτω καὶ ἀνάγεσθαι τὸ ἐκ τοῦ λιμένος ἀναπλεῖν. αὖ τὸ ἀνάπαλιν, καταπλεῖν καὶ κατάγεσθαι, ὡς ἀπὸ γῆς κειμένου. καὶ οὕτως ἀναβαινομένου τοῦ πλεομένου ὕδατος, διὰ τὸ ὑψοῦ κεῖσθαι. Ὅμηρος. Οἱ μὲν ἔπειτ' ἀναβάντες ἐπέπλεον ὑγρὰ κέλευθα. ἐπὶ τῶν ναῦν δηλοῦσι. οἱ γὰρ τὴν ἀπὸ τοῦ λιμένος ἐπὶ τὸ πέλαγος ἄθελε δηλοῦν ἀναγωγὴν, ἀναχθέντες ἂν ἔλεγε. τὸ δὲ ἀναβάντες, τὴν διὰ τῶν ποδῶν σημαίνει ἀνάβασιν.

παῖδα μὲν τὸν θανόντα ἑαυτὴν μὴ εἰσάγει. λέγει δὲ ἄλλως κατὰ γένος αὐτοῦ προσώπων, τὴν κλῆσιν παρακαταβάλλων αὐτὴν οἱ νόμοι καλοῦσι, πλὴν ἀμφοτέρα ἐπὶ ἀναλογίας τάσσεται. Ἀμφὶς ἰδεῖν, φανερῶς. Ἄμφις, κωμικὸς ἀθηναῖος. ἀμφὶς δὲ, ἀντὶ τοῦ χωρίς. Ἀμφὶς φρονεῖν, ἐναντίον ἐστὶ τοῦ ὁμὰ φρονεῖν, ὅπερ συνθέτως ὁμοφρονεῖν λέγεται. καὶ τὸ ἐξ αὐτοῦ ὄνομα ἐν ὀδυσσείᾳ, ὁμοφροσύνη. ἔστι τὸ ἀμφὶς φρονεῖν, ὅμοιον ἐστὶ τῷ παρὰ τοῖς παλαιοῖς διθυμία. ὅ ἐστι διχονοεῖν, καὶ ὡς εἴπειν διψυχία. τοῦτο δὲ ἀνάπαλιν ἔχει πρὸς τὸ ἴσα θυμὸν ἔχοντα. τὸ δὲ ἀμφὶς φροντίζειν, ἀγχοῦ ἀμφὶς φράζεσθ' ἔφα. Ἀμφίσβαινα, ζῶον. ὁ ὄφις ἑκατέρωθεν βαίνων. ἐκ τοῦ ἀμφὶς ἐπιῤῥήματος γίνεται. οὐ χρῶσις καὶ ἐν τῷ ἀμφὶς φράζονται. Ἀμφίσβατα, τὰ ἀμφισβητήσιμα. οὕτως Ἑλλάνικος. Ἀμφισβατεῖν, ἀμφιβάλλειν. καὶ ἀμφισβατεῖν, ἐπὶ φίλων. ἐρίζειν, ἐπὶ ἐχθρῶν. Ἀμφισβητήσεις οἱ ἔξω φασὶν, ἡ ἀμφισβήτησις, κρίσεις ἀναπτύσσεσθαι. ἡ δὲ κρίσις, τὸν ἔλεγχον βασανίζεσθαι. ὁ δὲ ὅρος γυμνοῦσθαι. τὰ δὲ γυμνωθέντα, κυροῦσθαι. τὰ δὲ κυρωθέντα, βεβαιοῦσθαι τοῖς ἔργοις. καὶ πᾶσα ἀμφισβήτησις, οὐχί πάλιν φιλία χαρίζεται, καὶ οὐ δεῖ ἀπαντας καθ' ἅπαξ ὑπεξελθεῖν τὰς κρίσεις. Ἀμφισβητοῦντος, ἀμφιλογοῦντος. ἐκ τοῦ ἀμφὶς καὶ τοῦ βαίνειν. πολλάκις δὲ πλεονάζει τὸ β, ὡς ἐν τῷ ἄλυρον ἄβλυρον, καὶ σίλλα σίβλα. ἡ παρὰ τὸ ἀμφὶς ἐπίῤῥημα, οἱ κεχωρισμένως βαίνειν. τοιοῦτοι γὰρ οἱ διαζόντες.

Ἀμφισβατῶ, γενικῇ συντάσσεται. οἷον ἀμφισβητοῦσι τῶν πραγμάτων. καὶ ἀμφισβητοῦσι τῆς ἀρχῆς, καὶ περὶ τῆς ἀρχῆς, καὶ τὸ ἐναντίον. Ἀμφὶς ἦλθεν, ἤγουν χωρὶς ἐγένετο τοῦ Διός. Ἀμφισκηνοι, οἱ περιοικοῦντες τὰς κώμας. Ἀμφίσῃ τῇ χειρὶ, κυρτωθείσῃ. ἤτοι τῇ διπλῇ. Ἀμφίσχοιεν, ἐνδύσειεν.

Ἄμφισσα, πόλις τῆς Λοκρίδος. Ἀμφίσταται, περιΐσταται. ἀμφίσταται δὲ ἀμφίσταται, τὸ ἐφεστάναι. Ἀμφιστρῶ, τὴν καταρχὴν τῶν ϑυσιῶν. λακωνικῶς. Ἀμφιστρέφον, δύο. Ἀμφιστροφὸς. τρεῖς κεφαλαί, ἤγουν κατὰ κύκλον κειμένη. ἡ ἀμφιστροφὸς, ὅ ἐστιν ἀλλήλαις συμπεπλεγμένας. ἢ πάντοθεν πλέκεσθαι. Ἀμφίσομος φάλαγξ καλεῖται, ἡ τῇ ἡμισείᾳ τῶν ἐν τῷ λόχῳ ἀνδρῶν ἀποτεταγμένης ἀπὸ σφῶν ἔχουσα, ὡς ἀντιπρόσωπος εἶναι. Ἀμφισυρροὴ, ἐκχύρησις, ἀποσυρροή. Ἀμφισφαῖρα, εἶδος ὑποδήματος γυναικεῖον. Ἀμφίσφαιρον, περιβάλλον. Ἀμφιτάλαντον, ἀμφοτέρωθεν ῥῖψαι δυνάμενον.

Ἀμφιτάπητες, Αἴλιος Διονύσιός φησι, τὰ μὴ ἑτερομάλλους, ἀλλὰ τοὺς ἐξ ἑκατέρων μερῶν δασεῖς. Παυσανίας δὲ λέγει, ὅτι ἀμφιτάπητες, οἱ ἀμφίμαλλοι. οἱ δὲ ἑτερομάλλοι, τάπητες. Ἀμφὶ τεοῖο, περὶ σοῦ. Ἀμφίτερμον, ἀποτετερματισμένον. Ἀμφὶ δ' ἀνεκάφας, περὶ τὴν κεφαλήν. Ἀμφιτεθειμένος, οἷον μέλας ἀποτελεῖται. Ἀριστοφάνης. Ἀμφίτροι, ἄλφιτα ἐλαίῳ δεδευμένα. λάκωνες. Ἀμφιτρίβων, περιτελῶς τετριμμένον.

Ἀμφίτρητον, τὸ ἐξ ἑκατέρων τῶν μερῶν τετρημένον. Ἀμφιτρίτη, ὄνομα κύριον. λέγεται δὲ διὰ τὴν πανταχόθεν φορὰν. ἢ διὰ τὸ ἀμφίβολον τοῦ φόβου, ἢ διὰ τὸ πανταχόθεν ἀναθεῖν τε καὶ κατατείνειν φέρειν εἶναι στοιχεῖον. λέγεται δὲ, ὅτι ἐν ταύτῃ χορεύουσαν αὐτὴν ἰδὼν Ποσειδῶν, ἥρπασεν. καὶ ἀμφιτρίτη, ἡ θάλασσα. ὁ γὰρ παρὰ τὸ ῥεῖν ἐστιν, ἡ περιῤῥεομένη. ἢ παρὰ τὸ τρεῖν. φόβον γὰρ ἐμποιεῖ, καὶ ὤφειλε δίφθογγον εἶναι. ἐκ τοῦ ὀνοματολογία. ἀλλὰ τὰ εἰς τε λήγοντα θηλυκὰ βαρύτονα, ὑπὲρ μίαν συλλαβὴν, διὰ φωνήεντος θέλουσι παραλήγεσθαι. οἷον, ἐρέτα, μελίτη, ἀφροδίτη, καὶ ἀμφιτρίτη. Ἀμφιτροπὴ, δῆμος τῆς ἀντιοχίδος φυλῆς. Ἀμφιτροχῶ, κατεῤῥυηκότα. Ἀμφίτροφον, παῖς ἀλλότριος. Ἀμφίτυπα, ἐπαιωρούμενα. Ἀμφίφαλον, ἀμφοτέρωθεν φάλους ἔχουσαν περὶ κεφαλήν. φάλοι δὲ εἰσιν οἱ κατὰ τὸ μέτωπον τῆς περικεφαλαίας ἀποτελέσματα, χάριν κόσμου δέδεμένοι.

Ἀμφιφανῶν, ἄγαν δὶς φαινόμενα. καὶ ἀμφιφανής, περιλάμπής. Ἀμφιφορεὺς, κεράμιον ἔχον ἀμφοτέρωθεν φερόμενον. ὅ ἐστιν, ἀμφωτὶ, δίωτι. ἢ ἀμφιφορεὺς Θεόπομπος λέγεσθαί φησι, τὸ ὑπὸ ἐνίων μετρητής. Παυσανίας δέ φησι τὸν ἀμφιφορέα, ὑπὸ ἀθηναίων ἀμφορέα καλεῖσθαι. καὶ ἀμφιφορεὺς, ὅρος, ὑδρία, κέραμος. ἡ μέτρον ἐλαίου. καὶ ἀμφιφορεῦσι, ἀπεῖρον ἐν ἐπιγράμματι. Ἀμφιφόων, πλακοῦς, εἶδος ἀρτέμιδι μετὰ δᾴδων προσφερόμενος. Ἀμφιφῶντος, πλακοῦντος εἶδος. οἱ δὲ τοῦτο ἐγίνετο, ὅτε ὁ ἥλιος καὶ ἡ σελήνη πρωὶ ὑπὲρ γῆς φαίνονται. ἢ ὅτι ἐκόμιζον αὐτὴν δᾷδας ἡμμένας περικείμενον ἐπ' αὐτῷ, ὥς φησιν Ἀπολλόδωρος. Ἀμφιχαλκεφάλαρα, ἀντὶ τοῦ περίχαλκα, λέγει Ἀριστοφάνης. Ἀμφιχανόντος, καταχανόντος.

Ἀμφιχυθεὶς πατέρα παρ' Ὁμήρῳ, ἐμφατικώτερόν ἐστι τοῦ ἀμφὶς καὶ τοῦ περὶ φύς. δηλοῖ τὴν ἄγαν δι' ὅλου περιπλοκήν. ὁρμηθεὶν, ἐκ τοῦ πάλιν ὁ ἀμφιχυθεὶς. Ἀμφίχυτον, κατὰ μὲν Ἴωνας τὸ βωμοειδὲς, τὸ ἀμφοτέρωθεν κατακεχωσμένον, τῇ ἐξ ὑψηλοῦ ἐφ' ἑκάτερα χθαμαλότητι. οἱ μέν τι πλεῖστα ἀμφίχυτόν φασι, τὸ μὴ ἐκ λίθων, ἀλλὰ περικεχωσμένον, ἤγουν τὸ ἐξ ἀναχώματος ὄν. ὡς τὸ χώσαντες ἤ τὸ σῆμα, ἤγουν ἀναχωματίσαντες. τοιοῦτον δὲ ἦν τεῖχος ἐν Τροίᾳ. ἢ ἀμφίχυτον, τὸ περικεχωσμένον ἔξωθεν καὶ ἔσωθεν. Ἀμφιῶ, εὕρηται εἰς τὸ κρεμῶ. Ἀμφίων, καὶ Ζῆθος, τὰς θήβας ἐτείχισαν. ὡς καὶ Ὅμηρος φησίν, Οἳ πρῶτοι θήβης ἕδος ἔκτισαν ἑπταπύλοιο. φιλαύλος δὲ, καὶ τὴν αἰτίαν παραδίδωσι τῆς οἰκοδομῆς. διὰ φλεγύας πολεμίους ὄντας εὐλαβοῦντο, βασιλεύοντος κάδμου. Ἀμφόβολα, ἡ διὰ τῶν σπλάγχνων μαντεία.

Ἄμφοδα, αἱ ῥῦμαι, ἀγυιαί, δίοδοι. Ἀμφοῖδις, παρὰ τὸ ἔδαφος. ὁ δὲ Ἡσίοδος ἀμφοτέραις ταῖς χερσὶν, εἰς τὸ οὖδας ῥῖπτων. Ἄμφοδος, ἡ ῥύμη. Ἀμφοῖν, τῶν δύο. καὶ τοῖς δυσὶν, ἐπὶ ἀμφοτέρων. Ἀμφόνα, ἀκρατής, ἁμαρτωλός, μὴ δυναμένη νοεῖσθαι. Ἀμφόσον, περὶ τὴν φύσιν. Ἀμφοράσαντο, ἐνυπνίασαν. Ἀμφορεῦσι, φόρος τῆς μισθίας, ἃ ἢ τὰ κεράμια φέροντας. Ἀμφορείδιον, ὁ μικρὸς ἀσκός. καὶ ἀμφορεὺς, φορτίον. Ἀμφ' ὀπέφιν, περὶ τοῖς ὠσί. Ἀμφότερα, δύο.

Ἀμφότεροι γράφουσιν, οὐ γράφουσιν. τὸ δὲ ἄμφω καὶ δύο δυϊκῶς, ὡς τῇ σημασίᾳ οὕτω καὶ τῇ φωνῇ δυϊκοῖς τε καὶ πληθυντικοῖς συντάσσεται ῥήμασι. τὸ μὲν διὰ τὴν φυσικὴν σημασίαν, τὸ δὲ διὰ τὸ ἐμπεριέχεσθαι ὑπὸ πληθυντικοῦ ἀριθμοῦ, τὸν ἐν κατὰ δύο. ἄμφω οὖν τρέχετον λέγομεν, καὶ ἄμφω τρέχουσιν. Ἀμφότερον βασιλεύς τ' ἀγαθὸς, κρατερός τ' αἰχμητής. ὡς ἐπίῤῥημα τὸ ἀμφότερον εἴληπται νῦν. καὶ ἀμφότερον, μάχην τ' ἀγαθὸν, καὶ δυρὶ μάρνασθαι, παρὰ Πινδάρῳ. ἀντὶ τοῦ κατὰ ἀμφότερα, ἐπιῤῥηματικῶς. ὁμοίως, τὸ παλιός τε νόον, πλεός τε κάρηνον. Ἀμφοτερόπλουν, ὅταν τις ναυλικὸν δανείσει δάνειον, ἐπὶ τὸ ἐνθάδε πλεῦσαι, κἀκεῖθεν ἐνθάδε, τοῦτο ἀμφοτερόπλουν καλεῖται. οὕτω Δημοσθένης. Ἀμφοτέρωθεν. κανών. τὰ εἰς θεν ἐπιῤῥήματα, τὰ ἀπὸ ὀνομάτων γινόμενα, διὰ τοῦ ο μικροῦ γράφεται. οἷον, κυκλόθεν, οὐρανόθεν. πλὴν τοῦ ἀμφοτέρωθεν, ἑκατέρωθεν, ἑτέρωθεν. καὶ ἀμφοτέρωθεν ἀνακεχυμένον, τὸ ἀμφίστομον λέγεται.

Ἀμφοτέρῃσιν ἑλὼν χεῖρα, εἶχε μὲν εἰπεῖν δυϊκῶς χεῖρε. ἀλλὰ διὰ τὸ κακότροπον οὕτως εἶπε. καὶ νοητέον, ὡς ἡ ἰλία τὴν ἑκατέρου ἔλαβε χεῖρα ἑκατέραις ταῖς αὐτῆς χερσὶν, ἢ μίαν ἐξ ἑκατέρων τὰς δεξιὰς, τῇ αὐτῇ δεξιᾷ δηλαδή. Ἀμφοτέρωσε, εἰς ἑκάτερον μέρος. Ἀμφουδὶς, παρὰ τὸ ἔδαφος. ἐπίῤῥημα οὐδέτερον. οὐ μᾶλλον, οἱ δίεσι. ἀποβολῇ οὖν, οὖδις καὶ ἐν συνθέσει, ἀμφοῦδις. παρὰ τὸ οὖδας, τὸ ἔδαφος. οὖδιν δηλαδή τι ἀμφ' οὖδας. πλὴν αὐτὸ ἐπίῤῥημα ἐστιν ἐκεῖθεν παραχθέν. ἀμφοῦδιν ἀρεῖσαι, τὸ πρὸς τῇ γῇ ῥῖψαι. καὶ ἔστι ταυτὸν τῷ πρὸς γῆν ἐλάσαι. ἀείρας δὲ ἀμφοῦδις, τουτέστιν ἐκ γῆς πρὸς γῆν αὖθις ἐλάσαι, τὴν ἐκείνου κεφαλήν. ἢ καὶ ἄλλως, ἀείρας βάλλε τὴν κεφαλὴν πρὸς γῆν. ἀμφοῦδις, κατὰ μὲν ἀμφοῖν τὴν λέξιν ἐκ πα-

γὰρ μίαν βάσιν, δύο δὲ περιβολὰς εἶχεν. ὥσπερ τὸ ἀμφικύπελλον. ἡ μὲν ἐκτὸς, ἡ δὲ ἐντός. Εὐσέβιος, Ἰλιάδος α. Δεικτέον μὲν οὖν ὡς ἀντὶ δίδωσι τὸ ἀμφικύπελλον, ἰσάζει τὰς τοῦ μέλιτος. νῦν δὲ καὶ τὸ μέλι κατασκευάζεσθαι, ἐπικρατεῖ καλῶς ἐξ αὐτοῦ τὸ ἀμφικύπελλον. τινὲς μὲν οὖν ὡς ἐν εἰκασμῷ, δοκεῖ ταύτην εἶναι ἀμφικύπελλον εἰπεῖν, καὶ δικύπελλον, ὡς κατὰ τὰς ἀνελίξεις σύμφωνα, ἢ δίκας τοῦ μέλιτος. μιᾶς βάσεως, τουτέστι πυθμένος, δύο κύπελλα διεισδυόμενον. Ἀμφικόμῳ, φυλλάδι. Ἀμφιλαφὴς, περιλαφής. Ἀμφιλαφεῖν, συγκρότησιν, ὠφέλειαν. Ἀμφιλαφεῖς πλατάνιστοι, εὐθυραὶ μεγάλαι καὶ πολύκλαδοι, καὶ παρὰ Ἀπολλωνίῳ ἀμφιλαφὴς, ἀντὶ τοῦ ποικίλος ὁ μέγας, ὁ ἀμφοτέρωθεν ... κεχαραγμένος. Ἀμφιλαφὲς, κατάσκιον, ἀμφιλαφὲς δὲ ὃν, τὸ ἑκατέρωθεν λαβεῖν. Φωνῆς τὸ β΄ εἰς φ. ὁ παρὰ τῶν ἀφιῶ.

Ἀμφιλαφοῦ, μέγαν, δαψιλοῦς. Ἀμφιλαφὴς τόπος, Ἀπολλώνιος, ἀμφοτέρωθεν ἐκπετάσεως πρὸς ὅρμον ἔχων. Καλλίμαχος δὲ, ἀμφίδυμον εἶπε τὸν ἀμφιλαφῆ λιμένα. ἰσοσκελὴς δὲ Ἀπολλώνιος ἀμφιλαφῆ τὸν λιμένα φησί. ... ἀντὶ τοῦ ... ἀπέλωκαν. Ἀμφιλάων, περικεκλεισμένον. Ἀμφίλεκτος, ἀμφίβολος. Ἀμφιλέξαντες, ἀμφισβητήσαντες, καὶ διαλεχθέντες. Ἀμφίλινα, κροσσωτά, χειροκλαῆ. Ἀμφιλίνων, τῶν λινοπέπλων. Ἀμφιλιχοῦ, περιμάχου. Ἀμφίλογον, ἀμφιβαλλόμενον, ἐνδοιάζοντα. Ἀμφιλύκη. ἐκ τοῦ λύκη γίνεται, ὃ σημαίνει κατὰ τοὺς παλαιοὺς τὴν σκιάν. προσλαβὸν δὲ τὸ α, ποιεῖ τὴν ἀλύγην, ὃ δηλοῖ σκιάν. ἐξ οὗ καὶ τὸ ἐπαλυγασάμενος, ὁ προβαλλόμενος, καὶ ἐπισκιασάμενος. διὸ καὶ λυκόφως λέγεται ἀλύκη, ἔστιν εὑρεῖν ἐν τοῖς παλαιοῖς. καὶ ἀμφιλύκη νὺξ λέγεται, ἣν ὁ ... λυκόφως λέγει. καὶ ἀμφιλύκη νὺξ, τὸ παρ' ἡμῖν λεγόμενον λυκόφως. ὅταν οὔτε ἡμέρα ἤδη ἐστὶν, ἀλλ' οὐδὲ νὺξ ἔτι ἀκριβῶς. ἢ ἄλλως. ὁ ποιητὴς ἀμφιλύκην νύκτα καλεῖ, τὴν ἤδη πρὸς τῇ ἡμέρᾳ οὖσαν, ἢ προσεγγίζουσαν τῆς ἠοῦς, ἀντὶ τοῦ ὄρθρου. καὶ ἄλλως δὲ καθ' Ὅμηρον ἀμφιλύκη νὺξ, καθ' ἣν ὁ ἥλιος οὔπω προβάλλει. τὴν δ' οὕτω διακλύζει τὴν νύκτα. οὐ μὴν ἥλιος προβέβληκεν, ὡς καὶ ... ἐτυμολογεῖται δὲ, ἢ παρὰ τὴν λύγην, ὅ ἐστι τὴν σκοτίαν (λυγαῖον γὰρ, ὅ ἐστι σκοτεινὸν, τὸ ... φῶς.) ἢ παρὰ τὸ λευκὸν ἐοικέναι, τουτέστι λύκη δὲ ... καὶ οὐκ ἀκριβῶς ἔχει τὸ μέλαν. καὶ ἀμφιλύκην, σκοτεινήν. λύκη γὰρ ὡς εἴρηται, ἡ σκοτία, καὶ λυκόφως ἐξ αὐτοῦ, ἢ λυκόφως. Ἀμφίμακρος, ἐκ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς, πεντάχρονος. οἷον, ἡγεμών. καλεῖται δὲ ἀμφίμακρος, διὰ ἑκατέρωθεν δύο μακρὰς ἔχει. Ἀμφίμαλλος, ἔνιοι τὸ ἐν τοῖς ἱεροῖς κάλυμμα ἀποδιδόασι. κάλυμμα δὲ, τὴν μίτρην λέγουσιν. Ἀμφιμαίνοντα, ἄλφιτα μέλιτι δεδευμένα. λάκωνες. καὶ ἀμφιμάσθαι, δύσμορον, κακοδαίμονα. ἀμφοτέρων γονέων ἔχων, ὁ ἀποβαλλόμενος. Ἀμφιμάσασθαι, περιψῆσαι, περιμάξαι, ἀπομάξαι. ἐκμάσσω, ἀφ' οὗ ἐκμάσσειν, καὶ ἀπομάσσειν.

Ἀμφίμασχα, ψαλίς. Ἀμφιμασχάλη, χιτὼν ἐλευθέρου ἐπ..., οἱ δὲ δουλικοῦ, ἢ μικροῦ χιτωνίσκου. ἦν καὶ ἑτερομάσχαλος, ὁ τῶν ἐργατῶν. οὗ τὴν μίαν μασχάλην ἔρραπτον. ὁ ἀμφιμάσχαλος, ὃς ἑκατέρωθεν χειρίδας εἶχε μακράς, ἀνθ' ἕως τῶν μασχαλῶν ἔχοντος. Ἀμφιματώσαι, ἀπολῦσαι. Ἀμφιμέλανα, βαθέα, σκοτεινά. Ἀμφιμέμυκε, περιηχεῖ, μυκᾶται. Ἀμφιμερινός, ὁ καθημερινός. Ἀμφιμήτριοι, οἱ ἐκ πολλῶν μητέρων γεγονότες ἀδελφοί. Ἀμφιμήτρια, τὰ μετὰ τὴν φύσιν ταῖς ... ἐπιτιθέμενα. καὶ ἀμφιμήτριον, τὸ σημαντικὸν τῶν περὶ τὴν μήτραν παθῶν. Ἀμφιμιγὲς, πολυμιγές. ὁ πολυσύγκρατον, καὶ ἐναντίον πρὸς ὃ τὴν μίτρην αἱ γυναῖκες προσάγουσιν.

Ἀμφιμυσίον, δημήτρια ζῷα. καὶ ἀμφιμύσιον, ἡ δημήτηρ.

Ἀμφίνεικος, περιμάχητος, ἐναντίως ἔχων λόγος. Ἀμφινεικίζοντα, προσπαλαίοντα, προσφερόμενον. Ἀμφινεῖς, χι-

ναντες ἡ φιλαίνης κρῆτες. Ἀμφίξεον, καλῶς ξεόν, ἀμφίξεν τὸ σκέπαρνον. Ἀμφίον, ἱμάτιον, ἔνδυμα. καὶ ἄμφιος, ὄνομα κύριον. Ἀμφιόνα, κιθάρα. Ἀμφιορκία, ὅταν οἱ διαφερόμενοι ἀλλήλοις ὀμνύωσι. ἢ ἀμφιορκία, ἐπειδὰν ὅ, τι φεύγων, ἢ ὁ διώκων ἐμπνέουσι, ... ἔγκλημα τοῦτο ἐπιψηφίζοντες.

Ἀμφίπαλοι, περιχαίνοντες. Ἀμφίπαλτα, ἄλφιτα ἀναδεδευμένα ἐλαίῳ. Ἀμφιπέλλιον, πελίκιον δίκοτυλον. κορίνθιοι. ὁ δὲ Ἀρίσταρχος, τὴν τῆς ἀρίστης κύλικα ἀπέδωκεν. Ἀμφιπέλεται, περιγίνεται. Ἀμφὶ περὶ, ἐξ ἑκατέρου μέρους, περὶ αὐτούς.

Ἀμφιπεριστρωφᾶ, περιστρέφει. Ἀμφικύρτους, τυφλοὺς ὁ μὲν ... λέγοντες. Ἀμφίπλεκτος, ἐμπλεκόμενος. Ἀμφιπλήκτοις, ἰσθμοῖς, ἤγουν ἀμφιβαλλομένοις. παρ' ὅσον ἑκατέρωθεν θαλασσοῦνται. Ἀμφιπλὴξ, ἡ ἑκατέρωθεν ἐλαύνουσα. Ἀμφίπεκοι τάπητες, ἀμφίμαλλοι. Ἀμφιπολεύειν, τὸ συμπεριπολεῖν δηλοῖ. καὶ ἀμφιπολεύω, ἐργάζεται. Ἀμφιπολεύει, ὑπηρετεῖ, φροντίζει, περιέπει, ἢ ἀναστρέφεται. Ἀμφίπολις, Ἀντιφῶν περὶ τοῦ ... πόλις αὕτη τῆς Θρᾴκης. πρότερον δὲ ἐννέα ὁδοὶ ἐκαλεῖτο, ὡς Ἀνδροτίων ἐν Ἀτθίδος. Μαρσύας δ' ἐν Μακεδονικοῖς, διὰ τὸ περισκεπάσαι τὸν τόπον ἀμφίπολιν ὀνομασθῆναι, πρότερον ἄρα καλουμένη. οἱ δὲ, ὅρος πόλις. Ἀμφίπολοι, αἱ δοῦλαι. καλοῦνται δὲ οὕτω, διὰ τὸ ἀμφὶ τὰς δεσποίνας πολεῖν. ἐντεῦθεν δὲ αἱ πρόσπολοι, καὶ πρόπολοι. οἱ δὲ φασιν ὅτι πρόσπολος μὲν ἐπὶ ἀῤῥένων, ἀμφίπολος δὲ ἀεὶ ἐπὶ γυναικῶν. Πίνδαρος δὲ ἔφη, τύμβον ἀμφίπολον, τὸν κύκλῳ περιπολούμενον. καὶ ἀμφίπολον τύμβον πολύξενον λέγουσι ..., τὸν περιπολούμενον διὰ τὸ ἐν μέσῳ εἶναι τῇ πόλει. οἱ γὰρ οἰκισταὶ, ἐν μέσαις ταῖς πόλεσιν ἐθάπτοντο ἐξ ἔθους. ἄλλοι δὲ ἀμφίπολον, τὸν περιπολούμενον ὑπὸ τῶν ἀγωνιζομένων. ἐν γὰρ τῷ ... ἐστὶν αὐτοῦ ὁ τάφος. ἢ ἀμφίπολον, τὸν περιπολούμενον, ὡς τῶν ἐπιξενούντων διὰ τὸ ἄγαν τῆς κατασκευῆς ... κύκλῳ περιιόντων καὶ θεωμένων. ἔνιοι δὲ, ὅτι οἱ ... τοῦ Πέλοπος ἐκαλοῦντο. Ἀμφίπολος, ὁ δοῦλος. Τὰ παρὰ τὸ πολῶ καὶ χέω, μὴ μετὰ προθέσεως συντεθειμένα, πρὸ μιᾶς ἔχουσι τὸν τόνον, οἷον οἰοπόλος, ἀνθρωποπόλος, οἰνοχόος. τὰ δὲ μετὰ προθέσεως, παροξύνεται. οἷον, ἀμφίπολος. ἔστι δὲ καὶ ἐπὶ δούλου, πρόσπολος. Ἀμφιπρύμνους, εἶδος πλοίων. ἔμπαλιν διελθεῖν παρασκευάσαι τὸν ... ἐν ταῖς ἀμφιπρύμνοις τῶν νεῶν. Ἀμφὶ πυρὶν, περὶ τὴν πυράν. Ἀμφίπυρον, πανταχόθεν πυρούμενον. Ἀμφὶ ῥά ἑ, περὶ δ' αὐτόν. Ἀμφιρρεπὴς, ἑκατέρωθεν ἰσοῤῥοποῦν. Ἀμφιρραγὲς, ἑκατέρωθεν ἐῤῥηγμένον. Ἀμφήριστον, ἀμφίλογον, ἀμφίβολον. ἐκ τοῦ ἐρίζω γίνεται ἐρίσω, ἤρισα, ἐριστόν, καὶ ἀμφήριστον. Ἄμφιρον, ἀμφορεύς. Ἀμφιρρύτη, περιῤῥεομένη κύκλῳ. ἐν ἐπιγράμματι, ἀμφιρρυτοκῶν, καὶ πάλιν ... ἔχεις, οἷον ἐφ' ... Ἀμφιρρῶγας, πάντοθεν διεῤῥωγότας, ἐσχισμένους, ... τὸ ἀμφιρρῶγας.

Ἀμφιρρῶγες, περιφρονες. κεφαλὴν ἔχων ἑκατέρωθεν. Ἀμφισβητοῦντες, οἱ διχογνωμονοῦντες. οἱ μὲν τόδε, οἱ δὲ τόδε.

Ἀμφίς. ἀπὸ τοῦ ἀμφὶ προθέσεως, ἀμφὶς ἐπίῤῥημα, ὃ σημαίνει τὸ χωρὶς, καὶ δισσῶς, καὶ τὸ ἐκτός. οἷον ἀμφὶς ὁδοῦ δραμέτην. σημαίνει καὶ τὴν περὶ πρόθεσιν. ἀμφὶς, καὶ περὶ, ταυτόν. καὶ ἀμφὶς, ἀντὶ τοῦ κύκλῳ, ὅτε περὶ. ἀμφὶς ἐόντα, ἤγουν κύκλῳ. καὶ ἀμφὶς ἰδὼν, ἀντὶ τοῦ κύκλῳ, ἔτι πάντοθεν. καὶ ἀμφὶς, ἀντὶ τοῦ ἀμφοτέρωθεν ἐνίοτε λαμβάνεται, καὶ ἀντὶ τοῦ μεταξὺ, ὡς τὸ ὀλίγη δ' ἦν ἀμφὶς ἄρουρα. Ἀμφὶς εἴργει, χωρίζει. Ἀμφίσταινοι, οἱ ἐστεμμένοι. Ἀμφὶς, περὶ, χωρὶς, δίχα. Ἀμφὶς ἕκαστον, περὶ ἕκαστον. Ἀμφὶς ἐόντες, χωρὶς ὄντες, ἀποδημοῦντες.

Ἀμφὶς ἔχουσιν, περιέχουσιν. Ἀμφισβητεῖν, ἡ παρακαταβολή, ὅταν τελευτήσαντός τινος, ἄπαις εἶναι δοκεῖ. φάσκει δέ τις ἑαυτὸν ἐκείνου υἱὸν, οὗτος ἀμφισβητεῖν τοῦ κλήρου λέγεται. εἰ δὲ

παῖδα

ἐπὶ τοῖς γεννηθεῖσι παιδίοις. ἐν ᾗ τὸ βρέφος περὶ τὴν ἑστίαν ἔφερον τρέχοντες, καὶ ὑπὸ τῶν οἰκείων καὶ φίλων, πολύποδας καὶ σηπίας ἐλάμβανον. ἢ κατὰ Ἴωνα, ἀμφιδρόμια, ἡμέρα πέμπτη τοῦ βρέφους ἐκ γενέσεως. οὕτω κληθεῖσα, καθότι ταύτῃ καθαίρουσι τὰς χεῖρας αἱ συναψάμεναι τῆς μαιώσεως. καὶ τὸ βρέφος περὶ τὴν ἑστίαν φέρουσι τρέχοντες κύκλῳ, καὶ τοὔνομα τίθενται τούτῳ. δῶρά τε πέμπουσι τῷ παιδὶ, ὡς ἐπὶ τὸ πλεῖστον πολύποδας, οἵ τε φίλοι, καὶ οἰκεῖοι, καὶ ἁπλῶς οἱ προσήκοντες. Ἄλλως.

Ἀμφιδρόμια, ἑορτὴ ἐστὶν Ἀθήνησι τελουμένη. καθ' ἣν ἐγκαρφίδια ἄρτι ὀπτομένου ἐπὶ τῆς ἑστίας, ἐπιτρέχουσι. τῇ δ' αὐτῇ ποιοῦντες, καὶ μετὰ σπουδῆς τὰ βρέφη περὶ τὴν ἑστίαν περιφέρουσιν. ἐπειδὴ κουροτρόφος ἡ θεὸς ἐπὶ ἴσον παρείληπται. μέμνηται Πλάτων ἐν Θεαιτήτῳ, Τοῦτο μὲν δὴ ὡς ἔοικε, μόλις ἐγεννήσαμεν, ὅ,τι δή ποτε τυγχάνει ὄν. μετὰ δὲ τὸν τόκον τὰ ἀμφιδρόμια, ὡς ἀληθῶς ἐν κύκλῳ περιθρεκτέον τῷ λόγῳ. Ἀμφίδρομον, ἑλικοειδές. εὐθὺ οἷον ἄρτι κῦμα φανὲν ὑπὸ ζάλης ἀμφίδρομον καλεῖται.

Ἀμφίδρομος. Αἰσχύλος Σεμέλῃ, ἔπλασε δαίμονα καινὸν περὶ τὰ ἀμφιδρόμια. ὡς εἰ ἔλεγε τὸν γενέθλιον. δηλοῖ δὲ ἐξ ἑκατέρου μέρους θεώμενον, ἢ προσηγορούμενον, ἢ ὁρμᾶν δυνάμενον.

Ἀμφιδρυφὴς, ἡ ἀπαμφιδρυπτομένη, ὅ ἐστι ξυομένη τὸ πρόσωπον, ὃ λέγεται ὑπερβολῇ δηλοῖ. ἐκ δὲ τοῦ δρύπτω, γίνεται τὸ ἀμφιδρυφής. δρύπτειν δὲ κυρίως, τὸ ἀποδέρειν δόρυ, ἤγουν ξύλον διαδρυπτόμενον ἢ δορύπτω, ὡς κορύπτω, καὶ ἐν συγκοπῇ δρύπτω. ἢ ἀμφιδρυφὴς, ἡ ξυομένη ἀμφοτέρωθεν, καὶ περιεσπαραγμένη τὸ πρόσωπον, διὰ τὸ τοῦ ἀνδρὸς πένθος. δρύψαι γὰρ τὸ ξύσαι. Ἀμφίδρυφοι, παρειαὶ ὑπερβολῇ, ὅτι οὐ μία παρειὰ δρύπτεται, ἀλλ' ἀμφότεραι. ἀπὸ δρυὸς δὲ τὸ δρύπτω, ὅ ἐστι ξύλον. λέγεται γὰρ τὴν φλοιόν.

Ἀμφίδυμοι λιμένες, δίδυμοι. διὰ τὸ ἐξ ἑκατέρου μέρους εἰσπλοῦν ἔχειν ὡς δύο. ἢ ἀμφίδυμοι, οἱ πανταχόθεν καταδύσιν ἔχοντες καὶ σκέπην. οἷον ἀμφίδυτοι, ἀπὸ τοῦ δύειν τὸ σκεπόμενον. λέγεται δὲ καὶ ὁ λιμὴν τῆς κυρίας ἀμφίδυμος, διὰ τὸ εἰσόδους ἐξ ἑκατέρου μέρους ἔχειν. Ἀμφιδυὰς, ἐνδυσάμενος. Ἀμφίδυσις, ἐπίθεσις φιάλης, παρὰ Ἀναξανδρίδῃ. Ἀμφίδυρον, τὸ πανταχόθεν περιέχον σκῦτος. ὡς τὸ ἀμφιδέρει σκύτην, Ἀχαιὸς. πετάσιν, ἐλάφου δέρμα. Ἀμφὶ ἓ, περὶ αὐτόν. ὡς τὸ, ἀμφὶ ἓ γνώσκων ἑτάρους περώμενος. Ἀμφιεμένος δύναμιν, ἤγουν ἐνδεδυμένος. παρὰ τὸ ἕω, ὃ σημαίνει τὸ ἐνδύομαι. ὁ μέλλων ἕσω, ὁ παρακείμενος εἷκα εἵμαι. εἱμένος ἡ μετοχή, καὶ ἐν συνθέσει ἀμφιεμένος. Ἀμφίετος χιτὼν, διπλοῦς. Ἀμφιελίσσαι, αἱ νῆες, αἱ ἀμφοτέρωθεν ταῖς κώπαις ἐλαυνόμεναι. ἢ ἑκατέρωθεν τὰ πλευρὰ στρεφόμεναι. Ἀμφίεδον, ἄφθονον. Ἀμφιέννυμαι, ἐνδύω κοινῶς, ἀπὸ τοῦ ἕω. ὡς ἀπὸ τοῦ ἄγω τὸ κλῶ, ὁ ἄγνυμαι. καὶ τοῦ ὄρω ὄρνυμαι. μέλλων ποιητικὸς μὲν ἕσομαι, ἀπὸ τοῦ ἕσω ἔχησα. κοινὸς δὲ ἀμφιέσομαι, μετὰ τῆς προθέσεως ἀεί. ὁ ἀόριστος ποιητικῶς μὲν, ἑσάμην. κοινῶς δὲ, ἠμφιεσάμην, καὶ ἀμφιέσομαι καὶ ἠμφιεσάμην, ἐπὶ τοῦ αὐτοῦ παρὰ τοῖς κοινοῖς. ὡς ἀπὸ τοῦ ἀμφιάζω. καθὸ καὶ ἄμφια τὰ περιβάλματα λέγεται. παρακείμενος μὲν ποιητικὸς εἷμαι. ἀφ' οὗ καὶ εἱμένος, καὶ ἐπιειμένος, ἀπὸ τοῦ ἕω ἔχησεν. ἀπὸ τούτου γὰρ ἕσμαι, ἄχρηστον, κατὰ ἀναλογίαν μέν τε τοῦ τίθημι. ἤγουν, ἕω, ὡς θέω. καὶ ἀπὸ τούτου εἷμαι, ὡς τέθειμαι. κοινῶς δὲ ἠμφίεσμαι. ἀπὸ τοῦ εἷμαι, εἷμα τὸ ἔνδυμα ποιητικῶς, λαχίσμον κοινῶς. ὡς μᾶλλον μὲν τὸ περίβλημα ποιητικῶς, μαλωτὴ δὲ τὸ δέρμα κοινῶς. Ἀμφιέπεται, ἔστιν ἀμφιεπτόω. καὶ ἐξ αὐτοῦ παράγωγον, ἀμφιέννυμι. τὸ παθητικὸν ἀμφιέννυμαι, ἀμφιέσσουσι, ἀμφιέσονται. παρὰ τὸ ἕω, τὸ ἐνδύομαι.

Ἀμφὶ ἔπα πυρὶ, περιβλέψας αὐτόν. Ἀμφιέπων, περιέπων, περιπολῶν, ἢ περὶ ἔργον ἔχων. Ἀμφιέποντες, περὶ ἔργον σπουδάζοντες, καὶ ἀσχολούμενοι. ἢ περὶ τὴν αὐτὴν ἀσχολούμενοι.

Ἀμφιέπεσθε, περίεχε. Ἀμφιέπων, περιβάλλων. Ἀμφιεπαζομένας, τὰς κατ' ἑαυτὴν περιεχομένας. Ἀμφιέτες, τὸ κατ' ἔτος. ἔστι δὲ ἐν τῷ κατ' ἐνιαυτόν. ὁμοίως δὲ καὶ ἀμφημερινόν, ἤγουν, καθημερινόν. Ἀμφιετηρίς, ἡ κατ' ἔτος γινομένη ἑορτὴ καὶ θυσία. Ἀμφίζειν, περικαθίζειν. Ἀμφιηκὲς, ἀμφοτέρωθεν ἠκονημένον. Ἀμφιθαλεῖς παῖδες, οἷς ἄμφω περίεισιν οἱ γονεῖς. καὶ ἀμφιθαλὴς παῖς, ὁ ἀμφοτέρωθεν θάλλων, ἤγουν εὐδαιμονῶν. ἤγουν ᾧ ὁ πατὴρ καὶ ἡ μήτηρ περίεισιν. ἅπαξ δὲ ἡ λέξις εἴρηται παρὰ τῷ ποιητῇ. ἑτεροθαλὴς μέν τι, ᾧ ὁ ἕτερος τῶν γονέων τοῦτον κλάδον ἀπέσπασε. καθ' ἣν ἔννοιαν καὶ παῖδες πατρὸς οἱ μὴ ὁμομήτριοι, ἑτεροθαλεῖς λέγονται. ἐκ δὲ τοῦ τοιούτου θάλλειν, καὶ θάλεα φησὶν ἐν τούτοις ὁ ποιητὴς τὰ ἀγαθά, ὧν ἐμπίμπλανται παῖδες εὐδαίμονος πατρός. ὡς καὶ φίλον θάλος τῆς γεννησάσης ἐστίν. οἱ δὲ παλαιοὶ λέγουσιν, ὅτι ἀμφιθαλεῖς, οἱ ἔχοντες ζῶντας τοὺς δύο γονεῖς. Ἀμφιθέατρον, τόπος πανταχόθεν περιεσκευασμένος. Ὁ δὲ τῶν φράγγων δῆμος, ἐς ἀμφιθέατρόν τι ἀνέτρεχεν. Ἀμφιθέοντι, περιβάλλοντι, δηλικῶς. Ἀμφίθετος, ἱερὸς Δήμητρος καὶ Τριπτολέμου. παρὰ τῷ Ἀριστοφάνει. Ἀμφίθετον φιάλην, κατὰ πᾶν μέρος αὐτῆς τιθεμένην, ἀπόθετον. οὐ τὸ παρ' ἡμῖν ποτήριον, ἀλλὰ γένος λέβητος, ἐκ παντὸς μέρους δυνάμενον ἕδραν ἔχειν. Ἀμφιθῇ, ἐπιθῇ. Ἀμφίθυρος οἰκία, ἡ ἔχουσα ἀμφοτέρωθεν θύρας. Ἀμφικαλύπτει, πάντοθεν καλύπτει. ἀπὸ δικτύων μετῆκται. ἃ καταπετασθέντα, ὄρνιθας καλύπτει ἴσως. καὶ ἀμφικαλύπτειν, σκέπειν, περιέχειν. Ἀμφικαλύψει, ἴσως παραδέξεται. Ἀμφίκαυσις, ἡ ξανθὴ κριθή. ἣν ἡμεῖς εὔγεαν καλοῦμεν. καὶ οὕτω μὲν οἱ τραγικοί. οἱ δὲ κωμικοὶ τὸ αἰδοῖον, ἀμφίκαυστις. Ἀμφικοίβας, πολυχίβας, περικόψας. Ἀμφικίλλανης, ἡ κατ' ὦμον περιηρτημένη ἐσθῆσις. Ἀμφικέφαλος κλίνη, ἡ ἑκατέρωθεν ἔχουσα ἀνακλιντήριον. Ἀμφικέλλαμον, ἀμφοτέρωθεν ὀκέλλον, ἢ στηριζόμενον. Ἀμφίκασον, περιετμητόν, ἢ περιγεγραμμένον. Ἀμφικνέθων, περικαλύπτων. Ἀμφικέφαλος, κλίνης εἶδος, παρὰ τὸ ἑκατέρωθεν ἀνάκλισιν ἔχειν, καὶ προσκεφάλαιον. Ἀμφίκλαστον, πάντοθεν κεκλασμένον. Δείψανον ἀμφίκλαστον. Ἀμφίκλυσις, ἡ πρώτη τῶν ἀσταχύων ἔκφυσις. λέγεται δὲ καὶ καῦσις. Ἀμφίκοιλον ξύλον, ἀνάφορον. ἐν ᾧ τὰ φορτία ἐξαρτήσαντες οἱ ἐργάται, βαστάζουσιν. ἀμφίκυρτον δὲ χαπέτιον, ὅ τινες καὶ ἀλυεῖς. Ἀμφίκομος, ὁ τάπης.

Ἀμφίκορος, ὁ μισθὸς τῶν τριῶν ἀδελφῶν. ἀμφίκυρτος δὲ, ἣν ἑκατέρωθεν ἄνθρωποι περιλαβοῦσιν. Ἀμφίκρανον, ἀμφοτέρωθεν ἔχον κεφαλάς. Ἀμφίκρημνον, ἑκατέρωθεν ἐπικίνδυνον.

Ἀμφίκρημνος, περίκρημνος, ἢ βραχύτατος. Ἀμφικτύονες, περίοικοι δελφῶν. συναγόμενοι ἐπὶ πυλαίαν. οἱ καὶ πυλαγόροι, καὶ ἱερομνήμονες. ἢ ἀμφικτύονες, οἱ περιοικοῦντες. τὸ γὰρ κτίσαι, ἐπὶ τοῦ οἰκῆσαι, ἔλαβον οἱ παλαιοί. ὥς φησιν Ὅμηρος. ἐϋκτίμενον πτολίεθρον, καὶ ἐϋκτιμένην κατ' ἀλωήν. ἔστιν οὖν οἰκίζω, οἰκίσω, οἰκιῶν, οἰκιὼν, κατὰ πλεονασμὸν τοῦ τ. καὶ μετὰ τῆς ἀμφὶ προθέσεως, ἀμφικτίων. καὶ τροπῇ τοῦ ι εἰς υ, ἀμφικτύων, ὡς τριφάλεια, τρυφάλεια. ἔστι δὲ συνέδριόν τι ἑλληνικόν, συναγόμενον ἐν θερμοπύλαις. ὠνομάσθη δὲ ἀπὸ Ἀμφικτύονος τοῦ Δευκαλίωνος. ὅτι αὐτὸς συνήγαγε τὰ ἔθνη βασιλεύων. ταῦτα δὲ εἰσι Δόλοπες, Ἴωνες, Δωριεῖς, Περραιβοί, καὶ οἱ λοιποί. Ἀμφικύπελλον, ἄγγος, στρογγύλον ποτήριον. παρὰ τὸ κύφον, κύφελλον, καὶ κύπελλον. ἢ παρὰ τὸ χέω, χύπελλον. ὅπως ὁ παλαιός, ἤγουν ὁ οἶνος χεῖται. καὶ μετὰ τοῦ ἀμφὶ, καὶ πλεονασμῷ ἑτέρου λ, ἀμφικύπελλον, τὸ ἐκ περιφερείας κυφόν. ὅθεν καὶ τὰ πρὸς ἡμᾶς κάτω νεύοντα νέφη, κύφελλα λέγονται. Ἀρίσταρχος δέ φησι, σημαίνειν τὴν λέξιν, τὸ διὰ τῶν ὤτων ἑκατέρωθεν περιφέρειν. ἐφ' ὧν καὶ ῥητῶς ἀπολιδοὺς λέγει, ἢ τι ὁ καλὸν ἄλεισον ἀναιρήσεσθαι ἔμελλε, χρύσεον, ἄμφωτον. ἤγουν, οἷον ἀμφίκυρτον. Χρὴ δὲ εἰδέναι, ὅτι τὸ ἀμφικύπελλον, ὡς Ἀριστοτέλης ἐμφαίνει, καινήν τινα κατάσκεψιν ἔχει. φησὶ γὰρ ἐκεῖνος, ὅτι κηθηρίδες τοῦ μέλιτος ἀμφίστομοι. περὶ

ἀμφὶ περὶ αὐτὸν τρίποδα. ἢ ἀντὶ τοῦ ἐπί, οἷον ἦν ἐκεῖνον ἀμφ' ὤμοισι, ἀντὶ σημαινούσης τὸ δύο, ὡς ἐν τῷ ἀμφίδυμος, ἀμφίσομος. Ἀμφίβαλλον, ἀμφοτέρωθεν φαλλοὺς ἔχουσαν. φαλλοὶ δὲ οἱ ἀποτέλεσμα. οἷον, ἀμφίβαλλον ἀσπίδα. Ἀμφιβαλὼν παρ' Ὁμήρῳ ἐν ψ' τῆς Ὀδυσσείας, ἀντὶ τοῦ ἴσον περιβαλών, περικλυσθείς. ὁ μαχόμενος περιβάλλων. Ἀμφίβασις, κύκλωσις, ὁρμή, ἡ περὶ νεκροῦ μάχη. περιβάντος γὰρ τὸν νεκρόν, ἐμάχοντο περὶ τοῦ σώματος, ἵνα μὴ συληθῇ. ἀπὸ δὲ τῶν ἀλόγων ζώων ἡ μεταφορά. Ἀμφιβατεῖν, ἀμφισβητεῖν. Ἀμφίβιον, τὸ κόμιον τὸ μύτρον, παρὰ Ἱπποκράτει. Ἀμφιβέβηκας παρ' Ὁμήρῳ, τὸ περιέχειν σημαίνει. ὡς τό, Ὃς Χρύσην ἀμφιβέβηκας, περιβέβηκας, ὑπερμαχεῖς. ἀπὸ μεταφορᾶς τῶν τετραπόδων. ὥς ὅτι λέων ἀμφιβαίνειν τοῖς σκύμνοις λέγεται, ἤγουν τοῖς σκυλακίοις. οὕτω δὲ καὶ ἐν μάχῃ νεκροῦ ὡς ἀμφιβαίνει, ὑπερμαχῶν ἐκείνου. καὶ πόνος ἀμφιβέβηκεν, ἤγουν κατείληφε, περιεῖλεν. ὥς τε οἱ πάντες ἡ λέξις τὸ σκέπειν καὶ βοηθεῖν δηλοῖ. καὶ ἀμφιβεβηκέναι, ἀντὶ τοῦ ὑπερμαχεῖν, καὶ ἀντὶ τοῦ ἀμφικαλύπτειν. ὡς τό, Καί μιν ἄχος φρένας ἀμφιβέβηκεν. ὅμοιον γάρ, ἀμφικαλύψειν. καὶ ἀμφιβέβηκας, περιέχεις. ἀπὸ τῶν ὑπερασπιζόντων ἐν πολέμῳ τῶν τετρωμένων, ἢ πεφονευμένων. τοῦ μέν, ἵνα μὴ συληθῶσι. τοῦ δ' ἵνα μὴ φονευθῶσι. καὶ τὸ περιέρχεσθαι. ὡς τό, ἠέλιος μέσον οὐρανὸν ἀμφιβεβήκει. ὁμοίως δὲ καὶ Εὐριπίδης, ἐν τῷ, Πολὺν ταραγμὸν ἀμφιβαίνοντα εἶχον μάχης. ἤγουν ἀμφοτέρωθεν βαίνοντα. Ἀμφίβια ζῶα, τὰ ἐπὶ τῆς χέρσου καὶ ὕδατος, ὁμοίως διατελοῦντα. καὶ ἀμφίβιον, τὸ ἐν γῇ καὶ ὑγρᾷ ζῆν δυνάμενον. Ἀμφὶ βίην, περὶ τὴν δύναμιν. Ἀμφίβλημα, ἐπιβόλαιον. Ἀμφίβληστρον, τὸ δίκτυον, ἀπὸ τοῦ ἀμφοτέρωθεν βάλλειν. ἢ παρὰ τὸ βάλλω βαλῶ βαλοῦσι, βλῆτρον, καὶ μετὰ τοῦ ἀμφὶ πλεονασμῷ τοῦ σ ἀμφίβληστρον.

Ἀμφιβολεῖς, ἁλιεῖς. Ἀμφιβολία ἐστί, λέξις, ἢ λόγος, δύο ἢ πλείονα πράγματα δηλοῦσα. λέξις δὲ εἴρηται, ὅτι αἱ ὁμωνυμίαι ἀμφίβολοί εἰσιν. οἷον, Αἴας ἄλλον ὁπότερος τῶν Αἰάντων δηλοῦται. λόγος δέ, οἷον ἅρματα δ' ἐκλιναν πρὸς ἐνώπια παμφανόωντα. καὶ δότε μ' ἵππους τὸν δ' ἐλθεῖν, καὶ ἐς ὅρμον ἐγχείῃ ἐλθεῖν. Ἀμφίβολος τὴν ὄψιν, καὶ οὐκ ἂν διακρίνας, εἴτ' ἔφηβος ἐστίν, εἴτε καὶ παρθένος. καὶ ἀμφίβολος τὴν γνώμην, καὶ ἀμφίβολοι παρὰ Ἀρριανῷ ἐν ἑτέροις. οἱ ἀμφοτέρωθεν βαλλόμενοι. ἢ οἱ πανταχόθεν βαλλόμενοι, ἢ ἀπορούμενοι, ἢ διαφόροις συνεχόμενοι λογισμοῖς. Ἀμφιβράχιον, τῶν περὶ τὰ παρίσθμια κειμένων χωρίων, παρὰ τῷ Ἱπποκράτει. Ἀμφίβραχυς, ὁ ἐκ βραχείας καὶ μακρᾶς καὶ βραχείας, τετράχρονος. οἷον, σιληνός, στρηνός, βοηθός. καλεῖται δὲ ἀμφίβραχυς, διὰ ἑκατέρωθεν δύο βραχείας ἔχει. Ἀμφιβρότη ἀσπίς, ἡ ἀμφὶ τὸν βροτὸν ἄνθρωπον. ἢ ἡ σκέπουσα ὅλον τὸν ἄνθρωπον. Ἀμφίβροχος, πανταχόθεν βεβρεγμένος, τουτέστι μεθύων. Ἡ δὲ μέθυ βλύζων ἀμφίβροχος εἵματα Βάκχου. Ἀμφιβώτας, περιβόητος, ὁ ἐν κινάρῳ. Ἀμφὶ γάμον παρ' Ὁμήρῳ, ἤγουν περὶ γάμου. κατηγόρημα ἔχει τῆς ἀμφὶ πρόθεσιν συντεταγμένης δοτικῇ. Ἀμφιγένεια, παρὰ τοῖς καὶ οὐδετέρως λέγεται, τὸ ἀμφιγένειον. ὁ πολίτης αὐτῆς, ἀμφιγενειάτης, καὶ ἀμφιγενειεύς. εἶχε δὲ Λητοῦς ἱερόν. ἐκεῖ φασὶν ἐκεῖ Λητὼ παραγινομένην, τεκεῖν Ἀπόλλωνα. Ἀμφιγένης, ἄξιος. Ἀμφιγνοεῖν, ἀντὶ τοῦ ἀγνοεῖν, ἢ ἐνδοιάζειν περὶ τῆς γνώσεως. καὶ ἀμφιγνοεῖς, ἀμφισβητεῖς. καὶ ἀμφιγνοεῖν, τὸ μὴ ἀκριβῶς γινώσκειν. Ἀμφιγνοῶ κάλλιον, ἢ ἀμφιβάλλω. Πλάτων ἐν Γοργίᾳ, Ἀμφιγνοῶ μέν τι ὦ Πῶλε, ἐφ' ἑκάστου ὧν λέγεις.

Ἀμφίγονον ἱερόν, τὸν ἐκ προτέρας γυναικός. Ἀμφὶ γούνασι βάλλειν χεῖρας, περίφρασίς ἐστι τοῦ γονυπετεῖν. Ἀμφίγυα ἔγχη λέγει Ὅμηρος, ἢ τὰ ἀμφοτέρωθεν ἐκάγοντα γόον, ἀπό τε τῆς ἐμπροσθεν αἰχμῆς, καὶ τοῦ ἐν τῷ πέρατι σιδηροῦ σαυρωτῆρος. ὡς οἶον ἀμφίγυα, καὶ αἰολικῶς ἀμφίγυα. ἢ τὰ ἀμφοτέρωθεν γυῶσαι, ἤγουν βλάψαι δυνάμενα. ὡς ἀμφίκομα, ἢ τὰ ἀμφοτέρωθεν ἰσχυρὰ καὶ στερεά, παρὰ τὰ γυῖα. ὁ γὰρ χεῖρον δηλοῖ, ὡς εἴρηται ἀλλαχοῦ. γυῖα γὰρ ἐστιν ἀπὸ τοῦ δόρατος ὁ πρὸς τοῖς ἄκροις ἐπερχόμενος σίδηρος. τὰ μὲν τοίνυν σύμμαχα οὐκ ἀμφίγυα κατὰ τοὺς παλαιούς, ἀλλὰ κατὰ τὸ μόνον μέρος ἐκεκόλλητο, χαλκὸν μὴ ἔχοντα σαυρωτῆρα. ἄλλοι δὲ ἀμφίγυα εἶπον, τὰ ἀμφοτέροις γυίοις, ὅ ἐστι χερσίν ἀμφοῖν, τοῖς τῶν πολεμίων ἐπιφερόμενα σώμασιν. Ἀμφιγυήεις λέγεται ὁ χωλός. ὁ ἀμφοτέρων δηλαδὴ τῶν γυίων, ἤγουν τῶν ποδῶν πεπηρωμένος. γίνεται οὖν ἀμφιγυήεις, καὶ τροπῇ τοῦ ε εἰς η, ἀμφιγυήεις. ὥσπερ χάρις χαρίεις, τιμὴ τιμήεις, αἴγλη αἰγλήεις. γυῖα, αἱ χεῖρες καὶ οἱ πόδες. ἀφ' οὗ γυοῦν, τὸ τὰ σκέλη βλάπτειν. καὶ ἀμφιγυήεις ἐκεῖνον τὸν κυλλοπόδα. ἤγουν ὁ βεβλαμμένος τοὺς πόδας, καὶ χωλὸς ὀνομάζεται δὲ τοῦτο παρὰ τὸ ὀνομάζει καὶ τὸ παρ' ἡμῖν πῦρ, καὶ ὁ ἐπιστάτης τῶν διὰ τοῦ πυρὸς ἐπιτελουμένων τεχνῶν. τὸ μέν, ὡς ἄνω τε τῶν ξύλων παραβαίνειν οὐ δυνάμενον παραμένειν. ὥσπερ ὁ βεβλαμμένος τοὺς πόδας, οὐκ ἂν κινεῖσθαι μὴ ὄντος ξύλου τοῦ στηρίζοντος. ὁ δέ, ὡς ἐπιστάτης καὶ ἔφορος αὐτοῦ τούτου τοῦ πυρός, καθὰ εἴρηται συμβολικῶς ὀνομαζομένου, καὶ ἀμφιγυήεις, ἤγουν ἀμφοτέρους τοὺς πόδας γυιός, ἤγουν χωλός. τοῦτο γὰρ ὁ ἀμφιγυήεις δηλοῖ. ἀμφοτέρωθεν γὰρ σκάζει μὴ ἔχων ὕλην τὴν ὑπερείδουσαν. οἷον, κάτω μὲν ξύλα, καὶ εἴ τι ἄλλο ἐξάπτεται γαῖον. ἄνω δέ, τὴν ξηρὰν καὶ καπνώδη ἐκ γῆς ἀναθυμίασιν. Ἀμφιγυῶσαι, ἀκροτηριάσαι, ἢ ἑκατέρωθεν εἰς τὸν πόδα. Ἀμφὶ γυναικί, περὶ γυναικός. Ἀμφιδεξιὸς, ἡ ἀμφοτέρωθεν κόπτουσα μάχαιρα. Ἀμφιδάσεια αἰγίς, ἡ ἐξ ἑκατέρου μέρους κροσσοὺς ἔχουσα, ἢ κύκλοθεν δασεῖα. ἢ μυθικῶς μέν, ἡ ἀμφοτέρωθεν ἢ πάντοθεν δασεῖα. οἷα τις στρογγύλη. διὸ καὶ θυσανόεσσα ἡ αὐτή. ἀλληγορικῶς δὲ διὰ τὴν ἐν τοῖς ἄνω τόποις πυκνότητα τῆς τῶν κατὰ Δία, ὅτε τῶν ἀγρίων αἰγίδων συνάσεως, ὅτε ποτὲ γίνοιτο. ὁ δὲ τόνος, ὡς τὸ ἐπισκιάσουσα. Ἀμφίδια, ψέλλια, βραχιόνια. Ἀμφιδέας, ἁλύσεις, κρίκους, παρ' Ἡροδότῳ. οἱ δὲ ψέλλια, ἢ περισκελίδας, ἢ δακτυλίους. Ἀμφιδήριτον. Ὅμηρος, Πόλεμός τι ἄνευ τοῦδ' ἀμφιδήριτον, ἤγουν ἀνάκρισις. ἐξ οὗ ῥήματος καὶ δῆρις καὶ δῆρις, ἡ μάχη, ὅ ἐστι πόλεμος. ἀμφιδῆριν ἐμφατικώτερον τοῦ συνίσταται, ἐπὶ τοῦ ἐγγύτερος, καὶ τοῦ συνέρχεται, ἢ συνέρχονται, καὶ τῶν ὁμοίων δηθέν. ἐκ τοῦ ἐμάχοντο δῖμας πυρός, ἤγουν, ὡς πῦρ δαιόμενον δηλαδή. ἐξ οὗ καὶ τὸ μάχη δῖ' ἀτε, καὶ πῦρ δήϊον, ἢ ἐσβέσθη, διηγεῖται. Ἀμφιδινεῖται, ἀντὶ τοῦ κύκλῳ περιθεῖται. Ἀμφιδρυμάτα, ἡ μετὰ εἰκάδα ἡμέρα. παρὰ ἁρπάσειν. Ἀμφιδέξιον, τὴν ἑκατέροις μέρεσι τῆς μήτρας, ἄρρεν καὶ θῆλυ γεννᾶν δυναμένην ἴσμεν. Ἀμφιδέξιος, τουτέστιν, ἀμφοτεροδέξιος. εὕρηται καὶ περιδέξιος, παρὰ τῷ ποιητῇ. τουτέστιν ὑπερδέξιος, κατὰ τοὺς παλαιούς. δῆλον δέ, ὅτι ὥσπερ ἀμφιδέξιος, οὕτω καὶ ἀμφαρίστερος παρὰ τοῖς παλαιοῖς, ὁ ἐναντίος τῷ ἀμφιδεξίῳ. ὅτι δὲ ἀγαθὰ καὶ ἐνοιώνιστα παρὰ τοῖς παλαιοῖς τὰ δεξιὰ ἐκρίνοντο, οὐ τοιαῦτα δὲ τὰ λαιά, ἔκ τε τοῦ οἰωνοσκοπικοῦ δῆλον, καὶ τοῦ ἐπαρίστερον. Ἀμφιδιαφάγαινον, ξύλον τι πολύσεμνον, κολόκυνθα καλούμενον. Ἀμφὶ δ' ἦν, περὶ δὲ τὰ πλοῖα. Ἀμφὶ δέ, περὶ δέ. Ἀμφιδήριτον, ἰσοπάλαιον, ἀμφίδοξον. συνέβη γενέσθαι τὴν μάχην ἀμφιδήριτον. Ἀμφιδινέω, περιδινέω. Ἀμφιδικαστός, ἀμφισβητήσιμος. Ἀμφιδέτιοι, ὡς κρίκοι διάκενοι, παρὰ Δημοκρίτῳ. Ἀμφιδέδυσθαι, ἀποδύσασθαι. Ἀμφιδέδυμεν, διπλοῦν. ἢ τὸ ἔχον κατάδυσιν καὶ σκέπην. Ἀμφίδοξοι μῦθοι, οἱ διχογνωμονούμενοι. καὶ ἀμφίδοξον, ἀμφίβολον. Ἀμφίδουλος λέγεται παρὰ τοῖς παλαιοῖς, ὁ ἐξ ἀμφοτέρων γονέων δοῦλος. Ἀμφίδοχμοι, λίθοι μέγεθος ἔχοντες. Ἀμφιδράνης, ἱμάτιον διαπρέπον ἐν τῷ πεποικίλθαι, τὴν αὐτὴν ἔχον ἐπιφάνειαν. Ἀμφιδρόμια. δοκεῖ περὶ τῆς ἀμβλώσεως, εἰ γνήσιος ὁ λόγος. Ἡμέρα τις, ἐν ᾗ

φανής. Ἀμφαρίστερος, οὐκ αἴσιος, οὐ δεξιός, ἀμφοτέρωθεν σκαιός. Ἀμφῆμινα, δίκελλα. λάκωνες. Ἀμφασία, ἀφωνία, ἀλαλία, ἀγνωσία. Ἀμφασμα, ψαιστὰ, οἴνῳ καὶ ἐλαίῳ βεβρεγμένα ἐν θυσίαις. συρακούσιοι. Ἀμφαυγῆ, ἀμφιλάμπη.

Ἀμφαῦον, περιέχον. Ἀμφ' αὐτούς, ἐπ' αὐτούς, περὶ αὐτούς. Ἀμφαφάασθαι, τὸ μεταχειρίζεσθαι. παρὰ τὴν ἁφήν. ἀφ' οὗ καὶ τὸ, ὅσσα ἀμφαφόων, ὅ ἐστι ψηλαφῶν τῇ χειρί. Ἀμφαφόων, ψηλαφῶν. Ὅμηρος, κοῖλον λόχον ἀμφαφόων. Ἀμφαφόειν, ψηλαφᾶν. Ἀμφαφόωντα, διὰ χειρὸς ἔχοντα, ἢ περιψηλαφῶντα. Ἀμφιέσο, περιέσο. Ἀμφ' εἰκάς, ἢ περὶ εἰκάδα. Ἀμφεκάλυψε, περιεσκέπασε, περιέσχεν. ὃ πρὸς τὰς ἱερατικὰς ὁμοιότητας, καθ' ὃ καὶ ὁ ἔρως τῆς ψυχῆς κλίνει ζοφοῖ, ἢ ἐκ δικτύων μετῆκται. ἃ κατακρυπτευθέντα, καλύπτεται τὰ ἁλισκόμενα. ἢ καὶ ἄλλως, ἁπλῶς μετωνόμασται, ἐκ τοῦ ἀποδύειν κρυπτόντων τὸ καλυπτόμενον, ἢ καὶ ἀφανιζόντων τέλεον. Ἀμφίκτιον, περιβόλαιον. Ἀμφιλλαίς, μάζα ἐλαίου πλήρης. Ἀμφιλάβοσα, περιγείρασα, κινήσασα. Ἀμφιλύχαιναι, περιέσκαπτε, περιέσκαλλε, περιώρυσσεν. Ἀμφ' ἑλένῃ, τὸ ἀμφὶ πρόθεσιν δοτικῇ συντάξιν, ὥσπερ εἶχεν ἐπὶ τῇ ἑλένῃ καὶ τοῖς κτήμασιν. ἢ ἐπιρρηματικῶς, περὶ ἑλένης καὶ κτημάτων. Ἀμφίμενον, τὸ ἐν μάχαις καὶ πολεμίαις ὑφίστασθαι, καὶ μεγαλοψυχεῖν. λάκωνες.

Ἀμφινόμου, ἑκατέρωσεν, ἐλαύνειν. Ἀμφίξει, ἤγουν ἐνδύσει. ἐκ τοῦ ἀμπέχω, ἀμφέξω, ἀμφέξομαι. Ἀμφιεῖν, ἐνδύσαι.

Ἀμφίπαι, περίπαις, ὀρφανοί, πάντα ἄλλως. Ἀμφιπίνουσα παρ' Ὁμήρῳ, ἀντὶ τοῦ στέργειν, ἀσπάζεσθαι, ἥδιον, ὑπερέχειν.

Ἀμφίπλεον, περίπλεον. Ἀμφιπονεῖσθαι. οἷον, ἐν μεγάρῳ ἑκάτερος πανοίκιος ἀμφιπονεῖτο. ἀντὶ τοῦ, διέπειν. Ἀμφιπελᾶν, περιπελᾶν. Ἀμφιπολεῖν, ἤγουν περιέρχεσθαι. Θεράποντος, χ' ὡς ἱερὸς ἀμφιπονεῖν. Ἀμφὶς αὐτοῦ, τουτέστι περὶ αὐτὸν ἐκεῖνον. παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας ε', ἤδη περὶ τὴν Ὀδυσσεία. ἴσως δὲ καὶ περὶ τὴν ναῦν, ὥσπερ καὶ τὴν πενταέτηρον βοῦν ἀμφίεπον. Ἀμφιπετᾶν. ἔχει τι ἄπορον ἐπὶ τῇ γραφῇ τῆς παραληγούσης. εἰ γὰρ πίτω ἐστὶ τὸ πίτνημι, καὶ ἐξ αὐτοῦ πῶς ὁ πιτνάμενος, ὡς δῆλον ἐκ τοῦ ποτὲ θηλυκοῦ ἐν ὀδυσσείας, διατί μὴ τὸ κατὰ ῥῆμα, καὶ τὰ ἐξ αὐτοῦ μηκύνουσι τὴν πρὸ συλλαβῶν, κατὰ τὸ τρέχω, τροχός, ψυχῶ, καὶ τὰ ὅμοια; δῆλον δὲ ὅτι ταῦτα ἡ σύνθεσις. τὸ γὰρ ἁπλοῦν ποτῶ ἐκτείνει ἐστὶν ὅτι τῶν λήγει. ὡς δῆλον ἐκ τοῦ λίθοι ποτῶνται θαμιναί. Ἀμφίρυτος, ἀμφίρρυτος. Ἀμφιρραγῆ, πάντοθεν περιερρηγμένον. Ἀμφίσχετο, περιεβάλετο. Ἀμφιστρατόωντο, περιεστρατοπεδεύοντο. Ἀμφίχανε, κατέπιεν. τοὺς δ' ὁ μέλας ἀμφίχανε θάνατος. ἢ περιεκάλυψεν.

Ἀμφίχυτον, περιχυτόν. ἀπὸ τοῦ ἀμφὶ προθέσεως, καὶ τοῦ χέω ῥήματος. τὸ παράγωγον, χῦμα. τὸ παθητικὸν χῦμαι. ὁ παρατατικὸς ἐχύμην ἐχύθη ἐχυτ, καὶ ἀμφίχυτον. Ἀμφιωρία, περιεσπασμένη. Ἀμφήκης, δίστομον ἀμφοτέρωθεν ἠκονημένον, ἀπὸ τοῦ ἀκὴ τὸ ἔρχομαι, ἥκης, καὶ ἀμφήκης. ἐξ οὗ τὸ οὐδέτερον, ἀμφῆκες. ἀπὸ τοῦ ἀμφήκης εὐθείας. Ἀμφήλυθεν, ἀπῆλθεν.

Ἀμφίμφορον, τὸν ἀμφιμφορέον περιττόν. Ἀμφιλύ, αὐχλιν, φέγγος. Ἀμφήρεις νηῦς, ἀμφοτέρωθεν ἐρεσσόμενος.

Ἀμφηρεφὴς, ἀμφίκυρτος, πλήρης. καὶ ἀμφηρεφέα ἀμφορεῖ, τῶν ἀμφοτέρωθεν ὀροφωμένων, ὅ ἐστιν ἐσκεπασμένων, ἢ τῶν κύκλῳ περιφερομένων. περὶ φαρέτρας, δεῖ οὐ μόνον ὡς τὸ ἐρέφειν ἐπὶ φαρέτρας τιθέναι, μεταγαγὼν ἀπὸ τῶν οἰκοδομημάτων γέγονε, ἐφ' ὧν κυρίως τὸ ἐρέφειν καὶ ὁ ὄροφος λέγεται, ἀλλὰ καὶ ὅτι οὐκ εἴθισται τὸ ἀμφηρεφὲς ἐπὶ οἴκου λέγεσθαι, εἰ καὶ ἀπὸ τοῦ ἐρέφειν γίνεται, ἀλλὰ ἀποκεκλήρωται ἡ λέξις μόνη τῇ θήκῃ τῶν οἰστῶν, διὰ τὸ φέρειν τὰ βέλη δυνάμενα. ὥσπερ ὁ γωρυτὸς παρὰ τὸ τόξον, διὰ τὸ χωρεῖν τὸ ῥυτὸν, ὅ ἐστι τὸ βέλος ἑλκυστόν. ἐοίκασι δὲ οὐ μικραὶ ὅπως παλαιοῖς αἱ φαρέτραι εἶναι, οὐδὲ ἡ οἰστοδόχος ἔχειν, ἀλλὰ ὅλους αὐτοὺς ἔσω στέγειν. καὶ δῆλον, ἐκ τοῦ ὅπως ἀμφηρεφέα φαρέτραν εἰπεῖν τὸν Ὅμηρον. Ἀμφήρης αὐλός, ὁ ἑκατέρας χεῖρας συγκατακείμενος, ἢ σύμφυτος. καὶ σῆμα ἀμφήρως ὁμοίως, τὸ ἀμφοτέραις γνάθοις ἐσθίον. Ἀμφήρικον, ἀκάτιον λυρικόν, ἐν ᾧ εἰσελαύνουσι δύο κῶπαι. Ἀμφήριστον, τὸ ἐξ ἀμφοτέρων ἐριστόν, ἐπίμαχον, ἄνισον, ἀμφίβολον, ἐπιφιλόνεικον. Ἀμφῆς, οἶνος ἀστεῖος. οἱ δὲ μέλανα οἶνον. Ἀμφὶ ῥέεθρα. περὶ τὰ ῥεῖθρα.

Ἀμφὶ πρίαμον, καὶ ἀμφὶ μενέλαον, καὶ ἀμφὶ ἀγαμέμνονα, καὶ τὰ τοιαῦτα, Ὅμηρος κεῖται ἀντὶ τοῦ, ὁ πρίαμος, καὶ ὁ μενέλαος, καὶ ὁ ἀγαμέμνων. ὥσπερ ἐν τῷ γ' τῆς ἰλιάδος φαίνεται, Ἀμφὶ πρίαμον, καὶ τὰ λοιπά. ἤγουν ὁ πρίαμος, καὶ ὁ πάνθοος, καὶ ὁ θυμοίτης, καὶ ὁ λάμπος, καὶ ὁ κλυτίος, καὶ ἱκετάων, ἐκάθηντο ἐν τοῖς πύργοις. καὶ ἀμφὶ παιδὶ βάλε πήχεε, ἀντὶ τοῦ ἀμφέβαλεν ἤδη τοῖς πήχεσι. καὶ ἀμφὶ περὶ κρήνην, αἱ δύο προθέσεις τῶν περὶ τὴν αὐτὴν τάξιν συναγωγὴν ὁμοῦ δηλοῦσι πάντες τὸ τῆς.

Ἀμφιάλῳ, τῇ ὑπὸ θαλάσσης περιεχομένῃ, πάντοθεν. Ἀμφιάνακτα, ἀρχὴ νόμου κιθαρῳδικοῦ. Ἀμφιανακτίζειν, τὸ προοιμιάζειν, κατὰ Τερπάνδρον, οἷον, ἀμφί μοι αὖθις ἄνακτα. ἢ καὶ ὡς Ἀριστοφάνης νεφέλαις, ἀμφί μοι αὖτε φοῖβε ἄναξ δήλιε. ἀμφιάνακτας ἔλεγον, καὶ τοὺς διθυραμβοποιούς. συνεχῶς γὰρ ἐχρῶντο ταύτῃ ἐχούσῃ τῇ λέξει. ἢ ἀμφιανακτίζειν, τὸ ᾄδειν κατὰ τὸν τερπάνδρειον νόμον, τὸν καλούμενον ὄρθιον. ἦν γὰρ αὐτῷ προοίμιον, ταύτην ἔχον τὴν ἀρχὴν, ἀμφί μοι αὖτ' ἄναχθ' ἑκατηβόλον ἀειδέτω φρήν. Ἀμφιάραον φιλεῖν ὁ Ζεὺς λέγεται, ὡς βασιλικὸν ἄνδρα, καὶ διὰ τοῦτο διογενῆ καὶ διοτρεφῆ. ἀπόλλων δὲ, ὡς μάντιν. Ἀμφίας, μέτριος οἶνος. Νικόστρατος οἰνοπώλῃ, καὶ Σωκράτης. Ἀμφίασιν, σκέπην. Ἀμφίασμα, ἔνδυμα.

Ἀμφὶ αὐτὴν ἕποντο, ἀντὶ τοῦ ἀμφηκολούθεον, ἢ ἀντὶ τοῦ ἀμφίεπον, ὅ ἐστι ταυτὴν τῷ ἀμφιεκίνουν. καὶ ἀλλαχοῦ Ὅμηρος, ἀμφ' Ὀδυσσῆα τρῶες ἕπον, ἤγουν ἀμφεῖπον ἐκεῖνον. Ἀφιαχυῖαν, ἀμφιαχυῖα. ἐκ τοῦ ἐκπεπληγμένα φωνή, ἀπὸ τοῦ ἰαχέω ἰαχῶ ἰαχοῦσα. ἰαχήσω μέλλων, ἴαχεν δεύτερος ἀόριστος, ὡς ἔλακον. ἴαχα μέσος παρακείμενος. ἀφ' οὗ ἰαχυῖα, καὶ μετὰ τοῦ ἀμφὶ ἀμφιαχυῖα, παρ' Ὁμήρῳ. ἤγουν ὀδυρομένη περὶ τῶν τέκνων, ἢ κραυγάζουσα, ἢ βοῶσα. Ἀμφίβασις, ὑπερμάχησις. κυρίως ἡ περὶ τοῦ νεκροῦ μάχη. Ἀμφιβαίνειν παρ' Ὁμήρῳ, ὡς ἐπὶ πολὺ τὸ σκέπειν, καὶ περιέχειν σημαίνει. ὡς ὅτι λέων ἀμφιβαίνει τοῖς σκύμνοις λέγεται, ἢ κύων τοῖς σκυλακίοις. οὕτω καὶ ἐν μάχῃ νεκροῦ, ὡς ἀμφιβαίνει ὑπερμαχῶν ἐκείνου. ἀμφιβαίνειν, καὶ περιβαίνειν τισὶ, ταυτά. φυλακὴν ἢ σκέπην δηλοῦσι συμμαχικήν. ἐν ἀμφιβαίνειν, τὸ ὑπερμαχεῖν τοῦ κειμένου. Ἀμφίβαιος, ὁ ποσειδῶν, παρὰ κυρηναίοις. Ἀμφιβαλοῦμαι, καθοπλισθήσομαι. Ἀμφιβάλλεσθαι, περιθέσθαι. Ἀμφιβάλλω, καὶ διχάζω, καὶ ἐνδοιάζω, περὶ τοῦ δι. καὶ ἀμφιβάλλειν, τὸ μὴ ἐφ' ἓν σκοπὸν βάλλειν τὸν λογισμὸν, ἀλλὰ ἐπὶ δύο, ἀφ' οὗ ἀμφίβολος, ὁ ἐν διπλῇ γνώμῃ κείμενος. καὶ ἀμφιβολία, ἡ διπλῆ γνώμη. καὶ ἀμφιβάλλειν, οὐ μόνον τὸ ἐνδοιάζειν, ἤγουν ἀμφοτέρωσε ῥίπτειν τὸν νοῦν, ἀλλὰ καὶ τὸ ἑκατέρωθεν βάλλειν, ὡς δῆλον ἐκ τοῦ ἀμφίβολον. ὃ τὸ ἀμφοτέρωθεν βαλλόμενον σημαίνει. δηλοῖ γοῦν καὶ τὸ περιβάλλειν, ἤγουν κυκλοῦν. ὅθεν καὶ ἀμφίβληστρον, τὸ ἀμφιβάλλειν, καὶ ἀμφιβαίνειν, καὶ ἀμφιλαφῶς ἔχειν, ἀμφὶς φράζεσθαι λέγει. οὕτω δὲ χρονικὸν καὶ τὸ ἀμφὶς φρονέοντι. σημαίνει δὲ ποτὲ ἡ λέξις, καὶ τὸ ἐκτός. οἷον ἀμφὶς ὁδοῦ δραμέτην. ἔτι δὲ καὶ τὸ ἀμφοτέρως, ὡς τὸ ἀμφίγυλα ἀμφίς. ἰστέον δὲ, ὅτι καθάπερ ἀπὸ τῆς εἰς προθέσεως, καὶ τῆς ἐξ, καὶ τῆς πρὸς, καὶ τῆς ἀνὰ καὶ μετὰ, γίνεται ἐπιρρήματα, τὸ εἴσω, τὸ ἔξω, τὸ πρόσω, ἀφ' οὗ τὸ πόρρω. τὸ ἄνω, τὸ κάτω. ἐν ἐκ τοῦ περὶ, τὸ πέριξ, ὅθεν τὸ ἀμφὶξ κατὰ συγκοπήν. καὶ ἐκ τοῦ ἀπὸ, τὸ ἄπω. οὕτω καὶ τὸ ἀμφὶς, ἐκ τοῦ ἀμφί. ἐν τῷ ἀμφὶ λαμβανομένης ἀντὶ τῆς περί. οἷον ἀμφ' ἀγαθὸν θεράποντα. ἢ ἀντὶ τῆς ἐν. οἷον

μὴ διαμένειν μετ'. ἄλλως. Ἄμοτον. ὡς τὸ, ἄμοτον μεμαῶτε μάχεσθαι. παρὰ τὸ μένω γίνεται μοτὸς, καὶ ἄμοτος. καὶ ἄμοτον, ἀντὶ τοῦ μόνιμον. ἐπειδὴ τὸ α ἐπιτατικόν. ἢ μοτὰ λέγει τὰ ῥάκη, τὰ πληρωτικὰ τῶν ἑλκῶν. καὶ ἄμοτον κατὰ ἀπόφασιν, τὸ μὴ πεπληρωμένον. ἀπὸ μεταφορᾶς τῶν μὴ πεπληρωμένων τραυμάτων, τουτέστι, μοτῶν. οὕτω μὲν Ὠρίων. ἐγὼ δὲ εὗρον ἐν ὑπομνήμασιν Ἰλιάδος, ὅτι ἄμοτον λέγεται τὸ ἀπλήρωτον, [illegible] ἀπὸ τοῦ μοτοῦ, ἄμοτον, καὶ ὅμοτον. ἢ ἄπαυστον, ἄρρητον, ἰσχυρὸν, ἄπλειστον.

Ἀμοργοί, λαμπτῆρες. Ἄμοχθος. παρὰ τὸ μόχθος, ἄμοχθος. σημαίνει δὲ τὸν μὴ κεκοπιακότα. Ἀμόωδον, ἀγγεῖον [illegible]. Ἀμόσορος, ἄπειρος. Ἀμπαιανίσαι, ἀναπαῦσαι. Ἀμπαιδλάσ, οἱ τῶν παίδων ἐπιμελούμενοι, παρὰ λάκωσιν.

Ἀμπαλίνορρον, τὸ ἀνακάμψαι πάλιν τὴν αὐτὴν ὁδόν. Ἀμπαλίνορρος, ὁ τὴν αὐτὴν ὁδὸν ἀναστρέφων. [illegible] Ἀμπαῦσαι, παῦσαι. λάκωνες. Ἀμπελόν, [illegible]. Ἀμπαυλις, ἡ τὰ πράγματα φέρουσα. Ἄμπασμα, ἀνάπνευμα, ἢ κατὰ συγκοπὴν ὄμπνευμα. καὶ ἀμπνύνθη, ἀπὸ τοῦ ἀναπνέω, ἀνέπνευσα, ἀνέπνευμαι, ἀνεπνεύσθη. καὶ πλεονασμῷ τοῦ ν, ἀμπνύνθη, ὡς τὸ ἀρτύνθη. Ἀμπαυστὴς, ἀναπαυστής. Ὁ δὲ ἀμπαυστὴς αὐτὸς, ὅθεν τῶν πεζῶν φυλακῶν [illegible]. Ἀμπάζονται, ἀναπαύονται. Ἀμπελίων, [illegible]. Ἀμπέλιον, κατὰ τὸ πέλιον. Ἀμπελίας, ἀμπελίδα. φυτὸν καὶ οὕτω κατὰ [illegible] τὸ ἀμπέλιον. Ἀμπελόεσσαν, ἀμπέλους ἔχουσαν. καὶ ἀμπελόεσσαν φρυγίαν καλεῖ Ὅμηρος, [illegible] ὡς οἴνοις οὖσαν. ὅ ἐστιν τὴν κατὰ ἄμπελον εὐφοροῦσαν. φρυγίαν γὰρ [illegible] ἐν τῇ ἰλιάδι καὶ οἱ παλαιοὶ νοοῦσιν, τὴν μεγάλην, τὴν παρὰ [illegible] γῆν, οὐ τὴν μικράν. [illegible] Ἄμπελον, ὁ καρπὸς, βότρυς, σταφυλὴ, γίγαρτα, οἱ ἐν ταῖς ῥαξὶ κόκκοι. εἴρηται δὲ τὸ φύλλον τῶν κλημάτων, [illegible] σταφυλήν. καὶ ἀσκαφίδες, αἱ [illegible]. οἶνος, ὁ μὲν νέος, λέγεται γλεῦκος. ὁ δὲ καλὸς [illegible] καὶ παλαιὸς, ἀνθοσμίας. ὁ δὲ [illegible], ἐκτροπίας καλεῖται, καὶ ὄξινος. Ἀμπελών, ὁ ἀμπελόφυτος τόπος. [illegible] Ἄμπελος, παρὰ τὸ [illegible] ὁ μὴ ἔχων ἐν ἑαυτῇ τὴν [illegible], ἤγουν [illegible]. ἢ παρὰ τὸ πάλλειν [illegible]. Ἀμπέλιος βότρυς, ὁ τῆς ἀμπέλου. [illegible] Ἄμπελος, ἡ [illegible], καὶ ἄκρα μυκάλης, ἤγουν ὄρους. [illegible] δὲ, αἰγιαλός, καὶ πόλις θρᾴκης, καὶ ἡ ἄμπελος. Ἄμπερον, τὸ χοινίον τὸ ἕλκον τὴν βοῦν. Ἀμπερίως, διαμπάξ.

Ἀμπεπαλὼν, διασείσας, κραδάνας. Ἢ ῥα καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος. ἀντὶ τοῦ ἀνασείσας, [illegible], διπλασιασμὸς μετὰ τῆς δευτέρας ἀορίστου. τὸ ῥῆμα ἀναπάλλω. οἱ γὰρ ἴωνες ἐν τοῖς ῥήμασι καὶ ταῖς μετοχαῖς ἀναδιπλασιάζουσιν. οἷον, λάχωσι, λελάχωσι, λελάθη. Ἀμπέσαι, ἀμφιέσαι. [illegible] Ἀμπέταλον, ἀνακάλυμμα. Ἀμπέχειν, ὅμοιον τῷ περιέχειν, [illegible] ἀμφέχειν. [illegible] ἀμπέχειν, καὶ ἡ ἀμπεχόνη, καὶ τὸ ἀμπέχονον. [illegible] ἀντὶ τοῦ [illegible], ὁ [illegible].

Ἀμπεχόνη, ἔνδυμα, ἀπὸ τοῦ ἀμπέχειν. Ἀμπέχονον, [illegible] περίβλημα. Ἀμπίχει, [illegible]. Ἀμπεχόνη, καὶ ἀμπεχόνιον, λεπτὸν ἱμάτιον, [illegible]. Ἀμπεχόμενος, περιβαλλόμενος. καὶ ἀμπίσχω, ἀντὶ τοῦ περιβάλλεσθαι.

Ἀμπίσχω, [illegible]. Ἀμπισχίω, [illegible]. Ἄμπεζος, [illegible]. Ἀμπέραντος, διαπέραντος, [illegible]. Ἀμπελίδιον, [illegible]. Ἄμπορον, [illegible]. Ἀμπιέστης, [illegible]. Ἀμπισάζω, [illegible]. Ἀμπέχειν, περιβάλλειν.

Ἀμπεχόμενον, περιβαλλόμενον. Ἀμπλακεῖν, ἁμαρτεῖν.

Ἀμπλάκημα, ἁμάρτημα. ἐκ τοῦ πλέκω πλακῶ, πλάκημα, καὶ ἀμπλάκημα. ἢ παρὰ τὸ ἀναπλέκεσθαι ἡμᾶς. Ἀμπλακήμασιν, ἁμαρτήμασιν. Ἀμπλακεῖν, ἀποτυχεῖν, ἁμαρτεῖν. Ἄμπνευσις, ἀνάψυξις. Ἀμπνοῆς, ἀντὶ τοῦ ἀναπνοῆς. Ἀμπνύνθη, προπαροξύτονον ἔχει τὸ πνύω. ἐξ οὗ καὶ ὁ πεπνυμένος. [illegible] ἔχει τὸ πνύω. ἐπειδὴ, ὡς τὸ θύω, ῥύω, ῥέω, οὕτω [illegible] πνύω. ἐξ οὗ κατὰ πλεονασμὸν, καὶ τὸ πινύω. ὅθεν καὶ πινυτὸς, ὁ συνετός. ἐκ δὲ τοῦ πινύω κλίνεται τὸ πινύσω, ὅ ἐστι συνετίζω, καὶ μετὰ τοῦ στερητικοῦ α, ἀπινύσσειν, τὸ ἀσυνετεῖν, ὅτι ἀφραίνειν. ἀμπνύνθη, ἀπὸ τοῦ ἀναπνύω, ἀναπνύσω, ἀνέπνυκα, ἀνέπνυμαι, ἀνεπνύσθην, καὶ πλεονασμῷ τοῦ ν καὶ συγκοπῇ, ἀμπνύνθη, ὡς τὸ ἀρθύνθη. Ἄμπνυτο, [illegible], ἢ ἐς φρένα ὁ θυμὸς ἀγέρθη. ὁ [illegible] ἀναχθοῦ [illegible]. Ἀμποίχεσις, [illegible].

Ἀμπόνον. Ὁ μὲν αὖλις [illegible], ἀμπόνων [illegible]. σημαίνει τὸ ἐπὶ τὸν πόλεμον. Ἀμπυκαῖον, μακρόθεν. Ἀμπυάζουσιν, [illegible]. Ἄμπυρον, τὸ χοινίον τὸ ἕλκον τὰς βοῦς, ἢ τὸ ξύλον τὸ [illegible] τοῖς αὐχέσι τῶν [illegible]. ὁ ἄμπυρον, χοινίον, ὅπερ [illegible] τῶν ζυγῶν [illegible] ἢ χοινίον μεθ' οὗ [illegible], ὅτι παρακομίζειν [illegible] φορτία. Ἀμπυρεῖον, ὁ μὲν Καλλίμαχος κυρίως ἐπὶ τοῦ [illegible] τῶν [illegible] ἄμπυρον γὰρ τὸ χοινίον. ὁ δὲ [illegible], ἐπὶ τοῦ [illegible]. ἄλλοι δέ φασιν, ὅτι [illegible] κυρίως, τὸ μετὰ ἁμάξης [illegible]. Ἀμπυκάζειν, τὸ τὰς ἱμάσθλην ἀπὸ [illegible] τρίχας [illegible]. εἴρηται οὕτω καὶ ὁ τροχός. καὶ [illegible] δὲ, ἄμπυκα. Ἄμπυκα, κεφάλαιος κόσμος γυναικῶν. ὁ ἄμπυκες, τὰ διαδήματα, ἢ χαλινοί, ἢ τροχοί. οὕτω Σοφοκλῆς ἐν [illegible]. διὰ τὸ κυκλοτερές. Ἀμπυκτήρια, τὰ φάλαρα. Σοφοκλῆς Οἰδίποδι τῷ ἐπὶ κολωνῷ. Ἄμπυξ ἀρσενικῶς κατὰ τοὺς παλαιούς, διάδημα τι πρὸς ἀνάδεσιν τριχῶν, ὃς περὶ [illegible] οἱ παλαιοί [illegible]. ἡ δὲ τοιαύτη φράσις [illegible], διαγράφει τὴν ἄμπυκα. καὶ [illegible] ἀμπυκίζειν, τὸ τὰς [illegible] τρίχας [illegible]. [illegible] καὶ χρυσάμπυκες [illegible], διὰ τὸ δεῖσθαι [illegible] τὰς κορυφὰς τῶν τριχῶν. [illegible] χαλινῶσαι. καὶ ἄμπυξ, χαλινὸς, [illegible], κυκλοτερὴς, διάδημα, σφαῖρα. καὶ ὅτι ἄμπυκα διαδήματα, κατὰ μεταφοράν, καὶ ὅτι ἀμπυκίζειν διαδήματα, ἕως διὰ τὸ ἀμπέχειν τὰς τρίχας, ὥς φησι [illegible], ὁ καὶ ἀμπυκίζειν ἔλεγον. ἐκ μεταφορᾶς δέ φασι καὶ τροχὸς, διὰ τὸ κυκλοτερὴς εἶναι. Αὐλὸν δὲ καὶ ἡ κοινὴ γλῶσσα, [illegible] ἐπὶ τριχῶν λέγειν εἴωθεν. εὕρηται δὲ καὶ παρὰ τοῖς ἀρχαίοις, ὅτι [illegible], καὶ τὸ παραπλέκεται τὰς τρίχας σημαίνει. κεκρύφαλος δέ φασι, κόσμος τις περὶ τὴν κεφαλὴν, καὶ αὐτὸς λεγόμενος κεκρύφαλος. ἀναδέσμη δὲ, σειρά, ἣν [illegible] περὶ τοὺς κροτάφους ἀναδοῦσιν. ἢ ὅμοιος [illegible], κεφαλοδέσμιον γυναικεῖον. ὡς καὶ Ὅμηρος, ἄμπυκα, κεκρύφαλον, ἠδὲ πλεκτὴν ἀναδέσμην. καὶ ἄμπυξ ἐκαλεῖτο, [illegible], τὰς περὶ τὸ μέτωπον τῶν ἵππων τρίχας [illegible]. ἐξ ὧν καὶ οἱ τοῦ Ἄρεος ἵπποι, χρυσάμπυκες λέγονται.

Ἄμπωτις, ξηρασία, καὶ ἀνάπωσις. ὅταν ἀναδίδωσι τὸ ὕδωρ, καὶ πάλιν ἐπανέρχεται. τοῦτο δὲ γίνεται κατὰ Βρεττανίαν, καὶ τὴν περὶ τὰ Γάδειρα ἑσπερίαν θάλασσαν, καὶ εἰς τὴν [illegible] ἐκ τοῦ πῶ πώσω, πῶσις καὶ ἀνάπωσις, καὶ ἄμπωσις κατὰ συγκοπὴν, καὶ τροπῇ ἄμπωτις. ἢ ἄμπωτις, αἱ περὶ τὴν θάλασσαν ἀναφυγαί, καὶ διαστάσεις. Ἀμυγδαλῆ, παρὰ τὸ ἐν τῇ καλύφῃ, τὸ μετὰ τὸ ἔξω χλωρόν, πολλὰς ἀμυχὰς ἔχειν. [illegible] καὶ ἀμυγδαλῆ, τὸ δένδρον. ἀμυγδάλη δὲ, ὁ καρπός. Ἀμύγμασι, σχίσμασιν. Ἄμυγτον, τὸ μὴ μυσαρὸν, ἀλλ' ἁγνὸν, καὶ καθαρόν. οὕτω Σοφοκλῆς. Ἄμυμος, ἀγαθός, ἀμώμητος, ἄμεμπτος.

συνταγματος ὑπάρχει, ἀλλὰ χειρῶν καὶ αὐτὸς ἦν. Ἀμάξιτος, ὁδὸς ἁμαξιτή. Οὕτω καὶ ἀμάξιτος, ἀντὶ τοῦ ἁμαξευτὸς, ἁπλῶς φανερός. Ἀματαλίτα Ἀριστοφάνης, ὑπὸ τοῦ πλανηθέντος γαλακτώδους. ὡς τὸ, ἅματα προσίσχων ἡμῶν ποσί. Ἀματρέω, οἱ θερισταί, ἀπὸ τοῦ ἀμᾶν. Ἀμάτωρ, ὁ μὴ ἔχων, ἢ ὁ μὴ ἔχουσα μητέρα λέγεται. ὥσπερ ἡ ἀθηνᾶ. ὁ ἀκαχμένος, Σοφοκλῆς ἠλέκτρα. Ἀμαχανία, ἀπορία, λύπη. οὐ τὸ ἐναντίον πολυμηχανία.

Ἀμαχανέοντι, πολλοί. Ἀμάχανον ἄκαλλος, ἐπεὶ οὐ δυνατόν, ὡς τι μιμήσασθαι αὐτὸ ἴσα, οὐδὲ γὰρ μιμήσεως ἀφικέσθαι τόπῳ. ὁ ἀμήχανον, τὸ ἄπειρον λόγον, καὶ ἀνεπιχείρητον. ὁ ἀδύνατον.

Ἀμήχανος δύο σημαίνει. τόν, τι μὴ ἔχοντα μηχανήν, ἀλλὰ ἄπορον καὶ οὐ βαθὺν τὰς φρένας, καὶ τὸν δεινὸν καὶ δυσκατέργαστον, πρὸς ὃν οὐκ ἔστι μηχανήσασθαι. καὶ ἀμήχανος γυνή, ἡ ἐναντία τῇ πολυμηχάνῳ. τουτέστιν, ἀφιλὴς καὶ ἀπλεῖα, ἢ ἄλογος, ἢ ἀπάνουργος. ἑτέρα οὖν παρὰ τὸν Ὅμηρον ἀμήχανον ἦρα. καὶ ἀμήχανον γυναῖκα, λέγει Εὐριπίδης τὴν ὑγιᾶ, καὶ ἐναντίαν τῇ πολυμηχάνῳ. καὶ ἀμήχανός ἐστι γεραιὸς, ὁ ἐστιν ἄπειρος, ἀνόητος, καθ' οὗ οὐκ ἔστι τί μηχανήσασθαι. ἢ ἀμήχανος, ὁ ἄπειρος λόγον καὶ ἀνεπιχείρητος, ὁ ἀδύνατος. ὡς τὸ, τοῖς δὲ ῥημμένοις, ἀμήχανος ἡ χεὶρ ἀπεῖναι πρὸς τὸ πάθος. καὶ ἀμήχανος, ὁ περὶ μηδὲν, καὶ ἀκατάσχετος, καὶ ἀήττητος. καὶ ὁ ἀπερισμήχανος, καὶ ἀμήχανοι ὄνειροι, πρὸς οὓς οὐκ ἔστι κρίσιν ἰδεῖν ἀσφαλῆ τεχνήσασθαι, ἤδη μηχανήσασθαι. δύσιν καὶ ἀπειτόμητος. Ἀμηχανέοντι, ἀντὶ τοῦ πολλοί. οὕτω Ξενοφῶν. Ἀμηχανῶ, τὸ ἀπορῶ. ἢ οὐκ εὑρίσκω μηχανήν. καὶ ἀμηχανῶ τὸ ἀποπνίγομαι. Ἡρόδοτος ἐν τῇ πρώτῃ, ἔνθα ἀμηχανίησιν ἔχων ὁ κροῖσος. Ἀμηχάνων, καὶ ἀμηχανεστάτων, ἐπιρρηματικῶς λέγειν, τὸ μὲν δὲ ῥῆμα παθητικῶς ἀεὶ λαμβάνεσθαι ὑπὸ τῶν ἀρχαίων. ὡς δηλοῖ τὸ μηχανᾶσθαι, καὶ τὸ ἐκμηχανᾶσθαι. Ἀμίδα, τὴν οὐρανίδα, τὸ οὐρητικὸν ἀγγεῖον. λέγεται καὶ ἀμίδιον, τὰ οὐρητικὰ ἄλλα, ἀπὸ τοῦ ἀμὶς ἀμίδος. Ἀμία, φυλακία. καὶ ἀμία, ἰχθύς, ὥς φησιν Ἀριστοτέλης. ἐπαρχαρό δοῦναι καὶ τῶν συνηγελασμένων καὶ σαρκοφάγων. χελιδὼν δὲ κα, ἰχθύων γὰρ ὀστῶν καὶ σαρκῶν. παρὰ τὸ ἅμα ἰέναι τοῖς πλείοσιν. ἔστι γὰρ συναγελαστικόν. Ἀμιγὲς, καθαρὸν, ἀδολον.

Ἀμίθρα, ἀμμώδη, ἔρημα. Ἀμιθα, ἐδεσμα πεμμα. καὶ ἄρτος ἐπιμ., ὡς Ἀπολλόνιος. Ἀμιθος, μέλαν. Ἀμιθρεῖν, ἀριθμεῖν τοῦ γινομένου μεταθέσει τοῦ ἀριθμεῖν, λέγεται ἀμιθρεῖν. Ἀμιθρήσαι, ἀριθμῆσαι, καὶ ἀριθμήσασθαι, παρὰ Καλλιμάχῳ. Ἀμικέιστος, ὁ ἄρτος. Ταραντῖνοι. Ἀμικτίζες, αἰτίζετε, χρηματισμός. Ἄμικτος, ὁ μὴ μιγνύμενος. Ἀμίλινον, σκληρόν. Ἄμιλλα, ὁ ἀγὼν, ἡ ἔρις, καὶ φόβος ἀγωνιστικός, καὶ φιλονεικία. Ἀμιλλῶμαι, τὸ ἐρίζειν, καὶ εἰς τάχος χωρεῖν, ἢ ἄλλο τι ποιεῖν. Ἀμιλλῶμαι, οἷον ἐκβαίνει. Ἀμιλλᾶται, ἐρίζει. Ἀμιλλᾶσθαι, φιλονεικεῖσθαι, ἀγωνίζεσθαι. Ἀμιλλητήριον, τόπος ἐν ᾧ ἁμιλλῶνται. καὶ ἁμιλλατήριος ὁ περὶ τῆς ἔριδος. Ἀμιλητήριος λόγος, ὁ ἐν ἀγῶνι. Ἀμιλλώτερος, ἐπιπλεῖον ἐρίζοντες. Ἀμιλλυκα, ἀμφότεροι. ἄλλοι. Ἀμιλλώμεθα, φιλονεικοῦμεν.

Ἀμιλλώμενος, ἐρίζων. ὁ ἐρίζων. Ἀμιλλῶμαι, τὸ δεύτερον ἀόριστον, ἐπεὶ ἡ ἀρχὴ, ἀντὶ τοῦ ἀπεπλεύσαμεν. Εὐριπίδης, τί δὲ τὸ λέγει ἁμιλλᾶσθαι ἐν γῇ. Ἀμὶν, ἀντὶ τοῦ ἡμῖν λέγουσιν οἱ Δωριεῖς, συστέλλοντες τὸ ι, καὶ ὀξύνουσιν. Ἀμινναῖον δὲ οἶνος τὸ, τὸν οἶνον λέγουσιν. ὁ γὰρ Ἰταλικός, ἀμιναῖα λέγεται. Ἀμίσα, στις, ἡ ἀλέσμον. Ἀμίσαι, οὐρῆσαι. ἢ ἐκχῦσαι, ἢ ἐμίξαι. Ἄμιπποι, δύο ἵπποι συνεζευγμένοι. ἐστὶ δὲ τομικόν. οἱ σὺν ἵπποις στρατευόμενοι. ἔνιοι δέ φασιν, οἷς γίνονται δύο πρὸς ἀλλήλους ἵπποι ἐκλυτοί. ὁ δ' ἐλαύνων αὐτὸ, τὸν ἕτερον μὲν παρέλκεται, ἐπὶ δὲ τὸν ἕτερον ὀχεῖται. οὗτοι ἄμιπποι λέγονται. τουτέστι, τὸ παρ' Ὁμήρου θρώσκων, ἄλλοτ' ἐπ' ἄλλον. περὶ δ' εἰσὶν οἱ ἄμιπποι, ὡς δηλοῖ ἐστὶν ἐκ τοῦ Θουκυδίδου καὶ Ξενοφῶντος, ἐν τοῖς τοῦ

ἑλληνικῶν. καὶ μὴ πως περιστρέφομαι ἴσως εἰσὶν, οἱ ἅμα τοῖς ἱππεῦσι τεταγμένοι. Φιλόχορος οὖν ἐν τῇ ἱππικῇ πάντας φησί, ἢ προδρόμους. Ἀμὶς, τὸ οὐροδόχον ἀγγεῖον. παρὰ τὸ ὁμιχῶ τὸ οὐρῶ. ἢ παρὰ τὸ ἅμα ἀμὶς, ὡς σκάφη σκαφίς. Ἀμισθος, ἀκέρδαστος. Ἀμισθωὸς, ἀπὸ τόπων. Ἀμισθὶ, χωρὶς μισθοῦ.

Ἀμίσυλλον τάδερον, σημαίνει δὲ τὴν μὴ ὠκυσμένον, ἀλλ' ἐάσαντες καὶ ἀμίσταλλον, τὸ μὴ ὠκυσμένον. Ἀμίσγαλος, ὁ λυσσάρης, ὁ μὴ ἄλλῳ μισγόμενος. καὶ ἀμίσγαλος, οἷον, ἀμίσγαλοι δὲ γέροντες, κατ' ἔλλειψιν τοῦ γ. Ἀμιτρα, μιτρα. ἀργίτις.

Ἀμιτροχίτωνας, ἢ ἀρίστας ἔχοντας χιτῶνας. καὶ ἀμφοχίτωνας λέγει Ὅμηρος, οὐχ ὡς ἀζώστους, ἀλλὰ τὸ μὴ ὑποζωννυμένους μίτρας τοῖς χιτῶσιν, ὁ ἐστι τοῖς θώραξιν. ἀλλὰ ἅμα τοῖς θώραξι συνηρτημένην ἔχοντας καὶ τὴν μίτραν, ἢ οὐ συμβάλλειν κατὰ τὸ ἄλλος. ὡς τὸ τὸ α ἐνταῦθα, καὶ σύνεσιν δύναται δηλοῦν, διὰ τὸ μὴ ὑποζώννυσθαι μίτρας, ἢ ἀντὶ τοῦ ἅμα λαμβάνεται, διὰ τὸ ἅμα τοῖς θώραξι συνηρτῆσθαι αὐτάς. Ἀμιχθαλόεσσαν, ἄπορα σόρμισον ἐν θαλάσσῃ. καὶ λέγεται. ἡ ἀμιχθαλόεσσα λῆμνος, εἰσιν ἀμιχλώδη. τροπῇ τοῦ φιλὸν ὡς Δωρεῖς, καὶ πλεονασμῷ τῆς συλλαβῆς, ἐκ τοῦ ἄμικτος. ἀπρόσμικτος δὲ ἦν ἡ λῆμνος τοῖς πλέουσιν. ἐκεῖ γὰρ ὤκουν οἱ λῆσται καὶ πειραταί. Ἀμμὰ, ὄνομα ἡ τροφός. ἢ ἡ μήτηρ, κατὰ ὑποκόρισμα. καὶ ἡ ῥέα λέγεται ἀμμάς, ἢ ἀμμία. Ἄμμα βαρυτόνως, ὁ δεσμός. Ἀμμέσω, μεταμέλομαι. Ἀμμαλὺς, ἀνεσία. Ἀμμαυρὸ, ἐπαρχὴς. Ἀμμαλῶ, ἑορτὴ ἀγομένη διί. Ἀμματέλης, ἀλυσμὸς σκοπός, διὰ τῶν εἰς μικρὰ ὠκυσμένων, δι' ἀργυρομάτων. Ἀμμάξαι, ἱερεῦσθαι, καὶ ἱερᾶσθαι. ἢ ἀποπνίξαι.

Ἀμμὰς, ἡ τροφὸς ἀρτέμιδος. καὶ ἡ μήτηρ, καὶ ἡ ῥέα, καὶ ἡ δημήτηρ. Ἀμματίζει, ἐπιπλέκει, δεσμεύει. Ἀμμες, αἰολικόν ἐστιν, ὡς δῆλον ἐκ τοῦ βαρυτόνως, καὶ τοῦ ψιλώσεως, καὶ τοῦ ἅμα τοῦ λόγου διπλώσεως. καὶ ἄμμες ἀντὶ τοῦ ἡμεῖς, αἰολικῶς. ἄμμε δὲ οἱ Δωριεῖς. Ἀμμιμοι, ἀπὸ ἔργου πεποιημένοι. σπανίως γράφεται δὲ οὕτως. ἀπὸ τοῦ κορίσκομαι, ὃ ἀπορίφματα ἄμμ, καὶ λεγομένων ἀπὸ. ὥσπερ καὶ ἴδια, τὸ ἴδιον, ἴδιον καὶ ἴδιον. εἶτα γίνεται ἄλιμοι τετρασυλλάβως, καὶ ἐν συγκοπῇ ἄλιμοι κατὰ τρισυλλαβίαν, οὕτω καὶ ἄλιμοι, ἢ ἐν συγκοπῇ ἄλιμοι, καὶ ἴσως διπλασιασμῷ αἰολικῷ, ἄμμιμοι. Ἀμμιλάζειν, ἐγχώριον. Ἀμμὶ, ἡμεῖς ὁ ἡμεῖς, ὁ ἡμῖν. Ἀμμίζειν, ἤγουν ἀναμίζειν, συγκοπῇ τοῦ α. τὸ δὲ συνήθως ἔχει πρὸς τὸ ἐμπροσθεν σύμφωνον τὸ μ. οὕτω καὶ τὸ κατέβαλε, κάββαλε, καὶ τὸ κατίσχει, κάσχει, ὡς ἕτερα. Ἄμμια, μήτηρ, τροφός. Ἀμμιξαι, ἀποπνίξαι. Ἀμμεῖν, ἡμῖν δί. Ἀμμιρὰς, πεπληρωμένος. Ἄμμιν λέγουσιν οἱ αἰολεῖς, βαρύνοντες αὐτὸ, καὶ συστέλλοντες τὸ ι λέγουσι. Ἀπολλώνιος, ἄμμι γε μὴν τόσον νόσον ἀτίζεται. Δωριεῖς δὲ ἀμὶν, συστέλλοντες τὸ ι καὶ ὀξύνοντες. Θεόκριτος, πολλαὶ δὲ ἀμῖν κατὰ κρονὸς δονίον. τινὲς δὲ πολλάκις καὶ ἀθροῖζει προσηρέσπουσιν ἐν συνθέσει τὸ ι. Ὅμηρος, ὦ φίλοι οὐ μὰν ἡμῖν ὑπὲρ ἀνίκα τις ἀργελιῇ. Σοφοκλῆς οἰδίποδι, Ὅπως λύσιν τίν' ἡμῖν ὥστε ῥύσαιτο βροτοῖς. Φρύνιχος μύσῃ, ἐβουλόμην ἂν ἡμῖν ὥσπερ καὶ προνοῦ. ἀτελῆ δὲ παραφυλάττειτα ταῦτα τὰ δύο. οἱ δὲ κατὰ οἱ παλαιοί φασι, καὶ ὅτι τὸ ἄμμες, ἄμμε λέγουσιν οἱ αἰολεῖς, ἄμμε οἱ αἰολεῖς. χρῆσις δὲ τοῦ ῥηθέντος ἡμῖν ἐν αἰολικοῖς. Ἄμμιγα, ἀναμιμιγμένως. εἰπεῖν ἐν μακαρίας πανυφορός, ἂν ὁ μιλησίος, Ἥρωες μουσῶν ἄμμιγα καὶ χαρίτων. Ἀμμιρὸς, πεπληρωμένος. Ἀμμισκόμισον, συγκομισὸν ἄρτων. Ἀμμοβάτης, εἶδος ὄφεως. Ἀμμοιρίαν, τὴν κακὴν μοίραν, κακομοιρίαν. Ἄμμορον, δύσμορον, κακόμορον. μόρος γὰρ ὁ θάνατος, ἢ ἀμμορίην, τὴν κακὴν μοῖραν. καὶ ἄμμορον ἄλλον, ἢ ἀθάνατον, ἀμέτοχον. ὡς τὸ, ἴμμορον. ἢ ἀμέτοχον, ὡς τὸ, οἴη δ' ἄμμορός ἐστι λοετρῶν ὠκεανοῖο. Ἄμμος, ψάμμος. Ἄμμους εἰρός.

τικὰ δὲ, εἰ καὶ ἀνεκτῶς λέγει. εἴτε πιέζων, εἴτε συνθλάζων. λέγεται γὰρ, ἔπειτα δὲ καὶ αὐτὸς, ἃ μὲν πρῶτον ἀλειπτὸς κατὰ τὴν ὁδὸν, ἃ δὲ καὶ παραχεῖν. Ἀμέναι, πληρωθῆναι. Ἀμενές, ἀσθενές.

Ἀμενηνά, ἀσθενῆ. κατὰ στέρησιν τῆς δυνάμεως. μένος γὰρ ἡ δύναμις, ἢ ἄψυχα. Ἀμένητα, τὰ ὑμέτερα. αἰολικῶς. Ἀμένητος, ὁ μὴ λυπούμενος. Ἀμενητί, χωρὶς τοῦ ἐπιμεῖναι. Ἀμενηνοὶ ὄνειροι, παρ᾽ Ὁμήρῳ, οἱ φανταζόμενοι μὴ ἀληθεῖς τὰ ἀποβαίνοντα, καὶ ὡς εἰπεῖν μετὰ ἰσχύος μένος. εἴρηται καθ᾽ ὁμοιότητα τῶν ἀμενηνῶν ἐν ᾅδου εἰδώλων, τῶν ἐν τῇ νεκυίᾳ, διὰ τὸ συγγενῶς ἐκεῖνα πρὸς τοὺς ὀνείρους ἔχειν. Ἀμενήνωσεν, ἀσθενῆ ἐποίησεν. Ἡσίοδος δὲ, ἐπὶ τοῦ ἥκιδος. Ἀμενηνὰ κάρηνα, τὰ ἀδυνατοῦντα ἀπεδλύκειν. Ἀμενηνός, ἀσθενής, λεπτός, μάταιος, ἐκ τοῦ μένος ἡ δύναμις γίνεται. ἀμενὴς ὁ ἀσθενής. καὶ πλεονασμῷ τῆς νη συλλαβῆς, ἀμενηνός. οὕτω δὲ καὶ νῶ, τὸ σωρεύω, καὶ προσθέσει τῆς νη συλλαβῆς ἐν κατάρχῃ, νηνῶ. ἐξ οὗ ἐνενήνεον ἐν Κανόσιν. Ἀμενηνῶν, ἀσθενῶν. Ἀμενήνωσεν, ἀντὶ τοῦ ἀμενηνὸν ἐποίησε, καὶ ἠμέλησεν. Ἀμῶνας, σημαίνει τὴν παῖδα. παρὰ τὸ μὴ ἔχειν μένος, καὶ κλίνεται ἀμένητος. ὥσπερ ἄμελλος ἀμέλλητος, ὄνομα ποταμοῦ. εἰσὶ δὲ ἐνταῦθα εἰς νς ὑπὲρ δύο συλλαβὰς ἔχοντα πρὸ τοῦ ν ἀμετάβολον, καὶ πρὸ τοῦ ἀμεταβόλου φωνῆεν, μήτε τὸ α, μήτε τὸ ι, μήτε τὸ υ, μήτε τὸ ω. ἀλλὰ διὰ τοῦ ντος κλίνεται. ἐπίαλης, ἐπιάλητος. Ἀμ᾽ ἴκτος, ἀμ᾽ ἔργον ἔχειν. Ἀμέρον, τὴν ἡμέραν λέγουσιν οἱ Δωριεῖς. Πίνδαρος, ἐν ἁμέρᾳ φαεινὸν ἄγον. Ἀμερβεὶς, τὸ μεταβάλλειν. παρὰ τὴν ὀρφνὴν, ἀμορφνὸς, καὶ ἐκθλίψει τοῦ ν, καὶ τροπῇ τοῦ φ εἰς β, ἀμερβεύς. ὡς ἐν τῷ κύφος κύβος, φοινίκη βοινίκη, καὶ ἀμορφὸς ἀμορβὸς, ὅ ἐστιν ἀκόλουθος, ὁ ἅμα ἐπὶ ἀκολουθεῖν, τροπῇ τοῦ μ εἰς β. Ἄμεργος, νῆσος. Ἀμερδνὸν, εἱμαρμένην. Κρατῖνος. Ἀμέργει, ἀποστερεῖ. Ἀμέρδειν, τὸ ἀμαυροῦν, καὶ ἀποστερεῖν τοῦ μέρδειν, ὅ ἐστι τοῦ βλέπειν. οὗ τὸ ἐναντίον, σμέρδειν διὰ τοῦ σ, παρὰ τοῖς Ἀχαιοῖς, ὅ ἐστιν ἄγαν βλέπειν, ἐν τῷ μερίζειν τὰς ὀπτικὰς δυνάμεις. ἔνθεν καὶ σμερδαλέον, κυρίως τὸ τῇ ὄψει καταπληκτικόν. σημείωσαι, ὅτι οὐ μόνον τὸ σμέρδειν, ἀλλὰ καὶ ἕτεραι πολλαὶ λέξεις ἐν ἀρχῇ προσλαμβάνουσι τὸ σ. καὶ ὡς ἀπὸ τοῦ σα ἐπιτατικοῦ μορίου, τουτέστι μέγα δηλοῦν εἶναι ἐν τῷ σμικρὸν, καὶ ἐν τῷ σμέρδειν, καὶ ἐν τῷ σμερδνῷ. καὶ ὡς ἐκ τοῦ μερίζω γίνεται, ἀλλαχοῦ ἱκανῶς δεδήλωται. καὶ ἀμέρδει καπνὸς τεύχεα, ἀντὶ τοῦ σκοτίζει. σημαίνει τοῦ μέρδειν, ὅ ἐστι λάμπειν. ὡς ἐντεῦθεν μὴ δύνασθαι καλὰ αὐτὰ, ἀλλὰ καπνίζεσθαι. καὶ δῆλον ἀμέρδεσθαι, τὸ στερίσκεσθαι, ἀπὸ τοῦ μερίζειν. ἵνα ᾖ ἀμέρδειν, τὸ μερίδος ἀποστερεῖν. καταχρηστικῶς δὲ, ἐπὶ τοῦ στεροῦμαι. Ἀμέρσαι, ἀντὶ τοῦ μερίδος στερῆσαι, τίθεται ἐνίοτε. ἀλλὰ κυρίως ἐπὶ τοῦ τυφλωθέντος λέγεται. ὡς τὸ, Ὀφθαλμῶν μὲν ἄμερσε. καὶ ἐπὶ σκοτώσεως, ἤτοι ζοφώσεως. οἷον, Ὄσσε δ᾽ ἄμερσεν αὐγὴ χαλκείη. καὶ ἀμέρσαι, ἀμαυρῶσαι, ἄμοιρον ποιῆσαι. καὶ ἄμερσεν, ἄμοιρον ἐποίησεν, ἐστέρησεν. Ἀμέρσας, ἀπὸ τοῦ ἀμέρδω, τὸ ἀφανίζω. τοῦτο δὲ ἀπὸ τοῦ ἀμῶ, τὸ θερίζω.

Ἀμερσίφρων, βλαβερός. Ἀμέρυτος, ἀναπόχετος, ἀπολύτος. Ἀμερφὲς, αἰσχρόν. Ἀμετάβατα ῥήματα προσαγορεύεται, ὅτι οὐδαμῇ μεταβαίνουσιν εἰς ἕτερον πρόσωπον, τὴν σύνταξιν ἐν τῷ λόγῳ ἔχει. οἷόν ἐστι τὸ ζῶ, τὸ πλουτῶ, τὸ ὑγιαίνω, καὶ τὰ τοιαῦτα. ἐν γὰρ τούτοις μόνον ἐμφαίνεται πρόσωπον, τὸ τοῦ ζῶντος, ἢ τοῦ πλουτοῦντος. ὅθεν οὐδὲ παθητικὰ τὰ τοιαῦτα ῥήματα ἔχει. μὴ γὰρ ἐμφαινομένης ἐν αὐτοῖς ἐνεργείας εἰς ἕτερον πρόσωπον, δῆλον ὡς οὐδὲ πάθος δύναται ἔχειν. Ἀμετάβολοι. ἡ προσηγορία οὐχ ἐτυμολογεῖ, ἀλλ᾽ ἢ ἐκ τοῦ μὴ μεταβάλλεσθαι προσηγόρευται. εἰ γοῦν τὰ μὲν ἀμετάβολα οὐ μεταβάλλονται, τῶν ἀμεταβόλων δὲ, τοῦ μ μὲν ἡγουμένου, οὐδέποτε τὸ σ ἐπὶ τῆς λέξεως ἕπεται. τοῦ δὲ λ καὶ τοῦ ν ἑκατέρως, ὡς τὸ ἅλς, καὶ εἵρως. τοῦ δὲ ρ, καὶ εἰς πλάτος, ὡς τὸ πείρω, καὶ περσὸς, διὰ τὸ φωνῆεν ἔχειν δύναμιν. καὶ μαρτυρεῖ ὅτι ὁ Διονύσιος. ἐκλείπει δὲ τὸ τραχύφωνον, ὡς τὸ πολὺ φιλοῦσιν ἐκκλίνειν. διὰ ταῦτα ἐπὶ τῆς πέμπτης συζυγίας οὐ προσίενται τὸ σ. αἰολεῖς δὲ τὸ θέμα οὐ παραιτοῦνται. καὶ μάλιστα ἐν ἔθει γὰρ μόνον ὁ αἰολεὺς διὰ τοῦ ρ ἐκφέρεται, δι᾽ ἣν εἶπον τοῦ ρ δύναμιν. εἰδικῶς λέγεσθαι, καὶ σπείρω σπείρσω, καὶ ὄρω ὄρσω. χρὴ νοεῖν καὶ ἐν τοῖς δὲ τοῖς μέλλουσι τὸ σ ἔχειν, ὡς σπείρσω λέγομεν αἰολικῶς, οὕτω καὶ κλίνσω, καὶ νέμσω. καὶ τοῦτο μάθοις ἂν ἐκ τοῦ ἐκλείπειν τὸ σ ἐξέφερον. τὸ δὲ τραχύφωνον, μάλιστα πάντων ἑλλήνων αἰολεῖς φεύγουσι. καὶ δίκην ἂν, ἑκάτερον τῶν δύο σημείων ἀφελεῖν τοῦ ν λέγω καὶ τοῦ σ; τὸ ν μᾶλλον ὀφεῖλον καταλιπόντος τὸ σ, εἰ ἦν δῆλον οὐκ ἔχοντι ἀνάγκη πάντα μᾶλλον διὰ τοῦ σ νοεῖν τὴν προσφορὰν ἔχειν. Ἀμετάθετος, ἄτρεπτος, ἀκίνητος, ἀμετακίνητος. Ἀμετάλλακτον. κυρίως ἐπὶ σωμάτων λέγεται, τῶν δεῖ ἔχειν μὴ τρεπομένων. ἢ διὰ ἰδιότητα μὴ μεταβαλλόντων. κατὰ μεταφορὰν δὲ λέγεται ἡ ἐπιστήμη, ἀμετάπτωτος.

Ἀμεταπείστην, ἀμετάθετον. Ἀτρεπῆ, χωρὶς ἐπιστροφῆς.

Ἀμεταχείριστα, δύσληπτα. Ἀμετεῖναι, ἀπολαῦσαι. Ἀμετασίασον, ἀμέτοχον. Ἀμέτοχον, ἀμετάληπτον. Ἀμέτρητα, ἄπειρα, ἀπέραντα. Ἀμετρία, ὑπερβολή. Ἀμετρί, χωρὶς μέτρου. καὶ παροιμία, ἀμετρὶ μάζαν ἔδοντα. Ἄμετρον, ἀμέτρητον, ἄπειρον. Ἀμετροεπὴς Θερσίτης ἦν, ὁ ἀπεραντολόγος. κατὰ τοὺς παλαιούς. καὶ μὴ μέτρον εἰδὼς λόγου. διὸ καὶ ἄκοσμα φησὶν αὐτὸν εἰδέναι, καὶ πολλά. πολλὰ μὲν, ὡς πολυλόγον. εἰς πάντων στρατιωτῶν αὐτὸς λαλεῖ. ἄκοσμα δὲ, διότι οὐ κατὰ κόσμον ἤριζε τοῖς βασιλεῦσι. τινὲς δὲ ἀμετροεπῆ λέγουσι, τὸ ἐν τῷ λέγειν ἄτακτον. μέτρον γάρ φησιν ἡ τάξις. διὸ καὶ πολλὰ ὑπερβολῇ ἐνδείκνυται ἀφροσύνης. πολλὰ μὲν οἶδε καὶ μυρία, κατὰ τὴν πίστιν, ὁ σώφρων καὶ πολύκαρπος. ἄκοσμα δὲ οἶδεν, ὁ ἄφρων. ὁ δὲ Θερσίτης ἄκοσμά τε εἰδὼς καὶ πολλά, πάνυ ἂν εἴη πόρρω τῆς εὐκοσμίας. διὸ ἐχθρός ἐστι τοῖς βασιλεῦσιν. Ἀμεύσασθαι, ἀμείβεσθαι, διελθεῖν, περαιοῦσθαι. Ἀμεύσιμον, ἀμεύω τὸ περαιοῦμαι, παρὰ τὸ ἅμα καὶ τὸ σεύω. ὁ παρὰ τὸ ἀμείβεσθαι ἀμεύσιμος, καὶ ἀμείψιμος, ἢ ἀπὸ τοῦ ὁμοῦ, ὃ πλεονασμὸν δηλοῦντος. τροπῇ τοῦ ο εἰς α. οἷον ὁμοῦ, καὶ ἀμεύσιμον, τουτέστι περιόσιμον. Ἀπελλίων ὁ τὰ ἀργυρωματικά. Ἀμαστακής, ὁ διαλλάκτης καὶ ἀμαθεστέρα τοῖς λόγοις. Ἄμη, σιδηροῦν σκεῦος, καὶ σκάφη εἰς τὸ ἐκβάλλειν τὸ ἐγχύσιμον ὕδωρ, πρὸς τὸ μὴ βαίνειν. ἢ τὸ γεωργικὸν, καὶ οἰκοδομικὸν καὶ τεκτονικὸν ἐργαλεῖον. καὶ ἄμη, ὁ δρεπάνη. Ἀμηγέπη, ἀμηγέπως. Ἀμηγέπη κάλλιον, ἢ ἀμηγέπως. δηλοῖ δὲ τὸ καθ᾽ ἕνα τινὰ τρόπον. καὶ ἀμηγέπη, ὅπως δήποτε, καθολικῶς. λέγεται δὲ καὶ ἀμωσγέπως, καὶ ἀμόθεν, καὶ ἀμογέπη, καὶ ἀμηγέπη, καὶ ἀμοσέπη. Ἀμὴ θέμις, ἃ μὴ πρέπει. Ἀμήκεα, δξέα, ταράττει. Ἄμηλον, ἀκόλαστον. Κρατῖνος. Ἀμήσωσι, σῖτον συλλέγοντες. Ἀμ᾽ ἤμερα, Ἀλκαῖος. Ἀμὴν πόλιν, ἤγουν τὴν μητέραν. καὶ ἀμὴν, πλακοῦντος εἶδος. Ἀμὴν, πεπιστευμένως, ἀληθῶς. ἢ ἀντὶ τοῦ γένοιτο. Ἀμηνίτως, ἀμέμπτως, ἄχολοι. Ἄμηροι, ὅμηροι. Ἄμηρον, τὴν νῆσον, καὶ ἄμηρον ὄνομα ὄρους. Ἀμήρυτον, ὃ καὶ ἀμήρυμον παρ᾽ Ἀπολλωνίῳ, ἐκτεταμένον, ἀτέλεστον. καὶ διηνεκῶς ἐκτεινόμενον, ἀπέραντον, ἄφθαρτον, ἀτελεύτητον, ἢ τὸ τέλος μὴ ἔχον. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν μηρυομένων ἐρίων. Ἀμῆσαι, τὸ συναγαγεῖν, ὃ μάλιστα θερίσαι. ὅθεν ἄμητος, ὁ καιρὸς ὅτε ἀμῶσι. καὶ ἀμητὸς, ὁ καρπός. ὅθεν καὶ ἡ ἐνέργεια. οὕτω καὶ ἀλοητὸς, καὶ τρυγητὸς, ὁ καιρὸς ὅτε ἀλοῶσι καὶ τρυγῶσιν. καὶ ἡ ἐνέργεια. ἀρότος δὲ, ὁ καιρὸς ὅτε ἀροῦσι, καὶ αὐτὸ τὸ ἀροῦν. ἤγουν ὅ,τε καιρὸς, καὶ ἡ ἐνέργεια. Ἀμησάμενος, ἀντὶ τοῦ συλλέξας, καὶ συναγαγών. ὡς καὶ ὁ Ἀθανάσιος φύλλα ἐπαμησάμενος ἐκάλυψαν. καὶ πρίαμος ἐπαμησάμενος κόνιν κατεχεύατο. ἐντεῦθεν καὶ ἀστερίμων ἄμητος,

συναγωγὴ

Ἀματροχίαι, αἱ ὁμοδρομίαι. ἢ μᾶλλον, αἱ ὁμοῦ συμβολαὶ τῶν τροχῶν κατὰ ἔλασιν. Ἀματροχόωντα, ἀντὶ τοῦ ἀκολουθοῦντα, διαλύμενον ἅμα ἐπὶ φίλων. γράφεται δὲ ὁμοτροχόωντα, τουτέστιν, ἐν τῷ συμπορεύεσθαι καὶ φιλοστοργεῖν. Ἀμαυρῇ φύσει, ἀσθενεῖ. Ἀμαυροῖ, ἀναιρεῖ, μαραίνει. Ἀμαυρὸν, σκοτεινόν. ἀπὸ τοῦ ἅμα ταῖς αὔραις φερόμενον. Ὅμηρος προσεῖπε, εἴδωλον ἀμαυρόν. Ἀμαυρούμενοι, σκοτιζόμενοι. Ἀμαυρωτὸς, σκοτωτός. Ἀμαχὶ, ἀμαχως. Ἀμαχετορία, εἶδος ἀκανθῶν.

Ἄμαχον λέγεται, τὸ ὑπερβολικὸν, καὶ οὗ ἐστιν οὐδεμία μάχη καὶ φιλονεικία, ὡς ἐπὶ εἰρήνης περιγενέσθαι. καὶ ἄμαχον, δυσκαταμάχητον. Πίνδαρος, ἄμαχον γὰρ ὕψος τὸ συνέσεως ἐστί. ἢ ἄμαχον τὸ ἀμήχανον, περὶ οὗ τις οὐ δύναται μάχην εὑρεῖν. ὡς καὶ ἄμαχον κάλλος, ἀντὶ τοῦ ὑπερφυὲς λέγεται. ἄμαχον καὶ τὸ ἀπρόσιτον, ὡς πρὸς πόλεμον. ἐξ οὗ καὶ ἄμαχον τὸ ἀνίκητον. ὡς καὶ Λιβάνιος τὴν τοῦ ἔρωτος φύσιν. ἄμαχος ὁ θεὸς, ὡς ἀνίκητος, ἀντὶ τοῦ ᾧ οὐ δύναταί τις μάχεσθαι. Ἀμάω ἀμῶ, τὸ θερίζω, καὶ ἀμῶ τὸ συνάγω. ἐξ οὗ καὶ ἄμητος ὁ καιρὸς τοῦ θέρους, ἀμητὸς δὲ ὁ καρπός. καὶ ἀμησάμενοι, ἀντὶ τοῦ συνάξαντες. σπανιάκις δὲ γράφεται καὶ ἄμητος, ὁ καιρὸς ὅτε ἀμῶσι, καὶ ὁ καρπὸς ὁ ἀμώμενος, καὶ ἡ σπόρα. ἤγουν ἀπὸ τοῦ ἀμῶν, ὥσπερ ἀλοητὸς ὁ καιρὸς, ὅτε ἀλοῶσι, καὶ ὁ καρπὸς ὁ ἀλοώμενος, καὶ τὸ ἀλοᾶν. καὶ τρυγητὸς ὁ καιρὸς ὅτε τρυγῶσι, καὶ ὁ καρπὸς ὁ τρυγώμενος, καὶ τὸ τρυγᾶν. ἀροτὸς δὲ ὁ καιρὸς ὅτε ἀροῦσι, καὶ τὸ ἀροῦν. δοκοῦσι δὲ ὀξύνεσθαι, ὡς ἀμητὸς, ἐλαυνητὸς, φυτὸς, ἀγαπητὸς, θετὸς, ὑμνητὸς, καὶ ἁπλῶς πάντα τὰ εἰς τος ἀπλᾶ, ὅσα ἀπὸ τῶν παθητικῶν παρακειμένων περισπωμένων γίνεται συζυγιῶν. αἰτία δὲ οὐ φαίνεται, διότι ἐπὶ τούτων μὲν τῶν σημαινομένων ὀξυτονοῦνται, ἐπὶ δὲ τῶν προπαροξυνθήσονται. Ἀμβαδίως, ἀφροντίστως, ἀπερισκέπτως. Ἀμβαινε, ἀνάβηθι.

Ἀμβαλεῖν, ἀμαρτεῖν. Ἀμβαλλώμεθα ἔργον, ἀντὶ τοῦ εἰς ἄλλον καιρὸν παρατείνωμεν. τῆς ἀνὰ προθέσεως δευτέρωσιν ἐκτεταλαίωκε παρὰ Ὁμήρῳ. ὡς καὶ ἐν τῷ ἀνακαλαίειν, καὶ ἀναμάχεσθαι, καὶ ἀναψηφίζεσθαι, τὸ μεταψηφίζεσθαι. ἴσα εἰσὶν ἀναβάλλεσθαι, τὸ ὑπερτίθεσθαι τὸ πρᾶγμα. ἐκ τούτου τὸ ἀναβαλλόμεθα ἔργον, σύγκειται παρ' Ἡσιόδῳ. ἐξ οὗ ἀμβολιεργὸς, ὃς ἄτας παλαίει.

Ἀμβάσεται, ἐπὶ τοῦ ἀμάστως εἰπεῖν σφάζει. Σοφοκλῆς φωίδι. Ἄμβασις, ἀνάβασις. Ἄμβατος, ἀντὶ τοῦ ἀνάβατος, ἐν συγκοπῇ. Ἀμβὰς, δύσκολον. ἢ ἀβλαβής. Ἄμβη, ἡ τῆς πέτρας ὀφρῦς. καὶ ἄμφη, τὸ χεῖλος τοῦ λοπάδος. παρὰ τὸ ἐν ἀναβάσει εἶναι. καὶ ἄμβων, ὁμοίως, διὰ τοῦ ω μεγάλου. καὶ ἄμβη, ἡ ὀφθαλμοῦ ἐπανάστασις, παρὰ τῷ Ἱπποκράτει. καὶ ἄμβη, ἤγουν ὀφρὺς τοῦ κύκλου ἀσπίδων. Ἀμβλύειν, ἐπιπολάζειν παρεμβάλλειν κατὰ τὰς ἐξουσίας. Ἄμβιχα, χύτρα, κάδον. Ἀμβισεῖ, ἀναπνεῖ, ἀναζεῖ. Ἄμβροτα, θεῖα, ἀθάνατα, τεύχεα, ὅπλα. Ἀμβροτεῖν, ἁμαρτεῖν, ἀποτυχεῖν βροτοῦ, ὅ ἐστιν ἀνθρώπου, καὶ τὸ κρεῖττον. Ἀμβροτοῦν, κακῶς ἀποτυγχάνοντες. Ἀμβρόλεπτον, ἄκαρπον. Ἄμβροτος, ἄφθαρτος, θεῖος, ἀθάνατος. Ἀμβροτίξας, ἀπαρξάμενος. λάκωνες. Ἀμβρόσιον, θεῖον, ἄφθαρτον, ἀθάνατον, οὗ βροτοὶ οὐχ ἅπτονται. αἰδοῖον, ἁδύ, λαμπρὸν, εὐῶδες, καλόν. καὶ ἄμβροτα, κεκρυμμένα. παρὰ τὸ ἁμαρτῶ, ἁμαρτήσω, ἀμάρτητος, ὁ δυστυχὴς ἀθάνατος ἄμαρτον, καὶ ἐν ὑπερθέσει τοῦ ρ, καὶ πλεονασμῷ τοῦ β, καὶ τροπῇ τοῦ α εἰς ο, ἄμβροτον. Ἄμβροτοι, διὰ τὰ ἀθάνατοι οἱ θεοί. τῷ ἀμοιροι εἶναι βροτοῦ, ὅ ἐστιν αἵματος. Ἄμβρυττοι, εἶδος ἐχίνων θαλασσίων. Ἀριστοτέλης δὲ αὐτοὺς βρύσσους καλεῖ. Ἀμβρυχαὶ, αἱ τῶν χαράδρων ἐκβολαί.

Ἄμβων, ἡ τῆς πέτρας ὀφρύς. οὕτως δὲ καὶ ἄμβη. Ἀμβώνων, χωρίον τῆς γαλαίας. Ἀμβωνες, αἱ προσαναβάσεις τῶν ὀρῶν.

Ἀμεγαλαυτεῖ, ἡ μεγάλως ἀθλία ἐστὶ Λευκάς. οὗτος γὰρ οὐ μόνον ὁ θάνατος, ἀλλὰ καὶ πᾶν τὸ λοιπόν. Ἀμέγαρτος πόνος, ὁ ὁ ἄφθονος, ἐκ τοῦ μεγαίρω τοῦ φθονῶ. ἢ ὁ πάνυ ὡς μέγα εἰρημένος. ὁ ἀφθόνητος διὰ τὴν κάκωσιν. οὐδεὶς γὰρ φθονεῖ ἐπὶ κακοῖς.

Ἀμέθυστος, βοτάνη ἐστὶ λίθος. Ἀμείβεται, παραμείβεται, εἶτα πόλεις. Ἀμείβεσθαι, ἀποκρίνεσθαι, διέρχεσθαι, καὶ τὸ ἐν μέρει πταίειν. Ἀμείβειν, ἀντὶ τοῦ διέρχεσθαι, αἰτιατικῇ συντάσσεται. οἷον τὴν θάλασσαν ἀμείβοντες. καὶ ἀντὶ τοῦ ἀμύνειν, ὡς παρ' Ἰουλιανῷ, Πρῶτος εἶσιν, εἰ ἐδεῖτο πολλὰ ἀμείβειν χρήματα, ὥσπερ ὁ Χαμαιλέων. καὶ ἀντὶ τοῦ διαβαίνειν. οἷον, πολλοὺς τόπους ἀμείβει, ἀντὶ τοῦ διέρχεται. ἐξαμείβειν δὲ, τὸ ἐκφεύγειν καὶ ἀπέρχεσθαι. Ἀμείβομαι, τὸ περιβέβλημαι, ἢ ἀμπέχομαι. ἐστὶ ἀμείβομαι ἐν λόγοις, ἢ δώροις, ἀντὶ τοῦ ἀποδίδωμι, καὶ ἐκτίνω. καὶ ἀμείβομαι, τὸ ἀντικαταλλάσσομαι. καὶ τὸ ἀντιχαρίζομαι, ἐξ οὗ ἀμοιβή, καὶ τὸ ἀνταποκρίνομαι. ὑπερθετικῶς δὲ τὸ περιπατῶ, ὅπερ καὶ μετὰ προθέσεως γράφεται. οἷον παραμείβει τὴν παιδικὴν ἡλικίαν. ἐστὶ παράμειψιν, ἀντὶ τοῦ διέβη. Ἀμείβοντα, ἀλλάσσοντα.

Ἀμείβοντες. λέγονται δὲ παρ' Ὁμήρῳ, ξύλα τὰ ὑπερέχοντα τῶν στεγῶν, ἅπερ συνδοῦνται ἐξ ἀποστάσεως τοῦ κάτω ἄνω συναγόμενα, ἀντερείδουσιν ἄλληλα. εἰς δεξιὰς ἐκάλεσε ὁ ποιητὴς τῶν ἡρώων, ἀγκῶνας ἐν τῷ παλαίειν συνεχομένους. καὶ τὰ μὲν ἄνω, εἰς ἓν ἥκοντα, κατὰ τοὺς δοκοὺς καὶ ἐρειδομένους. τὰ δὲ κάτω διεστῶτα.

Ἀμείβου, ἀνταπόδιδου. Ἀμείβω, τὸ ἀλλάττω. ὡς τὸ ἀμείβω τὸ χρῶμα. ἀμείβω καὶ τὸ πορεύομαι, ὡς τὸ ἀμείβω τὴν ὁδόν. ἐστὶ ἀντὶ τοῦ διέρχομαι τὸ περαιοῦμαι. καὶ ἀμείβω, τὸ ἀντικαταλλάσσω, ὡς καὶ Ὅμηρος, Πρὸς Τυδείδην Διομήδεα τεύχε' ἄμειβεν. ἀμοιβαῖς γὰρ οἱ παλαιοὶ ἐχρῶντο, καὶ οὐ νομίσμασιν. ὡς παρ' Ὁμήρῳ, Ἔνθεν ἄρ' οἰνίζοντο κάρηκομόωντες Ἀχαιοί, ἄλλοι μὲν χαλκῷ, ἄλλοι δ' αἴθωνι σιδήρῳ, ἄλλοι δὲ ῥινοῖς, ἄλλοι δ' αὐτῇσι βόεσσιν, ἄλλοι δ' ἀνδραπόδεσσιν. ὃ καὶ παθητικῶς παρὰ τοῖς ὕστερον γράφεται. οἷον ἀμείβεται τὰ ὤνια πρὸς χρυσίον, ἐπὶ παθητικῶς λαμβανόμενον. ὡς καὶ παρ' Ἰουλιανῷ, Παρ' ἡμῖν δὲ διὰ περιττὴν φρόνησιν, ἀμειβόμενον πρὸς χρυσίον. καὶ ἀμείβομαι, τὸ περιβέβλημαι, ὡς παρ' Εὐφορίωνι, Ἀμφιχρύσαμα δ' ἱμάτια σκότι ἀμείβομαι. Ἀμειδὲς, ξυστὸν, ἀγέλαστον, σκυθρωπὸν, καὶ σκοτεινόν. Ἀμειδήτως, σκυθρωπῶς. μειδιᾶν γάρ ἐστι τὸ γελᾶν. Ἀμείδητον, ἀγέλαστον. Ἀμειλίοις, ἀθλίοις. Ἀμείλικτον, πικρὸν, οὐ προσηνῆ, ἄμικτον, ἀπάνθρωπον. Ἀμείνονα, βελτίονα. Ἄμεινον, κάλλιον, βέλτιον, κρεῖττον. Ἀμείναι, πληρωθῆναι. Ἀμείρεσθαι, στερεῖσθαι. Ἀμείροντες, στερίσκοντες, ἀφαιρούμενοι.

Ἀμεὶς, εὑρίσκεις. Ἀμειφθήσεται, ἀπαντήσεται. Ἀμείψασθαι, ἀποκρίνασθαι. Ἀμείψειν, ἀλλάξειν. Ἀμειψίρωμιν, τὸ ἀλλάσσειν τὸν σχηματισμὸν, ἢ μεταμορφοῦσθαι. Ἀμείψιχρον, μεταβάλλοντα. Ἀμειψικόσμια, ἡ μετακόσμησις. Ἀμειψάμενα, ἀνταπολαβόμενα. Ἀμείψομεν, ἀντὶ τοῦ καταξομεν. Ἀμειψισωμεῖν, μεταμορφοῦσθαι. Ἀμέλγει, ἐκπιέζει τὸ γάλα, αἰτιατικῇ. οἷον, ἐγὼ πρῶτος ἀμέλγω τὰς αἶγας. Ἀμέλγεσθαι, τὸ στερίσκειν. Ὅθεν δὲ ἀμοργὴ αὐτὴ χαλκεία. Ἀμέλεια, καταφρόνησις. ἀμέλεια, καὶ ἀμελία, ἀμφότερα ἑλληνικά. καὶ γὰρ διὰ διφθόγγου, καὶ διὰ τοῦ ι γράφεται. Ἀμέλγειν, τίκτειν, πιέζειν. Ἀμελλήσουσι, ἀφροντιστοῦσι. Ἀμέλει, τοιγαροῦν, τὸ λοιπὸν, ἁπλῶς, καὶ διὰ τοῦτο βεβαιωτικῶς. Ἀμελλητὶ, χωρὶς βραδυτῆτος, καὶ ὑπερθέσεως. καὶ ἀμελλητὶ, ταχέως, μελλήσεως χωρίς. Ἀμελοῦς γωνία, χωρίον Λιβύης. Ἀμελίου, δίκη ζημίου. Ἀμελῶ, ὀλιγωρῶ, ἀφειδῶ, ἀφροντιστῶ, γενικῇ συντάσσεται. οἷον, οὐκ ἀμελητέον τούτων τῶν πραγμάτων. Ἀριστοφάνης, Τοῦ συλλέγειν ἀμελήσας. Ἀμεμαχεῖσθαι, ἀκαταμάχητον. Ἄμεμπτος, καὶ ὁ μὴ μέμψιν δεχόμενος, καὶ ὁ μὴ μεμψίμοιρος ἐστί. τῷ δευτέρῳ χρῶνται οἱ ἀττικοί. ὡσαύτως καὶ ἄβλεπτος, ὁ μὴ βλέπων κρεῖττον, ἢ ὁ μὴ βλεπόμενος ἐστί. Λιβάνιος, ἄβλεπτος ἱμάτια μοναχῶν. Ἀμέμφως, ἀμέμπτως, ἀφόβως. Ἀμὲν, ὃ δὲ μὴ ἔχεις. ἀληθῶς, ἐστὶ μὲν,

ἐστὶ

γματα σῖτα, παρὰ τὸ ἅμα ἀθροίζεσθαι χερσὶ τοὺς σάχυας. ἢ παρὰ τὸ ἀμᾶσθαι, ὅθεν φασὶ καὶ ἀμαλλοδέτην, τὸν δραγματοδέτην. καὶ ἀμάλλιον χοινίον, τὸ καὶ οὐλόδετον, ἐν ᾧ δεσμοῦσι τὰς ἀμάλλας. οἱ δὲ οὐδὲ καὶ τὸ ἀμᾶν, ἐκ τοῦ ἅμα παράγουσιν. ἵνα δηλοῖ τὸ ὑφ᾽ ἓν πολλὰ ἕλκειν. ἑτέρωθι δὲ φέρεται καὶ ταῦτα. ἀμάλλιον, ὃ νῦν λέγουσιν οὐλόδετον. οἱ δὲ ὡρίσαντο τὸν ἐκ τῆς καλάμης συμφόρημον δεσμὸν, ᾧ δεσμοῦσι τὰ δράγματα, καὶ τὴν ἐκ τούτων συγκειμένην ἀμάλλην. ἀμάλλαι γὰρ, αἱ ἐκ τῶν δραγμάτων ἀγκαλίδες. Ἀμάλθεια, πόρνη. πολυφιλοῦσα. Ἀμαλδῦναι, μαρᾶναι, εὐκόλως, ἀσθενῶς, ἁπλῶς. καὶ ἀμαλὸν, ἁπαλὸν, ἀσθενῆ, Εὐριπίδης Ἡρακλείδαις δηλοῖ. Ἅμματα, χοινία. λέγεται δὲ ἐπὶ τῶν σκελῶν τῆς τραπέζης ἀπὸ τοῦ ἐν κοιτίῳ πλάσσεσθαι. οἱ φυσικοὶ τέχνῃ ἅμματα ἔπλεκον, λοξὰς ἐπὶ λοξαῖς συμπλέκοντες.

Ἀμαμαξὺς, ἡ ἀναδενδράς. παρὰ τὸ ἀμμίξαι, ἡ συνδεδεμένα. ἀναδεσμοῦνται γὰρ αἱ ἀναδενδράδες. Ἀμάμυξ, ἀμαμαλος, ὁ γένος σκαφίδος. εἴρηται δὲ ἐπὶ χαλαζώδους, διὰ βακτηρίας ὑπὸ τὰς μασχάλας ἐρειδομένου, καὶ ἐκκρεμάμενον ἔχοντος τὸν πόδα, ὡς βότρυν. Ἀμᾶν, τὸ θερίζειν, ἀπὸ τοῦ ὁμοῦ ἐπισπᾶν. οἷον, ἀμασπᾶν. Ἀμᾶσαι, ἅμαξαν. Ἀμάνδαλον, τὸ ἀφανὲς παρὰ Ἀλκαίῳ. παρὰ τὸ ἀμαλδύνω, ἀμάλδανον, τὸ ἀφανὲς καὶ ἀφανιζόμενον, καὶ καθαιρέσει ἀμάνδαλον. Ἀμάνορες, λοιδοροὶ. ἠλίθιοι. Ἄμαντες, οἱ περὶ Ἐλεφήνορα μετὰ τὴν Τροίας ἅλωσιν, διέβησαν εἰς τὴν ἤπειρον, καὶ ᾤκησαν παρὰ τὰ κεραύνια ὄρη. ἐκάλεσαν δὲ Εὔβοιαν. ὅθεν Ἄβαντες ἐκλήθησαν.

Ἀμάντευτος, ὁ μὴ μαντευόμενος, καὶ περὶ οὗ οὐ μαντεύονται. ὡς ἀμαθὴς ἀδίδακτος, καὶ ἀπαιδευτος. Ἀμαξα, εἶδος ὑποκριτικόν.

Ἀμαξᾶν, ἁμαξῶν. Ἅμαξα, παρὰ τὸ ἄγω, ἅμαξα. ἔστι καὶ ἅμαξα χωρίον Βιθυνίας. ὁ Χωρίτης ἁμαξάτης. Ἁμαξεῖα, ὁ τῶν ἁμαξῶν φόρτος. Ἁμαξεὺς, ζευγηλάτης. Ἁμαξεῦσι, ὁ λαμπτὴρ ὅλος. Ἁμαξιτεία, δῆμος ἐπιθαλάττιος. ὁ φυλέτης, ἁμαξιτεύς. Ἁμαξίποδες, τῆς ὑποτρήσεως τὰ ξύλα, τὰ τοῖς ἄξοσι προσδεδέμενα, τοῖς στρεφομένοις περὶ αὐτά. Ἀμαξίς, τὸ μικρὸν ἁμάξιον. ἡ πλακοῦντος εἶδος. καὶ ἀμαξίς, εἶδος σκαφίδος ἀπὸ ἀναλογίας. Ἀμαξιτὸν, ὁδὸν δημόσιον, καὶ ἁμάξαις διαπρατήν. Ἀμαξιτὸς, ἁμάξαις διοδευτός. καὶ ἁμαξιτὸς, τὸ πλάτιστον τῆς τροιάδος. ὁ πολίτης, ἁμαξιτεύς.

Ἁμαξουργοὶ, καὶ ἀγγειοπηγοὶ, εἶδος τεκτόνων, οἱ τὰς ἁμάξας τεκταίνουσι, καὶ πάντων τῶν ἀγροίκων ξύλων ὄντων ἐργάται.

Ἁμαξουργὸς, ὁ τὰς ἁμάξας κατασκευάζων. Ἀμάρα, ὀχετὸς. ἡ ὑδρορρόα, παρὰ τὸ ἀμαρεῖν τὸ ὕδωρ. ἢ τὰ φύοντα πλησίον, οὐκ ἐᾷ μαραίνεσθαι. ἢ διὰ τὸ παρὰ τὰς αἱμασιὰς ῥέειν.

Ἦμαρ, ἆμαρ, ἡ ἡμέρα. Ἀμάρακος, εἶδος μύρου. ἀπὸ φυτοῦ ἀμαράκου καλουμένου. Ἀμάραν, αὐλακα. Ἀμαράντιον, ἀειθαλές. καὶ ἀμαράντιον, ἄσηπτον. Ἀμάραντος, εἶδος φυτοῦ, ἀφ᾽ οὗ στέφανοι πλέκονται. Ἀμάραντος, πόλις ἐν Πόντῳ. ὡς Ἡρωδιανός φησιν, ὄρη τῆς Κολχίδος, ἐξ οὗ ὁ Φᾶσις ποταμὸς καταφέρεται. εἰσὶ δὲ Ἀμάραντα ὄρη τῆς Κολχίδος, ἐξ ὧν ὁ Φᾶσις φέρεται μὲν ἀπὸ τῶν Ἀρμενίων ὀρῶν. ὥς φησιν Ἐρατοσθένης. ἐκδίδωσι δὲ εἰς Κόλχους, κατὰ θάλασσαν. Ἀμαρυγαί, ἀκτῖνες, λαμπηδόνες, ὄψεις. Ἀμαράσαι, αἱ στοαὶ. οἱ δὲ, λόγοι. Ἀμαργομένη, φραζομένη, ὑφαιρουμένη. Ἀμαρεῖν, ἀκολουθεῖν, πείθεσθαι, ἁμαρτάνειν. Ἀμάρευμα, ἀθροίσματα βορβόρου. Ἀμαρῖδαν, διαλιδοῦν. Ἀμάρα, ἡ ἐν τοῖς κήποις ὑδρορρόα. παρὰ τὸ ἅμα, ἴσως, καὶ ὁμαλὸς ῥεῖν. ἢ οἷον ἀμαρρόη τις οὖσα. ἢ παρὰ τὸ τῇ ἄμμῳ αἴρεσθαι.

Ἀμάρευσι, πόρεις. Ἀμαρία, παρὰ τὸ ἅμα ἄγω. παραγωγὸς ἀπὸ τοῦ συμβαινόμενον. ὁ ἀμάραι, αἱ ἐν τοῖς κήποις κοιλότητες.

Ἀμαρὶς, ὑδρορρόης ὀχετός. Ἀμαρτάδας, ἁμαρτίας. ἀπὸ τῆς ἁμαρτίας εὐθεῖας. Ἁμαρτάνειν, δίχα μὲν προθέσεως κατὰ τὸ σύνηθες λέγεται ἀμετάβατος, καὶ μεταβατικῶς. ἀμετάβατον μὲν, ὅτε δηλοῖ τὸ πλείω ἁμαρτίαν ἐργάζομαι. ὡς τὸ, ἥμαρτον εἰς τὸν οὐρανόν. μεταβατικῶς δὲ ἀντὶ τοῦ ἀποτυγχάνω, συντασσόμενον γενικῇ. οἷον, ἥμαρτον τοῦ σκοποῦ, καθὸ καὶ ἤμβροτον ποιητικῶς, ἀντὶ τοῦ ἀπέτυχον. ὃ κοινῶς λεγόμενον ἠστόχησε. μετὰ δὲ προθέσεως γράφεται ἀττικῶς. μετὰ μὲν οὖν τῆς διὰ, δηλοῖ τὸ ἀποτυγχάνω, συντασσόμενον γενικῇ, καθὰ καὶ τὸ ἥμαρτον. οἷον, διήμαρτε τῆς ἀξίας. μετὰ δὲ τῆς ἐκ, τὸ πταίειν. κυρίως ἐπὶ θεοῦ λεγόμενον, ὃ καὶ ἀμετάβατον. οἷον, ἐξήμαρτεν εἰς θεὸν, ἐξέπεσεν εἰς ἀνθρώπους.

Ἁμαρτάνω, ἀλιτραίνω, ἀλιτῶ, πλημμελῶ. καὶ ἁμαρτάνω, τὸ ἁμαρτίαν ποιῶ, ὃ τὸ πταίω, ἀμεταβάτως. ἁμαρτάνω δὲ, τὸ ἀποτυγχάνω, μεταβατικόν. καὶ συντάσσεται γενικῇ, οἷον ἁμαρτάνω τοῦ σκοποῦ, καὶ τῆς ἀληθείας. ὁμοίως καὶ ἐξαμαρτάνω τοῦ σκοποῦ, διαμαρτάνω τοῦ ὀρθοῦ. ὁ ἥμαρτον, ἀντὶ τοῦ ἀπέτυχον. καὶ ἁμαρτία λέγεται ἡ ἀποτυχία. Ἁμαρτεῖν, γενικῇ καὶ δοτικῇ συντάσσεται. ἀντὶ τοῦ ἀκολουθεῖν, ἀποτυχεῖν. Ἄμαρτεν, ἀπέτυχεν, ἐσφάλθη. Ἁμαρτῇ, ὃ σημαίνει τὸ ἅμα καὶ ὁμοῦ. Ἀρίσταρχος ἀπὸ κοινοῦ εἶναι βούλεται τοῦ ἁμαρτάνειν, καὶ οὐ προσγράφει τὸ ι. ἐλέγχει δέ φασιν αὐτὸν ὁ παρὰ δορὸς ἐπιμερισμὸς αὐτοῦ, καὶ σὺν τῷ ι γράφεται, τῷ χαρακτῆρι τῶν ἐπιρρημάτων. Ἁμαρτῆσαι, κοινῶς. Ἁμαρτήσαντος, συντυχόντος, ὁμοῦ γενομένου. ἢ ὁμοῦ πορευομένου, ὅ ἐστιν ἐπεκληθέντος. Ἁμαρτήσεσθαι, τὸ δι᾽ ἁμαρτίαν σφαλθῆναι. Ἀμαρτοεπὴς, ὁμοῦ προσήκοντα δόρατα. εὐθὺ πόλεως σπεύδοντι. Ἁμαρτία, ἡ τοῦ καλοῦ ἀποτυχία, εἴτε τοῦ κατὰ φύσιν, εἴτε τοῦ κατὰ νόμον. Ἁμαρτίνοος, ὁ κατὰ νοῦν ἁμαρτών. τὰ ἀπὸ περισπωμένων ῥήματα γινόμενα, ἢ διὰ τοῦ ο μικροῦ γίνονται, οἷον, μισῶ μισόξενος, φιλῶ φιλόθεος. ἢ διὰ τοῦ ι. οἷον, ἁμαρτῶ ἁμαρτίνοος, οἰδῶ οἰδίπους. Ἁμαρτωλὸς, ὁ ἁμαρτάνων ἐν τῷ λέγειν. ἢ κατὰ γνώμην πιθανότατα. ἢ κατὰ λέξιν, ἢ τὰ περὶ αὐτήν. Ἀμάρτυς, ἀμαρτύρης. Ἁμαρτωλοὶ, οἱ συνεχῶς ἁμαρτάνοντες. μετὰ τὸ λαβεῖν τὴν ἐπίγνωσιν τῆς ἀληθείας. Ἁμαρτωλὸν, πανοῦργον, μοχθηρὸν, αἱμύλον. Ἀμαρτῇ, ἀκολουθῶν, ἀτελὲς. Ἀμαρυγὰς, τὰς οἷον συνεχεῖς κινήσεις. ὁ ἐπὶ τοῦ πυρὸς λέγεται ἀμαρύσσειν, ἀπὸ τῆς φλόγα συνεχῶς αἴρειν. Ὅμηρος, ἀμαρυγὰς ποσῶν θηεῖτο δ᾽ ἀμ᾽ ὃ πολλὸν καλὸν καλὸν κινεῖν. Ἀμαρυγὴ, ἡ λαμπηδὼν. Ἀμαρυγίη, ὄνομα κύριον. Ἀμαρυγηνοία, βροχία. Ἀμάρυγμα καὶ ἀμαρυγὴ, λαμπηδὼν, αἱ τῶν ὀφθαλμῶν ἐκλάμψεις. Ἡσίοδος, Χαρίτων ἀμαρύγματ᾽ ἔχουσα. σημαίνει δὲ καὶ τὰς τῶν προσώπων ἐμφάσεις. αἱ κόραι εἴρηνται ἀπὸ τοῦ ἀμαυροῦ, διὰ τὸ ἀλαμπεῖς εἶναι καὶ ἀμυδραί. ἡ παρὰ τὸ ἀμάρας εἰκόνας, ἤγουν ὀχετοὺς. ὡς γὰρ ἐκεῖναι τὸ ὕδωρ, οὕτως αὕτη τὴν ὄψιν μετάγουσιν ἐπὶ τὰ παρ᾽ ἑκάτερα μέρη τῆς κεφαλῆς. αἱ γὰρ ἐκλάμψεις εἴρηνται, παρὰ τὸ μαίρω τὸ λάμπω, ἐξ οὗ καὶ τὸ μαρμαίρω, καὶ μαρμαρυγὴ. καὶ μάρμαρον, ἀφ᾽ οὗ καὶ μάρων κύριον ὄνομα. ἐκ τοῦ μαρῶ μέλλοντος, γίνεται μαρύσσω. ἐξ οὗ, καὶ πλεονασμῷ τοῦ α, ἀμαρύσσω, ὃ ἀμάρυγμα. ἢ ἀπὸ τοῦ μαρυγμὴ, ἀμαρυγμὴ, καὶ ἀμάρυγμα. Ἀμαρυλλὶς, ἡ πορνεία. Ἀμαρύσσω, καὶ ἀμαρύσσω, τὸ λάμπω. Ἀμαρὸς, ὄχλος, πλοῦς. Ἀμαρυσία, ἑορτὴ Ἀθήνησιν. Ἀμαρύσσει, στίλβει, λάμπει. Ἀμαρύσσω, τὸ λάμπω καὶ ἀστράπτω. Ἡσίοδος, ἐκ δ᾽ ὄσσων πῦρ ἀμάρυσσε. μαίρω, μαρῶ, ἐξ οὗ μαρύσσω. καὶ πλεονασμῷ τοῦ α, ἀμαρύσσω. Ἀμᾶς χεῖρας, ἤτοι ἡμετέρας χεῖρας. Ἀμᾶν, τὰς πυράμας. ἐργαλεῖα ἵνα ἐπιτήδεια πρὸς τὸ ἀνορύσσειν. Ἀμᾶσθαι, ἐργάζεσθαι τὴν γῆν.

Ἀμαθαίνειν, ἀμαθεῖν. ἐπὶ δὲ ἀμαθεῖν, τὸ θερίζειν. Ἀμασυναλλοι, οἱ σὺν τοῖς οὔκ εἰς γεγάμηνται συνοικοῦσι. Ἀμασός, ὁ ἀμάσητος. ὡς ἄπαυστος, ὁ ἄγαυος. Ἀματίζω, ἀναφυρῶ. Ἀματὶς, ἅπαξ, παραυτίκα. Ἅμα τίσι, σὺν τίσι. Ἀματὶ, ἀντὶ τοῦ ἀμότως, καὶ ἀσχέτως. Ἀμάτορος, μητέρα μὴ ἔχοντος.

Ἀματροχίαι,

τα φασί. ἤγουν ἐν τῷ αὐτῷ τόπῳ. καὶ ὁμοῦ ἦλθον ὁμαίμονες ἅπαντες, ἤγουν ἐν τῷ αὐτῷ τόπῳ. ἰστέον ὅτι δὲ τὸ ὁμοῦ, καὶ ἐπὶ χρονικοῦ φασὶν ἐπιῤῥήματος τίθεσθαι, ὡς τό, εἰ δὴ ὁμοῦ πόλεμός τε δαμᾷ καὶ λοιμὸς Ἀχαιούς. καθά φησιν Ἀσκληπιάδης, εἰ μὴ ἄρα ὡς εἶπε καὶ ἐνταῦθα τὸ ὁμοῦ, ἀντὶ τοῦ ἐν τῷ αὐτῷ τόπῳ, ἤγουν ἐν τῇ Τροίᾳ. καὶ κανόνα διοικῶν, καὶ αὐτὸ μὲν ἅμα χρονικόν. τὸ δὲ ὁμοῦ καὶ χρονικὸν καὶ τοπικόν, παρατίθεται καὶ διὰ ἀμάμαξυς στίχον, τὸ ἅμα μέλει ἐν βοῦν. καὶ μίλτον ἀμάσσουσιν, τὸ ἅμα σὺν αὐτοῖς. ἕτεροι δέ φασιν ἀμάμαλιν ἢ ἀπίας, παρὰ Ἀττικοῖς λέγεσθαι. καὶ ἁμαδρυάδας φασὶ νύμφας, αἳ ἅμα δρυσὶ γίνονται, καὶ ἀπογίνονται. καὶ ὅμα, κατὰ χρονικὴν ἔννοιαν γίνεσθαι λέγεται. οἷον, ἅμα ψυχὴ καὶ σῶμα. καὶ κατὰ τὸ ἀντεξέφορον, οἷον ἅμα ἥμισυ καὶ διπλάσιον, καὶ ἅμα διπλάσιον καὶ ἥμισυ, καὶ κατὰ τὸ διῃρημένον ἐκ τοῦ αὐτοῦ γένους. ἅμα ἐκ τοῦ ζώου, τὸ λογικὸν καὶ ἄλογον. ἅμα, καὶ ὁμοῦ τοῖς ἄλλοις, ἐπιῤῥήματα ἀθροιστικά. διαλαμβάνει συντακτικῶς, οἷον ἐγὼ ἅμα τῷ ὄρθρῳ ἐπείγομαι. Ἄλλως. Ἅμα. Δημοσθένης ἐπὶ τοῦ εὐθέως καὶ παραχρῆμα ἔταξε. παρὰ τὸ θαμά. καὶ ἀποβολῇ τοῦ θ ἅμα. τὸ δὲ πυκνῶς γινόμενον, κατὰ τὴν αὐτὴν ἔννοιαν λέγεται. τὸ δὲ θαμά, ἐστὶ θαμός. ἐξ οὗ τὸ θαμειός, ὡς ἀδελφὸς ἀδελφειός. τὸ θηλυκόν, θαμειαί. τοῦ οὐδετέρου ὁ σύνδεσμος τῶν πληθυντικῶν, θαμά. καὶ τὸ ἐπίῤῥημα, θαμά. οὐ κατὰ τοῦ θαμὸς θαμειός. ἀφ' οὗ τό, θαμινὰ καὶ ἄκρατον. Ἀμάδιος, ἀμάδαρ τῶν νεκρῶν Αἰσχύλος. ἐπιῤῥηματικῶς, ἅμα τῷ προσελθεῖν. ἀπὸ τοῦ ἅμα ἁμάδιος παράγωγον, διὰ τοῦ διος. καὶ πλῆθος ὁ πισθιος χαρακτήρ. Ἀμάδοκος, ὁ Θρᾳκὸς φιλίππικῷ. δύο γεγόνασιν οὗτοι, πατὴρ καὶ υἱός. ὃς καὶ Φιλίππῳ συμμαχήσων, ἦλθεν εἰς τὸν κατὰ Θετταλῶν πόλεμον. ἀμφοτέρων μέμνηται Θεόπομπος, ἐν πρώτῳ τῶν φιλιππικῶν. Ἀμαδρυάδες, νύμφαι Μνησίμαχός φησι, διὰ τὸ ἅμα δρυσὶ φύεσθαι γεννᾶσθαι. ἢ ἐπεὶ δοκοῦσιν ἅμα ταῖς δρυσὶ φθείρεσθαι, νύμφαι ἁμαδρυάδες λέγονται. Ἀμάδρυα, κοκκύμηλα. σικυώνιοι. Ἀμαξευόμενον, ἅμαξα. Ἀμαξοπάγον, τὸ πολυμερές, πόρευμα. Ἀμαξαπόδες, αἱ μηλέαι. Ἀμαζόνες, καλοῦνται οὕτω, ἢ παρὰ τὸ περοῦν τὸν ἕτερον τῶν μαζῶν, οἱονεὶ μονόμαζοι, ὡς ἂν μὴ ἐμποδίζοιντο ἐν τῷ τοξεύειν, εἴτε παρὰ τὸ κεντεῖν ἐπὶ τῶν τρεφόντων. μαζὸν μὲν μαζοῦ εἴληφεν, τέξεσι δὲ σίδηρος. ἢ παρὰ τὸ τὰ πολλὰ μὴ χρῆσθαι μάζαις, κρέασι δέ, καί τινα χελώνας, ὡς αἱ ἱστορίαι φασί, καὶ σαύρας καὶ ὄφεσιν. διὰ δὲ τὸ α σημαίνει πρὸς μόνωσιν, δῆλον ἐκ τοῦ ἁπλοῦ. ὅπερ ἐστὶ μόνον ψιλόν, εἴπερ ἕν. ὡς οἷον ἅπαλον, ἤγουν ἓν πίλον. ἀμαζόνες δὲ ἄρεως μυθεύονται ἀπόγονοι εἶναι, καὶ ἁρμονίας νύμφης καὶ λόγος. ἐλέγοντο δὲ, καὶ ἐπὶ παχεῖς ἵππων ὀχούμεναι, ἄλλοις τε τόποις κατακρατεῖν, καὶ τῶν φρυγίων, ἡγεμόνων αὐταῖς τῆς στρατηγίας μελανίππης καὶ ἑτέρων δυνῶν. ἐπιφανεῖς δὲ ἱστοροῦνται ἀμαζόνες ἄλλαι τε, καὶ ἱππολύτη ἡ θησέως ὕστερον γυνὴ ἀντιόπη, αἴνεια, ἀνδρομάχη, αἴγια, πενθεσίλεια. διὰ δὲ τὴν δεξιὸν μαζὸν ἐκ νηπίων πᾶσαι ἀμαζόνες ἐπεκαίοντο, διὸ καὶ ἀμαζόνες ἐλέγοντο, καὶ ἡ τοῦ Γεωγράφου ἱστορία δηλοῖ.

Ἀμαζὼν, μία τῶν ἀμαζόνων. ἡ σωῖος ἐν τῷ πρὸς Διοκλέα, περὶ τῆς ἀθώωσιν αὐτῆς ἀφηρέσεως ἱστορεῖ. Ἀμάν, ἑβραϊστὶ σημαίνει τὸ βασιλεῦσι. σημαίνει δὲ καὶ ἑλληνιστί, σύγχυσιν. Ἀμαθαίνει, ἄγνωστός ἐστιν. Ἀμαθαίνω, ἀγροικίζομαι. ὅθεν ἀμαθής, καὶ ἀμαθία.

Ἀμαθεῖ, ἀδιδάκτως. Ἀμαθέστατος, καὶ ἀμαθὴς, ἀντὶ τοῦ ἀπαίδευτος, ἀνεπιστήμων. οὕτω Πλάτων. τάσσεται δὲ ἐπὶ τοῦ δυσμαθοῦς, καὶ ἐπὶ τοῦ μὴ μαθόντος, φύσει δὲ ἐπιτηδείου. Ἀμαθὴς, ἀδίδακτος, ἀμύητος. ὁ δὲ ἀκούσας ταῦτα, καὶ μὴ ὢν ἀμαθὴς εἰπών, τὴν παῖδα ἐκποιήσει τρέφειν ὡς γνήσιον. ὁ δὲ ἐστὶν, ἀμαθὴς ἐν γραμμάτων ἀπείρων, καὶ τὸ διὰ λεγομένων ἀναλφάβητον. καὶ ἀμαθὴς, σκαιός, καὶ ἄγροικος. Ἀμαθία, ἀντὶ τοῦ ἀπαιδευσία, παρὰ Πλάτωνι. Ἀμάθοις, τοῖς πεδίοις κείνοις. Ἄμαθος, ἡ ποταμὸς ἄμμος. ἀπὸ τοῦ ψάμαθος, ἀποβολῇ τοῦ ψ, ἡ ἄμμος ἐστί. οὗτος καὶ τὸ ἐν τῇ ἀνακάμψει τοῦ ἄμμου λέγεται,

ἡ περὶ θάλασσαν. Ἀμαθύνεσθαι, ἀφανίζεσθαι. Ἀμαθύνω, ἀντὶ τοῦ ἀφανίζω, ὡς εἰς ἄμαθον. καθὼς οἱ παλαιοί φασιν, εἰς κόνιν καὶ διαλύσιμον. ἢ ἀμαθύνει παρὰ τὴν ἄμαθον, ὃ κόνιν ποιεῖν. καὶ ἀμαθῦναι, τὸ ἀφανίζειν καὶ φθείρειν. Ἀμαία, ἡ Δημήτηρ. ἀγνοία δὲ ἡ κόρη. Ἀμαιμακέτην χίμαιραν, ἤτοι ἄγαν μαιμῶσαν, ἢ ἀπαμάχετον. ἐκ τοῦ α ἐπιτατικοῦ μορίου, καὶ τοῦ μάκος Δωρικῶς, ὃ δηλοῖ τὸ μῆκος, τῆς μα συλλαβῆς ἀναδιπλασιασμῷ. καὶ πλεονασμῷ τοῦ ι. καθ' ὁμοιότητα τοῦ παιπαλόεις, καὶ τοῦ παιφάσσειν, καὶ τοῦ ἐμοίων. καὶ ἀμαιμάκετος ἱστός, ὁ πάνυ μέγας, καὶ ὡς εἰπεῖν ἀμάκετος. ὅτι ἄγαν μακρός, τῆς μα συλλαβῆς ἐξ ἀναδιπλασιασμοῦ μὲν οὔσης, ἐκταθείσης δὲ κατὰ τὴν τῶν διχρόνων ἐπίθεσιν. καὶ ἀμαιμάκετος, ἀκατανόητος. κατὰ δὲ ἄλλους, ἀμαιμακέτην τὴν φοβεράν. παρὰ τὸ μαιμάω, μαιμάκετον. ἐξ οὗ τὸ θηλυκὸν ἀμαιμακέτην. οἷον πρῶτον μὲν χίμαιραν ἀμαιμακέτην. ἢ παρὰ τὴν μάχην, ἀμαιμάχετος καὶ ἀμαιμάκετος. Ἀμάκιον, ἅπαξ. λάκωνες. Ἄμακις, ἅπαξ. κρῆτες. Ἀμακαλίδες, εἶδος καὶ μαστίχου ἐν Ἰταλίᾳ γινόμενον, παρ' Ἱπποκράτει. Ἀμάλαρ τῶν νεκρῶν, ἀπὸ τοῦ ἀμᾶν τῶν ἅλα. Αἰσχύλος, πρωτεσιλάῳ.

Ἀμαλδῦναι, τὸ διὰ τοῦ πυρὸς ἀφανίσαι. ἀπὸ τοῦ μαίρω τὸ λάμπω. ὁ μέλλων, μαρῶ. ἀφ' οὗ τὸ μαραίνω, καὶ προσθέσει τοῦ α, ἀμαρῶ. καὶ τροπῇ τοῦ ρ εἰς λ, ἀμαλῶ. καὶ κατὰ παραγωγήν, ἀμαλύνω. καὶ πλεονασμῷ τοῦ δ, ἀμαλδύνω. ἢ τὸ ἁπλῶ, ἀφανίσαι. ἢ τὸ ὁμαλίσαι παρὰ τὴν ἄμμον. οἷον, ἄμμος ἀμμῶ, ὡς δοῦλος δουλῶ. οὕτως Ὠρίων. Ἀμαλδέξειν, λέξις μέν ἐστι ἰωνική. κεῖται δὲ λόγῳ Αἰσχρίων. γίνεται δὲ ἀπὸ τοῦ ἀμαλόν, ὃ δηλοῖ τὸ ἁπαλόν. πλεονασμῷ τοῦ δ. ὅθεν καὶ ἀμαλάπτειν, παρὰ Λυκόφρονι, τὸ οἷα τὸ ἁπαλὸν καὶ εὔφθαρτον ἀφανίζειν. ὡς δηλοῖ τό, ἠμάλαψε καρχαρος κύων. ἐκεῖθεν δὲ καὶ ἐν ὀδυσσείᾳ τό, ἄρνες ἀμαλαὶ ἐν συναλοιφῇ. ἤγουν, τὰς ἀμαλάς, ἤτοι ἁπαλὰς ἄρνας. ἴωνες δὲ καὶ τὰ ἄρνα φασὶ μαλὰ ἐντελῶς ἐν διευλλαβίᾳ. ὅθεν καὶ παρὰ Θεοκρίτῳ μαλοκάρης. καὶ μαλθόν, τὸ εὔφθαρτον, διὰ ἁπαλότητα. ἢ τὸ μαρανθὸν τὸ ἁπαλὸν σωμάτων. ἢ τὸ σκληρὸν κατὰ ἀντίφρασιν. τὸ δὲ ζητοῦν δισύλλαβον μαλόν, πλεονασμῷ τοῦ α γίνεται καὶ αὐτό, ἀμαλόν. ἐξ οὗ, τὸ ἀμαλδύνειν παράγεται. Ἀμαλδύομεν, ἀφανίζομεν, μαραίνομεν. Ἀμαλοκάδαλος, ὁ θόρυβος. Ἀμαλὰς λέγει Ὅμηρος, ἢ τὰς ἁπαλάς, ἢ τὰς μαλακάς, τριχώδεις, κατὰ τοὺς παλαιούς. ὃν ἴωνες καὶ μαλὰς δισυλλάβως γράφουσι. τὸ μαλὸν δὲ καὶ ἡ ἀμαλὴ τί σημαίνει, ἐξ ὧν καὶ τὸ ἀμαλδύνειν πλεονασμῷ τοῦ δ, ἡ ἰλιὰς δηλοῖ. Ἀμαλή, ἁπαλή, νέα, εἰ ὀξύνοιτο. ἢ δράγματα παροξυνόμενον. Ἀμάλακτος, ἀνένδοτος. Ἀμαλθάκτους, σιδηροῦς, σκληρούς, ἀμαλάκτους.

Ἀμαλθεία. ἡ τροφὸς τοῦ Διός. εἶναι γὰρ αὐτὴν φασὶν ἀμαλακιστίαν. ὅθεν καὶ πεπλᾶσθαι τὸ ὄνομα, παρὰ τὸ μὴ μαλάσσεσθαι. διὰ τοῦτο καὶ τὴν ἡρακλέα καρπιφορωτάτην γενόμενον, ἔχειν αὐτὰς τοὺς κερίας ἐμυθολόγησαν. Ἀμαλθείας κέρας, διὰ τὸ πάντων ἐπιτυγχάνειν. ἐπειδὴ οἱ εὐχόμενοι τῇ οὐρανίᾳ αἰγὶ, ἐπιτυγχάνουσιν. ἢ διὰ ἑρμῆς ἡρακλεῖ ἔδωκε τὸ κέρας, ὅταν τὰς γηρυόνου βοῦς ἔμελλεν ἐλαύνειν. Ἀμαλθεύει, πλουτεῖ, πλουτίζει, ἢ τρέφει. Ἀμαλκεῖν, τὸ μὴ ῥιγοῦν. Ἀμάλλα, ἡ δέσμη τῶν σταχύων. ἢ ἀμάλλαι, τὰ δράγματα τοῦ σίτου, παρὰ τὸ ἀμᾶσθαι. ἢ παρὰ τὸ ἅμα ἀολλίζεσθαι ταῖς χερσί, τὴν τοῦ σίτου μετὰ τῶν ἀσταχύων καλάμην. Ἀμαλλεῖον, φραγμεῖον. καὶ ἀμάλλιον χοινίον, ἐν ᾧ δεσμεύουσι τὰς ἀμάλλας. Ἀμαλλοῖ, ἀφανίζει. Ἄμαλλοι, φυτὰ σικύων, ἢ τῶν ὁμοίων.

Ἀμαλλόν, ἰσχυρόν. Ἀμαλλοδετῆρες παρ' Ὁμήρῳ, οἱ τὰς ἀμάλλας δεσμοῦντες. ἀμάλλα τὸ ἐν ἀγκάλαις συμπλεγμα τῶν δραγμάτων, ἅπερ οἱ δραγμεύοντες παῖδες παρεκόμιζον. ἀπὸ ταύτης τῆς ἀμάλλης, καὶ Δημήτηρ ἀμαλλοφόρος, ἢ ἴουλον ἀθηναῖοι. ἀμάλλαι δὲ κατὰ τοὺς παλαιούς, δρά-

σαλος, ὡς εἰκὸς, ἐξαίρετον. ἢ ὅτι ἀχίλλεια ἐλέγετο τὰ ἄλφιτα, ὧν μνημονεύειν καὶ τὸν κωμικὸν ἐν ἱππεῦσι φασὶ λαβεῖν. Ἀλφιτοκίλας μελίνας, ἀντὶ ἀλφιταμοιβός. Ἀριστοφάνης ἐν πόλεσιν, τὸν ἀλφιταμοιβοῦ κωμικὸν τὴν διχοίνικα. καὶ ἀλφιτόπωλις, ἡ τὰ ἄλφιτα πωλοῦσα. Ἀλφιτεῖς, οἱ τὰ ἄλφιτα ποιοῦντες. οὕτως ἐν πόλεσιν. Ἀλφιτόμαντις, ἡ ἀλφίτοις μαντευομένη. Ἀλφίτου ἀκτὴ, ἐν ᾗ τὰ ἄλφιτα ἐπώλουν. Ἀλφεῖ, εὕροι παρ᾽ Ὁμήρῳ. οἷον, τὸν μὲν μυρίον ὤνον ἄλφοι, ὃ ἐστὶν εὑρήσει. ἀφ᾽ οὗ καὶ ἀλφεσίβοια, ἡ βόας ἀλφαίνουσα. λόγῳ προικός, διὰ κάλλος. ἐν οἷς ἰστέον, ὅτι τὸ μὲν ἄλφει, κατὰ τὸ ἐλλειπτικόν, ἐλλειπτικὸν κατὰ τόπον ἐστὶ τὸ ἔσχατον, ἐγχειρουμένου ἐγκλιτικὸν γίνεται, ἐκ τοῦ ἄλφω ἀλφαίνω, ἀφ᾽ οὗ ἀλφησταί. Ἀλφός, πάθος τι. παρὰ τὸ ἐκκαλεῖν τὴν χροιάν, ἀλλοίως τις ὤν. ὁ ἀλλοιοφανής, τὸ χρῶμα ἐπιτείνων. Ἀλφούς, λευκούς, ἢ λευκαίς. Ἀλφός, παρὰ τὸ ἀλλοφανής τις εἶναι. σημαίνει δὲ τὸν λευκόν. Ἀλχηρὰς ὕπνος. ἁπλῶς, οὐκ ἔχων χαράν.

Ἀλῶ, ληφθῶ, ποιηθῶ, ἀποθάνω. Ἅλωα, τὰ περὶ τὴν σελήνην περιλαμβάνει. καὶ ἀλῶα, Δημοσθένης ἐν τῷ κατὰ νεαίρας, ἑορτή ἐστιν ἀττικὴ τὰ ἀλῶα ἥν φησι Φιλόχορος ὀνομασθῆναι, ἀπὸ τοῦ τότε τοὺς ἀνθρώπους τὰς διατριβὰς ποιεῖσθαι περὶ τὰς ἅλως. ἄγεσθαι δὲ αὐτήν φησιν ἐν τῷ περὶ ἑορτῶν, ποσειδεῶνος μηνός. Ἀλωάς, τὰς ἅλως, ἢ ἀλωιάς. καὶ ἀλωὰς ἱερὰς ὀνομάζει Ὅμηρος, οὐ μόνον διὰ τὸ ἀνακεῖσθαι τῇ Δήμητρι, οἷά τινα τεμένη, ἀλλὰ μάλιστα διὰ τὸ ἐπ᾽ ὠφελείᾳ εἶναι ἀνθρώπων. οὕτω γὰρ πόλεις ἱερὰς φησιν, ὡς ἀνθρώπων οὔσας φυλακτικάς, καὶ διὰ τὸ θείας λαούς. ἀλωὴ δὲ οὐ μόνον ἡ φυτοφόρος γῆ, ἀλλὰ καὶ ὁ τόπος ἐν ᾧ πατεῖται ὁ πυρός. ψιλοῦται τῆς λέξεως ἡ ἀρχή, ὡς δῆλον ἐκ τοῦ εἰπεῖν κατ᾽ ἀλωάς. καὶ γράφουσιν οἱ παλαιοὶ τὴν τόπον παραλήγουσαν σὺν τῷ ι, διὰ τὸ γίνεσθαί φασιν, ἐκ τοῦ ἀλοιῶ τὸ συντρίβω. ἢ ἐκ τοῦ ἀλοῶ, ἐκτάσει τοῦ ο εἰς ω. Ἀλώβητοι, ἀνύβριστοι, ἀβλαβεῖς, ἀμώμητοι. Ἀλῶ, ἐκ τοῦ ὑποτακτικοῦ. οὕτω καὶ κανονίζεται. ἀλόω, καὶ παράγωγον ῥῆμα ἁλώμι, συζυγίας τρίτης τῶν εἰς μι. ἔστι δὲ ἄχρηστον. ὁ δεύτερος ἀόριστος, ἧλων ἄχρηστον, καὶ ἀττικῶς ἑάλων εὔχρηστον. ὁ μετοχὴ ἁλούς τοῦ ἁλόντος, καὶ τὸ ὑποτακτικόν, ἐὰν ἁλῶ, ἁλῷς, ἁλῷ. καὶ ἁλῷ τὸ πληθυντικόν. ἐστὶν ἁλῶτες. Ἁλώω, ἁλώμι, ἁλώσω, ἧλων, ἁλοὺς ἁλόντος. καὶ τὸ ὑποτακτικόν, ἐὰν ἁλῶ, ἁλῷς, ἁλῷ. καὶ ἁλώω, προσθήκῃ τοῦ ι. ἀλώη δέ, ἐκ τοῦ ἀλοῦς ἀλόντος ἀλοίη γίνεται ἀλώη, κατὰ ἐκτασιν συνέβη. ὁμοίως τῷ δοὺς δόντος, δοίην δώην. πλεῖον δὲ παρὰ τοῖς ὕστερον ἡ χρῆσις τοῦ ἀλοίη, ὥσπερ καὶ τοῦ δοίη. Ἀλωή, τέσσαρα σημαίνει. κυρίως μὲν γὰρ ὁ ἀμπελόφυτος τόπος, ὡς κατακολουθῶν τοῦ ἁπλῶς πεδίον. λέγεται ἀλωὴ καὶ ὁ δενδροφόρος τόπος, ἐπεὶ δαψιλῶς, ἡ αὐτῆς λόγον τῆς ἁπλῶς γῆς. ἀλλὰ καὶ ὁ λαχανοφόρος τόπος ὁμοίως, καὶ αὐτοῖς διὰ τὴν αὐτὴν αἰτίαν. ἀλωὴ δὲ καὶ ἡ ἅλως. καὶ ἀλωή, τριχῶς. ἥτε σιτοφόρος γῆ, καὶ ἡ δενδροφόρος, καὶ ἡ ἀμπελόφυτος. διὸ ὁ ποιητὴς ἀλωῆς εἰπών, ἐπήγαγε καὶ οἰνοπέδοιο, ἵνα μὴ ἀσαφὴς ἡ λέξις ᾖ. ἰστέον δέ, ὅτι ἀλωὴ ἐστὶ καὶ ἡ ἅλως, ἐκ τοῦ ἀλοιῶ τὸ τύπτω ἢ συντρίβω, ἐκτάσει τοῦ ο εἰς ω, ἔνθα τρίβονται οἱ καρποί. Ἀλωιάδαι, τὴν περὶ τούτων ἱστορίαν καὶ Ὅμηρος οἶδεν. Ἐρατοσθένης δὲ γηγενεῖς αὐτούς φησι. διὰ δὲ τὸ ἀνατετράφθαι ὑπὸ τῆς ἀλωέως γυναικός, μυθεύονται ὡς ἀλωέως εἰσὶν υἱοί. Ἡσίοδος δέ, ἀλωέως καὶ Ἰφιμεδείας κατ᾽ ἐπίκλησιν. ταῖς δ᾽ ἀληθείαις, ποσειδῶνος καὶ Ἰφιμεδείας αὐτούς, καὶ ἄλλον πόλιν οἰκοδομεῖν ὑπὸ τοῦ πατρὸς αὐτῶν ἐκτίσθαι. ἧς Ὅμηρος μνημονεύει. οἵ τ᾽ ἄλον εἶχον. Ἀλώη, κρατηθῇ. ἔχει τὸ ι προσγεγραμμένον ἐν τῇ παραληγούσῃ. ἔστι γὰρ ἐὰν ἁλῶ, ἐὰν ἁλῷς, ἐὰν ἁλῷ. καὶ κατὰ πλεονασμὸν τοῦ η, γίνεται ἀλώη. ὥσπερ ἐὰν γνῶ γνῷς γνῷ. γνώη ἐκ τοῦ ὑποτακτικοῦ. καὶ ἐὰν φῶ, φῇς, φῇ, φήῃ. δύναται καὶ τὸ ἀλώη μὴ ἔχειν τὸ ι κατὰ τὴν παραλήγουσαν, ἀλλὰ κατὰ τὴν λήγουσαν. ἵνα εἴπωμεν αὐτὸ ἐκ τοῦ προσθήκαι. ἐὰν ἀλόω, ἐὰν ἀλώῃς, ἐὰν ἀλώῃ. Ἀλῶμαι, τὸ πλανῶμαι. ἀφ᾽ οὗ καὶ ἄλη, ἡ πλάνη. καὶ ἀλήτης, τὸ ἐν λόγῳ χρείᾳ γινόμενον κατὰ ἀπορίαν. καὶ ἀλήτης κύμα, ἡ ἀκατάστατος καὶ πλανωμένη. Ἀλῶναι, ἁλῶμι, ἁλώσω, ἧλων. τὸ πρῶτον τοῦ πληθυντικοῦ, ἥλωμεν. καὶ τὸ ἀπαρέμφατον ἁλῶναι. καὶ ἁλῶναι, ἀπολέσθαι, ἀποθανεῖν, ἐνεδρευθῆναι, διαφθεῖραι. Ἀλωπεκῆ, ἐνδυμα χλανιδῶδες. Ἀλωπεκῆ, μετὰ τοῦ ι παραλήγουσιν οἱ παλαιοί, ὡς ἐκ τοῦ ἀλοιῶ τὸ συντρίβω. ὅτι τε ψιλοῦσθαι οὕτω τὴν ἀλωπεκήν. ἐν μὲν τοῖς Ἀντίοχος καὶ Ἡρωδιανὸς λέγεται, ἐν τῷ πεντηκοστῷ κατὰ τὴν ψ ῥαψῳδίαν. ὅθεν ἀλωπεκεῖαι μὲν δασύνονται, σημαίνει τὴν ἅλωνα. αἱ δὲ ψιλοῦνται, τὴν ὁμώνυμον γῆν. Ἀλώπηκα, τὰ βάρβαρα ἀνδράποδα. ἢ γὰρ ἅλωσιν διαλόντες τοῖς ἐχθροῖς, ὅσοι εἰς τὰ ἀνδράποδα. Ἀλωπέκη, ἐν ἅλωσι διάγουσα. Ἀλωπὰ, ἡ ἀλώπηξ. Ἀλωπεκάδας, πανοῦργος. Ἀλωπεκίας νόσος ἡ περὶ τὴν κεφαλήν. ἢ καὶ διὰ διφθόγγου γράφεται. Ἀλωπέκιος, ἄμπελος οὕτω καλουμένη. καὶ ὁ ἀπ᾽ αὐτοῦ οἶνος. Ἀλωπεκῆ, δῆμος τῆς ἀντιοχίδος. ὁ δημότης, ἀλωπεκῆθεν, καὶ ἀλωπεκῆθεν. ποῦν δὲ ὀνομάζεσθαι, Φιλόχορος ἐν τρίτῳ δηλοῖ. Ἀλώπηξ, καὶ κλίνεται ἀλώπεκος. σημειοῦται ὅτι ἔτρεψε τὸ η εἰς ε ἐν τῇ γενικῇ. καὶ ἔστιν εἰπεῖν, ὅτι τὰ εἰς ηξ θηλυκά, οὐ φαίνεται παραληγόμενα τῷ ω, διὸ οὐκ ἀντίκειται. ἀρσενικὸν γάρ ἐστιν. ἐπεὶ οὖν τὸ ἀλώπηξ θηλυκόν ἐστι παραληγόμενον τῷ ω, εἰκότως ὡς παραλλάξαν κατὰ τὴν παραλήγουσαν, παρήλλαξε καὶ κατὰ τὴν κλίσιν. λέγεται καὶ ὁ ἀλώπηξ. καὶ ἀλώπηξ, ἀρχαϊσμὸς ἐστί. καὶ ἀλωπεκίαν μύωπα, ὡς Σοφοκλῆς. ὅπερ ἐστὶν ἐν σώματι, πάθος γινόμενον. Ἀλωπεκία, πάθος ψιλωτικόν, τῶν τριχῶν καὶ τοῦ γενείου. ἡ μεταφορὰ ἀπὸ τοῦ ἀλώπεκος, ὅπου ἐὰν οὐρήσῃ, τὸν τόπον ἄκαρπον ποιεῖ, ξηραίνουσα καὶ τὴν προϋπάρχουσαν βοτάνην, καὶ ἑτέραν ἀναβλαστῆσαι οὐ συγχωρεῖ. τινὲς δὲ λέγουσιν, ἀλωπεκίαν, τὴν περικεφαλαίαν. Ἀλωπεκόννησος, πόλις μία τῶν ἐν Χερρονήσῳ. Ἀλωπεκίαι, αἱ τῶν ἀλωπέκων καταδύσεις. Ἀλωπεκίδες, εἶδος κυνῶν. Ἀλωπεκίζειν, ἀπατᾶν, πανουργεῖν, κολακεύειν. Ἀλωροῦται, οἱ τὴν ἅλω φυλάσσοντες. Ἅλως, τῆς ἅλω, κλίνεται ἀττικῶς. καὶ ἅλως, τὸ ἁλώνιον, παρὰ τὴν τῶν ἀσταχύων ἀλοίησιν ἢ συντριβήν. καὶ ἅλως ὡς, ὅ τε ἡλίου ἢ σελήνης περιφέρεια. Ἀλούς, κρατηθείς.

Ἀλώσιμα, καταληπτά. Ἀλώσιμον, τὸ ληφθῆναι δυνάμενον. Ἅλωσις, καὶ ἀλωτός, καὶ ἀνάλωτος, κυρίως ἐπὶ τοῦ κρατουμένου ἐν πολέμῳ λέγεται, ἢ μὴ κρατουμένου. καταχρηστικῶς δὲ, καὶ ἐπὶ τοῦ ἄλλως κρατουμένου. καὶ ἅλωσις, ἐρήμωσις, πόρθησις.

Ἀλώσεως, ὀλέθρου, θανάτου. Ἀλώσονται, ληφθήσονται, πολεμηθήσονται. Ἀλώσαντες, παράδοντες. Ἀλωσομένων, ἀφανιζομένων. Ἄλωσοι, ἄρρηφοι. Ἀλώσω, ἐνταναλώσω.

Ἀλωτόν, ληπτόν. ἀλωτὸν γὰρ λέγεται, τὸ δυνάμενον ληφθῆναι. καὶ δυσάλωτον, τὸ δυσκόλως ἔχον ληφθῆναι. οἷον ὁ αἰχμάλωτος, ὁ διὰ τῆς αἰχμῆς ληφθείς. καὶ ἀνάλωτος, οὗ οὐ δύναται τις ἐπιλαμβάνεσθαι. ἀλωτὸν δὲ τὸ πεπλανημένον, οὐδέποτε λέγεται. ὀρειάλωτον δέ, τὸ ἐν τῷ ὄρει πεπλανημένον. τοῦτο παρὰ τὴν συνήθειαν εἴρηται. οὐδέποτε γὰρ ἀπὸ τοῦ ἀλῶ, τοιαύτη γίνεται σύνθεσις.

Ἀλωφούς, λευκούς.

ΤΟ Α ΜΕΤΑ ΤΟΥ Μ.

Ἀμα, χρονικὸν ἐπίρρημα παρὰ τῷ ποιητῇ. τὸ δὲ ὁμοῦ, τοπικόν. οἷον, Σόλων ἅμα μὲν ἤγαγε ὑπαχάζοι δὲ τῷ σῷ σκύθῃ. ὡς ἂν αὐτὸν χρόνον ἀκμάσαντας. ὁμοῦ δέ, οὐκέτι. οὐ γὰρ ἐν τῷ αὐτῷ ἐγενέσθησαν. λέγει δὲ καὶ Ὅμηρος, ἔνθα δ᾽ ἅμα, οἰμωγή τε καὶ εὐχωλὴ πέλεν ἀνδρῶν. ἤγουν, ἐν τῷ αὐτῷ χρόνῳ. καὶ οὕτω μὲν χρονικὸν τὸ ἅμα. τόπον δὲ δηλοῖ τὸ ὁμοῦ, ἐν τῷ ὁμοῦ ἐτρεφόμεθα, καὶ ὁμοῦ ἐπαιδεύθημεν, καὶ σύμμα-

νος. ἢ ἀλόεσσα, χώρα βοιωτίας ἀπὸ ἀλοέως. Ἀλίβας, ὄρος. οἱ δὲ λίμνην. εἶναι δὲ καὶ πόλιν ἀλίβην. Ἀλίβη, ὄνομα πόλεως, καὶ πόλις τρωϊκή. Ἄλυγος, ἤγουν μάστιγος. Ἀλόδιμον, πικρὸν, παρὰ Σώφρονι. Ἀλόδλαιος, ὁ ἱκανὸς ἄτιμος. Ἀλόδιμος, ὁ αἰσχυρός. Ἀλυθμαίνειν, ἀλύειν, ἀπορεῖν. ἀπὸ τοῦ τὴν λύσιν μὴ εὑρίσκειν. δηλοῖ δὲ καὶ τὸ χαίρειν καὶ διαχεῖσθαι.

Ἀλύειν, τὸ ἐν ἴσῳ χρείᾳ γινόμενον ἴσα ἀπορεῖν. ἀλύειν φιλοῦσιν, ὡς ὁ σωματοφύλαξ δηλοῖ. ἔστι δὲ ἀλύειν τὸ ἀδημονεῖν, καὶ οἷον ἐκλελύσθαι. ἔστι δὲ ὅτε καὶ ἐπὶ τοῦ ἐναντίου τίθεται, ἐν ἄλλοις διδάσκεται. ἢ ἀλύειν, τὸ χαίρειν. παρὰ τὸ ἄγαν λελύσθαι καὶ διαχέεσθαι. καὶ ἀλύειν, τὸ ἐν ἄλῃ διαφέρειν. σημαίνει δὲ ἐνίοτε καὶ τὸ γεγηθέναι, ἀπὸ τοῦ ἀλίαν ἢ διαχέεσθαι. Ὅμηρος, Ἦ ἀλύεις, ὅτι Ἶρον ἐνίκησας τὸν ἀλήτην. ὅθεν καὶ διασύρεται. Ἄλυζον, ἄλυπον.

Ἀλυκὴ, ἐὰν μὲν τὸ α δασύνηται, ἡ θάλασσα. ἐὰν δὲ ψιλοῦται, ἡ λύκος μὴ ἔχουσα. Ἀλυκὸν, ἁλμυρὸν, χλιαρὸν, ψυχρόν. οἱ δὲ θερμὸν, δριμύ. ἀλυκὸν δέ οἱ ἔκπωσι(?) λέγουσι(?). Ἀλυκτάζει, ἐρύκεται, φοβεῖται, ἀπορεῖ, λύσιν οὐχ εὑρίσκει. Ἀλυκτεῖ, ὑλακτεῖ. ἐρυκτεῖ(?). Ἀλυκταίνειν, φεύγειν, ἀλυσκεῖν, κλαίειν, λυπεῖσθαι, δυσφορεῖν, θορυβεῖν. Ἀλυκτοσύνη, φυγή, ἔκκλισις, ἀκοσμία. Ἀλυκτοπέδαι, δεσμὸς ἄφυκτος, ἢ ἄφυκτος, ἀλυκτοπέδη τις οὖσα. καὶ πλεονασμῷ τοῦ π, ἀλυκτοπέδη.

Ἀλυκὸν, ὃ οὐ δύναταί τις φυγεῖν. Ἀλυκτόπεδος, ὁ μὴ λυόμενος. Ἀλυκτώδης, ἀπηλυτώδης, θορυβώδης. Ἀλυκώδη(?), εὐδιαλυτόν(?). Ἀλύνα, φύλα. Ἄλυξαι, ἐξέφυγεν. καὶ ἀλύξαι, ἐκκλίναι, ἐκφυγεῖν. Ἀλύοις(?), ἀλημονεῦσι(?), ὁ χαίρων. Ἀλυκὸν, ψυχρὸν, ἢ χλιαρόν. οἱ δὲ, ἁλμυρόν. ἄλλοι, θαλάσσιον. ἀλυκὸν δὲ, τὸ θερμόν. καὶ ἀλυκὸς, ἁλμυρός. Ἀλυκρὰ, χλιαρά. τινὲς δὲ ἀλυκρά, ἢ θαλερά. Ἀλυκτεῖν, ἀλυσκαίνειν, δυσφορεῖν, ἀγανακτεῖν. Ἀλὺς, ἀπορία, πλάνη, λύπη, βλάβη.

Ἅλυς, ποταμὸς παφλαγονίας. ἢ ἅλυς καὶ ἴαμος(?), ποταμοὶ τῆς παφλαγονίας. Ἀλυσθένεια, ἀσθένεια. Ἀλυσθαίνειν, ἀλυσσίειν(?), ἀσθενεῖν. Ἀλυσκάζω, ἀποδιδράσκω, πλανῶμαι, ἐκκλίνω, ἐκφεύγω. Ἀλυσιτέλεια(?), ἀκαιρία(?). Ἀλυσάργος(?), ἀλύτης(?). Ἀλυσαίνειν, ἀθυμεῖν, ἀδημονεῖν. Ἀλυσῶται(?), παρατηροῦ(?). Ἀλύσιτον, λυπηρόν, ἄλυτον, χλιαρόν. Ἄλυσον, τρυβλίον.

Ἀλυσίδιον, κόσμος ἢ ἁλυσιδωτὸς θώραξ. Ἀλύσιον, πλοκίον εἶδος περὶ τὸν τράχηλον. Μένανδρος, περὶ τὸν τράχηλον ἀλύσιον τί βαλόντα. Ἀλυσιτελὴς, ἀσύμφορον, βλαβερὸν, ἀνωφελές. Ἀλυσίδετος, ἀλύσει δεδεμένος. Ἀλυσμὸν, ἀπορίαν, ῥιπτασμὸν, πάσῃ ἀκρασίᾳ(?). Ἄλυσις, παρὰ τὸ λύω λύσω. ἄλυτος γάρ ἐστιν. ἢ παρὰ τὸ ἄλλο ἄλλως ἐφέρεσθαι(?). ἔστι δὲ ἡ ἐκ χαλκοῦ, ἢ σιδήρου, ἢ ἀργύρου, ἢ χρυσοῦ πεπλεγμένη σειρά. Ἄλυτα(?), ὄνομα πόλεως. Ἀλυτάρχης, ὁ τῆς ἐν τοῖς ὀλυμπιακοῖς ἀγῶσιν εὐκοσμίας ἄρχων. ἄλλοι δὲ, οἱ ῥαβδοφόροι, ἢ μαστιγοφόρους. Ἄλυτος, ὁ δυσχερῶς λυόμενος, ὡς τὸ, ἄλυτος ἐδάσαι(?), γηρασκὴς(?) … καὶ ἐν ἐπιγράμμασιν ἄλυτος … ἐπὶ γήρως ἡμῖν. καὶ ἄλυτον, ἀκατάλυτον, ἀκατάπαυστον.

Ἀλύσσω, τὰς ἀφιλίας(?) καλοῦσιν οἱ ἴωνες(?). Ἀλύσκειν(?), λυπεῖν(?). Ἀλυσκάζω, ἐκ τοῦ ἀλύσκω. ἀμφοῖν δὲ τὸ ἀλύω. ὡς γὰρ μαθέω μαθάνω(?), οὕτω καὶ ἀλύω ἀλύσκω. καὶ ἐξ αὐτοῦ ἀλυσκάζω. Ἀλύσκει, ἐκφεύγει. Ἀλύω, τὸ ἀλημονῶ. παρὰ τὸ ἀλῶ ἀλάω(?). ἐξ οὗ ἄλυς ἡ πλάνη. Ἀλύσσοντες, γεγονότων(?) … δηλοῖ, παρ' Ὁμήρῳ. ὡς καὶ ταῦτα φασὶν εἶδος … τοῦ γέροντος. ἔστι δὲ τὸ ἀλύσσοντα, ἢ ἄλλως ἔχοντα, ἢ τι ἀλημονοῦντα, διὰ τὸ … ὅπερ τοῖς … συμβαίνει … ἐν δὲ … λεξικῷ εὕρηται καὶ ταῦτα, ἀλύειν, τρέμειν, πάλλεσθαι, πηδᾶν, δυσφορεῖν, λύσιν μὴ εὑρίσκειν, μαίνεσθαι. Ἀλύω, δυσφορῶ, λυπῶ. ἢ ἀλύω, μέση λέξις. τὴν μὲν … ἀδημονεῖν σημαίνει, νῦν δὲ τὸ χαίρειν. Ὅμηρος, Ἦ ἀλύεις ὅτι Ἶρον ἐνίκησας, … ἐκλείουσα(?) τῇ χαρᾷ. ἐπὶ ἀλημονίας ἡ λέξις κεῖται, μάλιστα παρὰ τοῖς ὕστερον, ὡς ἀπὸ τοῦ ἐκλύειν. ἄλυς γὰρ ἐντεῦθεν ἡ ἀλυμονία(?), ὡς οἱ παλαιοί φασιν. ἀλλάσσειν(?), ῥιπτασμόν. ἢ ἀλύειν μηδὲν πράττειν. Ἄλφα, βοὸς κεφαλή. ἢ ἄλφα, τὸ στοιχεῖον. περὶ οὗ ἰστέον, ὅτι χωρὶς ἄρθρου διδάσκουσιν … οἱ δὲ σὺν ἄρθρῳ, πλαγίως … Ἀλφάζω(?), νοῶ(?), ἱπποῶ(?). Ἀλφάδιον, ἰχθύον. Ἀλφαδεῖ, εὑρίσκει. δηλοῖ καὶ τὸ ἀλφαίνειν, ὅπερ καὶ ἀλφαίνειν λέγεται. Ἄλφανσις(?), μάθησις ζωῆς(?). Ἀλφειὸς, ποταμὸς ἐν Ἤλιδι, ἢ ἀρκαδικῆς πόλεως. ἐκαλεῖτο δὲ κατὰ τὸν γεώγραφον, ἀπὸ τῆς τῶν ἀλφῶν θεραπείας. ἢ παρὰ τὸ τοὺς ἀλφοὺς θεραπεύειν. ἢ παρὰ τὸ ἄλφειν, ὅ ἐστιν ὠφελεῖν. ὠφέλιμον γὰρ αὐτοῦ τὸ ὕδωρ. Τὰ διὰ τοῦ ειος τρισύλλαβα ἐπὶ ποταμῶν ὀξύτονα ὄντα, δίφθογγον ἔχει. οἷον, πηνειός. σπερχειός, κεῖται ὀξύτονα, διὰ τὸ μανιός(?). γράφεται γὰρ διὰ τοῦ ι. τρισύλλαβα δὲ, διὰ τὸ … γάμος(?). Ἀλφεσίβοιαι, αἱ βόας ἀλφαίνουσαι, ἢ αἱ πολλὰς βόας εὑρίσκουσαι ἀπὸ τῶν ἐδνῶν. ἔχει δὲ ῥῆμα διαφορούμενον τῇ κλίσει. μέλλων τῆς αὐτοῦ καὶ διὰ τοῦ ς, ἀφ' οὗ ἀλφεσίβοια, καὶ διὰ τοῦ η, ἀφ' οὗ ἀλφηστής. ἡ δὲ λέξις αὕτη ὁμώνυμος. ἀλφησταὶ, οὐ μόνον ἄνθρωποι, κατά τι κοινὸν ἐπίθετον, ἀλλὰ καὶ ἰχθύων εἶδος. μονάκανθοι δὲ κιρροί, … πορφυρίζοντες κατά τινα μέρη. … φασὶν ἀλισκομένων σὺν δύο, φαίνεσθαι τὸν ἕτερον κατ' οὐρὰν ἑπόμενον. ὅθεν διὰ τὸ κατὰ πυγὴν θατέρου τὸν ἕτερον ἀκολουθεῖν, Ἀπολλόδωρος τοὺς ἀκρατεῖς καὶ κατωφερεῖς, ἀλφηστὰς εἶπεν ἐν … καταπυγωτέρων ἀλφηστῶν. Ἄλλως. Ἀλφεσίβοιαι γυναῖκες λέγονται, ὅσαι τοῖς προῖκα βόας ἦλφον. καὶ ὡς εἰ καὶ … τὸ ἀλφεῖν. ὅμως οὐκ ἂν ῥηθεῖεν κατὰ αὐτὸ ἀλφησταὶ οἱ πιοῦντες(?), ἀλλὰ κατὰ τὸ κοινόν. κυρίως γὰρ ἀλφησταὶ πάντες ἄνθρωποι, διὰ τῶν περὶ τὰ πρακτικὰ εὑρετὰς μέθοδον, ἢ τὴν κατὰ τέχνας καὶ ἐπιστήμας εὕρεσιν. Ἀλφὴ, ἡ εὕρεσις, ἢ ἡ τιμή, ἢ ἡ εὕρεσις. Ἀλφησταὶ κυρίως, οἱ ἄνθρωποι, ὡς ἐφευρετικοὶ καὶ ἐπινοητικοὶ τεχνῶν τε καὶ μηχανῶν, καὶ βουλευμάτων καὶ ἑτέρων, ὧν τοῖς ἀλόγοις οὐ μέτεστιν. ἀλφεῖν γὰρ τὸ εὑρίσκειν. ἐξ οὗ τὸ ἀλφαίνειν παράγωγον, καὶ τὸ τιμαλφεῖν, καὶ τὸ τιμαλφές. τοῦτο ὁ μέλλων οὐ μόνον ἀλφήσω, ἐξ οὗ ἀλφηστὴς, ἀλλὰ καὶ ἀλφέσω, ἐξ οὗ ἀλφεσίβοιαι, ὡς δὲ καὶ ἰχθύων ὄνομα οἱ ἀλφησταὶ, ἱστορεῖται. διὸ πρὸς διακολλῶν(?) ἴσως ἔγραψεν Ὅμηρος τὸ, ἀνδράσιν ἀλφηστῇσιν. καὶ ἀλφησταῖς, τοῖς εὑρετικοῖς(?) καὶ συνετοῖς. Ἀλφιτὴς, ὁ ἐφαρμοστὴς(?), ἀπὸ τοῦ ἄλφω τὸ ἐφαρμόζω καὶ διανέμομαι(?). Ἄλφι, ἄλφιτον. τοῦτο δὲ ἐκλείπεται ἀπόκοπεν(?), ὅ φασι πρῶτον εὑρεῖν, Ἐπίχαρμον. Ἀλφιταμοιβὸς, ὁ ἐναλλάττων καὶ πιπράσκων τὰ ἄλφιτα, ἢ ὁ ἀμείβων ἀντὶ ἀργυρίου ἄλφιτα. οὕτω καὶ ἀργυραμοιβοί, οἱ ἀντὶ ἀργυρίου κέρματα ἀμείβοντες. τὸ δὲ ἐργαστήριον, ἀλφιτεῖον, μύλων, ζώτριον(?), ζυτρεῖον(?), χόνδριον, χονδροπωλεῖον(?). καὶ τὰ ἐργαλεῖα, ὅλμος ὁ ἀλίθων(?), καὶ ἡ τράπεζα μόλα(?). καὶ ὁ τῆς ἐργασίας προεστώς, μυλωθρός, καὶ μυλωθρός. Ἀλφασία(?), ἰχθύος εἶδος, ἢ ὁ ἔλλοψ(?). Ἀλφιτοάστη(?), τὸ βάλλειν καὶ ἱερατεύειν(?) τοῦ ἀλφίτου. Ἀλφιτία, ἡ λευκὴ πέτρα(?). Ἀλφιτοσέπαι(?), ἀλφιτομάντεις. Ἀλφιτόχρους, λευκή, πολιά. Ἄλφιτον. λεπτὸν τοῦτο εὐτελέστερον ἀλεύρου εἶναι. οἱ δὲ μεθ' Ὅμηρον, ἐπὶ κριθίνου ἀλεύρου, ἐπὶ πυρίνου τὸ ἄλφιτον τιθέασι, παρὰ τὸ ἄλφεσθαι, ὅ ἐστιν εὑρίσκεσθαι πολλοῖς, διεύτελον(?). ὡς ὁ ποιητὴς οὐχ οὕτως ἐκλέγεται. ἀλλὰ τὸ ἁπλῶς ἄλευρον ἄλφιτον λέγει, διὰ τὸ ἐν τῷ ἀλεῖσθαι φάναι, ἤγουν φαίνειν καὶ λευκαίνεσθαι, ἢ φρενοῦσθαι(?). ὅθεν μυλήφατον ἄλφιτον, ὅπερ οὐκ ἐξ ἀνάγκης πίτυρον, ἢ πιτυρῶδές ἐστι. δηλοῦσι καὶ τὰ τῶν τροφίμων(?) … κατὰ Παυσανίαν, εἶναι καὶ ἐλαίῳ μεμιγμένα, ἢ διάφορα(?). ὁμοίως καὶ ἡ ἀχίλλεια, μᾶζα ἔχουσά τι

λιπ@. Ὅμηρ@, μιθέντα ἀλοιφῆ. Αἰολεῖ φωνιϰῶς ἡ λέξις ϰαὶ πλήρωσιν, τῶν ἀπὸ πλεονασμοῦ ἀλοιφῆς, ἡ ἐστι λίπος. ἔχει ἐξεμεμαθήϰασιν ϰατὰ τονισμοῦ ἀπτομένου εἰς τὴ ϰόρης, ϰαὶ μαλάσσει τὴν βύρσαν. Ἀλοιῶ, τὸ τύπτω ϰαὶ μεταπατῶ. ὁ μέλλων ἑτεροϰλίτως, ἀλοιήσω. ὡς τύπτω τυπήσω. Ἄλοϰας, βόθυνους, διόδους, αὔλαϰας, ἄλοϰας, αὐλοῦς βαθεῖς, ὅθεν ἡ ἄλω.

Ἄλοκι, τῇ τομῇ τοῦ ἀρότρου, αὔλαϰι. Ἀλοϰίζειν, ἀροτριᾶν. ἡ αὔλαϰας χέειν. Λαϰοφθαλμος. ὁ τὸ ϰατὰ ὄνυχι γράφειν, εἰς λευϰὸν πινάϰιον. Ἀλοιπαθὲς, ϰατάλειπον ἐν ταῖς αἰγαῖς πελάγει. αἰσχίνης ἐν ταῖς ϰατὰ ϰτησιφῶντος. Ἀλόντος, ληφθέντος.

Ἀλόντα, ϰλαπέντα, λειποτάϰτα. Ἄλοξ, ἡ αὔλαξ. Ἄλος, θεσσαλίας πόλις, ἡ μυρμιδόνων, ἣν ἐϰ ἰμμῶν ἀλόντα θεσσαλὸς ἐϰτίσεν ... ἄϰρος. ... φασὶ μεταξὺ λαρίσσης τοῦ ϰρεμαστῆς, ϰαὶ ἐχίνου. ὁ πολίτης ἀλοπίτης, ϰαὶ ἀλοπιεύς. εἰσὶ δὲ ϰαὶ ἕτεραι ἄλοπαι. Ἀλόπην, ἀλέπιον. Ἀλοπιά, ἀπεχθάνω. Ἀλορός, ἄγριος, ϰαὶ γεωργὸς παρὰ θάλασσαν. Ἅλος, οὐ μόνον ἡ φιλιδὲς αὐτοῦ, ἀλλὰ ϰαὶ τὸ ἄχος τῆς πόλεως. ἐϰλήθη ὡς φασὶν ἀπὸ τοῦ ἀθάμαντος. ὠνομάσθη δὲ ἀπὸ τοῦ αὐτῷ συμβεβηϰότος ἄλης. ἤγουν πλάνης, ἣν ἔπαθεν εἰς μανίαν ἐμπεσών. χρᾶται δὲ αἰολεὺς πρὸς διασϰολὼν τοῦ ἄλλου ἀντωνυμίας. ἕτεροι δὲ ἱστοροῦσι, θεράπαιναν ἀθάμαντος εἶναι τὴν ἄλον, τὴν μηνύσασαν τῷ οἰϰῷ φρύγειν τὰ σπέρματα. ὡς εἰς μνήμην ἡ πόλις ὠνόμασται. γυνὴ δὲ ἀθάμαντος ἡ οἰϰία, δι᾽ ἧς οἷα ϰατηγγέλθη ἄλλα τε, ϰαὶ τὰ ἐπὶ τῷ φρίξῳ ϰαὶ τῇ ἕλλῃ τετρύφηται. λέγεται δὲ ϰαὶ ἀρσενιϰῶς ὁ ἅλος, ϰαὶ θηλυϰῶς ἡ ἅλος. τὸ ἐθνιϰὸν τοῦ ἅλος, ἀλεὺς. ϰαὶ ἅλιος. ϰατὰ δὲ λόγον, ἀλοῖτι. ἔστι δὲ ἐν μόνῳ φαρβαλίας ϰαὶ φθιωτῶν. Ἁλὸς ἄχνη, ἀφρὸς θαλάσσης. Ἅλες, γενιϰῶς λέγονται οἱ παλαιοί, ὅθεν ἐπὶ μὲν ϰυρίων ὀνομάτων συνθέτων φυλὸν ἀποφέρεται πνεῦμα, οἷον ἀμφίαλος. ἔσαλος. ἐπὶ δὲ τῶν ἐπιθετιϰῶν, τὸ ψιλὸν τηρεῖ πνεῦμα, οἷον ἀμφίαλος ἰθάϰη, ὕφαλος, πάραλος. ἀπὸ τοῦ πιοῦντων σημαίνειν, ὡς οἱ παλαιοὶ οὐ μόνον ἐν ταῖς ἀρχαῖς τῶν λέξεων τὸ στοιχεῖον ϰαὶ τὰ φωνήεντα ἐπιταμάλλειν, ἀλλὰ ϰαὶ ἐπαλλέλειπτοι. οἱ γοῦν ἀθηναῖοι, ὥς ϰαὶ αἰθιώδος φασί, τὸ ταῶς τὴν λέξιν ἐπιλέγοντες τι, ϰαὶ ἐλλείπον. ὥσπερ οὖν πάλιν τὸ λαῶς ϰαὶ λαὸς, ϰαὶ τὸ ὅμοιον τὰ ἐπιδασύνουσι. Ἀλοσύδνης, τῆς θαλάσσης. παρὰ τῶν ἁλὸς γενεὰς ἁλοσύνη. ϰαὶ τὸ θηλυϰὸν, ἀλοσύνη. ϰαὶ πλεονασμῷ τοῦ δ, ἁλοσύδνη. ὥσπερ τὸ γαθοσυνος, γαθοσύνη. Ἀλοσύδνα, ἡ θεός.

Ἁλὸς χέον. χεῦμα τὸ λεπτότατον φασί. τινὲς δὲ ἀφρὸς τοῦ ἀέρος. τὸ πλεῖον ϰαὶ πτύσμα μᾶλλον, ὑπὲρ ὕδατος ἔχον. ἡ ὑπὲρ ἐπιφανείας τῆς θαλάσσης ἀφρόν. Ἀλοσύδνην, μίαν ὁ μῦθος εἶναι τὴν ϰηρηίδα. διὸ ϰαὶ ϰαλῶς αὐτὴν λέγει πρὸς ἀπαντῶς ἄλλως μέντοι ϰαὶ ἡ ἀλοσύδνη, ὡς ϰαὶ τὸ ὕδωρ ἁλμυρὸν λέγεται. ἕτεροι δὲ, ἀμφιτρίτην ἐπίθετον αὐτὴν εἶναι. ϰαὶ οὐ δὲ παρὰ τὸ ὕδωρ ἐπιμελοῦντες τὴν λέξιν, ἀλλὰ παρὰ τὸ ἐν ἁλὶ σύνθεσιν, ὅ ἐστιν ὁρμᾶν. ἄλλοι δέ φασι ϰαὶ πλεονασμῷ ἁλοσύδνην, ὅ ἐστιν ἐν ἁλὶ λαϰμεῖσαι, ὅτι ... δύνουσαι. ἴσον δὲ, ὡς ϰαὶ εἰ μάλιστα ἁλοσύδνης αἱ φῶϰαι πλαστῶς λέγεται φῶϰας ἁλοσύδνης αὐτὰς ὀνομάζουσι τινες, εἴτε νηρηίδας ἁλοσύδνης. διὸ ϰαὶ ἐν ἀρμονίᾳ ἐν μέσαις αὐταῖς ἐϰθεῖσι, ὡς νομίζειν πάνυ μᾶλλον. ἡ δὲ ϰαὶ πολὺ ἀπὸ τῆς ϰτήσεως, ϰαὶ ϰερδαίνειν συνθετιϰῶς οὕτω φράζεται. πρόλαβε γάρ φασι θαλάσσης αἱ φῶϰαι, ὅ ἐστι τέϰνα. γένος γὰρ ϰατὰ ϰυλίνδω ὁ ἀπ᾽ αὐτοῦ, ϰαὶ ἁλοσύδνην. σημαίνουσα δὲ οὐ μία. τὸ νηρηίδων παρὰ τῶν ποιητῶν, ἀλλὰ τὸ ϰαλὸν ἐπὶ ἐϰείνῃ τὴν ἐν τῇ ἰϰάδι. ἐν μὲν τῇ τῇ ὀδυσσείᾳ ἔστω νηρηίδος ὄνομα εἶναι, ἐν δὲ ταῖς ... ϰαλεῖ ἁλοσύδνης. εἰ μὴ ἄρα θαλάσσης εἶναι ἐπίθετον. ϰαλλίμαχος δὲ ἄλλως ὀνομάζει θαλάσσης. μόνος ἰχθύος ἁλοσύδνην λέγει, μετατεθείσης τὴν ἁλοσύδνην. ἡ ἁλοσύδνη θαλάσσης, ἀπὸ τοῦ ἐν ἁλὶ δύειν, ὅ ἐστιν ἐν τῇ θαλάσσῃ

ὁρμᾶν. Ἄλοσα, εὗρε. Ἀλοῦνται, ϰρατοῦνται, πολιοῦσιν.

Ἀλουργὶς, πορφυροῦν. Ἀλουργὸς ἐϰεῖ, εἶδος τῆς πορφύρας, ἢ χλαῖνα ἁλουργής ἁλουργοῦς. Ἀλουργεῖ, εἶδος τῆς πορφύρας χλαμύς, ϰαὶ ϰλίνη ἁλουργία. ἐϰ τοῦ ἅλς ἁλός, ϰαὶ τὸ ἔργον. ὁ ἐν θαλάσσῃ ἔργου γινόμενον. Ἀλουργὸν χρῶμα, τὸ πορφυροῦν. ἁλουργὶς δὲ, ἁλουργίδος, τὸ πορφυροῦν ἱμάτιον. ἁλουργὶς γὰρ τὸ πορφυροῦν ἁπλῶς, εἴτε ἔνδυμα εἴη, εἴτε ἱστὸν, εἴτε ἄλλο τι. ϰαὶ ἐπὶ τερηνίοις, οἷον ὁ ἁλουργὸς, ὁ ἁλουργὶς, ϰαὶ τὸ ἁλουργές. ὡς τὸ, ὁ πορφυροῦς, ϰαὶ ἡ πορφυρίς, ϰαὶ τὸ πορφυροῦν. ὥστε ταῦτα ὡς ἐπίθετα λέγεται, ὅθεν πολλάϰις μόνον λέλουται τῷ χρώματος. οἷον χιτὼν ἁλουργὸς, ϰαὶ ἐσθὴς ἁλουργὸς, ἡ χλαμὺς, ἤ τι τοιοῦτον, ϰαὶ ἔνδυμα ἁλουργὲς, ἡ ἱμάτιον, ἢ τι τοιοῦτον. ὥσπερ μέλας χιτὼν, ϰαὶ μέλαινα ἐσθὴς, ϰαὶ μέλαν ἱμάτιον. ἁλουργὶς ϰαὶ πορφυρίς, ὁμοῦ λέλουσί τι, τὸ ἔνδυμα, ϰαὶ τὸ ὑποϰείμενον τοῦ χρώματος. Ἀλουργοπωλιϰὴ, ἡ πορφυροπωλιϰή. Ἀλουργίδας, πορφυρίδας. Ἀλοὺς, ἁλῶσι, ληφθεὶς, ϰρατηθείς. Ἀλοῦσα, ληφθεῖσα, χειρωθεῖσα. ϰαὶ ἀλοῦσα πορθουμένη τε παρ᾽ Ὁμήρῳ, ταύτην ϰατὰ παραλλαγὴν λέλουσιν, ὡς ϰαὶ τὸ πόλεμον ϰαὶ δηιοτῆτα, ϰαὶ πόλεμόντε, μάχην τε. Ἄλοχος χωρὶς τοῦ σ, ὁ ἀπαρατάϰτης, ἢ ὅτι τὸ ἐξ ἰσοῦ ἄλλος. Ἀλοφάζω, στερίζω, παροινῶ. Ἄλοφος, ὁ μὴ ἔχων, ἢ ὁ μὴ ἔχων λόφον. λόφος γὰρ ϰαλεῖται τὸ ἐπὶ ὕψος, ἐπάνω τῆς περιϰεφαλαίας.

Ἄλοχον, ἄγονον ἀχώρον. ἐξ ἄλοχίσι προσλαθεῖν, ϰαὶ λοχευθεὶς τὴν πλευρὰν ἡ πλαστουργὸς μὴ. Ἄλοχος, γυνὴ, γαμετὴ. ἐϰ μὲν πιθανῆς ἀφορμῆς, ἀγόμενος ἐξήγαγεν δημιουργὸς ἰδίως, ἢ ἄλοχον. ϰυρίως δὲ, ἡ ἐϰ παρθενίας ἑτέρῳ λέχους ἀπείρους. τὸ α σημαίνει τὸ ὁμοῦ, ὁ ἅμα, εἴ ἐστιν ὁμόλεϰτος τις σύζυγος, ἡ μετέχουσα τῆς ϰοίτης τοῦ ἀνδρός. Ἀλοῶ, τὸ συντρίβω, ϰαὶ τύπτω, ϰαὶ πλανῶ.

Ἀλπαλαίον, ἀγαπητόν. Ἅλς δύο σημαίνει. θηλυϰῶς μὲν τὴν θάλασσαν, ϰαὶ ϰλίνεται ἐν μόνοις τοῖς ἑνιϰοῖς. ἀρσενιϰῶς δὲ τὸ ἅλας, ϰαὶ ϰλίνεται διὰ ὅλου. Ἄλσεα, ἄλσεα ϰαλὰ λέγει ὁ ποιητής, τὰ ϰήπους, ἤγουν τὰ σύμφυτα χωρία, ἀπὸ τοῦ ἄλσω, ἄλσω αἰολιϰῶς, διὸ ϰαὶ ἀναλοῦται. ὅπου ἀναλδῆ τὰ φυτὰ ἐξυγιαίνεται. ϰαὶ ἐπίπυϰνος εἰς ὕψος ἄλλονται. διὸ ϰαὶ οὐ μόνον ἄλσος ὁ τοιοῦτος λέγεται τόπος ἀπὸ τοῦ ἀλλαδῆ, ἀλλὰ ϰαὶ λόχος ἀπὸ τοῦ λέχους, ὃ δηλοῖ τὸ πνεῦμα, τὸ ἀναγωγὸν ὑγρότητος θρεπτιϰῆς τῶν φυτῶν. Ἄλσος, φονιϰὸν, ϰαὶ λόχμη, ὁ σύνδενδρος τόπος. ἐπὶ δὲ αἰολιϰὴ λέξις, διὸ ϰαὶ ψιλοῦται. ψιλωτιϰοὶ γὰρ ὥσπερ ἴωνες ϰαὶ αἰολεῖς. ϰαὶ ἄλσος λέγεται, παρ᾽ οἷς ἄλσεται τὰ δένδρα. ϰαὶ ἄλσος, ὁ σύνδενδρος τόπος. ϰαὶ τὸ ἄλσος ἐξ ἄλσου ἐπεὶ ἐν τῷ ὀλυμπιαϰῷ ἀλσείῳ, ϰαὶ τῆς χώρας τῆς διὰ ϰωμῳδιῶν, ϰατεσϰάπτησαν. Ἀλσιῶν, ϰηπίων. Ἄλση, ϰαὶ τεμένη, ϰαὶ ὁ περὶ αὐτὰ ϰύϰλος, ϰαὶ περίβολος, τόποι εἰσὶν οἱ θεοῖς ἀνειμένοι. Ἀλσηΐδες ϰαλοῦνται νύμφαι, αἱ ἐπὶ τὰ ἄλση. αἱ δὲ ἐπὶ τὸ δένδρον, ἀμαδρυάδες. αἱ δὲ ἐπὶ τὰ νάματα τῶν ὑδάτων, ναιάδες. αἱ δὲ ἐπὶ τῶν βοσϰημάτων, ἐπιμηλίδες. αἱ δὲ ἐπὶ τῶν ὀρῶν, ὀρειάδες. ϰαὶ εἰς πάντας ὁμοίως δὲ ϰαὶ αἱ ἐπὶ τὰ ἑλῶν, ἑλειονόμοι. Ἀλσίνη, βοτάνης εἶδος, φύλλα δὲ ἔχουσά τι ϰαὶ ὑγρὸν ἴσον στ, παραπλησίως τῇ ἑλξίνῃ. ὅθεν πρὸς τὰς γυιόσεις ἁρμόζει φλεγμονάς. Ἄλτιον, ὄνομα ὄρους. Ἀλτεῖ, ἀτρεῖ. Ἀλτῆριον, ὁ ἀπὸ τῆς χειρός. Ἀλτὴρ, ϰαὶ ἀλτῆρες, ϰατασϰεύασμά τι ὃ ϰέχρηνται οἱ συμπαιγνοῦντες ἐν ταῖς γυμνασίαις, παρὰ τὸ ἅλλεσθαι. βαστάζοντες γὰρ αὐτὸ, ϰαὶ περιφέροντες, ἥλλοντο ἐν τῷ γυμνασίῳ. οὕτω μεθόλιος. ὁ δὲ φίλων ἐν τῷ περὶ γυμνασίων λαλεῖ, ἀπὸ τοῦ ὄργανον, ϰατὰ φωνήν. Ἀλτ, ϰαθάλατ. ἅλμασι τὸ πηδᾶν. ϰαὶ ἀλτ, ὥρμησε. ϰαὶ ἀλτ πολλάϰις ἀλμυρῷ. ϰαὶ ἀλτ χαμᾶζε, ἀντὶ τοῦ ἐπήδησε χαμαί, ἀπὸ τοῦ ἄλλομαι, ἀλοῦμαι, ἀλέμην, ἄλτο. ἄλτο ἰωνιϰῶς, ϰαὶ ϰατὰ συγϰοπὴν ἀλτ. διὸ ϰαὶ ψιλοῦται, ὡς ὁ πατρὸς, ὁ ἐμὸς πατρός. Ἀλτὲς ϰαὶ ἴλφες, ὁ μιθύς. Ἀλυάτης, λυδῶν βασιλεὺς. ὃς ἦρχε τὰ πολέμια γενναῖος. τινὲς δὲ διὰ δύο λ γράφουσι τὸ ἀλυάτης. ὁ οἰϰήτωρ, ἀλυατ-

τος τὸ μὲν εἶναι ἀντωνυμίαν, τὸ δὲ ὄνομα. ἡ γὰρ ἀντωνυμία, ἀντὶ ὀνόματος παραλαμβάνεται. τὸ δὲ ἄλλο ἀνάπαλιν. ἢ δεικτικὸν, οἷον αὐτὸς, καὶ ἐκεῖνος, καὶ τὰ λοιπά. ἢ δεῖξιν σημαίνει ἢ ἀναφοράν. τὸ δὲ ἄλλος οὔτε δεῖξιν σημαίνει, οὔτε ἀναφοράν, ἐστὶν ὄνομα. Ἄλλος, ἀπὸ τοῦ ἄλλλος, κατὰ συγκοπὴν ἄλλος. ἀναφορικὸν γάρ ἐστι τῶν ὡρισμένων προσώπων. οἷον, ἄλλος οὐκ ἐγὼ, ἄλλος οὐ σύ. Ἄλλος ἄλλον, ἀντὶ τοῦ ἀλλήλους. Ἄλλοτε μὲν φησι πίλει ὁμήρῳ, ἄλλοτε μάτην. ἐπὶ τοῦ ποτὲ μὲν διαπραττόντων, ποτὲ δὲ μὴ πραττόντων. Ἀλλοτρίωσις, χωρισμὸς οἰκείων. Ἀλλότριος, ξένος, ἀγνοούμενος, καὶ κατὰ συγκοπὴν ἄγνωστος, ὁ ἄλλων ὅρων ὑπάρχων. καὶ κατὰ πλεονασμὸν τοῦ τ̄ ἀλλότριος. Ἀλλότριος φώς, παρ' Ὁμήρῳ, ἐσθ' ὅτε ἀντὶ τοῦ πολέμιος. Ἀλλότριον ἀμᾶν θέρος, ἐπὶ τῶν τὰ ἀλλότρια καρπουμένων. Ἀλλοτριῶ, αἰτιατικῇ συντάσσεται. οἷον, τὴν πίστιν ἀλλοτριῶ. ἀλλοτριοῦμαι δὲ γενικῇ. Ἀλλοφρονέοντα, ἀντὶ τοῦ ἐξεστηκότα φρενῶν λέγουσιν οἱ παλαιοί. κρεῖττον δὲ εἰπεῖν, τὴν ἠλλοιωμένην τῶν φρενῶν. τὸ δὲ εἰπεῖν ἀλλοφρονοῦντα, παρ' ὃ πρῶτον ἔφρονε, κακίζεται τοῖς παλαιοῖς. ἔστι μὲν τὸ παραφρονεῖν, φρενῶν λυομένων. καὶ αὐτὸ τοῦτο κατὰ ... τῶν φρενῶν, κατὰ τὸ νόμον ... ὁ ὥσπερ ἐρρέθη ἀλλοφρονῶν, ὁ ἀλλότριος τῶν φρενῶν ἑρμηνευθείη ἄν. οἱ δὲ παρὰ τοῖς ἰατρικοῖς ἐπιζητεῖν ἀλλοφράζοντας, οὐδὲν ἕτερον δηλοῦσιν, ἀλλὰ σημαίνουσι τοὺς ἄλλοτε ἀλλοφράζοντας, καὶ μηδὲν ὅλως διαφρονοῦντας. Ἀλλ' ὅ τι οἱ, τέσσαρα μέρη λόγου. ἀλλὰ σύνδεσμος, τὸ ὅ ἄρθρον, τὸ τί ὄνομα ἀόριστον, τὸ οἱ ἀντωνυμία.

Ἄλλο τι, ἐν ἐρωτήσει, ἀττικοί. Ἀλλόπτων, ἀντὶ τοῦ ὅλον τὸ σῶμα. Ἀλλοτριοεπίσκοπος, ὁ τὰς ἑαυτοῦ ἁμαρτίας ἀφεὶς, τὰς δὲ ἑτέρων περιεργαζόμενος. Ἀλλοτριοπραγεῖν, ἐχθροῦ βουλεύεσθαι. ἐσημειοῦντο γὰρ τοῦτο, τό, Καὶ ἐν ἀλλοτρίῳ φείσαι τοῦ δούλου σου, πτέρυγι τοῦ Δαβίδ. Ἀλλοτριοῦσαι, μεταθεῖναι.

Ἀλλοτριονομοῦντες, ἐναλλαγὴν ὀνομάτων ποιοῦντες. ἢ ὅλως, ταὶ ... μὴ προσηκόντως διανέμοντες. Ἀλλότριος φώς, ὁ πολέμιος ὡς ἀνήρ. Ἀλλόφασις, θόρυβος, ταραχώδης. Ἀλλοφωνεῖν, τὸ ἑτεροχωρεῖν. ἢ οὐχ ὑποφέρειν βάρος. Ἀλλοφάνεις, ὑπ' ἄλλου πεφασμένοις, ἢ ἀνηρημένοις. Ἀλλοφρονοῦντες, ἀλλαχοῦ τραπέντες. Ἀλλόφρων, ἐν ἀμηχανίᾳ ὤν.

Ἀλλόφυλος, ὁ ἀπὸ ἄλλης φυλῆς, ὁ ἀλλογενής. Ἀλλοφρονέων, ἐξεστηκώς. ἢ ἀμφιβάλλων, ἄλλα διανοούμενος. οἱ δὲ, παρακόπτων. Ἄλλυδις, ἀπὸ τοῦ ἄλλῃ, ἤγουν ἀλλαχοῦ. καὶ οὕτως ἀπὸ τοῦ ἅμα τὸ ἄμυδις, ἤγουν ἅμα ἢ ὁμοῦ. ἢ ἄλλυδις, ἄλλη μεταλλαγῇ ἄλλο, ἐπ' ἄλλο ἀλλαχῇ. Ἀλλύει, ἀναλύει. Ἀλλοστρατεῖ, στρατεύεται, διαφθείρει. Ἄλλως, ἀργόν. ἄλλως, ἀντὶ τοῦ μάτην. καὶ ἄλλως, ἀντὶ τοῦ ἀλλοτρόπως. ἄλλως, ἀντὶ τοῦ μάτην εὐφήμως πέφρασται. ὃ γὰρ μὴ κατὰ σκοπὸν, ἢ κατ' εὐχὴν ἀποβαίνει, ἀλλ' ἑτέρως, ἄλλως ἀποβῆναι φαμὲν, κατὰ τοῦτο δηλαδὴ ματαίων ἔργων, ὅ ἐστι ματαιότατα. διὸ καὶ ἀναγκαίως, ἀντὶ τοῦ μάτην νοεῖται τὸ τοιοῦτον, διὰ τὴν εἰς ματαίαν ἐκφορὰν τοῦ πράγματος ἀποβάσεως. ἢ ἄλλως, εὐήθως, ἤγουν ματαίως. καὶ Ὅμηρος, Σπάρχοι ἄλλως γε πατὴρ ἐμὸς ... πολιός. οἱ δὲ ἀττικοὶ εἰώθασι προστιθέναι τὴν τε, λέγοντες ἄλλως τε. Ἀμφοτέρως, Ἄλλως ἂν ἐξαπατώμεθα. ἄλλως τε μάλιστα. καὶ ἄλλως ἄλως, ἐπὶ τοῦ μάτην ποιούντων. καὶ ἄλλως ἀναλίσκεις ὕδωρ, ἐπὶ τοῦ μάτην ἐν λόγοις ὑποδύντων. Ἀλλ' ὥς ἐς, παρ' Ὁμήρῳ, ἢ ἀντὶ τοῦ ἀλλ' ὅπως, ἢ κατὰ τοὺς παλαιούς, ἀλλὰ πάντως, καὶ λίαν. Ἀλλάττω, ἀντὶ τοῦ ἀλλάσσει. Ἅλμα, πήδημα. καὶ ἡ πρώτη τῶν ἐμβρύων κατὰ τὰς κινήσεις, παρ' Ἱπποκράτει. καὶ ἅλμα πελασγικὸν, τὸ θετταλικὸν πήδημα. πελασγικὸς γὰρ καὶ θετταλὸς ὁ Ἀχιλλεύς. ἡ δὲ περὶ τοῦ Ἀχιλλέως πηδήματος ἱστορία, τοιαύτη ἐστίν. ἱστορία.

Χρησμὸς ἦν δοθεὶς Ἕλλησι, τὸν προαποβάντα τῶν Ἑλλήνων κατὰ Τροίαν ἐκ τῶν Ἑλλήνων, πρῶτον τῶν ἄλλων ἀποθανεῖν. προπαθόντος δὲ τοῦ Πρωτεσιλάου, ὁ ἀναιρεθεὶς ὑφ' Ἕκτορος, ἦν ἀγ... τινὸς, Ἀχιλλεὺς τῷ τούτου πατρὶ παιδευθεὶς, ὕστερον ἀποβαίνειν τὴν Ἰλίαν. πῶς σφοδρῶς πηδήσας, πλήττει τὴν γῆν, καὶ ὕδωρ ἐξ αὐτῆς ἀνέδοσε, ὥς φησιν Ἀντίμαχος. ... ῥοιο μελαίνης ὑφ' οὗ ... Πηλείδας ἀπόρουσεν ἐλαφρὸς ... τι αἰγιαλός. Τοῦ δ' ἐμπεδὸν ποδῶν κρήνη γένετ' ἀενάουσα. καὶ Σύνδος φησὶ, διὰ τὸ ... πήδημα ποιεῖν. Ἄλμυρος, ἀνάμμος. Ἀλμαῖον, ἀνα... Ἀλμάδες, αἱ κολυμβάδες ἐλαῖαι, καὶ αἱ ἐκ σιτανίου γεγονυῖαι. Ἀλματῆραι, τὰ παραθαλάσσια χωρία. Ἅλμη, ὁ τῶν ἰχθύων ζωμός. Ἀλμήτην, ἀλάμηκον. Ἁλμυρὸν ὕδωρ, ὥσπερ τὴν θάλασσαν λέγει περιφραστικῶς. ἄλλως γὰρ οὐκ ἂν οὔτε τὸ ἁπλῶς ὕδωρ εἶπεν ἂν θάλασσαν, οὔτε τὸ ἁλμυρὸν ὕδωρ. εἰ γὰρ καὶ ὁ λοιπὸς αἶσο ὕδωρ ἁλμυρὸν πιὼν ἀπόλωλεν, ἀλλ' οὐ θάλασσαν ἐξέπιε. βραχὺ δέ τι αὐτῆς. ὁμοῦ πίνων τὸ ἄποτον ἁλμυρὸν ὕδωρ, εἶπεν ἂν θάλασσαν. Ἁλμυρὰ δάκρυα, χαλεπὰ, πικρά. Ἁλμυρίδες, αἰγιαλοί, καὶ τόπος ἐν τῇ Ἀττικῇ παρὰ τὰς ἐσχατιάς, οὗ τοὺς νεκροὺς ἐξέβαλλον. Ἁλμυρόν, ἁλικόν.

Ἄλξ, ἡ δύναμις, ἀπὸ τοῦ ἀλκή. Κανών. Τὰ γὰρ ἀπὸ τῶν εἰς κη θηλυκῶν, κατὰ ἀφαίρεσιν τοῦ η̄ καὶ τροπῇ τοῦ προκειμένου κ̄ εἰς ξ γίνεται, ὡς φοίνικη φοῖνιξ, φρίκη φρίξ, κρόκη κρόξ, πνύκη πνύξ, τὸ ἐν Ἀθήναις βουλευτήριον. οὕτω καὶ ἀλκή, ἄλξ. οὕτω Μεθόδιος. Ἀλοᾶν, τὸ ἐπὶ τῆς ἅλω πατεῖν καὶ τρίβειν τοὺς στάχυας. καὶ ἀλοιᾶν, τὸ τύπτειν. Ἄλογα, ἄρρητα, Σοφοκλῆς Θυέστῃ. Ἀλογία, παρακοή, ἀταξία, ἀφροντισία. Ταχὺ δὲ τοῦ λόγου διαδοθέντος εἰς τὸ πλῆθος, εὐθὺς συνέβαινε γίνεσθαι τὴν ἀλογίαν. Ἀλογίσαντες, τὰ τῶν ἀλόγων φρονήσαντες. Ἀλογιστεῖ, μωραίνει. Ἀλογεῖν, ἀφροντιστεῖν. Ἄλογος ὄρεξις, ἡ ὀργὴ, καὶ ἡ ἐπιθυμία. Ἀλογοῦσι, ἀφροντιστοῦσι, λόγον οὐκ ἔχουσι.

Ἀλογευθῆναι, μωρευθῆναι. Ἀλογήσας, καταφρονήσας, ὀλιγωρήσας. Ἀλογίας δίκη, ἣν φεύγουσιν οἱ ἄρχοντες, λόγον οὐ διδόντες, τῶν τῆς ἀρχῆς διοικημάτων. Ἀλόγιστα παροιβῶμεν, ἀδικητα κακὰ βαστάσομεν. Ἀλογῆσαι, ἀφροντίσαι, παραλογίσασθαι. καὶ ἀλογήσαι, ἀμελήσαι, οὐ φροντίσαι.

Ἄλογχον δόρυ, τὸ σιδήρεον, θρακικῶς. Ἄλογος, μωρός. Ἀλογχεῖν, ὀλόγχας μιμεῖσθαι, ὅ ἐστιν ἔθνος Θρακῶν. Ἀλογῶ, τὸ ἀφροντιστῶ, καὶ καταφρονῶ, γενικῇ συντάσσεται. οἷον, ἀλογῶ τῶν ἀπειλῶν σου. Ἄλογοι ἐρωτικοί, οἱ μὴ ἐξελέγχοντες τὸ ἐπιβάλλον αὐτοῖς. Ἀλοητός καὶ ἀλοητὸν καὶ ἀλωητὸν, ὁ καιρὸς τοῦ θέρους. Ἀλοή, πικρίς οὕτω καλουμένη, καὶ ὁ ταύτης χυλός.

Ἀλοιάσω, προϋπάρχον μετὰ τοῦ ... ἀλογίζω, καὶ πρὸ αὐτοῦ τὸ λόγος, ἐλέγχει τοὺς παρασημειουμένους, ὡς ὁ ... λέγων μὲν οἶδε, τὸ δὲ ἐξ αὐτοῦ ὄνομα τὸν λόγον οὐκ οἶδε. Ἀλοία, ἔτυψε. παρὰ τὸ ἀλοιάω ἀλοιῶ. ὁ παρατατικὸς ἠλοίαον ἠλοίων, ἠλοίας, ἠλοίαε ἠλοία, καὶ ἰωνικῶς ἀλοία. Ἀλοιῶ, ἀλοιμαι. ἡ μετοχὴ ἀλοῶν ἀλοῶντος. τὸ εὐκτικὸν, ἀλοίην ἀλοίεις ἀλοίει.

Ἀλοία, ἀλοῖα, ... διὰ διφθόγγου δεῖ γράφειν κατ' ἀρ... καὶ οὐχ ἀλωὴ, ἀλωά. τὸ δὲ ἀλίσκεται ποτὲ μὲν μετοχῇ, ποτὲ δὲ ὀνόματι συντάσσεται. ἔστι δὲ ὅτε καὶ γενικῇ, τότε ὡς αἰτία λαμβανομένη. οἷον ἑάλω κλοπῆς, ἀντὶ τοῦ ἕνεκα κλοπῆς. ἑάλω φόνου, ἀντὶ τοῦ ἕνεκα φόνου. καὶ ἑάλω κλέπτων, καὶ ἑάλω ἐν ταῖς χερσὶν ἔχων φώρια. Ἀλοίην ἄν, ληφθείην ἄν. Ἀλοιῶν, τύπτων, ἐξ οὗ καὶ πατραλοίας, ὁ τὸν πατέρα τύπτων. καὶ μητραλοίας, ὁ τὴν μητέρα. Ἀλοιταί, αἱ κοιναὶ ἁμαρτωλαί, πόρναι. Ἀλοιτήσετε, τὴν κοινὴν ἀνδρῶν ... ἡ χρῆσις καλεῖ. Ἄλοιτο, κινοῖτο, ὁρμοῖτο. Σπεύδοι μαλακοὺς ... ἄλοιτο πόδας. Ἀλοιμούς, τὰς χρίσεις καὶ τὰς ἐπαλείψεις, ἀλοιμοὺς ἔλεγον. Ἀλοιτός, ὁ ἁμαρτωλός, πόρνος. Ἀλοίματα, χρίσματα. Σοφοκλῆς. Ἀλοίτους, ... καὶ θρασεῖς, ... καὶ ἀρτιμελεῖς. Ἀλοιφὴ, τὸ

εἰς ἀλλήλους πολεμίζομεν, εἰς ἀλλήλους πολεμίζετε, εἰς ἀλλήλους πολεμίζουσι. καὶ ἀλλήλων, ἀντὶ τοῦ ἑαυτῶν. οὕτως Εὐριπίδης, καὶ Θουκυδίδης, Καὶ πολλοὺς ἀλλήλων ἐπιβουλεύειν, ἀντὶ τοῦ ἑαυτῶν. καὶ ἀλλήλους τρεπόμενος καὶ [illegible] ἐτρώθη, πλανηθεὶς καὶ ἐπιχλεύσας ἀλλήλους ἐφόνευσαν. καὶ ἐπὶ θηλυκῶν λέγομεν ἀλλήλων, ἀλλήλαις, ἀλλήλας. καὶ ἐπὶ οὐδετέρων ὁμοίως ἀλλήλων, ἀλλήλοις, ἀλλήλα. αὗται δὲ αἱ τρεῖς πλαγίαι, οὐκ ἔχουσιν εὐθεῖαν, οὔτε ἑνικὸν, οὔτε δυϊκὸν, οὔτε πληθυντικὸν, οὔτε κλητικὰς ἔχουσιν.

Ἄλθω, λάχανον ἐστὶ, ὃ ἐπὶ τοῦ φαρκῶντος [illegible]. ἐξ οὗ ἀλθαινοῦ χωλείας. Ἀλλοιωτὰ ἄλλως, ὡς ἔτυχεν. Ἄλλικα, χλαμύδα, ἐπιπόρπημα. οἱ δὲ περίδα χλαμύδος ἀμφιλοχίσας.

Ἀλλ' ἴθι, ἀλλὰ ἐπειδὴ ... Ἄλλα συνουσίς, ἄλλα [illegible].

Ἀλλαλίζειν, τὸ ἄλλως καὶ ἄλλως λέγειν. Ἀλλᾶσαι, ἀνατρέψαι. Ἄλλιξ, ἀλλῆκα, ἀλλίκα, ἄλλαξ, καὶ ἄλλιξ. σημαίνει δὲ κατὰ Θετταλοὺς, τὴν χλαμύδα. Καλλίμαχος ἄλλικα χρυσείην ἐρχομένην ἐνέπασι. σημαίνει δὲ καὶ ἐπιπόρπημα. οἱ δὲ περιφόρημα, ἄλλαξ καὶ ἄλλαξ, καὶ τροπῇ ἄλλιξ, παρὰ Εὐφορίωνι, χιτὼν χειριδωτός. Ἄλλικα, χλαμύδα πορφυρᾶν. Ἀλλόβρυχος, εἶδος διαστατικὸν γαλακτικόν. Γελύβιος δὲ ἀπὸ τοῦ ἄλλον ἀμείβεσθαι. Ἀλλογνῶν, ὁ παραφρονῶν, παρ' Ἱπποκράτει.

Ἀλλογνῶν, μὴ ἐπιγινώσκων. Ἀλλογνώτας, ἀγνοήσας.

Ἀλλόγνωτος δῆμος, ἢ ὁ πολέμιος, ἢ ὁ ἄλλα γινώσκων ἢ καθ' ἡμᾶς, ἢ ὁ ἄλλοις καὶ οὐχ ἡμῖν γινωσκόμενος. ἐκ τοῦ γνωτὸς δὲ σύγκειται ὁ ἀλλόγνωτος, ὃν γνωτὸν φασὶν οἱ ὕστερον. δοκεῖ δὲ ὁ ἀλλόγνωτος μᾶλλον εἶναι ὁ ἄλλοις γνωτός. γνωτοὶ κατὰ γένος εἰσίν, παρὰ τὸ γνωτὸς, ὅτι οἱ ἀδελφούς. ἄλλως δὲ οὐκ ἐμέλλεν ἂν Ὅμηρος εἰπεῖν, Ἀλλογνώτῳ ἐνὶ δήμῳ, καθ' ὁμοιότητα τοῦ ἄγνωστον ποιοῦσιν. ὅτι δὲ ὅμως καὶ γνωτὴν λέγεται τὸ γνωστὸν, δηλοῖ καὶ Σοφοκλῆς, ἐν [illegible], Γνωτὰ οὐκ ἄγνωτά μοι προσήλθετε. καὶ ἀλλογνώτων, ξένων. Ἀλλοδαπὰ, ξένα, ποικίλα. Ἀλλοδαπὴ, ἡ ξένη.

Ἀλλόλημα, ὑπόλημα. Ἀλλοειδὴς, ὁ ξένον ἔχων εἶδος, καὶ ἀλλόμορφος. Ἀλλοδαπὸς, ὁ ἐν ἄλλῳ ἐδάφους, Φαινῶδες [illegible] τοῦ φιλοῦ εἰς δασύ. τοῦτο δὲ οἱ παλαιοὶ παρέλαβον, καὶ εἰς τὸ ἀμοδαπὸς καὶ ἐνδαπὸς, καὶ εἴ τι ὅμοιον. ἔστι δὲ τὸ παλαιὸν ἀλλοδαπὸς, ὁ ἐν ἄλλῳ δαπέδῳ. Ἄλλο. μετὰ τοῦ ἐ συντάσσεται. οἷον, ἄλλο τοῦτο ἐκεῖνο, καὶ ἄλλο ἐπὶ φύσεως λαμβάνεται. οἷον, ἄλλο ἄνθρωπος, καὶ ἄλλο ἵππος. Ἄλλοθεν. σεσημείωται ἐν τοῖς παλαιοῖς, ὡς προπαροξυνόμενον. οἱ καὶ λέγουσι [illegible]. τὰ εἰς θεν ἐπιρρήματα ἀπὸ τοῦ ὁ μόνου παραλήγοντα, παροξύνονται, κυκλόθεν, ἐκτόθεν, αἰνόθεν, ἀβυδόθεν. τὸ ἄλλοθεν, πόθεν, οἴκοθεν, προπαροξύνονται. διὸ δὲ ἀόριστά εἰσι. καὶ [illegible] ταύτην σημασίαν ἀναδέχονται. ἕτεροι δέ φασι προπαροξυνόμενα, ὡς πάντα τὰ εἰς θεν παροξύνονται χωρὶς τῶν ῥηθέντων τριῶν ὡς συνημμένων. Ἄλλοθι, ἄλλοθεν, ἄλλοσε διαφόρως, ὁ ἀλλαχοῦ, ἀλλαχόθεν, ἀλλαχόσε. Ἀλλόθροοι ἄνθρωποι, οἱ [illegible] καὶ ἄλλα θροοῦντες, ὅ ἐστι λέγοντες, παρὰ τὰ ἐλληνικά. ἢ ἀγνῶτες, καὶ ὑπὸ ἄλλων θροούμενοι, ὅτι λαλούμενοι. εἴρηται δὲ καὶ ἀλλόγλωσσοι λεγόμενοι. ἔχει τὴν εὐθεῖαν τῶν [illegible] ἀλλόθροος, πρὸς ὁμοιότητα τοῦ ἀθρόος ὁ ἀθρόος. οὐ πρὸς διαστολὴν, ἀθρόος, ὁ συνηθροισμένος παροξύνεται. Ἀλλοπρόσαλλος, διγνώμων, διπρόσωπος, ὁ εὐμετάβλητος, ἀνάρμοστος.

Ἀλλόνησος, νησίδιον ἐν τῷ αἰγαίῳ πελάγει. Ἀλλοιᾷ, ἀνοσιοῖ. ἀφ' οὗ καὶ ὁ πατροτύπτης καὶ μητροτύπτης πατραλοίας καὶ μητραλοίας λέγεται. καὶ ἀλοιᾷ, μετατυποῖ. Ἀλλ' οἱ μὲν, οἱ μὲν ἄλλοι. Ἄλλοι μὲν ῥα, ἄλλοι μὲν δή. Ἀλλοιοῦται, ἄλλος ἐξ ἄλλου γινόμενος μετασχηματίζεται. Ἀλλοῖος, ὁ ἠλλαγμένος, ὁ ἀλλοδαπός. Ἀλλοιοῦσθαι, μετασχηματίζεσθαι.

Ἀλλοιοσχημόνως, τρέπεται ποικίλως, παρὰ τῷ Ἱπποκράτει.

Ἀλλοίως, ἀλλοιοπαθῶς. Ἀλλοῖον, ἐπὶ ποιότητος. οἷον τὸ λευκὸν πτερὸν, τοῦ μέλανος. Ἀλλοιῶ, τὸ τύπτω καὶ μεταποιῶ. ὁ μέλλων ἐτεροκλίτως, ἀλοιάσω, ὡς τύπτω τυπτήσω. ἐκ τοῦ ἄλλος γίνεται ῥῆμα ἀλλοιῶ, καὶ πλεονασμῷ τοῦ ι ἀλλοιῶ. τουτέστιν, ἀφ' ἑτέρου ἕτερον ποιῶ. καὶ ἀλλοιοῦ, ἀμείβω, ἐξαλλάττω, μεταλλάττω, ἐναλλάττω, μεταβάλλω, μεθαρμόζω, τρέπω. ἐπὶ τοῦ ἀγνοοῦντος ταῦτα λέγονται. Ἄλλοις, τισὶν ἄλλοις. Ἀλλοῖον, ἐκ ἄλλου. καὶ ἀλλοιῶ, τὸ τύπτω. Ἀλλοιῶ περισπωμένως, τὸ μεταποιῶ. Ἀλλοίωσις, ἤτοι, ἐναλλαγή. κατὰ πολλοὺς δὲ γίνεται τρόπους. καὶ γὰρ περὶ γένη ὀνομάτων, καὶ περὶ ἀριθμοὺς, καὶ περὶ πτώσεις, καὶ περὶ ἐνεργείας, καὶ πάθη, καὶ χρόνους. καὶ περὶ γένη μὲν ὀνομάτων, οἷον, πᾶσα ὁ ἐλλὰς ἐστεφανοφόρει, ἀντὶ τοῦ οἱ ἕλληνες. περὶ ἀριθμοὺς, οἷον, νίκα ὁ παιδίον τὴν τραίαν, ἀντὶ τοῦ οἱ [illegible]. περὶ δὲ πτώσεις, Μῆνιν ἄειδε θεὰ, ἣ μυρί' ἀχαιοῖς ἄλγε' ἔθηκεν. ἐπὶ αἰτιατικῆς γὰρ εἰς εὐθεῖαν μετέπεσεν. περὶ ἐνεργείας καὶ πάθη, οἷον, οὐκ ἔτι μεμνήμεθα. περὶ δὲ, χρόνους, ὡς τὸ, Γαράζομαι δύο ἐρῶντας μάρτυρας. ἰστέον ὅτι ἀλλοίωσις μὲν λέγεται, ἡ ἀπὸ τοῦ κρείττονος ἐπὶ τὸ χεῖρον τροπή. μεταβολὴ δὲ, ἡ ἀπὸ τοῦ χείρονος ἐπὶ τὸ κρεῖττον. ἡ ἀπὸ τοῦ μέσου δὲ ἐπὶ τὸ κρεῖττον, ἢ ἐπὶ τὸ χεῖρον, τροπὴ λέγεται. Ἀλλοιοπαθεῖς, ἀντὶ τοῦ ἀλλοτι λέγουσιν. Ἀλλόκοτα, ἀνταλλαγέντα, ἐναντία, ἀκατάστατα, ἀλλοφυῆ, ἐξηλλαγμένα, ἰδιόκοτα ἐξ ἄλλων. Ἀλλόκοτον, τὸ ἀνόμοιον, παρὰ τὸ ἐξ ἀνομοίου συνεστὼς, ἀλλότοκον, καὶ καθ' ὑπερβιβασμὸν, ἀλλόκοτον. ὃ παρὰ τὸ ἀλλαχοῦ κεῖσθαι, καὶ μὴ κατ' αὐτὸ ὂν, ὡς τοῦτο [illegible]. σημαίνει δὲ τὴν σφοδρὰν ὁρμὴν, καὶ [illegible] κατ' ὑπερβιβασμόν. καὶ σκότω, σκότος, καὶ [illegible]. σημαίνει δὲ τὸ πρόσωπον λόγος. καὶ τὸ ἐξηλλαγμένον καὶ ἰδιότροπον, καὶ ἀλλόκοτον, τερατῶδες, ξένον, ἄτοπον, ἀλλοφυὲς, ἐξηλλαγμένον, καὶ ἰδιότροπον. Ἄλλο, ἀλλοῖον. Ἄλλομαι, δασύνεται, ὅ δηλοῖ τὸ πηδῶ. ἀλλὰ καὶ τὸ ἄλτο ψιλοῦται. τάχα μὲν καὶ ὡς αἰολικόν. μάλιστα δὲ κατὰ τοὺς παλαιοὺς, διὰ τὴν τούτων ἐπιφοράν. τὸ γὰρ ἀ λῦγον εἰς λ ἐπαγομένου ἐκ τοῦ τῆς τρίτης συζυγίας συμφώνου, ἤγουν τοῦ λ, ἢ δ ἢ τ, ψιλοῦται. οἷον ἀλδαίνω τὸ αὔξω, ἀλθαίνω τὸ θεραπεύω. ἄλσος. οὕτως οὖν καὶ τὸ ἄλτ, ἀντὶ τοῦ ἐπήδησεν. Ἀλλομένου, ἀντὶ ῥέοντος, ἢ βλύζοντος. Ἄλλομος, τυφλός. Ἄλλον μὲν ἐκεῖνον, ἄλλον δὲ τοῦτον. Ἄλλ' ὁ μὲν, ὁ μὲν ἄλλος. Ἄλλον ἐρῶντα, ἀνέραστον.

Ἀλλοπρόσαλλος, εὐμετάβλητος. Ἀλλοπατρίους, ἀλλοφύλους. Ἀλλοσαλίτος, ἀλλόφυλος. Ἄλλος οὗτος Ἡρακλῆς, ἐπὶ θεοῦ παροιμιώδης ἐλέχθη, ἄδηλον ἢ ἐπὶ τῷ ἰδαίῳ δακτύλῳ ἡρακλεῖ ἐρρέθη, ἢ τῷ τῆς ἀλκμήνης. Αἴλιος Διονύσιος τοῦτό φησι. Παυσανίας δὲ ἱστορεῖ, ὅτι ἄλλος οὗτος Ἡρακλῆς, παροιμιῶδες ἐπὶ θεοῦ, ἢ ἐπὶ τῶν ἰδαίων δακτύλων. οἱ δὲ, ἐπὶ τῷ αἰγυπτίῳ ἡρακλεῖ, οἱ δὲ ἐπὶ τῷ τῆς ἀλκμήνης. Ἄλλος ἐπὶ πολλῶν, ἕτερος ἐπὶ δυοῖν. ἰστέον ὅτι τὸ ἄλλος κλητικὴν οὐκ ἔχει. οἷον ἄλλε. ἡ γὰρ φύσις τῆς κλήσεως μάχεται τῷ σημαινομένῳ τοῦ ὀνόματος. ἡ γὰρ κλητικὴ, πρὸς παρὸν ἐστὶ πρόσωπον καὶ γνωριζόμενον. τὸ δὲ ἄλλος, ἀγνοούμενόν ἐστι καὶ ἀπόν. ὁμοίως καὶ αἱ κλητικαὶ τῶν πυσμάτων, τοῦ ποῖος, τίς, πόσοι, ἐκλελοίπασιν. ἐπειδὴ τὰ πύσματα, περὶ ἀπόντων καὶ ἀγνοουμένων γίνονται [illegible]. αἱ δὲ κλητικαὶ παρόντων εἰσὶ, καὶ γνωριζομένων προσώπων κλήσεις.

Ἄλλος προσώπου σημαντικόν ἐστιν, ἤγουν ὑποστάσεως. οἷον ἄλλος Πέτρος, καὶ ἄλλος Παῦλος. τὸ ἄλλο δὲ, τὴν κατὰ φύσιν διαφορὰν σημαίνει. οἷον ἄλλο ἄνθρωπος, καὶ ἄλλο ἵππος. τὸ δὲ ἀλλοῖον ἐπὶ τῆς κατὰ φύσιν διαφορᾶς τίθεται. τὸ γὰρ ἀλλοῖον ποιεῖ.

Ἄλλος, ὄνομά ἐστιν, ἢ ἀντωνυμία; εἰσὶ μὲν τινὲς λέγοντες, μὴ ἔλαττον αὐτὸ εἶναι ἀντωνυμίαν, καὶ μὴ ὄνομα. ἐπειδὴ ὃν τρόπον τὸ ἐκεῖνος καὶ οὗτος ποιοῦσι τὰ οὐδέτερα αὐτῶν, ἀποβολῇ τοῦ ς ἐκεῖνο καὶ τοῦτο, τὸν αὐτὸν τρόπον καὶ τὸ ἄλλος, ἀποβολῇ τοῦ ς ποιεῖ τὸ οὐδέτερον. συσσημαίνεται τὸ ἄλλο, καὶ τοῦτο, καὶ τὰ ὅμοια. ἕτεροι δὲ λέγουσι τοῦ

παραπλήσια σημαίνει ἀλλ᾽ ὅμως. λέγεται παρ᾽ ἀττικοῖς. ὡς παρ᾽ Ὁμήρῳ, Ἀλλά γε μοῦνοι ταῦτα λεγώμεθα. λαμβάνεται δὲ καὶ ἀντὶ τοῦ καί. εὑρίσκεται παρ᾽ ἀττικοῖς λαμβανόμενος ἀντὶ τοῦ γάρ, μετὰ τοῦ γε. ὡς καὶ Σοφοκλῆς, Ἀλλὰ τὸ βούλεσθαι τὰ λέοντα πολλά. ὁ ἀλλὰ σύνδεσμος ἀκολουθικῶς κεῖται, ὅτι καὶ ἀντὶ τοῦ δὴ λαμβάνεται.

Ἀλλὰ καὶ ὡς, ἀντὶ τοῦ ἀλλὰ καὶ ὅμως. Ἀλλ᾽ ἄγε, ἀντὶ τοῦ ἀλλ᾽ ἀνάστηθι. Ἀλλὰ δή, ἀλλ᾽ ὅμως. Ἀρχιραίοντος δὲ ὁ λόγος. μὴ δῆτ᾽, οὐχί. Ἀλλὰ τί πάθω, ὑποτακτικὸν ἐπ᾽ ἀπορίαις λαμβανόμενον, καὶ οὐ μέλλον ὁριστικόν. οἴμοι τί φήσω. καὶ ὦ μοι τί χρήσομαι, παρ᾽ Ἀριστοφάνει. οἱ γὰρ ἀττικοὶ εἰώθασιν ἐπὶ ἀπορίας ὑποτακτικοῖς χρῆσθαι. Ἀλλὰ χρή, ἀντὶ τοῦ ἴσως. ὅπερ δηλοῖ συγκατάθεσιν, οἷον καὶ τὸ μάλα. Ἀλλὰ καλῶς, μηδ᾽ ὕβρεως. Ἀλλὰ νῦν οἱ θεοὶ παρῶσι συνίστασθαι. τὸ ἀλλὰ νῦν, ἀντὶ τοῦ διὰ ταχέως, ἡ φρασολογία φασίν. Ἀλλ᾽ ἄγε, ἰσόδυνον καταχρηστικοῦ ἐστι, καὶ τὸ καταχρᾶσθαι. Ἀλλὰ καί μοι ταῦτα περὶ δρῦν. Ἡσίοδος. παροιμία ὅταν τις μακροὺς λόγους αὐτὸν καταπείγοιτο περὶ ἄλλων λέγων, ὁ δὲ ταῦτα ἀφεὶς ἄλλοις χρῆται. καὶ οὗτος οὖν ἀφεὶς περὶ τῶν προκειμένων αὐτῷ λέγειν, ἤτοι τῆς τῶν θεῶν γενέσεως, ὅπως αὐτῷ αἱ μοῦσαι δάφνης ἔδωκαν κλάδον λέγει.

Ἀλλ᾽ ἄγετε. τὸ ἄγετε ῥῆμα ἐστὶν ἢ ἐπίρρημα, ὃ λέγομεν ἐπίρρημα. ἀλλὰ κανών ἐστιν, ὁ λέγων, τὰ ἀριθμὸν ἀναδεχόμενα μετὰ τῆς διαφόρου τῶν προσώπων καταλήξεως, ῥήματα εἶναι, καὶ ὀφείλομεν εἶναι ῥήματα. ἀλλ᾽ ἕτερος κανών ἐστιν, ὁ ποιῶν αὐτὸ ἐπίρρημα. ἐπειδὴ γὰρ τὸ δεῦρο ὁμολογουμένως ὂν ἐπίρρημα, ἐχόμενον δὲ προστακτικῆς ἐννοίας, κατὰ συνεκφώνησιν ἀριθμὸν ἐδέξατο. ὡς ἐν τῷ, Δεῦτε φίλοι τὸν ξεῖνον εἰρώμεσθα, οὕτω τὸ ἄγε ἐπίρρημα ὄν, κατὰ συνεκφώνησιν ἀριθμὸν τοῦ ῥήματος, ἔχει πληθυντικῶς τὸ ἄγετε. Ἀλλ᾽ ἄγε, τίμησον μὲν φιάλας, κεράσασθαι δ᾽ οἶνον. ἔθος ἦν ἀρχαῖον, λαβεῖν ὁ ποιητής. μέλλοντες γὰρ κοιμηθῆναι μετὰ τὴν θυσίαν οἱ παλαιοί, ἔσπενδον τὸ ὕστερον φιάλας, κατὰ ἔθος ἑσπερινὸν ἀττικῶν, βάλλοντες ἐν πυρί. ἐπίνομον δὲ αὐτὰς ἀθροοῦντες θεοῖς, ἢ τῆς δυσφημιῶν καθαιρόντων ἑαυτούς, ἢ διὰ κράτιστον τὸ μέλος ἢ φωνῆς. ἢ καὶ διὰ τὰ ῥηθέντα θεοῖς ἀντιθεῖσαν, ὡς ἐπὶ μαρτύρων αὐτῶν λαληθέντα. ὁμιλεῖ καὶ κατὰ τὸ οὖς τῶν ἱερωμάτων ἐσόμενον, τὴν θύραν οἰκονομοῦντες ἀπόλλων. ἢ διὰ κρύπτειν τὰ ἐν συμποσίῳ σιγᾶν. ὅθεν ἡ παροιμία, μισῶ μνήμονα συμπότην. ὅ ἐστι τὸν τὰ ἄξια σιγῆς ἐν μνήμῃ ἔχοντα, καὶ ἐκκαλύπτοντα. Ἄλλαγμα, ἀντάλλαγμα. ὡς ὁ Προφήτης φησί, Καὶ οὐκ ἦν πλῆθος ἐν τοῖς ἀλλάγμασιν αὐτῶν. καὶ ἄλλαγμα, ὁ βαπτιζόμενος. Ἀλλαγῶν, ἀμοιβῶν. Ἀλλάμπειν, τὸν ἥλιον, διὰ ἀναλάμπειν. εἰ δέ, ἐπιχειρίδιον δαίμονα. Ἀλλανής, ἀσφαλής. λάκωνες. Ἀλλᾶντα παρὰ τῷ κωμικῷ. Ἡρωδιανὸς ὀκτὼ βαρύνειν, κατὰ τὴν κοινὴν συνήθειαν περισπᾶ. λέγει δέ, ὅτι ὁ ἀλλᾶς, ὡς ἀπὸ τοῦ ἀλλάσσειν κλίνεται διὰ τοῦ ντ, ἵνα ἀλλάεντος, καὶ κατὰ κρᾶσιν ἀλλᾶντος. ὁ δὲ τοιοῦτος λόγος ἀπαιτεῖ καὶ τὴν ἐντεῦθεν τοῦ ἀλλᾶντος περισπᾶσθαι. ἄδηλον γὰρ ὡς ὁ ἀλλάεις γενόμενος ἀλλᾶς, περισπωμένην ἀπαιτεῖ τὴν ἀπὸ κράσεως. ὁ δὲ Ἡρωδιανὸς τοῖς εἰρημένοις παραμένων, καὶ τὴν παρὰ τῷ κωμικῷ μακρὰν τὸ βάρβαρον ὄνομα, διὰ τοῦ ντ κλιθῆναι λέγει, παραφέρων χρῆσιν τοιαύτην. ἀλλ᾽ οὖν ἔγωγέ σοι λέγω μακαρίζεσθαι μὴ κολάζειν. Ἀλλάξ, ἐναλλαγμένως. Ἀλλαξάμενος, πωλήσας. χ κὴρ τῆς κέρδους ὁ κάπηλος λιμὸν τὴν πόρνην ἀμειβόμενος. Ἀλλάχθαι, ἀντὶ τοῦ διηλλάχθαι. Ἀλλαρίοις, σιτηρεσίοις. Ἀλλᾶς ἀλλᾶντος, εἶδος ἐντέρου κατεσκευασμένου. καὶ ἀλλαντοπώλης, ὁ ταῦτα πωλῶν.

Ἅλας ἄγειν κατὰ δόλους, παροιμία. ἐπὶ τῶν ἐν μεγάλῳ κινδύνῳ καθεστώτων, καὶ ῥᾳστωνευομένων. ἐμπόρου γάρ τινος τὴν ναῦν ἁλῶν πληροῦντος, συνέβη τὴν ἀντλίαν ἐπαναβῆναι, καὶ ἐκτῆξαι τοὺς ἅλας. ὅθεν καὶ ἡ παροιμία. ἁλῶν δὲ φόρτος, ὅθεν ἦλθεν, ἀπῆλθεν. Ἀλλάσσω, παρὰ τὸ ἄλλος, ἀλλάσσω. ἐν γενικῇ εἰς

αἰτιατικὴν ἔχει τὴν σύνταξιν, ὡς τὸ ἀλλάσσω χρυσοῦ ἄργυρον, καὶ μολύβδου χαλκόν. Ἀλλάττη, πλανᾶται. Ἀλλὰ τὰ μέν, ἀλλ᾽ ὅσα μέν. Ἀλλά τε, ἀλλὰ δέ. Ἀλλάττομαι τὸ δεῖνα τοῦδε, ἤγουν ἀντὶ τοῦδε. ὡς τὸ ὠνοῦμαι τοῦδε τόδε. ἐναλλάττειν, τὸ μετατιθέναι τὴν τάξιν ἀντιστρόφως. ἀφ᾽ οὗ ἐναλλάξ, ἐπὶ τῶν ποιούντων ἐναντίως λέγεται. ἐξαλλάττειν, τὸ ἀμείβειν, καὶ ἀλλοιοῦν. οἷον, ἐξαλλάττει τὸ χρῶμα. ἤγουν, ἀμείβει. συναλλάττειν ἐπὶ συμφωνίας γάμου. ἀφ᾽ οὗ συνάλλαγμα. καταλλάττειν, καὶ διαλλάττειν, τὸ εἰς φιλίαν συνάγεσθαι. πλὴν τὸ μὲν διαλλάττεσθαι, τὸ διὰ μέσου τινὸς πρὸς τὴν προτέραν φιλίαν ἐπανιέναι φασί. τὸ δὲ καταλλάττεσθαι, τοὺς χωρὶς μέσου. ὅθεν καὶ διαλλακτὴς μέν ἐστι, καταλλακτὴς δὲ οὔ. μεταλλάττειν, τὸ μεταβαίνειν ἀπό τινος εἴς τι. καθὸ λέγεται, τὸ μετήλλαξε τὸν βίον, ἀντὶ τοῦ ἐτελεύτησε. παραλλάττειν, τὸ παρέρχεσθαι καὶ τὸ κατά τι μὲν ὁμοιοῦσθαι, κατά τι δὲ διαφέρειν, καὶ τῇ παραθέσει ἀλλοῖον δείκνυσθαι. ἀφ᾽ οὗ παραλλὰξ ἐπίρρημα, ἀντὶ τοῦ παρηλλαγμένως, ὅταν ἐφεξῆς ἕτερον ἑτέρῳ ἀλλοῖον κεῖται, ἢ ἀντὶ τοῦ ἐφεξῆς. ἀνταλλάττειν, τὸ ἄλλο ἀντ᾽ ἄλλου εἰσφέρειν. ἀπαλλάττειν, τὸ ἐλευθεροῦν, καὶ τὸ διώκειν. ἀπαλλάττεσθαι δέ, τὸ ἀπέρχεσθαι, καὶ τὸ ἐλευθεροῦσθαι. ὑπαλλάττειν, τὸ μὴ κύριον ἀντὶ κυρίου λέγειν. καὶ ἁπλῶς, τὸ ἕτερον ἀνθ᾽ ἑτέρου εἰσάγειν. Ἀλλαχοῦ, καὶ ἀλλαχόσε, τὸ εἰς ἄλλον τόπον. ἀλλαχοῦ δὲ καὶ ἀλλαχόθι, τὸ ἐν τόπῳ. Ἀλλ᾽ ὅμως ἐρεῖν, ἀντὶ τοῦ ἴσως, Μένανδρος. Ἄλλαξον, ἄλλον. Ἀλλ᾽ ἀλέξασθαι, τὸ ἀμύνασθαι ἐπιχειρῆσαι. Ἄλλαγον, συνήλλαγον. Ἀλλ᾽ ἴσθι, ἀλλὰ χαῖρε. Ἀλλέξαι, ἀναλέξαι, συλλέξαι. Ἀλλεπάλληλα, συνεχῆ. Ἀλλ᾽ ἐκ τέρψιν, ἄλλο δή σοι τερπνόν. Ἄλλῃ, ἐπίρρημα δηλοῦν τὸ ἄλλως. ὑλίσταται κατ᾽ ἔκθλιψιν, ἀπὸ τοῦ ἄλλῃ δοτικῆς ἀντωνυμίας. ἵνα λέγῃ, ἄλλῃ ὁδῷ ἡ βουλὴ ἡ τύχη. τούτου δὲ τοῦ σχηματισμοῦ, καὶ τὸ ταύτῃ, ἀντὶ τοῦ οὕτως. καὶ ἄλλῃ, τοπικόν. ἀλλαχόσε κοινόν, καὶ ἄλλῃ ἀντὶ τοῦ ἀλλαχοῦ. καὶ ταύτῃ, ἀντὶ τοῦ οὕτως, ἀντωνυμίαι ἀντὶ ἐπιρρημάτων. καὶ ἄλλῃ, ἀλλαχοῦ. Ἀλλ᾽ ἤ, σύνδεσμος διαζευκτικός, ἐκ τοῦ ἀλλὰ συνδέσμου τοῦ συμπλεκτικοῦ, καὶ τοῦ ἢ συνδέσμου τοῦ διαζευκτικοῦ. ἀντί τινος παραλαμβάνεται ὁ ἀλλὰ σύνδεσμος, ἀντὶ τοῦ καί. οἷον, ἡμέρα ἐστίν, ἀλλὰ τὰ νέφη οὐχ ὁρῶ. Ἀλλ᾽ ἤ, ἀντὶ τοῦ εἰ μή, καὶ ἀντὶ τοῦ ἁπλοῦ ἤ. τίθεται δὲ ἐνίοτε καὶ ἀντὶ τοῦ ἀλλ᾽ ἄρα, καὶ ἀντὶ τοῦ ἁπλοῦ ἄρα. Ἄλλῃ πῇ ἀλός, ἀλλαχόθεν ἐκ τῆς θαλάσσης. Ἀλληγορία ἐστί, λέξις ἕτερόν τι λέγουσα, ἑτέρου ἔννοιαν παριστῶσα, καθ᾽ ὁμοίωσιν ἐπὶ τὸ πλεῖστον, ὡς τό, πλεῖστον μὲν καλάμην ἐπὶ χθονὶ χαλκὸς ἔχευεν. σαφέστερον δὲ ὡς τὸ λεγόμενον ἐν τῇ γραφῇ, ἐν ᾗ πρὸς τὸν ὄφιν εἶπεν ὁ θεός, Ἐπικατάρατος σύ, ἀπὸ πάντων τῶν θηρίων. ὁ γὰρ λόγος ὡς πρὸς τὸν ὄφιν, ἐπὶ δὲ τοῦ διαβόλου, ἀναλόγως αὐτὸν λαμβάνομεν. καὶ ἀλληγορία, ἢ ἄλλο τι παρὰ τὸ ἀκουόμενον ὑποδεικνῦσα. Ἀλληγορούμενον, τροπολογούμενον, φυσιολογούμενον. Ἀλληκτί, πρόσαξ τι ἀπὸ κλήρου. Ἀλληλαῖξαι, ἀλλήλους ἐλάσαι. Ἀλληλέγγυον, ἡ ἐξ ἀμφοτέρων πίστις ἀλλήλοις, ἢ ἀλλήλους.

Ἀλληλουΐα, αἰνεῖτε τὸν κύριον, παρ᾽ ἑβραίοις. ὕμνος τῷ ὄντι.

Ἀλληλοῦχα, τὰ ἀντιπεπλεγμένα. Ἀλλήλοιιν, δυϊκόν. ὁρῶσιν ἐν τῇ λάρνακι, σώματα ἀλλήλοιιν περικείμενα. Ἀλληλουχία, τὸ ἀλλήλους διαδεδέχθαι, καὶ συνέχειν, καὶ συνεργεῖν. Ἀλλήλοις ἐκχέονται, ἀλλήλοις ἐπιβαίνουσιν. Ἀλληλοφθόροι, ἀλληλοβόροι, ἀλληλοφάγοι. Ἀλλήλων, οὔτε ἑνικὰ ἔχει, οὔτε εὐθεῖαν ἐν τοῖς πληθυντικοῖς, οὔτε ἐν τοῖς δυϊκοῖς. οὔτε ἄρσεν, διὰ τὸ ἐπὶ προειρημένων προσώπων λέγεσθαι. ὁμοίως δὲ ἀμφότεροι ἔχει. καὶ λέγομεν ἀλλήλοις βοηθοῦμεν, πρὸς ἀλλήλους ἀγαπῶμεν. εἰς ἀλλήλους ἐπολεμήσαμεν, καὶ ἀλλήλοις βοηθοῦμεν, ἀλλήλοις βοηθεῖτε, ἀλλήλοις βοηθοῦσιν. ἀλλήλους ἀγαπῶμεν, ἀλλήλους ἀγαπᾶτε, ἀλλήλους ἀγαπῶσιν.

ὁ ἡρακλῆς πατρωνυμικῶς. ἀλκεῖος γὰρ παῖς ἀμφιτρύων. Ἀλκὴ, ἡ δύναμις, βοήθεια, ἀρετὴ τίς ἐστι, φωνῆ τ [illegible] εἰς λ. ἢ παρὰ τὸ ἀλαλκεῖν, ὃ σημαίνει τὴν βοήθειαν. Ἄλκηστις. ἱστορία. Ὅτι ἄλκηστις ἡ πελίου θυγάτηρ φίλανδρος οὖσα, θανάτῳ ἑαυτὴν παρέβαλεν ἀντὶ τοῦ ἀνδρὸς αὐτοῦ ἀδμήτου ἐκ ζώντων γενομένη, οἵ πως εἰς φῶς παλινδρομήσῃ, λέγουσιν οἱ παλαιοί, καὶ μάλιστα οἱ ποιηταί. ὁ γοῦν Εὐριπίδης, ἐκ τοῦ γυναικὸς ταύτης περίεστι, καὶ τὸ δρᾶμα ἐπιγράφει ἄλκηστιν. περὶ δὲ ταύτης καὶ τοιαῦτα μυθολογία φέρεται. φασὶ πελίαν [illegible] τῆς ἀλκήστιδος γάμον, τῷ [illegible] λέοντα καὶ κάπρον. [illegible] δὲ τῷ ἀδμήτῳ τοῦ [illegible], καὶ τὸν γάμον αὐτῶν [illegible] δὲ τοῦ γαμοῦντος ἀδμήτου [illegible] ἦν ἀδάμαστον. ὡς καὶ Παυσανίας φησὶν, ἐν [illegible] λέγων, ὡς οἱ μὲν [illegible] φασὶν αὐτό, οἱ δὲ [illegible], οἱ δὲ [illegible] τὸ [illegible]. ἀρχὴ δὲ τῆς μίλης αὕτη. ἀδμήτου λόγον ὦ ἑταῖρε μαθὼν τοὺς ἀγαθοὺς φίλει, τῶν δειλῶν δ᾽ ἀπέχου, γνοὺς ὅτι δειλῶν ὀλίγα χάρις. [illegible] δὲ [illegible] μὲν τῶν ἀγαθῶν, τὴν γυναῖκα καὶ φίλανδρον [illegible] ἄλκηστιν. [illegible] δὲ τῶν δειλῶν, τὸν ἀδμήτου πατέρα, ὃ [illegible] θανεῖν ὑπὲρ τοῦ παιδός. Ἄλλως. Ἀλκήστιδος ἡ ὑπόθεσις, [illegible] τίς ἐστιν. [illegible] παρὰ τῶν μοιρῶν, ὅπως ὁ ἄδμητος τελευτᾶν μέλλων, παράσχῃ τὸν ὑπὲρ ἑαυτοῦ [illegible], ἐνεῖ [illegible] τοῦ [illegible] ζῆν. καὶ δὴ ἄλκηστις ἡ γυνὴ τοῦ ἀδμήτου [illegible] ἑαυτήν, οὐδετέρου τῶν γονέων θελήσαντος ὑπὲρ τοῦ παιδὸς ἀποθανεῖν. μετ᾽ οὐ πολὺ δὲ ταύτης τῆς συμφορᾶς γενομένης, ἡρακλῆς παραγενόμενος, καὶ μαθὼν παρά τινος θεράποντος τὰ περὶ τὴν ἄλκηστιν, ἐπορεύθη ἐπὶ τὸν τάφον, καὶ τὸν θάνατον ἀποστῆναι ποιήσας, ἐσθῆτι καλύπτει τὴν γυναῖκα. τὸν δὲ ἄδμητον ἠξίου λαβόντα αὐτὴν τηρεῖν. εἰληφέναι γὰρ αὐτὴν πάλης ἆθλον ἔλεγε. μὴ βουλομένου δὲ ἐκείνου, ἔδειξεν ἣν ἐπένθει. ἄλκηστις δὲ ἡ πελίου θυγάτηρ ὑπομείνασα ὑπὲρ τοῦ ἰδίου ἀνδρὸς τελευτῆσαι, ἅμα ἡρακλέους ἐπιδημήσαντος ἐν τῇ θετταλίᾳ, διασώζεται βιασαμένου τοὺς χθονίους θεούς, καὶ ἀφελομένου τὴν γυναῖκα. παρ᾽ οὐδετέρῳ κεῖται ἡ μυθοποιία. Ἀλκήεντα, ἰσχυρά, ἀλκιμα. Ἀλκιβιάδειον, ὄχλον, ἢ ἀλεξιφάρμακον φυτόν. [illegible] δὲ, ὄνομα κύριον [illegible] ἀνθρώπου κυνηγετήσαντος. Ἀλκὶ, δυνάμει, μετάπλασμός ἐστιν, ἀπὸ τοῦ ἀλκὴ δοτικῆς. Τρύφων δὲ φησὶ λέγων τὴν ἀρίστην, ὅτι [illegible] τὰς εἰς λεισ λέγει τὴν ἰσχὺν, [illegible], καὶ τὴν [illegible], κρίκα. καὶ τὴν ἀλκὴν, ἄλκα, ὡς σάρκα. ὅθεν καὶ τὴν αὐτὴν δοτικὴν ἀλκί, ὡς σαρκί. ὁ δὲ [illegible] οἴεται τὸ ἀλκί, ἀπὸ εὐθείας παρῆχθαι τοῦ ἀλξ. Ἀλκιβιάδης, ὁ ἀθηναῖος. ἦν δὲ καὶ ἕτερος πρόπαππος τοῦ προειρημένου. ὅν φησι Λυσίας ἐν τῷ κατὰ ἀλκιβιάδου λειποταξίου, εἰ γνήσιος ὁ λόγος, αὐτόν τε καὶ τὸν πρὸς πατρὸς πάππον δὶς ἐξωστρακισθῆναι. Ἄλκιμα δοῦρα, τὰ πολεμικά, καὶ ἀλκιμώτερα πρὸς ἀντικρατοῦντα ξύλων τῶν ἀκόντων. ὡς τὸ, [illegible] τι δοῦρα ἀμάξης, ὅ ἐστι ξύλα. Ἀλκιμάχη, ἡ ἀθηνᾶ, ἐν πολέμῳ ἀλκίμη. Ἄλκιμος, μάχιμος, ἀνδρεῖος, ἰσχυρός, θρασύς. ἡ ἀλκιμός ἐστιν, ὁ τὴν ἀνδρείαν ἀρετὴν ἔχων. τὸ ἐναντίον, κακὸν τὸ δειλὸν φησὶν ὁ ποιητής. καὶ ἀλκιμώτερον, τὸ ἀλκιμώτερον. Ἀλκιμώτατον, γενναῖον, ἰσχυρότατον.

Ἀλκμήνη, θυγάτηρ τῆς συμφοράς [illegible], λέγουσι ἄλλοι μὲν μητέρα εἶναι [illegible], τὴν φυλᾶ [illegible] θυγατέρα. Ἡσίοδος, [illegible] φησὶν εἶναι τὴν [illegible] μητέρα, θυγατέρα δ᾽ αὐτόλου. [illegible] τῷ ἐπιθυμίᾳ τῶν συγγενῶν, [illegible] τὴν [illegible] μητέρα [illegible] γεγονέναι φησίν. Ἀλκμὰν, ὄνομα [illegible]. Ἀλκμαῖος, γενναῖος. Ἀλκμαιωνίδαι, γένος ἐπιφανὲς ἀθήνησιν, ἀπὸ ἀλκμαίωνος. Ἀλκμάνης, μεταξὺ δύο ἐκφώνων ὀνομάτων, [illegible] ῥῆμα. οἷον, πλάτων μὲν ἐγενέσθαι καὶ [illegible]. καὶ Ὅμηρος. ἔνθα μὲν εἰς ἀχέροντα πυριφλεγέθων τε ῥέουσι, [illegible], [illegible] ἄρχουσι μάχης καὶ φοῖβος ἀπόλλων. Ἀλκμορίων, τὸ ἀλεξητήριον, [illegible] τοῦ μ. ἀλκμορίων γάρ ἐστι τὸ ἀλαλκτήριον, ὅ ἐστι βοηθοῦν τὴν ἀρὴν, καὶ ἀπεῖργον τὴν βλάβην. Ἀλκμέωνα, τὴν ἀλκμαίωνα. Ἀλκτῆρα, ἐπίκουρον, κωλυτὴν, βοηθόν, ἢ βοηθοῦντα.

Ἀλκτῆρα λιμοῦ, τὰ δυνάμενα ἀλαλκεῖν καὶ ἀπείργειν τὸν λιμόν. Ἀλκτήριον, τὸ φύλακτον. [illegible] ἀλεκτορίδα ἐπιθεὶ φιλέταιρος. Ἀλκτήριον. ἀμυντήριον. Ἀλκυόνιον, βοτάνη τίς.

Ἀλκτὴρ, ὁ ἄρης παρ᾽ Ὁμήρῳ, ὁ τοῦ φόνου ἐκδικαστής, ὁ καὶ ἀμύντωρ ἐπίκουρος λέγεται, καὶ ἀντίδικος, ἀπὸ τοῦ ἀλκῶ τὸ βοηθῶ.

Ἀλκυονίδες ἡμέραι. λέγεται ὁ ζεὺς ἐφεξῆς πέντε καὶ δέκα ἡμέρας, ἃς [illegible], [illegible] εὐδιεινὰς ποιεῖν, ἵνα αὐλίζωνται παρὰ τοῖς αἰγιαλοῖς. αἱ ἀλκυονίδες ἡμέραι καλοῦνται, ἑπτὰ πρὸ τοῦ τόκου, καὶ ἑπτὰ μετὰ τὸν τόκον. ἡ δὲ ἀλκυὼν θαλάσσιόν ἐστιν ὄρνεον. καὶ ἱστορίαν δὲ τοιαύτην περὶ αὐτῶν φασιν. ὡς ἀπ᾽ ἀνθρώπων ἀπωρνιώθη. ἐστὶ γὰρ ἡ [illegible] τοῦ τραχινίων βασιλέως γυνή. οἱ δὲ [illegible] κηΰξ ἐπιλελυθότα, ὡς τὸν δεύτερον ὄλεθρον φρονήματος, ὡς ἀπαξιοῦν τοῖς ἰδίοις ὀνόμασι καλεῖσθαι. καὶ ὁ μὲν ἐκάλεσεν ἑαυτὸν δία, ἡ δὲ ἥραν. καὶ ποτὲ ἐν θαλάσσῃ αὐτοῦ πλέοντος, ὁ ζεὺς ὀργισθεὶς αὐτόν τε διέφθειρε, καὶ τὴν ναῦν. ἡ δὲ γυνὴ περιπαθὴς γενομένη, εἰς ἐκεῖνον ὄρνεον μετέβαλεν, ὃν κηρύλον καλοῦσιν. ἐκείνη δὲ τὸν αὐτοῦ ἐν τῇ θαλάττῃ ἐκλυμένου ὥσπερ. διὸ κατὰ Διὸς οἶκον, [illegible] ἡμέρας, ἀλκυονίδας καλουμένας, ἐν αἷς ἀπολείπεται ἐν αἷς τίκτουσιν, [illegible]. Ἄλλως.

Ἀλκυονίδες ἡμέραι, αἱ χειμῶνι [illegible], καὶ γαλήνην ἔχουσαι. καὶ περὶ τοῦ αὐτῶν ἀριθμοῦ διαφέρονται. Σιμωνίδης μὲν πέντε φησὶν αὐτάς, καὶ δεκατέσσαρας. Δημαγόρας δὲ ὁ Σάμιος ἑπτά. Φιλόχορος δὲ ἐννέα. [illegible] δὲ καὶ [illegible]. Πανύασις δὲ μῦθον ἐπ᾽ αὐτοῖς, καὶ τοῦτον φασίν. ἀλκυονεὺς τοῦ γίγαντος θυγατέρας, φθονίαν, ἄνθην, μεθώνην, ἀλκίππην, παλλήνην, δρυμώ, ἀστερίην. αὗται μετὰ τὴν τοῦ πατρὸς τελευτὴν εἰς [illegible], ὅ ἐστιν ἄκρον παλλήνης, ῥίψασαι ἑαυτὰς εἰς τὴν θάλασσαν. ἀμφιτρίτη δ᾽ αὐτὰς ὄρνιθας ἐποίησεν, καὶ ἀπὸ τοῦ πατρὸς ἀλκυόνες ἐκλήθησαν, ἀφ᾽ ὧν αἱ ἀλκυονίδες ἡμέραι. ἰστέον δὲ, ὅτι κηρύλος, κατὰ Ἀριστοτέλην, ὁ ἀλκυὼν ἐστιν. οἱ ἄρσενες, οἱ γηράσκοντές φασιν ὑπὸ τῶν θηλειῶν βαστάζονται. μέμνηται δὲ ὁ ῥαθυμος κηρύλος καὶ παρὰ τῷ Κωμικῷ Ἀριστοφάνει μέν τι, δὲ [illegible], ἐν τοῖς πλείοσι τῶν ἀντιγράφων. Σημαίνουσι δὲ ἀλκυὼν μὲν ἀλκυονίδος, τὸ ὄρνεον. ἀλκυόνη, ἡ ἐπὶ κυρίου, τῆς κλεοπάτρας τῆς παρωνυμίας τῷ ὀρνέῳ. ὅτι δηλονότι ἡ κλεοπάτρα, ὡς καὶ τοῦ ἴδας ὁ υἱός, καὶ ἄλλα, τῇ μὲν μετὰ τῶν κλαίων παρὰ μόνην τῶν φιλτάτων ὀνομαζομένων ἐν μεγάροισιν, ὥς φησιν ὁ Ποιητής. τῷ δὲ ἐκείνῳ κειμένῳ ὑπὸ τῶν ἄλλων, καὶ ὅτι οὐ [illegible] παῖδος οἶτον ἡ κλεοπάτρα τὴν τῆς καὶ ἀλκυόνος ὄχρι ἐπωνυμίαν, ἅμα [illegible] τὴν μητέρα [illegible] πλεύσαντος ἀλκυόνος. Ἀλκυὼν, εἶδος ὀρνέου. παρὰ τὸ ἐν ἁλὶ κύειν, ὅ ἐστιν ἐν θαλάσσῃ. λέγεται ὑπερκριτικῶς καὶ ἀλκυονίς. φασὶ δὲ, ὅτι τὸ ζῷον ἀφαιρεῖν αὐτοῦ τὰ ᾠά, καὶ ἐπιτρέπειν αὐτοῖς [illegible], ὁ ζεὺς [illegible] αὐτόν, ὥσπερ ἡμέρας [illegible] ἐν αἷς τίκτει, καὶ ἐκλέπει, ἑπτὰ ἑπτά. ἃς λέγουσιν ἀλκυονίδας, τὰς γαληναίας. Ἀλκυονὶς δὲ τοῖς ἀλκυονίδας, καὶ ἀλκυονίδης, ἡ τῆς ἀλκυόνος μήτηρ. Ἀλλὰ, σύνδεσμος, ποτὲ μὲν ἐστι συμπλεκτικός, καὶ λέγεται ἐπὶ ἀναιρέσεως καὶ συνάψεως ἐτέρου. οἷον, οὐκ ἐπὶ τοῖς, ἀλλ᾽ ἐπὶ τόδε. ποτὲ ἁπλῶς ἐπὶ τῶν ἄλλως γενομένων λέγεται. ποτὲ δὲ ἐπὶ συλλογιστικός, καὶ λέγεται ἐπὶ βεβαίωσιν πράγματος. ὡς τὸ ἀλλ᾽ ἢ [illegible], καὶ ἀλλὰ μὲν τόδε ἐστί. καὶ τὸ μὲν ἀλλὰ μετατίθεται ἐν τῷ λόγῳ. οἷον, τοὶ δ᾽ ἰθὺς μετὰ μὲν [illegible], [illegible] μακάρες. αὐτὰρ δ᾽ οὐ προτίθεται. οἷον, αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο. ἀλλ᾽ ἀντὶ τοῦ [illegible]

...ὁ τῶν χορῶν τρόφιμος. Ἀλίπλοα, ἐν τῇ θαλάσσῃ πλέοντα.

Ἁλιπόρφυρα, ἁλουργῆ, ἐσθῆτα, ἐκ θαλασσίας πορφύρας.

Ἄλιπτα, αἰολικῶς παρὰ τὸ ἀλείφω, ἄλειμμα καὶ ἄλιπτα.

Ἆλιρ, ἐξέδαφον. Ἁλιῤῥόθιον, κῦμα θαλάσσης, ἀπὸ τοῦ ῥοίζου ... ἁλιῤῥόθιος ... Ἅλις, ... πρὸς τὸ ... καὶ λαμβάνει γενικὴν ... κατὰ τὸν λόγον τῶν ἐπιῤῥημάτων, ἃ μετὰ τὰ ῥήματα λεγόμενα γενικὴν ἀπαιτεῖ, προσυπακουομένου αὐτῇ, ὅτι καὶ ἐντελὲς ἔχει τὸ σύνταγμα. οἷον ἅλις ἔχω λαχάνων, ἀντὶ τοῦ ἀρκούντως. ἐοίκε δὲ ἔχει ... τὸ ἔχω, προσυπακουόμενον. καὶ λέγεται ἡ μετὰ ... ὡς παρὰ Εὐριπίδῃ, οἷον ἅλις κόρης σῆς θάνατος, ἀντὶ τοῦ, ἱκανῶς ἔχω ... ὁ θάνατος τῆς σῆς κόρης. ἡ μετὰ γενικῆς, ὅτι καὶ τὸ πρᾶγμα συνυπακούεται. οἷον ἅλις τῶν λαχάνων, ἀντὶ τοῦ ἱκανῶς ἔχει τὸ πρᾶγμα ἕνεκα τῶν λαχάνων. ... ἡ δὲ αἰτία τοῦ λέγεσθαι ... μετὰ ... γενικῆς, διὰ ἐντελὲς λεγόμενον ... καὶ γενικήν. εἶτα ... τὸ συντάξεως ... μίαν αὐτῶν ... ἐκ τοῦ φθείρω, καὶ ἄλλων μερῶν. τὸ γὰρ ἐντελὲς ... καὶ φθορᾶ τοῦ σῆς ... ἐφ' ὧν τὸ ἐντελὲς ... ἁρμόζοιμεν τὸ ...

Ἀλισκαῖα, ἰσχυρά. Ἁλίζω, συναθροίζω ... Ἁλίσκω, ἁλῶναι. Ἀλισγημάτων, τῆς μιαρῶν θυσιῶν, ἢ ἀλισγημάτων, τῶν μιασμάτων, τῶν ἐκ μιαρῶν τῶν εἰδώλων θυσιῶν. Ἀλισγεῖν, ... μιαίνειν ... Ἁλίσγητος, μολυντός, μιαρός. Ἅλις δρυός, παροιμία, ... τῶν ... φαῦλα ... καὶ ... σῖτον. Ἁλιθῶσαι, ἀλεῖψαι, τρίψαι. Ἀλισθεῖν, συναθροίζειν. καὶ ἀλισθήσεις, συναθροισθήσεις. Ἀλίσκετο ... Ἀλίσκομαι, καταλαμβάνομαι ... καὶ ... Ἀλίσκω ... φαίνεται ... ἐπὶ ... παρ' Ἀττικοῖς ... καὶ ... ὁ λίθος ... καὶ κατέγνωσται ... τῇ γεγραμμένῃ ... Ἀλίσκομαι, ... ἀλώσομαι ... ἁλίσκομαι, καταλαμβάνομαι ... ἁλίσκομαι, καὶ ἐπὶ ... λέγεται ... Ἀλισκεσθαι, ... ἁλισκομένη ... Ἀλίσκεται, ... Ἀλισμός ... Ἀλισμένος ... Ἀλιταρόν, ... Ἀλιτάνω, ... Ἀλιτεῖν ... Ἀλιτήριος, ὁ ... τῇ θαλάσσῃ ... Ἀλιταίνω, τὸ ἁμαρτάνω. Ἀλίτημα, ἁμάρτημα. Ἀλιτήμενον, ἁμαρτανόμενον. Ἀλιτημένος ... Ἀλιτήμων, ὁ ἁμαρτωλός. Ἀλιτρὸς ... Ἀλιτήριος, ὁ ... ὁ ἁμαρτωλός, ἀλιτήριος δὲ ... Ἐσχατία. ...

οἱ ... τὰ τῶν ἀλιτηρίων ... ἐκ τοῦ ἀλιτεῖν ... ἀλιτηρίους ... παρῆκται δὲ τὸ ... ἀλιτήριος, ὃ ἐστιν ἁμαρτωλόν ...

Ἀλιτόκαρπον, ματαιόκαρπον. Ἀλιτόμηνον, τὸ ἁμαρτάνον τῶν μηνῶν ... Ἀλιτόθρος, ὁ ἐκ πλάνης τρεφόμενος. Ἀλίτυμα, ... Ἀλιφαί, οἱ ... Ἀλιτραίνει, παρ' Ἡσιόδῳ, ἀντὶ τοῦ ἁμαρτάνει.

Ἀλιφίαν, ἁμαρτωλούς. Ἀλιτροῖς, ἁμαρτωλοῖς ... ἀλιτηρίως ... ἀλιτρός. Ἀλιτροσύνη, ἁμαρτία, καὶ ἀλιτρία, Σοφοκλῆς Αἰχμαλωτίσι λέγει. Ἀλιτρός, ἔχει ... τῷ ... ἀλιτρός ... ἀλιτήριος ... ἀλιτήμων ... ἀλιτραίνω ... ἁμαρτία. καὶ ἀλιτήμων ... ἀλίτημα, ἁμάρτημα, καὶ ἀλιτήμων, ὁ ... ταῦτα ... ἄλιτρον, καὶ ἄλιτον ... Ἀλιτήριος ... ἀλίτης ... ἁμαρτωλός ... ἀλιτηρίους ... Ἀλιφός, ... ἁμαρτωλός ... ἀλιτρός ... ἀλιτήριος ... Ἀλιτρεῖ, ἁμαρτάνει, κατὰ συναίρεσιν, ἀλιτήριος καὶ ἀλιφός. Ἀλιφόω ... ἁμαρτία, καὶ ἀλιφία, Σοφοκλῆς Αἰχμαλώτισι λέγει. Ἀλιφαλός, ... Ἄλιφα, ... Ἀλιφαρής, ... Ἀλιφθορος, ... Ἀλιφλοῖς ... Ἀλιφροσύνη, ... Ἅλιψ, πέτρα.

Ἀλίων, ἀλιφαίων, ἀλίων. Ἀλιῶσαι παρ' Ὁμήρῳ, ... ματαιῶσαι, καὶ ἀφεῖναι ... Ἀλίωσι, μάταιον ... Ἄλκα, ἄλκιμα. Ἀλκαθόῳ, ... Ἀλκαία λέγεται ... οὐρά ... Ὅμηρος, Οὐρῇ δὲ πλευράς τε καὶ ἰσχία ἀμφοτέρωθεν μαστίεται ... Καλλίμαχος δὲ ... ἀλκαία ... οὐρά ... ὁ λέων, καὶ ὁ ταῦρος ... καὶ τὰ λοιπά. ... ἡ τοῦ λέοντος οὐρὰ ἀλκαία λέγεται ... οὐ μόνον ἡ τοῦ λέοντος οὐρὰ ἀλκαία ... Ἀλκαμάχος, ἀλκιμον. Ἀλκαῖος, ... ἀντὶ τοῦ ἀλκαῖος ... Ἄλκαρ, βοήθημα, σωτηρία, βοήθημα, παρὰ τὸ ἀλκή. Ἀλκάτας, ... τῶν βασιλέως. Ἀλκίδαι, θεοὶ ... παρὰ Λακεδαιμονίοις. καὶ ἀλκμαιωνίδαι ... Ἀλκαῖος, ἰσχυρός. παραγώγως δὲ ... παρὰ τὸ ἀλκή ... ὡς ... ἔστι δὲ ὁ ...

ται, κατὰ δὲ τὰ ἀντίγραφα γράφονται. κεκλῆσθαι ἀπὸ Ἁλιάρτου, ἥτις ὠρμήθησαν. ἢ Ἁλίαρτος ὅτι, ὡς λέγουσιν, ἀπὸ τοῦ πελάγους ἁλίαρτον. ἔχει δὲ ὕλη καὶ λίμνας, καὶ ὑδάτων ῥυτός ἐστι. διὸ καὶ πόλεις ἐπὶ Βοιωτίας, ἡ πολυβότειρος. ὁ δὲ Ἁλίαρτος, ἁλιαρὸς ἦν κεχωρίσθαι. Ἁλίας, πρασιάς, πλοιάς. Ἀλίαστος, ἄλυτος, ἀνέγκλιτος, ἀμετάστρεπτος, ἀπαλλακτός, ἄλυτος. καὶ ἀλίαστος ὅμαδος, ὃν οὐκ εἶχον διακρῖναι οἱ ἀρχαῖοι. ἢ ὁ ἀπολύλικος, ὃ εἰς πολὺν δόλον φόβον παρακινεῖ, καὶ ἀλίαστος πόλεμος, τουτέστιν ἄφυκτος. λέγω γὰρ τὸ ἐκφυγεῖν. καὶ ἀλίαστον ὁλοφύρεσθαι, τὸ ἀεὶ καὶ ἀχωρίστως, ὡς μὴ ἔχειν λαθεῖν, ὅ ἐστιν ἐκκλῖναι τὸν ὀδυρμόν. ἢ ἀλίαστον, πολύ, παρὰ Ἀπολλωνίῳ. Ἀλιάδης, ἀπὸ χύτρ. Ἀλιβάντας, ἡ νεκρούς, διὰ τὸ ξηροὺς εἶναι, καὶ οἷον ὑγρασίαν ἰκμάδα μὴ ἔχειν, ὁ λιβάδα. ἢ τὴν ἐν θαλάσσῃ τελευτῶντας. ἄλλοι, τὴν διὰ πνεῦμα ἀπάγοντας. Ἀλιβάπτεις, πορφυρεῖς. καὶ ἀλιβαφῆ, πορφυρογενῆ, ἐν θαλάσσῃ εἰργασμένα. Ἀλιβαρής, ἁρμυρά. Ἀλίβας, νεκρός, ὁ βροῦχος, ὁ ποταμός, ὁ ὄξος. καὶ ἀλίβας, ὁ σκελετός. ἐπὶ νεκρῶν λέγεται, διαφερομένων τῶν παλαιῶν ἐκ τοῦ ὁμοίου τῷ ξηρότητι. ἀλίβας δὲ βαρύνεται, καθ' ὁμοιότητα τοῦ ἀλίαρας. ἀλίαρας δέ, κατὰ Δίδυμον, ὁ θαλάσσῃ μεμιγμένος. καθὰ καὶ ὁ χαλκόκρας, ὁ χαλκῷ κεκραμένος. Ἀλιβδύειν, τὸ καταδύειν εἰς θάλασσαν. μεταφορικῶς δὲ καὶ τὸ κρύπτειν, καὶ ἀφανίζειν παρὰ τὴν ἅλα, καὶ τὸ βλύειν, αἰολικῷ πλεονασμῷ τοῦ β. ὡς εἴδειν εἴβδειν, οὕτως ἄλυδειν ἀλιβδύειν, εἴρηται ἀλιβδύζει λιπαρὰς λίμνας.

Ἀλιβδύσαι, ἀφανίσαι. Ἀλίβως, ὁ ὄξος οἶνος. λέγεται παρὰ τὸ μὴ λείβεσθαι ἐν σπονδαῖς. Ἀλιβρώς, ὁ τῆς θαλάσσης βεβρωμένος. Ἀλίβρεχον, τὴν θαλάσσῃ βρεχόμενον.

Ἀλίβρωτος, ὁ ἅλας ἐσθίων, ἢ ὁ ὑπὸ τῆς ἅλμης βεβρωμένος, καὶ διαφαγωμένος. Ἀλίβωλος, ζωγραφεῖται. ὅτι κατὰ τὸ παλαιὸν ἔλεγον δύο ἵπποι συνεζευγμένοι ὑπὸ ζυγὸν, ἅμιπποι. ἦν δὲ ἐπὶ μὲν τοῦ ἑτέρου ὀχούμενος, ἐπὶ δὲ τοῦ ἑτέρου ἐφάλλεται. καὶ νῦν δὲ χρῶνται περὶ ἀρχὰς ἀλίβωλον, οἱ προγεγραμμένοι ζωγράφοι. Ἀλιγενής, ὁ ἐν θαλάσσῃ γεννηθείς. Ἀλίγκιον, ὅμοιον, καλόν, ἀγαθόν. Ἀλιδίνης, ἐκδινής, ποδίνης, ἅλις.

Ἀλιδρεπής, ἀλιδρεπής. Ἅλις, ἅλις. Ἀλιεργόν, ἁμαρτωλόν. Ἀλιεύομαι, οὐκ ἀληθεύω. Ἀλιεύς, κενόν. ἀλίτροπος, παιδικόν, ὃ ἐν τῇ ἁλὶ διδομένῳ προκείμενος, ἢ ὁ ἑρμηνευτής.

Ἀλιεῦσι, θαλαττουργοῖς, ἢ ἰχθυοθηρευταῖς. Ἀλίζω, ἢ λέξις τῶν σίσφων. μακρολόγος. Ἀλίζειν, ἀθροίζεσθαι. Ἀλίζω, τὸ συναθροίζω. ἐξ οὗ ἅλως. ἐκ τοῦ ἀθροίζεσθαι τὴν σάλπιγγα. ὅτι δῆλον καὶ ἅλις, ἀντὶ τοῦ συνηθροῖς. Ἀλίζωμος ἰθμάς, διὰ τὸ ἁλὶ ἀλιζῶσθαι. Ἀλίζωσις, εἶδος βοτάνης θαλασσίας. Ἀλιζώνους, οἱ μὲν τοὺς παραλιτέας φασίν. οἱ δέ, ἡ περὶ τῶν ἀγκάλων τοῦ πόντου, τῶν μεταξὺ τραπεζοῦντος καὶ παφλαγονίας. παρὰ τὸ ἁλὶ ζώννυσθαι, ἤτοι περικλείεσθαι. ἄλλοι δὲ εἶναι φασι, περὶ τῶν κεκομένων αὐτοὺς λέξιν θάλασσαν. τιμῶσι δὲ τοῦτο καὶ ἔθνος αὐτοὺς καλεῖν θρακικόν, οἱ δὲ τοὺς βιθυνούς. Ὅμηρος, Αὐτὰρ ἀλιζώνων καὶ Ἐπίστροφος ἦρχον. ὅτι ὁ γῆ αὐτῶν θαλάσσῃ λεῖζωσται, ἢ οἱ ἐν τῇ Χερρονήσῳ ἔθνος εἰσιν. Ἀλιῆες, ἱππεῖς, παρ' Ὁμήρῳ. ὁ κοινὸς λέγει ὁ ποιητὴς τοὺς ἁλιευτάς, ἢ καὶ ἄλλως ἀπὸ τῆς περὶ ἅλα στρεφομένους. καὶ ἐν τῷ ὁ ὀδυσσείᾳ, ἁλιεῖς ἢ πορθμέας δοκεῖ λέγειν, ὧν μάλιστα χρεία ἦν εἰς τὴν πειραγωγῆν. ὅπερ ἐστὶ ναυτικοὺς ἄγειν. Ἁλίη, ὁ θαλασσία. Ἀλιής, ἄκλητος, ἀπόρθητος. Ἀλιῆνες, οἱ ἁλιεῖς. Ἅλιθον. ἦν τῆς οὐ φωνῇ ἅλιθον, ὡς δὲ νῦν ἐστιν ὁ πεδίον, ἀρρενικὸς φασιν. Ἀλικάκκαβα, ὁ τῷ λαμπάδι ξύλον. Ἀλικαμίου, ὁ πρόβατον, ὁ σπερμύλον. χύτρα φασίν. Ἀλικὴ ἐν Σικελίᾳ τοπονύμιον, τῶν ἁλίων χώρα. Ἀλικίνης, θαλασσομιγής. Ἀλίκιος, δυνατός. Ἀλικός. ἀλικοὶ καλοῦνται, οἱ τὰ πρὸς θάλασσαν οἰκοῦντες μέρη τῆς πελοποννήσου.

Ἀλιμορόλα, παρὰ ῥωμαίοις, ἡ χυδία τροφή, καὶ ἄστρος. κεκρυφάλια τῆς τὸ ἀμφίπια. Ἀλίμυρμα, φύλλα μικρόν, μετὰ ὄρους λακωνίας, ἢ ὑπομνήματα πλείστων καρπῶν. Ἀλίμα, θαλάσσια. Ἀλίμενον θάλασσαν, τὴν τέλος μὴ ἔχουσαν, μηδὲ ὅρμον. Ἀλιμενότης, τόπος λιμένα μὴ ἔχων. Ἀλίμισιτον, τὸ πεπησμένον. Ἄλιμον, βοτάνη διαφερούσης παρὰ θάλασσαν. πληθυντικὰ δέ, τὰ ἄλιμα. ἐστὶ δὲ γεννητικὸν γάλακτος καὶ σπέρματος. Ἀλιμοῦς, δῆμος τῆς λεοντίδος φυλῆς. οἱ δημόται, ἁλιμούσιοι. Ἀλιμυρίδες ἀκταί, αἱ ὑπὸ θαλάσσης περιρρεόμεναι, ἢ περιρραινόμεναι. Ἀλιμυριὰς πέτρας, τὰς ὑπὸ θαλάσσης περιρρεομένας. καὶ ἁλιμυρήεντες ποταμοί, οἱ εἰς τὴν θάλασσαν βάλλοντες. Ἀλιμυρήεντα ποταμόν, τὸν ἁλὶ βρυχόμενον, ὁ τὸν εἰς θάλασσαν ῥέοντα, ἢ ἁλὶ κυρνάμενον. καὶ ἁλιμυρήεντες ποταμοί, οἱ ἐν τῇ ἁλὶ μυρόμενοι, τουτέστι, μετὰ ἤχου ῥέοντες ἐν ταῖς ἐκβολαῖς δηλαδή, καὶ ὡς ὅν συμβαίνειν τισὶ εἶναι, μορμύροντες. ὡς γὰρ ἐκ τοῦ μύρω τὸ μυρμύρω, οὕτω καὶ ἐκ τοῦ μύρω τὸ μορμύρω γίνεται. τὸν ὅμοιον δὲ τρόπον καὶ μύρος, καὶ μορμύρος. ἐπεσθαλὲς μέν τοι αὐτοὶ ἰχθύς εἰσι, καὶ ἁλιμυρήεντα ποταμὸν λέγει, τὸν εἰς ἅλα μυρόμενον, ἤγουν κατά τινα τρόπον ἔχον ῥέοντα. ἐκ δὲ τοῦ πρώτου λεπτοῦ γίνεσθαι. καὶ τὸ ἁλμυρόν. εἶτα λαμπρόν φασιν οἱ παλαιοί, τὸ ἐυλαλον, εὐτράπελον. καὶ ὥσπερ δὲ μύρεσθαι, τὸ κλαίειν ἐρρέθη παρὰ τὸ αὐτὸ αἴτιον, ἵνα ἢ μύρεσθαι, τὸ κατὰ ῥοῦν τινα προχέειν δάκρυα. Ἀλινῶσαι, ἐκπλεῦσαι. Ἀλινδεῖσθαι, κυλίεσθαι. ἐστι κυλίω, καὶ τροπῇ τοῦ υ εἰς α καὶ ἀποβολῇ τοῦ κ, αλίω, ἀλίσω, ἅλισις, ἀλίσω. καὶ πλεονασμῷ, ἀλινδῶ. ἀλλ' ἐπιτηροῦσι τὸν ἵππον ἐξαλίσας οἰκείως, ἀντὶ τοῦ κυλίσας. τὸ δὲ ἀλίω γίνεται ἀλινδῶ, ὡς κυλινδῶ, καὶ ἐν πλεονασμῷ γίνεται, ἀλινδῶ ἀλινδήσω, ἀλινδήθρα. ὡς κυλινδῶ, κυλινδήσω, κυλινδήθρα. τὸ δὲ ἀλινδήθρα, σημαίνει τὴν κυλίστραν. Ἀλινδήθρας, συναγωγὰς τροφῆς, λιθολογίας, ἢ τὰς πλοκὰς τοῦ ὑφαντικοῦ. λέγεται φαῖος. ἢ ὅτι ἀλίνδηθρα, τόπος ἐν ᾧ κυλίονται ἰόντες οἱ ἵπποι, κυλίονται.

Ἀλινδόν, ἄμπελον. Ἀλινῆ, ἀλίφειν. Ἀλιπλοΐ, ἀλιεύειν, τῶν ἐν ἁλὶ καχεμένων. καὶ ταύτην ἀπέτυλον, ἀλιπλοΐ ἀμφὶ αὐτῶν. Ἀλιοτεχής, ἐν θαλάσσῃ τεχνωμένης. ὡς τὸ, Ἀλιοτεχίας ἔργα τέχνης ἀνέθηκεν. Ἀλίοι, ἐκφροδίτει. Ἀλιον, ἀμυδρόν, λεπτόν. Ἄλιος, ἄμιλλα. Ἀλιφάτοισι, ταῖς ὑπὸ τοῦ ἁλὸς ξυρωμένοις ἐλινισμένοις. Ἅλιον, ὡς ἀποτέμνοντα, ὅτι ἀπὸ τοῦ ἅλς ἁλὸς γίνεται, καὶ δηλοῖ τὸ ἀνόητον. ἁλὶς καὶ θάλασσα τῆς ἀνοητείας τοῖς τε ποιεῖν εἰώθασι. καὶ ἄλιον ποιεῖν λέγει Ὅμηρος, ἑρμηνεύων τὴν ἐφ' ὕδατα, ἐν δὲ τῆς ἰλιάδος, φησὶν παρὰ τὴν ἅλα, ἧς τὸ ὕδωρ οὐ ποιεῖ ἰδέας, ὥσπερ ἡ τὰς πηγὰς ἐφ' ἑτέραις.

Ἁλιοβόλος, οὐδαλ ὁ πλοῖον ἅμα λύπαις. Ἅλιον ὕδωρ, τὸ θηρευόμενον ἀθρόον, παρὰ τὴν ἅλα, ὁ ἄλιον, ἀλήθειον, μάταιον, καλόν, ἀληθινόν. Ἀλίσιος, θαλάσσιον. Ἀλι παρά, αὐχμηρόν, ἢ λιπαρόν. ἐξ ἧς αὐτὸν λιπαρόν.

Ἀλιπέδον, τὸ παραθαλάσσιον πεδίον. καταχρηστικῶς δὲ καὶ πᾶν πεδίον. ἢ ἀλίπεδον, τὸ ὁμαλὸν εἶδος, παρὰ τῇ θαλάσσῃ. τινὲς δὲ τὴν πειραιᾶ φασιν. εἶναι δὲ καὶ κοινὸς τόπος, ὃς πάλαι μὲν ἦν θάλασσα. αὖθις δὲ γέγονε πεδίον. διὸ καὶ λαβοῦσι τὸν πρότερον. ἐστι γὰρ οἷον ἁλὸς πεδίον. οἱ δὲ τὸ παραθαλάσσιον πεδίον οὕτω καλοῦσιν. ἄλλοι δέ, παρὰ τὸ ἀλύεσθαι ἐν αὐτῷ ἵππους ἀλινδεῖσθαι, τουτέστι, κυλίεσθαι, τῶν ἐρημασίων λαβεῖν φασιν. Ἀλιπλαγκτος. οὕτω καλεῖται ὁ πῦρ, ὁ ὅτι ἐξοδοῦται τοῖς ἀλωμένοις ἐν τῇ ναυμαχίᾳ, ὁ ὅτι ἐν τῷ θεῷ διατόνοις ἐπεισιν, ὁ ὅτι οἱ ἁλιεῖς τιμῶσι τὸν θεόν, ὡς νόμιον θεόν. ὁ ὅτι μεγαλόφωνος· ἐν τῇ Χερρονήσῳ, ὡς ἁλίβρομος. ὁ ὅτι τὰς ἠχοῦς ἐργάζεται πολύηχος δὲ ἡ θάλασσα. ἐστι δὲ

ὥσπερ δυσφορέοντες ἐν πλοίῳ, Ἀλαθέα ὦ Δαλέτατε πάντων.

Ἀλεά, ἀφανῆ. τῶν ἐπιθέτων τὰ συγκριτικὰ αἰολικὰς, δίχα τοῦ ε ἀττικοὶ καὶ πάντες Ἕλληνες προφέρουσι. τὰς δὲ τῶν λεγόντων, μόνοι οἱ ἀττικοὶ καὶ διὰ τοῦ ε, τὸν Δημοσθένην καὶ τὸν ἀναφορικόν. ἐκεῖνος γὰρ κοινῶς πάντων ἐλλειπὴς οὖσας, ἀπαραιτήτους εἶχον. τὰ δὲ λέξιν ἐκεῖνον τῶν ἀνθρώπων εἶναι ὀνόματα, ἐν αἰδοῖς γινομένων, καὶ μὴ διὰ τοῖσδε ἅπασι γνωρίμων, ἐπ' ἀδελφὸς μόνοις τὴν κοινὰ ἐφύλαξαν, τὴν λέγοντα, δεῖ τὴν αἰολικὴν ἰσοσυλλαβοῦντα τῇ εὐθείᾳ, διὰ τοῦ ε ἐκφέρεσθαι. Ἀλῆθαι, ἐπλανήθη. Ἀληθὴς, δικαία, ὁ δίκαιος. ὁ μὴ μέμψιν, κατὰ στέρησιν τῆς λήθης. καὶ ἀληθὴς, φιλαλήθης, ἀρχαῖος, φιλάρχαιος. τὰ ὀνόματα συντιθέμενα, ἀναβιβάζουσι τὸν τόνον. αἱ δὲ μετοχαὶ, οὐκ ἀναβιβάζουσιν. οἷον πᾶς τὸ φὰς, περίφας, τελὰς ὑπέρτελας, καὶ ἄτλας, ἀναβιβάζουσι τὸν τόνον, εἰ ἐκεῖνον γὰρ ὑπὸ μελικῶν ἐλεοῦνται, τὸ τοῦ ὀνόματος σχῆμα ἀπολέσαντο. Ἀληθεύω, ἀληθίζω, ἀληθίζομαι, ἀληθῆ λέγω, δωρικῇ συνεπάσαντο. ἀληθίζω, παρὰ Ἡροδότῳ ἐν τῇ πρώτῃ, ἐπειδὴ καὶ ἔρρειον καὶ ἀληθίζεσθαι. Ἀληθίως, καὶ εὐσεβίως, καὶ ἀτρεκίως, ἀντὶ τοῦ ἀληθῶς, εὐσεβῶς, ἀτρεκῶς, λέγουσιν οἱ Ἴωνες. ἔστι ταῦτα τὰ ἐπιρρήματα, ἀπὸ τῆς γενικῆς τῶν πληθυντικῶν γίνεται, φωνῆεντος τοῦ ε εἰς ι. ὁμοίως τὸ ὁσίως, δικαίως, θαυμαστῶς, καὶ μυρία ἄλλα.

Ἀληθινόν, τὸ ἀκατασκεύαστον. Ἀληθοσχῆ, ἀφανῆ. Ἀλήθω τὸν σῖτον, ἤγουν ἄλευρον ποιῶ, ἢ ἀλήθω. Ἀλήϊον, πεδίον κατὰ τοὺς παλαιούς, ὃ παρὰ τὴν ἐκ τοῦ ἥλιος ἄλην, ὅ ἐστι πλάνην ὀνομάσθη. διὸ καὶ ὡς ἔμμετρος ἔταμον, καὶ ἔτεμε γένεα, οὕτω καὶ ὅδε χωρίον ἐτυμολογίας τρόπῳ, φασὶ κατὰ πεδίον ἀλήϊον ἀλᾶτο. ἡ διὰ τὸ λέγεσθαι λεῖον, διὰ τὴν ἐρημίαν. τινὲς δὲ τὴν σποράν, τὴν ὀρχαίαν παρὰ τὴν ἅλω, φάμενοι ἄλω φέρειν τὸν τόπον ἐκεῖνον. Ἀλήϊος, πένης, ἄπορος, ὁ διὰ τὸ μὴ ἔχειν λήϊον, ἤγουν σιτοφόρον χωρίον. ὁ ἀπὸ τοῦ μὴ ἔχειν λείαν, ἤγουν ἀγέλας τῶν προβάτων. Ἀλληλουχία, ἡ συνοχὴ καὶ συγκράτησις ἀλλήλοις. Ἄληκτον, ἀκατάπαυστον. Ἄληκτα, τὰ ἀμέτρητα μὲν, κοινὰ δὲ πρὸς ἴσα ὄντα, πρὶν ἢ διανεμηθῆναι, ἄληκτα λέγεται. Ἄλημα, ἐφθὸν ἄλευρον. καὶ ἄλημα, παράλογισμόν, πανούργημα, ἢ ἐπίτριμμα. Σοφοκλῆς Λαερτίου κακηστικὸν ἄλημα σοφοῦ. καὶ ἡ ὀλιγοπορία. Ἀλήμεναι, συγκραθῆναι, πληρωθῆναι, συναθροισθῆναι. Ἄληπτος, ἀκράτητος. εἴρηκε τὴν αἰτίαν, δι' ἣς ἄληπτός ἐστι τοῖς ἐχθροῖς. ἄληπτος καὶ ὁ ἀκατάληπτος. καὶ ἀλήπτως ἐπίρρημα, ἀντὶ τοῦ ἀκαταπαύστως. Ἄλης, ποταμός. Ἀλήλακα, ἐκ τοῦ ἀλέω, ἀλέσω, ἤλεκα κοινῶς, ἀλήλεκα ἀττικῶς. Ἀληλεσμένον. Θουκυδίδης, σῖτον δὲ ἀληλεσμένον τὸν βουλόμενον, ἀργυρίου πολλοῦ ὠνεῖσθαι. καὶ ἀληλεσμένον βίον, οἱ μὲν ἐπὶ τῶν βαλανίτῃ βίῳ χρωμένων ἐδέξαντο, οἱ δὲ ἐπὶ τῶν ἀταλαιπώρως βιούντων. Ἀλήλιμμαι, ἐκ τοῦ ἄλειμμαι παρακειμένου. τὸ ῥῆμα ἀλείφομαι. Ἀλήλιπται καὶ κατερρύπωται, οὐκ ἤλειπται, οὐδὲ κατώρυκται. Ἀλήλιφα, ἀλείφω, ἀγήοχα ἐγηγόχειν. ὅτι ὁ ἀττικὸς παρακείμενος ἄρχεται ἀπὸ φωνήεντος, τότε αὔξεται τῷ ἀρχομένῳ ὁ ὑπερσυντελικός. σεσημείωται δὲ ἐν τοῖς ἀπὸ φωνήεντος ἀρχομένοις ἀττικοῖς παρακειμένοις, ὁ ἐληλύθειν ὑπερσυντελικός. οὐκ αὔξει τὸ φωνῆεν τῶν ἀρχομένων. καὶ ὁ ἐώλπειν, καὶ ὁ ἐώργειν, καὶ ὁ ἐώκειν, ὑπερσυντελικοὶ ὄντες, οὐ μεγεθύνουσι τὸ ἀρχόμενον. ἴστεον ὅτι τοῦτο τὸ ὑπερβιβασμὸν ἀνεδέξατο τοῦ χρόνου. ἔστι ὁ μέσος παρακείμενος ἔολπα, ἔοργα, ἔοικα. καὶ ὤφειλεν εἶναι ἠόλπειν, ἠόργειν, ἠοίκειν. ἀλλὰ καθ' ὑπερβιβασμὸν τοῦ χρόνου, ἐγένετο ἐώλπειν, ἐώργειν, ἐώκειν, τῆς πρώτης συλλαβῆς συσταλείσης εἰς τὸ ε. τῆς δὲ δευτέρας ἐκταθείσης εἰς τὸ ω μέγα. Ἀλήπεδα, τὰ πρὸς τῇ θαλάσσῃ πεδία. διὰ τὸ ἁλμυρὰ εἶναι φύσει. Ἀλήπορον, τὸ λευκὸν ἄνθος. Ἀλήπτωρ, ὁ ἱερεύς. Ἀλήπτως, ἀκαταπαύστως. Ἀληπτότερα, ἀδούλωτα. Ἀλήπτορον, ἱερεία.

Ἀλήσκε, ὁδός. Ἀλησιάς, ἡ ἀφροδίτη. διὰ τὸ περὶ πᾶν χῶρον ἀλᾶσθαι τὴν θεόν, πολλῶν ἐρασθεῖσαν καὶ πλανωμένην. πιθανώτερον δὲ διὰ τὸ ἐν Κολοφῶνι ἐπὶ τοῦ ἄλσους ἱδρυμένον ναοῦ. καὶ ἀλησίας, σποράς, ἀνοχάς. ἀπὸ τοῦ μὴ ἀνίεσθαι.

Ἀλήσιον, πᾶν τὸ ἀληλεσμένον, ἐν μὲν τοῖς παλαιοῖς τῶν ἀντιγράφων διὰ διφθόγγου φέρεται. ὡς ἀπὸ τοῦ ἀλέω, ἀλέσω, κατὰ τὴν ἐτυμολογίαν. ὁ δὲ τῶν ἐθνικῶν ἐκθέτης, διὰ τοῦ ι γράφει αὐτό, λέγων οὕτω καλεῖσθαι, ἀπὸ ἀλησίου ἥρω συμμαχοῦντος ἐπὶ τῶν τῆς ἐπιδημίας μνηστήρων. ἐπὶ δὲ φασι καὶ ἀλήϊον πεδίον ἄπειρον, παρώνυμον ἀπὸ ἄλι, ὡς πεπονημένον ἐπὶ πολλοῦ ἀλός. Στράβων δὲ ἱστορεῖ, ὅτι περὶ τὸ Ὀμηρικὸν ἀλήσιον ἀγορὰν κατὰ μῆνα συνάγουσιν οἱ περίοικοι. καὶ διὰ τὸ ἀλήσιον καὶ ἀλήσιον κολώνην, ὁ ποιητὴς καλεῖ εἰπών, Πέτρης τ' ὠλενίης καὶ ἀλησίου, ἔνθα κολώνη κέκληται. ἔνιοι καὶ ποταμὸν Δακτύλου ἀλήσιον. Ἄλησος, ἀλάστης. Ἀλήτων, ἀληθαργήτων. Ἀλητεύειν ἐν δήμῳ, παρὰ τὸ ποιητῇ παρακείμενον, πρὸς τό, ἦλθε δ' ἐπὶ πτωχὸς πανδήμιος. Ἀλητεύεσκεν, ἐπλανᾶτο. Ἀλητεύω, τὸ πλανῶμαι. Ἀλήτης, ὁ πλανήτης, Ἀλήτην βίον τρίβοντα, ἥρωσι. καὶ αὖθις, Ἀλήτας καὶ φυγάδας ἀπορριφέντας. ἀλήτης δὲ θηλυκόν, ὁ πλανήτης. διὰ ἀπὸ τῆς ἄλης ὁ ἀλήτης, καὶ ὁ ἀλαζών, δῆλον. κεῖται γὰρ ἐν Στρατηγῷ Μενάνδρου, ὁ ἀλαζὼν κυρίως ὁ ἀπὸ τῆς ἄλης ζῶν, καὶ ἀγύρτης. ἁπλῶς δὲ ὁ φέναξ. Ἀλῷα, ἑορτὴ Ἀθήνησιν, ἡ νῦν ὥρα λεγομένη. καὶ ἡμέρας ὄνομα, ὡς Πλάτων ὁ κωμικός. Ἄλθα, θεραπεία, ἢ θεραπεία. Ἀλθαία, ὄνομα κύαμον, εἴδους κοινῆ, μαλάχης μᾶλλον. κατὰ δὲ ἰατροὺς εἶδος ἀγρίας μαλάχης διαφορητικῆς καὶ πεπτικῆς φυμάτων. ἐστὶ δὲ καὶ ἀλθῶν ῥιζικόν. τὸ δὲ σπέρμα, λίθους ῥήσσει. καὶ ἀλθαία, πόλις ἐλεάδων. οἱ δὲ ἀλθαίας, ἔθνος ἰβηρικόν. Ἀλθαίνω, αὔξω, θεραπεύω, ὑγιαίνω. ἄλθος τὸ φάρμακον. Ἄλθαινος, ὄνομα ποταμοῦ ἐν ἰταλίᾳ. Ἀλθαίνοντα, ἰώμενον, θεραπεύοντα. ὡς τὸ, νεβρῶν ἀλθαίνοντα. Ἀλθαιάδες, ῥίζα τις. Ἀλθῶναι, χαλινῶναι.

Ἄλθετο, ἐπὶ τοῦ ὑγιασθῆναι. παρὰ τὸ ἄλδω, ὅ ἐστιν αὔξω, αὐξάνω. τὸ δὲ ὑγιὲς, αὔξεται. Ἀλθεύς, ὁ ἰατρός. Ἀλθηρίας, ὁ ἥμισυς, ἀπὸ ἀλθηρίου κινός. καὶ ἀλθαιδαίας καὶ ὑπερίας, ἀπὸ ὑπερίου καὶ ἀλθαίνοντος. ὡς τό, πίνειν οἶνον τρυγίαν, ἐπεὶ οὐκ ἀνθοσμίας ἦν, οὐδ' ἱερὸν ὑπέρον, οὐδὲ ἄφυτον οἶνον ἔπιε. Ἀλί, ἀλαλαί. Ἀλιαιή, ἡ ἁλιαιεῖα.

Ἁλία, σκεῦος ἐν ᾧ θύεται οἱ ἅλες, ἢ εἰς ὃ ἀποτίθενται. καὶ ἡ ἀγορά. Ἁλιάδαι, ἴνδοι, οἱ διὰ θαλάσσης πλέοντες, καὶ μικρὰ σκαφίδια. Ἁλίαν, θαλασσίαν. Ἁλιακὸν ἀπόλον, ἁλιαδικόν. Ἁλίαι κορῶναι, αἴθυιαι. Ἁλιακτήρ, τόπος ἐν ᾧ ἀθροίζονται οἱ στιχοί. Ἀλιαιάν, τὴν ἐκκλησίαν. ταραντῖνοι. Ἁλιαίετον, ἐναλίων θεῶν. Ἀλιάνοδοι, ἄσημοι, ἀλιάνοδοι, ἄναρχοι. Ἁλιάπεδα, τὴν κέγχρον, ἢ θαλάσσιον ὄρνιν. Ἁλιάδες, ἐπίτομα ἐκ τοῦ, λύκαιον κύνα ὑγρὸν αἴγειον. εἴρηται δὲ πρὸς Ἀπολλωνίου ἑτέρων πλοιαρίων. ἀντὶ τοῦ, οἱ πλέοντες διὰ θαλάσσης. γίνεται δὲ παρὰ τὸν ἅλα, καὶ τὸ ἄω, τὸ πνέω. ἐξ οὗ οὐ μόνον αὔρας ἐπὶ ἀνέμου, καὶ ἄσουρον, κατὰ τοὺς παλαιοὺς τὸ κοῦφον (ὅθεν καὶ ἄσουροι μόρμακες, παρ' Αἰσχύλῳ) ἀλλ' αὐτὰς διὰ διφθόγγου, ὁ ἱμερόμενος, ἤγουν ὁ εἰκονικὸς ἀπὸ τοῦ ἐραστοῦ τὴν ἐρασθείν. εἰκονίζεται γάρ φασι τὰς μορφάς, καὶ τὸ ὥρας. ὅθεν καὶ εἰκονίζουσι παρὰ λάκωσιν, οἱ ἐρασταί.

Ἁλίαιτος, εἶδος ἀετοῦ ἐν θαλάσσῃ διαιτωμένου. Ἁλίαρον παρὰ τοῖς παλαιοῖς, τὸ ἠρτυμένον ἁλσί. οὐ τὸ σύνθεσις, κατὰ τὸ ἁλμιαρὸν ἢ ἁλίπαστον. παλαιὸς δέ τις ἁλιεύειν ἐπιπεδόμενος, παρὰ τὴν πικρὰν ἅλμην, οὕτως ἐσκώπτετο. καθέτει καὶ χολὴ ὁ αὐτὸς ἐπικαλεῖ. Ἁλίαρτος, πόλις βοιωτίας. ἀρσενικῶς λέγεται.

τητα τῷ ἀλεξητῆρ κακῶν, ὅς ἐστιν ἀλεξίκακος. καὶ ἀλεξητήρ φαρμάκων, ὁ ἀλεξιφάρμακος. Ἀλεξίαρη γῆ, ἡ τῆς ἀνθεκτικῆς ὠφιλοῦσα. Ἀλεξιάρην αἰγὸς, καὶ τὴν Χαμάμηλον χλαῖναν, καὶ τὴν ἀλεξάνεμον, λέγει Ἡσίοδος. ἢ ἀλεξιάρη αἰγὸς παρ' αὐτῷ, ἤγουν ἡ ἀποστρέφουσα τὰς ἀρὰς, τουτέστι τὰς βλάβας. ἄλλη δὲ, καὶ τὴν ἐκ τριχῶν μυοσώδη συνισθεῖσαν. Ἀλεξιάρης, ἐπίκουρος, ἀλεξίκακος. Ἀλεξιβέλεμνον, τὴν τὰ βέλη ἀπωθοῦντα.

Ἀλεξίκακοι, ἀποτρόπαιοι, ἀπότροποι, λύσιοι, φύξιοι, φύξιοι, λέγονται δαίμονες, οἱ λύοντες τὰς ἀράς. οἱ δὲ ἐκπροῦντες, ἀλιτήριοι, ἀλιτηρώδεις, προστρόπαιοι, παλαμναῖοι, ἀλάστορες.

Ἀλεξίκακον λέγομεν, ὃν ἀποτρέπομεν, καὶ τὴν τὰ δεινὰ ἀπείργοντα. ἴδιον Ἡρακλέους τὸ ἐπίθετον, καὶ ἀλεξίκακος Ἀπόλλων λέγεται. Ἀλεξίκακος. τὰ ἀπὸ ἐνεστῶτος ἢ μέλλοντος γινόμενα ὀνόματα, ἐν τῇ συνθέσει τρέπει τὸ ω εἰς ι. οἷον, ἄρχω ἀρχιστράτηγος, αὔξω αὐξίφωτος, λύσω λυσίκομος, ἀλέξω ἀλεξίκακος. καὶ ἀλεξίκακος, βοηθός, ἀποτρεπτικὸς κακοῦ, ἀπαλεξιοῦσα τὰ κακά. Ἀλεξιφάρμακον, θεραπευτικὸν βοήθημα.

Ἀλεξόμενον, ἀμυνοῦντα, βοηθοῦντα, τὸν κακῶν ἄρξοντα κακῶσαι θέλων. Ἀλεξόμενος, βοηθούμενος, ἀμυνόμενος.

Ἀλεξῶ, ἀλεξήσω. ὡς καὶ αὐξῶ αὐξήσω, καὶ ἑψῶ ἑψήσω, ἐνεστῶτα καὶ μέλλοντα. Ἀλέξω κυρίως, παρὰ τὸ τῇ ἀλόχῳ γυναικὶ βοηθεῖν. ἢ ἀπὸ τοῦ ἄλκω, ἄλξω, καὶ πλεονασμῷ τοῦ ε, ἀλέξω. Ἀλέομαι, ἀντὶ τοῦ θερμαίνομαι. Ἀλεόν, θερμόν, ἢ χλιαρόν. Ἀλεὰς, ὁ ἥλιος, ὁ πατὴρ τῆς Αὔγης. παρὰ τὸ ἀλῶ, παράγωγον ἀλεύω. καὶ ὥσπερ παρὰ τὸ λοχεύω λοχεὺς, καὶ καλεύω καλεὸς, στορεύω στορεὸς, οὕτως ἀλεύω ἀλεός. Μιθόδιος. Ἄλεος, ὁ μάταιος. καὶ ἀλεάφρων, ὁ παράφρων. ἢ ὁ θερμὸς καὶ ὀπός. καὶ ἀλεὸς, ὁ διάπυρος. Ἀλεύεσθαι, μεταπίπτειν. Ἀλεόφρων, παράφρων. Ἀλέπαλτον, ἄγαλμα. Ἀλεπίασι, εἰρηται. Ἀλέρα, καὶ ἀλέρα, ἀλέρας, γυνή. οὕτω παρὰ Σιμωνίδῃ. ἀλέρα δὲ παρὰ Πινδάρῳ, οἷον ἀλέρας υἱόν. διὰ δὲ τὸ πρῶτον ὑπὲρ ἀληθὲς, πίστις τούτο ἐκ τοῦ παρ' Ἡσιόδῳ μετὰ προθέσεως τοῦ ε λέγεσθαι τὸ πατρωνυμικόν. εἰλαπινάδην γάρ φησι πιννὸν, καὶ ὑπέρθεσιν ἄρα τὸ ἀλέρα γέγονεν. οὕτως Ἡρωδιανός. Ἀλέρον, κάπρον. Ἀλές. ἐστιν ἀθρόως, ὃ σημαίνει τὸ ὁμοῦ, καὶ κράσει τοῦ α καὶ ε εἰς η μακρὸν, καὶ ἀποβολῇ τοῦ ι ἀλέες, ἢ ἀλές.

Ἀλεσάφθονοι, ἐπὶ εὐφημισμοῦ ἐλέγετο. Ἀλέσθαι, ἐκκλῖναι, ἀναχωρῆσαι. κυρίως δὲ τὸ ἀπὸ πυρὸς ἐκφυγεῖν. Ἀλεσθαι πῖθος πύελον, τὸ ἐν ᾧ ἀλλάσθαι κρούειν τὰ ἴχνια. Ἀλεθόσιος, εἶδος ἰχθύος θαλασσίου, ὃν κατὰ εὐφημισμὸν καλλιώνυμον καλοῦσιν. ἔστι δὲ τὸ λεγόμενον θαλάσσιον αἰδοῖον, ἁλὸς οὐρά, ἁλοθόσιον ὄν. οὐρὰς γὰρ καὶ τὸ αἰδοῖον εἰώθασιν καλεῖν. Ἀλέτων, στοροφθὴν, φυγὴν. Ἀλετίνης, χαλεπῆς.

Ἀλετρεύουσιν ἐπὶ μύλας, μύλαισι καρπόν. οἱ ἐξηγηταί φασιν, τὰς γυναῖκας ἀλήθειν ἐν μύλαις σῖτον. καὶ ἀλετρεύειν μὲν τὸ ἀλήθειν, καὶ ἄλετον ἀπῇν. ὅθεν καὶ γυναῖκες ἀλετρίδες, αἳ καὶ μυλωθροί, καὶ μυλωθρίδες, παρὰ τὸ μῦλον ἀθρεῖν ἐν συμπεριστρεφ. ὁ περὶ μύλωνα θόρυβον ἐν συγκλεισμῷ. μύλαι δὲ, ἐν ᾗ τρίβονται οἱ πυροί. μύλακα δὲ καρπὸν, τὸν σῖτον. ὡς μυλοαλῆ τῶν χόνδρων, ὅ ἐστι κρίθην καὶ σιδήμενον. ὅθεν καὶ Δημήτηρ, φασὶ λέγεται. Ἀλετρίδες γίγνονται καὶ παρθένοι, αἱ καὶ τὰ εἰς τὰς θυσίας πέμματα ἀλοῦσι. καὶ ἔστι τοῦτο ἐπίτιμον. Ἀλεφίδες. οἱ μὲν διὰ τὸ ἀλέτρια, παρὰ τὸ τὰς ἄλλας τρίβειν. οἱ δὲ ἁπλῶς, παρὰ τὸ ἀλεῖν, καὶ λοιπὸν μὲν ἀπλοῦν. ἀλετρίδας δὲ, σιτοποιοὺς λέγεται καὶ ἀλεσφέρ, ὡς ἐν ἐπιγράμματι, Καὶ νῦν Λιπάρυσαν ἀλετρίδα. καὶ ἀλετρὶς, ἡ μυλωθρὸς, παρὰ Καλλιμάχῳ. Ἀλετρὶς γυνή, μυλωθρίς. παρὰ τὸ ἀλεῖν τὸ ἀλήθειν. ἐξ οὗ καὶ ἀλετὸς, ὃ ἡ ποιότης ἐπιτατική. ἐκ δὲ τοῦ ποιοῦντος ἀλεῖν, οὐ τὸ ἀλεῖνθ παράγωγον. καὶ ἄλειαρ, τὸ ἀπὸ πυρῶν ἄλευρον, ἐκ τοῦ ἀλεῖν γίνεται, πλεονασμῷ συναίρεσι τοῦ ε, καὶ ποιότης μὲν ἡ ὁμοιωματικὴ ἀλεῖψις. διάφορον δὲ ἀλετρίδες, ὡς ἐν γυναιξὶν εὕρηται λεξικοῖς κόραι, ταῖς ἀθύρμασιν ἀπολείπουσαι, ἐφ' ᾧ τὰ εἰς θυσίαν πέμματα παρέχειν. ἀρχαῖοι δὲ ἀλοῦνται, διὰ ἀλετρίδες ἔνδομοι καὶ εὐδόκιμοι παρθένοι, αἱ τὰ εἰς θυσίαν πέμματα ἄγουσαι. ἐφ' οἷς καὶ ἱερεὺς ὥσπερ μύλωνα ἀναγράφουσιν, οἱ τὰ ἄψυχα συγγεγραφότες. Παυσανίας δὲ λέγει, διὰ ἀλεφίδες αἱ τὸν ἱερὸν ἄλευρον ἀλοῦσαι. ἐρεῦνται δὲ καὶ παρθένοι, αἱ τὰ εἰς θυσίαν πέμματα ἔλεγον, καὶ ἔνδημοι ἦσαν. Ἀλειταὶ, οἱ τοῖς μύροις ἐκπεδομένοι. Ἀλκαλλαείρητα, ὥς τὸ φεύγει. οἱ γὰρ Δωριεῖς τὴν γῆν δᾶν λέγουσι, καὶ δίαν. ὡς καὶ τὴν γνόφον δνόφον. φεύγει οὖν φεύγει. οὕτως οὖν καὶ τὸ ἀλαλα δᾶ, ἀλέαν δᾶ, τοῦ δᾶ ἀντὶ τοῦ γῆ κειμένου. Ἀλαλάζει, οἱ ἐν Δελφοῖς τοῦ θεοῦ μάντεις συνελέγησαν. ἀπὸ ἀλαλὸν βασιλέως ὁ γένος ἔχοντες.

Ἀλακίμενον, καὶ κτάμενον, ποιητικά. ὧν τὸ μὲν ἀλέω τὸ θέμα, οὗ ἐκ παραγωγῆς μὲν ὁ ἀλαίνω γίνεται. ἐξ ἐκποιήσεως δὲ τοῦ ε τὸ ἀλαλω. τούτου δὲ αἰτιος ἦλθαι, ὅθεν τὸ ἀλακόμενον, καὶ ὁ ἀλακάμενος. ὁ ἀπὸ τοῦ ἀλασάμενος. τοῦ δὲ κτάμενον, προϋπάρχει ῥῆμα κτῶ. ἀφ' οὗ δύο παράγωγα. τὸ κτείνω ῥητόν, καὶ τὸ κτεινόμενον. ὧν αἱ μετοχαὶ ὁ κτὰς, ὡς ὁ ἱστὰς. καὶ ὁ κτάμενος, ὡς ὁ ἱστάμενος. Ἀλεάμενος, ἐκκλίνας, φυλαξάμενος. Ἀλεύατ, ἀντὶ τοῦ ἐφυλάξατο, ἐξέκλινεν. εὕρηται δὲ ἀπὸ τοῦ ἀλεῖω. Ἄλευε, ἐκκλινε, τὸ φύλαξαι. καὶ παροιμία, ἄλευε ἀπὸ μείζονος ἀνδρός. Ἀλεύμενοι, ἐκκλίνοντες. Ἄλευρα κυρίως, τὰ ἐκ σίτου ἄλφιτα, τὰ ἐκ κριθῶν ἄλευρα. ἐνίοτε οἱ ποιηταὶ, ἄλφιτα τὸν ἄρτον καὶ τὴν τροφὴν λέγουσιν. Ἀλευρότησις, τὸ λεπτὸν τοῦ ἀλεύρου. ἢ τὸ κόσκινον. σήθω, σήσω, σῆσις. καὶ τροπῇ τοῦ σ εἰς τ, τῆσις, καὶ πλεονασμῷ τοῦ ε μετὰ τὸ ἄλευρον, ἀλευρότησις. Ἀλευροφορέτης, κάνηφοι. ἄλευρα καὶ ῥόαι. ἴσως δὲ τοῖς πιβοῦσιν, οὕτω διασείουσιν.

Ἀλευροβρωτῶν, πέμματος γένος, παρὰ Ἀλκαλαΐδῃ.

Ἀλευρόμαντις, ὁ Ἀπόλλων. διὰ τὸ καὶ ἐν ἀλεύροις μαντεύεσθαι. Ἀλευρότευσις, τελετή, εἰς ἣν τὰ ἄλευρα διασείουσιν.

Ἀλεύεσθαι, ἀφίεσθαι. Ἀλεῦσαι, ἀλεύσασθαι. Ἀλεῦσαι, φυλάξασθαι, ἄλευον. Ἀλευσεν, ὅρασεν, ἀπώρατο. Ἀλεὼς, ἃ διὰ τοῦ ω, οὕτω καλούμενος ἀπόλεως ἀλίτης. ὁ τόπος ἐν ᾧ, οὕτως ὀνομαζόμενος ἀπὸ ἀλευτίου τινὸς βασιλέως. ἔστι δὲ καὶ ἀλεὺς, ποταμὸς Σικελίας. Ἀλεύω, τὸ φεύγω. παρὰ τὴν ἀλέαν τὴν θέρμην, ἀλεῶ. καὶ ἀλεύω κυρίως, τὸ ἀπὸ τῆς ψύχους εἰς θερμασίαν ἀναχωρεῖν. μεταφορικῶς δὲ, καὶ τὸ ἁπλῶς ἐκκλίνειν ἀπὸ τοῦ δεινοῦ εἰς τόδε. Ἀλεφάλεον, ἄλειφον. Ἀλεύμεθα, ἐκκλίνωμεν, φεύγωμεν. ἀπὸ τοῦ ἀλῶ, τὸ πλανῶμαι. οἱ γὰρ φεύγοντες πλανῶνται. Ἀλεωρὴ, ἡ κατὰ ἐπιτοπλειότητα ἔκκλισις ἐστι καὶ φυγὴ. ὡς τὸ, ἔγχεος ἀλεωρῆν. καὶ Ἡσίοδος, λιμοῦ τ' ἀλεωρήν. ἢ φυλακὴ. καὶ ἡ μὲν φυλακὴ, παρὰ τὴν ἀλέαν τὴν θέρμην, καὶ τοῦ ὦρα, τὸ φυλάττειν. ἡ δὲ φυγὴ, παρὰ τὸ ἀλεῦσθαι ὀκαρεὼ ἀλέωρεως. ἐκ τοῦ ἀλέω οὖν ἀλεωρή. καὶ ἀλεύμεθα, ἐκφεύγομεν, ἐκκλίνομεν. καὶ ἀλεωρὴ, ἀποστροφὴ, ἐκφυγὴ, καταφυγή. Ἄλη, ἡ πλάνη. παρὰ τὸ ἀλῶ, τὸ πλανῶ. τοῦτο παρὰ τὸ λῶ, τὸ θέλω. ἢ μετὰ τὸ στερητικὸν α, ἄλη. Ἀληθὸν, ἀθρόως, ἐξαίφνης. Ἄληθες, ἴσθι ὅτι οὕτως. ἀφιοῦσι δὲ ἐξέχειν τῶν προτέρων, ὅταν τὸ ἄλλο. ἔστι δὲ ἐπίρρημα θαυμαστικὸν καὶ προσκοπούντων, ἀπλῶς. Ἀληθεία, ἀψευδὲς, καὶ τὰ μὴ ἐπιλανθανόμενα. Ἀλήθεια, ἀπόφασις, λέγουσα τὸ ὑπάρχον ὑπάρχειν, καὶ τὸ μὴ ὑπάρχον ὡς μὴ ὑπάρχειν. Ἀληθὴς, ὃ τοῦ πρωταγόρου σύγγραμμα, ἐν ᾧ ταῦτα ἐλεγξάμενα, ἀληθείας ἐκαλεῖτο. Ἀληθεύσας, πλησθεὶς, παρὰ τὸ ἐποπτεύειν.

Ἀληθὴς, οἱ μηδὲν ἐπιλανθανόμενοι, ὡς Πίνδαρος. Ἀληθὴς, ἐναντίον τῷ ψευδεῖ. ἄληθες ἢ τὸ κατ' εἰρωνείαν, ἀντὶ τοῦ ὄντως. ὡς

[illegible]

τῷ φυλάσσειν. Ἀλάστωρ σημαίνει τὸν ἀλιτρόπαιδα, ὡς ἐπὶ ἀλάστοις πάθεσι. ἢ κακῷ καὶ ἐν Ὀδυσσείᾳ. ὅθεν καὶ ὁ ἀλάστωρ. Ἄλαστα, τὰ κακά, ἀνεπίληστά τινα ὄντα, ἄτιμα, ἢ φαῦλα. ἢ μικρά. ἀπὸ τοῦ ἀλαστῶ, ἀλαστήσω, τὸ χαλεπαίνω. ἢ ἀπὸ τοῦ ἀλῶ, τὸ πλανῶ. οἱ γὰρ πλανώμενοι χαλεπαίνουσιν. Ἀλαστεῖν, ἀγανακτεῖν. Ἄλασα, χάλασα, ἡμαρτωλά. Ἀλαστεῖν, ὀργίζεσθαι. ἢ ἀλαστεῖν, τὸ ἀλιτροπαθεῖν, ἐπὶ ἀλάστοις πάθεσιν. ὡς ἐν Ὀλυμπιάσι. ὅθεν καὶ ὁ ἀλάστωρ. Ἀλαστήσας, χαλεπήνας, ἀλιτροπαθήσας, χαλεπήνας, δυσφορήσας. Ἀλάστορες, παλαμναῖοι, οἱ μιάσμασιν ἐνεχόμενοι. ἢ οἱ μεγάλα ἁμαρτάνοντες. καὶ ἀλαστόρων, ἀντὶ τοῦ ἀσεβῶν, ἢ μιάσμασιν ἐνεχομένων. Ἄλλως. Ἀλάστορες λέγονται τινές, ἢ οἱ κακοποιοῦντες αὐτόν, ἢ οἱ δὲ ἐκδικοῦσιν αὐτοῦ ἑτέρους κακοποιοῦντες. κυρίως δὲ ἀλάστορες δαίμονές τινες ἐπὶ πόλεις, οἱ οὐκ ἂν λάθοιεν. καταχρηστικῶς, καὶ οἱ ἁπλῶς φαῦλοι ἐχθροί. ὁ γὰρ ὁμηρικός, ἐν τῷ τῆς Ἰλιάδος, ἀντιπαχθεὶς καὶ οὐκ ἐπὶ φόνῳ ἀλάστωρ λέγεται, ὡς μήνιμα. οὐ μὴν λάθοι ἄξιος ὤν. ἔστι δὲ ἐπὶ φόνου ἀλάστορος χάρις, παρά τι ἄλλοις, καὶ παρὰ τῷ εἰπόντι, ὁ Διονύσιος ὁ πάσης γενόμενος Σικελίας ἀλάστωρ. καὶ ἀλάστωρ, πικρὸς ἢ φονικὸς δαίμων, ἢ μιαρὸς καὶ ἀνεπίληστα ἔργα ποιῶν, ὁ ἄξιος ἐλαύνεσθαι διὰ φόνον, ἀπὸ τοῦ ἀλᾶσθαι, τὸ πλανᾶσθαι. Ἀλαστὸς λέγεται, ὁ μήδεν ἄξια ποιῶν. καὶ ἀλαστῶ, σημαίνει τὸ χαλεπαίνω. ἢ ἀλαστοῖς, ἀνεπιλήστοις, χαλεποῖς. Ἄφθιτος. καὶ ἀλαστόν, δεινόν, κακόν, ἢ ἀδιάλειπτον. Ἀλᾶν, ἐπλανᾶτο.

Ἀλαστρίας, ἁμαρτωλίας. Ἀλαστρίδας, χίμας. Ἀλαῶν, τυφλῶν, λακίζων, ἐκτυφλῶν, βροχίζων, στερίσκων. Ἀλαῶσαι, τυφλῶσαι. παρὰ τὴν ἄλην, ἤγουν τὴν πλάνην. οἱ γὰρ τυφλωθέντες, ἀλῶνται. κατὰ στέρησιν τοῦ λάειν, ὅ ἐστι βλέπειν. Ἀλγεῖ ἀναπλῆσαι, ἀντὶ τοῦ ἐντελῶς παθεῖν, καὶ πληρῶσαι. γράφεται δὲ καὶ ἀνατλῆσαι. Τὰ ἄλγεα ἄλγεινά, κακά, ὀδύναι, πόνοι. Ἀλγεία, ἡ ἀρρωστία. λύπη. Ἀλαῶπιν, τυφλήν, οὐ βλέπουσαν. Ἀλαωτύν, στέρησιν ὀφθαλμῶν, τύφλωσιν. Ἀλγάς, ἀλγαλέας. Ἀλγεῖ, κακοῦται. Ἀλγεῖν, πάσχειν. τὸ ἀλγεῖν ἢ τοῦ πονεῖν διαφέρει. ἀλγεῖν μὲν τὸ πάσχειν κατὰ σάρκα, πονεῖν δὲ τὸ ἐνεργεῖν. Ἀλγεινός, καὶ ἀλγεινῶς. ὀδυνηρός.

Ἀλγεινά, χαλεπά. Ἀλγεινόμενος, ἀνιώμενος τὴν ψυχήν, ἀλεεινός, θερμός. Ἀλγηδόνα, πόνον, λύπην. Ἀλγηρά, λυπηρά. Ἄλγησις, ἡ λύπη, καὶ τὸ ἄλγος. Ἄλγιον, εὕρηται παρὰ τῷ ποιητῇ λεχθέν, ἀντὶ τοῦ ἀλγεινόν ἐστι τὸ πρᾶγμα. καὶ ἄλγιον, τουτέστι λυπηρόν. Ἀλγίστα, χαλεπά. Ἄλγος, πόνος, πένθος. Ἀλγύνει, λυπεῖ, βαρεῖ, φροντίζει. Ἀλγύνεται, λυπεῖται. Ἀλγύνονται, κακοποιοῦνται. Ἀλγύνω, τὸ λυπῶ. ἀλγύνω τοὺς ἐχθρούς. Ἀλγῶ μεταβατικῶς, αἰτιατικῇ συντάσσεται. οἷον, ἀλγῶ τὴν κεφαλήν, καὶ ἀλγῶ τὸ πάθος, καὶ ἀλγῶ τὴν δυσχίαν. Ἀλδαίνεται, πιμπλᾶται, αὔξει, βλαστεῖ. Ἀλδήσκειν, ἄσματα. Ἀλδήσκειν, τὸ αὔξειν. παρὰ τὸ ἀλδαίνω, ἢ παρὰ τὸ ἀλθαίνειν. Ἀλδήσκω, καὶ ἀλδαίνω, τὸ αὐξάνω. Ἀλδήσκειν, κυρίως, τὸ ἐκ πολλοῦ αὔξειν, ὡς ἀπὸ τῆς ἄρδω, πράττεται (ὡς ἐν ἄλλοις) τῷ ῥ εἰς λ. Ἀλέα, ἡ θέρμη, ἢ ὁ τόπος ὁ ὑπὸ τοῦ ἡλίου θερμαινόμενος. παρὰ τὸ ἥλιος. ἥλιος γὰρ ὁ ἥλιος. μεταφορικῶς δέ, καὶ πᾶς τόπος θέρμην ἔχων. ἢ παρὰ τὸ ἀλῶ, τὸ πλανῶ. Ἀλεάζειν, κεράσαι, ἐκκλίνειν, ἢ προσβάλλειν, καὶ ἀλεεινόν, θερμαίνειν, ἀφανίζειν. Ἀλεάζω, ἀθροίζω. Ἀλεάζομαι, ἀλεαινόμενος. Ἀλεαθῆ, φυλάξασθαι, παλῆσαι, ἀναχωρῆσαι, θερμανθῆ. Ἀλεαινόμενον, θερμαινόμενον. Ἀλεαρ, ἀλεωρίαν, ἢ φυλακτήριον. Ἀλεείνειν, τὸ ἐκφεύγειν. οὐκ ἀλεείνεσθαι. Ἀλεβαῶν, ἐγκύμων. Ἀλεγεινά γὰρ ὅρα, τὰ ἀλέγεσθαι ἄξια, καὶ ὡς εἶπεν ἀξιόλογα. καὶ ἐν ἄλλοις αἰνὰ γίνεται τὰ ἀλεγεινά, ὥσπερ ἀλγεινά. καὶ οὕτω χαλεπὰ μεταληπτικώτερον. Ἀλεγεινοί, ἀντὶ τοῦ δυσχερεῖς, δεινοί, ἀλγεινοί, χαλεποὶ δὲ οἱ

μὴ δυνάμενοι χωρὶς ἀλγηδόνος ὑπό τινος δαμασθῆναι.

Ἀλέγει, φροντίζει. καὶ ἀλέγων, τὸ λόγον μὴ ἔχων. Ἀλεγεινή, σκληρά, δεινή, χαλεπή. Ἀλεγεινότερον, κατὰ πρόσθεσιν τοῦ ε. ἔστι γὰρ ἀλγεινότερον, παρὰ τὸ ἀλγεῖν εἰρημένον. ἢ τὸ φροντίδας ἔχον, ὥς τινες λέγουσιν εἶναι παρὰ τὸ ἀλέγειν. Ἀλεγίζω, λόγον ποιῶ. καὶ ἀλεγίζω τὸ περιγράφομαι, φροντίζω.

Ἀλέγοις, ἀλέγεις, βοηθείας. Ἀλεγόνται, κακοῦνται, ἐλαφροῦνται, ἐλαττοῦνται, ἢ φροντίζεται. Ἀλεξ, ἀλεκξ. Ἀλεα, ἐκκλίνει. Ἀλεεινός, θερμός, θερμόν. Ἀλεγύνω, παράγωγόν ἐστι, ἐκ τοῦ ἀλέγω. ὡς πλύνω πλυνύω. καὶ δηλοῖ τὸ ἀρτύνειν, σκευάσαι. ἐκ δὲ τούτου κατὰ συγκοπήν, τὸ ἀλγύνω, ἤγουν αἴτιος ὅτι γίνομαι τοῦ ἀλγύνειν. Ἀλέγω, τὸ φροντίζω, καὶ ἀλεγίζω φιλικῶς γενικῇ συντάσσεται. ἀλέγω παρὰ τὸ λέγω τὸ φροντίζω, ἀφ' οὗ λόγος ἡ φροντίς, καὶ μετὰ τοῦ ἐπιτατικοῦ α ἀλέγω. καὶ οὐκ ἀλέγω, τὸ οὐ φροντίζω. καὶ ἀλεγίζω παράγωγον, καὶ ἀλεγίζω. καὶ ζεῦξιν δ' ἐγὼ οὐκ ἀλεγίζω χωομένης, παρ' Ὁμήρῳ. παρὰ τὸ ἀλέγω καὶ ἀλεγίζω, διὰ τὸ τῶν λέξεων ἰσοδυναμεῖν, καὶ χωομένην καὶ συνεχομένην εἶπεν χώραν ἑρμηνεύειν. Ἀλεεινά, φύλασσε. Ἀλέειπεν, ἐξέκλινεν. Ἀλεείνων, ὑπαλεόμενος. Ἀλεεινός, ἀλεεινότερος. Ἀλέα, ἄλυξις. ὅ ἐστιν ἐγκλισις καὶ θερμασία. Ἀλεείνω, ἐκκλίνω, ἐκφεύγω. ἐστιν ἀλέα ἡ θερμασία. ἐκ τούτου γίνεται ἀλεείνω, εἰσὶν ἀπὸ ψύχους εἰς θερμασίαν. Ἀλεξ, ἀλεῖσαι. Ἀλεία, πορεία, ἢ ἄλσημα. καὶ ἀλεία, ἡ ἄγρωσις.

Ἀλείας, τὸ ἀπὸ τῶν πυρῶν ἄλευρον. τὸ γὰρ ἀπὸ κριθῆς, ἄλφιτον λέγεται. Ἀλείατα, τὸ ἀπὸ πυρῶν ἀλεσμένον ἄλευρα. ἃ συγκοπῇ καὶ ἄλειτα λέγονται. ἢ ξηρὸν ἄλευρον, ὅ καὶ ἄλευρ λέγεται. Ἀλελόγω, σὺν παντὶ λόγῳ. Ἄλειμμα, ἐκ τοῦ ἀλείφω. ἄλειμμα δὲ βοτάνης, διὰ τοῦ ι. Ἀλείφειν, τὸ ὁλίζειν. καὶ ἀλέξειν, οὐκ ἀλείφειν. καὶ ἀλέξ, οὐκ ἀληθές. Ἀλείφαι, τὸ ἐκαλεῖφαι βέχον. Ἀλειφόν, ἀθρόον, λιπαρόν. Ἀλεῖφον ὕδωρ, ἀθροισόν, καὶ συνηλιαστόν. Ἀλεῖφον, τὸ τοῦ ἡλίου ἥδιον, κατὰ γλώσσας.

Ἀλειός, ὁ πέτρος. Ἀλειπτήριον, τὸ γραφεῖον, κύησιν.

Ἀλειπτὴς παρὰ τοῖς ἱερεῦσιν οὕτω καλούμενος, διὰ τὸ μοδίζοντα ἐπιδοῦναι τὸ ἔλαιον, ἢ πληρώσαντα χυμόν. οὕτω Ἡσίοδος.

Ἀλείπτης, ὁ πρὸς τοὺς ἀγῶνας ἐπιτρέπων. καὶ ἀγωνοθέτας, ὡς παρὰ Γρηγορίῳ τῷ θεολόγῳ, ἀλείπτας τῆς ἀρετῆς. γίνεται δὲ ἀπὸ τοῦ ἀλείφω, καὶ γράφεται διὰ διφθόγγου. Κανών. Τὰ γὰρ ἀπὸ τοῦ ἀλείφω γινόμενα, ἐν μὲν διὰ τοῦ ι ἐκφέρονται, φυλάσσονται τὸν τοῦ ε δίφθογγον. οἷον, ἀλείφω, ἀλείπτης, καὶ ἄλειμμα, φάρμακον. καὶ ἀναλειπτός, ὁ μὴ ἀλειφθείς. ὁ δὲ διὰ τοῦ ι ἐκφέρεται σύνθετα ὄντα, οὐ φυλάσσουσι τὴν ει δίφθογγον, ἀλλὰ διὰ τοῦ ι γράφεται. οἷον, ναλιφής, ἀναλιφής. σημαίνει δὲ τὸν νεκρόν, τὸν μὴ ἀλειφθέντα πίσσῃ. πρόσκειται σύνθετα, διὰ τὸ ἄλειμμα, ὃ σημαίνει τὸ ἄλειμμα. ἐκ δὲ τοῦ ἀλείπτης, γίνεται φιλαλείπτης, ὡς τό, Οὐκ ἔστι πίστις ἀνδρὶ φιλαλείπτῃ. Ἀλείπτης, ἀπατεών. Ἀλεῖς, συνηγερθείς, συναχθείς, κρατηθείς, φυλαχθείς.

Ἀλείσιον, ποτήριον. Ἄλεισον, ἀπὸ τοῦ ἄγαν λεῖον εἶναι. ἢ μὴ ἄρα τὸ ποτήριον τὸ κατασκευαζόμενον ἄλεισον ἀκούομεν, ὡς ἐξ ἑνὸς λειότερον ὄν, πλειστάκις ῥεόμενον διὰ τοῦ α. δύναται δὲ καὶ κατὰ στέρησιν τοῦ α εἶναι, ὅτι γραφαῖς διαλάμπειν ἐμπέπασται. ὡς γὰρ αὐτὸ ἄλεισον καὶ λιτὸν λέγεται, δηλοῖ ἐκ τοῦ περιμέρου εἰπεῖν, ἐν δ' οἴνον ἔχει χρυσέῳ λιθάκι. εἶτα τὸ αὐτό, ἔσται δὲ δίλυτον χρύσειον ἄλεισον. ἄλεισον κυρίως, ὃ μὴ λιτόν ἐστιν. ἐπίσημον. ὡς τὸ ἀλειτόν ἐστι τὸ ἀπαθές, οἱονεὶ τὸ μὴ λεῖον, ἀλλὰ τραχὺ τοῖς ἐμπαίσμασιν. ἐπειδὴ δὲ δὲ ἐστι τὸ γένος ὑπὲρ αὐτοῦ διὰ γὰρ ἀπὸ τοῦ ἀλὶς γίνεται, οἷον ἀολλές, καὶ ἄρθρων, ἵνα ᾖ ἄλειον. ἡ οὐδ' ἐστιν ὑπὲρ ἀλές. καὶ ὡς εἰσφρεῖν ἀμεῖ, κατὰ τὸ λίπος, ὃ ὅμοιος λέγεται, εἶτα ἄρ' τότε ἐν δίφθογγος ἔμιξε, ὡς ἐστὶ πρεσκοφανέντος. εἶτα τοῦ πλειστάκις ἐν αὐτῷ.

Ἄλλως.

φ[illegible] βοηθός. Ἀλαλάσταμαι, τεθορύβημαι, ἀλαμοτά. ἢ πεπλάνημαι. Ἀλαλκών, βοηθήσας, ἐπαμύνας. Ἀλκαῖα, τὰ κακά, ἀνεπίληπτά ἐστι. ἀπὸ τοῦ ἀλκαῖ, ἀλκαίνω, τὸ χαλεπαίνω. ἢ ἀπὸ τοῦ ἀλῶ, τὸ πλανῶ. εἰ [illegible] ἀλώμενοι, χαλεπαίνουσιν.

Ἀλάω, ἐπλανῶν. ἀλάω ἀλῶ, ἀλάομαι ἀλῶμαι, ἀλαόμην ἀλώμην, ἀλάου ἀλῶ, ἀλάετο ἀλᾶτο, καὶ τροπῇ ἀλόω. Ἄλγεα, λυπηρά, κακά, πάματα. Ἄλγος, λύπη, θλίψις, ἀπὸ τοῦ ἀλέγω, τὸ φροντίζω. τὰ [illegible] πολυπαθῆ, φροντίδος ἄξια. ἢ ἃ μὴ λέγοι τις, μὴ δὲ ὀνομάζοι. ἀπὸ δὲ τοῦ ἀλέγω, οὐκ ἀλεγεινός, οὐδ' ἀπὸ τοῦ ἐλεῶ ἐλεεινός, ἐπειδὴ ὤφειλε γράφεσθαι διὰ τοῦ ι. τὰ γὰρ εἰς νος ἐξόντα, μὴ ὄντα παρώνυμα, διὰ τοῦ ι γράφονται. οἷον, τάχα ταχινός, πύκα πυκινός, ἀληθὴς ἀληθινός, χθὲς χθεσινός, ἀλλ' ἀπὸ τοῦ ἄλγος ἀλγεινὸς καὶ ἀλεγεινός, ἔλεος ἐλεεινός, πλεονασμῷ τοῦ ε. καὶ γράφεται διὰ διφθόγγου, ὡς παρώνυμα.

Ἀλῆ, κατάλυσις, ἄλλομαι τὸ πηδῶ. ὁ μέσος ἀόριστος πρῶτος, ἡλάμην ἅλω ἄλαο, καὶ συγκοπῇ ἆλτο, καὶ ἆλε κατὰ φωνήν. Ἀλαθέων ὕρας. λέγει γὰρ ὅλη ἐκκλησία πάντα τὸν πόρον. Ἀλαί, δύο ἄδομοι [illegible]. Ἀλαιθρα, ἔλαφα.

Ἀλαιθρος, χλιαρόν, ἀληθρός. Ἀλαιός, ὁ παλαιός, ἄφρων. αἰχμαλός. Ἀλάκατα, τῆς ἱστίου. οἱ δὲ σφῆνες.

Ἀλάκιστρον, ἀφόρητον. Ἀλακῶσαι, ἀθροῖσαι. ὃ σωρεύεσθαι. Ἀλάλημαι, τεθορύβημαι, πεπλάνημαι. ἀπὸ τοῦ ἀλάλα.

Ἀλαλήμενος, πλανώμενος. ἢ ἀναστρεφόμενος, ἐκ τοῦ ἀλῶ, ἀλάλημαι, ὁ παθητικός, ἀλάλημαι, αἰολικῶς. ἡ μετοχὴ, ἀλαλήμενος. παρὰ δὲ Ἀπολλωνίῳ ἀλαλέμενος. ἢ διὰ τὸ ἀπαιρόμενος εἶναι τῶν τόπων, ἢ ἀντὶ τοῦ περιερχόμενος, ἕως ἂν αὐτῷ ἁρμόδιον εὕρῃ. Ἀλάλαγη, ἡ χαρά. Ἀλαλάξατε, ἀναφωνήσατε τὴν φωνήν. Ἀλάλησθαι, προπαροξύνουσιν οἱ παλαιοί. καὶ ἔστιν ὥσπερ ἄλησθαι, ὡς ἄγασθαι, ἔρασθαι. ἀπὸ τοῦ ἄλημαι καὶ ἄγημαι. ὅθεν ἔα[illegible], καὶ ἔραμαι, ἄγομαι ἐπιθυμῶ. καὶ ἐξ αὐτοῦ κατὰ τροπὴν καὶ πλεονασμὸν τῆς αλ συλλαβῆς, ἀλάλησθαι. Ἀλάλητα, φῦλα στρατιᾶς, κλεινά, τομφύλη. ἢ τεθορυβημένα. Ἀλάλημαι, ἀλῶμαι τὸ πλανῶμαι. καὶ προσθέσει συλλαβῆς, ἀλαλῶμαι. ἀφ' οὗ ἀλάλημαι παθητικὸς παρακείμενος, ὡς πεπλάνημαι. τὸ τρίτον ἀλάληται, ταυτὸν δὲ πεπλάνηται. πλανᾶσθαι δὲ λέγεται, τὰ μὴ τεταγμένως ὁδὸν ἐρχόμενα, ἀλλ' ἐνίοτε μὲν ταύτην, ἐνίοτε δὲ ταύτην. Ἀλάλην, ἐπεπλάνην. Ἀλαλητῷ φωνῇ, ἀρμιῶν· σὺν Ὅμηρος. καὶ ὁ ἀλαλὴ, παρακεῖσθαι δοκεῖ, ὅπερ ἐστὶ πολεμικὸς ἀλαλαγμός, ὃν ἀλαλὰ λέγουσιν οἱ Ἀττικοί, βοῶν οὗτος πρὸ μάχης. χρῆσις δὲ αὐτοῦ ἐν τῷ, κλυθὲ ἀλαλὰ πολέμου θυγατρ, ἐγχέων προοίμιον. Ἀλαλητῷ, θορυβῶ, ἀπὸ τοῦ α ἐπιτατικοῦ μορίου, καὶ τοῦ λαλῶ. Ἀλάλκοιεν, ἐκβάλλοιεν. καὶ ἀλαλκεῖν, ὅπερ ἐστὶ μέλλων δεύτερος, ἐκ τοῦ ἀλάλκω βαρυτόνου. καὶ ἀπαλλάξω, ἀλαλκῶ, πεπερασμένος. ἀφ' οὗ ἀλαλκών, καὶ ἀλαλκῶν μετοχή, ὁ βοηθήσας καὶ ἐπαμύνας. ἢ ἀλαλκεῖν, τὸ ἀπείργειν, τὸ ἀπελθεῖν. τὸ βοηθεῖν. αἴτιος δεύτερος καὶ μέλλων, ἀλάλκω, ἀλέλκον, ἀλαλκῶ, καὶ ἀλαλκεῖν. τὸ δὲ ἀλαλκών, μετοχή ἐστι δευτέρου ἀορίστου, καὶ μέλλων. ἀλάλκω γάρ ἐστιν, ὁ μέλλων ἀλάλξω, ὁ δεύτερος ἀόριστος ἤλαλκον. καὶ ἀλαλκών, μετοχή. τὸ δὲ ἀλαλκῶ, ἀπὸ τοῦ ἀλκῶ, ἀλκῶ, καὶ κατὰ ἀναδιπλασιασμὸν ἀλαλκῶ.

Ἀλαλίαν, ἀπορίαν, ἀταξίαν. Ἀλαλκεῖν λιμόν, τὰ δεδέμενα ἀλαλκεῖν καὶ ἀπείργειν τὸν λιμόν. Ἀλαλάσθαι, φοβεῖσθαι, ἀλᾶσθαι. Ἀλαλύκτημαι, ἀπὸ τοῦ ἀλύσσω. [illegible] τὰ τοῦ ἀλυκτοῦ. κατ' ὁμοιότητα κατὰ τάσιν, ἄναπτος, ἀπαυστοῦ. [illegible] λέξις παρὰ ταῖς φίλα, οἱ μὲν περιλέγοις. ἢ καὶ ἄλλως, ὁ τὸ ἀλαλύκτημαι ἐστι παθητικὸς ἐνεστώς. σημαίνει δὲ τὸ δυσχεραίνω, καὶ ἀδημονῶ, καὶ πλανᾶσθαι. καὶ τὸ ἀλαλύκτημαι, οἱ μὲν παρακείμενον, οἱ δὲ ἐνεστῶτά φασι. παρακείμενον οὕτως, ἀλυκτῶ, οὗ παρακείμενος ὁ παθητικὸς ἠλύκτημαι, καὶ ἀττικῶς ἀναδιπλασιασμῷ, ἀλαλύκτημαι, ἀλαλύκτημαι, καὶ συστολῇ τοῦ η εἰς α. οὕτω μὲν ὁ παρακείμενος. εἰς ἐνεστῶτα δὲ, οὕτω λαμβάνεται. ἔστιν, ὡς Δίδυμος, ἀλυκτῶ. οὗ παράγωγον εἰς μι ἀλύκτημι. οὗ ὁ παθητικὸς ἐνεστώς, ἀλύκταμαι, αἰολικῶς. ἐκεῖνοι γὰρ οὕτω κλίνουσι, ποιῶ ποίημι, λέγονται καὶ νόημαι, καὶ ἐν διπλασιασμῷ ἀττικῷ, ἀλαλύκτημαι. Ἀλαμπής, τὸ μὴ λάμπον. Ἀλανῶς, ἀληθῶς.

Ἀλαπαδνός, ὁ ἀσθενής, ὁ εὐκαταπόνητος, ἐκ τοῦ ἀλαπάζω, ὅ ἐστιν ἐκπορθῶ, καὶ πλεονασμῷ τοῦ δ. ἀπὸ γὰρ τοῦ ἀλαπάζω γίνεται ἀλαπαδνός, ὡς παίζω παιδνός. Ἀλαξ, ἡ αὖλαξ. ἔστι ἡ τῆς τοῦ ἀρότρου [illegible] ἀλκμάνων. Ἀλαοσκοπιή, ἡ τύφλωσις τῶν ὀφθαλμῶν. Ἀλάστωρ, ὁ ἀλήτης, ὁ τὸ ἀλαστὰ ποιῶν, καὶ ἀπαιτοῦσης. ὁ ἀλίτης, ὁ ἀσεβής, ὁ ἀμαρτητικός. Ἀλαός, ὁ μὴ λάων, ἤγουν ὁ μὴ βλέπων. καὶ ἀλαὸν τίφος, τὸ τυφλὸν ξίφος. ἢ ἀλαὸς, ὁ τυφλός, ἢ ὁ πλανώμενος. Ὅμηρος ἀλαὸς γὰρ ἀλάων, ἀντὶ τοῦ βλέπων. ἢ παρὰ τὸ ἀλῶ τὸ πλανῶ, ἀλαός ὁ πλανώμενος. Ἀλαοτόκος, ὁ τυφλὰ γεννῶν. Ἀλαπάξαι ἐκπορθῆσαι. κυρίως δὲ τὸ κενῶσαι. ἀλαπάζω, ἀλαπάξω. παρὰ τὴν λαπάθον βοτάνην, ἢ ἐστι κενωτικὴ γαστρός. ἀλαπάξαι δὲ κυρίως, τὸ ἐκκενῶσαι. ὅθεν καὶ λαπάρα, ἡ κενὴ ὀσφύς, καὶ τὸ λαπάξαι. γίνεται δὲ ἐκ τοῦ λαπάζω, πλεονασμῷ τοῦ α. παρὰ γοῦν τῷ Αἰσχύλῳ εὕρηται τὸ ῥῆμα χωρὶς τοῦ α. καταχρηστικῶς δὲ καὶ τὸ πορθεῖν ἀλαπάζειν λέγεται, ὡς ἐν ταῖς ἁλώσεσιν ἐκκενουμένων τῶν πόλεων. εὕρηται δὲ ποτε ἐν τῇ Ὀδυσσείᾳ φανερῶς τὸ ἀλαπάζειν, οὐκ ἐπὶ ἁλώσεως ἢ πορθήσεως πόλεως, ἀλλ' ἁπλῶς ἐπὶ κενώσεως. γίνεται δὲ ἐκ τοῦ λαπάζειν τοῦ λάπτειν, ἀφ' οὗ καὶ τὸ λάφυρον. ἔστι δὲ λάπτειν κυρίως, τὸ ῥοφεῖν. ὀνοματοποιητικόν, καὶ λαφυραγωγεῖν, ἐπὶ τῶν κενῶν, καὶ λάπων, καὶ τῶν τοιούτων ζώων λαγκάρων. ἢ ἀλαπάξαι, ἐκπορθῆσαι. κυρίως δὲ, ἐκκενῶσαι. κενωτικὴ γὰρ γαστρὸς ἡ λάπαθος βοτάνη. ἢ ἢ λίαν ἄνθην ἡμῶν φησὶ τὰ πάθη. ἢ παρὰ τὸ λαπ ἐπιτατικόν, καὶ τὸ [illegible]. Ἀλαπλός, ἀθηνᾶς. Ἀλάπηος, ἐκ τῆς χώρας τῆς θρᾳκης τὰ ἄλαπα. παρὰ τῷ Ἱπποκράτει. Ἄλαρα, τὰ ποικίλα κάρρα, καὶ τὸν πῖλον τοῦ δόρατος καταφυόμενον. οἱ δὲ καὶ λίθον ἀλαρίαν. ὅθεν εἰς τὰ δόρατα αἱ ῥάβδοι. Ἄλασα, ἀνεπίληπτα. Τίνειν ἰσὸν ἄλασον. Ἀλαστάρνη, χώραν λιμόν. Ἀλᾶσθαι, πλανᾶσθαι. ἄλη γὰρ ἡ πλάνη. Ἀλαστῶ, [illegible]. Ἀλαπαδνός, ὁ ἀσθενὴς καὶ εὐπόρθητος, ἐκ τοῦ ἀλαπάζω, ἢ κλίσιν δὲ ὅτι συστολεῖ καὶ τὴν εἰς γνῶσιν συγκινεῖ τοῦ ξ καὶ τοῦ δ. ἀπὸ γὰρ τοῦ ἀλαπάζω γίνεται ἀλαπαδνός, ὡς παίζω παιδνός, ὀλοφύζω ὀλοφυδνός. ἔστι γὰρ καὶ ὀλοφύζειν, ὡς ὀπτύζειν, καθὰ ἐμφαίνει ἐν τῷ ὀπτύζειν. οὐ πρόκειται τὸ ὀλοφύζειν. Ἀλαπαδνότεροι παρ' Ὁμήρῳ, λαμβάνεται καὶ ἀντὶ τοῦ εὐκαταφρόνητοι, ἀσθενέστεροι. ἐκ τοῦ ἀλαπάζω τὸ πορθῶ, κατὰ συγγένειαν τοῦ ξ καὶ τοῦ δ. Ἀλαπάζοντα, πορθοῦντα. Ἅλας ταῖς θυσίαις ἀπομίσγουσιν, οὐ μόνον διὰ τὸ γόνιμον, καὶ τὸ εἰς τροφὰς χρήσιμον, ἀλλὰ διότι φιλίας οἱ ἅλες σύμβολον. διὸ καὶ τοῖς ἐπιξενουμένοις παρατίθεντο πρὸ τῶν ἄλλων βρωμάτων, ὅ ἐστι τὸ τῆς φιλίας χρήσιμον καὶ παράμονον. παραμονῆς γὰρ αἴτιος ὁ ἅλς τῶν σωμάτων καὶ ὁ ἅλς. ὃ καὶ εἰς σύμβολον τῆς κατὰ φιλίαν ἑνώσεως. ὡς γὰρ ὁ ἅλς ἐξ ὕδατος πολλῶν καὶ ῥευστῶν καὶ χυτῶν παγείς, ἕν τι στερεὸν γίνεται σῶμα, οὕτω καὶ οἱ συνελθόντες εἰς φιλίαν, ἐκ διεστώτων εἰς ἕν, τοῦτο τόπῳ καὶ τῇ φιλίᾳ διαθέσει, συνέχονται. οἷος δὲ εἰ μὴ τοῖς συνελθοῦσιν συμπαραλαμβάνειν, ἀλλ' ὅθεν ἐν ταῖς ἑορταῖς χρησιμῶν ἦν μετὰ τοὺς συνελθόντας, διότι καὶ ἡ τούτων φύσις, ὥσπερ καὶ ἡ τῶν ἀριθμῶν, πλείονα βίον καὶ ἡμέραν τὸν καταρχεῖ. ὅθεν δὲ ποτε ἑορτάσει. Ἀλαοσκοπιή, καὶ κεῖται παρ' Ὁμήρῳ. ἤγουν, ἡ ματαία κατασκόπευσις, ὡς καὶ ἐν Ὀδυσσείᾳ. φασὶ γὰρ οὐδ' ἀλαοσκοπιὴν εἶχεν Ἀπόλλων. ἔστι δὲ ἀλαός, ὁ μὴ δὲ ὅλως βλέπων. πῶς δὲ ὁ μὴ βλέπων ὁ τοιοῦτος ἔχοι σκοπιάν, ἀλλ' ὁ κακῶς λάων, ὅ ἐστι βλέπων. καὶ ἑτέρως δὲ εὕρηται, οὐκ ἐκειμένῳ ἐν τῷ

καὶ θυσίαι τελεσπεμπόμεναι εἰς Δελφούς, καὶ κεβαλινὸς βέλος. ἕτερος δὲ λέγει φασὶν, ἰσαίος. ὄνομα ἐστι κεβαλικοῦ βέλους φαῦλον. Ἀκτορίωνε, οἱ παῖδες τοῦ ἄκτορος, ἐκλεατος καὶ εὔρυτος. ἀνεψιοὶ καὶ ὑποχικοί, ῥηθέντες καὶ μολίονε, παρ' Ὁμήρῳ. παρὰ δὲ τοῖς ὕστερον, μολιονίδαι. οὓς Ὅμηρος μὲν διδύμους ἱστορεῖ ἁπλῶς. οἱ δὲ κατ' Ἀρίσταρχον, οὐχ οὕτως, ὥσπερ κατὰ τοὺς Διοσκούρους, ἀλλὰ κατὰ τὸν τοῦ Ἡσιόδου μῦθον, καὶ διφυεῖς, δύο μὲν ἔχοντας σώματα, συμπεφυκότας δὲ γε ἀλλήλοις.

Ἄλλως. Ἀκτορίωνε, μολίονε παῖδε. διαφωνεῖται παρὰ τοῖς παλαιοῖς. οἱ μὲν γὰρ καὶ ἄμφω τὰς λέξεις πατρωνυμικὰς φασὶν, ἵνα λέγῃ ἀκτορίωνας μὲν ἀναμφιλέκτως, τοὺς ἀκτορίδας, ὁ ἐστιν υἱοὺς ἄκτορος. μολίονας δὲ, ἢ παρωνυμικῶς. καὶ αὐτὸ, οἷα μόλου ὄντος πατρὸς τοῦ καὶ ἄκτορος, διὸ καθὰ φησὶ καὶ τὸν ἄκτορα μόλον, ἀσυνδέτως ὁ πατὴρ κατὰ διωνυμίαν. οὕτω καὶ οἱ αὐτοῦ παῖδες, ἀκτορίωνε μολίονε. ἢ μητρωνυμικῶς ἀπὸ μητρὸς μολιόνης, ἵνα κλίνοιτο ἀπὸ τοῦ μολιονίδης μολιονίων, ὡς πριαμίδης πριαμίων. καὶ ἐν συγκοπῇ, μολίων. μάλιστα δὲ, ὡς ὑπεριονίδης, ὑπερίονος, ὑπερίονιος, καὶ ἐν συγκοπῇ ὑπερίων λέγειν. καθάπερ οὖν τὸν πατέρα ἄκτορα ἀκτορίωνε, οὕτω καὶ διὰ τὴν μητέρα μολιόνην, μολίονε, ἤγουν μολιονίδαι. ὁ μολίων, οὗτος ἐστι μολιόνης υἱός. ἕτεροι δὲ τὸ μολίονε κατ' ἐπίθεσιν, ἤγουν ἐπιθετικῶς νοοῦσιν. ἵνα ἡ λέξις δηλοῖ, ἢ μαχίμους καὶ ὁρμητικούς. οὐ παρὰ τὸν μῶλον, ἀλλὰ παρὰ τὴν ἐν μάχῃ μόλυσιν, ἐξ ἧς ὁ ἐν ἐκπλοκῇ ὁ μῶλος γίνεται. ἢ παρὰ τὸ μόλω ῥῆμα, ἐξ οὗ καὶ μεῦλος, ὁ ῥηθεὶς τοῦ αὐγείου γαμβρός. καὶ μόλος ὁμώνυμος ἀπὸ μόλω ἄκτορ, ὁ τοῦ μυρσίνου, ὃν κατὰ ἴσον μολίονε πατὴρ. Ἄκυθος, ὁ ἄγονος, παρὰ τὸ μὴ ἔχειν σπέρμα. κύθος γὰρ τὸ σπέρμα. κύθεται γὰρ, ἤγουν κρύπτεται, ἢ, τι γεννᾶσθαι τὸ κύημα ἐν τῇ μήτρᾳ. ψιλοῦται δὲ τὸ ἄκυθος, διὰ τὸ υ ψιλοῦ. τὰ γὰρ διὰ τοῦ υ ὑπὲρ δύο συλλαβὰς, διὰ τοῦ ψιλοῦ ψιλοῦται. οἷον, μαμμάκυθος, ὁ μωρός. Ἀκυθῶν, ἀχηχιῶν. Ἀκύκλιος, ἀπείλατος. Ἀκυτήκιον, φάρμακον πρὸς τὸ μὴ κύειν γυναῖκας. Ἀκυλία, ἡ σπιλία. ἢ ἡ βανεία. Ἄκυλον, ἄλφιτον. οἱ δὲ τὴν πρινίνην βάλανον. παρὰ δὲ Δελφοῖς, τὸ αἰδοῖον. λέγεται οὕτω καὶ ὁ καρπὸς κομάρου. Ἀκυμάντως, ἀταράχως, ἀπὸ τοῦ α στερητικοῦ μορίου, καὶ τοῦ κυμαίνω τὸ ταράσσω. καὶ ἀκύμωσαν, τὴν ἀτάραχον λέγομεν. καὶ ἀκύμονα, ἡ μὴ γενῶσα. ὡς ἰσχόμενη, ἢ στειφλοφυΐα. καὶ ἀκύμων, ἡ στεῖρα, ἄγονος, ἄτοκος. Ἄκυον, ἄκυον. Ἀκυρὸν, ἀπρόσωπον. Ἄκυρον, ἀτέλεστον. Ἀκύρωτον, ἀμιγῆ, παρθένον. Ἀκυρής, ἀτυχής. καὶ ἀκυρήματα, τὰ ἀτυχήματα. Ἀκύρματα, ἀτυχήματα. Ἀκυρώσαι, ἀνάρμοσαι, ἄκυρα. Ἀκυρολογεῖ, ψευδολογεῖ. Ἄκυρον, παλαιόν, ἄκυρον. ἢ τὸ μακρὰν ὄν. κῦρος γὰρ τὸ τέλος. Ἀκυρῶσαι, ψευδοποιῆσαι, καταργῆσαι. Ἄκυτος, ἄτεκνος, στεῖρος. Ἀκχαλίβαρ, κράββατος. λάκωνες. Ἀκχαμοναί, τὰ κακοπαθοῦντα. Ἀκχός, ὁ ὤμος. Ἀκωλύτευτον, ἀπείραστον, ἀβασάνιστον. κωλυνίσαι γὰρ, τὸ διαπειρᾶσθαι. Ἀκωκὴ, ἡ ὀξύτης. παρὰ τὸ ἄκω γίνεται ἀκή. καὶ κατὰ ἀναδιπλασιασμὸν, ἀκωκὴ, τὸ κακὸ, μέγα. τὰ δὲ ἔχοντα ἐν τῇ πρώτῃ καὶ δευτέρᾳ συλλαβῇ τὸ αὐτὸ σύμφωνον, διὰ τοῦ ω μεγάλου γράφεται. οἷον, ἰωλή, ἰωλὴ, καὶ ἰωλκός. ἄγω, ἀγωγή, καὶ ὀγωγή. οὕτως οὖν καὶ ἀκωκὴ, τὸ ἐπιδοραπίλος ὁ ἀκμή. Ἄκωλοι, ἄρτοι. Ἄκων, ὁ ἀβούλητος. καὶ ἄκων, ἀκόντιον. Σοφοκλῆς οἰδίποδι τυράννῳ. καὶ ἔχει μακρὸν τὸ α. κατὰ κρᾶσιν γάρ ἐστιν ἀπὸ τοῦ ἀέκων, ἄκων. καὶ ἄκων παρὰ Ἀττικοῖς, τὸ ἀκόντιον, οὗ κατὰ τὸ α βραχύ ἐστιν. Ἀκώπητον, τὸ ἀπαρασκεύαστον πλοῖον. ἢ ἄνοπλον, ἀπὸ τῆς κώπης, ὅ ἐστι τῆς λαβῆς. Ἀκώσαι, ἀπαίδευσαι.

ΤΟ Α ΜΕΤΑ ΤΟΥ Α.

Ααλέγει Ὅμηρος, πᾶσαν τὴν θάλασσαν. διὸ καὶ λευκὴν αὐτὴν φασὶν, ἀπὸ τοῦ αἰγιαλοῦ, πᾶσαν οὕτω λέγων, πόντον. δηλονότι τὸν ἐντὸς καὶ πόρρω τοῦ αἰγιαλοῦ. διὸ καὶ οἴνοπα, ὅτι μέλαινα αὐτὴν λέγει. κατὰ γὰρ τὸν ἄκρον ἡ θάλασσα, τῶν ἀκτίνων τοῦ ἡλίου διαλυχομένων αὐτὴν, ζοφωδεστέρα γίνεται, καὶ διὰ τοῦτο λευκὴ. κατὰ γὰρ τὸ ἐνδότερον καὶ πόρρω τοῦ αἰγιαλοῦ ἀμβλυνομένων τῶν ἀκτίνων ὑπὸ τοῦ βάθους, καὶ μὴ δυναμένων κατ' αὐτῆς διαπείρειν καὶ καταφωτίζειν αὐτὴν, σκιώδης ἐστὶ, καὶ διὰ τοῦτο μέλαινα καὶ ἄλλα, τὰ λοιπά. Ὁμηρικὴ ἡ ὀδυσσεία. Οὐ σόγ' ἐξ οἴκου σοῦ ἐκιάατο, οὐδ' ἀλλα δοίης. Ἄλαπα, μέλαν, ὁ γράφομεν. Ἀλάβαστρον, διὰ τοῦ ρ Ἀττικοί, μετὰ δὲ τοῦ ρ οἱ ἁπλῶς Ἕλληνες. ἔστι δὲ ἀγγεῖον μύρου, ὃ ἀγγεῖον μὴ ἔχειν λαβὰς, λίθινον. ἢ λίθινος μυροθήκη, ὃ κατά τινας φυκάδιον, ὃ κουρίον. Ἀλαβαστροθήκη, μυροθήκη. Ἀλαβῆς, ὁ ἰχθὺς, ὡς μὴ δυνάμενος χερσὶ λαβέσθαι. Ἀλάβηνοι, θόρυβοι. Ἀλαβητοῦ, θορυβοῦ. Ἀλαβῶδες, ἀνθρακῶδες, κεκαπνισμένον. Ἀλαβὼς, ψαμμός. Ἀλλ' ἄγε, ἀλλὰ φέρε. ἔστι δὲ ἐπίρρημα παρακελευστικὸν, ὃ ἐπιρρηματικὸν μόριον. Ἄλαγα, αἰσχρά. Ἀλαζονεία, ἕξις προσποιητικὴ τῶν μὴ ὑπαρχόντων, καὶ ἡ ὑπερηφανία. Ἀλαζονεύομαι, ἐπαίρομαι, αὐθαδιάζομαι, ἐπαιρόμαι, ἀποσεμνύνομαι, γαυριῶ, ἐνυβρίζομαι, κομπεύω, κομπάζομαι, μεγαλαυχοῦμαι, ὑπερηφανεύομαι, καὶ τὸ κομπάζω, καὶ ψεύδομαι. Ἀλαζοφάνας βαθραχείς, ἀλαζονείαν, ἵνα φοβηθῶ ἐγώ.

Ἀλαζὼν, πλάνος, ὑπερήφανος, ψευδής. παρὰ τὸ ἐν ἄλῃ ζῆν. καὶ ἀλαζὼν, ὁ χαυνόφλυαρος, ὁ μέθυσος, καὶ λῆρος. ἢ ἀλαζὼν, ὁ ἄλλως ζῶν, ὅ ἐστι ματαίως. ἰδίως δὲ ἀλαζόνας, τοὺς ψευδεῖς ἐκάλουν, ἐπεὶ λέγειν ἐπαγγέλλονται, περὶ ὧν οὐκ ἴσασιν. διαφέρει δὲ ἀλαζὼν, εἴρωνος. ἀλαζὼν μὲν γάρ ἐστιν, ὁ μὴ ἔχων καὶ προσποιούμενος ἔχειν. εἴρων δὲ, ὁ ἔχων, καὶ προσποιούμενος μὴ ἔχειν. καὶ ἀλαζὼν, ὁ μείζονα τῆς ἑαυτοῦ ἀξίας κομπάζων καὶ φρονῶν. εἰκότως δὲ καὶ τοὺς φιλοσόφους ἀλαζόνας ἐκάλουν, ἐπεὶ περὶ ὧν οὐκ ἴσασιν ὡς εἴρηται, λέγειν ἐπαγγέλλονται. ἢ ὅτι σεμνὰ ἔχοντες ἦθος, ἀλαζόνες δοκοῦσιν. Ἀλαιός, ὡς μὴ δῆμος. Ἀλαιθρὸς, χλιαρόν. οἱ δὲ, ἀλειθρίς. Ἀλαιτίης, ὁ μαινόμενος. Ἀλαῖος, ὁ ἀπόλλων. Ἀλαίνω, τὸ πλανῶμαι. ἐξ οὗ καὶ ἄλαιος κιστομὸς, ὁ ἐπὶ πολλὴν γῆν ἀλώμενος, παρὰ τὸ ἄλη, ἀλῶμαι, παράγωγον, ἀλαίνω, ὡς ἰσθμῶ ἰσθμαίνω. σημαίνει δὲ τὸ ἐξεραίνομαι. Ἀλακὴ, λιγνός, πολλός, καρπὸς δενδρικόν, μαρίλη. Ἀλάκη, πολύθραυσις. Ἀλαλαγαὶ κυρίως, αἱ ἐπὶ τῶν θυσιῶν εὐχαί. ὡς τὸ, Ἀλαλάζομεν τῷ θεῷ τῷ σωτῆρι ἡμῶν. Ἀλαλαλαί. ἰὴ, παιὰν, ἐπιφώνημα χοροῦ. Ἀλαλαγμὸς, ὕμνος ἐπινίκιος ἢ εὔφημος βοή. ἢ φωνή τις ἄναρθρος, σύμφωνος ἀγγέλους τῶν ἐν πολέμοις συναγωνιζομένων, συνηχούντων. παρὰ τὴν ἀλαλὴν, ὃ σημαίνει τὸν θόρυβον, γίνεται ἀλαλάζω. καὶ ἐξ αὐτοῦ ἀλαλαγμὸς, καὶ ἀλάλαγμα. Ἀλαλάζειν, τὸ ὀξεῖς καὶ ἐμμελῇ φωνῇ εὔχεσθαι, ὃ ἐπινικίως ἠχεῖν. Ἀλαλὴ, ὁ θόρυβος, καὶ ἡ ἄναρθρος φωνὴ, παρὰ τὴν ἄλα τὴν ἀεὶ ἠχοῦσαν, ἄλα. καὶ διπλασιασμῷ, ἀλαλή. Ἀλάλημαι, πεπλάνημαι. παρὰ τὴν ἄλην, τὴν πλάνην. Ἀλαλκομενηΐς, ἐπίθετον τῆς Ἀθηνᾶς, παρ' Ὁμήρῳ. παρὰ δὲ τοῖς ἄλλοις, καὶ τῆς Ἥρας, καὶ Διός. οἷον, Ἀλαλκομενηΐς Ἥρα. καὶ ἡ ἀπαλεξητικὴν τρόπον ἔχουσα, ἡ ἐν ἀλαλῇ μένουσα. ἀλαλκεῖν δὲ καὶ ἡ μάχη, καὶ ἀλαλάζειν τὸ μάχεσθαι. ἀλαλκομένη, καὶ ἀλαλκομενηΐς, ἐν διπλασιασμῷ, ὡς ἄρπυια, ἀγρότερος, καὶ ἐρέτυμος, καὶ ἀτιτάλλειν. ἢ ἀπὸ Ἀλαλκομενέως τινὸς, ἱδρυσαμένου αὐτῆς ναόν. ὡς βασιλεὺς βασιληΐς, καὶ θυσηΐς, καὶ οἰσηΐς. Μεθόδιος, ἡ ἀλαλκοῦσα τὸ μένος, ὅ ἐστι τῇ δυνάμει σθένους. ἢ ἡ ἐν Ἀλαλκομεναῖς, πόλει τῆς Βοιωτίας τιμωμένη. ἔνθα καὶ Ἀλαλκομένιον Ἀθηνᾶς ἱερόν. ἢ ὅτι ἀπὸ Ἀλαλκομενέως τινὸς τρα-

φεῖσα

ὧν τὸ ἄκρον ἐφίστασθαι λοξὴν τῶν ἀνωτάτω πόλεων. ὅτε δὲ ἡ σὺν πα ρὰ τὴν πόλιν γίνεται, ὅ ἐστιν ἀναστρέφεσθαι, ἡ λέξις ὁ πόλος, λόγον ... ἄλλως δὲ, ἡ ἀκρόπολις, ὁμοία ἐστὶ τῷ ἀναφέρεις. ἐν οἷς δηλαδὴ ὁ πόλος, ὅ ἐστιν ὁ ἀναστρεφόμενος, ὡς ἄκρον φέρεται. λοξὴ δὲ παροξύνεσθαι καὶ ἡ εὐθεῖα τῆς ἀκρόπολις, καθὰ καὶ τὰ ἐπὶ αὐτ. κανών. τὰ γὰρ παρὰ τὸ πολῶ, εἰ μὲν προθέσει σύγκειται προηγουμένης, προπαροξύνονται. οἷον, ἀμφίπολος, τρίπολος, πρόσπολος. εἰ δὲ ὀνόματα, προπαροξύνονται. ὡς δῆλον ἐκ τοῦ ἀκρόπολις, μονόπολος, οἰωνοπόλος, θυηπόλος, ὁ ἱερεύς, καὶ θυοσκόος ἐν ὁ Λυκαονία. οὕτω γοῦν ἀναλόγως, καὶ ἀκρόπολος. ὁμοίως δὲ καὶ μονοπόλος, καὶ αἰπόλος, καὶ θαλαμηπόλος, καὶ Διασπόλος, καὶ θεμιστοπόλος, καὶ ἕτερα. ἀκρόπολις, ἐρύμιον, ἐπώνυμον. ἀκροπόρους, τοὺς ὀβελίσκους ἐπιθυσίας. εἴρηται παρὰ τὸ ἄκρον αὐτῶν πείρεσθαι τὰ ἱερά. ἀκροπόδια, τὰ ἄκρα τῶν ποδῶν. ἀκρόβαπτις, ἡ ἐπὶ βραχὺ μεταβεβλημένη, παρὰ τὸ πεπρᾶσθαι. ἀκροσόλιον, τὸ ἄκρον τοῦ σόλου, τὸ ἄλλαστον ξύλον, τὸ ἐξέχον τῆς πρύμνης, καὶ διῆκον μέχρι τῆς πρώρας ξύλον. ἵνα ἡ τῆς νεὼς ἐκ γράφηται ὄνομα. ἡ ἀκροσόλιον, τὸ ἄφλαστον, τὸ κατὰ τὴν πρύμναν. ὅθεν Ὅμηρος ἐπὶ πρύμνης αὐτῶν παιδὶ ἄφλαστον, λέγων, ἄφλαστον μετὰ χερσὶν ἔχων. ἄκρος τέλειος, εἰς ἄκρον ἐληλακώς. ἀκροσφαλής, ἡ ἄκρως ἐσφαλμένοι, ἡ ἐν τῷ βαλλίζειν σφαλλομένους. ἀκρόσφυρα, γυναικεῖον ὑπόδημα. ἀκροτάτην πόλιν, τὴν ἀκρόπολιν, λέγει. ἐν ἀφανεῖ ἀκροτάτη Ὅμηρος. ὡς ἐν τῷ ... ἐπὶ ἄκρας. πολλαχοῦ δὲ, ἐν πόλιν ἀκρ.. ἀκροτάτων, ὑψηλοτάτων, ἀνωτάτων. ἀκροατήριον, τόπος ἐν ᾧ συνάγονται ἀκροάσασθαι τὰ μαθήματα.

ἀκροτομάρες, τὰ ἄκρα τέμνει. ἀκρότης, ἀρχή. ἀκρότατα, οὐ ... ὡς τὸ, πολυκρότατα αὐτῆς γεγένηται. ὥς τι μὴ συγκροτεῖσθαι, μηδὲ συμπεσεῖν ἀκρότης. ἀκρότομος λίθος, σκληρὸς τῷ τμηθεὶς, ὑψηλὸς, ὁ ὄρυτος. ἄκρουν, ἀσυμβίβαστον, ἀναίσθητον. ἀκρουν, ἡ τοῦ ὄρους κορυφή, ἡ ὄρος. ἀκρωνοί, ὄροι, ὑπὸ μακεδόνων. ἀκρουρα, οὐρά.

ἄκρουρον, ἄκραθον. ἄκρου, ἄκρων. ἀκρουχεῖ, ἄκρον ἔχει. ἄκρον δὲ, ὅρος τῆς ἀργείας, ἐφ᾽ οὗ ἀρτέμιδος ἱερὸν ἱδρύσατο μελάμπους, καθάρας τὰς προιτίδας. Σοφοκλῆς ἐφιγενείᾳ.

ἀκροθίνια. ἀκρόθινα μέρη τῶν φυτῶν τὰ τοῖς χοάνοις ἐπικείμενα, ἀκροθίνια ἔλεγον, καὶ ἀκρονόμια, οἷς φυσῶσιν οἱ χαλκεῖς. φασὶ δὲ οἱ παλαιοὶ τὸ γένος τῶν χοάνων ἄλλο ἦσαν. δηλοῖ δὲ ἡ λέξις τὰ φυσώμενα ἄγγεα, ἐν οἷς αἱ ὗλαι τήκονται. ὅπερ ἡμῖν ἐστι πάλαιον. ἀπὸ δὲ τοῦδε καὶ παρὰ τῷ κωμικῷ ὁ χοανεῦσιν. ἡ ἀκροθίνια, τὰ ἀκροθίνια τῶν στοιχῶν. ἀκροχάλιξ, ὁ ἄκρως μεθύων. ἡ ἀκροχάλιξ, ὁ ἀκροθώραξ. ἡ μέθυσος. χάλιξ γὰρ, ὁ ἄκρατος οἶνος, ἀπὸ τοῦ χαλᾶν τὰς φρένας. ἀκροχειρεύς, ἀκροβολιστής. ἀκροχειρίζεσθαι, τὸ πυκτεύειν, ἡ παγκρατιάζειν πρὸς ἕτερον, ἄνευ συμπλοκῆς. ἡ ὅλως, ἄκραις ταῖς χερσὶ μετ᾽ ἄλλων γυμνάζεσθαι, ἐξ οὗ καὶ ὁ ἀκροχειριστὴς καλεῖται. ἀκρόχολος, ὁ κατὰ ὑπόχολος ὀξὺς, καὶ πρὸς πᾶν ὀργίλος. ἡ καὶ ὁ πρὸς ὀλίγον ὀργιζόμενος. ἀκροχορδόνος, αἱ ἐν τῷ προσώπῳ ἐλαῖαι. ἡ εὐθεῖα, ὁ ἀκροχορδών, ὁ γενικὴ, τοῦ ἀκροχορδόνος. ἀκρόκωλος, ὁ πρὸς ὀλίγον χωλεύων. ἀκροψίλον, τὸ ἐπὶ τὸ ἄκρον γυμνόν. ἄκρω, ἀντὶ τοῦ ἀληθῶς. ἀκρῶ, παρὰ τὸ ἀκούω, ἀκοῶ, ὡς κελεύω κελῶ, καὶ πλεονασμῷ τοῦ ρ ἀκρῶ.

ἀκροῶμαι, γενικῇ συντάσσεται. οἷον, ὁ δὲ τῶν τοῦ βασιλέως λόγων ἀκροώμενος. λέγομεν ἀκροῶμαι σοῦ, καί σου.

ἀκρῶα, ἀπλάγχνα, ἐντόσθια. ἀκρολίνιον, τὸ τῆς χειρὸς ἄκρον. ἀκρώμια, αἱ κατακλεῖδες. ἀκρωνεῖται, οἱ μάγειροι. ἀκρώνυχα, τὰ ἀθροίσματα, καὶ ἡ ἀκρότης, καὶ ἡ ἀκμή. τὸ ἐπίλοιπον ἄθροισμα, καὶ πλῆθος. ἀκρώνυξ, τὸ ἄκρον τοῦ ὄνυχος, καὶ τοῦ ὄρους. καὶ ἀκρονυχία, ὁμοίως. ἀκρώρεια, ἐξοχὴ, κορυφή. εἰς τρία τῆς διαιρεῖται τὸ ὄρος, εἰς ἀκρώρειαν, ὡς ὑπώρειαν, καὶ εἰς τέρμα. καὶ ἀκρώρεια μέν ἐστιν, ἡ κορυφή. ὑπώρεια δὲ, τὰ πλάγια. τέρμα δὲ, τὰ τελευταῖα, καὶ πόδες. ἡ ἀκρώρεια, ἡ ἀνωτάτω τοῦ ὄρους ἐξοχή. οὕτω καὶ πρυμνώρεια πολυπιδάκου Ἴδης, τὸ πρυμνόν. ὅτι τὸ κατώτατον αὐτῆς ἄκρον, οἷον ἐστὶν ἀκμαὶ τοὺς πόδας ὄρους. ἀκρωτηριάζω, αἰτιατικῇ συντάσσεται. οἷον, τέμνω τὰ ἄκρα. ὡς τὸ, ἠκρωτηρίασε μὲν τοῦ χεῖρας καὶ πόδας. καὶ ἀκρωτηριασμὸς, ἀντὶ τοῦ, τὰ ἄκρα τεμών. καὶ ἀκρωτηριασμὸς, ἀντὶ τῆς, τῶν ἐκτεμῶν. ἀκρωτηριασμὸν λέγουσι, τὸ ῥῖνα τεμεῖν, καὶ ὦτα. ἁπλοῦν δὲ τὸ ῥῖνα τέμνειν, λέγεται ῥινοτομεῖν. ἄκρως, μεγάλως, ὀξέως. ἀκρῶσαι, ἀκροᾶται, ἐκ τῶν οὐχ ὑπακούειν, προσποιεῖται. ἀκρωτηριᾶσαι, λέξαι, ἡ ἀκρῶσαι. ἀκρωτήριον, ὁ ὑψηλὸς τόπος, καὶ ἀκρωτήρια, τὰ ἐπάνω τῶν ναῶν ἀνάκλιθεν ζῶδια. δωρικῶς. ἀκρωτηριάζεις, τὰ ἄκρα ἀποτεμών. ἀκταίζειν, ἀκτάζειν, προθυμούμενος, ἡ ὀργῆς πλήρης, ἡ μετεωρίζων. ἀκταῖον, παραθαλάσσιον. ἀκταί λέγονται αἱ αἰθοῦσαι, διὰ ἀκτῖνος αὐτῶν ἐξαποστέλλουσιν. ἡ διὰ ἀκτή ἐστι, τουτέστι προβεβλημένη καὶ κειμένη τὸ πλεῖον μέρος εἰς τὴν θάλασσαν. τῆς ἀττικῆς δὲ τοῦτο ἡ κλῆσις. ἀκταίνειν, τὸ μετεωρίζεσθαι καὶ ἐπαίρεσθαι, καὶ γαυριᾶν ἐπὶ τῶν ἵππων. ἀκτάζειν, ἀντὶ τοῦ ἐξανιστάμενος. καὶ ἀκταίνειν, τὸ ἀτάκτως πηδᾶν, ἡ πρὸς συνουσίαν ὁρμᾶν. ἀκταινεῖν, ἀκτὰς φυλάσσειν. ἀκταίωρος, παρὰ τὸ τὴν ἀκτὴν ὁρᾶν, ὅ ἐστι φυλάσσειν. ἀκτὰς, αἰγιαλοὺς, ψηφῖδας τόπους. ἀκταῖοι ἰχθύες, οἱ αἰγιάλειοι. ἀκταίων, τέλειος, ἀσφαλῶς κεραυνός. ἀκταίων, ἡ ἀττικὴ πρότερον ἐκαλεῖτο. καὶ ἡ ἐν τῷ ἀκτίῳ λίθος κατασκευασθεὶς τοῦ ναοῦ πλευρά. ἀκταίνω, δόρατα, κάμαξ. ἀκτέανοι, πένητες, ἀκτήμονες. ἀκτέον, ὁ δοτέος. συρακούσιοι. ἀκτερίς, ἄφοδος. ἀκτεροί, ἄφατοι, αἱ ἱεραὶ γέφυραι, ἡ περὶ τῶν ἄθων χώρα. ἀκτήνια, πένητες. ἀκτὴ ἀλφεῖον, ἡ δημητρία, κατὰ τοὺς παλαιοὺς, παρὰ τὸ προάγεσθαι, ἡ προσάγεσθαι. ἡ τὸ κλάσμα, παρὰ τὸ ἄγνυσθαι τὸ κλῶ. οὐκ ἔφασιν ἔχει οὐ μόνον τὸ ἀλφεῖον, ἀλλὰ καὶ μυλήφατον, ὁ δηλαδὴ κλᾶται ὑπὸ μύλης. ἀκτὴ δημήτερος, κλάσμα ἄρτου, ὅ ἐστι ψωμός. ἡ καὶ ἄλλως βωμὸς, παρὰ τὸ ἄγω τὸ κλῶ. ἄγουσιν γὰρ ἄγροικοι ἡμᾶς, καὶ τὸ ἐμοῦς περιάπτεσθαι. διὸ καὶ ἀκταῖα ὠὰ ἴσθι, καὶ οἷσθα, ἐκ τῶν ἴσων ἐτυμολογεῖται. ἐν ἀκτῇ πρὸς χέρσου, ἡ αὐτὴ ἐν εἰ τῇ προβολῇ ἀκτῇ. ἀκτὴ ἐκαλεῖτο ἡ ἀττικὴ ἀπὸ ἀκταίωνος βασιλέως, ἡ διὰ τὸ πλεῖον μέρος τῆς ἀττικῆς ἀκτὴ, ὅτι παραθαλάσσιόν ἐστιν. ἄλλως. ἀκτὴ ἐλέγετο, ἐπιθαλάσσιος ὡς μοῖρα τῆς ἀττικῆς. ὅθεν καὶ ὁ ἀκτίτης λίθος. ἐκαλοῦντο δὲ οὕτω καὶ τῶν ἀττικῶν, οἱ μὲν ἀπὸ τοῦ βασιλέως ἀκταίωνος, οἱ δὲ διὰ τὸ τὴν πλείω τῆς χώρας ἐπιθαλάττιον εἶναι. ἀκτὴ, καὶ ἡ τροφὴ, καὶ τὸ ἐξέχον μέρος τοῦ αἰγιαλοῦ. ὡς τὸ, ἀκτῇ ἐπὶ προὐχούσῃ. ἀκτήμων, πένης. ἀκτημοσύνη, πενία. ἀκτίνης λίθος, ὁ ἀπὸ τῆς πεντελικοῦ ὄρους. Σοφοκλῆς ἀναστάσει. ἄκλειστον ὦτα, ἀντὶ τοῦ ἑκατόν. ἐκπεπύρευ γὰρ οἱ ἑκατοντοι, ὥς φασιν Ὁμηρικός. ἡ ὥς φασι φιλοστέφανος, ἐστὶ παῖς ἱερὸν πλησίον ἱεροῦ τοῦ ποταμοῦ. ἐκεῖ γὰρ ἀπόλλωνα φασι, ὃ ἐπὶ ταῖς ἀκταῖς ἱδρυμένον. φησὶ δὲ καὶ Πίνδαρος, τῶν ἀλίων αὐτῶν φροντίζειν. ἀκτίς, οἰκεῖον ὄνομα. παρὰ δὲ συρακουσίοις, ὁ λυγός, ὁ ὀπός. καὶ ἀκτίς καὶ ἀκτίν, ἐπὶ τοῦ ἡλίου. ἀκτὴ δὲ ὁ αἰγιαλός. ἴσον δὲ, ὅπερ ἐστὶν ἐπὶ θαλάσσης ἀκτὴ, ὁ κρημνώδης δηλαδὴ τόπος, ὅθεν ἐπὶ ποταμοῦ ἔχει. ὅπερ δὲ ἐπὶ θαλάσσης αἰγιαλός, ὁ ἐπίπεδος δηλονότι καὶ ὁμαλός, τοῦτο ἐπὶ ποταμοῦ πλαταμών. Παυσανίας γοῦν φησιν, ὅτι ἀκτίς, οἰκεῖον ὄνομα ἐν ἀγγείῳ, ἐφ᾽ οὗ οἱ ὀβελοὶ φρύγονται. οὕτω δὲ καὶ ἡ αἴγλη, οὐ μόνον ἡ λαμπηδών, ἀλλὰ καὶ πανὸς εἶδος κατὰ Παυσανίαν,

[illegible]

Ἀκρισιώνη [illegible] Ἀκρίτως [illegible] Ἀκριτόμυθε [illegible] Ἀκριτόφυλλον [illegible]

[illegible]

Ἀκροβολισμός [illegible] Ἀκροθίνια [illegible] Ἀκροκνεφαῖον [illegible] Ἀκρολοφία [illegible] Ἄκρον [illegible] Ἀκρόπολις [illegible]

[illegible]

πόλεως. ὡς τὸ, ἀκραιφνὴς βούβωσις παραγίνεται. ἤγουν, καθαρῶς καὶ ἀκραιφνῶς γινομένη, ἀλλὰ ἐπαινοῦσι τὴν ῥοπὴν τῆς ἀκμῆς. καὶ φιλόσοφος ἀκραιφνῆ δύναμιν λέγει, τὴν λαμπράν.

Ἀκραιοφόρα, τὰ ἀκροστόλια τοῦ πλοίου, τὰ ἐξέχοντα κατὰ πρόσωπον, ἃ στόλον. ἐν οἷς τὰ σημεῖα ἐπέγραφον. Ἀκραῖον, ἀκρώτατον, πρόσθεν. Ἀκραλέα, ἄκρα. παρ᾽ Ἱπποκράτει.

Ἀκραμάλη, κοχλίας. Ἀκραν, ἀκμήν. Ἀκραπὲς, ἀκρατής. Ἀκρατὴς, ἀπαλός. Ἄκρατον, τὸ μὴ κατὰ νόμους.

Ἄκραντον, ἀτέλεστον. ἀπὸ τοῦ α στερητικοῦ μορίου, καὶ τοῦ κραίνω τὸ πληρῶ. Γενναῖος, ἄκραντα γεγωνεῖν. Ἀκράαντον, ἀτέλεστον, παρὰ τὸ κραίνω. ἀπὸ παρὰ τὸ κάρα, καρήνω, καὶ συγκοπῇ κραίνω. Ἀκρασία, ἀνωμαλία, παρὰ τὸ μὴ συγκεκρᾶσθαι. ὅ ἐστιν ἀπὸ τοῦ α στερητικοῦ, καὶ τοῦ κρατῶ, ᾗ ἐστι τὸ κρα βραχύ. ἡ ἀκρασία δὲ, ἀπὸ τοῦ κεράννυμι, τὸ κερῶ. καὶ ἔστι τὸ κρα μακρόν. διαφέρει δὲ ἀκρασία, καὶ ἀκολασία. ἡ μὲν γὰρ κατὰ προαίρεσιν πράττει τὰ αἰσχρά, ἡ ἀκολασία. ἡ δὲ, παρὰ προαίρεσιν. λέγεται δὲ καὶ ἀκρασία. ἡ ἀκρασία παρὰ τῷ Θεολόγῳ, πᾶν τὸ περιττὸν καὶ ὑπὲρ τὴν χρείαν. Ἄκρας νυκτὸς, περὶ τὴν πρώτην ὕπνον, ἄκρος ἄκρας νυκτὸς ἦλθεν. Ἀκρατὲς, ἀθρόως. Ἀκράτα, ἡ κακομελία.

Ἀκρατῆ, ἀκράτητα, ἄγρια. Ἀκρατὴς, ὁ εἰδὼς τὰ κακὰ ὡς φαῦλα, καὶ πράττων αὐτὰ διὰ τὸ πάθος. καὶ ἀκρατὴς γλώσσης, ἀδιάφθορος. ἀκράτως, Ἀκρατὴς γλώσσης [illegible].

Ἀκρατία, ἡ ἀκρασία. Ἀκρατίσθαι παρ᾽ Ἀριστοφάνει, ἀντὶ τοῦ φάγετε, ἢ ἀκρατῆ πράξατε. ἐπειδὴ μετὰ τὴν σύννοιαν οἱ πρότερον λείχουσι τὰ ἑαυτῶν αἰδοῖα. ἢ λείχετε τὸ ἄκρον τοῦ αἰδοίου.

Ἀκρατίζω, τὸ ἄκρατον πίνω. ὡς τὸ, ἀκρατισάμενοι ἐπὶ χεῖρας ἤγειρον, ἀντὶ τοῦ, ἄκρατον πιόντες. Ἀκρατισμός, τὸ πρωινὸν φαγεῖν. ἢ ἀκρατισμὸν λέγουσι, τὴν ἀπὸ τοῦ βρώματος ἐκ τοῦ ἄρτου καὶ μέθης. Ἄλλως. οἱ πολεμεῖν μέλλοντες, πρωῒ ἐξ ὕπνου, ὀλίγον τι ἤσθιον ἄρτον, ἢ ἄκρατον οἶνον ἔπινον, ἵνα θερμοὶ ὦσι, καὶ μὴ δειλιῶσιν. ὃ ἀκρατισμὸν ἐκάλουν. ὅθεν Θεόκριτος, ἀκράτισον, τὸ ἄριστον λέγει. Ἀκράτισμος, ὁ μολυνὸς ἐγκρατής. παρὰ δὲ Θεοκρίτῳ, ὁ ἄγαθος. οἷον, Γρὶψ ἡ ἀκράτισον ἐπὶ ξηροῖς καθίζη.

Ἀκρατοπότης, ὁ μέθυσος, ὁ τὸν ἄκρατον οἶνον ἀπλήστως πίνων. Ἄκρατος οἶνος, ἀμιγής, ἀσυγκέραστος. καὶ ἄκρατος ἡλίου ἀκτίς. ὡς τὸ, Τὸν δὲ ἀκτῖνας ἡλίου ὑποδεχόμενον, καὶ ἑαυτὸν αἰωροῦντα, ὡς εἶπον τὴν ἄκρατον ἀκτῖνα τοῦ ἡλίου. καὶ ἄκρατος οἶνος, ἀγαθοῦ δαίμονος. αἰρομένης τῆς τραπέζης μετὰ τὸ δεῖπνον, ἄκρατος οἶνος περιεφέρετο, καὶ ἐκαλεῖτο ἀγαθοῦ δαίμονος. οἱ δέ φασι, τὸ πρῶτον ποτήριον οὕτω λέγεσθαι. ἐξ οὗ καὶ ἀκρατοποτεῖν. Ἀκρατοκώθωνες, οἱ πίνοντες τὸν ἄκρατον ἐκ τοῦ κώθωνος. Ἀκράτωρ, ὁ ἀκρατής. ἦν δὲ εἶναι τὸ ἀκράτωρ, καὶ τῶν ἄλλων ὁ λοιπῶν. ὁ ἄθλος, ἀκράτωρ ἐστὶ ὤν. ἐπάλαιε ἐς τὴν γῆν.

Ἀκρατῶς, ἀνυπερθέτως, ἢ ἐπιτεταμένως, συντόνως. ἢ παῖς ἤλαυνον ἀκρατῶς, καὶ ἅμα ἐπεβόων. Ἀκροχολία, ἡ πρόχειρος ὀργή. Ἄκρεα, παῖς θήλεια. μακεδόνες. καὶ ἄκραια ἡ ἀθηνᾶ, καὶ ἡ ἀφροδίτη. Ἀκρέμονες, βλαστοί, κλάδοι.

Ἀκρέσπερον παρ᾽ Ἱπποκράτει, ἄκρας ἑσπέρας. Ἀκραής, ὀξυκίνητος. Ἀκρολόγχη, κέρατος, ἡ μικρόν. Ἀκρέμονες, κλάδοι, καὶ βλαστοί. ἤγουν, ἀκρέμονες. Ἀκρόμορον, ἀσθενής. Ἀκρίβαστος, ὁ ἀγαθός. Ἀκρὶς, ὁ διάκοπα ἔκπληξιν ἄφνω γινόμενος. Ἀκρόπολις, διαλλαγμένως, ἀντὶ τοῦ ἀκροπόλιος. Ἀκρῶπις, ῥάχις, καὶ ἄκρα. Ἀκροθόλουχος, δοῦλος. Ἄκρατος, ὁ ἄκρατος. ἐκ τοῦ κερῶ, κεράσω, συγκοπῇ κρᾶσω, κρατὴς, καὶ κρατόν. ἐκ δὲ τοῦ κεράσω κρατὸς, ἄκρατος, καὶ ἄκρητος. τὸ ἄκρητον γάλα Ὅμηρος λέγει, ἐν ᾧ ἐστιν εἶναι τὸ τυρῶδες, καὶ τὸ ἐλαιῶδες, ἢ τὸ ὀρῶδες. ἢ ἄπεπτον, ἀχώριστον, ἀδιάκριτον, οἱ δὲ ἀκεράστου οἴνου γεμόμενον. Ἀκρία, ἀθηνᾶ, ἐν Ἄργει, ἐπὶ λόφου ἄκρας ἱδρυμένη. ἀφ᾽ ἧς καὶ Ἀκρίσιος ὠνομάσθη. ἔστι δὲ καὶ ἥρα, καὶ ἄρτεμις, καὶ ἀφροδίτη προσαγορευόμεναι ἐν Ἄργει. κατὰ τὸ ὅμοιον, ἐπὶ ἄκρῳ ἱδρυμέναι. Ἀκριβὲς, τὸ ἄκρον. Εὐριπίδης φιλοκτήτῃ. Ἀκρίβεια, ἡ ἀκριβὴς κατάληψις. Ἀκριβὴς, ὁ νέος ἀκριβὴς καὶ ὁ βέβαιος. λέγεται γὰρ ἀκριβὴς χιτωνίας, ὁ τοῦ μέτρου ἔχων λέξις. παρὰ τὸ κρίβω, κριβὴς καὶ ἀκριβής. καὶ γὰρ τὴν ἀκριβῆ, εὐλαβῶς δύναται λαβεῖν. ἢ παρὰ τὸ ἄχι καὶ τὸ βαιὸν, ἀκαιβὴς, καὶ ἀκριβής. ὁ γὰρ ἀκριβὴς μέχρι καὶ τοῦ μικροῦ κατάγεται. μεταλαμβάνονται δὲ τὸ ἀκριβὲς, εἰς τὸ σαφὲς, ὃ εἰς τὸ ἀληθὲς. ὡς δοκεῖ ἀκριβὲς, καὶ τὸ ἀναγκαῖον σημαίνει. Ἀκριβῶς, ἄκρως. Ἀκριβολογεῖται, ἀκριβῶς ἐξετάζει. Ἀκριβῶ τινὰ τὴν τέχνην, ἀντὶ τοῦ ἀκριβῶς ἐπίσταμαι, ἢ ἀκριβολογοῦνται, ἀκριβῶς μελετηθέντα.

Ἄκρια κατὰ τοὺς παλαιοὺς, τὰ ἄκρα τῶν ὀρῶν, λόφοι, ἐξοχαί, γωνίαι. καὶ ἀκρίζειν, τὸ τὰ ἄκρα ἐπιτρέχειν. ὁ καὶ ἐξακρίζειν Εὐριπίδης φησίν. ἤγουν δὲ ὡς ἐπίπασι φησὶν, ἀντὶ τοῦ ἐπ᾽ ἄκρον ἤγαγε, καὶ τέλος ἐπέθηκε. καὶ ἄκρας, τὰ ἀκρότατα λέγει Ὅμηρος, ἐν οἷς μάλιστα βρέμει τὰ κύματα. Ἀκρίζω, τὸ ἀκροῖς ποσὶν ἐπιτρέχομαι. Εὐριπίδης οἰνῷ, καὶ τὸ ἄκρον κόπτω. Ἀκρίσιαι, γωνίαι, καὶ καθαρός, ἁγνός,

Ἀκριτόμυθος, ὅλως ἐπιμελητὴς, παρὰ λάκωσιν. Ἀκρὶς κατὰ τοὺς παλαιοὺς, ἐτυμολογεῖται ἀπὸ τοῦ α ἐπιτατικοῦ, καὶ τοῦ κρῶ τὸ ἐσθίω. ἐξ οὗ ἡ κράστις, ἡ ὑπὸ τοῦ ζώου χλωρὰ ἐσθιομένη. καὶ κρατὺς, ἦν ὁ χόρτος μικροῦ καὶ κατέφαγεν. οἱονεὶ οὖν ἀκρίς, κατὰ τροπὴν ἀκρίς, ἡ πάνυ κράστις, ὅ ἐστιν ἐσθίουσα. Αἴλιος δὲ Διονύσιος οὐκ ἐθέλει ὀνομάσθαι κράστιν ὅλως. φησὶ γὰρ κράστιν ὀνομάζει τὴν πόαν, κράστιν δὲ οὐδὲ εἶναι. ἴσον δὲ ἐκ τοῦ ἀκρίδος, καὶ ἀκρίδος τῆς αὐτῆς γράμματος. ἐκεῖνος μὲν οὐκ ἔστι ῥῆμα ἐκ τοῦ χόρτου, ἐκ τοῦ κερίδος δὲ σύγκειται ἐκ τοῦ κεκαδεῖν. ἤγουν ὡς εἰκέναι σφαιρῶν. οἷον, αὐτὸ δὲ κεκαδεῖ τὸ σῶμα, κεκαδεῖ ἀγχυράσιν, καὶ ἔτι παρὰ τὸ κάρα γίνεται κάρις. τὸ πλεῖστον γάρ φασιν αὐτῇ τοῦ σώματος ἡ κεφαλὴ ἐπιλαμβάνει. καὶ ἔτι ἀκρὶς μὲν συστέλλει τὴν λήγουσαν. κάρις δὲ τῇ βραχυκαταληκτικῇ, ἀναλόγως παρ᾽ Ἀττικοῖς. ὡς γὰρ βολὴ βολίς, γραφὴ γραφίς, οὕτω καὶ καρὴ καρίς. τακτέους δὲ τὸ παρατελεύτου, ἐκτείνω τὸ τέλος. ὡς τὸ κρηπίς, ψηφίς, τακτίς. εἴρηται γοῦν τὸ καρίδες ἐκτεταμένως. Ἐξῆλθον Διαφίλου δίκην εἰς χοινόπλεκτον ἄγγος, καὶ ὀρχοῦνται ὥσπερ καρίδες, ἀνθρώπων ἐκπηδῶσαι κυρταί. καὶ ἐρυθρότερον καρίδος ὀπτῆς ἐν ὀπτανίῳ. ἴσον δὲ ἔτι καὶ ἡ ῥαφανὶς, ὡς Ἀθήναιος παραδίδωσι, διαφθείρεται κατὰ τὴν καρίδα. καὶ ἐκτείνει μὲν τὴν λήγουσαν Ἀττικῶς. ὡς παρὰ Κρατίνῳ ἐν τῷ ῥαφανίου δοκεῖ, τοῖς δ᾽ ἄλλοις οὐ λαχάνοις. συστέλλεται δὲ παρ᾽ Εὐπόλιδι. Ἀκρίσιος, ὁ κρύφιος, παρὰ φρυξίν. Ἀκρισία, ἡ ἀδιακρισία, καὶ κακὴ κρίσις. Ἄκρισιν, κλοπὴν, ὀλιγωρίαν. φρύγες. ἡ στοία.

Ἀκρίσιος. Φερεκύδης ἐν Δευκαλιῶνος ἱστορεῖ, ὡς Ἀκρίσιος γαμεῖ Εὐρυδίκην τὴν Λακεδαίμονος. τῷ δὲ γίνεται Δανάη. χρωμένῳ δ᾽ αὐτῷ περὶ ἄρσενος παιδὸς, ἔχρησεν ὁ θεὸς ἐν Πυθοῖ. ἐκεῖ ὡς μὲν οὐκ ἔσται παῖς ἄρσην. ἐκ δὲ τῆς θυγατρὸς, πρὸς οὗ αὐτὸν δεῖ ἀπολέσθαι. ὁ δὲ παρελθὼν εἰς Ἄργος, θάλαμον ποιεῖ χαλκοῦν ἐν τῇ αὐλῇ τῆς οἰκίας κατὰ γῆς, ἔνθα τὴν Δανάην εἰσάγει μετὰ τῆς τροφοῦ. ἐν ᾧ αὐτὴν ἐφύλασσεν, ὅπως ἐξ αὐτῆς παῖς μὴ γένηται. ἐρασθεὶς δὲ ὁ Ζεὺς τῆς παιδὸς, ἐκ τοῦ ὀρόφου χρυσῷ παραπλήσιος ῥεῖ. ἡ δὲ ὑποδέχεται τῷ κόλπῳ. ἐκφαίνει δὲ αὐτὴν ὁ Ζεὺς τῇ παιδὶ μίγνυται. τῶν δὲ γίνεται Περσεύς, καὶ ἐκτρέφει αὐτὸν ἡ Δανάη, καὶ ἡ τροφὸς, κρύπτουσα Ἀκρίσιον. ὅτε δὲ Περσεὺς τριετὴς ἢ τετραετὴς ἐγένετο, ἤκουσεν αὐτοῦ τῆς φωνῆς παίζοντος. καὶ διὰ τῶν θεραπόντων μετακαλεσάμενος τὴν Δανάην σὺν τῇ τροφῷ, τὴν μὲν ἀποκτείνει, Δανάην δὲ κατάγει σὺν τῷ παιδὶ ἐπὶ τὸν ὑπὸ τοῦ ἑρκείου Διὸς βωμόν. μόνος δὲ αὐτὴν ἐρωτᾷ, πόθεν εἴη αὐτῇ γεγονὼς ὁ παῖς. ἡ δὲ ἔφη, ἐκ Διός. ὁ δὲ οὐ πείθεται, ἀλλ᾽ εἰς λάρνακα ἐμβιβάζει αὐτὴν μετὰ τοῦ παιδός. καὶ

ἀκονιτὶ, ἀμαχητὶ. ἤγουν, χωρὶς ἀγωνίσματος. Ἀκονίας, ὄφεως εἶδος. καλοῦνται δὲ καὶ ἀκοντίλαι, καὶ ἀκοντίας, βοτάνη τις. Ἀκόνιτον, εἶδος βοτάνης, φάρμακον. ἀλλὰ πιὼν ἀκόνιτον τελείως γίγνεται ἀκονιτί. τουτέστι χωρὶς κόνεως. Ἀκονιτὶ, ἀκονιάτως, ἀπόνως. Ἄκοντι, ἀτρόμητι, ἄγωνι, ἄπληκτι. Ἄκοντι, ἀντὶ τοῦ ἀκουσίως. Ἀκοντιάς, βοτάνη τις, οὕτω κεκλημένη, ἢ κόμητος φαινομένη τοῦ δράκοντος τοῦ ὄφεως. Ἀκοντίζει, ὅπου ῥίπτει. καὶ ἀκοντίζειν, οὐ τὸ τύπτειν δόρατι ἐκ τῆς χειρὸς, ὃ καὶ χερσὶ που λέγεται, ἀλλὰ τὸ ἀφιέναι κατὰ ἴσον. ὡς ἐν τῷ ἀκόντιον ἔγχος, περιττὸν δοκεῖ τὸ ἔγχος. οὕτω καὶ ἐν τῷ ἀκόντιον δορὶ φαεινῷ. λέγει δὲ Ὅμηρος, καὶ ἀκόντιζον δὲ δημοσίας αἰχμάς, καὶ ἀνηκόντιζεν αἷμα. ἐν τούτῳ δηλοῖ ὅτι φλὲψ ἢ ἀρτηρία, αἷμα ἀκοντίζουσα. καὶ ἀκόντιον αἴσσοντος, ἤγουν κατὰ αἴσσοντος. ἐλλείψει προθέσεως ἀναπαύεσθαι φαίνεται. Ἀκοντικὸν, φάρμακον οὕτω καλούμενον. Ἀκοντηθὲν, ἀκοντιζόμενον, ἢ μὴ ἐθέλοντα. Ἀκόντιον, δοράτιον, μικρὰ λόγχη. φάσιν δὲ μακεδόνες, καὶ στρατιώταις μέρος ἀγχιανδρῶν ὁπλιτῶν. Ἀκόντιον ὀξυόεντι, παρ' Ὁμήρῳ, περιττὸν ἔχει σὺν τῷ δορί. ἤρκει γὰρ τὸ ἀκόντιον. ἡ ἀκόντιον καταχρηστικῶς, ἀντὶ τοῦ ξύλον. ἀκοντίζειν δὲ, ἀκοντίῳ καὶ λόγχῃ βάλλειν. ὁ ὑπερακοντίζω, τὸ ὑπερβάλλω. τὸ δὲ ἀκοντίζω, γενικῇ συντάσσεται. οἷον, ἀκοντίζω τοῦ πολεμίου. Ἀκοντισθὲν, ἀκοντισθέν. Ἀκοντοδόκος. δοκιμάζειν λέγεται, τὸ ἐπιτηρεῖν καὶ δοκεῖν. τὸ αὐτὸ καὶ δοκεῖν. καὶ ἀπὸ τούτου ἀκοντοδόκος, ὁ ἐπιτηρῶν, μή που ἀκοντίῳ βληθῇ. Ἀκόντων, ἀκοντίων, δοράτων. Ἄκοπος ἀνὴρ, ἀντὶ τοῦ εὐδίκαιος ὁ κεκλημένος ὑπέλεγος. οὕτως Ἀμερίας.

Ἀκοράζεσθαι, ἀκροᾶσθαι. Ἀκορεῖος, βλαβερός, ἀνωφελής. Ἀκόρητος λέγεται, ὁ μὴ κόρον λαμβάνων τινός. οἷον, ἀκόρητος χρημάτων, ἀκόρητος ἡδονῆς. καὶ ἀκόρητος, ὁ περὶ φορβὴν ἄπληστος. Ἀκόρητος, ὁ ἀκαλλώπιστος, ἀνεπιμέλητος. κορεῖν γὰρ τὸ σαίρειν καὶ καλλωπίζειν, ὅθεν νεωκόρος. ἢ ὁ ἄπληστος, παρὰ τὸ κόρος. τοῦτο δὲ παρὰ τὸ κορῶ κορέσω, κορήσω, κεκόρηκα, κεκόρημαι κεκόρησαι κεκόρηται, κορητὸς, καὶ ἀκόρητος. Οὕτω δὲ εἶπεν ἀκόρητος. οἷον, τελέως καὶ μὴ κορεσθεὶς, αὔξων, καὶ πλατὺνων, καὶ τεθαλώς. Ἀλκοφρόνος φίλαι, ἐμοὶ γὰρ ὃν ἀγορητὸς ἀδεὴς βίος. εὐρυόπων ἀκόρητος εἶναι κείμενος. πρῶτον μελίτταις, καὶ προβάτοις καὶ ἀμφιδίοις. ἀπὸ τοῦ συμβεβηκότος, περιέλαβε πάντα. παρ' εἰ γὰρ ἂν ᾖ εὔμφυλα, μέλιτται, καὶ πρόβατα, ἐξ ἀνάγκης δεῖ τἆλλα πάντα. Ἀκορνὰ, ἀκανθῶδες φυτόν.

Ἀκορναὶ, ἀθληταί. Ἄκορον, εἶδος βοτάνης, καὶ ἰατρικὴ ῥίζα. Ἀκορσαὶ, ἄκανθαι. Ἀκόρυμβοι, οἱ ἐπὶ τῶν ἀκρεμόνων βοστρύχων, μετέωροι κόκκοι, ὡς ἐπὶ τῶν κισσῶν ἔχει. Ἀκόρυφα, ἀναρίθμητα, πολλά. Ἀκόρυφον, ἀκέφαλον, ἀκρατὲς, ἀξιόλογον. Ἄκος, φάρμακον, θεραπεία, βοήθεια, ἴαμα. Δίεται δὲ, παρὰ θεοῦ ἄκος. ἡ γενικὴ. Ἄκοσμα, ἀπρεπῆ, μωρά, ἄδηλα, ἄτακτα. Ἄκοσμον, ἄπρεπον, ἄτακτον, ἄμορφον. Ἀκοστῆσαι, τὸ πολυκαθῆσαι, κατὰ τοὺς παλαιούς. ἤγουν τὸ κριθιᾶσαι. ἀκοσταὶ γὰρ αἱ κριθαί. ὅπερ φασὶν ἐξ Ὁμήρου μὴ εὑρίσκεσθαι. παρὰ δὲ Νικάνδρῳ καὶ ἄλλοις κεῖται. οἱ δὲ παλαιοί φασι, καὶ πλείονας τῇ τροφῇ παρὰ διατελεῖς ἀκοστὰς λέγεσθαι. ἄλλοι δὲ ἀκοστῆσαι φασὶ, τὸ χεῖρον ἄχος ἐν τῷ ἱστάναι. ἐπεὶ δὲ, τὸ λαβεῖν ἄχος. ἢ μᾶλλον κατ' αὐτὸν, καὶ τοῦτον εἰπεῖν ἄχος τῇ στάσει. καὶ τῇ τῆς τροφῆς ἀπολαύσει. ὡς τὸ, πιὼν ἀκέστατον δίψαν. ἴσως δὲ τὸ ἀκολάστως διατεθῆναι, ἵνα ᾖ ἀκολαστῆσαι, καὶ ἐν συγκοπῇ ἀκοστῆσαι. ἄλλοι δὲ, τὸ κονιᾶσαι, παρὰ τὸ ἀκὴν, ἤγουν ἡσύχως στῆναι. ἢ ἀκοστάζεσθαι, κατακλίνεσθαι. ἀκοσταὶ καὶ κριθαί, παρὰ τὸ ἄκος ἐμποιεῖν τοῖς ἐσθίουσιν. ἵνα ᾖ κατ' ἀντίφρασιν, καὶ ἀπὸ τῆς τροφῆς ἀκρατεῖς ὦσι. καὶ ἀκοστήσας ἐπὶ φάτνης, πιὼν, ἐπὶ στάσει δυσχεραίνων. Ἀκόσταλα, ἐλάχιστα. Ἄκουε, ἀόργητον. Ἀκοῦ, θεραπεύω. Ἀκουάζεσθαι, παράγωγον μέν ἐστι τοῦ ἀκούω. δηλοῖ δὲ συγκλίνοντες εἶναι εἰς δαῖτα, ἢ οὕτως ἀκουαζομένους, παρ' Ὁμήρῳ. Ἀκουάζεσθε, παρ' Ὁμήρῳ, ἀντὶ τοῦ αἰσθάνεσθε. ἀπὸ τοῦ ἀκοῦ, ὅ ἐστι τὸ αἰσθάνομαι.

Ἀκούει κακῶς, ἀντὶ τοῦ, δυσφημεῖται, καὶ ψέγεται. οὕτως Ἡρόδοτος. Ἄκουεν, ἀντὶ τοῦ ἤκουεν. ἢ ἀκούομεν, ἀντὶ τοῦ ἀκούειν.

Ἀκοὴ, ἰωνικόν. τὸ δὲ κοινὸν, ἀκοὴ ἀναλόγως τῷ βοὴ καὶ ῥοὴ, καὶ τοῖς τοιούτοις. ἄλλως. ἀκοὴ μὲν, ἐκ τοῦ ἀκούω. ἀκωὴ δὲ, ὡς ἐκ τοῦ ἀκωκὴ, μέσου παρακειμένου. Ἀκουίλιον, ὄνομα τόπου.

Ἀκούμβιτα, στρωμναὶ μαλακαὶ, εἰς ὕψος ἠγμέναι. αὗται δὲ τρυφῆς καὶ βλακείας εἰσίν. ἡ δὲ λέξις, ῥωμαϊκή. ἀκούμβω γὰρ παρὰ ῥωμαίοις, τὸ ἀνακλίνω. Ἄκουρε, μισόλαμε, μονοχίας ἱερατικά. ὡς τὸ, Και φαρὼν κεράσασθαι τιμμάτων, τλὰ ὑπ' ἄκουρον τρέφων. Ἀριστοφάνης. Ἄκουρον, τὸν μὴ γεννήσαντα παῖδα ἄῤῥενα. Τὸν μὲν ἄκουρον ἐόντα τὸ ἀργυρότοξος ἀπόλλων. ἀντὶ τοῦ, μὴ ἄῤῥενα παῖδα λιπόντα. σημαίνει δὲ ἡ λέξις, τὸ ἄπαις. Ἄκους, ἤκους, ἡ μὴ βουλομένη. Ἀκούσομεν, ἀντὶ τοῦ ἀκούσομεν. Ἀκουσθήσομαι, ἀκούσω. Ἀκούσια, τὰ ὑφ' ἡμῶν γινόμενα, ἑκὼν ἔξωθεν ἀναγκάζοντος. Ἀκουσίθεον, τὸ ἐκ θεοῦ ἀκοαῖς ἐρχόμενον. ὡς τὸ, Ἦν δέ μ' ἀπέφαινεν νῦν ἔχουσα, λάμψας φέγγος ἀκουσίθεον. Ἀκούσιος, ὁ μὴ θέλων, ἀπροαίρετος.

Ἄκουσμα, φήμη. Ἀκούσομαι, δεῖ γράφειν τὸν μέλλοντα κατ' ἀττικοὺς, καὶ οὐκ ἀκούσω, ὥσπερ δὴ καὶ θρέψομαι, καὶ ἀποκρύψομαι, οὐ μὴν δὲ θρέψω, καὶ ἀποκρύψω. Ἀκουστῶν, ἀκουστῶς ἔχων. Ἀκουστὸν, μέγα, παρὰ τὸ ἀκούεσθαι. ἢ λαλητόν. Ἀκουστέα ἀττικῶς, ἀντὶ τοῦ ἀκουστέον. Ἀκουστέον, ἄξιον ἀκοῦσαι, ἐπίῤῥημα ἐνδεικτικὸν παθητικόν. Ἀκούω, κλύω, πυνθάνομαι, ἐπαΐω. ἀκούω σου τῆς λέξεως, καὶ ἀκούω σε τῶν λόγων. καὶ ἀκούω τινὸς, ἀντὶ τοῦ ἀκροατής εἰμι. διαφέρει τὸ ἀκούω, καὶ τὸ ἀκροῶμαι. τὸ ἀκροᾶσθαι, τὴν συνέχειαν τοῦ ἀκοῦσαι ἐμφαίνει. τὸ ἀκούειν δὲ, τὴν αἴσθησιν μόνον τῆς ψυχῆς. ἀκούσομαι, ἤκουσα, καὶ ἀκήκοα ἐνεργητικά. Ἴσως δὲ οἱ ἀττικοὶ ῥημάτων τινῶν ἐνεργητικῶς γραφομένων, τὸν ἐνεστῶτα, οἷον ἀκούω, ἐπαινῶ, γελῶ, θαυμάζω, γινώσκω, καὶ τὰ λοιπά, τοὺς μέλλοντας ἐνεργητικῶς οὐκ ἐκφέρουσιν, ἀλλὰ μέσως. οὐ γὰρ ἀκούσω φασὶ, καὶ ἐπαινέσω, ἀλλὰ ἀκούσομαι.

Ἄκρα, ἀκρόπολις, ἀρχὴ, ἢ τέλος. Ἄκρα πόλις, ἀντὶ τοῦ ἀκρόπολις λέγομεν, καὶ ἄκρα μόνον. Ἀκράαντον ἔργον, ἀτελείωτον. ἀπὸ τοῦ κραιαίνω. Ἀκράγας, ποταμὸς, καὶ πόλις ἐν σικελίᾳ. ἡ ἀκράγας, τοῦ ἀκράγαντος, θηλυκῶς. ἣ ὡς καλεῖται ἀπὸ τοῦ παρακειμένου ποταμοῦ ἀκράγαντος, ἀρσενικῶς κλινομένη. καὶ ἡ τάρας τοῦ τάραντος, ὀνόματα πόλεων. Ἄκρατον, ἀδιάφθορον, ἀεργές. Ἀκραεῖς, ἀθενεῖς. Ἀκρατὲς, δυσχερὲς, σκληρὸν, δύσκολον, ἀσθενές. Ἀκράδαντον, ἄσειστον. καὶ γίνεται ἀπὸ τοῦ στερητικοῦ μορίου, καὶ τοῦ κραδαίνω, τὸ σείω. Ἀκραία, εὔσειον. Ἀκραῆ ἄνεμον Ὅμηρος λέγει, τὸν ἀκέραιον, ὃν καὶ καλὸν λέγει. Ἐπέλεσεν βορέῃ ἀνέμῳ ἀκραεῖ καλῷ. ἀπὸ δὲ τῆς ἐναντίας τῶν μισγομένων ἀνέμων τὸ δεινὸν κατηγορεῖ. οἷον, ἐπεὶ δὲ μισγομένων ἐλθοῦσα θύελλα. καὶ οἶνον παλαιὸν εἶχεν ἡδύποτον, ἵνα μᾶλλον ἐκλάβῃ τὴν ἔκπαυσιν αὐτοῦ, ἄκρατον θεῖον πότον, ἐπιφέρων αὐτὸν λέγει. καὶ ὕδωρ ἐπαινῶν, ἀκήρατον αὐτὸ λέγει. ἤγουν, ἀκέραιον. κατὰ ταῦτα καὶ τὸ θεῖον πόμα, νέκταρ ὀνομάζει. ἤγουν, ἀκέραιον, καὶ ἀκραιφνὲς, καὶ πάσης μοχθηρίας ἀμιγές. ἢ ἀκραῆ ἄνεμον λέγει, τὸν ἄκρως ἄττοντα, ἤγουν πνέοντα. εἰ δὲ γράφουσιν ἀκραῆ. ὥς τε Δίδυμος ἀκραῆ λέγων. καὶ τὸν μὴ κιρνάμενον, ἀλλ' ἀκραεῖ ζέφυρον. Ἄκραι, κρεμαστά. Ἀκραῖος, ἄκρως.

Ἀκραιφνὲς, καθαρὸν, λαμπρὸν, διαυγὲς, τέλειον. ἐτυμολογεῖται δὲ, ἀπὸ τοῦ ἄκρως φαίνειν. Ἀκραιφνέστερον, ἀληθέστερον.

Ἀκραιφνὴς, καθαρὸς, ἀκριβὴς, ἀληθής. οἷον, ἀκηραφανὴς, ἀβλαβής. κὴρ γὰρ ὁ θάνατος. ἢ ἀκραιφνὴς κυρίως, ὁ τηλεφανής. παρὰ τὸ ἀκέραιον καὶ τὸ φαίνω, ἀκεραιοφανής. καὶ κατὰ συγκοπὴν, ἀκραιφνής. ἢ ὁ εἰς ἄκρον φαινόμενος, ὡς ἐπὶ τοῦ μονοπόλεως πόλεως.

φαμίζουσι. καὶ ἔστιν ἰσόφορον, τῷ γὰρ ἀειδίῳ ἐπεκλείσσειν ἄνθρωπος. ἐκεῖνο γὰρ, ἀντὶ τοῦ κλῄουσιν εἰλήφαμεν. λέγεται δὲ, καὶ ἀκλειῶς, τὸ ἀκλεῶς. Ἀκληρεῖ, οὐ μετέχει, οὐ κεκλήρωται. ὁ χωρὶς κλήρου. Ἀκληρήμασι, συμφοραῖς, δυστυχίαις. διὰ τῶν δοκοῦν μὲν μάλιστα περιπεσεῖν τοῖς ἀκληρήμασιν. Ἀκληρία, δυστυχία. Ἀκληρούντων, δυστυχούντων. συμπάσχοντας τῇ τῶν ἀκληρούντων ὑπερβολῇ. Ἄκληρος, μὴ ἔχοντα κλῆρον, μηδὲ οὐσίαν. ἔτι πτωχοῦ. Ἀκλητί, χωρὶς κλήσεως. Ἄκλητον, ἀνώνυμον. διδάσκει σεαυτὴν ἄκλητον τῷ δεσπότῃ, ἀντὶ τοῦ ἀνώνυμον. Ἀκλινής, ἀνυπότακτος. Ἀκλόνητον, ἄσειστον, ἀδόνητον.

Ἀκλυδώνιστος, ἀτάραχος, ἀκλόνητος· κλόνος γὰρ, ἡ ταραχή.

Ἄκλυστον σκάφος, ἀκατάκλυστον, ἢ ἀχείμαστον. Ἀκμάζει, σπάζει, τὰ νέων πράττει. οὕτως Ὑπερίδης, καὶ Λυσίας. καὶ ἀκμάζειν, ὀργᾷν, σπαργᾷν, βρύειν. μάλιστα δὲ τὸ βρύειν, ἐπὶ ἐλαιῶν. ἀνθεῖ, βλαστάνει, θάλλει, καὶ τὰ ὅμοια. καὶ τὰ ἐξ αὐτῶν ὀνόματα, ἄνθη, ἄνθησις, βλάστη, βλάστησις, καὶ τὰ ὅμοια. καὶ εὐθαλὴς ἐρεῖς, καὶ εὐανθής, καὶ τεθηλός, καὶ εὐηρής, ἢ ἀειθαλής. τὰ δὲ ἐναντία, ἀνανθής, δυσανθής, δυσηρής, ἀπηνθηκός, ἄφυλλον, καὶ ἐξηνθηκός. καὶ μαραίνεται, ἢ σβέννυται, ἀπανθεῖ, φυλλορροεῖ, γυμνοῦται, ψιλοῦται. καὶ φυλλοχόος μείς, ὁ ταῦτα ποιῶν. Ἄκμα, νηστεία, ἔνδεια. Ἀκμαία, ἀκμάζουσα, θάλλουσα. Ἀκμαῖος, σφριγῶν, νεανίσκος. Ἀκμαιοτάταις, νεωτάταις. Ἀκμαῖς, ὀξύτησιν. Ἀκμή, ἡ ἰσχύς. καὶ ἀκμάζω, τὸ ἰσχύω. ὅθεν τὸ, ἀκμαζούσῃ γνώμῃ τελεῖν πράττειν, ἀντὶ τοῦ ἰσχυρᾷ γνώμῃ. ἡ μεταφορά, ἀπὸ τῶν ἀκμαζόντων ζώων. ἀκμάζει γὰρ τὸ ζῷον, ὅτε ἐστὶν ἐν ἀκμῇ. ἔστι δὲ ἀκμή, τέλος τῆς αὐξήσεως. ἐν παντὶ γὰρ ταῦτα θεωροῦνται, αὔξησις, ἀκμή, καὶ παρακμή. ἢ ἀκμή, ἡ ὀξύτης τοῦ σιδήρου, ἡ μεσότης τοῦ καιροῦ, καὶ ἡ νεότης. ἢ ἀκμὴν καλῶς, ἀντὶ τοῦ ὁ καιρὸς καλῶς. Ἀκμήν, ἔτι. Ἄκμων, καὶ ἄκμονος, καὶ νῆστις, τῶν κατὰ πολυωνυμίαν. ὃν καὶ ἄπαστον λέγει Ὀππιανός. ἴσως δὲ, διὰ ὁμώνυμον ὄνομα τῇ νήστει. λέγεται γὰρ φασὶ νῆστις, καὶ τὸ μεταξὺ κοιλίας καὶ στομάχου ἔντερον. ἢ στιλλικὴ δίεσις, νῆστις ἐλέγετο. Ἀκμηνὸς ὀξυτόνως ἐν τῇ Ὀδυσσείᾳ, ὁ ἀκμὴν ἔχων τοῦ πάσχειν, κατὰ Ἀρίσταρχον. ὁ δὲ ἄκμηνος, τὸ δηλοῦν τὴν νῆστιν, ἐν Ἰλιάδι ἐβαρυτόνησεν ὁ αὐτός. Ἀκμήτας, ὁ νέος, ὁ νήχων, ὁ μὴ κοπιῶν. καὶ ἀκμῆτες, οἱ μὴ κάμνοντες, ἀκοπίαστοι. παρὰ τὸ καμῶ. ὁ δεύτερος ἀόριστος ἔκαμον. ἐξ αὐτοῦ, καμής. ἢ μετὰ τοῦ στερητικοῦ α, ἀκαμής. κατὰ συγκοπήν, ἀκμής. ὁ μὴ κάμνων, ἢ ὁ μὴ κάμνων, διότι πάντα ἢ μὴ δυνάμενος πόνους ὑπομεῖναι. Ἀκμῆτι, ἀκαμάτως. Ἀκμητί, ἀκόπως. Ἄκμηνοι, ἀκοπίαστοι.

Ἀκμόθετον, τόπος ἐν ᾧ τίθεται ὁ ἄκμων. συγκέκοπται δὲ, ἐκ τοῦ ἀκμονόθετον. Ἄκμονα, ἀλετρίβανον, κύνειοι. Ἀκμονίδης, ὁ Χάρων, καὶ ὁ οὐρανός. ἄκμονος γὰρ παῖς. Ἀκμονίοιο ἄλσος μὲν λέγεται. οὐδέποτε δὲ ἀκμόνιον, ὡς δηλοῖ Εἰρηναῖος. ἔστι δὲ περὶ τὴν Θερμώδοντα. μέμνηται δὲ αὐτοῦ Φερεκύδης ἐν τῇ δευτέρᾳ. Ἄκμων, ὁ τοῦ οὐρανοῦ πατὴρ λέγεται, διὰ τὸ ἀκάματον τοῦ οὐρανοῦ κινήσεως. ἀφ᾽ ἧς ἐννοίας, καὶ ὁ ἄτλας εἴρηται. καὶ δὲ ἀκμονίδαι, δηλοῦσιν οἱ παλαιοί. ὡς δὲ ἄκμων ὁ οὐρανός, ὁ Ἀλκμὰν ἱστορεῖ. ὁ ἄκμων, ὁ ἀπαθής, ὁ χάλκος, ὁ οὐρανός, καὶ ὁ σίδηρος, ἐν ᾧ ὁ χαλκεὺς χαλκεύει. ἔστι δὲ, ἢ γένος αὐτοῦ. καὶ ἄκμων, ὁ ἀκμαῖος, ὁ σφριγῶν, ὁ νεανίσκος. παρὰ τὸ κάμνω, ἀκάμων τις ὤν, ὁ ἀκαμάτως φέρων. ὁ ἄκμων, ἀκμοθέτης, ῥαιστήρ, πυράγρα, φῦσαι, φυσητήρ, ἀκροφύσιον, χοάνη, ἀκόναι, θηγάναι, ἐσχαρίδες, καὶ κροταφίδες. ταῦτα πάντα, χαλκέως σκεύη.

Ἄκναπτον, ἀκατάκλαστον, ἄγναφον ἱμάτιον, καὶ ἀπόλαστον.

Ἄκνηστις, ἡ ῥάχις. παρὰ τὸ μὴ δύνασθαι κνᾶσθαι αὐτὴν τῇ ἰδίᾳ χειρί. ἡ ἄκνηστις, τὸ μέσον τοῦ ὀσφύος. κυρίως μὲν ἐπὶ τῶν τετραπόδων. Ὅμηρος δὲ καὶ ἐπ᾽ ἀνθρώπου κέχρηται, λέγων, κατ᾽ ἄκνηστιν μέσσα νῶτα. Ἀκοάζει, ἀκούει. Ἀκοαζόμενος, ἀκ-χάλεις παρὰ Μιτυληναίοις. Ἀκοάνοσι, ταῖς ἀγκάλαις.

Ἀκοὴ γίνεται, πρὸς φωνῆς γνῶσιν. Ἀκοινώνητος, ὁ ἀκακύς. Ἀκοίτης, ὁ ἀνήρ. ἄκοιτις δὲ ἡ γυνή. καὶ ἄκοιτις, ἡ ἐκ παρθενίας ἄλλης κοίτης μὴ πειραθεῖσα, καὶ ἡ ὁμόκοιτος. καταχρηστικῶς δὲ, καὶ ἡ δευτέρῳ γάμῳ μετέχουσα. Ἄκοιτιν, ἡ μὲν ποιητικὴ παλαιφωνία καὶ ἄλοχον λέγει, καὶ ὁμόλεκτρον, καὶ ἀνδρὸς εὐνέτιδα. ἡ δὲ κοινὴ λαλιά, σύνοικον. Ἀκόλακοι, οἱ οὐκ ἂν κολακευθεῖεν. Ἀκολασία, ἀκρασία. ἔλλειψις τῆς σωφροσύνης, ἡ εἰς τὰ ἀφροδίσια καταφορά. Ἀκολασταίνειν, ἀτακτεῖν, ἀσελγαίνειν, ἀσχημονεῖν, μωραίνειν. καὶ ἐπὶ τοῦ ἀκρατοῦς καὶ ὑβριστοῦ, καὶ ἐπὶ τοῦ ἀξίου κολάσεως λέγεται. Ἀκόλαστος, ἀπαίδευτος. καὶ ἀκόλαστος, ἀκρατής, θρασύς. καὶ ὑβριστικὸν πρᾶγμα. ὁ ἄνθρωπος, καὶ ἀκόλαστος, ὁ κολάσεως ἄξιος. Ἀριστοφάνης Πλούτῳ. Ἄκολοι, οἱ σμικρότατοι καὶ ψιχώδεις ψωμοί. εἰδῶν πύρνα. τοῦτον γὰρ πύρνον εἶπεν καὶ ψωμόν, κατὰ τὴν παραφράζοντα, οὓς οὐκ ἄν τις ἔχοι κολούειν, ἤδη κολοβοῦν, σμικροτάτους ὄντας. παλαιὸς δέ τις καὶ οὕτω φράζει. ἄκολος, μικρὸς ψωμός, ὁ μηκέτι κολούεσθαι δυνάμενος, καὶ εἰς μικρὰ τέμνεσθαι. τοιαῦτα δέ τινα ἢ τὰ παρὰ τοῖς πανδοχείοις ψώθια ἅπερ ἀπεσέσθων, ἄρτων εἰσὶ θρύμματα. ἢ τὰ ὑπὸ κάτω τοῦ ἄρτου. τὰ δὲ τοιαῦτα ψώθια, καὶ ἀπαράγους ἐκάλουν τινές. καὶ ὁ ἔγκαφος, ὃν ψωμόν, ἢ ἄρτου κόμματα οἱ παλαιοὶ ἑρμηνεύουσιν. ἀπὸ τοῦ ἐγκάψαι γίνεται. ὡς Εὔπολις, Οὐ γὰρ λέλειπται τῶν ἐμῶν, οὐδ᾽ ἔγκαφος. χρῆσις δὲ τοῦ ἐγκάψαι, ὅ ἐστι φαγεῖν, καὶ ἰδιωτικῶς εἰπεῖν χάψαι, παρὰ τῷ κωμικῷ. ἡ δὲ λέξις, ἀφ᾽ ἧς οἱ ἄκολοι γίνονται, παράγει καὶ κολόκυμα τὸ κωφὸν κῦμα, ὃ καὶ κόλον κῦμα διηλλαγμένως. ἐκεῖθεν καὶ ὁ κόλαφος, παρὰ Ἐπιχάρμῳ. καὶ τὸ ἐκολάφιζεν. ἀττικοὶ δὲ τὸν κόλαφον, κόνδυλόν φασι, διὰ τοῦ δ. κόνδυλος μέν τι, εἶδος ὀρνέου. οἱ δὲ καὶ κόλον τὴν τροφὴν οἱ παλαιοί φασιν, ὅθεν ὁ βουκόλος, καὶ κοιλίαν τὴν τῆς τροφῆς δεκτικήν, εἴη ἂν ἐντεῦθεν καὶ ἄκολος ψωμός, ὁ ὀλιγότροφος. ἰστέον δὲ πρὸς τοῖς εἰρημένοις, ὡς εἰ μὲν στερητικόν ἐστι τὸ α ἐν τῷ ἀκόλους, ἤγουν μὴ κολουμένους ὡς προσεχῶς ἐγράφη, εἴη ἂν ἴσως μείζων ὁ κόλαξ βλωμιδίων, κολούεσθαι δυνάμενον αὐτὸς ὤν, καθὰ δῆλον ἐκ τοῦ ἐπικολάβειν, ἤγουν δίκην κολάβου κατέχειν, ἐκ τοῦ κόλον ἡ τροφή. βούλονται δέ τινες ἐκ τούτου καὶ τὸν κόλακα εἶναι. οὗ σύνθετον ψωμοκόλαξ, καὶ ὁ ψωμοκόλαφος φαινίτης. ἐκεῖθεν δέ φασι καὶ δύσκολος, ὁ δυσάρεστος. ἄλλως. Ἄκολοι, οἱ μικροὶ ψωμοί, οἱ μηκέτι κολούεσθαι δυνάμενοι, καὶ εἰς μικρὰ τέμνεσθαι. καὶ ἄκολοι, κλάσματα καὶ θρύμματα ἄρτων. ὡς τό, Αἰτίζων ἀκόλους οὐκ ἄορας, οὐδὲ λέβητας. Ὅμηρος. καὶ αὖθις. τὴν κύνα δὲ ὡς ζῶντα πάλιν, ποιεῖ ταῦτα ἄξω, ξηρὰς εἰς ἀκόλους, ξηρὸν ἔχειν ἕτερον. Ἀκολουθεῖ, παρὰ τὸ κέλλω, καὶ τὸ θέω τὸ τρέχω. ἢ ἐκ τοῦ ἐλεύθω, ἤλυθα, ἐξ αὐτοῦ ἀκολουθεῖ. Ἀκόλουθος, ὁ πιστὸς παῖς. θεράπων δέ, ὁ περὶ τὸ σῶμα. Ἀκολουθῶ, ἕπομαι, εὔχομαι, ὀπαδῶ, ὁμαρτῶ, δοτικῇ συντάσσονται. οἷον, ἀκολουθήσω ἀγαθῷ δεσπότῃ. καὶ Ἀριστοφάνης, Ἣν μὴ φράσῃς, ὅ, τι δεῖ ἀκολουθοῦμέν σοι ὦ δέσποτα. καὶ ἀλλ᾽ ἀκολουθήσεις ἐμοί, ἀντὶ τοῦ ἀκολούθησον. τὸ ἐνεστὸς, ἀντὶ τοῦ προστακτικοῦ. Ἄκομψος, οὐκ εὐδιάθετος, οὐδὲ πανοῦργος.

Ἀκομπαστί, ἁπλᾶ. Ἀκόμπον, σεμνόν. Ἄκομψον, εὐτελές, ἀπανοῦργον, ἁπλοῦν. Ἀρχίλοχος. τὸ οὐκ εὖ διακείμενον. ἄνθρακα τὴν τῶν τοῦ πραίτωρος ἐπιβάντα βημάτων. ἀρχὴ δέ τις αὕτη παρὰ Ῥωμαίοις οὐκ ἄκομψος. Ἀκονᾷ, θήγει, ὀξύνει.

Ἀκόνη, ἡ θυεία, παρὰ Ἱπποκράτει. καὶ ἀκόνη λίθος, δι᾽ οὗ ὀξύνεται ὁ σίδηρος. παρὰ τὸ κονῶ, τὸ σπεύδω, ἢ τὸ λεπτύνω καὶ φθείρω, ἐπιτάσει τοῦ α. ἡ διαφθείρουσα καὶ λεπτύνουσα τὸν σίδηρον.

Ἀκονιτί, ἄνευ ἀγῶνος καὶ μάχης. ἀπὸ τοῦ κόνις κόνιτος. καὶ

ἀκονιτί,

ἢ πεπαρᾶσθαι. Ἀκῆραι, ἀκεραιόταται. Ἀκηράσιον, ἀκέραιον, καθαρόν, ἄφθορον, ἄφθαρτον. Ἀκήρατα κτήματα, παρ' Ὁμήρῳ ἐν τῇ ρ' τῆς Ὀδυσσείας, τὰ οὐκ ἀκέραια. λέλειπται γάρ, ἀλλὰ τὰ μὴ κεκραμένα πρὸς βίαν, καὶ λαγνικῶς. τὸ δὲ σῖτος καὶ οἶνος, ἑρμηνεία ἐστὶ τῶν ῥηθέντων κτημάτων. Ἀκήρατος, αἰώνιος, ἄφθαρτος, ἀπαθής, ἀκέραιος. ἀκήρατος δὲ, ὁ δίχα κηρός.

Ἀκήρατος κλῆρος, ὁ ἀκέραιος καὶ σῶος, κατὰ στέρησιν τοῦ κείρεσθαι, ἢ τοῦ κηρός. καὶ ἀκήρατον ὕδωρ, τὸ καθαρόν, ᾧ μὴ ἔχον κηρὸς ἐστί(?). ὧ λόγῳ καὶ οἶνος ἀκηράσιος, καὶ κτήματα ἀκήρατα, τὰ ἀκέραια. Ἀκήρια, ἀβλαβῆ. Ἀκηρασία, ἀφθαρσία.

Ἀκηρῆ, ἀσθενῆ, οὐκ ἐπιτεταμένα. Ἀκήρια, ἀκέραια, σῶα.

Ἀκήριον, ἀσθενές, νεκρωτικόν. παρὰ τὴν κῆρα, ἣ σημαίνει τὴν θανατηφόρον μοῖραν. καὶ ἀκήριον, ἄψυχον. ὡς τὸ, Ἀκήριον αἶψα τέθνηκεν, ἀντὶ τοῦ ὄντως θανατηφόρου(?). ὁ ἀκήριος γὰρ, ἴδιος εἶναι ἐκ κηρῶν, ὡς δέδεικται. καὶ τὴν αὐτὴν ἐπιμέλειαν(?) ἔχει. στέρησις γὰρ ἐν ἀμφοτέροις ψυχῆς. ἐν γὰρ ῥητορικῷ λεξικῷ φέρεται ὡς ἀκήριος οὐ μόνον ὁ ἄψυχος, ἀλλὰ καὶ ὁ ἄνοσος, ὑγιής, ἀθάνατος, μὴ ὑποκείμενος δηλονότι κηρί. ὅμοιος καὶ ὁ ἀκήρατος, ὁ ἐστερημένος δηλαδὴ κηρὸς καὶ ἄτης. ὁμώνυμος οὖν λέξις τὸ ἀκήριος. τὸ μὲν γὰρ ἀκηράσιον ἐστὶν(?), ἄλλας ἑρμηνείας ἔχει. Ἀκήρυκτον, ἄγνωστον, ἀφανὲς δὲ, Σοφοκλῆς ἐν ..(?). Ἀκήρυκτος, ἀνεπικήρυκτος. Ἀκηρυκτεί, ἄνευ κήρυκος. Ἀκήρυκτος, μέγας τις, ἀδιάλλακτος. Ἀκῆσκος(?), τάλαρος. Ἀκήν, ἡσύχιον(?). Ἀκηχέδαται, λυποῦνται. παρὰ τὸ ἄχω, ἀχάζω, ἤχακα, ὁ μέσος παρακείμενος ἤχαδα, ὁ παθητικὸς ἤχασμαι, ἤχασαι, καὶ ἰωνικῶς ἠχάδαται, καὶ μετὰ ἀναδιπλασιασμοῦ ἀκηχάδαται, καὶ τροπῇ τοῦ α εἰς ε, ἀκηχέδαται. Ἀκηχεδόνας, λύπας.

Ἀκήκεται(?), ἀλιμενής(?). Ἀκί, φυτόν(?), ὅθεν τὸ ἀκιδῶσαι(?).

Ἀκιδνότερον, ἀσθενέστερον. Ἀκιβδήλευτος, ἀκατάσκευος(?), ἄδολος. Ἀκίβδηλον, καθαρόν, οὐ νόθον. ὅθεν ἡ λέξις, ἡ ἱστορία δηλοῖ. Οἱ Ἀθηναῖοι μίσει γὰρ πρὸς τοὺς ἐν Χίῳ, τὸ χ χαράττοντες ἐν τοῖς ἀδοκίμοις αὐτῶν νομίσμασιν, ἐκάλουν Χίους. εἶτα πρὸς τὸ εὐφημότερον μετέβαλον τὸ χ εἰς κ. Ἀκίδας, τὰ βελῶν τὰς ἐξοχάς(?). καὶ ἀκιδωτὸν, τὸ ἔχον ἀκίδας. Ἀκίδες, βέλους ἄγκη(?), καὶ οἱ πώγωνες καλοῦνται. Ἀκιδνόν, τὸ ἀσθενές. παρὰ τὸ κικυς(?), κατὰ τὴν παλαιάν, ἀποβολῇ τοῦ γ. καὶ ὁμοιότητα τοῦ παίζω παιδνός, καὶ τὸ ἀκιδνόν(?). Ἀκιδνότερον, ἢ τὸ ἀσθενέστερον καὶ εὐτελέστερον, κατὰ τὴν σκεπτομένους(?), ὥς καὶ ὑπερβολικῶς εἴρηται, τὸ μηδὲν ἀκιδνότερον εἶναι ἀνθρώπου. ἢ μᾶλλον ὑπομενετικώτερον, φιλοπονώτερον, παρὰ τὸ μὴ κεκιδνᾶσθαι, ἤγουν χωρίζεσθαι, ἢ πόρρω γίνεσθαι τοῦ ἐπισυμβαίνοντος. ... καὶ παρὰ τὸ κιδνῶ τὴν λέξιν παράγουσι, ... καὶ ἀκιδνοτέρα, ἡ ἀσθενεστέρα, ἡ εὐτελεστέρα. Ἀκιδρωσσῶν(?), ἀμβλυωσσῶν. Ἀκίδωτον βέλος, τὸ χωρὶς σιδήρου, ὃ ὁρμοῦν(?) ἐπὶ τῆς κατασκευῆς. Ἀκίκυς, ὁ ἀσθενής, ἀνίσχυρος, ἀδύνατος. κατὰ στέρησιν ἤδη τῆς κικυος(?), ἢ τοῦ κίκυος, ἣ ἐστὶ περὶ τὴν κίνησιν λέγεται ἰσχύος. Ἄκιμον, ἀθεράπευτον. Ἀκίμων, ἐνίμων(?). Ἀκίμανοι(?), ... μεταφορικῶς, ἀπὸ τῆς θεραπείας.

Ἀκινήματα, τὰ κατὰ ῥυθμὸν κινήματα τῶν χειρῶν, καὶ τῶν ποδῶν. Ἀκίνησμος(?), ὑποκινησμός(?), κίνησις. Ἀκινάκης, ξίφος περσικόν. Λουκιανὸς(?) ἐν τῷ περὶ θεῶν διαλόγῳ, Ποῦ εἶ ἐχθρός(?); ... γὰρ ταραχή, καὶ ἄλλα ἄλλοι νομίζουσιν. σκύθαι μὲν ἀκινάκῃ θύοντες, καὶ θρᾶκες ζαμόλξιδι, ... ὡς αὐτοὺς ἧκοντι. φρύγες δὲ μηνί, καὶ αἰθίοπες ἡμέρᾳ, κυλλήνιοι φάλητι, καὶ ἀσσύριοι περιστερᾷ, καὶ πέρσαι πυρί, καὶ αἰγύπτιοι ὕδατι. καὶ τοῦτο μὲν ἅπασι κοινόν. τοῖς αἰγυπτίοις τὸ ὕδωρ, ἰδίᾳ δὲ μεμφίταις μὲν, ὁ βοῦς θεός. πηλουσιώταις δὲ, κρόμμυον. καὶ ἄλλοις, ἶβις, ἢ κροκόδειλος. καὶ ἄλλοις κυνοκέφαλος, ἢ αἴλουρος, ἢ πίθηκος. καὶ ἔτι κατὰ κώμας. τοῖς μὲν, ὦμος ὁ δεξιὸς θεός. τοῖς δὲ κατ' ἀντιπέρας οἰκοῦσιν, ἄτερος. καὶ ἄλλοις, κεφαλῆς ἡμίτομον. ἄλλοις, τρύβλιον κεραμεοῦν, ἢ τρυβλίον(?). ταῦτα πῶς οὐ γέλως, ὦ καλὲ Ἑρμόδωρε(?). Ἄλλως. Ἀκινάκης, εἶδος ἀκοντίου περσικοῦ. παρὰ τὴν ἀκὴν, τὴν ὀξύτητα, καὶ παρὰ τὴν ἀκίδα, ἀλλήλων συντεθέντων τῶν δύο ὁμοσήμων. καὶ δῆλον ὅτι ἐτράπη τὸ δ εἰς ν, ὡς καὶ ἐπὶ τοῦ ἐριχθονίου, καὶ ἐριχθόνιος, παρὰ τὴν ἔριν καὶ τὴν χθόνα. Ἡρόδοτος δὲ, διὰ τοῦ ω, ὠκινάκης φησίν. εἰκὸς ἐστὶ κατὰ τροπὴν τοῦ α εἰς ω. ὡς ἀκή, ἀκὸς, καὶ ὠκός. ἢ παρὰ τὸ ὠκὺς, καὶ τὴν ἀκὴν, γίνεται ὠκινάκης ἢ ὁ ἀκινάκης, τῷ ἀκινάκῃ. ἔστι δὲ ἐγχειρίδιον βαρβαρικόν, ὃ φασιν οἱ ἕλληνες παραμαχαιρίδιον. Ἀκίνδυνος, ὁ μὴ κινῶν τὰ ..(?), ὡς ὁ Σώφρων. Ἀκινδύνως, καὶ ἀκινδυνότατα, χωρὶς κινδύνου. Ἄκινος, πόα τις. Ἀκίονος(?), ἀκίονι(?).

Ἀκιρίς, λόχος(?). Ἀκιρὸς, ὁ βορρᾶς. Ἀκίς, τὸ τοῦ βέλους σιδήριον. παρὰ τὸ ἀκή, ὃ σημαίνει τὴν ὀξύτητα. καὶ ἀκίς, ποταμὸς ἀσίας. Ἀκιώτατον(?), ἀσθενέστατον, ἁβρότατον. κὶς γὰρ λέγεται ὁ ἐν τοῖς ξύλοις σκώληξ. Ἡσίοδος, Δάφνης ἢ πτελέης, ἀκιώτατοι ἱστοβοῆες. ἄλλοι γράφουσιν ἀκιρώτατον(?), ὅ ἐστι κάλλιον(?).

Ἀκιρῶς, εὐλαβῶς, ἀφήμως(?). Ἀκίσιν, ὀξύτησιν. Ἀκίχητα, ἀκατάληπτα. καὶ ἀκίχητος, ἀκατάληπτος. Ἀκκισία(?), ἐρημία(?). Καὶ τῇ εἰκόνι ἑαυτῆς(?) προσέταξεν, ὡς διαλέγεσθαι αὐτῆς, τὸ ὑπὸ τοῦ παρόπτου(?) ..., ὑπὸ ἀκκισμοῦ(?). Ἀκκιστί(?), ἐπιθυμεῖν μὴ κινεῖσθαι(?). Ἀκκώ(?), καθόλου μὲν τὰ μὴ κινούμενα(?). παρ' Ἡσιόδῳ δὲ ἐν ἔργοις καὶ ἡμέραις, ὁ τάφος. παρὰ ῥωμαίοις τάφον μὴ ἔχειν, τούτην ὀρύττειν(?). Ἀκκίζεσθαι, ἐπὶ τῶν θηλειῶν. ἀκκίζεται δὲ, τῆς ὕβρεως ἔχεται. ἀκκίζεται, γυναικίζεται, θρύπτεται, ἢ μωραίνει. σημαίνει καὶ τὸ θέλοντα μὲν, προσποιούμενον δὲ μὴ θέλειν. ἀκκισμοὶ γὰρ προσποιήσεις εἰσί, ἃ ὑποκρίσεις. καὶ ἀκκίζομαι, τὸ θρύπτομαι, καὶ τὸ μωραίνω, καὶ προσποιοῦμαι εὐήθειαν. εἴρηται δὲ ἀπὸ ἑταίρας(?) τινὸς γυναικὸς μωρᾶς, ἧς ὄνομα Ἀκκώ, ἣν οὕτως εὐήθη λέγουσιν, ὥστε τὸ τοῦ ἐσόπτρου εἴδωλον καθορωμένην ἀμφιέννυσθαι(?), ὥστε τὸ κάτοπτρον βλέπουσαν πρὸς τὴν παρ' αὐτῆς ἔμφασιν εἰς αὐτὴν γιγνομένην, ὡς ἑτέρᾳ προσλαλεῖν γυναικί. Ἀκωδώνιστον(?), ἀντὶ τοῦ ἀπείραστον, ἀβασάνιστον. κωδωνίσαι γὰρ, τὸ διασκοπῆσαι. μετῆκται δὲ, ἀπὸ τῶν περιπολούντων, καὶ κώδωσι διασκοπουμένων. εἰ ἐγρηγόρασιν οἱ ἐπὶ ταῖς φυλακαῖς τεταγμένοι. οἱ δὲ ὑπομνηματισταί, ἀπὸ τῶν ὀρνίθων φασὶ μετῆχθαι τὴν λέξιν. Ἀκωκή, ἡ ὀξύτης τοῦ δόρατος, τὸ ἄκρον τῆς λόγχης. Ἀργειτός(?). λόγχαι δὲ ὀξύτερον(?) πάχος ἐξαπάχεως(?). ἀκωκὴ δὲ οὐχ ὑπὲρ σιδηρίου, ἀλλὰ τὸ ἄκρον αὐτοῦ ... τοῦτο ἐστὶν. Ἄκλαυθιν(?), ... Ἀκλαίων(?), εὐκαταφρόνητον. Ἄκαλα(?), ἄλογα. Ἀκκίζεσθαι, γυναικίζεσθαι, προσποιεῖσθαι, μωραίνειν. Ἀκκίζεται, θρύπτεται. Ἀκκώ, γυνὴ ἐπὶ μωρίᾳ διαβαλλομένη, ἥν φασιν ἐσοπτριζομένην τῇ ἰδίᾳ εἰκόνι, ὡς ἑτέρᾳ διαλέγεσθαι. ὅθεν καὶ τὸ ἀκκίζεσθαι. ταύτην φασὶ καὶ σπόγγῳ πάταλον κροτεῖν(?). Ἀκκόρ(?), ἀσκὸς λάκωνες(?). Ἀκκισμὸς, προσποίησις. Ἀκκός, παράμωρος. λέγεται δὲ παιδίοις, ὡς μωροῖς. Ἀκλάδες(?) ἀγκάλους, τὰς ἀγκαλίδας(?) αἰολεῖς. Ἄκλαστος, ὁ μὴ κλασθησόμενος ἄμπελος. Ἀκλαυστί, χωρὶς κλαυθμοῦ. Ἄκλαυτον, οἱ μετ' Ὅμηρον ἄκλαυστον γράφουσιν. Ἀκλεής, ἡ μὲν κοινὴ αἰτιατικὴ τοῦ ὀνόματος, ἀκλεέα, καὶ ἀκλεᾶ, ὡς τὸ ὑγιέα καὶ ὑγιᾶ, εὐφυέα εὐφυᾶ. ἡ δὲ ἀττικὴ, ἀκλεᾶ, κατὰ τὸ ὑγιᾶ, καὶ εὐφυᾶ. τὸ μὲν τὸ ἀκλεῖα, συγκοπὴν ἔπαθεν ἐκ τοῦ ἀκλεέα. ὁμοίως γὰρ, δυσκλέα ὄργος(?) ... τὸ δὲ ἀκλεῖς, εὐθεῖά ἐστι πληθυντική, ἀντὶ τοῦ ἀκλεεῖς, ἀποβολῇ τοῦ ι, ὡς ἐν τῷ ἐπιτομῇ(?). Ἀκλεεῖς, οἱ ἄδοξοι. Ἀκλειῶς, ἀκλεῶς, ὡς μὴ δὲ φήμην τινὰ γενέσθαι. Μὴ μὰν ἀσπουδί γε, καὶ ἀκλειῶς ἀπολοίμην.

Ἀκλήιδας(?), ἀρρήτους(?). Ἀκλήισιν(?) ἀοιδοῖς, ἀντὶ τοῦ, ἔτι ὡς(?) φημίζουσι.

χα. [illegible], ἀκέρδεια [illegible] λέλογχα. Ἀκερδὴς χά‑ρις, ἡ μὴ [illegible], ὡς φαῦλον τὸ κέρδος. καὶ ἀκερ‑δὴς, βλαβερὸς, ἀνωφελής. Ἄκερως βοῦς, ὁ μὴ ἔχων κέρα‑τα. Ἀκερσεκόμην εἶπεν, καὶ [illegible], ταυτόν. [illegible] Ὅμηρος. καὶ ἀκερσεκό‑μης, ὁ μὴ κείρων τὴν κόμην. [illegible] (ὁ μέλλων αἰολικῶς, κέρσω) καὶ τὴν κόμην, γίνεται [illegible], [illegible] μικροῦ. [illegible], [illegible] τὸ ω μέγα εἰς ο μικρόν. [illegible]

Ἀκερσίλα, [illegible]. Ἀκεσθεὶς, [illegible]. Ἀκέ‑σασθαι, ἰάσασθαι. Ἀκέσασθαι, θεραπεῦσαι. ἀφ' οὗ, καὶ ἄκεσαι [illegible] [illegible]

[illegible]

ἀκέφαλον, διὰ σμικρότατα. ἢ ἀδιάστατον κατὰ μέγεθος, καὶ οὐδὲ ἀρχὴν ἔχον. ἔτι κυρίως, ἡ κεφαλὴ, κατὰ γλῶσσαν ἰωνικήν. ὅθεν καὶ κάρηνα. ἢ ἀκαρῆ, τὸ ὀλίγον, τὸ βραχὺ, τὸ λεπτότατον. Ἀκαρνόστροφος ἀγρίππου. ἐπὶ τῆς παίων [illegible]. λέγεσθαι γὰρ τὴν ἀγρίαν ἐλαίαν, ἄγριππον καλοῦσι. καὶ ἀκαρνόστροφος ἀλώπηξ καλεῖται, ἐπὶ τῆς μηδὲν γενναῖον τεκεῖν δυναμένων. λέγονται δὲ, τὰ εἰς τὰ ὄργανα φυτευόμενα. Ἀκαρὲς, σημαίνει τὴν ἐγκέφαλον, ἢ τῶν κεφαλῶν. καὶ γίνεται ἀπὸ τῆς κάρα, καὶ διὰ τὸν χαρακτῆρα ὀξύνεται, ὡς τὸ μιαρός. Ἄκαρι, δάφνη. Ἀκαρῆς, ἀκαρῆ. ἐν βραχείᾳ ὥρᾳ, ἐν ἀτόμῳ, ἐν ῥιπῇ ὀφθαλμοῦ, ἐν στιγμῇ. Ἀκαρὲς, βραχὺ, ὀξὺ, ὃ οὐκ οἷόν τε κείρειν. Ἀριστοφάνης. καὶ ἀκαρὲς, τὸ παρὰ τοῦ μικροῦ διαπεταλίδιον. Ἀκαρός, ὁ ἐλάχιστος. Ἀκαρίως, ὁ λοχαγὸς(?). Ἀκάρναξ, λάβραξ. Ἄκαθ, ἀντὶ τοῦ μικρόν, ἢ οὐδέν. οὕτως Ἀντίφων. Ἄκαρον, τυφλόν.

Ἄκαρπον, ἄγονον. Ἀκαρτέον, ὁ ἰσχυρός(?). Ἀκαρτέρητος, ἀνυπομόνητος. Ἄκας, τραγῳδίας ποιητής. Ἱστορία. Ἄκαστος, κύριον ὄνομα, Πελίου υἱὸς, ὃς ἔγημε Κρηθηΐδα. ἢ ὥς τινες, Ἱππολύτην. ὁ δὲ Πηλεὺς ἐρασθείσης αὐτῆς ὡς ἀπετύγχανε διεμένων(?), προλαβοῦσα τὸν Πηλέα τῷ ἀνδρὶ κατηγόρει, ὡς πειράσαντα αὐτῆς. ὁ δὲ ἐξαγαγὼν τὸν Πηλέα, ὡς ἐπὶ θήραν εἰς τὸ Πήλιον, κατέλιπεν αὐτὸν ἄοπλον ἐν τῷ Πηλίῳ, ἵνα ὑπὸ θηρίων διαφθαρῇ. ἐπιστὰς δὲ ὁ Ἑρμῆς, ἢ ὥς τινες, Χείρων, ἔδωκεν αὐτῷ Ἡφαιστότευκτον μάχαιραν, ᾗ τὰ ἐπιόντα τυγχάνων τῶν θηρίων ἀνεῖλε, καὶ εἰς τὴν πόλιν ἐπανελθὼν, τὴν Ἀκάστου γυναῖκα, καὶ αὐτὸν (ὥς φασί τινες) ἀνεῖλεν. καὶ ἄκαστος, ἡ σφένδαμνος. Ἀκαστόφρων, συνετός. Ἀκάστως, ἡσύχως, μαλακῶς, βραδέως. Ἀκασμένα, ἀνεπτισμένα(?), ἡρμοσμένα.

Ἀκατάβλητον, τὸ ἀήττητον, τὸ μηδενὶ καταβαλλόμενον. Ἀριστοφάνης. Ἀκαταγώνιστον, ἀήττητον. Ἀκαταπλήκτως, ἀνεκπλήκτως. Ἀκαταιτίατον, ἀνέγκλητον, ἀκατηγόρητον.

Ἀκατάπαυστος, ὁ ἄπαυστος(?). Ἀκατάληκτόν ἐστι μέτρον, ὅπερ ἔχει τοὺς πόδας ἀπηρτισμένους. οἷον, τὸ ἰοὺ ἰοὺ, ἢ τὸ ἰὼ ἰώ. ἢ τὸ, φεῦ φεῦ ἰώ. ταῦτα ποτὲ μὲν [illegible] ἐστὶν ἀκατάληκτα, διὰ τὸ ἀπηρτισμένους ἔχειν τοὺς πόδας, καὶ μὴ ἐλλείπειν, ὡς τὰ εἰρημένα. Ἀκαταλύκτως, ἀκαταπαύστως. Ἀκατάλληλον, ἀνάρμοστον. Ἀκαταλλήλως, ἀναρμοδίως. Ἀκαταμάχητος, ἀκαταγώνιστος. Ἀκατάσειστον, βέβαιον, ἑδραῖον, ἀσάλευτον.

Ἀκατασκεύαστον, ἀφιλοκάλλευτον. Ἀκατέργα(?), ὄνομα πόλεως. Ἀκατέργαστος, ἄμορφος, ἀδιατύπωτον. Ἀκατάπαυστος(?), ἀκοίμητος. Ἀκάτια, ὑποδημάτων εἶδος. ἢ τὰ μεγάλα ἄρμενα. Ἀκατονόμαστος, ὁ μὴ ὀνομασμένος. Ἄκατος, τὸ πλοῖον. παρὰ τὸ ἄγω, ἄξω, ἦχα, ἦγμαι, ἦκται, ἀκτός. καὶ πλεονασμῷ τοῦ α, ἄκατος. ἢ ἀπὸ τῆς ἀκτῆς, γίνεται ἄκατος, ἡ ἀπ᾽ ἀκτῆς εἰς ἀκτὴν περιφερομένη. ὡς καὶ πορθμὶς λέγεται, ἡ μὴ πελαγοδρομοῦσα. λέγεται δὲ καὶ ἐπακτὶς, καὶ πορθμὶς, καὶ κέρκουρος(?). καὶ ἀκάτιον, ὑποκοριστικῶς, τὸ μικρὸν πλοιάριον. Ἀκαχίζεται, λυπεῖται. Ἀκαχεῖν, ἐλύπουν. καὶ ἀκαχίζω, λυπῶ, ἐν ἄχει γίνου. γίνεται δὲ τὸ ἀκαχεῖν, ἀπὸ τοῦ ἀκαχῶ, ἀκαχήσω, ἠκάχηκα, ἠκάχημαι, ἠκαχήμην, καὶ ἰωνικῶς ἀκαχέατο, καὶ πλεονασμῷ τοῦ ι, ἀκαχείατο. καὶ ἀκαχῆσθαι, τὸ ἀνιᾶσθαι. Ἰστέον, ὡς οὐ μόνον ἀκάχω ῥῆμα βαρύτονον, ἀλλὰ καὶ ἀκαχῶ, οὗ παθητικὸς ὑπερσυντέλικος, ἀκαχόμην. τὸ ῥῆμα δὲ καὶ θεματικὸν, ἀκαχήσω. καὶ κατὰ διάλυσιν ἰωνικὴν, ἀκαχέατο, καὶ ἐπενθέσει τοῦ ι, ἀκαχείατο. Ἀκαχόμενος, ἀνιᾶσθαι. Ἀκαχήμενος, λυπούμενος. οὐκ ἔστι παρακείμενος, ἐπεὶ ὤφειλε προπαροξύνεσθαι, ὡς πεποιημένος. ἀλλ᾽ ἔστιν ἀκαχῶ, ἀκάχημι. ὁ παθητικὸς ἐνεστὼς, ἀκάχημαι. οἱ δὲ Αἰολεῖς τῶν παραληγόντων [illegible] σι. καὶ ἡ μετοχὴ, ὁ ἀκαχήμενος. Ἀκαχίζεο, ἔχθου, λυποῦ. ἀπὸ τοῦ ἀχῶ ἀχίζω, καὶ ἀκαχίζω, καὶ ἀκαχίζομαι, τὸ προστακτικὸν ἀκαχίζου, καὶ ἰωνικῶς ἀκαχίζεο. Ἀκαχίζω, ἀπὸ τοῦ ἄχος ἀχῶ ἀχίζω, καὶ ἀκαχίζω, παρὰ τὴν ἄγαν, ὃ σημαίνει τὴν ἔκπληξιν. ἡ γὰρ ἔκπληξις, ἀφωνίαν ποιεῖ. κατὰ τροπὴν τοῦ γ εἰς κ. Ἀκάχμενος, συτάμενος, ἐληλάμενος. Σημείωσαι, ὅτι πᾶσα μετοχὴ τοῦ παρακειμένου παροξύνεται, τὴν ἄλλην πᾶσαν προπαροξυνομένην. οἷον τετυμμένος, τυφθησόμενος, τυψάμενος. δεῖ δὲ προσθεῖναι τῷ κανόνι τὸ, εἰ μὴ ἀπὸ πάθους εἴη, ὡς ἀκάχμενος ἀντὶ τοῦ ἀκαχημένος. καὶ συτάμενος, ἀντὶ τοῦ συτασμένος. καὶ ἐληλάμενος, ἀντὶ τοῦ ἐληλασμένος. ταῦτα ὁ Ἡρωδιανός. οὔ φασι κατὰ πάθος γίνεσθαι προπαροξύτονα ἀπὸ τοῦ συτασμένος καὶ ἐληλασμένος, ἀλλὰ ἀπὸ τῶν εἰς μι, τοῦ, τι σύτημι, καὶ ἐλήλημι. καὶ ἔστιν ὅμοιον, ὡς τὸ ἵσημι, ἴσαμαι, ἰσάμενος. Ἄλλως.

Ἀκαχμένος, ἠκονημένος. ἀπὸ τοῦ ἀκάζω τὸ ἀκονῶ. ὁ μέλλων, ἀκάσω, ἤκακα, ἤκασμαι, ἠκασμένος. καὶ τροπῇ τοῦ σ εἰς χ, ἠκαχμένος, καὶ ἀκαχμένος. Ἰστέον δὲ μόνη ἡ τοῦ παρακειμένου μετοχὴ ἀεὶ παροξύνεται· τὴν ἄλλην πᾶσαν προπαροξυνομένην. οἷον τυπτόμενος, τυφθησόμενος. δεῖ προσθεῖναι χωρὶς, εἰ μὴ πάθωσιν. ἐὰν γὰρ πάθωσιν αἱ εἰς μένος μετοχαὶ τοῦ παρακειμένου, μὴ οὖσαι ὑπὲρ δύο συλλαβὰς, ἀναβιβάζουσι τὸν τόνον. τουτέστι, προπαροξύνονται. οἷον ἥδω, ἡσμένος, καὶ ἄσμενος. καὶ πάλιν δεδεγμένος, καὶ δέγμενος. πρόσκειται, μὴ οὖσαι ὑπὲρ τρεῖς συλλαβάς. ἐπειδὴ ἐὰν ὦσιν ὑπὲρ τρεῖς συλλαβὰς, καὶ πάθωσι, τὸν αὐτὸν τόνον φυλάττουσιν. οἷον ἀκάχω, ἀκαχήσω, ἠκάχηκα, ἠκάχημαι, ἠκαχημένος. τὸ γὰρ συτάμενος καὶ ἐληλάμενος, ὁ Ἡρωδιανὸς οὐ δοξάζει κατὰ πάθος, ἀπὸ τοῦ συτασμένος καὶ ἐληλασμένος. ἐπειδὴ ὡς ὄντα ὑπὲρ τρεῖς συλλαβὰς ὤφειλε τὸν αὐτὸν τόνον φυλάττειν. ἀλλ᾽ ἀπὸ τῶν εἰς μι λέγονται αὐτὰ, ἀπὸ τοῦ σύτημι, καὶ ἐλήλαμαι. ἵνα ὦσιν ἐνεστῶτος καὶ παρατατικοί, ὡς τὸ ἵσημι ἴσαμαι, καὶ ἰσάμενος. Ἀκαχεῖν, λυπεῖν. ἀπὸ τοῦ ἀκαχῶ. τοῦτο παρὰ τὸ ἄχος, ἀχῶ, καὶ ἀκαχῶ. Ἀκάμψις(?), ὄνομα πόλεως. Ἀκενά, κέντρον βοῶν, ἢ ἄροτρον. Ἀκένως, ἀκοινώνητος(?). Ἀκεομένη, ῥαπτομένη. ἢ θεραπεύουσα, καὶ ἰωμένη. Ἀπολλώνιος. Ἀκειόμενον, σημαίνει δύο. μεταφορικῶς τὸ ἰώμενον, καὶ τὸ ἐπισκευάζοντα, ὡς ἐπὶ τοῦ νῆας ἀκειόμενον, καὶ ἀκειόμενον τὸ ῥάπτοντα. τὸ δὲ ἀκειόμενον νῦν, οὐκ ἐπὶ ποταμῶν λέγεται, ἀλλ᾽ ἀντὶ τοῦ φιλοκαλοῦντα, ἀναρράπτοντα. ὅθεν καὶ ἀκέστριαι, αἱ ῥάπτριαι, ἢ αἱ ἀνυφάντριαι. Ἄκεσον, τὸ φάρμακον, καὶ ἴαμα(?). Ἀκερσεκόμης, ὁ τὴν κόμην μὴ κειρόμενος. κείρω γὰρ, τὸ κόπτω. Ἀκεῖσθαι, ἐπὶ τῶν ἐνυφαινομένων ἱματίων λέγεται. ὅθεν καὶ γυναῖκες ἀκέστριαι. καὶ ἀκεῖσθαι τὸ θεραπεύειν, ἀφ᾽ οὗ καὶ τὸ ἄκεσαι φρένας ἐσθλῶν. δοκεῖ δὲ ἡ λέξις γίνεσθαι παρὰ τὸ ἀκὴν, τουτέστιν ἡσυχῆς. ἐπειδὴ πᾶσα σώματος θεραπεία, ἡσυχίαν περιποιεῖται ταράχου τινός. ἐκ τοῦ τοιούτου δὲ ῥήματος φρονῶ(?), ἀκέστην καλοῦσι τὸν ἰατρὸν, ὥς φασιν οἱ παλαιοί. ὅτι δὲ ἀκεῖσθαι, καὶ τὸ ῥάπτειν ἐλέγετο. εἴρηται δὲ ἡ λέξις καὶ ἐπὶ νόσων περιγινομένους(?). καὶ ἀκεῖσθαι, τὸ ἰᾶσθαι, καὶ παραιτεῖσθαι.

Ἀκεσαῖς(?), ἰχθύσι, ὑπὸ Ἀμπρακιωτῶν. Ἀκεσταὶ(?), οἱ μὲν τὰ ἐν τοῖς φακοῖς στρογγύλα. οἱ δὲ σπέρμα οὐχ ἑψόμενον, οὐδὲ διαπρυόμενον(?). Ἀκίκυς(?), ἄκικυς(?). Ἀκίδαθα(?), ἄτοπα καὶ ἐνθετικά(?), σημεῖον ὅταν μὴ ᾖ κίδαθος(?). Ἀκίδωτον(?), οὐ βεβαίως ἀσφαλῶς. οἱ δὲ τὸν σκληρὸν σίδηρον. Ἀκιν, ἄτινα(?).

Ἀκίνητον λίμνας(?), ἀμάστικτον. Πίνδαρος. σὺν τῷ λίμνας ἀκίνητον. Ἀκιόμενα, θεραπευόμενα. καὶ ἀκίουν, ἀπὸ τοῦ ἀκῶ ἀκοῦμαι(?), τὸ θεραπεύω. Ἀκίρ(?), ἡσυχαστός(?). Ἄκιρα, ἔνδυμά τι πολυτελές. Ἀκίρακον(?), ἄκρατον, ὁλόκληρον. σημαίνει δὲ καὶ τὴν [illegible] κέρας, κατὰ τροπὴν τοῦ α εἰς ι. καὶ τὴν εἰλικρινῆ, ὑγιῆ, ἀπὸ τοῦ κέρας, κέρασος(?). καὶ μετὰ τοῦ στερητικοῦ ἄλφα ἀκίρασος(?). ὁ ἀόργητος καὶ ἀβλαβής. κυρίως, ὁ μὴ θυμούμενος.

Ἀκίρολον(?), ἡ κακηγορία, ᾗ ὁ βλάβος ἢ τὰς κακηγόρους πρὸ-

χα.

τῇ ἑκάρου. οἱ δὲ ἐπὶ κλοπευομένοις καὶ αἰγίδος. καὶ αἴθυια, ὄγχνο, ὕφεσις, ἐκπεσεῖν, ἐκρημάτισα.

ΤΟ Α ΜΕΤΑ ΤΟΥ Κ.

Ἀκαδημία, γυμνάσιον. ἀπὸ Ἀκαδήμου τινὸς, καταλείψαντος τὴν κτῆσιν ἑαυτοῦ πρὸς ἐπισκευὴν τοῦ τόπου. περὶ αὐτὴν δὲ ἦσαν, αἱ ὄντως ἱεραὶ τῆς θεοῦ, αἱ καλοῦνται μορίαι. ἐξ ὧν τὸ ἔλαιον τῶν παναθηναίων. τρία δὲ ὑπῆρχε γυμνάσια, λύκειον, κυνόσαργες, ἀκαδημία. ἐκλήθη δὲ ἀπὸ τοῦ κατασκευάσαντος αὐτὸ ἀκαδήμου. καὶ οὐδετέρως ἀκαδήμειον. λέγεται δὲ ἀκαδημία, καὶ ἡ τῶν φίλων διατριβὴ, ἐν ᾗ διέτριβε Πλάτων. ἀπὸ ἑκαδήμου τινὸς ἥρωος, ὀνομασθεῖσα πρότερον διὰ τοῦ ε, ἑκαδημία. Ἀριστοφάνης νεφέλαις. καὶ ἀκαδημία, λουτρὸν, ἡ πόλις. λέγεται δὲ καὶ γυμνάσιον ἀθήνησιν, ἀπὸ ἀκαδήμου τοῦ ἀναθέντος. καὶ τόπος, ἤγουν ὁ κεραμεικὸς, οὕτως ἐκαλεῖτο.

Ἀκαὶ, τὸ ὀξὺ καὶ ἄκρον τῆς φάλαγγος, ἡ μάχη. Ἀκαλῦσαι, λουσθῆναι. Ἀκάρεσθαι, ἀντέρεσθαι. Ἀκανθὶ, οἱ ἀπλούστεροι, ὡς ὁ Ἀπόστολος, τὰς καρδίας τῶν ἀκάκων. Ἀκακία, ἡ ἁπλότης, ἡ ἀγαθοσύνη, καὶ βοτάνη τις. Ἀκαθαρσία, τὰ ἐκ φυσικῆς ἀνάγκης συμβαίνοντα. Ἀκαθαίρετον, ἄκοσμον, ἄκοσμον, ἀπόβλητον. Ἀκαθὸν, τὸ ἀγαθόν. Ἀκαθαρτὸν, μιαρόν. Ἀχαιοὺς οἱ δὲ Ἀπόλλωνι. Ἀκαθαίρετον, τὸ μὴ καθαιρούμενον, ἢ ἀφανιζόμενον. Ἀκάθεκτος, ἀκατάσχετος. ἔν γὰρ ἀκάθεκτος ὁρμὴ περὶ αὐτῶν, διὰ τὰς τῶν περσῶν ἐπάρσεις. Ἀκάθεσθαι, ὀνίασθαι, αἴρεσθαι. οἱ δὲ, ἀκάρεσθαι. Ἀκάθαρτος, ἁμαρτωλικός. ἀκάθαρτος τὰς ψυχὰς, ὅ γε κακός. καθαρὸς δὲ, ὁ ἐναντίος. Ἀκαθαίρετος, ὁ ἀκατάβλητος, πύργος ἀκαθαίρετος. Ἀκαίνετος, ὁ ἐρημός. Ἀκακία, ἡ ἀγαθοσύνη, καὶ ἰατρικὴ βοτάνη. Ἀκάκιος, ῥήτωρ Ἀντιοχεὺς, ἐπὶ ἰουλιανοῦ, καὶ λιβανίου τοῦ σοφιστοῦ. Ἀκάκητος ὁ ἑρμῆς ὁ στερίσκων τὰς λύπας. ἢ ἀπὸ τῆς ἐν ἀρκαδίᾳ ὄρους ἀκακησίου. ἢ πανοῦργος. οἱ δὲ, ἀγαθόν. οἱ δὲ πρᾶον, καὶ ἐπιμελικόν. Ἀκακαλλὶς, ἄνθος ναρκίσσου. κρητικόν. Ἀκάματος, ὁ μηδενὸς κακοῦ ἄξιος. ἀντὶ τοῦ ἀκακώτως. Ἀκάκαισον, ἀμαμηξίς. Ἀκακέμφατος, ὁ κακῆς φήμης ἀπηλλαγμένος. Ἀκακίγητος, ὁ μὴ λυπούμενος. Ἀκακίας, σωτῆρος. Ἀκακησί, σωτῆρι. Ἀκάκιστος, ἄλυπος.

Ἄκαιρος. ὁ μὴ ἔχων καιρόν. καὶ ἄκαιρος εὔνοια, οὐδὲν ἔχθρας διαφέρει. ἐπεὶ δὲ τὸν φασὶ ταύτην εἰπεῖν πρὸς φαίδραν, φάσκουσαν φιλεῖν τε καὶ στέργειν αὐτήν. ἀκίρητος δὲ, ἄκακος, ἐλαθίασος, ἡ ἀσφαλής. Ἀκαιροβόαν, ὁ λάλος. Ἀκαλανθὶς, ἀκανθυλλὶς. παρὰ λάκωσιν. Ἀκαλαρρόης, ἡ καλλίρροος. Ἄκαλα, ἄφωνα, ἥσυχα. Ἀκαλλὶς, ἄμορφον.

Ἀκαλὸν, ἥσυχον, πρᾶον, μαλακόν. Ἀκαλυφὴ καὶ ἀκάλυφον, ἄστεγον, ὕπαιθρον. Ἀκαλὴ, ῥάβδος θαλασσία. Ἀκαλύπτειν, κάθετον παρὰ Ἀπολλωνίῳ. Ἄκαινα, μέτρον Δωδεκάπουν, θεσσαλῶν εὕρεμα, ἢ ῥάβδος ποιμενικὴ, πελάγεσιν εὑρημένη. περὶ ἧς Καλλίμαχός φησιν, ἀμφότερόν τε βοῶν, καὶ μέτρον ἀκαίνας. Ἀκαλήφαι, εἶδος βοτάνης. παρὰ δὲ τοῖς πολλοῖς κνίδαι καλοῦνται. Ἀριστοφάνης ἐμνημόνευσε τῶν ἀκαληφῶν, διὰ τὴν δριμύτητα (δριμεῖα γὰρ ἡ βοτάνη) καὶ τὰς θιγόντας κνᾶσθαι ποιεῖ. καὶ ἀκαλήφη εἶδος ἰχθύος, ὡς Ἀριστοτέλης. ἐν μὲν χειμῶνι δὲ ὁ λάλιμοι εἰσίν. ἐν δὲ τῷ θέρει, ἀπόλλυνται. ἡ λάχανόν ἐστιν, ἄγριον. καλεῖται δὲ καὶ θαλασσία ἀκαλήφη, ἡ προσελθοῦσα τῷ χρωτὶ, κνισμὸν ποιεῖ. ἐοίκασι δὲ τῇ ὥρᾳ τῇ πρὸ τοῦ ἔαρος κνᾶσθαι.

Ἄλλως. Ἀκαλήφη, κνίδη, καὶ ἡ χερσαία, καὶ ἡ θαλαττία, ὥς φησι Φερεκράτης, βουλοίμην γὰρ ἂν ἀκαλήφας, ... μόνον ... . ἢ ἀκαλήφας λέγουσι τὴν ... προσφέρονται ... ἀπὸ μεταφορᾶς τῆς ... καὶ

λύφων λέγεσθαι φασὶ Κράτης, φοινίκαις. ἔστι δὲ καὶ θαλάττιος ἰχθὺς οὕτω λεγόμενος, ἀκαλήφη. Ἀκαλὸς, ἥσυχος, ἐκ τοῦ ἦκα, τὸ ἠρέμα, καὶ ἡσύχως. ἐκ τούτου γίνεται παράγωγον, ἤκαλος. ὡς σίμος σίμαλος. καὶ κατὰ συστολὴν, ἀκαλός. Ἀκαλανθὶς, εἶδος ὀρνέου. τινὲς δὲ λέγουσιν ὄνομα κύριον ἐπισήμου. Ἀκαλαρρείτης, ὁ ἡσύχως ῥέων ποταμός. παρὰ τὸ ἄκαλον, καὶ ἤκαλον, τὸ ἥσυχον. τὸ παρὰ τὸ ῥέω διὰ τῆς διφθόγγου γράφεται. Ἀκαλλιέρητον θῦμα, ἀπόσμητον. Ἀκάμαντα σπερχειὸν, παρ' Ὁμήρῳ ... ἀντὶ τοῦ ἀένναον. καὶ ὡς τίνες εἶπον, ἀκάμαντον. καθὰ καὶ Διονύσιος, ἀκαμάτου ῥόον φησὶν ὠκεανοῖο. καὶ ἄλλως δὲ ἀκάμαντα, διὰ τὸ ὀξὺ καὶ περισπασμὸς τῆς κατ' αὐτὴν γνώμης. μυθικῶς μέν τι διὰ τὸ ... καὶ περὶ πράξεις ἀκμαῖον καὶ ἐνεργητικόν. Ἀκάμηλος, ἡ κάμηλος. παρὰ τὸ μὴ κάμνειν. ἢ ἀκάματος. πολεμοχόον εἰς τὸν ξῦον. οὕτω Μεθόδιος καὶ ... καὶ ... ἀκάμηλον, τὴν αὐτήν. Ἀκαμαντὶς, καὶ ἀκάμας, μία τῶν δέκα φυλῶν. ἀπὸ ἀκάμαντος τοῦ θησέως. Ἀκάμαν, ἀκοπίαστος, ὁ μὴ κάμνων. Ἀκάματον, πῦρ καὶ ἄφθιτον, ἄσβεστον. Ἀκάμηλος, ἀσπὶς γένος, ἡ μηλη, ἡ μασσῖλος.

Ἀκαμάντιος, ἡ κύων. παρὰ τὸ κινοῦσαν ἢ ἰδίας διαιτῶσα. Μεθόδιος. Ἀκαμπὴς, σκληρός. Ἀκαμπτος, ἀκατάκλαστος, ἀκαμπής. Ἀκαμπτεὶς, ὁ εὐθύθρομος. Ἀκάμπιος δρόμος, ὁ μακρὸς, καὶ ὁ δι' εὐθείας περίπατος. παρὰ τὸ καμπὴν μὴ ἔχειν. Ἀκάματον πῦρ λέγεται, οὐ τὸ ἀεὶ δὲ ἀνάπτομενον, ἀλλὰ τὸ τῇ οἰκείᾳ φύσει τοιοῦτον. εἰ γὰρ καὶ κάμνει τῷ σβέννυσθαι, ἀλλ' ὅτε πῦρ ἐστὶν, ἀκάματον. Ἀκάματον, ἀκοπίαστον. παρὰ τὸ κάμνω. ἔστι δὲ καὶ ἀκάματον παρὰ τὸ κάμω κάματος, τοῦ ἀκάματος. Ἀκάματα, ἀντὶ τοῦ ἀκαμάτως, καὶ ἀδιαλείπτως, ἢ οὐ κεκμηκότως. Ἄκαπνος, ἄχολος. καπνίας δὲ, χόλος ... .

Ἄκανθα, τὸ φυτὸν, καὶ ἡ ῥάχις τοῦ κῆτους. Τὸ δὲ θηρίον ὁρμῇ βιαίᾳ προσπεσὸν, διακόπτει τῇ ἀκάνθῃ, ἢ διασμοῖς. καὶ ἐπὶ τῶν ἀξίων καὶ ἀμοδόντων παροιμία, ἀκάνθινος τέττιξ. καὶ ἄκανθα, ἡ ἁμαρτία. ὡς τὸ, ἐν τῷ ἐμπαγῆναί μοι ἄκανθαν. ὡς ἄχνησεν βλάσημα, καὶ ὡς κέντρον περονικός. καὶ ἄκανθα λευκὴ, ἢ μελάμφυλλος. Ἀκανθὶς, ἡ ἀκανθυλλὶς, στρουθίον ἐν ταῖς ἀκάνθαις καθήμενον. καὶ ἀκάνθιος, εἶδος τέττιγος. οἱ δὲ τὸν ἄφωνον. Ἀκανὸς, κανθάριος εἶδος. ἔστι δὲ καὶ ἡ ῥάχις τοῦ σφονδύλου τοῦ ἰχθύος. Σιμωνίδης τρισσαῖς ἀκάνθαις ξυλίνοις. Ἀκάθαια, ἀκμαί, ῥαλχοί.

Ἀκανθὶς, ἀκανθυλλὶς. Ἀκάνθιον, ῥάμνος καὶ ἰχῖνος.

Ἀκανθίας, οὐκ εἶδος τέττιγος, ἀλλ' ἐπίθετον τέττιγος. ἀπὸ τοῦ ἠχεῖν ἐν ἀκάνθαις. ὥσπερ καὶ ὁ ἐχίτης, οὐκ εἶδος τέττιγος, ἀλλ' ἐπίθετον ἀπὸ τοῦ ἠχεῖν. Ἀκάνιον, ἀκάνθιον. Ἄκανθον, ἀκανθον. Ἀκανθοτρῶτος, ὁ ἐχῖνος. Ἄκανος, περίφραγμα ἐσπασμένον, καὶ ξύλον, φυτὸν, καὶ πλατύν. Ἀκαπήλευτον, ἄδολον, καθαρόν, ἀρμαλεύργητον, ἀνόθευτον. Ἄκαρα, τὰ σκέλη. κρητικά. καὶ ἀκαρὴς, τῆς ἀκαρῆ. Ἀκαρῆ, ἐν βραχεῖ, ταχέως.

Ἀκαρίδιος, ὁ βραχύτατος. ἡ ἀκαρίδιος ὁ ἀνθρώπινος βίος, καὶ μετ' ὀλίγον πάντα ἐστὶ ἐξετάσομεν. Ἀκαρῆ, ποιεῖται παρὰ τὸ ἄτμητον τοῦ χρόνου. ὡς καὶ τὸ κείρομαι τρίχας. ἀκαρὴς τὸ ἄτμητον. ἄλλως. τῷ ἐλαχίστῳ ὃ οὐχ οἷόν τε διακόψαι, διὰ τὸ βραχύτατον τοῦ χρόνου, ποιεῖται δὲ ἀπὸ τοῦ μικρῶν τριχῶν τῷ διὰ βραχύτατα μὴ διατεμνόμενον κείρεσθαι. ἄλλως. ἐπίρρημα τὸ ἀκαρὲς, ἀφ' οὗ τὸ ἀκαρὴς ἐπιρρηματικὸν ὄνομα. Ἀκαρῆ, ἐπίρρημα, ἀντὶ τοῦ βραχὺ, καὶ οἰκτρὸν, καὶ τοῦτ' ἐρίου Gr. ἀπὸ μεταφορᾶς τῶν τὰ ὦτα ἀλγούντων, καὶ δι' ἐρίου ἐπισταζομένων ἔλαιον καταβρεχόντων. ἐκ γὰρ τοῦ τριβώνου φερόμενοι, καὶ ὡς κατασκευάσαντες ἱματίου θεραπεύοντες, ὀλίγον διὰ πολλοῦ χρόνου μόλις συνάγουσι τὴν πλήρη κρόκην τοῦ ἱματίου. ὥσπερ ἄλαφον, ἢ εἰκὸν, ἀπὸ τοῦ σφόδρα ἀθετοῦντων. οἱ γὰρ κατὰ μικρὸν βουλόμενοι βάλλειν, ἔριον ἐνσταλάζουσιν. Ἀριστοφάνης. Ἀκαρίον, τὸ μὴ δυνάμενον κείρεσθαι. ἢ τὸ οἷον ἀκίρα-

ὅτην, παρὰ τὸ αἰτῶ ῥῆμα. καὶ αἰτωλοὶ τὸ ἔθνος, ἀπὸ αἰτωλοῦ κα-λοῦνται ἡρῶ ἐνδυμίωνος. ὃς ἐκ πισσῶν πόλεως τῆς ἐν πελοποννήσῳ ὑπὸ σαλμωνέως, συνώκισε τὴν ἀπ' αὐτοῦ κληθεῖσαν αἰτωλίαν. πρό-τερον δέ φασιν, ὑαντας ἐκαλοῦντο. ἦν δέ φασι καὶ πελοποννήσου πόλις αἰτωλία. ἐρῶνται δὲ ὁ αἰτωλὸς, ὅτι τὸ παλαιωλὸς καὶ ἀμαρ-τωλὸς, καὶ ὅλως τὰ ἔχοντα τὸ τ πρὸ τοῦ ω ὀξυτονά. διὸ τὸ παυ-σωλὸς προπαροξύνεται, ὡς μὴ ἔχον τὸ τ. ἐπορίσται δὲ, ὅτι εὐδοκί-μουν οἱ αἰτωλοὶ περὶ σφενδόνην μακροβολωτέραν διὰ τὸ ἐν γυμνάσιον εἶναι ἐκείνῃ, ἐκ τόξου ἐκβολίας. τὸ αἰτωλὸς ὄνομα, ἐχρησίμευσε τῇ κωμῳδικῇ παροιμίᾳ τῇ λεγούσῃ. τὸ μὲν χεὶρ ἐν αἰτωλοῖς, ὁ δὲ νοῦς ἐν κλωπιδῶν. ἤγουν ὀλίγα, καὶ δωροδο-κεῖται καὶ ῥᾳδιουργεῖ, τὴν χεῖρα μὲν αἰτῶν, τῷ νῷ δὲ κλέπ-των. Αἰτῶν, ὡς ἀεὶ ὕμνων. καὶ αἰτῶν, ζητῶν, παρακαλῶν.

Αἴφνης, ἐξαίφνης. Αἰφνίδιον, τὸ ἐξαίφνης, παρὰ τὸ ἀφα-νὲς ἀφανίδιον, καὶ ἐν συγκοπῇ, αἰφνίδιον. Αἰ χάρισι γυμνοί, διὰ ἀφελῶς καὶ φανερῶς χαρίζεσθαι. ἢ ὅτι οἱ ἀχάριστοι, τὴν ἑαυ-τῶν κόσμον περιαιροῦνται. Αἰχθῆναι, ὁρμηθῆναι. Αἰχθῆ-ναι, ὁρμῆσαι. Δωρικῶς. Αἰχμαὶ, πόλεμοι. Αἰχμάζω, τὸ ἀ-κοντίζω, καὶ τὸ ὁπλίζω. αἰχμητὴς, ὁ τῇ αἰχμῇ χρώμενος. Αἰ-χμάσουσι, δορατομαχήσουσιν. Αἰχμαλωτεύεται, προνομεύ-εται. Αἰχμάλωτον ποιῶ, καὶ αἰχμάλωτος γίνομαι. αἰχμαλω-τίζω δὲ, καὶ αἰχμαλωτίζομαι, καὶ πάντα οἱ ἀπὸ τούτων χρόνοι πα-ρὰ τοῖς ἀττικοῖς ἀδόκιμοι. Αἰχμαλωτίζοντες, ἀντὶ τοῦ αἰ-χμαλώτους ἐκ τῆς τοῦ πολέμου τερπνῆς λαμβάνοντες, ἀπὸ Λουκίου εἰς ἰλεκτρ... ὁ ἀπόστολος, αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ. Αἰχμάλωτος, ὁ αἰχμῇ λη-φθεὶς, ὁ ἐκ πολέμου λαμβανόμενος. γίνεται παρὰ τὴν αἰχμὴν τὸ ξίφος, καὶ τὸ ἁλῶναι, ὃ σημαίνει τὸ πορθῆσαι. οὕτω μεθόδιος. ὅς καὶ αἰχμάλωτος λέγεται. Σοφοκλῆς αἰχμαλωτίδα. Αἰ-χμὰς, αἰχμάσουσι. ποιῶσι ἀττικοί. ὡς τὸ δαίνυ δαῖτα καὶ ἱ-δρῶ, ὃν ἴδρωσα. καὶ ἁπλῶς ἡ μνήμη τῶν συγκειμένων εἰς τὰ ῥημάτων, καὶ τῶν ἐκεῖθεν γενομένων ὀνομάτων. ἴσως δὲ καὶ ἐπα-ράχρωσι τοῦτο. ὥσπερ καὶ τὸ γέρας γηρέντων. αὐτὸ δὲ καὶ εἰς ἐτυμολογίας ἐμπίπτει χρῆσθαι. παρὰ τὸ γέρας ..., οἱ γέροντες.

Αἰχμάζεις, ἀκοντίζεις, πολεμικῶς. Αἰχμὴ κυρίως, μέρος ἔγχους τὸ πλατύτερον. δῆλον δὲ ὅτι παντὸς ὡς ἔγχος αἰχμὴ, καὶ ἀοριστὲς ἀκμή. αἰχμὴ δὲ παρὰ τὸ αἷμα χέειν τῇ ὀξύτητι. ὅθεν ἡ τραγῳδία, βλημένων αἰχμῶν βέλος εἴσω, καὶ ὀξύτητα τῆς σιδή-ρου, δι' οὗ οἱ λίθινοι πιτύσονται. κυρίως ἡ ἐπιδορατίς, ἤγουν τὸ ξίφος τοῦ δόρατος, παρὰ τὸ αἷμα χέειν, μετατεθέντος τοῦ κ. ἀπὸ δὲ αὐτοῦ ὡς χρησιμωτάτου μέρους, καὶ ἅπαν τὸ δόρυ αἰχμὴ συνήθως καλεῖται. ὡς δηλοῖ τὸ, ἀπὸ γαμβρεῖ δὲ οἱ αἰχμῇ ἀκωκὶ-δι ἐν πραπίδεσσιν. Αἰχμηταὶ ἁπλῶς, οἱ στρατιῶται. καὶ καλοῦν-ται οὗτοι ἀπὸ ἑνὸς μέρους τῆς ὅπλων. ἤτοι τῆς αἰχμῆς, ὥσπερ ἀπὸ τῶν ἀσπίδων, ὑπασπισταί, οἱ καθόλου εἶπεν ὁπλῖται. καὶ ἀπὸ θώ-ρακος θωρηκταί, καὶ ἀπὸ ἀσπίδων ἀσπιδιῶται, καὶ ἀσπισταί. καὶ ἀπὸ κόρυθος, ἤγουν περικεφαλαίας, κορυθαίολοι, καὶ κορυ-θαίολοι. κορυσταὶ προσηνεῖεν τῶν καὶ τὸ ἵππων, ἱπποκορυσταὶ δορυ-κλειτοί. ὁπλῖται μέν τοι μεθ' Ὅμηρον, ἀπὸ γενικοῦ ὀνόματος τῆς ὅ-πλων ἐκάλεσαν. ὅθεν καὶ ὁπλότεροι οἱ νέοι, καὶ ὑπέροπλοι οἱ αὐθάδεις. Αἰχμητὴς, ὁ πολεμικός. ἀπὸ τοῦ αἰχμάζω, ὁ μέλ-λων αἰχμάσω. αἰχμητὴς, καὶ τροπῇ τοῦ α εἰς η, αἰχμη-τής. εἰ γὰρ ἦν παρώνυμον ἀπὸ τοῦ αἰχμὴ, ὤφειλε βαρύνε-σθαι. ὥσπερ ὑπηνήτης, καὶ κορύνη καὶ κορυνήτης. Κα-νών. τὰ διὰ τοῦ ἀπὸ τῆς δευτέρας συζυγίας τῶν περισπωμένων γινόμενα ὀνόματα ὑπὲρ δύο συλλαβὰς, ὀξύνεται. οἷον, ὁρατὸς, θεα-τὸς, ἀγαπητὸς, ἀπαντητὸς. τὸ δὲ πεδήτης καὶ κομήτης, καὶ ὀλή-της, οὐ παρὰ ῥῆμα, ἀλλὰ παρὰ τὸ πέδιλον, καὶ κόμη, καὶ ὄλη. τὰ δὲ δισύλλαβα βαρύνει ὀνόματα, δῆλον ὅτι ἀπὸ περισπωμέ-νων παραγόμενα τῆς δευτέρας συζυγίας ἐχόμενα, καὶ βαρύνον-ται. οἷον, κτῶ, κτήτης, φιλοκτήτης. βῶ, βήτης, διαβήτης. θλῶ, θλήτης. πτῶ, πτήτης. ὁ εὐθὺς τῶν πληθυντικῶν, οἱ αἰχμηταί. ἡ γενικὴ, τῶν αἰχμητῶν, καὶ Δωρικῶς αἰχμητάων. Κανών. Τὰς γὰρ εἰς ων γενικὰς, τὰς ἀπὸ τῶν εἰς αι εὐθειῶν γινομένας, διὰ τὸ αων προφέρουσιν αἰολεῖς. οἷον μέλισσαι μελισσάων, μέ-λαιναι μελαινάων. οἱ δὲ Δωριεῖς, διὰ τοῦ αν, πύλαι, πυλᾶν. ὡς τὸ, ... πυλῶν ἐξιοῦσι. Αἴχμιον, τὸ δόρυ. Αἶψα, ταχέως, ὀξέως. λάμπουσι ... ἐνεδήσατο, αἶψα τὰ δ' ἐκλιτὰ δῶρα ἀποπέμπω. καὶ αἶψα, ἀντὶ τοῦ ταχέως, εὐθέως ὀκέως. καὶ αἰψάκιν, εὐθέως ἄρ. καὶ αἶψα λάθοιτιν, εὐθὺς καταλάθοιτιν.

Αἰψα, τὰ μέλη. οἱ δὲ, ἄψεα. Αἰψηλίζουσαι, αἱ ἀσώμην καλοῦσαι. Αἰψηρὰ, ταχεῖα, κούφη. Αἰψηρὸς, ὁ ταχὺς, ἀπὸ τοῦ ... ὃ σημαίνει τὸ ταχύνειν. Αἰψηρὸς, ἀντὶ τοῦ λαιψη-ρόν. ... καὶ αἰολεῖς εἰώθασιν αἴρειν τὰ πρῶτα στοιχεῖα τῶν λέξεων, ὅταν τι ᾖ, οἷον λαιψηρὸς, αἰψηρός. ἔν τε δὲ, οἷον τὸ παρὰ ... εἰπὼν τὴν ... ὕμηρος, ... ἀντὶ τοῦ ... οὕτω καὶ ... καὶ ..., ἀπολείπου-σα τῶν καταρχόντων δύο συμφώνων ἄλλη γίνεται. καὶ ἀλλάσσει, ἀν-λεῖ ... τοῦ ... εἰς ... ὅ ... οι ... Δωριεῖς ... φίλ-τατος, ... φίλας φίλας, ... καὶ Δωρικῶς ... ... ἀλκμᾶνι. Αἶδλις, ... Αἰδύσσα, τὰ ... ἐξῆλθον, ...

Αἴω, παρατατικὸς, ἄιον. πολλὰ γὰρ ῥήματα τὸ ὦ ... τὸ α εἰς ... ὡς τὰ ... καὶ τὰ ... καὶ τὰ ἀπὸ προθέσεως ἀρχόμενα, καὶ τὸ εἴνθεν, ... καὶ τὸ ἀνθίγο-μαι, ... ἐν ... γίνεται τὸ ο. καὶ ὁ αἴω, ἄι-ον, τὸ ... καὶ ἄω, ὃ πνέω, ἄον. ἐκ ... ... τὸ .... Αἰωνάρχης, ὁ αἰωνοβάρχης μόνος. οὕτως ἐγκωμιάζουσα λογγῖνος αὐτὸν βιάζεται, ... αἰῶνος πατέρα. Αἰὼν, ὁ νω-τιαῖος μυελὸς, καὶ ὁ χρόνος, καὶ ὁ ζωή, καὶ ὁ βίος. Σοφοκλῆς, ὡς οὐκ ἂν αἰῶν' ἐκμάθης βροτῶν. γίνεται δὲ αἰὼν, ἐκ τοῦ ἀεὶ καὶ τὸ ὤν. ὁ μὲν ἐκ τοῦ ἀεὶ ... ἐπὶ ... ἡ αἰὼν τὸ μέ-τρον τοῦ ἀνθρωπίνου βίου, καθ' ὃ συμπαρόμεθα καὶ Ἡρόδοτος πολλάκις ... φησι, τὸ ... καὶ Ξενοφῶν ἐν τῷ ... ζωῆς ἀνθρώ-πων, τὸν ἀεὶ βίον φησὶ. ... καὶ τὸ, ... ἀεὶ ... λόγιος ... οὐ μόνον δὲ ἀρσενικῶς, ἀλλὰ καὶ θηλυκῶς ὁ ῥηθεὶς αἰὼν λέγεται παραπλήσιος, οἷον σπινίαν αἰῶνα. λέγεται καὶ ἀντὶ τοῦ ζωή. Ὅμηρος. ἐκ τὰ με καὶ λίποι αἰὼν, ἤγουν ζωή. αἰὼν ζωή, ἢ συμπεριληψις χρόνου πλήθους.

Ἄλλως. Αἰὼν, ἡ ζωὴ θηλυκῶς. Ὅμηρος, αὐτὸς δὲ φίλης αἰῶνος ἀμερθῇς. παρὰ τὸ ἄω, τὸ πνέω. καὶ ἄημα, τὸ πνεῦμα. καὶ ἀήτης, ὁ ἄνεμος. καὶ ... τὴν ζῶντα φαμέν. ἢ παρὰ τὴν αἰῶνα τῆς ζωῆς. οἱ δὲ ... γίνονται διὰ ... ἢ πα-ρὰ τὸ ἀεὶ ὤν, καὶ ... αἰὼν. πα-..., καὶ σημαίνει πάντα. τὴν ζωὴν τῶν ἀνθρώπων, ὡς τὸ, ... με καὶ λίποι αἰὼν ἐν μελάθροις. αἰὼν, καὶ ὁ τῶν χιλίων ἐτῶν ἀριθμός. αἰὼν, καὶ ὁ ἀΐδιος καὶ ἀτελεύτητος, ὡς τὸ ... αἰὼν γὰρ οὔτε χρόνος, οὔτε χρόνου τι μέρος. οὐδὲ γὰρ μέτρον. αἰὼν λέγεται, καὶ ἡ ἀπὸ τῆς τοῦ οὐρανοῦ καὶ τῶν κτίσεως, μέχρι τῆς ... τῶν ἀνθρώπων ἀναστάσεως. αἰὼν λέ-γεται, καὶ ὁ νωτιαῖος μυελός. Ἱπποκράτης. ... τὸν αἰῶνα, ἐκδομαῖος ἀπέθανεν. Αἰωρίζω, τὸ διὰ παντὸς μέ-νων. Αἰωροῦμαι, ἐν αἰθέρι φέρομαι. ἀπὸ τὸ αἴρω. Αἰωρού-μενοι, μετεωριζόμενοι. Αἰωρηθέντες, κρεμασθέντες, μετεω-ρισθέντες. καὶ αἰώρημα, καὶ αἰώρησις, καὶ αἰωρεῖσθαι. ὡς τὸ, κατὰ τὸ ... αἰωροῦνται πράγματα. Αἰωρεῖσθε, ἐκκρεμά-σθε. Αἰώρα, ἑορτὴ ἀθήνησιν, ἣν καλοῦσιν εὔδειπνον. ἣν οἱ μὲν ἐπὶ ... ἀπὸ ... ... ἀλλὰ ..

ἐγώ, ἐφ' οἷς ἐπλεονάζετο. αἰχμῶ μὲν, μακρὸν τὸ χῶ. αἰχμῶ δὲ ὁ μέλλοντος βραχύ. ὅτι τὸ ἀτὸς συμφώνου λείψαντος, ὥσπερ βραχύ. καὶ γὰρ ἐπὶ τοῦ ἐνεστῶτος φύσει μακρὰ πάντα, πλὴν τῶν παραλυγομένων ἐπὶ τοῦ μέλλοντος, ὅμως εἰς δίφθογγον μακρὰν μεταπίπτουσι. σπείρω, σπείρω, σπερῶ. κατὰ γὰρ τὴν ἀκολουθίαν μελλόντων ἀναλογίαν, διὸ τὸ ε̄ ὤφειλον καὶ οἱ ταύτης τῆς συζυγίας προφέρεσθαι μέλλοντες. ἀπέλιπε δὲ ὁ χρόνος, ὅτι ἀμετάβολον ἄγομενον, τὸ σ̄ οὐχ ἕπεται. ὁ παρακείμενος, ἤχνευκα. ὅτι παραλήγουσαν τὴν αὐτὴν ἔχει ὁ παρακείμενος τοῦ μέλλοντος. ὁ ἀόριστος, ἤχνευσα. ὅτι εἰ περισπῶν ὁ μέλλων, καὶ τὴν παραλήγουσαν ἐκτείνει ὁ ἀόριστος. τοῦτο δὲ ἐπὶ πάντων ἁπλῶς, τῶν τῆς πέμπτης συζυγίας συμβαίνει. Αἰχμάλωτος παρὰ Ἀριστοφάνει, ὡς τὸ αἰχμάλωτον μᾶλλον τῶν ἄλλων ἔχοντος καρχήμονας μυρμήκων, ἢ ἀπὸ τῶν καρπῶν. ἢ ὄνομα κύριον αὐλητοῦ, ἢ φίλου. Αἶχμον, οἷον αἰχρότερον. καὶ αἰχματηρός, οἷον αἰχμητικός. Αἰχίας ἄνθρωπος, ἀμορφος. Αἶχισθ τοῦτο, ἀντὶ τοῦ δυσειδέστατος. Αἰχίω, ἀμείνω, χείρω, κρείττω, ἀττικῶς. κοινῶς δὲ, αἰχίονα, ἀμείνονα, χείρονα, κρείττονα. Αἰσχροκερδὴς, ἐπιθυμητὴς κακῶν. Αἰσχρουργία, αἰσχρὰς ἐργασίας. Αἰσχροῖς, τοῖς αἰσχύνην ἐπιφέρουσι διωκομένοις. Αἰσχροῦ δὲ εἴδη τέσσαρα, ἄδικον, δειλὸν, ἀκόσμητον, ἄμορφον. Αἴσων, ὁ ἥρως, παρὰ τὴν αἶσαν. δοκεῖ δὲ πλεονασμοῦ γεγονέναι. αἴσων μὲν πατὴρ, ἰάσων δὲ υἱὸς, κατὰ διάλυσιν τοῦ αι διφθόγγου, καὶ μετάθεσιν τοῦ ι. καὶ αἵμων μὲν πατὴρ, μαίων δὲ υἱὸς, ὃν τελείως ἀπέδειξεν ἐν τῇ ἀρχῇ διφθόγγου ἐλλείψεως. μαίων γάρ φησιν αἱμονίδης. Αἰσώπου γελοῖα, οὕτως ἔλεγον τοὺς αἰσώπου μύθους. καὶ ἐν τοῖς κωμικοῖς διδασκαλίαις, ἐστὶν ὅτι τοὺς αἰσωπείους ἐγὼ τῶν μύθους. Αἰσχυντήρ, κατασχύνων. Αἰσχύνη, ἐντροπή. Αἶτα, ποιῶ. Αἴτιον, ὑπόχρεον. Αἴτας, ἑταῖρος. Αἰτία, πρόφασις. Αἶται, θυγατέρες Διὸς, αἱ τοῖς διωκομένοις βοηθοῦσι. Αἰτεῖ, ἀπλήρωτον.

Αἴτεια, τὰ κατ' ἔρωτα διδόμενα. Αἰτιομένων, ἐγκαλουμένων. Αἰτιατά, τὰ ἐκ τῆς αἰτίας γινόμενα. Αἰτιατικῷ ἀντὶ δοτικῆς οἱ ἀττικοὶ ἐχρήσαντο. ὡς Θουκυδίδης, εἰ οὖν κοινὸν θύτην ἀρίστου, πέμπει ἀνθρώπων. ἀντὶ τοῦ σοί. ὅτι, τὰς αἰτιατικὰς πλάσεις λαμβάνειν ἀντὶ γενικῶν, ἀττικῶν ἴδιόν ἐστι. οἷον μέντοι σὺ τὸν δ' ἀγαθός περ ἐὼν ἀποαίρεο κούρην, ἀντὶ τοῦ ἀπὸ τούτου. καὶ Ἡσίοδος, ὅν τε διὰ βροτοὶ ἄνδρες. ἀντὶ τοῦ, δι' οὗ. καὶ δι' ὃν ἐξέπεσε, ἀντὶ τοῦ δι' οὗ. καὶ αἰτιατικὰς ἀντὶ εὐθείας παραλαμβάνειν, ἀττικῶν ἐστιν. Ἀριστοφάνης ἐν ὄρνισιν, ὡς τὸ, δεινόν γε τὸν κήρυκα τὸν παρὰ τοὺς βροτοὺς οἰχόμενον, εἰ μηδέποτε νοστήσει πάλιν. ἀντὶ τοῦ, δεινόν γε εἰ μὴ νοστήσει πάλιν ὁ κῆρυξ, ὁ παρὰ τοὺς βροτοὺς οἰχόμενος. Αἰτία, ἡ ἀρχὴ τῆς ἀρχῆς. πηγή, ἡ πηγή, ἡ ῥίζα, αἰτία καὶ ἡ πρόξενος. αἰτία, ἡ ἀφορμή, καὶ ἡ κατηγορία.

Αἰτιᾶται, μέμφεται. Αἰτιολογικὸν εἰς τὴν ὑπ λέγοντα, διὰ τὸ ὑπ αἰολεῖς καὶ δωριεῖς προφέρουσιν. οἷον ἡ ἀνθρώπους, τοὺς ἀνθρώπους λέγουσιν. Αἴτνη, πόλις οὕτω καλουμένη.

Αἴτης, φιλικός. Αἰτίζειν ποιητικῶς, ἀντὶ τοῦ αἰτεῖν. ὡς τὸ, αἰτίζων ἀκόλους οὐκ ἄορας, οὐδὲ λέβητας. Αἰτάλος, ἐπαιτῶν. Αἴτημα, ζήτημα, καὶ ἡ ἐπιθυμία. Δαυίδ, καὶ ἔδωκεν αὐτοῖς τὸ αἴτημα αὐτῶν. Αἰτεῖσθαι, χρῆσθαι. Αἰτεσίος, ὁ αἰτῶν. Αἴτης ὑπὸ τῶν θεσσαλῶν λέγεται, ὁ ἐρώμενος. εἰσπνήλας ὑπὸ λακώνων ὁ ἐραστής, ὡς παρὰ Θεοκρίτῳ.

Αἴτναι, οἱ παρά τινος κ αἰθῶνται. οἱ δὲ ῥάδιοι τῶν πτωχοὶ οὐκ αἰτηταὶ τῆς εὐμενοῦς μᾶλλον, ἢ δέονται ὅσιοι. Αἰτίαι, αἱ προφάσεις. αἰτίαι δὲ, αἱ ἀφορμαὶ καὶ μέμψεις. Αἰτίον, ἐρωτικὰς χορδὰς σημαίνει. Αἴτιος, ὁ τῶν ἀφορμῶν δοὺς. ὡς τὸ αἴτιος εἰ ταύτης τῆς παρρησίας. καὶ αἴτιος, ὁ ποιητὴς καὶ κτίστης.

Αἴτησις. παρὰ Ἀριστοτέλει αἴτησίς ἐστι, τὸ ἐναντίον ἢ ἐν λόγοις παραγωγὴ, τὸ λαμβάνειν τι παρὰ τοῦ ἀποκρινομένου, καὶ μὴ τὰ ταῦτα περᾶσθαι τὸ ἀντικείμενον αὐτῷ παρ' αὐτοῦ λαμβάνειν, ὃ διὰ τοῦ τρόπου δοξάσαι τὴν ἐπιδοξολογίαν τῶν ἀποκρίσεων.

Αἴτιον. ἰστέον δὲ ὅτι αἴτιον ἀεὶ παρ' Ὁμήρῳ, τὸ τὴν αἰτίαν τοῦ γενομένου ἔχον. οἱ δὲ μεθ' Ὅμηρον, καὶ ἐπὶ ὑπευθύνου τῷ λέγειν ἐθέασαν. ὡς δηλοῖ ὁ γράψας τὸ, αἴτιος ὁ γράψας. αἰτία Καλλιμάχου, ἤγουν ὑπεύθυνος καὶ κολάσεως ἄξιος. αἴτιος οὖν παρ' Ὁμήρῳ λέγεται, ὁ αἰτιατὸς καὶ μεμπτὸς, καὶ ὁ ὑπὸ μέμψιν καὶ αἰτίασιν κείμενος. καὶ ἀπλῶς λαμβάνεται. οἷον, Οὔτι μοι αἴτιοι εἰσίν, οἱ Τρῶες, καὶ σύ τι μοι αἰτίη ἐσσί, θεοί νύ μοι αἴτιοι εἰσίν. Ἄλλως. Ἰστέον ὅτι τὸ αἴτιον πολλαχῶς λέγεται. λέγεται γὰρ ποιητικὸν αἴτιον, ὡς ὑποδειγματικῶς εἰπεῖν. ὁ τέκτων τῆς κλίνης. τελικὸν αἴτιον, ὡς ἡ ἀνάπαυσις, δι' ἣν ἡ κλίνη. ὑλικὸν αἴτιον, ὡς τὸ ξύλον, ἐξ οὗ ἡ κλίνη. εἰδικὸν αἴτιον, ἡ διατυπουμένη ἐν τῷ νῷ τοῦ τεχνίτου, καὶ διαχαρασσομένη κατὰ διάνοιαν, καὶ εἰδοποιουμένη διαμόρφωσις. παραδειγματικὸν αἴτιον, ὡς ἑτέρα κλίνη, πρὸς ἣν ἰδὼν ὁ τεχνίτης, τὴν εἰς ἔργον αὐτοῦ προκειμένην ἐδημιούργησε. φυσικὸν αἴτιον, ὡς ὁ πατὴρ τοῦ υἱοῦ. καθὸ καὶ μόνον ὁ θεὸς καὶ πατὴρ τοῦ μονογενοῦς εἶναι λέγεται. τὸ δὲ κτίσεως ποιητικὸν αἴτιον εἶναι λέγομεν τὸν θεόν. τελικὸν αἴτιον τὴν τῶν δημιουργηθέντων εὐεργεσίαν, καὶ τὴν περὶ αὐτὰ ἀγαθότητα. εἰδικὸν αἴτιον, τὴν ἐν αὐτῷ τῶν δημιουργηθέντων γνῶσιν φαμέν. ἣν ἐξ ἀϊδίου καὶ προαιώνιον ἔχειν, οὐχ ὕστερον αὐτῷ ἐπιγενομένην, ἀλλὰ συναιωνίζουσαν καὶ συμπαρεκτεινομένην αὐτῷ. τὸ δὲ ὑλικὸν αἴτιον καὶ ὀργανικὸν, καὶ παραδειγματικὸν, πόῤῥω τῆς θείας καὶ ἀπολελυμένης φύσεως. Αἰτιώδης ψευδὴς, ὁ ἀπὸ ψευδοῦς ἄρχεται, ὁ μὴ εἰς ἀκόλουθον λήγει. ἢ ἔχει τὸ λῆγον τὸ ἀρχόμενον ἀκόλουθον. οἷον διότι νύξ ἐστι, δίκην πεφώτισθε.

Αἰτιῶ, μέμφου, προστακτικὸν, αἰτιῶμαι. παρατατικὸς, ἠτιώμην, ἠτιῶ, ἠτιᾶτο. τὸ προστακτικὸν, αἰτιῶ, αἰτιάσθω. Αἰτιῶμαι, ἠτιώμην, αἰτιάσομαι, ἠτιασάμην, αἰτιῶμαι, ὅτι τὰ γράμματα οὐκ ἐπέμψε. Αἰτναῖος πῶλος, ἀντὶ τοῦ μεγάλος. αἰτναῖον, ἐπὶ πώλου βεβαίων. καὶ αἰτναῖος κάνθαρος, ὁ μέγας. Αἰτναῖον λέγει Ἀριστοφάνης κάνθαρον, ὃν ὑπερμεγέθη. μέγιστον γὰρ ὄρος ἡ αἴτνη. ἢ ὅτι διάφοροι κάνθαροι εὑρίσκονται, ἢ ἀντὶ τοῦ μέγα ὡς ἡ αἴτνη, ἢ ὅτι οἱ αἰτναῖοι ἵπποι ταχεῖς καὶ διαβόητοι πρὸς τὸν δρόμον, ἢ ὅτι μεγάλοι οἱ αἰτναῖοι κάνθαροι. Αἴτνη, σικελίας ὄρος ἐν κατάνῃ ἐστίν. ἀπὸ αἴτνης τοῦ οὐρανοῦ καὶ γῆς, ὥς φησιν Ἀλκιμος. Σιμωνίδης δὲ ἐν τῷ περὶ σικελίας, αἴτνην φησὶ κρῖναι ἥφαιστον καὶ δήμητραν περὶ τῆς χώρας ἐρισάντων. Δημήτριος δὲ ὁ καλλατιανὸς, τοῦ βριάρεω ἑνὸς τῶν κυκλώπων παῖδας γενέσθαι, σικανὸν καὶ αἴτνην, ἀφ' ἧς τὸ ὄνομα, ἐν ᾗ καὶ τὸ αἰτναῖον πῦρ ἀναδίδοται. Αἶτος, ὄνομα κύριον. Αἶτος, τὸ ἐνδιαίτημα. οἷον, Διὸς αἶτοι πωλεῖται. Πίνδαρος ἐν ὀλυμπιονίκαις, κακῶς.

Αἰτῆσθαι, διαπράττειν, ἢ διαπράττεσθαι. Αἰτεῖν, ἐρωτᾶν. Αἰτεῖν, ἅλλον, ἄλλον. Αἰτοῦμαι λέγουσιν, ὅταν ζητῇ τις ὃ μέλλει ἀποδιδόναι. οἷον ἐπὶ δανείου. αἰτῶ δὲ ἄρτον, ὃν δηλονότι οὐκ ἀποδώσω. εὕρηται δὲ καὶ αἰτοῦμαι ἀττικῶς, ἀντὶ τοῦ ἁπλῶς αἰτῶ. Λιβάνιος, τί δεῖ νῦν αἰτοῦμαι. ἔστι δὲ αἰτοῦμαι, καὶ τὸ παρὰ ἑαυτοῦ ζητοῦμαι, ὡς ὁ αὐτὸς πολλάκις ἔφασκε ἀλείφεσθαι, μηδὲν αἰτούμενος παρ' ἡμῶν. Αἰτῶ ἐπὶ τοῦ ἁπλῶς τι λαβεῖν, καὶ μὴ ἀποδοῦναι. τὸ δὲ αἰτοῦμαι, ἐπὶ τοῦ χρήσασθαι εἰς ἀπόδοσιν. αἰτῶ, τὸ ζητῶ. αἰτοῦμαι, τὸ μετὰ παρακλήσεως αἰτῶ καὶ ἱκετεύω. Αἰτούμενος, ὁ λαβὼν, καὶ αὖθις ἀποδώσων. καὶ αἰτούμενος, ὁ κιχράμενος.

Ἀτρατόουτι, ἀποκτενοῦντι. Αἰτώλιος. διαφορεῖται ὁμοίως τῷ δάρδανος δαρδάνιος, κάρπος κάρπιος, κάστος κάστιος, ἴκαρος ἰκάριος. ὁ καὶ ἄμορφος, παρὰ Σοφοκλεῖ. ἔγχωρος, οὗ χρῆσις παρὰ Λυκόφρονι, ἐγχώριος. Αἰτώλιον, τὸ παιδίον τοῦ γένους. Αἰτωλὸς, ἀπὸ τοῦ αἰτεῖν παραχθῆναι ἔοικεν. ὡς δηλοῖ καὶ ὁ τὰ ἐθνικὰ γράψας, εἰπὼν, ὅτι ἐστὶ καὶ αἰτωλὸς ἐπίθετον,

πεπλησμένον. ἡ δὲ γεῦσις ἀκριβὴς τῶν διαφερομένων. ἡ δύναμις τῆς ψυχῆς, ἀντιληπτικὴ τῶν ὑλῶν, ἤγουν διαγνωστική. αἰσθήσεις δέ εἰσι πέντε, ὅρασις, ἀκοή, ὄσφρησις, γεῦσις, καὶ ἁφή. ὁμοίως καὶ αἰσθητήρια πέντε. πρώτη μὲν οὖν αἴσθησίς ἐστιν, ὅρασις. αἰσθητήρια δὲ καὶ ὄργανα τῆς ὁράσεως, τὰ ἐξ ἐγκεφάλου νεῦρα, καὶ οἱ ὀφθαλμοί. αἰσθάνεσθαι μὲν ἡ ὄψις κατὰ πρῶτον λόγον τοῦ χρώματος. συνδιαγινώσκει δὲ τῷ χρώματι, τὸ κεχρωσμένον σῶμα. καὶ τὸ μέγεθος αὐτοῦ, καὶ τὸ σχῆμα, καὶ τὸν τόπον ἔνθα ἐστί, καὶ τὸ διάστημα τὸ μεταξύ, καὶ τὸν ἀριθμόν, κίνησίν τε καὶ στάσιν, καὶ τὸ τραχὺ καὶ λεῖον, καὶ ὁμαλὸν καὶ ἀνώμαλον, καὶ τὸ ὀξὺ καὶ τὸ ἀμβλύ, καὶ τὴν σύστασιν, εἴτε ὑδατώδης ἐστίν, εἴτε γεώδης, ἤγουν ὑγρὰ καὶ ξηρά. δευτέρα δὲ αἴσθησίς ἐστιν, ἀκοή. τῶν φωνῶν καὶ τῶν ψόφων οὖσα αἰσθητική. διαγινώσκει δὲ αὐτῶν τὴν ὀξύτητα, καὶ τὴν βαρύτητα, λειότητά τε καὶ τραχύτητα, καὶ μέγεθος. ὄργανα δὲ αὐτῆς, τὰ νεῦρα τὰ ἐξ ἐγκεφάλου τὰ μαλακά, καὶ τὰ ὦτα ἤτοι ἡ κατασκευή. μόνος δὲ ὁ ἄνθρωπος, καὶ ὁ πίθηκος, οὐ κινοῦσι τὰ ὦτα. τρίτη αἴσθησίς ἐστιν, ἡ ὄσφρησις. ἥτις γίνεται μὲν διὰ τῶν ῥινῶν, ἀναπεμπουσῶν τοὺς ἀτμοὺς ἐπὶ τὸν ἐγκέφαλον. περαίνεται δέ, εἰς τὰ πέρατα τῶν ἐμπροσθίων κοιλιῶν τοῦ ἐγκεφάλου. αἰσθητικὴ γάρ ἐστι καὶ ἀντιληπτικὴ τῶν ἀτμῶν, ἧς γενικωτάτη διαφορά ἐστιν, ἡ εὐωδία, καὶ δυσωδία, καὶ τὸ μέσον τούτων. ὃ μήτε εὐῶδές ἐστι, μήτε δυσῶδες. γίνεσθαι μὲν εὐωδία, τῶν ὑγρῶν τῶν ἐν τοῖς σώμασιν, ἀκριβῶς πεφθέντων. δυσωδία δέ, μηδ' ὅλως τούτων πεφθέντων. τετάρτη αἴσθησίς ἐστιν ἡ γεῦσις. τῶν χυμῶν οὖσα ἀντιληπτική. ὄργανα δὲ αὐτῆς, ἡ γλῶσσα καὶ μάλιστα τὸ ἄκρον καὶ ὁ οὐρανίσκος, ἐν οἷς ἐστι τὰ ἐξ ἐγκεφάλου φερόμενα νεῦρα πεπλατυσμένα, καὶ ἀπαγγέλλοντα τῷ ἡγεμονικῷ τὴν γενομένην ἀντίληψιν, ἤγουν αἴσθησιν. αἱ δὲ καλούμεναι γευστικαὶ ποιότητες τῶν χυμῶν, εἰσὶν αὗται, γλυκύτης, δριμύτης, στρυφνότης, αὐστηρότης, πικρότης, ἁλμυρότης, ὀξύτης. πάντων γάρ ἐστιν ἡ γεῦσις διαγνωστική. [illegible] ἐπιτηδειότης καὶ τὸ τοῦ [illegible]. πέμπτη δὲ καὶ τελευταία αἴσθησις ἐστιν, ἡ ἁφή. ἥτις κοινή ἐστι πάντων τῶν ζώων. γίνεσθαι δὲ ἐκ τῶν ἀπὸ ἐγκεφάλου καταπεμπομένων νεύρων, εἰς ὅλον τὸ σῶμα. ὅθεν καὶ τὰ λοιπὰ αἰσθητήρια, τὴν τῆς ἁφῆς ἔχουσιν αἴσθησιν. ὑποπίπτει δὲ τῇ ἁφῇ, τό τε θερμὸν καὶ ψυχρόν, τό τε μαλακόν, καὶ σκληρόν, καὶ γλίσχρον, βαρύ τε καὶ κοῦφον. διὰ μόνης γὰρ τῆς ἁφῆς, ταῦτα γνωρίζεται. κοινὰ δὲ τῆς ἁφῆς καὶ ὄψεως, τό, τε τραχὺ καὶ λεῖον, καὶ ξηρόν, καὶ ὑγρόν, παχύ τε καὶ λεπτόν, ἄνω τε καὶ κάτω, καὶ ὁ τόπος, καὶ τὸ μέγεθος, ὅταν ᾖ τοιοῦτον, ὡς κατὰ μίαν προσβολὴν τῆς ἁφῆς περιλαμβάνεσθαι. καὶ τὸ πυκνὸν δέ, καὶ τὸ μανόν, ἤτοι ἀραιόν, καὶ τὸ στρογγύλον, ὅταν ᾖ μικρόν, καὶ ἄλλα ἔνια σχήματα. ὁμοίως γε καὶ τοῦ πλησιάζοντος σώματος αἰσθάνεται, σὺν τῇ μνήμῃ καὶ τῇ διανοίᾳ. ὡσαύτως δὲ καὶ ἀριθμοῦ μέχρι δύο ἢ τριῶν. καὶ τούτων μικρῶν, καὶ ῥᾳδίως περιλαμβανομένων. τούτων δὲ μᾶλλον τῆς ἁφῆς, ἡ ὅρασις περιλαμβάνεται. χρὴ δὲ γινώσκειν, ὡς ἕκαστον τῶν ἄλλων αἰσθητηρίων, διπλοῦν ὁ δημιουργὸς κατεσκεύασεν. ἵνα τοῦ ἑνὸς βλαπτομένου, τὸ ἕτερον ἀναπληροῖ τὴν χρείαν. δύο γὰρ ὀφθαλμούς, καὶ δύο ὦτα, καὶ δύο πόρους τῆς ῥινός, καὶ δύο γλώσσας. ἀλλ' ἐν μὲν τοῖς τῶν ζώων διῃρημένας, ὡς τοῖς ὄφεσιν. ἐν τοῖς δὲ ἡνωμένας, ὡς ἐν τῷ ἀνθρώπῳ. τὴν δὲ ἁφὴν, ἐν ὅλῳ τῷ σώματι, πλὴν ὀστῶν καὶ νεύρων, ὀνύχων τε καὶ κεράτων, τριχῶν τε, καὶ τῶν ὁμοίων. ἰστέον δὲ καὶ τοῦτο. ὅτι ἡ μὲν ὄψις, τὰς κατ' εὐθεῖαν γραμμὰς ὁρᾷ. ἡ δὲ ὄσφρησις, καὶ ἀκοή, οὐ κατ' εὐθεῖαν μόνον, ἀλλὰ καὶ πανταχόθεν. ἡ δὲ ἁφή, καὶ ἡ γεῦσις, οὔτε κατ' εὐθεῖαν, οὔτε πανταχόθεν γνωρίζουσιν, ἀλλὰ τότε μόνον, ὅταν αὐτοῖς πλησιάσωσι τοῖς ἰδίοις αἰσθητοῖς.

Ἄλλως περὶ αἰσθήσεως. Αἴσθησις, νόησις. εἰσὶ δὲ τοῦ ἀνθρώπου σώματος αἰσθήσεις πέντε, ὅρασις, ὄσφρησις, ἀκοή, γεῦσις, καὶ ἁφή. προτιμοτέρα δὲ ἡ ὄψις τῆς ἀκοῆς, καὶ αὕτη τῆς ὀσφρήσεως, ἡ ὄσφρησις τῆς γεύσεως καὶ τῆς ἁφῆς. ἡ μὲν [illegible], δοκεῖ μὴ μία αἴσθησις εἶναι. ἑκάστη γὰρ τῶν ἄλλων αἰσθήσεων, περὶ μίαν ἐστὶ τῶν αἰσθητῶν τὴν ἀντίθεσιν. οἷον ὄψις μὲν περὶ τὸ μέλαν, καὶ τὸ λευκόν, καὶ τὰ ὅσα μεταξὺ χρώματα. ἀκοὴ δὲ περὶ τὸν βαρὺν καὶ τὸν ὀξὺν φθόγγον, καὶ ἡ μεταξύ. ὄσφρησις, περὶ τὸ εὐῶδες, καὶ τὸ δυσῶδες. γεῦσις, περὶ τὸ γλυκύ, καὶ τὸ πικρόν, καὶ τὰ ὅσα μεταξύ. ἡ μέντοι ἁφή, περὶ πλείους ἀντιθέσεις ἔχει, οὐκ οὔσας ἀλλήλαις [illegible]. περί τε γὰρ τὸ θερμόν, καὶ τὸ ψυχρόν, καὶ τὸ ὑγρόν, καὶ τὸ ξηρόν, καὶ τὸ σκληρὸν καὶ μαλακόν, τὸ βαρὺ καὶ τὸ κοῦφον, τὸ μανόν, καὶ τὸ πυκνόν. ἅμα δὲ παράλληλα εἶναι οὐ δύναται, ὅτι αἱ αἰσθήσεις τῶν μετρίων αἰσθητῶν ἀντιλαμβάνονται, οὐκέτι δὲ μετὰ ἐκείνων τῶν ὑπερβολικῶν ἀντιλαμβάνεσθαι δύναται. ὁ τὸν πλεονάζοντα χυμὸν γευσάμενος, τῶν ὀλιγοστῶν οὐκ αἰσθάνεται. καὶ ὁ μεγάλων ψόφων ἀκούσας, πρὸς τοὺς ἥττονας ἐστὶν ἀναίσθητος. καὶ ὁ πρὸς ἥλιον ἀτενίσας ἀναβλέψας, οὐ δύναται οὐδὲ τῶν ἄλλων ἀκριβῶς ὁρατῶν ἀντιλαμβάνεσθαι. ὁμοίως καὶ ἐπὶ τῆς ἁφῆς. ὁ δὲ νοῦς, οὐδὲν τοιοῦτον ἔχει. ὅσῳ γὰρ τῶν μειζόνων νοητῶν ἀντιλαμβάνεται, τοσούτῳ καὶ ἀκριβέστερός ἐστι πρὸς τὴν ἀντίληψιν τῶν ἡττόνων. καὶ τὰς μὲν αἰσθήσεις, αἱ ὑπερβολαὶ τῶν αἰσθητῶν φθείρουσιν. ὑπερβολὴ τῆς φωνῆς ἢ ψόφου, [illegible] τὴν ὄψιν. ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων. [illegible] ἡ ἀντίληψις ὀξυτέρα γίνεται. εἰσὶ κοινὰ αἰσθητὰ πέντε. πρῶτον κίνησις, δεύτερον ἠρεμία, τρίτον ἀριθμός, τέταρτον σχῆμα, πέμπτον μέγεθος. κοινὰ δὲ ταῦτα εἶναι λέγεται, οὐχ ὅτι ἓν ἕκαστον αὐτῶν πάσαις ταῖς αἰσθήσεσιν ὑποπίπτει, ἀλλ' ὅτι ἕκαστον πλείοσι, καὶ οὐ μιᾷ. ἔνια δὲ καὶ πάσαις ἅμα. τὸ μὲν γὰρ μέγεθος, κοινόν ἐστιν αἰσθητὸν ὄψεως καὶ ἁφῆς. ὁρῶμεν γὰρ ὅτι μέγας ἐστὶν ὁ ἄνθρωπος. καὶ ἁπτόμενοι αἰσθανόμεθα, ὅτι μέγας ἢ μικρὸς ὁ προσπεσὼν ὄγκος, καὶ τὸ διάστημα. ἤδη δὲ καὶ ψόφον λέγομεν αἰσθέσθαι, μεγάλου ἢ μικροῦ. ἀλλ' ἐνταῦθα τὸ μέγεθος, κατὰ ἀναλογίαν ἐλήφθη οὐ κυρίως. μέγεθος γὰρ λέγομεν τὸ ποσὸν [illegible], κοινὸν εἶναι αἰσθητῶν. ὁ μέντοι μέγας ψόφος, ποιότης ἐστὶν ἐπιτεταμένη [illegible]. διὸ τὸ ἀμυδρὸν ἢ σφοδρὸν κυρίως ἐπὶ τοῦ ψόφου ἁρμόζει λέγειν. τὸ δὲ σχῆμα, κοινὸν ὄψεως καὶ ἁφῆς. σχῆμα δὲ, οὐ τὸ [illegible], ἀλλὰ [illegible]. τοῦτο γὰρ λέγω σχῆμα, τὸ ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον, ἢ ὑπὸ γραμμῶν, ἢ ὅσον [illegible] ἁπλῶς περιγεγραμμένον. πᾶσα δὲ περιγραφὴ κατὰ τὸ τῶν σχημάτων γίνεται, [illegible] ἄλογα γοῦν, ὅταν ἐστὶ μικρὸν ὕψος [illegible]. [illegible] αἰσθητόν. ὁ δὲ ἀριθμός, κοινόν ἐστιν αἰσθητὸν πασῶν. ὁρῶμεν γὰρ ὅτι [illegible], [illegible] ἀκούοντες.

Αἰσθητικόν, πᾶν ζῷον αἴσθησιν φύσει καὶ [illegible] ἔχον, ἢ αὐτὸ τὸ ζῷον [illegible] τῆς αἰσθήσεως. Αἰσθητά, τὰ ὁρώμενα, τὰ ὑποπίπτοντα ταῖς αἰσθήσεσιν [illegible]. οἷον χρῶμα, σχῆμα, καὶ ὄγκος, καὶ πολιότης, καὶ λευκότης, καὶ μελανότης, ψόφος, καὶ ἀτμοί, καὶ χυμοί, λειότης, τραχύτης, καὶ τὰ τοιαῦτα. αἰσθητικόν ἐστι ζῷον ἀντιληπτικόν, κατὰ δύναμιν φυσικὴν τῶν αἰσθητῶν. Αἰσθητήρια τὰ ὄργανα, ἤτοι τὰ μέλη, δι' ὧν αἰσθανόμεθα, καὶ αἱ αἰσθήσεις τοῦ ἀνθρώπου, ἢ ἐν οἷς καθίδρυνται αἱ αἰσθήσεις. Αἴσθων, γίνεται ἀπὸ τοῦ ἄω τὸ πνέω, ἐξ οὗ καὶ τὸ ἆσθμα, καὶ τὸ ἀσθμαίνειν. ἐκ δὲ τοῦ τοιούτου αἴσθων, καὶ ἡ αἴσθησις κατὰ συναίρεσιν γίνεται. Αἴσιος, ὁ ἀγαθός. Αἰσιοῦται, [illegible], [illegible]. Αἴσιον, ἀντὶ τοῦ [illegible], ἐκ τοῦ [illegible]. τοῖς δὲ ἀντὶ

ρισις δὲ ἐπὶ δύο πραγμάτων, ὅταν τὸ ἓν προκρίνωμεν τοῦ ἑτέρου. αἱρῶ οὖν τὸ κρατῶ, αἱρήσω, ᾕρηκα, αἱροῦμαι αἱρήσομαι, καὶ ᾑρημένος. ἀπὸ τοῦ αἱρῶ, τὸ κρατῶ καὶ καταβάλλω, γίνεται ἀναιρῶ τὸ φονεύω, καθαιρῶ, τὸ καταβάλλω. διαιρῶ, τὸ τὰ ἡνωμένα χωρίζω. συναιρῶ, καὶ συναιροῦμαι, τὸ δύο ὄντα εἰς ἓν συνάγω. περιαιρῶ, τὸ μερικῶς στερίσκω. ὑφαιρῶ, τὸ κλέπτω. ἀφαιρῶ, τὸ μέρος τι ἐκ παντὸς λαμβάνω. ἀφαιροῦμαι δέ, τὸ πᾶν. ἀπὸ δὲ τοῦ αἱροῦμαι, ὃ σημαίνει τὸ βούλομαι καὶ προκρίνω, γίνεται ἐξαιροῦμαι, τὸ ἐλευθερῶ. προαιροῦμαι δέ, τὸ προκρίνω τόδε τοῦδε. ἀναιροῦμαι, τὸ φονεύω καὶ ἀναλαμβάνω, καὶ ἀναγιγνώσκομαι. ὡς τό, ἀναιροῦνται οἰνόμελι. καὶ τὸ ἀναλαμβάνω. οἷον, ἀναιρεῖται ξίφος, καὶ ἀναιρεῖται μετὰ χεῖρας βιβλίον. καθαιροῦμαι, τὸ καταβάλλομαι. παραιροῦμαι, τὸ παρασύρω, καὶ ἀφαιρῶ. Λιβάνιος, Τὰ μέγιστα καὶ σεμνότατα τῶν ἔργων, τὰ μὲν ἤδη παραιρούμενος. ἀνθαιροῦμαι, τὸ ἕτερον ἀνθ' ἑτέρου προκρίνω. οἷον, ἀνθαιροῦμαι ζωῆς θάνατον. ἀφαιροῦμαι, τὸ ἀποστερῶ καὶ ζημιῶ, διπλῶς συντασσόμενον. οἷον, ἀφαιρεῖται τὸν ἄνθρωπον τὴν οὐσίαν, καὶ ἀφαιρεῖται τὴν οὐσίαν ὁ ἄνθρωπος, ἐπὶ πάθους καὶ ὑπηρεσίας λαμβανόμενος. οὗ ὁ παρακείμενος, ἀφῄρημαι, ἀφῄρησαι, ἀφῄρηται. ὥσπερ τὸ εἴργασμαι, καὶ εἴωσμαι, καὶ ἀφεῖμαι. μέσοι δὲ καὶ οὗτοι παρακείμενοι. ἔστι γὰρ μέσος ὁ πάθος, καὶ ἐνέργειαν σημαίνων. ἀφῄρημαι τοῦ, ἀντὶ τοῦ ἐστερήθην, καὶ ἀντὶ τοῦ ἐστέρησα. συντάσσεται δὲ τὸ ἀφῄρημαι καὶ γενικῇ καὶ αἰτιατικῇ. καὶ γενικῇ μέν, ὅτε μὴ ἔχον πρᾶγμά ᾖ. δύναμαι δὲ τοῦτο κτήσασθαι, καὶ ἀμελήσας οὐ λάβω. οἷον, ἀφῄρημαι λόγων, ἀφῄρημαι παιδείας. ταῦτα γὰρ οὐκ εἶχον, τὸν λόγον φημί, καὶ τὴν παιδείαν. δυνατὸν δέ μοι ἦν κτήσασθαι. καὶ διὰ τὸ ἀμελῆσαι οὐκ ἔλαβον. τὰ τοιαῦτα οὖν συντάσσεται γενικῇ, ὡς προείπομεν. ὅταν δὲ ἔχω τι καὶ στερηθῶ τούτου, τότε τὸ ἀφῄρημαι συντακτέον αἰτιατικῇ. οἷον, ἀφῄρημαι τὸ ἱμάτιον. καὶ ὑφαιροῦμαι τὸ κλέπτω. Ἄλλως. Αἴρω, ἐνεστώς. ἐνεστῶτος, παρατατικὸς ᾖρον. ἀρῶ μέλλων. ἦρα, ἀόριστος. αἴρομαι, ἐνεστώς. ἠρόμην, παρατατικός. ἀροῦμαι μέλλων, ἀντὶ τοῦ λήψομαι. ἀρθήσομαι, ἀντὶ τοῦ μετεωρισθήσομαι. ἠράμην, ἀόριστος, ἀντὶ τοῦ ἔλαβον. ἤρθην δέ, ἀντὶ τοῦ ἐμετεωρίσθην. λέγεται καὶ ἐπῆρκας, ἐπὶ ἐνεργητικοῦ παρακειμένου. καὶ ἐπηρμένος, ἐπὶ παθητικοῦ. καὶ αἴρω, τὸ ἀνιστῶ καὶ ἀνορθῶ τὰ ἱστία. αἴρω, τὸ ὑψῶ καὶ ἀφανίζω, καὶ τὸ ἐκ μέσου ποιῶ ἀπαλείφω. ὡς τό, Ἦρεν ὁ φέρων τὴν ἄνθησιν. καὶ τὸ ἀγωγῇ προσφέρω. ὡς Σοφοκλῆς, Αἶρ' αὐτὸν αἶρ' εἴσω. ἀντὶ τοῦ, ἄγε καὶ πρόσφερε. διαίρω, τὸ ἀνοίγω ἐπὶ στόματος. ἐξαίρω, τὸ ὑψῶ. μεταίρω, ἐπὶ μεταθέσεως. ἀνταίρω, τὸ μάχομαι. ὑπεραίρω, τὸ ὑψῶ. αἴρω, τὸ προσφέρω. ἀφ' οὗ καὶ πρόσφορμα, ὁ ἄρτος.

Αἴδηλος. οἷον, χεῖρ' αὐτ' ἀΐδηλος ἀνὴρ, ὁ ἐλεθρευτικός. οὐ τῆς ἄξιος Ἀαχένεος, δηλοῦν λέγων τὴν ἀδηλοποιόν. καὶ παρὰ τὸ κινεῖν, αἴδηλον ἀρίαν, τὴν ἀλῖθαρον. ὁ μὲν Μεθόδιος λέγει εἶναι ἀπὸ τοῦ ἰδῶ, ἴδηλος καὶ ἀΐδηλος. ὁ δὲ Χοιροβοσκὸς, ἀπὸ τοῦ αἰδνὸν, τὸ σημαῖνον τὸ ἀφανιστικόν. διὰ τοῦ ι, αἰδνήλος, καὶ κατὰ συγκοπὴν τοῦ νος, ἴδηλος. ὁ δὲ Ἡρωδιανὸς, εἰς τὸ περὶ παθῶν, λέγει εἶναι ἀπὸ τοῦ ξύλος, ἄξυλος. πλεονασμῷ τοῦ ι, καὶ φωνῇ, αἴδηλος. ὁ αἴδηλος, ὁ ἀφανὴς, καὶ θρασύς. αἴδηλος δὲ, ὁ ἀεὶ δηλῶν, διὰ διφθόγγου. Αἰδήλως, ἀφανιστικῶς. Αἰδημόνως, αἰδεσίμως. Αἰδήμων, αἰδέσιμος. Αἴδης, ἅδης. τόπος ὑπὸ γῆν κείμενος, καὶ κεκρυμμένος. διὸ καὶ αἴδης λέγεται, ἤγουν ἀὴρ ἀφανὴς, ὃν οὐκ ἔστιν ἰδεῖν. ὡς τὸ, αἴδης ἔλαχε ζόφον ἠερόεντα. τοῦτον αἴδης, καὶ ζόφος ἠερόεις. αἴδης δὲ καὶ αἰδωνεὺς, ὁ ὑπὸ γῆν λέγεται ἀήρ. παρὰ τὸ α στερητικὸν καὶ τὸ ἰδεῖν, κατὰ καὶ ὁ ἀπλῶς ἀήρ. οὐ τῆς μόνον ὥς φασι ψυχὰς σωματικὰς, αἱ εἰσὶ πνεύματα, ἀλλὰ καὶ αὐτοῖς αἰδὲς ἐστὶν αὐξάνουσιν. ἀφ' ὧν τὸ ζῆν καὶ τὸ ἀναπνεῖν. οὐ ἐμφανὴς καὶ ἡ ἐμπνοία διαμένειν. διὸ καὶ ζεὺς λέγεται καταχθόνιος, ὁ καὶ ἄλλως. αἴδης ὀνομάζεται, παρὰ τὸ μὴ ὁρᾶσθαι, ὃν οὐκ ἔστιν ἰδεῖν. ἢ διὰ τὸ ἀφανὴς εἶναι, ἢ ὑπὸ γῆν γινόμενος. Αἴθερον, αἰχμητικός. Αἰδὶ, παρὰ τὸ ἀεὶ. κατὰ ἴωνας, ἐκ τοῦ αἰὲς. ἡ γενικὴ αἰδὶ, ἡ δοτικὴ αἰδὶ, κατὰ μεταπλασμὸν, αἰδι. ὥσπερ ἀπὸ τοῦ ὑσμίνες, ἡ δοτικὴ ὑσμίνι. καὶ λιτῷ, λιτί. κατὰ δὲ ἰωνας, ἐπιλαγίδι ἀπὸ τοῦ αἰές, οὐ γενικὴ αἶδος. Αἰδὶ ὁ αἰεὶ ὢν, ὁ μηδέποτε ἀρξάμενος, μηδὲ λήγων. τὰ παρὰ τὸ αἰεὶ σύνθετα, διφθογγον ἔχουσιν. οἷον κείμενος, ἀείφρυτος, παρὰ τοῦ αἴδιος. διότι δὲ φωναί εἰσι τοῦ αἰεί. ἔστι τὸ αἰεὶ, καὶ αἰὲν, καὶ αἰὲς, καὶ ἀεὶ, αἰὲν, καὶ ἀὲν καὶ αἰ, ἐξ οὗ τὸ αἴδιον, καὶ αἰὲν καὶ αἰ, καὶ αἰές. καὶ ἀΐδιον, τὸ διαιωνίζον, καὶ λήξιν μηδαμῶς ἔχον. Αἰδίως, αἰωνίως. Αἰδνὸς, ὁ ἀφανὴς. εἴδω τὸ βλέπω, ἢ τὸ γινώσκω. ὄνομα ἰδνὸς. καὶ μετὰ τοῦ στερητικοῦ α, αἰδνὸς. ὡς εἰδω πλανός. ἐξ οὗ καὶ αἰδνωνὺς ὁ ἄδης, εἰς ὃν οὐκ ἔστιν ἰδεῖν. ἐκ τοῦ αἰδνὸς γίνεται αἴδηλος, καὶ κατὰ συγκοπὴν αἴδηλος. ἢ ἐκ τοῦ αἰδνὸς γίνεται αἰδνὸς, καὶ ἐν συγκοπῇ αἰδνός. Αἰδνὸς, ὁ μὴ βλεπόμενος. Αἰδνὴ, σκοτεινή. Αἰδεσίμως, περιφραστικῶς τοῦ αἰδέσιμος. Αἰδοῖ κατὰ, ποιητικόν. καὶ ἔστι κατὰ τέλος γινόμενον ἰσόν. τὰ γὰρ διὰ τοῦ σος συγκριτικὰ, διὰ τοῦ ες προφέρονται. οἷον, αἰδοιέστερος αἰδοιέστατος, δικαιέστερος δικαιέστατος. ὁμοίως ἀρχαιέστερος ἀρχαιέστατος, ἀφθονέστερος ἀφθονέστατος. ὤφελε γὰρ τὰ τοιαῦτα εἶναι δικαιότερος, αἰδοιότερος, ἀρχαιότερος. ὁμοίως καὶ τὰ ὑπέρθετικά. Αἰδοῖα τὰ μόρια παρὰ τῶν αἰδῶ. γυμνοῦσαι τῆς ταῦτα, ὀνομάσαι, αἰδουμένα. ἢ παρὰ τὸ ἀποκλίνειν ἐν συνουσίᾳ ἐργῶν ταῦτα σῶμα εἰδοῖα. καὶ φωνῇ τοῦ α εἰς αι, αἰδοῖα. Αἰδοῖα τι αἰδούμενος. ἤγουν, τῇ αἰσχύνῃ. Αἰδοῖη, ἡ αἰδέσιμος. ἡ αἰδοῦς ἀξία, αἰδοῖος. γίνεται δὲ ἀπὸ τοῦ αἰδῶς αἰδοῖος, καὶ πλεονασμῷ τοῦ ι αἰδοῖος. Αἰδοῖος, ὁ ἐπιλαμβανόμενος τῶν ἐξ ἑτέρων αἰδοῦς, καὶ ἄξιος αἰδοῦς. αἰδήμων δὲ ὁ ἄλλους αἰδούμενος. αἰδοῖος παρὰ τοῖς ὕστερον καταφρονητικῶς, ὁ θρασύς. καὶ ἐπὶ αἰδήμων, αἰδοῖος ἐν ἐδνοῖς ὡς λέγεται. ὥς τε δίκας ὁ αἰδοῖος, ὁ αἰδοῦς ἄξιος (οἷον αἰδοῖα ταμίη) καὶ ὁ αἰδούμενος. ὁ αἰδοῖος, δίκαιος, τίμιος, αἰδοῦς ἄξιος. καὶ ἐπὶ τοῦ αἰδουμένου δὲ κεῖται τῇ λέξει Ὅμηρος, καὶ ἐπὶ τοῦ οἰκέτου, κακὸς δ' αἰδοῖος ἀλήτης, καὶ αἰδοῖος. ὡς γελοῖος, ὁ ἄξιος γέλωτος. οὕτω καὶ αἰδοῖος, ὁ αἰδοῦς ἄξιος. αἰδοῖος δ' ἐστὶ τις ἀνὴρ, ὁ δι' ἀλλ' ἔχει ἀγαθὰ, ὁ δι' ἃ τις αὐτὸν ἐξαιρεῖται ὁ αἰδούμενος. φαίνεται δὲ ὁ αἰδοῖος ταυτὸν εἶναι τῷ αἰδέσιμος. πλὴν ὅτι τὸ μέν ἐστι ποιητικὸν τὸ αἰδοῖος, τὸ δὲ παρὰ τοῖς κοινοῖς ἐν χρήσει. αἰδήμων δὲ, ὁ εἰδὼς αἰδεῖσθαι. Αἰδοῖον, τὸ μόριον αἰσχύνης, ὁ καὶ ἀπὸ καὶ πρὸς ὅλον καλεῖται, ἐπὶ τοῦ λόγου παρὰ τὸ συμβόλαιον. καὶ αἰδοῖον τι μιαρὸν, καὶ ὀμφαλοῦ. Αἰδοιοπίδασσα, λέγει Εὔμαιος ὁ ὑμνικὸς, ἀντὶ τοῦ ... αἰδέσιμος ...

νοῦσθαι ἐπὶ τοῦ αἰδοῖος, τὸ αἰδήμων, καὶ τὸ αἰδέσιμος. οὕτω μὲν ἡ ὅλη κλάσις ἐστὶν ἐν σημείῳ. ὁ δὲ αἰδοῖος, ἐν τι τῶν εὐθυτέρων τῆς ... ταῖς πλαγίαις, συνεχόμενον παρὰ τὸ σωματικὸν μορίῳ. Αἰδέομενος, καὶ αἰδούμενος λέγομεν. διαφορεῖται δὲ τὸ ῥῆμα, ὡς καὶ τὸ ἐρῶ. εὑρίσκεται δὲ αἰδῶ ἐν καὶ αἰδῶ ἐνεργητικῶς καὶ παθητικῶς. Αἰδοῦμαι τὴν σὴν ἡλικίαν, ἀντὶ τοῦ αἰσχύνομαι. καὶ αἰδοῦμαι τὸν πατέρα, καὶ αἰδοῦμαι γυναικὸς ἐυλαβοῦμαι. Αἰδοῦς ἄξιος ἱερεὺς, ὁ σεβάσμιος. καὶ αἰδοῦς καὶ φιλίας βωμοὶ ἀθηνῆσιν, ἐν τῇ ἀκροπόλει. Αἰδόσυνη, ἐπὶ τοῦ ἀποκεκρυμμένου, ἡ ἀφανῶν, καὶ λανθάνειν βουλόμενον. Αἴδος κυνέα, ξίφος τι, καὶ ἀσφάλεια. ἡ περιφραστικῶς, τὴν περικεφαλαίαν. ἐν αὐτῇ δὲ τὸ πρόσωπον κρύψειν ὁ αἴδου, διὰ τὸ μὴ ὁρᾶσθαι ὑπὸ τοῦ ἄρεος. ἢ ἡ ἄλλως. Αἴδος κυνέα, ὁ δηλωτὴρ ὁ νέφος, ὁ περιβάλλοντες οἱ θεοὶ, ὅταν θέλωσιν ἐν ἄλλοις μὴ γινώσκεσθαι ἡ νεφέλη ἀφανὴς, ἣν ὑποδυσάμενοι οἱ θεοὶ, ἀθεώρητοι γίνονται ἀλλήλοις. καὶ αἴδος, εἰς ἅδου. καὶ αἴδος κυνῆ, πάθημα μὴ τὸ κινεῖν ἱστορεῖται ... διὰ κυνῶν μηχανημάτων. διότι ἐκ τοῦ ἄδου κυνῆ, ἐξ περιγενῆς χρησάμενος, ... τοργονία ... ἐν ᾄδου ἑορτῇ. καὶ αἴδος εἰς ταυτόν ἐστι τῷ εἰς αἴδου, καὶ τῷ αἴδοσδε. ἀττικοὶ δὲ εἰς ἅδου φασί. καὶ φασὶν εἶναι τὸ ἄος, διὰ διφθόγγου. καὶ ὥσπερ ὁ νοῦς ὁ γινόμενος ἀπὸ τοῦ ἐκ στερητικοῦ μορίου, καὶ τοῦ εἴδω, εἴσω ἰωνικὰ γραφέται, οὕτω καὶ τοῦτο. Αἰδρείη, καὶ αἰδρίη, ἀνεπιστημοσύνη, ἀπειρία, ἀμαθία. διὰ διφθόγγου γράφεται. Αἰδροφάλοι, οἱ λευκοὶ καὶ ἰσχυροί, ἢ ἐγγὺς θανάτου ὄντες. Αἴδροι, καὶ αἴδρεις, ἀμαθεῖς, ἄπειροι. Ἡσίοδος. οὗτος δὲ ἀπεκλείσθη ἄλλην χώραν, αἴδρις ἐών. καὶ Ὅμηρος, αἴδρις γὰρ τὶ ἱκανῶς. Αἴδρις, ἔστι ῥῆμα, εἴδω τὸ ἐπίσταμαι. ὁ μέλλων, εἴσω. ὁ μέσος μέλλων, εἴσομαι, οἷον, εἴσομαι εἴ κέ μ' ὁ τυδείδης. ἐξ οὗ ῥηματικὸν ὄνομα, ἴδρις. πλεονασμῷ τοῦ ς καὶ ἀποβολῇ τοῦ σ ἴδρις, ὁ ἐπιστήμων. καὶ μετὰ τοῦ στερητικοῦ α, αἴδρις. ἡ γενικὴ, αἴδριος. ὡς ὄφις, ὄφιος. καὶ αἴδρεϊ καὶ αἴδρι, ἀμαθεῖ, ἀπείρῳ. ὅπερ οὐ παρὰ τὸ δ τὸ ε λέγειν αἴδρει. οὐ γάρ ἐστι παρὰ τὸ ὄνομα ... ἐπεὶ καὶ παρὰ τῇ Σαπφοῖ, ... καὶ τὸ παρὰ Σοφοκλεῖ, ἴδρι. καὶ τὸ παρὰ φρυνίχῳ, ἴδριος. οὕτως εὕρομεν καὶ ... Αἴθερ, τὸ διαφανές. Αἰθερώδης, ... Αἰθρὼς, διαφανὴς, ἡ ἀκίνητος. Αἰθερίοι κακὸν, τὸ κατεργαστὸν, ὃ ... Αἴδηλος, θρασύς. Αἰδῶ, τὸ αἰδεῖσθαι, καὶ ὁ σταλὼν παρὰ Χαλδαίοις. καὶ ἡ ῥίζη, παρὰ λέγουσι. καὶ ἡ φωνὴ ἀίδωῷ. καὶ βωμὸς ὁ ἐν τῇ ἀκροπόλει. ὅπερ ὅτε μέν ἐστιν εὐθεῖα, ἀφαιρεῖται ὡς λεπτὸν καὶ βαρύ. ὅτι δὲ αἰδαλὴ, περισπᾶται. ὡς τὸ, τὰ ταῦτ' αἰδῶ ἐμφανεῖσθαι. οὐ δὲ ἡ θηλυκόν ἐστι τὸ ω, ἀεὶ ἐν κράσεως. ἀπὸ δὲ τοῦ αἰδὼ γίνεται αἰδῶ. Ἄλλως. Αἰδῶ ὀνομάζει Ὅμηρος, ... παρὰ διὸς ὕστερον αἰδοῖα. ὡς ἐν τῷ α ἰλιάδος, τοῖς αἰδῶ ἀμφιμα... ἀβήσει. ... ἡ ... καὶ ἡ αἰδώς. οὐ δὲ μόνον τὸ ἐπαινετὸν πάθος τῆς ψυχῆς, ὃ καὶ αἰσχύνη λέγεται ἐπιτετάμενον, κατὰ τὸ αἰσχύνομαι σε βλέπων ἐναντίον. ἤγουν αἰδοῦμαι, ... ἰδοῦ καὶ σώματος μόνον. τὸ δὲ τὰ τῶν αἰδῶν ἐμφαίνειν ... περιφραστικῶς εἰρηκ. οὐ δὲ ἔχει μία λέξις ἴσως δηλωτικὴ τῶν καλυμμάτων αἰδοῦς, ὅπερ οἱ ῥωμαῖοι φασι ... Αἴδων, λέγων. Αἰδωνεὺς ὁ θεὸς, ὁ ᾅδης καὶ ὁ τόπος. καὶ αἰδωνεὺς, παρὰ ἅδης. Αἰδῶσαι, θαυμάσαι. Αἰδώσατε, αἰσχύνεσθε. Αἰδὼς, καὶ τιμησις. ἡ μὲν αἰδὼς, ἐξ ὑμῶν αὐτῶν. ἡ τίμησις, ἐξ ἄλλων. πρὸς οὓς ... αἰδῶ ἔχομεν. καὶ αἰδὼς, αἰσχύνη ἡ ἀλήθεια καὶ φόβος. καὶ αἰδὼς μ' ἔχει, παρ' Ἡσιόδῳ. καὶ αἰδῶ ἔχω, καὶ αἰδοῦμαι, ταυτόν. Αἰδῶς, ἐντραπέντως. Αἰδῶσκε, τὸ ἀνάγει τὰ τείχια.

Αἰεὶ, σημαίνει τὸ ἀεὶ, διηνεκῶς, συνεχῶς, πυκνῶς, καὶ τὸ μετὰ χρόνον. ἐκ δὲ αἰδίως, τὸ διόλου, τὸ καθ' ὥραν τινὰ γινόμενον συμβαῖνον, καὶ τὸ ἐν βραχεῖ χρόνῳ συνεχές. τὸ αἰεὶ μὲν καὶ διηνεκῶς, ὡς τὸ, αἰεὶ μοι θεοῦ πολέμιοι διέκειν, ἐπὶ τοῦ κατὰ συνεχῶς. καὶ αὖθις, αἰεὶ τῆς ἡ γυνὴ σ' ἰσχόεσσα ... ἐκ τοῦ ἡ μέλλουσα

τεῦσαι. ὡς αἰγὸς τὸ κέρας τῆς ἀμαλθείας λαβοῦσα λέγεται. ἢ καὶ ἄλλως, αἰγίοχος Ζεύς, ὁ ἔχων τὴν αἰγίδα, τουτέστι τὸ δέρμα τῆς ἐκθρεψάσης αἰγὸς ἣν ἐθήλασεν. ἔφερε γὰρ αὐτὴν φασὶν ἐπιβεβλημένος εἰς μάχην. ἢ ἐπεὶ αἰγίοχος, ὡς ἂν εἰ εἴπῃ αἰγίδιοχος [illegible] τὸ Σ. Αἰγίνηψ, ὁ αὐτός, ὑπὸ Μακεδόνων. Αἰγίπυρος, ἔστιν ἀκανθῶδες φυτόν, ἢ εἶδος βοτάνης. τὸ δὲ φύλλον ἔχει πλατύ, ὥσπερ φακός. ἔστι δὲ σχοινίζων. εἰς ἕλκη φλεγμαίνοντα ἀγαθή.

Αἴγιθος, παρὰ τὸ θῶ τὸ θηλάζω. καὶ τὸ αἴξ, αἴγιθος. καὶ πλεονασμῷ τοῦ σ, αἴγισθος. ἱστορεῦσι γὰρ αὐτὸν αἰγείῳ γάλακτι τροφῇ χρήσασθαι. οὕτως Ὠρίων. Αἰγὶς τοῦ Διός. μυθικῶς κατὰ τὰς λεγομένας σφαγίας, καὶ κατὰ κρᾶσιν σφαγῆς. οὕτω καὶ αὐτὴ εἴη ἂν αἰγέη, τουτέστιν αἰγὸς δέρμα, ὅπερ Ζεὺς ἐν τοῖς ἀγῶσιν ἀνάμνησιν αἰγός, ἧς αὐτὸς ἔσπασε τὴν θηλήν. ἀφ' ἧς καὶ ἐπεκλήθη αἰγίοχος, ὡς εἰς ὅλον ἔχων τροφήν, αὐτῇ χρησάμενος. οὕτω δὲ καὶ λεοντῆν ὁ Ἡρακλῆς, ἢ παρδαλῆν ἐνάπτεται εἰς μνήμην τινὸς πράξεως. καὶ ἄλλως δὲ ἡ τοῦ Διὸς αἰγίς, σκέπασμα κατὰ μῦθον. πλάττεται δὲ ἀπὸ ὕλης λεπίδας αἰγιδώδεις, ὅτι μάλιστα ἐοίκεσι. καὶ ὡς ἂν εἴποι εἶδός τις κατὰ τὴν κωμῳδίαν [illegible], φόρημά τε δοκεῖ [illegible], θυσάνοις τε ἔχον ἀπῃωρημένους κατὰ τὸ πρόσωπον. καὶ δοκεῖ τὸ κάτω λεπτὰ ὄντα καὶ ἔχειν πολὺ ἐοικὸς τῆς ὕλης, καὶ αὐτὰ ὁμοίως, πρὸς ἐμφέρειαν αἰγίδος τῆς ἀληθοῦς. ὅπλον δὲ Διὸς ἡ τοιαύτη μυθικὴ αἰγίς. οὐχ οἷον ἢ βάλλειν ἢ τραῦμα ἐντρίψαι δεῖ, ἀλλὰ μόνον φοβῆσαι ἐν τῷ διασείεσθαι, καὶ ἐπισείεσθαι. καὶ αὕτη μὲν ἡ τοῦ μυθικοῦ Διὸς αἰγίς. ἱστέον δὲ, ὅτι ἀμφιβάλλεται αἰγὶς Ἀθηνᾶς, ἐπεὶ ἴδιον φόρημα τῆς Ἀθηνᾶς ἡ αἰγίς, ὅτι καὶ ὥσπερ τὸν χιτῶνα τοῦ πατρὸς Διός, οὕτω καὶ τὴν αἰγίδα ἐκείνου φορεῖ. πρὸς ὃ δοκεῖ συντελεῖν ἐνταῦθα, τὸ, Διὸς τέρας αἰγιόχοιο, ἐπειδή ἐστιν οὗτος ὁ πρῶτος τὴν αἰγίδα φορεῖν. Ἄλλως.

Αἰγίς, ἣν Λίβυες φοροῦσι δορὰν. καὶ τὸ ἐκ κημμάτων πλέγμα. καὶ τὸ διὰ κημμάτων πεπλεγμένον δίκτυον. οὕτω Λυκοῦργος, καὶ Ἡρόδοτος. ἡ δὲ ἱέρεια Ἀθηνᾶς τὴν ἱερὰν αἰγίδα φέρουσα, πρὸς τὰς νεογάμους εἰσέρχεται. αἰγὶς καὶ ὁ θώραξ, καὶ ἡ ἐν ταῖς [illegible] [illegible]. Νυμφόδωρος δὲ ταῦτα, ὑπὸ Λιβύων αἰγίδας φασὶ καλεῖσθαι. ἢ ὅπλον Διὸς ἀφανέστατον. οὐχ ὡς ἂν τινὲς φασὶν ἀπὸ τῆς Ἀμαλθείας αἰγὸς τῆς ἀναθρεψαμένης τὸν Δία, ἀλλ' ἀπὸ τῆς συστροφῆς τῶν ἀνέμων περὶ κειμένας, αἰγίδας ἐκ καταιγίδας. τὸ δὲ αἰγίς, ἀπὸ τοῦ ἀΐσσω ὃ ὁρμῶ. καὶ αἰγίς, ἡ καταιγίς, καὶ ἡ ὀργὴ θεοῦ, καὶ αἱ ἀποστίλψεις τῶν ὀφθαλμῶν. Αἰγίσκον, αἰγίδιον μικρόν. Αἰγλαήρ, ὁ Ἀσκληπιός. Αἴγλαις, λαμπηδόσι, λαμπρότησι. Αἴγλας, ἀμφιδέας, καὶ ψέλλια, τὰ περὶ τὴν ὕπερ τοῦ ἀστράγαλου. Αἴγλη, βόλος κυβευτικός, λαμπηδών, αὐγή. Κρατῖνος. καὶ ποταπὸν εἶδος δηλοῖ, καὶ ἐνοίαν. ὥς φασι Διαγόρας. ἔστι καὶ παιδικὰ [illegible]. ἀλλὰ καὶ ἡ σελήνη, οὕτω καλεῖται. Αἰγλήεις, λαμπρός. καὶ αἰγλήεσσαι, λαμπραί. Αἴγλας χαίτης. πιθανῶς ἔγραψαν καὶ τὰς χαίτας, αἴγλας τοῦ ἡλίου. ἐπεὶ τὰς χαίτας λαμπρὰς φασὶν εἶναι. Αἰγλοχίδαν. Σοφοκλῆς Ταφεῦσι. χιτῶν, καὶ αἰδώς, παρὰ Ἐπιχάρμῳ ἐν Βάκχαις. Αἰγόκερως, ὅμοιος τῷ Πανί. ἐξ ἐκείνου δὲ γεγονώς, ἔχει θηρίου τὰ κάτω μέρη, καὶ κέρατα ἐπὶ τῇ κεφαλῇ. ἐτιμήθη δὲ διὰ τὸ σύντροφον εἶναι τῷ Διί, καθά φησιν Ἐπιμενίδης ὁ τὰ Κρητικὰ ἱστορῶν φησίν, ὅτι ἐν τῇ Ἴδῃ συνῆν αὐτῷ ὅτε ἐπὶ τοὺς Τιτᾶνας ἐστράτευσεν. οὗτος δὲ δοκεῖ εὑρεῖν τὸν κόχλον, ἐν ᾧ τοὺς συμμάχους καθώπλισε, διὰ τὸ τὸν ἦχον πανικὸν καλούμενον, ὃν οἱ Τιτᾶνες ἔφυγον. παραλαβὼν δὲ τὴν ἀρχήν, ἐν τοῖς ἄστροις αὐτὸν ἔθηκε, καὶ τὴν αἶγα τὴν μητέρα. διὰ δὲ τὸν κόχλον ἐν τῇ θαλάσσῃ, πέρασμα ἔχει ἰχθύος. Αἰγοφάγος Ζεύς, ὡς παρὰ Νικάνδρῳ ἐν θηριακοῖς. καὶ αἰγοφάγος, Ἥρα ἐν Σπάρτῃ. Αἰγυλίς, λυγός. Αἰγωπιός, οἱ μὲν εἶδος ἀετοῦ. οἱ δὲ τοῦ γυπὸς ἐκδέχονται. γίνεται δὲ παρὰ τὸ ἀΐσσω. Αἰγύπιος, σίγυος, ἀσπαλαβώτης. Αἰγυπτία ἰμπλάν, ὁ ὀρφώς, καὶ τὰ ἐκεί-

νων φορτία. ὡς Εὐριπίδης. Αἰγυπτιάζειν, τὸ κακοτροπεύεσθαι, καὶ πανουργεύεσθαι. διότι γὰρ οἱ Αἰγύπτιοι. Αἰγύπτιον, ἔλαιον κατάλειπον, ἢ μύρον λευκόν, τὸ κυπρῖνον μύρον. ὅπερ καὶ μετὰ κινναμώμου ἀρώματος σκευαζόμενον διά τε κρίνων, καὶ ἀρωμάτων. διὰ τοῦτο μύρον, οὐκ ἔλαιον προσαγορεύεται. τὸ δ' αὐτὸ, καὶ Μενδήσιον μύρον ὀνομάζεται, παρὰ τῷ Ἱπποκράτει. ἢ Αἰγύπτιον μύρον, τὸ ἀπὸ τῆς αἰγυπτίας ἀκάνθης τοῦ ἄνθους μύρον. Αἰγύπτιος πλινθοφόρος, παροιμία ἐπὶ τῶν [illegible]. οἱ Αἰγύπτιοι διαβάλλονται, ὡς ἀχθοφόροι. Αἴγυπτος, ἀπὸ Αἰγύπτου βασιλέως τοῦ υἱοῦ Βήλου. ἢ ἀπὸ Αἰγύπτου τοῦ Νείλου. ὁ γὰρ Νεῖλος πρότερον Αἴγυπτος ἐκαλεῖτο. καὶ ὥς φασι Διόδωρος καὶ Ἡρόδοτος, Μέλας ἦν. ἐκ Φοινίκης δὲ καὶ χρῶται, ταῖς ἐκβολαῖς τοῦ ἰλύος. σημαίνει δὲ τρία. τὴν χώραν, ὡς τὸ, Αἰγυπτόνδε δίμηνον ἄνωγεν. τὸν ποταμὸν τὸν Νεῖλον, ὡς τὸ, στῆσα δ' ἐν Αἰγύπτῳ ποταμῷ νέας. τὴν ἁμαρτίαν, παρὰ τῷ Θεολόγῳ, ὡς τὸ, Αἴγυπτον τὴν σκοτεινὴν, καὶ διαφθορὰν ἁμαρτίας. Αἰγυπτιῶσαι, μελᾶναι, καὶ ἐπισκιῶσαι. Αἰγῶν οἱ μὲν τέλειοι, φάγοι καὶ ἐριφοί. οἱ δὲ ἐχόμενοι ἡλικία, χίμαρροι. τὰ δὲ νεώτατα, ἔριφοι. ὁ δὲ ποιητὴς ἐν Ὀδυσσείᾳ, τὰ μὲν τέλεια προγόνους καλεῖ. τὰ δὲ μετὰ ταῦτα, μέτασσας. τὰ δὲ νεώτερα, ἕρσας. Αἰγώνυχον, πόας εἶδος. Αἰδάος, δικαστάς. Αἰδαο, ἀντὶ τοῦ αἴδου, δωρικῶς. καὶ αἴδω, ἰωνικῶς. Αἰδαῖος, ὁ δικαστής. ταραντῖνοι.

Αἰ δὲ, αὐτὴ δεῖ. Αἴδας, ὁ τάφος, ὁ τύμβος, καὶ ὁ ᾅδης.

Αἴδεσα πρὸς μυῤῥίνην. ἔθος γὰρ ἐν τοῖς συμποσίοις τὸν μὴ δυνάμενον ᾆσαι, δάφνης κλῶνα ἢ μυῤῥίνης λαβόντα, πρὸς αὐτὸν ᾄδειν. καὶ ᾄδειν ἐπὶ ἀλαζόνων λέγουσι ἀττικοί, κοκκύζειν δ' οὔ. καὶ αἴδειν οἷον παῖ τελαμῶνος, ὃν δὴ σκολιὸν, γεγραμμένον εἰς Αἴαντα. Αἰδεῖς ἴχνον, εἶδος τῷ μάτην λέγεις, καὶ ληρεῖς.

Αἰδεῖς, ἄγροι, αἰσχύνης γεγονότες. Αἰδὲς, τὸ ἀκατάλυτον.

Αἰδέσθη, ἐντρέπεσθαι. Αἰδέσθαι καὶ τὸν πατέρα, αἰσχύνεσθαι καὶ ὡς μὴ δεῖον πράξας. αἰσχύνη γὰρ, ἐφ' οἷς ἕκαστος ἁμαρτὼν αἰσχύνεται. αἰδὼς πρὸς ἡλικίαν, πρὸς ἀρετήν, πρὸς ἐγκράτειαν, πρὸς εὐδοξίαν. ὁ δὲ ἐπισκοπούμενος αἰδεῖται, πρὸς ἑκάστην τῶν εἰρημένων ὑπεροχῶν προσφέρεται. οὕτω διακείμενος οὐ διὰ τὸ ἁμαρτεῖν, ἀλλὰ διὰ τὸ σέβεσθαι καὶ τιμᾶν τὰς εἰρημένας ὑπεροχάς.

Αἰδέσασθαι, τὸ ἔνοχον ὄντα φόνῳ ἀκουσίῳ, καὶ πεφυγαδευμένον ἐφ' ὡρισμένον χρόνον ἐξιλάσασθαι, ὡς εἰληφότα τὴν τιμωρίαν μετανοῆσαι. οὕτω Λυσίας, καὶ Δημοσθένης. Αἴδεσθεν, ᾐδέσθησαν. Αἰδεῖσθαι, αἰδεῖσθαι. Αἰδεσθεὶς, ἀπὸ τοῦ αἰδέω, ὁ μέλλων αἰδέσω, ὁ παρακείμενος ᾔδεκα, ὁ παθητικὸς ᾔδεσμαι, ὁ ἀόριστος ᾐδέσθην, ἡ μετοχὴ αἰδεσθείς. Αἰδέσσεται, αἰδεσθήσεται. ἀπὸ τοῦ αἰδέω, ῶ, αἰδοῦμαι. ὁ μέλλων αἰδέσομαι, τὸ τρίτον αἰδέσεται. καὶ πλεονασμῷ τοῦ ἑτέρου σ, αἰολικῶς, αἰδέσσεται. οἱ γὰρ αἰολεῖς διπλασιάζουσι τὰ σύμφωνα. οἷον, τόσον, τόσσον. ὁπότε, ὁππότε.

Αἰδέσιμον, σεβάσμιον, τίμιον. Αἰδεσιμώτατος, αἰδοῦς ἄξιος. Αἰδεσία, ἑρμοῦ γυνή. αὕτη μὲν ἦν προσεχὴς γυνὴ τῷ μεγάλῳ σπουδαίῳ καλλίστη δὲ καὶ ἀρίστη γυναικῶν τῶν ἐν Ἀλεξανδρείᾳ. τὰ μὲν ἤθη, τῷ ἀνδρὶ παραπλησία. ἁπλῆ καὶ γενναία, καὶ δικαιοσύνης οὐδὲν ἧττον ἢ σωφροσύνης ἐπιμεληθεῖσα διὰ παντὸς τοῦ βίου. τὸ δὲ ἐξαίρετον αὐτῆς, φιλόθεον καὶ φιλάνθρωπον καὶ ἄλλα πολλὰ λέγουσι περὶ αὐτῆς. Αἰδεῦσαι φροντίδα, καὶ φροντίσαι. παροιμία, ὅπερ ὁ ποιητὴς πολλαχοῦ αὐτοῖς ἔργοις ὑποδεδήλωκεν οἷς τὰς διαφόρους συμβολὰς κρύπτουσαν, ἢ τὰς ὑποθέσεις μελέτας πραγματικάς. Αἴδηλον πῦρ, τὸ μὴ ἱερόν, οἷον καθάρσιον, καὶ μόνον ἐπὶ ἑνὸς τόπου, ὅτι ἄνεμος εἰλυφόων φέρει, ἀνά τε προϊόν, καὶ νεμόμενον τὰ παρατυχόντα, ἵνα ᾖ ἀΐδηλον. καὶ τροπῇ συνέβη τοῦ ι εἰς δ, αἴδηλον. καὶ αἴδηλον πῦρ λέγει Ὅμηρος. ἢ τὸ φλογερὸν, ἐκ τοῦ αι τοῦ σημαίνοντος τὸ πολύ, καὶ τοῦ ἰδεῖν. ὅπερ ὅμοιον εἴη ἂν καὶ τὸ αἰΐδηλον, ἤγουν ἀφανιστικόν, καθ' ὁμοιότητα τοῦ ᾍδου. ἢ τὸ ὑπὸ πολὺ ἰδεῖν, ἐκ τοῦ α καὶ τοῦ ἰδεῖν τὸ κάθημαι, γραπτέον τοῦ ζ εἰς δ.

γοῦ τὸ γανοῦσθαι, γαίειν. καὶ μετὰ τοῦ ἐπιτατικοῦ α, ἀγαίειν. καὶ πλεονασμῷ τοῦ ι, αἰγαίειν. Αἰγανέη, οὐχ ἁπλῶς δόρυ, ἀλλὰ καὶ ἐλαφρὸν καὶ μικρὸν εἶδος ἀκοντίου, εἰς αἰγῶν θήραν ἐπιτήδειον. παρὰ τὸ ἵεσθαι κατὰ αἰγῶν, ὃ καὶ παρὰ τὸ ἄγαν ἵεσθαι. οἱ δὲ παλαιοί φασι καὶ τὴν αἰγανέαν, μικρὸν ἀκόντιον. Αἰγανέας δολιχαύλους λέγει, τὰς μακροσιδήρους, αἳ πεποίηνται κατ' αἰγῶν. τὸ δὲ εἰπεῖν αἰγανέας τινὰς, ἀττικόν ἐστι καὶ ἰωνικόν. καὶ αἰγανέη, ἡ παρὰ τὸ ἄγαν ἵεσθαι, ἢ διὰ τὴν ἀγκύλην τὴν ἐξ αἰγείου δέρματος γεγενημένην. ἢ διὰ τὰς αἶγας, παρὰ τὸ ἐπ' αὐτὰς ἵεσθαι, ὅ ἐστι πέμπεσθαι. λέγεται δὲ ἀγκύλη, ἡ τῆς αἰγανέας λαβή. Αἰγανέας, τὰ δόρατα. ἢ αἰγανέαισιν ἱέντες, τοῖς δόρασι βάλλοντες, τοῖς παίειν ὑφαμμένοις.

Αἶγε, αἶγες γέρ. Αἴγαγρος, εἶδος ζῴου. Αἰγαὶ, ἃς τὰς ἐν εὐβοίᾳ λέγει Ὅμηρος ἐν τῷ ν τῆς ἰλιάδος, ἔνθα μυθεύονται τὸ κατὰ τὰς ἐφημέρους ἀμπέλους. αἵ φασιν ἕωθεν ἀνθοῦσαι, πρὸς μεσημβρίαν πεπαίνουσι βότρυας. ἑσπέρας δὲ, ἄκρατον κερνῶσι δαψιλῆ, ὑπὸ χορῷ τῶν τελουμένων τῷ Διονύσῳ, ἢ τῶν μαινάδων. ὁσάκις ἀναλίσκονταί φασι, τοσαυτάκις ἀναδαψιλοῦνται. ὁ καὶ τὰ Νικόστρατος, αἰγὰς τουτέστι, νῆσον περὶ τὸν αἰγαῖον. περὶ ἧς παραδοξολογία φέρεται. ὡς οἱ προσορμιζόμενοι ἐκεῖ ναῦται, ἀφανεῖς γίνονται. διὸ μὴ δὲ προσπελάζειν ἐκεῖ. ὡς εἶναι εἰκὸς κἀνταῦθα τὸ Σοφόκλειον εἰπεῖν, Οὐκ ἔσθ' οἱ πλοῖ τοῖσι σώφροσι βροτῶν. ἕτεροι δέ φασιν, αἰγὰς ἐνταῦθα λέγειν τὴν πεδιάδα τὰς ἐν πελοποννήσῳ, ἔνθι ἀχαϊκάς. ἔνθα ὁ ποσειδῶνος ἑορτὴν ἄγεσθαι, καὶ τὰ Διονύσια ὀργιάζεσθαι. ὅπου καὶ συστάντος τοῦ χοροῦ φασὶν εἰς τὰ ὄργια συμβαίνειν τὸ προειρημένον τῶν ἐφημέρων ἀμπέλων. ὁ δὲ γεωγράφος φησὶν, ὅτι περὶ τὴν τῶν ἀχαιῶν εἰσὶν ἄλλαι αἰγαί, αἳ ἑνικῶς καὶ ἑνικῶς λέγεται ἡ αἰγά. ἔνθα καὶ πόλις τὸ αἴγιον, ἧς οἱ πολῖται αἰγιεῖς. ἣν Ἄρατος ὠλενίαν φησὶν, ἀπὸ ὠλένης, ἢ ὠλένου ἐγχωρίου πόλεως. ἴσως δὲ, ὅτι ἀπὸ τοῦ κατὰ τὸν ὀλύμπιον Δία αἰγὸς, καὶ μάλιστα τῆς κατὰ τὴν ἀμάλθειαν, φέρεται ἡ παροιμία, τὸ αἲξ οὐρανία, ὁμοία τῷ, λευκὴ ψῆφος, κατὰ παρωνυμίαν. ὡς γὰρ ἡ ἀμάλθεια φασὶ τροφὸς ἦν τοῦ Διὸς, οὕτως καὶ ἡ λευκὴ ψῆφος ἐγένετο τῇ Αὐρολοχοῦντος δικαστάς. ἢ καὶ ἄλλως. ὥσπερ ὁ τὸ τῆς ἀμαλθείας αἰγὸς ἔχων κέρας πάντ' εἶχεν, οὕτως καὶ οἱ κυαμεύοντες φασὶ τὰς ἀρχὰς, καὶ τἄλλα ἀργυριζόμενοι. διὸ καὶ αἲξ οὐρανία ἔοικε λέγεσθαι, οἱονεὶ θεία, καὶ ὑψοῦσθαι τῆς δικαστὰς ὅθεν δῶρα ἐλάμβανον.

Αἰδίω, ἐπίρρημα μεσότητος. σημαίνει δὲ τὸ ὁρμητικῶς. οἷον, Αἰδίου δαμάσσει δὲ σῦν ὁσίῳ, ἵνα ἐκθύσοι. παρὰ τὸ αἴσσω, τὸ ὁρμῶ. καὶ συγκέχυται Ἡσίοδος, ἀντὶ τοῦ ὁμοῦ ὁρμῶν ἐχέτω.

Αἶγε, αὗται. Αἰγέα, τὸ τῆς αἰγὸς δέρμα. Αἰγεία, θάλασσα. Αἰγείην κυνέην, τὴν ἐξ αἰγείου δέρματος γενομένην περικεφαλαίαν. Αἰγεῖς, φυλὴ ἀθήνησιν. ὠνομάσθη ἀπὸ αἰγέως τοῦ πανδίονος. ἔνθεν οἱ φυλέται, αἰγεῖδαι. Αἰγεὸν, δέρμα αἰγὸς, ὃ καὶ μηλωτή. καὶ αἰγεῖον, τὸ τῆς αἰγὸς μαστίγιον. Αἰγεὸς ἀσκὸς, ὁ ἀπὸ τῆς αἰγός. ὡς παρ' Ὁμήρῳ ἐν αἰγείῳ λέγεται, πρὸς ὁμοιότητα τοῦ χρυσέου, καὶ ἀργυρέου. Αἴγειρος, εἶδος δένδρου. ἀναστροφὴ ὁ τρόπος. ὠνομάσθη δὲ, ἀπὸ τοῦ ἐγείρεσθαι αὐτὴν καὶ ἀναβλαστεῖν. ἢ αἴγειρος, ἡ λεύκη, ἢ αἴγειρος, παρὰ τὸ ἐκ τῶν ὀρῶν αἴσσειν. ὑγρὰν, ὁρμᾶν καὶ κινεῖσθαι. ἢ ἀπὸ τοῦ κατατείνεσθαι ὑπὸ τῶν ἀνέμων. ὅπερ ἐπὶ ἀρσενικοῦ τε καὶ θηλυκοῦ γένους λαμβάνεται. Αἰγιροτόμοι, ἰθαγενεῖς τινὲς ἀθήνησιν. Αἰγείρου θέα. ἐγγὺς ἦν ἀθήνησι, πλησίον τοῦ ἱεροῦ. ἔνθα πρὶν γενέσθαι θέατρον, τὰ ἴκρια ἐπήγνυον.

Αἶγες, τὰ μεγάλα κύματα Δωριεῖς, ἐν τῇ συνηθείᾳ. καὶ ἐπαιγίζω, τὸ σφοδρῶς πνέω. καὶ αἰγαῖον πέλαγος, τὸ φοβερώτατον.

Αἰγιάλεια, ἡ νῦν ἀχαΐα. Αἰγιαλεῖς, οἱ μετὰ ἀγαμέμνονος στρατευσάμενοι πρότερον ἴωνες. νῦν δὲ ἀχαιοὶ, οἷον σικυώνιοι. Αἰγιαλεὺς, δῆμος ἀνδοκίδος. ὁ δημότης, αἰγιαλεύς.

Αἰγιαλίδες, ὑμένες ἐν τοῖς ὀφθαλμοῖς. καὶ ἡ ἐν τοῖς ὀφθαλμοῖς δὲ ὑπολευκὴς οὐλὴ, αἰγιαλίδας ἔλεγον. Αἰγιαλὸς, οὕτως ἐκαλεῖτο παραθαλασσία τῆς χώρας. ἦν γὰρ ἐπὶ τῇ ὄχθῃ τοῦ πελοποννήσου, ἡ παρατείνεται ἀπὸ σικυῶνος μέχρις ἠλείδος. αἰγιαλεῖς δὲ, τὸ πρὶν πολῖται. ὧν εἷς, καὶ ὁ κατὰ παφλαγονίαν. Αἰγιαλὸς, παρὰ τὸ τὴν ἅλα εἶναι γείτονα τῆς ἁλός. ἢ ἀπὸ τῆς γαίας, ἢ ἀπὸ τοῦ δίκην αἰγὸς ἄλλεσθαι. Αἰγίβοτος γῆ, ἡ αἶγας βόσκειν καὶ τρέφειν δυναμένη. ἐξ οὗ τὴν ἰθάκην οὕτω λέγουσιν ἣν καὶ αἰγινομὸς καὶ αἰγίβοτος λέγεται. Αἰγίδας. οὕτως ἐκάλουν τὰ τῶν στρατευμάτων δίκτυα. Λυκοῦργος ἐν τῷ περὶ διοικήσεως, καὶ Ἡρόδοτος ἐν τῇ τετάρτῃ. Νυμφόδωρος δὲ ταύτας φησὶν ὑπὸ λιβύων αἰγίδας καλεῖσθαι. Αἰγίδα θυσανόεσσαν, τὸ ὅπλον τοῦ Διὸς τὸ ἱερωσύνης.

Αἰγίζει, διασπᾷ, καταιγίζει. ἐκ μεταφορᾶς. παρ' ὃ καὶ τὸ αἰκίζεσθαι, ἀπὸ τοῦ καταιγίζειν. Αἰσχύλος. ἐκ ὁ αὐτὸς ποιητὴς ἐν ἠδωνοῖς, αἰγίζειν τὰς νεβρίδας λέγει, ἀντὶ τοῦ διασπᾶν καὶ καταιγίζειν. Αἰγίθαλος, ὄρνεον, καὶ εἶδος βοτάνης καὶ ὀρχήσεως.

Αἰγίλιψ, πέτρα ἀπόβατος, καὶ ὀρεινὸς τόπος. ἥτις κατ' αἰγίλιπας πέτρας, δνοφερὸν χέει ὕδωρ. γίνεται δὲ παρὰ τὸ λείψω μέλλοντα, λείψ. καὶ ἀποβολῇ τοῦ ε, λίψ. καὶ ἐν συνθέσει μετὰ τῆς αἴξ, γίνεται αἰγίλιψ. εἰς ἣν καὶ αἲξ οὐ δύναται ἀναβῆναι. οὕτως ὠρίων. ἔστι δὲ ῥηματικὴ ἡ λέξις. Ἄλλως. Αἰγίλιψ, πέτρα, ἧς διὰ τὸ ὕψος δυσανάβατον, καὶ ὑπὸ αἰγὸς λείπεται. ἀλίβατος, ξηρὰν, καὶ πετροβολικοῦ. καὶ αἰγίλιπα, τραχεῖαν, ὑψηλήν. παρ' Ὁμήρῳ. ὄνομα μὲν τόπου ἡ τραχεῖα, ἐπίθετον δὲ καὶ τὸ αἰγίλιπα ὁμοίως. ἰστέον δὲ, ὅτι ἅπαξ ὑφαχθῆναι ἐκεῖ, καὶ εὐθὺς συνατένια αἰγίλιπα. ἤγουν τὴν ταῖς αἶγας λειπομένην κατὰ ἴωνας. διὸ καὶ ἡ ἰθάκη, αἰγίβοτος λέγεται εἶναι. ἢ μᾶλλον, τὴν καὶ ὑπ' αὐτῶν αἰγῶν λειπομένην, διὰ τὸ ἄγαν ψιλὴν καὶ ἀβάσκαντον. αἰγίλιψ ἐκ τοῦ αἰγὶ σύνθετη δοκεῖ, καὶ τοῦ λείπω. ἤγουν, ἀπρόσβατος. ψιλὴ, ἀβάτος. καὶ αἰγίλιπες πέτραι λέγονται, ἃς διὰ τὸ δυσανάβατον, αἱ αἶγες λείπουσιν. ἕτεροι δὲ πέτραν αἰγιλιποτάτην, τὴν μακρὰν φοιτᾶν. λέγοντες, ὡς οὐδ' ἂν ἡ αἲξ ἀναβαίη, ἄπορον αὐτὴν ποιεῖ. ὡς τὸ κατ' αὐτὸς αἰγίλιψ, ἣν ἡ αἲξ βοσκομένη λείπει. καὶ αἰγίλιψ, πόλις κεφαλληνίας. γράφεται δὲ ἡ λέξις τοῦ αἰγίλιψ, διὰ τοῦ ι. ἐπεὶ μηδέποτε πρὸ τοῦ λίπων, εὑρίσκεται δίφθογγος.

Αἴγιλος, ἀκρωτήριον πελοποννήσου, καὶ εἶδος βοτάνης.

Αἰγίλουρος, αἴλουρος. καὶ πλεονασμῷ τῆς γι συλλαβῆς, αἰγίλουρος. Αἰγιλόδυρος, κόραξ. Αἰγίλωψ, πόα τις ἐμφερὴς ἀχύρου, καὶ τὸ περὶ τοὺς ὀφθαλμοὺς πάθος. Αἰγιμιοῦ, ὄνομα πόλεως. Αἴγινα, ὄνομα πόλεως καὶ νήσου. κεῖται δὲ πλησίον ἐπιδαύρου πρὸ τῆς ἀττικῆς. ἔσχε δὲ τοὔνομα ἐξ αἰγίνης τῆς ἀσωποῦ, οἰνώνη πρότερον καλουμένη. γράφουσι τινὲς παρὰ τῷ ποιητῇ, ἀντὶ τοῦ Οἵ τ' ἔχον αἴγιναν, νῆσόν τ' αἴγιναν. ἐπεὶ διαστέλλουσι τὴν τῆς χώρας αἴγιναν. ἔνδοξος δέ ἐστιν ἡ νῆσος αἴγινα. Αἰγιναῖα, τὰ ῥωπικὰ φορτία. καὶ οἱ πιπράσκοντες, αἰγινοπῶλαι. ἐλέγετο δὲ καὶ τὰ μεγάλα αἰγιναῖα, ἀπὸ τοῦ νομίσματος. καὶ γὰρ τὸ αἰγιναῖον τάλαντον, πλεῖον ἦν τοῦ ἀττικοῦ. ἔλεγον δὲ τῆς μὲν τελείας, αἰγινήτας. τὰ δὲ ἐκ τῆς νήσου, αἰγιναῖα. Αἰγιναῖον, νόμισμα ἀργυροῦν, μέγα. καὶ αἰγιναῖος ὀβολὸς, ὁμοίως. Αἰγινητικὰ ἔργα, τὰ συμβεβηκότα ἀνδριάντα. Αἰγινόνομοι, ζῷα οὕτω καλούμενα. Αἴγιον, πόλις ἀχαΐας, οὗ ὁ πολίτης, αἰγιεύς. ὡς ὁ χρησμὸς, Ὑμεῖς δ' αἰγιεῖς, οὔτε τρίτοι, οὔτε τέταρτοι. πιστὸν, οὐ μόνον πρῶτοι ἐν ἀνθρώποις οὐ λέγεται, οὔτε μᾶλλον δυοδέκατοι ὡς ἄνευ λόγου βουλεύεσθαι, ἀλλ' οὐδὲ τρίτοι, οὐδὲ τέταρτοι τὰ εἰς ἀνθρώπους ὄντες. ὁ δὲ Στράβων λέγει, τὸ αἴγιον ἱκανῶς οἰκούμενον. ἱστορεῖται δὲ ἐνταῦθα τὸν Δία ὑπὸ αἰγὸς τραφῆναι. ἣν ὠλενίην Ἄρατος λέγει, διὰ τὸ πλησίον ἡ ὠλένη, ἢ ὁ ὤλενος κάτοικος ὁμώνυμον τῷ αἰγιαλικῷ, μεταξὺ πατρῶν καὶ δύμης. ῥεῖ δὲ αὐτόθι σελινοῦς ποταμός. Αἰγίοχος ζεύς, ἢ αἰγιόχος. κατὰ μὲν μῦθον, ὁ μετὰ γένεσιν τὴν ἐν κρήτῃ ὑπὸ αἰγὸς εὑρηκὼς, τὴν ἐκεῖ, διὰ τὸ τὴν τροφὴν, ὃς πείσας τὴν παιδοβρῶτα πατέρα κρόνον ἀποδ-

[illegible]

Ἀθμονία, καὶ ἀθμὼν, δῆμός ἐστι φυλῆς τῆς Κεκροπίδος. ἀφ' οὗ ὁ δημότης, Ἀθμονεύς. Ἀθμονὶς, ὄνομα κύριον. Ἀθόλωτος, ὁ ἀτάραχος. Ἀθόλωτον, καθαρόν. Ἄθορον, ἄπληκτον.

Ἄθου, προπαροξύνουσιν οἱ παλαιοὶ τὴν φυσικὴν τάσιν φυλάσσοντες. γίνεται γὰρ ἐκ τοῦ ἄθω, πλεονάζοντος ἐν τῇ παραληγούσῃ τοῦ ο μικροῦ. ὡς ἐν τῷ φῶς φόως. καὶ κῶς ὁ νόσος, κόως. εἴδη, κόσμου ἐνυπνομένου. Ἄθραι, ἀπειλαὶ, καὶ ἀνατάσεις. Ἀθράκτοι, ἀτάρακτοι. καὶ ἄθρακτος, ἀτάραχος. Ἀθράνευτον, ἀσχολαστόν. Εὐπόλιδος εἶπε. Ἄθραυσ, ἅρμα ῥόδοισι. Ἀθραυσεν, ἀπρόσκοπα. Εὔπολις, ἐρειδείς τῇ ἐν αὐλίδι. Ἄθραυστον, ἰσχυρὸν, ὑγιῆ, ἀβλαβῆ, ἄκλαστον. Ἀθρέως, ἀπλῶς. Ἄθρει, βλέπε, ὅρα, νόει, ἴδε, θεώρησον, σκόπει. Ἀθρεῖν, τὸ ἄγαν βλέπειν. θρῶ ἀπὸ τοῦ ὁρῶ τὸ βλέπω γίνεται, λέγει. καὶ προσθήκῃ τοῦ α ἐπιτατικοῦ μορίου, γίνεται ἀθρῶ, τὸ ἄγαν βλέπω. καὶ κατὰ συνέκτασιν τοῦ δ πρὸς τὸ θ, ἀθρῶ. καθὰ καὶ ἐκ τοῦ μύδω γίνεται ὁ πρεμυθής. καὶ ἐκ τοῦ οὐδενὸς, οὐθενὸς, καὶ ἄλλα ὁμοίως. θρῶ δὲ, ἐκ τοῦ διορῶ συγκέκοπται. ὁ θρεῖν, ἐκ τοῦ θεωρεῖν. καὶ κατ' ἐπίτασιν, ἀθρεῖν. μετὰ ἐπιτάσεως θεωρεῖν, περισκέπτειν. Ἀθρέω, ἀθρήσω, κοινὴ συντάσσεται. οἷον, ἄγε δὴ ἀθρήσω περὶ σοῦ. Ἄθρικτοι, ἀτάρακτοι. Ἀθρίζοντες, ἴδεσθαι ἐπιθυμοῦντες. Ἀθρίμβολα, ὄργανα ἱμαρνικὰ, ἄρθρεις ὡς ὥσπερ ἐμβαλλόμενα, καὶ διασπῶντα καὶ πλήττοντα. οἶμαι δὲ ἀρθρέμβολα δεῖ γράφειν. Ἀθρήματα, δῶρα τὰ πεμπόμενα παρὰ τῶν συγγενῶν ταῖς γαμουμέναις παρθένοις, παρὰ Λεσβίοις. Ἀθρηὶς, εἶδος μηλέας. Ἀθρῆνοι, χωρὶς θρήνων. Ἀθριώνιον, ὑπαίθριον τόπον. Ἀθρήσω, ἀτενίσω, ἴδω. καὶ ἀθρήσας, ἰδών. Ἀθρήσειν, σκοπήσειν, ὄψεσθαι. καὶ ἄθρητον, θεώρητον. Ἀθρίβις, πόλις Αἰγύπτου. Ἀθρόα, ὁμοῦ πάντα. Ἀθροίζω, συνάγω. τὸ, τοὺς ἀθροιζομένους ὄχλους, παρεκτρέπων. Ἀθρόοι, ἀντὶ τοῦ ὁμοῦ. καὶ ἀντὶ τοῦ αἰφνίδιοι, καὶ ἀπροσδόκητοι. καὶ ἀθρόοι καταρρέοντες, ἀντὶ τοῦ ὁμοῦ. προπαροξύνειν δὲ δεῖ τὸ ὄνομα, καὶ δασύνειν τὴν πρώτην συλλαβὴν ἀττικῶς. καταρρέοντες δὲ, ἀντὶ κατερχόμενοι. ἡ μεταφορὰ ἀπὸ τῶν ποταμίων ῥευμάτων. Ὅμηρος, Τοὶ δ' ἐπέρρεον ἔθνεα πεζῶν.

Ἀθρόως, καὶ ἀθρόον, ἀντὶ τοῦ ὁμοῦ, ἐξαίφνης. Ἀθροίζω, τὸ συναγείρω. ἐκ τοῦ θροῦς ὁ θρόος, ὃ σημαίνει τὸν θόρυβον, γίνεται θροΐζω. καὶ κατὰ συναίρεσιν, καὶ μετὰ τοῦ ἐπιτατικοῦ α, ἀθροίζω. Ἄθροισμα, πλῆθος, σύναξις, σύνταγμα. Ἀθρόον, πολὺ, ἀκέραιον. λάκωνες. Ἀθρόας, ὃ καὶ ἄθρας λέγουσι δισυλλάβως. ἀντὶ τοῦ εἰς ἓν συνηγμένας. ὁμοῦ, ἀθρόως. ὡς τὸ, Τοιαῦτα μὲν ἐπεὶ πάλιν, ἄθρας διεσκεδασμένος. Ἀθρόοι, καὶ ἀθρέα, καὶ τὸ ἀθρόον. πρὸς διάφορον σημασίαν διαφόρως οἱ ἀττικοὶ ἐπιπνευματίζουσι. ἐπὶ μὲν τοῦ αἰφνιδίου ψιλοῦντες αὐτὸ, διὰ τὴν τοῦ α στέρησιν. οἷον, τὸ δίχα θροῦ, τουτέστι θορύβου. ἐπὶ δὲ τοῦ ὁμοῦ δασύνοντες, διὰ τὴν ἄθροισιν, ἀθρόον τὸ ἅμα θρῶ, ἢ τὸ θορυβῶ, ἢ τὸ ἅμα θορεῖν, ἤγουν πολλάκις. τὸ δὲ ἀθροιστικὸν α δασύνεται. τὸ γοῦν ἀθρόοι ἦλθον, καὶ ἀθρόα πάντ' ἀπέδωκεν, ἐδάσυνον ἀττικῶς τούτῳ τῷ λόγῳ, διὰ τὴν ἀθροιστικὴν σημασίαν. οἱ δὲ νῦν, ὅπως ἂν ἔχοι, ψιλοῦσιν αὐτὰ διὰ τὸ πρὸ δασέος κεῖσθαι τὸ α. οἱ δ' αὐτοὶ ἀττικοὶ καὶ τὸ αὔω, ἐπὶ μὲν τοῦ φαίνω ἐψίλουν. ἐξ οὗ καὶ ἕως ἡ ἡμέρα. ἐπὶ δὲ τοῦ ξηραίνω, ἐδάσυνον. ἐξ οὗ καὶ τὸ ἀφαυάνθαι παρὰ τοῖς κωμικοῖς, ἀντὶ τοῦ ἀποξηρανθῆναι. καὶ τὸ εἴργω δὲ ἐπὶ μὲν τοῦ κωλύω, ἐψίλουν. καὶ δῆλον ἐκ τοῦ ἀπείργειν. ἐπὶ δὲ τοῦ ἐγκλείω, ἐδάσυνον, ὡς δηλοῖ τὸ καθείργειν. Ἀθρόως, ταχέως, αἰφνιδίως, σφοδρῶς, ἀφνως, συνηγμένως, ὁμοῦ. Ἄθρυπτος, ἀνέφυδος, μὴ βλακεύουσα, μηδὲ μαλακιζομένη, μηδὲ χαυνουμένη. Δαμάσιππος, Τὴν δὲ τροφὴν ἐκληρώσατο, μηδὲ ἴσην καὶ ἄθρυπτον, οὔτε κακουργοῦσαν διὰ πενίαν, οὔτε διὰ πλοῦτον βλακεύουσαν, ἀλλὰ μέσην καὶ μεσοτάτην τὴν δίαιταν τρόπον, ὡς ἀληθῶς ἡρμοσμένην. Ἀθυμία, λύπη. ἢ τὸ κατατεθυμμένον, ἀθόλωτος σύρσις. Ἄθυμος, ἀντὶ τοῦ ἀθυμότερος. Πλάτων Πολιτείας πέμπτῳ. ἤγουν, ὁ λελυπημένος. Οἱ δὲ σφάλλονται καί τι ἄθυμοι δοκοῦντες, καὶ τὰ σώματα παρειμένοι, ἐν τῇ προτέρᾳ μάχῃ παρέβαλον καὶ ἐνίκησαν. ἀντὶ τοῦ, τὴν ψυχὴν κακοί. Ἀθυμότερος, ἀψυχότερος, κακοψυχότερος.

Ἀθυμῶ ἀμεταβάτως. Οἶμαι ὡς ἀθυμῶ, λυποῦμαι. Ἀθὺρ, ὁ μήν. καὶ τὴν ἀφροδίτην αἰγύπτιοι καλοῦσιν ἀθύρ. καὶ μῆνα γε τὸν τρίτον τοῦ ἔτους ἐπώνυμον ταύτῃ πεποιήκασιν. οὕτως Ἀπίων. καὶ ἀθὺρ ὁ βοῦς παρὰ αἰγυπτίοις. Ἀθύρειν, τὸ παίζειν ἀθύρματα. κυρία λέξις ἐπὶ παίδων. ἔστι δὲ ἀθύρειν τὸ ἄνω βαίνειν, ἐκτὸς ἔχοντα τοῦ καθήκοντος. ὡς εἶναι περὶ θύρας ὅ φασιν ἥκοντα, ἢ μὴ εἰδότα θύραν. ὅπερ ἡ κοινὴ γλῶσσα ἐκθυρίζειν φησίν. οὐ τὸ ἀνάπαλιν, ἔσω ἐγκλεῖσθαι μένειν τῆς θύρας. καὶ ἀθύρει, παίζει, ῥαθυμεῖ. Ἄθυρμα, κάλλιον ἢ παίγνιον. εὕρηται δὲ παρὰ Πλάτωνι, ἀθυρμάτιον. Ἀθύρεσθαι, παίζειν, μινυρίζειν, σκιρτᾶν. Ἀθύρματα. Ὅμηρος, Μυρία ἄγοντες ἀθύρματα. τουτέστι, κόσμια. φασὶ μὲν ἀθύρματα, τὰ ταῖς γυναιξὶ εὐτελῆ. ὅτι ὁ ἠλεκτροδέμενος χρυσὸς ὅρμος. κατὰ δὲ τοὺς παλαιοὺς, παίγνια, σκιρτήματα. παρὰ τὸ ἄγαν θόειν, ὅ ἐστιν ὁρμᾶν, κατὰ πρόσθεσιν τοῦ ρ. ὁμοίως τῷ αἴθω, αἰθρός. Ἀθυρογλωττία, ἡ φλυαρία. Ἀθυρόγλωττος, βλάσφημος, φλύαρος. ἀθυρόστομος λέγεται, παρὰ τὸ θύραν μὴ ἐπικεῖσθαί φασι τῇ γλώσσῃ. ἢ παρὰ τὸ ἀθύρειν, ἤγουν ἀδιακρίτως ὁμιλεῖν. ὃ καὶ αὐτὸ ἤγουν τὸ ἀθύρειν εἴρηκεν θύρας τῆς κατὰ νοῦν σημαίνει. Ἀθυρόγλωττον. καὶ καθ' Ὅμηρον εἰπεῖν ἀκριτόμυθον, καὶ κατὰ τὴν κωμικὴν φράσιν, ἀπύλωτον ἔχον στόμα. Ἀθυρογλωττία, ἡ ἀχαλίνωτος γλῶσσα. Ἀθυρονόμοι, οἱ ὡς ἔτυχε τοῖς νόμοις χρώμενοι. Ἀθύρει, μινύει, ῥαπίζει. Ἀθυροστομεῖν μὴ εἴπῃς, ἀλλὰ λοιδορεῖν. Ἀθύρω, τὸ παίζω ἀμεταβάτως. Πλάτων, Κεκτῆς χερσὶν οὐκ οἶδε δεῖν ἀθύρειν. Ἀθύρωτον στόμα. οὕτως ἀθύρωτον, οὐκ ἀπύλωτον. Ἀριστοφάνης ἐν Βατράχοις, καὶ Φρύνιχος. οἱ δὲ γράφουσιν ἀπύλωτον ἀντὶ τοῦ ἀνεῳγμένον, καὶ πύλην μὴ ἔχον. Ἀθωνὶς, πόλις. Ἀθώπευτον, ἀκολάκευτον, ἀπόλακτον. ἐν ἐπιγράμμασι, Θηρὸς ἀθώπευτα ποσὶ καθεῦδε δίφρον. περὶ κόρης φησὶ τοῦτο. Ἄθωος Διός. Διὸς ἱερὸν ἐν ἄκρῳ Ἄθῳ τῷ ὄρει, Ἀθῷος καλούμενος. Ἀθῷος, ἀζήμιος, ἀναίτιος, ἀπὸ τοῦ θῶ τοῦ σημαίνοντος τὸ καταβάλλω, γίνεται θωὴ, ὅ ἐστι ζημία. ὁ γὰρ ζημιούμενος, καταβάλλεταί τι. καὶ ἀθώωτος, ἀζημίωτος.

Ἄθως, ὄρος Θρᾴκης ὑψηλότατον. ὃ καὶ Ἄθων, σὺν τῷ ν λέγουσιν. Ἄθως σκιάζει νῶτα Λημνίας βοός. ὠνόμασται δὲ ἀπὸ τινος γίγαντος Ἄθω, ὃς ἦν Ποσειδῶνος ἐκ Ῥοδόπης τῆς Στρυμόνος. ἀπὸ τῆς μητρὸς οὖν τῆς Θρᾴκης τὸ ὄρος. ἀπὸ δὲ τοῦ υἱοῦ, τὸ πέλαγος ἐπωνόμασαν. Ἀθῷος, ὁ ἐπὶ τοῦ Ἄθω τοῦ ὄρους ἱδρυμένος ἀνδριὰς τοῦ Διός. Ἀθῴωσε τοῦ ἐγκλήματος, ἀντὶ τοῦ ἀθῷον ἐποίησε.

ΤΟ Α ΜΕΤΑ ΤΟΥ Ι.

Αἰ, αἶ. σχετλιαστικὸν ἐπίρρημα, γενικῇ συντάσσεται. οἷον, Αἰαῖ, τῶν κακῶν μου παιδίων, οἴμοι τῶν ἐχθρῶν. ὁμοίως αἰ, ἀντὶ τοῦ εἴθε. οἷον, Αἰ γὰρ δὴ οὕτως εἴη φίλος ὦ Μενέλαε. καὶ Αἰ αἶ, ἐπίρρημα θρηνητικὸν, ὃ πάντες οἱ νῦν βαρύνουσι. Στέφανος δὲ καὶ Μελάμπους, περισπᾶν ἀξιοῦσι, λέγοντες τουτὶ ὡς κανών. Κανών. Τὰ εἰς αι δίφθογγον λήγοντα ἐπιρρήματα, ἂν ἐπὶ τέλους ἔχωσι τὸν τόνον, περισπῶνται. ἰατταταῖ, παπαῖ, αἶ, καὶ τὰ ὅμοια. πλὴν τοῦ βαβαὶ, καὶ τοῦ ναὶ, ὀξυτονουμένων. Ἄλλως. Αἶ. ψιλούμενον μὲν καὶ ὀξυνόμενον, δυσφορικόν ἐστιν ἐπίρρημα. καί ποτε καὶ μιμητικόν, ὡς τὸ, αἰ τάλαν, παρὰ τῷ κωμικῷ. εἰ καὶ ὡς τὰ πολλὰ θρηνητικόν ἐστι. Σοφοκλῆς ἐν Αἴαντι τῷ μαστιγοφόρῳ δράματι. αἶ αἶ. τίς ἄν ποτ' ᾤεθ' ὧδ' ἐπώνυμον τοὐμὸν ξυνοίσειν ὄνομα τοῖς ἐμοῖς κακοῖς. νῦν γὰρ πάρεστι καὶ δὶς αἰάζειν ἐμοὶ, καὶ τρίς. καὶ ἔστιν ἀρχαιότροπον τὸ πρὸς τὰς ὀνομασίας, λαμβάνειν τὰς συμφοράς. ψιλούμενον δὲ καὶ περισπώμενον, θρηνητικόν ἐστιν. ὃ καὶ διπλασιάζεται. οἷον, αἶ αἶ. τὸ

ἐπικρατεῖ τῆς τρυφῆς, καὶ ὡς πρὸς ἥφαιστον ἀξιόμαχος. καὶ οὕτω μὲν ταῦτα. Ἀθηνᾶ, εἶδος αὐλοῦ. Μεγακλείδης. Ἀθῆνα, ἡ ἐλαία. καὶ ἀθῆναι, ἄστυ. Ἀθηνᾶς, ἢ ἡφαίστοιο ἔργον λέγει ὁ ποιητὴς, ὅταν πρὸς τῇ σημαντικῇ, καὶ παραβολὴν ἴσως σημαίνειν βούληται. ὁμοίως ἀνάγκη ἥφαιστος καὶ ἀθηνᾶ ἐδίδαξε τέχνην παντοίην, χαλκευτικὴν δηλαδὴ, καὶ χρυσοχοϊκήν. ἥφαιστος μὲν, διὰ τὴν ἐν πυρὶ τῶν τοιούτων ἐργασίαν. ἀθηνᾶ δὲ, διὰ τὴν ἐπιστήμην τῆς χειρώσεως, παραβολικῶς ἔκκειται. Ἀθηνᾶς ἄγαλμα δόρυ κρατεῖ, διὰ τὸ καθαρὸν καὶ ἀνέφικτον. ὁμοίως καὶ ἀσπίδα, διὰ τὸ πάθος ἐπιβουλευθὲν διὰ τῆς σοφίας ἀποκλεισθῆναι. ἡ αὐτὴ γάρ ἐστι τῷ [illegible]. καὶ περικεφαλαίαν διδόασιν αὐτῇ, διὰ τὸ εἶναι τῆς σοφίας τὸ ἀκρότατον ἀθικτον. καὶ ἐλαίαν, ὡς καθαρωτάτης οὐσίας οὔσης. φωτὸς γὰρ ὕλη ἡ ἐλαία. καὶ γοργόνα διδόασιν ἐπὶ τῶν στέρνων αὐτῇ, διὰ τὸ ταχὺ τοῦ νοῦ. Ἀθηναία, ἡ θεά. ἡ δὲ γυνὴ ἀστή. καὶ ἀθηναίαν τὴν θεὸν ἔλεγον. διὰ τὴν πολῖτιν, οὐκ ἀθηναίαν αἰδεῖ τὴν πολιοῦχον θεὰν, ἣν ὡς ἀθηνᾶ καὶ ἀθηναία ποιητικῶς ἐλέγετο, ἀλλὰ ἀττικὴν γυναῖκα. καὶ ἀτθίδα, ἢ ἀπὸ τῶν ἀθηνῶν, ἢ ἀττικὰς, ὥς φησι Μεγακλείδης. ἀλλὰ φαίνεται καὶ τὴν πολῖτιν ἀθηναίαν λεγόντων πανταχοῦ, ὡς παρὰ [illegible] Ἀριστοφάνει. Ἀθήναζε, εἰς ἀθήνας. Ἀθῆναι πόλις. ἀθῆναι καὶ θῆβαι, πληθυντικῶς γράφεται ἀεὶ παρ' ἀττικοῖς. ἰωνικῶς δὲ ἑνικῶς. ἐφεσίως καὶ κλαζομεναί, καὶ σάρδεις, καὶ ἑτέρων ὀνόματα πόλεων. Ἀθηναῖος, ὁ πολίτης τῆς ἀττικῆς, ἢ ὁ ἀπὸ τῶν ἀθηνῶν. ἀττικὸς δὲ, ὁ ἀττικίζων. Ἀθήναιον, τὸ ἱερὸν ἀθηνᾶς. ὡς ἀπολλώνιον, τὸ τοῦ ἀπόλλωνος. οὕτω καὶ παρὰ Θουκυδίδῃ ἀνακτόρειον. καὶ ποσειδώνιον, τὸ τοῦ ποσειδῶνος. καὶ διονύσιον, καὶ δημήτριον, καὶ πάντα τὰ τοιαῦτα ὁμωνύμως τοῖς πατρωνυμικοῖς. τὸ δὲ ποσειδάωνιον, διὰ τὸ διαιρεῖν ἐστίν. Ἀθήναιος ναυκρατίτης, γραμματικός. γέγονε δὲ, ἐπὶ τῶν χρόνων μάρκου. ἔγραψε βιβλίον ὄνομα Δειπνοσοφιστάς. ἐν ᾧ μνημονεύει, ὅσοι τῶν παλαιῶν μεγαλοψύχως ἔδοξαν ἐστιᾶν. Ἀθηναΐς, ἡ ἐλαία. καὶ ἀθηναία, ἡ ἀγριελαία.

Ἀθηναίων δυσβουλία, ἐπὶ τῶν παρ' ἐλπίδας καὶ ἀναξίως εὐτυχούντων. τὸ γὰρ κακῶς βουλεύεσθαι ἀθηναίοις ὄνειδος· τὴν δὲ ἀθηνᾶν παραχρῆν τὸ κακῶς βουλευθὲν ἀναλύειν καλῶς. ἢ ὅτι τὸ [illegible] ἐπιχώριον. Ἀθήνηθεν, ἐξ ἀθηνῶν. Ἀθήνησιν, ἐν ταῖς ἀθήναις. ἀθῆναι δὲ, πόλις τῆς λακωνικῆς. Ἀθηνᾶ, μυθικῶς μὲν Διὸς θυγάτηρ, οἱονεὶ ἀθήλη τις οὖσα, ὡς μὴ θηλάσασα. [illegible] φασιν αὐτὴν ἡ κεφαλὴ τοῦ Διός. ἐφίσταται δὲ προσκληθεὶς ἥφαιστος, καὶ πλήττει πελέκει τὴν κεφαλήν. καὶ τὸ ἐγκυμονούμενον ἐξῆλθε, κόρη ἔνοπλος καὶ αὐτή. ἐκ τοῦ μὴ θηλάσαι τὴν κλῆσιν ἔλαχε. θῆσαι γὰρ θάνω, τὸ θηλάζω. ὡς τό, ἐπιστεφὲς γάλα θῆσαι. ἐξ οὗ καὶ ἀρνίον γαλαθηνόν. καὶ τιθηνὸς ἡ τροφός. ἡ καὶ θαλαμιὸν, παρὰ Λυκόφρονι. ἐκ δὲ τοῦ θηλὴ καὶ τὸ θηλάζειν, καὶ ἡ τίτθη. ὡς οἷον ἐπιτάσσοντος τοῦ βρέφους. τουτέστι, λάβε θήλασον, κατὰ τὴν παλαιάν. ἀλληγορικῶς δὲ, ὡς ἐν ὀλίγῳ πολλὰ συνελεῖν. ἀθηνᾶ ἡ φρόνησις. ἡ κατὰ στέρησιν καὶ αὐτὴ τοῦ θήλυς διὰ τὸ τέλειον. ἢ παρὰ τὸ ἀθρεῖν, τὸ βλέπειν, ἀθρηνᾶ τις οὖσα, ὡς τῶν μελλόντων ἐν διανοίᾳ προβλεπτική. ἐκ Διὸς δὲ, διὰ τὸ ἐκ τοῦ νοός. Ζεὺς γὰρ καὶ ὁ νοῦς ἐκ κεφαλῆς, διὰ τὸ ἐκεῖ λογιστικόν. οὗ προβολὴ ἡ φρόνησις. ἥφαιστος δὲ αὐτὴν ἐκφαίνει, διότι αὐτὸς μὲν εἰς πῦρ ἀλληγορεῖται. τὸ δὲ φωσφόρον καὶ ἰκμαῖον, καὶ ἄνω φερόμενον. καὶ ἡ φρόνησις φωσφόρος τίς ἐστι. καὶ τὸ δραστικὸν, πρόσωπον ἔχει. καὶ οὐδὲν ταπεινὸν φρονεῖ, ἀλλὰ ἀνατέταται, καὶ ἄνω φέρεται. [illegible] δὲ εἰσὶν εὐθεῖαι τῆς ἀθηνᾶς. προπαροξυτόνως μὲν ἡ ἀθήνη, ὡς εἴρηται, κατὰ συστολὴν ἀθάνα γίνεται. παρά τε Σοφοκλεῖ κεῖται, καὶ ἑτέροις. ὥσπερ δὲ τὴν ἅμαξαν κατὰ παραγωγὴν ἁμαξαίαν φασί, καὶ τὴν αὐλὴν αὐλαίαν, καὶ τὴν προνομὴν προνομαίαν, καὶ τὴν ὑστέραν ὑστεραίαν, καὶ τὴν [illegible], οὕτω καὶ τὴν ἀθηνᾶν ἀθηναίαν φασὶν, ἄλλοι τε, καὶ ὁ ποιητής. οἱ μέντοι ὕστερον ἀποβάλλοντες τὸ ι τῆς αι διφθόγγου, καὶ ἀθηνάαν ποιοῦντες, ὥσπερ τὴν ἐλαίαν ἐλάαν ἀττικῶς. οἷον, τίς τὰς ἐλάας παρέτρωγεν. ἀθηνάαν μὲν οὔ φασι, τὰ δὲ δύο αα κιρνῶντες, λέγουσιν ἀθηνᾶν. διὸ καὶ ἐκτείνεται ἡ ταύτης εὐθεῖα, καὶ ἀεὶ περισπᾶται, διὰ τὴν τῶν δύο αα κρᾶσιν. Ἀθηνόδωρος, ὄνομα κύριον. Ἀθὴρ, ἐπιδορατὶς μεταφορικῶς. Αἰσχύλος [illegible].

Ἀθάρα, βρῶμα διὰ πυρῶν καὶ γάλακτος ἑψημένον παρ' αἰγυπτίοις. Ἀθηρηλοιγὸν, ὅ ἐστι πτύον, λικμητήριον. τὸ τῶν ἀθέρων ὀλοθρευτικόν. ἐξ ὧν καὶ τὸ ἀθερίζειν. ἐν ᾧ γὰρ λικμᾶται, σῖτος μὲν ἀποτίθεται, καὶ ἄχυρον ἀμελεῖται. ἀθέρες δὲ οὐδαμοῦ εἰσιν, ἀπολεπτυνθέντες καὶ ῥιπισθέντες ἀνέμοις. καὶ ἀθέρες ὡς ἔνιοί φασι, τὰ λεπτότατα τῶν ἀσταχύων μέρη. ὃ καὶ ἀθηρόλοιγον λέγεται, τὸ τῶν ἀθέρων ὀλοθρευτικόν. ἢ ἀθηρολοιγὸν, τὸ πτύον. τὸ γὰρ ἀθέρας διακρῖνον καὶ διαχωρίζον. καὶ ἀθερολόγον τὸ αὐτό. γράφεται δὲ κατὰ πλεονασμὸν τοῦ ι. ὑφ' ἓν δὲ καὶ ὀξυτόνως ἀναγνωστέον. οὕτως Ὠρίων. Ἀθαρόβρωτον, ὄργανον, τὴν βρῶσιν, ἢ τὴν ἀθάραν ἀνακινοῦσι. Σοφοκλῆς ἀθυρεὶς ἀκανθοπλῆγι. Ἄθυρον, τὸ ἀθύρωτον, ἀθύρωτον. Ἀθυρόνομοι, οἱ ὡς ἔτυχε τοῖς νόμοις χρώμενοι. Ἀθέσφατον, ἀπέραντον εἰς ἀπόθεσιν. Ἀθέτατος, ὁ μηδενὶ ἐπὶ μισθῷ δουλεύων. Ἀθίγγανος, ὁ αἱρετικός. Ἀθιγῆ, ἀνέπαφον. Ἀθιγὴς, ἄψαυστος. Ἀθίγγανος, ὁ μὴ θέλων τινὶ προσεγγίσαι, ἀπὸ τοῦ θιγεῖν. οἱ γὰρ τὴν αἵρεσιν ταύτην ἔχοντες, οὐδὲν παρ' ἄλλου λαμβάνουσιν. Ἄθικτον, ἀψηλάφητον, ἀπρόσψαυστον, καθαρὸν, ἀμόλυντον. καὶ παρθένος ἄθικτος. [illegible], ἀνέπαφος, [illegible]. Ἄθιλος, κόχλου θαλασσίου εἶδος. Ἄθινα, ξύλα κατακαύσιμα. Ἆθλα, τὰ ἔπαθλα, ἀγῶνες. Ἀθλεῖν, ἀγωνίζεσθαι, κακοπαθεῖν. Ἀθλεύει, [illegible]. Ἀθλεῦον, κοπιῶν, ἢ τὸν μοχλὸν ἀφαιρούμενος. Ἀθλέω, ὁ μέλλων ἀθλήσω, ὁ δεύτερος ἤθληκα, ἡ μετοχὴ ὁ ἀθληκώς. καὶ ἆθλος, ὁ ἀγών. Ἀθλῆσαι, κοπιάσαι, κακοπαθῆσαι, καμεῖν, ἀγωνίσασθαι. Ἀθλήσαντος, καίτοι ἔδει εἰπεῖν ἀντὶ τοῦ κακοπαθήσαντος. ἔστι δὲ ὅτι τὸ ἆθλον, τὸ μὲν ἔπαθλον κόπον σημαίνει. ὡς δηλοῖ καὶ τό, Οὐδ' ἔνθα πεφυγμένος ἦεν ἀέθλων. Ἀθλητὰς, ἀγωνιστὰς, ἀσκητάς. Ἀθλητὴς, ὁ ἀγωνιστὴς, ὁ τῷ ἄθλῳ ἐργαζόμενος. Ἄθλιος, ταλαίπωρος. ἄθλιος [illegible] ἢ ἀτυχής. ἄθλιος ὁ [illegible], ὁ πολλὰ δεινὰ ὑφιστάμενος, ὃς καὶ χίλιος λέγεται. καὶ ἄθλιος [illegible]. καὶ ἄθλιος, ὁ ἐν ἀγωνίᾳ καὶ θλίψει ὢν, καὶ μὴ δ' ὅλως ὄνησιν ἔχων.

Ἀθλιότης, ἡ ἐν τοῖς λυπηροῖς καὶ ἀβελτέροις πάθεσι ταλαιπωρία. Ἀθλίων, ἀτίμων, ἐπικόπων. Ἀθλιώτατα διάγει, ἀντὶ τοῦ δυστυχῶς. Ἀθλοθεσία, ἡ ἀνταπόδοσις. Ἀθλοθετῆρα, ἀγωνοθέτην. Ἀθλοθέτης, ἀγωνοθέτης. Ἀθρεῖσθαι, συναθροῖσαι.

Ἆθλον, καὶ βραβεῖον, τὸ αὐτό. ὡς λῆμμα καὶ δῶρον. τὸ, τοῖς καρτεροῦσι καὶ νικῶσι διδόμενον. οἷον, Νῦν δ' ἔφερεν ἄεθλα. ὅπερ ἀπὸ μὲν τῶν διδόντων αὐτὸ βραβευτῶν, βραβεῖον λέγεται. ἀπὸ δὲ τῶν ἀθλούντων, ἆθλον. ὡς πάθος καὶ πρᾶγμα, ἐνεστῶτι ἐπὶ τῶν αὐτῶν. ἀπὸ μὲν τοῦ ποιοῦντος, πρᾶγμα. ἀπὸ δὲ τοῦ πάσχοντος, πάθος. καὶ ἡ πρόσκλησις καὶ ἡ πληγὴ, καὶ ἄλλα τοιαῦτα ὁμοίως. γίνεται δὲ ἀπὸ τοῦ τλῶ τὸ καρτερῶ. ἢ ἀπὸ τοῦ ἐθέλω, ἔθλον, καὶ μετὰ τοῦ ἐπιτατικοῦ α, ἄεθλον, τὸ πάνυ ζητούμενον. καὶ κατὰ κρᾶσιν τοῦ α καὶ ε, ἆθλον. καὶ ἆθλος τὸ ἀρσενικὸν, τὸ ἀγώνισμα, καὶ ὁ πόνος. διὸ καὶ περισπᾶται. ἔστι καὶ ἄλλως. Ἆθλον οὐδετέρως, τὸ διδόμενον γέρας, τῷ νικῶντι τὸν ἀγῶνα. καὶ ἔπαθλον, τὸ ἐπὶ τῷ ἄθλῳ διδόμενον, καὶ τῷ ἀγῶνι διδόμενον, ὃ καὶ βραβεῖον λέγεται. ἢ ἆθλον, ἀγώνισμα, ἔργον, ἔπαθλον, ἡ τιμὴ, ὁ μισθὸς, καὶ τὸ τοῦ ἀγῶνος βραβεῖον. καὶ ἆθλος ἀρσενικῶς τὸ ἔργον, καὶ τὸ ἀγώνισμα, καὶ τὸ ἔπαθλον. διαφέρει δὲ τοῦ οὐδετέρου. ὅτι τὸ μὲν οὐδέτερον, δηλοῖ κυρίως τὸ ἔπαθλον. τοῦτο δὲ, τὸν ἀγῶνα. Ἄθλιος, ἄφρων. Ἀθλοφόρος, νικητὴς, ἀγωνιστής. Ἀθλοφόροι ἵπποι, οἱ νικηταί. καὶ διαλελυμένως [illegible] κατὰ τὴν ποιητικὴν, ὅ ἐστι κατὰ προσθετικήν, οἳ ἄεθλα ποσσὶν ἄροντο. ταυτὸν δὲ εἰπεῖν, [illegible]. Ἀθμονάζειν, τὸ εἰς δῆμον ἀφωρίσθαι τῆς ἀττικῆς. Ἀθμονεὺς, φυλὴ τῆς ἀτθίδος ἀθηνᾶς.

τε κειμένη, ὀλίγον ἄπωθεν τῆς κεφαλῆς τοῦ χαλκοῦ Διὸς ἀθάρην, οὐκ ἀθερῶν τῶν ἱερατικῶν καλουμένων. Κράτης ἥρωσιν, Οὐκ οὖν ἴσως καὶ δεῦρο τρύβλιον φέρειν, καὶ τῆς ἀθάρης. ἡ ἀθάρα, ὀλόχυρος πεπεμμένος πυρός, καὶ πλατύλιος. Ἀθαρες, εἶδος σπέρματος. Ἀθέως, ἀσεβῶς. Ἀθάρη, πυρίνη πτισάνη. Ἀθάρης, ἄφθορος, ἐπὶ γυναικός. ἐπὶ δὲ σελήνης, σβεσις. Ἀθερίζει, ἀτιμάζει, προπηλακίζει. Ἀθέατοι, αἱ μὴ διεκπεπεθωμέναι. ἐκεῖ δὲ, μὴ διαδεικνύναι ἄρθρα. Ἀθαυμαστί, χωρὶς θαύματος, καὶ θαυμασμοῦ. Ἀθε, εὐχῆς σημαντικόν, ἀντὶ τοῦ εἴθε. Ἀθέατος, μὴ τεθεαμένος, ἀόρατος. ἢ, ὃς ἕως οὐδὲν τεθέαται. ὡς τό, ἔτι οἶκος πάσης ἀθέατος ἤμενα. ἢ ὃς ἕως οὐ δύναται βλέπεσθαι. Ἄθεοι, χωρὶς θεοῦ, χωρὶς θεοῦ γνώμης. Ἀθεεὶ, τὸ ἀσεβές. καὶ ἀθεεὶ, ἀσεβῶς. Ἀθερὴς, ἔτι ἀτερπὴς, ἢ ὁ ἀγανθηριστικός, ἢ ὑπέροπτος, ἢ θαυμαστός. ἢ ὁ μὴ φροντίζων θεοῦ, καὶ ὑβριστής. ἢ ὁ διὰ λαμπρότητα ἀθρούμενος. Ἀθελβάζειν, διηθεῖν. Ἀθελβέν, ἄλλεν. Ἀθέλβεται, διηθεῖται. Ἀθέλγειν, ἀμέλγειν. Ἀθέλγεται, διηθεῖται, διακλύζεται. παρὰ τὸ ἐκπαρθεῖν. Ἀθέλγει, θηλάζει, ἢ θλίβει. Ἀθέλκτον, ἄκοσμον, κακόν. Ἀθέλκτοι, κακοί. Ἀθεμβούλιος, ἀπαλακαίνετος. Ἀθέμιστον, οὐδὲν ἔχων, οὐδὲ θεμέλιον. Ἀθεμίλιος, ἀπροσφαλής, ψεύστης. Ἀθέμιστα, ἄδικα. Ἀθεμιστῆσαι, παρανομῆσαι, ἀδικῆσαι. Ἀθέμιστοι, ἄνομοι, ἄδικοι.

Ἀθεμίστων. παρανόμων, ἀδίκων. Ἀθεμίστια ᾔδη, τουτέστιν ἄδικα ἠπίστατο. καὶ ἀθέμιστοι, ἄδικοι, ἄνομοι. καὶ ἀθεμίστων, παρανόμων, ἀδίκων. Ἀθέμιτος, ὁ παράνομος. Ἀθέμιτον, ἄδικον, ἄνομον, πονηρόν, αἰσχρόν, ἀσεβές. ἢ νόμοις οὐ χρώμενον. καὶ ἀθεμιτῆσαι παρανομῆσαι. Ἀθεώρητος, ἀντὶ τοῦ ἀθέατος. Ἄθεον. ἄθεόν ἐστι τὸ μὴ τὴν ἐξαιρετικὴν τῆς ψυχῆς διακοσμεῖν, καὶ ἀναγειρεῖν τὸ θεοειδές, καὶ συνάγειν αὐτὴν πρὸς τὸ θεῖον, ἀρρήτοις καὶ ἱεροῖς δεσμοῖς. ἢ τὸ ἐναντία τούτοις, τὸ κατασπᾶν καὶ καθέλκειν τὸ ἐν ἡμῖν θεῖον, εἰς τὸ γηγενὲς καὶ ἀλιτήριον, καὶ γιγαντῶδες, ἢ Τιτανικὸν [illegible]. Ἀθεραπευσία, ἡ παντελὴς καταφρόνησις. Ἀθερίς, εἶδος σπέρματος. καὶ ἀθερίς, ἀνόητον, ἀνόσιον, ἀσεβές. Ἀθερής, ὁ ἀτειρὴς σίδηρος ὅταν θερίζῃ, ἢ θεριστικός, ἢ ὁ διὰ λαμπρότητα ἀθρούμενος ὀξύς, ἢ ἐπὶ ἀκαχίων. Ἀθερίζειν, ὅταν καταφρονεῖν, ἀφροντιστεῖν, μέμφεσθαι, ἀποδοκιμάζειν, ἀτιμάζειν, συνευβαλίζειν. ἢ τὸ ἀπαξιοῦν, καὶ ἐξουθενοῦν. μετενήνεκται δὲ ἀπὸ τῶν ἀθέρων. ἡ γὰρ χνοῦς τοῦ ἄθερος παρὰ Αἰλιανῷ ἐν τῷ περὶ προνοίας. ἄχυρα δὲ οἱ ἀθέρες εἰς τὸ ἓν συγκομιζόμενοι. εἰσὶ δὲ, στάχυος ἀκίδες. ἐφ' οἷς αἱ σταχυολόγοι πονοῦνται. οὓς οὐκ ἀξιοῖ θερίζειν ὁ γεωργός. ἴσον δὲ, ὅτι τὸ ἀθερίζειν, ὠλιγώρει· ἡ ἀθερίζειν ἔοικε λέγεσθαι. ἀθερίζεται γάρ πως καὶ αὐτὴ διὰ τὸ εὐτελές. διὸ καὶ ἀτυχὲς ἐχθόδοπον. καὶ ἀθεάζειν, ἀποδοκιμάζειν. Ἀθήρ, τὸ εἰς τὸ στάχυος ὀξὺ ἄκρον ὡς κέντρον. Ἀθέρισα, ἀπηρφύτευτος. Ἀθερίσαι, καθυπερῆσαι, ἀφροντιστῆσαι, ἀτιμάσαι, καὶ ὀλιγωρῆσαι. Ἀθέατος, ἀφρόντιστος. Ἀθεώρητοι, ἀγροῖκοι. Ἀθεσίαν, παραβασίαν. ὡς ἐν τῷ, Ἀγαπῶν δὲ τὴν ἀθεσίαν τῶν λεκτῶν, καὶ τὰς ἐπιβολὰς τὰς ἐπὶ σφόμενος, ἐπὶ ἀθηνᾶ καὶ ποσειδῶν ἐφιλονείκησαν περὶ τῆς ἀττικῆς, ἐστὶν ἐν τῷ Γεργίτῃ. οἱ δὲ ῥωμαῖοι συλλογισάμενοι τὴν τῶν γαλατῶν ἀθεσίαν. καὶ αὖθις Πολύβιος, ἐπικρύπτειν ἅπασι τὴν ἀθεσίαν αὐτῶν. καὶ τὴν ἀβεβαιότητα. Ἀθεσμία, παρανομία. Ἀθέσμιον, τὸ ἄδικον. Ἄθεσμος βλαβερός, ἐφ' ὧν νόμος οὐ κεῖται. Ἄθεσμος δίκη, ἄνομος. καὶ ἀθέσμως, παρανόμως. Ἄθετος ἱστοῦς, σκληρά, ἐχθρός, ὃν οὐχ οἷόν τε ἐφελκύσαι. Ἀθέσφατον, πολύ, δυσπαραμυθητον. καὶ ἔθυ οὐδὲ θεὸς φατέσεν διὰ ὑπερβολὴν πλήθους. Ἀθετεῖ, ἀθυμάζει ἐπιλαθέσθαι. Ἀθετεῖν παρὰ τοῖς ἴωσι, τὸ μὴ τεθεῖν λόγον. Ἀθετῶ, ἀθετίζω, διαφθείρω, ἀνατιθήμι. Ἀθετῶ, ἀθέσμως, ἢ συγκα

τατεθειμένως. Αἰσχύλος προμηθεῖ δεσμώτῃ. Ἀθετεῖται, ὑβρίζεται, καταφρονεῖται. Ἀθέτησις, ἐκβολή, ἀμέλεια. οὕτως ὁ Ἀπόστολος. ἀθέτησις γὰρ γίνεται, προαγούσης ἐντολῆς διὰ τὸ αὐτῆς ἀσθενές. Ἀθεωρητί, χωρὶς θεωρίας. Ἀθεώρητος, ἀθέατος. Ἄθηλον, τὸ μὴ τιθηνακὸς παιδίον. Ἀθήλυντον, σκληρόν, ἀδάμαστον, ἀνδρῶδες. Ἄθηλος, ἄπαις, ἢ ὁ γάλακτος ἄγευστος. Ἀθήμιος, οὐδὲν ἔχων ἄμεινον, ὁ ὑπὸ ἀνέμων κατακτώμενος. Ἀθηνᾶ τὸν αἴλουρον. ἐπὶ τῶν κακῶς συγκρινόντων τὰ κρείττονα δὶς ἢ πρὸς διὰ μικρὰν ὁμοιότητα. ὡς εἴ τις διὰ τὴν γλαυκότητα, τὸν αἴλουρον τῇ ἀθηνᾷ παραβάλλειν. καὶ ἀθηνᾶ κάβοχος, ἥτις πανδεῖς καὶ φρενίτις τὸ Δίον. Ἱστορία. Ἥρα μὲν βοηθεῖ τοῖς ἀχαιοῖς, ὡς οὐ μόνον εἰς νόμιμον γάμον μενελάου ἀδικηθέντος, οἷα γαμήλιος δαίμων (ἐπίσταται γὰρ αὐτὴ τοῦ γάμου) ἀλλὰ καὶ διὰ τὸ βασιλικώτερον τῆς ἑλληνικῆς ἀρχῆς. ἄρχει γὰρ ὡς πανταχοῦ ἐρρέθη, καὶ εἰς βασιλείαν μεταλαμβάνεται. ὅθεν ἀραία ζυγή, ἢ βασιλικό. ζεὺς δὲ μέσος καθήμενος ἄνω, καθὸ οὐκ ἔστι πιθανὸν ἔν αἰθέριον καὶ ὀλύμπιον δίκαιον ἀλόγως ἐνεχθῆναι κάτω. Σημειῶσαι δέ, ὅτι εἴπερ εἶχε πιθανότητα τὸ πλάσμα ὁ ποιητής, ἐποίησεν ἂν καὶ τὴν αἰδηίαν, καὶ τὸν διόνυσον, καὶ τὴν δήμητρα παρόντας τῇ μάχῃ. οὐκ ἔχει δὲ πιθανῶς ποιοῦντος ἐπινῆσαι. ἄλλος μὲν γὰρ οὐκ ἦν, ὅπως πρὸς τὸ ζῆν ἐπικουρήσει, ἀπολείᾳ χαίρων ἀνθρώπων καὶ σιδηρομοῖς, κατὰ τὴν τραγῳδίαν, καὶ γόοις πλεονεκτούμενος. Δήμητρα δὲ κατὰ τοὺς παλαιοὺς καὶ διόνυσος καρποφόροι ὄντες, ἄχθονται καθάπαξ τῷ πολέμῳ, φθαρτικῷ ὄντι τῶν καρπῶν. ἔστι δὲ ὁ περὶ τούτων τῷ ποιητῇ λόγος βιοῦντος, βὰν δ' ἰμεναι πόλεμόνδε θεοὶ δίχα θυμὸν ἔχοντες. ἤγουν, διχονοοῦντες. Ἥρη μὲν μετ' ἀγῶνα νεῶν, καὶ παλλὰς ἀθήνη. ἠδὲ ποσειδάων γαιήοχος, ἠδ' ἐριούνιος ἑρμείας ὃς ἐπὶ φρεσὶ πευκαλίμῃσι κέκασται. ἠδ' ἄρης παμμάχος ὑψηλὸς κεκαλυμμένος. Ἥφαιστος δ' ἅμα τοῖσι κίε σθένεϊ βλεμεαίνων, χωλεύων. ὑπὸ δὲ κνῆμαι ῥώοντο ἀραιαί. ἐς δὲ τρῶας ἴμεν κορυθαίολος, αὐτὰρ ἅμ' αὐτῷ φοῖβος ἀκερσεκόμης, ἠδ' ἄρτεμις ἰοχέαιρα, λητώ τε, ξάνθος τε, φιλομμειδής τ' ἀφροδίτη. καὶ εἰσὶ μὲν οὕτω πέντε μὲν ἀχαιοῖς, ἓξ δὲ οἱ τῶν τρώων. ἀγῶνα δὲ ἐνταῦθα τὴν ἄθροισιν λέγει, ὥς φασιν οἱ μετ' Ὅμηρον συνταγματευσάμενοι. Ἄλλως. Ἀθηνᾶ ἡ φρόνησις, τοῖς ἀχαιοῖς καὶ αὐτὴ συμμαχεῖ, διὰ τὸ τοῦ ἑλληνικοῦ πολέμου δίκαιον καὶ εὔλογον. διότι φρόνησις εἶλεν ὕστερον τὴν τροίαν, καὶ δόλος σοφός. διὸ καὶ ὁ ἑρμῆς αὐτῆς ὁ λόγιος συμμαχεῖ, φρεσὶ κεκασμένος πευκαλίμαις, ἀλλὰ καὶ δόλιος. ἥφαιστος δὲ σύμμαχος ἑλλήνων ἐστὶ καὶ αὐτός, διότι πολέμιος ἀεὶ κατὰ τὴν ἐν ὀδυσσείᾳ μῦθον, καὶ ὡς φίλος τῇ ἀθηνᾷ. ἥφαιστος γοῦν διδάσκει τέχνας ἐν τῇ ὀδυσσείᾳ, καὶ παλλὰς ἀθήνη. ποσειδῶν δὲ τοῖς ἀχαιοῖς συμμάχεται μάχης, διά τε τὴν πρὸς τὸν λαομέδοντα μῆνιν, ὅτε θητεύσαντος εἰς ἐνιαυτὸν μισθῷ ἐπὶ ῥητῷ, ἀπεστέρησε τὸν μισθόν, ὡς ὁ ποιητὴς λέγει. διὰ δὲ καὶ ὅτι νησιῶται οἱ πλεῖστοι τῶν ἑλλήνων, καὶ διὰ τὸ εἰκότι τεταγμένοι. καὶ ὅτι διὰ θαλάσσης πλεύσαντες, ἀτυχῶς μετῆλθον τὴν τῆς ἑλένης ἁρπαγήν. καὶ οὗτοι μὲν συμμαχοῦσι τοῖς ἕλλησι διὰ ταῦτα. τοῖς δὲ τρωσίν, ὁ μοιχὸς ἄρης βοηθεῖ, ὡς τιθεὶς ἑαυτὸν (ὥ φασιν) ὅμοιος. ἐπειδή γε καὶ ὁ τρωικὸς πόλεμος, ἀπὸ μοιχείας ἔσχε τὴν ἀρχὴν. ἔτι καὶ ὡς ἀρχηγὸς καὶ βίαν διασώζων, καὶ ὡς οὐκ εὔλογος, ἀλλ' ἐναντίος τῇ ἀθηνᾷ. διὸ καὶ ἡ ἀφροδίτη τοῖς αὐτοῖς βοηθεῖ, οἰκείως μὲν ἔχουσα πρὸς τὸν ἀλόγιστον ἄρεα, ἀπεχθομένη δὲ τῇ σώφρονι ἀθηνᾷ. ἄρτεμις τοῖς τρωσὶν ἐπικουρεῖ, ἢ ὡς ἔφορος τῶν χορῶν. καὶ γὰρ καὶ οἱ τρῶες χορειτανίαις ἕπονται, ἢ ὡς θήραιρα. ὅτι ὁ τοῦ πολέμου αἴτιος ἀλέξανδρος. διὸ καὶ ὁ ἀπόλλων ὡς βιοῦντος συνεπικουρεῖ. ὁ δὲ λητώ, οἷα μήτηρ ἀπόλλωνος καὶ ἀρτέμιδος, καὶ δι' ὅτι ἀεὶ ἅμα ποιοῦσι οἱ τρῶες, καὶ λίθους, εἰς ἀμφοτέρους ἀμφαγαπηταίνεται ἡ λητώ. ὁ δὲ ξάνθος, ὡς ποταμὸς ἐγχώριος,

καὶ ἀηδόνος παιδός. καὶ τὸ γυναικὸς ἀηδόνιον, παρὰ Ἀρχιλόχῳ. Ἀηδόνων ἐγγαστέραν, ἐπὶ μὲν ὕπνου, τὸ ἐλάχιστον. ἐπὶ δὲ λόγου, τὸ σφοδρότατον. καὶ παροιμία ἐπὶ τῶν ἀγρυπνούντων, τὸ, οὐδ᾽ ὅσον ἀηδόνος ὑπνώσσειν. Ἀηδὼν, ὄρνεον. τοῦ ἀηδόνος, κοινῶς. ἡ ἀηδὼ τῆς ἀηδόος, καὶ ἀηδοῦς ποιητικῶς. εἶδος πετεινοῦ. καὶ ἀηδὼν, ἡ ἀθηνᾶ παρὰ Παμφιλίοις. Ἀηδῶς, ἀνωφελῶς. Ἀήθεσσον, μὴ εἴθισθαι, μὴ νοεῖν. Ἀήθειν, λανθάνειν, ἀνεπιστημονεῖν. Ἀήθης, ἀσυνήθης. συντάττεται δὲ δοτικῇ, καὶ γενικῇ. οἷον, ἀήθης εἰμὶ τούτῳ τῷ πράγματι. καὶ, ἀήθης τοῦ κατακλύειν τινός. Ἀήθεσσον, ἀσυνήθεις ἦσαν. ποιητικὴ λέξις τὸ ἀήθεσσον, καὶ Ἀπολλώνιος εἰς λόγον περιττόν. καὶ κοινὴ ἡ μετὰ γενικῆς αὐτοῦ σύνταξις. καὶ οὐ μόνον ἰωνικῶς, ἀλλὰ καὶ ἀττικῶς κατὰ τοὺς παλαιούς, ἀναύξητόν ἐστι τὸ ἀήθεσσον, διὰ τὴν κακοφωνίαν τῆς αὐξήσεως τοῦ ἠήθεσσον. καὶ ἀηθέσσουσι, ἀσυνήθεις εἰσίν. καὶ ἀηθέσσος, ἀήθης ὤν. Ἀηθής, ἄγροικος, ἄγριος, ἀπαθής.

Ἄηκτον, τὸ μὴ ἠκονημένον ξίφος. Ἄηκον, στενωπὸν ἔγχειρίδιον, παρὰ Ταραντίνοις. Ἄημα, ἡ πνοὴ τοῦ ἀνέμου, τὸ πνεῦμα, φύσημα τὸ πνοὴν φέρον. Ἄημαι, τὸ ἀναπνέομαι. ἐν ἐπιγράμμασι. Ἀήμεναι, πνεῦσαι, πνεῖν. Ἀήμενος, πνέοντος. Ἀηνά, λίθοι μικρά, ἄκαρπα. Ἀῆναι, τὸ θέμα οὐκ εὔχρηστον. ἀεί... γάρ, ὡς φορμίνω, ὑφαίνω, καὶ τὰ ὅμοια. Ἄητον, ἀΐδιον, λάβρον, ἄθλιον. Ἀητὸς, τὸ λαμπρὸν, τὸ ἀΐδιον. Ἀητόβαρος, ὁ Χαλκηδόνιος. Ἀήττητον, τὸ μὴ πταῖον. Ἀὴρ, ὁ μεταξὺ οὐρανοῦ καὶ γῆς τόπος. ἢ λεπτότατον στοιχεῖον, ὑγρόν τε καὶ θερμόν. τοῦ πυρὸς βαρύτερον, τῆς δὲ γῆς καὶ τῶν ὑδάτων κουφότερον. ἀναπνοῆς καὶ ἐκφυσήσεως αἴτιον. ἀχρωμάτιστον, ἤτοι ἐκ φύσεως χρῶμα μὴ κεκτημένον. διαδὴς, διαφανής. φωτὸς γάρ ἐστι δεκτικόν. καὶ ταῖς τρισὶν αἰσθήσεσιν ἡμῶν διακονοῦν. δι᾽ αὐτοῦ γὰρ ὁρῶμεν, καὶ ἀκούομεν, καὶ ὀσφραινόμεθα. δεκτικὸν θάλψεώς τε καὶ ψύξεως, ξηρότητός τε καὶ ὑγρότητος. οὗ πᾶσαι αἱ κατὰ τόπον κινήσεις εἰσίν, ἄνω, κάτω, ἔσω, ἔξω, δεξιᾷ, ἀριστερᾷ, καὶ ἡ κυκλοφορικὴ κίνησις. οἴκοθεν μὴ κεκτημένον τὸ φῶς, ἀλλ᾽ ἀπὸ ἡλίου, καὶ σελήνης, καὶ ἄστρων, καὶ πυρὸς φωτιζόμενον. καὶ τοῦτό ἐστιν ὃ εἶπεν ἡ γραφή, Καὶ σκότος ἦν ἐπάνω τῆς ἀβύσσου. βουλόμενος δεῖξαι, ὡς οὐκ οἴκοθεν ὁ ἀὴρ τὸ φῶς κέκτηται, ἀλλ᾽ ἄλλη τίς ἐστιν οὐσία τοῦ φωτός. ἔστι δὲ ἓν τῶν τεσσάρων στοιχείων, ἄνεμος ὁ πνέων. ὃς καὶ ἄητος ποιητικῶς λέγεται. Ἄηρος, καῦμα, ὁμίχλη.

Ἀήσατος, ἄπληστος, ἀνίκητος. Ἄησι, παρὰ τὸ ἄημι τὸ πνέω. τὸ τρίτον, ἄησι. καὶ τὸ ἀττικὸν, ἀεῖ. καὶ κατ᾽ ἐπίτασιν, ἄησιν. τὸ τρίτον τῶν πληθυντικῶν, ἄεισιν αἰολικώτερον, ἔχρην ἀεῖσιν εἶναι. Ἀήσυλα, παράνομα, ἁμαρτωλά, οὐ καθήκοντα. καὶ ἀήσυλα ἔργα, τὰ βλαπτικά. παρὰ τὸ ἆσαι, ἤγουν βλάψαι. πλεονασμῷ τοῦ υ, ὡς καὶ ἐν τῷ ὑπέρφατος, ὑπέρφερος, καὶ ἐν ἄλλοις. ἢ τὰ ἄσυλα. παρὰ τὸ α στερητικὸν, καὶ τὸ σῶζειν τὸ εὐφραίνειν. ποιητικὴ ἡ λέξις, καὶ πεζῷ λόγῳ οὐκ εὔχρηστος. Ἀήσυλον, τὸ ἄδικον, καὶ ἁμαρτωλόν. ἀπὸ τοῦ ἄσω μέλλοντος, τοῦ δηλοῦντος τὸ βλάπτω, γίνεται ὄνομα ῥηματικὸν ἄσυλον. κατὰ πλεονασμὸν τοῦ η. ἢ ἀπὸ τοῦ ἥλω ἥσω, ἥσυλον, καὶ ἀήσυλον, τὸ μὴ τερπνὸν, ἢ ἄδικον καὶ ἁμαρτωλὸν, ὡς εἴρηται. ἢ ἀλαμπές, κακὸν, καὶ ἀνόμοιον. Ἀήσυρον, κοῦφον, ἐλαφρὸν, ἀσθενὲς, κενὸν, ἄκρομον, μάταιον, ἀπόλαυσον. Ἀήσυρος, ὁ ἐλαφρῶς πνέων. Ἄητη, φέρεται, κινεῖται. παρὰ Ἀπολλωνίῳ. Ἀῆτα, πνοὴ, ἀναθυμίασις. Ἀήτης, ἄνεμος, ἀρσενικῶς. καὶ ὥσπερ ἡ γέου ἐγγέτης, πείσου πειστής, οὕτως ἀήσου ἀήτης, ἀλλ᾽ ἡμάρτηται.

Ἀήττητος, ὁ ἀκαταπόνητος. Ἄητο, ἐφέρετο, ἔπνει. ἢ ἄητο, ὡρμᾶτο. καὶ ἄεται, πνεῖται, καὶ ἐπαναγάζει. αὔτη ἦν πνεύματα. ἄητον. ὥσπερ γὰρ παρὰ τὸ φιλῶ γίνεται φιλήτης, οὕτω καὶ παρὰ τὸ ἄω ἄητον τὸ ἀττικὸν, καὶ παρὰ αἰολεῦσιν ἄητον. Ἀῆτο, θυμὸς, ψυχὴν, ἵππος. διδοὺς δὲ τὶς καθ᾽ Ὅμηρον λέγων, τὸ θυμὸν πνέον. γίνεται δὲ τὸ ἄητο, ὅθεν καὶ τὸ ἀεὶς ἄητος. καὶ ἄητον, πνεῦμα, ἐπιμήκη, ὁ μετεωρίζεται πάντα, παρὰ τῷ Ἀπολλωνίῳ. Ἀηὐλ, ἀπέραντοι, ἄπλαστοι. Ἄητρ, πλὴν, ἀβλαβής. οἱ δὲ ὁρμὴν, καὶ τὸ καταπνεόμενον. Ἀηὼρ, πόρρω μὲν θέμα ἔχει, τὸ ἄω, ἀίσσω. ἐξ οὗ καὶ ἀίτης ἐπὶ ἀνέμου. καὶ ἄημα, ὡς παρὰ Σοφοκλεῖ. καὶ ἀίτης δὲ διὰ τοῦ τ ὁ φίλος. ὁ κατὰ τοὺς παλαιοὺς ὁ ἐρώμενος, διὰ τὸ οἷον πνεῖσθαι διὰ φιλίαν. διὸ καὶ εἴσπνηλος ὁ αὐτὸς παρὰ Λάκωσι. προσεχὲς δὲ θέμα τοῦ αὐτοῦ, ἄημι. ἐξ οὗ καὶ τὸ, ἀνέμων μένος ὑγρὸν ἀέντων. ἐκτείνεται δὲ διὰ τὸ μέτρον ἡ παραλήγουσα τοῦ ἄητρ. τὸ δὲ ἀπλοῦν ἀττικὸν ἄητρ, ὡς τίθεμεν. Ἄητρ κόρος, τὸ πολὺ καὶ γοργόν. ἀπὸ τοῦ ἄω, τὸ πνέω καὶ προθυμοῦμαι. ἢ ἀπὸ τοῦ ἄημι.

Ἄητος, ὁ ἀκόρεστος. Ἄητος, μεγάλως. Αἰσχύλοι ἀθάνατοι.

ΤΟ Α ΜΕΤΑ ΤΟΥ Θ.

Ἀθαμβὲς, ἀθρόως. ὑποβρέπεσθαι, ἀκαβές. Ἄθαλλον, ἀτύγχανον. κενὸς, ἀθάλλουσιν. Ἀθαλάσσωτος καὶ ἀθαλάμευτος, ταυτόν. ὁ μὴ ναυτικὸς, καὶ ἄπειρος θαλαττίου πλοῦ. Ἀθαμαντιάδης, πατρωνυμικόν. Ἀθαμάντιον πεδίον, οὕτω καλούμενον περὶ τὴν Ἅλον. κατῴκησε δὲ Ἀθάμας ἐν Ἅλῳ τῷ τόπῳ, τῆς βασιλείας ἐξελθών. Ἱστορία. Ἀθάμας, ὄνομα κύριον. ὃς ἐκ Νεφέλης δύο παῖδας ἔσχεν, Φρίξον καὶ Ἕλλην. ἀφεὶς οὖν τὴν Νεφέλην θεὰν οὖσαν, θνητῇ γυναικὶ ἐμίγη. ζηλοτυπηθεῖσα οὖν ἡ Νεφέλη, ἀπῆλθεν εἰς οὐρανόν, καὶ τὴν τῶν ἀνδρῶν χώραν αὐχμῷ ἐκόλασεν. πέμψας οὖν θεωροὺς εἰς Ἀπόλλωνα Ἀθάμας, ἐρέσθαι περὶ τοῦ αὐχμοῦ. ἡ δὲ γυνὴ αὐτοῦ θέλουσα Φρίξον καὶ Ἕλλην ἀπολωλέναι, πείθει διὰ δώρων τοὺς θεωροὺς εἰπεῖν Ἀθάμαντι, ὡς οὐκ ἂν ἄλλως παύσεσθαι τὸν αὐχμὸν ἔχρησεν ὁ θεός, εἰ μὴ τοὺς τῆς Νεφέλης θύσειε παῖδας. ἀκούσας οὖν Ἀθάμας, μεταπέμπεται τοὺς παῖδας ἐκ τῶν ποιμνίων. εἷς οὖν κριὸς ἀνθρωπίνῃ φωνῇ χρησάμενος, λέγει Φρίξῳ καὶ Ἕλλῃ τὰ περὶ τῆς σφαγῆς. φανέντων οὖν τούτων μετὰ τοῦ κριοῦ, ἡ μὲν Ἕλλη ἐν τῷ περαιοῦσθαι τὸν ἐν αὐτῷ πορθμὸν, ἀπεπνίγη πεσοῦσα ἀπὸ τοῦ κριοῦ. ὅθεν καὶ ἀπ᾽ ἐκείνης, Ἑλλήσποντος κέκληται. Φρίξος δὲ ἐποχούμενος τῷ κριῷ, ὡς τὴν τῶν Κόλχων γῆν περαιοῦσθαι. ἔνθα καὶ τὸν κριὸν, ὃς ὑπὸ τῶν θεῶν χρυσόμαλλος γέγονε, θύει τῷ Ἄρει, ἢ τῷ Ἑρμῇ. καὶ κατοικίζεται αὐτόθι, νῦν ἤμα καταλείπει τῷ τέκνῳ. ἐκ τούτου γὰρ ἡ Φρυγία οὕτως ἐκλήθη. Ἀθάμαντα δὲ ἡ Νεφέλη, δίκην αὐτῇ δώσειν διὰ τοὺς παῖδας πέπεικεν. προσαχθεὶς οὖν στεφανοφορῶν ἐπὶ τῷ βωμῷ τοῦ Διὸς σφαγιασθησόμενος, ὑπὸ Ἡρακλέους σέσωσται. οὕτω γὰρ Σοφοκλῆς ἐν δράματι πεποίηκε. Ἄλλως. ἐν Ἀθάμαντι Σοφοκλέους, ὑπόκειται Ἀθάμας στεφανοφορῶν, ὥσπερ ἱερεῖον, δίκας εἰσπραττόμενος περὶ Φρίξου. Ἄλλως. τοῦτο πρὸς ἕτερον Ἀθάμαντα Σοφοκλέους ἀποτεινόμενος λέγει. ὁ γάρ τοι Σοφοκλῆς πεποίηκε, τὸν Ἀθάμαντα ἐστεφανωμένον, καὶ παρεστῶτα τῷ βωμῷ τοῦ Διὸς σφαγιασθησόμενον. μέλλοντα δὲ ἀποσφάττεσθαι αὐτὸν, παραγενόμενον Ἡρακλέα, καὶ τοῦ θανάτου ῥυόμενον λέγοντα, ὡς σώζοιτο ὁ Φρίξος δι᾽ ὃν ἔμελλεν ἐκεῖνος τεθνήξεσθαι.

Ἀθαμβὲς, ἄφοβος. Ἄθαμβος, ἄφοβος, ὃ θάμβος μὴ πρόσεστιν. Ἀθανάραχος, ὃς ἐβασάνισε τὸν ἅγιον Νικήταν, καὶ μέγαν μάρτυρα Χριστοῦ πεποίηκεν. Ἀθάνατοι, τάγμα ἱππέων παρὰ Πέρσαις μυρίων ἀνδρῶν. Ἀθάνατος, ἐπὶ ἐμψύχων. τὸ δὲ ἄφθιτος ἐπὶ ἀψύχων φιλοσοφεῖ τάττεσθαι. τὸ ἀθάνατον κυρίως, καὶ κατ᾽ οὐσίαν καὶ κατ᾽ ἐνέργειαν θεῖον μεταβλητόν. ὁ δὲ τὴν ἀθανασίαν ὁριζόμενος στέρησιν θανάτου, ἁμαρτάνει. οὐ γὰρ στέρησις θανάτου ἡ ἀθανασία, ἀλλ᾽ ἐν ἕξει καὶ διαθέσει. Ἀθαύτης, ὄνομα ἔθνους. Ἀθανής, ἀκαυθὴς, ὁ ἄκλαυστος. θάψαι γὰρ τὸ κλαῦσαι. Ἀθάρα, ἀττικοὶ διὰ τοῦ α, ἀθάρα, αἰολεῖς ἀθήρα. οἱ δὲ κοινοὶ διὰ τοῦ η, ἀθήρα. ἔστι δὲ ἄλευρον, ἑψημένον. κλίνεται δὲ παρὰ μὲν ἀττικοῖς διὰ τοῦ α ἀθάρας. οἱ δὲ κοινοί, διὰ τοῦ η, ἀθήρας, Ἀριστοφάνης πλούτῳ, ἀλλά μα ἀθάρας χύτρα τις ἐξέπλεέν τι καμένη.

ὅτι τοῦ λόγου πρᾶγμα λαμπρόν, ἤγουν καλόν, καὶ ὁ λόγος δὲ παρὰ τὸν ἐκπέφανσιν τὴν πρὸς τὸ λαμπρὸν συνάπτουσιν. καὶ αὐτός ἐστι, τοῦ βρόχου τὸ κατὰ τὴν κεφαλὴν ἄκρον σκέλος. καὶ κυμάτιον τὸ ἐν τοῖς γείσοις. ἢ βοτάνη τις, ἐν Λιβύῃ φυομένη. Ἀντιπαλαίουσι, χαλεποῖς, δεινοῖς. Ἀντώσιον, λύχνα μεμιγμένον. Αἰετοῖς ἐν κεφάλαις. ἐπὶ τῶν δυσαλώτων. παρόσον αὐτοὶ ἐν ὑψηλαῖς ὄρεσιν, οὐχ ἁλίσκεσθαι. Αἰετὸς εἰκη δωμάτων, τὸ κατὰ τὴν ὄροφον. ὃ ἡμεῖς ἀέτωμα καλοῦσιν. Αἰετοῦ γῆρας, κορύδου νεότης. παρόσον καὶ γεράσκων ὁ αἰετός, ἀμείνων ἐστὶ παντὸς ὄρνιθος.

Ἀέτωμα, ὃ εἰς ὕψος ἀνατεταμένον τῆς ὀροφῆς ὥσπερ τρίγωνον. καὶ ἐπιτώματα, ἐν τῷ ἱερῷ ἐγγλύμματα, ἃ πτέρυγάς τι καὶ ἀετοὺς καλοῦσιν. Ἀριστοφάνης, τὰς οἰκίας ἐρέψομεν πρὸς αὐτήν, ὥσπερ τὰ ἀετώματα. Αἰθαλοῦν, λαμπρῶν. Αἰχῶνες, αἰνεταί. Αἴχοντο, ὥρμων.

ΤΟ Α ΜΕΤΑ ΤΟΥ Ζ.

Ἄζα, ἄσβολος, κόνις, παλαιότης, κόπρος ἐν ἀγγείῳ ἀπομεμαγμένος. Ἀζαία, φθειρά. Ἀζάνθη, ξηράνθη. Ἄζαλα, νέα ἐν ἰχνάλοι. Ἀζαλέω, ξηρᾷ. Ἀζαλέη, ξηρά. καὶ ἀζαλέην, ξηράν. ἐν ἀζαλέοιο, ξηροῦ. Ἀζαλέης, ἀντὶ τοῦ ξηροῦ. ὅθεν ἐκεῖνος οἶκ ἀπὸ τοῦ ἄζαιν ἐσπαλίας, ἀλλὰ διὰ τὸ τραχίσαι, ἀζωΐαν φασὶ κληθῆναι τὴν ἀρκαδίαν. τραχεῖα γάρ ἐστι, καὶ ξηρά. Ἀζαλέον, ἄγαν ξύον, θερμόν, ἢ ξηρόν. Ὅμηρος, βοῦν ἀζαλέην. Ἀζαλίς, πλόκαμος, καὶ ὀλιγόπνους. Ἀζάλη, σίνημος, γαλήνη. Ἀζάνθη, ἐξηράνθη. Ἀζάνα, πίναξ. Ἀζαραπατεῖς, οἱ εἰσαγγελεῖς παρὰ Πέρσαις. Ἀζαρίας, ὄνομα κύριον. Ἀζάτα, ἐλευθερία.

Ἄζανθος, παλαιστής, καὶ κόνις. Ἀζαχίς. οἱ μὲν σκληρὸν ἢ χαλεπόν, παρὰ τὸ ἀζαλέον. οἱ δὲ, ἀδιάλειπτον. Ἀζειάδης, ὄνομα κύριον. καὶ πατρωνυμικῶς, ἀζειάδαι. Ἀζειάδης, ὄνομα κύριον. Ἀζείδει, τὸ ξίει. Ἀζέρα δὲ, τὸ ξηραίνει. Ἄζειν, στενάζειν, ἢ ἐκτείνειν διὰ κόματος. Ἀζήρει, ἀντὶ τοῦ ξύει. ἀζήρει δὲ, ἀντὶ τοῦ ξηραίνει. Ἀζήλωτος, ἄζηλος πηλός. Ἀζηρόν, ἀποίκιλον. ξηρὸν γὰρ τὸ ποικίλον, ἢ τὸ πηγαῖον. Ἀζηρά, ἀζάκη. ἢ πολυξηρά, ἀπὸ τοῦ ξηρά. Ἀζηνῆ, ἔθνος τοῦ τριάδος. Σοφοκλῆς συνεδίκασε. Ἀζίμιλκος, ὄνομα κύριον. Ἄζινον, τὴν Ἀσιανὴν φρύγει. ἢ ἄζωον, γονεύοντα. Ἄζεο, ἐσέβιζε, σέβε, εὐλαβοῦ, αἰσχύνου. καὶ ἄζεσθαι, σέβεσθαι. διαφέρει δὲ ἀπὸ τοῦ χάζω, τὸ ὑποχωρῶ. Ἄζηλος, ἀγαθός. Ἄζεσθαι. ἐξ οὗ παρ᾽ Ὁμήρῳ οἱ ἀζόμενοι. παρὰ Σοφοκλεῖ δὲ, οὐδὲν ἄζοντα, ἤγουν σεβόμενον. παρ᾽ ᾧ καὶ ἀπειλεῖν καὶ ἀπειλεῖσθαι. Ἀζήσιμοι κόνοι, ταῖς πτέρυξιν ἐναπολαμβάνοντες. Ἀζητὴ, θλίβεσθαι, λυπεῖται. Ἄζεσθαι, ἐντρέπεσθαι, ἐξηραίνεσθαι ψιλῶς. ὡς τό, ἡ μὲν τ᾽ ἀζομένη κεῖται ποταμοῖο παρ᾽ ὄχθας, καὶ καταψύχουσι δαίμων. δασέως δὲ ἁγιάζεσθαι, ἢ ἅγιον ἐποίει, καὶ σέβεσθαι. ἀλλὰ καὶ οὐδέτερον μέσον ἄζεσθαι. Ἄζεσθον, ἀπενεργεῖν. Ἀζηχές, ἀδιάλειπτον. Ἀζηχὴς, ὁ σκληρὸς καὶ χαλεπός. Ἄζα, ξηρασία, κονιορτός, εὐρώς. καὶ ἄζα, ὁ ῥύπος μολύνων ἐπιτομὴν λεκάνας. ὁ παλαιὸς ῥύπος, κατὰ στέρησιν τοῦ ζῆν. οὐ ζῶσι γὰρ τὰ ξηρανθέντα. Ἀζήιος, ὄνομα κύριον.

Ἀζηλόων, τὸ μέλαν. Ἄζηλοι, ἄζημοι, ἀμίμητοι. Ἀζήμιφον, ἀζήμιον. Ἄζηλον, ὃ οὐκ ἄν τις ζηλώσειεν. καὶ ἄζηλος βίος, ὁ εὐτελής. Ἀζήμιος, ἀβλαβής. κυρίως δὲ ζημία, ἡ τῆς ζωῆς μείωσις. ἢ τὸ ἐν ζωῇ μικρόν. ὁ ἀζήμιος, ἀλυπής, ὁ μὴ ὑπέχων ζημίαν τοῦ πάθους. Ἄζημοι, πενιχροί. Ἀζημιώδ, ὄνομα κύριον.

Ἀζωνᾶς, ὄνομα κύριον. ἢ ἀζωνός. Ἀζωνάσσειν, ἐξάρχειν. Ἀζωνοί κύκνοι, οἱ ταῖς πτέρυξιν ἀναλαμβάνοντες ἀέρα.

Ἀζωαχὶς μεμαρυῖα, ὅ ἐστι συνεχές. Ἀζώ, ὁ πώγων.

Ἀζωΐα. διὰ τὸ ὑποθρεπτικὸν φυλῆς. ἀφ᾽ ἧς ὁ φυλέτης ἀζω-νεύς. ἢ ἀζωνεύς, ἢ ἀζηνεύς, ἢ ἀλιεύς, καὶ πάντα τὰ ὅμοια. Δαζώνας φασὶ φθίσεσθαι ἢ ἐθνικοὺς ἢ παλαιούς. Ἀζαίρω, ξηραίνω. Ἀζαίω, τὸ ἁρματεῖν τὸ ξύλον. Ἄζυγος, ὁ μὴ ξηρός.

Ἀζανία, ἡ Δημήτηρ. ἀπὸ τοῦ ἀζαίνειν τοὺς καρπούς. καὶ ἀζησία, ἡ κόρη. ἀμαία δὲ ἡ μήτηρ. καὶ πιθοιγία, ἢ ἀμαίη τὴν ἀζησίαν μετῆλθεν. ἐπὶ τῶν πολυχρονίως ζητοῦσι χρημάτων. Ἀζῆται, οἱ ἐπίτροποι τοῦ βασιλέως. Ἀζήτησιν, τὸ ζήτησιν καὶ κατηγορίαν ἔχον ἐκκαλούμενον. οὕτως Αἰσχίνης. Ἀζητός, ὁ σεβαστός.

Ἀζηχέα. τὰς ξηράς, τὰς ἰσχυρῶς ξηρὸν ἦχον. Ἀζηχής, διηνεκής, ἀδιάλειπτον, μεγαλόφωνον, ἰσχυρόν, ἀδυχεῖς, ἤτοι συνεχεῖς, δεινόν, μέγα. εἴρηται δὲ παρὰ τοῖς παλαιοῖς τὸ μεγαλόφωνον, διὰ τὸ πρὸ τούτου ῥηθέν, ἀζηχὲς μεμακυῖα. ἰστέον δὲ ὅτι τὸ μὲν φασὶν ἀζηχέα, οὐ πάνυ πολλούς. τὸ δὲ ἀζηχὲς πλεῖν, μυρίους ἀπώλεσεν. ἀζηχὴς λέγεται ὁ ἀδιαχής, ὅ ἐστι συνεχής. ἄλλοι μέν τι ἀζηχές φασι θυμός, ὁ σκληρός. ἀπὸ τοῦ ἄζην ἔχειν, ὅ ἐστι ξηρασίαν. ἴσως δὲ, ἄτακτος καὶ δυσμάλακτος. Ἀζήωρα, ταχεῖα, πονηρά. Ἀζοίμενοι, ἀγωνιῶντες. Εὐριπίδης Δύκτυϊ. Ἄζομαι, αἰσχύνομαι. Ἄζομαι, τὸ σέβομαι, δασύνεται. καὶ ἄζεσθαι, δασύνεται. ὃν λόγον ἐν ἄλλοις τὸ ἀζόμενοι Διὸς υἱόν, ἤγουν σεβόμενοι, καὶ τὰ κατ᾽ αὐτόν. ψιλοῦται δέ τι ἄλλως ἡ λέξις, οὐ μόνον ἐπὶ τοῦ ἄζειν τὸ ξηραίνειν, ἀλλὰ καὶ ὅτι ἄσθμα δηλοῖ, κατὰ τὴν εἰπόντα ὅτι ἄζειν, τὸ ἀθρόως προσπνεῖν τῷ στόματι θερμόν. ἐξ οὗ ἴσως καὶ τὸ αἰάζειν γίνεται, ὅπερ οὐκ ἀεὶ τὸ θρηνεῖν δηλοῖ, ὡς ἀλλαχοῦ γέγραπται. Ἀζομένη, ξηραινομένη, ἐντρεπομένη. Ἄζον, μέγαν, ὑψηλόν. Ἄζος, ὕλη. Ἄζυγες, ἄζευκτοι, μονάζοντες. Ἀζυγία, ἄζευκτον, Ἀρχίλοχος. Ἄζυμοι, καθαροί. ἄπυροι, ἢ ἐκπυροῦν μὴ ἔχοντες. τὸ δὲ ἄζυμον, οὐ ψυχοῦται. Ἄζυμα, τὰ ἄνευ παλαιᾶς ζύμης. ὃ καλεῖται προζύμη. Ἄζυξ, ὁ μὴ συνεζευγμένος γάμῳ. καὶ ὁ κέλης ἵππος. Ἄζω τὸ ξηραίνω, ψιλοῦται. παρὰ τὸ α στερητικόν, καὶ τὸ ζῶ. οὐ ζῶσι γὰρ τὰ ξηρά. ἀπ᾽ αὐτοῦ ἄζα ἐν ὀλυμπίᾳ, ἡ ξηρασία. Ἀζωΐα, τόπος ἐν Πελοποννήσῳ. Ἀζωλεῖ, ἀναπαύεται. Ἄζωνες, αἱ ξηραὶ ἐκ τοῦ θηρίου. Ἄζωρος, ὁ εὔκρατος οἶνος, καὶ ὁ κεκαθαρμένος τῆς ἄρσεως. Ἄζωστος θώραξ, ἄοπλος, ἄσολος. Ἀζωστοί, οἱ μὴ τὰ συνεσῶτα πλήθοντες. Ἄζωον, ἀβίωτον. Ἄζωτος, ἔθνος Συρίας καὶ πόλις.

ΤΟ Α ΜΕΤΑ ΤΟΥ Η.

Ἀή, ἐπεὶ, ἰσῶς. ἢ ἄημεναι, πνεῦσαι. καὶ ἀήμενοι, πνέοντες. Ἄη. ὥσπερ παρὰ τὸ φιλῶ γίνεται ἐφίλει διὰ τοῦ εἰ δίφθογγος, κατὰ δὲ αἰολεῖς ἐφίλη διὰ τοῦ η, οὕτω καὶ παρὰ τὸ ἀῶ ἄει, ἢ κατὰ αἰολεῖς ἄη. Ἡρακλείδης δὲ οὕτω βούλεται. ἵνα ὥσπερ ἐκ τοῦ φιλῶ φίλημι αἰολικῶς, οὕτως ἀῶ καὶ ἀπὸ τοῦ ἄημι. ἢ ἀκολούθως, ὡς φίλη τρίτον ἑνικὸν ἐκ δυϊκὸν ἐξ αὐτοῦ φίλητον, οὕτω ἢ ἂν ἄητον. Ἀήδα, λαίνη, λάφυρα. Ἀηδὰς, ὁ δυσπέτης. Ἀηδία, ἡ ἀμορφία. Ἀηδεῖν, δυσχεραίνειν, κεκμηκέναι. ἢ ἀηδέσαι, κεκμηκέναι καὶ κοπιάσαι, ὀχληθῆναι. Ἀηδέστερον, κοπιῶδες. Ἀηδές, ἀηδόνα, λυπηρόν, ἀνιαρόν. Ἀηδιζον. τὰ ἀπὸ φωνήεντος ἀρχόμενα ῥήματα κοινῶς αὔξονται ἐν τῷ παρατατικῷ. οἷον ἄγω ἦγον, αἴρω ᾖρον, οἰκῶ ᾤκουν. δεῖ δὲ γενέσθαι χωρὶς τῶν ἰωνικῶν, καὶ τῶν ποιητικῶν. οἱ δὲ ποιηταί, καὶ οἱ ἴωνες, συνερχόμενοι πολλάκις ποιοῦσι τοὺς παρῳχημένους, τοῖς ἰδίοις ἐνεστῶσιν. οἷον ἄγω ἄγεν, ἄφθω ἄφαβ. ἀντὶ τοῦ ἦγεν καὶ ἦφαβ. καὶ χωρὶς τοῦ ἀεθλεύω ἄεθλευσεν. ἀεθλεύω δέ ἐστι, τὸ ἄεθλος ὑπάρχω. ἢ χωρὶς τοῦ ἀηδίζομαι, ἀηδιζόμην. ἢ ἀεὶ τὸ ἀηδῶν. ἐν τῷ αὐτῷ τὸ τριπλοῦν ταῦτα οὐ τρέπει τὸ α ἐν τῷ παρατατικῷ εἰς η. Ἀηδής, κακώδης, ἄχαρος. καὶ ἀηδὴς ὁ ἀνεύφραντος. ὁ δυσειδής. ἢ ἀηδές, τὸ ἀνιαρόν. Ἀηδῶσαι, κοπιάσαι, καμεῖν. Ἀηδία, ἡ ἀνευφρασία. Ἀηδίζομαι, οὐκ εὐφραίνομαι. Ἀηδόνα, ἀηδῶ εὐφροσύνην. Ἀηδόνα, ἀηδονίδα μεταφορικῶς. Εὐριπίδης Οἰδίποδι. ἢ τοῦ ὕλοισι δὲ, λυτρίας ἀηδόνα τοῦ ἱερά. Ἀηδόνειος αὐλὸς, καὶ ἀηδόνιον μέλος. Ἀηδονίς, τόπος ἔνθα ᾖδον. ἢ ἐργασία δὲ καὶ

τάλαινα, ἀθλία. Ἀελίπτοντες, οὐκ ἐλπίζοντες. Ἄελλα, πνοὴ ἀνέμων. ἡ συστροφή, ἀπὸ τοῦ ἅμα ἄειν καὶ πνεῖν, καὶ τοῦ εἰλεῖν τὸ συστρέφειν. δηλοῖ δὲ τὸ κοινῶς ἀνεμοζάλην, ταυτὸ λέγεται καὶ θύελλα, πλὴν ὅτι τὸ μέν ἐστι μερικόν, ἡ θύελλα δὲ κοινόν. γίνεται δὲ θύελλα, ἀπὸ τοῦ θύειν ὃ σφοδρῶς ὁρμᾶν, καὶ τοῦ εἰλεῖν. τὸ δὲ ἄελλαν, καὶ στροφάλιγγα κονίας εἶπεν, ταυτόν ἐστιν. ἔχει καὶ τὸ στρέφειν καὶ τὸ εἰλεῖν, ὁμοίως. ὧν τὸ μὲν τὴν στροφάλιγγα δηλοῖ, τὸ δὲ τὴν ἄελλαν. Ἄελλαι, ἄνεμοι, πνοαί. Ἀελλάδες ἵπποι, αἱ ταχεῖαι. ἐν ἀελλάδων ἵππων, ταχέων. Σοφοκλῆς Οἰδίποδι τυράννῳ.

Ἄελλαι, τὰ ἄτακτα πνεύματα, καὶ καταιγίδες, καὶ τὰς μεγάλας συστροφάς. Ἀελλαίων, ταχέων. Ἀελλής, φιλής, κολακίδες. Ἀελλὴς, ἀθρόον, καὶ ὁμόσε. Ἀέλλαι, πνοαί. Ἀελλὴς, συστροφὴ ἀνέμου. ἡ κονίσαλος, ὁ συνεστραμμένος λίαν ἀέλλης. ἔστι δὲ θέσις τὸ ἀελλὴς παρ' Ὁμήρῳ. καὶ ἀλέης, παρ' Ἡροδότῳ ἐν τῷ, ἐσέπιπτον ἀολλέες εἰς τὴν πέρσας. δύναται δὲ ἄλλως τὸ ἀελλὴς χρόνιον εἶναι καὶ εἰς ἐτυμολογίαν τοῦ κονισάλου. ἵνα ᾖ κονίσαλος, κόνις ἀέλλης. Ἀελλῆς, κακοπαθής. Ἀελλῆσι, πνεύμασι. καὶ ἀελλῆσι, θυμοῖς ἀνέμοις ὅλοις μετὰ παῤῥησίας.

Ἀελλόθριξ, ποικιλόθριξ, ἡ πυῤῥοὺς καὶ σπανὰς ἔχουσα τὰς τρίχας. παρὰ τὴν ἄελλαν. Σοφοκλῆς Ἰνάχῳ. Ἀελλόποδες, ἐλαφροί, κοῦφοι. Ἀελλόπους, ταχεῖα τοὺς πόδας, ταχύπους.

Ἀελλοπός, ἴρις. ἡ ταχύπους. ἀφ' οὗ καὶ πολλάκις. Ἀελλός, μαινόμενος, ἢ ὀργίλος. Ἀελλάδες ἵπποι, αἱ ταχεῖαι. καὶ τὸ στρατικόν. Ἀελλόδεις, μετὰ ἀνέμων ὁμιχλώδεις. Ἀελλῶν, στρέφων, ὀχλῶν, ποικίλλων. Ἀελπέρια, λευκά. Ἀελπίοντες, μὴ ἐλπίζοντες. καὶ ἀελπίων, οὐκ ἐλπίζων. Ἀελπτὶς, ἀνέλπιστον. Ἀελπτέοντες, οὐκ ἐλπίζοντες. ἀπὸ τοῦ ἔλπω, ἐλπέω, ἀελπέω. ἡ μετοχὴ, ὁ ἀελπέων. ἡ πληθυντικὴ εὐθεῖα, ἀελπέοντες. καὶ πλεονασμῷ τοῦ τ, ἀελπτέοντες, ἀπελπιζόμενοι. Ἄελπτα, ἀνέλπιστα, ἀπροσδόκητα. Ἄελπτον, ἀνέλπιστον. ἢ σκληρόν, Ἀρχίλοχος, ἀπροσδόκητον, λευκόν, αἰφνίδιον. Ἀελπτοί, λευκοί, καὶ ἄελπτοι. Αἰχόλος κρυπτός. Ἄεμμα, τόξον, ἱμάτιον. Ἀεμπόδιον, ζίζανον. Ἀεν, ἔπνει. Ἀενάοντι, καθαπτεύοντι. Ἀέναον, τὸ ἄπαυστον, καὶ ἀεὶ ὄν. ἢ τὸ διηνεκές. ἀπὸ τοῦ ἀεὶ ἐπιταττόμενον ῥεῖν, καὶ τοῦ νάω τὸ βλύζω. καὶ ἀέναος, ὁ πολύς, ἀπέραντος, πολυχρόνιος. καὶ ἀενάων, ἀεὶ πηδῶν. Ἀέναος, ὁ ἀεὶ ῥέων. ἀπὸ τοῦ νάω, ὃ ἐστὶ ῥέω. ἢ διαρκής, ἢ ἀεὶ θάλλων. Ἀενάοντα, ἀεὶ ῥέοντα.

Ἀέντι, πνέοντι. Ἀέντες, ἐστὶν αὐτοῦ προσφωνούμενον. ἐκ θέσιν ἄσμι. ἀλλ' οἱ αἰολεῖς τὴν αὐτὴν μετοχὴν κατὰ τὴν φιλῶν, ἀεὶς ὡς φιλεὶς λέγουσι. καὶ ἡ πληθυντικὴ εὐθεῖα, ἀέντες, καὶ ἡ γενικὴ ἀέντων. Ἀέξεον, αἰγύπτιον, σμύρνιον. Ἀέξω, ἀπὸ τοῦ ἔχω τὸ ἰσχύω. ὁ μέλλων ἕξω, ἐν ἀέξω προσθήκῃ τοῦ α. ἀέξ παρ' Ἡσιόδῳ, αὔξει. Ἀέξετο, ηὔξανε. Ἀεξῶν, αὔξων, ἢ ἔχων. Ἀέσσι, κοιμηθῆναι. Ἀεκάστιον, ἀσμένως χαίροντα. Ἀέττα, ἀκούει. Ἀεργηλοί, ἀργοί, ἀναπαυόμενοι. Ἀεργηλόν, ἀργόν. Ἀεργῶ, ἄνω, ἢ φυλάττω. Ἀεργός, πινακόν. ἀργός, κενόν. Ἀεργόν, ἀντὶ ἀργὸν λέγουσιν οἱ Δωριεῖς. Ἀεργός, ἀργός. ἢ κακοῦργος. Ὅμηρος, Οὐ γὰρ ἀεργὸν ἀνείσομαι ὥς ὄρνιν τὸν ἐμὸν τρέφεται. παραινετικόν ἐστι τὸ χρῆναι τὰ ἐν τῷ οἴκῳ πάντας χρησίμους εἶναι. μὴ ὅτι γε τοὺς οἰκείους, ἀλλὰ καὶ εἴ τις ἄλλος τύχοι ξένος. Ἀέρθην, αἴρω, ἀερῶ, ἤερκα, ἤερμαι. ὁ ἀόριστος, ἀέρθην. τὸ πληθυντικὸν τὸ τρίτον, ἀέρθησαν. καὶ ἐκβολῇ τοῦ η καὶ σ, ἄερθεν, ἀντὶ τοῦ αἰρθέντων ἤρθησαν, ὡς κόσμηθεν, ἀντὶ τοῦ ἐκοσμήθησαν. Ἀερθεῖσα, αἰωρηθεῖσα, αἰρεθεῖσα, κρεμασθεῖσα, καὶ λίαν πτοηθεῖσα. Ἀερίιον, ἀμέθυστον, χλόη, ἀερώδες. Ἀέρας, ἄρας, βαστάσας. Ἄερσις, μετεωρισμός. Ἀέρθη, ἐπήρθη. Ἀερία, ἡ ὁμίχλη παρὰ Αἰτωλοῖς. ἔστι δὲ τῶν ὀνομάτων, ὃ αἰγύπτιον, καὶ λιβύων, καὶ κρητικὸν, καὶ σικελίαν, καὶ αἰθιοπίαν, ἢ κόστορον, οὕτως ἐκάλουν. Ἀεριάδες, μέλισσαι. Ἀέρ-ιον ὕλην, τὸ ἐν τῷ ἀέρι. καὶ ἀέριος, ὁ ἐν τῷ ἀέρι. Ἀέριον, οὐ πεπυργωμένον. Ἀερικοί, ὅσοι τὸν ἀέρα μιμοῦνται.

Ἀέρχιον, ἀντὶ τοῦ ἄφρακτον, καὶ παντάπασιν ἐρημωμένον. Ἀερμὼν, ὄρος κατὰ τὴν παλαιστίνην. ἐφ' οὗ χιὼν πολλὴ συνάγεται. ἀφ' ἧς ἀτμοὶ ἀναδιδόμενοι, καὶ τὸν ἀέρα τῶν ὑψηλοτέρων τόπων παχύνοντες, δρόσον ἀποτελοῦσιν ἐν ἴσῳ. Ἀεροβατεῖν, τὸ εἰς τὸν ἀέρα περιπατεῖν. Ἀεροπόμα, τὰ πετεινὰ τὰ τοῖς χρήσιμοις τέμνοντα τὸν ἀέρα. ἀεροβατῶ καὶ περιφρονῶ τὸν ἥλιον, παρὰ τῷ Ἀριστοφάνει. ἀντὶ τοῦ περιφρονῶ τὸν ἥλιον, ἢ τὸ περιφέρεσθαι ἐπιβαίνων τῷ ἀέρι. Ἀεροβάτει, τείνει. Ἀερσίπουν, μέλαν, βαθύ, μέγα. Ἀεροκίλαδοι, πιτυοκάμπται. Ἀερολέσχης, ὑψηλὸς ἐν τῷ λέγειν, κομπολόγος. Ἀεροκυνὰς λέγει Ἀριστοφάνης, τὰς ἐν τῷ ἀέρι ὀχουμένας νεφέλας, ἐπειδὴ ἐν αὐταῖς ὀχεῖται τὰ ὄρνεα. ἢ διότι ὀρνέων αἱ νεφέλαι ὁδὸς ἦσαν, ἤγουν πετεινοῖς.

Ἀέροπος, ἔθνος τῶν φρυγῶν κατῳκισμένον. καὶ ἐν μακεδονίᾳ γένος τι. καὶ ὄρνεά τινα. Ἀέρσας, κολλήσας. Ἀερὲς, ἀπαλός. Ἀερὸς, εἶδός τις. καὶ ὄροβοι. ὡς τὸ, ἄερον ἀπεδεικνύτην.

Ἀέρσην, τὴν δρόσον. κρύσταλλον. Ἀερσιλόφους, ὑψαυχένας, ὧν οἱ λόφοι ἐπηρμένοι εἰσὶ καὶ μετέωροι. Ἀερσίποδες, ταχύποδες, ἐλαφρόποδες. καὶ ἀερσίποδες ἵπποι, οἱ αἰρόμενοι, ὅ ἐστι κουφιζόμενοι ποσίν. οἱ λίαν ταχεῖς, καὶ ἀκύποδες, ἢ ἀελλόποδες, καὶ ὡς εἰπεῖν κουφόποδες. ἡ ὁμηρικῶς εἰπεῖν, φερόμενοι ὑπὸ τῶν ποδῶν. χρήσιμον δὲ ἐνταῦθα καὶ τὸ Ἡσιόδου, ἀερσιπότας ἀγάγωσι. καὶ ἀερσίποδας, αἰρομένους. καὶ ὡς εἰπεῖν, ἀερίας ὄντας ποσίν. ἀπὸ τοῦ αἴρω, αἴρουσι. ἀερσίποδες δέ εἰσι, τὸ εἰς ἀέρα κουφίζεσθαι. ἀφ' οὗ καὶ ἀερσιπότης. Ἀερσίπους, ταχύπους, ὁ εἰς ὕψος αἴρων τοὺς πόδας. Ἀερτάζειν, βαστάζειν. Ἀερυσίτεφα, ἀφανισθέντα. Ἀέσαι, ἄσαι, κοιμηθῆναι. κατὰ συγκοπὴν τοῦ ι, ἄσαι, ὅ ἐστιν ὁρμῆσαι. Ἀέσαμεν, κατεκοιμήθημεν, ἐκοιμήθημεν, ἀνεπαύσαμεν. ποιητικὴ λέξις. καὶ ἀέσκοντας, κοιμωμένους. καὶ ἀέσκον, ἀνεπαύοντο, ἐκοιμῶντο. Ὅμηρος, νύκτα μὲν ἀέσαμεν χαλεπὰ φρεσὶν ὁρμαίνοντες. Ἄεσις, πόνος, βλάβη. Ἀεσίμασι, ὁ ἐν πνεύμασι τῶν ἀνέμων μαινομένη. θαλάσσης δὲ τὸ ἐπίθετον.

Ἀεσίφρονα θυμὸν, τὴν ψυχὴν λέγει Ἡσίοδος τὴν ἐκπεφοβημένην. ἢ τὴν βεβλαμμένην ἔχοντα τὸ φρόνημα. τὸ μὲν ἀπὸ τοῦ αἴρω, τὸ δὲ ἀπὸ τοῦ ἄσαι τὸ βλάψαι. Ἀεσιφροσύνῃσιν, ἀνοίαις.

Ἀεσυτὴν, αὔειν. βοιωτοί. Ἀεσίφρων, ματαιόφρων, ὁ κοῦφας ἔχων τὰς φρένας, φρενοβλαβὴς, ἢ κοιμώμενος τὰς φρένας. ἄεσαι γὰρ τὸ κοιμηθῆναι, ἢ ἀναπνεῦσαι. καὶ ἀεσίφρων, ἔξωφρων. παρὰ τὸ ἄω, τὸ πνέω. Ἀετὴ, πόλις. Ἀετὰς, πόρνας, πεφρικυίας. Ἀετασία, ἡ λύπη. Ἀετὶ, ἀκούετε. Ἀέτια, τὰ τῷ αὐτῷ ἔτει γινόμενα. Ἀετιδεῖς, οἱ ἀετῶν παῖδες.

Ἀέτιον, πτερὸν, καὶ κρίος. Ἀετίτης, εἶδος λίθου. ὡς καὶ ἀχάτης. καὶ λυχνίτης. Ἀετίγεια, πόλις ἀρκάδος. Ἀετμα, φλόξ. Ἀετμὸν, τὸ πνεῦμα. Ἀετ, ἐπιζόω. Αἰσχύλος. Ἀετόνυχος, βοτάνη. Ἀετὸν ἐπειδὴ διδάσκεις. ἐπὶ τῶν εὐχερῶς τινα διδάσκειν ὧν τις, ἃ ἐπίσταται μᾶλλον τοῦ θέλοντος διδάσκειν.

Ἀετὸν κάνθαρος μαιεύομαι. ἐπὶ τῶν τιμωρουμένων τῶν μειζόνων, προκαταρξάντων κακοῦ. λέγεται ἐπὶ τῶν ὑπὸ τῶν ἀσθενῶν ἀφανιζόμενων ὁ κάνθαρος. Ἀετὸς, παρὰ τὸ α ἐπιτατικὸν καὶ τὸ ἐτεὸν σημαίνει. ἐτεὸς ὁ ἀεὶ ἀληθὴς, καὶ αἴσιος. διὰ φέρεται μῦθος, ὅτι ὁ θεῖος ὑπὲρ ἐκ γενομένου Διὸς αὐτῷ φανῆναι. ὅθεν καὶ κατὰ τὴν ἀποκλήρωσιν τῶν τιτάνων, ὁ Ζεὺς αὐτὸν ἐν τῇ διανεμήσει τῶν θεῶν ἐκλέξατο. καὶ οὗτος τῷ Διὶ, ἐπεὶ τῷ αἰθερίῳ αἰεὶ ἀνίσταται. οὐ μόνον ὡς τελείως τέλειος, ἀλλ' ὡς οὐρανίῳ ὑψηλότερος, ἀλλὰ καὶ διὰ τὴν κατὰ τοὔνομα κοινωνίαν. αὐτός τε γὰρ καὶ ἀὴρ, ὅμφω παρὰ τὸ ἄω τὸ πνέω λέγονται παράγεσθαι. οἰκεῖος δὲ πως καὶ ὁ λάβρος ἑρμῆς, οὐ μόνον ὡς ἀργειφόντης λαμπρός, ἀλλὰ καὶ κατὰ τὴν παρωνυμίαν τρόπον τινὰ, τῇ τοῦ λόγου γλυκύτητι.

ὅτι

γάρ ἐστι τὸ ἐμμελῶς λέγειν, καὶ μετ' ᾠδῆς. Ἀεικέλιον, κακόν, δυσφαῖον, ἄλλοιον. Ἀεικέλιος, κατάρατος, λευκός. Ἀείδελον, ἀόρατον, καὶ ἀειδές, λυπηρόν. Ἀειδέστερον, ἄμορφον.

Ἀείλιμα, λαμπρά. Ἀείμναι, παρὰ τοῖς πολλοῖς, οἱ λαοὶ ... τὸ δὲ τοῦ συνεχλησίου παρὰ τὸ ... ἀπαξ δὲ ἐκτεταμένον. ὅς ἐν τῷ, ... Ἀεικής, ἀπρεπής. καὶ ἄμορφον, αἰσχρόν. Ἀεικής, ὁ μηδέπω εἴδας, ὁ ἀγανὸς ... Ἀεικία, ἡ ἀμορφία. Ἀεικίης, ἀεὶ οὔσης.

Ἀειδινέοις, ἀεὶ στρεφομένοις. Ἀείδιον, αἴτιον, ἀεὶ ὄν.

Ἀέθλον, ἆθλον. Ἀεθλοπόδα, ἀθλοπόδα. Ἀείδω τεχνικόν, ἄλλο κοινόν. ἀφ' οὗ ὀνόματα ἀοιδὸς παρὰ ποιηταῖς, καὶ ᾠδὴ ἡ αὐτὴ παρὰ τοῖς κοινοῖς. καὶ ἀείδω, τὸ λέγω. Ἀείδω, τὸ πάνυ ἐπίσημον. ἐκ τοῦ εἴδω, κατὰ τὴν ἐπιταλικὴν τοῦ α. Ἀεὶ ὀν, τὴν αἰώνιον οὐσίαν, ἢ ἰδιότητα. Ἀεὶ ὤν, ἀίδιον τὸν αἰώνιον, καὶ τὸ ἐπὶ τοῦ αὐτοῦ ἀεὶ ἑστῶτα. ὥσπερ καὶ τοῦτο, ὁ ἐν Λαμψάκῳ ... ἢ λέξις παρὰ τῷ Διονυσίῳ, ἐν ἀληθείας λατρείᾳ. Ἀείζωον, φυτὸν ἀειθαλές. Ἀείζωος, ἄφθαρτος. ποῦς ἐστιν ἢ ἀναπάλιστος. ἀζώστες δὲ τὰς ἀνεστραμμένας γυναῖκας. ἢ ἀπειρίας, ἢ ἀπαλάχευτος. Ἀειθαλής, ἀεὶ θάλλων. καὶ ἀειθαλὲς τὸ βραβεῖον τῆς νίκης, ἀεὶ θάλλον. Ἀείλαον, νίκη ἐκ τῆς ἐπιτάσεως, καὶ τὸ εἴλω τὸ γνώσκω. πάντα τὰ εἰδότα ἐπιστήμονα ὡς φιλόσοφοι, ὥσπερ οἱ ποιηταί. ὅθεν καὶ ἀοιδὸν τὸν ἐκπεπαιδευμένον φύλακα, φιλοσόφοι δὲ ἑρμηνεύουσιν, ὡς εὖ εἰδότα πάντα ἐν μέσῳ. καὶ μαθηταὶ δὲ τῶν σοφιστῶν οἱ ἀοιδοὶ ἐνομίζοντο. εὖ σύμβολον, καὶ ἐν τῷ λάφους τάφος ... τοῦ Ἀπόλλωνος, ... οἱ ἀλοιδοὶ ῥαψῳδοί. ἀργεῖ δὲ παρὰ τῇ κοινῇ διαλέκτῳ τὸ ἀείδω. καὶ ἐκεῖθεν ἀοιδή. ἐρρεῖ δὲ τὸ ᾆσμα, καὶ ᾠδή. τὰ πάθη τὰ ... καὶ συναίρεσιν.

Ἀείδειν φαμὲν τὰ ποιήματα. ἀείδειν γὰρ τὸ ἐμμελῶς λέγειν. καὶ ᾠδὴ ὁ μεμελισμένος λόγος, ὅς καὶ ἐφαρμόζεται. πρὶν ὕφος ἂν τὸ μέτρον. ... ὁ ποιητὴς λέγει ... ὁ μὴ ποιητής, πρὸς λέγειν δὲ τὸ ... καὶ ... ἄλλον ... πρὸς Ἡσιόδῳ, ... ἀείδειν ... τὰ ποιήματα λέγειν. εἰκαστέρον δὲ τῆς ἐμμελείας, τὸ ᾆδειν. ὅθεν καὶ ἐπὶ μουσικῶν ὀρνίθων, ᾄδειν λέγομεν. Ἀεικεῖς, μάχας, ὁρμάς. ἢ βολὰς τόξων. Ἀεικέα ἔργα, ἀπρεπῆ, ἀσθμάτα.

Ἀεικεα, ἢ ἀπρεπῆ. Ἀεικέα. Ὅμηρος ἐν Ὀδυσσείᾳ, μὴ ὡς ἀεικέα φαίνεται. οὐ ἑρμηνεία κατωτέρω ἀεικέα ἔργα, ἤτοι ἀπρεπῆ. Ἀεικείην πήρην λέγει, τὴν πενιχρὰν ἢ ταπεινήν. Ἀεικίζειν, ἀπρεπεῖ, χαλεπαίνειν. Ἀεικέλιον, ἀνόμοιον, σκληρόν, κακόν, εὐκαταφρόνητον. Ἀεικελὴς, ἀπρεπής. Ἀεικελίης, ταλαιπωρίας, εὐτελείας, ἀνάξιας. Ἀεικὲς, τὸ ἀπρεπές. ἄλλως δὲ, τὸ ἀνόμοιον. Ἀεικὲς, κακὸν, σκληρὸν, ἀπρεπές, εὐκαταφρόνητον, ἀπεοικός. Ἀεικέστερα, ἀπεοικότα.

Ἀεικέστερος, ἀπρεπέστερος. Ἀεικία, ἀτιμία, κάκωσις, κακία, ὕβρις. Ἀεικίζουσιν, ὑβρίζουσιν. Ἀεικία ἀτιμία, ταὐτὸν. ἀεικίζει καὶ ἀεικίζει ὑπὸ Ὅμηρος. ... ... καὶ ... τῇ ἀεικίᾳ. οὐ μόνον δὲ ... τὸ ... ... τῷ ... ὡς ... ἄλλοι δ' ὅτι ὡς ἀπὸ τοῦ εἴκω καὶ φαίνω τὸ εἰκὸς καὶ φαίνω γίνεται, οὕτως ἀπὸ τοῦ ἀεικίζω, καὶ τὸ ἀεικία, τὸ αἰκίζω καὶ ἡ αἰκία.

Ἀεικίσσω, ὑβρίζω. ὡς ἀγνώς, ἀγνίζω, οὕτως ἀεικὴς ἀεικίζω.

Ἀεικὲς, αἰσχρός, ἀπρεπής, ὁ μὴ ἔοικεν. Ἀεικίζω, ἀτιμάζω, φθείρω. ἀεικίαν δὲ πήραν παρ' Ὅμηρῳ, ἀπὸ τοῦ ἀεικὲς ἀεικίζω. ἀεικίσσουσιν, ὑβρίζουσιν, ἢ ἀτιμάζουσιν. Ἀεικισσάσθαι, ἐκβαλεῖν. Ἀεικέσσουσι, ἐκχύσει. Ἀεικῶς, ἀπρεπῶς, χαλεπῶς, ἀσυμφόρως. Ἀεικὰ πεδία, ἀνύλα. εἴτε ἀπὸ τοῦ ἄλσος αὐτά, καὶ ἄπαλα χωρία. τὰ πλάσμα, κατὰ στέρησιν τῆς ὕλης. Ἀεὶ ἄν, ποῖ. Ἀελογίς, ἀεὶ λαλεῖς, ἀεὶ προφέρω. Ἀελογία, ψευδολογία, ἢ ταυτολογία, ἢ τὸ διαπαντὸς ἐξῆς λέγειν. τὸ ἐκεῖσε τὸ διὸ ἐπὶ λόγον, καὶ ἀπολογίαν. Ἀέλλαν, θυμέλαν, ἀπατᾶν.

Ἀεὶ μὲ θεοῦσι πόλεμοι διώκειν, ἐπὶ ἀντιδόρων, καὶ μηδενὸς λόγου ἀξίων. Ἀείμεναι, πνεῦσαι. Ἄειν, πνεῖν. Ἀέναυτος, ἀρχῆς ὄνομα παρὰ μυλωνίοις. Ἀενάων, ἀεννάων. Ἀεινὴς, οἱ προσοικίοις, βλαβεροῖς. Ἀεινεύς, τυφλώσεις. Ἀερίδας, ἡ τύφλωσις. Ἀέρια, λέμφορ μεταφέρουσιν τὸ δὲ αὐτὸ ... Ἀέριον, τὸ αἴτιον. Ἀεροβάτης τὰς ἰέρας. μυθικὸν δὲ ἐστι τοῦτο. ὑπερμαχεῖ δὲ χρὴ τὰς ἐχλωροκλαστείας, καὶ οὐκ ἐγχωρεῖ ἀείρεις διαμνημονεύσει ὑπὸ τῶν ἀδικησάντων. Ἀείπλανα, πεπλανημένα, πλήρη φλυαρίας. Ἀεῖραι, βαστάσαι, ἆραι. Ἀείραντες, ἐγείραντες. Ἀείραξ, ἢ ἐλλόγιμος παρὰ Ἱεροῖς. Ἀέρει, φέρει. Ἀείραν, ἵσταλε, προσάφεσιν. μή μοι οἶνον ἀείρει μελίφρονα, Ὅμηρος. Ἀέρει παρ' Ὁμήρῳ, ἀντὶ τοῦ προσφέρει. ἀφ' οὗ καὶ τὸ ἄρτος, καὶ τὰ προσάρματα. ἤγουν αἱ τροφαί. Ἀερανίδην, διαπειρομένην. Ἀερεμ, ὅ ἐστιν ἦραν. καὶ ἀείραντες ἰδία, εἰρήνη πρὸς διαπολυεῖν τὸν καταρρῖψαι. Ἄερα, ἵστα. ἴππος λέμματα, ἀέριον, ἀείρειν, ὅ ἐστιν κίρειν, ὑψοῦν. Ἀείρας, ἐγείρας, ἄρας, ὑψίζεις. Ἀείρειν, προσφέρειν. Ἀερίδας, ἐυκλης τὴν ὁρμήν.

Ἀείροις, ἀπείροις. Ἀείρεισθον, ἀεὶ ῥέον. Ἀείρομαι, ἀνταίρομαι. Σοφοκλῆς Τραχινίαις. Ἀερομένας, περισχομένας. καὶ ἀερόμενος, ἐπαιρόμενος. Ἀερομένη κώνη, ἤγουν εἰς ἀέρα ἐγειρομένη, καὶ ἀειρόμενος πλῆθος κονιορτοῦ. Ἀειρὸν, ἄρρητον, ἀπαιτούμενον, ἐπὶ κακῷ ὀνομαζόμενον. Ἀειρὸς, δυστυχής, καὶ ὁ ἄπειρος. Ἀείρρυτος κρατῆρ ἢ ἀείρροος, καὶ ὑλήεντες ἢ πολύποτος. Ἀείρρυθρον, τὸ ἀεὶ ῥέον. Ἀείρω, παρὰ τὸ αἴρω, πλεονασμῷ τοῦ ε, τὸ ἀνυψῶ, ἐπαίρω, καὶ κουφίζω, καὶ βαστάζω, καὶ ὑψῶ.

Ἀείρων, ἀδύνατος. Ἄεισιν, ἄεισιν. Ἄεισιν, ἀπὸ τοῦ ἄνω. παράγωγον τοῦ ὡς μι. ἄημι, τὸ τρίτον ἄησι, τὸ δ' ἀνὴρ ἄετον, καὶ κατ' ἔκτασιν ἄεισιν. οἷον, τὸ τεθνηκὸς ἄκρον. τὸ φίλον τὸ πλυθεντικῶν. ἀεισιν ἀιολικῶς, ... ἀεισιν, ὥσπερ ἰόειν. Ἀεὶ ἀεὶ τρ, ὅ ἐφ' ἐκάστης ἡμέρας ἐν τῷ πρυτανείῳ δειπνῶν. Ἀεισιφον, ἀεὶ ὄντος. Ἀεισίων, σοφόν. Ἀεισορος, ἄπειρος. Ἀείσω, ᾄσω, ὑμνήσω. Ἀειτάφος, ἀειχρόνος. Ἄειτη, ὑμνεῖτε.

Ἀείτης, ὁ ἑταῖρος. Ἀεὶ ὡς ἐν Λύδιον, ἐπὶ τῆς φιλοξενίας, καὶ πρὸς τὸν ὄχλον ἐδείκνυε. παρ' ὅσον Λυδῶν ὁ Κορίνθιος φιλοξενώτατος ἐγένετο. Ἀεὶ τοῖς ἴσοισιν συνέδωμεν. Ἀεισφόνος ἔρωσι. καὶ τὸ ἐρωτικὸς ἔρεισεν εὐγενεῖς χαρίζεσθαι τοῖς ἐρωμένοις. καὶ ὁ ... καὶ εἰ ... ὅτινα δεξιὰ πρὸς ἔρωτα φαίνεται. ἐγὼ μὲν οὖν λαμβάνω δεξιὰ ... οἶμαι λεγομένη ... Ἀειτὴν, ταχύ. Ἀείτυπος, ὁ ἀεὶ κεκμημένος. Ἀειφόρος, ἀειθαλής. Σοφοκλῆς Τηλέφῳ. Ἀείφρουρος, ἀεὶ διαμένων. Ἀειφυγία, ἡ εἰς ἀεὶ φυγαδευθῆναι. Ἀείχρυσος, εἶδος. Ἀεκαζόμενος, ἄκων, καὶ μὴ βουλόμενος, ἀναγκαζόμενος, ἀπωμόμενος. Ἀεκασῦ, κακῶς. Ἀεκήλια, ἀκούσια, χαλεπά. ὃ οὐκ ἂν ὡς ἑκὼν πάθοι. βέλτιον δ' ἂν ὡς ἀεικέλια, τὰ πεπληγμένα καὶ οὐκ εἰρημένα. κατὰ στέρησιν τοῦ ἑκουσίου καὶ εἰρημένα. Ἀέκητι θεῶν ζῆν παρὰ θεὸν. ἤτοι μὴ θεοφιλῶς, καὶ παρὰ γνώμην τῶν θεῶν. Ἀέκητι, ἄκλειστος, παρὰ γνώμην. Ἀεκητί, ἀκουσίως. Ἀεκοντίσασθαι, μὴ θέλοντα ἀναχωρῆσαι. Ἀέκοντα βίᾳ, ἐν τῷ α τῆς Ὀδυσσείας. ἐκ παραλλήλου θέσεως, τουτέστι σημαίνουσιν. Ἀέκητος, ἄκητος, μὴ βουλόμενον.

Ἀέκων, μὴ θέλων. ἐκ τοῦ ἑκών. ἐν παραθέσει ἀναβιβάζει τὸν τόνον, καὶ παράφησι παραλόγως. οὐδεμία γὰρ μετοχὴ ἐν συνθέσει ἀναβιβάζει τὸν τόνον, εἰ μὴ μόνον ἢ ἄκων. τὸ δὲ ἑκὼν λέγων, ἀντίκειται πρὸς τὸ ἑκὼν λόγον. οὐ γὰρ ἁπλῶς μετοχή, ἀλλ' ἑκούσιον παρὰ Ἡρακλείτῳ μεθεκτικὸν ὀνομάζεσθαι. Ἀέλατα, πολύσυλα χωρία, κατὰ στέρησιν τῆς ὕλης. Ἀέλιος, τοιοῦτος.

Ἀέλια, οὐκ εἰρημένα, οὐδ' ὕπνον χαρὰ ἀναλίσκοντα. Ἀέλιοι, οἱ ἀδελφὰς γυναῖκας ἐχηκότες. ἤγουν σύγγαμβροι. Ἀελίς, πέλεια.

Ἀδύσιμον, ὕδωρ. Ἀδυνασί, ἀδυνάτως. Ἀδύναδες, οἱ πεπηρωμένοι τὸ σῶμα. ἐλάμβανον δὲ οὗτοι δοκιμασθέντες ἀπὸ τῆς βουλῆς, οἱ μὲν πεντακόσιοι ἑκάστης ἡμέρας, ὀβολοὺς δύο. οἱ δὲ ὀβολόν. Ἀδύνατον, ἄμωμον, ἄπρακτον. Ἀδύνατο πρόβατα, τὸ γεγηρακὸς πάνυ. Ἀδύνατα εἶναι, ἀντὶ τοῦ ἀδύνατον. πολλάκις γὰρ εὕρηται Θουκυδίδης τοῖς πληθυντικοῖς ἀντὶ ἑνικῶν. μάλιστα δὲ ἐπὶ ταύτης τῆς λέξεως. ἀδύνατον δέ ἐστιν, ὃ μὴ ἔστιν ἐπιδεικνύειν τὸ ἀληθὲς εἶναι. οἷον, ἡ γῆ ἵπταται. Ἀδύνατα θυράς, πλεονασμὸς ἐπὶ τὸ ἐγχειρούντων μείζοσιν, ἢ καθ᾽ ἑαυτούς. Ἀδυνατῶ χαίρειν, ἀδυνατῶ περὶ τοῦδε, ἀντὶ τοῦ οὐ δύναμαι. Ἀδυσώπητον, ἀπροσωπόληπτον. καὶ ἀδυσώπητος, ἀπαραίτητος, ἀναίσχυντος. Ἄδυτα, ἄβατα, ἀπόρρητα. Ἄδυτον ζῷον. ἡ τῶν Δελφικῶν θυσιῶν δηλοῖ. ἢ ἄλλον τρόπον, τὸ ἱερὸν ζῷον. τοῦτο μὲν ἀπαίτησιν ἔχει βωμόν. Ἄδυτον, σπήλαιον. ἢ τὸ ἀπόκρυφον μέρος τοῦ ἱεροῦ. ἀπὸ τοῦ δύω, δύμι, δύσω, δέδυκα, δέδυμαι, δέδυσαι, δέδυται, δυτὸς, καὶ ἄδυτος. καὶ ἄδυτον, ὁ τόπος εἰς ὃν οὐκ ἔξεστι πᾶσιν εἰσιέναι. καὶ ἀδύτων, ἀοίκων, ἐνδοτάτων. Ἀδῶ, ἀρέσκω. Ἄδω παρὰ τὸ ἀῶ, ὅταν ἡδονὴν ἐπάγω αὐτῷ. ἄδω δὲ τὸ χανδάνω, ἢ τὸ ἥδω, ὅταν εἰς αὐτὰς ἐπιώσαι ὡδῶν. καὶ ἀδεῖν τινὶ μὲν τὸ ψάλλειν. ἐνίοτε δὲ τὸ φημίζειν. ὡς τὸ, ἄδεται λόγος. πινδαρικῶς δὲ σημαίνει τὸ αὐλεῖν, τὸ ἐμμέτρως καὶ ἐμμελῶς λέγειν. ἀδινὸς μέλος. προπαροξύνεται δὲ, δοκεῖ μόνη. παράδωσις, αἰολικὴ μόνη. κατὰ κράσιν δὲ, γυναικεῖ. Ἄδωνα, τὸν ἄδωνιν. Ἀδωναῖος, πουλῦν, καὶ βόλος. ἢ ὁ ὑπὸ τοῦ ἄδωνος. Ἀδώνιοι ἐκεῖ λέγονται, οἱ μισθωροὶ κῆποι. Ἀδωνία, συντεταγμένως. καλοῦσι καὶ τὸ εἴδωλον τὸ ἀδώνιδος, ἀδώνιον. καὶ ἀδώνιος καρπὸς. ὁ τοῦ ἀδώνιδος.

Ἀδώνιδος κῆπος, ἐπὶ τῶν ἀώρων, καὶ ὀλιγοχρονίων, καὶ μὴ ἐρριζωμένων. Ἀδωνιασμὸς, ὁ ἐπὶ τῷ ἀδώνιδι θρῆνος. Ἀδωνίας, ἡ χελιδὼν καὶ ἡ θαλασσία. Ἀδώνιον, τὸ παρὰ τοῖς λάκωσιν αὐλητικὸν ἐπιβατήριον. ὅπερ ὕστερον παρὰ λεσβίοις ὠνομάσθη.

Ἄδωνις, παρὰ τὸ ἅδω τὸ ψάλλω. ἢ παρὰ τὸ ἥδω τὸ εὐφραίνομαι. καὶ ἄδωνις φιλόλιτος, ὁ πολυφίλιτος. ἢ εἶναι ὑπὸ πολλῶν ἐφιλεῖτο, διὰ τῆς ἀφροδίτης. προσφέρως, καὶ ἐν ἄλλοις τοῖς παρὰ [illegible] κυπρίοις καλεῖται. Ἱστορία. Ἄδωνις ὁ κύπριος κατὰ [illegible] κινύρου παῖς ἦν, τοῦ κυπρίων βασιλέως, καὶ οὐ θείαντος. ἐξ οὗ ἀφροδίτη γενᾶ πρότερον, ὃς αὐτὸν καὶ βασιλείδιον. ἡ γὰρ ἥρα ἐν γύν οὔσης αὐτῆς, μεμαγμένον χειρὶ ἀφαμένη, διὸ τοὶ ἐκεῖνος γενέσθαι. καὶ ὃν θεῷ κληθέντα, αἱ μοῦσαι τῇ πρὸς ἀφροδίτην ὀργῇ φερόμεναι, διὰ τὰς αὐτῆς ἐπιίστορας ἀνήψαντο μητέραι καὶ τεκεῖν. οἷον καλλιόπην ἐξ οἰάγρου τεκεῖν ὀρφέα, καὶ κυμέβεαν, τερψιχόρην ἐκ στρυμόνος ῥῆσον, κλειὼ δὲ ἐκ μάγνητος λῖνον. ἄρης ὁ θεὸς ἀντεραστὴς ὢν ἀφροδίτης, εἴτε μεταμορφώσας ἑαυτὸν πρὸς χοίρου μορφὴν, εἴτε πρὸς χοῖρον ὁρμήσαντα τὸν ἄδωνιν, αὐτὸς ἑκαστος ἐλθὼν, αὐτὸν ἀπέκτεινε. καὶ τὸ μὲν ἀδώνιδος αἷμα καταρρυὲν, τὴν ἀνεμώνην λευκὴν οὖσαν πρότερον, ἐρυθρὰν ἀπειργάσατο. περὶ δὲ ἀνεμώνην ποιεῖν τὸν ἄδωνιν ἐτύχειν. ἀφροδίτη δὲ τὸ πάθος μαθοῦσα, γυμνοῖς περιφέρεσθαι τοῖς ποσὶν, ἐλεεινὸν ὀλοφυρομένη. ἀκάνθαις δὲ αὐτὴν ῥοδωνίας ἐμπαγεῖσα, τῷ καταρρυέντι αἵματι, τὸ ῥόδον ἐρυθρὸν ἀπειργάσατο. Ἄδωνις ἀδώνιδος, ὄνομα κύριον. καὶ ποταμὸς ἦν ἱερὸν ἐν λιβάνῳ, τὸ ἐκ ἀδώνιδι, καὶ βίβλῳ.

Ἄδωνις, ἰχθὺς θαλάσσιος, οὗ μνημονεύει Κλέαρχος. ἡ δὲ ἀδωνίδος ὑπὸ φοινίκων. καὶ βύλη ὄνομα. ἔστι δὲ καὶ κώμη. Ἀδώνιδος κῆποι. ἐν τοῖς ἀδωνίοις εἴδωλα ἐξάγουσι καὶ κήπους ἐν ὀστράκοις, καὶ παντοδαπὴν ὀπώραν. οἷον ἐκ μαράθρων καὶ θριδάκων παρασκευάζουσιν αὐτῷ τοὺς κήπους. καὶ γὰρ ἐν θριδακίναις αὐτὸν κατακλιθῆναι ὑπὸ ἀφροδίτης φασίν. Σημείωσαι. Ἀδώνιδος κήπων, καὶ ἀδώνιδος ταῦτα, πλὴν διαφορά. διὸ τοῦτο μὲν παροιμία ἐπὶ τῶν ἀνωφελῶν τίθεται. ἐκεῖνο δὲ, ἐπὶ τῶν ἀκάρπων καὶ ὠκυμόρων. κῆποι δὲ ἀδώνιδος, φυτάρια τὰ ταχὺ ἀναθάλλοντα ἴσως καί, ἀρρίζα, καὶ ὅλως κούφοις κῆπος. καὶ αὐτίκα φυλλόμενα κατὰ θαλάσσας, καὶ ἀφανιζόμενα. καθ᾽ ὁμοιότητα κῆπον τοῦ κατὰ τὸν ὠκύμορον ἄδωνιν θανόντα. ὃς ἀνθήσας ποτὲ νέος, ταχὺ ἀπώλετο καταβληθεὶς ὑπὸ ἄρεως. γυναικῶν δὲ τῇ θειότητι τεμνούσαι κήπους, ὥσπερ ἐπιταφίους ἀδώνιδι. Ἀδωνικὸς, ἱερὸς. Ἀδώρ τῶν ποτε θεῶν τὸ βίω, πρὸς ἄνθρωπον. ἐπὶ τὸ ὀλίγον καὶ μικροψύχον. Ἀδωρηπος, πόλις. Ἀδωρῶ, ἱερῶ. Ἀδωροδόκητος, ἀδωροληπτος. Ἀδωρότατος, ὁ μὴ δεδωκὼς μεταδιδοὺς, ἢ ἀδωροδόκητος. Ἄδωρα, κακόδωρα, τὰ κακὰ δῶρα, τὰ ἐπὶ κακῷ διδόμενα. σοφοκλῆς, ἐχθρῶν ἄδωρα δῶρα κοὐκ ὀνήσιμα.

Ἀδώσει, ἱερεῖ. Ἀδώσιτοι κοιτὰς, ὁ ἀμίσθωτος.

ΤῸ Α ΜΕΤᾺ ΤΟΥ̃ Ε.

Α ε, εἰς α κιρνᾶται. οἷον κερέα, κερά. ὁμοίως ἐπὶ τῶν ῥημάτων, οἷον ἐβόων ἐβόα, ἐβόαε ἐβόα, ἐβοάεσθε ἐβοᾶσθε. οὕτω καὶ ἐπὶ τῶν ἄλλων, οἷον βοάει βοᾷ. Α ε, καὶ τὸ ε μικρὸν, τρέπεται. ὧν τὸ μὲν α εἰς η, οἷον ἀγαπῶ, ἠγάπων. τὸ δὲ ε μικρὸν εἰς ω μέγα, οἷον ὀμνύω, ὤμνυον. τὸ δὲ ε ποτὲ μὲν εἰς η τρέπεται, ποτὲ δὲ καὶ τὸ ι προσλαμβάνει. καὶ παίδευε μὲν εἰς η τρέπεται, ἐπεὶ δὲ ἔχω εἶχον, καὶ ἕπω εἶπον. καὶ ἄλλων τινῶν. ἃ κατὰ τοῖς γραμματικοῖς σεσημείωται. Αε, ἐπὶ τοῦ ἀεί, ἕως.

Ἄεδνον, ἄφερνον, ἢ πολύφερνον. Ἄεδνοντα, ἀφρόντιστα.

Ἄεθλα οὐδετέρως, τὰ ἐπὶ τοῖς ἀγῶσιν ἔπαθλα. ἄεθλοι δὲ οἱ ἀγῶνες αὐτοί. γίνεται δὲ ἡ λέξις κατὰ τοὺς παλαιοὺς ἀπὸ τοῦ ἐθέλειν. αἱρετὴ γὰρ καὶ θελητὴ, ὁ ἄεθλος καὶ τὸ ἄεθλον. Ἄεθλα, ἔπαθλα, ἀγῶνας. Ἀέθλιον, ἱμόχθουν, ἠγωνίζοντο. Ἀεθλεύειν, ἀγωνίζεσθαι. ἀπὸ τοῦ ἄεθλον. Ἀεθλεύων, ἀγωνιζόμενος. Ἀέθλια, παράγωγόν ἐστιν ἐκ τοῦ ἄεθλον. ὡς ἐκ τοῦ ἴχνος, τὰ ἴχνια. ἐνταῦθα δὲ θεωρητέον, ὡς εἰ καὶ ἐκ τοῦ ἄεθλον ἐκράτησε τὸ ἆθλον, ὅθεν καὶ ἀθλοφόρος, ἀλλ᾽ οὐκ ἔδει καὶ ἐκ τοῦ παραγώγου ἀθλεῖν, ἀλλ᾽ οὕτως καὶ τὸ ἄθλιον. τοῦτο γὰρ ἐπὶ δυστυχίας μόνης κεῖται. ἵνα ἡ ἄθλιος, ὁ δυσάεθλος κατὰ τὴν ὁμηρικὴν διάνοιαν. ὃς οὐδὲν ἐν τοῖς νόσοις περιγενόμενος ἦν ἀέθλων. ἐξ ὧν ὁ ἄθλιος καὶ ἡ ἀθλιότης ἐκράτησεν. ἐξ οὗ παραχθεὶς καὶ ὁ ἀθλητὴς τὸ κάμνων, εἰ καὶ ἐθέλει ἀπὸ τοῦ ἐπαινετοῦ ἆθλα καλεῖσθαι, ὅμως κωμῳδεῖται. Ἄεθλον. ἔπαθλον τὸ ἐπὶ τοῦ ἀγῶνος διδόμενον. νῦν δὲ ἀγῶνας ἆθλα. ἀπὸ τοῦ ἐθέλω ἐπιτάσει τοῦ α, ἄεθλον. Ἀεθλοσύνης, ἀγωνίας. Ἀεθλοφόρος, ἀγωνιστὰς. Ἀέθω, ἐθέλω. Ἀεί, τὸ ἑκάστοτε, τὸ διὰ παντὸς, τὸ ἀεί, ἐν παντὶ χρόνῳ, διηνεκῶς, καὶ ἔσται, ταῦτα ἐπὶ τοῦ αὐτοῦ λεγόμενα. πλὴν τὸ μὲν ἑκάστοτε, [illegible] τὸ διὰ παντὸς, καὶ τὰ ἄλλα, ἐπὶ τῶν τριῶν χρόνων, παρεληλυθότος, ἐνεστῶτος, καὶ μέλλοντος λέγεται. οἷον ἑκάστοτε ἐποίουν, καὶ ποιῶ, καὶ ποιήσω. οὕτως καὶ τὸ ἀεί, καὶ τὰ ἄλλα, καὶ τοῖσι χρόνοις συντάσσονται. οἷον ἐσαεὶ ποιήσω, καὶ ἐσαεὶ διάξομαι. Δημοσθένης καὶ Λυκοῦργος. ὧν ὁ μὲν Δημοσθένης, Οὗτος μὲν ὦ ἄνδρες δικασταί, τὰ χρήματα προθύμως ἔσται συμβαλεῖν. δικαιοσύνῃ δὲ, καὶ οὗτος μὲν φανεῖται παρὰ πᾶσιν ἔσται πονηρὸς.

Ἀεί, ἐπὶ τριῶν χρόνων. τὸ δὲ εἰσαεί, ἐπὶ μέλλοντος καὶ ἐπὶ ἐνεστῶτος. ὅταν διηνεκῆ δηλοῖ. δηλονότι Θουκυδίδης ἐν πρώτῃ, κτῆμά τε ἐς ἀεί ξυγγραφῇ ἐν τῷ ἡμετέρῳ εἶναι, ἔσται ἀνάγκαιος.

Ἀεὶ ἀντὶ τοῦ ἕως. Εὐριπίδης, εἶτα λοιπά. δεῦρο πάνυ συνεχῶς.

Αἰ, ἀκούει, ἀεὶ. ἀεὶ δὲ, διηνεκῶς, καὶ ἕως, καὶ μέχρι. Ἀεὶ οὐ πίπτουσιν οἱ διὸς κύβοι. παροιμία ἐπὶ τῶν ἀξίως καὶ εἰς τὰ πάντα εὐδαιμονούντων. οἱ δὲ ἐπὶ τῶν ἀξίως τιμωρουμένων. Ἀειδείνοισι, ταῖς διηνεκέσι συνηθείαις. Ἀεὶ βλύων, ἐπιρρέων. Ἀειγενετάων, διηνεκῶς ὄντων. Ἀεὶ γεωργὸς εἰς νέωτα πλούσιος. ἐπὶ τῶν ἐλπίδι μὲν ἀεὶ φερομένων, ἀπαλλαττομένων τῶν δεινῶν, τοῖς αὐτοῖς δὲ πάλιν περιπιπτόντων. Ἀειδάμιο, ὄνομα κύριον. Ἀειδε, ᾠδὴ καὶ λέγε. Ἀειδε δ᾽ ἄρα κλέα ἀνδρῶν. ᾆδε δὲ ᾠδήν, ἔλεγεν.

Ἀείδειν, ὁ πρωτότυπον ἐστι καὶ ἐκτεταμένον τοῦ ᾄδειν. κυρίως ἐπὶ ποιημάτων, διὰ τὸ ἐμμελῶς τοὺς ποιητὰς λέγεσθαι. ἀείδειν

γὰρ

ϐεσιν, μεγάλως καὶ βαθέως ὑπονοοῦντος. ὁ δὲ Ταρραῖος, λεπτὰς κειμένους καὶ οὐ κατὰ βάθος. ὁμοίως παρὰ τῷ Ἀπολλωνίῳ ἀδινῆς γοῆς, οἰκτρᾶς, λυπηρᾶς. κεῖται πολλαχοῦ παρὰ τῷ Ἀπολλωνίῳ ἀδινός, ἀντὶ τοῦ οἰκτρός, καὶ λυπηρός. Ἄδιξις, ὁμολογία. παρὰ Ταραντίνοις. Ἄδιον, κάτοπτον, πλάγιον, ἀνώμαλον. Ἀδίοπτον, ἄοπτον, ἢ ἀφύλακτον. Αἰσχύλος παρὰ Φρυξίν, ἀπὸ τοῦ διόπτου. διόπται δὲ λέγονται, οἱ τῶν νεῶν φύλακες. Ἀδιάσκοπον, ἀδιαχώριστον, ἀναμίξ. Ἄδισκον, κυκεῶνα. Μακεδόνες. Ἄδισμα καὶ ἄδμα, ψήφισμα ἢ δόγμα. Ἀδίστονον, οἰκτρὸν, σύντονα. Ἀδμαίνειν, ὑγιαίνειν, ζῆν. Ἀδμωΐδες, δοῦλαι.

Ἀδμηλεῖ, ἀφανίζει. Ἀδμὴς, ἀδάμαστος, παρθένος. Ἀδμήτων, ἀδάμαστον. Ἄδμητος, ὄνομα κύριον. Ἀδμήτης, ὁ ἀδάμαστος. ἀδμῆτες δὲ γυνὴ διὰ τοῦ ἦτα. Ἀδμήτου λόγον, σκολιόν. Ἀδμήτου μέλος καὶ ἁρμοδίου, ἐπὶ τοῦ ῥᾳδίου ἢ δυσκόλου. τοιαῦτα μὲν ἦν, καὶ τὰ σκολιὰ λεγόμενα. Ἀδμήτου κόρη, Ἑκάτη. ἐκ δὲ τῶν βιβλίων. Ἀδμήτου μέλος, τὸ εἰς Ἄδμητον ᾀδόμενον σκολιόν. Ἀδμωλή, ἀπορία, ὀλιγωρία, ἄγνοια, ἡσυχία.

Ἀδμωλία, ἡ ἄγνοια, παρὰ Καλλιμάχῳ. καὶ ἀδμωλεῖ, χωρὶς δόλου, ἢ δολιότητος. ἢ ἀδμωλῶ, τὸ ἀκηδιῶ. καὶ ἀδμωλεῖν, ἀγνοεῖν, ἢ ἀγνωμονεῖν, ἢ ἀκηδιᾶν, ἢ ἀγανακτεῖν, καὶ ζητεῖν. Ἀδνὸν, τὸ ἁγνόν. Κρῆτες. Ἀδνούμιον, ἀπογραφὴ ὀνομάτων παρὰ Ῥωμαίοις. οἱ δὲ ἀνυμῖνος, τὸ ἀδνούμιον. Ἄδοι, ἀντὶ τοῦ ἀρέσκοι. Διόνυτος ἄοιος. ἐκ τοῦ ἄδω, ἢ ὕδω. Ἀδοκεῖ, ἀδοκήτως διακείμενος. Ἀδόκητον, ξιφίδιον. Ἀδόκητον, διεψευσμένον. καὶ ἀδόκητος, ἀπροσδόκητος. Μὴ φυλάττεις αὐτὸς ἐπιπίθειν, ὃ δὴ οὐκ ἀδόκητον ἐγεγόνει, ἐπεὶ καὶ λαβεῖν αὐτοῦ προὔβαινεν. Ἀδοκία, ἀπροσδοκία. Ἀδόκιμον, πονηρὸν, ἀπόβλητον, ἄχρηστον. Ἀδολὶς, ὑγιές. Ἀδοκίμαστος. δοκιμασθῆναι λέγεται, τὸ εἰς ἄνδρας ἐγγραφῆναι. ἀδοκίμαστος δὲ, ὁ μήπω ἐγγεγραμμένος. Ἀδολεσχεῖν, τὸ φιλοσοφεῖν. ὡς τὸ, Ὁ δὲ Δοῦλος ἐν ἠδολέσχει διδασκάλοις. τὸ παίζειν, ὡς τὸ, ἐξῆλθεν Ἰσαὰκ ἀδολεσχῆσαι εἰς τὸ πεδίον. τὸ φλυαρεῖν καὶ μακρολογεῖν, ὡς τὸ, ἀδολεσχεῖς ἄνθρωπε. καὶ τὸ ὀλιγωρεῖν, ὡς τὸ, ἠδολέσχησα καὶ ὠλιγοψύχησε τὸ πνεῦμά μου. Ἀδολεσχία, ἀκαιρία, φλυαρία, πολυλογία, συνέχεια. οἱ ἀττικοὶ ἐκτείνουσι τὸ α. ἡ ἀδολεσχία παρὰ τῇ γραφῇ, ἡ συνεχὴς μελέτη. καὶ ἀδολεσχήσω, ἀντὶ τοῦ διηνεκῶς μελετήσω.

Ἀδολέσχης, ὁ μακρολόγος. Ἄδον, ἀρέσκειαν σημαίνει, καὶ γνώμην, ἢ κόρον, ἢ κόπον. Ἀδονὰν, ἡδονήν. Ἀδοναῖος, ὑπὸ τοῦ ἄδου. Ἀδόνητος, ἀσάλευτος. λέγεται καὶ ἡ τελευτή. καὶ ἀδονῶ, τὸ ταράσσω. Ἀδόξαστον, ἀνέλπιστον. Σοφοκλῆς Εὐρυσάκει.

Ἄδοξα, παράδοξα, ἃ οὐκ ἄν τις ἐδόξασε. Σοφοκλῆς Ἀκρισίῳ. Ἀδοξεῖν, ἀτιμᾶν. Οὐκ ἀποδεκτέον ἐστὶ τὸ νικᾶν παρὰ Ῥωμαίοις, ἄνευ παραγγέλματος, ἀδοξεῖν γάρ. Ἀδοξότατα, τὰ παράδοξα, τὰ ἀδύνατα παρὰ Ἀριστοτέλει. ἔστι δὲ καὶ παράδοξα, τὰ ταῖς ἐνδόξοις ἐναντία. οὐ πάντως ἤδη, καὶ ἀδύνατά ἐστιν. Ἀδοξητία, ἡ ἀργία. κυρίως δὲ ἡ ἀργία. Ἀδορεὶ, ἀναδαρτί. Ἄδοροι, ἀσκοί, κώρυκοι, θύλακοι. Ἄδορον, οὐ δεδαρμένον. Ἀδόροις, ἀντὶ τοῦ μάχαις. ἐν δ' ἀδόροισι χέειν εὔλατον ἄλφι. δόρυ γὰρ λέγεται, παρὰ τὸ ἐκδεδάρθαι. δόρος, καὶ δοροί. καὶ κατὰ πλεονασμὸν, ἄδοροι. ἢ ἀντὶ τοῦ κακόδοροι. Ἄδος, κόρος, πλησμονὴ, παρὰ Ἀρχιλόχῳ. οἱ δὲ κάματον. Ἄδος τέ μιν ἵκετο θυμὸν, ἀντὶ τοῦ κόρος. καὶ ἄδηκε, παρὰ τὸ ἥδω. καὶ τό, Ἄδε δὲ ἐκεῖ μῦθος. πάντα ταῦτα Ἀρίσταρχος δασύνει. Ἀδοσύνη, ἡδονή. Ἀδόσιον, ἄκανθον, ἢ ὁμολογούμενον, ὃ ἀδιαίρετον. Ἀδοτοῦς, ἄκος. Ἀδηώσαμενοι, δειλόμενοι, ὁμολογησάμενοι. Ἀδουσία, ἀπαλαισία, ἡ ἀνεγκλησία. ἔπαφος ἡμέρα. Ἀδούσιον, ἱερατικὸν, σύμφωνον.

Ἀδούλωτος οἰκέτης, ὁ ἐπὶ διπλασίοις, καὶ μὴ παλίμπρατος.

Ἀδρεποί, ἀπρόκοποι. Ἀδραία, αἰθρία. Μακεδόνες. Ἄδραον, ἄπρακτον, ὃ οὐκ ἐδίδαξαν. Ἀδραίς, ἀόρατον. Ἀδρανὴς, ὀλίγον τυφλὴ, ἢ ἀδρανής. Ἀδρακὶς, ὀλιγάκις τυφλή. Ἀδρακὸν, ἴδιον. Ἄδραμυς, ὁ ἔρημος παρὰ Λυδοῖς. καὶ Ἀδραμύττιον, ὄρμος. Ἀδραμύττιον, πόλις. ἡ Θουκυδίδης, Ἀτραμύττιον. Ἀδρανέστατος, ἀσθενέστατος. Ἀδρανὴς, ἀσθενής, ἀνίσχυρος. Ἀδρανία, ἀπραξία, διὰ τοῦ ἰῶτα. ἀδυναμία, ἀσθένεια. σημαίνει δὲ καὶ ὄνομα ποταμοῦ. Ἀδράνεια διὰ διφθόγγου, ἀπὸ τοῦ ἀδρανὴς ὀνομαστικοῦ.

Ἀδρανὴς, ἀσθενής, ἀνίσχυρος. ὁ μὴ δυνάμενος πρᾶξαί τι. ἀπὸ τοῦ δρῶ, τὸ πράττω. Ἀδράστεια, πόλις ἀπὸ Ἀδράστου βασιλέως, ὃς πρῶτος ἱδρύσατο Νεμέσεως ἱερόν. ἐκλήθη δὲ καὶ ἡ χώρα, Ἀδράστεια. οἱ δὲ, Ἀδράστειαν τὴν πόλιν κληθῆναι, ἀπὸ Ἀδραστείας μιᾶς τῶν ὀρεστιάδων νυμφῶν. ἔστι δέ φασι καὶ τόπος τριάδος Ἀδράστεια, ἀπὸ Ἀδραστείας θυγατρὸς Μελίσσου ἱεροῦ Ἴδης τῆς πρώτης βασιλευσάσης ἐν Τροίᾳ. καὶ ταῦτα μὲν οὕτω, συμφωνοῦσα τῷ Στράβωνι ἐν πολλοῖς. ἐκεῖνος δὲ λέγει, καὶ ὅτι ὥσπερ Θήβη καὶ Θῆβαι, οὕτω καὶ Ἀδράστεια καὶ Ἀδραστείας πεδίον λέγεται. καὶ ὅτι ἐνταῦθα μὲν οὔτε Νεμέσεως, οὔτε Ἀδραστείας ἱερὸν δείκνυται. περὶ δὲ Κύζικον Ἀδραστείας ἱερόν. γράφει οὖν Ἀντίμαχος οὕτως. Ἔστι δέ τις Νέμεσις μεγάλη θεὸς, ἣ τάδε πάντα Πρὸς μακάρων ἔλαχε. βωμὸν δέ οἱ εἵσατο, πρῶτος Ἄδρηστος, ποταμοῖο παρὰ ῥόον Αἰσήποιο. ἔνθα τετίμηται, καὶ Ἀδρήστεια καλεῖται. καὶ οὕτω μὲν ὁ γεωγράφος. ἔοικε δὲ, οὐκ ἰδίᾳ μὲν Ἀδράστειαν φασὶν, ἰδίᾳ δὲ Νέμεσιν. οὐδὲ τὸν Ἄδραστον τοῦτον εἰδέναι αἴτιον τοῦ τῆς Ἀδραστείας ταύτης ὀνόματος, ἀλλὰ τὴν Νέμεσιν Ἀδράστειαν λέγοντες, Ἄδραστον αἰτιῶνται τῆς παροιμίας ταύτης. ὃν στῆσαι πρῶτα ἐμβασιλεύοντα ὁ ποιητὴς πρὸ Θήβης ἱδρύσασθαι. καὶ τὴν μὲν Νέμεσιν, ὡς εἰς κύριον ὄνομα τιθέασι. τὴν δὲ Ἀδράστειαν, ὡς εἰς ἐπίθετον. καὶ βούλονται εἶναι Ἀδράστειαν, τὴν οἰκτρομαθοῦσαν παραδόξως τὰ κατὰ τὸν Θεοῦ δόντα Ἄδραστον. ὃν μόνον τῶν συνθέντων ἡγεμόνων ἐκ τοῦ Θηβαϊκοῦ πολέμου, ἐσημήνατο τὸ θεῖον. τῶν ἀπογόνων Θηβαίοις ἐπιστρατευσάντων, Διομήδης μὲν καὶ Σθένελος, καὶ οἱ λοιποὶ περιεγένοντο. μόνος δὲ ὁ ἐξ Ἀδράστου Αἰγιαλεὺς πέπτωκεν. Ἀδράστεια, ὄνομα πόλεως, περὶ τὸν Ἑλλήσποντον.

Ἀδραστείδην, ἄδραστος, Ἀδραστίδης, Ἀδραστιδῶν, καὶ πλεονασμῷ τοῦ ι, Ἀδραστειδῶν. οἷον, Ἀδραστειδῶν θάλος. Ἀδραστίνη, ἡ τοῦ Ἀδράστου θυγάτηρ. Ἄδραστον, ἄπρακτον, ὃ οὐκ ἄν τις πράξειεν. Ἄδραστος πρῶτος ἱερὸν Νεμέσεως ἱδρύσατο. Ἀδραστοθοῦς, τόπος περὶ γαστρικόν. Ἀδράφαξις, λάχανον ἄγριον. Ἀδραφάξυς, λάχανον ἄγριον. Ἀδρεῖν, αὐξεῖν. Ἀδρεῖτο, ηὐξάνετο. Ἀδρήνειον, ἀδρήνειν, θεοῖς ἀνακείμενον. Ἀδριὰς, δαίμων τίς περὶ τὴν Λάμψακον. ἀπὸ τοῦ τῶν ἱππέων ἀδρύνεσθαι. Ἄδρυσις, ἡ ἀπραξία. Ἀδρύσεια, αὕτη φορβὰς Διός. Καλλίμαχος, σὲ δ' ἐκοίμισεν Ἀδρήστεια ἀλλαφὴ κοιράτων. Ἀδρηστίνη, ἡ τοῦ Ἀδράστου θυγάτηρ.

Ἀδράνη, πόλις Θράκης, ἡ μικρὸν ὑπὲρ τὸ Βερωίνης κεῖται. τὸ ἐθνικὸν, Ἀδρηνίτης. ὡς Σκιώνη, Σκιωνίτης. δύναται δὲ καὶ Ἀδρηναῖος εἶναι, ὡς Κυρήνη Κυρηναῖος. Ἀδρεῖ, ἀνδρεῖ. Παμφύλιοι. Ἀδριανοὶ, ἐκλεκτοί, οἱ περὶ τὴν Ἀδρίαν παροικοῦσι. Ἀδριανοὶ, πόλις Μυσίας. τῆς νῦν Βιθυνίας. Ἀδριανὸς, βασιλεὺς Ῥωμαίων. Ἀδριανὸς σοφιστὴς μαθητὴς Ἡρώδου. Ἀδρίας, πέλαγος. Ἀδροὶ, πλούσιοι. καὶ αὐλοὶ ἁδροί, δι' ὧν ὁ ἰσοβοὺς ἁρμόζεται. Ἀδρὸν, μέγα, δαψιλὲς, παχύ. καὶ ἀδρὸς, πολὺς, μέγας, πλούσιος, παχύς. Ἀδρότερον, μεῖζον, εὐτραφέστερον. Ἀδρὸς, ὁ χονδρός. παρὰ τὸ ἅδω, τὸ εὐφραίνω. ἀδρόμαθα καὶ τοῖς μεγάλοις καὶ χονδροῖς. Ἀδρότης, δύναμις, μέγεθος. Ἀδροχῶροι, οἱ ἀδρὰς ἔχοντες χώρας. Ἄδρυα, μονόξυλα πλοῖα. Κύπριοι. λέγονται δὲ καὶ οἱ ἐν τῷ ἀρότρῳ ξύλοι. σικελοὶ δὲ ἄδρυα λέγουσι, τὰ μῆλα. παρὰ δὲ ἀττικοῖς, ἀκρόδρυα. Ἀδρύμητον, καθαρόν. Ἀδρύνεσθαι, αὔξεσθαι ἢ τέχνας. Ἀδρύνω, αὐξάνω. καὶ ἀδρύναιτο, αὐξάνοιτο. Ἀδρυνθέντος, μεγαλυνθέντος.

Ἀδρύφακτον, ἄνευ δικαστηρίου, ἢ ἀφύλακτον, ἀτείχιστον. Ἀδρῦ, μεγάλῳ. Ἀδρυμμένον, ηὐξημένον. Ἀδύ, τὸ ἡδύ.

τελείας ἵππος. καὶ ἄδος, κόρος, πλησμονή, κάματος. ἀφ' οὗ ἀδόλιχος διὰ τοῦ δ, ὁ καὶ ἀδολίχης. καὶ ἀδαῖον παρὰ Σώφρονι, τὸ εἰς κόρον ἄγον. Ἄδην, συνεχῶς, ἀκορέστως, ἀθρόως, ἐξαίφνης, ἅλις εἰς κόρον, ἀρκούντως. ἢ λάβρως, κατακόρως, δαψιλῶς, πλουσίως. ὅπερ Ὅμηρος διὰ τοῦ α γράφει, συστέλλων τὸ δίχρονον. καὶ ἄδην ἔχει, τὸ σφόδρα κακῶς. καὶ ἄδην ἐλόωσιν, ἀντὶ τοῦ εἰς κόρον ἥξουσιν. Ἄλλως. Ἄδην, τὸ κεκορεσμένως, ἢ εἰς πλήρωσιν ἄγον. ἔστιν ὅτε, τὸ δηλοῦν τὸ κορυφαῖον. ὡς τό, ἐπεὶ χ' ἅδην πολέμοιο. ἐξ οὗ παράγωγον, ἄδω, καὶ ἅδω, καὶ ἄδην ἐξ αὐτοῦ. δηλοῖ δὲ, καὶ τὴν ἡδονήν. οἷον, ἦδον δ' αὐτοῖς. ἀντὶ τοῦ ἐτέρφθη. λαμβάνεται δὲ καὶ τὸ τερφθῆναι, ἐπὶ τοῦ κορεσθῆναι. οἷον, αὐτὰρ ἐπεὶ σίτοιο τέρφθεν. ἐκ τοῦ ἄω ᾶ, ἄεις ᾶς, ἄει ᾶ, τὸ δηλοῦν τὸ αὐτό. οἷον, ἄσαιμι ἐν Τροίῃ ταχέας κύνας. γίνεται ῥηματικὸν ὄνομα ἄδος καὶ ἄδος, καὶ ἄδην ἐξ αὐτοῦ. οὕτως Ὠρίων. Ἀδηκώς, ἀνακορ, ἀπονενοηκώς. Ἀδηλίως, ἀδήλως, ἀδόλως, καὶ ἀπαλλακτικῶς, κατὰ σύγχυσιν τῶν δηλίων καὶ μεριμνῶν. καὶ ἀδηλίως, χωρὶς βουλῆς. Ἀδηλὼν, ἄκακον. Ἀδηξῆσαι, κνῆσαι. Ἀδηρίτην, τὴν ἀπολέμητον καὶ ἀπόρθητον. Ἀδήριτον, ἄμαχον, ἀναίμακτον, ἀφιλονίκητον. Ἀδήριτος, ἀνίκητος, ἄμαχος, ἀκαταπόνητος. καὶ ἀδήριτον, ἄμαχον, ἀκαταμάχητον. καὶ ἀδηρίτως, ἀφιλονείκως, ἀμάχως. Ἀδής, ἀτυφής. Ἄδης, χωρίον ἀφανές, καὶ σκότους αἰωνίου πεπληρωμένον. ἢ ἄδης, ἄναξ τῶν νεκρῶν. κατὰ τὸ γένος ἀπὸ γῆς. ἐκ τοῦ νεύειν, καὶ τὸ ἔνερθεν. καὶ τὸ ἐνέρτερον, ὃ κατὰ ἀφαίρεσιν λέγεται νέρτερον. Ἀδῆσαι, ἀδημονῆσαι, καὶ ἀηδῶς διατεθῆναι. Ἀδήσας, ἀρέσας. Ἀδησίδης, ὄρομα ζωῆς ἐν ἄρτῳ. Ἀδηφάγα, μεγάλα ἢ τέλεια. Ἀδηφαγία, πολυφαγία. ἢ ἀπληστία, εὐωχοφαγία. Ἀδηφάγος, ὁ ἀθρόως ἐσθίων, γαστρίμαργος, πολυφάγος. ἀφ' οὗ ἀδηφάγοι τριήρεις, αἱ πολλὰ ἀναλίσκουσαι. καὶ ἀδηφάγος λύχνος, ὁ πότης. καὶ ἀδηφάγους ἵππους ἔλεγον ἀθλητικούς τε, καὶ βοῶδεις, τοὺς τελείους, πρὸς τὴν τῶν καλῶν διάκρισιν. ἀργοὶ δὲ ἄκρατοι, ἢ πολλὰ ἐσθίοντες. Ἄλλως. Ἀδηφάγος, νόσος κατὰ μεταφοράν, ἐν τῇ περὶ ὑπερορίου μαθητείας, τὴν ἐκτεθειμένην τινὰ, ἢ φθείρουσαν πολλὰ, ἀναλίσκουσαν, λέγει ἀδηφάγον. Ἀλκαῖος δὲ ἢ πόντου λόχους, ἀδηφάγους ἔφη. καὶ δρομεῖς διὰ τοῦτο ἐν ἐβάλο, ἀδηφάγοι ἐλέγοντο. καὶ οἱ γυμναστικοὶ παρ' ἀρχαίοις, οὕτως ἐλέγοντο. Ἀδήωτον, ἀπόρθητον, ἐκπαίδευτον. Οἱ δὲ τὸ χωρίον ἀδήωτον ἔχειν ἐθέλοντες, ὁμολόγησαν ἀργυρίου σταθμὰ δώσειν χίλια. παρὰ τὸ δηῶ, τὸ τρίβω. τοῦτο δὲ παρὰ τὸ δαΐω τὸ καίω, τροπῇ τοῦ α εἰς η, τοῦ ι ἀποκρουσθέντος. Ἀδία, ἐσχάρα, βωμός. Ἀδιαβηνή. αὕτη ἡ χώρα κεῖται πρὸ τῆς Μεσοποταμίας, ὡς ἐπὶ ἀνατολὰς, πέραν τοῦ Τίγρητος. ἐν αὐτῇ δὲ ἔστιν, ἡ ἄσφαλτος, ἡ λεγομένη νάφθα. λέγεται δὲ Ἀδιαβηνὴ, διὰ τὸ εἶναι πλείους ποταμοὺς ἐν αὐτῇ, καὶ δυσχερεστέραν ποιεῖν τὴν διάβασιν. Ἀδιάβλητα, ἀμώμητα, ἀνέγκλητα. Ἀδιάδοχος, ὁ ἔχων τι ἕως τέλους. Ἀδιάφευκτον, ἄφυκτον. Ἀδιαίρετον, ἀχώριστον, ἄτμητον. Ἀδιάκριτον, ἀδιαχώριστον, μὴ ἔχον διάκρισιν. λαμβάνεται δὲ καὶ ἐπὶ τῶν μὴ γινωσκόντων τὰ δέοντα, ἢ ἀφρόνως φλυαρούντων. Ἀδιαίτητος, ἀμέτριος, ἄθλης, καὶ ὁ μὴ διαιτώμενος. Ἀδιάκοπος, ἀδιαχώριστος. Ἀδιάλλακτος, ἀφιλίωτος. Ἀδιακόνιστον, ἀναίσθητον, ἄπρακτον. Ἀδιάλειπτον, ἀδιακώλυτον, ἀβλαβές. Ἄδιαν ἀδὸν, μακρὰν συμφορίαν. Ἀδίαντον, ξηρόν, ἄβρεχον. ἢ φυτὸν καλούμενον τὸ λύτριχον. Ἀδιαπλάστως, ἀπλαστίστως. Ἀδιάρθρωτον, ἄσημον, ἀτράνωτον, ἀνάρμοστον. Ἀδιάσκευον, ἀκόσμητον, ἀνεπιμέλητον. Ἀδιαστάτως, ἀχωρίστως. Ἀδιάστατον, ἀχώριστον, ἀπερίληπτον. τὸ μήτε διαστατὸν, μὴ δὲ διεστηκὸς μένον ἀναφορὰν εἶπεν. Ἀδιασείστως, χωρὶς διασείσεως. Ἀδιατάκτω, ἐν μελανὶ τεταγμένῳ μέρει. Ἀδιαφορία, ἀμέλεια. χωρὶς παρατηρήσεως. Ἀδιάφορον, ἀδιάκριτον. Ἀδιαφόρει, ἀμελεῖς. Ἀδίαστον, ἄναρχον, ἀπειρίατον πέλαγος. Ἀδιεξίτητον, ἀδιεξέλευστον. Ἀδικὲ, λύπει. Ἀδίκημα, τὸ μὴ διωκόμενον διὰ ὑπερβολὴν κακοῦ διηγηθῆναι. Ἀδίκιλον, ἱερατικός. Ἀδικεῖν φασὶ τινὰ, καὶ κακῶς ποιεῖν, αἰτιατικῇ. καὶ ὅσα τοιαῦτα.

Ἀδικεῖν, καὶ τοῦτο αἰτιατικῇ, τὸ βλάπτειν ἑκόντα. τὸ δὲ μὴ ἀδικεῖν θεὸν, ἔπλεξον καὶ ἐνδεής. οὐ γὰρ οὐδαμῶς ὁ θεὸς ἀδικεῖσθαι δύναται. Ἀδικία παρὰ τῷ Ἀποστόλῳ, ἡ τῶν εἰδώλων ἀπάτη. οἷον, ἐκεῖνοι οὖν τὴν ἀλήθειαν ἐν ἀδικίᾳ κατέχουσιν, ὅτι τὸ εἰδέναι τοῦ θεοῦ παρακέμψαντες εἰδώλοις. τὸ δὲ κατέχουσι, ἀντὶ τοῦ φυλάττουσι. καὶ ἀδικία, ἀνομία, παρανομία, ῥᾳδιουργία. Ἄλλως. Ἀδικία κατὰ Πλάτωνα, νόσος ψυχῆς. μοχθηρία δὲ νόσος ψυχῆς, ἀφιλίας ἐστί. καὶ οὕτω πᾶσα κακία, βλαβερά ἐστι τοῖς ἔχουσιν αὐτήν. ἡ δὲ ἀδικία κακία, οὐκοῦν βλαβερόν. ὁ γὰρ ἀδικία, καὶ τὴν φύσιν αὐτὴν ἀδικεῖ, παρ' ἣν αὕτη σφετερίζεται. ἔστι δὲ καὶ φθόνος, ὅσον μὲν τῆς ἐν πόλει κοινωνίας, τοῦτο δὲ τῆς πᾶσι συναλλαγῆς. ἐναντία δὲ καὶ παρὰ φύσιν τοῖς ἀνθρώποις. οἱ δὲ ἄνθρωποι, φύσει κοινωνικοί. Ἀδικίσαι, ἀντὶ τοῦ ἀδικῆσαι, Αἰολεῖς λέγουσιν.

Ἀδικίου, εἶδος δίκης ἀθήνησιν. οἷον ἀδικίου ἔγκλημα. ἔστι δὲ ὄνομα δίκης. ἀποτίνεται δὲ τοῦτο ἁπλοῦν, ἐὰν πρὸ τῆς ἐνάτης πρυτανείας ἀποδοθῇ. εἰ δὲ μὴ, διπλοῦν καταβάλλεται. Ἀδικολογία, παράλογος λογία. Ἄδικοι ἀφροδίται, ἐν Λιβύῃ. καὶ ἄδικος δικαστὴς, ἄνομος, ἔκδικος, ῥᾳδιουργὸς, καὶ ἀπάνθρωπος.

Ἀδίκους, τὴν ὡς βλάβας ἀδίκους. Ἀδικῶ, αἰτιατικῇ συντάσσεται. Ἀριστοφάνης, τί οὖν ἀδικοῦμεν ἔτι σε; ἤγουν κατὰ τοῦ τοῦ. οὐ δεῖ ἀδικεῖν τοὺς ἀγαθούς. τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι μεῖζον κακὸν εἶναι λέγει ὁ Πλάτων. ἀδικῶ σε ἀδικίαν μεγάλην. ἐγὼ σε ἔρωτα ἀφιμόν. πάντα τὰ ῥήματα καὶ μεταβατικὰ καὶ ἀμετάβατα, προσηγορικοῖς ὀνόμασι συντασσόμενα, ἐξ αὐτῶν τῶν ῥημάτων παραγόμενα, αἰτιατικῇ προσφερόμενον ἔχουσι τὸ τοιοῦτον ὄνομα. προσλαμβανομένων δηλονότι τοῖς τοιούτοις προσηγορικοῖς καὶ ἐπιθέτων. μεταβατικὰ μὲν, οἷον ἀδικῶ σε ἀδικίαν μεγάλην, ἐγὼ σε ἔρωτα ἀφιμόν. ἰδοὺ γὰρ ἡ ἀδικία, ἐκ τοῦ ἀδικῶ. καὶ ἔστι προσηγορικὸν ἡ ἀδικία, ἐπίθετον δὲ, τὸ μεγάλην. ἀπειθῶ σοι ἀπείθειαν ἀθεράπευτον. καὶ ἐν τοῖς παθητικοῖς, ἀδικοῦμαι ἀδικίαν περιφανῆ, ἀμελοῦμαι ἀμέλειαν οὐ μικράν. ἀμετάβατα δὲ, οἷον, γηρῶ γῆρας ταλαίπωρον, δυστυχῶ δυστυχίαν ἀνίκητον, ζῶ βίον φιλόσοφον. εἰ δὲ ὡς ὀργάνῳ χρώμεθα τῷ τοιούτῳ προσηγορικῷ, καὶ τὰ δοτικὰ αὐτὸ τότε τρέχομεν. ῥάβδῳ ῥαβδίζω, ὅπλοις ὁπλίζομαι. Ἀδινὰ, τὰ τῷ οἴκῳ μὴ μεγάλα. Ἀδινὰ μῆλα, τὰ πυκνὰ, καὶ δαψιλῆ, καὶ εἰς κόρον. ἀπὸ τοῦ ἄδην. ὃ ἀπὸ τοῦ ἄδος, ἤτοι κόρος. ὡς τὸ, ἄδος τέ μιν ἵκετο θυμόν. Ἀδιναὶ μέλισσαι, πυκναὶ, παρὰ τὸ ἄδην, ὃ δηλοῖ τὸ δαψιλές. ἰστέον δὲ κατὰ τοὺς παλαιοὺς πολλαχῶς· τὸ ἀδινὸν, ἤγουν τὸ ἀθρόον καὶ τὸ οἰκτρὸν, ὡς ἐν τῷ, ἀδινὸν κωκύουσαι, καὶ τὸ ἀδὺ, ἤγουν ἡδὺ, οἷον σειρήνων ἀδινάων. καὶ τὸ πυκνὸν καὶ ἰσχνόν. οἷον, ἀμφ' ἀδινὸν κῆρ. κατὰ δὲ ἕτερον καὶ τὸ ἠρέμα. οἷον, ἀδινῶς ἀνενείκατο φωνήν. Ἄλλως. Ἀδινάων, ἀθρόων, ἁπαλῶν. ἀδινάων σειρήνων φθόγγον ἀκούσῃ. Ὅμηρος ἐν Ὀδυσσείᾳ. ἔνθα φασὶν οἱ παλαιοὶ τὸ ἀδινάων, ἀντὶ τοῦ ἡδυφώνων, ὠδικῶν. παρὰ τὸ ἄδειν, ἢ μᾶλλον παρὰ τὸ ἡδύ. πέντε γάρ φασι τὸ ἀδινὸν σημαίνειν, τὸ ἀθρόον, ὡς ἐν τῷ μελισσάων ἀδινάων. τὸ οἰκτρὸν, ὡς ἐν τῷ, ἀδινὸν κωκύουσαι. τὸ ἡδὺ, ἤγουν γλυκὺ, ἡδὺ, ὡς ἐν τῷ, σειρήνων ἀδινάων. τὸ πυκνὸν, καὶ ἰσχνόν. οἷον ἀμφ' ἀδινὸν κῆρ. καὶ τὸ ἠρέμα, ὡς ἐν τῷ, ἀδινῶς ἀνενείκατο φωνήν. Ἀδινὸν, οἰκτρὸν, γοερὸν, λαμπρὸν, λεπτόν. Ἀδινὴν ὄπα, τὴν ἀθρόαν διὰ τὴν λίψιν, παρὰ τῷ Ἀπολλωνίῳ. Ἀδινοῖο γόοιο, τοῦ ἀθρόως ἐρχομένου. Ἀδινῶς, οἰκτρῶς. Ἀδινῶ, ἀδιαλείπτως, συχνῶς. παρὰ τὸ ἄδην ἐπίρρημα. Ἀδινὸν κῆρ, πυκνὴν ψυχήν. ἢ τὴν συνεχῶς λυπουμένην. Ἀδινὸς ὕπνος παρ' Ἀπολλωνίῳ, ὁ ἀδιάλειπτος, ἢ λεπτὸς, ἢ πυκνός. καὶ ἀδινὰ κνώδοντα,

ἄπειρος, καὶ ἀδίκητος. Ἄδε, ὑμεῖς, ἡ αὐτοῖς. Ἀδεια, ἀφοβία, εὐδία, ἄπονος. γίνεται ἀπὸ τοῦ α στερητικοῦ μορίου, καὶ τοῦ δέος ὁ φόβος. Ἄδεξα, ἀντὶ τοῦ ἐδέξω. Θεόκριτος. ἐδεξάμην, ἄδεξα ἐδύνησε γελῶντος. ἔλειπε δὲ διὰ τοῦ ι, ἡ τοῦ Διὸς θυγάτηρ. ἀντὶ τοῦ, ἡ δία.

Ἀδειάς, υἱὸς ἱκάδρας. Ἀδεῖν, λυπεῖν. Ἀδεῖς, ἄφοβος, ἀδεής. Ἆ, δειλὲ ξεῖνον. τῦν μὲν τὸ ἆ πολὺ μὲν ἐπιλαμβάνεται ἢ ἀντὶ σχετλιαστικοῦ, ἢ ἀντὶ συγκαλυπτικοῦ. φασὶ κ, ἆ δειλὲ ξεῖνον, ἀντὶ τοῦ ὦ δειλαιότατε, ὁ δειλαιότατε. ὥσπερ καὶ τὸ δαιμόνιε ξεῖνον. ἔχει δὲ ἐξεῖναι, ἆ δειλὲ ξεῖνον. καὶ τὸ δειλέ, ὅ ἐστιν, ὦ δειλέ. κλητικὸν ἐπίρρημα τὸ ᾶ, ἢ μᾶλλον προσφωνητικόν. διαφέρει δὲ τὸ διὰ τοῦ ὦ προσφωνήσεως. ὅτι τοῦ μὲν ψιλὸς ἀκούοντος, τὸ δὲ ᾶ πάθος ταραχώδους δηλοῖ ψυχικόν. ὥς ἐστιν εὑρεῖν πολλαχοῦ. οἷον ἢ σχετλιασμόν, ἢ ἔλεος, ἢ ἀγανάκτησιν, ἢ ἄλλον. καὶ ᾶ δειλέ, ἀντὶ τοῦ ἄθλιε, δείλαιε. Ἀδείλατον, ὑγιές.

Ἀ δειλοί, ὦ δειλοί. Ἄδειλον, ἀσύλητον. Ἀ δειλῶ, ὦ δειλοί, ὦ δείλαιοι. Ἄδειμον, ἄφοβον. Ἀδείμαντον, ἄφοβον. ἀπὸ τοῦ δειμαίνω, τὸ φοβοῦμαι. Ἄδειος, ἀκάθαρτος. Κύπριοι.

Ἀδεῖν, ἀκολουθεῖν. Ἄδειν, ἀρέσαι. ἀπὸ τοῦ ἅδω τὸ ἀρέσκω, ἢ ἥδω, ἥσω, ἅδειν ὁ δεύτερος ἀόριστος. καὶ ὁ δεύτερος μέλλων ἀδῶ. τὸ ἀπαρέμφατον, ἀδεῖν. ἐξ οὗ τὸ ἀδεῖ δὲ ἤδη μῦθος.

Ἄδειν, κυρίως ἐπὶ ἀλεκτρυόνος. καταχρηστικῶς δέ, ἐπὶ τοῦ κόκκυγος. Ἄδειν, τὸ ψάλλειν καὶ τὸ φημίζειν. καὶ παθητικῶς ᾄδεται μέλος, ἤγουν ψάλλεται. καὶ ᾄδεται λόγος, ὅτι φημίζεται, καὶ περιλαλεῖται. ἀπὸ τοῦ ἀείδειν τὸ ψάλλειν, λέγεται ᾄδειν, καὶ τὸ ἐμμέτρως καὶ ἐμμελῶς λέγειν. καθὸ λέγονται ποιηταὶ ᾄδειν. Ἆσαι καὶ μέλψαι, οὐ διαφέρουσι. τὸ μέν τοι ψάλλειν, ὅμως διαφέρει. καθὰ δηλοῖ ὁ φράσας, περὶ τὸ Δαυΐδ, ᾄδουσι καὶ ψάλλουσιν αἱ πολλαὶ καὶ τὸν βασιλέα. καὶ μία μὲν ἐξῆρχε, αἱ δὲ ἄλλαι ἀθρόως ᾖδον. ἐπειδὴ ᾠδὴ μέν, ἡ πρὸς τὸ ᾄδειν, λόγος μεμελισμένος. ψάλλειν δέ, τὸ διὰ ὀργάνων μουσικῶν. καὶ μάλιστα τοῦ ἰδίως λεγομένου ψαλτηρίου. Ἀδεψία, ἡ ἀπειρία. Ἄδεψοι, ἀκάθαρτοι. Κύπριοι. καὶ ἄδεος, ἄφοβος. Ἄδερον, ἔδερον. Ἄδεσον, ὠμόν, ἀφανής. Ἄδεις ὥσπερ εἰς ἄδην πλέων. ἐπὶ τῶν ἀφροντίστως καὶ φιλαυτούντων. Ἀδέκαστος, ἀδωροδόκητος, ὁ δικάζων μὴ λαμβάνων. παρὰ τὸ δέκω, δέδεγμαι, δεκαστός, καὶ ἀδέκαστος. Ἀδεκάστως, δικαίως, ἀδωροδοκήτως, ἀμερίστως. Ἀδεκατεύτης, ὃν δεκάτην οὐδεὶς ἔδωκεν, ἀτελώνητος. Ἄδεκτον, ἄπιστον.

Ἀδελφή, ἴριον. Ἀδελφήν, ἀδελφός. Λάκωνες. Ἀδελφά, ὅμοια, οἰκεῖα, ἁρμόζοντα, πρέποντα, συγγενῆ. Ἀδελφιδός, ὁ ἀδελφοῦ. Ἀδελφίζειν, ἀδελφὸν καλεῖν, ἢ ἡγεῖσθαι ὡς ἀδελφόν. Ἀδελφιδοῦς, ὁ ἀνεψιός, ὁ τοῦ ἀδελφοῦ ἢ ἀδελφῆς υἱός. οὕτως Ἰσοκράτης. τὸ θηλυκόν, ἡ ἀδελφιδῆ. Ἀδελφιξία, ἡ κοινωνία. Ἀδέλφιος, ὄνομα κύριον. Ἀδελφοί, οἱ ἐκ τῆς αὐτῆς δελφύος γεγονότες, ὁμόδελφοι. δελφὺς δὲ ἡ μήτρα λέγεται. καὶ μετὰ τοῦ α τοῦ σημαίνοντος τὸ ὁμοῦ, γίνεται ἀδελφός. ὃς καὶ ἀδελφειὸς ποιητικῶς λέγεται. ὡς ἔτυμος, ἐτήτυμος. καὶ ἀδελφοὶ ὁμοπάτριοι μὲν καὶ ὁμοπάτορες, οἱ ἐκ τοῦ αὐτοῦ πατρός. ὁμομήτριοι δὲ καὶ ὁμομήτορες, οἱ ἐκ τῆς αὐτῆς μητρός. οὓς καὶ ὁμογάλακτας, καὶ ὁμογαστρίους, καὶ ὁμογνίους, καὶ ὁμογνίους φασίν. οἱ δὲ διδύμους, καὶ ὁμόπαιδας ὀνόμαζον. Ἀδεμάν, ὄταν. Κρῆτες. Ἀδέμα τῆν ψυχήν, τὴν καρδίαν, ἤγουν τὴν ἔξω τοῦ σώματος. Λάκωνες.

Ἀδεν ἀντὶ τοῦ ἤρεσεν, ἡδὺς ἔδοξε. συνέσταλται δὲ τὴν ἀρχουσαν. ἐξ αὐτοῦ γίνεται καὶ ἄδος, ὁ κόρος. καὶ ἄδην, τὸ δαψιλῶς. διὸ καὶ ψιλοῦται παρὰ πολλοῖς. ἔοικε δὲ τὸ ἅδω αἰολικὸς δεύτερος ἀόριστος τοῦ ἥδω ῥήματος. ἴσως δὲ τοῦ ἁδεῖν, τὸ ἅδεν. ὡς τοῦ κτυπεῖν, τὸ ἔκτυπεν. Ἀδέψητον, τὸ τὴν μὴ ἔχουσαν δέψησιν. καὶ σίδηρον ξηρόν, ἤγουν ῥοιᾶς κέλυφος. Ἀδένες, συστροφαὶ σαρκώδεις περὶ τὴν ῥάχιν, καὶ βουβῶνες. Ἀδήν, ἡ φλέβιον, ἡ δέρα. Ἀδέον, ἀτρίμμενον, ὁ ἄγναπτον. καὶ ἀδεὸς, ἀέρατος. Ἀδεφαγός, ὄνομα κύριον. Ἀδερκὴς, ἀόρατον. Ἀδερκὴς, οὐ βλέπων, τυφλός, ἢ ἀφανής. καὶ ἀπόδεικτος, ὁ ἐστερημένος τοῦ δέρκειν. Ἀδέρκτων, πόλις Ἰβηρίας. Ἀδέρκτως, οὐ βλέποντος, καὶ ἡ κεκαμμυόντος. Παραμειβόμενος ἀδέρκτως. Ἀδέσιος, πόδιος. ἔνιοι δέ, ἄπαιδος. Ἀδέσμῳ φυλακῇ, τῇ ἄνευ δεσμοῦ. Ἀδεῖται, πιμπλᾶται, κοπιᾶται. Ἀδευκὴς, ἄφοβον, ἀδεής. Ἀδεύκτην, χαλεπόν. ὃ οὐκ ἄν τις ἐπιδεύσειεν. Ἀδευκέος, ἀπροσδοκήτους, ἢ πικράς. δεῦκος γὰρ τὸ γλυκύ. Ἀπολλώνιος λέγει, ἀδευκῆ τὴν θάλασσαν, ἤγουν πικράν. Ἀδευκία, πικρά. καὶ ἀδευκία πότμον, τὸν ἀπροσδόκητον, ἤγουν ἀπευκταῖον, ὃν οὐκ ἄν τις ἐξ ἱστορίας δέξαιτο. κοινότερον μὲν εἰ ἀδευκὴς, ὁ ἀπροσδόκητος ἀπὸ τοῦ δέκω. ὃν οὐκ ἄν τις προσδέχοιτο. Ἀδευκέι, ἀπεικεῖ. οἱ δέ, ἀδεεῖ, ἀπροσδοκήτῳ. Ἡλιόδωρος δὲ φησιν, ἀνεικεῖ. οἱ δὲ ἀδευκὴς, αὐτάρκης, οἱ δὲ ἀδεύκης. καὶ ἀδεύκιος ἄτη, οὐ πρεπούσης, ἀνοικείας, πικρᾶς. δεῦκος γὰρ τὸ γλυκύ, ὡς εἴρηται. ὅθεν γλυδεύκης. καὶ γὰρ ξῶν, εὐφήμως ἐκλέγεται. καὶ ἀπευκτὸς, ὅμως ἀδελφοῦ διασώζει τὰς ναῦς. ἢ ἀφανοῦς καὶ ἀπροσόρατον, παρὰ τὸ δεύκω. Ἀδευκής, χαλεπός, πικρός, ἄγευστος. Ἀδεύμεθα, ἀπολιζόμεθα. Ἀδέψητον, ὠμόν, ἀκατέργαστον. Ἀδεῶς, ἀφόβως. Ἀδέψην, χαλεπόν, ὃ οὐκ ἄν τις ἐπιδεύσειεν. Ἀδέψητον βοείην, ἤτοι ἀμάλακτον, ἀκατέργαστον. βοείη δὲ ὁ βοῦς. ὅ ἐστι, βύρσα. ἀδέψητος οὖν βοέη, ἡ ξηρὰ βύρσα. γίνεται δὲ ἀδέψητος, οὕτως. δέψω τὸ μαλάσσω καὶ κατεργάζομαι. οὗ ὁ μέλλων, δέψω. καὶ πλεονασμῷ ἢ αἰολικῷ καὶ κατὰ ἀναδρομὴν τῶν εἰς ἀνεψιόν, δεψῶ, δεψήσω. ἀφ᾽ οὗ ἀδέψητος. ἀπὸ μέντοι τοῦ δέψω δέψω, βυρσοδέψης, καὶ σκυτοδέψης, καὶ σκυλοδέψης. βοέα δὲ καὶ βοῦς ἤτοι βύρσα, διαφέρουσι. καθὸ μετουσιαστικὸν μὲν ἡ βοέα, δορὰ ἀκολούθως, ὡς καὶ ἡ λεοντέα, ἡ παρδαλέα. ἡ δὲ βοῦς, τὸ τοῦ ὅλου ἔχει ὄνομα. καθὰ καὶ ὁ πρινὸς ἐλέφας, τοῦ ἐλέφαντος. Ἄλλως. Ἀδέψητον βοείην λέγει, καὶ ὁμοιότατα τῇ βοέᾳ αὐτῇ, ἤγουν ξηράς. τὸ μὲν οὖν ἀδέψητον ἤδη ἀμάλακτον καὶ ἀκατέργαστον, αὐτὸν δηλοῖ. βοέη δὲ ἡ βοῦς, ὅ ἐστι βύρσα, ἣν ἐντελῶς βοείην λέγει Ὅμηρος. ἀδέψητος γοῦν βοέη, ἡ ξηρὰ βύρσα. καὶ ἀδέψητον, ἀμάλακτον, ἀργόν. Ἀδῆ, τὸ εὐρωτὸν μαχαίριον. Ἀδῆσαι, διακορεῖν. Ἀδῆσαι, ἄγευστοι, ἀγύμναστοι, ἀνυπόχλευστοι. Ἀδήιον, ἀπόρθητον, ἀπολέμητον. Ἀδήκαστοι, ἐκλελυμένοι, ἀθυμοῦντες.

Ἀδηκτοτάτη, ἀσηπτοτάτη. Ἡσίοδος, Τῆμος ἀδηκτοτάτη πέλεται τμηθεῖσα σιδήρῳ ὕλη. Ἀδηκότες, ἀντὶ τοῦ κορεσθέντες. ἐπεὶ καὶ ἄδος ὁ κόρος κατὰ τοὺς παλαιούς. ἢ καὶ ἄλλως ἀδηκότες, ἀντὶ τοῦ ἀηδισθέντες. ὡς ἀπὸ τοῦ ἀηδῶ, καὶ κατὰ συναίρεσιν ἀδῶ. ἐξ οὗ καὶ τὸ ἀδημονεῖν, τὸ ἀλύειν καὶ ἀμηχανεῖν. καὶ ἀδηκότες, ἐδωδὴν ἔχοντες, καὶ πεπληρωμένοι ὕπνου, ἢ ἀδημονήσαντες. καὶ ἀληκότες, κεκμηκότες, ταλαιπωρήσαντες. ἀπὸ κόπου ἀηδῶς διακείμενοι. ἀηδῶ, ἀηδήσω. Ἀδήλητος, ἀσινής, ἀβλαβής. ἀπαθής, Καὶ ἐπιδείκνυσιν σώφρονα, καὶ ἀδήλητοι. δηλῶ γὰρ τὸ βλάπτω. Ἀδηλία, ἀσαφεία, ἀπορία, ἄγνοια, ἀφάνεια, καὶ ἡ κρυφιότης. Ἀδηλώσας, ἀγνώμονος τύχας. Ἀδήλωτον, ἀδιάφορον, ἄδηλον, σιωπηρόν. ἢ πέτρα, στερεόν. Ἀδημάς, ἄδος, ψώφημα, δόγμα. Ἀδημεῖν, θαυμάζειν, ἀπορεῖν, ἀδημονεῖν.

Ἀδημονέστερος, ἀντὶ τοῦ ἀγωνιστικώτερος. ἔρρει δὲ τοῦ προσήκοντος ἀδημονέστερος, ἀντὶ τοῦ ἔχει οὕτως. Ἄδημον, οὐκ ἔνδημον ὄντα. Σοφοκλῆς Τυμπανισταῖς. Ἀδημονεῖν, τὸ ἀλύειν, καὶ ἀμηχανεῖν. Ἀδημονία, ἡ φροντίς. καὶ ἀδημονία, σκυθρωπότης ψυχῆς, ἡ διάθεσις ἐπὶ ἀτυχίᾳ ἐκ τοῦ ὑπομένειν γινομένη. Ἀδημονίη, θαῦμα. Ἀδημονῶ, τὸ λίαν λυποῦμαι, ἀηδῶ, ἀγωνιῶ. καὶ ἀδημονέστερος, ἀντὶ τοῦ ἀγωνιστικώτερος. ὁ δέ, τὸ μὲν πρῶτον ἠδημόνει, καὶ ἀσυχίαν εἶχεν ὑπὸ τοῦ παρόντος κακοῦ. καὶ ἀδημονοῦσαι, ἀντὶ τοῦ ἀπορούσαι. Ἄδην, ἀφθόνως τὸ δαψιλῶς. ὅθεν καὶ ἀδηφάγοι ἵπποι, οἱ τέλειοι. καὶ ἀδηφάγον ἅρμα, διὰ τὸ κατ᾽ αὐτὸ

τεται ζεῦγμα, καὶ ἐπὶ τοῦ προηγουμένου ἐκεῖ ἐστὶν, ὡς οἱ παλαιοί. οὕτω καὶ Θουκυδίδης κέχρηται. οἱ δὲ νῦν ἀγυιαὶς καλοῦσι, τὰς ὀχεζὰς τοῦ ὀλέθρου. Ἄγυρτος, ῥίψας, ἐπίβολος. Ἀγόμενος, θαυμαζόμενος. Ἄγων, φέρων, ἐπάγων. Ἀγὼν, πολυσήμαντος λέξις κατὰ τοὺς παλαιούς. ἀγὼν γάρ φασιν, ὅμιλος, κύκλος μάχης, ἴσως, ἀγορά, συναγωγὴ καὶ ἐπίδειξις. ἀγὼν, ὁ ἐξ ὕστερον στάδιον, ἄθροισμα, καὶ τόπος ἔνθα ἀθροίζονται οἱ ἀγωνισταί. ἐν ἀγῶνι ὄρμος, ὁ οὐκ ἔχων ἀντίδικον. ἀγὼν, καὶ ἡ πρὸς τὴν ἀγῶνα ἄσκησις. Ἄλλως. Ἀγὼν, τὸ πλῆθος παρὰ τοῖς Βοιωτοῖς. κατὰ δὲ τοὺς παλαιοὺς, ἡ ἀγορά. ὅθεν καὶ ἀγορανόμος ὁ ἀγωνάρχης. καὶ παρ' Αἰσχύλῳ, ἀγώνιοι θεοί, οἱ ἀγοραῖοι. ἀγὼν καὶ τὸ ἆθλον, καὶ ὁ ναός. οἷον, θεῖον δύεται ἀγῶνα. ἐτυμολογεῖται δὲ ἀγὼν, ἢ παρὰ τὸ ἄγω, ἢ ἐκ τοῦ ἀγώνους ἐπέχειν φασὶ πόλεως. ἢ παρὰ τὴν ἀ στέρησιν καὶ τὴν γωνίαν. οἱ γάρ, τόπους κυκλοτερεῖς, γωνίαν οὐκ ἔχων, καὶ διὰ τὸ γυρός. ἐν Ὅμηρος, ὃ φθάσας, ἱερὸν κύκλον ἔφη τὴν ἀγοράν. καὶ Σοφοκλῆς Αἴαντι, κυκλώσαντα θῶκον ἀγορᾶς κύκλου λέγει. καὶ Εὐριπίδης δὲ οὕτως εἶδεν, ἐν τῇ ἀγορᾶς χαίρων κύκλον. Ἀγῶνα θεῖον φησὶν Ὅμηρος, ἢ τὸ ἐναγωνίως ἐν ᾧ θέομεν σύγκειται, ἢ ἐς ναὸν αὐτὸν, ὡς θεῖον καταγώγιον, ἢ ἀθροισθέντων, διὰ τὰ ἐν αὐτῷ ἀγάλματα. ὅτι δὲ ποσταχῶς λέγεται ὁ ἀγὼν, ἀποσημαίνουσιν οἱ παλαιοί. πάλιν ὁ αὐτὸς, ἀγῶνα νεῶν λέγει τὸ ἄθροισμα, ἐν τῷ π τῆς Ἰλιάδος. οὕτω καὶ, ὃ τὸ θεῖον δύεται ἀγῶνα, ἀντὶ τοῦ εἰς τὰ τῶν θεῶν ἱερὰ εἰσῆλθεν. ἀγὼν θεῖος λεγομένου τοῦ ναοῦ, ἔνθα θεῶν ἄθροισις, καθ' ὁμοιότητα τοῦ νεῶν ἀγῶνος. Ἀγὼν χαλκεῖος, τὰ ἐν Ἄργει ἑκατόμβαια. Ἀγωνάρχαι, ἀγωνοθέται, ἄρχοντες τῶν ἀγώνων. Ἀγὼν οὐ λέγεται σκῆψις, παροιμία ἐπὶ τῶν μηδὲν ἐνδεχομένων εἰ σκήψαιντο. Ἀγωνάρχης ὁ βασιλεύς, ὅταν τοῖς ἀγῶσιν ἐπικάθηται. Ἀγὼν πρόφασιν οὐκ ἀναμένει. ἡ παροιμία ἐπὶ τῶν φθάνειν ζητούμενων. ἢ ἐπὶ τῶν μὴ προσιεμένων τὰς λόγους τῶν προφασιζομένων. Ἀγωνία λέγεται, ὁ ἀγών. τὸ ἀγώνισμα, καὶ ὁ φόβος. καὶ ἀγωνία ἀγοραία, ἡ ἔλασις ἢ ἡ παλαίστρα. καὶ ἀγωνία, λύπη, κίνδυνος, φόβος ἥττησις ἢ ἄτης. Ξενοφῶν δὲ ἀγωνία, ἀντὶ τοῦ ἀγῶνι. Ἀγωνιᾶν Ἰσοκράτης, ἀντὶ τοῦ ἀγωνίζεσθαι. Ἀγωνίζομαι ἐγώ. μεταγωνίζομαι δὲ ἕτερον, ἀντὶ τοῦ καταγωνίζομαι, εἴδαμεν μεταβατικῶς. ἢ ἀγωνίζομαι εἰ λέγομεν. ἀγωνίζομαι, ἠγωνιζόμην, ἀγωνιοῦμαι, ἠγωνισάμην. Ἀγωνίας, τοὺς ἐν ἀγῶνι ἁμίλλας. Ἀγώνιοι θεοί, οἱ τῶν ἀγώνων προεστῶτες. Ἀγώνιος, ὁ ἐν ἀγῶνι. καὶ θηλυκὸν ἀγωνία, ὁ φόβος. ἀγωνία δὲ διὰ τοῦ ο μικροῦ, ἡ πείρασις. Ἀγωνίς, ὄνομα ἑταίρας. Ἀγωνίσματα, ἆθλα. καὶ ὀχλικαὶ ἐπιδείξεις. καὶ ἀγώνισμα ἐστι, στολή, ἐπιμέλεια. Ἀγωνισμός, ἀντιλογία. Ἀγωνισταί, οἱ ὑποκριταί.

Ἀγωνιστικά, τὰ διδόμενα τοῖς ἀγωνιζομένοις. ἀττικῶς δὲ ἀγωνικάσι, τόπος ἐν ᾧ ἀγωνίζονται. Ἀγωνιούμενοι, εἰς ἀγῶνας ἐμβαλοῦντες. Ἀγωνιῶ ἀμφισβατοῦντες, τὸ φοβοῦμαι ἐν κινδύνῳ. Ἰσοκράτης δὲ ἀγωνιῶντες, ἀντὶ τοῦ ἀγωνιζόμενοι. Ἀγωνοδίκαι, βραβευταί.

Ἀγωνοθέται, ὁ ἐν τοῖς σκηνικοῖς. ἀθλοθέτης δέ, ὁ ἐν τοῖς γυμνικοῖς. Ἀγωνοθέτης, ἀρχῆς ὄνομα Ἀθήνησιν. ὡς δὲ Νίκανδρος, ἀθλοθέτης ὁ μόνα γυμνικά, ἀγωνοθέτης δὲ ὁ μουσικὰ ἀκροάματα διατιθέμενος. Ἀγωνοθετῶ, τὸ τοὺς ἀγῶνας διατίθημι. Ἄγωνον, τὸν ἀγῶνα εἶλεν. Ἄγωνος, στομὸς παρὰ τοῖς Αἰθίοψιν. Ἀγώνιμος, φρόνιμος. Ἀγωρέειν, συναθροίζειν. Ἀγωρίοι, ἀθροισμένοι. Ἀγωσοί, οἱ ἀπάγοντες ὀλίγοι. Ἀγοστῷ. Ὅμηρος, ἕλε γαῖαν ἀγοστῷ. τουτέστι, τῷ ἀγκῶνι, κατά τινας. καθ' ἑτέρους δὲ μᾶλλον, τῷ κοίλῳ τῆς χειρός. ἄλλοι, τῇ σφαιρᾷ. κρατεῖν γάρ φασι τὴν δράκα οὕτω ποιεῖν, ἵνα περιάγονται τὰ ὀστᾶ τῶν δακτύλων ἢ ἄρχονται κατὰ τὰς συγγαλίδας καμπτομένων. ἀγοστὸν δὲ οὐδεὶς εἶπεν.

ΤΟ Α ΜΕΤΑ ΤΟΥ Δ.

Ἀδά, ἡδονή, πηγή. ἢ τὸ βαβυλώνιον ἡ Ἥρα. τὰ δὲ ἀτρείας δὲ, ἡ ἰτέα ἢ ἀδά, ἄπειρον. Ἀδαγμός, κνησμός. Ἀδαγοὺς, θεὸς ἐστι παρὰ Φρυξὶν ἑρμαφρόδιτος. Ἀδαεί, μόνον παρὰ Χαλδαίοις. Ἀδαής, ἀσύνετος, ἀμαθής, ἀφθαρμένος τοῦ δαίειν, ὅπερ ἐστὶ τὸ συρίζειν, ἐκ τοῦ δαίω τὸ μανθάνω. ὁ δαὴς δὲ, ὁ ἄφοβος. Ἀδαήμονες, ἀμαθεῖς, ἄπειροι. ἀπὸ τοῦ δαίω τὸ μανθάνω, δαῶ δαήσω, δαήμων, καὶ ἀδαήμων, συστολῇ τοῦ η, καὶ μεταθέσει τοῦ τόνου. Ἀδαημονία, ἀπειρία. Ἀδαίον, εἰς κόρον ἄγοντα, παρὰ τὸ ἄδην. ὁ δὲ Ζώπυρον τὸν ἀνδρὸν, ἀδιάλυτον ἔφη. Ἀδαι, ῥυμοί. ὑπὸ Μακεδόνων. Ἀδαΐζω, ἀναβοῶ, ἀνευφημῶ.

Ἀδάϊκτον, καθαρόν. Ἀδαιὸν, δαψιλές. Ἀδάϊον, ἀπόρθητον, ἀπολέμητον. Ἀδαϊκί, χωρὶς μαθήσεως, ἢ χωρὶς μερισμοῦ. Ἀδάϊφον, ἀμίαντον. Ἀδακρυτί, ἀκλαυτί.

Ἀδακτά, κνῆσαι. Ἄδακρυς πόλεμος, ὁ χωρὶς μάχης.

Ἀδαλόν, ἀνυγρόν. Ἀδιαλής, ὑγιής. Ἀδάλιον, ξηρόν.

Ἀδαλός, ἄσβολος. Ἄδαλτα, οὐκ ἄδηλα. Ἀδάμα, παρθενικὴ γῆ. Ἀδαμάντινα, στερρά. Ἀδάμας, ἀτνόμην, ἀπειθής, ἢ ὁ λίθος. ἢ ἄτεγκτος, ἀπαθής. λέγεται δέ, ἢ τὸ ἐν τῷ χόνδρῳ στερρότατον. ὅ, τι ὑποστάμενος παρά τισι, ἐν ὄρος. καὶ ἔστι γένος σιδήρου ἄθραυστον. Ἀδαμαστί, ἀδαμάστως. Ἀδάμαστον, ἀνυπότακτον. Ἀδάμαστος, παρθένος, ἄζυξ. Ἀδάμαστος, ἀδάμαστος, ἀνυπότακτος. Ἀδαμιᾶν, τὸ ἀδικάστως φονεύειν. κριτῶν. Ἀδαμιάδαι, αἱ δοῦλαι. εἶναι δὲ ἐστι ἀδαμιάδας δούλας γράφειν. Ἀδαμναῖς, ἀκολασταίνως. Ἀδαμνεῖν, τὸ φιλεῖν. καὶ Φρύγες τὸν φίλον ἀδαμνα λέγουσιν. Ἀδαμνής, ἰσχυρός, σκληρός. Ἀδάμνον, ἀτνόμενα. ἢ ἀδάμαστον, ἢ ἀπροσπέλαστον. Ἀδανής, ἀγεννόδοτον. Ἄδανα, πόλις ἀπὸ Ἄδανος ἐκ Ἰαπετοῦ. ὁ πολίτης Ἀδανεύς, ὡς Τάρσος Ταρσεύς. Ἀδανήν, οὕτω τὸ πρότερον ἡ Μολοσσία ἐκαλεῖτο. Ἀδαξῆσαι, κνῆσαι, λυπῆσαι. Ἀδάξω, κνήθομαι, ἐπιθυμήσω. Ἀδάπανον, τὸ ὕδωρ.

Ἀδαπάνως, λιτῶς. Ἄδαπτον, γυμνόν, ἄδαρμον. Ἀδάρρεα, σιρίαν. Ἀδάρκη, βοτάνη. Ἀδαρής, ἀμαχίγονος.

Ἄδαν, στυγρός. Ἀδασόν, ἰσλαφρῶν. Ἄδασμος, οὐδὲ δασμὸν τελοῦντος. οἷον τελοῦντος οἰκιον. Αἰσχύλος Ἠδωνοῖς.

Ἀδαύη, αὐτὸ ἡ στοά. Ἀδαυλός, ἀμητρίσιος. Ἀδαυχάσαι, κρύψει κεφαλῶ, φυλάσσω. Ἀδδάνιον, κιβώτιον. Ἄδδανον, ξηρόν. λάκκιον. Ἀδδαχεῖν, τὸ κνήθειν. Ἄδδιον, ἐπὶ γῆ. Ἄδδιλος, κόλπος. Ἀδδηφάγος, γαστρίμαργος, πολυφάγος, ἀθρόως ἐσθίων, παρὰ τὸ ἄδδην, τὸ δαψιλῶς, καὶ τὸ φαγεῖν. Ἄδδην, εἰς κόρον, καὶ εἰς πλησμονήν. τοῦ ὡς δὲ πλεονάζοντος. ἐν γὰρ τοῖς ἐπιρρήμασι, τέσσαρα ταυτὶ μόνα ἐδιπλασίασαν. σπανίως μέντοι ταῦτα, κἂν μόνοις οἶμαι τοῖς ἀρχαίοις. τὸ δ' ἐν τῷ ἄδδην, τὸ κ δικαστὶ ἐν τῷ ἴκκα, τὸ π ἐν τῷ ὁππότε καὶ ὅππως καὶ ὁππόσος, τὸ τ ἐν τῷ ὅττι. διπλοῦν μὲν γὰρ ἐν ἀδδήν, οὐδέποτε κατὰ τῶν ἑλλήνων διπλασιάζεται φωνήεν.

Ἄδδιξ, μέτρον τι, φασὶ τετραχοίνικον. Ἀριστοφάνης, ἀλφίτων μελάνων ἄδδικα. καὶ ἰατρὸς ἄλλοτι μέτρον ἐστίν. ὅ, ταὐτὸν εἶναι λέγουσι τῇ χοίνικι. Ἀριστοφάνης, οἶδε σὺν πυρῶν ἰατίᾳ. οὐ δὲ λέγει ἥμισυν, τὸ ἡμίεκτον. Ἀδδίξιν, μέτρον, τετραχοίνικ.

Ἄδδησιν, εἰς κόρον ἐσθίουσιν. Ἀδιάζων, ἀναβοῶν, ἀνευφημῶν. Ἄδε, ἤρεσκεν. ἄδε δὲ, ἐστὶ μῦθος. Ἀδεές, οὐ δεινές, οὐ φοβεῖται. Ἀδεῖν, ἀκολουθεῖν. Ἀδεὴς δεῖος διδοικώς. παροιμία, ἐπὶ τῶν μὴ τὰ φοβερὰ φοβουμένων. Ἀδεής, ἄφοβος. καὶ ἀδεής, ἄφοβε, θρασεῖα. καὶ ἀδεής, ἀσφαλής. οὐ φοβερόν. Ἀδεὴς μελανθὼ παρ' Ὁμήρῳ, ἡ μὴ αἰδουμένη ἄτιμος, ἀνὰ ἀναιδής, καὶ θηλυκά. ἀμφοτέρων φαῦλα. θηλυκὰ γὰρ οὐκ ἐπὶ ἐπαίνου εἴρηται, ἀλλ' ἀντὶ τοῦ θρασέος. καθὰ καὶ ἀλλαχοῦ Ὅμηρος ἐν Ὀδυσσείας τ, πλάζεται δὲ ἀδελφή, ἀπὸ τοῦ θύραν θύρσιν ἐλθεμένου, θρασεῖα, μεταθέσει τοῦ ρ ἀμεταβόλου. Ἀδέητος, ἀνενδεής, ὁ μηδενὸς δεόμενος, καὶ πάντα ἔχων. Ἀντιφῶν ἐν πρώτῃ ἀληθείας, διὰ τοῦ οὐδενὸς δεῖται, οὔτε προσδέχεται οὐδενός, ἀλλ' ἄπειρος

τὸ πλουχὸς, καὶ πρὸ αὐτοῦ ὁ ἱερός. Ἀγρυπνίαν, ἐμμελίαν. οἷον, ἱερὸς ἱδρᾶν πρὸς ἀγρυπνίαν ἕως ὀρθρευομένην. Ἀγύρτης, πλάνος, ἐλαστὴς, ἐπαίτης, φιλοκερδὴς, προσαίτης, συρφετώδης, ἀλαζὼν ἢ ἀπατεών, ἰδιώτης. ἀπὸ γὰρ ὁ ἀγείρων ὄχλον. καὶ ὄνομα βάλλει κυβευτοῦ. ἢ γάλλος, ὁ μοιχός. ὡς Ἀντίπατρος ἐν ἐπιγράμμασι, δόλιον ἀγύρτην ὅς ἐν ὠσὶ κέρδεσι μῖσον ἀνθρώποις. καὶ αὖθις, ἐν γὰρ ὁ τῆς ἀγύρτης ἀπὸ τοῦ ἔσω, καὶ φιλομάντιας. ἢ δὲ ἀγείρειν καὶ τὸ περιάγειν, ὁ περιιὼν ἢ περιερχόμενος, ὁ καὶ ἑτέρῳ τοιοῦτο σημαίνειν. Ἀγυρτικά, χυδαῖα ψεύσματα. ἢ ἀγυρτώδη, στρεφτεύδη. Ἀγυρτὸς, συναθροιστὸς ἢ μάντις, ὡς ὁ Ἀππίων. Ἀγχαζε, ἀναχώρει. ἢ ἀγχάσδε, καὶ ἄγχασαι, τὸ αὐτό. Ἀγχαλία, τόπος ὄνομα παρὰ Ἱππώνακτι.

Ἀγχαρμον, ἀναφερῆ τῶν αἰχμῶν. Ἀγχέβαλε, ἀνακυροῦσαι. Ἀγχαυρον, τὸν καιρὸν τὸν πλησίον ἢ ἐγγὺς τῆς ἡμέρας, ὥστε τὸ καλούμενον λυκόφως. Ἀγχαυρος, ὁ πορχεύλιος ὄρθρος. παρὰ τὸ ἀγχοῦ εἶναι πλησίον ἔχων τὴν αὔραν. Ὅμηρος, αὐτοῦ δὲ ψυχὴ πάλιν, αὐθὶ πρό. Ἀγχι, πλησίον. ἢ ἐπιτηρεῖν, ἢ πλησίαν. Ἀγχι, φίρα, πνῖγε, ὁ πλησίαζε. Ἀγχε, καὶ ἄλλως τὸ πνῖγε, ἢ ἄγχει καὶ πνίγει. Ἀγχειν, τὸ τὸν λάρυγγα σφίγγειν. ἐκ τοῦ ἄγειν, πλεονασμῷ τοῦ χ. Ἀγχί, ὁ πλησίον.

Ἀγχίμαχα ὅπλα, τὰ μὴ βαλλόμενα. Ἀγχίμαχοι, οἱ ἐγγύθεν μαχόμενοι. Ἀγχιμαχῶν, πλησίον ἢ συνεγγὺς πλησιῶν. ἢ ἀγχίμαχα ὅπλα, οἷον ἐστὶ τὸ σπάθη. ἑκηβόλα δὲ ἐστὶ, τὰ ἀπὸ τόξου πεμπόμενα βέλη. καὶ ὁ ἑκηβόλος, ἀγχιμαχοῖς ὅπλοις ταῖς ἀπὸ τόξου. Ἀγχέως, ὁμοίως. Ἀγχίνοιοι, συνετοί. Ἀγχόνη, πνίγη. Ἀγχιάλεα, πόλις. ἢ ἀγχίαλος, ἡ ἐγγὺς τῆς θαλάσσης. οὐ πάντως ἡ αἱ ἀγχίαλοι, ἢ ἀμφίαλοι εἰσιν, οἷα οἷον ὁ ἀλλοιούμενα. ἀγχίαλος μὲν οὐκ ἀμφίαλος δέ. αἱ δὲ νῆσοι, ἀμφίαλοι καὶ ἀγχίαλοι εἰσιν. παράλιος δὲ λόγος, εὑρετὴ παράλιος. Ἀγχίαλος, ἡ μὲν πόλις ὀξύνεται. ὁ δὲ παράλιος τόπος, προσπαροξύνεται. Ἀγχι, ἐγγύς, πλησίον. παρὰ τὸ ἀγχοῦ, καὶ κατὰ συγκοπήν. Ἄγχι πλησίον, παρ' Ὁμήρῳ ἐπὶ τόπου τίθεται, ἢ ἐπὶ τοῦ πλησίον. ἄλλως. τὸ ἀγχι, χρονικὸν λέξις ἐστί, ὡς παρ' Ὁμήρῳ. οἷον, ὡς ὁ μὲν, οὕτως ὡς ἐστιν, ἢ ἐλεύσεται, ἢ δὲ ἀγχι μάλα, τουτέστιν ἐγγύς, μετ' ὀλίγον. Ἀγχιάλη, πόλις ἦν ἐκτισμένη ἐν μιᾷ ἡμέρᾳ ὑπὸ Σαρδαναπάλου τοῦ Ἀσσυρίων βασιλέως. ὁμοίως ἐκτίσθη καὶ Ταρσός, ὁ αὐτός. Ἀγχιβαθὲς, ὁ ἐγγὺς βυθῷ. Ἀγχιβαθὴς, ἡ ἐγγὺς τῆς γῆς βαθεῖα θάλασσα. ἢ ἀγχιβαθὲς, ὁ ἐγγύβαθος. Ἀγχιβάτης, ὁ πλησίον βαίνων. καὶ ἀγχιβατεῖν, ἐγγὺς βεβηκέναι. ἔνιοι δέ, τὸ ἀμφισβατεῖν. Ἀγχιάλεια, ἀπὸ ἀγχιάλου. Ἀγχίαλος, ἐγγὺς θαλάσσης. ἐστὶ δὲ ἢ ὄνομα κύριον. Ἀγχιβι, μέγα, ἐγγύς. Ἀγχιβλώς, ὁ ἐγγὺς παρών. Ἀγχίγυοι, οἱ πλησιόχωροι, οἱ γείτονες. Ἀγχιδίκαι, ἐπιθαλασσίδιοι. Ἀγχίθεον, ἰσόθεον, θεῖον. Ἀγχίθεοι, οἱ Φαίακες. καθότι πρὶν τινὰς παρὰ τοῦ Ποσειδῶνος οἱ βασιλεῖς, ὁ ἐστιν θεοὶ συνελθεῖν μετ' αὐτοῖς, ὁ ἐστιν εὐδαίμονες ἢ ἰσόθεοι. Ἀγχίθυμον, γείτονα καὶ ἐγγύτερον. Ἀγχίθυρος, πλησιοθυρίτης.

Ἀγχιλα, ἁλμυρὰ, θαλάσσια. Ἀγχιλαὸν, πατρίς, ἐν ἀγριῷ. Ἀγχίμαχον, ἀμφισβήτησιν. Ἀγχιμαχηταί, οἱ συνεγγὺς μαχόμενοι. Ἀγχίμαχος, ὁ ἐγγύθεν μαχόμενος.

Ἀγχίμολον, τὸ ἐγγὺς ἐλθεῖν, ὁ ἐγγὺς ἐληλυθώς, καὶ σύνεγγυς. ἢ μετ' ὀλίγον ἐπιρρηματικῶς λέγεται παρ' Ὁμήρῳ. ὡς τὸ, ἀγχίμολον δέ οἱ αὖθις. ἐκ τοῦ μολῶ, τὸ παραγίνομαι. σημαίνει δὲ τὸ πλησίον.

Ἀγχίνοια, φρόνησις, σύνεσις, ἡ ταχύνοια, ἡ ὀξεῖα νόησις. ἢ ὀξεῖα εὑρετικὴ τοῦ καθήκοντος ἐκ τοῦ παραχρῆμα. ἢ εὐστοχία τις, ἐν ἀσκέπτῳ χρόνῳ. Ἀγχίνοος, συνετός, ἀγχίνως. Ἀγχίνους, συνετὸς, σοφὸς, συνετὸς τὸν νοῦν, φρόνιμος. Ἀγχίπαι, ἰσθμοί. κρῆναι. Ἀγχίπορος, σύνδουλος. Ἀγχίπους, σύνδουλος. ἢ ὁ πλησίον καὶ σύνεγγυς. Εὐριπίδης Ἰφιγενείᾳ τῇ ἐν Ταύροις.

Ἀγχιρροίης, ὁ ἐγγὺς ῥέων ὁ ἀγχίαλος. Ἀγχίστερ, ὁ ἀρ καὶ πυρῶν. Ἀγχιστεῖον, τὸ διαφέρειν. Ἀγχιστεύειν, συγγενὴς ἐγγὺς γένους. Ἀγχιστεία, ἡ συγγένεια. ἰδοὺ δὲ μάλιστα δὲ παρὰ τὸ ἄγχι μάλιστα, ὁ ἐγγὺς λέξις. τοῦτο δέ ἐστι παρὰ τὸ ἀγχοῦ ἢ ἐγγὺς, καὶ ἀγχοῦ, καὶ ἄγχι. Ἀγχιστεία, συγγένεια. Ἀγχιστεὺς, ἡ ἐξ αἵματος συγγενὴς ἐκ πατρὸς ἢ ἀδελφῶν, καὶ ἀνεψιῶν, καὶ θείων. συγγενὴς δὲ ὁ ἐξ αἵματος μὲν, πλὴν πορρωτέρω. οἷον ἔστι δέ, ὁ ἐξ ἐπιγαμίας. ὁ δὲ Ἀθηναῖοι λέγει ἀγχιστείαν, καὶ τῶν μητρικῶν οὕτω. Ἀγχιστεύειν, συγγενικῶς. Ἀγχιστεὺς, ἐγγὺς ὤν. Ἀγχιστίνδην, ἡ κατὰ ἀγχιστείαν. ὡς ἀπὸ τοῦ ἀγχιστὸς καὶ ἀγχιστίνδην, καὶ τὸ πλησίον παρὰ τὸ πλησίον. Ἀγχιστῖναι, ἐπαλλήλως, ἢ συνεχῶς, ὅ ἐστι πυκναί. παρ' ἀλλήλας ἐπ' ἀλλήλαις. γίνεται δὲ παρὰ τὸ ἄγχι εἶναι. ὁ ἀπὸ τοῦ ἐγγὺς αὐτὸ φέρειν πυκνούμενα, ὡς ἐπὶ συναθροισμοῦ. εὕρηται δὲ ἢ διαλελυμένως. οἷον, ἄγχι ἰσάμεναι. σημαίνει δὲ, ὅτι τὰ ἀπὸ τοῦ ἄγχι ἐπιρρήματος παῖσαι, διὰ τοῦ ι γράφεται. ὡς εἰς καὶ ὁ ἀγχιστος. ὅθεν τὸ ἀγχιστίνδην, ἢ τὰ ἐξ αὐτοῦ.

Ἀγχισόν, τὸ ἐγγύτατα γένος. Ἀγχίστρεφος, ταχὺ ἐπιστρεφόμενος, εὐμετάβολος, εὐκίνητος. ἢ ἀγχίστροφον, τὸ εὐθέως περιφερόμενον. Ἀγχιτέρμων, οἱ ἐγγὺς τοῦ τέλους. καὶ ἀγχιτέρμων, ὁ γείτων. Ἀγχλάσσας, ἀπαγκαλέσας, ἀπαγκαλίσας, ἀποβαλόν. Ἀγχεάδην, ἀμβολάδην. Ἀγχεοί, πηγαὶ ἐπὶ μυριαν, καὶ τόπος ἐν Βοιωτίᾳ. Ἀγχόμαλον, τὸ ἐγγὺς ἴσον τῶν ὁμαλῶν καὶ ἰσοπέδων. καὶ ἀγχώμαλος, ὁ ἐγγὺς ὁμαλοῦ. Ἀγχοῖ, ἢ ἀγχοῦ. ὁ διαφορὰ τῆς σημασίας. ἐν γὰρ τόπῳ. ὀξυτόνως μὲν ἢ, τὸ εἶδος τοῦ πάθους. βαρυτόνως δὲ, τὸ χειμῶν ἢ ὁ βρόχος. ὡς Ἀριστοφάνης, ταῦτα δεῖ ἀγχόνην. ἤγουν, πνιγμός, ἢ ἀγχόνης ἄξιος.

Ἀγχονῶδες, πνίγος. Ἀγχουρός, γείτων. Ἀγχ' πρός φάρυγος, ὁ πνιγμός, ὁ πλησίον, ὁ ἀήρ. Ἀγχότερος. ἐπὶ τοῦ, Ἡρόδοτος, συνεγγύτερος. ὁ ἀγχότερος ἢ ἐγγύτερος.

Ἀγχοῦ μὲν, ἐγγύς, πλησίον ἄγχι. ἄγχοῦ δὲ ἀγχοτέρω, ὁ ἀγχότατος.

Ἀγχοῦρος, γείτων. Ἀγχοῦρος, ὄρθρος ἢ ὄρθρος, ἐωσφόρος. ἢ οἱ σὺν αὐτῷ. Ἀγχούρης, πλησιοχώρης, γείτων. παρὰ τὸ ἄγχι ἢ ὅρος εἶναι. Ἀγχοῦς, ἡ βαλλεῖ. Ἀγχοῦς, εἶδος βοτάνης, ἧς ἡ ῥίζα ἐρυθρά, ᾗ ἐρυθραίνουσι τὰ πρόσωπα αἱ γυναῖκες. Ἀγχοντίζειν, ἐντρίβειν ταῖς παρειαῖς. Ἀγχαρ, μάκαρ, λαμπρόν. Ἀγχμαίνεσθαι, ὑπὸ λύπης. Ἄγω, τὸ πνίγω. καὶ σημαίνει λέξιν οἷον, σὺν ἢ ἦγε ἐπιλέγοντος. Ἀγχομένοις τῶν ἀπὸ λύπης, περιφρίγων, θλίβομαι δὲ ἀγχομένω τὴν ἀπὸ λύπης ἢ πνίγων, ἢ φιμοῖ τὸ φέρω. Ἀγχώμαλοι, παρὰ μικρὸν ἴσοι. ἐγγὺς τοῦ ὁμαλοῦ. Ἄγω, ἀπάγω, μέλλω, ἄγω. καὶ ἄγω, τὸ παραγίνομαι. τὸ κλάω, καὶ τὸ φέρω. καὶ τὸ φθειρόμενος, τὸ ἐκπλήττομαι. ἀπὸ τοῦ ἄγω τὸ κλῶ, ἄττω, αἰτίω, ἄγνυμι. Ἄγω καὶ ἄγομαι, κυρίως μὲν ἐπὶ ἐμψύχων τίθεται, καταχρηστικῶς δὲ καὶ ἐπὶ ἀψύχων. οἷον, ὅτε αἴθωνα σίδηρον, ἀντὶ τοῦ φέρω. Ἀγωγεύς, ὁ ἱμὰς, ὁ λῶρος. καὶ ὁ ῥυτὴρ τοῦ χαλινοῦ, ἢ ὁ ἱμάτιον. Ἀγωγὸν, τρόπος, ἀναστροφή, ἀπαγωγή, ὁδός. πορεία τῶν ὑδάτων· πρὸς τὸ ἄγεσθαι. κατὰ ἀγωγὸν καὶ μέρος τὸ ἄρκον τὸ ἀγωγὸν ἐπὶ ἀνάγκην λέγεται, καὶ ὁ διὰ τῆς θύρας ἢ πρὸς Ἑλλασπόντιον. ὡς λέγεται, παίδων ἀγωγή. ἢ ἡ μεταβολή. ἐφ' οὗ σημαινομένου ὁ ἐξηγούμενος οὕτω τῶν γένεσιν λέγεται. παρὰ τὸ ἀγωγὸς αὐτῆς ὁ φυλακὴ τοῦ ὁ (φυσικὸς), καὶ λακεδαιμόνιον ἄνδρα, τὸ λακωνικῶς ἀγωγῆς μετεσχηκότα. καὶ τρίβω ἐν πλημμελεῖ ἔχοντα σύμμορφον. Ἀγωγία, ἀσυλία. Ἀγώγιμα κέλλιον, ὁ φορτίον. εἰσὶ δὲ ἀγώγιμα, οὐ μόνον τὰ φορτία, ἀλλὰ καὶ τὰ κομιζόμενα ἐπὶ ζεύξεως.

Ἀγώγιμον, ἐπὶ μὲν φορτίων, ἐπὶ δὲ κατὰ δικῶν τίθεται.

Ἀγώγιμον, ὑφέλιμον. Ἀγώγιον, τὸ ἀγόμενον βάρος ἐπὶ τῆς ἁμάξης. Ἀγωγίου, ὁδηγοῦ. ὁ ἀγωγεὺς, τῆς ὁδοῦ.

Ἀγωγὸν, ἐμβολικόν, ἐπαγωγόν. καὶ ἀγωγὸς. ἢ πατρὸς... τέν

καὶ ἀγχιστεῖς. ἀττικὸς δὲ ὁ ἀνὴρ τὴν αἶγα λέγει, ὥσπερ καὶ τὴν ἀηδόνα. Ἀγχιστεόγονον, βοτάνη τις. Ἀγχιώτατος, ὁ ἐγγύτατος. Ἀγχιστὺς, ὁρμή. Ἄγχος, ὁ ὠμός. Ἀγχίος, ὁ ἐν τῷ ἀγχοῦ οἰκῶν. Ἀγχὶ βέβρυχας, εἰσεὶ ζῶν ἀγχί. εἰώθασι δὲ οἱ βεβρυχότες χασμᾶσθαι. Ἀγχιστρόφιλλιδες, ἀγχιστροφίλλαι.

Ἀγριοφωνία, νόθος. καὶ ἀγριοσχῆμα. Ἀγρίος, αἰχίνας ἐν τῷ κατὰ Τιμάρχου, ἢ σφόδρα ἐπτοημένους περὶ τὰ παιδικὰ, οὕτως ὀνόμασεν. καὶ Μένανδρος τὸν ἄγριον εἶπε κυβευτὴν, τὸν λίαν περὶ τὸ κυβεύειν ἐσπουδακότα. ἀγρίους καὶ ἐκάλουν διώκειν ἐκέλευον οἱ παλαιοὶ, ἢ παιδεράστας. Ἀγρίων ἀπαρχαιότερος, ἐπὶ τῶν ἀπείρων. ἄγριος γὰρ λέγεται ὁ ἀγριλαία. Ἀγρίφα, ἀθλιῶς. Ἀγρίφη, ὑποδοχὴ, ἅμη, σκάφη. ἢ Ἀγρίφη, δίκελλα, σκεῦος γεωργικὸν πλάτομφον. Ἄγραφος, γένος τι ἀγρίας ἐλαίας, ὀλυμπιάσιν. Ἀγρίωπον, ἀγριόφθαλμον. Ἀγρίδια, βοτάνη τις. Ἀγρόθεν οἴκαδε, ἀγρόθεν ἥκειν, ἀπὸ λέξεως τῶν ἀγρῶν. καὶ ἐλθεῖν πρὸς τὸν ἀγρόν. Ἀγροικίζω, καὶ ἄγροικος, ἄφρων, δύσκολος, σκληρός, καὶ ἀπαίδευτος, ὁ ἐν ἀγρῷ καθιδρύμενος. κατὰ μεταφορὰν δὲ ὁρίζονται ἄλλοι τὴν ἀγροικίαν, σκληρότητα ἤθους. ἢ γὰρ σκληρότης, κυρίως ἐπὶ σωμάτων. Ἀγροίκος, ὁ ἐν ἀγρῷ διάγων χωρικός. ἢ ἐργάτης καὶ ἐπιεικέστερος, ἢ ζαγελάστης. Ἄγροικος ὀργῶ, φιλόλικος, ὀξύχολος, εἰς ὀργὴν εὔκολος. Δημοσθένης, νῦν γάρ ἐστι Δημοσθένης ἄγροικος, ὀργὴν. καὶ ἀγροῖτης, ὁ ἀγρός. Ἀγροῖκος, κοινῶς ἄγροικος, ὀξυτόνως. ἄγροικος, ὁ σκαιός. καὶ ἀγροῖκος, ὁ ἐν ἀγρῷ ζῶν. ἄγροικος δὲ ἐπὶ ἀμφοῖν. Ἀγροικίστερος, ὁ ἰδιώτης καὶ ἀπαίδευτος. οἱ ἀττικοὶ δὲ καὶ ἐπὶ τοῦ ἐν τῷ ἀγρῷ οἰκοῦντος καὶ ἐπὶ τοῦ ἰδιώτου καὶ ἀπαιδεύτου, καὶ ἀνάπαλιν προπαροξυτόνως λέγουσιν. οἷον, ἄγροικος. Ἀγροικότατον, ἀπαιδευτότατον. Ἀγροίκως, ἀμαθῶς. Ἀγροιλῆθιν, ἀγροίκη, δῆμος ἐστὶ φυλῆς τῆς ἐρεχθηΐδος. ὁ δὲ δημότης πάλαι ἐλέγετο ἀγροικεύς. Ἀγροικῶ, ἀγριαίνεται, ὑβρίζει. Ἀγροιώτης, ὁ ἀγροῖκος. ἔστιν ἀγρὸς ἀγρέτας, ὡς δῆμος δημότης. καὶ πλεονασμῷ τοῦ ι, καὶ ἐκτάσει τοῦ ο, ἀγροιώτης. Ἀγροιῶτις, τὴν ἀγρὸν ἀπολαύουσα. ἡ ἄρτεμις. Ἀγρομένους, ὁ ἐν ἀγρῷ διατρίβων, καὶ εἰς πόλιν μὴ ἐλθών.

Ἀγρομένοισι, συνηγμένοις, συναθροισμένοις. Ἀγρομένοιο, συνελθόντος, συναθροισθέντος. Ἀγρέμεναι, ἀγειρόμεναι. ἀγείρω, καὶ κατὰ συγκοπὴν ἄγρω. ὥσπερ παρὰ τὸ ἐγείρω ἔγρω. Ἀγρομένων, ἀθροιζομένων, συναγομένων. Ἀγρόνομοι νύμφαι, προπαροξυτόνως μὲν αἱ τὰ ἀγρὰ νέμουσαι, ἢ ἐν ἀγρῷ διάγουσαι. δοκεῖ δὲ ἀπεμφαίνειν ἡ ἑτέρα σημασία. οὐ γὰρ ἂν αἱ νύμφαι λέγοιντο, εἰ μὴ ἄρα τὸ νέμεσθαι νοεῖσθαι, ἀντὶ τοῦ ἁπλῶς διάγειν καὶ οἰκεῖν. οὐ ἡ χρῆσις, ἐν τῇ ἐπικῇ βοιωτίᾳ. προπαροξυτόνως μὲν ἡ λέξις λέγεται, ἴσως πρὸς ὁμοιότητα τῶν πρωτοτύπων, καὶ τῶν ὁμοίων. Ἀγρονόμοι, ἐν ἀγροῖς διαγόντων. Ἀγροῦ πυγὴ, παροιμία ἐπὶ τῶν λιπαρῶς προσκειμένων. ὁ γὰρ Σώφρων, τὰ πλοῦσια μέρη λέγει μετὰ τῶν ὀρῶν, καὶ τὰ πρόσθεν τοῦ ἀγροῦ. καὶ ζαπλουσίους, ἀγροῦ πυγαί. Ἀγρότερον, ἄγριον. Ἀγρὸς, χωρίον, χωρίον. Ἀγροὶ παρὰ τὸ ἄρω, ὃ σημαίνει τὸ σίδηρον, ὁ τῷ σιδήρῳ τεμνόμενος. Ἀγρὸς ὁ ἔξω τῆς πόλεως χῶρος. Ἀγρόκη, βοτάνη καὶ ἄρτος τις, ὅς πρότερον λέγεται ἀλφί. Ἀγρόται, θηραταί, κυνηγέται. καὶ ἀγρώσσω, τὸ κυνηγῶ. Ἀγρόται, ἀγροῖκοι. Ἀγρότης ὁ ἄγροικος, ὁ ἐν τῷ ἀγρῷ οἰκῶν. Ἀγροτέραν, ἡ ἀγρίαν τὴν ἄρτεμιν. Δημοσθένης, ἀγροτέρας τῇ ἀρτέμιδι. ἰδίως γὰρ οἱ ἀθηναῖοι οὕτως ἐτίμων τὴν ἀγροτέραν ἄρτεμιν. Ἀγροτεραῖον ἀγρίων. Ἀγροτέρους ἐλάφους, ἀγροτέρας. καὶ κατὰ συγκοπὴν, ἀγροτέρας.

Ἀγρόφθοροι, οὐρ, ὁ ἐστιν ἄγριον. οἱ νεώτεροι σύγγρον φασὶν, οἱ δὲ ἄγρον. ὥσπερ δὲ αἰπολὸς καὶ αἰπόλος ἐπὶ τοῦ αἰγῶν συγκειμένων ἀμφω, οὕτω καὶ κάπρος καὶ κάπριος ὁ πρὸς θάλασσαν συνδιαιτώμενος. Ἀγροτέροισιν, ἀγριωτέροις. Ἄγρεται, ἀγροῖκοι, ἢ θηραταί. Ἀγροῦ σφῖγξ, ἀγροικίας πλήρης. Ἄγροφον, ὄρειον. Ἀγρύλη, δῆμος τῆς ἐρεχθηΐδος φυλῆς, καὶ τῆς ἀτταλίδος. Ἀγρυξία, σιωπή. Ἀγρυπνεῖς, ἰσχνὸς διατρίβων ἐν ἀρβύλης. Ἀγρυπνῶ, τηρῶ, ἐκδύω. Ἀγρυπνία, ἡ ἀϋπνία. καὶ κατὰ πλεονασμὸν τοῦ γρ, ἀγρυπνία. Ἀγρυτέξ, ὑβρίζει. Ἀγρυπνὸς, ἀγροῖκος. Ἀγρυπίδης, ἀγρυπνὸς παῖς. Ἀγρώσσουσι, θηρεύουσιν, ἰχθύζουσι. Ἀγρώσσω, θηρεύω. ἀγρώσσω, παράγωγος ὁ χαρακτὴρ ἀπὸ τοῦ ἀγρὸς ἀγρώσσω. τὰ γὰρ διὰ τοῦ σσ, τὰ δὲ λαμβάνουσι φωνήεντα. τὸ δὲ οὐ λαμβάνοντα· οἷον τὸ α, παρὰ τὸ ἄλλος, ἀλλάσσω. τὸ ε, παρὰ τὸ πέρας, περαίνω. ῥήσσω, πλάσσω, τὸ η. ἀφύσσω, ὁ ι. ἀφίσσω, τὸ ἀπαιτῶ, τὸ υ. ἐν ἀρύσσω ἀγρώσσω, τὸ ω. ὡς τὰ ἴχνος μὲν δοῦναι τὸ σ, οὐκ ἐν παραγωγῇ δέ. ἔσω, ἀπὸ τοῦ ἔσω γέγονεν. Ἀγρώσσων, ἀγρεύων.

Ἀγρώσται, οἱ κυνηγοί. ἀπὸ τοῦ ἀγρώσσω ῥήματος παράγωγον ὄνομα. ἰδίως ἀγρώσσειν, κυνηγὰ περὶ διάγεται ἄλμη. Ἀγρώσσει, νύμφαι ὄρειαι. Ἀγρωστῖνος, ἀγροῖκος. Ἄγρωστις, βοτάνη τις, ἥν ἀγρίαν οἱ κοινοὶ ἀλλοῖα φασί. μελικῶς, ἀγρώστις ἐλασίαν. ἔστι δὲ ὀρεινή, καὶ φιλεῖ τοῖς ἀλσώδεις τόπους. Ἀγυιά, ἄμφοδος, ῥύμη, ὁδὸς, πλατεῖα. Ἀγυιαὶ, ἄμφοδοι, ῥύμαι, ὅσοι ἐπιμήκεις ὁδοί. πλὰ τὰ μὲν ἔχειν πῶς. ῥύμη καὶ μέλος τὰ ἀμφίβια τὰ δὲ ἀμφοδα ἔχουσιν ἐπιτρέχειν διεξόδους, καὶ ταύτη διαφέρουσιν. Ἀγυιαί, ἀγυιά, ὑπερήφανος Ὅμηρος. Ἀρίσταρχος μὲν γὰρ ἄγυιαν προπαροξυτόνως ἀναγινώσκει, ἐν δὲ ἐκεῖνος τὸ ἐπιχώριον κατὰ ἀγυιὰς ὀξυτόνως προσφέρειν. ὁ παῖδα τὰ πόλεις κατὰ ἄλλως καὶ τὰ ῥύμας ἃ ὑπεσταί, καὶ πλατεῖα καὶ πλατεῖαι. βέλτιον δὲ περισπᾶν, ὡς ἀπὸ τοῦ ἀγυιάς. ἀγυιεὺς δέ ἐστι κίων εἰς ὀξὺ λήγων, ὃν ἱστᾶσι πρὸ τῶν θυρῶν. ἐστὶν οὖν ὁ ὀκληρὸν ἀγυιεὺς, καὶ ὁ ἀπόλλων ἀγυιάς, ἐν συναλοιφῇ δὲ ἀγυιᾶς. ἔστι δὲ ἴδιον διαδεδομένον, καὶ ἄρ οἱ παρὰ τοῖς ἀττικοῖς λεγόμενοι ἀγυιεῖς, οἱ πρὸ τῶν οἰκιῶν κωμοί. καὶ ἀγυιεὺς, ὁ πρὸ τῆς αὐλῆς θυρῶν κωνοειδὴς κίων, ἱερὸς ἀπόλλωνος. καὶ αὐτὸς θεός. οἱ δὲ φασιν αὐτοὺς διονύσου εἶναι, οἱ δὲ ἀμφοῖν. Ἀγυιᾶς, ἐν ταῖς ἀγυιαῖς. Ἀγυιᾶ, πάσης ἐκ τῆς ἀγυιᾶς εἶναι ἐν ταῖς οἰκίαις. Ἄγυιαι, ἐπὶ τοῦ δὲ αὐτοῦ ἄγειν ἡμᾶς τὰ γῆν, περὶ τῆς γῆς. ἀντὶ τοῦ φοιτᾶν, Ὅμηρος. Ἀγυιάτιδες, αἱ πρὸ τῶν θυρῶν θεραπεῖαι. Ἀγυιεὺς ὁ πρὸ τῶν θυρῶν ἱστὰς βωμὸς ἐν σχήματι κίονος. Ἀγυιεύς, περὶ τοῦ ἀγυιέως ἀπόλλωνος, ἰδίως ἐστὶ κίων εἰς ὀξὺ λήγων. ἐν τῷ δὲ ἱερῷ, τῶν Διονύσου καὶ τοῦ ἐστιαστοῦ ἀγυιεῖς τῶν Δωριέων ὄντων ἀνάθημα. καὶ αὐτὸν κατὰ τοὺς δωριέων εἶναι τὰ ἴδια. ὅθεν δὲ ἐπὶ τὰς ἀγυιὰς φασὶ οἱ ἀττικοὶ μιμούμενοι, τὰς ἀγυιὰς ἱστᾶσιν ἐν τῷ νῦν τῷ ἀπόλλωνι. Ἄλλως. Πρὸ τῶν θυρῶν ἐστὶ τέχνη κίονα, εἰς ὀξὺ λήγοντα, ὡς ὀβελίσκους ἱστᾶσιν εἰς ὄνομα ἀπόλλωνος ἀγυιέως. οἱ δὲ Διονύσου, οἱ δὲ ἀμφοῖν ἰδίως φασίν. Ἀγυιῶτης, κωμήτης. Ἀγύλαιος, ὄνομα κύριον. Ἀγυμνάσοις, πολυγυμνάστοις. Ἄγυμος, ἄγονος. Ἀγυρὴ, ἀθροισμὸς, ἢ συναγωγή. Ἀγυρίζειν, συνάγειν, ἀγυρτάζειν. Ἀγύρτος, ὄνομα κύριον. Ἄγυρις, ὄχλος, συναγωγή, ἄθροισις, καὶ ἀγυρισμός.

Ἀγυρμὸς, ἐκκλησία, συναγωγή, συγκρότησις. καὶ πᾶν τὸ ἀγειρόμενον. καὶ τῶν μυστηρίων ἡ πρώτη ἡμέρα. Ἀγύρτης, ὁ ἐπὶ τὸ θεοφορεῖσθαι ἀγείρων. ὃς τὸν μισθὸν τῶν ἐπαιτεῖ συνάγει. καὶ τοὺς ἐκκλησιαστικὸν λόγον. ὁ δὲ πτωχός, συλλέκτης, ὡς παρ' ἔχειν πάντα ἀγείρει, ὅ δὲ γυρόγυρος. οὕτως τὴν προσόδον ἔχων πάντα, λανθάνειν ὑπογονή. Ἀγυρτάζω, συλλέγω. πλείζει ἀγείρει, πλανᾶται. ἢ οὖν καὶ ὁ ἀγύρτης αἰτίζει ἢ ἐπαιτεῖ ἐστιν, ἄγει καμήλια πολλὰ καὶ ἄλλα αἰτίζων. ὅλως γὰρ παρὰ τὸ πτωχεύειν. ἐκ δὲ τοῦ παντὸς ἀγείρειν ὑπ' αὐτὸν δὲ ἀγυρτάζειν καὶ ἀγείρειν λέγεται, ἄλλον ἐκ τοῦ συναγείρειν ἐθνικοὺς ὁ φασὶ

τος. καὶ ἀγοραστὰς, τοὺς ἐν τῇ ἀγορᾷ ἀναστρεφομένους. καὶ ἀγοραίους ὀχλώδεις, τοὺς ὡσεὶ ἐπαγομένους. Ἀγορεύω, τὸ δημηγορῶ. ἀγορεύω τινὶ λόγον, κακῶς ἐκείνους ἀγορεύεις τὴν φιλοσοφίαν. προσαγορεύω, τὸ ἀσπάζομαι, καὶ τὸ ὀνομάζω. καὶ παθητικῶς, προσαγορεύομαι τὸ ὀνομάζομαι. προσαγορεύω αἰτιατικῇ μόνῃ, ὁμοίως καὶ ἐπὶ τὸ λέγω σημαίνει. οἷον λέγει τινὶ τὰ μέλλοντα. ὁμοίως καὶ προλέγω, καὶ καταλέγω. ἐκλέγω δὲ καὶ συλλέγω αἰτιατικῇ μόνῃ. ἀντιλέγω δοτικῇ μόνῃ. καὶ παθητικῶς μεθ' ὧν συντάσσεται προθέσεων, αἰτιατικῇ μόνῃ. ἀγορεύω καὶ ἀγορῶ, ὥσπερ ζητεύω καὶ ζητῶ. Ἀγορὰ, ἐκκλησία ἢ αὐτὸ τὸ ἄθροισμα, καὶ ὁ τόπος, καὶ ὁ λόγος. Ἀγορῆθεν, δωρικῶς. περισπᾶται, ἐπειδὴ τὰ ἀπὸ ἐρωτήσεων ἢ περισπωμένων παραγόμενα εἰς θεν ἐπιῤῥήματα, τὴν μίαν ἔχουσι τὸν τόνον. γῆθεν, ἀρχῆθεν, ἀγορῆθεν. καὶ ἀγορᾶθεν, ἐκ τῆς ἀγορᾶς, ἢ ἀπὸ ἀγορᾶς ἢ ἐκκλησίας. Ἀγορήνδε, καὶ οἴκαδε, ἀντὶ τοῦ εἰς ἀγορὰν, καὶ εἰς οἶκον, σύνδεσμοι ἀντὶ προθέσεων.

Ἀγορητὴς καὶ μετέσχε παρ' Ὁμήρῳ, παρατηροῦσιν οἱ παλαιοί. καὶ ἀγορητὴς μὲν ποιητὴς, τὸ αὐτὸ ὡς δημηγόρος ἐστι. μετέχειν δὲ, τὸ μετὰ ταῦτα παρασυνθετικῶς ὑποθέσθαι τὸ ποιητικόν. ἐκ τούτου ἀγορητής. Ἀγορηταὶ, σύμβουλοι, φρόνιμοι, ἐκκλησιασταὶ, ἢ καὶ δημηγόροι. Ἀγορητάτης, λογιώτατος. Ἄγορος, ἄθροισμα, στρατός. ὁ καὶ δημηγόρος. Ἀγοῤῥίον, ἐκκλησία. Ἀγοῤῥις, ἀγορά, ἄθροισις. Ἀγορῶ, περισπᾶται. τὰ γὰρ εἰς ρω λήγοντα ῥήματα, ὑπὸ τοῦ ο παραληγόμενα, περισπῶνται. οἷον, δημηγορῶ, ἀγηγορῶ, ἐγκατηγορῶ, συνηγορῶ, κατηγορῶ, μακρηγορῶ. Ἄγος, ἄγισμα θυσίας. Σοφοκλῆς ἐν φαίδρᾳ.

Ἄγος, μίασμα καὶ βδέλυγμα, μέσος ὁ ἀγκών. καὶ ἀγὸς τὸ ἐν τῷ τῶν χειρῶν καὶ βραχιόνων, ὡς ἂν ἐφ' ἡμᾶς αὐτοὺς ἐπαγόμενοι. Ἀπολλόδωρος δὲ, τὸ ἴσως τοῦ βραχίονος μέρος. λέγεται δὲ ἄγος, καὶ τὸ τίμιον καὶ ἅγιον σεβάσματος. ἐξ οὗ καὶ αἱ ἱέρειαι, παναγεῖς. Ἀγὸς δὲ ὀξυτόνως ὁ ἡγεμὼν, ἀπὸ τοῦ ἄγειν τὰ πλήθη, καὶ ἡγεῖσθαι αὐτῶν. οἷον ἀγωγός. καὶ ἐν πέργῃ ἱερὸν ἀρτέμιδος. Ἄγος, κλάσμα, τραῦμα. Ἀγὸς ἀσπιστάων, ἡγεμὼν τῶν ὁπλιτῶν. ἀσπὶς γὰρ λέγεται τὸ σκυτάριον. Ἀγοστὸς, τὸ ἀπὸ τῶν χειρῶν, ὁ ἀγκών. ἀγοστὸς καὶ ὁ ἀναπεπταμένος(?) τόπος, παρὰ τὸ τὴν συναγωγὴν καὶ ἐπίκαμψιν τῆς χειρός. ἢ παρὰ τὸ λύσασθαι τούτῳ κατὰ ἄγκην, ἢ διὰ τὸ ἐπάγεσθαι τὴν χεῖρα, οἷον ἄγεσθαι. ὥσπερ γὰρ παρὰ τὸ πολὺ γίνεται πολλοστὸς, οὕτω παρὰ τὸ ἄγω ἀγοστός. οἶμαι δὲ, τὸν τοῦ ἀγκῶνος τόπον λέγειν. Ἀγοστοὺς, παλάμας. οἱ δὲ, ἄκρα χειρῶν, ἢ πήχεις, ἢ ἀγκῶνας. Ἀγυ[illegible], τεθυμένην. Ἄγουσι, φέρουσιν, ἐπιτελοῦσιν, ἢ ἀξιοῦσιν, ἢ ἡγοῦνται. καὶ ἄγουσιν ἑορτὴν οἱ κλέπται, χαμαιτύπη ἡ σύνταξις, καὶ ἱκανῶς πεπαιγμένη κατὰ τὴν κωμωδικὴν χάριν. σημαίνει δὲ τὸ ἀληθῶς κλέπτοντας. Ἄγρα, θήρα, τὸ θηρώμενον λέγεται καὶ τὸ ἔργον. καὶ ἄγρα δήμητρος, ἱερὸν ἔξω τῆς πόλεως, πρὸς τῷ ἰλισσῷ. Ἀγρέθειν(?), συνάγειν, συμμίσγειν. Ἄγραι, χωρίον ἀττικὸν ἔξω τῆς πόλεως, ἱερὸν δήμητρος. καὶ στρατιῶται δὲ οὕτως ἐκαλοῦντο. Ἀγράκαλος(?), κάφυλος(?). Ἀγραυλήμα(?), ἡ πόρνη ὑπὸ κωμῳδῶν(?). Ἀγραμμάτιον(?), καταξέσαι(?).

Ἄγραμμα ἀφεῖναι. ἐν τῇ τῶν βέλων παιδιᾷ οὕτως ἐλέγετο.

Ἀγρανία, ἑορτὴ ἐν Ἄργει ἐπὶ μιᾷ τῶν προίτου θυγατέρων.

Ἀγραρέδας(?), στρατάρχης. Ἄγραυλα, τὰ ἐν ὑπαίθρῳ τόπῳ, καὶ πλήρη ἀγραμμάτων(?). Ἄγραυλοι ποιμένες, οἱ ἐν τοῖς ἀγροῖς αὐλιζόμενοι, ἢ οἱ ἐν τῷ ἀγρῷ διατετριφότες(?). Ἄγραυλον, ὕπαιθρον, καὶ ἔρημον, ἢ ἐν ἀγρῷ αὐλιζόμενον, ἢ κακοῦργον(?). Ἀγραυλῶ, τὸ ἐπὶ ἀγροῦ αὐλίζομαι ἀμεταβάτως. Ἄγραφα ἀδικήματα, περὶ ὧν νόμος οὐ γέγραπται. Ἀγραφίου, εἶδος δίκης κατὰ τῶν ὀφειλόντων μὲν τῷ δημοσίῳ, καὶ διὰ τὸ μὴ ἐγγραφέντων, πρὶν δὲ ἐκτῖσαι ἐξαλειφθέντων. οὕτω Δημοσθένης. ἢ ἀγραφίου δίκη, ἐπὶ τῶν καταδικασθέντων χρημάτων τῷ δημοσίῳ, καὶ κατὰ χάριν μὴ ἐγγραφέντων ἐλέγετο. Ἄγρια καὶ νόμιον ἀπόλλωνα λέγουσι, τὸ μὲν, διὰ τὸ ἐν ἀγρῷ ἐμίγη τῇ μητρὶ ἀκακαλλίδι(?) ὁ ἀπόλλων. νόμιον δὲ, ὅτι νεμούσῃ ἐμίγη. οἱ δὲ, διὰ τὴν κατὰ τῶν ἀγρῶν θεραπείαν τοῖς νομεῦσιν εἰσηγήσατο. Ἀγρὲ, ἀντὶ τοῦ ἄγε, λάμβανε, φέρε. συνεχῶς παρακελεύεται ὅπῃ καὶ εἰς ἔγρων(?). ὡς ἀπὸ τοῦ ἀγρεῖν, ἐξ οὗ καὶ τὸ ζωγρεῖν καὶ τὸ ἀγρεύειν. ἢ ἄγρει, ἀντὶ τοῦ ἄγε. Ὅμηρος, ἄγρει δή μοι ἔμοιγε(?). Ἄγρια ἀσεβῆ, ἢ ἀγροικικά. καὶ ἀγροῖκος ὁ ἀγροῖκος, ὁ ἀμαθής. ἢ ὁ ἀπὸ τοῦ ἀγροῦ. καὶ ἄγρει μὰν, ἀντὶ τοῦ ἄγε δὴ, ὅπως δή. Ἀγρεῖτε, γίνεται ἀπὸ τοῦ ἀγρέω ἀγρῶ. ἔστι δὲ ταὐτὸν τῷ συνήθως ἄγετε, καὶ ὡς εἴπομεν ἄγε τὸ ζῶον. καὶ ἄγρει μὲν οἱ ἐπὶ τοῦ ἀθηναίου(?). διὸ καθάπερ ἄγε καὶ ἄγετε παρακελευσματικὰ, οὕτω καὶ νῦν μὲν τὸ ἀγρεῖτε. Ἀγρεῖται, λαμβάνεται, ζωγρεῖται. Ἀγρέμιος, ὁ ἀπὸ τῆς ἄγρας. ἀγρέμιον πολιᾶς ἐξ ἁλὸς εὑράμενος. Ἄγρεμον, τὸν κάμακα. ἀπὸ τοῦ αἴρειν, καὶ λαμβάνειν, ἤγουν ἀγρεῖν, ἢ λαμπάδα, ἢ δόρυ. Αἰσχύλος ἐν μυρμιδόσιν. Ἀγρέμονα, τὸν ἐπιμελητήν. Ἀγρέμονες(?), θεράπαιναι, τροφικαί(?), βοσκοί. ἢ θεραπευτικοί. καὶ τόποι ἐν αἰτωλίᾳ. Ἀγρεῖφνα(?), γεωργικὸν ἐργαλεῖον, δι' οὗ συνάγουσι τὸν χόρτον. ἄλκιμος(?). Ἀγρέτα(?), λεπτά(?). Ἀγρετᾶ, συναθροίζει.

Ἀγρέται παρὰ Κῴοις, ἐννέα κόραι αἱ κατ' ἐνιαυτὸν αἱρούμεναι, πρὸς θεραπείαν τῆς Ἀθηνᾶς. Ἀγρέταν, ἡγεμόνα, θεόν. Ἀγρετέματα, τὰ ἀγερανόμενα(?) τῶν παρθένων. λάκωνες. Ἄγρευμα, εὕρημα ἢ εἰλημμένον. Ἀγρεύματα, σκῦλα. Εὐριπίδης ἐν ἀνδρομάχῃ. Ἀγρεύουσι, κρατοῦσιν. Ἀγρεὺς ὁ Πὰν παρὰ Ἀθηναίοις, ὡς Ἀπολλόδωρος. ἢ ἀγρεὺς, ὁ ἥρως. εἴρηται παρὰ τὸ ἐν ἀγρῷ γεγενῆσθαι. ἀπὸ τῆς Κορώνης καὶ Ἀπόλλωνος ἦν.

Ἀγρεσία(?), ἢ ἄγρα. οἱ ἡγεῖσθαι(?) ταῦτα τὰ δίκτυα θήκας ὄμμασιν(?). Ἀγρέτα καὶ ἄλλως ἄλλος ἀπὸ ἀγρώσσειν(?). Ἄγρευσις, εὕρεσις. Ἀγρευτὴς(?), ἰχθύζει(?). Ἀγρηθέντος(?), ἡττηθέντος(?). Ἀγρηνα, δίκτυα, καὶ ἔνδυμα. Ἀγρηνὸν, ποικίλον ἱμάτιον(?), δικτυοειδὲς, καὶ ἔνδυμα ποιὸν, ὃ περιτίθενται οἱ βακχεύοντες Διονύσῳ. ἐραβδίνους(?) δὲ αὐτὸ κατὰ γραῖαν, ἢ γρῆνον(?). Ἀγριαθῶσι, συλλεχθῶσιν. Ἀγριαίνεσθαι, πικραίνεσθαι. Ἀγρῆσθαι(?), συνέχεσθαι, πιεσθῆναι. Ἀγριακὸν(?), νίκη, τόπος τις ἐν ἤλιδι. Ἀγριάδες, νύμφαι.

Ἀγρίαζε, ἄγριος ἴσθι. Ἀγριάθειν, ἀνέλκειν(?). Αἰσχύλος ἀγαμέμνονι. Ἀγριαίνει, εἰς παθητικὴν σημασίαν λαμβάνεται. Λιβάνιος(?), λέγεται καὶ τὰ θηρία τὴν φύσιν. καὶ τοὺς ὅλως ἀπαντῶντας ἀγριαίνοντας, φιλία τοῦ γένους τὸ ἡμερώτερον ἐπιδείξαντες.

Ἀγρίαμπος(?), ἡ βοτανικὴ(?). Ἀγρίανες(?), ὀρνίθες. Ἀγριάνια, νεκύσια, παρὰ ἀργείοις. καὶ ἀγῶνες ἐν θήβαις. Ἀγριανοὶ, τέλος τι τῆς κυρίας συντάξεως, ἐκ τῆς ἀγριανικῆς χώρας παιόνων.

Ἀγριανοὶ, τάξις στρατιωτική. Ἀγριανικὸν(?), ἀκόντιον.

Ἀγρίας, στρατοπάρχης(?). Ἀγριάδες(?), δῆμος ἀττικῆς.

Ἀγρίβροξ(?), ὀρίγανον. Ἀγριέλαιον(?), κωμάριον(?). ἢ χωρίον παρὰ αἰτωλοῖς. Ἀγρίκα(?), λόπαι(?). Ἀγριέλαιος, ἡ ἄκαρπος ἐλαία. Ἀγρικὸς(?), ἀγροῖκος. Ἀγριμήλια(?). οὕτως ἐκάλεσε(?). Ἀγρίνιον, ὄρος. Ἄγριοι, ἀγρίομοι(?). καὶ οἱ παιδερασταὶ οὕτως(?). Ἀγριόθυμος, ἀγριόψυχος, θηριώδης.

Ἀγριοίκοι(?), οἱ [illegible]. Ἄγριοι λιμένες, τόπος ἐν ἑρμιόνῃ.

Ἄγριοι, οἱ παιδεράσται, ἐπειδὴ ἄγριόν ἐστι τὸ πάθος ἡ παιδεραστία, ἢ ὅτι ὁ Πὰν ὀχευτής(?) ἐστι τοῖς τράγοις. διὰ τοῦτο γοῦν μικρὸν(?) τὸ αἰδοῖον ἀνατεταμένον ἔχει. ἔστι δὲ ὁ Πὰν, ἄγριος θεός. ἄγριοι δὲ καὶ οἱ ἀγροῖκοι. Ἄγριον, ἄμικτον, ἀνήμερον. λέγεται δὲ ἄγριος, ἐπὶ κακίας ὑπερβολῇ. Ἀγριοπάρναβος(?), βοτάνη τις. Ἀγριοκάρυον, δένδρον. Ἀγρία μέλιττα, ἐπὶ τῶν σφόδρα πονηρῶν, καὶ ὠμῶν. Ἄγριον, γενικῶς ἐπὶ θηρίου. σῦν ἄγριον ἀργιόδοντα. καὶ μεταφορικῶς, ἐπίθετον. ἄγριον αἰχμητήν. κατ' ἰδίαν δὲ ὀνομασίαν, κύριον, οἶνος μὲν ἀδελφοῦ, παῖδες δὲ θερσίτης. Ἄγριον αἶγα λέγει Ὅμηρος. ἔστι καὶ θηλυκῶς λαβεῖν τὴν ἄγριον.

ἀσύγγνωστοι, ἀπαιδευτόμενοι, ἀναίσθητοι, σύμφυροι, ἀμαθεῖς, ἀλόγιστοι, ἀνοητότατοι. Ἀγνωμόνως, ἀνοήτως, ἀλογίστως, ἀβούλως. Ἄγναμον, ἀνόητον, ἀλόγιστον. Ἀγνωμοσύνη, ἀπαιδευσία, ἄγνοια, ὀλιγωρία. καὶ ἀγνώμων, ἀναίσθητος, ἀνόητος, ἀλόγιστος, ἁμαρτάνων. Ἀγνώνειος, ὁ τοῦ Ἄγνωνος παῖς. καὶ Ἀγνωνίδης. Ἀγνώς, τῆς αἰολίδος φυλῆς δῆμος. Ἀγνώς, ὁ ἄγνωστος. καὶ κλίνεται, ἀγνῶς, ἀγνῶτος. Ἀγνώσσασκε, λέξις ἐν αὐτῇ ἰδία ποιήσεως, γινομένη ἐκ τοῦ γνῶ, γνώσω. ἐξ οὗ ἐνεστὼς γνώσσω, ὡς τὸ λεύσσω, καὶ τὰ τοιαῦτα. ἐν παραγωγῆς, γνωσάσκω. ἐξ οὗ κατὰ στέρησιν, τὸ ἀγνώσσασκεν. Ἀγνώσσει, δυσχεραίνει. Ἄγνωτος, ὁ μὴ γνωστός. Ἄγνωτα, ἀπὸ τοῦ ἄγνωτος. οὐ γὰρ παρασχηματίζεται ἀπὸ τοῦ ἀγνώς, εἰς οὐδέτερον γένος. ῥήματα ἄγνωτα τοῖς θεωμένοις, Ἀριστοφάνης ἐν Βατράχοις. Ἀγνῶτας, φίλους ἀγνώμονας, ἀπιστουμένους, μὴ ἐπιγινωσκομένους. Ἀγνώτων θεῶν, οὕτω λέγεσθαί φασι τῶν μετὰ τὸν τῆς Ἰλίου πλοῦν Φαληρεῖ προσχόντων, καὶ ἀποκρυβέντων, ὑπὸ Δημοφῶντος ταφῆναι. Ἄγξαι, χαλινῶσαι. Ἄγοβος, σκευοφόρος, φορτηγός. Ἀγοί, ἡγεμόνες. Ἀγοιόμενος, ἀγόμενος. Ἄγοις, ἀπάγοις. Ἀγοιτὰς, ὑβριστάς. Ἀγοιτεύεις, ὀχλεῖς. Ἀγολαῖος, ὄνομα κύριον. Ἀγόμενος, δοῦλος παρ᾽ Ἀρχιλόχῳ. καὶ ἀγόμενος, ὁ φερόμενος. Ἄγομαι, ἁρπάζομαι. καὶ ἀγομένων τῶν ἡμετέρων, ἀντὶ τοῦ ἁρπαζομένων, καὶ λεηλατουμένων. καὶ Ἄγομαι παθητικῶς, ἀντὶ τοῦ φέρομαι. ὡς καὶ Ἀριστοφάνης, Ἄγομαι φέρομαι, τὰ χρήματ᾽ ἐνεχυράζομαι. καὶ ἄγομαι, τὸ παιδεύομαι, ὡς καὶ Ξενοφῶν. Καὶ κύνας καλῶς ἀχθείσας. καὶ ἄγομαι παθητικῶς μὲν χρώμενον, ἐνέργειαν δὲ δηλοῦν ἀντὶ τοῦ λαμβάνω. οἷον, ἄγομαι χάριν. ὡς τὸ παρὰ Θεοκρίτῳ, Αἴκα ταὶ μοῖσαι τὰν οἶδα δῶρον ἄγονται. καὶ ἄγομαι γυναῖκα, ἀντὶ τοῦ εἰς γάμον ἄγομαι, ἐπὶ ἐνεργείας. ὡς καὶ Λιβάνιος, Ἣν ἀπολωλέσ αὐτῷ, τῆς πόλεως ἄγεται.

Ἀγόμην, ἠγαγόμην. Ἀγόμφωτα, ἀνάρμοστα. Ἀγόμφωτον, τὸ ἀνήλωτον. Ἄγον, τὴν ἐν Πέργῃ ἱέρειαν οὕτω καλοῦσι. καὶ ἄγον ἰωνικῶς, ἀντὶ τοῦ ἦγον. ῥῆμα ἐνεργητικὸν, καὶ ἐν παρατατικοῦ. ποιητικὸν γάρ ἐστι, καὶ ἔστιν ἀναδέξαν βραχὺ ἔχον τὸ α. ἄγον δωρικῶς, τὸ αὐτό. κατὰ τροπὴν τοῦ η, εἰς α μακρόν. τὸ γὰρ ἀκόλουθόν ἐστιν, ἦγον. Ἀγονία, ἡ στείρωσις. καὶ ἀγονία, ἀτεκνία, ἀγεννησία, ἀφορία. Ἀγονομόχθος, ὁ ἡμίονος. Ἄγονον, πάγονον, ἢ πολύγονον. Ἄγονος, κυριώτερον μὲν, ὁ μὴ γεννῶν, παρ᾽ Ὁμήρῳ ἐν τῷ, Ὄφελλες ἄγονός τ᾽ ἔμεναι, καὶ ἄγαμος ἀπολέσθαι, ὁ μὴ γεννηθείς. ὁ δὲ μὴ γεννῶν, ἄσπερμος ἂν Ὁμηρικῶς ῥηθείη, κατὰ τὸ, ἄσπερμος γενεή. Ἴστεον δὲ, καὶ ὅτι λέγεται Διονύσιον τὸν σκυτοβραχίονα ἐκεῖνον, Δάρδανον παῖδα Ἑλένης καὶ Πάριδος. ὅς φασι καὶ προφέρει μετὰ τὸ, ἄγαμός τ᾽ ἀπολέσθαι, τὸν στίχον τοῦτον, Μηδὲ γούνασιν ἐφέσσασθαι ἑὸν Δάρδανον. ὡς εἶναι ἴσως οὕτως εὔλογον νοηθῆναι τὸ, ἄγονός τ᾽ ἔμεναι, ἄγαμός τ᾽ ἀπολέσθαι, κατὰ σχῆμα ὑστερολογίας. ἤγουν πρωθύστερον, ἀντὶ τοῦ μήτε εἰς γάμον ἐλθεῖν, μήτε παῖδα ἐκεῖθεν σχεῖν τὸν Δάρδανον, ὡς ἐρρέθη. καὶ ἄγονος, ἄτεκνος, ἄκαρπος, ἄσπορος, ἄσπερμος. Ἄγοντα, ἡγούμενον. Ἄγοντας, φέροντας. Ἀγόνων χορῶν, ὁ θεολόγος φησί. τουτέστι τῶν ἐπὶ τοῖς νεκροῖς χεομένων, καὶ διὰ τῶν ἀγόνων. ἢ ἀγονία, ἡ ἀφορία. Ἀγός, αἰτός, κύριοι.

Ἀγορά, τὸ συναθροισμένον πλῆθος, καὶ ὁ τόπος ἐν ᾧ συναθροίζονται. καὶ ὁ τόπος, ἐν ᾧ πωλεῖται τὰ ὤνια. ἀφ᾽ οὗ καὶ ἀγοράζειν, τὸ ἐν τῇ ἀγορᾷ διατρίβειν, καὶ τὸ ὠνεῖσθαι. καὶ ἀγοραῖος ἄνθρωπος, ὁ χυδαῖος, καὶ ὁ ἐν ἀγορᾷ [illegible]. ἀγοραῖος δὲ, ὁ πονηρὸς, καὶ ὁ ἐν ἀγορᾷ τεθραμμένος. καὶ ἀγορανόμος, ὁ τῆς ἀγορᾶς ἐπιμελούμενος, ὅπως δικαίως πωλοῖεν τὰ ὤνια. καὶ ἀγορανομῶ ῥῆμα, γενικῇ συντασσόμενον. ὡς τὸ, ἀγορανομῶν ῥωμαίων ἐτελεύτησε Σύλλας. καὶ ἀγορεύω τὸ λέγω. ἐξ οὗ τό, τε δημηγορῶ, καὶ παρηγορῶ, καὶ συνηγορῶ, καὶ τὰ ἄλλα. Ἄλλως.

Ἀγορά, ἡ ἐκκλησία, ὡς τὸ ἐν ἀγορᾷ λαλοῦσιν. ὅθεν ὁ νέος ἀγορητής. καὶ ὁ τόπος τὸ πωλητήριον, ἔνθα πιπράσκονται τὰ ὤνια. καὶ αὐτὰ τὰ ὤνια, ἤγουν τὰ πιπρασκόμενα. καὶ τὸ δικαστήριον, ἀγορὰ, καὶ ὁ τόπος, ἐν ᾧ ἀγείρεται ὁ λαός. γίνεται δὲ ἡ λέξις, ἐκ τοῦ ἀγείρω. ἐξ αὐτῆς δὲ οὐ μόνον ἀγύρτης κατὰ τοὺς παλαιούς, ὁ ἀγείρων ὄχλον καὶ ἀπατεών, καὶ ἀλαζών, καὶ ὄνομα βάλον κυβαλικοῦ, ἀλλὰ καὶ ἄγυρις. αἰολίζοντος οὐ μόνον τῇ τροπῇ τοῦ ο εἰς υ, ἀλλὰ καὶ τῷ τόνῳ. ὡς τὸ ἑορτὴ, ἔορτις αἰολικῶς, οὕτω καὶ ἀγορὰ ἄγυρις. ἐξ οὗ καὶ ὁμήγυρις. ἦν δέ φασι καὶ ἀγορὰ κερκώπων ἀθήνησι πλησίον ἡλιαίας, ἔνθα τὰ κλοπιμαῖα ἐπωλοῦντο. διὸ καὶ οἱ κέρκωπες παραλαμβάνονται, κλέπται δηλαδὴ, καὶ πανοῦργοι. ἡ ἀγορὰ, ὁ τόπος τῆς συνάξεως. καὶ τὸ πλῆθος τὸ συναγόμενον, καὶ αὐτὴ ἡ δημηγορία. παρὰ δὲ Ἡροδότῳ, κεῖται καὶ πόλις θρακία, καλουμένη ἀγορά. ὅτι δὲ ἡ βουλευτικὴ ἀγορὰ τίμιόν τι καὶ θεῖον πρᾶγμα, δηλοῖ τὸ, Διὸς ἀγοραίου βωμὸν ἱδρῦσθαι, κατὰ Ἡρόδοτον ἀγχοῦ τι, καὶ περὶ Σικελίαν. καὶ ἀγοραῖος ἀνήρ, ὁ χυδαῖος, καὶ ὁ ἐν ἀγορᾷ [illegible]. Σημείωσαι δὲ ὅτι ἀγορὰ καὶ βουλὴ διαφέρει. ἀγορὰ μὲν, σύναξις κοινή. βουλὴ δὲ, ἡ κατὰ σύγκλητον. καὶ ἀγορὰ ὄνομα τόπου, ὁ λιμήν. θετταλοὶ δὲ, καὶ τὴν λιμένα ἀγορὰν καλοῦσιν. ἔτι ἀγορὰ ἀργείων, τόπος ἀθήνησιν οὕτω καλούμενος. καὶ ἀγορὰ θεῶν, τόπος καὶ οὗτος ἀθήνησι. καὶ ἀγορὰ λύκειος, ἐν Ἄργει, Σοφοκλῆς ἐν Ἠλέκτρᾳ. Ἀγορὰς ἀγόρευον, ἀττικόν ἐστιν, ὡς καὶ τὸ, βουλὰς βουλεύειν, καὶ λόγον λέγειν. καὶ ὅλως, τὸ παρακεῖσθαι τοῖς ῥήμασι, τὰ ἐξ αὐτῶν ὀνόματα. καλεῖται δὲ τὸ σχῆμα παρονομασία. Ἀγοράασθαι, διαλέγεσθαι. ἐκ τοῦ ἀγοράομαι ἀγορῶμαι. τὸ ἀπαρέμφατον, ἀγορᾶσθαι. καὶ πλεονασμῷ τοῦ α, ἀγοράασθαι. Ἀγοράασθε ἐπὶ παρατατικοῦ λέγεται. εἰ γὰρ ἦν ἐπὶ ἐνεστῶτος, εἶχεν ἂν τὸ α βραχύ. ἔστι δὲ παρ᾽ Ὁμήρῳ ἀντὶ ἀορίστου. ἀγορεύω κοινῶς, ἀγοράομαι ἀγορῶμαι, ποιητικῶς. ἀφ᾽ οὗ τὸ ἀγοράασθε, καὶ τὸ, ἀγοράοντο, κατὰ πλεονασμὸν τοῦ α καὶ τοῦ ο. Ἀγοράζω, τὸ εἰς ἀγορὰν διατρίβειν, καὶ τὸ ὠνοῦμαι. οἷον, ἀγοράζω ἄρτον. καὶ ἐν τῇ ἀγορᾷ διατρίβω. ἔστι δὲ καὶ ἐπὶ τοῦ διαβεβλῆσθαι. Ἀγοράσαι, ἐν ἀγορᾷ διατρῖψαι. Ἀριστοφάνης, Οὐδ᾽ ἀγοράσαι τ᾽ ὀψώνιον οὐδεὶς ἐν ἀγορᾷ. Ἀγοραία θέμις, ἡ ἐκκλησιαστική. Ἀγοραία δίκη, ἡ δικαιολογία. Ἀγοραίαν, δικαιολογίαν. Ἀγοραῖοι, οἱ ἐν ἀγορᾷ ἀναστρεφόμενοι. Ἀγοραῖον, Ἑρμῆν, προπερισπωμένως λέγομεν ἐπὶ τοῦ θεοῦ. ἐν μέσῃ γὰρ τῇ ἀγορᾷ ἵδρυται Ἑρμοῦ ἀγοραίου ἄγαλμα. καὶ ἀγοραῖος Ζεὺς, ἵδρυται ἐν τῇ ἀγορᾷ, καὶ ἐν τῇ ἐκκλησίᾳ. Ἀγοραῖος προπερισπωμένως, ὁ ἐν τῇ ἀγορᾷ ἀναστρεφόμενος ἄνθρωπος. προπαροξυτόνως δὲ ἀγόραιος, ἡ ἡμέρα ἐν ᾗ ἡ ἀγορὰ τελεῖται. καὶ ἀγοραῖος Ἑρμῆς, ὃς ἀφίδρυται Κεβρίδος ἄρξαντος, ὡς μαρτυρεῖ Φιλόχορος ἐν τρίτῳ. ἐν ἀγοραῖος νοῦς, ὁ παντελὴς, καὶ συρφετώδης. ἐν οὐκ ἀπόρρητος, οὐδὲ πεφροντισμένος. Ἀγοραῖοι τέχναι, αἱ τοῦ πωλεῖν καὶ ἀγοράζειν, ἐν πείρᾳ οὖσαι. καὶ ἀγοραίου Διὸς βωμὸς, ἀθήνησιν. Ἀγορανομίας, λογιστείας. εἴρηται δὲ καὶ ἐπὶ τῶν ἐπισκοπούντων τὰ τῶν πόλεων ὤνια. καὶ ἀγορανόμοι, οἱ τὰ κατὰ τὴν ἀγορὰν ὤνια διοικοῦντες ἄρχοντες. καὶ δικασταὶ οἱ ἐν τῇ ἀγορᾷ νέμοντες τὸ δίκαιον. Ἀγορᾶς, ἐκκλησίας, ἢ ῥητορείας. Ἀγορᾶς τὰς πηρίδας, ἀντὶ τοῦ συνήθους. Ἀγορᾶσαι. τὰς πηρίδας ὡς ἐπέσαξε, ἀγορᾶσαι λέγει. τὸ δὲ ἀγορᾶν, βάρβαρον. Ἀγορᾶς ὥρα, οὐ τῶν πωλουμένων, ἀλλὰ τῶν ἄλλων πράξεων τῶν κατ᾽ ἀγοράν, ὅθεν ἡ καὶ πρὶν ἀγορὰν πεπληθέναι. Ἀγοράσαι, ἐν ἀγορᾷ διατρῖψαι. Ἀγοράσματα, ὤνια. Ἀγορᾶται, λέγει. Ἀγορατεύεις, ἄγαν θορυβεῖς. Ἀγορεύων, δημηγορῶν. Ἀγορεύειν, λέγειν ἐν ἐκκλησίᾳ. κυρίως μὲν τὸ δημηγορεῖν ἐν ἀγορᾷ, καὶ ἐν ἀθροίσματι λέγειν, καὶ ἐκκλησιάζειν. καταχρηστικῶς δὲ καὶ τὸ ἁπλῶς λέγειν. Ἀγορεύοιτο, ἐκηρύττετο, ἐλέγετο. ἐκ τοῦ ἀγορεύειν. Ἀγόρευσις, λόγος ἀγορευτικὸς, λογιώτατος. καὶ

τὰ κρήνια, ὀλίγον ἀπωτέρω τῆς κεφαλῆς τῆς γῆς διά. ἀθάρην, οὐκ ἀθάρην τὴν ἱερατικὴν καλοῦσι. Κράτης ἥρωσιν, Οὐκοῦν ἴστος καὶ δεῦρο φρύγανον φέρειν, καὶ τὴν ἀθάρης. ἡ ἀθάρα, ὀλέκρανος πλυσάμενος ἀργοῦ, καὶ πλατῦσαί ἐστι. Ἀθαρίς, εἶδος σπέρματος. Ἀθέως, ἀκαθῶς. Ἀθάρα, πυρίνη πτισάνη. Ἀθαρὴς, ἄφθορος, ἐπὶ γυναικός. ἐπὶ δὲ σιδήρου, στερεός. Ἀθάζει, ἀδικεῖ, προπηλακίζει. Ἀθαῖοι, αἱ μὴ διακεκαθαρμέναι. ἐπὶ δὲ, μὴ διαλυμένοι ἄρθροι. Ἀθαυμαστί, Χωρὶς θαύματος, καὶ θαυμασμοῦ. Ἀθε, εὐχῆς σημαντικόν, ἀντὶ τοῦ εἴθε. Ἀθέατος, μὴ τεθεαμένος, ἀόρατος. ἢ, ὃς εἰς οὐδὲν ἰδιάζεται. ὡς τὸ, Σ. οἷον τὰ μυστικὰ ἀθέατος ἱμεῖν. ἢ ὃς εἰς οὐ δύναται βλέπεσθαι. Ἀθεεὶ, Χωρὶς θεοῦ, Χωρὶς θεοῦ γνώμης. Ἀθειρὶς, τὸ ἀκαθές. καὶ ἀθειρέως, ἀκαθῶς. Ἀθειρὴς, ἤτοι ἀτειρής, ἢ ὁ ἀγανάκτησις, ἢ ὑπερόπτης, ἢ θαυμαστός. ἢ ὁ μὴ φροντίζων θεούς, καὶ ὑβριστής. ἢ ὁ διὰ λαμπρότητα ἀθροούμενος. Ἀθελβάζειν, διηθεῖν. Ἀθέλβειν, ἕλκειν. Νίκανδρος. Ἀθέλβεται, διηθεῖται. Ἀθέλγειν, ἀμέλγειν. Ἀθέλγεται, διηθεῖται, διαλύεται. παρὰ τῷ Ἱπποκράτει. Ἀθέλγηται, θηλάζηται, ἢ θλίβηται. Ἀθέλημον, ἄκοσμον, κακόν. Ἀθέλημοι, κακοί. Ἀθεμβεῦς, ἀκατάσκευος. Ἀθέμιτον, οὐδὲν ἔχον, οὐδὲ θεμέλιον. Ἀθέμιτος, ἀκροσφαλής, ψεύστης. Ἀθέμιστα, ἄδικα. Ἀθεμιστῆσαι, παρανομῆσαι, ἀδικῆσαι. Ἀθέμιστοι, ἄνομοι, ἄδικοι.

Ἀθεμίστων, παρανόμων, ἀδίκων. Ἀθεμίστια ᾔδει, παρὰ τὰ ἄδικα ἠπίστατο. καὶ ἀθέμιστοι, ἄδικοι, ἄνομοι. καὶ ἀθεμίστων, παρανόμων, ἀδίκων. Ἄθεσμος, ὁ παράνομος. Ἀθέμιτον, ἄδικον, ἄνομον, πονηρόν, αἰσχρόν, ἀσεβές. ἢ νόμοις οὐ χρώμενον. καὶ ἀθεμιστεῖται, παρανομεῖται. Ἀθεόρητος, ἀντὶ τοῦ ἀθέατος. Ἄθεον. ἄθεόν ἐστι τὸ μὴ τὴν ἀθανασίαν τῆς ψυχῆς διασώζειν, καὶ ἀναγινώσκειν τὸ θεοειδές, καὶ συνάγειν αὐτὴν πρὸς τὸ θεῖον, ὀρφανοῖς καὶ χηρεύουσι δεσμοῖς. ἢ ἐναντία τούτων, τὸ κατασπᾶν καὶ καθέλκειν τὸ ἐν ἡμῖν θεῖον, εἰς τὸ γηγενὲς καὶ ἀλιτήριον, καὶ γιγαντῶδες, ἢ τιτανικὸν δαιμονικόν. Ἀθεράπευτος, ἡ παντελὴς καταφρόνησις. Ἀθερίς, εἶδος σπέρματος. καὶ ἀθερὲς, ἀνόητον, ἀπόσιον, ἀκαθές. Ἀθερὴς, ὁ ἀτειρὴς σίδηρος ὅταν θερίζῃ. ἢ θεριστικός, ἢ ὁ διὰ λαμπρότητα ἀθροούμενος ὀξύς, ἢ ἐπὶ ἀσαχίων. Ἀθερίζειν, ὅτων καταφρονεῖν, ἀφροντιστεῖν, μέμφεσθαι, ἀποδοκιμάζειν, ἀτιμάζειν, σκυβαλίζειν. ἢ τὸ ἀπορρίπτειν, καὶ ἐξουθενεῖν. μετῆκται δὲ ἀπὸ τῶν ἀθέρων. ἡ γὰρ χρῆσις τοῦ ἀθέρος παρὰ Αἰλιανῷ ἐν τῷ περὶ προνοίας. ἄχρηστοι δὲ οἱ ἀθέρες εἰς τὸν σῖτον συγκομιζόμενοι. εἰσὶ γὰρ, ἀκίδες ἀγρίαι. ἐφ' οἷς αἱ καχρυολόγοι πονοῦσι, οὓς οὐκ ἀξιοῖ θερίζειν ὁ γεωργός. ἴσον δὲ, εἰ ἐκ τοῦ ἀθερίζειν, τὸ ἐχθρὸν ἢ ἀθερίνα ἔοικε λέγεσθαι. ἀθερίζεσθαι γάρ πως καὶ αὐτὴ διὰ τὸ εὐτελές. διὸ καὶ ἀτυχὲς ἰχθύδιον. καὶ ἀθέριζον, ἀποδοκίμαζον. Ἀθέρας, τὸ εἰς τὸν στάχυν τοῦ σίτου ἀπεικασμένον κέντρον. Ἀθέρωσα, ἀπιφόρησα. Ἀθερίσαι, καθυβρίσαι, ἀφρονῆσαι, ἐκφαυλίσαι, καὶ ὀλιγωρῆσαι. Ἀθέατος, ἀφρόντιστος. Ἀθερώσειε, ἀγροικία. Ἀθεσίαν, παραβασίαν. ὡς ἐν τῷ, Δημοσθένης τὴν ἀθεσίαν τῶν κειμένων, καὶ τὰς ἐπιβουλὰς τὰς ἐπὶ σφῶν. διὰ ἀθεῶν καὶ πολλῶν ἐφιλονείκησαν περὶ τῆς ἀθεσίας, ὥσπερ ἐν τῷ Γερκιτρίῳ. οἱ δὲ ῥωμαῖοι συλλογισάμενοι τὴν τῶν γαλατῶν ἀθεσίαν. καὶ αὖθις Πολύβιος, ἐπικρύπτειν ἅπασι τὴν ἀθεσίαν αὐτῶν. καὶ τὴν ἀβεβαιότητα. Ἀθεσμία, παρανομία. Ἀθέσμιον, τὸ ἄδικον. Ἄθεσμος βλάβη, ἐφ' ἣν νόμος οὐ κεῖται. Ἄθεσμος δίκη, ἄνομος. καὶ ἀθέσμως, παρανόμως. Ἄθετος ἐρετμός, σκληρά, ἄχθος, ὃν οὐχ οἷόν τε ἐξελάσαι. Ἀθέσφατον, πολύ, διαπεραιωθέντα. καὶ ἔθος οἱ δὲ θεοὶ φασὶ διὰ ὑπερβολὴν πλῆθος. Ἀθετεῖ, ἀτιμάζει, ῥιπτάζεται. Ἀθετεῖν παρὰ τοῖς ἴωσι, τὸ μὴ τιθέναι λόγον. Ἀθετῶ, ἐξουθενίζω, διαψεύδω, ἀνατίθημι. Ἀθεῶς, ἀθέσμως, ἢ συγκα-

τατιθεμένως. Αἰσχύλος προμηθεῖ δεσμώτῃ. Ἀθετεῖται, ὑβρίζεται, καταφρονεῖται. Ἀθέτησις, ἐκβολή, ἄμειψις. οὕτως ὁ Ἀπόστολος. ἀθέτησις γὰρ γίνεται, προαγούσης ἐντολῆς διὰ τὸ αὐτῆς ἀσθενές. Ἀθεωρητί, χωρὶς θεωρίας. Ἀθεώρητος, ἀθέατος. Ἄθηλον, τὸ μὴ τεθηλακὸς παιδίον. Ἀθήλαστον, σκληρόν, ἀλάμπαστον, ἀπὸ τοῦ θάλλειν. Ἄθηλος, ἄπαις, ἢ ὁ γαλακτος ἄγευστος. Ἀθημάνιος, οὐδὲν ἔχων ὅμοιον, ἢ ὑπὸ ἀνέμων καταπιπτόμενος. Ἀθηνᾶ τὴν αἰθέρον. ἐπὶ τῶν ἀκριβῶς συγκατατιθέντων τὰ κρείττονα δὶς ἢ πλέον διὰ μικρὰν ὁμοιότητα. ὥσπερ εἴ τις διὰ τὴν γλυκύτητα, τὸν αἴλουρον τῇ ἀθηνᾷ παρεικάσειεν. καὶ ἀθηνᾶ λέγεται, ὅ ἐστι σπουδαῖος καὶ φρόνιμος ὁ Δίον. ἢ σοφία. Ἥρα μὲν βοηθεῖ τοῖς ἀχαιοῖς, ὡς οὐ μόνον εἰς νόμιμον γάμον μενελάου ἀδικηθέντος, οἷα γαμήλιος δαίμων (ἐπίσταται γὰρ αὐτὴ τῶν γάμων) ἀλλὰ καὶ διὰ τὸ βασιλικώτερον τῆς ἑλληνικῆς ἀρχῆς. ἥρα γὰρ ὡς πολλαχοῦ εὑρίσκεται, καὶ εἰς βασιλείαν μεταλαμβάνεται. ὅθεν ἡραία ζωή, ἡ βασιλική. ζεὺς δὲ μέσος καθήμενος ἄνω, καθὸ οὐκ ἔστι πιθανὸν τὸν αἰθέριον καὶ ὀλύμπιον δία εὐλόγως ἐπιχθόνιον κάτω. Σημειωτέον δὲ, ὅτι εἴπερ εἶχε πιθανότητα τὸ πλάσμα ὁ ποιητὴς, ἐποίησεν ἂν καὶ τὴν αἰδοῖα, καὶ τὴν Διώνην, καὶ τὴν δήμητρα παρόντας τῇ μάχῃ. οὐκ εἶχε δὲ πιθανῶς ποιοῦντας ἐπινοεῖσθαι. ἄλλως μὲν γὰρ οὐκ ἦν, ὅπως πρὸς τὸ ζῆν ἐπικουρήσει, ἀπηλιώτῃ χαίρων ἀνθρώπων καὶ συνεργοῖς, κατὰ τὴν βραχυλογίαν, καὶ γένεσις πλεονεκτούμενος. Δήμητρα δὲ κατὰ τοὺς παλαιοὺς καὶ Διόνυσος καρποφόροι ὄντες, ἄχθονται καθόλου τῷ πολέμῳ, φθαρτικοῦ ὄντος τῶν καρπῶν. ἔτι δὲ ὁ περὶ τούτων τῷ ποιητῇ λόγος τοιοῦτος, Βὰν δ' ἴμεναι πόλεμόνδε θεοὶ δίχα θυμὸν ἔχοντες. ἄγονται, διχονοοῦντες. Ἥρη μὲν μετ' ἀγῶνα νηῶν, καὶ παλλὰς ἀθήνη. Ἠδὲ ποσειδάων γαιήοχος, ἠδ' ἐριούνης Ἑρμείας ὃς ἐπὶ φρεσὶ πευκαλίμῃσι κέκασται. Ἥφαιστος πολλαχοῦ φαίνεται ἐκ κάσεως. Ἐς ἰσμέσος δ' ἅμα τοῖσι κίε σθένεϊ βλεμεαίνων, Χωλεύων. ὑπὸ δὲ κνῆμαι ῥώοντο ἀραιαί. Ἐς δὲ τρῶας ἄρης κορυθαίολος, αὐτὰρ ἅμ' αὐτῷ φοῖβος ἀκερσεκόμης, ἠδ' ἄρτεμις ἰοχέαιρα, Λητώ τε, Ξάνθος τε φιλομμειδὴς τ' ἀφροδίτη. καὶ εἰσὶ μὲν οὗτοι πέντε μὲν ἀχαιοῖς, ἐξ δὲ οἱ τῶν τρώων. ἀγῶνα δὲ ἐνταῦθα τὴν ἄθροισιν λέγει, ἢ ὥς φασιν οἱ μεθ' Ὅμηρον συναγωγήν. Ἄλλως. Ἀθηνᾶ ἡ φρόνησις, τοῖς ἀχαιοῖς καὶ αὐτὴ συμμαχεῖ, διὰ τὸ τὸν ἑλληνικὸν πόλεμον δίκαιον καὶ εὔλογον. διὸ ἡ φρόνησις εἷλεν ὕστερον τὴν τροίαν, καὶ δόλος σοφός. διὸ καὶ ὁ ἑρμῆς αὐτοῖς ὁ λόγιος συμμαχεῖ. φρεσὶ κεκασμένος πευκαλίμαις, ἀγαθὰ καὶ δόλιος. ἥφαιστος δὲ σύμμαχος ἑλλήνων ἐστὶ καὶ αὐτὸς, ὅτι τε πλείμιος ἀεὶ κατὰ τὸν ἐν ὀδυσσείᾳ μῦθον, καὶ ὡς φίλος τῇ ἀθηνᾷ. ἥφαιστος γοῦν διδάσκει τέχνας ἐν τῇ ὀδυσσείᾳ, καὶ παλλὰς ἀθήνη. ποσειδῶν δὲ, τοῖς ἀχαιοῖς συναπάπτεται μάχης, διά τε τὴν πρὸς τὸν λαομέδοντα μῆνιν. λέγει θητεύσαντος εἰς ἐνιαυτὸν μισθῷ ἐπὶ ῥητῷ, βιασάμενος τὸν μισθόν, ὡς ὁ ποιητὴς λέγει. ἔτι δὲ καὶ ὅτι ναυτικοὶ οἱ πλεῖστοι τῶν ἑλλήνων, καὶ διὰ τοῦτο οἰκεῖοι ποσειδῶνι. καὶ ὅτι διὰ θαλάσσης πλευσόμενοι, εὐτυχῶς μετῆλθον τὴν τῆς ἑλένης ἁρπαγήν. καὶ οὗτοι μὲν συμμαχοῦσι τοῖς ἕλλησι διὰ ταῦτα. τοῖς δὲ φασίν, ὁ μοιχὸς ἄρης βοηθεῖ, ὡς τοιοῦτος ὅμοιος (ὥ φασιν) ὁμοίῳ. ἔτυχε καὶ ὁ φρυγικὸς πόλεμος, τὴν μοιχείαν ἔχει τὴν ἀρχήν. ἔτι καὶ ὡς ἁρπαγῆς καὶ βίας διαπράξων, καὶ ὡς οὐκ εὔλογος, ἀλλὰ ἐναντίος τῇ ἀθηνᾷ. διὸ καὶ ἡ ἀφροδίτη τοῖς αὐτοῖς βοηθεῖ, οἰκείως μὲν ἔχουσα πρὸς τὸν ἀλέξανδρον, ἀπεχθομένη δὲ τῇ ἰμφρονεῖ ἀθηνᾷ. ἄρτεμις τοῖς τρωσὶν ἐπικουρεῖ, ἢ ὡς ἔφορος τῶν κορῶν. καὶ γὰρ καὶ οἱ τρῶες χοροιτυπίαις ἄριστοι, ἢ ὡς θήρειος ἢ ὡς ὁ τοῦ πλήμου αἴτιος ἀλέξανδρος. διὸ καὶ ὁ ἀπόλλων ὡς υἱοῦ ἄρτεμις συμπεριεπικουρεῖ. ἡ δὲ λητώ, οἷα μήτηρ ἀπόλλωνος καὶ ἀρτέμιδος, καὶ ἐλευθερὸς ἄξια ποιοῦσι· οἱ τρῶες, καὶ λύθης, εἰς ἀνθρώπων ἀγορεύεται ἡ λητώ. ὁ δὲ ξάνθος, ὡς ποταμὸς ἐγχώριος,

καὶ ἀηδόνος μουσικός. καὶ τὸ τῆς γυναικὸς αἰδοῖον, παρὰ Ἀρχιλόχῳ. Ἀηδόνων ἐργαστήριον, ἐπὶ μὲν ὕπνου, τὸ ἐλάχιστον. ἐπὶ δὲ λύπης, τὸ σφοδρότατον. καὶ παροιμία ἐπὶ τῶν ἀγρυπνούντων, τό, οὐδ' ὅσον ἀηδόνος ὑπνώσσειν. Ἀηδών, ὄρνεον. τῆς ἀηδόνος, κοινῶς. ἡ ἀηδὼ τῆς ἀηδόος, καὶ ἀηδοῦς κλιτικῶς. εἶδος πετεινοῦ. καὶ ἀηδών, ἡ ἀβλωὰ παρὰ Παμφιλίοις. Ἀηδῶς, ἀνωφιλῶς. Ἀήθειν, μὴ εἰθίσθαι, μὴ νοεῖν. Ἀηθεῖν, λανθάνειν, ἀνεπιστημονεῖν. Ἀήθης, ἀσυνήθης. συντάττεται δὲ δοτικῇ, καὶ γενικῇ. οἷον, ἀήθης εἰμὶ τούτῳ τῷ πράγματι. καὶ, ἀήθεις τῆς κατακλίνεως ζωός. Ἀήθεσσον, ἀσυνήθεις ἦσαν. ποιητικὴ λέξις τὸ ἀήθεσσεν, καὶ ἀναλελυμένος εἰς λόγον πεζόν. ἡ καινὴ ἡ μετὰ γενικῆς αὐτοῦ σύνταξις. καὶ οὐ μόνον ἰωνικῶς, ἀλλὰ καὶ ἀττικῶς κατὰ τοὺς παλαιούς, ἀναύξητόν ἐστι τὸ ἀήθεσσον, διὰ τὴν κακοφωνίαν τῆς αὐξήσεως τοῦ ἠήθεσσον. καὶ ἀηθέσσουσι, ἀσυνήθεις εἰσίν. καὶ ἀήθεσσος, ἀήθης οὗτος. Ἀηθὲς, ἀγροῖκοι, ἄγριος, ἀπαθής.

Ἀηκὲς, τὸ μὴ ἠκονημένον ξίφος. Ἄηκτον, συνεσταλμένον ἐγχειρίδιον, παρὰ ταραντίνοις. Ἄημα, ἡ πνοὴ τῶν ἀνέμων, τὸ πνεῦμα, φύσημα τὸ πνοὴν φέρον. Ἄημαι, τὸ ἀναπαύομαι. ἐν ἐπιγράμματι. Ἀήμεναι, πνεῦσαι, πνεῖν. Ἀήμενοι, πνέοντες. Ἀηνα, λείψανα μικρά, ἄκαρπα. Ἀῆναι, τὸ θέμα οὐκ εὔχρηστον. ἀεὶ γὰρ, ὡς φοραίνω, ὑφαίνω, καὶ τὰ τοιαῦτα. Ἀηνὸν, αἴθριον, λαμπρὸν, αἴθριον. Ἀηνὲς, τὸ λαμπρὸν, τὸ αἴθριον. Ἀησύβαρος, ὁ χαλκοχίτων. Ἀήσιον, τὸ μὴ πνέον. Ἀὴρ, ὁ μεταξὺ οὐρανοῦ καὶ γῆς τόπος. ἢ λεπτότατον στοιχεῖον, ὑγρόν τι καὶ θερμόν. τοῦ πυρὸς βαρύτερον, τῆς δὲ γῆς καὶ τῶν ὑδάτων κουφότερον. ἀναπνοῆς καὶ ἐμφυσήσεως αἴτιον. ἀχρωμάτιστον, ὅτι ἐκ φύσεως χρῶμα μὴ κεκτημένον. διαυγὲς, διαφανές. φωτὸς γάρ ἐστι δεκτικόν. καὶ ταῖς φύσεσιν αἰσθήσεσιν ἡμῶν διακονοῦν. δι' αὐτοῦ γὰρ ὁρῶμεν, καὶ ἀκούομεν, καὶ ὀσφραινόμεθα. δεκτικὸν θάλψεώς τε καὶ ψύξεως, ξηρότητός τε καὶ ὑγρότητος. οὗ πᾶσαι αἱ κατὰ τόπον κινήσεις εἰσίν, ἄνω, κάτω, ἔσω, ἔξω, δεξιᾷ, ἀριστερᾷ. καὶ ἡ κυκλοφορικὴ κίνησις. οἴκοθεν μὴ κεκτημένον τὸ φῶς, ἀλλ' ἀπὸ ἡλίου, καὶ σελήνης, καὶ ἄστρων, καὶ πυρὸς φωτιζόμενον. καὶ τοῦτό ἐστιν ὃ εἶπεν ἡ γραφή, καὶ σκότος ἦν ἐπάνω τῆς ἀβύσσου. βουλόμενος δεῖξαι, ὡς οὐκ οἴκοθεν ὁ ἀὴρ τὸ φῶς κέκτηται, ἀλλ' ἄλλη τίς ἐστιν οὐσία τοῦ φωτός. ἔστι δὲ ἓν τῶν τεσσάρων στοιχείων, ἄνεμος ὁ πνέων. ὃς καὶ ἀήτης ποιητικῶς λέγεται. Ἀήρας, καῦμα, ὁμίχλη.

Ἀγάπιδα, ἀτίμως. Ἀγαοὶς, προσηνέσιν, ἀπὸ τοῦ ἄγαν ἐπὶ τὸ αἰσθητὸ. ὅθεν καὶ ἀγανὸν ἀπὸ τοῦ ἄγω, τὸ θαυμάζω. Ἀγανόεισιν ἐν τοῖς, βέλεσι φόρμιγγιν, ἢ ἀκοντίοις βάλλοντες. Ἀγάνη, πραεῖα, μαλθακή, χειρὶ. Ἀγάνημαι, ἀχάλω, ἀγανακτῶ. Ἀγάννιφον ὄρος λέγει Ὅμηρος, τὸ λίαν χιονιζόμενον. καὶ ἀγάννιφον, τὸν ἄγαν χιονώδη τόπον, ἢ τὸ λόφον, ἄγαν βαλλόμενον νιφετῷ, τὸ πάνυ κατανιφόμενον. ἔστι τὸ οὕτως ὅλως νιφόμενον. ἅμα δὲ παρὰ τὸ νίφω. ἢ πολύνιφον, ὃ λέγεται ἐπὶ τοῦ οὐρανοῦ λαμβάνουσι. καὶ ἀγάννιφον ὄλυμπον, τὸν ἄγαν χιονώδη. ἐκ τοῦ λιπαρωτέρου νίφω. ἢ ἐκ τοῦ ἐπαύξοντος τὸ ἔχον ὄφιν, ἐκ τοῦ γραφομένου διὰ διφθόγγου. οὐ ὁ λυπηρὸς ἀέναος ὄμβρος, ὅθεν ὁ νιφάς καὶ ἡ νιφὰς εἴρηται. καὶ ὁ νιφετὸς ἰαίνων, καὶ ὁ νιφόεις καὶ τὸ νίφα. ἐκ τοῦ λωτοφάγου, νίφει ἄγαν. ἢ, ὥσπερ ἐκ τοῦ λείβω, τὸ λίβας. Ἀγαοί, πραεῖς. Ἀγανὸν, προσπαροξυτόνως, τὸ κατανεφὲς ξύλον, τὸ ἀπαλλακτικόν. ἢ τὸ φρυγανῶδες, καὶ ἴδιον πρὸς τὸ κατανεύειν. οἱ δὲ, τὸ ἀπαλόν. Ἀγανὸν ὀξυτόνως, τὸ καλὸν, ἢ ἀγαθὸν, ἢ ἱλαρόν. οἱ δὲ, ἀθάνατον. ἔνθεν καὶ ἀγανοφροσύνη, προσηνεία, πραότης, φιλοφροσύνη. καὶ ἀγανοῦμαι, ἀντὶ τοῦ κοσμοῦμαι. Ἀγανόφρων, πραότατος, λίαν φρόνιμος, ἢ ἀγαθὸς, ἀγαθὰ φρονῶν, καὶ προσηνὲς ταῖς φρεσίν. Ἀγανοβλέφαρος, ωραία ἔλικοβλέφαρος, εὐοφθαλμος, πραεῖα, ἢ καλῶς βλέπουσα. Ἀγάνωρ, ἀγαπητὸς τῶν ἀνθρώπων, ὁ ὑπὸ τῶν ἀνθρώπων ἀγαπώμενος. ἔστι δὲ καὶ ὄνομα κύριον, τὸ ἀγαπᾶν παιδὸς. λέγεται δὲ, φιλόμηθος. Ἀγανώτερον, πραότερον, πραότερον. τόνος ὁ αὐτὸς. Ἀγαπῶ τὸ φιλῶ, αἰτιατικῇ συντάσσεται. οἷον, ἀγαπῶ τὴν φίλον, ἀγαπῶ σε πλέον τούτων. ἀγαπῶ δὲ τὸ ἀρκοῦμαι, δοτικῇ ὡς παρ' Ὁμήρῳ. καὶ Λυσίας, ὅτι οἱ τῶν ἀσίαν βασιλεῖς οὐκ ἀγαπῶν τοῖς παρέχουσιν ἀγαθοῖς, ἀλλὰ καὶ τῆς εὐρώπης δουλώσασθαι, ἐσπούδαζον. ἀντὶ τοῦ μεταλαμβάνειν. Ἀγαπᾶν, περιέχεσθαι. Ἀγαπήνωρ. ἐκ τοῦ ἀγαπάω ἀγαπῶ, ὁ μέλλων ὁ ἀγαπήσω, ὁ ἀγαπῶν, τοῦ ἀγαπῶντος. τὸ ἐνικὸν ἀγαπῶμι, καὶ ἀττικῶς ἀγαπάζω, ἀγαπάζει, ἀγαπάω. καὶ ἀγαπῶ, φιλῶ, ἀσπάζομαι, στέργω, ποθῶ, ἐρῶ. ὅθεν Ὅμηρος ἔπειτα τὴν ὕδατα, ἐπὶ τοῦ ὀρυκτοῦ λαβόντα. καὶ μετὰ δωρικῆς ἐκφορᾶς συντάσσεσθαι, ὡς φθάζοντος εἴπομεν. Ἄλλως. Ἀγαπάζω, ῥῆμα ἐνικὸν. ἀγαπάω ἀγαπῶ, ἀγαπάσεις ἀγαπάζεις, ἀγαπάζει ἀγαπάζομαι. τὸ δεύτερον, ἀγαπάσθαι, ἀγαπῶ. καὶ οἱ ἰωνικοὶ τοῖς δισὶ προσφέρουσι τὸ εὐκλαῖον, καὶ ὥσπερ ἐπιλεγόμενοι τὸ α, καὶ ἀναλόγως πάλιν τὸ ποιεῖν γίνεται, ἀγαπάζω. καὶ γάρ ἐστιν ὁ λόγος, παρὰ τὸ πρὸς ἐπὶ τοῦ ἀ-

γαν, προστιθέντες τὸ α, καὶ τὸ λύσιμον, καὶ προσθήκῃ τοῦ α εἰς τὸ ἀγαπᾶν. Ἀγάπη, παρὰ τὸ ἄγαν τὸ πᾶν. οὐ ἐστιν ἡ συνάφεια πρὸς ὁ μόνον, ὁ παρὰ τὸ ἄγαν πίστοτα ἔχειν. καὶ ἀγάπη οὐ περιπερπεύεται, πίστιν, οὐ προσποιεῖται. ἡ ἀγάπη, ἄσαρκος πρόθεσις, ἐπὶ τῇ φιλίᾳ τοῦ φιλουμένου. καὶ τὸ προσμένειν κατ' αὐ, ἀπόντα καὶ παρόντα τὸ ἀγαπώμενον. ἢ ἡ τῶν ἀνθρώπων πρὸς ἀλλήλους συμφωνία. Ἀγαπήνωρ, ὁ γυναικὸς καὶ ἀνδρὸς, ὁ ἀγαπῶν τὴν ἡνορέην, ὁ ἐπὶ τῶν ἀνδρῶν. καὶ ὁ ἀγαπώμενος ὑπὸ τῶν ἀνθρώπων. Ἀγαπησμὸν καὶ ἀγάπησιν, οἱ παλαιοὶ ἔλεγον τῶν φρόνησιν, καὶ τῶν φιλοφροσύνην. Ἀγαπητὰ ἴδε, τὰ καλὰ καὶ ἀγαθά. Ἀγαπητὸν, τὸ ἀγαπώμενον, καὶ καλλιζόμενον, ἢ τὸ μονογενές. Ἀγαπητὸς, ὄνομα κύριον. καὶ ἀγαπητὸς υἱὸς, ὁ μόνος ὢν πατρὶ, ἢ μητρί. ὡσαύτως καὶ ἀγαπητὴ θυγάτηρ, ἡ μονογενὴς καθ' Ἡσίοδον. τελήεσσας δὲ παρὰ τοῖς, εἴτε ὁ ἀγαπητὸς, εἴτε καὶ ὁ φίλτατος, ἐπεὶ πρὸς τῷ τέλει γίνεται. ὡσαύτως καὶ τελευτᾷ θυγάτηρ. καὶ μᾶλλον ἂν λέγοιτο, ὡς Ὅμηρος μαρτυρεῖ. οὗτος γὰρ οὐ τὴν μονογενῆ μόνον τελήεσσαν λέγει. ὡς τὸ οἳ ῥεῖα ἄμφω τελήεντα, καὶ ὃς μοι τελήεσσας τρέφεται θαλίῃ ἐπὶ πολλῇ. Ἀγάπιος, ὄνομα κύριον. Ἀγαπητικῶς, ἀσμένως, προθύμως, ταχέως. Ἀγαρικὸν, βοτάνη τις οὕτω καλουμένη παρὰ τοῖς ἰατροῖς. Ἀγάρρηος, ἀχάλινος. Ἀγαρρίς, ἄθροισις, ἢ πλῆθος ἀγυρτῶν. Ἄγαρος, σκαιοφόρος, φορτηγός.

Ἀγάρρευον, φοβερὸν ῥεῦμα ἔχοντα, ἄγαν ῥοώδη. Ἄγαρρεῖ, ὁ ἐκ λιμνωτοῦ ἢ προσθέτου. Ἀγαρρία, λαλιά. Ἀγαρρύει, ὁ ποσμός. Ἀγαρρίσης, ἐγγραφεῖ, ὑπὸ ἀπάτης κολάζηται. Ἄγας, ἡ φῦσις τὸ ἀγγελάκτος. Ἀγάθη, εὐ μακρὰ μὴ ἐπὶ τῇ ἰσθέσει, ἡ ἐπίμεσος, παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ. Ἀγασσάμενοι, παρὰ τὸ ἀγάω τὸ θαυμάζω. μετοχὴ τοῦ μέσου ἀορίστου, ἀγασσάμενοι, θαυμάσαντες.

Ἀγάσασθαι, ζηλοτυπῆσαι, καὶ ἁπλῶς μέμψασθαι. ἢ ἀγάσατε, ἐσθίοντες, ἐμέμψασθε. καὶ ἀγάζων φοῖβος ἀπόλλων, ὑπὲρ ἐφθόνησεν. καὶ ἀγασάμενοι, ἀντὶ τοῦ φθονήσαντες. ὅθεν καὶ ἀγασθομένοις, τὸ ἐπιφθονεῖν. ἡ δὲ ἀγάσασθαι, καὶ ἀγαίεσθαι λέγεται. τὸ μέν τι ἀγασθῇ προπαροξυτόνως ἐπὶ τοῦ πλείονος, καὶ λύσαι ἐξ αὐτοῦ γίνεσθαι καὶ τὸ ἀγασθῆναι, ἀπὸ τοῦ ἀγαθόν. Ἀγάσασθαι, τανύεσθαι παρὰ ἀγαίεσθαι, καὶ μεγαίρειν, καὶ φθονεῖν. Ἀγάσματα, σεβάσματα, ἃ ἐν τοῖς ἀγάσμασι. Σοφοκλῆς κέχρηται. Ἀγάσω, ὅταν τόπῳ ἀγαθῷ, ἢ ἂν ὡς ἀγάσασθαι. εἰ ἀρηϊκὰ, ὡς ὁ Αἰσχύλος. Ἀγάσασθε, φθονεῖτε. Ἀγάσιον, ὕφασμα. Ἀγαστήρια, οἱ δὲ πλείστοι τὸ τέλος. Ἀγαθὸς, βάσκανος. Ἀγάστοος, πολυστεναχὸς, θαυμαστὸς ἄξιος. Ἀγάστορες, ἀδελφοί, ὅμαιμοι, δίδυμοι, ὁμογάστριοι. Ἀγαστὸς, θαυμαστὸς, ἐπαινετός. Ἀγάστε, θαυμάσατε.

Ἀγάστορον οὕτως Δωριεῖς τὸ ἀγάστορον, φησὶ παρὰ δαλάω.

Ἀγαταῖς, βλέπεσθαι. Ἀγάταιμαι, βλέπομαι. Ἀγαυλὸς, μῦθος. Ἀγαυὸς κατὰ τῶν παλαιῶν, ὁ σεμνὸς, καλὸς, θαυμαστὸς, λαμπρὸς, κόσμιος. ὅθεν πλεονασμῷ τοῦ γ ἀγαυρὸς, ἐπιφανής, ἔνδοξος. ἐκ τοῦ ἀγῶ τὸ θαυμάζω, γίνεται ἄγαμι, ἄγαμαι, ἄγασαι, ἄγαται, ἀγαὸς. καὶ πλεονασμῷ τοῦ υ, ἀγαυὸς, αἰολικῶς, ὡς ναὸς ναυὸς, ἢ παρὰ τὸ ναίω, τὸ γαυρῶ, γίνεται γαῖος, καὶ φωνῇ τοῦ υ ἰσῶ, γαιὸς ὡς λίθρος, ἄφρος. καὶ μετὰ τοῦ ἐπιτατικοῦ α, ἀγαυός. καὶ ἀγαυοί, λαμπροί, φανεροί, ἔνδοξοι, ἐπιφανεῖς, καὶ προσφιλεῖς. ἐπεὶ δὲ καὶ ἔθνος ὀνομαστὸν ἀγαυοί, οὕτω καλούμενον. ὡς ἔτοι λέγεται ψευστὸς, καὶ ἀγαυὸν ἐπονομαζόντων. Ἀγαυότατον, μέγιστον, ἐνδοξότατον. Ἀγαύει, ἀπέρρηξε μεγάλως. Ἀγαυρίαμα, ὕβρισμα, ὄνειδος. παρὰ τὸ γαίω τὸ γαυρῶ γίνεται γαῖρος. καὶ προσθήκῃ τοῦ υ, γαῦρος. ὡς κλαίω, κλαύσω. καὶ ἐπιτάσει τοῦ α, ἀγαυρός. καὶ ἀγαυρῶν, τὸ μεγάλως γαυριᾶν, καὶ ἐπαιρεσθαι. Ἀγαυρὸς, ὁ κομπώδης καὶ αὐθάδης. οἱ δὲ, καλός. ὑπὸ ἰώνων δὲ, ἄγριος. ὑπὸ δὲ ἀττικῶν, γαῦρος. ἢ ὁ γαυρὸς. ὁ ὑπερήφανος, παρὰ τὸ ἄν τῆς γῆς αἴρεσθαι. ἢ παρὰ τὸ γαίω τὸ γαυρῶ, γίνεται γαῖος. ἢ παρὰ τὸ ἄγαν, ὁ σημαίνων ἐπίταξιν, γίνεται ἀγαυὸς καὶ ἀγαυρός. Ἀγγαρεύω, ἡ λαμο-

σία

ὁ φρόνιμος, σώφρων ἢ ἀνδρεῖος. Ἀγαθὰ κελίων. λείπει τὸ, ἴσχει. παροιμία δὲ ἐστὶν, ἐπὶ τῶν ἀεὶ τοῦ προσηκόντων πλεονέκτουν. οὗτος γὰρ μέλανα πρόβατα ἐκέκτητο. Ἀγάθαρχος, ὄνομα κύριον. Ἀγαθὴ καὶ μάζα μετ' ἄρτον. παροιμία ἐπὶ τῶν τὰ δεύτερα κακὰ διδόντων, ὁ αἱρουμένων. Ἀγαθὴ τύχη, ἡ νέμεσις, ἢ ἡ θέμις. Ἀγαθίδας, στοιχίδας. Ἀγαθὶς, λέγεται σφαῖρα, τὸ ἢ σύμμος. λέγουσιν οἱ παλαιοί, ὅτι ἀποθνήσκων Δαίδαλος ἀγαθίδα μίαν κατέλιπε δοῦναι τοῖς θεοῖς, αἰτία γίνεται ἐκείνης, Διασφαλώσαι τὴν λαβύρινθον. Ἀγαθιζομένη, ἀγαθὰ λέγουσα.

Ἀγαθικὰ, τὰ ἀνεκδοτα. Ἀγαθοδαιμονισταὶ, οἱ ὀλιγοποτοῦντες. Ἀγαθοεργὸς, ὁ ἀγαθὰ ποιῶν. καὶ ἀγαθοεργία, προθυμία ἔργου ἀγαθοῦ. Ἀγαθοεργοὶ, οἱ ἐκ τῶν ἱππέων ἐξιόντες πέντε ἑκάστου ἔτους, ὡς Ἡρόδοτος ἱστορεῖ, παρὰ Σπαρτιάταις. ὁ ἀγαθοεργοὶ, εἰρηνικοὶ κατ' ἀντιφραστικήν ἐκ τῶν ἐφόρων. Ἀγαθὸς. φύσει μόνος ἀγαθὸς ὁ θεός. γίνεται δὲ ὁ ἄνθρωπος διὰ ἐπιμέλειαν τῶν τρόπων. καὶ ὁ κατὰ μέθεξιν τοῦ ἀγαθοῦ. καὶ ὁ χωρὶς αἰτήσεως τὰ καλὰ χαριζόμενος ἀφθόνως. ἐτυμολογεῖται δὲ ἐκ τοῦ ἀγάζω, τὸ θαυμάζω. ὁ μέλλων, ἀγάσω. ὁ παρακείμενος, ἤγακα, ἤγασμαι, ἤγασαι, ἤγασται, ἀγασὸς. τροπῇ τοῦ σ εἰς θ, ἀγαθός. ὡς κρεμάσω, κρεμάθρα. Ἀγαθοκλῆς, ὄνομα κύριον.

Ἀγαθὸν, οὗ πάντα ἐφίεται. ἢ τὸ δι' ἑαυτὸ φύσει ἀναγκαῖον.

Ἀγαθὸς ἢ ἰσχύφρων, ταυτὸ ἐστιν. ἢ διαφέρει, καθὸ γίνεται ὁ ἀγαθὸς, τοῦ ἰσχύφρονος. Ἀγαθόσομον, πέλτον.

Ἀγαθοῦ δαίμονος. ἔθος ἦν τοῖς Ἕλλησι μετὰ τὸ δεῖπνον πίνειν ἀγαθοῦ δαίμονος ἐπιρροφοῦσιν ἄκρατον. καὶ τοῦτο δὲ ἔπινον, ὅπερ ἔλεγον, ἀγαθοῦ δαίμονος. ἄλλοι δέ φασι τὸ πρῶτον πίνειν οὕτω λέγεσθαι. χωρίζεσθαι δὲ μέλλοντες, Διὸς σωτῆρος. ἡ ἡμέραν δὲ τὴν δευτέραν τοῦ μηνὸς, οὕτως ἐκάλουν. καὶ ἐν Θήβαις δὲ ἦν ἡρῷον ἀγαθοῦ δαίμονος. Ἀγαθοειδῶς, ὁ τὸ ἀγαθὸν ἐνδεικνύ.

Ἀγαθῶν ἀγαθίδες. τάττεται ἡ παροιμία παρὰ τοῖς κωμικοῖς, ἐπὶ τῶν πολλῶν ἀγαθῶν. ἢ ἀγαθῶν θάλασσα, ἐπὶ πλήθους ἀγαθῶν. ἢ ἀγαθῶν μυρμηκιὰ, ἐπὶ πλήθους εὐδαιμονίας. ἢ ἀγαθῶν σωρὸς, ἐπὶ πλήθους ἀγαθῶν, καὶ πολλῆς εὐδαιμονίας. Ἀγάθων, τραγικὸς ποιητής, ὃς ἐπὶ μαλακίᾳ διεβάλλετο. Ἀγαθώνιος αὔλησις, ἡ μαλακὴ καὶ ἐκλελυμένη. ἢ ἡ μή τι χαλαρὰ, μή τι σκληρὰ, ἀλλ' εὔκρατος καὶ ἡδίστη. Ἀγάθυρσος, πόλις Σικελίας.

Ἀγάθυρσοι, ἔθνος. Ἀγάθυρσος ὁ Δᾶλος ἐκαλεῖτο πρότερον.

Ἀγαθωσύνη, ἡ ἀπηρτισμένη ἀρετή, ὡς ὁ Ἀπόστολος. Ἄγαι, αἱ ὁδοί, τρύματα ἢ φθάσματα. Ἄγαις, ζηλώσεσιν. Αἰσχύλος Θρήσσαις. Ἀγαίεται, βασκαίνει, ὀργίζεται, χολοῦται. γίνεται ἢ διὰ λέξεως πλείονος ἢ ἐπὶ τοῦ φθονεῖν. Ἀγαίομαι, φθονοῦμαι.

Ἀγαιόμενος κακὰ ἔργα, ὁ μεμφόμενος. ἐκ τοῦ ἄγω ἀγαίω, ὡς τοῦ ναίω τὸ ναιετάω. ὅτι δὲ παρ' Ὁμήρῳ τὸ ἀγαιομένου ἢ ἀταιομένου γράφεται, ὅς ἂν ἀπὸ τοῦ ἀτῶ ἀταίω τὸ βλάπτω, οἱ παλαιοὶ λέγουσι καλουσί. Ἀγαιόμενον, ἐπίφθονον, θαυμάσιον, ἢ φθονερόν. Ἀγαῖον, ἐπίφθονον. Ἀγαῖος κατὰ τοὺς παλαιούς, σεμνός, καλός, λαμπρὸς κόσμος. ὅθεν ἀγλαϊσμὸς, καὶ ἀγαυρός.

Ἀγακλυτοί, ἄγαν ἔνδοξοι. Ἀγακλεὴς, ὄνομα ἔνδοξοι.

Ἀγακλεὴς, ἄγαν εὐκλεὴς, ὁ ἐπὶ μεγάλως ἔνδοξος. Ἀγακλυτὰ, ἄγαν ἔνδοξα, ὁ ἄγαν διαβεβοημένα. Ἀγάλαλα, πι συχνὴ ἀλλον. Ἀγάλακτες, σύγγονοι, ἥλικες, ὁμογάλακτες, ὁμογνεῖς, ὅμαιμοι, ἀδελφοί, οἱ ἐπὶ ὁμογάλακτοι ὄντες, ὡς τὸ αὐτὸ γάλα πεπωκότες. ἄλλοι δὲ τοῦ ἰδίου κοινωνοὺς καὶ συγγενεῖς. οἱ δὲ, συμφόρους. Ἀγάλακτος, ὁ ὁμόθαλος. Ἀγαλακτοῦνη, συγγένεια. Ἄγαλαξ, ἐρωτικός. Ἀγάλακτος, ἀπόλακτος. Ἀγαλέας, ἀφανὲς. οἱ δὲ, γελᾶν. Ἀγάλλει, τέρπει, φαιδρύνει, κοσμεῖ. Ἀγάλλω, τὸ κοσμῶ καὶ κοσμῶ. ἐκ τοῦ ἀγαλλίασιν ἐμποιῶ. καὶ ἀγάλλομαι κυρίως τὸ χαίρω. ὁ καὶ ἀγαλλιῶμαι λέγεται. ὁ μέλλων, ἀγαλῶ. ὁ ἀόριστος, ἤγαλα. ἀφ' οὗ

ἄγαλμα ἡ εἰκὼν, καὶ ὁμοίωμα. Ἄγαλμα, ξόανον, ἀφομοίωμα εἰδώλου, εἰκόνα, ἢ ἀνδριάντα. ἢ ἄγαλμα, πᾶν ἐφ' ᾧ τις ἀγάλλεται. οὐχ ὡς ὁ συνήθεια, τὸ ξόανον. Ἀγάλματα παρὰ μὲν τοῖς ὕστερον, τὰ ξόανα. παρὰ δὲ τῷ ποιητῇ, πᾶν ἐφ' ᾧ τις ἀγάλλεται. ὡς δηλοῖ ὁ Ὀδύσσεια. οἱ καὶ οἱ μεταγενέστεροι ἐπὶ ξοάνου τὴν λέξιν τεθείκασι. παλαιὸς δὲ ὧδε γράφει οὕτως. Ἄγαλμα δὲ, οὐ συνήθως τὸ θεῶν καὶ ἡρώων, ἀλλὰ κοινῶς. οἷον, βασιλεῦσι δὲ κεῖται ἄγαλμα. καὶ, ἀλλὰ δὲ ἀγάλματα ἀνέθηκεν, ὑφάσματά τε, χρυσέοις. καὶ ἀγάλματα κεχάραν ἔλεγον. πάντα οὖν τὰ κόσμον λόγος μετέχοντα, οἷον, ψέλιον, βύστιον, χάρμα, καλλονή, κόσμος, κειμήλια, θαλλοί, ἀνδριάντες, ἐπιγραφαί, καὶ γραφαί, ἀγάλματα λέγονται. ἀγάλματα δὲ ἀποκαταστικῶς. ἢ ἄγαλμα, ὁ καλλωπισμός, τὸ ἀνάθημα, καὶ τὸ θεοῦ ὁμοίωμα. Ἄγαλμα, ἀπὸ τοῦ ἀγάλλω τὸ κοσμῶ. ἀνδριὰς, ἐπ' ἀνθρώπων, ἀπὸ χαλκοῦ, ἢ ξύλων, ἢ λίθων, ἢ τοιούτων τινῶν κατεσκευασμένος. εἴδωλα δὲ, τὰ φαινόμενα ἐν ταῖς ἐρημίαις νυκτός, ἢ μεθ' ἡμέραν φαντάσματα. στῆλαι δὲ, καθ' ἑαυτὰς λίθοι ἐπιγεγραμμένα τινῶν φέρουσαι. Ἀγαλματοποιοί. ζωγράφοι, χρυσοχοοὶ ἀγαλμάτων. Ἀγαλματοφορούμενος, ἀγάλματα, ἢ τοὺς τύπους τῶν τεθέντων φέρων ἐν ἑαυτῷ. οὕτω Φίλων. Ἀγάλλων ἑαυτὸν, σεμνοποιῶν.

Ἀγάλλω καλλύνον, ἢ λαμπρύνω. καὶ ἀγάλλομαι, ἢ λαμπρύνομαι. ἔστι δὲ καὶ ἀγάλλομαι ἀντὶ τοῦ χαίρω, τέρπομαι. Ἀγαλλόμεναι πώλοισι, παρ' Ὁμήρῳ, τὸ πώλοισι θελκαῖς προσῆκται κατὰ ὅπλον. τὸ δὲ ἀγάλλεσθαι, φαίνεται κατὰ κυριολεξίαν λέγεσθαι ἐνταῦθα, ὡς τῶν μητέρων πρὸς ἔγγονα, ἢ ἄγαν ἀγομένων ἐπὶ ταῖς πώλοις. λέγεται δὲ καὶ ἐπὶ τῶν λογικῶν τοῦτο εἰς ἵππους μεταφέρεσθαι, καθὰ καὶ τὸ παριλῆσαι. Ἀγαλλόμεναι πτερύγεσσι, παρ' Ὁμήρῳ, ἀπαραλλήλως εἴρηται. ἐχρῆν γὰρ ὀρθῶς εἰπεῖν ἀγαλλόμεναι, ἵνα λέγῃ ἔθνεα πολλὰ ἀγαλλόμενα. εἴρηται δὲ ἀττικῶς. ὅμως οὐ καὶ οὐκ ἀπεῖδε πρὸς τὴν φωνὴν τὰ ἔθνεα, ἀλλὰ πρὸς τὸ σημαινόμενον ἐπέστρεψεν ὄρνιθας. ταυτὸν τῷ ἔθνεα ὀρνίθων, καὶ ὄρνιθας εἰπεῖν. κατεστηριγμένον οὖν σχῆμα ὁ εἶπεν, ἔθνεα πολλὰ ὀρνίθων ἀγαλλόμενα πτερύγεσσιν. ἀντὶ τοῦ, ἀγαλλόμενα. ὁ ἐστιν ὄρνιθες χαίρουσαι τῇ πτήσει. Ἀγαλλοῦμαι, τὸ χαίρω. Ἀγαλματικὰ πάσης, τὰ τῶν ὑμνῳδιῶν. Ἀγαλλίασμα, δόξασμα.

Ἀγαλλιᾶσθαι, λοιδορεῖσθαι. Ἀγαλλὶς, ὑάκινθος, ἢ ὀρταλὶς, ἢ ἀναγαλλίς. Ἀγαλλίαση, ἐφ' ᾧ ἄλλος ἀγαθύει. Ἀγαλλιάτρια, παῖδα, τερπνοί. Ἀγάλλιος, λοιδωρός. Ἀγαλλόμενος, ἀγαλλιῶν, χαίρων, σεμνυνόμενος. Ἀγάλλων, ἱλάσκων.

Ἀγαλούμην, σεμνοῦμαι, ἐπικοσμούμενος, λαμπρυνόμενος. Ἀγαλμὶς, λαοδορία. Ἀγαλματίας, ἀληθινός. Ἀγαλματοφορεῖσθαι, καλλωπίζεσθαι. Ἀγαλματίτης, λίθος κάλλιστος. Ἀγαλματικὸς, ἀκηνιαῖς. Ἀγαλματοφόρος, ὃς ἀγάλματα ἐν τῇ ψυχῇ. Ἀγαλματοφορούμενος, ἀγάλματα ἢ τοὺς τύπους τῶν τεθέντων φέρων ἐν ἑαυτῷ. Ἀγαλματίας, τῷ λίθῳ, διὰ τὸ ἐκφέρεσθαι τῇ ἰκάτῃ λίθον. ἢ λίθοι καὶ αὐτὴν ἐνίοι κυνοκέφαλον πλάττουσιν. Ἀγαλλόμενος, λαμπρῶς τιμώμενος. Ἄγαμαι, θαυμάζω. ἄγαμαι, ἀγάζομαι, ἢ προσάγω. καὶ ἄγαμαί σε τοῦ φρονήματος, ἀττικῶς, ἀντὶ τοῦ ἕνεκα τοῦ φρονήματος. ἀττικοὶ γὰρ ἐξαιρεῖν λαμβάνουσι τὸ ἕνεκα. λέγεται καὶ ἀπλῶς ἐφ' ἑαυτοῦ, ἄγαμαί σε τοῦ φρονήματος. οὐδὲ λίαν ἄγαμαι, ἀντὶ τοῦ, οὐδὲ λίαν ἐκπλήττομαι. ἄγαμαι καὶ ἔραμαι. τὸ δὲ ἔραμαι κοινὸς ὁ τόνος, ἐρῶ, ἐράω τὸ, ἔστι ὁ παθητικὸς παρακείμενος ἀναφέρεται. ἔστι δὲ καὶ τὸ ἄγαμαι. καὶ προϋπάρχει αὐτοῖς τὸ ἔραμαι, καὶ τὸ ἄγαμαι ὁμοίως τῷ ἵσταμαι, ἀμάρτυρον ἐστιν. Ἀγαμέμνων, κατὰ μὲν Ὅμηρον, ἀτρέως τοῦ πέλοπος, μαθὼς δὲ ἀτρέπης. κατὰ δὲ Ἡσίοδον, πλεισθένους, τὸ γένος μυκηναῖος. ὃς ἦγαγε παῖς εἰς Ἴλιον. ἐστράτευσε δὲ τὸν Ἴλιον, καὶ ἀποστρέψας οἴκαδε, ἀναιρεθῆ ὑπὸ αἰγίσθου τοῦ θυέστου διὰ δόλον ἐπὶ συνοικίας. οὕτος ὡς περὶ τὸν καιρὸν τῆς ἀπολωλείας, ἐπολ

ται, θρύπτεται. Ἁβρογάστας, φάλαγγες. ὃς κατ' ἀλκὴν τοῦ σώματος, καὶ θυμοῦ τραχύτητα, φλογωδέστερος ἦν, διατεθρυμμένος τυγχάνων βαβύλωνος. Ἁβροδίαιτα, τρυφερὰ ζωή, καὶ ἁπαλή. Ἁβροδίαιτος, τρυφητὰς, τρυφερὸς, τρυφερόβιος τὸν βίον, περὶ τὴν δίαιταν δαψιλὴς, πλεονέκτης. ἁβρὸν, τὸ πολύ. Ἁβροειμονεῖν, ἁβροειμονές τε καὶ κατεσταλμένοι, λαμπροφοροῦσι, ἁπαλοφοροῦσι. ἁβρὸν γὰρ, τὸ λαμπρὸν, καὶ κοῦφον, καὶ τρυφερόν.

Ἁβρόκαρπον, ἁβρότερον. Ἁβροκόμα, ὁ τὴν κόμην φαιδρὰν ἔχων. Ἁβροκόμας, οὗτος ἀδελφὸς ἦν Ἀρταξέρξου τοῦ πρώτου βασιλέως. Ἁβροκόμης, ὁ πλούσιος. Ἁβρομία, σκοτία. Ἀβρόμιος, ὁ ἄοινος, καὶ χωρὶς οἴνου. βρόμιος γὰρ, ὁ Διόνυσος, ὁ καὶ ἔφορος τοῦ οἴνου καθ' Ἕλληνας. Ἁβρομίτρας, λαμπροζώνους. Ἄβρομος, καὶ ἄβρομοι, οἱ ἅμα βρομοῦντες, ὅ ἐστιν ἠχοῦντες, θορυβώδεις. παρὰ τὸ βρόμος, ὃ σημαίνει τὸν ἦχον, μετὰ τοῦ ἐπιτατικοῦ α. ἢ ἄβρομοι, μετὰ τοῦ στερητικοῦ α, ἀπὸ τοῦ βρόμου, τὸ ἠχῶ, ἤγουν, χωρὶς βρόμου, ἢ ἄνευ θορύβου. καὶ ἄβρομοι, αὐίαχοι, τὸ ἅμα βρόμῳ. ἅμα ἰαχῇ, ὧν βρόμος μὲν ἐπὶ φλογὸς, ἠχὴ δὲ ἐπὶ θυέλλης. αἰολικὴ δὲ ἡ τοῦ υ ἐπένθεσις ἐν τῷ αὐίαχοι. ὡς ἐν τῷ ἀγάω, ἀγαὸς, ἀγαυὸς, καὶ ἀγαυρός. οὕτω δὲ καὶ τὸ παρ' Ὁμήρῳ ἔνθεν ἐυκλῶν, εὔαθεν λέγεται, εἰ μὴ ἄρα ἔνζυγος, ἐκ τοῦ αἶψα τροπὴν ἔπαθε τὸ ι εἰς υ. Ἄβρομον, ὀρίγανον καὶ στυφὸν, ἄψοφον. Ἀβρομοίσαχοι, οἱ σὺν βρόμῳ πολλῷ, οἷον μετὰ κραυγῆς μιᾶς. ἵνα ᾖ, ἀντὶ τοῦ ὁμόβρομοι. ὅπερ δηλοῖ τοὺς ὁμοφώνως κεκραγότας. ὡς ἐπὶ τοῦ ἄκοιτις, ἡ ὁμόκοιτις. ἢ πολύβρομοι, ὅ ἐστι πολυτάραχοι. βρόμος γάρ ἐστι φωνὴ κραυγὴ κατὰ μίμησιν. ἢ αὐίαχοι, οἱ μετὰ ἤχου μεγάλης ἰάχοντες. ὡς ἀχανὴς λέγεται, τὸ μεγάλως κεχηνὼς, τοῦ α πλεονάζοντος. Ἁβρὸν παρ' Ἡροδότῳ, καλὸν, εὐθαλὲς, σεμνὸν, τρυφερόν. Ἁβρὸς, παρὰ τὸ ἅπτω, ὁ ἁπαλός. καὶ εὐαφὴς, οὕτω Φιλόξενος. Ἄλλως. Ἁβρὸς, βορὰ, βορὸς. καὶ ἁβρὸς, ὁ κόσμως βαίνων κατὰ σύγκρισιν τοῦ βαίνοντος, ἁβαιὸς, καὶ ἁβρὸς κατὰ συγκοπήν. Ἄβρος πλεονεκτικῶς, εἶδος στρουθοῦ ἀγρίου. Ἁβρὸς λιμὴν, ὁ εὔθαλος κεῖνος. ἁβρὸν γὰρ, τὸ λαμπρόν. Ἁβροσύνη, φαιδρότης. Ἀβροτάξω, ἁμαρτάνω. καὶ ἀβροτάξομεν, ἁμάρτωμεν, ἀμφοτέροιμεν. Ὅμηρος, μήπως ἀβροτάξομεν ἀλλήλων. κυρίως ἐπὶ τῶν ὁδευτῶν. τὸ βροτοῦ ἀποτυχεῖν, ὡς ἐν πλάνῃ. λέγεται δὲ καὶ τὸ ἁπλῶς ἀποτυχεῖν τὴν βροτὴν τοῦ βροτοῦ, μετὰ τὴν συνάντησιν. ἢ τὸ βροτοῦ ἀποτυχεῖν ἐν ὁδῷ. ὃ τὸ ἐν ἀβρότῃ, τουτέστι, νυκτὶ ἀποπλανᾶσθαι. ἐν δὲ παλαιῷ κατὰ στοιχεῖον λεξικῷ γράφεται οὕτως. Ἀβρόταξις, ἁμαρτία, διαμφόδησις. ἀβροτάξομεν, διαμφοδήσωμεν, ἁμαρτήσωμεν. τὸ δὲ θέμα ἀβροτάζω. ὁ μέλλων, ἀβροτάξω. οὕτως Ὠρίων. Ἀβροτήμων, ἁμαρτωλός. Ἀβροτή, ἀβροτοσύνη. Ἀβρότη νὺξ, ἐντελῶς ἐρρέθη. ὅτι γὰρ ἀβρότη μόνον ἐρρέθη, λείπει τὸ νύξ. ἔστι δὲ ἀβρότη κατὰ μὲν τὴν κοινὴν, ἐν ᾗ βροτὸς οὐ πρόεισιν. Αἰσχύλος, Ἀβρόβην εἰς ἐρημίαν. ἢ ἀβρότη νὺξ, κατὰ παράλειψιν τοῦ μ. ἀμβρότη γάρ ἐστιν, ἡ ἀθανάτη, καὶ θεία. ἱερὰ γάρ ἐστι τῶν θεῶν. εἰς ὅπερ εἶλθε νὺξ ἀβρότη. ἀμβρότη τις οὖσα, παρὰ τὸ μὴ προϊέναι ἐν αὐτῇ. ἢ ἐν ᾗ βροτὸς, ἤγουν, ὁ κατὰ πόλεμον μολυσμὸς καὶ φόνος οὐ γίνεται. ὡς λυομένων τότε τῶν τάξεων, διὰ τὸ ἀγαθὸν εἶναι τὸ νυκτὶ πείθεσθαι. ὅθεν καὶ ὁ λόχος σύγκειται, ὡς τότε λαθὼν κατομένου λόχος, ἤδη πολέμου. ἢ μεταληπτικῶς ἀβρότη, ἡ ἄφως, τουτέστιν ἡ ἀφώτιστος, ἢ φῶς μὴ ἔχουσα, ἢ ἐν ᾗ φῶς οὐκ ἔστι. τὸ φῶς γὰρ, ὁμόφωνόν ἐστι τῷ φὼς ἀρσενικῷ ὀνόματι, ὅπερ ἐστὶ βροτός. Ἀβροτῆσαι, τὸ τυχεῖν ἀπαντῆσαι. Ἁβρότης, τρυφερότης, ἁπαλότης. Ἀβροτίνω, ἁμαρτωλή. Ἄβροτον, ἄψυχον, ἀναίσθητον, ἀπάνθρωπον. βροτὸν γὰρ, τὸ μετὰ κόπρου αἷμα. ἢ τὸ ἐκ φόνου λύθρον. Ἀβρότονον, εἶδος βοτάνης θυμώδους. ἔστι δὲ πικρότατον. Ἄβροτος, ἀτίμιος. Ἀβρότων, κοχλίου εἶδος. οἱ δὲ ἀκρίδων. αἳ καὶ πολλαὶ γινόμεναι, τοὺς καρποὺς διαφθείρουσιν. οἱ δὲ μελιττῶν, οἱ δὲ ἀστέρων φασίν, ὅ ἐστιν ἀντὶ τοῦ λευκῶν. Ἁβροῦτες, ὀφρῦς. Μακεδόνες. Ἁβροχίτων, λαμπροφόροι, τρυφερὰ φορῶν. Ἄβρυνα, συκάμινα. Ἁβρύνεται, κοσμεῖται. Ἁβρύνομαι, καυχῶμαι, διαθρύπτομαι, κοσμοῦμαι. Ἁβρυνόμενοι, σεμνυνόμενοι, λαμπρυνόμενοι. Ἄβρυσος, ἢ ἄβρυσσος, ὁ βεβρωσκόμενος. Ἄβρυθι, ἰχθύων θαλασσίων εἶδος. Ἄβρωμα, σολῆνος γυναικείου εἶδος. Ἄβρων, φρὺξ, ἢ ῥόδιος γραμματικὸς, μαθητὸς Τρύφωνος. Ἀβρῶς, ἀνθηρῶς. Ἄβρωνος βίος, ἐπὶ τῶν πολυτελῶν. Ἄβρων δὲ παρὰ Ἀργείοις ἐγένετο πλούσιος. ἢ καὶ ἀπὸ τοῦ ἁβροῦ, καὶ ἁβρότερος. Ἀβυδηνὸν ἐπιφόρημα, ἀπὸ τοῦ ὑπ' αὐτῶν συκοφαντεῖσθαι τοὺς ξένους. ὅταν γὰρ ἀκαίρως ἐπιφαίνηταί τις, εἰώθαμεν λέγειν, ἀβυδηνὸν ἐπιφόρημα. διὰ τὸ θεὸς ἀβυδηνὸς, ὅταν ἥκει τῶν πολιτῶν ἢ ξένων ἐπεισι, μετὰ τὸ μῦρον καὶ τοὺς στεφάνους, τὰ παιδία περιφέρειν φιλανθρωπευόμενα. τῶν τε τιτθῶν θορυβούντων, τῶν τε παιδίων κεκραγότων, ἐνοχλεῖσθαι τοὺς παρόντας. ἀφ' οὗ εἰώθασι λέγειν τὸ προκείμενον. Ἀβυδόθεν, ἀπὸ Ἀβύδου πόλεως καρίας. Ἀβυδοκόμας, ὁ ἐπὶ τῷ συκοφαντεῖν κομῶν. Ἄβυδον, βαθύ. Ἄβυδος πόλις. ἐπὶ συκοφάντου τάττεται ἡ λέξις, διὰ τὸ δοκεῖν συκοφάντας εἶναι τοὺς Ἀβυδηνούς. καὶ ἐπίρρημα, ἀβυδόθι, ἐν Ἀβύδῳ. καὶ ἄβυδον φλυαρίαν, τὴν πολλήν. καὶ ἀβυδηνὸς, ὁ ἀπὸ ἀβύδου. Ἀβυλὼν, χώρα μακεδονίας. καὶ κλίνεται ἀβυλῶνος, ὡς καλυδὼν καλυδῶνος. Στράβων, τελέθειν ἐξ ἀβυλῶνος, ἀπ' ἀξίου ποταμοῦ ῥέοντος. Ἀβύρβυλον, πολὺ, μάταιον. οἱ δὲ λαοὶ, καὶ συρφετώδεις. ἢ ἀναίσχυντον, ἰταχθέν. καὶ ἀβύρβυλος, ὁ πολὺς, καὶ μέγας, ἢ ὁ κατακορής. λέγεται δὲ καὶ ἀβύρβυλος. ὡς καὶ πρὸ ὀλίγου γέγραπται, ὁ ἀκατάστατος. Ἀβυρτάκη, ὑπότριμμα βαρβαρικὸν, κατασκευαζόμενον διὰ πράσου, καὶ καρδάμων, καὶ ῥοιᾶς κόκκων, καὶ ἑτέρων τοιούτων. Ἀβυρτακοποιοῦ, τὰ τρίμματα καὶ ἐμβάμματα κατασκευάζοντος. Ἄβυσσος, πλῆθος ὑδάτων ἀπέραντον. ἢ τόπος ἐν θαλάσσῃ, ἀπύθμαντος, μὴ ἔχων πυθμένα. ἢ ἄβυσσος, ἧς οὐδὲ βυθὸς χωρεῖσθαι δύναται. Ἴωνες γὰρ βυθὸν, βυσσὸν φασίν. ὅθεν δοκεῖ λέγεσθαι καὶ βυσσοδομεύειν, παρὰ τὸ δύω τὸ ὑπέρχομαι, κατὰ τροπήν. βύω, βύσω, βέβυσμαι, βυσσός, καὶ ἄβυσσος. εἰς ὃν οὐδεὶς εἰσέρχεται διὰ τὸ βάθος. Ἀβυσσαῖοι, λιβύων ἔθνος. Ἀβὼ, πρωΐ, λάκωνες. Ἄβωβας, ὁ ἄδωνις ὑπὸ περγαίων. Ἀβώνου τεῖχος, πόλις ἐν τῷ εὐξείνῳ πόντῳ. καὶ ἀβωνοτειχίτης, τὸ ἐθνικόν. Ἄβορα, ὄνομα τόπου. Ἀβωαρίτης, ἔθνος ἰταλικόν. Ἄβωρ, βοῦ, ὡς λάκωνες. Ἄβως, ἄφθονος. ἄφωτος. Ἄβωτος, ἀναλής.

ΤΟ' Α' ΜΕΤΑ' ΤΟΥ͂ Γ.

Α Γ Α, φθόνος, καὶ βασκανία. Ἀγάασθαι. φασὶν οἱ παλαιοὶ τοῦτο τρία σημαίνειν, τὸ θαυμάζειν, τὸ φθονεῖν, καὶ τὸ μισεῖν. Ὅμηρος ἀγάασθαι καὶ ἄγασθαι εἶπεν, ὡς ταυτὰ ὄντα. ἔστι δὲ τὸ ἀγάω πρωτότυπον τοῦ ἀγαίω. Ἄλλως. Ἀγάασθαι παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ἐκπλήττεσθαι. ἐπίτασις τοῦ θαυμάζειν. Ἀγάγου, ἀντὶ τοῦ ἀγαγοῦ. Ἄγαγον, ἀντὶ τοῦ ἄγαγε. οἷον, ὁ δ' ἄγαγόν, φέρε. Ἀγαγύρτιον, ἀγύρτιον. Ἀγάγνωσιν, οὐκ ἄξιον. καὶ ἁπλῶς εἰπεῖν, ὁ μὲν πρῶτος ἀόριστος καὶ οἱ ἐξ αὐτοῦ, ἄγνωστοι τοῖς λογογράφοις. ὁ δεύτερος δὲ ἀόριστος, καὶ οἱ ἀπ' αὐτοῦ χρόνοι, ἐν χρήσει. Ἀγάζω, ἀγανακτῶ, βαρέως φέρω, θαυμάζω, φθονῶ, λυποῦμαι. γίνεται δὲ ἀπὸ τοῦ ἀγῶ τὸ ἀγάζω, ὡς σκεδῶ σκεδάζω. ἐξ οὗ ἐστι τὸ ἄγαμαι, καὶ ἄγαμαι. Ἀγάζεσθαι, βλάπτεσθαι. Ἀγάζεται, σέβεται. Ἀγάζηλοι, μεγαλόζηλοι. οἱ δὲ, φθονεροί. Ἀγαζόμεθα, πλεονάζομεν. Ἀγαζόμενοι, κάμνοντες, λυπούμενοι, λιπαροῦντες. Ἀγαθά. ἐπὶ τῶν πρὸς ἀπόλαυσιν καὶ εὐωχίαν σιτίων καὶ ποτῶν, ἐχρήσατο Ξενοφῶν τῇ λέξει. Ἀγαθὸν, τὸ θεῖον, ἢ τὸ θαυμαστὸν, ἢ τὸ ταχύ. Ἀγαθὸς, ὁ ὀρθ-

στικ. καὶ ἄβιβαλοι οἱ μὴ καταπεπαυκότες ἱερῶν. καὶ λόγοι ἀβίβαλοι, οἱ ἀπόρρητοι. καὶ ἀβίβαλος, ὁ καθαρός. Ἄβεις, ἰχθῦς. παμφίλιοι.

Ἄβελ, υἱὸς Ἀδάμ. καὶ ἄβελ, πένθος. Ἀβέλει, αἰγές. Ἀβέλιον, ἡλιακόν. Ἀβέλιον, τὸν ἥλιον κρητῆς. Ἄβελον, τεκνίον. Ἀβέλτερος, ἀνόητος, ἀσύνετος, ὁ τὸ βέλτιον μὴ γινώσκων. βέλτερος γὰρ ὁ τὸ βέλτιον γινώσκων, καὶ φρόνιμος. γίνεται δὲ ἐκ τοῦ βέλτερος, μετὰ τοῦ στερητικοῦ ἄλφα. τὸ δὲ βέλτερος, ἀπὸ τοῦ βάλλω. τόπου ἁπλοῦ, οὐχὶ δὲ συγκριτικοῦ. ὥσπερ γὰρ παρὰ τὸ φέρω φέρτερος, οὕτω παρὰ τὸ βάλλω βέλτερος. ὅθεν ἀβέλτεροι νοῦς, χαῦνος, νωθής, νέος, καὶ ἠλίθιος, καὶ ἀβελτηρία, ἡ ἀβελτερία κατὰ Ἀττικοὺς διὰ τοῦ ι, ἀφροσύνη, ἄνοια, ἀνοησία, μωρία, ἡ τὸ βέλτιον μὴ γινώσκοντος. καὶ ἀβέλτερον, τὸ μωρὸν καὶ ἀνόητον. Ἀβελτεροκόκκυξ, ὁ κενὸς καὶ ἀβέλτερος. Ἀβέρβηλος, ὁ ἀκατάστατος. καὶ ἀβέρβηλον, πολύ, ἀπλῶς, μέγα, βαθύ, ἄχανον, μάταιον, ἀκατάστατον, ἀπαίδευτον. Ἀβεσαλών, ὄνομα κύριον. Ἀβέρρων, ὄνομα κύριον.

Ἀβίασει, ἐπιποθεῖ, θορυβεῖ. Ἀβηδηνὸς, ὁ ἀπὸ πόλεως Ἀβυδηνῆς. Ἀβηδόνη, ὄνομα πόλεως. Ἀβηδόνη, ἀηδία. Ἀβὴρ, οἴκημα κοινὸς ἔχων, ταμεῖον. λάκωνες. Ἀβήρει, ἄλλει. καὶ ἀβήρευσιν, ἄδυσιν. Ἀβὴς, ἀναίσχυντος, ἀνόσιος, ἀσεβής, ἀνόητος. Ἀβιάσει, ἐπινοεῖ. ἔστι καὶ ἀβὶ ὑπὸ σκύθαις εἴρηται.

Ἄβια, οὐ βιώσιμα, ἢ βίον οὐκ ἔχοντα. Ἀβία, καὶ ἀβιάθαρ, ὀνόματα κύρια. Ἀβιαδηνὸς, ὁ ἀπὸ πόλεως Ἀβιαδηνῆς. Ἀβίαμ, υἱὸς Ῥοβοὰμ τοῦ υἱοῦ Σολομῶντος. Ἀβίγαι, στομάς. Ἀβιδα, ἀνάφορον. Ἄβιν, ἔβαλλον. σκύθαι. Ἀβιέζερ, ὄνομα κύριον. Ἀβίκαδον, ἐφ' οὗ οὐκ ἐγίνετο βοῦ ἀπολλύμενον. Ἀβίλ ταυα, τὰ μνήμεια πέρσαι. Ἄβιλα, πόλις. καὶ ἀβίλιος οἶνος.

Ἀβίλυξ, ἀβίλυκος, τὸ ἀντικείμενον ὄρος ἐκ τῆς Λιβύης τῇ Κάλπῃ. ἃς στήλας ἐν τῇ Εὐρώπῃ κατὰ τὸν πορθμὸν τῶν Γαδείρων. Ἀβιλύκη, στήλη ἐν Λιβύῃ. Ἀβιμέλεχ, ὄνομα κύριον. Ἄβινα, ὄνομα πόλεως. Ἄβιοι, πλούσιοι. οἱ δὲ, πένητες. Ἄβιοι, μὴ ἔχοντες τόξα, ἀπόλεμοι, οὐ βίαιοι, οὐκ ἄλκιμοι. καὶ ὄνομα ἔθνους. Ἀβιόλη, στίγματι. Ἄβιος, πλούσιος, πολὺν βίον ἔχων. οὕτως Ἀντιφῶν. ὥσπερ καὶ Ὅμηρος τὸ ἄξυλον, ἀντὶ τοῦ πολύξυλον. καὶ ἄβιος, ὁ μὴ ἔχων βίον, ἢ ὁ μὴ ἔχων τόξον. βιὸς γὰρ, τὸ τόξον. Ἀβιούδ, ὄνομα κύριον. Ἀβίωτος βίος, ὁ ὀδυνηρὸς, εὐτελὴς, πένης, καὶ ἀνελεής. καὶ ἀβίωτος, ὁ μὴ ζῶν. Ὁ δὲ, ἀβιώτως εἶχεν, εἰ μὴ κρατήσει τῆς πόλεως. Ἀβισὰκ, ὄνομα κύριον. Ἀβίσαρος, ὄνομα τόπου. Ἄβιτος, ὄνομα κύριον. Ἀβλαβύνιον, σπάρτα πλεκόμενα παρ' Αἰγυπτίοις ἐκ βύβλων, πρὸς κάθαρσιν οὔσα.

Ἀβλαβίως, ἀβλαβῶς. Ἀβλαξ, λαμπρὸς, ὡς Κύπριοι. Ἄβλαροι, ξύλα. Ἄβλας, ἀσύνετος, ἀγνώμων. Ἄβλαστος, ἀνυπόδετος. Ἀβλεμὴς, ἀσθενής. Ἀβλεμέως, εἶπεν ἀμελέως, ἀφροντίστως. παρὰ τὸ μέλειν, ἀμελεῖν. καὶ ἀμελέως ἐπίρρημα. καὶ ἐν τούτῳ δύο πλεονασμῷ τοῦ β, ἀβλεμέως. οὕτως ὡρίων. Ἀβλεπὴς, φαῦλον. Ἀβλεμὴς, ἄτολμος, ἀτυχὴς, πεπονημένος. οἱ δὲ, κακός. Ἀβλεπτεῖ, τὸ ἀβλεπτοῦντα. Ἀβλεπτόμαι, ἀμαρτάνεται. Ἀβορὰ, ἡ νηΐα. Ἄβληρος, ὄνομα κύριον. Ἀβλαύδιον, ἐπιλόσιμον. Ἀβλὴς οἰστὸς, ὁ μή πω βληθείς. ὁ ἐστιν ἀφεθεὶς κατὰ σκοπόν. διὸ καὶ ἀθετοῦσι τὴν λέξιν οἱ παλαιοί, φάμενοι μὴ ἐνδέχεσθαι τὸν τεινόντα τὸ βάλλειν ἐπὶ τοῦ ἁπλῶς ἀφιέναι τεθεῖσθαι. αἰτιῶνται δὲ καὶ τὸ ἔρμα, λέγοντες ὅτι οὐχ ὃ θέλει ὁ ποιητὴς λέγει. ἔρμα γὰρ ὁμηρικῶς, τὸ ἔρεισμα, καὶ κώλυμα. τὸ δὲ βέλος οὐ γίνεται κώλυμα ὀδυνῶν, ἀλλὰ μᾶλλον ἐρέθισμα. ἔστι δὲ λύοντα τὰ τοιαῦτα εἰπεῖν, ὅτι ἀβλῆτα μὲν οἰστὸν λέγει, τὸν μή πω βαλλόμενον, ἤδη ἐπιτυχόντα τινός, διὰ τὸ μηδὲν ἀφιέσθαι. ἢ καὶ ἄλλως. Ἀβλὴς οἰστὸς, ὁ ἀκατάβλητος, ὁ καινὸς, παρὰ τὸ βέβληται, ἢ ὁ καινὸς, ὁ ἀγγεῖος. καὶ μή πω βεβλημένος. ἀνάλογον αὐτῷ. καὶ ἀπέραιον τὸ ἰὸν ἐν ἑαυτῷ ἔχων. κλίνεται δὲ, διὰ τοῦ ντ. εἶον, ἀβλὴς, ἀβλῆτος. Τὰ γὰρ εἰς ης λήγοντα ὀξύτονα ῥηματικά, ἀπὸ ῥημάτων γινόμενα, μίαν συλλαβὴν φυλάττοντα τοῦ παθητικοῦ παρακειμένου, διὰ καθαροῦ τοῦ ντ κλίνεται. εἶτε εἰς ης ὦσιν, εἴτε εἰς ης, εἴτε εἰς ας. οἷον, κέκραται, χαλκοκρατὴς, χαλκοκρατοῦς. βέβληται, ἀβλὴς, ἀβλῆτος. τέτρηται, ἀτρὴς, ἀτρῆτος. Ἄβλητα βέλη, καινά, μὴ πεμφθέντα εἰς τρῶσιν, ἄτρωτα, οὔ πω ἄλλοτε βεβλημένα. Ἄβλητος καὶ ἀνούτατος διαφορὰν ἔχουσιν, ἣν οἶδεν σαφῶς Ὅμηρος ὡς καὶ ἐν ἄλλοις, τὸ οὐ τάσαι, καὶ τὸ βαλεῖν. τὸ μὲν, ἐκ τοῦ χειλῶν γεγενημένον. τὸ δὲ βαλεῖν, πόρρωθεν. Ἀβλήχμων, ἀμβλύς. Ἀβληχρὴ, ἀσθενής. οἱ δὲ, ἀπαλὸν ἐπὶ τοῦ θανάτου. Ἀβληχρὸς, ἀμβλὺς καὶ ἀμαυρός. καὶ ἀβληχρὸς θάνατος, ὁ ἀσθενὴς καὶ ἠρεμαῖος. διὰ τὸ γῆρας. ἢ ὁ ἀβληχρὸς, ὡς ἀσθενὲς πρὸς τὴν διάσκεψιν. καὶ ἀβληχρὴ, ἢ ἡ ἀπαλὴ κατὰ Ἴωνας. ἢ μᾶλλον ἡ ἀσθενής. Ἀβλίσμαθον, ἄφαντον. Ἀβλόη, στέγη, στέγος, μακεδόνες. Ἀβλέπω, τὸ ἀβλαβὲς, κρητῶν. Ἀβλωθρίδια, ἀτέλεια ἐκτρώματα. Ἀβοαὶ, εὐχαί.

Ἀβοητὶ, ῥᾳδίως. Ἄβολα, κυβαλικοῦ βόλου ὄνομα. Ἀβολεῖς, αἱ περιβολαὶ, ὑπὸ σικελῶν. Ἀβολῆσαι, ἀπαντῆσαι.

Ἀβολήσαμεν, συνηντήσαμεν. Ἀπολλώνιος, Λύκος δὲ ἀβολήσαμεν ἐνθάδ' ἰόντες. Ἀβολησαὶ, ἀντιπάσαντι ἰσχυρῶς. Ἀβόλησις, ὑπάντησις, ἀπάντησις. Ἀβόληθι, ἐντύχε. Ἀβολήτωρ, μάρτυρος, ἀντιλαχόντος. Ἀβολήτωρ, καὶ ἄβολις, ἢ ἄβολος ὄνος καὶ ἵππος, ὁ μηδέπω ἐκβεβληκὼς τοὺς ὀδόντας. Ἄβολον, ὄνομα ποικίλον. Ἄβολος πῶλος, ὁ μηδέπω ἐκβαλὼν τοὺς ὀδόντας. καὶ ἀγνώμων ἢ ἄγνωμος, ὁ αὐτός. γνώμων γὰρ λέγεται ὁ ὀδοὺς, ἀφ' οὗ γνωρίζεται ἡ τῶν ζώων ἡλικία. τριάκοντα γὰρ μηνῶν γενόμενος ὁ πῶλος ἢ μόσχος, ἐκβάλλει τοὺς πρώτους ὀδόντας. εἶτα ἐνιαυτοῦ παρελθόντος, τοὺς δευτέρους. καὶ μετ' ἄλλον ἐνιαυτὸν, τέλεοι εἰσὶν, οἱ τεττάρων ἡμίσεων ἐτῶν. ἀφ' οὗ καὶ λαχαγνώμονες καλοῦνται, οἱ μηκέτι διὰ τῶν ὀδόντων γνωσθῆναι δυνάμενοι. γνώμονα δὲ κυρίως οἱ φιλόσοφοι καλοῦσι, τὸ ἐν ὡροσκοπίοις ξύλον. Ἄβολοι, αἱ μὴ κατατετριμμέναι βοτάναι, ἢ αἱ μὴ φέρουσαι καρπόν. Ἀβοτὴς, ἀκτήμων. Ἀβουλεὶ, ἀβούλως, ἀφρόνως, ἀμαθῶς. Ἀβουλεῖν, μὴ βουλεύεσθαι, ἢ μὴ βούλεσθαι, Πλάτων. καὶ ἀβουλὴς ἄκοντος. Ἀβούλητον κακὸν, ἐθελοντὸν, ὃ οὐ θέλει τις. καὶ ἀβούλητος, ὁ μὴ βουλόμενος. Ἀβούλητος, ὄνομα κύριον. διὰ τοῦ ἰῶτα. Ἀβουλία, ἀπαιδευσία, ἄνοια, μωρία, καὶ ἀγνωσία. Ἀβουλότατα, ἀπροαίρετα. Ἀβούλως, μωρῶς, ἀφρόνως, ἀμαθῶς, κακῶς, ἀναλόγως. Ἀβουκολεῖ, θορυβεῖ. Ἀβούτης, ἀκτήμων, ἄπορος. ἀπὸ τοῦ βοτόν. Ἄβοτιν, τῶν Δαλιέων ἀργύρου. Ἀβρὰ, ἐπαφρὰ, μαλακή. Ἄβρα, οὔτε ἡ ἁπλῶς θεράπαινα, οὔτε ἡ εὔμορφος λέγεται, ἀλλ' ἡ οἰκότριψ καὶ παρὰ χεῖρα. ἤγουν, ἡ σύντροφος θεράπαινα. ἢ ἡ οἰκότριψ γυναικὸς κόρη, καὶ ἔντιμος. εἴτε οἰκογενὴς, εἴτε μή. ἢ ἄβρα κατὰ Ἴωνας, δούλη, παλλακή. καὶ ἄβραι, νέαι δοῦλαι. Ἁβρὰ βαίνων, θρυπτόμενος, κολακευόμενος. ἔκυψε δ' οὕτως ἁβρὰ βαίνων ἐλέγχει, ἔχων τὰς ὀφρῦς ἀνεσπασμένας ἄνω.

Ἀβραὰμ, ὄνομα κύριον, ὁ πρῶτος ἐν πατριάρχαις. καὶ ἀβραὰμ, πατὴρ πολλῶν ἐθνῶν. Ἀβρὰμ, πατέρας, ὁ πατὴρ μετέωρος.

Ἀβραζῖτις, χώρα. Ἀβραῖς, ἁπαλαῖς, τρυφεραῖς. Ἀβραμιαῖος, ὁ ἀπόγονος Ἀβραὰμ, ἢ γενεαλογία, ἱερογλυφικός.

Ἀβραμίας, ὄνομα βόλου κυβαλικοῦ. Ἀβράνια, καλοί, ἢ κεφαλαί. Ἀβραστίλλω, ἢ κρουστὸς. λακωνικός. Ἄβραχον, ἄχυρον. Ἀβρίας, ὄνομα κύριον. Ἀβρεμὴς, ἀβλαβής. Κύπριοι. Ἀβρεττανὴ, καὶ ἀβρεττηνὴ, ἡ ἀβρεττανή, χώρα, ἡ λεγομένη Μυσία, ἀπὸ ἀβρεττανίας νύμφης. τὸ ἐθνικὸν, ἀβρεττηνοί.

Ἀβρελία, χώρα. Ἀβρελιανὸς, καὶ ἀβρέλιος, ὀνόματα κύρια. Ἀβρίζεσθαι, ἀβρύνεσθαι, καλλωπίζεσθαι. Ἀβροδίαιτον, ἁπαλοδίαιτον. Ἀβροχίτων, λύσιχρον, ἄχροιον, ἀνάσχετον, ἀπὸ τοῦ ἐκ μέρους ἀκούειν. Ἀβροάζει, κεκαθαρμένα. Ἀβρίξ, ἐγρηγορότως. Ἀβρίξαι, τὸ ἀπὸ βορρᾶ πνεῦσαι, ἢ κοιμηθῆναι. Ἀβροάξ, ὄνομα κύριον. Ἀβραλών, μαστίγιον. Ἀβριάχεται, κοσμεῖ-

ϐηρ, ἔβλαψαν. λέξις οὐ κοινὴ, ἀλλὰ κεχρημένη ἐν ποιήσει. Ἀασίφρ͂ων, βλαψίφρων, φρενοβλαβής. ἀάσαι γὰρ, τὸ βλάψαι. Ἀάσκει, βλάπτει, φθείρει.

Ἀασὸν, ἀναμάρτητον, ἀβλαβές. Ἀάσεια, ἀπόρρητα.

Ἄαχετος, ἀκατάσχετος, ἀκράτητος, ἀνυπομόνητος. Ἄαται, κορέννυται. ἄμαι γὰρ τὸ ἐκπίνω. τὸ παθητικὸν, ἄμαι ἄαται, ἄαται. Ἀάπαλι, ἐπλήρωσε. Ἄατος, ἄτα ἄτης, ἀβλαβὴς. ἢ πολυβλαβὴς καὶ βεβλαμμένος, κατ' ἐπίτασιν τοῦ α. χαλεπὸς, δυσχερὴς, ἀκόρεστος, ἀχόρταστος. Ἐπ' ἄκρον οὐδετέρως, τὸ ἐπιβλαβὲς, ἢ ἄτα ἄτης, ἢ ἀπλήρωτον. οἷον, ἄγει δέ μοι ὄμοσσον, ἄατον στυγὸς ὕδωρ. Ἀάατος, καὶ ἀάατον, διὰ τριῶν ἄλφα προφέρεται. ὧν τὰ δύο στερητικὰ, διὸ καὶ ὑπερστερητικόν φασιν οἱ παλαιοί, ὡς διπλάσιον τῶν στερήσεων. ἔστι δὲ τὸ μὲν δεύτερον α, στερητικὸν ἄτης. τὸ δὲ πρῶτον, ἀναιρετικὸν τῆς τοιαύτης στερήσεως. ὅθεν ἀάατον, τὸ μὴ στερούμενον ἄτης ἢ ἐπιορκίας, ἀλλὰ μάλιστα αἴτιον ἄτης. ὅμοιον καὶ τὸ ἀνάπαρος, καὶ ἐν Ὀδυσσείᾳ τὸ ἀνάπυστα, ἐν οἷς δηλοῦται ὁ πεπηρωμένος. καὶ τὸ πυστὸν, ἢ τὸ ἀκουστὸν, πλεονασμῷ τοῦ ε διὰ κακοφωνίαν. ἄπηρος μὲν γὰρ, ὁ μὴ ἔχων πήρωσιν. ἀνάπηρος δὲ, ὁ ἐστερημένος τῆς τοιαύτης στερήσεως. οὕτω δὲ καὶ ἄπυστος μὲν, ὁ στερηθεὶς τοῦ ἀκουσθῆναι. ἀνάπυστος δὲ, ὁ ἀκουσθεὶς, διὰ τὸ ἀφαιρεῖσθαι τῆς ἀπύστου στερήσεως. τοιοῦτον δὲ καὶ τὸ ἀνάγνωστος, ὁ ἐγνωσμένος. γνωστὸς γὰρ, καὶ ἐν στερήσει ἄγνωστος. καὶ ἐν δευτέρᾳ στερήσει ἀναιρετικῇ τοῦ ἄγνωστος, καὶ πλεονασμῷ τοῦ ν, ἀνάγνωστος, ὁ μὴ ἄγνωστος, ἀλλὰ δηλονότι γνωστός. ἴσως δὲ διὰ τὸ σαφὲς τῆς βλάβης λέγεται, ἄατον μέν φασι τὸ ἄπειρον. ἀάατον δὲ, τὸ πολυβλαβές. ἰστέον δὲ, ὅτι τὸ ἄατος, διὰ εὐφωνίαν οὐκ ἔχει τὸ ν, κατὰ τὸ ἀνάπηρος, καὶ ἀνάπυστος. Ἀάτυλον, ἀβλαβές.

ΤῸ Α ΜΕΤᾺ ΤΟΥ̃ Β.

Ἀβ, ὁ γερμανικὸς μήν. Ἄβα, τροχὸς, ἡ βοή. Ἀββᾶ, ὁ πατὴρ παρ' ἑβραίοις. Ἀβάγαστρον, λιπαρόν. Ἄβαγνα, τὰ ῥόδα μακεδόνες. Ἄβαγος, ἥσυχος. ἥσυχος, ὁ ἐσφαλμένος ἄφθογγον, ἀντὶ τοῦ ἄφθογγον. Ἀβαθὴς, ὁ ... ὁ τῶν λεπτόν. Ἀβαὶ, διδάσκαλοι, κύπριοι. Ἀβάθματα, γράμματα. Ἄβαι, πόλις φωκική. ἐκλήθη δὲ, ἀπὸ ἥρωος Ἄβαντος, μαντεῖον ἐχούσης Ἀπόλλωνος ἀβαίου. Σοφοκλῆς ἐν τῷ εἰς οἰδίπουν τύραννον δράματι, Οὐκέτι τὸν ἄθικτον εἶμι γᾶς ἐπ' ὀμφαλὸν σέβων, οὐδ' ἐς τὸν ἀβαῖσι ναόν. Ἀβακαῖνον, πόλις σικελίας.

Ἀβακεῖν, ἀβακῶ, ἡσυχάζω. ἀπὸ τοῦ ἀβακὴς, γίνεται ἀβακῶ. ὥσπερ ἀπὸ τοῦ εὐσεβὴς, εὐσεβῶ. Ἀβακίως, ἐπίρρημα ἀντὶ τοῦ ἡσύχως. ἀβακίως εὗδον. γίνεται δὲ ἀπὸ τοῦ ἀβακὴς, ἀβακίως. ὥσπερ ἀπὸ τοῦ εὐσεβὴς, εὐσεβίως. οὕτως Ἡρωδιανὸς, ὡς ἐν μεγάλοις ἐπιμερισμοῖς. Ἀβακήμων, ἄλαλος, ἀσύνετος, μωρὸς, ἥσυχος. ἤτοι ὁ ἐστερημένος τοῦ βάζειν, ὅ ἐστι τοῦ λέγειν. Ἀβάκιο, ἀφελῆ, ἀσύνετον, ἡσύχιον, ἄπειρον, ἀλύπατον, ἄκακον. Ἀβάκης, ἄβαξ, ἄφωνος, σιωπηλός. καὶ ὄνομα ἐργαλείου τεκτονικοῦ, ὃ σκύθαι ... καλοῦσιν. Ἀβακὸς, ἡσύχιος, πρᾶος. ἀπὸ τοῦ βάζω, τὸ λέγω. Ἱππεῦ, ἀλλ' ἀβακῆ πάμφρονα ἔχω. ἀντὶ τοῦ, ἡσύχιον καὶ πρᾶον.

Ἀβάκησαν, τοῦτο ἅπαξ εἴρηται παρὰ τῷ ποιητῇ. ἔστι δὲ ἀβακεῖν, τὸ ἀγνοεῖν. καὶ διὰ τὸ μὴ ἔχειν τι βάζειν, ἀλλ' ἀπορεῖν ἐπὶ τῷ βλεπομένῳ. καὶ γίνεται καθ' ὁμοιότητα τοῦ ἀγνοεῖν, ὡς οἱ ὑπομνηματισταί φασιν. ἢ ἐν ἄλλοις. Ἀβάκησαν, ἀντὶ τοῦ ἠγνόησαν, ἢ ἡσύχασαν. παρ' ἄλλοις δὲ, τὸ ἡσύχασαν. ἔστι βάζω, τὸ λέγω. ὅπερ ἀπὸ τοῦ βοάζω, κατὰ συγκοπὴν γίνεται. ὁ παθητικὸς παρακείμενος, βέβακται. τὸ ῥηματικὸν, βακτός. καὶ μετὰ τοῦ στερητικοῦ ἄλφα, ἄβακτος. τὸ ῥῆμα, ἀβακτέω, ῶ. καὶ ἀφαιρέσει τοῦ τ, ἀβακῶ. ὅθεν τὸ ἀβακοῦσι. Ἀβακίζω, ἡσυχάζω, ἀπὸ τοῦ ἀβακῶ. Ἀνακρέων, ἐγὼ δὲ μισέω πάντας, οἳ χθονίους ἔχουσι ῥυθμοὺς, καὶ χαλεποὺς μεμαθήκασιν, ὡς μαθεῖν τῶν ἀβακιζομένων. ἀντὶ τοῦ, τῶν ἡσυχίων, καὶ μὴ θορυβούντων. Ἄβακοι, ἀγριάκια. Ἀββακοὺμ, πατὴρ ἐγέρσεως. Ἀβάκτεον, ἀνεπίφθεγκτον. Ἄβακον, καὶ ἄβοκον, τὸ μὴ μακαριστόν. Ἀβακχάγιοι, σταλάδων μοῖρά τις, οὕτω καλουμένη. Ἀβαλάχαστον, λινοῦν ὕφασμα, περιχειρίδιον. Ἀβάλλω, ἐπίρρημα σχετλιαστικὸν, παρὰ τὸ βάλλω. καὶ μετὰ τοῦ ἐπιταλικοῦ α, ἀβάλλω. Ἀβάλι, ἀντὶ τοῦ φεῦ, καὶ ἀντὶ τοῦ εἴθε. Ἄββαλιν, ἀντὶ τοῦ ἀνίβαλιν. Ἄβαλ, παρὰ τὸ ἀβάλλω, ἐπίρρημα. Ἀβάλι, ὄφελον, εἴθε, ἢ ἄχθιον. Ἀβαλαία, συγγραφὴ, ὁμολογία. Ἀβάλη, τὸν ὄχθον λάκωνες. οἱ δὲ, τὸν νωθρόν. Ἄβαλις, μοχθηρὰ ἡλικία. Ἀβάντασιν, ἀνάβασιν.

Ἄβαντα, πόλις πλησίον παρνασσοῦ, ἔνθα ἱερὸν Ἀπόλλωνος.

Ἀβάντιος, ὁ τοῦ ἄβαντος, καὶ ἀβαντιάδης. Ἄβαντες, ἔθνος. καὶ ἀβαντὶς, ἡ εὔβοια. ὡς ἀπὸ Ἄβαντος τοῦ ἀργείου, ἡγοῦ ποσειδῶνος καὶ ἀρεθούσης. ἧς ὁμώνυμος πηγὴ ἀρέθουσα. οἱ δὲ λέγουσιν, ὅτι θρᾷκες κατὰ Δαμοτέλην ὁρμηθέντες ἐξ Ἄβας τῆς φωκικῆς, ἐπῴκησαν τὴν νῆσον, καὶ ἐπωνόμασαν Ἀβαντίδα τὴν νῆσον. οἱ δὲ, ἀπὸ ἥρωός φασιν Ἄβαντος κληθῆναι, καθὰ καὶ εὔβοιαν ἀπὸ ἡρωΐνης. Σημειωτέον οὖν, ὅτι ὥσπερ ἔθνος μέν οἱ βοιωτοὶ, καὶ οἱ φωκεῖς, καὶ οἱ λοκροὶ, πόλεις δὲ αὐτῶν αὗται καὶ ἐκεῖναι, οὕτω καὶ ἐθνικὸν μὲν ἐνταῦθα οἱ ἄβαντες. αἱ δὲ κατὰ αὐτοὺς πόλεις, ἡ δεῖνα καὶ ἡ δεῖνα.

Ἀβαξ κυρίως, ὁ μὴ βάσιν ἔχων. καταχρηστικῶς δὲ, καὶ ἐπὶ οἷον δήπου σανίδος. παρὰ τὸ βῶ, τὸ βαίνω. ἢ καὶ ἄλλως.

Ἄβαξ, ἄλαλος, ἄφωνος. δηλοῖ καὶ τὸ σανίδιον. ἔχει οὐ μόνον ἐπὶ σανίδος, ἀλλὰ καὶ ἐπὶ λίθων ὁμοιοχρωμάτων ξυλίνοις ἄβαξιν. ὅθεν καὶ ἀβάκιον, ἐφ' οὗ ψηφίζουσιν. Ἀβακτὸς, ἀσόματος. ἐκ μεταφορᾶς τῶν μαχαιρῶν, τῶν κατὰ στόμα βαπτομένων. λέγεται καὶ ἐπὶ τῶν ἀργοστομάτων. Ἀβάπτιστον, τρυπάνου εἶδος ἰατρικοῦ. Ἀβαρβαλαῖαι, νύμφαι. Ἀβαρβαρέα, ὄνομα νύμφης. πολλὰ γὰρ τὰ τῆς συμφωνίας. Ἀβαρὴς, ἀνύποιστος.

Ἄβαρις, ὁ ὑπερβορεὺς. καὶ μὴ ἔχων βάριν. Ἄβαρος, σπένδος, ἔνθεν ... χασμοὺς, τοὺς καλουμένους σκοτεινοὺς ... ... τόπον ὕδατος τοῦ ποταμοῦ, καὶ καθαρμοὺς, ἐν θεογονίαν.

Ἀβασκάν, ... τῶν καθαιρομένων καταμαντείας κύπριοι. Ἀβαρκνᾶ, κομᾷ. οὕτω μακεδόνες. Ἄβαρνα, λιμοί. Ἀβαρλέται, ταράσσεται, κρητ. Ἀβαρνὶς, φωκίων φυλή. Ἀβάρου, σίνη, οἶμος, βία. Ἄβαρος, πόλις φωκίων. Ἀβαρνὶς, ὄνομα πόλεως, λαμψάκου. οἷον, ... ἐπὶ τῇ, καὶ ἀβαρνίδα ἠμαθόεσσαν. Ἀβαρταὶ, πλωταί, κύπριοι. Ἀβαρτία, ἀπληστία. Ἄβαρτος, ἄπληστος. οἱ δὲ, ἄμαργος.

Ἀβαρὺ, ὀρίγανον, μακεδονία. Ἄβας, ὁ εὐήθης. καὶ ἱερεὺς ἑστὼς, παρὰ ταραντίνοις. Ἄβας, σοφιστὴς, ὁ ἱστορικὰ ὑπομνήματα, καὶ τέχνην ῥητορικὴν καταλιπών. Ἀβάσαι, ἀπαξιῶσαι, καὶ ἀρθῆναι. Ἀβασάκτως, ἀδυσβαστάκτως. Ἀβασάνισα, ἀνεξέτασα. Ἀβασάνιστος, ἀδοκίμαστος, ἄβροχος, μὴ κολαζόμενος, ἀγύμναστος. εἴρηται δὲ ἀπὸ τῆς βασάνου, τῆς χρυσοχοϊκῆς λίθου, ἐν ᾗ δοκιμάζουσι τὸ χρυσίον. Ἀβάσκανος, ὁ ἀφθονὴς καὶ ἀνεπίφθονος. Ὁ δὲ μάρτυς ἀβάσκανος γίνεται πρὸς καιρὸν, τῶν ἀν' ἑκάτερον κατορθωμάτων. Ἀβάσκαντα, χωρὶς βλάβης.

Ἄβαστον, ἀβάστακτον, ἀβίαστον. Ἄβαστον, ἀκίνητον, ἀπρόσιτον.

Ἄβατος, ἀσύνετος. καὶ ἄβατον, ἀδιόδευτον, ἀπέρατον. ἢ τὸ ἱερὸν, καὶ τὸ ἔρημον. Ἀβαχθανὶ, λέξις ἑβραϊκὴ, ἐγκαταλελειμμένος. Ἄβδηλον, ταπεινόν. Ἀβδέλυκτα, ἀμίαντα, τὰ μὴ μιαίνοντα. ἢ οὐκ ἂν εἰς βδελυχθείη ἐν ὀχειραίνουσιν. Ἄβδηλα, ἄβατα. Ἄβδηρα θάλασσα, καὶ ὄνομα πόλεως. ὁ πολίτης, ἀβδηρίτης. ὅθεν καὶ ἀβδηρόζητης ἄνεμος, ὁ βορέας. Ἄβδης, μάστιξ, παρ' ἰωνικοῖς. Ἀβδιοὺ, ὄνομα κύριον, ἑρμηνεύεται δοῦλος ὁμολογητής. Ἀβέβαιος, ὁ ἀσαθὴς καὶ εὐμετάτρεπτος. ὁ μὴ πάγιος. Ἀβέβηλα, τὰ μὴ βάσιμα χωρία. ἱερὰ δὲ καὶ ὅσια, καθαρά. ἀβέβηλα οὖς ἐλέγετο τὰ μὲν ὅσια, μὴ δὲ ἱερά. ποτὶ δὲ βάσιμα.



Ο ΕΛΑΧΙΣΤΟΣ ΕΝ ἘΠΙΣΚΟΠΟΙΣ, ΒΑΡΙΝΟΣ ΦΑΒΩΡΙΝΟΣ ΚΑΜΗΡΣ ὁ ΝΟΥΚΕΡΙΑΣ, ΕἸΚΟΤΩΣ ΓΕ, ΚΑῚ ὩΣ ΚΑΘΗΓΗΤῊΣ ΧΑΡΙΖΟΜΕΝΟΣ

Λέοντι τῷ δεκάτῳ ἄκρῳ ἀρχιερεῖ, τὸ μέγα τοῦτο Λεξικόν τε, καὶ μονονοὺ ὑπόμνημα τῆς ἑλληνικῆς ἁπάσης φωνῆς, ἐκ πολλῶν καὶ διαφόρων βιβλίων, κατὰ στοιχεῖον συνέλεξεν.

ΤΟ Α ΜΕΘ' ΕΑΥΤΟΥ.



ΑΛΦΑ τὸ στοιχεῖον, παρὰ τὸ ἄλφω, τὸ εὑρίσκω. πρῶτον γὰρ τῶν ἄλλων στοιχείων εὑρέθη. ἢ ἀπὸ τοῦ κατὰ ἀμοιβὰς πλεῖσθαι. ἄλφαρ γὰρ, τὸ ἀμοιβόν.

Ἄλφα τὸ μόριον, ποτὲ μὲν δηλοῖ στέρησιν ψιλούμενον, ὡς ἐν τῷ ἄκλητος. ποτὲ δὲ τὸ πολύ, ὡς ἐν τῷ ἀχανὲς πέλαγος, τὸ μέγα πάνυ καὶ ἐπὶ πολὺ κεχηνός. ποτὲ δὲ τὸ ὁμοῦ, ὡς ἐν τῷ ἀκόλουθος, ὁ ὁμοκέλευθος. καὶ ἀντὶ τοῦ ἐπιτατικῶς, ἄγαν ἅμα ἔχει. καὶ ἄκοιτις, ἡ παράκοιτις. καὶ τοῦ ποιοτικοῦ. καὶ ἀκοίτης, ἀρσενικόν. ἐνίοτε δὲ τὸ κακόν, ὡς ἀφυὴς ποιοτικῶς, ὁ κακοφυής. ἄλλοτε δὲ τὸ ἴσον, ὡς ἀτάλαντος, ὁ ἰσοτάλαντος. ποτὲ δὲ τὸ ὀλίγον, ὡς ἀμαθὴς ποιοτικῶς, ὁ ὀλιγομαθής. ἐνίοτε δὲ πλεονάζει ἀττικῶς, μηδὲν σημαῖνον. ὡς ἐν τῷ στάχυς, ἄσταχυς. σπαίρειν, ἀσπαίρειν. ὃ λέγεται ἐπὶ τοῦ ἀκουσίου καὶ ἀμούσου κινήσεως. οἷον, ἐπὶ ἀποθνῄσκοντος τινός, καὶ κεκρατημένου νόσῳ τινί. σπαίρειν δέ, τὸ εὐρύθμως κινεῖσθαι καὶ ὀρχηστικῶς. καὶ ἀπὸ μὲν τοῦ προτέρου, ἀσπάρος ὁ ἰχθύς. ἀπὸ δὲ τούτου, σκάρος. σημαίνει δὲ καὶ ἄθροισιν δασυνόμενον, ὡς ἐν τῷ ἅπας. Ἆ, ἆ, τὸ ἐπίρρημα, ψιλούμενον μὲν καὶ ὀξυνόμενον, ἔκπληξιν καὶ παρακέλευσιν δηλοῖ. ὡς παρ' Ἀριστοφάνει, ἆ, ἆ, τὴν δᾷδα μή μοι πρόσφερε. ἀφ' οὗ κατὰ γένεσιν, ἀλλὰ κατὰ διαίρεσιν ἀμφότερα ἀναγνωστέον. εἰ γὰρ ἦν μέρος λόγου ἕν, καὶ κατὰ σύναψιν ἀνεγινώσκετο, οὐ χρείαν εἶχε τῶν δύο τόνων. δηλοῖ καὶ ἐπιτίμησιν, ὡς παρὰ τῷ αὐτῷ Ἀριστοφάνει, ἆ μὴ λέγε ὦ πόνηρε. δασυνόμενον δέ, ἄρθρον γίνεται ὑποτακτικὸν πληθυντικόν, γένους οὐδετέρου, σημαῖνον τὸ ἅπερ, ἢ ἅτινα, ὡς παρ' Ἱπποκράτει. ἐν δέ καὶ τὸ ἄγε. παρὰ Δημοκρίτῳ, τὰ ἴδια. παρ' Ὁμήρῳ, τὰ ἑκούσια, ἃ πρὸς δώματ' ἕκαστος. τέτακται καὶ ἀντὶ τοῦ ὦ, ὡς παρ' Εὐριπίδῃ ἐν Μηδείᾳ, γραῖα ἃ μέλλω, καὶ τεχοῦσ' ἃ βούλομαι. καὶ παρὰ Σοφοκλεῖ, Αἴας ὢν τεύξῃ. Ἆ, ψιλούμενον καὶ περισπώμενον κλητικὸν ἐπίρρημα ὄν, καθὰ καὶ τὸ ὦ ἔχει πρὸς τῇ κλίσει, ὡς πολλαχοῦ φαίνεται. καὶ ἔστιν πλεῖον ἔμφασιν ἔχει,

ἐπὶ σχετλιασμοῦ ἢ θαύματος, κατὰ τοὺς παλαιούς. ἢ καὶ ἄλλως, ἐπί τινι λόγῳ οἴκτῳ ὅμοιον. Ἄλλως. Ἆ, ψιλούμενον μὲν καὶ περισπώμενον, δηλοῖ τὸ ἐν ἴσῳ ἐπίρρημα, τῷ ναὶ καὶ εἴθε, ἢ αἴθε, ὥς ἐστιν ἐκ τῶν παλαιῶν δῆλον. Καλλίμαχος, ἆ πάντα συνάγειρας. καὶ τὸ ὦ, τὸ κλητικόν, ὡς παρ' Ὁμήρῳ, ἆ δειλοί, τί κακῶν. σημαίνει δὲ καὶ τὸ πολὺ ἢ μέγα, ὡς παρ' Ἀρχιλόχῳ, ἆ, ἵνα δ' εἷς τε ταῦρος. καὶ ἔστι σχετλιαστικόν, ἀντὶ τοῦ φεῦ, ὡς παρὰ Πλάτωνι. καὶ τὸ νῦν, ὡς ἐν τοῖς Εὐκλου τοῦ χρησμολόγου ποιήμασι. δασυνόμενον δέ, ὡς Ἀγαθίας ἐν τῷ εἰς τὴν Ἑλλάδα κατὰ τῶν ἐπιγραμμάτων, θαυμαστικὸν γίνεται. οἷον, ἃ μέγα πλημύρεις κηρὸς ἀπεχλέβετ. ὅπερ ἐν ἄλλοις γέγραπται, ἃ μέγα πλεῖστος, ἔσβεσεν ἀπλοίην. Ἀ. μὲν τὸ μακρὸν τρέπεται εἰς ῆ ποιοτικῶς. οὐδέποτε δὲ τὸ βραχύ. οἷον, κραδίη, καρδία. Ἀ, ι, υ, διατί τριῶν ὄντων τῶν διχρόνων, τὸ μὲν ἆ εἰς ἢ τρέπεται, τὸ δὲ ι καὶ υ, οὐ τρέπονται; ἐπειδὴ τὸ α εἶχεν ἀντίστοιχον τὸ η, ὅπερ χάριν ἔτρεπεν εἰς αὐτό. τὰ δὲ ι καὶ υ μὴ ἔχοντα, οὐ τρέπονται.

Ἆ, σχετλιαστικὸν ἐπιφώνημα, ἢ σύνημα ὕλατος. Ἀάβακτοι, καὶ ἀάβακτοι, ἀβλαβεῖς, ἢ μάλακοι. Ἀαγές, ἄθραυστον. ἰσχυρὸν πάνυ. ἄγω γάρ, τὸ κλῶ. ἀγής, καὶ μετὰ τοῦ στερητικοῦ, ἢ ἐπιτατικοῦ ἄλφα, ἀαγές. τὸ οὐδέτερον, ἀαγές. ἢ τὸ ἄθραυστον κατὰ στέρησιν, ἢ τὸ πολύθραυστον, κατὰ ἐπίτασιν. Ἄαδα, ἔνδεια, λαίμαργε. Ἀαδεῖν, ὀχλεῖν, λυπῆσαι, ἀδικεῖν, ἀχθεῖν, ἀσιτεῖν.

Ἄαδεν, ἐλύπησεν. Ἀαδίη, ἡ ὑγία κοῖτος. Ἀαδής, ἀηδής. Ἀάθω, ἐκπατέω. Ἀάατον, ἄφθαρτον, ἀβλαβές.

Ἄακτον, ἄθραυστον, ὑγιές. Ἀάλιον, ἄτοπον. ἄλιον γὰρ τὸ μάταιον, ἀκρατές. Ἀάνημα, πολλαχῇ χάνης. Ἀάνας, χώνιμος. Ἀανὲς, οὐ τελεσθησόμενον. Ἀάνθα, εἶδος ἐνωτίου παρὰ Ἀλκμᾶνι, ἢ Ἀριστοφάνει. Ἄαπτος, ἀβλαβής. Ἡρωδιανός φησιν, ὅτι γίνεται ἀπὸ τοῦ ἰάπτω, τὸ βλάπτω, καὶ μετὰ τοῦ στερητικοῦ ἄλφα κατ' ἔλλειψιν τοῦ ι, ἄαπτος, ὃν οὐδεὶς δύναται βλάψαι. ἢ οὐ κατὰ στέρησιν ἐκληπτέον τὸ α, ἀλλὰ κατ' ἐπίτασιν, ἵν' ᾖ ὁ μεγάλα δυνάμενος βλάπτειν. ὅθεν παρ' Ὁμήρῳ, αἱ ἄαπτοι χεῖρες. Ἀριστοφάνης δὲ ἐν ταῖς γλώσσαις, ἀάπτους χεῖρας δηλοῖ τὰς ἰσχυράς, ἀρρήτους, ἃς οὐ δύναταί τις εἰπεῖν. ἢ δυσπαρακολουθήτους, ἃς οὐ δύναταί τις ἅψασθαι. καὶ ἄλλως, χεῖρες ἄαπτοι, αἱ ἀπροσπέλαστοι, ὧν οὐκ ἂν ἅψαιτό τις. Ἀάρων, ὄνομα κύριον.

Ἄας, εἰς αὔριον, Βοιωτοί. οἱ δέ, τὸ εἰς τρίτην. Ἀάσαι, τέσσαρα σημαίνει, τὸ κορέσαι, τὸ καθυπνῶσαι, τὸ λυπῆσαι, καὶ τὸ πολλαχοῦ καὶ ὅταν βλάψαι. Ἀασάμην, ἥμαρτον, ἐσφάλην, ἐβλάβην, ἄτῃ περιέπεσον. ἢ ἐλυπήθην, παρὰ Ἀπολλωνίῳ. Ἄα-

ΒΑΡΙ̂ΝΟΣ ΚΑ'ΜΗΡΣ Ὁ ΝΟΥΚΑΙΡΙ'ΑΣ, ΤΩ̂ ΜΕΓΑΛΟΠΡΕΠΕΣΤΑ'ΤΩ ΚΑῚ ΑἸΔΕΣΙΜΩΤΑ'ΤΩ ἰουλίῳ καρδιναλίῳ τῷ τῶν μεδίκων, χαίρειν.

Ἐάν τινες πάνυ εὖ πεπονθότες, καὶ μεγίστων ὅσων ἀγαθῶν μετεσχηκότες, παρὰ εὐεργετήσαντι δὲ τὴν ὀφειλομένην μὴ ἀποτίνοντες, μήθ' ὁμολογοῦντες χάριν, οὗτοί μοι δοκοῦσιν εἰκότως τὸ τῆς ἀχαριστίας ὄνειδος, καὶ τὴν τῶν ἀνθρώπων κακολογίαν ὀφλισκάνειν. εἰ οὖν ἐγὼ τριάκοντα ἤδη ἔτη τῶν μεδίκων τρόφιμος γεγονώς, καὶ τοσοῦτον ὑπ' αὐτῶν εὐεργετηθεὶς τῶν καλῶν τε κἀγαθῶν, ὧν τυγχάνω ἔχων, οὐδεμίαν μνήμην ποιήσαιμι, καὶ τὰ τροφεῖα αὐτοῖς μὴ ἀποτίσαιμι, δικαίως ἂν νομιζοίμην ὡς ἐκείνων ἐγώ. τοιγαροῦν ἵνα μὴ τῶν μεγίστων ἀχάριστος δόξω εὐεργεσιῶν, ἅ τε δύναμαι ποιῶ, καὶ τιμῶ σέ, ὦ αἰδεσιμώτατε Ἰούλιε, τούτοις οἷς τυγχάνω δυνάμενος. ἄλλοι δὲ ὅσοι μου πλουσιώτεροι καὶ εὐπορώτεροί εἰσι, τιμιώτατά σοι χρήματα καὶ μεγίστας δωροῦσι δωρεάς. ἐγὼ δὲ ἀποθανόντος Λέοντος τοῦ δεκάτου μεγίστου ἀρχιερέως, σοὶ τῷ ἐν τῇ γῇ μοι ὥσπερ θεῷ ἀπολελειμμένῳ, τὰς πάσας μου καὶ πάντας ἀγρυπνίας καὶ πόνους, οἷς πλείστην ἐπιμέλειαν ποιούμενος ἐν τῷ τὴν παλαιάν σου καὶ βελτίστην βιβλιοθήκην μεταχειρίζεσθαι, ἔτι τε καὶ ἐν τῷ ταῦτα πάντα ἐκ πολλῶν καὶ διαφόρων γραμματικῶν συλλέγειν τε, καὶ θησαυρίζειν ἐπόνησα, ἀνατίθημι, βουληθείς τε καὶ προνοηθεὶς τουτοισὶ πρὸς σὲ εὐνοϊκῶς διακείμενος, τῶν δὲ μεγαλοπρεπεστάτης οἰκίας σου πασῶν ἀρετῶν μνημεῖον καταλιπεῖν. περὶ γὰρ τῆς εἰς τὸν θεόν σου εὐσεβείας καὶ δικαιοσύνης, καὶ τῆς εἰς ἅπαντας ἐλευθεριότητος, καὶ τῶν ἄλλων πάντων τῆς μακαρίας σου ψυχῆς ἀγαθῶν, καὶ εἰ πολλὰ διαλεχθήσομαι, οὐδὲ πολλοστημόριον ἁψάμενος διαφανοῦμαι. περὶ δὲ θαυμαστῆς εὐδαιμονίας, καὶ τοῦ πλήθους τῶν ἀρετῶν, ἃς οἱ θεοὶ ἐνέταξαν καὶ ἐχαρίσαντο τῇ ψυχῇ σου, οὐ τολμῶ νὴ τὸν λόγιον, μᾶλλον ἢ φοβοῦμαι λέγειν, μὴ κολακευτικῶς πρὸς σὲ ἔχειν φαίνωμαι. ὅσα γὰρ ἀγαθὰ, καὶ ὅσας χάριτας οἱ θεοὶ τοῖς ἄλλοις πᾶσιν ἐδωρήσαντο ἀνθρώποις, ταῦτά σοι πάντα διϊσχυρίζομαι ἐκείνους δεδωκέναι. καὶ ὡς σωρηδὸν πάντα συλλαμβάνειν, περὶ Ἰουλίου τοῦ καρδιναλίου τῶν μεδίκων ἐκεῖνο λεγέσθω, ὅπερ περὶ ἄλλου λέγεσθαι μὴ δυνηθείη. ἀλλ' ἐπειδὴ αἰδεσιμώτατε Ἰούλιε, εὐχόμην ἂν ἴσως τοῦ γελοίου ἀποδεξάμενός σοι τὴν πολλὴν εὔνοιαν, ἣν ἐκ πολλοῦ πρὸς σὲ ἔχων διατελῶ, εἰ μὴ δηλώσαιμι ἔτι καὶ τὴν αἰτίαν, δι' ἣν ταῦτα συνελεξάμην. ἑωρακὼς γὰρ πάντας τοὺς τῆς ἑλληνικῆς γλώττης ἐξηγητάς τε καὶ ἑρμηνευτάς, ἰδίᾳ καὶ μὴ συλλήβδην, καὶ ὁμοῦ ἃ πρὸς τὴν τῶν ποιητῶν τε καὶ ῥητόρων ἐξήγησίν τε καὶ ἑρμηνείαν συντείνει τε καὶ ποιεῖ συλλέξαι, ἀλλὰ τούτων τὸν μὲν τὰς ποιητικὰς μόνον λέξεις, ἄλλον δὲ τὰς ῥητορικάς, καὶ αὐτὰς εἰς πολλὰ καὶ διάφορα βιβλία διῃρημένας, καὶ διὰ τοῦτο πολὺν τοῖς πόνον σπουδαίοις ἐμποιεῖν, διέγνωκα πάντα κατὰ δύναμιν τὰ εἰς πολλὰ διεσπαρμένα εἰς ἓν συναγαγεῖν, πρὸς τὴν τῶν σπουδαίων καὶ φιλολόγων ὠφέλειαν. τοῦτο δ' οὐχ ὡς φιλότιμος ὢν καὶ ἀμείνων ἐκείνων, ἀλλ' ὡς φιλέλλην καὶ φιλόπονος. ὥσπερ καὶ ἔτι νέοι ὄντες τὸ τῆς ἀμαλθείας κέρας Πέτρῳ τῷ μακαρίῳ σου ἀδελφῷ ἀναθεῖναι ἐξεπονήσαμεν. Ἕξουσι τοιγαροῦν, ὦ αἰδεσιμώτατε Ἰούλιε, ἕνεκά σου, καὶ τῆς εὐδαιμονεστάτης μνήμης Λαβρεντίου δουκὸς τοῦ ἀνεψιοῦ σου (εἰς χρῆσιν γὰρ ἀμφοῖν ταῦτα πάντα συνελεξάμην) καὶ ἄλλοι πάντες οἱ βουλόμενοι πρὸς τὰ ἑλληνικὰ γράμματα σπουδάζειν, οὐ μόνον πασῶν τῶν λέξεων ἑρμηνείαν, ἀλλὰ καὶ τῶν ποιητῶν καὶ ῥητόρων ἐξήγησιν καὶ διάνοιαν. οὐ γὰρ λεξικὸν μόνον, ἀλλὰ καὶ πάσης τῆς ἑλλάδος φωνῆς ὑπομνήματα ἀναγκαιότατα τοῖς πρὸς τὰ γράμματα προσέχειν βουλομένοις ἐκδίδομεν. Ἔρρωσο.

ΣΚΙΠΙ'ΩΝΟΣ ΤΟΥ̃ ΚΑΡΤΕΡΟΜΑ'ΧΟΥ.

Βίβλον ὁ γραμματικῆς ὀργάδα τήνδε πονήσας,
  Ἕλλησιν φρονίμων ἶσα, Βαρῖνος ἔην.
Ὅς τέχνης τε λύων γρίφους ἅμα καὶ λαβυρίνθους,
  Ἡγητὴς χαλεπῆς γίγνεθ' ἅπασιν ὁδοῦ.
Θαρσαλέως βαῖνε διὰ ταύτην νέοι, ἠδὲ γέροντες,
  Ἑλλάδ' ἐς αὐτὴν ἠδ' ἰταλίηθεν ἄγει.
Μηδ' ἕνα δ' ἐντεῦθεν, μηδέ ποτε λήσεται ἡμῶν,
  Τοῖς δ' αὖ ταῦτα σοφοῖς πᾶς τις ὅμοιος ἔσῃ.
Ὅσα μαθεῖν δ' ἄρα τις ζητήσει, τόσσα καὶ ἕξει,
  Καὶ τοῦ ἔχειν ἔσται πᾶσι μέτρον, τὸ θέλειν.

ΛΕΞΙΚΟΝ

ΒΑΡΙΝΟΥ ΦΑΒΩΡΙΝΟΥ ΚΑΜΗΡΤΟΣ ΤΟΥ ΤΗΣ ΝΟΥΚΑΙΡΙΑΣ

ἘΠΙΣΚΟΠΟΥ, ΤΟ ΜΕΓΑ ΚΑΙ ΠΑΝΥ ὨΦΕΛΙΜΟΝ,

ἐκ πολλῶν καὶ διαφόρων βιβλίων, ἁπάσης τῆς ἑλληνικῆς φωνῆς ὑπόμνημα.

DICTIONARIVM

VARINI PHAVORINI CAMERTIS, NVCERINI EPISCOPI, MAGNVM ILLVD AC PERVTILE MVLTIS VARIISQVE EX AVtoribus collectum, totius linguæ Græcæ COMMENTARIVS.

ΙΩΑΝΝΟΥ ΤΟΥ ΛΑΣΚΑΡΕΩΣ.

Ἡ βίβλος μεγάλη μέν, ἀπείριτα δ' [illegible].
Ἀλλὰ τίνος; [illegible]
Τίς δ' οὗτος; [illegible]
[illegible]
[illegible]
Τίς; πόθεν; [illegible]
Οἶδα τί δ'. [illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
Ὦ Βαρῖνε; [illegible]
[illegible]
[illegible]

ΕΙΣ ΛΕΞΙΚΟΝ ΦΑΒΩΡΙΝΟΥ,

πρὸς τοὺς ἐντυγχάνοντας.

[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
Ἔνθα [illegible]
Ἔνθα [illegible]
[illegible]
[illegible]
Τοῖς δ' [illegible]
[illegible]
Θυγατέρων [illegible]
[illegible]

ΙΟΑΧΕΙΜΟΥ.

Cum gratia, & priuilegio Imperiali ad annos quinq;.

BASILEAE,

M. D. XXXVIII.



ΛΕΞΙΚΟΝ ΒΑΡΙΝΟΥ ΦΑΒΩΡΙΝΟΥ ΚΑΜΗΡΤΟΣ ΤΟΥ ΤΗΣ ΝΟΥΚΑΙΡΙΑΣ ΕΠΙΣΚΟΠΟΥ, ΤΟ ΜΕΓΑ ΚΑΙ ΠΑΝΥ ΩΦΕΛΙΜΟΝ,

ἐκ πολλῶν καὶ διαφόρων βιβλίων, ἁπάσης τῆς ἑλληνικῆς φωνῆς ὑπόμνημα.

DICTIONARIVM VARINI PHAVORINI CAMERTIS, NVCERINI EPISCOPI, MAGNVM ILLVD AC PERVTILE MVLTIS VARIISQVE EX AVtoribus collectum, totius linguæ Græcæ COMMENTARIVS.

ΙΩΑΝΝΟΥ ΤΟΥ ΛΑΣΚΑΡΕΩΣ.

Ἡ βίβλος μεγάλη μὲν, ἀπείριτα δ' ὅσσα λέλογχεν.
  Ἀλλὰ τίνος; μελίσσης τῆς δ' [illegible] τρέφιμος.
Τίς δ' αὕτη; [illegible]
  [illegible] μελίσσης.
[illegible]
  Τίς; [illegible] μελίσσης.
Οἶδα τὸ δ' [illegible]
  [illegible]
[illegible]
  [illegible]
Εὔφρηδον ψυχῶν [illegible]
  Ὦ [illegible] Βαρῖνος [illegible]
[illegible]
  [illegible]

ΕΙΣ ΛΕΞΙΚΟΝ ΦΑΒΩΡΙΝΟΥ, πρὸς τοὺς ἐντυγχάνοντας.

[illegible]
  [illegible]
[illegible]
  [illegible]
[illegible]
  [illegible]
Ἔνθα [illegible]
  Ἔνθα [illegible]
[illegible]
  [illegible] λόγια.
Τοῖς δ' [illegible]
  [illegible]
Θυγατέρων [illegible]
  [illegible]

ΙΟΑΧΕΙΜΟΥ.

Cum gratia, & priuilegio Imperiali ad annos quinque.

BASILEAE,
M. D. XXXVIII.

[illegible]

V 0 1

92 1 3 - 9. 6

Digitized by Google

Digitized by Google

6
9 N
9

6.9.N.9

Digitized by Google

Digitized by Google